LIBRARY OF PRINCETON
APR 20 1955
THEOLOGICAL SEMINARY

BS44
.039
v. 3

LIBRARY OF PRINCETON
APR 20 1955
THEOLOGICAL SEMINARY

ΠΕΡΙ ΤΩΝ

Ο, ΕΡΜΗΝΕΥΤΩΝ

ΤΗΣ

ΠΑΛΑΙΑΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ

ΒΙΒΛΙΑ Δ.

ΣΥΝΤΑΧΘΕΝΤΑ ΥΠΟ

τοῦ Πρεσβυτέρου καὶ Οἰκονόμου τοῦ Οἰκουμενικοῦ Πατριαρχικοῦ Θρόνου,

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ.

Constantine Oikonomos

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

ΑΘΗΝΗΣΙ.
ΤΥΠΟΙΣ Π. Β. ΜΕΛΑΧΟΥΡΟΥ ΚΑΙ Φ. ΚΑΡΑΜΠΙΝΟΥ
Ὁδῷ Ἁγίου Μάρκου.

ΑΩΜϚ.

« Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν (τῶν Ἰουδαίων)· ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης—ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. »

(Β. Κορινθ. γ, 14, 15).

ΠΙΝΑΞ

ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΟΥ Γ. ΒΙΒΛΙΟΥ.

ΚΕΦΑΛ. Α. Προθεωρία . . . . Σελ. 1.

ΚΕΦΑΛ. Β. Ἱστορία τοῦ ἑβραϊκοῦ κειμένου. . . . 9.

ΚΕΦΑΛ. Γ. Περὶ τῶν διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, τῶν ἐν τοῖς αὐτοῦ τοῦ ἑβραϊκοῦ κώδηκος βιβλίοις ἀναφαινομένων ἐκ τῆς πρὸς ἄλληλα παρεξετάσεως αὐτῶν καὶ ἀντιβολῆς. . . . . 193.

ΚΕΦΑΛ. Δ. Ἄλλαι διάφοροι τοῦ ἑβραϊκοῦ κειμένου ἀναγνώσεις, ὡς ἐκ τῆς τῶν κυρίων ὀνομάτων, καὶ τῶν ἀριθμῶν ἐναλλαγῆς. . . 200.

ΚΕΦΑΛ. Ε. Περὶ τῆς ποικίλης ἄλλων ὀνομάτων ἐναλλαγῆς, καὶ τῶν ἐξ αὐτῆς ἐν τῷ ἑβραϊκῷ προερχομένων διαφόρων ἀναγνώσεων. 211.

ΚΕΦΑΛ. Ϛ. Περὶ διαφόρων ἀναγνώσεων τοῦ ἑβραϊκοῦ προερχομένων ἐκ προσθέσεως, ἐλλείψεως, ἐναλλαγῆς ὁλοκλήρων ἡμιστίχων καὶ περιόδων. . . . . 215.

ΚΕΦΑΛ. Ζ. Περὶ τῶν παρ' Ἰουδαίοις σεσημειωμένων διαφόρων ἀναγνώσεων τοῦ κειμένου· καὶ πρῶτον περὶ τῶν ἀναγνωστῶν καὶ γραπτῶν . . . . 223.

ΚΕΦΑΛ. Η. Τίνες οἱ πρῶτοι εὑρέται τῶν ἀναγνωστῶν καὶ γραπτῶν, καὶ ποτέρα τῶν δύω τούτων ἀναγνώσεων ἡ γνησιωτέρα. . . 248.

ΚΕΦΑΛ. Θ. Περὶ τῶν σημείων τῶν φωνηέντων καὶ προσῳδιῶν τῆς ἑβραΐδος Γραφῆς. . . 273.

ΚΕΦΑΛ. Ι. Περὶ δύω ἄλλων ἐπικρατουσῶν παρ' Ἰουδαίοις ἐπισήμων τοῦ ἑβραϊκοῦ κειμένου διαφορῶν· α) τῆς μεταξὺ τῶν ἀνατολικῶν καὶ δυτικῶν Ἰουδαίων, καὶ β) τῆς μεταξὺ τοῦ Βὲν Ἀσὴρ, καὶ τοῦ Βὲν Νεφθαλείμ. 316.

ΚΕΦΑΛ. ΙΑ. Περὶ τῶν διαφόρων ἀναγνώσεων τοῦ ἑβραϊκοῦ κειμένου παραβαλλομένου πρὸς τὸ Σαμαρειτανόν. . . . . 323.

ΚΕΦΑΛ. ΙΒ. Περὶ τῶν διαφόρων ἀναγνώσεων τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου παρεξεταζομένου πρὸς τὴν ἑρμηνείαν τῶν Ο . . . . . 382.

ΚΕΦΑΛ. ΙΓ. Περὶ ἐλλείψεως λέξεων, στίχων, περιόδων ὅλων καὶ περικοπῶν, καθ' ἃς ἐλλείπει τὸ ἑβραϊκὸν, παραβαλλόμενον πρὸς τοὺς Ο. 447.

ΚΕΦΑΛ. ΙΔ. Περὶ κεφαλαίων ὅλων, καὶ μεγάλων περικοπῶν, ἐν οἷς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν παλαιόθεν ἐν τοῖς κανονικοῖς βιβλίοις ἠκρωτηρίασται. . . . . 637.

ΚΕΦΑΛ. ΙΕ. Περὶ τῆς ἀπὸ κτίσεως κόσμου μέχρι τῆς Χριστοῦ γεννήσεως χρονολογικῆς τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο διαφορᾶς. . . 703.

ΚΕΦΑΛ. ΙϚ. Περὶ τῶν τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου πρὸς τοὺς θείους Εὐαγγελιστὰς καὶ Ἀποστόλους ἐπισήμων διαφορῶν. . . . 835.

ΚΕΦΑΛ. ΙΖ. Περὶ Ἰωσήπου καὶ τοῦ Φίλωνος, ὅτι καὶ ἐκ τούτων ἀποδείκνυται ἡ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ διαφθορά. . . . . 849.

ΚΕΦΑΛ. ΙΗ. Περὶ τῶν Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος καὶ τῶν τῆς πέμπτης καὶ ἕκτης ἐκδόσεως διαφόρων ἀναγνωσμάτων ἢ παραλλαγῶν, ὅσαι διαφωνοῦσι πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκόν. . . . . . . 872.

ΚΕΦΑΛ. ΙΘ. Περὶ τῶν πρὸς τὸ Μασοραῖον κείμενον διαφερόντων ἀναγνωσμάτων τῶν τε Χαλδαίων παραφραστῶν, καὶ ἄλλων βιβλίων ῥαββινικῶν. . . . . 877.

ΚΕΦΑΛ. Κ. Περὶ τῆς Πεσχίτας λεγομένης Συριακῆς ἑρμηνείας. . . . . . . 891.

ΚΕΦΑΛ. ΚΑ. Περὶ τῆς Ἱερωνύμου Βουλγάτας, ὅτι καὶ αὕτη δείκνυσι τὴν εἰς τὸ ἑβραϊκὸν μετὰ τοὺς Ἱερωνύμου χρόνους ἐπισυμβᾶσαν διαφθοράν. . . . . 909.

ΚΕΦΑΛ. ΚΒ. Ὅτι καὶ ἐκ τῶν νεωτέρων μεταφράσεων, καὶ τῶν περὶ τὰς ἀναγνώσεις ἀδιαλλάκτων παρὰ τοῖς κριτικοῖς διαφορῶν ἐξελέγχεται πολλαχοῦ ἡ τοῦ ἑβραϊκοῦ κειμένου κατὰ τόπους διαφθορά. . . . 914.

ΚΕΦΑΛ. ΚΓ. Μαρτυρίαι παλαιῶν καὶ νεωτέρων περὶ τῆς κατὰ τόπους ἀκουσίας τε καὶ ἑκουσίας διαφθορᾶς τοῦ μετὰ Χριστὸν ἑβραϊκοῦ κειμένου· καὶ εἴποτε ἐκύρωσε τοῦτο ἡ Ἐκκλησία. . . . . 942.

ΚΕΦΑΛ. ΚΔ. Ἀνακεφαλαίωσις τοῦ Γ, Βιβλίου. 1020.

ΒΙΒΛΙΟΝ Γ'.

ΠΕΡΙ ΤΟΥ ΕΒΡΑΙΚΟΥ ΚΕΙΜΕΝΟΥ ΤΩΝ ΘΕΙΩΝ ΓΡΑΦΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Προθεωρία.

§. α. « ΟΥΤΟΣ μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται », ὁπωσδήποτε καὶ τετέλεσται. Εἴδομεν ἐν τῷ προλαβόντι βιβλίῳ συνηγμένας ἀθρόας τὰς περὶ τῆς ἑρμηνείας τῶν Ο, ποικίλας δόξας τῶν κριτικῶν, καὶ δὴ καὶ ἀπηντήσαμεν, ὅση δύναμις, πρὸς τοὺς καιριωτάτους ἐλέγχους τῶν δῆθεν παντοίων τῆς ἑρμηνείας ἁμαρτημάτων, ὅσους μάλιστα κατασκευάζουσι, συγκρίνοντες αὐτὴν πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκόν. Ἤδη δὲ μεταβαίνομεν εἰς τὴν θεωρίαν αὐτοῦ τοῦ ἑβραϊκοῦ κειμένου, πρὸς ὅπερ, ὡς πρὸς στάθμην καὶ κανόνα, προσάγοντες εὐθύνουσιν οἱ κριτικοὶ τὴν ἑρμηνείαν τῶν Ο. Ἴδωμεν οὖν, πότερον, εὐθύς τις ἐστὶν ἐν πᾶσι, καὶ διόλου ἀστραβὴς, καὶ ἀπαρέγκλιτος ὁ κατ' αὐτοὺς οὗτος κανὼν, ἢ τἀνάπαλιν χρήζει καὶ αὐτὸς κανόνος πρὸς εὔθυνσιν, ὡς ἐν πολλοῖς λοξούμενος στρεβλῶς, καὶ παρεγκλίνων, καὶ τὰ μὲν κοιλαινόμενος καὶ χαίνων, τὰ δὲ πάλιν ὀφρυῶν καὶ κυρτούμενος καὶ ῥαχιτιῶν.

§. β. Οἱ μὲν οὖν Ἰουδαῖοι, εἰκότα ποιοῦντες, διατείνονται πάντες σχεδὸν (πλὴν ὀλίγων τινῶν, τῶν φρονιμωτέρων), ὅτι τὸ παρ' αὐτοῖς ἑβραϊκὸν κείμενον τῶν θείων Γραφῶν οὕτως ἄχραντόν ἐστι καὶ τέλειον ἐν πᾶσι καὶ ἀναμάρτητον, ὥστε μηδὲ τρίχα γοῦν, μηδὲ κεραίαν διαφέρειν τῶν τοῦ Μωσέως καὶ τῶν ἄλλων τῶν προφητικῶν αὐτογράφων, ὁποῖα ταῦτα παρέδωκεν ὁ μακάριος

Ἔσδρας· οὐδ᾽ ἀνέχονται οὐδόλως οὐδεμιᾶς τινος οἱασδήποτε διαφθορᾶς, ἐπισυμβάσης εἰς τὸ κείμενον, εἴτε ὑπὸ χρόνου, εἴτε καὶ ὑπ᾽ αὐτῶν τῶν ἀντιγραφέων, πλανηθέντων πολλαχοῦ περὶ τὴν μεταγραφὴν τῶν ἱερῶν τευχῶν· τὰς δὲ παντοδαπὰς τῶν περισωθέντων ἀντιγράφων παραλλαγὰς θείᾳ τινι μοίρᾳ γενομένας καὶ ταύτας ἀποθεσπίζουσι. Διὰ τοῦτο καὶ πᾶν ὅ,τι διαφέρει τοῦ παρ᾽ αὐτοῖς σημερινοῦ κώδηκος, κἄν τι καὶ σμικρὸν παραλλάσσῃ, νόθον τοῦτο νομίζουσι καὶ ἀπόβλητον, ὡς ἀθέμιτον καὶ ἀνόσιον. Ταύτην δὲ τὴν σφόδρα κορυζῶσαν καὶ αὐτόχρημα ῥαββινικὴν περιφιλαυτίαν ἠγάσθησαν, ἄσμενοι δικαιοῦντες, καὶ πολλοὶ τῶν νεωτέρων κριτικῶν, ὅσοι μάλιστα τοὺς Ο, κατατρέχουσιν. Οὗτοι δὲ καὶ τοὺς περὶ στικτῶν φωνηέντων καὶ τόνων (πολὺ μετὰ Χριστὸν ὑπὸ τῶν Μασοριτῶν εἰς τὸ κείμενον προστεθέντων) ῥαββινικοὺς ὀνείρους ἀσπασίως ἀποδέχονται, πανάρχαια καὶ θεόπνευστα καὶ ταῦτα συνομολογοῦντες (α). Ἀλλὰ περὶ τούτων λέγομεν ἐν τοῖς ἐφεξῆς.

§. γ. Ἑτέρωθεν δὲ πάλιν ἄνθρωποι ματαιόφρονες, φιλόσοφοι δῆθεν καὶ κριτικοί, καὶ παλαιότεροι καὶ νεώτεροι, ἐξαισίως δαιμονῶντες, καὶ τοξεύοντες εἰς τὸν ἄδυτον ἥλιον τῆς εἰς Χριστὸν πίστεως, *ἐλάλησαν ἀδικίαν εἰς ὕψος*, ποικίλας ἐκδόντες συγγραφὰς κατὰ τῆς γνησιότητος καὶ τοῦ θείου κύρους ὅλων ἐν γένει τῶν θεοπνεύστων Γραφῶν, καὶ πρώτιστα τοῦ κειμένου τοῦ ἑβραϊκοῦ· οἱ μέν, διατεινόμενοι μηδὲν γνήσιον τῶν ἀρχαίων ἐκείνων βιβλίων, μηδ᾽ ἀκέραιον περισωθῆναι καὶ εἰς ἡμᾶς, ἀποσπάσματα δέ τινα καὶ τεμάχια, βρύοντα ψευσμάτων πολλῶν καὶ παντοδαπῶν· οἱ δὲ θερμουργότεροι καὶ πλάνων ἄντικρυς καὶ

(α) Βλ. Buxtorfij Thes. Gr. ed. pr. p. 54, καὶ Buxtorf. fil. De orig. et antiquit. puncor.—Hottinger. Thes. Philolog. p. 123, 402.—Carpzov. Crit. Sac. p. 93, κτλ. Πρὸς τούτους καὶ ὁ κλεινὸς Ὅδιος ἀποκλίνει (De Biblior. text. origin. L. 3. p. 238). πρβλ. Calovij Crit. Sacr. p. 326 καὶ A. Pfeiffer Critica Sacr. p. 83, 108. — Oberkampf, Diss. de Judaeis frustra-corrupt. hebr. cod. insimul. Gryph. 1739. — P. A. Gins, Diss. de quaest. utrum Judaei text. hebr. malitia corruperint. Erf. 1790.

γοήτων ἀνθρώπων πλάσματα καὶ μύθους ἀποκαλοῦσι τὰ θεῖα λόγια (α). Ἀλλὰ πρὸς τοὺς τοιούτους οὐδὲν ἔχει κοινὸν ὁ σκοπὸς τῆς ἡμετέρας συγγραφῆς· ἀπήντησαν δὲ πρὸς αὐτοὺς καὶ πρώην καὶ καθ' ἡμᾶς ἄνδρες ἐπίσημοι, καὶ τῆς κριτικῆς φιλοσοφίας ἄξιοι καὶ σεμνοὶ θιασῶται (β), στηλιτεύοντες τὴν ἀσεβεστάτην ἀπόνοιαν οὐχ ἧττον, ἢ τὴν ἀποτρόπαιον ἀναίδειαν καὶ σοφιστείαν τῶν τοιούτων σχετλίων συγγραμμάτων, εἰς ἃ πρέπει μάλιστα λεγόμενον τὸ χαρίεν ἐκεῖνο τοῦ Ῥωμαίου ποιητοῦ,

« Γράμματα δυστήνοις πυρπολητέα ξύλοις » (γ).

(α) Οἷον ἐν τοῖς πρώτοις ὁ δυσώνυμος Σπινόζας, ἰουδαῖος φιλόσοφος, καὶ οἱ τούτου γνήσιοι συγχορευταί, οἱ Ὅββεις (Hobbes), οἱ Βλοῦντοι (Blount), οἱ Χοῦμοι (Hume), οἱ Τινδάλαι (Tindal), οἱ Μοργάνοι (Morgan), οἱ Κολλίνεις (Collins), οἱ Βούλστονες (Woolston), οἱ Βολιγγεβρόκαι (Bolingbroke), οἱ Πεϋρῆροι (Peyrere), οἱ Βανῖνοι, (Vanini), οἱ Βάϋλοι (Bayle), οἱ Τολάνδοι (Toland), οἱ Βοινδῖνοι (Boindin), οἱ Βουλαγκῆροι (Boullanger), οἱ Φρέρετοι (Freret), οἱ Βολνέϋς (Volney), οἱ Γέδδαι (Geddes), καὶ ὅλον τὸ στῖφος τῶν μιαροφώνων κλητόρων τοῦ ᾅδου. πρόσθες καὶ τοὺς νεωτέρους ὀρθολογιστάς, καὶ ἰουδαίους καὶ χριστιανοὺς λεγομένους! Βλ. ὄπισθ. Βιβλ. Β. κεφ. α. σελ. 26. πρβλ. καὶ Walchij Miscellanea Sacra Exercit. VI. De Antiscripturariis p. 145. Amstelod. 1744. — Rosenmüller Schol. in V. Test. in Compend. redact. vol. 1. pag. 11. — Dwight's Nature etc. of Infidel Philosophy pag. 20. etc.

(β) Οἷον ὁ κλεινὸς Ὑέτιος (Huet), ὁ Πασχάλιος (Paschal), ὁ Ἀββαδίας (Abbadie), ὁ Βοσσουέτης (Bossuet), ὁ Κυδούβορθος (Cudworth), ὁ Ἀδισσὼν (Adisson), ὁ Στακχούσης (Stackhouse), ὁ Βουδδαῖος (Buddée), ὁ Τουρὼν (Touron) καὶ ἄλλοι πολυάριθμοι, ἐν οἷς καὶ καθ' ἡμᾶς πολλοὶ καὶ ἀγαθοί, ἄλλοι τε καὶ Alex. Keith, Demonstration of the truth of the christian Religion. New-York. 1839. πρβλ. Rosenmüller l. c. καὶ Wiseman Discours sur les Rapports entre la Science et la Religion etc. (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. α. σελ. 26.). Ἴδε καὶ J. A. Fabricij Delectus argumentor. et syllabus scriptorum, qui veritatem Religionis Christianae adversus Epicureos etc. asseruerunt. Hamburg. 1715. — Marchini Tractat. de Divin. et Canonic. S. Bibl. pag. 58. — G. Fabricy Des Titres primitifs de la Révélation etc. T. 1. pag. XV seq. Rome, 1772. — Graves's Lectures on Pentateuch, vol. 1. p. 332—336. — March's Authenticity of the Five Books, of Moses vindicaded. — Horne An Introduct. to the Crit. Study and Knowl. of the holy Script. T. 1. p. 38. — Janssens Herméneutique sacrée etc. p. 6, 43.

(γ) « Scripta - infelicibus ustulanda lignis » etc. Catul. in Annales Volasij Carm. XXXVI. p. 45. Paris. 1685.

§. δ. Τρίτοι δὲ, τέλος, πολλοὶ καὶ ἀγαθοὶ κριτικοὶ, τὸ μὲν γνήσιον κῦρος καὶ τὸ θεόπνευστον τῶν ἑβραϊκῶν Γραφῶν ἀποδέχονται καὶ ὁμολογοῦσιν, αὐτὸ δὲ τὸ κείμενον ἀνακρίνοντες, εὑρίσκουσι πολλαχοῦ διεφθαρμένον, καὶ κῆρας ἔχον πολλάς· καὶ ταύτην τὴν ἀλήθειαν ἀποδεικνύουσι λαμπρῶς ἔκ τε τῶν ἐν τοῖς σωζομένοις ἑβραϊκοῖς χειρογράφοις διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν (Variantes), καὶ ἐξ ἄλλων ἀποδείξεων, περὶ ὧν ἐροῦμεν ἐν τοῖς ἐφεξῆς. Τὴν δὲ τοιαύτην διαφθορὰν, οἱ μὲν πλεῖστοι εἰς τὴν τῶν ἀντιγραφέων ἀβλεψίαν καὶ τοῦ μακροῦ χρόνου τὴν ἐπήρειαν ἀναγράφουσιν. Ἀρνοῦνται δ' ἀποφάσκοντες ἰσχυρῶς μηδέποτε μηδόλως τοὺς Ἰουδαίους ἑκοντὶ διαφθεῖραι μηδὲν χωρίον τῶν Γραφῶν ἐπὶ κακουργίᾳ, πρὸς καταδρομὴν τοῦ εὐαγγελικοῦ κηρύγματος (α). Οἱ δὲ τούτων αὐστηρότεροι καὶ αὐτὴν τὴν ὑπὸ τῶν ἀντιγραφέων διαφθορὰν μερικὴν ἀποδέχονται, μόνον ἔν τισιν ἀντιγράφοις ἐπισυμβᾶσαν, ἀλλ' οὐχὶ καθόλου καὶ κατὰ πάντων τῶν ἀπογράφων τοῦ ἑβραϊκοῦ (β). Ἄλλοι δὲ πάλιν καὶ αὐτοὺς τοὺς Ἰουδαίους ὡς ἐνόχους τῆς διαφθορᾶς ἐξελέγχουσι, πολλαχοῦ τὸ κείμενον ἀλλοιώσαντας ἑκουσίᾳ βουλῇ διὰ τὸ πρὸς

(α) Bellarmin. de verb. Dei L. II. c. 2.—Joh. D'Espeires,—J. Gretzerus, — Bonfrerius, (Pentat. Comm. Illustrat. praeloq. c. 13. p. 43 Antw. 1628), Walton. Proleg. VII. §. 12. — Simeon De Muis Epist. de verit. Hebraic. p. 17. — Wowerius de Polymath. c. 18. §. 7. — Simonius Hist. Crit. V. Test. L. 1. c. 16. — Du-Pin praef. ad Bibl. Sacr. T. 1. cap. 4. — J. Cleric. Ars Critic. Sacr. P. III. c. 1. §. 10 Tom. 2. p. 7. — Ladvocat, Lettre dans laquelle il examine si les Textes Originaux de l'Ecriture sont corrompus etc. Amsterdam, 1766. — J. Fr. Schellingij Descriptio codicis Ms. Hebraeobiblici, qui Stutgardiæ in Bibl. illust. Consist Wirtembergici asservatur etc. Stutgardiæ, 1775. — Jahn, Einleitung etc. 1 Bd. p. 374. — Bauer, Einleit. p. 109. — Pareau, Institut. Interpret. Vet. Testam. pag. 102. Traject. 1822. — De Wette, Einleit. p. 129. — Herbst, Einleit. 1 Bd. p. 87.— Eichhorn Einleit. in d. alt. Test. 1. Bd. p. 181.— Claudius Die Bibel als ein Menschenwerk betrachtet etc. p. 135. — Gray, A Key to the Old Testament. etc. p. 14. κτλ.

(β) Carpzovij Critica Sacra p. 112, 130. — Loescher, de caussis linquæ hebrææ p. 442. — Obstract, De locis theologic. p. 59. Venet. 1769.

τοὺς χριστιανοὺς μῖσος (α). Σύμπαντες δὲ ὅμως ὁμολογοῦσι μηδεμίαν οὐσιώδη βλάβην, ἢ κολόβωσιν παθεῖν τὸ ἱερὸν κείμενον ἔν γε τοῖς περὶ τῆς πίστεως καὶ τῆς ἠθικῆς διδασκαλίας καιριωτάτοις τόποις τῶν θεοπνεύστων προφητειῶν. Καὶ καθόλου παραβάλλοντες ὁλόκληρον τὸ σῶμα τοῦ ἱεροῦ κώδηκος πρὸς τὰς κατὰ μέρος ἀλλοιώσεις καὶ φθορὰς, μικρὰς αὐτὰς καὶ κούφας εὑρίσκουσιν, οἷον κῆράς τινας, καὶ τραύματα, καὶ λώβας ἀρτίου σώματος καὶ ὁλομελοῦς. Καὶ ταῦτα μὲν οὗτοι.

§. ε. Ἡμεῖς δὲ τοῖς τῶν θεοφόρων Πατέρων ἴχνεσιν ἑπόμενοι, θεόπνευστον μὲν πάντως φρονοῦμεν καὶ γνήσιον (ἐν οἷς οὐ διεστράφη πολυτρόπως λωβηθὲν) τὸ κείμενον τῶν ἑβραϊκῶν Γραφῶν, καὶ δὴ καὶ περὶ τὰ δόγματα τῆς θεοσεβείας, καὶ τοὺς προφητικοὺς χρησμοὺς, καὶ τὴν ἱερὰν ἱστορίαν, καὶ τὴν ἠθικὴν

(α) Raym. Martini, Pugio fidei adv. Maur. et Judaeos. cap. 3. p. 223. — Lyra in Hos. IX. 12. — P. Burgens. in Psalm. XXII. — Porchet. de Salvatic. Victor. contr. Judaeos P. I. c. 2, 15. — Galatin. De arcan. catholic. verit. I. c. 8. — Jac. de Valent. Tractat. 6. Prolog. in Psalm. — Lindan. de optim. gen. interpr. L. 1. c. 2. — Leo Castrius Proleg. in Esajam — Salmer. Proleg. c. 4. — A. Steuchus Recognit. Vet. Test. — Serarius Proleg. c. 4. 9. 2. — Canus de locis Theolog. L. II. c. 12. — Morin. Exercit. Biblic. — Lud. Cappel. Crit. Sacr. — J. Vossius de LXX. interp. — Cl. Cappellan. Mare rabbinicum infidum etc. p. 229 Parisiis, 1667. — M. Meibomius Davidis Psalmi XII et totidem Sacr. Scripturae V. Test. integra capita etc. Amstelodam. 1698. — Pezron, Défense de l'antiquité des temp. ch. 1, 3, 16. Paris 1691. — Whiston an essay towards restoring the true text of the old Test. p. 226. — Richer du Bouchet, Dissertation critique sur la Chronologie d'Usserius, tirée de l'Hébreu des Juifs modernes, ou l'on demontre qu'elle est fausse, nouvelle etc. in Bibliothéque raison. des Ouvr. des Savants de l'Europe, Tom 48. part. II. 1752. pag. 338—354. — Bon. Setaro, Triplex Biblico-Critica Demonstratio in qua Biblia Sacra etc. Venetijs 1760 καὶ Risposta apologetica intorno la censura de' signori Protestanti ect. Napoli, 1761. — Kennicot Diss. II. de ratione textus Hebraici V. Test. lat. vert. Teller, Lipsiae 1756—1765, καὶ Dissert. Generalis ed. Bruns. — Jackson, Chronological antiquities etc. vol. 1. p. 79. London, 1752. — Hales, Analysis of Chronology, vol. 1. p. 74-78. — Wallace, A Dissertat. of the true Age of the World etc. p. 13 κτλ.

διδασκαλίαν ἀκέραιον, καὶ ἀνόθευτον, καὶ ἀλώβητον, *ἐφ᾽ ὅσον μετὰ τῶν Ο, συμφωνεῖ*. Ὡς τοιοῦτον αὐτὸ καὶ οἱ Πατέρες ἐτίμων. Αὐτίκα ὁ φιλόσοφος καὶ μάρτυς Ἰουστῖνος· « Εἰ δέ τις φάσκει τῶν προχείρως ἀντιλέγειν εἰθισμένων, μὴ ἡμῖν τὰς βίβλους ταύτας, ἀλλὰ τοῖς Ἰουδαίοις προσήκειν διὰ τὸ ἔτι καὶ νῦν ἐν ταῖς συναγωγαῖς αὐτῶν σῴζεσθαι, καὶ μάτην ἡμᾶς ἐκ τούτων τὴν θεοσέβειαν μεμαθηκέναι λέγει, γνώτω *ἀπ᾽ αὐτῶν τῶν ἐν τοῖς βιβλίοις γεγραμμένων*, ὅτι οὐκ αὐτοῖς, ἀλλ᾽ ἡμῖν ἡ ἐκ τούτων διαφέρει διδασκαλία. Τὸ δὲ παρ᾽ Ἰουδαίοις ἔτι καὶ νῦν τὰς τῇ ἡμετέρᾳ θεοσεβείᾳ διαφερούσας σῴζεσθαι βίβλους θείας προνοίας ἔργον ὑπὲρ ἡμῶν γέγονεν. Ἵνα γὰρ μὴ, ἐκ τῆς ἐκκλησίας προκομίζοντες, πρόφασιν ῥαδιουργίας τοῖς βουλομένοις βλασφημεῖν ἡμᾶς παράσχωμεν, ἀπὸ τῆς τῶν Ἰουδαίων Συναγωγῆς ταύτας ἀξιοῦμεν προκομίζεσθαι, ἵνα ἀπ᾽ αὐτῶν τῶν ἔτι παρ᾽ αὐτοῖς σωζομένων βιβλίων, ὡς ἡμῖν τὰ πρὸς διδασκαλίαν ὑπὸ τῶν ἁγίων ἀνδρῶν γραφέντα δίκαια σαφῶς καὶ φανερῶς προσήκει, φανῇ » (α). Καὶ ὁ Μ. Ἀθανάσιος « Οὐ *διὰ τοὺς Ἰουδαίους μόνους* ὁ νόμος ἦν, *οὐδὲ δι᾽ αὐτοὺς μόνους* οἱ προφῆται ἐπέμποντο· — πάσης δὲ τῆς οἰκουμένης ἦσαν διδασκαλεῖον ἱερὸν τῆς περὶ θεοῦ γνώσεως καὶ τῆς κατὰ ψυχὴν πολιτείας » (β). Καὶ ὁ θεῖος Χρυσόστομος « Παρ᾽ ἐκείνοις μὲν (τοῖς Ἰουδαίοις) τὰ *βιβλία*, παρ᾽ ἡμῖν δὲ τῶν βιβλίων ὁ θησαυρός· παρ᾽ ἐκείνοις τὰ *γράμματα*, παρ᾽ ἡμῖν δὲ καὶ τὰ γράμματα καὶ τὰ νοήματα » (γ). Ὅθεν καὶ ὁ ἱερὸς Αὐγουστῖνος τὸ τῶν Ἰουδαίων ἔθνος προσεῖπε « *χαρτοφύλακα* τῶν χριστιανῶν, φέροντα κατὰ νώτου τὸν νόμον, καὶ τοὺς προφήτας, εἰς μαρτύριον κυρωτικὸν τῆς Ἐκκλησίας » (δ).

(α) Ἰουστιν. παραινετ. πρὸς Ἕλληνας §. 13. σελ. 17. πρβλ. Εὐσέβ. Εὐαγγ. Προπ. Α. ς.

(β) Μ. Ἀθανάσ. περὶ τῆς ἐνανθρωπ. τοῦ θεοῦ λόγου. Τ. α. σελ. 56. Com.

(γ) Χρυσόστομ. Ὁμιλ. β. τόμ. ε. σελ. 7.

(δ) Judaeos autem, Christianorum scrinarium, bajulantem legem et prophetas in testimonium assertionis Ecclesiae. S. August. Contr. Faust. Manich. L. 12. c. 23.

Καὶ πάλιν. «Ὑπουργοῦσιν ἡμῖν Ἰουδαῖοι· οἷον χαρτοφύλακές εἰσιν ἡμέτεροι, προσφέροντες εἰς τὰς ἡμετέρας σπουδὰς τοὺς κώδηκας τῶν Γραφῶν ». Καὶ, « βιβλιοφόροι (Librarij) γεγόνασιν ἡμέτεροι (βαστάζοντες τὰς γραφὰς), ὡς εἰώθασιν οἱ δοῦλοι φέρειν τὰ βιβλία κατόπιν τῶν δεσποτῶν παρακολουθοῦντες, ὅπως ἂν αὐτοὶ μὲν βαστάζοντες ἀποκάμωσιν, ἐκεῖνοι δ' ἀναγινώσκοντες προχωρῶσι » (α). Ταῦτα ὁ ἱερὸς Αὐγουστῖνος (περὶ οὗ λέγομεν καὶ ἀλλαχοῦ). Ὡσαύτως καὶ ἄλλοι τῶν θεηγόρων Πατέρων, ἐννοοῦντες δηλονότι τὰς ἑβραϊκὰς Γραφὰς, καθ' ὅσον συμφωνοῦσιν ἐν γένει πρὸς τὰ δόγματα καὶ κηρύγματα τῶν προφητῶν, ἃ παρέλαβε καὶ κατέχει ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καθὼς ὑπὸ τῶν Ο, μετεφράσθησαν. Καὶ ταῦτα μὲν ἄραρε· καὶ κείσθω βεβαίως τῶν ἑβραϊκῶν Γραφῶν τὸ θεόπνευστον, ἐν πᾶσιν οἷς καθαρεύουσι, καὶ ὀρθοφωνοῦσι, καὶ τὴν ἀρχαίαν ἀξίαν ἀκεραίως διατηροῦσιν. Ὅτι δὲ ὅμως οἱ Ἰουδαῖοι φέρουσιν ἤδη τὰς θείας ταύτας βίβλους πολλαχοῦ πεπονηκυίας, καὶ τετραυματισμένας, καὶ κατὰ τόπους ἠκρωτηριασμένας, καὶ μὴ μόνον κατόπιν τῶν θείων τούτων Πατέρων, ἀλλὰ καὶ πρότερον ἔτι κατά τινα χωρία διαστραφείσας, αὐτοί τε πάλιν οἱ διδάσκαλοι τῆς Ἐκκλησίας διεσάφησαν (ὡς ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ), καὶ τὰ πράγματα μαρτυροῦσιν. Ἥ τε γὰρ περὶ τὴν ἀντιγραφὴν τῶν βιβλίων ἀβλεψία καὶ πλάνη τῶν Ἰουδαίων ἀντιγραφέων, καὶ ἡ παντελὴς, ἣν ἔπαθε σύμπαν τὸ Ἰουδαϊκὸν, ἀπώλεια τῆς γραφικῆς γλώσσης καὶ ἀχρηστία, καὶ ἡ μετὰ τὴν ἐσχάτην μάλιστα τοῦ ἔθνους συμφορὰν βαθεῖα τούτοις ἐπιπεσοῦσα τῆς ἀμαθίας ἀχλὺς, καὶ τὸ κατὰ τῶν χριστιανῶν σκληροκάρδιον μῖσος, καὶ τὸ θράσος δὲ τὸ τῶν Μασοριτῶν, οἵτινες ἐβεβήλωσαν ἐν πολλοῖς τὸ θεῖον κείμενον, καὶ διενόθευσαν τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν φωνῶν, προσθέντες τὰ στίγματα καὶ γραμμάρια τῶν φωνηέντων καὶ τῶν τόνων κατὰ τὴν ἤδη τότε κατ' αὐτοὺς διεφθαρμένην προφορικὴν παράδοσιν τῆς πρὸ

(α) Jd. in Psalm. 4o καὶ Psalm. 56.

πολλοῦ τεθνηκυίας ἑβραϊκῆς (κατὰ ταύτην δὲ τὴν Μασορίτειον διδασκαλίαν μανθάνουσι καὶ προφέρουσιν ἔκτοτε τὴν γλῶσσαν τῶν Γραφῶν καὶ οἱ Ἰουδαῖοι καὶ οἱ Ἑβραϊσταὶ, κἄν τε μετὰ τῶν στιγμῶν γράφηται τὸ κείμενον, κἄν τε μὴ), ταῦτα λέγομεν, καὶ τὰ τοιαῦτα δεικνύουσι τρανῶς τὴν τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ διαφθορὰν, καθὰ καὶ προλαβόντες προείπομεν ἐν παρόδῳ (Βιβλ. Β. κεφ. ιβ. σελ. 872 κτξ.).

§. ϛ. Ἤδη δὲ καὶ ἰδίως ἐν τῷ βιβλίῳ τούτῳ πραγματευόμεθα τὰς ἀποδείξεις, κατὰ τὰς ἀκριβεστέρας κρίσεις τῶν ἐν τοῖς νεωτέροις ἐπισημοτάτων κριτικῶν (α)· καὶ τοὺς ἐλέγχους ἐξάγομεν ἔκ τε τῶν ἐν τοῖς βιβλίοις τῆς ἑβραϊκῆς Γραφῆς, πρὸς ἄλληλα παραβαλλομένοις, ἀναφαινομένων ποικίλων τοῦ ἑβραϊκοῦ κειμένου παραλλαγῶν, καὶ τῆς τούτου πάλιν διαφορᾶς πρός τε τὸ κείμενον τῶν Σαμαρειτῶν, καὶ πρὸς τὴν ἑρμηνείαν τῶν Ο, καὶ πρὸς τὰς ἐν τοῖς θείοις Εὐαγγελίοις ῥήσεις τῶν προφητῶν. Ἔτι δὲ καὶ τῆς ἐν πολλοῖς αὐτοῦ διαφωνίας πρός τε τὰς παρὰ τοῖς ἀρχαίοις Ἰουδαίοις, Ἰωσήπῳ καὶ Φίλωνι, σῳζομένας γραφικὰς χρήσεις, καὶ πρὸς αὐτὰς τὰς χαλδαϊκὰς παραφράσεις, καὶ τὰς ἄλλας τὰς ἀρχαίας τῆς ἑβραΐδος Γραφῆς ἑρμηνείας, τὴν τοῦ Ἀκύλα, καὶ Θεοδοτίωνος, καὶ Συμμάχου, καὶ τὴν Συριακὴν, καὶ τὴν παλαιὰν λατίναν, ἢ Ἰτάλαν, καὶ αὐτὴν τὴν Ἱερωνύμου Βουλγάταν, καὶ πρὸς τὰς κατὰ τόπους καὶ καιροὺς ἐν ταῖς νεωτέραις γλώσσαις μεταφράσεις τοῦ ἑβραϊκοῦ. Προστιθέμεθα δὲ καὶ μαρτυρίας τῶν ῥαββίνων αὐτῶν, ὁμολογούντων τὴν ἐν πολλοῖς γενομένην τοῦ κειμένου διαφθοράν. Ἐν δὲ τῷ μεταξὺ θεωροῦμεν καὶ τὰς ἀντιστάσεις τῶν ὑπὲρ τῆς ἀφθορίας καὶ ἀκεραιότητος τοῦ ἑβραϊκοῦ κειμένου μαχομένων νεωτέρων κριτικῶν,

---

(α) Βλ. ἐκ τῶν προμνημονευθέντων (§. δ.) Lud. Cappell. Crit. Sacra - I. Morini Exercit. Bibl. De Hebraei Graeci que textus sinceritat. etc. in ej. Exercit. Eccl. et Bibl. Paris. 1669. — Vossij de LXX. Interp. c. 1. 30, et de Sibyl. Oracul. — Houbigant, Not. Critic. in univers. V. Test. Libros T. 1. prolegomen. — Kennicot. Diss. II. De ratione textus hebr. V. Test. ed. Teller. — B. De Rossi compendio di critica sacra dei difetti e delle emendationi del sacro Testo etc. Parma, 1809, κτλ.

ἐπιφέροντες τὰς ἀπαντήσεις, ἐφ᾿ ὅσον ἐγχωρεῖ τὸ μέτρον τῆς ἡμετέρας ἀσθενείας· ἵνα δὲ καθ᾿ ὁδὸν ὁ λόγος προβαίνῃ, προτάσσομεν τὴν ἱστορίαν τοῦ ἑβραϊκοῦ κειμένου κατὰ τὰς διαφόρους ἐποχὰς καὶ περιόδους τῆς καταστάσεως αὐτοῦ. Διαιροῦμεν δὲ τὰς χρονικὰς ταύτας περιόδους εἰς ἕξ, ἀρχομένας ἀπὸ Μωσέως, καὶ ληγούσας εἰς τοὺς χρόνους τοὺς καθ᾿ ἡμᾶς (α).

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ἱστορία τοῦ Ἑβραϊκοῦ κειμένου.

ΠΕΡΙΟΔΟΣ Α΄.

Ἀπὸ Μωσέως μέχρι τῆς ἐπὶ τοῦ Ἔσδρα ἐκδόσεως τοῦ κανόνος τῶν θείων Γραφῶν.

§. α. « Ὁ *Ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας Θεὸς* » ὅστις « *ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν υἱῷ,* » αὐτὸς καὶ τὸ πάλαι « *πολυμερῶς καὶ πολυτρόπως* ἐλάλησε πρὸς τοὺς πατέρας ἐν *τοῖς προφήταις* » (Ἑβρ. α, 1. Λουκ. α, 70), ἑρμηνεῖς αὐτοὺς καὶ διαγγελεῖς τοῦ παναγίου αὐτοῦ θελήματος κατὰ καιροὺς ἀποστείλας, καὶ μεγαλοφώνους κήρυκας τῆς μελλούσης ἐπιφανείας τοῦ θεανθρώπου Σωτῆρος τοῦ κόσμου. Οὗτοι δὲ « *οἱ*

(α) Ὁ ἰταλὸς Πασῖνις εἰς τρεῖς περιόδους διεῖλε τὴν ἱστορίαν τοῦ ἑβραίου κώδηκος· α) ἀπὸ Μωσέως μέχρις τῆς ἐν Βαβυλῶνι μετοικεσίας τῶν Ἰουδαίων. β) ἀπὸ ταύτης μέχρι τοῦ Σωτῆρος Χριστοῦ· γ) ἔκτοτε μέχρι τῆς (τῷ 1563) ἐν Τριδέντῳ Συνόδου τῆς Δυτικῆς ἐκκλησίας (J. Passini Dissertat. select. in Pentat. proleg. p. 10. Taurin. 1722). Ὁ δὲ Μυτίγγης (Muntinghe) εἰς τέσσαρας περιόδους· α) ἀπὸ Μωσέως μέχρι Χριστοῦ. β) ἔκτοτε μέχρι τῶν Μασοριτῶν. γ) ἀπὸ τούτων μέχρι τῆς εὑρέσεως τῆς τυπογραφίας. δ) ἐκ τούτου μέχρι τοῦ καθ᾿ ἡμᾶς χρόνου. Ταύτην τὴν διαίρεσιν παρεδέξατο καὶ Ὅρνος. (Introdution etc. vol. 2. part. i. p 31). Ὁ δὲ Ἰάννης (Jahn) εἰς πέντε διαιρεῖ περιόδους. α) ἀπὸ Μωσέως μέχρι τῆς ἑρμηνείας τῶν Ο. β) ἀπὸ τούτων μέχρι τοῦ 200 μ. Χ. γ) ἔκτοτε μέχρι τοῦ 500 μ. Χ. δ) κἀκεῖθεν μέχρι τοῦ 1040 μ. Χ. καὶ ε) ἐφεξῆς μέχρι τοῦ 1477. (βλ. Jahn. Einleitung ect. 1. Bd. p. 377—401). Καὶ ἄλλοι ἄλλως. Ὁ δὲ Κεννικῶτος εἰς ἕξ περιόδους, ἀρχομένας ἀπὸ τοῦ Ἔσδρα· εἰς τόσας καὶ ἡμεῖς ἀνωτέρω διαιροῦμεν τὴν ἱστορίαν, ἀπὸ Μωσέως ἀρχόμενοι.

ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι, ὑπὸ τοῦ ἁγίου πνεύματος φερόμενοι » (Β. Πέτρ. α), συνέγραψαν κατὰ καιροὺς τὰς θεοπνεύστους βίβλους ἀπὸ τῶν Μωσέως χρόνων μέχρι τῆς εἰς Βαβυλῶνα μετοικεσίας, καί τινας παρευθὺς μετὰ τὴν ἐκεῖθεν ἐπιστροφήν. Κατὰ ταύτην λοιπὸν τὴν Α, περίοδον, δι' ὅλων ἑκατὸν περίπου καὶ χιλίων ἐτῶν, ἀβλαβὲς διετηρήθη καὶ ἀκέραιον τὸ κείμενον τῶν ἑβραϊκῶν Γραφῶν. Πρῶτον μὲν γὰρ ἡ Πεντάτευχος τοῦ Μωσέως, αὐτὸ δηλαδὴ τὸ πρωτότυπον αὐτόγραφον, ὑπ' αὐτοῦ τοῦ θεόπτου προφήτου, ζῶντος ἔτι, μέχρι καὶ τοῦ ἐσχάτου τεύχους, τοῦ Δευτερονομίου, παρεδόθη *τοῖς τε ἱερεῦσι* (πρὸς διατήρησιν, καὶ τὴν ἐξ αὐτοῦ κατήχησιν καὶ διδασκαλίαν ἑαυτῶν καὶ τοῦ λαοῦ), *καὶ τοῖς πρεσβυτέροις τοῦ λαοῦ* (τοῖς φυλάρχοις, καὶ πολιτικοῖς ἄρχουσι, πρὸς ὑπεράσπισιν τῶν ἐν αὐτῷ θείων νομίμων, ὅταν παραβαίνωνται, ἢ ἄλλως μετακινῶνται)· διὸ καὶ ἐπιμελῶς ἐτηρεῖτο, παρατεθειμένον « *ἐκ πλαγίων τῆς κιβωτοῦ τῆς Διαθήκης Κυρίου* », κατὰ τὴν αὐτοῦ τοῦ Μωσέως διαταγήν (α).

(α) Δευτερ. λα, 9, 26. πρβ. Ἰησ κδ, 26. βλ. καὶ Ἰώσηπ. Ἀρχ. Δ, η, 44. Ὁ δὲ κλεινότατος Νεύτων (Newton Observation. in Daniel cap. 1. in ej. Opuscul. Mathematic. etc. Tom. 3. pag. 28) ἐκλαβὼν, ὡς ἔοικε, τὸ ἐκ πλαγίων ἀντὶ τοῦ ἐντὸς τῆς κιβωτοῦ, καὶ συνιδὼν ἐξ ἄλλου χωρίου τῆς Γραφῆς (Γ. Βασιλ. η, 9. Β. Παραλειπ. ε, 10), ὅτι ἐπὶ Σολομῶντος, ὅτε καθιεροῦτο ὁ ναὸς, « οὐκ ἦν ἐν τῇ κιβωτῷ, πλὴν δύω πλάκες τῆς Διαθήκης», ἐγνωμάτευσεν, ὅτι δῆθεν οἱ ἀλλόφυλοι Φιλισταῖοι, ὅτε κατέσχον τὴν κιβωτὸν τοῦ Κυρίου (Α. Βασιλ. ε, 1), ἀφεῖλον ἐξ αὐτῆς καὶ τὸ Μωσαϊκὸν αὐτόγραφον τῆς Πεντατεύχου, καὶ τὴν χρυσῆν τοῦ μάννα στάμνον, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν. Ἀλλ' ἀντεῖπε πρὸς τὸν Νεύτωνα ὁ σοφὸς αὐτοῦ συμπολίτης Κεννικῶτος (Kennicot, Dissertat. II. p. 288), ὀρθῶς ὑπομνήσας, ὅτι τὸ ἐκ πλαγίων (in latere) πάντως οὐ σημαίνει τὸ ἐντὸς τῆς κιβωτοῦ (in arca)· τὸ δὲ Μωσαϊκὸν αὐτόγραφον, ἔξω κείμενον παρὰ τὴν κιβωτὸν, ἢ προφθάσαντες ἀπέκρυψαν οἱ Ἰσραηλῖται, ἢ καὶ λαβόντες οἱ Φιλισταῖοι, πάλιν ἀπέδωκαν καὶ τοῦτο μετὰ τῆς κιβωτοῦ, καταναγκασθέντες ὑπὸ τῶν θεηλάτων πληγῶν, δι' ἃς καὶ τὴν κιβωτὸν αὐτὴν ἐξαπέστειλαν. Καὶ τοσοῦτον ἐδέησαν τοῦ συλῆσαί τι τῶν ἐν αὐτῇ, ὥστε καὶ παρ' ἑαυτῶν προσέθηκαν αὐτίποινα δῶρα πρὸς ἐξιλέωσιν (Α. Βασιλ. ε καὶ ς). Ὅτι δὲ τὸ Μωσαϊκὸν τοῦ Νόμου βιβλίον οὐκ ἦν ἐντὸς τῆς κιβωτοῦ, μαρτυρεῖ τρανῶς καὶ ὁ θεῖος Ἀπόστολος λέγων· « ἐν ᾗ (κιβωτῷ) στάμνος χρυσῆ, ἔχουσα τὸ μάννα, καὶ ἡ

§. 6. Καὶ μετέπειτα δὲ πάντως ἡ Μωσαϊκὴ βίβλος ἐτηρεῖτο ἐν τῷ ἀδύτῳ τῆς Σκηνῆς, τῷ ἁγίῳ τῶν ἁγίων, πλησίον τῆς κιβωτοῦ τῆς Διαθήκης, ἐν ᾗ καὶ αἱ πλάκες ἦσαν τοῦ Νόμου (α).

ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς Διαθήκης» (Ἑβρ. κεφ. θ, 4). Τοῦ δὲ Μωσαϊκοῦ χειρογράφου οὐδόλως ἐμνημόνευσεν ὁ Ἀπόστολος· τίνος ἕνεκεν; ὅτι οὐδ' ἔκειτο ἐξ ἀρχῆς ἐν τῇ κιβωτῷ, ὅθεν οὐδ' ἂν ἠφάνιστο μετὰ τῆς στάμνου τῆς χρυσῆς καὶ τῆς βλαστησάσης Ἀαρωνίτιδος ῥάβδου (μηδὲ τούτων τότε συληθεισῶν), ληφθὲν δῆθεν ὑπὸ τῶν Φιλισταίων, ὡς ὑπέλαβεν ὁ περεκλεέστατος ἀςροθεάμων Νεύτων. Οὗτος δὲ καὶ ἕτερά τινα μὴ μόνον ἔκτοπα καὶ παράδοξα, ἀλλὰ καὶ σφόδρα δύσφημα, καὶ τῆς θεοσεβοῦς αὐτοῦ σοφίας ἀνάξια γέγραφεν ἐμπαθέστερον ἐν ταῖς εἰρημέναις εἰς τὸν προφήτην Δανιὴλ σημειώσεσι (cap. 14 pag. 414 sqq.), πολλὰ δὴ κατειπὼν κατά τε τῶν θεοφόρων ἡμῶν Πατέρων, κατά τε τῶν λειψάνων τῶν ἁγίων μαρτύρων, καὶ τῶν ἑορτῶν, καὶ τῆς ἐπικλήσεως τῶν ἁγίων, καὶ ἄλλων ἀποστολικῶν καὶ πατροπαραδότων τῆς ὀρθοδοξίας ἐθίμων, πάντα ταῦτα κατάγων καὶ γενεαλογῶν ἀπ' εὐθείας ἐκ τῶν ἐθίμων τῆς εἰδωλολατρείας! Καὶ ταῦτα τίνος ἕνεκεν; ὅπως ἀποδείξῃ (φεῦ!), ὅτι ἐπληρώθη εἰς τὴν Ἀνατολικὴν Ἐκκλησίαν ὁ θεῖος ἐκεῖνος τοῦ προφήτου χρησμός. «Θεὸν Μωαζεὶμ» (τουτ. ἰσχυρὸν, ὃν οἱ μὲν τὸν Ἄρην, οἱ δὲ τὸν Δία νομίζουσι) «ἐπὶ τόπου αὐτοῦ δοξάσει, καὶ θεὸν, ὃν οὐκ ἔγνωσαν οἱ Πατέρες αὐτοῦ, δοξάσει ἐν χρυσῷ καὶ ἀργύρῳ» κτλ. (Δανιὴλ ια, 38). Ἀλλ' ἡ μὲν προφητεία ἀποβλέπει τὸν Ἀντίοχον, Συρίας Βασιλέα, καὶ δὴ καὶ τὸν ἀντίχριστον, οὗ τύπος ἦν ὁ Ἀντίοχος (βλ. τὸν ἅγιον Ἱππόλυτον ἑρμην. εἰς τὸν Δανιήλ. Χρυσόστομ. κ. Ἰουδαίων λόγ. β. κτλ. πρβλ. καὶ Criticos Sacros Annot. in Daniel. h. l. καὶ Bossuet, Discour sur l' histoire univers. P. II. §. 5. p. 269. — Demagistr. in Δανιὴλ κατὰ τοὺς Ο. pag. 71). Αὐτὸς δὲ ὁ περιώνυμος Νεύτων ἔργῳ ἀπέδειξεν, ὅτι ἕτερόν ἐστι τὸ σοφώτατον ἀστρονόμον εἶναι καὶ μαθηματικὸν, καὶ ἕτερον, τὸ τοὺς χρησμοὺς τῶν θείων προφητῶν εὐσεβεῖ καὶ καθαρᾷ τῇ καρδίᾳ κατανοεῖν.

(α) Ἐν τοῖς ἀνωτέρω μνημονευθεῖσι χωρίοις τῆς Γραφῆς (Γ. Βασιλ. η κτλ.) εἴδομεν, ὅτι «Οὐκ ἦν ἐν τῇ κιβωτῷ (ἐπὶ Σολομῶντος), πλὴν αἱ πλάκες τῆς Διαθήκης)» (πρβλ. Ἰωσήπ. Ἀρχαιολ. η, δ. ι). Τοῦτο δὲ φαίνεται ἀντιβαῖνον πρὸς τὸ τοῦ Ἀποστόλου «ἐν ᾗ (κιβωτῷ) ἦσαν ἡ στάμνος τοῦ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν, καὶ αἱ πλάκες τῆς Διαθήκης» (Ἑβρ. θ, 4)· καὶ αὕτη ἡ ἐναντιοφάνεια πολλὰ πράγματα παρέσχε τοῖς νεωτέροις σοφοῖς, ὧν οἱ μὲν εἰς τὸ ἐν ᾗ ὑπακούουσι τὸ σκηνῇ· (ἀλλ' αἱ πλάκες τῆς Διαθήκης ἔκειντο οὐχ ἁπλῶς ἐν τῇ σκηνῇ, ἀλλ' ὡρισμένως ἐν τῇ κιβωτῷ, κατὰ τὴν Γραφὴν), οἱ δὲ τὴν ἐν ἐκλαμβάνουσι καὶ ἀντὶ τῆς πρὸς, ἢ παρὰ, τὸ πλησίον δηλούσης, ὡς καὶ τῆς στάμνου καὶ τῆς ῥάβδου κειμένων δῆθεν οὐκ ἔνδον, ἀλλὰ πλησίον τῆς κιβωτοῦ (βλ. Criticor. Sacror. Annotat. in Epistol. ad Hebr.). Ἀλλ' ἔτι

Ἴσως δὲ καὶ εἰς ἴδιον ἀπεθησαύριστο κιβώτιον (ἐν ᾧ καὶ ἐφεξῆς ἀπετίθεντο κατὰ καιροὺς πάντα τὰ θεόπνευστα κριθέντα πρωτότυπα βιβλία τῆς Γραφῆς, ὡς ἐροῦμεν εὐθύς). Τοιοῦτο κιβώτιον

μὲν ἡ ἐν τίθεται καὶ ἀντὶ τῆς παρὰ σημαίνουσα τὸ πλησίον (ἐπὶ τόπου μάλιστα), δῆλον. Ὅτι δὲ καὶ κατὰ τὴν φράσιν καὶ τὴν πτῶσιν τὴν αὐτὴν (ὡς τὴν «ἐν ῇ» τοῦ Ἀποστόλου) σημαίνει συνάμα καὶ τὸ πλησίον (ὡς ἐπὶ τῆς στάμνου καὶ τῆς ῥάβδου), καὶ τὸ ἔνδον (ὡς ἐπὶ τῶν ἔνδον πάντως κειμένων δύω πλακῶν), τοῦτο παντελῶς ἄτοπον ἔδοξε τοῖς κριτικοῖς. Ὁ δὲ θεῖος Ἀπόστολος οὐ τὸν ἐπὶ Σολομῶντος ναὸν ἐννοεῖ, ἀλλὰ τὴν ἐπὶ Μωϋσέως σκηνὴν, «ὅπου τὸ πρῶτον ἔκειτο ἡ κιβωτὸς, τὰς πλάκας ἔχουσα τοῦ νόμου, καὶ τὴν στάμνον τοῦ μάννα, καὶ τὴν ῥάβδον Ἀαρών» (Θεοδώρητ. εἰς Ἐξόδ. ἐρωτ. ξ. ὅθεν οὕτως ἔγραψε καὶ ὁ Munster, Annot. in Exod. XVI. 31). Λέγει δὲ καὶ ἡ Γραφὴ, ὅτι καὶ ἡ στάμνος ἀπετέθη ἐναντίον τοῦ Θεοῦ (ἐν τῷ ἀδύτῳ, τῷ ἁγίῳ τῶν ἁγίων), ἐναντίον τοῦ μαρτυρίου εἰς διατήρησιν» (Ἐξόδ. ις, 34), καὶ ἡ ῥάβδος παρομοίως ἐνώπιον τῶν μαρτυρίων (Ἀριθμ. ιζ, 10) (δηλονότι τῶν ἐν τῇ κιβωτῷ τοῦ νόμου πλακῶν «τῶν δύω πλακῶν τῶν μαρτυρίων. Δευτερ. θ, 15. πρβλ. Ἐξόδ. κε, 21 : μ, 20). Κᾂν δὲ τοῦτο τὸ ἐνώπιον ἐκληφθῇ ὡς ἀναγόμενον μὴ πρὸς τὰς ἐμπεριεχομένας πλάκας, ἀλλὰ πρὸς τὴν περιέχουσαν κιβωτὸν, ἀλλὰ καὶ οὕτως οὐδὲν παράδοξον, εἴπερ ὕστερον ἥ τε ῥάβδος καὶ ἡ στάμνος, Μωσέως διατάξαντος, ἀπετέθησαν καὶ ἔνδον αὐτῆς τῆς κιβωτοῦ ὑπὸ τῶν ἱερέων, οἵτινες, ἐν τῷ ἐξαίρειν τὴν παρεμβολὴν, συνέστελλον τὰ ἱερὰ, καλύπτοντες ἐν τῷ καταπετάσματι τὴν κιβωτὸν τοῦ κυρίου (Ἀριθμ. δ, ι)· καὶ ταύτην τὴν ἀπόθεσιν ἠπίστατο πάντως ὁ θεῖος καὶ νομομαθέστατος Ἀπόστολος. Ὅθεν καὶ Προκόπιος ὁ Γαζαῖος διαλεγόμενος, ὅπως οἱ ἱερεῖς κατὰ τὴν ἐπὶ τοῦ Ἰησοῦ διάβασιν τοῦ Ἰορδάνου ἔφερον τὴν κιβωτὸν (Ἰησ. γ, 17) λέγει, ὅτι τότε «περιεῖχεν αὕτη τὰς πλάκας, καὶ τοῦ μάννα τὴν στάμνον, καὶ τὸ κέρας τοῦ μύρου» (ἀλλὰ τοῦτο οὐκ εἶπεν ὁ Ἀπόστολος Παῦλος) «καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν» (βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχ. τόμ. Β. σελ. 22). Ὁπότε δὲ καθιδρύθη, τέλος, ἡ κιβωτὸς ἐν τῷ ναῷ τοῦ Σολομῶντος, ἔμειναν πάλιν ἐν αὐτῇ αἱ δύω πλάκες τοῦ Νόμου, καθὼς ἦσαν ἐξ ἀρχῆς (Ἐξόδ. μ, 20), ἐξαιρεθείσης τῆς στάμνου μετὰ τῆς ῥάβδου, καὶ εἰς ἰδιαίτερον τόπον ἀποτεθείσης. Καὶ τοῦτο σημαίνων ἴσως ὁ θεόπνευστος ἱστορικὸς ἐν ταῖς βασιλείαις (Γ, η) διώρισεν ἐκπεφασμένως, ὅτι οὐκ ἦν ἐν τῇ κιβωτῷ, πλὴν αἱ πλάκες τῆς Διαθήκης· μῶν οὐ φαίνεται ἐκ τούτου, ὅτι πρότερον ἦσαν καὶ ἄλλα (ἡ στάμνος καὶ ἡ ῥάβδος); Ἄλλως δὲ τίς ἡ χρεία τούτου τοῦ διορισμοῦ; Ὅθεν ἄριστα ὁ ἱερὸς ἐσημείωσε Θεοφύλακτος· «Ζητήσεις δὲ, πῶς ἐν μὲν ταῖς βασιλείαις γέγραπται, ὅτι «οὐκ ἦν ἄλλο τι ἐν τῇ κιβωτῷ, εἰμὴ αἱ πλάκες», νῦν δὲ καὶ τὴν στάμνον φησὶν ὁ Ἀπόστολος, καὶ τὴν ῥάβδον Ἀαρὼν ἐν

ἐννοεῖ καὶ ὁ χαλδαῖος παραφραστὴς, λέγων ἀποτεθεῖσθαι τὸ Μωσαϊκὸν χειρόγραφον ἐκ πλαγίων τῆς κιβωτοῦ δεξιόθεν, ἐν *κάψῃ* (becopsa, αὐτὸ τὸ ἑλλην. καὶ λατιν. capsa), ἢ *ἐν γλωσσοκόμῳ* (ὅθεν πάλιν οἱ Ταλμουδισταὶ παρέπλασαν τὸ παρ' αὐτοῖς Gloskom, ἢ Gheloskom) (α). Τοιοῦτο κιβώτιον, ἴσως, ἐννοεῖ καὶ ὕστερον ὁ ἱερὸς Ἐπιφάνιος λέγων, ὅτι τὰ μὴ Κανονικὰ (τὰ ἐκτὸς τοῦ Ἑσδραίου κανόνος) βιβλία « οὐδὲ *ἐν τῷ ἀρὼν* ἐνετέθησαν, τουτέστιν *ἐν τῇ τῆς διαθήκης κιβωτῷ* » (περὶ Μέτρ. §. δ'), διαθήκης κιβωτὸν ὀνομάσας τὸ κιβώτιον, ἢ γλωσσόκομον (ὡς περιέχον τὸν Νόμον, ἤτοι τὸ χειρόγραφον τῆς Πεντατεύχου), συνωνύμως τῇ ὑπὸ τοῦ Μωϋσέως κατασκευασθείσῃ κυρίᾳ κιβωτῷ, ἐν ᾗ ἦσαν αἱ πλάκες τῆς Διαθήκης. (Ἐκείνη δὲ, φασὶν, οὐκ ἦν ἐπὶ τοῦ Ἔσδρα ἐν τῷ β, ναῷ, προαφανισθεῖσα· βλ. Β, Μακ. β, 4—5. πρβ. δὲ καὶ 7, 8). Λέγει δὲ καὶ ὁ θεῖος Κύριλλος ὁ Ἀλεξανδρείας, ὅτι τὸ Μωσέως χειρόγραφον ἀπετέθη «*εἰς ἕν τι μέρος τῆς κιβωτοῦ, καὶ οὐκ ἐν τῷ μέσῳ*» (Γλαφ. ε: καὶ Σειρᾷ εἰς Δευτερ. λα) (β). Μετὰ δὲ ταῦτα, ἴσως μὲν καὶ ἱσταμένης ἔτι τῆς Σκηνῆς (κα-

---

ταύτῃ ἀποτεθεῖσθαι; ἴσως οὖν, ἅτε ἄριστα παιδευθεὶς τὰ ἑβραϊκὰ ὑπὸ τοῦ Γαμαλιὴλ, ἐκ παραδόσεως ἂν εἶχε τοῦτο· ἐπεὶ καὶ νῦν οἱ φαρισσαΐζοντες τῶν Ἑβραίων συντίθενται τοῦτο οὕτως ἔχειν» (Θεοφύλακτ. ἐξηγ. εἰς Ἑβρ. θ, 4). Τοῦτο δὲ καὶ Γοριονίδης καὶ ἄλλοι τῶν ῥαββίνων ἱστοροῦσι. Συμφωνεῖ δὲ καὶ ἐκ τῶν νεωτέρων μάλιστα ὁ Γρότιος (Annotat. in Epist. ad Hebr. l. c.).

(α) Βλ. Huet. Demonst. Evang. Prop. IV. c. 1. p. 44. — Kennicot Diss. II. p. 289. πρβλ. καὶ H. Maij Dissert. De Scr. S. Diss. II. de libris canonicis in arca fœderis reconditis c. ii. §. 5. p. 65. — Carpzov· Critic. Sacra. p. 52. — Blanchini Vindicat. canonic. scriptur. pag. XI. Rom. 1740. — Calmet Comment. in Deuter. 3, 16. — Fabricy Des titres primitifs de la Révélation T. 1. p. 63.

(β) *Τοῦτο τὸ ἐκ πλαγίων τῆς κιβωτοῦ αὐτόγραφον τοῦ Μωϋσέως μόνον τὸ Δευτερονόμιον πολλοί τινες ἐνόμισαν (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ζ. §. κη. σελ. 484)· καὶ τοῦτο, λέγουσιν, εὗρεν ἔπειτα ἐν τῷ ναῷ καὶ Χελκίας ὁ ἀρχιερεὺς (βλ. τὴν ἐφεξῆς σημ.). Ἀλλὰ καὶ ἄλλοι πάλιν οὐκ ὀλίγοι τὴν Πεντάτευχον ὅλην κρίνουσι τεθειμένην ἐκ πλαγίων τῆς κιβωτοῦ (ἣν εὗρε καὶ ὕστερον ὁ Χελκίας ὡς ἐροῦμεν ἐφεξῆς). Κἂν δὲ τέλος, μόνον τὸ Δευτερονόμιον ὑποτεθῇ παραδοθὲν τὸ τελευλευταῖον ὑπὸ τοῦ Μωσέως τοῖς Λευΐταις, ὅπως ἀποτεθῇ ἐκ πλαγίων τῆς Κιβωτοῦ (ὡς συμπεραίνεται ἐκ τοῦ Δευτερον. λα, 24)· ἀλλὰ καὶ ἐκ τούτου δείκνυται*

(καθὼς τινες θέλουσι), πάντως δὲ μετὰ τὴν ὑπὸ Σολομῶντος οἰκοδομὴν τοῦ ναοῦ, μετετοπίσθη τὸ κιβώτιον τῆς Πεντατεύχου, καὶ εἰς ἄλλον ἀπεθησαυρίσθη τόπον, ἐξαχθὲν ἐκ τοῦ ἀδύτου, πρὸς χρῆσιν τῆς θείας βίβλου προχειροτέραν, τυχούσης περιστάσεως (ὡς μὴ συγχωρουμένης ὑπὸ τοῦ νόμου τῆς εἰς τὸ ἄδυτον εἰσελεύσεως, εἰ μὴ μόνῳ τῷ ἀρχιερεῖ, καὶ τούτῳ ἅπαξ τοῦ ἐνιαυτοῦ). Ἐξ ἀκριβεστάτων τῆς Μωσαϊκῆς βίβλου ἀπογράφων, ἢ (κατ᾽ ἄλλους) ἐξ αὐτοῦ τοῦ Μωσαϊκοῦ αὐτογράφου ἀντέγραφε τὸ Δευτερονόμιον, λαμβάνων παρὰ τῶν ἱερέων καὶ λευϊτῶν, καὶ πᾶς τις τῶν ἑκάστοτε προχειριζομένων ἡγεμόνων, ἢ βασιλέων (Δευτερ. ιζ. 18). Ἀλλὰ καὶ καθ᾽ ἑκάστην ἑπταετίαν (κατὰ τὴν ἑπταήμερον ἑορτὴν τῆς Σκηνοπηγίας) ὅλον τὸ τοῦ νόμου βιβλίον ὑπὸ τῶν ἱερέων ἀνεγινώσκετο δημοσίως εἰς ἐπήκοον παντὸς τοῦ λαοῦ, κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ (Δευτ. λα, 11). Καὶ αὐτὸς δὲ ὁ βασιλεὺς ἴσως ἀνεγίνωσκε πρὸς τὸν λαὸν κατὰ καιροὺς μέρος τοῦ νόμου, ὡς ἀνέγνω Ἰωσίας (Δ, Βασ. κγ. 2: Β. Παραλ. λδ. 30). Ἀλλὰ καὶ κατ᾽ ἰδίαν παρὰ τοῖς ἱερεῦσι καὶ τοῖς Λευΐταις καὶ νομοδιδασκάλοις, καὶ παρ᾽ αὐτοῖς δὲ τοῖς κατὰ καιροὺς ἐπιφαινομένοις προφήταις ὑπῆρχον, ὡς εἰκὸς, πολλὰ τοῦ νόμου ἀντίγραφα διηκριβωμένα, καὶ ἔκπαλαι καὶ μετέπειτα καὶ μάλιστα κατὰ τὰς δύω φυλὰς (τὴν τοῦ Ἰούδα καὶ τὴν τοῦ Βενιαμὶν), ἀφ᾽ οὗ τούτων ἀπεσχίσθησαν ἐπὶ τοῦ Ῥοβοὰμ αἱ δέκα φυλαὶ, ἐξ ὧν συνέστη τὸ λεγόμενον ἰδίως βασίλειον *τοῦ Ἰσραὴλ*, μητρόπολιν τὴν Σαμάρειαν ἔχον (Γ. Βασιλ. ιϐ), ὅπου μετὰ τοῦ σχίσματος καὶ τῆς περὶ τὰ πατρῷα διαφθορᾶς εἰσεκώμασε καὶ ἡ εἰδωλολατρεία. Πλὴν ἀλλὰ καὶ οὕτω καὶ παρ᾽ αὐτοῖς τοῖς ἀπεσχισμέ-

---

σαφῶς, ὅτι ἐκεῖ λοιπὸν ἔκειντο τεθειμένα καὶ τ᾽ ἄλλα τὰ προηγηθέντα τεύχη τῆς Πεντατεύχου, Τὴν Πεντάτευχον *φαίνεται νοοῦσι καὶ ὁ θεῖος Ἐπιφάνιος, καὶ ὁ θεῖος Κύριλλος ἀνωτέρω.* Οὐδ᾽ *εὑρίσκεταί που τῆς θείας* Γραφῆς *ὡρισμένως, οὔτε ὅτι μόνον τὸ Δευτερονόμιον καὶ οὐδὲν ἄλλο τῆς* Πεντατεύχου *βιβλίον ἔκειτο παρὰ τῇ κιβωτῷ, οὔτε πάλιν ὅτι τὰ προηγηθέντα Δ, βιβλία ἀπετέθησαν εἰς ἄλλον τόπον χωριστά.* Βλ. *καὶ* Huet. Demonst. Ev. IV. c. ι. p. 43. 44, καὶ Ctiticos Sacros Annot. ad Deuteron. l. c.

νοις *Ἰσραηλίταις* ὅτι διεσώζοντο τῆς Πεντατεύχου ἀντίγραφα, πρόδηλον. Εἶχον γὰρ καὶ οὗτοι τοὺς προτέρους ἐναπομείναντας ἱερεῖς καὶ λευΐτας, οἵτινες, ὅσον ἐξῆν, ἐδίδασκον τοὺς λαοὺς τὸν νόμον κυρίου. Τούτῳ δὲ τῷ νόμῳ κατὰ τὰς δίκας καὶ τὰς θυσίας, ἴσως, ἐχρῶντο καὶ αὐτοὶ οἱ μετὰ τὸ σχίσμα παρανόμως προχειρισθέντες ἱερεῖς, καί τοι θύοντες *εἰς τὰς χρυσᾶς δαμάλεις* (Γ, Βασ. ιβ, 28, 31). Καὶ θεῖοι δὲ προφῆται διέτριβον παρ᾽ αὐτοῖς, οἷον Ἠλίας, καὶ Ἐλισσαῖος, καὶ οἱ υἱοὶ τῶν προφητῶν (Δ. Βασιλ. β. δ), καὶ πρὸς τούτοις ἑπτὰ χιλιάδες ἀνδρῶν θεοσεβῶν, *οἳ οὐκ ὤκλασαν γόνυ τῷ Βάαλ* (Γ. Βασιλ. ιθ, 18)· ἀλλὰ περὶ τούτου λέγομεν παρακατιόντες.

§. γ. Πρὸς δὲ τῇ Μωσαϊκῇ Πεντατεύχῳ προσετίθεντο καὶ τὰ χειρόγραφα τῶν κατὰ καιροὺς ἐπιφαινομένων θεοπνεύστων συγγραφέων καὶ προφητῶν, οἷον τὸ τοῦ Ἰησοῦ (κδ, 26). Ἐφεξῆς δὲ καὶ τὸ τῶν Κριτῶν μετὰ τῆς Ῥοὺθ, ἥ τε τοῦ Ἰὼβ ἀρχαιοτάτη βίβλος, καὶ τὰ τοῦ Σαμουὴλ (τὰ πρῶτα δύω βιβλία τῶν Βασιλειῶν. πρβλ. καὶ Α, Βασ. ι, 25, καὶ Ἰώσηπ. Ἀρχ. ϛ, δ, §. 6), εἶτα δὲ καὶ τὰ τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος, καὶ τ᾽ ἄλλα τὰ τῶν ἐφεξῆς προφητικῶν ἀνδρῶν συγγράμματα, ὅσα ἦσαν ὑπὸ τῆς μεγάλης Συναγωγῆς ὡς γνήσια καὶ θεόπνευστα δεδοκιμασμένα· καὶ ταῦτα δὲ παρομοίως ἀπεθησαυρίζοντο ἐν τῷ γλωσσοκόμῳ, τηρούμενα ὡς ἱερώτατον κειμήλιον, ἀνακείμενον ἐν τῷ ἱερῷ (ἐν τῷ γαζοφυλακίῳ), ὅπου καὶ ὕστερον ἐπὶ Ἔσδρα μετὰ τὴν τοῦ κανόνος ἔκδοσιν ὅλος ὁ κώδηξ ἐπεθησαυρίσθη, ὡς μαρτυρεῖ σαφῶς ὁ Ἰώσηπος (α)· συμμαρτυροῦσι δὲ καὶ παλαιοὶ διδάσκαλοι καὶ ἱεροὶ πατέρες τῆς Ἐκκλησίας (β). καὶ περὶ μὲν τοῦ Ἔσδρα ἐφεξῆς (§. ϛ. καὶ ζ).

(α) Ἀρχαιολ. Γ. α. §. 7. σελ. 122. Ηαν. καὶ σημ. Reland. αὐτόθ. βλέπε καὶ Vitringa de Synagog. veter. p. 181, 182, καὶ Carpzov. Crit. Sacr. p. 54. καὶ G. Fabricy Des titres primitifs etc. T. 1. pag. 61—63.

(β) « Judaicum armarium. » Tertullian. de habit. mulier. c. III. Πρὸς τοῦτο ἀποτεινόμενος καὶ ὁ μακάριος Ἱερώνυμος, ἐπωνόμασε μεταφορικῶς τὸν Ἀπό-

§. δ. Ἔτι δὲ διαρκούσης τῆς τῶν Ἰουδαίων βασιλείας, ἐπῆλθον εἰς τὴν Ἱερουσαλὴμ βασιλεῖς δυσσεβεῖς, ἄλλοι τε, καὶ Μανασσῆς, ὁ πονηρίᾳ καὶ δυσσεβείᾳ τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν ἅπαντας ἀποκρύψας (καί τοι, τέλος, ὕστερον ἐπὶ τῇ μετανοίᾳ περιβόητος γεγονὼς, καὶ νῦν δὲ καὶ εἰς αἰῶνας περιᾳδόμενος), καὶ Ἀμὼν, ὁ υἱὸς αὐτοῦ, οἵτινες καταλιπόντες τὸν νόμον καὶ τὴν λατρείαν Κυρίου, ἔθυον εἰδώλοις. Ὁ Μανασσῆς ᾠκοδόμησε τοῖς εἰδώλοις θυσιαστήρια καὶ ἐν αὐτῷ τῷ οἴκῳ Κυρίου, καὶ ἐν ταῖς αὐλαῖς αὐτοῦ, καὶ τὸν λαὸν τῶν Ἰουδαίων ἀπεπλάνησεν εἰς εἰδωλολατρείαν (Δ. Βασιλ. κα)· ἐβασίλευσε δὲ ἔτη πέντε καὶ πεντήκοντα, καὶ δύο ὁ υἱὸς αὐτοῦ Ἀμών. Ἐν δὲ τοσούτῳ χρόνῳ κρατούσης τῆς εἰδωλομανίας, οὐδὲν θαυμαστὸν, εἰ καὶ ἱερεῖς τινες, καὶ λευῖται, καὶ τὸ πλεῖστον τοῦ λαοῦ, τὰ μὲν κολακεύοντες, τὰ δὲ καὶ δειλιῶντες τὴν ἐξουσίαν, καὶ τῆς ἀπ' ἀλλήλων ἀναπιμπλάμενοι λύμης, παρεῖδον τὸν νόμον Κυρίου, οὐδ' ἀνεγίνωσκον, οὐδ' ἐμνημόνευον ἔτι τὰς θείας Γραφάς. Ἐντεῦθεν τὰ μὲν τῶν βιβλίων ἐνεπρήσθησαν (Θεοδώρητ. προοιμ. εἰς τὸ Ἆσμα), τὰ δὲ καὶ ἄλλως παρημελοῦντο. Καὶ αὐτὸ δὲ τὸ Μωσέως αὐτόγραφον ἄφαντον ἐγένετο καταχωσθέν· ὡς δὲ παρῆλθεν ἡ ἀνομία, καὶ ἐβασίλευσεν ὁ εὐσεβὴς καὶ θεοφιλὴς Ἰωσίας, καθ' ἃς ἡμέρας ἐκαθαρίζετο καὶ ἐπεσκευάζετο ὁ ναὸς, εὗρεν ἐν αὐτῷ Χελκίας ὁ ἀρχιερεὺς *βιβλίον νόμου Κυρίου διὰ χειρὸς Μωϋσῆ* (Β. Παραλ. λδ, 14, καὶ Δ. Βασιλ κβ, 8)· αὐτὸ δηλαδὴ τὸ Μωσέως αὐτόγραφον, παρεῤῥιμμένον καὶ παντάπασιν ἐπιλελησμένον (α). Τοῦτο τοίνυν λαβὼν ὁ βασιλεὺς, καὶ

στολον Legis et scripturarum sanctarum armarium (Epist. ad Paulin.) βλ. καὶ τὸν Ἐπιφάνιον ἔνθ. ἀνωτέρ. — S. August. de civit. Dei L. XV. c. 13· Δαμασκην. π. Ὀρθοδ. πίστ. Δ. 18. — Χρονικ. Πασχάλ. Τ. α. σελ. 288. Bon. πρβλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ζ. σελ. 476.

(α) Τοῦτο τὸ ὑπὸ τοῦ Χελκίου εὑρεθὲν βιβλίον τοῦ νόμου πολλοί τινες ἐξέλαβον οὐκ ἐφ' ὅλης τῆς Πεντατεύχου, ἀλλ' ἐπὶ τοῦ Δ ε υ τ ε ρ ο ν ο μ ί ο υ μ ό ν ο ν (ὡς προείπομεν ἀνωτέρω σελ. 13. σημ.). Οὕτω καὶ Ὠριγένης (βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχ. τόμ. Β. σελ. 41), καὶ ὁ Μ. Ἀθανάσιος (ἐπιστ. π. Μαρκελ. σελ. 758 τόμ. α. Com.), καὶ ὁ θεῖος Χρυσόστομος (Ὁμιλ. εἰς Ματθ. β. καὶ εἰς α. Κορινθ.

θείου φόβου πλησθεὶς, ἀνέβη εἰς τὸν οἶκον Κυρίου μετὰ τῶν ἱερέων καὶ παντὸς τοῦ λαοῦ, καὶ ἀνέγνω εἰς ἐπήκοον πάντων τοὺς λόγους τοῦ θείου νόμου (Βασιλ. καὶ Παραλειπ. αὐτόθ.). Καὶ ἀντίγραφα δὲ τούτου πάντως διὰ τοῦ ἀρχιερέως Χελκίου καὶ τῶν ἱερέων διεδόθησαν πανταχοῦ. Ὅτι δὲ καὶ κατ᾽ ἐκείνην τὴν ἐπὶ τοῦ Μανασσῆ καὶ τοῦ Ἀμὼν εἰδωλομανίαν οὐκ ἐξέλιπον ὁλοτελῶς ἐκ τῆς Ἰούδα βασιλείας ἀντίγραφα τῆς Γραφῆς, τοσοῦτόν ἐστι βέβαιον, ὅσον καὶ ὅτι οὐ διέλιπον ἱερεῖς, καὶ ἄλλοι τοῦ ἀληθινοῦ Θεοῦ λάτρεις, καὶ θεῖοι προφῆται (Δ. Βασιλ. κα, 10), ἐν οἷς καὶ ἡ προφῆτις Ὀλδά (Δ. Βασιλ. κβ, 14)· καὶ αὐτὸς (ὡς λέγουσιν) ὁ Ἠσαΐας μέχρι Μανασσῆ παρέτεινε τὸ ζῆν, ὑπ᾽ αὐτοῦ πριονισθεὶς (α).

ὁμιλ. ζ), συμφωνοῦσι δὲ καὶ τῶν νεωτέρων συχνοί. Ἀλλὰ τοῦτο μὲν ἀναφέρεται εἰς τὰ τοῦ Δευτερον. λα, 9, ὅπου μόνον τὸ Δευτερονόμιον φαίνεται τότε παρατεθὲν ἐκ πλαγίων τῆς κιβωτοῦ. Ἐπειδὴ δ᾽ ἐκεῖ πάντως ἦσαν πρότερον ἀποκείμενα καὶ τὰ προλαβόντα βιβλία τῆς Πεντατεύχου, ὡς ὁμότιμα (καθὼς προείπομεν), ἕπεται λοιπὸν, ὅτι καὶ τὸ ὑπὸ Χελκίου εὑρεθὲν ἐν τῷ ναῷ βιβλίον τοῦ νόμου (ὡς ὀνομάζεται ἀνωτέρω ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν καὶ Παραλειπομένων) ὑπῆρχεν ὅλη ἡ Πεντάτευχος. Τοῦτο καὶ Ἰώσηπος ῥητῶς ἱστορεῖ, λέγων «Τὰς ἱερὰς βίβλους τοῦ Μωϋσέως ἐν τῷ ναῷ κειμένας» εὑρεθῆναι ὑπὸ Χελκίου. (Ἀρχ. l. δ. §. 2). Ὡσαύτως καὶ Εὐσέβιος ἐν Χρονικῷ (πρβλ. καὶ Χρονικ. Πασχάλ. Τόμ. 1. σελ. 224, καὶ Σύγκελ. Χρονογραφ. σελ. 405, Bon.). Συνομολογοῦσι καὶ τῶν ἀρχαίων Ῥαββίνων καὶ τῶν νεωτέρων σοφῶν οἱ ἐπίσημοι (Huet. Demonstr. Evang. Prop. IV. c. 1. p. 45. — Kennicot Diss. II. p. 290. — Schmid Histor. antiq. et vind. canon. etc. p. 228 κτλ.). Ἀλλ᾽ ὅμως ἐν τοῖς νεωτέροις τούτοις κριτικοῖς ὑπάρχουσι καί τινες συκοφάνται, πάντα λέγοντες εὐχερῶς καὶ ἰταμῶς· οἵτινες ἁρπάσαντες καὶ αὐτὴν τὴν ὑπὸ τοῦ Χελκίου εὕρεσιν τοῦ Μωσαϊκοῦ χειρογράφου [ὅπερ ὁ μὲν Δεβέττης (De Wette, Histor. Krit. Einleitung in das Alt. und N. Test.) τὸ Δευτερονόμιον θέλει μόνον, ἄλλοι δὲ καὶ πᾶσαν τὴν Πεντάτευχον, ὡς ὁ Volney. Recherches nouv. sur l'histoire ancien P. I. c. 6], ἐπεχείρησαν ἐκ τούτου ἀποδεῖξαι, ὅτι οὔτε τὸ Δευτερονόμιον (ὡς τότε δῆθεν τὸ πρῶτον ὑπὸ τοῦ Χελκίου συνταχθὲν), οὔτε ὅλη ἡ Πεντάτευχος ἐγράφη ὑπὸ τοῦ Μωσέως. Οὕτως οἱ ἄνδρες εἰσὶ σοφοί! Πολεμοῦντες τὰς θείας Γραφὰς, ἐξ αὐτῶν δὴ τούτων πάλιν ἱεροσυλοῦσι τὰ ὅπλα, παραχρώμενοι χερσὶ βροτείαις καὶ βεβήλοις, καὶ, τέλος, εὑρίσκονται θήγοντες αὐτὰ καθ᾽ ἑαυτῶν. Ἀπήντησαν δὲ πρὸς τὰς περὶ τοῦ Χελκίου ταύτας εἰκαιομυθίας καὶ ἄλλοι, καὶ Kennicot. l. c. p. 293.

(α) Εὐσεβ. Χρονικ. — Ἱερών. αὐτόθ. — Χρονικ. Πασχάλ. — Huet l. c.

§. ε. Πρὶν ἢ καθαιρεθῇ τὸ βασίλειον τοῦ Ἰούδα ὑπὸ τοῦ Ναβουχοδονόσορος (τῷ 586 π. Χ.), κατεστράφη τὸ τοῦ Ἰσραὴλ (τῷ 720 π. Χ.) ὑπὸ τοῦ δυνάστου τῶν Ἀσσυρίων Σαλμανασὰρ, καὶ ἀπήχθησαν εἰς Ἀσσυρίαν καὶ Μηδίαν αἱ δέκα φυλαὶ τοῦ Ἰσραὴλ (Δ. Βασιλ. ιζ). Παρέμειναν δὲ ὅμως καὶ εἰς τὸ πάτριον ἔδαφος ἱκανοί τινες ἐκ τοῦ λαοῦ, διαφυγόντες τὴν αἰχμαλωσίαν (α). Ὁ δὲ Σαλμανασὰρ ἀντὶ τῶν αἰχμαλωτισθέντων ἐγχωρίων ἀπῴκισεν εἰς τὴν Σαμάρειαν (ὅλην δηλαδὴ τὴν χώραν τοῦ δεκαφύλου Ἰσραὴλ) ἄλλους κατοίκους, ἀποστείλας ἐκ τῆς Χουθᾶ, καὶ ἄλλων τῆς Ἀσσυρίας χωρῶν. Καὶ τούτων τῶν συγκλύδων ὁ σύμμικτος ὄχλος ὠνομάσθησαν Σαμαρεῖται, καὶ Χουθαῖοι (β). Πολυτρόπως δὲ πλανωμένων αὐτῶν περὶ τὴν εἰδωλολατρείαν, ἀπέστειλεν ὁ Θεὸς λέοντας θανατοῦντας αὐτούς. Ὅθεν ᾐτήσαντο παρὰ τοῦ βασιλέως τῶν Ἀσσυρίων, καὶ ἔλαβον ἱερέα ἐκ τῶν ἐν Ἀσσυρίᾳ μετοικισθέντων Ἰσραηλιτῶν, ὅστις ἐλθὼν κατῴκησεν ἐν Βαιθὴλ, φέρων ἀναμφιβόλως καὶ τοῦ νόμου τοῦ Μωσαϊκοῦ χειρόγραφον· «καὶ ἦν φωτίζων αὐτοὺς τὸ κρίμα (δηλ. *τὸν νόμον*) τοῦ Θεοῦ τῆς γῆς, πῶς φοβηθῶσι τὸν Κύριον», λατρεύοντες αὐτῷ κατὰ νόμον (γ). Ἐντεῦθεν προῆλθε παρὰ τοῖς Σαμαρείταις νέου θρησκεύ-

---

(α) Βλ. Β. Παραλ. λ, 11—25, πρβλ. Walton. Prolegom. XI. §. 3—23. — H. Witsij Δεκάφυλον c. 3. §. 2. sqq. — Carpzov. Crit. Sacr. p. 588. βλ. καὶ ὄπισθ. βιβ. α. σελ. 618. κεφ. κα.

(β) Ἰώσηπ. Ἀρχ. Θ. ιδ. ΙΒ. ζ. Τὸ Χουθαῖος ἐπώνυμον οὐ καταδέχονται οἱ νεώτεροι Σαμαρεῖται, τοῦ Ἰακὼβ ἀπογόνους λέγοντες ἑαυτοὺς, ὡς καὶ πάλαι (Ἰωάν. δ, 12). Καὶ πρότερον δὲ συγγενεῖς τοῖς Ἰουδαίοις ἔλεγον ἑαυτοὺς, εὐτυχούντων τῶν Ἰουδαϊκῶν πραγμάτων. Ὅτε δ' ἐπ' Ἀντιόχου κακῶς ἔπραττον οἱ Ἰουδαῖοι, Περσῶν καὶ Μήδων ἀποίκους ἑαυτοὺς ἀπεκάλουν οἱ Σαμαρεῖται (Ἰώσηπ. Ἀρχ. ιβ, 7).

(γ) Ἔδραν τὸν ἱερέα τοῦτον λεγόμενον ὁ ἱερός φησιν Ἐπιφάνιος (Αἱρέσ. α. σελ. 23. Petav.), ἐξ οὗ καὶ ὁ μακάριος Θεοφάνης ὁ Ταυρομενίας φαίνεται ἀντιγράψας (Ὁμιλ. λη, σελ. 265 πρβλ. καὶ σελ. 403. Lutet. Paris. 1644). Ἀλλ' ἡ θεία Γραφὴ ἀνώνυμον ἔχει τὸν ἱερέα τουτονί· ὥστε τὸ Ἔσδρας ὄνομα φαίνεται πάντως οὐ κατὰ μνημονικὸν ἁμάρτημα τοῦ Ἐπιφανίου συγχυσθὲν πρὸς τὸ τοῦ ἱερογραμματέως καὶ ἱερέως Ἔσδρα, τοῦ τὰς Γραφὰς ἀνακαινίσαντος (περὶ οὗ ἐφεξῆς), ἀλλὰ μᾶλλον ἐξ ἀδεσπότου φήμης προελθόν. Οἷα καὶ οἱ ῥαββῖνοι, οἱ μὲν ἕνα, οἱ δὲ καὶ δύω πλάττοντες ἀνθ' ἑνὸς εἰς Σαμάρειαν ἀποσταλέντας ἱερεῖς,

ματος μίγμα. Καὶ γὰρ καὶ τὸν ἀληθῆ Θεὸν προσεκύνουν, καὶ τοὺς πατρίους ψευδοθέους, κατὰ τὰ ἔθιμα τῶν ἐθνῶν, ἐξ ὧν ἀπῳκίσθησαν (Δ. Βασιλ. ιζ). Οὗτοι τοίνυν, εἰ καὶ μὴ πάντες, εἶχον ὅμως ἀντίγραφα τῆς Πεντατεύχου, ἐκ τοῦ συγκατοικήσαντος μετ' αὐτῶν ἱερέως καὶ τῶν ἐν αἰχμαλωσίᾳ Ἰσραηλιτῶν παραλαβόντες. Ἴσως δὲ καὶ ἀπὸ τοῦ γειτονεύοντος, καὶ εἰσέτι τότε συνεστῶτος βασιλείου τῶν δύο τοῦ Ἰούδα φυλῶν ἐλάμβανον κρυφίως ἀπόγραφα, χρείας τυχούσης, καθὼς τινες εἰκάζουσι. Τὸ γὰρ μεταξὺ τῶν Ἰουδαίων καὶ τῶν Σαμαρειτῶν ἀδιάλλακτον μῖσος ὕστερον ἐξήφθη μάλιστα σφοδρότατον, μετὰ τὴν εἰς Ἱερουσαλὴμ ἐπὶ τοῦ Ζοροβάβελ καὶ τοῦ Ἔσδρα ἐπάνοδον τῶν Ἰουδαίων (ὁπότε ζητοῦντας τοὺς Σαμαρείτας συμμετασχεῖν τῆς τοῦ ναοῦ οἰκοδομῆς ἀπέβαλον δικαίως οἱ Ἰουδαῖοι. βλ. Ἔσδρ. δ, 2), καὶ πολὺ δὲ μᾶλλον μετὰ τὴν ἐπὶ τοῦ Γαριζεὶν τῆς Σαμαρείας κτίσιν τοῦ ναοῦ, περὶ οὗ λέγομεν παρακατιόντες (α). Αὕτη τοίνυν ἡ ἀρχαία

Δοσίθεον (Dusthai) καὶ Ζαχαρίαν ἐπονομάζουσιν. Ἀλλὰ καὶ Ἰώσηπος αὐτὸς (Ἀρχ. Θ. ιδ. §. 3.) ἱερέας λέγει (πληθυντικῶς) τοὺς ἀποσταλέντας· καὶ ἀντὶ λ ε ό ν τ ω ν λοιμὸν λέγει τοῖς Σαμαρείταις ἐπιπεσεῖν, αὐτὸς οἶδε πόθεν μαθών. πρβλ. Bochact. Hierozoic. L. 3. cap 3. p. 735, καὶ Walton. l. c. Ὁ δ' ὀξύθυμος Σκαλίγηρος οὕτως ἠγανάκτησεν ἕνεκα τοῦ Ἔσδρα τούτου κατὰ τοῦ μακαρίου Ἐπιφανίου, ὥστε διεκήρυξεν, ὅτι τάχα «βίβλον ὅλην καὶ μεγάλην ἀπαρτίζουσι τὰ σφάλματα τοῦ πατρός» (in Chr. Euseb. Animad. p. 74). Καὶ ὅμως ὧν λέγει σφαλμάτων τὸ μέγιστον ἔπαθεν αὐτὸς, κακῶς ἀναγνοὺς, καὶ κάκιστα μεθερμηνεύσας ἀξιόλογον τοῦ Ἐπιφανίου χωρίον, τὸ περὶ τῶν μὴ κανονικῶν παρ' ἑβραίοις βίβλων τῆς Γραφῆς, περὶ ὧν εἶπεν ὁ πατὴρ κατὰ λέξιν, ὅτι «χρήσιμοι μὲν εἰσιν-ἀλλ' εἰς ἀριθμὸν ΡΗΤΩΝ» (τουτ. τῶν ε ἰ ρ η μ έ ν ω ν κβ βίβλων τοῦ κανόνος, ἃς προηρίθμησεν· ὅπου ἴσως γρ. ΡΗΤΟΝ, τουτ. τὸν ε ἰ ρ η μ έ ν ο ν ἀριθμὸν) «οὐκ ἀναφέρονται. διὸ ΟΥΔΕ ἐν τῷ ἀ ρ ῶ ν ἀνετέθησαν, τουτέστιν ἐν τῇ κιβωτῷ» (Τόμ. β. σ. 162, βλ. καὶ ὄπισθ. σελ. 13). Ὁ δὲ Σκαλίγηρος τὸ μὲν δ ι ὸ ο ὐ δ ὲ ἀνέγνω δ ι ὸ ΔΗ (καταφατικῶς), τὸ δὲ ῥ η τ ῶ ν ἐξέλαβεν (ὡς ἔοικεν) ἀντὶ τοῦ ἀ π ο ρ ρ ή τ ω ν! διὸ καὶ κατεχλεύασε τὸν θεῖον Ἐπιφάνιον, ὡς λέγοντα σαφῶς (diserte), ὅτι τὰ ἀ π ό κ ρ υ φ α (ὅπερ οὐδόλως οὔτ' εἶπεν, οὔτ' ἐνόησεν ὁ πατὴρ) διὰ τοῦτο οὕτως ὠνομάσθησαν, διότι ἀνέκειντο ἐ ν τ ὸ ς τ ῆ ς κ ι β ω τ ο ῦ ἐν τῷ ἀδύτῳ, τῷ ἁγίῳ τῶν ἁγίων!! (ibid p. 106).

(α) Ὅτι οὐ διέλειπον ἐκ τῶν δέκα φυλῶν ἀντίγραφα τοῦ Μωσαϊκοῦ νόμου, καὶ πρὸ τῆς αἰχμαλωσίας, δῆλον ἐκ πολλῶν. α) Εὐθὺς μετὰ τὸ σχίσμα, ὁ Ἱεροβοάμ,

παρὰ τοῖς Σαμαρείταις Πεντάτευχος σῴζεται καὶ νῦν γεγραμμένη τοῖς Μωσαϊκοῖς γράμμασιν, ἡ αὐτὴ σχεδὸν καὶ σύμφωνος *περὶ τὰ καθόλου* μετὰ τῆς ἑβραϊκῆς Πεντατεύχου (α). Περὶ δὲ τῶν κατὰ μέρος διαφορῶν, λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ (Κεφ. ια).

εἰσάγων τὴν εἰδωλολατρείαν, διέταξε τὴν τελετὴν τῆς ἑορτῆς, «κατὰ τὴν ἑορτὴν τὴν ἐν γῇ Ἰούδα» (Γ. Βασιλ. ιϐ, 32)· καὶ οἱ καταστάντες ὑπ' αὐτοῦ ἱερεῖς τῶν εἰδώλων, ἔχρῃζον τῆς ὑπὸ τοῦ Μωσαϊκοῦ νόμου ὁδηγίας εἰς τὸ τελετουργεῖν. Ὅτι δὲ καὶ Λευῖται καὶ ἄλλοι πολλοὶ τοῦ λαοῦ διέμειναν εἰς τὴν πάτριον εὐσέϐειαν, φανερὸν ἐκ πολλῶν χωρίων τῆς Γραφῆς. β) Ἐπὶ τῶν ἐφεξῆς πονηρῶν βασιλέων τοῦ Ἰσραὴλ διέμεινεν ὁ νόμος ὁ Μωσαϊκὸς, ὡς νόμος πολιτικός. Ὅθεν ὁ Ἀχαὰϐ οὐκ ἐτόλμα σφετερίσασθαι τὸν ἀμπελῶνα τοῦ ὑπηκόου αὐτοῦ Ναϐουθαὶ (κατὰ τὰ Λευϊτ. κε, 23, 28)· καὶ αἱ φυλαὶ δὲ ἀνεπίμικτοι πρὸς ἀλλήλας, κατὰ τὸν νόμον, ἐτηροῦντο, κτλ. γ) Ὁ Ἡλίας καὶ Ἐλισσαῖος καὶ ἄλλοι προφῆται ἐξελέγχοντες τοὺς δυσσεβεῖς βασιλεῖς τοῦ Ἰσραὴλ, οὐδέποτε φαίνονται τούτους ἐπιπλήξαντες, καὶ ὡς ἐξορίσαντας τὸν νόμον Μωσέως. δ) Αἱ ἑπτὰ χιλιάδες ἀνδρῶν «οἱ οὐκ ὤκλασαν γόνυ τῷ Βάαλ», ἦσαν πάντως δεδιδαγμένοι ἐν τῷ νόμῳ Κυρίου (Γ. Βασιλ. ιθ, 18). ε) Καὶ μετὰ τὴν αἰχμαλωσίαν, οἱ ἐγκαταμείναντες ἐν Σαμαρείᾳ Ἰσραηλῖται (βλ. Usser Annal. ad an. 3468), εἰμὴ εἶχον οὐδὲν παρ' ἑαυτοῖς ἀντίγραφον τοῦ νόμου Μωσέως (ὅπερ ἀπίθανον), ἀλλ' ἠδύναντο παρὰ τῆς γείτονος Ἰουδαίας λαϐεῖν· κἀκεῖνοι δὲ προθύμως ἂν ἐδίδουν, προσκαλοῦντες αὐτοὺς εἰς εὐσέϐειαν (ὡς καὶ πρότερον ἐπὶ Ἐζεκίου. Β, Παραλ. λ. 10). ς) ἑκατοστῷ σχεδὸν ἐνιαυτῷ μετὰ τὴν αἰχμαλωσίαν τῶν δέκα φυλῶν φαίνονται κατοικοῦντες ἐν Σαμαρείᾳ Ἰσραηλῖται, οἵτινες ἐπὶ τοῦ εὐσεϐοῦς Ἰωσίου ἦλθον εἰς τὴν Ἱερουσαλὴμ, καὶ συνεώρτασαν τὸ Πάσχα («τὸ Φασὲκ, ὃ ἐποίησεν Ἰωσίας, καὶ οἱ ἱερεῖς, καὶ οἱ λευῖται, καὶ πᾶς Ἰούδα, καὶ Ἰσραὴλ ὁ εὑρεθεὶς». βλ. Β. Παράλ. λε, 18). ζ) Τὸ δὲ βέϐαιον καὶ ἀναντίῤῥητον, ἔλαϐον οἱ Σαμαρεῖται παρὰ τοῦ σταλέντος ἱερέως τὸ βιϐλίον τοῦ νόμου (Δ. Βασιλ. ιζ, 28), ἐξ οὗ πάντως καὶ αὐτόγραφα διεδόθησαν, καὶ ἡ γνῶσις τοῦ Θεοῦ παρὰ τοῖς Σαμαρείταις ἐπληθύνετο ἐπὶ πλέον (βλ. Kennicot Diss. II. p 108 sqq). Ὅθεν η) καὶ πρὸς τὸν Ζοροϐάϐελ προσῆλθον ὕστερον, αἰτοῦντες μέτοχοι γενέσθαι τῆς οἰκοδομῆς τοῦ ἐν Ἱεροσολύμοις ναοῦ, λέγοντες πρὸς τοὺς Ἰουδαίους, ὅτι «ὡς ὑμεῖς ἐκζητοῦμεν τῷ Θεῷ ὑμῶν, καὶ αὐτῷ ἡμεῖς θυσιάζομεν» κτλ. (Ἔσδρ. δ. 2). Οἱ δὲ Ἰουδαῖοι δικαίως καὶ ὁσίως οὐκ ἀπεδέξαντο μετόχους (αὐτόθ. §. 4). Καὶ εἰς μάτην ἄρα ὠνειρεύθησαν οἱ πολέμιοι τοῦ ἀρχαιοτάτου Σαμαρειτανοῦ κειμένου, ὅτι τάχα τοῦτο μηδὲν ἕτερόν ἐστιν, εἰ μὴ μεταγενέστερον ἀντίγραφον τῆς παρὰ τοῦ Ἔσδρα ἐκδοθείσης Πεντατεύχου, γράμμασι γεγραμμένον παλαιοτέροις, καὶ ἐν πολλοῖς χωρίοις φέρον μεταϐολὰς, προσθήκας, ἀφαιρέσεις, κτλ. Οὕτως ἐγνωμάτευσεν ὁ Πριδὼς (Prideaux Histoir. des Juifs L. 6. an. 409). ἄλλοι δὲ τῶν νεωτέρων ἄλλα πάλιν ἐτερατεύσαντο. βλ. Gesenij De Pentat. Samarit. etc.

(α) βλ. Morini Exercit. Pentat. Samarit. III. c. 1—3.-Walton Prol. XI. §. 8.—

§. ϛ. Ἀφ' οὗ δὲ καὶ τὸ τοῦ Ἰούδα βασίλειον ὑπὸ τοῦ Ναβουχοδονόσορος κατεστράφη, καὶ ὁ Σολομώντειος ναὸς ἐπυρπολήθη, καὶ ἡ πόλις τῶν Ἱεροσολύμων καὶ τὸ τεῖχος κατηδαφίσθη, καὶ τὸ τῶν Ἰουδαίων ἔθνος ἐξανδραποδισθὲν, αἰχμάλωτον εἰς τὴν Βαβυλῶνα μετῳκίσθη (πλήν τινων ἀμπελουργῶν, καὶ γεωργῶν, καὶ ἄλλων ὀλίγων, οὓς κατέλιπεν ὁ ἀρχιμάγειρος Ναβουζαρδάν. Ἱερεμ. νβ, 16), τότε τὰ μὲν *ἀρχέτυπα* τοῦ Μωσέως καὶ τῶν ἐφεξῆς μέχρι τῆς αἰχμαλωσίας προφητῶν ἠφανίσθησαν· ἀλλ' οὐδ' ἐξ αὐτῶν τῶν *ἀπογράφων* διεσώθησαν, εἰ μή τινα συναπαχθέντα μετὰ τῶν εἰς Βαβυλῶνα μετοικισθέντων ἐπισημοτέρων Ἰουδαίων (α). Κατὰ δὲ τὴν ἑβδομηκονταετῆ ταύτην αἰχμαλωσίαν κακῶς πάσχοντες οἱ Ἰουδαῖοι, καὶ τοῖς ἐγχωρίοις συγχρωτιζόμενοι, τήν τε ἐθνικὴν αὐτῶν διάλεκτον οἱ πολλοὶ καὶ χυδαῖοι διέφθειραν ὁπωσδήποτε κατὰ μέρος, καὶ τὸ εἶδος τῶν φοινικικῶν, ἢ Μωσαϊκῶν γραμμάτων μετέβαλον, ἀνταλλάξαντες ἀντὶ τοῦ πατρίου ἀλφαβήτου τὰ συνήθη τοῖς Βαβυλωνίοις γράμματα, τὰ Ἀσσύρια, ἢ Χαλδαϊκὰ (καὶ νῦν Ἰουδαϊκά). Ἐν δὲ τοιούτοις καιροῖς φανερὸν, ὅτι μήτε περὶ τῆς ἀκριβείας τῶν ἀντιγράφων ἐφρόντιζον, μήτε γοῦν εἶχον οἱ πλεῖστοι παντάπασιν ἀντίγραφα. Καὶ τούτου δεῖξις περίτρανος αὐτὴ ἡ τῶν γραμμάτων ἀνταλλαγή· πῶς γὰρ ἂν ἀπέβαλον παμπληθεὶ τὰ πάτρια γράμματα (μηδὲ γοῦν ἐν τοῖς πρὸς ἀλλήλους

Carpzov. Crit. Sacr. p. 596. *πρβλ. καὶ* Dupin. Nouvell. Biblioth. des Aut. Eccl. Dis. prélimin. §. 3. — Horne An Introduction etc. vol. 2. part. 1. pag. 42.

(α) Βλ. R. Gray, A Key to the old Testament and Apocryph. etc. p. 4. Lond. 1841. *Ὅτι δὲ καὶ αὐτὰ δὴ τὰ πρωτότυπα χειρόγραφα τοῦ νόμου καὶ τῶν προφητειῶν, διασωθέντα ἐκ τοῦ πυρπολεθέντος ναοῦ, μετεκομίσθησαν ὑπὸ των* Ἰουδαίων *εἰς* Βαβυλῶνα, *τοῦτο καὶ λίαν ἀπίθανον εἰκοτολόγησεν ὁ σοφὸς* Γράϋς. *βλ. καὶ* Pareau Institutio interp. V. Test. p. 53. *Ἀπίθανοι παρομοίως καὶ ὅσοι τὸ* Μωσαϊκὸν *καὶ τ' ἄλλα τὰ τῶν ἐφεξῆς προφητῶν ἀπόγραφα φρονοῦσιν ὅτι κατέκρυψε συνάμα μετὰ τῆς κιβωτοῦ ὁ προφήτης Ἱερεμίας, τῆς ἁλώσεως ἤδη προσεγγιζούσης.* Μαρτύρονται *οὗτοι τὰ ἐν* Β. Μακ. *β.* 5. *Ἀλλ' ἐν τούτοις οὐδὲν ἕτερον γέγραπται, εἰ μὴ «ἡ σκηνή, καὶ ἡ κιβωτὸς καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος».* Ὅτι *δὲ οὐδ' ἐν τῇ κιβωτῷ τοῦ μαρτυρίου, ἀλλ' ἐκτὸς ἐτηροῦντο τὰ προφητικὰ αὐτόγραφα ἐν τῷ ναῷ τοῦ Σολομῶντος προείρηται (ὄπισθ. σελ. 11).*

συναλλάγμασιν αὐτὰ τηρήσαντες), εἰ μὴ ἦσαν παντάπασιν ἀπότροφοι καὶ ἀμελέτητοι τῆς μόνης παρ᾽ αὐτοῖς δεδημοσιωμένης βίβλου, ἐξ ἧς καὶ τὰ πρῶτα παιδικὰ μαθήματα ἐμάνθανον, τῆς βίβλου τῶν Γραφῶν, καὶ μάλιστα τῆς Πεντατεύχου; Οὕτω διῆγον κατὰ τὴν ἐν Βαβυλῶνι μετοικεσίαν οἱ Ἰουδαῖοι μέχρι τῆς εἰς Ἱερουσαλὴμ ἐπιστροφῆς, ὁπότε ὁ μακάριος Ἔσδρας ὑπὸ θείου πνεύματος ἀγόμενος, ἀνεκαίνισε καθαρὰς καὶ πλήρεις ἀποκαταστήσας τὰς θείας Γραφάς· καὶ ταύτας ἐξέδωκε διὰ τῶν ἤδη παρὰ τοῖς ἑβραίοις εἰθισμένων γραμμάτων τῶν Χαλδαϊκῶν (α). Πότερον δὲ, ἐξ οὐκ ὄντων ἀντιγράφων συνέγραψεν ἀποστοματίσας ἅπαντα τὰ θεῖα βιβλία (καθὼς φαίνεται ἐν ἀποκρύφῳ βιβλίῳ τῷ ἐπιγραφομένῳ Δ, Ἔσδρα, ιδ, 14), ἢ μᾶλλον τὰ σωζόμενα ἀντίγραφα συναγαγὼν, καὶ δι᾽ ἐπιπνοίας τοῦ θείου πνεύματος ἀνακρίνας, συνήρμοσε, καὶ διέταξε, καὶ οἱονεὶ δεύτερον προεφήτευσε, διὰ τῶν τότε παρ᾽ Ἰουδαίοις συνήθων χαλδαϊκῶν γραμμάτων ἀντιγράψας ἀσφαλῶς καὶ γνησίως, ὁποίας αὐτὰς οἱ θεόπνευστοι προφῆται συνέγραψαν; τοῦτο φαίνεται πιθανώτερον. Ἠδύνατο

(α) «Καὶ ἵνα μὴ συμμιγῶσιν οἱ Ἰουδαῖοι τοῖς Σαμαρείταις» (φησὶν ὁ Εὐσέβιος ἐν Χρον.) ἐξέδωκε πρὸς αὐτοὺς ὁ Ἔσδρας τὰς γραφὰς ἐν Χαλδαϊκοῖς γράμμασιν (οἱ δὲ Σαμαρεῖται ἐχρῶντο τοῖς ἀρχαίοις ἑβραϊκοῖς, ἢ Μωσαϊκοῖς). Καὶ τοῦτο μὲν αὐτόματον εἵπετο ὡς ἐκ τῆς ἀρχικῆς αἰτίας, δηλονότι τῆς ἤδη διὰ μακροῦ κεκρατηκυίας παρ᾽ Ἰουδαίοις καὶ συντρόφου χρήσεως τῶν χαλδαϊκῶν χαρακτήρων ἀντὶ τῶν ἑβραϊκῶν (ἠπίσταντο δὲ τούτους μόνοι οἱ ἐπισημότεροι, οἷον οἱ ἱερεῖς καὶ λευῖται, καὶ ὅσοι ἀνεγίνωσκον τὰς Μωσαϊκὰς γραφάς). Ἡ δὲ τῶν νεωτέρων καινοτομία (καὶ μάλιστα τῶν παραθέρμων ὑπερασπιστῶν τοῦ ἑβραϊκοῦ κειμένου) οὐδὲ τὴν ὑπὸ τοῦ Ἔσδρα τούτου τῶν γραμμάτων μεταβολὴν ἀποδέχονται, λόγους ἐπιφέροντες πολλοὺς, καὶ πλήρεις ἀλογίας (βλ, Carpzov. Crit. Sac p. 225—242). Ἀλλ᾽ ἀντιβοᾷ πρὸς τούτους πᾶσα ἡ ἀρχαιότης· αὐτῆς τε τῆς Συναγωγῆς οἱ ταλμουδογράφοι, καὶ οἱ παλαιοὶ τῆς Ἐκκλησίας διδάσκαλοι, Ὠριγένης (Ἀποσπ. παρὰ Montfauc. Ἑξαπ. Τ. 1. σελ. 86), Ἀφρικανὸς (παρὰ Συγκέλ. Χρον. σελ. 156), Εὐσέβιος (Χρονικ. ἔτ. 4740· ὁ δὲ Σπαγχέμιος μάτην νοθίζει τὴν ῥῆσιν, De praest. et usu num. T. 1. p. 63), ὁ Ἱερώνυμος (Prolog. Galeat. καὶ ἀλλαχοῦ)· ὁ Αὐγουστῖνος, κτλ. καὶ τῶν νεωτέρων σοφῶν οἱ ἐπισημότατοι Μορῖνος, Βελλαρμῖνος, Ὑέτιος, Σκαλίγηρος, Κασωβὼν, Βοχάρτος, Δρούσιος, Γρότιος, Καπέλλιος, οἱ δύω Οὐόσσιοι, Κλέρικος, Βασνάγης, Παρὼς, Ὅρνος, καὶ ἄλλοι, καὶ Βάλτων ὁ κλεινὸς (βλ. Proleg. III. §. 29—37) πρβλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. δ. §. ιβ. σελ. 190.

μὲν γὰρ πάντως καὶ τὸ πρῶτον ὁ Ἔσδρας ποιῆσαι, τοῦ παναγίου πνεύματος αὐτῷ ὑπηχοῦντος, ἀλλ᾽ ὅμως τὸ δεύτερον ἔχει καί τινας ἐξωτερικὰς ἀποδείξεις, τὰς ἑξῆς. 1) Παρὰ τοῖς Σαμαρείταις ἐσῴζετο ἡ Πεντάτευχος, ὡς προείπομεν. 2) Καὶ παρὰ τοῖς ἐν Ἀσσυρίᾳ καὶ Μηδίᾳ τὸ πρότερον ὑπὸ Σαλμανασὰρ ἀπαχθεῖσιν αἰχμαλώτοις Ἰσραηλίταις, καὶ πάλιν παρὰ τοῖς ὕστερον ἐξ Ἱερουσαλὴμ καὶ τῆς Ἰουδαίας ὑπὸ τοῦ Ναβουχοδονόσορος εἰς Βαβυλῶνα μετοικισθεῖσι (τὸ πρῶτον ἐπὶ Ἰωακεὶμ, τὸ δὲ δεύτερον καὶ ἔσχατον ἐπὶ Σεδεκίου) βλέπομεν ἴχνη σωζομένων βιβλίων προφητικῶν· ὁ Τωβὶτ ἐν Ἀσσυρίᾳ μέμνηται τῆς προφητείας Ἀμὼς καὶ Ἰωνᾶ, καὶ τῶν ἄλλων προφητῶν (β, 6. καὶ ιδ, 4, 5). Οὐδ᾽ ὁ Μαρδοχαῖος ἐν Σούσοις ἀμελέτητος ἦν τοῦ θείου νόμου (ὡς φαίνεται μάλιστα ἐκ τῆς προσευχῆς). Ὡσαύτως καὶ Βαροὺχ ὁ προφήτης ἐν Βαβυλῶνι μνημονεύει « τῆς βίβλου τῶν προςαγμάτων τοῦ Θεοῦ » (δ, 1). Τὴν Σωσάνναν οἱ γονεῖς ἐν Βαβυλῶνι « *ἐδίδαξαν κατὰ τὸν νόμον Μωϋσῆ* (Σωσάν. α, 3). Καὶ οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ προσευχόμενοι, καὶ θρηνῳδοῦντες, ὅτι « *οὐκ ἦν ἐν τῷ καιρῷ ἐκείνῳ* » (τοῖς αἰχμαλώτοις Ἰουδαίοις) « *ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος, οὐδὲ ὁλοκάρπωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, οὐδὲ τόπος τοῦ καρπῶσαι* » κτλ., οὐ προσέθηκαν ὅμως καὶ ὅτι οὐκ ἦν αὐτοῖς *οὐδὲ βίβλος τοῦ θείου νόμου*. Ὁ δὲ θεῖος Δανιὴλ ἐν τῇ προσευχῇ αὐτοῦ καὶ ῥητῶς ὀνομάζει τὴν Πεντάτευχον· « Καθὼς γέγραπται *ἐν νόμῳ Μωσέως* » κτλ. καὶ, « Ἐν τοῖς νόμοις οἷς ἔδωκεν (ὁ Θεὸς) κατὰ πρόσωπον ἡμῶν ἐν χερσὶ τῶν δούλων αὐτοῦ τῶν προφητῶν » (θ, 10–13). Λέγει προσέτι καὶ ὅτι « συνῆκεν *ἐν τοῖς βιβλίοις* » (τῆς Γραφῆς δηλονότι), καὶ τὴν Ἱερεμίου προφητείαν ἐξ ὀνόματος γράφει (θ, 2). Ἀλλὰ καὶ οἱ μετ᾽ αὐτοῦ Ἱερεμίου καὶ Βαροὺχ εἰς Αἴγυπτον καταφυγόντες Ἰουδαῖοι (Ἱερεμ. ν. 1 : Δ. Βασιλ. κε, 20) πῶς ἂν ἦσαν ἅπαντες γυμνοὶ καὶ ὀρφανοὶ τῆς βίβλου τοῦ θείου νόμου; 3) Τοῦ Δανιὴλ σύγχρονος σχεδὸν ἐγένετο καὶ ὁ προφήτης Ἰεζεκιὴλ, ἐν Μεσοποταμίᾳ μετὰ πολλῶν χιλιάδων Ἑβραίων·

συνδιατρίβων, ὅστις ὀνομαστὶ μνημονεύει τήν τε σοφίαν τοῦ *Δανιὴλ*, καὶ τὰς προῤῥήσεις τῶν προγενεστέρων Προφητῶν (δηλονότι *Ἰωὴλ καὶ Ὠσηὲ καὶ Μιχαίου*. βλ. Ἰεζεκιὴλ. λη, 17, καὶ Ἑρμην. Θεοδωρήτου αὐτόθ.)· Νεαραὶ δὲ ἔτι καὶ κατὰ τὸν Ἔσδραν περιεφέροντο τοῦ τε Ἰεζεκιὴλ καὶ τοῦ Δανιὴλ αἱ προφητεῖαι καὶ αὐτοῦ τοῦ Ἱερεμίου. Ἀλλὰ καὶ ἐν ταῖς βίβλοις τῶν ἑξῆς ἐπιφανέντων προφητῶν, τοῦ Ζαχαρίου, καὶ τοῦ Ἀγγαίου (εἶτα δὲ καὶ τοῦ Μαλαχίου), τῶν, ἐφισταμένης ἤδη τῆς ἀπὸ Βαβυλῶνος ἐπιστροφῆς, προφητευσάντων, φαίνονται ῥήσεις ἱκαναὶ, ἐκ τῶν προγενεστέρων προφητῶν καὶ τῆς Πεντατεύχου σαφῶς ἀναγεγραμμέναι. 4) Αὐτὸς ὁ θεόπνευστος Ἔσδρας, καὶ πρὶν ἐκ Βαβυλῶνος ἀναβῇ εἰς Ἱερουσαλὴμ, ἱστορεῖται «*γραμματεὺς ταχὺς ἐν τῷ νόμῳ Μωϋσῇ* (Ἔσδρ. ζ, 6, 10. πρβλ. Α. Ἔσδρ, η: καὶ Ἰωσήπ. Ἀρχ. ια. ε, §. 1)· καὶ τὸ περὶ τῆς ἐπανόδου τῶν Ἰουδαίων διάταγμα τοῦ βασιλέως Ἀρταξέρξου, ἱερέα καὶ γραμματέα αὐτὸν ὀνομάζει, καὶ *ἀναγνώστην τοῦ θείου νόμου* (Ἔσδρ. καὶ Ἰώσηπ. αὐτόθ.). 5). Καὶ πρὶν ἢ αὐτὸς ἀναβῇ, οἱ περὶ τὸν Ζοροβάβελ ᾠκοδόμησαν τὸ θυσιαστήριον ἐν Ἱερουσαλὴμ «*κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσῇ, ἀνθρώπου τοῦ Θεοῦ*». καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ᾔνεσαν τὸν Κύριον *κατὰ τοὺς ὕμνους Δαβὶδ τοῦ βασιλέως* (Ἔσδρ. γ. 2–4, 5, 8. πρβλ. Α. Ἔσδρ. ε, 49, 60). Ἐκ τούτων οὖν καὶ ἄλλων τοιούτων ἀποδείξεων συμπεραίνεται πιθανώτατον, ὅτι ἀπὸ σῳζομένων, καὶ ἄλλων ἀλλαχοῦ διεσπαρμένων ἀντιγράφων τὰ γνήσια καὶ ἀκέραια συναγαγὼν ὁ θεοφόρητος Ἔσδρας, ἐδοκίμασεν ἐν πνεύματι διακρίσεως, καὶ τὰς ἔκ τε τοῦ μακροῦ χρόνου καὶ τῆς ἀβλεψίας, τυχὸν, τῶν ἀντιγραφέων εἰσπεσούσας ἐν τοῖς κώδηξι διαφθορὰς ἀνακαθάρας, ἀποκατέστησε, καὶ ἐδημοσίευσεν ἐκ νέου τέλειον καὶ καθαρὸν τὸ σῶμα τῶν θείων Γραφῶν.

§. ζ. Τοιαῦτα διδάσκουσι καὶ τῶν ἁγίων ἡμῶν Πατέρων οἱ ἀρχαιότατοι. Αὐτίκα ὁ θεῖος Εἰρηναῖος· «Ὃς (ὁ Θεὸς) καὶ ἐν τῇ ἐπὶ Ναβουχοδονόσορ αἰχμαλωσίᾳ τοῦ λαοῦ, *διαφθαρεισῶν* τῶν Γραφῶν –, ἔπειτα ἐν τοῖς χρόνοις Ἀρταξέρξου βασιλέως ἐνέπνευσεν Ἔσδρᾳ

τῷ ἱερεῖ ἐκ τῆς φυλῆς Λευὶ, τοὺς τῶν προγεγονότων προφητῶν πάντας ἀνατάξασθαι λόγους, καὶ ἀποκαταστῆσαι τῷ λαῷ τὴν διὰ Μωϋσέως νομοθεσίαν» (παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. ε, 8). Καὶ ὁ ἱερὸς Κλήμης· « Ἐνταῦθα Ζοροβάβελ—μετὰ Ἔσδρα εἰς τὴν πατρῴαν γῆν ἀναζεύγνυσι· δι' ὃν γίνεται ἡ ἀπολύτρωσις τοῦ λαοῦ, καὶ ὁ τῶν θεοπνεύστων *ἀναγνωρισμὸς καὶ ἀνακαινισμὸς* λογίων» (Στρωματ. α. σελ. 241). καὶ μετ' ὀλίγα· « *Διαφθαρεισῶν* τῶν Γραφῶν—ἐπίπνους Ἔσδρας ὁ λευΐτης, ὁ ἱερεὺς, γενόμενος, πάσας τὰς παλαιὰς αὖθις ἀνανεούμενος προεφήτευσε Γραφάς» (σελ. 251). Τοιαῦτα καὶ Τερτυλλιανός (α). Καὶ Ὠριγένης ὁ σοφώτατος (εἰς Ἰησ. ς, 16) λέγει· « Μετὰ δὲ ταῦτα τοῦ ναοῦ οἰκοδομηθέντος ἤδη ὑπὸ τοῦ Σολομῶντος, καὶ τοῦ λαοῦ ἀποκλίναντος εἰς πολλὴν ἀσέβειαν, καὶ τοῦ Θεοῦ τὸν ναὸν ἔρημον καταλιπόντος, ὡς καὶ μόλις εὑρεθῆναι τὸ Δευτερονόμιον ἐρριμένον, ὡς ἔτυχε, διά τοι (ἴσ. γρ. *διὰ δὲ*) τοῦτο καὶ τοῦ λαοῦ τὴν βαβυλωνικὴν αἰχμαλωσίαν ὑποστάντος, ὁ Ἔσδρας *νομικώτατος ὢν, καὶ ἀποστοματίζων* πᾶσαν τὴν παλαιὰν Διαθήκην, ἔγραψε τὸν νόμον » (β). Ὡσαύτως καὶ Εὐσέβιος (εἰς Ψαλμ. ξβ), καὶ Βασίλειος ὁ Μέγας (γ) « Ἐνταῦθα (λέγει) πεδίον, ἐν ᾧ ἀναχωρήσας Ἔσδρας πάσας τὰς θεοπνεύστους βίβλους προστάγματι Θεοῦ *ἐξηρεύξατο* » (τουτέστιν, ὡς εἶπεν Ὠριγένης, *ἀπεστομάτισε*, περὶ οὗ λέγομεν παρακατιόντες). Ὁ δ' Ἀλεξανδρείας Ἀθανάσιος, ἔτι σαφέστερον· « Ἱστορεῖται περὶ τοῦ Ἔσδρα,

---

(α) «Hierosolymis Babylonia expugnatione deletis, omne instrumentum Judaicae Litteraturae per Esdram constat restauratum» (Tertul. de habit. mulier. c. 3. p. 402).

(β) Βλ. Σειρὰν εἰς τὴν Ὀκτάτευχ. Τόμ. β. σελ. 41. Σημειωτέον δὲ ὅτι ἐν τούτῳ τῷ χωρίῳ τοῦ Ὠριγένους τὸ, « ὡς καὶ μόλις εὑρεθῆναι τὸ Δευτερονόμιον ἐρριμένον, ὡς ἔτυχε » φαίνεται ἐκτετοπισμένον. Ὁ δ' Ὠριγένης πρότερον ἔγραψε τοῦτο (ὥς γέ μοι δοκεῖ), καὶ παρευθὺς μετὰ τὸ « εἰς πολλὴν ἀσέβειαν ». Οὕτω γὰρ ἕπεται ὁμαλῶς μετὰ τὸ ὡς ἔτυχε, καὶ τὸ ἐφεξῆς « Καὶ τοῦ Θεοῦ τὸν τόπον » κτλ. πολλαχοῦ δὲ τῶν χειρογράφων εὑρίσκονται κώλων μετατοπισμοὶ δι' ἀβλεψίαν τῶν ἀντιγραφέων.

(γ) Ἐπιστολ. π. Χίλωνα Τόμ. β. σελ. 742. Paris. 1618.

ὅτι, ἀπολομένων τῶν βιβλίων ἐξ ἀμελείας τῶν λαῶν καὶ διὰ τὴν πολυχρόνιον αἰχμαλωσίαν, αὐτὸς Ἔσδρας, φιλόκαλος ὢν καὶ εὐφυὴς καὶ ἀναγνώστης, ἐφύλαξε πάντα καθ᾿ ἑαυτόν· καὶ λοιπὸν προσήνεγκε, καὶ πᾶσιν ἐκδέδωκε, καὶ οὕτω διασῴζεται τὰ βιβλία» (α). Καὶ ὁ θεῖος Χρυσόστομος «Μετὰ δὲ ταῦτα προφήτας ἔπεμψεν (ὁ Θεὸς) μυρία παθόντας δεινά. Ἐπῆλθε πόλεμος· ἀνεῖλον πάντας· κατέκοψαν· ἐνεπρήσθησαν αἱ βίβλοι· ἑτέρῳ πάλιν ἀνδρὶ θαυμαστῷ ἐνέπνευσεν, ὥστε αὐτὰς ἐκθέσθαι, τῷ Ἔσδρᾳ λέγω, καὶ *ἀπὸ λειψάνων* συντεθεῖναι ἐποίησε» (β). «Συλλέξαι τὰς Γραφὰς Ἔσδραν τὸν προφήτην» φησὶ καὶ σχολιαστὴς ἀνώνυμος (ἴσ. ὁ Προκόπιος, εἰς Δευτερονομ. κζ. 4). Τοιαῦτα καὶ ὁ ἱερὸς Αὐγουστῖνος (γ). Καὶ ὁ μακάριος Ἱερώνυμος *ἀνακαινιστὴν τοῦ νόμου* τὸν Ἔσδραν ἀποκαλεῖ· «διότι (λέγει) τὰς ἱερὰς βίβλους ἀνακαθάρας, εἰς τάξιν ἀνήγαγε, καὶ νέοις γράμμασι χρησάμενος, οἷον καινοὺς τοὺς κώδηκας ἀπετέλεσε, τῶν προτέρων ἀκυρωθέντων» (δ). Διὰ ταύτην, ἴσως, τὴν ἐν τοῖς χαλδαΐοις γράμμασι πρώτην ὑπὸ τοῦ Ἔσδρα (μὴ προϋπαρχόντων τοιούτων ἀντιγράφων) μεταστοιχείωσιν τῶν θείων Γραφῶν, καὶ οἷον ἐξ ὑπαρχῆς αὐτῶν ἀνάδειξιν καὶ ἀναγραφὴν, εἶπε καὶ ὁ ἱερὸς Θεοδώρητος (Προοιμ. εἰς τὸ Ἆσμα), ὅτι «Ὁ μακάριος Ἔσδρας, ἀνὴρ ἀρετῇ διαπρέπων, καὶ τοῦ παναγίου πνεύματος πλήρης γενόμενος, ὡς βοᾷ τὰ πράγματα, τὰς ἀναγκαίας ἡμῖν καὶ σωτηρίας παρεκτικὰς ἀναγράφει Γραφάς.—*Οὐκ ἐξ ἀντιγράφων* δὲ *ἔγραψεν*· ἀλλὰ τοῦ θείου πνεύματος πλήρης γενόμενος, ἵνα πᾶσιν ἀνθρώποις ἀνάγραπτον παραπέμψῃ τὴν ὠφέλειαν» κτλ. Καὶ πάλιν· «Ὁ θαυμάσιος Ἔσδρας τὰς ἱερὰς ἀνέγραψε βίβλους, ὑπὸ τῆς τῶν Ἰουδαίων ἀμελείας, καὶ τῆς τῶν Βαβυλωνίων δυσσεβείας

(α) Συνόψ. τῆς Γραφ. εἰς Βιβλ. ιβ. σελ. 84 Com.

(β) Χρυσόστομ. εἰς τὴν π. Ἑβρ. ὁμιλ. η.

(γ) S. Augustin. De miracul. S. Scriptorun. L. II. περὶ τὸ τέλος.

(δ) S. Hieronym. adv. Helvid.

πάλαι διαφθαρείσας » (α). Οὕτως οἱ θεῖοι Πατέρες *διαφθαρῆναι* λέγοντες τὰς Γραφὰς, καὶ ταύτας ὑπὸ τοῦ Ἔσδρα πάλιν *ἀναγραφῆναι*, καὶ ἀπὸ λειψάνων πάλιν *συντεθῆναι*, καὶ *ἐκδοθῆναι*, φαίνονται νοοῦντες τὴν ὑπὸ τοῦ Ἔσδρα γενομένην οὐχὶ τῆς Πεντατεύχου μόνης (ἧς τὰ χειρόγραφα παρὰ πλείοσιν ἐσῴζοντο, κατὰ τὸ εἰκὸς), ἀλλὰ πάντων τῶν διεσπαρμένων ἱερῶν βιβλίων ἀπὸ διαφόρων τόπων συλλογὴν, καὶ εἰς ἓν συναγωγὴν, καὶ ἐκ πάσης προσπεσούσης διαφθορᾶς ἀνακάθαρσιν, καὶ πρώτην διὰ τῶν χαλδαϊκῶν γραμμάτων ἔκδοσιν· καὶ μήτε τὸν κατὰ τὴν αἰχμαλωσίαν παντελῆ καὶ παγκληρεὶ τῶν ἀντιγράφων ἀφανισμὸν ἐδίδαξαν οἱ Πατέρες, μήτε τὴν *ἐκ τοῦ μηδενὸς* ἀναγέννησιν αὐτῶν καὶ ἀναγραφὴν, ὡς ἐμυθολόγησεν ὁ ψευδεπίγραφος Δ. Ἔσδρας (οὗ τινος οὐ μόνον οὐδεὶς τῶν Πατέρων ἐμνημόνευσεν, ὡς βίβλου κανονικῆς, ἀλλ᾽ οὐδ᾽ ἑρμηνεία τούτου σῴζεται ἑλληνικὴ οὐδαμοῦ οὐδαμῶς)· καὶ αὐτὸς ὁ μακάριος Θεοδώρητος « *οὐκ ἐξ ἀντιγράφων ἔγραψεν* » εἰπὼν, ἴσως ἐννοεῖ τὴν μὴ ἐκ χειρογράφων γράμμασι χαλδαϊκοῖς γεγραμμένων, καὶ εἰς ἓν ἀκέραιον σῶμα πάντων τῶν κανονικῶν τευχῶν περιεκτικὸν συνεστηκότων *ἀντιγραφὴν*, ἀλλ᾽ ἣν πρῶτος αὐτὸς Ἔσδρας ἐν χαλδαίοις γράμμασι γράψας ἐξέδωκεν *ἀναγραφὴν*, καὶ εἰς ἓν σῶμα συλλογὴν τῶν τῆδε κἀκεῖσε διεσπαρμένων προφητικῶν τευχῶν, καὶ τὴν ἐκ θείας ἐπιπνοίας ἀποκατάστασιν αὐτῶν εἰς τὴν ἀρχαίαν γνησιότητα, ἅτε καὶ αὐτῶν τῶν ὀλίγων σῳζομένων ἀντιγράφων λω-

---

(α) Θεοδώρητ. Προθεωρ. εἰς τοὺς Ψαλμ. τόμ. α. σελ. 304. Οὕτω καὶ ὁ Ἱλάριος. Esram omnes psalmos collegisse, et ex iis unum librum confecisse (Praef. in Psalm.). Ὁ δὲ *μακάριος* Φώτιος *ἐκ τοῖς* Ἀμφιλοχίοις, *ἐν ἀριθμῷ ρμη, ἐπιγραφομένῳ (καθ᾽ ὃ ἔχομεν ἀνὰ χεῖρας ἀπόγραφον)* « *τί ἐστιν ἀσάφεια τῆς* Γραφῆς », *λέγει τὰ ἐφεξῆς*· « Ὅτι *ἐν τῇ αἰχμαλωσίᾳ ἐμπρησθεισῶν τῶν θείων βιβλίων, εἶτα διαπεμπόντων ἀλλήλους* » *(ἄλλη γραφὴ ἔχει, ἄλλοις, ἴσ. γραπ. ἐν ἄλλοις δηλ. βιβλίοις)* « *τῶν ἀπὸ* Ἱερουσαλὴμ *εἰς* Βαβυλῶνα *τὰ λόγια τοῦ* Θεοῦ, *λοχῶντες ἀφῄρουν τὰς βίβλους. Οἱ δὲ πάλιν διὰ συμβόλων, ὧν οὐκ ἠδύναντο ξένοι ποιεῖν, ἔγραφον, ἐξ ὧν ἡ ἀσάφεια (τῶν* Γραφῶν·) « *ἕως ὕστερον ἐμπνευσθεὶς* Ἔσδρας, *πασῶν ἐμνημόνευσε, καὶ γραφῇ παρέδωκε.* »

βηθέντων ἤδη κατὰ τὴν μακρὰν αἰχμαλωσίαν, «καὶ *διαφθαρέντων*» (ὡς εἶπεν αὐτὸς πάλιν ὁ Θεοδώρητος). Μαρτυρεῖ δὲ τῷ λόγῳ ὅδ' αὐτὸς αὖθις ὁ ἱερὸς Θεοδώρητος, ὅστις ἀλλαχοῦ προφητικὰ ῥητὰ μνημονεύει, ὡς ὑπάρχοντα καὶ ὑφεστῶτα ἐπὶ τοῦ προφήτου Δανιήλ. Λέγει γὰρ τοῦτον ῥητῶς « Εἰς *ταῦτα πεπαιδευμένον* » Ἑρμην. εἰς Δαν. θ. 3). Οἱ δέ τινες τῶν νεωτέρων κριτικῶν ἀδίκως ἐξέλαβον τὴν τῶν Πατέρων γνώμην ὡς δῆθεν ἐκ τοῦ πολλὰ καὶ ἄλλα παράλογα φλυαροῦντος τούτου Ψευδέσδρα, ἢ ἐκ τῶν Καββαλιστῶν διαδανεισμένην (α). Πᾶν δὲ μάλιστα τοὐναντίον, καὶ ἐξ αὐτῆς τῆς τοῦ Ψευδέσδρα καὶ τῶν Καββαλιστῶν παραμόρφου μαρτυρίας καθίσταται βεβαιοτέρα ἡ περὶ τῆς ὑπὸ τοῦ Ἔσδρα ἀνακαινίσεως τῶν Γραφῶν ἀρχαιοτάτη παράδοσις.

§. η. Ἀλλ' εἴτ' ἐξ ὑπαρχόντων, εἴτε γοῦν καὶ ἐξ οὐκ ὄντων χειρογράφων ἀποκατέστησε τὰς θείας Γραφὰς ὁ πανεύφημος Ἔσδρας (ὃν οἱ ῥαββῖνοι καὶ δεύτερον Μωσῆν ἐπευφημοῦσιν), ὁ ἱερεὺς καὶ γραμματεὺς, καὶ νόμων ἱερῶν διδάσκαλος ἐπιφανὴς, θείου πνεύματος πλήρης ἐξήνυσε τὸ ἔργον κατωρθωκώς· διὸ καὶ ἄχραντον ἐξέδωκε, καὶ γνήσιον τὸν λόγον τοῦ Θεοῦ, τοῦ λαλή-

---

(α) Hotting. Thes. philolog. L. 1. c. 2. p. 112. — Huet. Dem. Evang. Pr. IV. c. 14. § 19. p. 171. καὶ ἄλλοι· πρβλ. καὶ Du-Pin Biblioth. des Aut. Eccl. Diss. prélim. p. 61. — Prideaux Hist. des Juifs, καὶ τὸν Schmid (Hist. antiq. et vindic. Canon. Sacr. V. et N. T. p. 235), ὅστις θέλει τοὺς Πατέρας ἐξάπαντος ἀρυσαμένους τὴν γνώμην ἐκ τῶν μυθολογούντων Καββαλιστῶν!! Πολὺ δὲ μετριώτερος καὶ σεμνότερος ὁ Βάλτων (Proleg. IV. §. 3. p. 174). βλέπε καὶ Fabricy, Des titres primitifs de la Révélation etc. T. 1. p. 79. Ὁ δὲ Βελλαρμῖνος (De verb. Dei II. c. 5) καὶ ἰδίως περὶ τοῦ Εἰρηναίου καὶ τοῦ Κλήμεντος καὶ Τερτυλλιανοῦ διαβεβαιοῖ, ὅτι μόνην τὴν ὑπὸ τοῦ Ἔσδρα ἀνακαίνισιν καὶ διόρθωσιν, σωζομένων τότε τῶν θείων Γραφῶν, ἐννοοῦσιν οἱ Πατέρες. πρβλ. καὶ Turnielli ad An. M. 3447. — Becani, Analog. Vet. et N. Test. p. 26. — Calmet. Dictionn. — Marchini l. c. p. 86. — G. Janin, Institut. Theologiae vol. 1. pag. 39. sq. Venet. 1793. — Liebermann, Institut. Theologicae. T. 2. p. 329. Mogunt. 1836. καὶ Dictionnaire de Theologie par l'abbè Bergier. T. 6. pag. 261. Paris 1844.

σαντος διὰ τῶν ἁγίων αὐτοῦ προφητῶν, καὶ τὴν θείαν γραφὴν ἀπὸ στόματος ἀπήγγειλε, μεμνημένος τῆς προφητικῆς ἀκριβείας, ἐν οἷς χωρίοις διώρθου καὶ διέκρινε τὰ πλημμελῆ τεύχη, συνεργούσης καὶ τῆς θείας ἐπιπνοίας. Εἰ δὲ καὶ Ὠριγένης ὁ θαυμάσιος εἶπεν, ὅτι « πᾶσαν τὴν παλαιὰν *ἀπεστομάτισεν* ὁ Ἔσδρας, ἀλλ' ὅμως προσέθηκε καὶ τὸ *νομικώτατος ὤν*, ὡς ἐν τῷ κατ' αὐτὸν δηλονότι σῳζομένῳ θείῳ νόμῳ θεοφιλῶς γεγυμνασμένος (ἢ πῶς ἂν ἄλλως ἐγένετο νομικώτατος;). Μήποτε δὲ καὶ Ὠριγένης ἐκεῖνος, καὶ ὁ Μ. Βασίλειος, καὶ αὐτὸς ὁ Θεοδώρητος οὐκ ᾔδεισαν, οὐδ' ἀνέγνων ἐν τῇ θείᾳ Γραφῇ, καὶ ἐν αὐτῷ τῷ Ἔσδρᾳ, τὰ προγεγραμμένα (ὄπισθ. σελ. 23, 24) τεκμήρια τῆς καὶ πρὸ τοῦ Ἔσδρα προϋπάρξεως ὀλίγων προφητικῶν ἀντιγράφων; ἀλλὰ περὶ τούτου σκοπείτωσαν αὐτοὶ πάλιν οἱ δεινοὶ κριτικοί· οἷς, ὡς ἔοικεν, ἀπέκειτο πᾶσαν τὴν ἀλήθειαν ἐν τοῖς γραφικοῖς θεωρήμασιν ἐξευρίσκειν· τοὺς δὲ μακαρίους ἡμῶν πατέρας ἀμαθεῖς ἐν τούτοις ἄρα καὶ λήροις *καββαλαίοις* προσέχοντας ἐξελέγχουσι! καὶ ταῦτα πολλάκις ἐν οἷς τῆς ἐκείνων διδασκαλίας *τὴν βρῶσιν ἔχουσιν ἐν τῷ στόματι αὐτῶν* »! Καὶ ταῦτα μὲν οὗτοι. Ὁ δὲ μακάριος Ἔσδρας εἶχε συγχρόνους καὶ τοὺς θειοτάτους προφήτας Ἀγγαῖον καὶ Ζαχαρίαν τοὺς γεραιτέρους (οἷς ἐπηκολούθησε νεώτερος καὶ Μαλαχίας ὁ τῶν ἐν τῇ παλαιᾷ Διαθήκῃ θεσπεσίων προφητῶν ἔσχατος ἀριθμούμενος) (α), μεθ' ὧν, καὶ μετὰ τῆς μεγάλης Συναγωγῆς συνεπικυρούσης, ἐκανόνισε πρῶτος τὸν ἱερὸν κώδηκα τῶν προφητικῶν Γραφῶν. Ταύταις δὲ προσετέθη καὶ ἡ βίβλος αὐτοῦ τοῦ Ἔσδρα, καὶ ἡ τοῦ κατόπιν αὐτοῦ ἀναβάντος εἰς Ἱεροσόλυμα Νεεμίου, ὡς θεόπνευστοι καὶ αὗται παρομοίως ἀμφότεραι κεκριμέναι, καὶ οὕτως ἐπὶ τοῦ Νεεμίου συναπηρτίσθη ὅλος ὁ κώδηξ τῶν *(κατὰ τὸν Ἐσδραῖον κανόνα)* κανονικῶν παρ' Ἑβραίοις

(α) Βλ. Κυριλλ. *Ἀλεξανδρ. ἐν προοιμίοις εἰς Ἀγγαῖον, Ζαχαρίαν, Μαλαχίαν.* — S. Hieron. praef. ibid.—*Θεοδώρητ. ὑποθέσ. εἰς Ζαχαρ. κτλ. πρβλ.* Huet. Dem. Evang. Pr. IV. *καὶ* Crit. Sacros Annot. ad Prophet. ibid.

Γραφῶν (α), περιέχων τὰ αὐτόγραφα τῶν περὶ τὸν Ἔσδραν. Ἀνε-τέθη δὲ καὶ οὗτος ἐν τῇ κατὰ τὸν ἀνακαινισθέντα ναὸν κιβωτῷ τῶν ἱερῶν βίβλων, ὅπως ἂν ἄχραντα διαμείνωσι τὰ τεύχη καὶ ἀνόθευτα, καὶ γνώμων ἀσφαλὴς τῆς ἀκριβείας τῶν ἀντιγράφων· καὶ τοῦτο καλῶς ὅ,τε Ἰώσηπος μαρτυρεῖ, μνημονεύων « *τὴν ἐν τῷ ἱερῷ ἀνακειμένην γραφὴν* », καὶ Τερτυλλιανὸς, καὶ ὁ θεῖος

(α) Ἰώσηπ. κ. Ἀπίων. Α. §. 8. πρβλ. Walton. Proleg. IV. §. 2. p. 172.—Wolf. Bibl. Hebr. P. 2. Sect. 1. §. 1—5. — Passini Dissert. select. in Pentateuchum p. XI.—Carpzov. Crit. Sacr. p. 56.—Kennicot. Diss. II. p. 297, 298, κτλ. Οἱ δέ τινες τῶν νεωτέρων οὐδὲ θείου πνεύματος ὁδηγίᾳ θέλουσι τὸν Ἔσδραν ποιήσαντα τὴν συλλογὴν τῶν θείων Γραφῶν, εἰσάγουσι δὲ τοῦτον ἐκδεδωκότα τὴν ἱερὰν βίβλον, πρόχειρον αὐτὴν παρ' ἑαυτῷ καὶ τελείαν κεκτημένον. καὶ φέρουσι μαρτυρίαν τὴν ἀπὸ τοῦ Νεεμίου (η, ι), ὅπου ὁ λαὸς παρεκάλεσε τὸν Ἔσδραν, οὐχ ἵνα (φασὶν) ἀπο-καταστήσῃ δι' ἐπιπνοίας τοῦ θείου πνεύματος, ἀλλ' ὅπως « ἐ ν έ γ κ ῃ τ ὸ β ι-β λ ί ο ν τ ο ῦ ν ό μ ο υ Μ ω ϋ σ ῆ » (ἴσ. τὸ Δευτερονόμιον) - « καὶ ἤνεγκεν Ἔσδρας τὸν νόμον-, καὶ ἀνέγνω ἐν αὐτῷ » (βλ. Schmid. l. c. p. 230). Ἀλλὰ πόσον ἄτοπα συμπεραίνουσιν οἱ ἄνδρες ἐκ τῆς θείας ταύτης ῥήσεως, εὐκόλως πᾶς τις συνομολο-γήσει. Μὴ γὰρ διορίζει τὸ ῥητὸν, ὅτι πρὸ τῆς ἀναθεωρήσεως τοῦ Μωσαϊκοῦ νόμου ἀνέγνω τοῦτον ὁ Ἔσδρας πρὸς τὸν λαόν; Ἂν δὲ καὶ τοῦτο δῶμεν, καὶ προθύμως δίδομεν, ὅτι δηλαδὴ ὁ Ἔσδρας οἷον εἶχε πρόχειρον παρ' ἑαυτῷ ἀνέγνω τὸ Δευτε-ρονόμιον, ἢ μέρος τούτου μόνον (πῶς γὰρ ἂν ἠδύνατ' ἀναγνῶναι ἀπ' ἀνατολῆς ἡλίου μέχρι μεσημβρίας (Ἔσδρ. αὐτόθ.) μήτι γε τὴν Πεντάτευχον ὅλην, ἀλλ' αὐτὸ γοῦν τὸ Δευτερονόμιον ὁλόκληρον, καὶ τοῦτο παραφράζων, καὶ ἐξηγῶν μετὰ τῶν περὶ αὐτῶν Λευϊτῶν πρὸς τὸν λαὸν, εἰς ἀκριβεστέραν τῶν θείων λόγων κατανόη-σιν;)· πλὴν ἀλλὰ καὶ τούτου δοθέντος, μήπως τὸ ῥητὸν ἀποκλείει τὴν ἐφεξῆς ὑπὸ τοῦ πνευματεμφόρου Ἔσδρα διάκρισιν καὶ συλλογὴν τῶν γραφῶν; ἢ μήπως ὅλος ὁ κώδηξ τῆς ἱερᾶς βίβλου συνίστατο ἐκ μόνου τοῦ Δευτερονομίου, ἢ καὶ ἐξ ὅλης τῆς Πεντατεύχου; ἢ μήπως προσῆκεν εἰς τὸν λαὸν, ἵνα παρακαλέσῃ τὸν Ἔσδραν εἰς συλ-λογὴν καὶ ἀνανέωσιν τοῦ ἱεροῦ κώδηκος, καὶ οὐχὶ εἰς τοὺς τότε συγχρόνους ἱεροὺς ἄνδρας τῆς μεγάλης Συναγωγῆς, ἐν οἷς ἦσαν καὶ ὁ ἀρχιερεὺς, καὶ οἱ συνακμάζον-τες προφῆται; Καὶ ἄλλως δὲ ἀντιπεριπίπτουσιν εἰς ἑαυτοὺς οἱ τοιαῦτα δογματί-ζοντες. Τὴν μὲν γὰρ αὐτοῦ τοῦ Ἔσδρα βίβλον θεόπνευστον καὶ κανονικὴν ὁμολο-γοῦσι, καλῶς ποιοῦντες· αὐτὸν δὲ τὸν Ἔσδραν ἄμοιρον θείου πνεύματος καὶ παν-τάπασιν ἀθείαστον ἐθέλουσι κατὰ τὴν ἔκδοσιν ἁπάντων τῶν θεοπνεύστων τευχῶν! τί τούτου παραδοξότερον; Ὁ δὲ Πριδῶς (Prideaux) ὑπὸ Σίμωνος τοῦ Δικαίου (ἔτει 150, μετὰ τὸν Μαλαχίαν) νομίζει τὸν κανόνα τῶν ἑβραϊκῶν Γραφῶν σφρα-γισθέντα, κακῶς νομίζων. Οὕτω καὶ ὁ Σπινόζας (Tract. Theolog. c. 10) μόλις ἀπὸ τῶν Μακκαβαϊκῶν χρόνων κατήγαγε τὸν κανόνα, βουλόμενος ἀποδεῖξαι τὰς θείας βίβλους χύδην καὶ σποράδην ἀθεωρήτους, ἀορίστους, ἀκυρώτους διὰ μακροῦ

Ἐπιφάνιος, καὶ ἄλλοι, περὶ ὧν προείπομεν ἀνωτέρω (§. β.). Ἀλλὰ καὶ αὐτὸς ὁ Νεεμίας « καταβαλλόμενος βιβλιοθήκην, ἐπισυνήγαγε τὰ περὶ τῶν βασιλέων καὶ προφητῶν, καὶ τὰ τοῦ Δαβὶδ, καὶ ἐπιστολὰς βασιλέων περὶ ἀναθημάτων » (Β. Μακκαβ. β, 13). Ὥστε καὶ κατὰ τὴν Νεεμιαίαν ταύτην βιβλιοθήκην ἦσαν καὶ ἀντίγραφα τοῦ Ἐσδραίου κώδηκος, ὡς εἴπομεν καὶ ἐν τοῖς προλαβοῦσι (Βιβλ. Β. κεφ. ζ. σελ. 480) (α).

φερομένας, ὅθεν καὶ παντοίων ἀλλοιώσεων καὶ προσθηκῶν πανδέκτας! πρβλ. καὶ Janssens, Hermeneut. Sacr. pag. 6. Ὁ δὲ Σιμώνιος (Hist. Crit. Vet. Test. L. I. c. 8) *ἄλλο τι παράδοξον ἐσοφίσατο· ὅτι δῆθεν μετὰ τὴν ἐκ* Βαβυλῶνος *ἐπάνοδον οἱ Ἰουδαῖοι ἐκλογήν τινα ποιησάμενοι τῶν καταλειφθέντων δημοσίων ὑπομνημάτων, μέρος μὲν αὐτῶν ἐδημοσίευσαν, μέρος δὲ κατέθεντο ἐν τοῖς ἀρχείοις· καὶ τοῦτο δὴ τὸ δεδημοσιευμένον μέρος τῆς ἐκλογῆς ἐπωνόμασαν* Κανονικόν.» κτλ. Ἀλλ' *ἀπήντησαν γενναίως πρὸς τὸν φιλοκαινοτόμον Σιμώνιον ἄλλοι τε καὶ ὁ* Frickius (de cura Ecclesiae Vet. circa canon. Sacr. Script. p. 30. πρβλ. Fabricy Des titres primitifs de la Révélation etc. vol. I. p. 81). Καὶ *ἄλλοι δὲ νεώτεροι Σιμωνίῳ καὶ Σπινόζᾳ κατὰ τοῦτο συμφωνοῦντες, ῥαββινικὴν μυθολογίαν ὑπέλαβον τὴν παρὰ τοῖς ἀρχαίοις ἅπασι καὶ τοῖς πλείστοις δὴ τῶν νεωτέρων σοφοῖς ἀνωμολογημένην ὑπὸ τοῦ Ἔσδρα συλλογὴν τῶν κανονικῶν Γραφῶν· « οὐδὲν γὰρ (λέγουσι) περὶ ταύτης οὔτε ὁ Ἰώσηπος, οὔτ' αὐτὸς ὁ Ἔσδρας ἐμνημόνευσε »* (Bauer, Einleit. p. 35). Ἀλλ' *ὁ μὲν Ἰώσηπος οὐδὲ τῆς ἰδίας βίβλου τοῦ Ἔσδρα ῥητῶς καὶ ἐξ ὀνόματος ἐπεμνήσθη, οὐδὲ τῆς τοῦ* Νεεμίου *(καίτοι τούτων τὴν ἱστορίαν ἀναγράψας)· τήν γε μὴν ἐπὶ τοῦ Ἔσδρα συλλογὴν τῶν κανονικῶν γραφῶν ἱκανῶς ὑπεσήμανε, διορίσας μέχρις* Ἀρταξέρξου *(καθ' ὃν ὁ Ἔσδρας ἤκμαζε) τὸ τέρμα τῶν κανονικῶν* Γραφῶν *(κατὰ Ἀπίων. α, 8).* Αὐτὸς *δὲ πάλιν ὁ Ἔσδρας ἅλις ἐξεδήλωσεν (ὡς νομίζομεν) τὴν συλλογὴν τῶν ἱερῶν βίβλων, γράψας ἐπὶ λέξεως ταῦτα. «Ὅτι Ἔσδρας ἔδωκε τὴν καρδίαν αὐτοῦ* ζητῆσαι τὸν νόμον, *καὶ* ποιεῖν καὶ διδάσκειν ἐν Ἰσραὴλ προστάγματα καὶ κρίματα» (*Ἔσδρ. ζ,* 10)· *καὶ* (Α. *Ἔσδρ. η,* 7) *« ὁ γὰρ Ἔσδρας πολλὴν ἐπιστήμην περιεῖχεν εἰς τὸ μηδὲν παραλιπεῖν τῶν ἐκ τοῦ νόμου κυρίου » κτλ.* Εἰ *δὲ ταῦτα μὴ πείθουσι τοὺς κριτικοὺς, ἀλλ' ὅμως οὐκ ἂν ἀρνηθεῖεν, ὅτι ὁ τοῦ Ἔσδρα συνεργὸς Νεεμίας (ἐφ' οὗ ἐπεσφραγίσθη ὁ Ἐσδραῖος κατάλογος) συνήγαγε βιβλιοθήκην, ἐν ᾗ πάντως ἦσαν καὶ τῶν ἤδη κεκανονισμένων καὶ ἐνδιαθήκων βιβλίων κώδηκες* (Β. Μακκαβ. *β.* 13).

(α) Ὅθεν καὶ παρ' ἄλλοις ἀρχαίοις τῆς Ἀσίας λαοῖς ἐν τοῖς ναοῖς ἀνέκειντο τεθησαυρισμένα καὶ τὰ παρ' αὐτοῖς ἱερὰ βιβλία, καὶ πολιτικῶν διατάξεων καὶ χρονικῶν ἀναγραφαί. Ὁ ἱερὸς Κλήμης διέγραψεν ἐπιχαρίτως τὰ παρ' Αἰγυπτίοις ἱερὰ βιβλία τοῦ Ἑρμοῦ (Στρωματ. ϛ. σελ. 426). Ὁ Σαγχωνιάθων συνέγραψε τὴν ἱστο-

§. θ. Οὕτως οὖν ἐπανῆλθον πάλιν εἰς τοὺς Ἰουδαίους καὶ τὸν δεύτερον ναὸν τῆς Ἰερουσαλὴμ διὰ τοῦ θεοφορήτου Ἔσδρα τὰ κανονικὰ βιβλία τῆς παλαιᾶς θείας Γραφῆς ἀκέραια καὶ γνήσια, οἷα τὸ πρῶτον ἐξῆλθον ἐκ τῶν χειρῶν τῶν θεοπνεύστων αὐτῶν συγγραφέων. Εἰ δὲ κἀν τῇ Μωσαϊκῇ Πεντατεύχῳ καὶ ἀλλαχοῦ φαίνονται μικραί τινες περὶ λέξεις, ἢ γνώμας προσθῆκαι, νεώτεραι δοκοῦσαι τοῦ ἱεροῦ συγγραφέως (α), ἀλλὰ καὶ αὗται προσ-

---

ρίαν, συναγαγὼν τὰς ὑποθέσεις ἐκ τῶν κατὰ πόλιν ὑπομνημάτων καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν. ὡς ὁ Εὐσέβιος μαρτυρεῖ (Εὐαγ. Προπαρ. α. 9). Ἄλλα παρ' ἄλλοις ἀρχεῖα βλέπε παρ' Ἰωσήπ. κ. Ἀπίων. Α, κδ, κϛ, κτλ.

(α) Οἷον τὸ τελευταῖον τοῦ Δευτερονομίου κεφάλαιον (ἀπὸ τοῦ 5 ἐδαφίου μάλιστα μέχρι τέλους), ἐν ᾧ διαγράφεται τοῦ Μωσέως ἡ τελευτὴ, ὑπ' αὐτοῦ τοῦ Ναυΐδου Ἰησοῦ πιθανώτατα προστεθειμένον. Ὅθεν καὶ ὁ Σύρος ἀρχαιότατος μεταφραστὴς ἐσημείωσε πρὸς τῷ τέλει τῆς Πεντατεύχου, ὅτι «τὸ Δευτερονόμιον συνέταξε μὲν Μωϋσῆς, διέταξε δὲ καὶ ἐξεπέρανεν ὁ ὑπουργὸς αὐτοῦ Ἰησοῦς ὁ τοῦ Ναυῆ». Ὁ δὲ Φίλων καὶ Ἰώσηπος ἐδόξασαν, ὅτι καὶ τοῦτο γέγραφεν αὐτὸς ὁ θεῖος Μωσῆς, τὰ καθ' ἑαυτὸν προφητεύσας. Ἐν τῇ Πεντατεύχῳ φαίνονται καί τινες τῶν Μωσέως χρόνων νεώτεραι τόπων ὀνομασίαι (πρὸς ἐπεξήγησιν τῶν ἀπαρχαιωθέντων ὀνομάτων ἐπενεχθεῖσαι)· ἀλλὰ τὰ τοιαῦτα ἀπαντῶνται καὶ ἐν αὐτῇ τῇ Σαμαρειτικῇ Πεντατεύχῳ, μαρτυρούσῃ τὸ ἀρχαῖον καὶ θεόπνευστον κῦρος τῶν τοιούτων προσθηκῶν. Τὰ δὲ πάλιν ἀπὸ τοῦ 29 ἐδαφίου μέχρι τέλους τοῦ ἐσχάτου κεφαλαίου Ἰησοῦ τοῦ Ναυῆ (τὰ διαλαμβάνοντα περὶ τῆς τούτου τελευτῆς καὶ ταφῆς), καὶ εἴ τινα ἄλλα τοιαῦτα, φαίνονται τὰ μὲν ὑπὸ τοῦ προφήτου Σαμουὴλ, τὰ δὲ καὶ ὑπ' ἄλλων προφητικῶν ἀνδρῶν ἐκ θείας ἐπιπνοίας προστεθέντα, καὶ ἔκπαλαι ὑπὸ τῆς μεγάλης Συναγωγῆς ἐπικυρωθέντα· λέγει δὲ καὶ παλαιὸς ἀνεπίγραφος Σχολιαστὴς (εἰς τὸ Δευτερονόμιον κζ, 4) ὅτι « Νεώτερος ὢν (τοῦ Μωσέως) ὁ συλλέξας τὰς ἁγίας Γραφὰς Ἔσδρας ὁ προφήτης, ἢ ἕτερός τις, ἀπὸ τῶν ἐπ' αὐτοῦ πολιτευομένων (ὀνομάτων) ὀνομάζει τὸ τόπους, ὥσπερ οὖν καὶ Ἱερουσαλὴμ καλεῖ τὴν Ἰεβοὺς καλουμένην ἐπὶ τῶν ἀρχαίων, καὶ Βηθλὲμ τὴν Ἐφραθᾶ (Σειρ. εἰς τὴν Ὀκτάτευχ. Τόμ. α. σελ. 1584. πρβλ. καὶ Ὠριγεν. εἰς Ἰησοῦ ϛ, 26 ἐν Σειρᾷ αὐτόθ. Τόμ. β. σελ. 41). Βλέπε καὶ τὰς ἐκ τῶν τοιούτων προσθηκῶν κατὰ τῆς Πεντατεύχου παρὰ τῶν ἐναντίων εἰκαιομυθίας, καὶ τὰς κατ' αὐτῶν γενναίας ἀπαντήσεις παρὰ Huet. Demost. Evang. καὶ Du-Pin Biblioth. des Aut. Eccl. Diss. prélimin. p. 27, καὶ Rosenmüller Scholia in V. Test. in comp. redact. vol. 1. p. 6—18 κτλ. Ἄνεμον ἐπίσης ἐθήρευσαν καὶ ὅσοι τῶν νεωτέρων ὑψηλῶν κριτικῶν ἐπὶ πλέον ἐφυσιώθησαν, οὐ μόνον τὰς τοιαύτας μικρὰς προσθήκας συκοφαντοῦντες, ἀλλὰ καὶ χωρία οὐσιώδη καὶ ἐπικαιρότατα, καὶ κεφάλαια ὅλα τῆς ἱστορικῆς

ετέθησαν ὑπὸ τῶν ἑξῆς ἐπελθόντων θεοπνεύστων προφητῶν, καὶ τούτων αἱ πλεῖσται (οἷον τὸ ἔσχατον τοῦ Δευτερονομίου κεφάλαιον, καὶ ἄλλα) κεῖνται καὶ ἐν τῇ ἀρχαιοτάτῃ Σαμαρειτανῇ Πεντατεύχῳ (α), περὶ ἧς προείπομεν ἀνωτέρω (§. ε).

§. ι. Τοιαύτη συντόμως ἡ τοῦ ἑβραϊκοῦ κειμένου ἱστορία κατὰ τὴν Α περίοδον, τὴν ἀπὸ Μωσέως, μέχρις οὗ Ἔσδρας ἐξέδωκε τὰς Γραφάς.

Β. ΠΕΡΙΟΔΟΣ, ἐτῶν 400.

Ἀπὸ τῆς ἐκδόσεως τοῦ κανόνος τῶν Γραφῶν, μέχρι τῆς ἐπιφανείας Χριστοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν.

§. ια. Ἀπὸ τῆς Ἐσδραίας ἐκδόσεως τῶν θείων Γραφῶν, ὡς ἐκ πηγῆς καθαρωτάτης, ἐξέῤῥευσαν πολλὰ πάντως ἀντίγραφα, εἰς τοὺς ἁπανταχοῦ Ἰουδαίους διαδοθέντα. Ὅτι δὲ ταῦτα διὰ πολλοῦ τοῦ χρόνου διέμειναν καθαρὰ καὶ ἀμόλυντα πάσης διαφθορᾶς (καὶ μάλιστα κατὰ τὴν Παλαιστίνην καὶ Ἱερουσαλὴμ, ὅπου καὶ τὰ ἀρχέτυπα διετηροῦντο), μόλις ἄν τις πυῤῥωνιστὴς ἀμφιβάλλοι. Καθότι καὶ πεπαιδευμένοι ἄνδρες ἦσαν τότε, καὶ ἀρχιερεῖς καὶ ἱερεῖς καὶ νομοδιδάσκαλοι (οἱ καὶ *γραμματεῖς*, ὡς τὸν νόμον ἀν-

---

σειρᾶς τῆς Πεντατεύχου, νόθα καὶ παρέγγραπτα, καὶ πολλῷ τῆς Μωσέως ἡλικίας νεώτερα δῆθεν ἀποδεικνύντες, ὡς ἐπῆλθεν αὐτοῖς εἰκάσαι ἔκ τινων (ὡς λέγουσι) φράσεων, καὶ φωνῶν, καὶ τῆς τοῦ λόγου συνθήκης καὶ κατασκευῆς· ὡς ἂν συνιέντες οἱ ἄνδρες (οὐχ ὁρᾷς;) ἀκριβῶς καὶ ἐπισταμένως ἅπαντας ἐκείνης τῆς Μωσαϊκῆς γλώσσης, ὡς καὶ τῆς μητρικῆς αὐτῶν διαλέκτου, τοὺς ἰδιωτισμούς! (οἷα ποιοῦσι Vater, Comment. ûber den Pentateuch, καὶ De Wette, καὶ Bertholdt, καὶ ἄλλοι, περὶ ὧν προείπομεν καὶ ἀλλαχοῦ· βλ. Βιβλ. Β. κεφ ι. §. κζ. σελ. 644. πρβλ. καὶ Gesenij De Pentateuchi Samarit. origine etc.). Ἀλλ' ἀπήντησαν καὶ πρὸς ταύτην τὴν μεγάλα φρυάττουσαν, καὶ σοφιστιῶσαν, καὶ κενοδοξίας πειναλέαν κριτικὴν ἄλλοι πάλιν ἄνδρες οὐχ ἧττον ἐπίσημοι καὶ γνωστοὶ, πολὺ δὲ μᾶλλον μετριόφρονες, καὶ φιλαλήθεις, καὶ τὸν δι' αἰῶνος διαμένοντα θεῖον λόγον σεβόμενοι μᾶλλον, ἢ τὸν ἐπ' αἰσχύνῃ καὶ αὐτοῦ παρὰ τοῖς μεγαλαύχοις κριτικοῖς προτιμώμενον ὀρθὸν λόγον, τὸν καθ' ἑαυτὸν πτωχὸν καὶ ἀσθενῆ, καὶ πολλάκις ἐλεγχόμενον «δειλὸν δειλαίων θνητῶν λογισμόν.»

(α) Kennicot. Diss. II. pag. 295.

τιγράφοντες, ἐπωνομασμένοι), ὅσοι μάλιστα μετὰ τοῦ Ἔσδρα καὶ τῶν συγχρόνων προφητῶν καὶ ἱερογραμματέων συνανεστράφησαν, καὶ ἐξεπαιδεύθησαν. Ἀδιαλείπτως δὲ καὶ τὸν Νόμον ἀνεγίνωσκον ἔν τε τῷ ναῷ, καὶ τοῖς δικαστηρίοις, καὶ ταῖς κατὰ τόπον συναγωγαῖς (προστεθείσης καὶ τῆς ἀναγνώσεως τῶν προφητῶν· βλ. ὄπισθ. Βιβλ. Β. σελ. 481). Ἀλλὰ καὶ ἡ γλῶσσα ἡ ἑβραϊκὴ ἤκμαζεν εἰσέτι τότε μέχρι καιροῦ, μήπω τέλεον διαφθαρεῖσα (ὡς δειχθήσεται ἐν τοῖς ἐφεξῆς). Καὶ λίαν ἔπεισιν ἀπορεῖν, πῶς ὁ κλεινότατος Κεννικῶτος ἐνόμισεν, ὅτι πάνυ πρώϊμα, καὶ πρὶν ἢ μεταφράσωσιν οἱ Ο τὰς Γραφὰς, παρεισέδυσαν διαφθοραί τινες εἰς τὸ κείμενον τὸ ἑβραϊκὸν (καὶ μάλιστα κατὰ τὴν Παλαιστίνην, καὶ τὴν Ἱερουσαλὴμ, καθ᾽ἣν εἰσέτι πρόσφατα καὶ νεαρὰ τὰ πρωτόγραφα τοῦ Ἔσδρα διετηροῦντο). Πρώτην δὲ λέγει ὑπ᾽ αὐτῶν τῶν Ἰουδαίων ἐξεπίτηδες κακουργηθεῖσαν ἐν τῷ Δευτερονομίῳ, μεταξὺ τοῦ 400 καὶ 300 ἔτους π. Χ. ὁπότε οὗτοι διεφέροντο πρὸς τοὺς Σαμαρείτας περὶ τοῦ ὄρους Γαριζεὶν (ἢ Γαριζεὶμ), καὶ τοῦ Γαιβάλ (α). Ἐν δὴ τῷ περὶ τού-

---

(α) Βλ. Δευτερ. κζ, 4, 12, 13· Ὅπου τὸ ἑβρ. (ὡς καὶ οἱ Ο) λέγει ταῦτα· «Καὶ ἔςαι, ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, ςήσετε τοὺς λίθους τούτους, οὓς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν ὄρει ΓΑΙΒΑΛ, καὶ κονιάσεις αὐτοὺς κονίᾳ, καὶ οἰκοδομήσεις ἐκεῖ θυσιαστήριον» κτλ. καὶ, «Οὗτοι στήσονται εὐλογεῖν τὸν λαὸν, ἐν ὄρει ΓΑΡΙΖΕΙΝ, καὶ, «Οὗτοι ςήσονται ἐπὶ τῆς κατάρας ἐν ὄρει Γαιβάλ». Τὸ δὲ Σαμαρειτανὸν πάντα τἄλλα συμφωνοῦν, μόνον ἀντὶ μὲν τοῦ Γαριζεὶν γράφει πανταχοῦ Γαιβὰλ, ἀντὶ δὲ τοῦ Γαιβὰλ ἔχει τἀνάπαλιν Γαριζείν. [Εστι δὲ τοῦτο παρὰ τῷ Γαιβὰλ παρακείμενον ὄρος, ὅπερ ἐσχηματίσθη καὶ Ἀργαριζὶν, καὶ Ἀργάριζον (Εὐπόλεμ. παρ᾽ Εὐσεβ. Εὐαγ. Προπ. σελ. 245: καὶ Δαμασκ. παρὰ Φωτ. ἀναγ. ρμβ. σελ. 1055). Τοῦτο δ᾽ οὐκ ἄν τις εἴποι οἷον Ἀγάῤῥιζον (ἄγαν ἐῤῥιζωμένον), ἀλλὰ σύνθετον ἐκ τοῦ ἑβραϊκοῦ Har, Ἅρ = ὄρος, καὶ τοῦ Γαριζείν· ὡς καὶ τὸ Ἀρμαγεδδὼν (Ἀποκαλ. ις, 16) ἐκ τοῦ Ἀρ-Μαγεδὼν (Κριτ. ε, 19). Τοιοῦτο καὶ τὸ παρὰ τῷ Τακίτῳ (Anal. 15) τὸ Συριακὸν Armosata = ὄρος ἡλίου, ὡς ἐξηγοῦσιν οἱ κριτικοί. Ὑπέρκειται δὲ τὸ Γαριζεὶν τῆς πόλεως Σικίμων, τῆς καὶ ἄλλως Συχὲμ, καὶ Σιχὰρ, καὶ μετὰ ταῦτα Νεαπόλεως (καὶ νῦν βαρβάρως Ναπλούς). Βλ. Ἰωσήπ. Ἀρχ. Δ, η, 44: Ε, α, 19: ΙΑ, η, 2. κτλ. Ὁ δὲ ἱερὸς Ἐπιφάνιος (Τ. α, σελ. 25), καὶ ὁ Ἱερώνυμος, παρὰ τὴν Ἱεριχὼ λέγουσι κεῖσθαι τὸ Γαριζεὶμ καὶ τὸ Γαιβάλ. βλ. καὶ Scalig. Animadv. in Chron. Euseb. p. 125). Καὶ ταῦτα μὲν ἐν παρόδῳ περὶ τοῦ Γαριζείμ]. Καὶ τοίνυν, κατὰ μὲν τὸ ἑβρ. κείμενον, ἐπὶ τοῦ Γαιβὰλ ἐκτίσθη τὸ θυσιαστήριον, κἀκεῖθεν ἐξεφωνήθησαν αἱ

των χωρίῳ τῆς Γραφῆς ῥᾳδιουργοῦντες οἱ Ἰουδαῖοι, ἔγραψαν θάτερον ἀντὶ τοῦ ἑτέρου ὀνόματος, πρὸς ἔλεγχον τῶν Σαμαρειτῶν. Ἀλλ' ὅμως ἡ Σαμαρειτανὴ Πεντάτευχος σῴζει καὶ νῦν ἔτι τὴν ἀρχαίαν γραφήν » (α). Τοιαῦτα ἔκρινεν ὁ Κεννικῶτος, καὶ διὰ πολλῶν καὶ λίαν εὐμόρφων λόγων ἐπραγματεύσατο. Ἀλλ' ὅτι μὲν ὑπὸ τῶν Ἰουδαίων καὶ τῶν Σαμαρειτῶν, ἑκόντων τε πολλάκις καὶ ἀκόντων (διὰ τὴν ἀντιγραφέων ἀβλεψίαν) διεφθείρετο κατὰ καιροὺς τὸ κείμενον τῆς Πεντατεύχου, συνομολογοῦμεν, καὶ ὀψόμεθα ἐν τοῖς ἑξῆς. Ὅσον δὲ περὶ τοῦ προκειμένου ζητήματος ὁ σοφὸς ἀνὴρ

κατάραι (ὡς δεσμοί τινες φρικώδεις, ἀπ' αὐτοῦ τοῦ θυσιαστηρίου καὶ τοῦ καθιερωμένου τόπου τοῖς Ἰσραηλίταις ἐπιτεθέντες πρὸς τὴν τοῦ νόμου φυλακήν). Ἐκ δὲ τοῦ Γαριζεὶν ἐξεφωνήθησαν ἁπλῶς αἱ εὐλογίαι τοῖς φυλάξουσιν αὐτόν. Κατὰ δὲ τὸ Σαμαρειτανὸν, τὸ θυσιαστήριον ἐκτίσθη ἐπὶ τοῦ Γαριζεὶν, ὅθεν διεκηρύχθησαν καὶ αἱ εὐλογίαι. Ἐκ δὲ τοῦ Γαιβὰλ ἐξεφωνήθησαν μόναι αἱ κατάραι (βλ. Δευτερ. κζ, 4—16). Ἐν τούτῳ τῷ Γαριζεὶν κατὰ τοὺς Ἀλεξάνδρου χρόνους (περὶ τὸ 320 π. Χ.) Μανασσῆς ὁ ἀδελφὸς Ἰαδδοῦ, τοῦ ἀρχιερέως τῶν Ἱεροσολύμων, μὴ δυνάμενος μετέχειν τῆς ἀρχιερωσύνης, ὡς ἀλλοφύλῳ γυναικὶ, συνοικῶν, τῇ θυγατρὶ τοῦ Πέρσου Σαναβαλλέτου (Σαναβαλλάτ. βλ. Νεεμ. ιγ, 28), Σαμαρείας ἐπάρχου (ἐπὶ Δαρείου τοῦ ἐσχάτου καὶ τῆς ἀναβάσεως Ἀλεξάνδρου), ἦλθε πρὸς τὸν πενθερὸν ὁ Μανασσῆς, καὶ ναὸν ᾠκοδόμησεν ἐπὶ τοῦ Γαριζεὶν ὄρους, ὅμοιον τῷ τῆς Ἱερουσαλὴμ, ὅπου διέτριβεν ἀρχιερατεύων· πολλοὶ δὲ καὶ ἱερεῖς καὶ Λευῖται, γάμοις ὁμοίως ἀθέσμοις συμπεπλεγμένοι, ἀπέστησαν ἐξ Ἱερουσαλὴμ πρὸς τὸν Μανασσῆν (Ἰώσηπ. Ἀρχ. ΙΑ. η. §. 2. πρβλ. Scalig. De Emendation. tempor. pag. 64). *Ἐντεῦθεν οἱ Σαμαρεῖται ἀπέκλινον μὲν πολὺ μᾶλλον, ἢ τὸ πρότερον, εἰς τὸν Ἰουδαϊσμὸν, ἀλλ' ὅμως πρὸς τοὺς γνησίους Ἰουδαίους ἐμάχοντο σφοδρότερον ἤδη, λέγοντες, ὅτι « ἐν τῷ ὄρει τούτῳ, τῷ Γαριζεὶν, δεῖ προσκυνεῖν (Ἰωάν. δ), ὡς ἐπ' αὐτοῦ δηλονότι κελεύσαντος τοῦ Θεοῦ κτίσαι θυσιαστήριον (κατὰ τὸ Δευτερον. κζ). Οἱ δὲ πάλιν Ἰουδαῖοι ἐξήλεγχον αὐτοὺς ἐκ τῶν παρ' αὐτοῖς Γραφῶν, ὅτι μήτ' ἐπὶ τοῦ Γαριζεὶν ἐκτίσθη τὸ θυσιαστήριον, ἀλλ' ἐπὶ τοῦ Γαιβὰλ, καὶ ὅτι ἐν Ἱερουσολύμοις δεῖ προσκυνεῖν. Διὰ τὸ διηνεκὲς τοῦτο μῖσος καὶ ὕστερον ἐπὶ τοῦ Φιλομήτορος ἐν Ἀλεξανδρείᾳ οἱ Σαμαρεῖται πρὸς τοὺς Ἰουδαίους ἐστασίασαν μέχρι θανάτου (Ἰώσηπ. Ἀρχ. ΙΓ. γ. §. 4)· τὸν δὲ ναὸν, διαμείναντα περίπου 200 ἔτη, κατέσκαψεν ἐκ θεμελίων μετὰ τῆς πόλεως ὕστερον ἐπιστρατεύσας ὁ ἀρχιερεὺς καὶ ἐθνάρχης Ὑρκανός (Ἰώσηπ.).*

(α) Βλ. Kennicot. Diss. II. p. 118. καὶ 298. Τοιαῦτα καὶ πρὸ τοῦ Κεννικώτου διϊσχυρίσθη ὁ Basnage (Hist. des Juifs Tom. 1. part. 1. Liv. 2. ch. 4. p. 57), καὶ ὁ Βίστων (An Essay towards restoring the true text etc. p. 169).

ἠπατήθη (καθὰ καὶ Βίστων πρότερον αὐτοῦ). Πολὺ πλέον εὐλογώτερον φαίνεται καὶ ἐκ πρώτης ἐπιβολῆς, ὅτι οἱ Σαμαρεῖται διέφθειραν τὴν γραφὴν, ἀντικαταστήσαντες τὸ *Γαριζεὶν* ἀντὶ τοῦ *Γαιβὰλ* ἐξ ἀνάγκης, ὅπως δικαιολογήσωσι καὶ καθοσιώσωσι τὴν παράνομον οἰκοδομὴν τοῦ ναοῦ· εὐκολώτερον δὲ δήπου μετέστρεφον τὴν λέξιν οἱ ὀλίγοι Σαμαρεῖται (καὶ πρῶτος ἴσως αὐτὸς ὁ ἀνίερος Μανασσῆς, καὶ οἱ περὶ αὐτὸν μιάστορες προδόται τοῦ θείου νόμου), σκευωροῦντες ἐν τοῖς παρ' αὐτοῖς ὀλίγοις ἀπογράφοις τῆς Πεντατεύχου, ἤπερ οἱ πολυπληθεῖς, καὶ πολλαχοῦ τῆς Ἀσίας καὶ τῆς Αἰγύπτου τότε διεσπαρμένοι Ἰουδαῖοι, ἐν τοῖς κατ' αὐτοὺς πολυαρίθμοις κώδηξι τῆς θείας Γραφῆς. Τὴν ἑβραϊκὴν ἀλήθειαν τῶν ὀνομάτων μαρτυρεῖ καὶ ἄλλο τοῦ Δευτερονομίου χωρίον (α), (ὅπερ καὶ αὐτὸ οἱ Σαμαρεῖται μετεποίησαν). Ἀλλὰ καὶ τῶν νεωτέρων κριτικῶν ἐπισημότατοι ὑπὲρ τοῦ ἑβραϊκοῦ προΐστανται, τοὺς Σαμαρείτας αἰτιώμενοι τῆς διαφθορᾶς, καὶ τὴν Κεννικώτου γνώμην ἰδίως ἀνεσκεύασαν ἰσχυρῶς ἄλλοι τε, καὶ Δάθης, καὶ Ζέφελος, καὶ Βερισχοῦρος (β). Οὐδὲν δὲ ὅλως ὠφέλησαν οἱ καὶ πάλιν ἀρτίως ἀναστάντες ὑπερασπισταὶ τῶν Σαμαρειτῶν (γ).

(α) Δευτερον. ια, 29. βλ. καὶ Προκοπ. τοῦ Γαζαίου Σχόλ. αὐτόθ. Ἐπικυροῦται ἡ ἑβραϊκὴ ἀνάγνωσις καὶ ἐν Ἰησοῦ η, 30, κώδ. Ἀλεξ. ἐν δὲ τῷ Βατικανῷ κεῖται τὸ ῥητὸν ἐν κεφ. θ, 2 (ἐκτετοπισμένως).

(β) Βλ. Dathe Schol. ad Deuteronom. XI. 29 et XXVII. 4. — J. S. Zeffel, Dissert. exhibens Vindicias τοῦ Ebal contra Kennicot. Halae 1767. — J. H. Werschuir, Diss. Philolog. Exeget. p. 44. Leovard. 1773. πρβλ. Walt. Proleg. XI. §. 11. — Houbigant, not. ad Deuteronom. 27, 4. — Carpzov. Crit. Sacr. p. 935. — De Rossi, Var Lect. V. Test. vol. 2. p. 58. — G. Fabricy, Des titres primitifs de la Révélat. T. 2. p. 486. — Eichhorn, Einleit in d. alt. Test. 2. Bd. p. 320. — Bauer. Einleit. p. 112. — Schulz καὶ Rosenmüll. Schol. ad Deuter. l. c.

(γ) Jahn, Einleit. 1. Bd. p. 66. καὶ Ackermann, Introd. §. 14. p. 18. καὶ Pareau, Institutio Interpr. p. 107. Ἐν τούτοις οὗτοι διϊσχυρίζονται μὲν ἀποφαντικῶς, ὅτι πάνθ' ὅσα κἂν τοῖς τῶν νεωτέρων συγγράμμασι φέρονται παραδείγματα τῆς ὑπὸ τῶν Ἰουδαίων ἑκουσίας τοῦ κειμένου διαφθορᾶς, οὐδέν εἰσιν ἕτερον, εἰμὴ μεταγρα-

§. ιϐ. Ἄλλην ἀπόδειξιν τῆς πρὸ τῶν Ο διαφθορᾶς τοῦ ἑβραϊκοῦ κειμένου προϐάλλει ὁ Κεννικῶτος ἐπίσημον τοῦ *Δευτερονομίου* χωρίον, ὅπερ οἱ Ο μεθηρμήνευσαν, ὡς ἔχει καὶ νῦν ἐν τῷ ἑβραϊκῷ. Ἔστι δὲ τὸ ἐφεξῆς· «Καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀπῆραν ἐκ Βηρὼθ υἱῶν *Ἰακὰν* (οἱ Ο. *Ἰακὶμ*) «εἰς *Μοσερὰ*» (οἱ Ο, γράφουσι *Μισαδαΐ*) «καὶ ἐκεῖ ἀπέθανεν Ἀαρὼν καὶ ἐτάφη ἐκεῖ· καὶ ἱεράτευσεν Ἐλεάζαρ, υἱὸς αὐτοῦ. Ἐκεῖθεν ἀπῆραν εἰς Γαδγὰδ, καὶ ἀπὸ Γαδγὰδ εἰς Ἰεταϐαθὰ» (Δευτερ. 1, 6, 7). Ἀλλὰ ταῦτα προφανῶς ἀντιϐαίνουσι πρὸς τὴν ἐν *Ἀριθμοῖς* ὁδοιπορικὴν σταθμογραφίαν τῶν Ἰσραηλιτῶν, ἔχουσαν ὧδέ πως. «Καὶ ἀπῆραν ἐκ *Μοσερὼθ*» (οἱ Ο, Μασουροὺθ) «εἰς *Βενεΐακὰν* (οἱ Ο, Βανικὰν) (α),

---

φέων πλάναι, καὶ διάφοροι ἀναγνώσεις. Ἓν δὲ μόνον ἐξαιροῦσι, τὸ Γαριζεὶν εἰς τὸ Γαιϐὰλ ὑπ' αὐτῶν τῶν Ἰουδαίων ἑκουσίως μεταστραφὲν ἐν τῇ πρὸς τοὺς Σαμαρείτας διαφορᾷ. — Ἀλλὰ τοῦτο ποιοῦσιν οἱ ἄνδρες ἐναντίον οὗ θέλουσιν· ἅπαξ γὰρ ἀποδεξάμενοι τοὺς Ἰουδαίους οἵους τε ὄντας ῥᾳδιουργῆσαι τὸ θεῖον κείμενον, τοιούτους ἂν γενομένους αὐτοὺς καὶ κατ' ἄλλας περιστάσεις ὁμολογήσουσιν ἐξ ἀνάγκης· καὶ μίαν αὐτοὶ καταδείξαντες πληγὴν ἑκουσίως ἐπὶ τοῦ κειμένου γενομένην, οὐκ ἂν ἀρνηθεῖεν καὶ ὅσας ἄλλας ἄλλοι παρομοίως κατέδειξαν, καὶ λίαν εὐλογωτέρας. Εἰ γὰρ ἐπὶ τοῦ Μ. Ἀλεξάνδρου, συνισταμένης ἔτι τῆς μεγάλης Συναγωγῆς, ἐτόλμησαν διαστρέψαι τὸν θεῖον λόγον, καὶ ταῦτα χάριν τῆς περὶ τοῦ ναοῦ πρὸς τοὺς Σαμαρείτας διαφορᾶς, πολλῷ δὴ μᾶλλον ὕστερον (ἀφ' οὗ καὶ τὸν ναὸν εἶδον καταστραφέντα, καὶ πᾶσαν τὴν τοῦ νόμου σκιὰν ἤδη παρερχομένην, καὶ ὑποχωροῦσαν εἰς τὴν ἐξ αὐτῶν τῶν προφητικῶν γραφῶν ἀποδεικνυμένην ἀλήθειαν τοῦ εὐαγγελίου), πολλῷ μᾶλλον ἔμελλον διαστρέφειν, καθ' ὅσον ἐξῆν, τὰς παρ' αὐτοῖς προφητικὰς βίϐλους, ἀντιλέγοντες πρὸς τὰς ὑπὸ τῶν χριστιανῶν προϐαλλομένας μαρτυρίας ἐκ τῆς ἑρμηνείας τῶν Ο. Ἢ μήπως τὸ κείμενον τὸ ἑβραϊκὸν (ὡς ἐκ τῆς Ἰουδαϊκῆς προαιρέσεως θεωρούμενον) κατὰ μίαν μόνην λέξιν ὑπῆρχε λωϐητὸν, ὡς τὸ κατὰ μόνην τὴν πτέρναν μυθευόμενον τρωτὸν τοῦ Ἀχιλλέως σῶμα; Ἄλλας τούτου διαφθορὰς ἑκουσίας ἀνεκήρυξεν ὁ δριμὺς Εἰχόρνιος (Einleit. Bd. 1. p. 307), καὶ πολλῷ πλείους ὁ Κεννικῶτος, καί τινας καὶ αὐτοὶ οἱ διϊσχυρισταὶ (ὡς ὀψόμεθ' ἐν τοῖς ἐφεξῆς). Ἀλλὰ καὶ εἰ μία μόνη προαιρετικὴ ἀπεδείκνυτο τοῦ κειμένου διαφθορὰ, ἤρκει καὶ αὕτη δικαιῶσαι τὰς ὑπονοίας τῆς περὶ τὰς θείας βίϐλους ῥᾳδιουργίας τῶν Ἰουδαίων· καί πως ἁρμόζει καὶ ὧδε τὸ τοῦ ἱεροῦ Αὐγουστίνου «Admisso semel in tantum auctoritatis fastigium aliquo mendacio, nulla librorum illorum particula remanebit, quae non utcunque videbitur — ad fidem incredibilis.» epist. ad Hieron. καὶ παρὰ Jahn u. s. §. 25.

(α) Τὸ Βενεϊακὰν (καὶ συντομώτερον Βανικὰν) φαίνεται σύνθετον ἐκ τοῦ Βενὲ

κἀκεῖθεν εἰς τὸ ὄρος Γαδγὰδ, κἀκεῖθεν εἰς Ἰεταβαθά· ἐκ δὲ ταύτης εἰς Ἑβρωνᾶ, ἐξ ἧς εἰς Γεσιὼν Γάβερ· εἶτα εἰς Σίν· κἀκεῖθεν εἰς Κάδης· κἀκεῖθεν εἰς Ὢρ τὸ ὄρος, ὅπου ἀπέθανεν Ἀαρών » (Ἀριθμ. λγ, 31—39). Ταῦτα πρὸς τὴν ἀνωτέρω ῥῆσιν τοῦ Δευτερονομίου ἀντιφάσκουσι διττῶς· α) Οἱ Ἰσραηλῖται παρενέβαλον οὐχὶ (καθὼς γέγραπται ἐν τῷ Δευτερονομίῳ) ἐκ Βηρὼθ υἱῶν Ἰακὰν (ἢ Βενεϊακὰν) εἰς Μοσερὰ, ἀλλὰ τἀνάπαλιν ἐκ Μοσερὼθ εἰς Βενεϊακάν· β) Ὁ Ἀαρὼν ἀπέθανεν οὐχὶ (κατὰ τὸ Δευτερονόμιον) εἰς Μοσερὰ, ἀλλ᾽ ἐπὶ τοῦ ὄρους Ὢρ (ἀπέχοντος ἀπὸ τοῦ Μοσερὰ σταθμοὺς ὅλους ἑπτά). Πρὸς ἐπίλυσιν τούτων τῶν δυσχερειῶν, οἱ μὲν περὶ τὸν Ἀβενέσδραν ῥαββῖνοι διακρίνουσι τὰς τοπικὰς ὀνομασίας, ἄλλο λέγοντες τὸ ἐν τοῖς Ἀριθμοῖς *Μοσερὼθ*, καὶ ἄλλο τὸ τοῦ Δευτερονομίου *Μοσερὰ* (ὄνομα ἐρήμου παρὰ τὸ ὄρος Ὢρ) Καὶ τὸ ἐν Ἀριθμοῖς *ὄρος Γαδγὰδ*, διάφορον τοῦ ἐν Δευτερονομίου ἁπλῶς *Γαδγὰδ* (ὃ προφέρουσι καὶ Γουδγὸδ, ἢ Γοδγόδ). Τὸ δὲ *Βηρὼθ υἱῶν Ἰακὰν* ταυτίζουσι πρὸς τὸ τῶν Ἀριθμῶν *Κάδης*. Συμφωνοῦσι τούτοις καὶ τῶν ἐπισήμων κριτικῶν, ὅ,τε Βατάβλης καὶ ὁ Δρούσιος (α). Ἀποδέχεται τὴν μεταξὺ τοῦ Μοσερὰ καὶ Μοσερὼθ διαφορὰν καὶ ἐκ τῶν νεωτάτων μάλιστα ὁ σοφὸς Δελαβόρδης (β). Ἐκ δὲ τῶν ἄλλων κριτικῶν οἱ μὲν ἄλλως πως θεραπεύουσι τὰ ἐν τῷ ἑβραϊκῷ (κοῦφά τινα λέγοντες) (γ), οἱ δέ τινες (οὐδ᾽ αὐτοὶ εὐτυχῶς) εἰσάγουσι τοὺς Ἰσραηλίτας ὡς ἐλθόντας ἐκεῖ τὸ πρῶτον, καὶ πάλιν ἐπιστρέψαντας, καὶ τὸ δεύτερον αὖθις ἀλλαχόθεν ἐπανελθόντας (δ). Οἱ δὲ πλεῖστοι τῶν κριτι-

---

Ἰακὰν, τουτ. υἱῶν Ἰακὰν (ὡς κεῖται ἀνωτέρω ἐν τῇ ῥήσει τοῦ Δευτερονομίου). Τὸ δὲ Μοσερὸθ ἐκλαμβάνουσιν ὡς πληθυντικὸν τοῦ ἐν τῷ Δευτερον. Μοσερά (ἀνθ᾽ οὗ οἱ Ο, Μισαδαΐ). Καὶ πάλιν τὸ Βενεϊακὰν νομίζουσι ταὐτὸν καὶ τὸ Βηρὼθ υἱῶν Ἰακὰν, διὰ συντομίαν παραληφθέντος τοῦ Βηρὼθ ἐν τοῖς Ἀριθμοῖς.

(α) Βλ. Crit. Sacror. Annotat. ad Deuteron. h. l.

(β) De la Borde, Comment. Géographiq. sur l'Exode etc. p. 131,

(γ) Βλ. Buxtorf. Anticritic. p. 933.

(δ) Lightfoot, Chronica temporum etc. vol. 1. p. 39—C. Raumer, Der Zug der Jsraeliten pag. 40.

κῶν πᾶσαν θεραπείαν καὶ διαλλαγὴν ἀποβάλλοντες, ὡς περίεργον καὶ τετεχνευμένην, διεφθαρμένον πάντως ἐθέλουσι τὸ χωρίον τοῦ Δευτερονομίου· καὶ οἱ μὲν ἐξοβελίζουσι τὸ 6 καὶ 7 ἐδάφιον, ὡς παρέγγραπτα, ὀψέποτε προστεθέντα ὑπό τινος νυστάζοντος ἑβραίου μεταγραφέως, ἢ καὶ βιβλιοπώλου (α)· (τοιοῦτο δὲ δήπου συνέβη (κατ' αὐτοὺς) καὶ εἰς τὸ κείμενον τῶν Ο, διασκευασθέντος τοῦ χωρίου ὑπό τινος τῶν Ἑλληνιστῶν Ἰουδαίων, ἵνα πρὸς τὸ ἑβραϊκὸν συμφωνῇ!). Οἱ δὲ περὶ τὸν Κεννικῶτον, τ' ἀνάπαλιν, θεωροῦντες τὸ χωρίον κολοβωθὲν ὑπὸ τῶν ἀντιγραφέων, προστιθέασι τὰ ἐκπεπτωκότα, λαμβάνοντες ἐκ τοῦ Δευτερονομίου τῆς Σαμαρειτανῆς Πεντατεύχου, ὅπου ἀναγινώσκεται ἡ ῥῆσις ἀπαράλλακτος ἀκριβῶς, ὡς κεῖται καὶ ἐν τοῖς Ἀριθμοῖς (λγ, 31–39) (β). Ἀλλ' ὅτι μὲν τὸ Σαμαρειτανὸν χωρίον τοῦ Δευτερονομίου (Ι, 6 κτλ.) ὑπάρχει διεσκευασμένον ὑπό τινος τῶν μεταγενεστέρων Σαμαρειτῶν, ἀπεφήνατο συντόμως ἅμα καὶ ὀρθῶς ὁ Ῥοδομύλλερος (γ), ἐπιφέρων πρὸς ἀπόδειξιν πάσας τὰς ἀρχαίας τοῦ ἑβραϊκοῦ μεταφράσεις πρὸς τοῦτο συμφωνούσας. Ἀλλ' ὅμως οὐδ' οὗτος πάλιν τὰ ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο φερόμενα ἐδάφια

(α) Βλ. Cappelli Critic. Sacr. VI. 7. §. 9. καὶ Comment. in V. Test. p. 410, καὶ τοὺς Σχολιαστὰς τοῦ Δευτερονομίου (Ι, 6, 7) Grotium, Le Clerc, Michaelis, Dathe, καὶ Houbigant, [ὅστις, καὶ τὰ ἐφεξῆς ἐδάφια (τὸ 8 καὶ 9) ὡς παρένθετα καὶ ταῦτα συναποξέει (συμφωνοῦντος καὶ Σχουλζίου σημ. αὐτ.)· καὶ τὸν Καλμέτην ἐπιπλήττει σφοδρῶς, ὡς σοφιστευόμενον (διότι, καίτοι διστάζων καὶ αὐτὸς περὶ τῆς ὀρθῆς τοῦ χωρίου γραφῆς, προσέθηκεν ὅμως, ὅτι « οὐκ ἔξεστιν ἡμῖν ἐμβατεύειν εἰς τὰς βουλὰς τοῦ θείου πνεύματος· ἀρκεῖ γὰρ τὸ τὰς Γραφὰς ὑπάρχειν κανονικὰς ἐν πᾶσιν αὐτῶν τοῖς μέρεσιν, ὥστε τὸ παρ' ἡμῶν ἀπολαμβάνειν σέβας »]. πρβλ. καὶ De la Borde l. c. p. 122, 123. καὶ De-Rossi Var. Lect. T. 2. p. 41. Παραλείπομεν τοὺς ὀρθολογιστάς, ἐν οἷς καὶ ὁ Ἰουδαῖος Καχὴν (Cahen, Traduct de la Bible. Tom. 5. p. 50), οἵτινες κἂν τούτοις τοῖς γεωγραφικοῖς ὀνόμασι τοῦ τῶν Ἰσραηλιτῶν ὁδοιπορικοῦ πολλαχῶς καὶ ἄλλως ἀσχημονοῦσιν· « ἐξέστω τούτοις ἀσχημονεῖν. »

(β) Βλ. Kennicot. Diss. II. p. 305, καὶ πρὸ τούτου ὁ E. Bernard. Σημ. εἰς Ἰωσήπ. Ἀρχ. Δ. δ. §. 7.

(γ) Rosenmüll. Schol. in Deuteronom. X. 6.

(6, καὶ 7) ἀποδέχεται· συμφωνεῖ δὲ καὶ αὐτὸς μετὰ τῶν ἀποβλητέα ταῦτα κρινόντων, ὡς παρέγγραπτα (καθὼς προείπομεν).

Ἡμεῖς δὲ πρὸς ταῦτα τί φῶμεν; τί ἄλλο, εἰμὴ τὰ τῶν πάλαι πατέρων ἡμῶν, μηδὲν πτοηθέντες, μήπως ἄγαν ἀρχαῖα καὶ τριπέμπελα δόξωσι παρὰ τοῖς νεωτέροις σοφοῖς. Πρῶτον μὲν οὖν οὔτ' ἐξοβελίζομεν, οὔτε παρεμβύομεν, οὔτ' ἐν τῷ ἑβραϊκῷ οὔτε ἐν τῷ τῶν Ο, κειμένῳ τὸ 6 καὶ 7 ἐδάφιον τοῦ Ι, κεφαλαίου τοῦ Δευτερονομίου. Ἐῶμεν δ' αὐτὰ κατὰ χώραν· πλὴν μόνον, ὅτι παρὰ τὸ νῦν ἑβραϊκὸν *Μοσερὰ* (διάφορον πάντως τοῦ *Μοσερὼθ*) προτιμῶμεν τὸ τῶν Ο, *Μισαδαΐ*, ὡς ἔχει καὶ Εὐσέβιος (καὶ ὡς ἀνεγίνωσκον πάντως καὶ οἱ πρὸ Χριστοῦ ἑλληνισταὶ Ἰουδαῖοι), καθὸ σταθμὸν τῶν Ἰσραηλιτῶν παρὰ τὸ Ὢρ, ὅπου ἐτελεύτησεν Ἀαρὼν (α). Εἰς τοῦτο τὸ παρὰ τοὺς πρόποδας τοῦ Ὢρ χωρίον τὸ Μοσερὰ (*Μισαδαΐ*) ἔγραψεν ὁ Μωϋσῆς τοὺς Ἰσραηλίτας στρατοπεδεύσαντας εὐθὺς ἀπὸ τοῦ *Βηρὼθ* υἱῶν Ἰακὰν, ἢ (ὡς ἐν Ἀριθμοῖς) ἁπλῶς, *Βενεϊακὰν* (β), παραδραμὼν τὰ μεταξὺ τούτου καὶ τοῦ Ὢρ σεσημειωμένα ἐν τοῖς Ἀριθμοῖς χωρία τῶν σταθμῶν, ἅτε σπεύδων ἀναμνῆσαι τοὺς Ἰσραηλίτας τὴν ἐκεῖ,

---

(α) «Μισαδαΐ, τόπος ἐπὶ τῆς ἐρήμου, ἔνθα ἐτελεύτησεν Ἀαρών.» (Εὐσέβ.). Καὶ ὁ Ἱερώνυμος (ἐν τῇ τούτου μεταφράσει) «Misaida (ἴσ. γρ. Misadai) locus in solitudine in quo obiit Aaron.» Οὕτως ἔχουσι καὶ πάντες μονονοὺ οἱ πολυάριθμοι κώδηκες τῆς Ὁλμησίας ἐκδόσεως τῶν Ο. Καὶ κώδηξ ἑβρ. Κεννικ. Mesada (βλ. καὶ Amersfood Dissert. philol. de varijs Lectionibus Holmesianis etc. P. I. cap. 2. §. 11. Lugd. Batav. 1815). Εἰς μάτην ὁ Δρούσιος (Annot. h. l.) κρίνει τὸ Μισαδαΐ, ὡς διεφθαρμένην γραφὴν τοῦ Μοσερὰ, προελθοῦσαν ἐκ τῆς ἀναγνώσεως τῶν ἐκλαβόντων ἐπὶ τῆς ἀρχικῆς συλλαβῆς (τῆς Μο) τὸ ἑβρ. vav (= ο) ὡς jod (ἰῶτα), καὶ ἐπὶ τῆς ρα συλλαβῆς τὸ resch (ρ) ὡς daleth (δ)· ὅθεν ἔγραψαν Μισαδαΐ (Μισαδὰ) τὸ Μοσερά. — Καὶ διὰ τί μὴ μᾶλλον Ἰουδαῖος ἀντιγραφεὺς ἔπαθε τὴν τοιαύτην σύγχυσιν, ἀντιγράφων τὸ ἑβραϊκὸν κείμενον; (καὶ ἄλλα δὲ κατ' αὐτὸ τοιαῦτα παρατηροῦνται).

(β) Τὸ Βηρὼθ, ἢ Beroth φαίνεται πληθυντ. τοῦ Beer, καὶ συντομώτερον Ber, ἢ Βὴρ, τουτέστ. φρέαρ. Οὕτω καὶ Bel ἀντὶ Beel, Βὴλ, καὶ αὐτὸ τὸ Jacan ἀντὶ Jaacan (ἄλλ. γράφουσι Ἰακὶμ), ὡς καὶ τὸ Jacob (Ἰακὼβ) ἀντὶ Jaacob. βλ. Drus. Annot. l. c. πλησίον δὲ πάντως τὰ φρέατα τῶν υἱῶν Ἰακὰν, ἢ τῶν Ἰακανιδῶν, πρὸς τὴν χώραν αὐτῶν, τὴν, ὡς ἂν εἴποις, Ἰακανίδα.

ἐν *Μισαδαΐ* παρὰ τῷ Ὤρ, τελευτὴν τοῦ Ἀαρὼν (αὐτοῦ τὴν ποινὴν ἀναπλήσαντος, διὰ τὴν ἐπὶ *τοῦ ὕδατος τῆς Ἀντιλογίας* ἀπιστίαν. βλ. Ἀριθμ. κ, 12, 13). Ὡς δὲ τοῦ σκυθρωποῦ καὶ μεγάλου τούτου συμβεβηκότος ἐπιτροχάδην, καὶ οἷον ἐν παρενθέσει, ἐπεμνήσθη, ἐπειδὴ πάλιν ἔμελλεν ἐπανέρχεσθαι εἰς τὰ κατὰ τὸ Σίναιον (ὅθεν ἤρξατο τοῦ λόγου), ἐπάνεισιν ὀπισθοχωρῶν καὶ εἰς τοὺς ἀμέσως μετὰ τὸν *Βηρὼθ υἱῶν Ἰακὰν* δύω σταθμούς, τόν τε *τοῦ ὄρους τοῦ Γαδγὰδ* (ἢ ἁπλῶς *Γαδγὰδ*), καὶ τὸν μετ᾽ αὐτὸν Ἰεταβαθᾶ (ὃν ἐν μόνῳ τῷ Δευτερονομίῳ καὶ πλατύτερον διαγράφει, «*γῆν χειμάῤῥου ὑδάτων*»), ὀνομάζων συντόμως ταῦτα τὰ δύω μόνον χωρία ἐκ τῶν καθ᾽ ὁδὸν ἀπαντώντων (α). Καὶ ἀμέσως ἐπανέρχεται πάλιν εἰς τὰ περὶ τῶν Λευϊτῶν θεσμοθετηθέντα, καὶ τὴν *ἐπὶ τοῦ Χωρὴβ* νομοθεσίαν, ὅθεν ἐποιήσατο τὴν παρέκβασιν (Δευτερ. Ι. 5, 10) (β). Οὕτω δὲ παραβαλλόμενα συνάμα ἀμφότερα τὰ χωρία (Ἀριθμ. λγ, 32–39, καὶ Δευτερ. Ι. 6, 7), φαίνονται συμφωνότατα. « Καὶ ἀπῆραν ἐκ Μασουροὺθ (ἢ Μοσερὼθ), καὶ ἐστρατοπέδευσαν εἰς *Βανικὰν* (Βενεϊακὰν), τὸ αὐτὸ καὶ *Βηρὼθ υἱῶν Ἰακάν*· καὶ ἀπῆραν ἐκ Βηρὼθ υἱῶν Ἰακὰν, » (καὶ τὰ διὰ μέσου σταθμεύματα καθ᾽ ὑπέρβασιν παρατρέχονται), « καὶ ἐστρατοπέδευσαν εἰς Μοσερὰ (τουτ. τὸ Μισαδαΐ), εἰς τὸ ὄρος Ὤρ [ἐκεῖ

(α) Καὶ τοῦτο σημειωτέον. Οὔτε τὸ *γῆ χειμάῤῥου ὑδάτων*, οὔτε τὸ *Βηρὼθ* (Βενεϊακὰν) εὑρίσκονται ἐν τῷ παραλλήλῳ τόπῳ τῶν Ἀριθμῶν, ὅθεν θέλουσιν οἱ κριτικοὶ διεσκευασμένα δῆθεν ἐν τῷ Δευτερονομίῳ τὰ παρ᾽ αὐτοῖς ἐξοριστέα δόξαντα ἐδάφια· (προστεθήτω καὶ τὸ *Μισαδαΐ*). πόθεν εὕρηκε ταῦτα τὰ ὀνόματα ὁ μεταγραφεὺς, ἢ διασκευαστής; ἢ μήπως ἔπλασεν ἀφ᾽ ἑαυτοῦ φανταζόμενος καινάς τινας ἐπωνυμίας καὶ περιγραφὰς τῶν κατὰ τοὺς Μωσέως χρόνους τόπων ἐκείνων;

(β) Οὕτω καὶ μικρῷ πρότερον (Δευτερ. θ, 22), ἀφ᾽ οὗ εἶπεν ὁ προφήτης τὰ κατὰ τὴν ἐν Σινᾶ μοσχολατρείαν, ἐπανῆλθεν εἰς τὸ πρὸ τοῦ Σινᾶ χωρίον τοῦ *Πειρασμοῦ* (Ῥαφιδεὶν), προτάξας πρὸ τούτου καὶ τὸν *Ἐμπυρισμὸν*, ὅπου μετέβησαν ἀναχωρήσαντες ἀπὸ τοῦ Σινᾶ (Ἀριθμ. ια). Καὶ πάλιν ἀπὸ τοῦ *Κάδης Βαρνῆ* ἐπάνεισιν εἰς τὰ κατὰ τὸ Σίναιον, ὅθεν ἄρχεται καὶ τὸ ι, κεφάλαιον. Καθόλου δὲ ὁ προφητικὸς λόγος ἐν τούτοις μάλιστα τοῖς κεφαλαίοις φαίνεται σύντονος, καὶ σφοδρῶς συγκεκινημένος, ἀπ᾽ ἄλλης εἰς ἄλλην ἔννοιαν ὀξέως μεταπηδῶν.

ἀπέθανεν Ἀαρὼν, καὶ ἐτάφη· ἐκεῖ καὶ Ἐλεάζαρ ἱεράτευσεν]. Ἐκεῖθεν δὲ (δηλαδὴ ἐκ Βηρὼθ υἱῶν Ἰακὰν, *κατ' ἐπάνοδον* ἐπιστρέφοντος τοῦ λόγου, καὶ κατὰ πρωθύστερον σχῆμα) ἀμέσως ἐστρατοπεύδευσαν εἰς Γαδγὰδ (τὸ ὄρος), καὶ ἀπὸ Γαδγὰδ, εἰς Ἰεταβαθᾶ. «γῆν χειμάῤῥου ὑδάτων» κτλ. Οὕτως ὁ Προκόπιος (ὁ καὶ τὸ Σαμαρειτανὸν καὶ αὐτὸ τὸ ἑβραϊκὸν κείμενον πολλάκις ἀναγνοὺς, καί τινας διαφορὰς μνημονεύσας), σχολιάζων τοὺς Ο, οὐδεμίαν εὕρηκεν ἀντιλογίαν τοῦ χωρίου τῶν Ἀριθμῶν πρὸς τὰ τοῦ Δευτερονομίου (Ι, 6, 7), ὅπου σεσημείωκε ταῦτα· «Ἄνω ἐν τοῖς Ἀριθμοῖς (λγ, 31–39) καταλέγων τοὺς σταθμοὺς, καὶ τὰς ἐπάρσεις (ἴσ. γρ. *ἀπάρσεις*) τῶν υἱῶν Ἰσραὴλ, οὐκ ἐμνήσθη τοῦ τόπου τούτου (τοῦ *Βηρὼθ, καὶ Μισαδαΐ*), ἀλλ' εἶπε τὸν Ἀαρὼν ἐν Ὤρ τῷ ὄρει τετελευτηκέναι. Ἐνταῦθα γὰρ *ἐν ἐπιτομῇ* ἀνακεφαλαιούμενος, *οὐ μέμνηται κατὰ τάξιν τῶν τόπων, ἢ τῶν καιρῶν*· καὶ γὰρ, πρὶν ἐλθεῖν ἐν Ὤρ τῷ ὄρει καὶ τελευτῆσαι τὸν Ἀαρὼν, ἦλθον εἰς Γαδγὰδ καὶ εἰς Ἐτεβαθᾶ (Ἰεταβαθᾶ). Ἐνταῦθα δὲ ἐναλλὰξ φησί· καὶ πάλιν ἐπανατρέχει εἰς τὰ πρότερα λέγων· «*Ἐν ἐκείνῳ τῷ καιρῷ διέστειλε Κύριος τὴν φυλὴν Λευΐ*»· τοῦτο δὲ ἐποίησεν ἐν τῷ ὄρει Σινᾶ, ὅπου καὶ ἐν τεσσαράκοντα ἡμέραις καὶ νυξὶν ὑπερηύξατο τοῦ λαοῦ πταίσαντος» κτλ. (α). Οὐδὲν δὲ ξένον, εἰ καὶ τὸ κείμενον τῶν ἱερῶν Γραφῶν διὰ λόγους εὐλόγους περιέχει παρεκδρομὰς τοῦ λόγου, καὶ παρεκβάσεις (καὶ μάλιστα κατὰ τὰς συντόμους τῶν πρότερον εἰρημένων ἐπιτομάς)· οὕτω καὶ παρὰ τοῖς ἔξω συγγραφεῦσι, καὶ ποιηταῖς (καὶ μάλιστα παρὰ τῷ Πινδάρῳ) εὑρίσκονται τοιαῦται *ἀποστάσεις*, ἢ *ὑπερπηδήσεις*, καὶ *παρεκβάσεις*, παραβαίνουσαι τὴν τάξιν τῶν περιστατικῶν, καὶ πρωθύστερα λόγου σχήματα συναντῶνται (β), καὶ ὅμως οὔτ' ἐξοβελίζονται αἱ τοιαῦται φράσεις ὡς νόθοι, οὔτ' ἀναπληροῦνται ὡς κολοβαὶ καὶ πεπηρωμέναι. Καὶ ταῦτα μὲν οὕτως.

(α) Βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχον τόμ. α. σελ. 1471.

(β) Βλ. ὄπισθεν Βιβλ. Α. κεφ. θ. §. κα. σελ. 278. σημ.

§. ιγ. Οἱ δὲ περὶ τὸν ἔνδοξον Κεννικῶτον καὶ ἄλλην φέρουσι δεῖξιν τῆς ἤτοι πρὸ τῶν Ο, ἢ καὶ *ὑπ' αὐτῶν* (οὐά!) *τῶν Ο*, διαφθορᾶς τοῦ ἑβραϊκοῦ, παράγοντες δεκατρία τῆς Ἐξόδου χωρία, ἐν οἷς λείπουσί τινες ἐπαναλήψεις λόγων, ἃς ἔχει τὸ Σαμαρειτανόν. Τοιοῦτό τι (λέγουσιν) ἀναφέρεται καὶ ἐν τοῖς Ἰουδαίων ὑπομνηματισμοῖς. Καὶ ὁ ῥαβδῖνος Χαΐμης γράφει ἐπὶ λέξεως ταῦτα. « Ὅρα ἐπιμελέστερον τὴν ἱστορίαν Πτολεμαίου τοῦ βασιλέως, ἐν ἐκείνοις δηλαδὴ τοῖς δέκα καὶ τρισὶ χωρίοις, ἅπερ ἐκείνῳ (τῷ Πτολεμαίῳ) μετέβαλλον (οἱ ἑρμηνεῖς)· καὶ ὅ,τι *μετέβαλλον, ὑπῆρχεν ἐν ἐκείνῳ* (τῷ βιβλίῳ), *ἐν ᾧ ἔγραφον αὐτοὶ* (et quidquid immutabant fuit in eo, quod ipsi scribebant). Ταῦτα ὁ ῥαββὶς, μὴ διορίζων ῥητῶς καὶ τίνα, καὶ ποῦ πότ' ἦσαν τῆς Γραφῆς τὰ ιγ ταῦτα χωρία. Οἱ δὲ περὶ τὸν Κεννικῶτον ἐφήρμοσαν τὰ ῥαββινικὰ λογάρια εἰς τοὺς ιγ, τόπους τῆς Ἐξόδου, οὓς ἐνόμισαν ἐπὶ τοῦ Πτολεμαίου κολοβωθέντας ὑπὸ τῶν Ἰουδαίων, καὶ ἰδίως ὑπὸ τῶν Ο, οὐκ ἐπὶ κακῷ (καθὼς λέγουσιν), ἀλλ' ἵνα δῆθεν διαφύγωσι τὰς παλιλλογίας. Νομίζοντες γὰρ οὗτοι ἅλις ἔχειν, ἐὰν ἅπαξ ἐκτεθῶσιν αἱ ῥήσεις, παρέλιπον τὴν διττογραφίαν χάριν συντομίας, καὶ ὅπως ἀπαλλαγῶσιν ἀπὸ τῆς ἐνοχλήσεως τοῦ μεταγράφειν τὰ αὐτὰ δὶς *ἔν τε τῷ ἑβραϊκῷ* (ὃ μετέγραφον) *τεύχει*, καὶ ἐν ᾗ συγχρόνως αὐτοὶ μετέφραζον ἑλληνικῇ ἑρμηνείᾳ » κτλ.

Ἀλλ' ἡ γνώμη αὕτη τοῦ σοφοῦ κριτικοῦ ἐξελέγχεται πολλαχῶς ἠπατημένη· α) Ὁ ῥαββῖνος δεκατρεῖς λέγων τοὺς ἀνωνύμους τόπους, ἐννοεῖ πάντως τὰ παρὰ τῆς ἀναιδοῦς ἀμαθείας καὶ μωρίας τῶν Ταλμουδικῶν ἐν τῇ Πεντατεύχῳ σεσημειωμένα ἐκεῖνα ιγ χωρία, περὶ ὧν προείπομεν (Βιβλ. Β. κεφ. θ. §. ιϛ. σελ. 558) (α)· καὶ τοῦτο δείκνυται ἐκ τῆς ἐποχῆς, καθ' ἣν καὶ οὗτος (ὡς ἐκεῖνοι) πλάττει τὴν διαφθορὰν καταπραχθεῖσαν (ἐπὶ τοῦ Πτολεμαίου). β) Ὁ μὲν

(α) Πρβλ. L. Cappel. Critic. defens. in Crit. Sacr p. 571. καὶ Morin. I. Exercit. c. 18. — Tychsen Tentamen etc. p. 57-59.

Χαΐμης οὐκ ὀνομάζει διωρισμένως τὸ τεῦχος τῆς Γραφῆς, ἐν ᾧ τὰ ιγ, χωρία δῆθεν ἠλλοιώθησαν· ὥστε ἡ τραυλὴ καὶ μογιλάλος αὐτοῦ μαρτυρία πλανωμένη ἀορίστως, δύναται *παντὸς κοθούρνου εὐχερέστερον* ἐφαρμοσθῆναι καὶ εἰς παντοίους ἄλλους τῆς Πεντατεύχου τόπους, ἄν τινες ὑποτεθῶσιν ἠλλοιωμένοι (οἷα, φέρ' εἰπεῖν, τὰ ἀνωτέρω μνημονευθέντα δύω χωρία τοῦ Δευτερονομίου, καὶ ὅσα ἄλλα κατὰ τοὺς Ο διαφέρουσι τοῦ νῦν ἑβραϊκοῦ, καὶ τοῦ Σαμαρειτανοῦ). Καὶ λοιπὸν βιαίως ἐφαρμόζεται ἡ κακομαρτυρία εἰς τὰ νομισθέντα πεπηρωμένα ιγ, τῆς Ἐξόδου χωρία. γ), Ὁ ῥαββῖνος λέγει, ὅτι τὰ μεταβαλλόμενα « *ὑπῆρχον ἐν ᾧ* (τεύχει) ἔγραφον αὐτοὶ », σημαίνων δηλαδὴ τὴν ὑπὸ τῶν Ο, γραφομένην τῷ Πτολεμαίῳ *ἑλληνικὴν ἑρμηνείαν* (οὕτω καὶ αὐτὸς ὁ Κεννικῶτος ἐκδέχεται τοὺς λόγους τοῦ ῥαββίνου, σελ. 300). Ὅτι δὲ τὰς λεγομένας ταύτας μεταβολὰς ἐποίησαν οἱ ἑρμηνεῖς καὶ *ἐν τῷ ἑβραϊκῷ κειμένῳ*, οὐδὲν εἶπεν ὁ ῥαββὶς ἐν τῇ προτεθείσῃ περικοπῇ. Πῶς οὖν ὁ Κεννικῶτος ἀνίμησεν ἐξ αὐτῆς, ὅτι καὶ ἐν *τῷ ἑβραϊκῷ* κατεπράχθησαν αἱ ἀλλοιώσεις; ἐγὼ μὲν οὐχ ὁρῶ (α). δ) Ἡ ἱστορία πᾶσα διακηρύττει τρανῶς, ὅτι καὶ τ' ἀντίγραφα τοῦ νόμου καὶ τοὺς ἑρμηνεῖς μετεπέμψατο παρὰ τοῦ ἀρχιερέως ἐξ Ἱερουσαλὴμ ὁ Πτολεμαῖος, καὶ ὅτι οἱ Ο, μετὰ τῶν ἑβραϊκῶν ἀντιγράφων ἐλθόντες, *ἡρμήνευσαν* μόνον *ἑλληνιστὶ* τὴν Γραφήν. Ὅτι δὲ καὶ ἀντέγραψαν αὐτὴν ἑβραϊστὶ, ἄπορον καὶ

(α) Δριμέως καθάπτεται τῆς περὶ τὴν Χαΐμου φράσιν ἀπάτης τοῦ λαμπροῦ Κεννικώτου καὶ ὁ τούτου φθονερὸς, ἀλλ' οὐκ ἐφάμιλλος (πολλοῦ γε καὶ δεῖ) ἀντίζηλος Τύξην (Tychsen, Tentamen etc. p. 57). Ὅστις ὅμως τὴν ἑτέραν, τὴν ἐκ τῆς παρεξηγήσεως τῶν Χαϊμείων λόγων προελθοῦσαν τοῦ Κεννικώτου πλάνην (ὅτι οἱ Ο, ἀντέγραψαν τὸν κώδηκα καὶ ἑβραϊστὶ), ἀσπασίως ἐν τῇ διανοίᾳ συλλαβὼν, ἐτέκνωσε πολὺ τερατωδέστερον φάντασμα· ὅτι δηλαδὴ μετέγραψαν μὲν οἱ Ο, τὸ ἑβραϊκὸν, οὐ μέντοι γράμμασιν ἑβραίοις, ἀλλὰ διὰ στοιχείων ἑλληνικῶν, αὐτὰς γράψαντες τὰς λέξεις τὰς ἑβραϊκὰς, οὐδὲ μετέφρασαν αὐτὰς ἑλληνιστί! καὶ λοιπὸν ἀπὸ τοιούτου ἑλληνεβραϊκοῦ χειρογράφου μετέφρασαν ἔπειτα οἱ Ἀλεξανδρεῖς Ἰουδαῖοι τὴν λεγομένην ἑρμηνείαν τῶν Ο! κτλ. (Tychsen l. c. p. 55). πρβλ. καὶ ὄπισθ Βιβλ. Β. κεφ. θ. §. λα. σελ. 594.

τοῦτο πῶς ἐδόξασεν ὁ σοφώτατος Κεννικῶτος. ε) Κἀκεῖνο δὲ παράδοξον. Παρέλιπον (φησὶν) οἱ Ο, κατά τε τὴν ἀντιγραφὴν καὶ τὴν ἑρμηνείαν, χάριν συντομίας, τὰς ἐπαναλήψεις, διαφεύγοντες τὴν ἐκ τῆς διττογραφίας ἐνόχλησιν! Ἀλλὰ πῶς οὐ διέδρασαν τὴν ἐνόχλησιν ταύτην καὶ ἐν ἄλλαις δὴ τοσαύταις ἐπαναλήψεσι τῆς Γραφῆς, ἡρμήνευσαν δὲ ταύτας ἀκριβῶς; οἷον τὰς ἐν τῷ ζ, κεφαλαίῳ τῶν Ἀριθμῶν (ἃς ἐμνημόνευσε καὶ ὁ Κεννικῶτος), καὶ τὰς ἐν τῷ α, τῆς Γενέσεως, καὶ ἄλλας ἀλλαχοῦ. ϛ) Ποίαν ἐξουσίαν εἶχον, ἢ πῶς ἂν ἐτόλμησαν οἱ ἑρμηνεῖς οὗτοι (κατὰ δὲ τὸν Κεννικῶτον καὶ *ἀντιγραφεῖς*) ἐπιτέμνειν καὶ περικόπτειν, κατὰ τὸ σφίσι δοκοῦν, χωρία τῆς θείας Γραφῆς; (α). Μὴ γὰρ ἔγραφον οὗτοι μελέτας τινὰς ἰδίας δι' ἑαυτούς; ἢ μήπως ἀπεστάλησαν δημοσίως πρὸς τὸν βασιλέα παρὰ τοῦ ἀρχιερέως ἀνεξέλεγκτοί τινες ἐπιτομεῖς, καὶ οἷον ἀνυπεύθυνοι αὐτοκράτορες τῆς συνθέσεως τοῦ θείου κειμένου; Καὶ πῶς; ὅπου καὶ αὐτὸς ὁ Ἔσδρας οὐ χωρὶς τῆς μεγάλης Συναγωγῆς ἐποιήσατο τὴν ἔκδοσιν τῶν Γραφῶν. ζ) Πῶς καθ' ὅπερ ἔγραψαν οἱ Ο ἑβραϊκὸν χειρόγραφον (κατὰ τὸν Κεννικῶτον) ἐκανονίσθησαν καὶ πάντες οἱ κατὰ τὴν Παλαιστίνην καὶ ἀλλαχοῦ τῆς Οἰκουμένης καὶ τότε, καὶ ὕστερον, καὶ ὅσοι νῦν εὑρίσκονται ἑβραϊκοὶ κώδηκες; οὐδ' ἐσώθη τούτων οὐδεὶς, διατηρήσας τὴν πρὸς τὸ Σαμαρειτανὸν περὶ τὰ ιγ,

---

(α) Παράδοξα (καὶ τοῦτο λόγου πάρεργον), ἢ ἀστεῖα, φαίνονται τὰ τοιαῦτα περὶ τῶν Ο, γνωματεύματα τῶν σοφῶν κριτικῶν. Οἱ μὲν γὰρ τούτους πλάττουσιν ἐ π ι τ ο μ ε ῖ ς τινας καὶ κουρεῖς τοῦ ἑβραϊκοῦ κειμένου, οἱ δὲ τ' ἀνάπαλιν δ ι α σ κ ε υ ά σ τ ὰ ς, προστιθέντας καὶ τανύοντας τὰς φράσεις πρὸς ἐξίσωσιν (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιβ. σελ. 814). Καὶ πάσχουσιν ἄρα καὶ οἱ Ο γέροντες (καί τοι καθ' ἑαυτοὺς μένοντες ἀπαθεῖς), παρόμοια τοῖς ὁδίταις ἐκείνοις, ὅσοι περιέπιπτον εἰς χεῖρας τοῦ Προκρούστου (μύθῳ δὲ τὰ ψευδῆ παραβάλλειν οὐκ ἀπεικός)· ἀλλὰ μετά τινος ὅμως διαφορᾶς. Ἐκείνων μὲν γὰρ ἕκαστος ἅπαξ ἐξισοῦτο πρὸς τὸ μέτρον τῆς Προκρουσταίας κλίνης (καὶ τοῦτο βέβαιον ὂν καὶ σταθερὸν, καὶ μὴ τοτὲ μὲν πρόμηκες γινόμενον, τοτὲ δὲ κολοβὸν, ὡς εὑρίσκεται τὸ κείμενον τοῦ νῦν ἑβραϊκοῦ)· οὐδ' ἐτανύετο, καὶ πάλιν ἠκρωτηριάζετο, προκρουόμενος πολλάκις ὁ αὐτός. Τοῦτο μόνον ἀπέκειτο, ὡς ἔοικεν, εἰς τὴν παρὰ τοῖς κριτικοῖς βασανιζομένην ἑρμηνείαν τῶν Ο, ταύτην δὴ τὴν ἀῤῥαγῆ π έ τ ρ α ν τ ο ῦ σ κ α ν δ ά λ ο υ! (βλ. καὶ ἐφεξῆς κεφ. ια, τὰ ἀπὸ τοῦ §. 1, καὶ ἐφεξῆς τερατολογούμενα).

ταῦτα τῆς Ἐξόδου χωρία γνησίαν καὶ ἀρχαίγονον συμφωνίαν; Οὐδὲ τῶν ἄλλων τῶν μετὰ τοὺς Ο παλαιῶν τῆς ἑβραϊκῆς Γραφῆς ἑρμηνευτῶν οὐδεὶς τοιούτῳ περιέτυχεν ἀντιγράφῳ; οὐδ' ἠπίστατο τὰς ἀλλοιώσεις ἀπὸ φήμης μαθὼν τῶν ἀρχαίων οὐδείς; Αὐτοὶ δὲ πάλιν οἱ Ο, πότερόν ἄρα, συνειδότος καὶ τοῦ ἀρχιερέως μετὰ τοῦ Συνεδρίου, ἢ ἀγνοοῦντος, ἐτόλμησαν τὰς μεταβολάς; Ἀλλ' εἰ μὲν τὸ δεύτερον, πῶς λοιπὸν διῆλθον αἱ μεταβολαὶ καὶ εἰς τὰ τότε *ὑπὸ κλείθροις ἱεροῖς* καὶ φύλαξιν ἀγρύπνοις τετηρημένα γνήσια τεύχη τῶν Γραφῶν; Εἰ δὲ τὸ πρῶτον, καλοῖς λοιπὸν φρουροῖς καὶ κηδεμόσιν « *ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ* »! Ἀλλὰ παραλείποντες πολλὰς καὶ ἄλλας ἀτοπίας τῆς τοιαύτης γνώμης τοῦ περικλεοῦς καὶ μάλα παρ' ἡμῖν τιμίου Κεννικώτου, ἀπαντῶμεν ἁπλῶς, ὅτι αὐτὴ μόνη ἡ πρὸς τὸ ἑβραϊκὸν συμφωνία τῶν Ο ἀποδείκνυσι λαμπρῶς, ὅτι τὰ σεσημειωμένα ιγ, τῆς Ἐξόδου χωρία παρηλλοιώθησαν κατὰ παρενθήκην καὶ διασκευὴν ὑπό τινων πολὺ μετὰ τοὺς Ο (καὶ ἴσως μετὰ Χριστὸν) περιέργων Σαμαρειτῶν, γενομένων διορθωτῶν τῆς παρ' αὐτοῖς Πεντατεύχου (φιλοτιμηθέντων ἴσως ἀναδεῖξαι τὸ Σαμαρειτανὸν χειρόγραφον κἀν τούτοις τελειότερον τοῦ ἑβραϊκοῦ). Οὕτω καὶ ἐν ἄλλοις χωρίοις τῆς Σαμαρείτιδος Πεντατεύχου κεῖνταί τινες προσθῆκαι· οἷον τὰ ἐν Ἐξόδ. ς, 9, ὅπου γράφονται κατ' ἐπανάληψιν, ὡς εἰρημένα πάλιν παρὰ τοῦ Μωσέως πρὸς τὸν λαόν, ὅσα μικρὸν ἀνωτέρω (ς, 6--8) ἐλάλησεν αὐτὸς ὁ Θεὸς πρὸς τὸν Μωσῆν (ταῦτα γὰρ μόνα κεῖνται ἔν τε τῷ ἑβρ. καὶ τοῖς Ο) (α). Ἀλλὰ καὶ εἰς Ἀριθμ. κεφ. ιγ, τῶν ἀρχαίων τις σχολιαστῶν (εἴτε Ὠριγένης, εἴτε τις ἄλλος) ἐσημείωσεν, ὅτι τὸ Σαμαρειτανὸν ἔχει τινὰ ἐκ τοῦ Δευτερονομίου (α, 20) προσγεγραμμένα καὶ εἰς τοὺς Ἀριθμοὺς (ιγ, ι), ἅπερ οὔτ' ἐν τῷ ἑβραϊκῷ, οὔτε παρὰ τοῖς Ο ἀναγινώσκονται (β). Φερον-

---

(α) Βλ. Grot. Adnot. ad Exod. l. c. πρβλ. καὶ Houbigant. Not. Crit. proleg. p. 50.

(β) « Ἃ δὴ καὶ αὐτὰ ἐκ τοῦ τῶν Σαμαρειτῶν ἑβραϊκοῦ μετεβάλομεν καταλλη-

ται δὲ καὶ νῦν ἐν τῷ Σαμαρειτανῷ καὶ ταῦτα, καὶ ἄλλα τινὰ τοῦ Δευτερονομίου, παρεγγεγραμμένα καὶ ἐν τοῖς Ἀριθμοῖς (α).

§. ιδ. Καθόλου δὲ περὶ τῶν ἐν τῇ Σαμαρειτανῇ Πεντατεύχῳ προσθηκῶν, ἢ ἄλλων οἱωνδήποτε πρὸς τὸ νῦν ἑβραϊκὸν διαφορῶν, σημειοῦμεν, ὅτι μόνας ἐκείνας ἀποδεχόμεθα δικαίως, ὅσαι συμφωνοῦσι καὶ πρὸς τοὺς Ο (δηλονότι πρὸς ἐκεῖνο τὸ κατ᾽ ἐκείνους τοὺς χρόνους ἀδιάφθορον ἑβραϊκὸν κείμενον, ἐξ οὗ μεθηρμήνευσαν οἱ Ο). Ἀμφότερα γὰρ τὰ κείμενα, τό, τε τῶν Ο καὶ τὸ Σαμαρειτανὸν, ἐξελέγχουσι τοῦ νῦν ἑβραϊκοῦ τὴν, ἐν οἷς διαφωνεῖ, διαφθοράν· τὸ δὲ παράγειν (ὡς εἰώθασιν οἱ περὶ τὸν Κεννικῶτον) αὐτὸ καὶ μόνον τὸ Σαμαρειτανὸν ὡς ἀπόδειξιν τῆς ἄγαν ἀρχαίας ἀλλοιώσεως τοῦ τε ἑβραϊκοῦ καὶ τοῦ τῶν Ο (καθ᾽ ὅσα ταῦτα πάλιν πρὸς ἄλληλα συμφωνοῦσι), τοῦτ᾽ ἂν εἴη τὸ αὐτὸ, ὡς καὶ εἴ τις παράγοι ἕνα τινα μάρτυρα προτιμητέον ἑτέρων δύω, συμφωνούντων περὶ τοῦ αὐτοῦ πράγματος, καὶ τούτων οὐ μόνον ὡς πλειόνων κατ᾽ ἀριθμὸν, ἀλλὰ καὶ κατ᾽ ἄλλας ἰδιότητας πολὺ μᾶλλον τοῦ ἑνὸς ἀξιοπιστοτέρων. Καθ᾽ ὅσα δὲ πάλιν τὸ ἑβραϊκὸν καὶ τὸ Σαμαρειτανὸν κατὰ τῶν Ο συμφωνοῦσι, τίνι περὶ τούτων πιστευτέον, ὀψόμεθα ἐν τοῖς ἐφεξῆς (κεφ. ια), ὅπου καὶ περὶ τοῦ Σαμαρειτανοῦ κειμένου πλατύτερον ἐροῦμεν.

§. ιε. Οἱ περὶ τὸν Κεννικῶτον προβάλλουσι καὶ ἐξ ἄλλων βιβλίων τῆς θείας Γραφῆς κριτικὰς ἀποδείξεις, δι᾽ ὧν ἐξελέγξαι πειρῶνται παλαιάς τινας τοῦ ἑβραϊκοῦ διαφθορὰς, ἐπισυμβάσας καὶ πρὸ τῶν Ο, (φέρονται γὰρ καὶ παρὰ τούτοις αἱ αὐταὶ ἀναγνώσεις). Οὕτω, φερ᾽ εἰπεῖν, παραβάλλοντες τὸ τῆς Α, τῶν Παραλειπομένων ια, κεφάλαιον (στίχ. 12, 13, 14) πρὸς τὸ τῆς Β, Βασιλ. κγ, (στίχ. 9, 10, 11, 12), ἐν οἷς ἀμφοτέροις ἡ αὐτὴ διή·

λως τῇ τῶν Ο, ἑρμηνείᾳ τῇ ἐν τῷ Δευτερονομίῳ φερομένῃ » (Ὠριγέν. ἐν τοῖς Ἑξαπλοῖς, ἐκδ. Montfauc. Τ. 1. p. 158).

(α) Montfauc. Praelim. ad Hexapl. Origen, p. 19. πρβλ. Kennicot l. c. p. 157.

γησις ἱστορεῖται, εὑρίσκουσιν ὁλοκλήρους λδ, λέξεις ἐκπεπτωκυίας ἔκ τε τοῦ ἑβραϊκοῦ καὶ τοῦ τῶν Ο κειμένου τῆς Α, τῶν Παραλειπομένων (ια, 12—14), καὶ ταύτας κρίνουσι προσθετέας ἐκ τῆς Β, τῶν Βασιλειῶν (κγ, 9—12) (α). Ἀλλ' ἡ γνώμη τῶν κριτικῶν φαίνεται παράτολμος, Ἡ διήγησις ἐν τῇ Α, τῶν Παραλειπομένων χωρεῖ σαφὴς καὶ καθαρὰ, διαφέρει δὲ μόνον τῆς ἐν τῇ Β, τῶν Βασιλειῶν, ὡς συντομωτέρα. Ἀλλὰ τίς οὐκ οἶδεν ὅτι τὰ *Παραλειπόμενα* (ὡς ὀρθῶς ἐπέγραψαν οἱ Ο, τὰ δύω ταῦτα βιβλία, καθότι περιέχουσι καί τινα συμβεβηκότα παραλειφθέντα ἐν τῇ τῶν Βασιλειῶν ἱστορίᾳ), παρὰ δὲ τοῖς Ἑβραίοις λεγόμενα *Βιβλία ἡμερῶν* (τουτ. Χρονικὰ), ὑπάρχουσιν ὅμως ἐν πολλοῖς καὶ οἷον ἐπιτομαί τινες καὶ περιλήψεις τῶν τεσσάρων βιβλίων τῶν Βασιλειῶν; Οὐδὲν οὖν παράδοξον, εἴπερ ἐν τοῖς παραλλήλοις χωρίοις λείπουσιν ἐκ τῶν Παραλειπομένων περιστατικά τινα, προϊστορηθέντα ἐν ταῖς Βασιλείαις. Ἔστι δ' ὅπου κἀν ταύταις λείπουσιν ἐν τοῖς παραλλήλοις λέξεις τινὲς, ἢ λόγοι ὁλόκληροι, οὓς προσέθηκεν ἀλλαχόθεν ὁ ἱερὸς τῶν Παραλειπομένων συγγραφεύς (β). Ἢ μήπως αἱ βίβλοι τῶν Παραλειπομένων ὑπάρχουσιν ἀκριβής τις καὶ μέχρι κεραίας ἀντιγραφὴ τῶν Βασιλειῶν; «Ὅσα (φησὶν ὁ ἱερὸς Θεοδώρητος) παρέλιπεν ὁ τὰς Βασιλείας συγγεγραφὼς, ταῦτα συντέθεικεν ὁ τόνδε τὸν πόνον (τῶν Παραλειπομένων) ἀναδεξάμενος, ***ἐκ πολλῶν αὐτὰ προφητικῶν βιβλίων συναγαγών***. Πολλὰ δὲ καὶ τῶν ἐκεῖ (ἐν ταῖς Βασιλείαις) συγγεγραμμένων τούτοις συνήρμοσεν, ἵνα φυλάξῃ τῆς ἱστορίας τὴν ἑρμηνείαν » (γ). Εἰ δὲ καί τινες ὑπῆρχον ὀλίγαι περὶ λέξεις (καὶ

(α) Kennicot. Dissert. I. p. 115. sq. καὶ Diss. II. p. 308.

(β) Οἷον «Καὶ ἔχρισαν τὸν Δαβὶδ κατὰ τὸν λόγον Κυρίου διὰ χειρὸς Σαμουήλ» (Α. Παραλειπ. ια, 3). Ταῦτα τὰ «κατὰ τὸν λόγον Κυρίου» κτλ. λείπουσιν ἐκ τῆς Β. Βασιλ. ε, 3· διότι προεγράφησαν ἀλλαχοῦ (Α. Βασιλ. ις, 12). Καὶ τὸ ἐν Β. Βασιλ. κα, 19, ἀκριβέστερον γέγραπται ἐν Α. Παραλειπομ. κ, 5. (βλ. Kennicot Diss. I. p. 17 καὶ 309: Huet. Demonst. Evang. vol. 1. p. 194).

(γ) Θεοδώρητ. προοιμ. εἰς α. Παραλειπ. τόμ. α. σελ. 277. Οὕτω καὶ τῶν

μάλιστα περί τινα κύρια ὀνόματα) ἀδιάλλακτοι δοκοῦσαι διαφωνίαι ἔν τισι παραλλήλοις τόποις τῶν Παραλειπομένων καὶ τῶν Βασιλειῶν (αἱ αὐταὶ καὶ ἀπαράλλακτοι κατά τε τὸ ἑβραϊκὸν καὶ παρὰ τοῖς Ο), ἀλλ᾿ οὐχ ἕπεται παρὰ τοῦτο καὶ ὅτι διέφθαρτο καὶ πρὸ τῆς ἑρμηνείας τῶν Ο τὸ ἑβραϊκόν. (Ἠδύνατο γὰρ τοῦτο καὶ μετέπειτα τοιαύτας τινὰς ἀλλοιώσεις ὑπὸ τῶν μεταγραφέων παθεῖν· ἠδύναντο καὶ αὗται κατὰ τὰς ἐπ᾿ Ὠριγένους παραβολὰς τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο, παρεισφρῆσαι καὶ εἰς τὸ κείμενον αὐτῶν). Αἱ δὲ τοιαῦται δύσμαχοι διαφωνίαι, μετὰ ἀκριβείας ἐξεταζόμεναι, πολλάκις εὑρίσκονται ἐναντιοφάνειαι ἁπλαῖ, μηδὲν παραβλάπτουσαι τοῦ κειμένου τὴν ἀλήθειαν, καὶ, τέλος, ὑποχωροῦσι διαλλαττόμεναι. Τελευταῖον, καὶ αὐτὴ ἡ ἐκ τῶν παραλλήλων χωρίων ἀπόδειξις τῆς ἀλλοιώσεως τοῦ κειμένου ἔχει τοὺς ἰδίους ὅρους, οὐδ᾿ ἀληθεύει καθολικῶς. Οἱ αὐτοὶ Ψαλμοὶ τοῦ Δαβὶδ ἔν τε ταῖς Βασιλείαις κἀν τῷ Ψαλτηρίῳ γεγραμμένοι, διαφέρουσιν ἔν τισι πρὸς ἀλλήλους. Καὶ αὐτοῦ τοῦ Δεκαλόγου νόμου αἱ ἐντολαὶ γράφονται περί τινα πλατύτερον καὶ διαφορώτερον ἐν τῷ Δευτερονομίῳ, ἢ ὡς προεγράφησαν ἐν τῇ Ἐξόδῳ. (βλ. Βιβλ. Β. σελ. 714). Καὶ αὐτῶν δὲ τῶν θείων Ἀποστόλων τὰ παράλληλα χωρία φέρουσί τινας περὶ τὴν φράσιν ἀδιαβλήτους καὶ ἀναμαρτήτους διαφοράς. Ἀλλὰ τίς ἂν εὐλόγως καὶ ὁσίως συμπεράνοι τῶν διαφερόντων τούτων τόπων διαφθοράν; Ἄλλο παράδειγμα τῆς πρωΐμου διαφθορᾶς τοῦ ἑβραϊκοῦ φέρουσι τὸ τέλος τῆς Β. τῶν Παραλειπομένων (κεφ. λϛ. §. 22, 23), ὅπου φαίνεται προσθήκη τις (ὡς λέγουσι) παρέγγραπτος, φανερὸν ἀπόσπασμα τοῦ ἐν Ἔσδρα α, 1, διατάγματος τοῦ Κύρου· κεῖται δὲ τὸ τεμάχιον τοῦτο καὶ παρὰ τοῖς Ο, καὶ ἐν τῷ ἑβραϊκῷ, προσκολληθὲν (ὡς οἱ κριτικοὶ θέλουσιν) ὑπό τινος τῶν ἀντιγραφέων ἐκ τοῦ παρακει-

---

νεωτέρων ἄλλοι τε καὶ Ἀκκερμᾶν ὁμολογοῦσι, μὴ μόνον ἐκ τῶν Βασιλειῶν, ἀλλὰ πολὺ μᾶλλον καὶ ἐξ ἄλλων χρονικῶν, συνταγμάτων προφητικῶν, ἀπηνθισμένα τὰ Π α ρ α λ ε ι π ό μ ε ν α. Βλ. Ackermann, Introductio etc. §. 47 καὶ 49.

μένου τεύχους τοῦ Ἔσδρα (α). Ἀλλὰ πρῶτον μὲν, συγγραφεὺς τῶν Παραλειπομένων (παρ' Ἑβραίοις μάλιστα, καὶ παρ' ἄλλοις οὐκ ὀλίγοις τῶν νεωτέρων κριτικῶν) νομίζεται ὁ ἱερὸς Ἔσδρας. Αὐτὸς οὖν προσέθηκεν εἰς τὸ τέλος τῆς βίβλου τὸ μέρος τοῦ Διατάγματος, ὅθεν ἄρχεται τὸ β, βιβλίον τῆς ἰδίας αὐτοῦ συγγραφῆς. Οὕτω καὶ τῶν ἔξω τινὲς ἱστορικῶν ἄρχονται τοῦ ἐφεξῆς βιβλίου ἔκ τινων περιόδων,, εἰς ἃς ἔληξε τὸ προηγηθέν (β). Εἰ δὲ καί τις ἄλλος προγενέστερος προφητικὸς ἀνὴρ ὑπῆρξε τῶν Παραλειπομένων ὁ συγγραφεὺς (ὡς ἄλλοι νεώτεροι διατείνονται, προβάλλοντες λεκτικάς τινας διαφορὰς τῆς τοῦ Ἔσδρα διαλέκτου πρὸς τὰ Παραλειπόμενα), καὶ οὕτω πάλιν τὰ δύω περὶ ὧν ὁ λόγος ἐδάφια τοῦ τελευταίου κεφαλαίου τῶν Παραλειπομένων προσετέθησαν ὕστερον ὑπ' αὐτοῦ τοῦ Ἔσδρα, πρὸς ἀπόδειξιν, ὅτι ἐπληρώθη ἡ περὶ τῆς διαρκείας τῆς αἰχμαλωσίας προφητεία τοῦ Ἱερεμίου, ἥτις μνημονεύεται μικρὸν ἀνωτέρω (Β. Παραλειπ. λς, 21) (γ). Ἀνέγνωσαν δὲ ταῦτα ἐν τῷ τέλει τῶν Παραλειπομένων καὶ οἱ πάλαι Πατέρες τῆς Ἐκκλησίας (δ). Καὶ ἄλλως δὲ τὰ ἐδάφια θεωρούμενα, φαίνονται ὡς κρίκοι τινὲς χρυσοῖ, συνάπτοντες τὴν σειρὰν τῆς ἱερᾶς ἱστορίας, καὶ συνείροντες τὰ κατὰ τὴν αἰχμαλωσίαν συμβάντα (εἰς ἃ λήγει τῶν Παραλειπομένων ἡ ἱστορία), πρὸς τὰ τῆς ἐπανόδου τῶν ἐλευθερωθέντων Ἰουδαίων, περὶ ὧν πραγματεύεται ἡ τοῦ Ἔσδρα συγγραφή. Οὕτω προσετέθησαν καὶ τὰ ἐν τῷ τελευταίῳ κεφαλαίῳ τῆς Πεντατεύχου, καὶ τὰ τῆς βίβλου τοῦ Ἰησοῦ, περὶ ὧν προείπομεν (§. θ). Τελευταῖον· ἄδηλον παντάπασι καὶ ἀμφίβολον, εἰ καὶ ἐν τῷ πάλαι τῶν Ἑβραίων κώδηκι ὑπῆρχεν ἡ αὐτὴ τάξις τῶν βιβλίων, ἣν ἔχει τὰ νῦν ὁ

(α) Kennicot. Diss. I. p. 479. sq. Diss. II. p. 309. — Hezelius, etc.

(β) Βλ. τὸν Grotium in I. Paralip. XXXVI. 22. πρβλ. καὶ Huet. Dem. Evang. Pr. IV. T. 1. p. 193.

(γ) Βλ. Dathe, καὶ Schulz Schol. in Paralip. l. c.

(δ) Θεοδώρητ. ἐν τῷ τέλει τῆς ἑρμην. εἰς τὰ Ἄπορα τῆς θείας Γραφ. τόμ. α. σελ. 301. ἐκδ. Εὐγεν.

πολλὰς καὶ κατὰ τοῦτο μεταβολὰς ὑποστὰς Μασορίτειος κώδηξ, ἐν ᾧ τὸ Β, βιβλίον τοῦ Ἔσδρα ἀκολουθεῖ ἀμέσως μετὰ τὸ τέλος τῶν Παραλειπομένων. Εἵπετο δὲ μᾶλλον τὸ Α, βιβλίον τοῦ Ἔσδρα, περὶ οὗ λέγομεν ἐν τοῖς ἑξῆς (κεφ. ιδ).

§. ιϛ. Πολλὰ καὶ καλὰ παρετήρησε, καὶ σοφῶς ὁ σοφὸς ἐξέφρασε Κεννικῶτος, πλούσιον ἔρανον εἰς διόρθωσιν τοῦ ἑβραϊκοῦ κειμένου (ὅσον καὶ ὅπως ἐνδέχεται) συνεισφέρων καὶ ἐξ ἄλλων ἀφορμῶν, καὶ μάλιστα ἐξ ὧν συνήγαγε πολλῶν ἑβραϊκῶν ἀντιγράφων. (Καί τοι καὶ ταῦτα μάλιστα συμβάλλουσι πολλάκις πρὸς ἀπόδειξιν τῆς ἀδιαφθορίας τοῦ παρ' ἡμῖν ἱεροῦ κειμένου τῶν Ο, ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς). Ἀλλ' ὅτι τὸ ἑβραϊκὸν κείμενον οὕτως ἀώρως καὶ πρὸ τῶν Ο διεφθάρη (καθὼς συνήγαγεν ὁ σοφὸς κριτικὸς), οὐδέποτε συγκαταφήσομεν· ἀλλ' οὐδέ τις ἄλλος, οἶμαι, δικαιότερα κρίνων. Οὐδεὶς γὰρ ἂν εὐλόγως πιστεύσειεν, ὅτι κατ' ἐκείνους τοὺς χρόνους (τῷ 300 π. Χ.) διέφθειρον οἱ Ἰουδαῖοι τὸ κείμενον τῶν θείων Γραφῶν, ἐπιβάλλοντες χεῖρα βέβηλον καὶ ἱερόσυλον, εἴτ' ἐπὶ ῥᾳδιουργίᾳ (ὡς εἶπον περὶ τοῦ *Γαριζεὶμ*), εἴτε φυγοπόνου συντομίας χάριν (ὡς ἐπὶ τῶν ιγ τῆς Ἐξόδου χωρίων), εἴτε καὶ ἀφροντιστοῦντες περὶ τὴν ἀκρίβειαν τῆς ἀντιγραφῆς, καὶ μάλιστα κατὰ τὴν Ἰουδαίαν, ὅπου καὶ τὰ Ἐσδραῖα πρωτότυπα (ὡς προείπομεν) ἀσφαλῆ καὶ ἀκμαῖα εἰσέτι τότε ἐν τῷ ναῷ διετηροῦντο, καὶ νομομαθέστατοι γραμματεῖς καὶ ἱερεῖς ἐπεμελοῦντο περὶ τῆς ἀκριβείας τῶν ἀντιγράφων. Μάρτυς δὲ τούτων πιστὸς, καὶ ἀξιόχρεώς ἐστιν ἐγγυητὴς τὸ ἐξ Ἱερουσαλὴμ ἀπόγραφον, ἐξ οὗ κατ' ἐκείνους τοὺς χρόνους (τῷ 283 π. Χ,) οἱ Ο, μεθηρμήνευσαν.

§. ιζ. Ὅτι δὲ ὅμως *ἐκτὸς τῆς Παλαιστίνης*, οἷον κατὰ *τὴν Αἴγυπτον καὶ τὴν Βαβυλῶνα*, παρεισέφρησαν ἔκπαλαι ποικίλα σφάλματα περὶ τὴν μεταγραφὴν τῶν ἐκ τῆς Ἐσδραίας ἐκδόσεως ἀντιγράφων, τοῦτο, καὶ εἰ μή τις ὑπῆρχεν ἄλλοθεν μαρτυρία, μόνος ὁ λόγος αἱρεῖ. Οἱ γὰρ κατ' ἐκείνας τὰς χώρας καὶ ἀθρόοι καὶ σποράδην οἰκοῦντες αἰχμάλωτοι Ἰουδαῖοι, μακρὰν μὲν τοῦ ναοῦ

καὶ τῶν ἐν αὐτῷ τελετῶν ἀπεσχοινισμένοι, σπεύδοντες δὲ καὶ περὶ τὴν ἀντιγραφὴν τῶν κατὰ τὴν Ἔσδρα ἔκδοσιν ἱερῶν τευχῶν, γεγραμμένων ἤδη γράμμασι Χαλδαϊκοῖς ἀντὶ τῶν πρώην Μωσαϊκῶν (ἐν οἷς ἦσαν ἐξ ἀρχῆς εἰθισμένοι περὶ τὴν ἀνάγνωσιν τῶν Γραφῶν), καὶ πρὸς τὴν ὁμοιότητα τινῶν γραμμάτων ἀπατώμενοι, μηδὲ τὴν ἐκ τοῦ Συνεδρίου τῶν Ἱεροσολύμων καὶ τῶν ἐκεῖ γραμματέων ἐπιστασίαν ἔχοντες βοηθὸν εἰς ἀνάκρισιν τῆς ἀκριβείας τῶν ἀντιγράφων, ῥᾳδίως ἂν ἐξέπιπτον εἰς πλάνας περὶ τὴν τοῦ θείου κειμένου μεταγραφήν. Ἴσως δὲ καὶ ἐκ τῆς ἀναγνώσεως τῶν πρὸ τοῦ Ἔσδρα παλαιῶν τινων διεφθαρμένων ἀντιγράφων, ἔτι παρ' αὐτοῖς διασῳζομένων, παρεκτρεπόμενοι, ἀπεπλανῶντο τῆς ἀκριβείας. Οὐδὲ γὰρ ἐξώρισεν ἡ τοῦ Ἔσδρα ἔκδοσις τὰ πανταχοῦ τῆς Ἀσσυρίας καὶ Βαβυλωνίας παρὰ τῶν μετοικισθέντων Ἑβραίων μετακομισθέντα (βλ. ὄπισθ. §. ς. σελ. 33) ἀρχαῖα χειρόγραφα· λέγομεν δὲ πλατύτερον περὶ τούτων καὶ ἐν τοῖς ἑξῆς (κεφ. ια. §. ιβ). Καὶ περὶ μὲν τῶν κατ' Αἴγυπτον ἐσφαλμένων ἑβραϊκῶν χειρογράφων πάρεστι μάρτυς ἀξιόχρεως ὁ γεράσμιος Ἀριστέας, ἐπαγόμενος καὶ τὸν Ἰουδαῖον Ἰώσηπον κατόπιν συνεπιμαρτυροῦντα. Ἐν γὰρ τῇ παρ' αὐτῷ πρὸς τὸν Φιλάδελφον εἰσδόσει Δημητρίου τοῦ Φαληρέως (δι' ἧς προτρέπει τὸν βασιλέα μετεπέμψασθαι ἐκ τῶν Ἱεροσολύμων τούς τε κώδηκας τῶν ἱερῶν βιβλίων, καὶ τοὺς τούτων ἑρμηνεῖς) γέγραπται ταῦτα· «Τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισιν ἀπολείπει» (τῆς βιβλιοθήκης)· « Τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα· *ἀμελέστερον δὲ, καὶ οὐχ ὡς ὑπάρχει, σεσήμανται*, καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται· προνοίας γὰρ βασιλικῆς οὐ τέτευχε· δέον δὲ ἐστὶ καὶ ταῦτα ὑπάρχειν παρὰ σοὶ *διηκριβωμένα.*— Ἐὰν οὖν φανεῖται βασιλεῦ, γραφήσεται πρὸς τὸν ἀρχιερέα τῶν Ἱεροσολύμων» κτλ. (α). Ἐκ τούτων φαίνεται σαφῶς,

(α) Ἀριστέας σελ. V. ἐκδ. Hody, καὶ Ἰώσηπ. Ἀρχ. ΙΒ. β. §. 3. βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ζ. §. ιδ. σελ. 436.

ὅτι κατὰ τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν ὑπῆρχον ἤδη ἐπὶ τοῦ Φιλαδέλφου τὰ ἰουδαϊκὰ βιβλία ἀμελέστερον, καὶ οὐχ ὡς *ὑπάρχει* (τουτέστιν, ὡς ἔχει τῷ ὄντι, κατὰ τὴν γνησίαν γραφὴν), καὶ τοῦτο πρὸς τὸν Δημήτριον ἀνέφερον οἱ *εἰδότες* (αὐτοὶ δηλονότι οἱ εἰδήμονες τῆς γλώσσης Ἰουδαῖοι, οἱ κατὰ τὴν Αἴγυπτον *λογιώτατοι τῶν ἀρχιερέων*, ὡς αὐτοὺς ὠνόμασεν ὁ Ἀριστέας ἀλλαχοῦ σελ. 2). Ὅθεν ὁ Φιλάδελφος μετεπέμψατο τούς τε κώδηκας καὶ τοὺς Ο ἑρμηνεῖς ἐκ τῶν Ἱεροσολύμων, ὅπου τὰ γνήσια καὶ *διηκριβωμένα* τῶν ἀπογράφων διετηροῦντο, καὶ αὐτὰ τὰ τοῦ Ἔσδρα αὐτόγραφα (μήπω διελθόντων 195, ἐνιαυτῶν, ἀφ᾽ οὗ ταῦτα συνήγαγεν Ἔσδρας, ἀπὸ δὲ τοῦ Νεεμίου μόλις 97, ἐτῶν, μέχρις τῆς ἑρμηνείας τῶν Ο) (α). Εἰ δὲ κατὰ τὴν γείτονα τῆς Παλαιστίνης Αἴγυπτον ἦσαν ἐπὶ τοῦ Φιλαδέλφου τὰ ἑβραῖα χειρόγραφα πολὺ, ἢ ὀλίγον, ἠμελημένα, καὶ ὁπωσδήποτε παραλλάττοντα τῆς φυσικῆς αὐτῶν γνησιότητος, πολλῷ γ᾽ ἂν μᾶλλον ἦσαν τοιαῦτα κατ᾽ ἐκείνους τοὺς χρόνους τὰ φερόμενα παρὰ τοῖς ἐν Ἀσσυρίᾳ διὰ μακροῦ δεδουλωμένοις Ἰσραηλίταις, οἵτινες ἀπομαθόντες ἤδη

(α) Περὶ τῆς ἀκριβοῦς χρονολογίας τῆς μεταξὺ τοῦ Ἔσδρα καὶ Νεεμίου διαφέρονται οἱ νεώτεροι, ἄλλως ἄλλοι πιθανολογοῦντες. Ὁ δ᾽ οὖν Ἰάννης καὶ Ἀκκερμᾶν τάττουσι τὴν εἰς Ἱερουσαλὴμ ἀνάβασιν τοῦ Ἔσδρα τῷ 478 π. Χ. τὴν δὲ τοῦ Νεεμίου τῷ 444 π. Χ. (ἔτεσι 33, μετὰ τὸν Ἔσδραν), ὅτε τὸ πρῶτον οὗτος ἀφίκετο εἰς Ἱερουσαλήμ. Ἀνῆλθε δὲ καὶ τὸ δεύτερον τῷ 412, ἢ 408, π. Χ. φαίνεται δὲ οὗτος μακροβιώτατος γεγονὼς καὶ ἐννενηκοντούτης, ἢ καὶ ἑκατοντούτης σχεδὸν τελευτήσας. Ἔζη γὰρ τῷ 380 ἢ 376 : ὅθεν καὶ τοῦ τότε ἀρχιερέως Ἰωαδᾶ μνημονεύει, κτλ. (ιγ, 27). Ὥστε κατὰ ταύτην τὴν χρονολογίαν ἀπὸ τοῦ 380 ἔτους μέχρι τοῦ 283 π. Χ. ὅτε γέγονεν ἡ ἑρμηνεία τῶν Ο (οἱ δὲ περὶ τὸν Ἀκκερμᾶνα ἔτι πρωϊμώτερον, τῷ 320 π. Χ. τίθησι τὴν ἑρμηνείαν, οὔτι πάνυ πιθανῶς) μόλις παρῆλθον ἔτη μόνα 97 (ὅτι δὲ ὁ Ἐσδραῖος κατάλογος, ὅστις περιέχει καὶ τὴν Μαλαχίου καὶ τὴν αὐτοῦ Νεεμίου βίβλον ὑπ᾽ αὐτοῦ τούτου συντελεσθεὶς κατεσφραγίσθη, προείπομεν σελ. 29) Ἀλλὰ κατὰ τὸν Οὐόσσιον, Ἰωσήπῳ παρακολουθοῦντα, ἀπὸ μὲν τῆς Ἔσδρα εἰς Ἱερουσαλὴμ ἀναβάσεως παρῆλθον ἔτη 231 : ἀπὸ δὲ τῆς Νεεμίου δευτέρας ἀναβάσεως ἔτη 210, μέχρι τῆς ἑρμηνείας τῶν Ο. (βλ. Voss. Can. chronol. p. 214, 215, 222. πρβλ. καὶ ὄπισθ. Βιβλ. κεφ. δ. §. ιϐ. Β. σελ. 191. Βλέπε δὲ καὶ Jahn, Einleit. 2. Bd. p. 274. καὶ Ackerman Introduct. p. 16, 43, 193-198. πρβλ. καὶ Rosenmüll. procem in Malach. καὶ Scaliger. Animadvers. in Chron. Euseb. p. 125.

πρὸ πολλοῦ τὰ ἑβραϊκὰ, καὶ τῇ Χαλδαίων χρώμενοι γλώσσῃ, καὶ ὅτε λοιπὸν ἀντέγραφον τὰς Ἐσδραίας Γραφὰς, εὐκόλως ἂν ἡμάρτανον περὶ τὴν ἀντιγραφὴν, ἐξολισθαίνοντες ἐκ τῆς ἑβραϊκῆς λέξεως εἰς ἄλλην ὁμόηχον χαλδαϊκήν. Οὐδὲ σοφοί τινες ἤκμαζον πολλοὶ καὶ διάσημοι παρ' αὐτοῖς. Ἓν γὰρ οὐδὲ ἓν ἐκ τούτων φαίνεται σύγγραμμα, οὔτε πρότερον, οὔτε μετὰ τοὺς Ἔσδρα μάλιστα χρόνους, μέχρι καὶ τῆς ἐσχάτης καὶ παγγενοῦς τῶν Ἰουδαίων αἰχμαλωσίας. Περὶ δὲ τῶν ὡς ἀρχαίων περικροτουμένων Χαλδαϊκῶν τῆς Γραφῆς παραφράσεων *(Ταργουμὶμ)*, μόλις ἀπὸ τοῦ β, μετὰ Χριστὸν αἰῶνος τελευτῶντος καὶ ἐφεξῆς ἀναφανεισῶν, λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ. Ἤδη δὲ ἥκομεν εἰς αὐτὸ τὸ κεφαλαιῶδες τῆς ἱστορίας καὶ καιριώτατον.

Ἑρμηνεία τῶν Ο (τῷ 283, π. Χ.)

§. ιη. « Διαθήκην αἰώνιον διατίθησι Κύριος » (Ἱερεμ. λθ. 40), καὶ ὁ νόμος αὐτοῦ διαμένει εἰς αἰῶνας. Αὐτὸς ὁ πάντων ἀγαθῶν χορηγὸς, ὁ παντοκράτωρ καὶ παντογνώστης πρύτανις τοῦ παντὸς, προειδὼς τὰς μελλούσας τῶν ἀνθρωπίνων πραγμάτων μεταβολὰς, καὶ ὅτι οἱ Ἰουδαῖοι, « *οἷς ἐπιστεύθησαν τὰ θεῖα λόγια* », ἔμελλον ἁπανταχοῦ καὶ τὴν πάτριον γλῶσσαν καὶ τὴν γνησίαν ἔννοιαν τῶν προφητικῶν Γραφῶν ἀπολέσειν, καταντήσαντες ὅπου δὴ κατήντησαν, προώρισε καὶ ἐθέσπισε τὴν ἀκεραιότητα τῆς ἁγίας αὐτοῦ Διαθήκης. Καὶ πρῶτον μὲν, ἐκ δύω τελείων, καὶ οἷον πανομοιοτύπων, ἀπογράφων ἑνὸς καὶ τοῦ αὐτοῦ αὐτογράφου τῆς Μωσαϊκῆς Πεντατεύχου, τὸ μὲν παρέδωκε τοῖς Σαμαρείταις, τὸ δὲ κατέλιπεν εἰς ἣν ἐξ ἀρχῆς ἐπιστεύθη Συναγωγὴν τῶν Ἰουδαίων, ὅπως ἐξελέγχηται τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου περὶ τὰς ἐσομένας ὕστερον ἐν ἑκατέροις ἄλλας ἀλλαχοῦ διαφθορὰς, καὶ πάλιν ἀμφότερα περὶ τὰ καθόλου μαρτυρῶσι τῆς θείας Ἀποκαλύψεως τὴν ἀλήθειαν. Ἔπειτα δὲ, πανταχόθεν ἐξασφαλίζων τὸν θεῖον αὐτοῦ λόγον, καὶ γνήσιον αὐτὸν διατηρῶν, καὶ ἄχραντον ἀποθησαυρίζων εἰς τὸ παγκόσμιον κήρυγμα τοῦ Εὐαγγελίου τῆς

σωτηρίας, ᾠκονόμησε τὴν ὑπὸ τῶν Ο, ἑλληνικὴν ἑρμηνείαν τῶν ἁγίων αὐτοῦ Γραφῶν, οἷα *δευτέρας πλάκας* αὐτὴν ἐκδοὺς, διαδόχους *τῶν πρώτων*, πρὶν εἰσέτι συμβῇ συντριβή τις καὶ κολόβωσις, ἢ διαστροφὴ καὶ ἀλλοίωσις τῶν θεοπνεύστων ἀρχετύπων, ὑπὸ τῶν Ἰουδαίων κακουργηθεῖσα διὰ τὸ πρὸς τοὺς Χριστιανοὺς μῖσος. Ταύτην δὲ τὴν ἑρμηνείαν παρέδωκε καὶ τοῖς Ἰουδαίοις αὐτοῖς, καὶ τοῖς ἐθνικοῖς· τούτοις μὲν, ἀνοίγουσαν τῆς ἀληθοῦς θεογνωσίας τὰ πρόθυρα, καὶ προπαρασκευάζουσαν τὰς καρδίας αὐτῶν εἰς ὑποδοχὴν τῆς εἰς Χριστὸν πίστεως, τοῖς δὲ πάλιν Ἰουδαίοις ἐγγυωμένην καὶ διασῴζουσαν τὸ γνήσιον κάλλος καὶ τὴν ἀπαράτρωτον ἀσφάλειαν τῶν λόγων τῶν προφητικῶν, ἵνα μετὰ τὴν φοβερὰν αὐτῶν συμφορὰν, καὶ τὴν παντελῆ τῆς γλώσσης ἀπώλειαν, καὶ τὴν ποικίλην διαφθορὰν τῶν πατροπαραδότων Γραφῶν, εὑρίσκωσι τὴν ἱερὰν ἑρμηνείαν, τῶν Ο, καὶ γραμματικὴν, καὶ λεξικὸν, καὶ διδάσκαλον καὶ διερμηνέα τῶν νοημάτων, χειραγωγοῦσαν αὐτοὺς εἰς τὴν γνησίαν κατανόησιν τῶν θεοπνεύστων προφητειῶν, καὶ τὴν ἐπίγνωσιν τῆς εἰς Χριστὸν ἐκπληρώσεως αὐτῶν.

§. ιθ. Αὕτη τοίνυν ἡ ἑλληνὶς ἑρμηνεία, παρευθὺς ὡς ἀνεφάνη, δοκιμασθεῖσα καὶ κυρωθεῖσα ὑπὸ τοῦ μεγάλου Συνεδρίου, ὡς ὁμόγνιος ἀδελφὴ τῶν ἑβραϊκῶν Γραφῶν, ἀνεγινώσκετο καὶ ἰδίᾳ καὶ πανδήμως ἐν ταῖς Συναγωγαῖς τῶν πανταχοῦ τῆς οἰκουμένης Ἑλληνιστῶν Ἰουδαίων, καὶ κατ᾽ αὐτὰ τὰ Ἱεροσόλυμα (ἀφ᾽ οὗ συνέστησαν ἐν τούτοις αἱ τῶν ἑλληνιζόντων Κυρηναίων καὶ Λιβερτίνων Συναγωγαί). Ἐν δὲ τῷ ναῷ καὶ ταῖς ἄλλαις τῶν ἑβραϊζόντων ἐν Ἰουδαίᾳ συναγωγαῖς ἀνεγινώσκοντο πάλιν τὰ πρωτότυπα τῶν θείων Γραφῶν, ἄχραντα τηρούμενα καὶ ἀκέραια, καὶ σύμφωνα πρὸς τὴν ἑρμηνείαν. Οὐδ᾽ εὑρέθη πρὸ Χριστοῦ Σωτῆρος οὔτε τῶν Ἑλληνιστῶν οὔτε τῶν ἑβραϊζόντων Ἰουδαίων οὐδεὶς, οὔτε κατ᾽ Αἴγυπτον καὶ τὴν Παλαιστίνην, οὔτε τῶν ἀλλαχοῦ κατ᾽ ἄμφω τὰς διαλέκτους πεπαιδευμένων, ὅστις ἤλεγξε παρατηρήσας ἐπίσημόν τινα διαφθορὰν οὔτε τῆς ἑρμηνείας, οὔτε τῶν ἀρχετύπων.

Γραφῶν. Εἰς μάτην οἱ περὶ τὸν Καπέλλιον ὑπενόησαν πηρώσεις τινὰς καὶ βλάβας τοῦ ἑβραϊκοῦ κειμένου, ἐπισυμβάσας κατὰ τὸν ὑπ' Ἀντιόχου τοῦ Ἐπιφανοῦς διωγμὸν τῶν Ἰουδαίων (τῷ 175 π. Χ.). Βαρὺς ὑπῆρξε τῷ ὄντι καὶ θηριώδης ὁ διωγμὸς ἐκείνου τοῦ μαινόλους, θυμομαχοῦντος κατὰ τῆς Ἰουδαίων θεοσεβείας, καὶ παντοίως ἀφανίζοντος μὴ μόνον τὴν Πεντάτευχον (καθὼς τινες ἐνόμισαν), ἀλλὰ πᾶσαν τὴν ἁγίαν βίβλον τῶν κανονικῶν Γραφῶν (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. θ. §. κθ. σελ. 591) (α). Πολλὴ δὲ (τὸ χείριστον) καὶ αὐτῶν τῶν τότε Ἰουδαίων, ἄλλων τε, καὶ πολλῶν ἐπισήμων ἡ ἀσέβεια καὶ χαυνότης, ἀρνουμένων τὴν θρησκείαν τὴν πατρῴαν. Ἀλλὰ πρῶτον, ἡ καταδρομὴ περιωρίζετο εἰς τὴν Παλαιστίνην καὶ τὴν Συρίαν. Ἔπειτα, ἡ κατὰ τῆς Ἀντιόχου μανίας νικηφόρος ἀντίστασις τῶν θεοφιλῶν καὶ γενναίων Μακκαβαίων, καὶ τῶν μετ' αὐτῶν τοῦ θείου νόμου ζηλωτῶν, ὑμνεῖται ἀοίδιμος. Ὅτι δὲ οὗτοι καὶ τῆς ἁγίας βίβλου ἀπόγραφα μεθ' ἑαυτῶν ἔφερον, καὶ τοῦτο φανερόν. Ταῦτα πάντα καθιστοροῦνται σαφῶς

(α) Τότε τινὲς τῶν νεωτέρων ὑπέλαβον ἀπολεσθὲν ἐκ τοῦ ναοῦ καὶ τὸ αὐτόγραφον τοῦ Ἔσδρα. Ἀλλ' οὐδὲν τοιοῦτο συνάγεται ἐκ τῆς βίβλου τῶν Μακκαβαίων. Ὅτε τὸ πρῶτον εἰσῆλθεν ὁ Ἀντίοχος εἰς τὸν ναὸν, ἐσύλησε μόνα τὰ χρυσᾶ καὶ ἀργυρᾶ σκεύη, καὶ πλέον οὐδὲν (Α. Μακ. α, 21—24). Μετὰ δύω ἔτη, κατέσχε καὶ ἐσκύλευσε τὴν Ἱερουσαλὴμ, καὶ ἔφυγον οἱ κάτοικοι, καὶ ἠρημώθη ὁ ναὸς (29—39). Ὕστερον δὲ, τέλος, ἔγραψε τὸ παράνομον διάταγμα, καὶ ἐσχίζοντο καὶ κατεκαίοντο τ ὰ β ι β λ ί α τ ο ῦ ν ό μ ο υ, ὅπου εὑρίσκοντο (42—57). Εἰδὲ καὶ τὸ πρωτότυπον μετὰ τούτων συνηφανίζετο τότε, οὐκ ἂν ἐσιώπησεν ὁ ἱερὸς συγγραφεύς. Φαίνεται λοιπὸν ὅτι παρέλαβον τοῦτο μεθ' ἑαυτῶν οἱ ἱερεῖς, φυγόντες ἐκ τοῦ ἐρημωθέντος ναοῦ. Καὶ ἴσως ὑπῆρχεν αὐτὸ ἐκεῖνο τ ὸ β ι β λ ί ο ν τ ο ῦ ν ό μ ο υ, ὅπερ εἶχον μεθ' ἑαυτῶν ἐν Μασσηφᾷ, καὶ ἐξεπέτασαν ἐνώπιον κυρίου προσευχόμενοι οἱ Μακκαβαῖοι (α, Μαχ. γ. 48. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 121). Ὁ κλεινὸς Εἰχόρνιος (Einleit. l. Bd. p. 294) λέγει ἀποφαντικῶς, ὅτι ἐπὶ Χριστοῦ καὶ τῶν Ἀποστόλων οὐχ ὑπῆρχε τὸ πρωτότυπον του Ἐσδραίου κώδηκος· ἀλλὰ πόθεν ἔμαθε τοῦτο; « Οὐδὲ τὸ Ταλμοῦδον (προστίθησιν), οὐδ' οἱ πατέρες οὐκέτι μνημονεύουσι τοῦ κώδηκος τούτου » — Δικαίως· πῶς γὰρ ἂν αὐτοῦ ἐπεμνήσθησαν, ἤδη πολὺ πρότερον ἐπὶ τοῦ Τίτου λαφυραγωγηθέντος, καὶ ἐπικοσμήσαντος τὸν εἰς Ῥώμην αὐτοῦ θρίαμβον, ὡς συμπεραίνεται πιθανώτατα ἐκ τοῦ Ἰωσήπου; (βλ. ἐφεξ. § κβ)· ὅθεν ὁ σοφὸς Ὅρνος, πολὺ παρὰ τὸν Εἰχόρνιον εὐλαβέστερος, ἄλυτον (τί δ' οὐχὶ καὶ περιειργασμένον;) εἶπε τὸ ζήτημα, εἰ ἐπὶ τοῦ Ἀντιόχου ἀπώλετο τὸ Ἐσδραϊκὸν πρωτότυπον (An Introduction etc. Tom. 2. p. 34).

ἐν τοῖς Μακκαβαϊκοῖς (Α. α—γ, 48). Πρόσθες τούτοις, ὅτι καὶ ἐκτὸς τῆς Συρίας, οἷον παρὰ τοῖς Ἀλεξανδρεῦσι, καὶ ἀλλαχοῦ, ὑπῆρχον πάντως ἀντίγραφα τῶν ἑβραϊκῶν Γραφῶν, ἀνεπηρέαστα σωζόμενα, καὶ μάλιστα παρὰ τοῖς λογιωτάτοις τῶν ἑλληνιστῶν Ἰουδαίων (α). Ὅτι δὲ καὶ κατ᾽ αὐτὴν τὴν Παλαιστίνην ἐλάνθανον χειρόγραφα, διαφυγόντα τὴν Ἀντιόχου παραφροσύνην, οὐδεμίαν ἀπέλιπεν ἀμφιβολίαν ἡ ὑπὸ τοῦ Μακκαβαίου Ἰούδα ὀλίγῳ μετὰ τὸν διωγμὸν συσταθεῖσα βιβλιοθήκη, ὅστις (ὡς καὶ πρότερον ὁ Νεεμίας) « *ἐπισυνήγαγε τὰ διαπεπτωκότα διὰ τὸν πόλεμον βιβλία* »· καὶ ἦσαν πάλιν ἐν Ἱεροσολύμοις οὕτως ἱκανὰ τὰ ἀντίγραφα, ὥστε καὶ τοῖς ἐν Αἰγύπτῳ ἀδελφοῖς ἔγραφεν ἡ ἐν Ἱεροσολύμοις γερουσία· « *Ὧν ἐὰν* (βιβλίων) *ἔχητε χρείαν, ἀποστέλλετε τοὺς ἀποκομιοῦντας* » (Β. Μακ. β, 14).

§. κ. Ἀλλ᾽ ἐν τούτοις, μετὰ τοὺς Μακκαβαϊκοὺς μάλιστα χρόνους, ἡ πάτριος γλῶσσα τῶν Ἰουδαίων διὰ τὴν τούτων πρὸς τοὺς Σύρους καὶ Χαλδαίους ἐπιμιξίαν διεφθείρετο ἐπὶ μᾶλλον, ἀποκλίνουσα πρὸς τὴν Συριακὴν, ἢ Χαλδαιοσύραν, ὁποίαν ἐπὶ Χριστοῦ Σωτῆρος φαίνεται ὅτι ἐλάλει κοινῶς ὁ ὄχλος τῶν Ἱεροσολύμων· καὶ μαρτυροῦσι λέξεις τινὲς, καὶ κύρια ὀνόματα πεφυλαγμένα ἐν τῇ καινῇ Διαθήκῃ (β)· καὶ ταύτην, ἴσως, τὴν διάλεκτον ὠνόμαζον *ἑβραϊκὴν*, καθ᾽ ἣν καὶ ὁ Παῦλος διειλέχθη πρὸς τὸ πλῆθος

(α) *Τὴν κατὰ τῶν θείων Γραφῶν μανίαν τοῦ Ἀντιόχου ἐμιμήθησαν καὶ ὕστερον οἱ διῶκται τοῦ χριστιανισμοῦ, οἷον ὁ Διοκλητιανὸς, ἐφ᾽ οὗ « ἥπλωτο πανταχόσε βασιλικὰ γράμματα — τὰς γραφὰς ἀφανεῖς πυρὶ γενέσθαι προστάττοντα »* (Εὐσέβ. ἐκκλ. ἱστορ. η, β)· *καὶ εἶδεν αὐτὸς ὁ Εὐσέβιος « τὰς ἱερὰς γραφὰς κατὰ μέσας ἀγορὰς πυρὶ παραδεδομένας »* (αὐτ.). *πρβλ. καὶ* S. Augustin. Epist. 48, 50, 57 *κτλ. Ἀλλὰ μὴ παρὰ τοῦτο ἀπώλοντο καὶ πάντα τὰ παρὰ τοῖς χριστιανοῖς ἀντίγραφα τῶν θείων Γραφῶν; Ἐπ᾽ αὐτοῦ τοῦ ἀσεβοῦς βασιλέως Μανασσῆ πολὺ πρὸ τοῦ Ἀντιόχου πολλὰ ἀντίγραφα ἠφανίσθησαν, καὶ ὅμως πάλιν διεσώθησαν αἱ Γραφαί.*

(β) *Οἷον τὰ, ταλιθὰ* (Μάρκ. ε, 41), *γαββαθὰ* (Ἰω. ιθ, 13), *ταβιθὰ* (Πράξ. θ, 36), *καὶ εἴτινα ἄλλα τοιαῦτα, ἅπερ Συριακὰ, ἢ Χαλδαϊκὰ φασὶν οἱ κριτικοί.* Βλ· Lightfoot Hor. Hebr. et Talmud. et in Johan. XIX. — Grot. Annot. in Act. Apostol. XXI. 40.—Pfeif. Crit. Sacr. p. 51. πρβλ. Schleusn. Lex. N. Test. v. Ἑβραῒς, Ἐλωῒ κτλ.

τῶν Ἰουδαίων ἐν Ἱεροσολύμοις (Πράξ. κα, 40). Ἀλλ' ὅμως μεταξὺ τῶν πεπαιδευμένων ἐλαλεῖτο ὁπωσδήποτε καθαρωτέρα. Καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἦσαν εἰδήμονες τῶν Γραφῶν· οἱ δὲ γραμματεῖς καὶ νομικοὶ (νομοδιδάσκαλοι) ἐδίδασκον αὐτὰς, ἐπιλύοντες τὰ ζητήματα. Ἀνεγίνωσκον δὲ καὶ τότε τὰς θείας Γραφὰς ἔν τε τῷ ναῷ, κἀν ταῖς συναγωγαῖς, κατὰ τὴν ἀρχέτυπον αὐτῶν γλῶσσαν, μηδεμίαν χαλδαϊκὴν παράφρασιν παραναγινώσκοντες (ὡς πολλοὶ τῶν νεωτέρων ὑπέλαβον, χθιζοῦ τινος ῥαββίνου πιστεύσαντες ὀνείροις). Οὐδὲ γὰρ εἶχον τότε γεγραμμένας παραφράσεις τοιαύτας, ὡς δειχθήσεται ἐν τοῖς ἐφεξῆς. Μετὰ δὲ τὴν ἀνάγνωσιν ἐξήγουν ἀπὸ στόματος τὴν ἀναγνωσθεῖσαν περικοπὴν πρὸς σαφεστέραν κατανόησιν τῶν θείων λογίων (α), ἔπειτα δὲ, καὶ χάριν τῶν χυδαιοτέρων, μὴ συνιέντων ἀκριβῶς τὴν τῶν Γραφῶν διάλεκτον, δι' ἣν προείπομεν ἐπὶ μᾶλλον καὶ μᾶλλον προχωροῦσαν ἀλλοίωσιν καὶ διαφθορὰν τῆς λαλουμένης Ἑβραϊκῆς. Περὶ τὰ τέλη τῶν Μακκαβαϊκῶν (τῷ 140 π. Χ.) ἤκμαζον καὶ αἱ τρεῖς τῶν Ἰουδαίων αἱρέσεις, ἡ τῶν Φαρισαίων, καὶ ἡ τῶν Σαδδουκαίων, καὶ ἡ τῶν Ἐσσηνῶν (β), αἵτινες ἐσπούδαζαν περὶ τὴν μελέτην τῶν Γραφῶν. Καί τοι οἱ μὲν Σαδδουκαῖοι, οἱ μεταξὺ τῶν παρ' Ἑβραίοις αἱρετικῶν ἀπηνέστατοι καὶ ὠμότατοι, οὔτε ψυχῆς ἀθανασίαν ὡμολόγουν, οὔτ' ἀνάστασιν νεκρῶν, οὔτε ἄγγελον, οὔτε πνεῦμα (γ). Καὶ ἐκ τῶν θείων Γραφῶν παρεδέχοντο μόνην (κατά τινας) τὴν Πεντάτευχον, ὡς θεόπνευστον· τοιοῦτοι φαίνονται τοὐλάχιστον κατὰ τοὺς χρόνους τοῦ Σωτῆρος) (δ)· οἱ δέ τινες τῶν νεωτέρων ὑπο-

(α) Νεεμ. η, 8. Πράξ. ιγ, 15. πρβλ. καὶ Φίλων. τόμ. β. σελ. 458. βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ζ. §. κζ. σελ. 483.

(β) Ἰώσηπ. Ἰουδ. πολεμ. Β. η. §. 13—14. Ἀρχαιολ. ΙΓ. ε. §. 9. βλ. καὶ Ἐπιφαν. Αἱρέσ. α. σελ. 33: Εὐσέβ. Ἐκκλ. ἱστορ. β, 23 κτλ. Wolf. Bibl. Hebr. P. 2. pag. 815, κτλ.

(γ) Ματθ. κβ, 23: Πράξ. κγ, 8.

(δ) Tertullian. de praescript. adv. haer. — Ὠριγένης καὶ S. Hieronym. εἰς Ματθ. κβ. — Ἐπιφ. Αἱρ. ιδ. σελ. 31. πρβλ. καὶ Petav. animad. Tom. 2. p. 28.

λαμβάνουσιν, ὅτι καὶ τὰ λοιπὰ βιβλία τῶν προφητῶν ἀπεδέχοντο ὡς θεῖα (καὶ ἴσως, κατά γε τὸ φαινόμενον) (α). ἀπέῤῥιπτον δὲ τὰς ἀγράφους παραδόσεις ἰσχυρῶς. Τοιοῦτοι δὲ ὄντες, ἐτύφλωττον «*καὶ ἐπλανῶντο, μὴ εἰδότες τὰς γραφάς*», ἀλλ' ἑρμηνεύοντες αὐτὰς κατὰ τὴν ἐπικούρειον αὐτῶν ὑλοφροσύνην. Οἱ δὲ πάλιν Φαρισσαῖοι, καίτοι τὴν *ἀκριβεστάτην* πρεσβεύοντες *αἵρεσιν* (καθ' ἣν καὶ ὁ θεῖος ἀνετράφη Παῦλος. Πράξ. κϛ. 5), διέφθειρον ὅμως τὴν θεοσέβειαν διὰ τῆς ὑποκρίσεως, καὶ τὰς θείας φωνὰς ἐν πολλοῖς παρεχρῶντο (β), προτιμῶντες πολλάκις καὶ αὐτῶν τῶν θεοπνεύστων Γραφῶν τὰς μήτ' ἀπὸ Μωσέως, μήτ' ἀπὸ τῶν ἄλλων προφητῶν κατιούσας, ἀλλὰ παρὰ τῶν αὐτοῖς ὁμοίων ψευδοδιδασκάλων πεπλασμένας ἀγράφους παραδόσεις (ἃς δὴ ἔλεγον εἶναι *τῶν πρεσβυτέρων*), καὶ « *ἀθετοῦντες τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ*

(α) Hotting. Thes. philol. pag. 54. — Criticor. Sacror. Annot. in Matth. c. XXII. — Walt. Proleg. XI. 7. — Simon. Hist. Crit. V. Test. L. 1. c. 16. — Prideaux Hist. des Juifs. tom. 4. p. 66. — Menochij καὶ Sigon. de Republic. Hebr. — Fabricy Des titres primit. de la Révélat. T. 1. p. 125. — Schleusn. Lex. N. Test. vol. 2. p. 820. κτλ. Οἱ δέ τινες ἐνόμισαν, ὅτι καὶ Ἰώσηπος ἱστορεῖ τοὺς Σαδδουκαίους, ὡς μηδὲν ἄλλο τῶν ἱερῶν βιβλίων, εἰμὴ μόνον τὴν Πεντάτευχον ἀποδεχομένους. Ἀλλ' ἰδοὺ οἱ λόγοι τοῦ Ἰωσήπου· « Ἅπερ οὐκ ἀναγέγραπται ἐν τοῖς Μωσέως νόμοις — τὸ Σαδδουκαίων γένος ἐκβάλλει, λέγον ἐκεῖνα δεῖν ἡγεῖσθαι νόμιμα, τὰ γεγραμμένα, τὰ δὲ ἐκ παραδόσεως τῶν πατέρων μὴ τηρεῖν » Ἀρχ. ΙΓ. ι, 6) Καὶ, « Φυλακῆς δὲ οὐδαμῶν τινων μεταποίησις αὐτοῖς (τοῖς Σαδδουκαίοις), ἢ τῶν νόμων· πρὸς γὰρ τοὺς διδασκάλους σοφίας, ἣν μετίασιν, ἀμφιλογεῖν » (τουτ. ἀμφιβάλλοντες ἀντιλέγειν) « ἀρετὴν ἀριθμοῦσι. — Πράσσεταί τε ὑπ' αὐτῶν οὐδὲν, ὡς εἰπεῖν. Ὁπότε γὰρ ἐπ' ἀρχὰς παρέλθοιεν, ἀκουσίως μὲν καὶ κατ' ἀνάγκας, προσχωροῦσι δ' οὖν οἷς ὁ Φαρισαῖος λέγει· διὰ τὸ μὴ [ἂν] ἄλλως ἀνεκτοὺς γενέσθαι τοῖς πλήθεσι» ('Αρχ. ιη, α. 4. πρβλ. καὶ 'Ιουδ. πολ. β. 4). Ὥστε ὁ 'Ιώσηπος οὐδαμῶν τινων μεταποίησιν εἶπεν, οὐχὶ τῶν ἄλλων βιβλίων τῆς Γραφῆς, ἀλλὰ τῶν κατὰ τοὺς Φαρισαίους ἐθίμων καὶ διδαγμάτων (ἃ μικρῷ πρότερον διαγράφει §. 3). Τούτων οἱ Σαδδουκαῖοι οὐ μετεποιοῦντο, ὑπεκρίνοντο δὲ ὅμως ταῦτα κατ' ἀνθρωπαρέσκειαν, ὁπότ' ἐθήρευον καὶ κατεῖχον ἀρχὰς πολιτικάς. Βλ. Bauer Einleit. p. 56.

(β) Βλ. Ματθ. γ, 7: ζ, 29: ιβ, 2: ιη, 2: ιθ. 3: κγ, 2: Μάρκ. ζ, 5: ι, 2 κτλ.

τὴν παράδοσιν αὐτῶν » (Ματθ. ιε, 6, Μάρκ. ζ, 9) (α). Ἐκ δὲ τῶν τοιούτων Σαδδουκαϊκῶν καὶ Φαρισσαϊκῶν καὶ ἄλλων παρανοιῶν, πρὸς ἃς διέστρεφον πολλάκις τὴν διάνοιαν τῶν θείων λόγων, ἐκινδύνευε παθεῖν τινας μεταβολὰς καὶ αὐτὸ τὸ κείμενον τῶν Γραφῶν (μετακινουμένων τινων γραμμάτων, ἢ φωνῶν, πρὸς ὑποστήριξιν τοῦ τοιούτου, ἢ τοιούτου φρονήματος) (β). Καὶ συνέβησαν πιθανώτατα κατὰ μέρος καί τινες τοιαῦται διαφθοραί (γ)· ἀλλ᾽ ὅμως αἱ πλεῖσται καὶ κεφαλαιώδεις παρεισέφρησαν μετὰ τὴν σωτήριον ἐποχὴν, καὶ τὸν ὄλεθρον τοῦ ναοῦ, ὁπότε καὶ τῶν ἀκριβεστέρων ἀντιγράφων καὶ τῶν πεπαιδευμένων ἡ ὀλιγότης παρεῖχεν εὐεπιχείρητον τὴν ῥᾳδιουργίαν. Ὁ σοφὸς Κεννικῶτος ὑπολαμβάνει, ὅτι καὶ ἐκ τῆς ὑφ᾽ ἓν καὶ ἀδιακρίτου τῶν λέξεων γραφῆς (καθ᾽ ἣν παρὰ τοῖς ἀρχαίοις ἐγράφοντο τὰ βιβλία), καὶ ἐκ τῆς ἀτάκτου διαθέσεως, ἢ συγκολλήσεως τῶν πρῶτον μὲν κατὰ μέρος μοναπλῶν γραφομένων μεμβράνων, εἶτα δὲ συναπτομένων εἰς ἑνὸς εἰλήματος, ἢ τόμου σύμπηξιν καὶ ἀπαρτισμὸν (δ), εἰσεῤῥύησαν σφάλματά τινα καὶ διαφθοραὶ εἰς τὸν κώδηκα τὸν ἑβραϊκὸν, ἔτι καὶ πρὸ τοῦ Σωτῆρος Χριστοῦ. Ἀλλ᾽ εἰ μέν τινα κοῦφα

(α) Ἄλλας Ἰουδαϊκὰς αἱρέσεις βλ. παρὰ τῷ θείῳ Ἐπιφανίῳ (τ. α. βιβλ. α. σελ. 31. καὶ Animadv. Petav.). πρβλ. καὶ Εὐσ. Ἐ. ἱς. β, κγ. Καὶ ὁ μάρτυς Ἰουστῖνος (Διαλ. π. Τρυφων. §. 80. σελ. 187. Venet. 1747.) ὀνομάζει τοὺς Γ ε ν ι σ τ ὰ ς (ὁ Σκαλίγηρος διορθοῖ γ ε ν έ τ α ς, ἢ γ ε ν ή τ α ς), καὶ Μ ε ρ ι σ τ ὰ ς (ὡς μερίζοντας τὰς γραφὰς, ἢ ἄλλο τι παραφρονοῦντας), καὶ Γαλιλαίους, (ἀπὸ Ἰούδα τοῦ Γαλιλαίου, ἢ τοὺς αὐτοὺς καὶ Ἐσσηνοὺς, ἢ κατ᾽ ἄλλους τοὺς αὐτοὺς καὶ σ ι κ α ρ ί ο υ ς), καὶ Ἑ λ λ η ν ι α ν ο ὺ ς (ἀπό τινος Ἑλληνίου, ἢ Ἕλληνος, ἀρχηγοῦ τῆς αἱρέσεως). Τοῦτο τὸ Ἑλληνιανοὺς (ὃ καὶ μόνον ἐστὶ γνησία γραφὴ) ἀνέγνων ἄλλοι Ἑλληλιανοὺς (ἀπό τινος Ἑλλήλου, ἢ Hillel). Ἀλλ᾽ Ἑλλήλου μνεία οὐδεμία παρὰ τῷ θείῳ Ἰουστίνῳ ἐν τῷ Διαλόγῳ· διὸ καὶ μεταμέλει μοι παραδεξαμένῳ, μηδὲν δέον, τὴν ἄτοπον γραφὴν Ἑ λ λ η λ ι α ν ο ὺ ς ἐν τοῖς προηγηθεῖσι, Βιβλ. Β. σελ. 312, σημ.

(β) *Οὕτω καί τινες τῶν κατὰ τὸν α, καὶ β, αἰῶνα μ. Χ. αἱρετικῶν « παρέφθειρον τὰς γραφὰς, ἃς παρεδέχοντο » (Θεοδώρητ. αἱρετ. κακομυθ. β, ε). Οἱ δὲ « καὶ φωνῆς τόνῳ διέστρεφον αὐτὰς, καί τινων προσῳδιῶν καὶ στιγμῶν μεταθέσει » (Κλήμ. Στρωμάτ. γ. σελ.* 322).

(γ) Τοῦτο *καὶ Σιμώνιος ὡμολόγησε* Simon. Hist. Crit. V. T. L. I. c. 16.

(δ) Kennicot Diss. II. p. 332. Βλ. *καὶ ὄπισθ.* Βιβλ. Β. *κεφ. ζ.* §. *κη σελ.* 484.

καὶ σμικρὰ πλημμελήματα συνέβαινον ἔν τισιν ἀπογράφοις, περὶ τῶν τοιούτων παραπτωμάτων ἴσως ἄν τις οὐκ ἀπισχυρισθείη. Ἐπειδὴ δὲ καὶ μέχρι τῆς καταστροφῆς τοῦ ναοῦ τό, τε μέγα Συνέδριον περιῆν, καὶ γραμματεῖς καὶ νομικοὶ διαπρέποντες ἐφρόντιζον πάντως περὶ τῆς ἀκριβοῦς ἀντιγραφῆς καὶ διατάξεως τῶν ἱερῶν κωδήκων, καὶ μάλιστα τῶν δημοσίως ἀναγινωσκομένων, ἐσώζοντο δὲ μέχρι τότε καὶ τὰ Ἐσδραϊκὰ ἀρχέτυπα (α), κείσθω γνήσιον καὶ ἀκέραιον τὸ κείμενον τὸ ἑβραϊκὸν δι' ὅλης τῆς ἀπὸ τοῦ Ἔσδρα μέχρι καὶ Χριστοῦ Σωτῆρος ἐποχῆς. Μαρτυρεῖ δὲ καὶ Φίλων ὁ κατ' ἐκείνους τοὺς χρόνους γενόμενος, καὶ σὺν αὐτῷ Ἰώσηπος, τὸ μέχρι καὶ εἰς αὐτοὺς ἀκέραιον καὶ ἀμετάβλητον τοῦ ἱεροῦ κειμένου (β).

Γ'. ΠΕΡΙΟΔΟΣ.

Ἀπὸ Χριστοῦ μέχρι τοῦ 400 ἔτους μ. Χ.

§. κα. Εἶπεν ὡς ἐκ τοῦ Ὠριγένους ὁ μακάριος Ἱερώνυμος (γ), ἐπαναλαμβάνουσι δὲ καὶ πάντες οἱ τῆς ἀφθορίας τοῦ ἑβραϊκοῦ

(α) Carpzov. Crit. Sacr. p. 56, sqq.

(β) «Καὶ πλειόνων ἐτῶν (ἀπὸ Μωσέως) διεληλυθότων (τὸ μὲν ἀκριβὲς οὐκ ἔχω λέγειν, πλέω δ' οὖν, ἢ δισχίλια ἔτη) μὴ ῥῆμά γε αὐτοὺς (τοὺς Ἰουδαίους) μόνον τῶν ὑπ' αὐτοῦ γεγραμμένων κινῆσαι» κτλ. Φίλων παρ' Εὐσεβ. Εὐαγ. Προπαρ. Η. 6. σελ. 210. Τοιαῦτα ὁ Φίλων, καίτοι γε σμικρᾷ τινι χρησάμενος ὑπερβολῇ. Οὔτε γὰρ πλείω, ἢ δισχίλια ἔτη ἀπὸ Μωσέως μέχρις αὐτοῦ διῆλθον, (ἀπὸ τοῦ 1500 π. .Χ ἕως 20 μ. Χ), ἐλάττω δὲ πάντως τὸ τεταρτημόριον, καὶ τῆς ὑπὸ τοῦ Ἔσδρα τῶν διεφθαρμένων Γραφῶν ἀνακαινίσεως ἐπελάθετο. Ἀλλ' ἴσως ἐννοεῖ μηδέποτε παρ' ἐχόντων τῶν πρὸ αὐτοῦ Ἰουδαίων ἐξεπίτηδες διὰ προσθηκῶν, ἢ ἀφαιρέσεων κακουργηθεῖσαν μετακίνησιν καὶ μεταβολὴν τῶν θείων λογίων. Οὕτω καὶ Ἰώσηπος, περὶ τῶν παρ' Ἰουδαίοις κανονικῶν κβ. βιβλίων τῆς Γραφῆς διαλεγόμενος. «Τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος, οὔτε προσθεῖναί τις οὐδὲν, οὔτε ἀφελεῖν αὐτῶν, οὔτε μεταθεῖναί τι τετόλμηκε» (Ἰώσηπ. κ. Ἀπίων. α. 8. σελ. 441. τόμ. β).

(γ) «Quod si aliquis dixerit, hebraeos libros postea à Judaeis esse falsatos, audiat Origenem, qui in 8 volumine Eexplanationum Esajae huic respondeat questiunculae: quod numquam Dominus et Apostoli, qui cætera crimina arguunt in Scribis et Pharisaeis, de hoc crimine,

κειμένου ὑπέρμαχοι κριτικοὶ, ὅτι οὔτε ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς, οὔτε οἱ Ἀπόστολοι ἐξήλεγξαν πώποτε τοὺς συγχρόνους Ἰουδαίους ὡς *ἑκοντὶ* διαφθείραντας τὸ κείμενον τῶν Γραφῶν. Καὶ ταῦτα λέγουσιν οἱ ἄνδρες ἀληθῆ καὶ βέβαια. Αὐτός τε γὰρ ὁ Κύριος καὶ Θεὸς ἡμῶν ἀπεφήνατο περὶ αὐτῶν, ὅτι « *ἔχουσι Μωσέα καὶ τοὺς προφήτας* » (Λουκ.)· καὶ τοῖς ὄχλοις ποιεῖν ἐπέταξε τὰ τοῦ νόμου παραγγέλματα, ὅσα ἂν λέγωσιν αὐτοῖς *ἀπὸ τῆς καθέδρας* τοῦ *Μωσέως* οἱ γραμματεῖς καὶ οἱ Φαρισσαῖοι (Ματθ. κγ.). Καὶ πάλιν τὴν ἀπιστίαν τῆς διεστραμμένης γενεᾶς αὐτῶν ἐξελέγχων, « Εἰ γὰρ (εἶπεν) *ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί.—Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε* ; (Ἰωάν. ε)· καὶ ῥητῶς ἐκέλευσεν, « *Ἐρευνᾶτε τὰς Γραφὰς* » (αὐτόθ.). Ἐκ δὲ τούτων τῶν λόγων τοῦ Σωτῆρος συμπεραίνεται σαφῶς, ὅτι γνήσια καὶ ἀκέραια, διὸ καὶ σωστικῆς *ἐρεύνης* καὶ *πίστεως* ἄξια, διετήρουν εἰσέτι τότε οἱ Ἰουδαῖοι τά τε τοῦ Μωσέως *γράμματα* καὶ τὰ τῶν ἄλλων προφητῶν. Οὕτω καὶ Στέφανος ἐφεξῆς, καὶ Πέτρος ὁ Ἀπόστολος, ἐν Ἱεροσολύμοις διαλεγόμενοι πρὸς τοὺς Ἰουδαίους, οὐδεμίαν αὐτοῖς κατὰ τῆς θείας βίβλου ῥαδιουργίαν ἐμαρτύρησαν. Καὶ Φίλων δὲ πάλιν, ὁ τὸ γένος ἱερατικὸς, καὶ τοῖς Ἀποστόλοις σύγχρονος, ἀδελφὰς πρὸς ἀλλήλας ὁμοφώνους ἀνεκήρυξε τήν τε καθ' Ἑβραίους καὶ τὴν τῶν Ο Γραφήν. Ἀλλὰ καὶ ὁ μετὰ τοῦτον ἀκμάσας σοφὸς ἱεροσολυμίτης καὶ ἐξ ἱερέων ἱερεὺς Ἰώσηπος, « ὁ τὴν παλαιὰν Διαθήκην πᾶσαν παραφράσας » (Χρυσόστομ. κ. Ἰουδ. ὁμιλ. γ), πανταχοῦ σχεδὸν τῆς κατ' αὐτὸν Ἀρχαιολογίας αὐτὴν τὴν Ἑλληνικὴν ἀντέγραψεν

---

quod erat maximum, reticuissent » (ἕως ὧδε φαίνονται τὰ τοῦ Ὠριγένους· τὰ δ' ἐφεξῆς ἐπισυνείρει αὐτὸς Ἱερώνυμος). « Sin autem dixerint post adventum Domini Salvatoris et praedicationem apostolorum libros hebraeos fuisse falsatos: cachinum tenere non potero, ut Salvator et Evangelistae, et Apostoli ita testimonia protulerunt, ut judaei postea falsaturi erant » (S. Hier. Com. ad Esai: 6). Ἀλλ' αὕτη ἡ ὑστέρα γνώμη τοῦ Ἱερωνύμου οὐκ ἀληθεύει, ὡς ὀψόμεθα ἐν τοῖς ἑξῆς.

ἑρμηνείαν (ὡς πρόδηλον ἐξ ἄλλων τε πολλῶν, καὶ τῆς χρονολογίας)· τοῦτο δ' οὐκ ἂν ἔπραττεν, εἰ μὴ συμφωνοῦσαν αὐτὴν εὕρισκε καὶ συνᾴδουσαν κατὰ πάντα πρὸς τὸ τότε κείμενον τῶν ἑβραϊκῶν Γραφῶν, ὧν καὶ τούτων πάλιν τὸ γνήσιον καὶ ἀπαραχάρακτον ἀνεκήρυττεν, ὡς προείδομεν. Ἂν δέ τις τὸ τέλειον καὶ ἄμεμπτον τῆς τούτων ἀντιγραφῆς περιορίζῃ ἐπὶ μόνων τῶν δημοσίως ἀναγινωσκομένων καὶ διατηρουμένων χειρογράφων, τὰ δὲ πρὸς χρῆσιν ἰδιωτικὴν παρημελημένως τότε γραφόμενα λέγῃ, καὶ χωρὶς τῆς δεούσης ἀντιβολῆς, διὸ καὶ κατά τινας τόπους ἔκτοτε διεσφαλμένα (α), οὐδὲν ἀπίθανον ἐρεῖ. Πολλὴ σύγχυσις καὶ ἀθλιότης καὶ πρότερον, καὶ μάλιστα μετὰ τὴν σταύρωσιν τοῦ Σωτῆρος, κατέλαβε τὴν ἰουδαϊκὴν πολιτείαν. Ἀδιάληπτοι στάσεις, καὶ παράφοροι διαμάχαι, καὶ ἐκτὸς καὶ ἐντὸς τῶν Ἱεροσολύμων αἴφνης ἀνεῤῥήγνυντο, προχωροῦσαι μέχρι καὶ αὐτῶν τῶν λειτουργῶν τοῦ συνάμα « *τῷ σχισθέντι καταπετάσματι* » (Ματθ. κζ, 51) ἀποῤῥαγέντος τῆς θείας χάριτος, καὶ ἐγκαταλειφθέντος ναοῦ. Γνωστὰς ἔχομεν ἐκ τῆς ἱστορίας τὰς πυκνὰς καὶ παρανόμους τῶν ἀρχιερέων ἀλλαγάς. Κατὰ δὲ τὴν ἐπὶ Κλαυδίου στάσιν τῶν Ἱεροσολύμων δύω μυριάδες Ἰουδαίων ἐφονεύθησαν, καταπατηθέντων ὑπ' ἀλλήλων περὶ τὰς ἐξόδους τοῦ ἱεροῦ κατὰ τὴν ἑορτὴν τοῦ πάσχα (β). Ἐπὶ δὲ τοῦ Νέρωνος (τῷ 47 μ. Χ.) ἐξήφθη στάσις τῶν ἀρχιερέων πρὸς τοὺς ἱερεῖς καὶ τοὺς πρώτους τοῦ πλήθους τῶν Ἱεροσολύμων, ἁρπαγῆς καὶ ἀναιδείας πλήρης. Ὁ δ' ἐπιπλήξων *ἦν οὐδὲ εἷς*. Καὶ λῃστήρια πολλὰ κατὰ τὴν χώραν, καὶ κακοῦργοι πολλοὶ ἐν μέσῃ τῇ πόλει, καὶ μέσης ἡμέρας, καὶ κατ' αὐτὸν τὸν ναὸν ἐδολοφόνουν τοὺς περιτυγχάνοντας. Τότε καὶ καθ' ὅλην τὴν Συρίαν δεινή τις κατέλαβε τοὺς Ἰουδαίους ταραχή. Οἱ κάτοικοι τῶν πόλεων ἐπόρθουν πανταχοῦ τοὺς συμπολίτας Ἰουδαίους ἀνηλεῶς, ὡς ἂν πολεμίους. « Ὥστε ὁρᾶν (φησὶν ὁ Ἰώ-

(α) Kennicot Dissert. II. p. 339, 399.
(β) Ἰώσηπ. Ἀρχαιολ. ς. ε. § 3.

σηπος) τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐῤῥιμένους, γύναιά τε μηδὲ τῆς ἐπ' αἰδῶ σκέπης μετειληφότα, καὶ πᾶσαν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν » (α). Ἐν δὲ τοσαύτῃ παγκοίνῳ ταραχῇ πάντως ὀλίγον ἐφρόντιζον περὶ τῆς ἀκριβείας καὶ τῆς ἀσφαλοῦς διατηρήσεως τῶν κατὰ μέρος μάλιστα ἀντιγράφων τῆς ἱερᾶς Βίβλου.

§. κβ. Ἀλλ' ἐπῆλθε, τέλος, ἐπὶ τῆς ἀπίστου τῶν σταυρωτῶν γενεᾶς ἡ ἐσχάτη καὶ φρικτὴ καὶ θεήλατος συμφορά, «*πᾶσαν ἀνθρωπίνην καὶ δαιμονίαν φθορὰν ὑπερβάλλουσα* », καθὼς αὐτὸς ὁ Ἰώσηπος μαρτυρεῖ. Ἔτει 70 μ. Χ. ἐπὶ τῆς Οὐεσπασιανοῦ αὐτοκρατορίας οἱ Ἰουδαῖοι, καὶ πρότερον κατὰ τόπους νεωτερίζοντες, ἀποςατοῦσιν ἤδη λαμπρῶς· καὶ στρατεύει Τῖτος κατ' αὐτῶν, καὶ *πληροῦνται τὰ γεγραμμένα*. Τὰ Ἱεροσόλυμα, ἡ ἁγία πόλις, μετὰ τοῦ πυρποληθέντος ναοῦ κατεστράφη· (ἐνεπρήσθη δὲ, τὸ παράδοξον, ὁ ναὸς τῷ αὐτῷ μηνὶ, καὶ τῇ αὐτῇ ἡμέρᾳ, καθ' ἣν καὶ ὁ πρῶτος, ὁ Σολομώντειος, ὑπὸ τοῦ Ναβουχοδονόσορος κατεκάη, ἤτοι τῇ 10 μηνὸς τοῦ πέμπτου παρὰ τοῖς Ἰουδαίοις (ἑβρ. Ab. Ἱερεμ. νβ, 12), ἢ Λώου, κατὰ Μακεδόνας, ἥτις συμπίπτει τῇ 5. τοῦ κατὰ Ῥωμαίους Αὐγούστου). Συνάμα δὲ μετὰ τῆς πόλεως καὶ πολλαὶ μυριάδες Ἰουδαίων ἀπώλοντο, συνελθόντων τότε διὰ τὴν ἐφεστῶσαν ἐκείνου τοῦ πάσχα πανώλεθρον ἑορτήν. *Διακοσίας καὶ ἑβδομήκοντα μυριάδας*, (ἢ 2,700,000 χιλιάδας), ἱστορεῖ ὁ Ἰώσηπος τοὺς τότε παρόντας, καὶ ὥσπερ εἰς εἱρκτὴν συγκλεισθέντας ἐν τῇ πολιορκίᾳ. Ἐκ δὲ τούτων τοὺς συνάμα μὲν ἀπολομένους ῥητῶς ἀριθμεῖ *χιλιάδας χιλίας καὶ ἑκατὸν* (1,100,000). Ἑκατὸν δὲ χιλιάδες ἀπήχθησαν αἰχμάλωτοι, καὶ ἄλλοι ἀλλαχοῦ κατεφθάρησαν, καὶ ἠρημώθη πολὺ μέρος τῆς Ἰουδαίας, « ὥστε κατὰ πολλὴν ἐρημίαν καὶ κατηφῆ διαῤῥέειν τοὺς ποταμούς » (β). Τότε καὶ ἡ βίβλος ἡ ἐν τῷ

(α) Ἰώσηπ. Ἀρχαιολ. Κ. η. θ, κτλ. Ἰουδ. πολ. Β, ιη, 2, 3: πρβ. Εὐσέβ. Ἐκ. ἱς. β, 26.

(β) Ἰώσηπ. Ἰουδ. πολεμ. Ϛ. δ, θ: Ζ, β, γ, ε, η, κτλ. Εὐσέβ. Ἐκκλ. ἱστορ. β, 19, 20, γ, 5, κτλ. Δίων Κάσσ. Ῥωμαϊκ. ἱστορ. ξς, §. 4. τ. 2. σελ. 1079, κτλ. Hamb. 1751.

νάῳ διατηρουμένη (αὐτὸ πιθανώτατα τὸ Ἐσδραϊκὸν αὐτόγραφον) μετά τινων ἄλλων ἱερῶν τοῦ ναοῦ σκευῶν περισωθεῖσα, καὶ τὸν κατὰ Ῥώμην θρίαμβον τοῦ Τίτου ἐπικοσμήσασα, ἀπετέθη ἐν τοῖς βασιλείοις (α), ὅπου δὴ καὶ ἐτάφη, εἰς αἰῶνας ἀφαντωθεῖσα. (Ἡ δὲ κατὰ τὸν ιζ, αἰῶνα ἀναφανεῖσα Πεντάτευχος ὡς αὐτόγραφος δῆθεν τοῦ Ἔσδρα, κεῖται καὶ νῦν καταγελωμένη ἐν τῇ βιβλιοθήκῃ τῆς Βονωνίας, ἔργον ἐξελεγχθεῖσα ῥαββινικῆς πλαστογραφίας, πολλοῦ χρυσοῦ πάντως τοῖς ἐκεῖ Δομινικανοῖς μοναχοῖς πωληθέν) (β). Ἔλαβε δὲ καὶ Ἰώσηπος, χαρισαμένου Τίτου, τῶν ἱερῶν βιβλίων χειρόγραφα, ὡς αὐτὸς ἱστορεῖ (ἐν βίῳ αὐτοῦ §. οε). Κατὰ δὲ τοὺς ἐφεξῆς χρόνους ἐπὶ Τραϊανοῦ (τῷ 116. μ. Χ.) ἄλλο πλῆθος Ἰουδαίων ἐπαναστάντων κατά τε τὴν Αἴγυπτον καὶ Κυρήνην καὶ Κύπρον καὶ Μεσοποταμίαν φονεύεται (γ). Ἤδη δὲ καὶ πρότερον ἐπὶ Γαΐου Καίσαρος ἄλλαι μυριάδες ἐσφάγησαν ἐν Βαβυλῶνι καὶ Μεσοποταμίᾳ (Ἰώσηπ. Ἀρχ. ΙΗ, θ). Καὶ τρίτον, τέλος, καὶ ὕστατον ἀπεστάτησαν ἐπ' Ἀδριανοῦ (τῷ 133, 134, 135: μ. Χ,)· καὶ τότε πολυάριθμοι μυριάδες Ἰουδαίων κατὰ τὴν Παλαιστίνην ἄρδην ἐξωλοθρεύθησαν. « Καὶ φρούρια μὲν αὐτῶν *πεντήκοντα* τὰ ἀξιολογώτατα, κῶμαι δὲ *ἐννεακοσίαι*

(α) Ἰώσηπ. Ἰουδ. πολ. Ζ, ε §. 7.

(β) Βλ. Hotting. Thesaur. philol. p. 117, 512.—Montfauc. Itinerar. Italic. c. 27. p. 399. sqq. — Carpzov. Crit. Sacr. p. 366.

(γ) Δίων ὁ Κάσσιος καὶ λίαν ζωγραφικῶς τὴν λύσσαν τῶν τότε ἐπαναστάντων Ἰουδαίων ἱστορεῖ. « Ἐν Κυρήνῃ (λέγει) τούς τε Ῥωμαίους καὶ τοὺς Ἕλληνας ἔφθειρον, καὶ τάς τε σάρκας αὐτῶν ἐσιτοῦντο, καὶ τὰ ἔντερα ἀνεδοῦντο, τῷ τε αἵματι ἠλείφοντο, καὶ τὰ ἀπολέμματα (δέρματα) ἐνεδύοντο· πολλοὺς δὲ καὶ μέσους ἀπὸ κορυφῆς διέπριον. Θηρίοις ἑτέρους ἐδίδοσαν, καὶ μονομαχεῖν ἄλλους ἠνάγκαζον· ὥστε τὰς πάσας δ ύ ω κ α ὶ ε ἴ κ ο σ ι μ υ ρ ι ά δ α ς ἀ π ο λ έ σ θ α ι· ἔν τε Αἰγύπτῳ πολλὰ ἔδρασαν ὅμοια καὶ ἐν τῇ Κύπρῳ·—καὶ ἀπώλοντο καὶ ἐκεῖ μυριάδες τ έ σ σ α ρ ε ς κ α ὶ ε ἴ κ ο σ ι » (τότε καὶ τὴν ἐν Κύπρῳ Σαλαμῖνα οἱ Ἰουδαῖοι κατέσκαψαν)· «καὶ διὰ ταῦτα οὐδενὶ Ἰουδαίῳ ἐπιβῆναι τῆς νήσου (ὕστερον) ἐξῆν (Δίων. Ῥωμ. ἱστ. ξη. σελ. 1146. κτλ.). Τότε ὁ Τραϊανὸς « ὑποπτεύσας καὶ τοὺς ἐν Μεσοποταμίᾳ Ἰουδαίους - Λουκίῳ Κυήτῳ (γρ. Λ ο υ σ ί ῳ Κ ο ι ή τ ῳ, Lusio Quieto) προσέταξεν ἐκκαθᾶραι τῆς ἐπαρχίας αὐτούς· ὃς καὶ παραπαξάμενος πάμπολυ πλῆθος τῶν αὐτόθι φονεύει » (Εὐσέβ. Ἐκκλ. ἱστ. Δ, β. καὶ Χρονικ. Δ).

καὶ ὀγδοήκοντα καὶ πέντε ὀνομαστότατοι κατεστράφησαν (α). Καὶ τῆς χώρας ὅλης ἐξανδραποδισθείσης, βασιλικῷ διατάγματι καὶ νόμῳ ἀπείργονται, μηκέτι τῆς *περὶ τὰ Ἱεροσόλυμα* γῆς *ἐπιβαίνειν* (ὡς ἂν μηδ' ἐξ ἀπόπτου τὸ πατρῷον ἔδαφος θεωρῶσι)· τότε καὶ πολλαὶ τῶν περισωθέντων ἀγέλαι εἰς τὴν Ἱσπανίαν καὶ πολλὰς ἄλλας ἀπῳκισμένας χώρας τῆς οἰκουμένης διεσπάρησαν (β).

(α) Δίων αὐτ- ξθ. σελ. 1162· ὅστις καὶ τὸ πλῆθος τῶν τότε σφαγέντων Ἰουδαίων ὀκτὼ καὶ πεντήκοντα μυριάδας (580,000, κτλ.) εἰπὼν, «τῶν δὲ λοιμῷ (προστίθησι) καὶ νόσῳ καὶ πυρὶ φθαρέντων τὸ πλῆθος ἀνεξερεύνητον ἦν, ὥστε πᾶσαν, ὀλίγου δεῖν, τὴν Ἰουδαίαν ἐρημωθῆναι» (αὐτόθ.). Ὅθεν οἱ ῥαββῖνοι τὸ κεφάλαιον ὅλων τῶν τότε καθ' ὅλην τὴν διάρκειαν τοῦ πολέμου ἀπολομένων ἀριθμοῦσι χιλιάδας ὀκτακοσίας· καὶ ἄλλοι, πολλῷ πλείονας, (βλ. not. εἰς Δίων. αὐτόθι. πρβλ. καὶ Grot. ad Apocalyps. XI, 14). Ὁ Εὐσέβιος (ἐν Χρον. Δ) μνημονεύει καὶ ἄλλης ἐπ' Ἀδριανοῦ προγενεστέρας ἀποστασίας τῶν ἐν Παλαιστίνῃ Ἰουδαίων (τῷ 121. μ. Χ.), εἰς ἣν ἀναφέρεται καὶ Ἱερώνυμος (Com. in Dannel. 9), ἀλλ' αὕτη φαίνεται σμικρὰ καὶ ὀλιγοχρόνιος (βλ. Scalig. Animad. ad Chr. Euseb. p. 209).

(β) Εὐσέβ. Χρονικ. καὶ Ἐκκλ. ἱστορ. Δ. β. καὶ ς. πρβλ. καὶ Vales. not. αὐτόθ. καὶ πάλιν Εὐσέβ. Ὑπομνημ. εἰς Ἡσαΐ. ια, 11. ἐν Collect. nov. Patrum ed. Montfauc. T. 2. p. 379, καὶ S. Hieron. in Esaj. VI. καὶ Jerem. 18. — Orosins l. 7. — Σύγκελ. Χρονογρ. τόμ. α. σελ. 657, 661. ἐκδ. Bon. — Scalig. ad Euseb. Chron. p. 208. 216. — Ἀλλὰ καὶ ὕστερον δύω περίπου αἰῶνας μετὰ τὸν Ἀδριανὸν καὶ ἄλλας κατὰ τόπους ἀποστασίας τῶν Ἰουδαίων καταλέγει ἡ ἱστορία. Ἐστασίασαν ἐπὶ τοῦ Μ. Κωνσταντίνου· καὶ μετ' οὐ πολὺ κατεῤῥάγησαν. Οἱ δὲ στασιάρχαι περιήγοντο κατὰ τόπους κατεστιγμένοι πρὸς σωφρονισμὸν τῶν ἄλλων (βλέπε τὰ περὶ τούτων Χρυσοστ. κ. Ἰουδ. ὁμιλ. β). Καὶ πάλιν ἐστασίασαν ἐν Παλαιστίνῃ ἐπὶ τοῦ Κωνσταντίου. Κατετρόπωσε δὲ τούτους Γάλλος ὁ στρατηγὸς, καὶ χιλιάδας πολλὰς ἀνεῖλε. καὶ τὰς πόλεις ἐν αἷς ᾤκουν, Διοκαισάρειαν καὶ Διόσπολιν καὶ Τιβεριάδα, ἀναστάτους ἐποίησε (Ἱερών. εἰς Εὐσεβ. Χρον. καὶ Σωζόμ. Ἱστορ. Δ, ζ). Μετὰ ταῦτα σωτὴρ αὐτοῖς ἐπιφανεὶς Ἰουλιανὸς ὁ παραβάτης, πολιτείαν τε ἐδωρήσατο, καὶ τὸν πατριάρχην αὐτῶν ἀδελφὸν ἐπωνόμαζε, καὶ τὴν Ἱερουσαλὴμ κατοικεῖν αὐτοῖς ἐφῆκε, καὶ τὸν ναὸν ἀνοικοδομεῖν· καὶ ἐπεχείρησαν, ἕως αὐτοὺς λαίλαπες, καὶ σεισμοὶ, καὶ φλόγες πυρὸς, καὶ ἄλλα φόβητρα ἐξεδίωξαν (βλ. Γρηγ. Ναζ. λόγ. δ. σελ. 111. Θεοδώρ. Ἐκ. ἱς. γ, 15: καὶ ἄλλους ἐκκλησ. συγγραφεῖς· ὁμολογεῖ δὲ τὰ φόβητρα καὶ ὁ μισόχριστος Ἀμμιανὸς ὁ Μαρκελλῖνος). Τότε τοίνυν ἀνασφριγήσαντες οἱ Ἰουδαῖοι πολλοὺς ναοὺς τῶν χριστιανῶν πολλαχοῦ τῆς Παλαιστίνης ἐνέπρησαν, ἢ κατέστρεψαν (S. Ambros. ep. 28. ad Theodos.). ἕως μετὰ τοῦ σωτῆρος αὐτῶν καὶ τὸ θράσος μετ' ὀλίγον συναπεσβέσθη. Καὶ ἐν Ἀλεξανδρείᾳ (τῷ 415 μ. Χ.) ἡ ἐκεῖ πρὸ χρόνων πολλῶν κατοικοῦσα πληθὺς φόνον κατὰ τῶν χριστιανῶν μελετήσαντες, ἐξη-

Κατ' ἐκείνην οὖν τὴν σιδηρᾶν καὶ βαρεῖαν καὶ τανύπλοκον ἅλυσιν τῶν ἀδιηγήτων Ἰουδαϊκῶν συμφορῶν, ὅτι καὶ τὰ χειρόγραφα τὰ ἑβραϊκὰ (καὶ μάλιστα τὰ ἐπίσημα) μετὰ τῶν ἀρχιερέων καὶ γραμματέων καὶ νομοδιδασκάλων ἐκ τῆς Παλαιστίνης ἀπώλοντο, περιττὸν ἂν εἴη λέγειν (α). Εἰ δέ τινα καὶ περιεσώθησαν, ὡς ἐκ θαύματος, ἀλλὰ καὶ ταῦτα κατελωβᾶτο ὁ κατὰ τόπους διωγμὸς τῶν Ἰουδαίων, καὶ τὸ νέφος τῆς ἀμαθείας συμπυκνούμενον ἐπὶ μᾶλλον· ἄλλα δὲ καὶ ὑπὸ σητῶν καὶ σήψεως διεφθείροντο, παραμελούμενα καὶ ὑποχωροῦντα εἰς τὴν ἑρμηνείαν τῶν Ο, ἣν καὶ κατ' Αἴγυπτον ἤδη συνήθως ἀνεγίνωσκον, καὶ Λιβύην, καὶ Συρίαν, καὶ κατ' αὐτὴν τὴν Παλαιστίνην, καὶ τὴν ἄλλην Ἀσίαν, καὶ πανταχοῦ γῆς, ὅπου κατῴκουν ἑλληνισταὶ Ἰουδαῖοι, τῆς πατρῴας γλώσσης ἤδη πρόπαλαι ἐπιλελησμένοι. Εἰ δὲ καὶ ἐπὶ τῆς Βαβυλωνίας μετοικεσίας οὕτως αἱ Γραφαὶ διεφθάρησαν, ὥστε δεῆσαι χειρὸς Ἐσδραίας πρὸς ἀποκατάστασιν καὶ ἀνακάθαρσιν αὐτῶν, τί λοιπὸν οὐκ ἔπαθον κατ' ἐκείνην τὴν ὀλεθρίαν καὶ σενεχῆ τῶν Ἰουδαίων καταστροφήν; Παρὰ δὲ τοῖς πέραθεν Εὐφράτου κατὰ τὴν Βαβυλῶνα καὶ Ἀσσυρίαν κατοικοῦσι *βαρβάροις* (ὡς αὐτοὺς Ἰώσηπος ὀνομάζει) (β), ἤδη πρὸ πολλῶν ἐτῶν ἐκκεχαλδαϊσμένοις, φανερὸν,

---

λάθησαν. Πολὺ δὲ πάλιν σμῆνος ταχέως συνήγοντο κατά τε τὴν Αἴγυπτον καὶ τὴν Παλαιστίνην. Κἀκεῖ πάλιν ἐπὶ Ἰουστινιανοῦ ἐστασίασαν, καὶ τοὺς ἐν Καισαρείᾳ χριστιανοὺς καὶ αὐτὸν τὸν ἔπαρχον κατέσφαξαν, καὶ κακῶς ἀπήλλαξαν. Ὡσαύτως καὶ ἐπὶ Φωκᾶ (περὶ τὸ 604) τὸ τελευταῖον, ἐν Ἀντιοχείᾳ, ὅπου καὶ τὸν ἀοίδιμον πατριάρχην Ἀναστάσιον ἀπέκτειναν. Θεοφάν. Σύγκελ. Ζωναρ. Κεδρην. πρβλ. καὶ Morin. Exerc. p. 256. sqq.

(α) Βλ. Morin. L. I. Exercit. IX. c. I. §. 3.—Kennicot. Diss. II. p. 256.

(β) «Προὐθέμην ἐγὼ τοῖς κατὰ τὴν τῶν Ῥωμαίων ἡγεμονίαν Ἑλλάδι γλώσσῃ μεταβαλὼν, ἃ τοῖς ἄνω βαρβάροις τῇ πατρίῳ συντάξας ἀνέπεμψα πρότερον, ἀφηγήσασθαι» (περὶ τοῦ Ἰουδαϊκ. πολέμ. προοίμ. §. α). Ἄνω δὲ βαρβάρους ἐξέλαβόν τινες οὐ μόνον τοὺς πέραθεν Εὐφράτου Ἰουδαίους, ἀλλὰ καὶ τ' ἄλλα ἔθνη, Πάρθους, καὶ Βαβυλωνίους, καὶ Ἀσσυρίους, καὶ Ἀράβων τοὺς ἀποτάτω (Spanhem. καὶ Aldrich. σημειώσ. εἰς Ἰώσηπ. αὐτόθ.). Ἀλλ' ὀλίγον ἴσως ἔμελεν Ἰωσήπῳ περὶ Πάρθων, καὶ Βαβυλωνίων, καὶ τῶν ἄλλων τῶν κατὰ τοὺς ἄνω τόπους τῆς Ἀσίας ἐθνικῶν· ὠνόμασε δὲ οὕτως ἰδίᾳ τοὺς περὶ τὴν γλῶσσαν ἐκβαρ-

ὅτι καὶ τὰ χειρόγραφα τῆς ἑβραϊκῆς Γραφῆς ἦσαν τότε πολὺ πλέον, ἢ κατὰ τὴν Αἴγυπτον, « *ἀμελέστερον γεγραμμένα, καὶ οὐχ ὡς ὑπάρχει* » (βλ. ὄπισθ. σελ. 52). Ὥστε τὸ μὲν ἐκ τῆς τῶν ἀντιγράφων διαφθορᾶς, τὸ δὲ καὶ ἐκ τῆς ὁσημέραι περὶ τὴν γλῶσσαν τῶν Γραφῶν πληθυνομένης ἀμαθείας, πῶς ἂν εἶχε διασωθῆναι παρ' Ἰουδαίοις ἀδιάφθορον ἐν πᾶσι καὶ γνήσιον τὸ κείμενον τῶν Γραφῶν μετὰ τὴν παντελῆ καὶ ἀνίατον κάκωσιν τοῦ γένους αὐτῶν; (α). Ὅτι δὲ καὶ οἱ κατὰ τὴν Μεσοποταμίαν οὐ διέμειναν ἄγευστοι τῆς κοινῆς τοῦ γένους συμφορᾶς, προείπομεν. Ἐὰν δὲ πρὸς τούτοις τοῖς ἀνηκέστοις δεινοῖς προστεθῇ καὶ τῆς ψευδοπαιδείας αὐτῶν ἡ καπνηρὰ καὶ χείρων τῆς ἀπαιδευσίας ὁμίχλη, καὶ αἱ Φαρισαϊκαὶ καὶ Σαδδουκαϊκαὶ παράνοιαι, καὶ ἔξωθεν ὑπερβᾶσαι τῆς Παλαιστίνης, καὶ πέραν τοῦ Εὐφράτου μεταδοθεῖσαι, καὶ χαλδαϊκαῖς τισι μυθολογίαις ἀναφυρθεῖσαι, πολὺ μᾶλλον εὐκολωτέρα φανήσεται ἡ πρὸς τὴν διάστροφον ἑρμηνείαν τῶν νοημάτων ἐνδεχομένη συνδιαστροφὴ καὶ πολλῶν χωρίων τοῦ κειμένου τῶν θείων Γραφῶν. Ὀλίγῳ γὰρ ἀποναρκῶσι πρὸς μεταποίησιν κεραιῶν καὶ γραμμάτων καὶ λέξεων οἱ τὰς ἐννοίας διαστρεβλοῦντες (β). Ὅθεν καὶ Ῥόσσις ὁ κλεινὸς (καὶ

βαρωθέντας ἰδίους ὁμοεθνεῖς, ὧν χάριν ἔγραψε καὶ τὴν ἱστορίαν τοῦ πρὸς Ῥωμαίους πολέμου τῶν Ἰουδαίων. Εἰ δὲ καὶ τ' ἄλλα ἔθνη (καθὰ λέγουσιν) ἐνόει, ἀλλὰ καὶ οὕτω πάλιν συμπεριέλαβε καὶ τοὺς παρ' ἐκείνοις Ἰουδαίους ὑπὸ τὸ κοινὸν ὄνομα « οἱ ἄνω βάρβαροι ». Ὁ δὲ Σιμώνιος (R. Simon.) *καὶ πάνυ γελοίως ἐξεδέξατο τὸ ἄνω ἐπὶ χρόνου, ἀντὶ τοῦ οἱ πάλαι, οἱ κατὰ τοὺς ἄνω χρόνους ἐν Παλαιστίνῃ κατοικοῦντες, καὶ ὕστερον τῇ Συριακῇ, ἢ Χαλδαϊκῇ χρησάμενοι γλώσσῃ* (βλ. J. Voss. Respons. ad iter. Simonij object. p. 374. πρβλ. Hier. Camus, Judicium de respons. Vossij pag. 36. sq.). *Πάτριον δὲ γλῶσσαν (καθ' ἣν ἔγραψε τὴν τοῦ πολέμου ἱστορίαν) ὁ Ἰώσηπος ὀνομάζει τὴν Χαλδαϊκήν, ἢ Χαλδαιοσύραν. ἣν ἐλάλουν κοινῶς ἐπ' αὐτοῦ ὁ τῶν Ἰουδαίων ἐν Ἱεροσολύμοις ὄχλος, καὶ ἀλλαχοῦ, ὡς ὑπὸ τῶν πατριωτῶν αὐτοῦ καὶ ὁμοφύλων λαλουμένην. Ὅθεν καὶ ἑβραϊκή, καὶ ἰουδαϊκή, καταχρηστικώτερον ἐκαλεῖτο (βλ. ὄπισθ. σελ. 57.).*

(α) Βλ. Vossij Orac. Sibyl. cap. XIV. καὶ XVI. καὶ contr. Simonium p. 39 καὶ Respons. ad obiec. Crit. Simonij pag. 159.

(β) *Μάρτυς ὁ Ἱερώνυμος « Τὸ γὰρ ἐν Ἡσαΐᾳ (μθ, 5) « Καὶ Ἰσραὴλ ΟΥ συναχθήσεται » (ὡς ἔχει τὸ νῦν ἑβρ. καὶ ὁ Σύμμ. καὶ Θεοδοτ. καὶ ἡ νῦν*

τοι τοῦ ἑβραϊκοῦ κειμένου θερμότατος ὑπερασπιστὴς) « Ἀλγεινὸν (ἀνέκραξεν), ὅτι οἱ παλαιοὶ διδάσκαλοι τῆς Συναγωγῆς παραδόντες ὅλους ἑαυτοὺς εἰς ἀλληγορικάς τινας τῶν γραφῶν ἑρμηνείας, καὶ βουλόμενοι ταύτας κατασκευάζειν, *μετέβαλλον πρὸς τὸ δοκοῦν τά τε γράμματα καὶ τῶν φωνηέντων τὴν προφορὰν, προσετίθουν, ἀφῄρουν, ἐνήλλαττον τὰς λέξεις εἰς ἄλλας ὁμοιοφώνους, διῄρουν τὰς ὁλοκλήρους, συνῆπτον τὰς διῃρημένας καὶ χωριστάς*· τὰς δὲ τοιαύτας διαφθορὰς ἐπέσαττον καὶ εἰς τοὺς κώδηκας, παραγράφοντες ἐν τοῖς περισελίδοις. Ὅθεν ὑπὸ τῶν ἀντιγραφέων εἰσήγοντο εἰς τὸ κείμενον. Ἐκ ταύτης (λέγει) τῆς πηγῆς ἐξεῤῥύησαν ὅσαι τοιαῦται στρεβλαὶ παραναγνώσει ἐπικρατοῦσι καὶ νῦν ἐν τῷ κειμένῳ τῷ ἑβραϊκῷ, πολλῶν

Βουλγάτα), τοῦτο σχολιάζων ὁ μακάριος Ἱερώνυμος, « Ἐν τούτῳ (λέγει) τῷ χωρίῳ ὁ τῆς ἑβραϊκῆς ἐμπειρότατος Ἀκύλας, ἢ προσεποιήσατο ἀπειρίαν, ἢ ὑ π ὸ τ ῆ ς σ τ ρ ε β λ ῆ ς τ ῶ ν Φ α ρ ι σ α ί ω ν ἐ ξ η γ ή σ ε ω ς ἠ π α τ ή θ η, μεταφράσας « Κ α ὶ Ἰ σ ρ α ὴ λ ΑΥΤΩ σ υ ν α χ θ ή σ ε τ α ι (δηλαδὴ τῷ Θεῷ). Τὸ γὰρ ἐν τούτῳ τῷ χωρίῳ ἑβραϊκὸν ΛΟ οὐ γράφεται διὰ τοῦ λ ά μ ε δ καὶ τοῦ β ὰ β, ὅπερ σημαίνει α ὐ τ ῷ, ἢ ἐ κ ε ί ν ῳ, ἀ λ λ ὰ διὰ τοῦ λ ά μ ε δ καὶ ἄ λ ε φ, ὃ δηλοῖ τὸ ο ὐ » κτλ. Ἀλλ' ὅτι μὲν ὁ Ἀκύλας ὀρθότερον ἀνέγνω, ἢ ὡς ἔχει τὸ νῦν ἑβραϊκὸν (καὶ ὡς εἶχε καὶ ἐπὶ Ἱερωνύμου, ᾧ κατηκολούθησε καὶ αὐτὸς), φανερὸν ἐκ τῶν Ο, οἵτινες καὶ τοῦ Ἀκύλα ὀρθότερον ἐν τῷ κατ' αὐτοὺς ἀκριβεστάτῳ ἑβραϊκῷ ἀναγνόντες καὶ στίξαντες τὸ χωρίον, ἐξέφρασαν τὴν ἔννοιαν καταφατικῶς (ὡς ὁ Ἀκύλας). « Τοῦ Συναγαγεῖν τὸν Ἰακὼβ καὶ Ἰσραὴλ π ρ ὸ ς α ὐ τ ό ν· συναχθήσομαι καὶ δοξασθήσομαι » κτλ. καὶ αὐτὴ ἡ Μάσορα σημειοῖ ἑκατέραν τὴν γραφήν. (Καὶ ἄλλα δὲ τοιαῦτα παραδείγματα τῆς ἐν τῇ αὐτῇ προτάσει διπλῆς καὶ ἐναντιοσήμου γραφῆς τοῦ ΛΟ, κατέδειξεν ἀνεθρυάστως ἡ Μάσορα, παραδεχομένη δηλονότι ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ τὸ ΝΑΙ, καὶ τὸ ΟΥ! Λέγομεν δὲ περὶ τούτων καὶ ἐν τοῖς ἑξῆς. βλ. καὶ Morin. Exercit. L. I. 6. c. 9. 7. — Montfauc. Hexapl. vol. 2. p. 168, καὶ Criticor Sacror. Annot. h. 1) Ὁ δὲ μακάριος Ἱερώνυμος ἔδειξεν ἐκ τούτου, ὅτι καὶ αὐτὸς ὑπώπτευεν ἐ κ τ ῆ ς Φ α ρ ι σ α ϊ κ ῆ ς α ἱ ρ έ σ ε ω ς (τί δ' οὐχὶ καὶ τῆς Σαδδουκαίας;) τ ῶ ν κ α τ ὰ μ έ ρ ο ς κ ω δ ή κ ω ν δ ι α φ θ ο ρ ά ν. Πῶς γὰρ ἂν ἐξήγουν (ὡς λέγει) πρὸς τὸν Ἀκύλαν ἑρμηνευτέον τὸ ΛΟ = α ὐ τ ῷ, εἰ μὴ διάφορον αὐτῷ δεικνύοντες ἐν τῷ κώδηκι τῆς λέξεως τὴν γραφήν; προσεμαρτύρησε δὲ καὶ σιωπῶν, ὅτι τὸ ἑβραϊκὸν χειρόγραφον ἐπ' αὐτοῦ ὑπῆρχεν ἐν τούτῳ τῷ χωρίῳ διάφορον τοῦ κατὰ τοὺς Ἀκύλα χρόνους· ὅτι δὲ καὶ κατ' ἄλλους τόπους διέφερεν ἐπ' αὐτοῦ, αὐτὸς ἡμῖν ἐρεῖ ἐν τοῖς ἑξῆς.

κωδήκων μαρτυρίαις ἐπικυρούμεναι» (α). Οὕτω τὸ τῶν Ἰουδαίων ἔθνος ἁμαρτάνον ἔκπαλαι πρὸς Θεὸν, «Ὁτὲ μὲν ἐπὶ πλεῖον, ὁτὲ δ' ἐπ' ἔλαττον ἐγκατελείπετο· ἕως ἐπὶ Ῥωμαίων τὴν μεγίστην ποιήσαντες ἁμαρτίαν ἐν τῷ ἀποκτεῖναι τὸν Ἰησοῦν, τέλειον ἐγκατελείφθησαν» (β). «*Καὶ ἤρθη ἀπ' αὐτῶν ἡ βασιλεία τοῦ Θεοῦ*» (Ματθ. κα, 43), τουτέστιν «ἡ τῶν θείων λογίων κατάληψις» (Ὠριγένης, καὶ Ἱερώνυμος). Εἰ γὰρ καὶ πρότερον, ἐπὶ τοῦ Σωτῆρος ἐπιφανέντος, «*ἐπωρώθησαν τὰ νοήματα αὐτῶν*», καὶ ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης εἶχον τὴν πώρωσιν, ὡς κάλυμμα κείμενον ἐπὶ τὴν καρδίαν αὐτῶν» (Β. Κορινθ. γ, 14, 15), πολλῷ πλέον ἀφ' οὗ *τὸν λίθον τὸν ἀκρογωνιαῖον* ἀπεδοκίμασαν, καὶ πρὸς αὐτὸν προσκρούσαντες ἐλικμίσθησαν, ἐπαχύνθη αὐτῶν ἡ καρδία, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν περὶ τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν, μηκέτι ταύτας ἀναγινώσκειν ἀκριβῶς ἐπιστάμενοι, καὶ διαφθείροντες τὸν γνήσιον τῶν λέξεων νοῦν. Εἶχον δὲ καὶ τὸ κείμενον αὐτῶν τεταραγμένον ἐν πολλοῖς καὶ διεφθαρμένον, πλὴν μόνον ἀκηλίδωτον ἐπὶ τῶν προφητικῶν κηρυγμάτων καὶ διδαγμάτων τῆς εἰς Θεὸν πίστεως, καὶ τῆς ἱερᾶς ἱστορίας καὶ ἠθικῆς, ἅτινα θείῳ νεύματι διετηρήθησαν ἀσφαλῶς, ὡς αὐτὰ τοῦ ἰουδαϊσμοῦ τὰ κεφάλαια. Ἔπρεπε γὰρ, ὡς αὐτῶν τὸ γένος διεσώθη, καὶ μέχρι συντελείας διασωθήσεται, οὕτω παρ' αὐτοῖς διατηρηθῆναι καὶ τὰς Γραφὰς ἀκεραίους, ἔν γε τοῖς κρατίστοις καὶ καιριωτάτοις, *εἰς μαρτύριον τῆς ἀπιστίας αὐτῶν*.

§. κγ. Ἐκ τῶν προλαβόντων ἅλις ἀποδείκνυται σφόδρα τετραγῳδημένη κἀκείνη τῶν ῥαββίνων καὶ τῶν ῥαββινιστῶν ἡ κομπολογία, ἥτις ἔκτισε μυριάνδρους Ἀκαδημίας καὶ Σχολὰς ἐν Παλαιστίνῃ, τήν τε λεγομένην *Ἰαμνειαίαν* (ἐν Ἰαμνείᾳ), καὶ

(α) Βλ. De Rossi, Var. Lectiones Vet. Testam. prolegom. §. XXX. pag. 33.

(β) Ὠριγέν. κ. Κέλσ. Δ. 32. Η. 47.

ἄλλην *Τεβεριαδῖτιν* (ἐν Τιβεριάδι), καὶ τρίτην *Σεπφωρῖτιν* (ἐν Σεπφώρει), καὶ τετάρτην *Καισαρειάδα* (ἐν Καισαρείᾳ τῆς Παλαιστίνης), ὡς ἂν ἀκμαζούσας εὐθὺς ἤδη μετὰ τὴν ἐσχάτην ἐπὶ Τίτου καταστροφὴν τῆς Ἰουδαϊκῆς πολιτείας· καὶ δὴ καὶ καθίδρυσεν ἐν αὐταῖς χιλιάδας καθηγητῶν καὶ διδασκάλων σοφῶν, ἐπ' ἀδείας ἀδιαλείπτως ἀσχολουμένων περὶ τὴν σπουδὴν καὶ διδασκαλίαν τῶν θείων Γραφῶν. Καὶ πέμπτην δὲ τρισμεγίστην μνημονεύουσι μετὰ στόμφου, τὴν *Βιθθηραίαν* (κατὰ τὰ Βίθθηρα, Bitter), πόλιν ὀχυρωτάτην, οὐ μακρὰν τῶν Ἱεροσολύμων κειμένην, ἣν κατέστρεψεν ὁ Ἀδριανὸς (τῷ 135 μ. Χ.) (α). Ἐν ταύτῃ τῇ Ἀκαδημίᾳ (λέγουσιν οἱ Ταλμουδογράφοι) ὑπῆρχον 400 *μὲν διδασκαλεῖα*, 400 *δ' ἐν ἑκάστῳ διδάσκαλοι*, 400 *δ' ἑκάστου διδασκάλου μαθηταί!* (β) Καὶ λοιπὸν κατ' ἐκείνην τὴν τεραστίαν, καὶ μὴ μόνον μυρίων φρουρίων Βιθήρων, ἀλλὰ πολλῶν καὶ ἄλλων τῆς οἰκουμένης πόλεων, καὶ χωρῶν, καὶ βασιλειῶν εὐρυχωροτέραν Βιθηραίαν σχολὴν, ἦσαν ἄρα διδασκάλων μὲν πᾶσαι μυριάδες δεκαὲξ (ἢ χιλάδες 160), μαθητῶν δὲ τὸ πᾶν κεφάλαιον, *ἑξήκοντα καὶ τέσσαρες ἑκατοντάδες μυριάδων* (64,000,000). Ἀσχάλλεις, ἀναγνῶστα, πρὸς τοιούτους λήρους *ἁμαξιαίους*· καὶ ἡμεῖς οὐχ ἧττον, ἀναγράφοντες αὐτούς. Ἀλλὰ τοιούτων μαρτύρων λόγους πολλοὶ τῶν νεωτέρων ἑβραϊστῶν προβάλλονται πρὸς ἀπόδειξιν, ὅτι ἄρα καὶ μετὰ τὴν ἐσχάτην καταστροφὴν Ῥαββῖνοι σοφώτατοι τὴν ἑβραΐδα γλῶσσαν ἐδίδασκον κατὰ τὴν ἀκραιφνῆ καὶ ἀκρι-

---

(α) Βλ. Vitringa, De Synagog. Vet. Lib. III. P. I. c. 17. ὅστις φοβηθεὶς τὸ πλῆθος τοῦτο τῶν Ἀκαδημιῶν, μίαν μόνην ὀρθῶς ἔκρινε τὴν Παλαιστινὴν Ἀκαδημίαν, πρῶτον ἐν Ἰαμνείᾳ (ἑβρ. Ἰάβνα, β = μ, καὶ Jafna, οὐχὶ δὲ Japha· οὕτω γὰρ λέγουσι τὴν Ἰόππην. βλ. Reland. Palaestin. p. 823.), καὶ ὕστερον ἐν Καισαρείᾳ, μετέπειτα δὲ ἐν Τιβεριάδι μετατεθεῖσαν, κτλ. πρβλ. Carpzov. Crit. Sacr. p. 220. — Morin. Exercit. L. 2. Ex. 2. c. 3, etc.

(β) «Quadringenta Collegia, quadringentos singula praeceptores habentia, quorum unicuique quadringenti auditores fuerint». Talmud in Gittin, fol. 58, πρβλ. Carpzov. l. c.

βεστάτην παράδοσιν καὶ προφοράν. Καὶ τούτοις μὲν πιστευέτω Καρψόβιος. Ὅγε μὴν Ἰώσηπος (τῷ 70—93 μ. Χ.), καί τοι τὴν κατασκαφὴν τῶν Ἱεροσολύμων συγγράψας, οὐδεμίαν γοῦν τῶν περιλαλήτων τούτων Ἀκαδημιῶν οὐδόλως ἐμνημόνευσε· τὴν δ' οὖν ἐπ' Οὐεσπασιανοῦ καταστροφὴν καὶ καταδρομὴν πολλῶν πόλεων τῆς Παλαιστίνης καὶ πάνυ σαφῶς ἱστόρησε (Ἰουδαϊκ. πολέμου, Γ. η. §. 3: καὶ Δ, η, θ. κτλ.). Ἐπὶ δὲ τοῦ Ἀδριανοῦ πόσων καὶ οἵων κακῶν ἡ Ἰουδαία χώρα ἐπειράθη, εἴδομεν ἀνωτέρω (§. κϐ'). Οὐδ' ἐπανῆλθον οἱ Ἰουδαῖοι εἰς τὴν περίχωρον τῶν Ἱεροσολύμων (ἐξ ἧς διὰ βασιλικοῦ διατάγματος, ὡς προείπομεν, ἐξηλάθησαν), εἰ μὴ περὶ τὰ τέλη τοῦ γ, αἰῶνος (α). Ἀλλὰ παρα-

(α) «On sçait (φησὶν ὁ Καλμέτης) par l'histoire de Joseph, que toutes les villes de la Galilée, et en particulier Japha ou Jafnè, Sephora, Tiberiade, furent ruinées et désolées par les Romains, non seulement pendant la guere, que Vespasien et Tite firent dans ce pays, mais encore plus dans celle que leur fit Adrien. Ensort que jusque au IV. Siécle de l'Eglise il n'étoit pas permis aux Juifs de paroitre dans le pays.» (Calmet Dissert. etc. T. 1. part. 2. p. 380). Ὥστε ὁ Καλμέτης φαίνεται νομίζων τοὺς Ἰουδαίους ἐξορισθέντας ἐξ ὅλης τῆς Παλαιστίνης· ἀλλ' ὁ Εὐσέϐιος «ἐκ μόνης λέγει τῆς περὶ τὰ Ἱεροσόλυμα γῆς» (βλ. ἀνωτέρω). Τοιοῦτό τι λέγειν ἔοικε καὶ Ἱερώνυμος (Comm. in Sophon. 1), καὶ ὁ ἱερὸς Αὐγουστῖνος (De civit. Dei L. 16. c. 21), καὶ ὁ μακάριος Ἱλάριος (Tract. in Psalm. 58). Οὕτω καὶ ὁ Τερτυλλιανὸς, ὅστις προστίθησι καὶ ὅτι οὐδ' ἐν Βηθλεὲμ εὑρίσκετο τῶν Ἰουδαίων οὐδεὶς (adv. Judaeos p. 224). Ἀλλὰ καὶ ἐπὶ Ὠριγένους (200—230 μ. Χ.) ἦσαν Ἰουδαῖοί τινες εὐπαίδευτοι κατὰ τὴν Παλαιστίνην, οἷς ἐκεῖνος συνδιελέγετο, καὶ μετὰ τοῦ κατ' αὐτοὺς πατριάρχου, ὡς λέγομεν ἀνωτέρω. Κατὰ δὲ τὰς ἀρχὰς τοῦ Δ, αἰῶνος, ἐπὶ τοῦ Μ. Κωνσταντίνου (310—317) ὑπῆρχον ἐν τῇ Ἰουδαίᾳ οὐκ ὀλίγοι Ἰουδαῖοι, κατοικοῦντες τέσσαρας πόλεις, τὴν Τιϐεριάδα, τὴν Καισάρειαν, ἢ Διοκαισάρειαν, τὴν καὶ Σεπφῶριν (ἑϐρ. Τσεφορα), τὴν Ναζαρὲτ, τὴν Καπερναοὺμ (Ἐπιφάν. Αἱρέσ. λ. § 11)· καὶ ἐπ' αὐτοῦ τοῦ θείου Ἐπιφανίου καὶ τοῦ Ἱερωνύμου (380 μ. Χ.) ὑπῆρχεν ἐν Τιϐεριάδι Σχολὴ, ἡ Ἀκαδημία, οἱαδήποτε καὶ ἦν, ἀπὸ τοῦ ϐ, αἰῶνος καταστᾶσα, ὡς λέγομεν ἐν τοῖς ἀνωτέρω. Βλ. Basnage, Histoir. Des Juifs L. V. c. 5. πρβλ. καὶ τὸν Φαϐρίκυν (Fabricy, Des titres primitifs etc. vol. 2. pag. 234 sqq.), ὅστις μάτην πειρᾶται ἀντηρίδας τινὰς ὑποϐάλλειν εἰς τὴν τελευτῶντος τοῦ α, καὶ ἀρχομένου τοῦ ϐ, αἰῶνος πολλαχοῦ καταρρέουσαν στέγην τῆς κατ' αὐτὸν πρεσϐευομένης ἀκηράτου ἀδιαφθορίας τοῦ κειμένου τοῦ ἑϐραϊκοῦ.

λείποντες τὰς ῥαββίνων ὑπερβολὰς, βλέπομεν ἐκ τῆς ἱστορίας, ὅτι καὶ μετὰ τὴν καταστροφὴν τῆς Ἱερουσαλὴμ ἔμειναν ἐν τῇ Παλαιστίνῃ Ἰουδαϊκαὶ συναγωγαί· καὶ σχολή τις κατέστη ἐν Ἰαμνείᾳ, εἰς ἣν συνήγαγεν ἄθλιά τινα λείψανα τῶν περισωθέντων Ἰωανᾶν τις λεγόμενος, υἱὸς Ζακχαΐ, μέγας καὶ πολὺς ῥαββὶς, ὅστις ἐδίδασκε τὸν νόμον, καὶ τὰς φαρισαϊκὰς παραδόσεις, ἢ *δευτερώσεις* (α). Τούτου δὲ τοῦ Ζακχαϊάδου θανόντος, ἀναγκασθέντες ἴσως ὑπὸ Ῥωμαίων, μετέστησαν οἱ ῥαββῖνοι τὴν σχολὴν ἀπωτέρω, εἰς τὴν Τιβεριάδα, κρατοῦντος ἔτι τοῦ Δομιτιανοῦ. Διέμεινε δὲ ἡ σχολὴ αὐτὴ μέχρι καὶ τοῦ ε, αἰῶνος μεσοῦντος, ὁπότε τέλος, ὡς ἀμαυροφώτου λύχνου διψαλέα θρυαλλὶς, ἀπεσβέσθη (β). Ποίαν δὲ καὶ πόσην ἤνεγκε καρποφορίαν περὶ τὴν ἱερὰν γλῶσσαν τῶν Γραφῶν, φαίνεται ἐκ τῆς ἰχθυώδους ἀφωνίας ἐκείνων δὴ τῶν κατὰ τὸν β, αἰῶνα μυριάδων σοφῶν! Οὐδὲν τούτων ἀνεφάνη σύγγραμμα *ἑβραϊκόν*. Καὶ αὐτὴ ἡ, περὶ ἧς εὐθὺς ἐροῦμεν, χαλδαΐζουσα Μισνὰ (ἣν οἱ ῥαββῖνοι ἔτι κατὰ τὸν β, αἰῶνα λίαν πρόωρον, καὶ οἷον *ἠλιτόμηνον*, ἢ μᾶλλον, *ἠλιτόχρονον* γεννῶσιν),

---

(α) Τοῦτον τὸν ἐπὶ Τίτου Ζακχαίου παῖδα, καὶ θιασάρχην τῆς μετὰ Χριστὸν ῥαββινικῆς σοφίας, αὐτοὶ οἱ ῥαββῖνοι ζωγραφοῦσιν ὡς οὐκ ἂν γένοιτο γελοιωδέστερον. Νῦν μὲν γὰρ ἐπὶ τοσοῦτον μεγαλύνουσιν, ὥστε καὶ μετὰ τὴν ἅλωσιν εὐθὺς μεγάδοξον, καὶ τῷ Τίτῳ φίλον αὐτὸν παριστῶσι· «Καὶ κατέλιπε (λέγουσιν) ὁ Τίτος ἐν γῇ Ἰσραὴλ κατάλοιπον τοῦ Ἰσραὴλ ἐν πόλει Ἰαμνείᾳ καὶ τοῖς περιχώροις αὐτῆς, καὶ ἐν πόλει Βιθήρᾳ καὶ τοῖς περιχώροις αὐτῆς, καὶ ἐν πόλει Οὔσᾳ καὶ τοῖς περιχώροις αὐτῆς· καὶ ὁ Ῥαββὶ Ἰωαννᾶν, υἱὸς Ζακχαΐ, ἐγένετο αὐτοῖς ἐκεῖ εἰς κεφαλὴν καὶ ἡγεμόνα» κτλ. Νῦν δὲ πάλιν ὑ π ο δ η μ α τ ο ῤ ῥ ά φ ο ν καὶ ἔμπορον αὐτὸν ἐξ ἀρχῆς ἀναγράφουσιν· «40, μὲν ἔτεσι (λέγουσι) τὸ ἐμπόριον ἤσκει, 40 δὲ, τὸν νόμον ἐμάνθανε, 40 δὲ, τέλος, ἔκρινε τὸν Ἰσραήλ»· «Ἀλλὰ καὶ Ἀκιβᾶς (περὶ οὗ λέγομεν εὐθὺς) «40 μὲν ἔτεσι (λέγουσι) λάκκους (κ ι σ τ έ ρ ν α ς) ἐποίει, 40 δὲ, τὸν νόμον ἐσπούδασε, 40 δὲ τῷ Ἰσραὴλ ἐλειτούργησε» (ταῦτα διάφοροι ῥαββῖνοι παρὰ τῷ Μορίνῳ, L. II. Exerc. I. c. I, καὶ Exerc. II. c. 3). Τοιοῦτοι σκυτοῤῥάφοι, καὶ ὑποδηματουργοὶ, καὶ κτίσται, καὶ (ἑπομένως) μεταπράται καὶ ῥωποπῶλαί τινες ἔμποροι (κατὰ τὴν ὁμολογίαν τῶν ῥαββίνων) ἦσαν οἱ ἔξοχοι καὶ αὐτὰ τὰ κεφάλαια τῶν διδασκάλων τῆς μετὰ Χριστὸν Συναγωγῆς.

(β) Carpzov. l. c. πρβλ. καὶ Morin. l. II. Exerc. 2, c. 3.

ἀποδείκνυσι τὴν περὶ τὴν ἑβραΐδα γλῶσσαν πάνυ πρώϊμον ἐκβαρβάρωσιν τῶν τότε παρ' Ἰουδαίοις σοφῶν. Καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ μετὰ Δομιτιανὸν βασιλεύσας Νερούας, φύσει χρηστὸς καὶ φιλάνθρωπος ὤν, ἐπεδείξατο πολλὴν καὶ πρὸς τοὺς Ἰουδαίους ἐπιείκειαν καὶ συμπάθειαν, ἡσυχάζειν αὐτοῖς ἐπιτρέψας, καὶ μετὰ πλείονος ἐλευθερίας τὰ καθ' ἑαυτοὺς διοικεῖν (α). Τότε πιθανώτατα, ἐπὶ Νερούα, οἱ Ἰουδαῖοι κατέστησαν ἐν Τιβεριάδι τὸν παρ' αὐτοῖς ὀνομασθέντα *πατριάρχην* (ὡς ἂν ἀπόγονον δῆθεν τῶν πάλαι τοῦ γένους πατριαρχῶν, καὶ τοῦτον οὐκ ἐξ ἄλλης, ἀλλ' ἐξ αὐτῆς τῆς τοῦ Δαβὶδ καὶ τοῦ Ἰούδα φυλῆς). Ὁ γὰρ 16, ἔτει μετὰ Νερούαν βασιλεύσας Ἀδριανὸς μέμνηται τοῦ πατριάρχου τῶν Ἰουδαίων, ὡς ἤδη κατ' αὐτὸν ὑφεστῶτος (τῷ 120 μ. Χ.) (β). Τὸν δ' αὐτὸν καὶ *ἐθνάρχην* ἔλεγον, ἐφαρμόζοντες οἱ τάλανες εἰς αὐτὸν τὸ « *Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα* » (διὸ καὶ Ὠριγένης αὐτοὺς δικαίως ἐξήλεγχεν, ἐν τῷ περὶ Ἀρχῶν Δ, §. 3). Πρῶτος δὲ τοιοῦτος φέρεται *πατριάρχης* Γαμαλιήλ τις, ἀπόγονος λεγόμενος τοῦ περιφήμου Γαμαλιὴλ ἐκείνου, τοῦ τὸν θεῖον Παῦλον διδάξαντος (Ἐπιφάν. Αἱρεσ. λ. πρβλ. καὶ Πράξ. ε, 34, καὶ κβ, 3). (Πλὴν, εἰ μὴ καὶ τὸν εἰρημένον μεγαλόδοξον Ζακχαΐάδην ὡς *ἐθνάρχην* ἔτι πρότερον ἐθεώρουν, ὃν ἄρχοντα καὶ *κριτὴν τοῦ Ἰσραὴλ* ἀναγράφουσιν οἱ ῥαββῖνοι). Εἶχε δὲ οὗτος ὁ ἐθναρχῶν πατριάρχης περὶ αὐτὸν παρεδρεύοντας ἄρχοντας καὶ συμβούλους, οἷον τὸ μέγα συνέδριον συνιστῶντας, ἐξ ὧν ἦσαν καὶ οἱ παρ' αὐτοῖς ὀνομασθέντες *Ἀπόστολοι*, τὰς ἁπανταχοῦ συναγωγὰς περινοστοῦντες· καὶ τὰς ἄλλας τὰς ἰουδαϊκὰς σκευωρίας παραλείπομεν (γ).

(α) « Nerva dilexit Judaeos, effecit eis quietem, atque e cervice eorum excussit jugum Romanorum praefectorum ». (Tzemah David. p. 180).

(β) Adrian. epist. ad Vopiscum in Saturn.

(γ) Καὶ ἄλλον πατριάρχην τοιοῦτον κατέστησαν ἐν Βαβυλῶνι οἱ Ἰουδαῖοι, ὃν καὶ Αἰχμαλωτάρχην ἰδίως ἐκάλουν, μυθολογοῦντες, ὅτι οἱ μὲν Αἰχμαλωτάρχαι πατρόθεν εἷλκον τὸ γένος ἐκ τοῦ Δαβὶδ, οἱ δὲ Ἐθνάρχαι (οἱ ἐν Παλαιστίνῃ πατριάρχαι) μητρόθεν, καὶ τούτους μὲν ἐπεφήμιζον, Ῥαββὰν (τουτ. μεγάλους, ἢ ἐξόχους ἐπιστάτας, καὶ καθηγητὰς), τοὺς δ' Αἰχμαλωτάρχας Ῥαββανὰ (μεγεθυντικώτερον· οἷον

Τούτου δὲ τοῦ Γαμαλιὴλ σύμβουλος, καὶ μέγα παρ' αὐτῷ δυνάμενος ἦν Ἀκιβᾶς, ὃν προείπομεν (σελ. 73, σημ.), τὰ ἄκρα τῆς Φαρισαϊκῆς σοφίας πατῶν. Οὗτος ὁ διαβόητος λακκοποιὸς ἐξέμηνε μάλιστα τὸν γεννάδαν Βαρχοχέβαν, ἢ Βαρκοχεβᾶν, εἰς τὴν ἐπ' Ἀδριανοῦ (τῷ 133–135 μ. Χ.) προῤῥηθεῖσαν ἐπανάστασιν τῶν Ἰουδαίων, *Μεσσίαν* ἐκεῖνον *τὸν υἱὸν τοῦ ψεύδους* ἀνακηρύξας (α). Καὶ αὐτὸς μὲν μετὰ τοῦ προχειρισθέντος ὑπ' αὐτοῦ ψευδομεσσίου κακῶς ἀπώλετο ὑπὸ τῶν Ῥωμαίων, ἐκδαρεὶς τὴν δοράν. Φαίνεται δὲ ὅτι πρῶτος οὗτος ὁ Ἀκιβᾶς διὰ τὸ ζέον πρὸς τοὺς χριστιανοὺς μῖσος, ἔτι πρὸ τῆς ἐπαναστάσεως, ἐπεχείρησε καὶ ἐξεπίτηδες τὰς ἑβραϊκὰς γραφὰς διαφθείρειν. Οὗτος, ἴσως, εἰ καὶ μὴ ῥέκτης αὐτόχειρ, ἀλλ' ὅμως εἰσηγητὴς ἐγένετο καὶ τοῦ περὶ τὴν γρα-

---

ἐξοχωτάτους, ἀκροτάτους καθηγητάς). Περὶ τῶν αἰχμαλωταρχῶν τούτων βλέπε τὸν Σκαλίγηρον Animad. in Euseb. Chron. pag. 295: ὅςις ὅμως ἐν τούτοις πειρᾶται ἐκ ῥαββινικῶν μαρτυριῶν καὶ τὸν ἀρχαιότατον τῶν ἐκκλησιαςικῶν ἱστορικῶν Ἡγήσιππον, καὶ τὸν Εὐσέβιον, καὶ τὸν Ἱερώνυμον ψευδομένους ἐξελέγξαι, συγχέων τὰ πράγματα, καὶ σκαληγιρίζων καὶ ὧδε κατὰ τὸ σύνηθες). Περὶ δὲ τῶν ἐν Παλαιςίνῃ μάλιστα Ἰουδαϊκῶν ψευδοπατριαρχῶν βλ. Ὠριγέν. περὶ Ἀρχῶν Δ. §. 3. (τ. α. σελ. 159),—Εὐσέβ. Ὑπομνημ. εἰς Ἡσαϊ. γ, 4,—Κύριλ. Ἱεροσολύμ. κατηχ. ιβ,—Ἱερώνυμ. εἰς Ἡσ. γ,—Ἐπιφάν. Αἱρεσ. λ, καὶ Petav. σημ. αὐτόθ.—Χρυσόστομ. εἰς Ἰουδ. ὁμιλ. ε. —Θεοδώρητ. Διάλογ. α, καὶ τὸ Διάταγμα τοῦ Θεοδοσίου (Codex Theodos. Libr. XVI. tit. VIII.). πρβλ. καὶ Bingham Origin. Eccles. T. 1. p. 240, καὶ τὸν τὰς παχυλὰς περὶ τῶν ἐν Βαβυλῶνι Αἰχμαλωταρχῶν ψευδολογίας τῶν ῥαββίνων ἐξελέγχοντα Μορῖνον Exercit. Libr. II. Exer. 4. c. 2. p. 270. sqq.

(α) Βὲν-Κοζιβᾶς (Bèn Cotzba, τουτ. υἱὸς ψεύδους) οὗτος ἐκαλεῖτο πρότερον· ἀρχηγὸς δὲ τῆς ἐπαναστάσεως γενόμενος μετωνομάσθη Βαρ-κοχεβᾶς (Bar-Kochba, τουτ. υἱὸς ἀστέρος)· καὶ ὁ Ῥαββὰν Ἀκιβᾶς ἐφήρμοσεν εἰς αὐτὸν τὸ «Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ» (Ἀριθμ. κδ, 17), καὶ Βασιλέα Μεσσίαν αὐτὸν ἀνηγόρευσε (βλέπε τὸν Scaliger. Animad. l. c. p. 216). πολλοὺς δὲ καὶ χριστιανοὺς βασανίσας ἀπέκτεινεν ὁ Ψευδομεσσίας οὗτος, βασιλεύσας δῆθεν καθ' ὅλην σχεδὸν τὴν διάρκειαν τῆς τριετοῦς ἐπαναστάσεως. Κατέδυσαν δὲ, τέλος, οἱ Ῥωμαῖοι τὸν ψευδαστερίδην τοῦτον μετὰ τῆς ὀχυρωτάτης αὐτοῦ Βιθήρας εἰς νέρτατα βέρεθρα χθονὸς, περὶ τὸ 135. μ. Χ. Βλέπε Δίων. ξθ, §. 13: καὶ Ἰουστῖν. Ἀπολογ. Α. §. 31. σελ. 64. — Εὐσέβ. Ἐκ. ις. δ, κτλ. πρβλ. Morin. Exerc. p. 230. — Tillemont. Hist. des Emper. T. 2. p. 500. — Reland. Palaest. p. 639. sqq. — Calmet. Diction. de la Bible. T. 1. p. 90 καὶ 290.

φικὴν χρονολογίαν παλαιοῦ κακουργήματος (α) (περὶ οὗ καὶ παρακατιόντες ἐροῦμεν). Ὅθεν καὶ οἱ περὶ τὸν σοφώτατον Μορῖνον ἄγαν ὀρθῶς ἀπεφήναντο, ὅτι « ἀπὸ Χριστοῦ Σωτῆρος καὶ ἐφεξῆς μέχρι τῶν Ὠριγένους χρόνων διεφθάρη *κατὰ πρῶτον* τὸ κείμενον τῶν ἑβραϊκῶν Γραφῶν » (β). Τοιαῦτα καὶ Οὐόσσιος (γ). Τούτοις μάλιστα συμφωνεῖ καὶ ὁ Κεννικῶτος, ὅστις φέρει καὶ παραδείγματα τῆς περὶ τοὺς χρόνους τούτους παραφθορᾶς τοῦ κειμένου (δ)· καὶ ὁ περικλεὴς χρονολόγος Ἰακωβίδης περὶ τὰ μέσα (λέγει) τοῦ β, αἰῶνος ῥᾷστον ὑπῆρξε τοῖς Ἰουδαίοις διαφθεῖραι τὰ Βιβλία (ε). Ὅτι δὲ οἱ ῥαββῖνοι οὗτοι οὐδὲ τοὺς ἀκριβεστάτους εἶχον κώδηκας, ἀλλά τινας ἠμελημένους περὶ τὴν ἀντιγραφὴν, καὶ οἵους αὐτοῖς ἠδύνατο παρασχεῖν ἡ τῆς περιεχούσης θλίψεως ἔνδεια καὶ ἀπορία, δῆλον, κἂν μὴ πάλιν λέγωμεν ἡμεῖς.

§. κδ. Ἐκ τοιούτου διεφθαρμένου κώδηκος ὑπῆρχε πάντως καὶ τὸ ἀπόγραφον, ἐξ οὗ μετέφρασεν ὁ ἀρνησίχριστος Ἀκύλας ἑλληνιστὶ τὴν θείαν Γραφὴν περὶ τὰ μέσα χωροῦντος τοῦ β, αἰῶνος (128—130 μ. Χ.), προσδιαστρέψας καὶ αὐτὸς τὴν ἔννοιαν τινῶν ἑβραϊκῶν φωνῶν. Ἔτι περὶ τὰς ἀρχὰς τοῦ β, αἰῶνος οἱ τὴν διάλεκτον χαλδαΐζοντες Ἰουδαῖοι ἤρξαντο διαβάλλειν τὴν ἑρμηνείαν τῶν Ο, ὡς μὴ πάνυ τοι γνησίαν καὶ ἀκριβῆ, καθὸ τοῦ τότε παρ' αὐτοῖς ἑβραϊκοῦ κειμένου διαφέρουσαν. Δύω δέ τινα αἴτια τοὺς Ἰουδαίους ἐξῆπτον πρὸς τὸ δυσφημεῖν τὴν ἑρμηνείαν ἐκείνην, ἣν

(α) Βλ. Pezron, Défense de l' Antiq. etc. pag. 61, 423. sq.

(β) Morin. L. I. Exercit. Bibl. IX. c. 1.

(γ) J. Voss. De LXX. c. IX. p. 23.

(δ) Οἷον τὸ διέλθωμεν εἰς τὸ πεδίον. (Γενέσ. δ. 8) καὶ ἄλλα, λείποντα μὲν ἐκ τοῦ ἑβραϊκοῦ, κείμενα δὲ παρὰ τοῖς Ο, καὶ ἐν τῷ Σαμαρειτικῷ, καὶ παρὰ τῷ Φίλωνι, καὶ τῷ Σύρῳ κτλ. περὶ ὧν ἐν τοῖς ἐφεξῆς (βλ. Kennicot. Diss. I. p. 340.-357). Ἄλλας παλαιὰς καὶ ἑκουσίας τοῦ ἑβραϊκοῦ διαφθορὰς ἐσημείωσεν ὁ Pezron l. c. p. 415.

(ε) Jackson, Chronolog. Antiquit. vol. 1. p. 93, ἐννοῶν ἴσως τὰς ἐξεπίτηδες τότε ῥαδιουργηθείσας ἀλλοιώσεις τοῦ κώδηκος.

οἱ πάλαι πατέρες αὐτῶν ἀπ' ἀρχῆς ὡς κυρίαν καὶ γνησίαν ἐσέβοντο, καὶ διὰ πολλῶν ἐπαίνων ἦγον, μέχρι καὶ κατ' αὐτὸν τὸν α, αἰῶνα μ. Χ. (ὡς ὁ Φίλων καὶ Ἰώσηπος), καὶ ᾗ περ ἐχρῶντο καὶ τότε ὡς θεολέκτῳ πάντες οἱ ἁπανταχοῦ ἑλληνίζοντες μυριάριθμοι λαοὶ τῶν ὁμογενῶν αὐτῶν. Πρῶτον μὲν γὰρ, εἴπερ ἤθελον ἀποδέχεσθαι τὴν ἑρμηνείαν τῶν Ο, ὡς ἄχραντον καὶ κυρίαν, καθὼς καὶ πρότερον, ἔμελλον λοιπὸν ἐξ ἀνάγκης ὁμολογεῖν τὸ παρ' αὐτοῖς ἑβραϊκὸν κείμενον λελωβημένον ἐν πολλοῖς καὶ διεφθαρμένον, ὡς ἤδη τότε πολλὰς πεπονθὸς καὶ μεγάλας μεταβολὰς, καὶ λανθάνειν μὴ δυναμένας. Ἔπειτα δὲ οἱ χριστιανοὶ, οἵ τε ἐξ ἐθνῶν καὶ οἱ ἐξ αὐτῶν τῶν Ἰουδαίων πεπιστευκότες, ἐκ ταύτης τῆς τῶν θείων Γραφῶν ἑρμηνείας ἐξέφερον τὰς ἀποδείξεις, ἐξελέγχοντες τὴν εἰς Χριστὸν ἀπιστίαν τῶν Ἰουδαίων. Ὅθεν οὗτοι καὶ μάλα συμφέρον ἑαυτοῖς ἐνόμισαν, ἂν συκοφαντήσωσι τὴν ἑρμηνείαν, διαφημίζοντες, ὅτι δῆθεν ἤτοι ἀπ' ἀρχῆς ἀμελῶς καὶ ἀτελῶς ὑπὸ τῶν ἑρμηνέων συνετάχθη, ἢ γοῦν ἔπειτα πολλοῖς σφάλμασιν ἐκηλιδώθη· ὥστε τὸ ταύτῃ πιστεύειν, μηκέτι μήτ' ἀσφαλὲς εἶναι καὶ ὀρθὸν, μήτε ὅλως ὅσιον καὶ θεμιτόν. Καὶ λοιπὸν, ἵνα καταστήσωσιν ἐνεργέστερον καὶ δραστικώτερον τὸ μῖσος, τὸ πρὸς τοὺς Ο, μεταδῶσι δὲ τοῦτο κατὰ μικρὸν καὶ τοῖς ἑλληνίζουσιν αὐτῶν ὁμογενέσιν, ἀποτειχίζοντες αὐτοὺς (ὅσον τὸ ἐπ' αὐτοῖς) ἀπὸ τῆς παραδοχῆς τοῦ Ἀποστολικοῦ κηρύγματος, ἐπενόησαν μετὰ τῆς συνήθους Ἰουδαϊκῆς ἐντρεχείας νέας ἑρμηνείας τοῦ κατ' αὐτοὺς ἑβραϊκοῦ. Καὶ δὴ καὶ εὑρίσκουσι πρὸς τοῦτο δεξιὸν ἄνδρα, τὸν ἐξ ἐθνικοῦ χριστιανίσαντα, ἀπὸ δὲ χριστιανῶν (ἐπειδὴ δι' ἀνήκεστον πονηρίαν ἀπεβλήθη τῆς ἐκκλησίας) Ἰουδαΐσαντα Ποντικὸν Ἀκύλαν τὸν ἐκ Σινώπης (Ἐπιφάν. π. Μέτρ. §. ιδ). Τοῦτον τοίνυν Ἀκιβᾶς ἐκεῖνος, ὁ δριμύτατος ἐχθρὸς τοῦ χριστιανικοῦ ὀνόματος, ἐδίδαξε τὰ ἑβραϊκὰ, ὡς ὁ Ἱερώνυμος σαφῶς μαρτυρεῖ (εἰς Ἡσ. η)· καὶ διὰ τοῦ Ἀκύλα πρῶτον ἐξήνεγκον τὴν αὐτοῦ ἐπώνυμον ἑλληνικὴν ἑρμηνείαν, συμφωνοῦσαν πρὸς τὸ τότε κείμενον τὸ ἑβραϊκὸν κατά τε τὰ λελωβημένα χωρία, καὶ

προσέτι κατὰ τὴν στρεβλὴν τῶν ραββίνων ἐξήγησιν, καὶ τὴν ἄτοπον ἀνάγνωσιν πολλῶν τῆς ἑβραΐδος φωνῶν. Ἐξέδωκε δὲ δύω τῆς Γραφῆς ἑλληνικὰς ἐκδόσεις ὁ Ἀκύλας, τὴν μὲν πρώτην ἐλευθερωτέραν, τὴν ἔννοιαν ἀποδιδοὺς μᾶλλον, ἢ κατὰ πόδα καὶ γλίσχρως τῇ λέξει κατακολουθῶν, τὴν δὲ δευτέραν, «*φιλοτιμότερον, ὡς ἐπιστεύθη παρ' Ἰουδαίοις*» (Ὠριγ. ἐν ἐπιστολῇ πρὸς Ἀφρικαν.), καὶ «*κατ' ἀκρίβειαν*» τὸ δ' ἀληθέστερον, κατὰ ἀπειρόκαλον κακοζηλίαν· ὡς ὅταν ψυχρῶς προστετηκὼς καὶ δουλεύων τῇ ἑβραϊζούσῃ λέξει, μεταφράζῃ μὴ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ τὸ οἷον *πρόαρθρον* πρὸ τῶν αἰτιατικῶν προτιθέμενον μόριον τῆς ἑβραϊκῆς (οἷον· «ἐποίησεν ὁ Θεὸς *Σὺν* τὸν οὐρανὸν καὶ Σὺν τὴν γῆν»), καὶ ἄλλα τοιαῦτα (α), καὶ ταύτην τὴν ἑρμηνείαν κατεχώρισεν Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς. Ὅτι δὲ ὁ δύσερις καὶ δύστροπος καὶ κακόζηλος οὗτος Ἀκύλας προσδιέφθειρε δολίως (ὁσάκις ἐνεχώρει) καὶ τὴν κυρίαν τῶν λέξεων σημασίαν, προείπομεν (β). Μετὰ τὴν Ἀκύλα μετάφρασιν

(α) Βλ. S. Hieron. Com. in Ezechielem, et Epist. ad Pammachium, et De optim. gener. interpr. κτλ. πρβλ. καὶ Montfaucon in Origen. Hexapl. praelimin. p. 46. — Hody, de Bibl. Text. L. IV. p. 576. — Bauer, Einleitung p. 164. etc. βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. 1. §. μ. σελ. 705.

(β) Τὸν Ἀκύλαν τοῦτον ὁ Οὐόσσιος (De LXX.), καὶ ἄλλοι, καὶ αὐτῶν τινες τῶν ραββίνων οὐκ ἀλόγως κρίνουσι τὸν αὐτὸν καὶ τὸν παρ' Ἑβραίοις Ὄγκελον (Oncelum), τὸν πρῶτον εἰς τὴν Χαλδαίαν γλῶσσαν τὴν ἑβραϊκὴν Πεντάτευχον παραφράσαντα· τό, τε γὰρ ὄνομα παρ' Ἑβραίοις ξενικόν, καὶ ἡ τούτου προφορὰ ῥᾳδίως ὑπὸ τῶν ἑτερογλώσσων μετεστράφη ἐκ τοῦ Ἀκύλας, ἢ Aquila, εἰς τὸ Ἀνκέλας, ἢ Ὀνκέλας, ἢ Ὀγκελὸς (Οὕτως ἐν τῷ Ταλμουδίῳ σχηματίζεται τὸ Ἀκύλας ὄνομα, ὁσάκις ἀπαντᾶται)· Οἱ δὲ, διάφορον κρίνουσι τὸν χαλδαϊκὸν παραφραστήν· διότι πάμπολλα χωρία τῆς Πεντατεύχου ἄλλως ἑρμηνεύονται ἐν τῇ τοῦ Ἀκύλα ἑρμηνείᾳ, καὶ ἄλλως ἐν τῇ χαλδαϊκῇ παραφράσει. Οἷον τὸ ἑβρ. bereschith, ἐν κεφαλαίῳ, καὶ ἄλλα τοιαῦτα ἱκανά (βλ. Montfaucon l. c. p. 51). Ἀλλὰ πρῶτον μὲν ἄδηλον, εἴπερ αἱ τοιαῦται διαφοραὶ οὐχ' ὑπῆρχον καὶ ἐν τῇ πρώτῃ τοῦ Ἀκύλα ἑρμηνείᾳ. Ἔπειτα, κἂν ὁ Χαλδαῖος οὗτος παραφραστὴς ἕτερος παρὰ τὸν Ἀκύλαν βεβαίως τεθῇ, φαίνεται ὅμως νεώτερος τοῦ Ἀκύλα. Τὸ γὰρ «Διέλθωμεν εἰς τὸ πεδίον» (Γενέσ. δ, 8), παρ' Ἀκύλᾳ μὲν ἐσῴζετο, κατὰ τὴν Ὠριγένους μαρτυρίαν (Montfaucon l. c.), ἐν δὲ τῇ Χαλδαίᾳ παραφράσει οὐ κεῖται (μετὰ τοὺς Ἀκύλα χρόνους ἐκπεσὸν δηλονότι), ὡς οὐδ' ἐν τῷ καθ' ἡμᾶς ἑβραϊκῷ. Οἱ δὲ πλεῖστοι τῶν ραββίνων, καὶ ἄλλοι τῶν νεωτέρων σοφῶν, οἱ μὲν ἀνάγουσι τὸν Χαλδαῖον τοῦ-

ἀνεφάνη καὶ ἄλλη πρὸς τὸν Ἰουδαίων συμβάλλουσα σκοπὸν, ἡ τοῦ Συμμάχου ἑρμηνεία· εἴγε μὴ προτέρα ταύτης (ὡς φαίνεται πιθανώτατον) ἐξεδόθη ἡ τοῦ Θεοδοτίωνος. Ἦν δὲ ὁ Θεοδοτίων τὴν πατρίδα Σινωπεὺς, ἢ κατ' ἄλλους, Ἐφέσιος, αἱρετικὸς, Μαρκιωνιστὴς (Ἐπιφάν.), ἢ (κατὰ τὸν Εὐσέβιον καὶ Ἱερώνυμον) Ἐβιωναῖος, καὶ τέλος, προσήλυτος Ἰουδαῖος. Οὗτος ἐπὶ Κομμόδου (τῷ 175 μ. Χ.), ἐξέδωκε νέαν ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν. Ἐπειδὴ δ' ἐτύγχανεν ἐκ νεότητος τῇ τῶν Ο, μεταφράσει ἐντεθραμμένος, ἀπέκλινε τὸ πλεῖστον πρὸς αὐτοὺς, ἐνίοτε δὲ καὶ πρὸς τὸν Ἀκύλαν (α). Ἐπὶ δὲ Σεβήρου (τῷ 200 μ. Χ.), καὶ τρίτην μετάφρασιν ἐξέδωκεν ὁ προμνημονευθεὶς Σύμμαχος, Σαμαρείτης τὴν θρησκείαν, ἰουδαΐσας· ἡρμήνευσε δὲ ταύτην πρὸς διαστροφὴν τῶν παρὰ Σαμαρείταις ἑρμηνειῶν, ἢ ἐξηγήσεων τοῦ κειμένου (β). Δύω δὲ καὶ οὗτος

τον Ὄγκελον εἰς τὸ 40 ἔτος π. Χ. οἱ δὲ καὶ ἐπ' αὐτῆς τῆς σωτηρίου ἐποχῆς. Καὶ τούτου διδάσκαλον καθιστῶσι τὸν Γαμαλιὴλ (κατὰ ῥαββινικὴν παράδοσιν)· οἱ δὲ πλεῖστοι τοῦτον χρονοθετοῦσι κατὰ τὸν β, ἢ γ, αἰῶνα μ. Χ. Ὁ δὲ Μορῖνος, οὐ πάντῃ ἀπιθάνως, τίθησι τὸν Ὄγκελον ἐπέκεινα καὶ τοῦ δ. αἰῶνος μ. Χ. (βλ. Exercit. Bibl. L. II. Exerc. VIII. c. 11. p. 321). Καὶ τέλος ὁ Βαύερος ἐπίσης ἀόριστον ἡγεῖται καὶ ἀμφίβολον τόν τε χρόνον, καθ' ὃν ἔζη, καὶ αὐτὸ τὸ πρόσωπον τοῦ Ὀγκέλου. βλ. Bauer, Crit. Sacr. III. §. 65. καὶ Winer, De Onceloso ejusque paraphrasi Chaldaica. Diss. p. 7—12. Lipsiae, 1820.

(α) Ὁ ἱερὸς Ἐπιφάνιος μετὰ τὸν Ἀκύλαν ἐπάγει τὸν Σύμμαχον, καὶ τρίτον τὸν Θεοδοτίωνα. Ἀλλὰ καὶ ὧδε, καθὼς καὶ ἐν ἄλλοις χωρίοις, τὸ κείμενον τοῦ Ἐπιφανίου φαίνεται τεταραγμένον. Ἐν τῇ Συνόψει τοῦ ἁγίου Ἀθανασίου τίθεται ὁ Θεοδοτίων ἑρμηνεύσας ἐπὶ Κομμόδου· ὁ δὲ Σύμμαχος ὕστερον ἐπὶ Σεβήρου. Καὶ τὸ Ἀλεξανδρινὸν Πασχάλιον τρίτην ἑρμηνείαν ἐπὶ Σεβήρου τὸν Σύμμαχον ἐκδεδωκότα λέγει. προτάσσει δὲ καὶ τοῦτο πρὸ τοῦ Συμμάχου τὸν Θεοδοτίωνα, ὡς ἐπὶ Κομμόδου ἑρμηνεύσαντα, καὶ προστίθησιν, «ὡς ἱστορεῖ Ἐπιφάνιος ὁ Κύπριος» (Χρονικ. Πασχαλ. σελ. 491 καὶ 496. Bon.). Ὥστε φαίνεται ἐξ ἀκεραιοτέρου κώδηκος τοῦ Ἐπιφανίου ὀρθότερον ἀνεγνωκὼς ὁ συγγραφεὺς τοῦ Πασχαλίου. Ἀλλὰ καὶ ὁ θεῖος Εἰρηναῖος (τῷ 180 μ. Χ.) μνημονεύων τοὺς μετὰ τοὺς Ο διαφθείραντας τὸ «Ἰδοὺ ἡ παρθένος», τὸν Ἀκύλαν ὀνομάζει καὶ τὸν Θεοδοτίωνα, μήπω τότε φανείσης τῆς ἑρμηνείας τοῦ Συμμάχου (Εἰρην. σελ. 253 ἐκδ. Grabe). πρβλ. Montfaucon l. c. — Cave, Script. Eccles. Hist. Liter. pag. 24. — Hody, l. c. p. 579. — Kennicot. Diss. II. p. 354.

(β) Ἐπιφάν. τόμ. β. σελ. 172. καὶ ἐν Ἀνεκδ. παρὰ Montfauc. l. c. p. 53.

(καθὰ καὶ Ἀκύλας) ἐξέδωκε τῆς ἰδίας ἑρμηνείας ἐκδόσεις, ὡς ἐκ τοῦ Ἱερωνυμου συνάγεται (α). Κρίνουσι δὲ τὸν μὲν Σύμμαχον ἄγαν ἐλευθέρως ἡρμηνευκότα, καὶ μὴ δουλοπρεπῶς (κατὰ τὸν κακόζηλον Ἀκύλαν), τὸν δὲ Θεοδοτίωνα βαδίσαντα τὴν μέσην· ἀλλὰ περὶ τούτων λέγομεν ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς.

§. κε. Οὗτοι τοίνυν οἱ κατὰ τὸν β, αἰῶνα τρεῖς μετὰ Χριστὸν ἑρμηνεῖς τῆς Γραφῆς, τοῖς τε Ἰουδαίοις χαριζόμενοι, καὶ τῇ ἰδίᾳ πρὸς τοὺς χριστιανοὺς ἀπεχθείᾳ, κατεσπούδασαν, ᾗ δυνάμεως εἶχον, ὅπως τὰς ἑαυτῶν ἑρμηνείας ἀναδείξωσι πλησιεστάτας πρὸς τὸ κείμενον τὸ ἑβραϊκόν. Οὕτω δὲ πάντως καὶ τὰς τούτου διαφθορὰς μετεφύτευον εἰς τὰς ἑαυτῶν μεταφράσεις (β), συνεπαγόμενοι καὶ τὴν ἐξ ἀγνοίας πολλῶν ἑβραϊκῶν φωνῶν παρεξήγησιν (γ)· προσετίθουν δὲ καὶ τὴν ἑκουσίαν τοῦ νοήματος διαστροφὴν, ὁσάκις ἠδύναντο τὰς εἰς Χριστὸν προφητείας ὁπωσδήποτ᾽ ἐπιζοφῶσαι (δ). Οὕτω τὸ (Ἠσαϊ. ζ, 14) «Ἰδοὺ ἡ *παρθένος*» κτλ.

(α) Περὶ τῶν μ. Χ. τριῶν τούτων ἑρμηνευτῶν βλ. Εἰρην. Γ. 21.—Εὐσεβ. Ἐκκλ. ἱστορ. ε, 8, ς, 17.—Ἐπιφάν. ἔνθ. ἀνωτ. — Θεοδώρητ. πολλαχοῦ τῶν ἑρμηνειῶν καὶ τόμ. ε. σελ. 40. ἐκδ. Εὐγεν.—Ζιγαβην. προοίμ. ἑρμην. εἰς Ψαλμ. ἐν Le Moyne, Var. Sacr. T. 1. p. 192.—Σουΐδ. λ. Ὠριγένης.— S. Hieronym. Com. in Esai. 8. πρβλ. Walton. Proleg. IX. §. 19. sq. Monfaucon l. c. —Kennicot. l. c. — Bauer, Einleitung etc. p. 163 - 168. — Herbst, Einleitung in die heil. Schrift. d. Alt. Test. 1. Bd. p. 155 - 160. — Horne, Introduct. tho the critical etc. vol. 2. part. 1. p. 216—218.

(β) Οἷον, ὁ Θεοδοτίων καὶ ὁ Σύμμαχος μετέφερον τὴν ἐν Γενεσ. Δ. 8, διαφθορὰν, περὶ ἧς προείπομεν ἀνωτέρω (σελ. 76). Πάλιν ὁ Σύμμαχος ἐν Ὡσηὲ (ιγ, 14), τὸ κατὰ τοὺς Ο, «π ο ῦ ἡ δίκη σου»· μετέφρασεν «ἔ σ ο μ α ι πληγή σου», ὡς γράφεται καὶ νῦν διεφθαρμένως ἐν τῷ ἑβραϊκῷ. βλ. Kennicot. Diss I. p. 504. II. p. 355. — Montfaucon, Hexapl. T. 2. p. 351—352. κτλ.

(γ) Οὕτως ὁ Σύμμαχος τὸ «συναγωγὴ τ α ύ ρ ω ν (ψαλμ. ξζ, 31, οἱ Ο. τὸ δὲ νῦν ἑβρ. ἰσχυρῶν) ἡρμήνευσε κακῶς «ἐν συνόδῳ π α μ μ ε γ ε θ ῶ ν». Καὶ τὸ «κ α τ ὰ ἀ ν α τ ο λ ὰ ς (ψαλμ. ξζ, 33, οἱ Ο, καὶ τὸ νῦν ἑβρ.) ἡρμήνευσεν ἐ κ π ρ ώ τ η ς, ὡς Θεόδωρος ὁ Ἡρακλείας ἐσημείωσεν (αὐτόθ.). βλ. Montfauc. l. c. p. 55.

(δ) Οἷον ὁ Ἀκύλας πανταχοῦ καὶ ὁ Σύμμαχος ἐν Ψαλμ. β, 2 ἀντὶ Χ ρ ι σ τ ο ῦ ἔγραψαν ἠ λ ε ι μ μ έ ν ο ν (ἀπομακρύνοντες τὴν ἔννοιαν ἀπὸ τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ), ὡς ὁ Φιλάστριος ἐσημείωσεν. Ὁ δὲ πατὴρ τῆς ἐκκλησ. ἱστορίας Εὐσέβιος κατὰ

πρῶτον ὁ Ἀκύλας, μεθ' ὃν καὶ ὁ Θεοδοτίων (κατὰ τὸν θεῖον Εἰρηναῖον) ἡρμήνευσαν τὸ ἑβρ. *ἀλμὰ* διὰ τοῦ δισημάντου καὶ ἐπαμφοτερίζοντος, ἰδοὺ ἡ *νεᾶνις* (ὅπερ *ἡλικίαν* κυρίως, οὐχὶ δὲ μόνον καὶ μόνον *ἀφθορίαν*, ὡς τὸ *παρθένος*, σημαίνει· βλ. καὶ ὄπισθεν

τὸ ἐν Ψαλμ. ч, 9. «ὅτι σὺ Κύριε ἡ ἐλπίς μου» κτλ. ἰουδαϊκώτερον ἑρμηνεῦσαι τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον λέγει. (Ἔστι δ' ὅπου καὶ ἐπήνεσε τὴν ἔν τισι σαφήνειαν τοῦ Συμμάχου, οἷον ἐν Ψαλμ. κκ, 31, 32, καὶ μς. 10· «σαφέστερον τὴν λέξιν ἡρμήνευσε»· καί, «σφόδρα θαυμαστῶς»). Τῶν δέ τινες νεωτέρων καὶ τῆς Θεοδοτίωνος μισοχριστίας ἐκφέρουσι δεῖγμα τὸ ἐν Δανιὴλ θ, 26 «ἐξολοθρευθήσεται χρίσμα». οὕτως ἑρμηνεύσαντος, ἵνα μὴ εἴπῃ Χριστὸς (ὡς ἔχει καὶ τὸ νῦν ἑβραϊκόν, καὶ ὡς ἡρμήνευσε καὶ αὐτὸς ὁ Ἑβιωναῖος Σύμμαχος, «ἐκκοπήσεται Χριστός»· βλ. Montfauc. l. c. p. 56). Ἀλλὰ τοῦτο πάντως οὐκ ἀληθεύει. Διότι α) αὐτὸς ὁ Θεοδοτίων ἐν τῇ αὐτῇ περικοπῇ μικρὸν ἀνωτέρω (ϛχ. 25) γράφει ὡς καὶ οἱ Ο «ἕως Χριστοῦ ἡγουμένου». β) ἡ προφητεία ἐνταῦθα σημαίνει, οὐ τὴν σταύρωσιν καὶ τὸν θάνατον αὐτοῦ τοῦ Σωτῆρος Χριστοῦ (πολλοῦ γε δεῖ, καὶ τοῦ παντός!), ἀλλὰ τὴν κατὰ τοὺς χρόνους τῆς Χριστοῦ ἐπιφανείας παντελῆ κατάπαυσιν τῆς νομίμου χρίσεως καὶ διαδοχῆς τῶν ἀρχιερέων «μηκέτι κατὰ τὸν νόμον ἐκλελεγμένων, ἀλλ' ὑπὸ τῶν ἀλλοφύλων ἀρχόντων προχειριζομένων, Ἡρώδου τε καὶ Ἀρχελάου καὶ τῶν Ῥωμαίων στρατηγῶν». Τότε τοίνυν ἐξωλοθρεύθη τὸ χρίσμα, «ἡ τοῖς ἀρχιερεῦσιν ἐπανθοῦσα χάρις»· βλ. Ἱππόλυτον, καὶ Θεοδώρητον, καὶ Κύριλ. Ἀλεξ. ἑρμην. εἰς Δανιὴλ αὐτόθ.— Εὐσέβ. Εὐαγ. Ἀποδείξ. η, 2. σελ. 261. — πρβλ. Ἰώσηπ. Ἀρχ. η, 10. καὶ Casaub. Exercit. c. Baron c. 52. γ) ὁ ἱερὸς Κλήμης (Στρωμ. Α. σελ. 242), ὁ ἅγιος Ἱππόλυτος, καὶ Ἰούλιος ὁ Ἀφρικανὸς, γράφουσιν οὐχὶ χριστὸς, ἀλλὰ χρίσμα (κατὰ τοὺς Ο)· οἱ δὲ πατέρες οὗτοι (180—220 μ. Χ.) συνέγραψαν, πρὶν ἀντεισαχθῇ ὁ δῆθεν κατὰ τὸν Θεοδοτίωνα Δανιὴλ, ἀντὶ τοῦ κατὰ τοὺς Ο (ὡς μάτην παρ' Ἱερωνύμου διεφημίσθη· βλ. ὄπισθ. Βιβλ. Β. σελ. 629). Ἀλλὰ καὶ αὐτὸς Ὠριγένης, καὶ Εὐσέβιος, καὶ Χρυσόστομος, καὶ Κύριλλος ὁ Ἀλεξανδρείας, καὶ ὁ Θεοδώρητος κτλ. χρίσμα καὶ ἀνέγνωσαν καὶ ἡρμήνευσαν (βλ. καὶ Vossij de LXX. interpr. ad lector.). δ) Αὐτὸ, τέλος, τὸ κατὰ τοὺς Ο (καθὼς ὑπέλαβον) ἀνακαλυφθὲν ἀντίγραφον τοῦ Δανιὴλ (κατὰ τὸ Κισιανὸν ἀπόγραφον. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 637) ἔχει καὶ αὐτὸ χρίσμα, καὶ οὐχὶ χριστός. Καὶ φαίνεται ἄρα ὀρθότερον ὁ Θεοδοτίων ἀναγνοὺς (ὡς ἀνέγνων καὶ οἱ Ο), ἢ καὶ ἐξ αὐτῶν τούτων (ὡς ἐν τοῖς πλείστοις εἴωθεν) ἀντιγράψας· ἡ δὲ τοῦ ἑβραϊκοῦ κειμένου γραφὴ, ἐξ οὗ Ἀκύλας καὶ Σύμμαχος ἡρμήνευσαν (ἥτις καὶ νῦν ἐπικρατεῖ) ὑπῆρχεν ὑπ' ἀντιγραφέων ἔκτοτε διεφθαρμένη. Ὅθεν ὁ μὲν Ἀκύλας μετέφρασεν ἠλειμμένος, ὁ δὲ Σύμμαχος, χριστὸς (ἀντὶ χρίσμα). Καὶ ταῦτα μὲν οὕτω. Τοὺς δὲ μ. Χ. τρεῖς τούτους ἑρμηνεῖς καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος «ἰουδαΐζοντας αἱρετικοὺς ὀνομάζει, πολλὰ τοῦ Σωτῆρος μυστήρια δολίᾳ ἀποκρύψαντας ἑρ-

Βιβλ. Β. σελ. 713). Καὶ τὸ, « ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται » μετέτρεψαν εἰς τὸ « τὰ ἀποκείμενα αὐτῷ, » καθὼς ὁ θεῖος Ἰουστῖνος (τῷ 140 μ. Χ.) ἔλεγε πρὸς τὸν ἰουδαῖον Τρύφωνα (ἴσως ἐννοῶν, κατά τινας, τὴν μόλις ἔτεσι δέκα πρὸ αὐτοῦ γενομένην ἑρμηνείαν τοῦ Ἀκύλα) (α). « Ὑμεῖς (φησὶ πρὸς τὸν Ἰουδαῖον), καὶ οἱ διδάσκαλοι

μηνείᾳ » (praef. prior ad Job). καὶ τοῦ Ἀκύλα καθάπτεται (ὡς προείπομεν ἀνωτέρω σελ. 69), καὶ « κακόζηλον αὐτὸν καὶ δύσεριν (contentiosum) ἀποκαλεῖ (Epist. ad Phammach. 4. καὶ Comm. in Esai. 8). καὶ ἰδίως ὡς φθορέα περὶ τὴν ἑρμηνείαν φαίνεται ὑποπτεύων (epist. ad Marcel.). Καὶ πάλιν ὁ αὐτὸς πατὴρ περίεργον καὶ ἐπιμελέστατον (curiosum et diligentissimum) ἑρμηνευτὴν ὀνομάζει (Epist. ad Marcel. καὶ Com. in Osee. 2), καὶ ὅτι « ὁ Ἀκύλας οὐκ ἐριστικώτερον (non contentiosius) καθώς τινες νομίζουσιν (!), ἀλλὰ σπουδαιότερον (studiosius) ἡρμήνευσε λέξιν πρὸς λέξιν » (Epist. 125 ad Damasum 9. 2). Οὕτως ὁ μακάριος ἀντιλέγει πρὸς ἑαυτὸν, ὡς εἴωθεν ἔν γε τοῖς τοιούτοις (δι' αὐτὸ δὲ καὶ αὐτὸς Ὅδιος ἠγανάκτησε. σελ. 576), νῦν μὲν καταψέγων, νῦν δὲ πάλιν ὑπερυψῶν τοὺς ἑρμηνεῖς τούτους, ὁσάκις κέχρηται τούτοις (καὶ μάλιστα τῷ Ἀκύλᾳ) συμμάχοις κατὰ τῶν Ο. Ἀλλ' ὡς ἔοικεν, ἀπαθέστερον ἔκριναν περὶ τούτου καὶ αὐτῶν τινες τῶν νεωτέρων, ὅσοι τοῖς λοιποῖς ἱεροῖς πατράσι τῆς ἐκκλησίας ἀκολουθοῦντες ἐγνωμάτευσαν, ὅτι « Καθ' ὅσα μὲν τῆς εἰς Χριστὸν πίστεως τὰ μυστήρια, καὶ τὰς περὶ τούτου προφητείας ἀφορῶσιν, οὐδόλως εἰσὶν ἀξιόπιστοι αἱ τρεῖς αὗται ἑρμηνεῖαι· καθὸ γενόμεναι ἀπὸ πολλῆς πρὸς τὴν χριστιανικὴν θρησκείαν ἀπεχθείας. Ἐν δὲ τοῖς λοιποῖς (ὅσον ἐκ τῶν περισωθέντων λειψάνων φαίνεται) οὐκ ὀλίγον ὠφελοῦσι πρός τε τὴν τῆς ἀληθοῦς ἐννοίας διασάφησιν, καὶ πρὸς ἀπόδειξιν τῆς εἰλικρινείας τῶν Ο » (Walton Prolegom. IX. §. 19. pag. 387 sq. πρβλ. Montfaucon l. c. p. 46). Οἱ δέ τινες τῶν νεωτέρων μάτην ἐφιλοτιμήθησαν ἀποπλῦναι τὸν Ἀκύλαν ἀπὸ τῆς κηλῖδος τῆς ἑκοντὶ παρερμηνείας τῶν περὶ Χριστοῦ προφητειῶν. βλ. Ackermann, Introduct. p. 48.

(α) Οὕτως οἴεται καὶ Kennicot. Diss. II. p. 354. Ἀλλὰ μᾶλλον ἴσως ὁ Ἰουστῖνος ἐν τῇ παρερμηνείᾳ ταύτῃ (ᾗ καὶ Ἀκύλας ἐχρήσατο) οὐκ ἐνόει τὴν Ἀκύλα μετάφρασιν (ὡς μήπω ταύτην ἀναγνοὺς), ἀλλ' ἁπλῶς τοὺς Ἀκύλᾳ συγχρόνους καὶ παρομοίως παρεξηγοῦντας ῥαββίνους, μαθητὰς καὶ συνεργοὺς ἐκείνου τοῦ δυσκλεοῦς Ἀκιβᾶ (ᾧ καὶ αὐτὸς ὁ Ἰουστῖνος, ἔτι νέος, συνεχρόνισε). Καὶ γὰρ 1) οἱ Ἰουδαῖοι (καθὼς αὐτὸς Ἰουστῖνος ἀνωτέρω φησὶν) ἔν τισι μόνον ἔλεγον μὴ ἀληθεύειν τὴν ἑρμηνείαν τῶν Ο· ἡ δὲ τοῦ Ἀκύλα (ὡς ἔξεστιν εἰκάζειν ἐκ τῶν ἀποσωθέντων ἀποσπασμάτων) ἐν πολλοῖς τόποις διέφερε τῆς τῶν Ο. Ἔπειτα 2), ὁ Ἰουστῖνος μέμφεται τοὺς Ἰουδαίους, ὡς παρεξηγοῦντας λέξεών τινῶν τὸ νόημα, οὐχ ὡς ἄλλην ὁλόκληρον ἑρμηνείαν κατασκευάζοντας, νεωτέραν τῶν Ο. 3) Ὁ Ἰουστῖνος ἐφεξῆς ἐπιφέρων καὶ ὅτι ἐξέκοψαν οἱ Ἰουδαῖοι καί τινα χωρία τῶν Ο, ἐν οἷς καὶ περικοπήν τινα τοῦ Ἱερεμίου (ἐροῦμεν δὲ περὶ τούτων ἐν τῷ Δ, βιβλίῳ), προστίθησιν, ὅτι

ὑμῶν τολμᾶτε λέγειν, μηδὲ εἰρῆσθαι ἐν τῇ προφητείᾳ τοῦ Ἠσαΐου *Ἰδοὺ ἡ παρθένος* ἐν γαστρὶ ἕξει » ἀλλ' ἰδοὺ ἡ *νεᾶνις* »·—καί, « Δυνατόν μοι μάχεσθαι πρὸς ὑμᾶς περὶ τῆς λέξεως, ἣν ὑμεῖς ἐξηγεῖσθε λέγοντες εἰρῆσθαι, « ἕως ἂν ἔλθῃ τὰ *ἀποκείμενα αὐτῷ* »· ἐπειδὴ οὐχ' οὕτως ἐξηγήσαντο οἱ Ο, « ἀλλ' *ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται* »—καί, « Οἱ διδάσκαλοι ὑμῶν τολμῶσι λέγειν τὴν ἐξήγησιν τῶν Ο, μὴ εἶναι *ἔν τισιν* ἀληθῆ· ἃ γὰρ ἂν διαῤῥήδην φαίνωνται ἐξελέγχοντα αὐτῶν τὴν ἀνόητον καὶ φίλαυτον γνώμην, ταῦτα τολμῶσι λέγειν μὴ οὕτω γεγράφθαι » κτλ. Ταῦτα ὁ φιλόσοφος μάρτυς ἀπετείνετο πρὸς ὃν εὗρεν ἐν Ἐφέσῳ Τρύφωνα, Παλαιστινὸν ἰουδαῖον *ἐπισημότατον* (Εὐσέβ. Ἐκκλ. ἱς. δ. 18), ὅστις ἐν τῷ τότε (ἐπ' Ἀδριανοῦ) γεγενημένῳ πολέμῳ διαφυγών, διέτριβε συνήθως ἐν Ἑλλάδι καὶ Κορίνθῳ (Ἰουςῖν. αὐτ. προοιμ.). Οὕτω δὲ διαφθείροντες οἱ περὶ τὸν Ἀκύλαν καὶ ἄλλοι τότε ῥαββῖνοι τὴν τῶν Ο, γραφήν, ἣν ὡς αὐθεντικὴν καὶ θεόλεκτον ἀνεγίνωσκον εἰσέτι τότε πανταχοῦ πάντες οἱ ἑλληνίζοντες μυριάριθμοι λαοὶ τῶν ἰδίων αὐτῶν ὁμογενῶν (καθὰ διαῤῥήδην ὁ μάρτυς Ἰουστῖνος μαρτυρεῖ) (α), τίς ἂν ἀπιστήσοι δικαίως, ὅτι παρομοίας τινὰς διαφθορὰς κατετόλμησαν ἑκόντες καὶ εἰς αὐτὸ τὸ καὶ ἄλλως ἤδη πρότερον ὑπὸ τῶν ἀντιγραφέων λελωβημένον ἑβραϊκόν; Τότε δήπου κατὰ τὸν β, αἰῶνα καὶ τὰ περὶ τὴν ἱερὰν τῆς Γραφῆς χρονολογίαν ἐῤῥαδιούργησαν, συντεμόντες τὰ τῶν Πατριαρχῶν ἔτη, καὶ ἄλλα χρόνων διαστήματα (ὡς φανήσεται τρανῶς ἐφεξῆς ἐν ἰδίῳ κεφαλαίῳ), ἵνα ψεύσωσι τὴν κατὰ τὸν ὡρισμένον χρόνον

« πρὸ ὀλίγου χρόνου ταῦτα ἐξέκοψαν, καὶ ἡ περικοπὴ ἔτι ἐστὶν ἐγγεγραμμένη ἔν τισιν ἀντιγράφοις τ ῶ ν ἐ ν σ υ ν α γ ω γ α ῖ ς Ἰ ο υ δ α ί ω ν » (Ἰουστιν. Διαλ. π. Τρύφων. σελ. 174, 178 καὶ σελ. 177 σχόλ. ἐκδ. Venet. 1747). Ὥστε καὶ κατὰ τοὺς Ἰουστίνου χρόνους ἀνεγίνωσκον ἔτι τοὺς Ο ἐν ταῖς συναγωγαῖς οἱ ἑλληνισταὶ Ἰουδαῖοι, μήπω τοῦ Ἀκύλα κεκρατηκότος. Λέγει δ' ἀλλαχοῦ καὶ ῥητῶς ὁ Ἰουστῖνος, ὅτι « αἱ (τῶν Ο) βίβλοι πανταχοῦ παρὰ πᾶσίν εἰσι τοῖς Ἰουδαίοις, ο ἳ κ α ὶ ἀ ν α γ ι ν ώ σ κ ο ν τ ε ς οὐ συνίασι τὰ εἰρημένα » κτλ. (Ἀπολογ. Α, §. 31. σελ. 64)· βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ζ. σελ. 464.

(α) Βλ. καὶ Kennicot Diss. II. p. 354.

παρὰ τοῖς προφήταις προκηρυχθεῖσαν ἐπιφάνειαν τοῦ Μεσσίου Χριστοῦ (ὡς ἂν μή πω τότε δῆθεν τῶν χρόνων πληρωθέντων). Καὶ φαίνεται μὲν ἔξαρχος τοῦ κακουργήματος ὁ προειρημένος Ἀκιβᾶς, ὁ πρῶτος εἰσηγησάμενος τὴν σύνταξιν τοῦ *μεγάλου* λεγομένου παρ᾽ ἰουδαίοις *Χρονικοῦ* (ὡς λέγουσιν οἱ ῥαββῖνοι). Ἀλλὰ τὸ κακούργημα τῆς χρονολογίας ὀψιαίτερον, ἔτεσι περίπου 50 μετὰ τὸν Ἀκιβᾶν, φαίνεται καθόλου κεκρατηκὸς εἰς τὸ κείμενον τὸ ἑβραϊκόν (α). Ὁ Ἐμεσσηνὸς Εὐσέβιος (τῷ 340 μ. Χ.) μαρτυρεῖ, ὅτι ὁ «*Ἑβραῖος* (τὸ ἑβρ. κείμενον)–καὶ ὁ *Σύμμαχος* ἐν ταῖς γενεαλογίαις ἑκατὸν ἔτη ἔλασσον ἀείποτε τιθεῖσι » (β). Ἀκύλα δὲ καὶ τοῦ Θεοδοτίωνος οὐκ ἐμνημόνευσεν ὁ Εὐσέβιος. Ἀλλ᾽ οὐδ᾽ ὁ τοῦ Ἀκύλα σύγχρονος σχεδὸν γενόμενος μάρτυς Ἰουστῖνος ἤλεγξε τὸν Τρύφωνα, ὅτι καὶ τὴν χρονολογίαν διαστρέφουσιν οἱ Ἰουδαῖοι. Καὶ φαίνεται

(α) Παρὰ Montfaucon, Praelimin. p. 54. βλ. καὶ Εὐσέβ. Χρονικ. καὶ Kennicot. l. c. p. 356, 357. — Jackson, Chronol. Antiquit. vol. 1. p. 92, 93, 96.

(β) Ἐν τῷ μεγάλῳ Ἰουδαϊκῷ Χρονικῷ (Seder Olam Rabba) γράφουσιν οἱ ῥαββῖνοι, ὅτι καὶ τοῦτο συνέταξεν ὁ ῥαββὶς Ἰεχουδᾶς, « συναινέσει καὶ διαγνώσει τοῦ Ἀκιβᾶ » (βλ. Pezron. ubi sup. c. 6. p. 419). Ἐκ δὲ τούτων εὐλόγως συνεπέρανεν ὁ Πεζρὼν, ὅτι πρῶτος τῆς γραφικῆς χρονολογίας παραχαράκτης ὑπῆρξεν Ἀκιβᾶς. Ἀλλ᾽ ἐπειδὴ τὸ μὲν περὶ τὴν χρονολογίαν σκευώρημα ἀπέβλεπε τὴν ἀναβολὴν τῶν χρόνων τῆς ἐπιφανείας τοῦ Μεσσίου· αὐτὸς δὲ ὁ Ἀκιβᾶς ἐχειροτόνησε Μεσσίαν, τὸν Βαρχοχέβαν, ταύτην τὴν ἐναντίωσιν θεραπεύων ὁ Πεζρὼν, διορίζει τὰ περὶ τοὺς χρόνους· καὶ πρῶτον μὲν (φησὶν) ἐπεχείρησεν Ἀκιβᾶς διαφθείρειν τὴν χρονολογίαν, ὅπως ἀντιλέγωσι πρὸς τοὺς χριστιανούς· ἔπειτα δὲ, συγκινουμένων τῶν Ἰουδαίων εἰς τὴν ἐπ᾽ Ἀδριανοῦ ἐπανάστασιν, τῷ καιρῷ δουλεύων, παρέλιπε μὲν ἀδημοσίευτον τὴν χρονολογίαν, ἐξέφερε δ᾽ ἐγκαίρως εἰς τὸ μέσον τὸν ἑαυτοῦ Μεσσίαν Βαρχοχέβαν. Ταῦτα ὁ Πεζρὼν (σελ. 423), οὐκ ἀπᾴδοντα λέγων, οὐδ᾽ ἀνοίκεια μηχανοῤῥαφίᾳ κακεντρεχείας Ἰουδαϊκῆς, καὶ ταύτης Ἀκιβαίας. Ἀλλ᾽ ἐπειδὴ τὸ μὲν ῥᾳδιούργημα τῆς χρονολογίας οὔτε παρ᾽ Ἀκύλᾳ φαίνεται, οὔτε παρ᾽ Ἰουστίνῳ (ὡς λέγομεν ἀνωτέρω), καὶ αὐτὸ δὲ τὸ Ἰουδαϊκὸν Χρονικὸν συναινέσει λέγει τοῦ Ἀκιβᾶ τὴν σύνταξιν τῶν χρόνων γενομένην, συνάγεται πιθανώτατον, ὅτι εἰσηγητὴς μὲν καὶ κακοδιδάσκαλος τοῦ μιάσματος Ἀκιβᾶς ἐγένετο πρῶτος πρὸς τοὺς περὶ αὐτὸν μαθητάς· μετέπειτα δὲ, λωφήσαντος ἤδη τοῦ χειμῶνος τῆς ἀποστασίας, οἱ τῆς Ἀκιβᾶ διδασκαλίας ἀπόγονοι ῥαββῖνοι καταφυγόντες ἔν τισι χωρίοις τῆς Παλαιστίνης, διέφθειρον κατὰ μικρὸν τοὺς περισωθέντας ἑβραίους κώδηκας, ἕως μικρῷ πρὸ τοῦ Συμμάχου κατίσχυσεν ἡ διαφθορά.

λοιπὸν, ὅτι ἐν τῷ μεταξὺ Ἀκύλα καὶ Συμμάχου χρονικῷ διαστήματι (τουτ. μεταξὺ τοῦ 130, καὶ 200, π. Χ) διεφθάρησαν περὶ τὴν χρονολογίαν ἐν γένει τὰ ἑβραϊκὰ χειρόγραφα, ἐξ ὧν μετέφρασεν ὁ Σύμμαχος. Ὡς δὲ ἐξεδόθησαν αἱ τρεῖς αὗται ἰουδαϊκαὶ μεταφράσεις, προϊόντος τοῦ χρόνου, ταύταις ἐχρῶντο μάλιστα κατὰ τόπους οἱ ἑλληνίζοντες ἰουδαῖοι, οἷον ἐπὶ τοῦ Εὐσεβίου, κατὰ τὰς ἀρχὰς τοῦ δ, αἰῶνος (καὶ ἴσως κατὰ μέρος ἐν Παλαιστίνῃ), ὡς αὐτὸς Εὐσέβιος μαρτυρεῖ (Εὐαγ. Ἀποδ. Ε, 1. σελ. 133). Ἐπὶ δὲ τοῦ θείου Εἰρηναίου (τῷ 180 μ. Χ.) ἦσαν μὲν αἱ δύω δεδημοσιευμέναι, ἡ τοῦ Ἀκύλα καὶ τοῦ Θεοδοτίωνος, ὧν μέμνηται ὁ Πατὴρ (ϛ, 3), ὡς προείπομεν, ἀλλ' ὅμως ἔτι καὶ τότε ἐν ταῖς Συναγωγαῖς ἐχρῶντο τοῖς Ο, κατὰ τὴν μαρτυρίαν τοῦ συγχρονίσαντος Τερτυλλιανοῦ (α). Ἀλλὰ περὶ τούτων καὶ ἀλλαχοῦ πλατύτερον· ἐτιμᾶτο δὲ μάλιστα παρὰ τοῖς ἑλληνισταῖς Ἰουδαίοις ἡ τοῦ Ἀκύλα (β). Καὶ ἄλλας δέ τινας ἑρμηνείας τῆς Γραφῆς ἐφιλοπόνησαν οἱ Ἰουδαῖοι, ἔτι καὶ πρὸ τοῦ Ὠριγένους, ἃς αὐτὸς οὗτος εὑρὼν, ἐξέδωκεν ἐν τοῖς Ἑξαπλοῖς, τὴν Δ, καὶ τὴν ϛ, καὶ τὴν Ζ, ἔκδοσιν ἐπιγράψας (γ). Διαφέρουσι δὲ καὶ αὗται καὶ πρὸς ἀλλήλας, καὶ πρὸς τοὺς περὶ τὸν Ἀκύλαν ἐν οὐκ ὀλίγοις. Ὅθεν πάλιν καταφαίνεται τῶν κατὰ τὸν β, αἰῶνα ἑβραϊκῶν κωδήκων διάφορος κατὰ τόπους γραφὴ, ἄλλων ἄλλως ἀναγινωσκόντων καὶ ἑρμηνευόντων τὴν ῥῆσιν τὴν αὐτήν. Κατὰ δὲ τῆς ἑρμηνείας τῶν Ο, τοσοῦτον ἔχθος ἐξέῤῥηξαν καὶ ὕστερον οἱ Ἰου-

---

(α) Tertullian. Apolog. c. 18.

(β) Ὠριγέν. π. Ἀφρικαν. Ὅθεν καὶ ὁ ἱερὸς Αὐγουστῖνος « Judaei Aquilam interpretem caeteris anteferunt ». S. Agust. Civit. Dei. XV. c. 23.

(γ) Περὶ τούτων λέγομεν ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς· τοσοῦτον μόνον ἐνταῦθα προσημειώσαντες. Ὅτι ἐν τῇ ϛ, ἑρμηνείᾳ, ἐν Ἀββακοὺμ γ, 13, ἀντὶ τοῦ « ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου· τοῦ σῶσαι τοὺς χριστούς σου » (οἱ Ο. ἄλλ. ἔκδ. τὸν Χριστόν σου, ἢ σὺν τῷ Χριστῷ σου), ἡ ϛ, ἑρμηνεία ἔχει « τοῦ σῶσαι τὸν λαόν σου διὰ Ἰησοῦ τοῦ Χριστοῦ σου (Montfauc. ibid.). Ὅθεν καί τινες τὸν ἑρμηνέα τοῦτον ἐνόμισαν χριστιανόν. Ἀλλὰ μόνον τὸ Ἰησοῦ φαίνεται προστεθειμένον ὕστερον ὑπό τινος ἐξ Ἰουδαίων χριστιανίσαντος· τὰ δ' ἄλλα, καὶ ταύτην τὴν ἑρμηνείαν Ἰουδαῖος ἡρμήνευσε.

δαῖοι, ὥστε καὶ τὴν ἐπ᾽ αὐτῇ διαταχθεῖσαν ὑπὸ τοῦ Φιλαδέλφου, καὶ κατ᾽ αὐτὸν εἰσέτι τὸν πρῶτον μ. Χ. αἰῶνα διαρκοῦσαν ἐν Ἀλεξανδρείᾳ ἐτησίαν ἑορτὴν καὶ πανήγυριν, ἣν καὶ Φίλων ὁ Ἰουδαῖος αὐτὸς πανηγυρίζων ἱστόρησε, καὶ ταύτην, λέγω, τινὲς τῶν μεταγενεστέρων ῥαββίνων διαστρέψαι προσεφιλοτιμήθησαν, συνθέντες ἀντίποδα μῦθον, τὸν ἐπὶ τῇ τῶν Ο μεταφράσει, ὡς ἐπὶ θεομηνίᾳ, γενόμενον δῆθεν ἡλίου σκοτασμόν! διὸ καὶ νηστείαν ἐπ᾽ αὐτῇ κατὰ τὴν 8 τοῦ κατ᾽ αὐτοὺς μηνὸς Τηβὲθ (Δεκεμβρίου) διέταξαν, ἢ καὶ μόνον γοῦν ἐν τοῖς αὐτῶν μηνολογίοις ἐσημείωσαν (α). Καὶ ταῦτα μὲν περὶ τῶν ἑρμηνειῶν ἐπιτομώτερον· ἐπάνιμεν δὲ πάλιν εἰς αὐτὸ τὸ ἑβραϊκόν.

§. κϛ. Τριάκοντα περίπου μετὰ τὸν Σύμμαχον ἐνιαυτοὺς (τῷ 231 μ. Χ.) ὁ Ὠριγένης συνέταττε τὰ περίφημα Ἑξαπλᾶ. Τότε τοίνυν ἐπ᾽ αὐτοῦ τὰ ἑβραϊκὰ ἀντίγραφα πολλὰς εἶχον καὶ ποικίλας πρὸς ἄλληλα διαφορὰς, ὡς αὐτὸς Ὠριγένης ὑποδείκνυσι, ῥητῶς ὀνομάζων *τὰ ἀκριβῆ* τῶν κατ᾽ αὐτὸν ἑβραϊκῶν ἀντιγράφων, ἀντιδιεσταλμένως δηλονότι πρὸς ἄλλα τότε *μὴ ἀκριβῆ* (β).

(α) Βλ. ὄπισθ. Βιβλ. Β. σελ 187 καὶ 333. Ὅτι δὲ τὸν μῦθον τοῦτον ἐχάλκευσαν ὕστερον πολὺ μετὰ τοὺς Ταλμουδικοὺς χρόνους (τῷ 600—700 μ. Χ.), διέλαβεν ἄγαν εὐκρινῶς ὁ κλεινὸς Ὅδιος, ἐξελέγχων τὸν Σκαλίγηρον (Hody, de Bibl. Test. L. III. par. 1. c. 1. p. 218.) καὶ φαίνεται παράδοξον, πῶς περὶ τὰ τέλη τοῦ Β, αἰῶνος διαληρηθεῖσαν ταύτην τὴν νηστείαν ὑπέλαβε καὶ ὁ Jackson, Chronol. Antiquit. T. 1· p. 39. πρβλ. Kennicot. Diss. II, p. 355.

(β) Ἰδοὺ ἡ ῥῆσις τοῦ Ὠριγένους. «Ἔστι δὲ παρ᾽ αὐτοῖς καὶ τὸ ἀνεκφώνητον τετραγράμματον (τὸ Ἰ ε υ ὼ, ἢ Jehovah)· —Κ ύ ρ ι ο ς δὲ τοῦτο παρ᾽ Ἕλλησιν ἐκφωνεῖται, καὶ ἐν τοῖς ἀ κ ρ ι β έ σ ι τ ῶ ν ἀ ν τ ι γ ρ ά φ ω ν, ἑβραϊκοῖς ἀρχαίοις γράμμασι γέγραπται, ἀλλ᾽ οὐχὶ τοῖς νῦν» (Ὠριγέν. ἀποσπάσμ. παρὰ Montfauc. Hexapl. praelim. pag. 86). Τοῦτο τὸ ἀ κ ρ ι β έ σ ι τ ῶ ν ἀ ν τ ι γ ρ ά φ ω ν ἐπὶ τῶν ἑβραϊκῶν ἐξέλαβεν ἀντιγράφων (accuratioribus exemplaribus Hebraeorum) ὁ αὐτὸς Μοντεφαλκώνιος, ἐξηγῶν ἀλλαχοῦ, ὅτι τοῖς τοιούτοις ἐγράφετο γράμμασιν ἀρχαίοις (τοῖς Μωσαϊκοῖς, ἢ Σαμαρειτικοῖς), ἀλλ᾽ οὐχὶ τοῖς μετὰ τὸν Ἔσδραν νεωτέροις ἑβραϊκοῖς· διότι καὶ ὁ Ἔσδρας αὐτὸς, καὶ ἄλλοι, ἀθέμιτον ἐνόμισαν εἴ τις τὸ πανσέβαστον ἐκεῖνο ὄνομα δι᾽ ἄλλων γράφοι γραμμάτων, ἢ δι᾽ ὧν τὸ πρῶτον ἐχαράχθη δακτύλῳ Θεοῦ»· (Montfauc. Palaeograph. p. 120). Ἐπὶ τῶν ἑ β ρ α ϊ κ ῶ ν ἀντιγράφων ἐξέλαβε τὸ Ὠριγένους ἀ κ ρ ι β έ σ ι καὶ ὁ Χισχοῦλλος (Chischull. Antiquit. Asiat.

Τοῦτο παρετήρησε Κεννικῶτος. Καὶ λοιπὸν (συμπεραίνει) τὰ ἐπὶ τοῦ Ὠριγένους ἀκριβέστερα ἑβραϊκὰ ἀντίγραφα ὑπῆρχον ἐξ ἀνάγκης, ἢ ἐπιμελέστερον, ἐξ ἀκριβεστέρων χειρογράφων ἀντιγεγραμμένα, ἢ αὐτὰ γοῦν ἀκριβέστερον διωρθωμένα. Πᾶσα δ' ἀληθὴς διόρθωσις πάντως ὑποτίθησι καὶ ἀληθῆ διαφθοράν. Ἀλλὰ τοῦτο μὲν ἐῶμεν τὸ ἐπιχείρημα, ὡς ἀντιλεγόμενον. Ἐξ ἄλλων δὲ σαφεστάτων ῥήσεων τοῦ Ὠριγένους φαίνονται καὶ αὐτοὶ οἱ τότε Ἰου-

---

p. 29), καὶ ὁ Κεννικῶτος, ὡς εἴδομεν ἀνωτέρω (βλ. Kennicot. Diss. II. p. 150 καὶ 364). Ἀλλ' εἰ χρὴ τὸ παριστάμενον εἰπεῖν, ὁ λόγος παρὰ τῷ Ὠριγένει οὐ μόνον ἑβραϊκὰ σημαίνει ἀντίγραφα, ἀλλὰ καὶ ἑλληνικά (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. θ. § λα. σελ. 596), ἢ καὶ ὅλως ἑλληνικά, καὶ μόνον τοιαῦτα ὁ Ἱερώνυμος ὀρθῶς ἐξεδέξατο (Praef. ad libr. Regum, καὶ ἐν Epist. 136) λέγων, ὅτι « τοῦτ' ἀναγινώσκουσί τινες καὶ ΠΙΠΙ, γράμμασιν ἑλληνικοῖς, ὁμοίοις τῇ μορφῇ τοῦ τετραγραμμάτου » (οὕτω γέγραπται καὶ παρὰ Προκοπίῳ τῷ Γαζαίῳ πολλαχοῦ τῶν εἰς Ἡσαΐαν σχολίων). Ἐπὶ τῶν ἑλληνικῶν ἀντιγράφων ἐξέλαβον τὴν Ὠριγένους ῥῆσιν καὶ ἄλλοι τῶν νεωτέρων ἐπίσημοι, καὶ Γεσένιος (De Pentat. Samarit. p. 11—12). Διατείνεται δὲ οὗτος, ὅτι τὸ τετραγράμματον ὑπῆρχε γεγραμμένον ἐν τοῖς εἰρημένοις ἀπογράφοις γράμμασιν οὐ Σαμαρειτικοῖς, ἀλλ' ἑβραϊκοῖς τετραγώνοις (ὡς ἐγράφοντο τὸ παλαιότερον· ταῦτα γὰρ ὁμοιάζουσι πρὸς τὸ ΠΙΠΙ· τὰ δὲ Σαμαρειτικὰ παρὰ πολὺ διαφέρουσιν)· « ὁ δὲ (φησὶ) χρηστὸς (bonus) Ὠριγένης, μήτε τῆς γλώσσης, μήτε τῆς γραφῆς τῆς ἑβραΐδος εἰδήμων ἀκριβῶς ὤν, ἐξέλαβε τὰ τετράγωνα ἑβραϊκὰ στοιχεῖα ὡς σαμαρειτικά ». — Ἀλλ' ἀδίκως ὁ κλεινὸς Γεσένιος περιφρονεῖ τὸν Ὠριγένην. Ἐπὶ τούτου γάρ, ὡς ἔοικεν, ἐγέγραπτο τὸ ὄνομα διὰ δύω Σαμαρειτικῶν ἰῶτα Jodim ([illegible]), ἃ καὶ μάλιστα παρομοιάζουσι πρὸς τὸ ΠΙΠΙ, καὶ δὴ καὶ πρὸς τὸ τούτῳ παρεμφερὲς ἑβραϊκὸν τετραγράμματον. Οὕτω καὶ οἱ Χαλδαῖοι ἔγραφον τὸ ὄνομα διὰ τριῶν, ἢ καὶ διὰ δύω ἰῶτα (Joda), ὡς ὁ Δρούσιος ἀπέδειξε (βλ. Drusij Tetragrammaton cap. 20, et in Criticorum Sacrorum Tom. VIII. p. 2161, 2171. Londin. 1660 : καὶ Walton. Prol. IV. §. 10). Χαλδαϊκή τις φαίνεται ἡ τοῦ ὀνόματος γραφή, καὶ ἣν διὰ τεσσάρων ἀλλεπαλλήλων μεγάλων ἰῶτα διέγραψε παλαιὸς ἡμέτερος ἀνώνυμος σχολιαστὴς εἰς Ἐξόδ. κη, 38 (βλ. Ὀκτάτευχ. τόμ. α. σελ. 882). Ἐκ τῶν δύω Σαμαρειτικῶν Jodim μεμορφωμένον τὸ ΠΙΠΙ διαβεβαιοῦσι καὶ ὁ Σχλευσήνερος (Schleusn. Thes. Vet. Test. part. 4. p. 340), καὶ Τύξην αὐτὸς (Tychsen, Tentamen etc. p. 159). Τοὺς δ' ἐκ τῆς τοιαύτης ἐν ἑλληνικοῖς ἀντιγράφοις Σαμαρειτικῆς τοῦ ὀνόματος γραφῆς ἐπιχειροῦντας ἀποδεῖξαι τὴν ἑρμηνείαν τῶν Ο ἐκ τοῦ σαμαρειτικοῦ κειμένου γενομένην (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 596) ὀρθῶς ὁ Γεσένιος ψευδομένους ἐξελέγχων, εἶχε καὶ ἄλλας ἱκανὰς ἀποδείξεις ἀντιτάξαι (καθὼς ἀντέταξε), καὶ χωρὶς τοῦ ψευδίσαι καὶ τὸν Ὠριγένην ἅμα καὶ τὸν Ἱερώνυμον.

δαῖοι ὁμολογοῦντες τοὺς ἰδίους αὐτῶν κώδηκας ἔτι καὶ πρὸ τῶν Ὠριγένους χρόνων ἔν τισι παραλλάσσοντας, καὶ ἑπομένως διεφθαρμένους. Ὁ γὰρ Ὠριγένης συνορῶν, ὅτι τὸ ἐν Ψαλμ. γ, 8, ἑβραϊκὸν Lehi (*λεχὶ*, ὡς γράφεται καὶ νῦν παρ' ἑβραίοις) οὐ δύναται σημαίνειν τὸ *ματαίως*, ὡς οἱ Ο, μεθηρμήνευσαν (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 777), ἐπιφέρει. «Εἰκὸς οὖν *τὰ ἀρχαῖα ἀντίγραφα ἑτέρως ἐσχηκέναι*, ΚΑΘΑ ΤΙΝΕΣ ΤΩΝ ΕΒΡΑΙΩΝ ΛΕΓΟΥΣΙ (α). Ταύτην δὲ τὴν ὁμολογίαν οὐκ ἂν ἐξηγόρευσαν πρὸς χριστιανοὺς οἱ τότε Ἰουδαῖοι, εἰ μὴ τὰ κατ' αὐτοὺς ἀντίγραφα ὑπῆρχον ἤδη πασιφανῶς παρηλλαγμένα. Καὶ ἀλλαχοῦ δὲ Ὠριγένης (εἰς Ἱερεμ. ζ, 27) τὸ κατ' αὐτὸν ἑβραϊκὸν θεωρῶν, φαίνεται φρανῶν, ὅτι οἱ Ο οὐχ εὕρηκαν ἐν τῷ τότε κειμένῳ τῷ ἑβραϊκῷ λέξεις τινὰς ἤδη φερομένας ἐν τοῖς κατ' αὐτὸν ἑβραϊκοῖς ἀπογράφοις (β). Ἀλλὰ καὶ ἐν Ὁμιλ. γ εἰς Γένεσ. ἐπιπλήττει τοῖς Ἰουδαίοις, διότι ἀντὶ τοῦ *βραδύγλωσσος* ἐν τοῖς ἑβραϊκοῖς αὐτῶν χειρογράφοις ἔχουσιν «*ἀπερίτμητος χείλεσι*» κτλ. (γ). Ἐν ἄλλῃ δὲ πάλιν εἰς τὴν πρὸς Ῥωμαίους (κεφ. Ι, 20, 21) ἐπιστολὴν ὁμιλίᾳ, διακηρύττει τρανῶς, ὅτι τὴν ἐκεῖ προφητικὴν τοῦ Ἠσαΐου ῥῆσιν ἐξέφερεν ὁ Ἀπόστολος, οὐχ ὡς

(α) Ταῦτα ἐκ τοῦ Ὠριγένους ἔγραψεν Εὐσέβιος (Σχόλ. εἰς Ψαλμ. γ, 9) βλ. καὶ Montfauc. Hexapl. vol. I. p. 476, καὶ Kennicot. Diss. II. p. 365. Ὁ Καπέλλιος καὶ ἄλλοι νομίζουσιν, ὅτι ἐν τῷ τῶν Ο, χειρογράφῳ ἐγράφετο γνησίως ἡ λέξις Lechan, ἢ Lechinan, ὅπερ οἱ Ο «*ματαίως*» ἡρμήνευσαν· τοῦτο δ' ἔπειτα διεφθάρη εἰς τὸ Lehi (ὡς γράφεται καὶ νῦν ἐν τῷ ἑβραϊκῷ) ὃ δηλοῖ *σιαγόνα*, καθὼς Ἀκύλας καὶ Θεοδοτίων καὶ Σύμμαχος μετέφρασαν.

(β) «*Τὸ ὁ βασιλεὺς πενθήσει* (Ἰεζεκ. ζ, 26) *συνήθως ἰςόρηται*» (*ἴσ. γρ. ἠςέρισται*, ὡς ὁ Δρούσιος πιθανώτατα διορθοῖ. Annotat h. l. καθὸ προστεθειμένον *δι' ἀστερίσκου* ἐν τοῖς Ἑξαπλοῖς ἐκ τῶν Θεοδοτίωνος) — «*μὴ εὑρηκότων τότε* (τῶν Ο) ἐν τῷ ἑβραϊκῷ τὴν λέξιν» (ἀρχαῖος Σχολιας. εἰς Ἰεζεκ αὐτόθ. ἐκδ. τοῦ Βατικανοῦ. βλ. καὶ Montfauc. Hexapl. vol. 2. p 279). Ὁ δὲ μακάριος Ἱερώνυμος εἰς μάτην ἄρα ἠπόρει, «τίποτε βουλόμενοι οἱ Ο, τοῦτο τὸ *ὁ βασιλεὺς πενθήσει* παντάπασιν ἀπεσιώπησαν»! Καὶ ἐν ἄλλοις δὲ τοῦτο τὸ κεφάλαιον συγκεχυμένον εὕρηκεν ὁ Πατήρ, παραβάλλων δηλονότι πρὸς τὴν κατ' αὐτὸν *ἀλήθειαν* (!) τοῦ τότε πεπηρωμένου ἑβραϊκοῦ, ὅπου σημειοῖ πολλὰς καὶ τῶν τριῶν ἑρμηνευτῶν πρός τε τοὺς Ο, καὶ πρὸς ἑαυτοὺς διαφοράς.

(γ) Βλ. καὶ Morin. Exercit. Bibl. L. I. Ex. VIII. c. I.

εἶχε (καὶ ὡς ἔχει καὶ νῦν) τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν, ἀλλὰ «*κατὰ τὴν ἀλήθειαν τῶν Ο*» (α). Ὅτι δὲ ὁ Ὠριγένης καὶ ἑκόντας εἶπε τοὺς Ἰουδαίους διαφθεῖραι τὴν ἑβραϊκὴν Γραφὴν (δηλονότι μ. Χ.), ἐξελόντας μάλιστα τὴν Σωσάννης ἱστορίαν («ἣν γεγράφθαι μὲν [φησὶ] προνοίᾳ τοῦ πνεύματος, ὑπεξῃρεῖσθαι δὲ, ὡς ἂν εἴποι τὸ πνεῦμα, ὑπὸ τῶν ἀρχόντων Σοδόμων»), κηρύττει διαπρυσίως ἡ πρὸς Ἀφρικανὸν αὐτοῦ ἐπιστολή. Εἰ δὲ καὶ ἐν τοῖς Ἑξαπλοῖς παραβάλλων τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν καὶ τὰς ἑρμηνείας τῶν τούτῳ συμφωνούντων, καὶ παρὰ τοῖς Ἰουδαίοις ἀποδεκτῶν τριῶν ἑρμηνευτῶν, προσετίθει (ἐκ τοῦ Θεοδοτίωνος) μετὰ ἀστερίσκων τὰ ἐλλείποντα, καὶ πάλιν δι᾽ ὀβελῶν ἐσημείου τὰ πλεονάζοντα ἐν τῷ κειμένῳ τῶν Ο, τοῦτο πεποίηκεν, οὐχὶ διότι γνήσιον ἐν τούτοις τοῖς χωρίοις, καὶ ἀδιάφθορον, καὶ ταυτὸ τοῖς προφητικοῖς ἀρχετύποις ἐθεώρει τὸ ἑβραϊκὸν (πολλοῦ γε καὶ δεῖ!), ἀλλ᾽ αὐτὸς οὗτος διακηρύττει τὴν εὐλογωτάτην αἰτίαν, λέγων· «Ἵνα πρὸς Ἰουδαίους διαλεγόμενοι, προφέρωμεν αὐτοῖς *τὰ προκείμενα ἐν τοῖς ἀντιγράφοις αὐτῶν.*» (ἐπιστολ. π. Ἀφρικαν. §. 5). Ὅθεν ἐν τοῖς Ἑξαπλοῖς ἄγαν πεφεισμένως καθάπτεται τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ. Ἐθάμιζε γὰρ παρ᾽ Ἰουδαίοις, ἵνα τὰ περὶ τοῦ γράμματος τῶν παρ᾽ αὐτοῖς Γραφῶν πληροφορῆται (β). Ἀλλ᾽ εἴπερ (ἐπιφέρει Κεννικῶτος, σελ. 366), εἴπερ καὶ Ὠριγένης ἐδιδάσκετο παρὰ τῶν κατ᾽ αὐτὸν Ἰουδαίων τὴν ἀκριβῆ ἀνάγνωσιν, καὶ τὴν γνησίαν ἔννοιαν τῶν ἑβραϊκῶν φωνῶν, τότε λοιπὸν καὶ εἰς αὐτὰς τὰς Ὠριγένους περὶ τοῦ ἑβραϊκοῦ κειμένου κρίσεις οὐ χωρὶς προφυλακῆς

(α) Βλ. Pezron. l. c. Ch. V. p. 309.

(β) Montfaucon, Praelimin. in Hexapl. pag. 21. *Λέγει δέ που καὶ αὐτὸς Ὠριγένης, ὅτι «ἀνεκοινοῦτο περί τινων λογίων θεοῦ Ἰούλλῳ τῷ πατριάρχῃ, καί τινι τῶν χρηματιζόντων παρ᾽ Ἰουδαίοις σοφῶν, καὶ ἐπυνθάνετο τοῦ παρ᾽ αὐτοῖς δοκοῦντος σοφοῦ»* (Ἀπόσπασμ. παρὰ Montfaucon. l. c. p. 79). *Δράττεται δὲ τούτων καὶ Ἱερώνυμος (μνημονεύων καὶ ἄλλο τι τοιοῦτο τοῦ Ὠριγένους, ἐκ τοῦ 30 εἰς τὸν Ἡσαΐαν τόμου), καὶ ἐπιφέρει. «Οὕτως Ὠριγένης ἑρμηνεύων τὴν ἑβραίαν Γραφὴν, οὐκ ἀπηξίου καὶ ἃ τοῖς Ἑβραίοις δοκεῖ κατὰ τόπους καταχωρίζειν».* S. Hieron. Apolog. adv. Rufin. Lib. II.

προσιτέον, ἅτε διδαχθείσας ὑπὸ τῶν τότε περὶ τὴν ἑβραΐδα γλῶσσαν ἀτελεστάτων ῥαββίνων (ὃ συνέβη μετὰ ταῦτα μάλιστα περὶ τὸν μακάριον Ἱερώνυμον) (α).

§. κζ. Ἀλλὰ περὶ μὲν τῆς ὑπ' Ὠριγένους ἐκδόσεως τῆς ἑρμηνείας τῶν Ο, διαληψόμεθα τὰ εἰκότα ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ἤδη δὲ δύω τινὰ προστιθέμεθα (ἃ καὶ Κεννικῶτος ὀρθῶς ἐσημείωσε) (β).

(α) Ὀλίγην ἐμπειρίαν τῆς ἑβραϊκῆς ἔχοντα θέλουσι τὸν Ὠριγένην οἱ περὶ τὸν Ὑέτιον (Origenianor. II. c. 1. βλ. καὶ Gesenij De Pentat. Samar. p. 12). Ὁ δὲ Κλέρικος μηδ' ἀναγινώσκειν ἑβραϊστὶ μαθεῖν αὐτὸν διατείνεται, φέρων εἰς ἀπόδειξιν ῥῆσίν τινα τοῦ Ὠριγένους, ἥτις ἄλλο τι μᾶλλον (ὡς ὀψόμεθ' ἐφεξῆς), ἢ ἀμάθειαν ἐμφαίνει ἐν τῷ κατὰ Κέλσ. Α (σελ. 352 Τόμ. α. ἐκδ. De la Rue). Ἀλλ' ὁ Εὐσέβιος ἱστόρησε ῥητῶς τὸν Ὠριγένην « τὴν ἑβραΐδα γλῶσσαν ἐκμαθεῖν, τάς τε παρὰ τοῖς Ἰουδαίοις ἐμφερομένας πρωτοτύπους αὐτοῖς ἑβραίων στοιχείοις γραφὰς, κτῆμα ἴδιον ποιήσασθαι » (Ἐκκλ. ἱστορ. ς, 16)· καὶ ὁ Ἱερώνυμος θαυμάζει τὸν Ὠριγένην, ὡς ἐν ὀλίγῳ χρόνῳ νενικηκότα τὰς δυσχερείας τῆς ἑβραΐδος γλώσσης, διὸ καὶ ὑπὸ πάσης τῆς Ἑλλάδος ἐθαυμάσθη (S. Hieron. Epist. ad Paulam, καὶ ἐν Catalog. Script. Eccles.). Ταῦτα περὶ τούτου μαρτυροῦσι δύο μάρτυρες πολλῶν Κλερίκων ἀξιοπιστότεροι καὶ ἄλλως, καὶ ὡς Ὠριγένους πλησιέστατοι· συνομολογοῦσι δὲ καὶ δεινοὶ τῶν νεωτέρων ἑβραϊσταὶ, οἷος ὁ Buxtorf. de puncto Antiqu. L. I. c. 11, καὶ ὁ Simon. Disquit. Crit. c. 9. κτλ.). Ἠπίστατο λοιπὸν Ὠριγένης τὰ ἑβραϊκὰ, ὅσον καὶ οἱ τότε διδάσκαλοι αὐτοῦ ἑβραῖοι, καὶ ἴσως παρὰ πολλοὺς ἐξ αὐτῶν τελειότερον. Ἐπειδὴ δὲ περὶ τούτου ὁ λόγος, ἐρείσθω μοι μνημονεῦσαι καί τινος παρεξηγήσεως χωρίου τινὸς τοῦ Ὠριγένους ἐκ τῆς πρὸς Ἀφρικανὸν ἐπιστολῆς (§. δ), ὅπερ ἐξ ἀπροσεξίας εἰς ἄλλην οὐκ ἀληθινὴν ἔννοιαν παρά τισιν ἐξελήφθη. Λέγει τοίνυν Ὠριγένης ταῦτα. « Ὥρα τοίνυν ἀθετεῖν τὰ ἐν ταῖς Ἐκκλησίαις φερόμενα ἀντίγραφα, καὶ νομοθετῆσαι τῇ ἀδελφότητι, ἀποθέσθαι μὲν τὰς παρ' αὐτοῖς ἐπιφερομένας ἱερὰς βίβλους, κολακεύειν δὲ Ἰουδαίους, καὶ πείθειν, ἵνα μεταδῶσιν ἡμῖν τῶν καθαρῶν καὶ μηδὲν πλάσμα ἐχόντων »! Ταῦτα δὲ προφανῶς ἔλεγεν Ὠριγένης, χλευαστικώτερον ἐπιχειρῶν διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, καὶ καταμωκώμενος τοῦ Ἀφρικανοῦ, πλάσμα λέγοντος τὴν παρὰ τοῖς Ο, ἱστορίαν τῆς Σωσάννης (διότι οὐχ εὑρίσκετο ἐν τοῖς κατ' αὐτὸν ἰουδαϊκοῖς βιβλίοις), ὅπως δηλαδὴ συμπεράνῃ τὸ ἐναντίον· ὅτι « οὐ χρὴ τὰ ἐν ταῖς ἐκκλησίαις ἀντίγραφα (τῆς ἑρμηνείας τῶν Ο) ἀθετεῖν, καὶ κολακεύειν Ἰουδαίους »! κτλ. Ἀλλ' ἐκ τούτων προσέξαντές τινες εἰς μόνα τὰ ὕστερα (« καὶ κολακεύειν Ἰουδαίους » κτλ.), ἐνόμισαν, ὅτι « ταῦτα δῆθεν περὶ ἑαυτοῦ λέγει Ὠριγένης, καὶ ὅτι ἐκολάκευε τοὺς Ἰουδαίους, ὅπως κτήσηται παρ' αὐτῶν καθαρὰ ἀντίγραφα »! (βλ. Kennicot Diss. II. p. 415).

(β) Kennicot Diss. II. p. 368, 373.

α) Ὅτι τὸ κείμενον τὸ ἑβραϊκὸν, ὃ προσέθηκεν Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς, ὑπῆρχε πάντως ἐξ ὧν εἶχον οἱ τότε Ἰουδαῖοι *ἀκριβεστάτων καὶ πάνυ διωρθωμένων κωδήκων*· καὶ τοῦτο δὴ κατέστη κανὼν καὶ κριτήριον, πρὸς ὃ παρεβάλλοντο ἥ τε τῶν Ο, καὶ αἱ τῶν μ. Χ. ἑρμηνευτῶν ἑλληνικαὶ μεταφράσεις. Ἐπειδὴ δὲ καὶ τὸ κείμενον τοῦτο ὑπῆρχεν ἐν πολλοῖς πεπηρωμένον, καὶ παρηλλαγμένον (ὁποῖον ἀπέβη μάλιστα μετὰ τὴν Ἱεροσολύμων ἅλωσιν), πρὸς ἄδικον λοιπὸν, ἢ καὶ παντελῶς ἀκατάλληλον δικαστήριον ἐκρίνετο, ἡ δι' ὅλων 500 ἐτῶν Ὠριγένους πρότερον ἐξ ἄλλου κώδηκος γενομένη ἑρμηνεία τῶν Ο. Καὶ ἑπομένως, ἄθεσμον καὶ παράνομον ἐξέδωκαν γνώμην, ὅσοι κατεψήφισαν τὴν ἑρμηνείαν τῶν Ο ὡς διεφθαρμένην, διὰ τοῦτο καὶ μόνον, διότι οὐ συμφωνεῖ πρὸς τὸ νεώτερον τοῦτο κείμενον τὸ ἑβραϊκόν.

β) Ὁ θαυμάσιος Ὠριγένης, *δουλεύων* καὶ αὐτὸς (ὡς εἶπε περὶ τοῦ Ἀκύλα) *τῇ ἑβραϊκῇ λέξει* (καίτοι κατ' ἀνάγκην, χάριν τῶν ἰουδαϊκῶν ἀντιλογιῶν), προσέγραψε μεταξὺ τοῦ κειμένου τῶν Ο τὰς ἐκ τοῦ Θεοδοτίωνος προσθήκας, ὡς συμφώνους *περὶ τὰ καθόλου* πρὸς τὸ τότε κείμενον τῶν κατ' αὐτὸν *ἑβραϊκῶν κωδήκων*, (ἐξ ὧν αὐτός τε ὁ Θεοδοτίων, καὶ Σύμμαχος, καὶ Ἀκύλας ἡρμήνευσαν)· ὥστε οὐδὲ πρὸς τὰς τρεῖς ταύτας ἑρμηνείας οἱ Ο, κρινόμενοι, κρίνοιντ' ἂν δικαίως καὶ καταλλήλως.

§. κη. Ζημίαν μεγάλην καὶ ἀθεράπευτον κρίνουσιν οἱ φιλολόγοι τὸν ἀφανισμὸν τῶν Ὠριγένους Ἑξαπλῶν (ἀπολεσθέντων πιθανῶς τῷ 600 μ. Χ., ἁλούσης ὑπὸ τῶν Ἀράβων τῆς ἐν Παλαιστίνῃ Καισαρείας, ὅπου διετηροῦντο). Ὀλίγα δὲ τούτων ἀποσπασμάτια διεσώθησαν, ἅπερ, ἐξ ὧν πρῶτος Πέτρος ὁ Μορῖνος, εἶτα δὲ καὶ Νοβίλιος, καὶ Δρούσιος ἀπηνθίσαντο, καὶ ἐξ ἄλλων δὲ συγγραφέων ἐρανισάμενος ἐξέδωκεν ὁ σοφὸς Μοντεφαλκώνιος, καίτοι πολλαχοῦ συμπεφυρμένα (πολλῷ δ' ἀμελέστερον αὐτὰ καὶ Βάρδιτος (Bahrdt) ὕστερον ἐξέδωκε, τῷ 1769) (α). Εἰ δὲ περιήρχοντο σῷα καὶ εἰς ἡμᾶς

(α) Ὁ δὲ Οὐαλκενῆρος καὶ δριμύτερον καθήψατο τῆς ὑπὸ Μοντεφαλκωνίου τῶν Ἑξαπλῶν ἐκδόσεως, Αὐγείου κόπρῳ παραβαλὼν τὸ πολλαχοῦ συμπε-

ἐκεῖνα τὰ μεγάτιμα τῆς οὐχ ἧττον ἐκκλησιαστικῆς, ἢ γλωσσηματικῆς φιλολογίας κειμήλια, μάλιςʼ ἂν συνέβαλλον εἰς τὴν ἱστορίαν τοῦ ἑβραϊκοῦ κειμένου· ἅμα δὲ καὶ κριτήριον καθίσταντο δικαιότατον, ἐξελέγχον ἐναργῶς, οὐχὶ τὰς κατὰ μέρος (ὡς γίνεται τὴν σήμερον), ἀλλὰ πάσας ἐν γένει τὰς ἀλλοιώσεις, ὅσας πάλιν ἔπαθεν ὁ κώδηξ ὁ ἑβραϊκὸς ἀπὸ τῶν Ἀκύλα καὶ τῶν Ὠριγένους χρόνων μέχρις Ἱερωνύμου, κἀντεῦθεν πάλιν ἄχρι τῶν Μασοριτῶν, καὶ τῆς καθʼ ἡμᾶς καταστάσεως αὐτοῦ (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιϐ σελ. 812). Ὅσα γὰρ Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς εἰς τὸ τῶν Ο, κείμενον ἐκ τοῦ Θεοδοτίωνος προσετίθει (ὡς ἂν τότε λείποντα ἐκ τῶν Ο), καὶ ὅσα πάλιν ὠβέλιζεν (ὡς μὴ κείμενα ἐν τῷ τότε ἑβραϊκῷ), ταῦτα πάντα παραβαλλόμενα πρός τε τὸ τῶν Ἑξαπλῶν ἑβραϊκὸν, καὶ πρὸς ὅ μετέπειτα μεθηρμήνευσεν ὁ Ἱερώνυμος, καὶ πρὸς τὸ καθʼ ἡμᾶς ὁμοίως, ῥᾷστα ἂν κατεδείκνυον, πόσαι λέξεις καὶ χωρία προσετέθησαν ἐν τῷ ἑβραϊκῷ, ἤ, τʼ ἀνάπαλιν, ἐξέπεσαν ἔκτοτε μέχρι σήμερον. Ἀλλὰ καὶ αὐτῶν τῶν Χαλδαϊκῶν παραφράσεων ἐξηλέγχοντʼ ἂν αἱ παραφθοραί. Καὶ τοὺς ἑβραϊστὰς δὲ φιλολόγους πολλῶν ἂν ἀπήλλαττε πραγμάτων ὁ Ὠριγένης, μανθάνοντας παρʼ αὐτοῦ, πῶς ποτε καὶ ἔγραφον, καὶ ἀνεγίνωσκον, καὶ ἡρμήνευον ἐν τοῖς τότε χρόνοις οἱ Ἰουδαῖοι τὰ ἑβραϊκά. Τότε δὲ πάντως καὶ αὐτὸ τὸ τῶν Ο, κείμενον (ἀπαράτρωτον ἐν τῇ ἐκκλησίᾳ περισωθὲν) οὐκ ἂν οὕτως ἀνέδην ὑπὸ τῆς κριτικῆς δριμύτητος ἐσυκοφαντεῖτο, ὡς πολλὰς δὴ παθὸν μεταβολὰς καὶ συγχύσεις ἀπὸ τῶν Ὠριγένους χρόνων καὶ ἐφεξῆς. Νῦν δʼ ἀπὸ μικρῶν λειψάνων τῶν Ἑξαπλῶν (ἐν οἷς

φυρμένον καὶ δυσκαθάριστον τῆς συλλογῆς. «Augiae stabulo, ab iis qui hoc tentare saltem debebant, non expurgando» (Valken. adnot. in Adoniaz. p. 328). Ἐξέδωκε δὲ (τῷ 1777) καὶ ὁ Doederlein λείψανά τινα τούτων τῶν ἑρμηνειῶν, ὅσα ἐκ τῆς βίβλου τῶν Κριτῶν καὶ τῶν Ἱερεμίου θρήνων καὶ προφητειῶν μνημονεύονται παρὰ τοῖς ἱεροῖς πατράσι. Καὶ ὁ Matthaei πάλιν (τῷ 1779) ἄλλας ἀναγνώσεις ἔκ τινος ἐν Μόσχᾳ σωζομένου παλαιοῦ κώδηκος τῆς Γενέσεως καὶ μέρους τῆς Ἐξόδου, καὶ ἄλλοι ἄλλας. βλ. Eichhorn. Repert. vol. I. p. 217—256.; II, p. 504: IV. 257—278. XVI. 249. καὶ Rosenmüller, Handbuch f. d. Literatur etc. 2. Bd. p. 459—469.

καὶ τὰ κριτικὰ σημεῖα τοῦ Ὠριγένους διετηρήθησαν ὁπωσδήποτε), ὀλίγα καὶ σμικρὰ φέρονται δείγματα τῆς διαφθορᾶς οὐ μόνον τοῦ καθ' ἡμᾶς ἤδη φερομένου, ἀλλὰ καὶ τοῦ κατ' αὐτὸν τὸν Ὠριγένην ἑβραϊκοῦ. Αὐτίκα, ἐν ἀρχαίῳ Συριακῷ χειρογράφῳ περιέχοντι Συριακὴν ἑρμηνείαν τοῦ τῶν Ο κειμένου τοῦ ἐν τοῖς Ἑξαπλοῖς, σῴζονται καὶ τὰ κριτικὰ τοῦ Ὠριγένους σημεῖα (α). Ἐν τούτῳ τοίνυν τῷ Συριακῷ ἀπογράφῳ καταφαίνεται, ὅτι ὁλόκληροι οἱ δύω περίφημοι ἐκεῖνοι στίχοι τοῦ Ἰησοῦ (κα, 36, 37) ἔλειπον ἐκ τοῦ ἑβραϊκοῦ κειμένου τῶν Ἑξαπλῶν (ὡς λείπουσι καὶ νῦν ἐκ πολλῶν ἐκδόσεων καὶ χειρογράφων τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ· κατέκρινε δὲ τούτους καὶ ἡ Μάσορα). Ἐν γὰρ τῇ τῶν Ο, μεταφράσει ὑπῆρχον ὑπὸ τοῦ Ὠριγένους σεσημειωμένοι διὰ τοῦ ὀβελοῦ. Ἐπειδὴ δὲ οἱ ςίχοι οὗτοι κεῖνται ἐν ταῖς πλείσταις τῶν ἀρχαίων ἑρμηνειῶν, κἀν τῇ Χαλδαϊκῇ παραφράσει (καὶ ἐν οὐκ ὀλίγοις ἄλλοις πάλιν χειρογράφοις ἑβραϊκοῖς), ἄρα τὸ ἐν τοῖς Ἑξαπλοῖς ἑβραϊκὸν ἐκεκολόβωτο τοὺς στίχους τούτους πρὸ τοῦ Ὠριγένους, καὶ πιθανώτατα περὶ τὸν β, αἰῶνα (β). Πρὸς τούτῳ τῷ μακρᾶς ἐλλείψεως, ἢ πηρώσεως παραδείγματι, προστεθείσθω καὶ ἄλλο δεῖγμα παρεμ-

---

(α) Ἐκ ταύτης τῆς Συριακῆς Ἑξαπλαίας ἑρμηνείας τῶν Ο, ἐξέδωκεν ὁ Μάσιος ἐκλατινίσας τὸ βιβλίον τοῦ Ἰησοῦ. Καὶ τοῦτο μὲν τὸ κατὰ Μάσιον Συριακὸν χειρόγραφον ἐξηφάνισται ἐκ τοῦ κόσμου (Kennic. Diss. 11· p. 375)· περιεῖχε δὲ τὴν Πεντάτευχον, Ἰησοῦν, Κριτὰς, Ρούθ, τὰς Βασιλείας, τὰ Παραλειπόμενα, Ἔσδραν Ἐσθὴρ, Ἰουδεὶθ, Τωβίτ. Σῴζονται δὲ ὅμως ἄλλα δυω χειρόγραφα τῆς Συριακῆς ταύτης ἑρμηνείας τῶν ἐν τοῖς Ἑξαπλοῖς Ο, τὸ μὲν ἐν τῇ Παρισίων βιβλιοθήκῃ, τὸ δ' ἐν τῇ Ἀμβροσιανῇ τῶν Μεδιολάνων, ὃ περιέχει τοὺς ρνα ψαλμοὺς, Ἰὼβ, Παροιμ. Ἐκκλησιαςὴν, Ἆσμα Ἀσμ. Σοφ. Σολομ. τοὺς Δ μεγάλους Προφήτας, τοὺς ΙΒ, τὸν Σειράχ. Ἔχει δὲ καὶ τὰ κριτικὰ σημεῖα τοῦ Ὠριγένους, ὡς καὶ τὸ Μασιανόν. Ἀμφότεροι οὗτοι οἱ κώδηκες ἡρμηνεύθησαν ἐξ ὧν Εὐσέβιος καὶ Πάμφιλος ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν καὶ Τετραπλῶν ἐξέδωκεν ἀντιγράφων τῶν Ο. Ὁ Ἀμβροσιανὸς φέρει καὶ τὸ ἔτος καθ' ὃ γέγραπται, τῷ 617. μ. Χ. καὶ ὁ Μασιανὸς ἐγέγραπτο τῷ 616. Ὥστε ἀμφότερα τὰ χειρόγραφα συναπήρτιζον μίαν καὶ τὴν αὐτὴν Συριακὴν ἑρμηνείαν τοῦ ἐν τοῖς Ἑξαπλοῖς κειμένου τῶν Ο. βλ. Eichhorn Einleit. 2. Bd. p. 181. Βλ. καὶ Plüschke, De Psalter. Syriaci à Bugato editi etc. p. 46 : ὅπου σεσημείωται καὶ ὅτι ὁ Σύρος μεταγραφεὺς ἐσφάλη πολλαχοῦ περὶ τὴν θέσιν τῶν κριτικῶν Ὠριγένους σημείων.

(β) Kennicot, Diss. II. p. 377. πρβλ. Houbigant. Not. Crit. in Josua I.

ποιήσεως, ἢ διασκευῆς, τὸ ἐν Ψαλμ. ιζ, 12. « *χάλαζα καὶ ἄνθρακες πυρὸς* », ὃ παρὰ μὲν τοῖς Ο κεῖται μόνον ἐν τῷ σεσημειωμένῳ στίχῳ (τῷ 12) καθ' ὅλους τοὺς ἡμετέρους κώδηκας. Ἐν δὲ τοῖς καθ' ἡμᾶς ἑβραίοις ἀντιγράφοις, κἀν τῷ κοινῶς ἤδη παραδεδεγμένῳ κειμένῳ τῷ ἑβραϊκῷ, κεῖται δὶς, ἐν ἀμφοτέροις τοῖς τοῦ Ψαλμοῦ γείτοσι ςίχοις (13, καὶ 14). Οὕτως ἔκειτο καὶ ἐν τῷ ἑβραϊκῷ τῶν Ἑξαπλῶν, καὶ ἐν τῇ παρακειμένῃ τοῦ Θεοδοτίωνος ἑρμηνείᾳ· ὅθεν προσεγέγραπτο καὶ τῇ τῶν Ο, δι' ἀστερίσκου, ὡς μαρτυρεῖ σαφῶς ὁ Ἱερώνυμος (α). Ἐπειδὴ δὲ ἡ προσθήκη αὕτη πολλαχῶς ἐξελέγχεται νόθος ἀναδίπλωσις τῶν λέξεων (ἐπαναληφθεισῶν καὶ δεύτερον ὑπὸ τῆς πλάνης τῶν ἀντιγράφεων) (β), φαίνεται λοιπὸν κἀντεῦθεν τὸ τῶν Ἑξαπλῶν *ἑβραϊκὸν* (ὡς καὶ τὸ ἐξ οὗ Θεοδοτίων, καὶ αὐτὸς Ἀκύλας, καὶ ὁ Σύμμαχος ἡρμήνευσαν), διεσκευασμένον ἐν τῷ μεταξὺ τοῦ α, καὶ β, αἰῶνος τελευτῶντος. Τοιοῦτο ὑπῆρχεν ἐν τούτοις καὶ τὸ ἐξ οὗ μετέφρασεν ὕστερον ὁ Ἱερώνυμος (ἔχει δὲ καὶ ἡ Βουλγάτα τὴν προσθήκην). Εἰ δὲ καὶ τὸ τῶν Ἑξαπλῶν ἑβραϊκὸν, καὶ τὸ, καθ' ὃ γεγόνασιν

---

c.—De Rossi, Variae Lection. V. Test. vol. 2. p. 96—106.—Schulz Schol. in Josua l. c.

(α) «Quaeritis, cur Graecus istum versiculum secundo non habeat. Sciendum, quia de Hebraico, et de T h e o d o t i o n i s editione, in LXX interpretibus sub asterisco additum sit». S. Hieronym. ad Suniam et Fretel. (Tom. 2. p. 623). Ὁ δὲ Κεννικῶτος (ubi supra, pag. 377) *πάντῃ περιττῶς, ἴσως, κρίνει διορθωτέον τὸ τοῦ Ἱερών. Θ ε ο δ ο τ ί ω ν ο ς εἰς τὸ Σ υ μ μ ά χ ο υ. Ἐν τοῖς Ἑξαπλοῖς τοῦ Μοντεφαλκωνίου* (vol. 1. p. 495, 497) *σημειοῦνται καὶ οἱ τρεῖς,* Α. Σ. Θ. *ὡς σύμφωνοι τῷ ἑβραίῳ. Κἀκεῖνο δὲ προσθετέον· ὅτι εὑρίσκονται ἔστιν ὅτε, ὡς ἐκ τῶν Ἑξαπλῶν, λέξεις τινὲς δι' ἀστερίσκων προστεθειμέναι τοῖς Ο, αἵτινες οὐχ ὑπάρχουσιν ἐν τῷ νῦν ἑβραϊκῷ. Οὕτως ἐν Ἱερεμ. Θρήν. γ,* 5 *πρὸς τῷ «ἀ ν ῳ κ ο δ ό μ η σ ε κ α τ' ἐ μ ο ῦ » (προσγέγραπται δι' ἀστερίσκου) * ἐ ν μ α ρ μ ά ρ ῳ »· τοῦτο δὲ λείπει ἐκ τοῦ ἑβραϊκοῦ. Λέγει δὲ καὶ Σχόλιον ἀρχαῖον εἰς Ἱερεμ. ν,* 49· *«Δεῖ εἰδέναι, ὡς ἔν τισιν ἀντιγράφοις ταῦτα (τὰ ἀπὸ ςχ.* 45—49) *μετὰ ἀστερίσκων κεῖνται· ο ὐ κ α λ ῶ ς » (βλ.* Montfauc. Hexapl. T. 2. p. 261 καὶ 266).

(β) Βλ. τὸ παράλληλον χωρίον ἐν Β. Βασιλ. κβ. 14. πρβλ. Kennicot l. c. p. 377. Houbigant, not. critic. in l. c.—De Rossi, Var. Lection. vol. 4. p. 11 (ὅπου παρατίθησι καὶ 5, ἑβραϊκὰ χειρόγραφα ἅπαξ ἔχοντα τὰς λέξεις, ὡς οἱ Ο).—Rosenmüll. Shol. in Psalm. l. c. κτλ.

αἱ προσκείμεναι ἑρμηνεῖαι τῶν λοιπῶν μ. Χ. ἑρμηνευτῶν, καὶ αὐτὸ δὲ τὸ τοῦ Ἱερωνύμου, ἐν τούτῳ μὲν τῷ τόπῳ ἐξελέγχονται διεσκευασμένα, ἐν δὲ τῷ ἀνωτέρῳ πεπηρωμένα, τίς ἐγγυᾶται, ὅτι οὐκ εἶχον καὶ ἐν ἄλλοις χωρίοις τοιαύτας διαφθοράς; (ὀψόμεθα δὲ πάλιν καὶ ἄλλα τινὰ δείγματα παρόμοια καὶ ἐν τοῖς ἐφεξῆς). Πῶς λοιπὸν ἡ νεωτέρα κριτικὴ καταδικάζει τὸ τῶν Ο, κείμενον ὡς διεφθαρμένον, καὶ ὁσάκις τοῦτο παραβάλλει πρὸς τὰ σύμφωνα τῷ νῦν ἑβραϊκῷ σωζόμενα χωρία τῶν Ἑξαπλῶν ἑρμηνειῶν, ὡς ἂν εἴπερ ἦσαν ταῦτα κύριον ἐν πᾶσι καὶ ἀσφαλὲς καὶ ἀλάνθαστον κριτήριον; καὶ ταῦτα μὲν τοιαῦτα.

§. κθ. Τὰ δ' οὖν Ὠριγένους περιώνυμα Ἑξαπλᾶ μετὰ τὴν αὐτοῦ τελευτὴν (τῷ 254 μ. Χ.) ἀπέμειναν (ὡς προείπομεν) ἐν τῇ τῆς Καισαρείας βιβλιοθήκῃ λανθάνοντα, καὶ ὀλιγάκις ἀντιγραφόμενα διὰ τὸν ὑπερμεγέθη καὶ πολυδάπανον ὄγκον (εἴ γε συναπήρτιζον τόμους μεγάλους ὅλους *πεντήκοντα*, κατὰ τὸν Μοντεφαλκώνιον, σελ. 73) (α). Μετὰ δὲ πεντήκοντα περίπου ἐνιαυτοὺς (305 μ. Χ.) οἱ περὶ τὸν ἱερομάρτυρα Πάμφιλον, καὶ τὸν τούτου φίλον Εὐσέβιον ἐξέδωκαν ἐξ αὐτῶν μόνην τὴν ἑρμηνείαν τῶν Ο (δι' ἣν καὶ τὸ ὅλον ἐπεχείρησεν ἔργον ὁ ἀδαμάντινος Ὠριγένης)

(α) «Quæ Ἑξαπλᾶ et sumptu magno et labore maximo indigent». (S. Hieron. Praef. in Jos). καὶ «Magnorum sumptuum est et infinitae difficultatis exemplaria posse habere omnia: deinde etiam qui habuerint, et hebraei sermonis ignari sunt, magis errabunt» (Praef. in Esdram). Οὕτως *ὁ μακάριος Ἱερώνυμος ἀνακηρύττει τὰς μεγίστας δυσχερείας, τὰς εἰς ἀντιγραφὴν τῶν Ἑξαπλῶν, προστιθεὶς καὶ ὅτι πλάνης ἂν ἐγένοντο παραίτια ταῦτα τοῖς μὴ ἐπισταμένοις τὰ ἑβραϊκά. Ὅσα δὲ πάλιν καὶ οἷα πέπονθεν ἡ ἐν ᾗ διετηροῦντο πόλις τῆς Καισαρείας πρῶτον ὑπὸ τοῦ Χοσρόου, μετὰ δὲ ταῦτα καὶ ὑπὸ τῶν εἰσβαλόντων Ἀράβων ἁλοῦσα, γνωστὰ ἐκ τῆς ἱστορίας· καὶ ὅμως Γαβριὴλ ὁ Φαβρίκυς μετὰ τοῦ συναδελφοῦ αὐτοῦ Ἀββᾶ Δυγυέτου ἐπιπλήττει τοὺς Ἕλληνας (ἑπομένως δὲ καὶ τὸν μακάριον Ἱερώνυμον) «μὴ δυνάμενος ὡς (φησὶν) ἀξίως καταβοᾷν τῆς αὐτῶν ἀμελείας, διότι οὐκ ἐφρόντισαν διαφυλάξαι τοῦτον τὸν θησαυρόν»* !! βλ. G. Fabricy, Des titres primitifs de la Révélation. T. 2. p. 41. καὶ Du — Guet, Conferances Ecclesiast. Diss. 12. pag. 216· πρβλ. καὶ Walton. Proleg. IV. §. 13.

μετὰ τῶν κριτικῶν σημείων καθωπλισμένην. Ἄλλην ἔκδοσιν τῆς *Κοινῆς*, καὶ συνήθως ἐν ταῖς ἐκκλησίαις ἀναγινωσκομένης ἑρμηνείας τῶν Ο, ἐξέδωκεν ἐν Ἀντιοχείᾳ ὁ ἱερομάρτυς Λουκιανὸς (περὶ τὸ 310 μ. Χ.), παραβαλὼν καὶ οὗτος τὰ ἀντίγραφα πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκόν. Τότε δὲ περίπου καὶ ὁ ἱερομάρτυς Ἡσύχιος ἐξέδωκεν ἄλλην ἔκδοσιν ὡσαύτως τῶν Ο ἐν Ἀλεξανδρείᾳ. Ἀλλὰ περὶ τούτων τῶν ἐκδόσεων λέγομεν πλατύτερον ἐν τῷ ἐφεξῆς Δ, βιβλίῳ.

ΠΕΡΙΟΔΟΣ Δ'.

Ἀπὸ τοῦ 400 μέχρι τοῦ 700 μ. Χ.

§. λ. Τελευτῶντος ἤδη τοῦ Δ, αἰῶνος, καὶ τοῦ πέμπτου ἀρχομένου (τῷ 407 μ. Χ.), ἐξέδωκε συντελέσας ὁ μακάριος Ἱερώνυμος, ἣν πρὸ ἑπτακαίδεκα ἐτῶν (τῷ 390) εἶχεν ἐπιχειρήσας ἐκ τοῦ ἑβραϊκοῦ λατινικὴν ἑρμηνείαν πάσης σχεδὸν τῆς παλαιᾶς Γραφῆς. Διότι (ὡς λέγει πρὸς τὸν Χρωμάτιον) τὴν ἑρμηνείαν τῶν Ο, οὐκέτι καθαρὰν εὕρισκε, καὶ ἀναλλοίωτον ἀκριβῶς, ὡς ὑπ' ἐκείνων ἑλληνιστὶ μετεφράσθη (α). Καὶ τοῦτο μὲν ἄπορον εἶπεν ὁ ἱερὸς πατήρ, καὶ παράδοξον· καθότι ἐπ' αὐτοῦ ἐσῴζετο ἡ ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς ἔκδοσις τῶν Ο, ἣν καὶ εἶδε πολλάκις, καὶ ἀνέγνω, καὶ τρανῷ τῷ στόματι « *ἀδιάφθορον καὶ ἀκηλίδωτον* » ἀνεκήρυξε! (β). Καὶ ἄλλην δὲ προστίθησιν αἰτίαν τῆς κατ' αὐτὸν ἑρμηνείας, «ἵνα γνωρίζωσι (φησὶν) οἱ ἡμέτεροι ὅ,τι ποτὲ ἡ ἑβραία ἀλήθεια περιέχει» (γ). Καὶ τότε γὰρ ἀνθίσταντο πρὸς τὰς τῶν χριστιανῶν

(α) « Si LXX interpretum pura, et ut ab eis in Graecum versa est, editio permaneret, superflue me, mi Chromati, impelleres, ut hebraea volumina latino sermone transferem». S. Hieronym. Praef. ad Libr. Chronic.

(β) «Hexaplaris autem ipsa est, quae iu eruditorum libris i n c o r r u p t a et immaculata LXX interpretum translatio reservatur ». S. Hieron. Epist. ad Suniam et Fretelam.

(γ) « Ut scirent nostri quid Hebraica veritas contineret, non nostra confinximus, sed, ut apud Hebraeos invenimus, divina transtulimus. Siculbi

ἀποδείξεις οἱ Ἰουδαῖοι, λέγοντες « μὴ οὕτω κεῖσθαι ἐν τῷ ἑβραϊκῷ » (α). Τὴν αὐτὴν αἰτίαν τῆς ἐν τοῖς Ἑξαπλοῖς συνάμα μετὰ τοῦ ἑβραϊκοῦ συνεκδόσεως καὶ διασκευῆς τῶν Ο προὔτεινε καὶ Ὠριγένης· « ἵνα μὴ καταγελῶσιν οἱ Ἰουδαῖοι τοὺς ἀπὸ τῶν ἐθνῶν πιστεύοντας, ὡς ἀγνοοῦντας τὰ παρ᾽ αὐτοῖς (ἐν τῷ ἑβραϊκῷ) ἀναγεγραμμένα » (β). Ἀλλ᾽ εἴπερ τὸ τῶν Ἑξαπλῶν ἑβραϊκὸν ὑπῆρχεν ἀπαράλλακτον πρὸς τὸ τοῦ Ἱερωνύμου, πῶς οὗτος ἐπελθὼν ἤθελε διδάξαι τοὺς κατ᾽ αὐτὸν χριστιανοὺς, ὅ,τι ποτὲ ἡ *ἑβραία ἀλήθεια* περιεῖχε; τοῦτο γὰρ ἂν ἐμάνθανον ἀπόνως ἐκ τῆς προλαβούσης ἐκδόσεως τοῦ Ὠριγένους. Φαίνεται λοιπὸν βέβαιον, ὅτι μεταξὺ τῶν Ὠριγένους καὶ Ἱερωνύμου χρόνων παρεισέφρησαν νεώτεραί τινες διαφθοραὶ εἰς τὸ κείμενον τὸ ἑβραϊκόν (γ). Τὸ μὲν γὰρ ἑβραϊκὸν, ὅπερ Ὠριγένης ἐξέδωκεν ἐν τοῖς Ἑξαπλοῖς, ὑπῆρχε πάντως κεκυρωμένον ὑπὸ τῶν κατ᾽ αὐτὸν Ἰουδαίων· ἡ δὲ πρὸς τὰ Ἑξαπλᾶ πάροδος ἀκώλυτος ἦν τῷ Ἱερωνύμῳ· πῶς οὖν οὗτος ὁ Πατὴρ, μόλις 140 ἐτῶν ἀπὸ τοῦ Ὠριγένους μέχρις αὐτοῦ διελθόντων, ἐφρόντισε κτήσασθαι κώδηκας ἑβραϊκοὺς, καὶ δὴ καὶ προθύμως αὐτοὺς ἀντιγράψαι, εἰ μὴ συνεῖδε παραλλαγάς τινας τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ κειμένου πρὸς τὸ τῶν Ἑξαπλῶν; Ὅτι δὲ παρέλαβεν ἐκ τῆς Συναγωγῆς διά τινος ἑβραίου διάφορα τεύχη τοῦ ἑβραϊκοῦ κώδηκος, καὶ ταῦτα μετέγραφεν ἰδίᾳ χειρὶ, αὐτὸς ὁμολογεῖ, λέγων· « Αἴφνης ὁ ἑβραῖος ἐπέστη, φέρων εἰλητὰ οὐκ ὀλίγα, ἅπερ εἰλήφει ἐκ τῆς Συναγωγῆς, ὡς δῆθεν ἀναγνωσόμενος αὐτὸς, καὶ « *ἴδε*, φησὶν, *ἔχεις ὅπερ ᾔτησας* ». Ἐμὲ δὲ ἔτι διστάζοντα, καὶ μὴ εἰδότα ὅ,τι χρὴ ποιεῖν, οὕτως ἐξέπληξε σπουδαίως ἐπανελθὼν, ὥστε πάντα

---

dubitas, Hebraeos interroga. Sed forte dices. Quid si Hebraei aut respondere noluerint, aut mentiri voluerint? etc». Epist. ad Augustin. T. 4. col. 627.

(α) S. Hieron. ad Sophronium T. 1. col. 835.

(β) Βλ. Ὠριγέν. ἐπιστ. π. Ἀφρικαν. §. ε.

(γ) Βλ. Kennicot. Diss. II. p. 418, 419, sqq.

τ' ἄλλα καταλιπὼν, διεξέπτην ἐπὶ τὸ μεταγράφειν, ὃ καὶ νῦν εἰσέτι ποιῶ» (α).

§. λα. Ὅσαι τοίνυν ἐν τούτοις τοῖς ἑβραϊκοῖς ἀντιγράφοις ἐνῆσαν διαφθοραὶ, ταύτας ἀναμφιβόλως μετέφερε καὶ εἰς ἣν αὐτὸς μετ' ὀλίγον ἐπεχείρησε συντάξαι λατινικὴν ἑρμηνείαν. *Διαμαρτύρεται* δὲ ῥητῶς καὶ αὐτὸς ὁ Πατὴρ, ὡς οὐδὲν ἐκ τῆς ἑβραϊκῆς ἀληθείας σύνοιδεν ἑαυτῷ μεταβαλόντι· καὶ πρὸς τούτου δεῖξιν «ἐρώτησον (λέγει) ὅν τινα Ἰουδαῖον ἐθέλῃς» (τόμ. α. σελ. 322). Ὅθεν καὶ ὁ Λούθηρος, οὐ πάνυ τοι εὐνοϊκῶς πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν διακείμενος (ὅπερ καὶ αὐτὸς Ὅδιος ὁμολογεῖ), ποικίλας μὲν ἔλεγε τὰς ἐν αὐτῷ παρὰ τῶν ῥαββίνων ἐπενεχθείσας διαφθορὰς, προσετίθει δὲ, καὶ ὅτι «*Οὗτοι καὶ τὸν Ἱερώνυμον ἐξηπάτησαν*». Ἄλλος δέ τις ὅμως, Ῥογῆρος ὁ Βάκων (παρὰ τῷ αὐτῷ Ὁδίῳ) ἔγραψεν, ὅτι, «ἐπειδὴ ὁ Ἱερώνυμος παρ' ἀνδράσιν ἐκκλησιαστικοῖς ἐνομίζετο παραχαράκτης (falsarius) τῶν Γραφῶν, οὐκ ἐτόλμησε πανταχοῦ μεταφράσαι *κατὰ τὴν ἑβραίαν ἀλήθειαν*» (β). Ἀλλ' ὁ Ῥογῆρος οὗτος ἄντικρυς ἀντιλέγει πρὸς ἣν ἐμνημονεύσαμεν ἀνωτέρω *διαμαρτυρίαν* αὐτοῦ τοῦ Πατρός (γ). *Ἑβραίαν* δὲ

(α) S. Hieron. Epist. ad Damas. T. 2. part. 1. col. 563, (ἐτελεύτα δὲ ὁ Δάμασος τῷ 384 μ. Χ.).

(β) Βλ. Hody, De Bibl. textib. p. 552 καὶ 429. πρβλ. Kennicot. Diss. II. p. 420.

(γ) *Ὁ δὲ σοφὸς Κλέριχος καὶ λίαν ἄδικος καὶ αὐθαδέστερος ἐφάνη περὶ τὸν μακάριον Ἱερώνυμον (οἷος εἴωθε προσφέρεσθαι πρὸς πάντας τοὺς ἱεροὺς τῆς Ἐκκλησίας Πατέρας), παχεῖαν τῆς ἑβραΐδος γλώσσης ἀμάθειαν καὶ ἀκρισίαν αὐτοῦ καταγνούς!* (βλ. Jo. Cleric. Quaestion. Hieronymian. πρβλ. Carpzov. Crit. Sacr. p. 22). *Ἀλλὰ καὶ Ῥιχάρδος ὁ Σιμώνιος* (R. Simon.) *καθάπτεται σφοδρότερον τοῦ μακαρίου Ἱερωνύμου* (Hist. Crit. V. Test. L. 1. c. 16), *καί τοι μεταξὺ καὶ δίκαια λέγων, ὅτι τὰ ἐπὶ τοῦ Ἱερωνύμου ἑβραϊκὰ ἀπόγραφα ὑπῆρχον διάφορα τῶν κατὰ τοὺς Ο. Εἰ δὲ καὶ ἄλλως ὁ κριτικὸς οὗτος ἀληθῆ συνάμα καὶ ψευδῆ συγκυκῶν, σπουδάζει καθελεῖν παντελῶς καὶ τὴν ἐν τοῖς πλείστοις ἀκεραιότητα τοῦ ἑβραϊκοῦ, πολλάκις δὲ καὶ τὴν ἀξιοπιστίαν τῶν Ο, πρὸς ἀναίρεσιν τῆς γνησιότητος τῶν θείων Γραφῶν, αἱ τοιαῦται τοῦ ἀνθρώπου παραφοραὶ φαίνονται γελοῖαι· ἀπήντησαν δὲ καὶ πρὸς τοῦτον καὶ πρὸς τὸν Κλέριχον ἄλλοι τε, καὶ ὁ σφοδρὸς καὶ πολλάκις βίαιος ὑπέρμαχος τοῦ Ἱερωνύμου Μαρτιαναῖος (ἐν τῇ ἐκδόσει τῶν Ἱερωνύ-*

ἀλήθειαν ὁ μακάριος Ἱερώνυμος ὠνόμαζεν (ὡς φαίνεται) κυρίως τὸ *ἑβραϊκὸν ἀρχέτυπον*, ἀντιδιαςέλλων τοῦτο πρὸς ἣν ὑπελάμβανεν ἔν τισιν ἐσφαλμένην τῶν Ο, ἑρμηνείαν, οὐχὶ δὲ τὸ κατ' αὐτὸν ἑβραϊκὸν κείμενον, ὡς ἂν τοῦτο πάντως φρονῶν καὶ κρίνων (καθώς τινες παρέπλασαν) ἀδιάφθορον καὶ πανάληθες· τοῦτο δὲ καὶ ἄλλοι προλαβόντες ἐσημειώσαντο (α). Πῶς γὰρ ἂν ἐφρόνησε τοιοῦτον, ἐν ᾧ διωμολόγει πᾶν τοὐναντίον; Πρῶτον μὲν γὰρ ἀνεκήρυξεν, ὅτι καὶ « Ἀκύλας καὶ Σύμμαχος καὶ Θεοδοτίων ἀνέγνωσαν (τινὰ τῆς Πεντατεύχου) μακρῷ τῷ μέτρῳ διαφερόντως, ἢ ὡς ἀνεγίνωσκεν αὐτός» (β). τουτέστιν, ὅτι κατὰ τοὺς Ἀκύλα καὶ Συμμάχου χρόνους οἱ ἑβραῖοι κώδηκες διέφερον *μακρῷ* τῶν κατ' αὐτόν. Ἔπειτα δὲ καὶ τούτων δὴ τῶν ἐπ' αὐτοῦ ἀντιγράφων πολλάκις ἐσημείου διαφορὰς καὶ παραλλαγάς (γ). Ἀλλὰ καὶ μεταφράζων τὸ κείμενον,

---

μου συγγραμμάτων). Βλ. καὶ Fabricy, Des titres primitifs de la Révélation Tom. 1. p. 112—120, καὶ Tom. 2. p. 95, 104.

(α) Βλ. Kennicot, Diss. II. p. 421. Καὶ ὁ Καπέλλιος τὰ Ἱερωνύμου ἐκεῖνα «Quidquid ergo ab hac (editione τῶν LXX. quae habetur in Hexaplis) discrepat, nulli dubium est quin ita et ab Hebraeorum auctoritate discordet (S. Hieron. epist. ad Suniam et Fretel.). Ταῦτα ἐξηγῶν ὁ Καπέλλιος, λέγει· « Illa Hebraeorum auctoritas accipienda est non de Judaeorum codice qui ipsius S. Hieronymi tempore in usu erat, sed de Hebraeo textu quo ipsi LXX. inter vertendum usi sunt. - Hoc itaque videtur velle, LXX interpr. accurate vertisse textum hebraeum, quem prae manibus habebant, atque eum fuisse consentaneum autographis Mosis et Prophetarum. Et sic hebraicus Judaeorum sui temporis textus (quem ipse in vulgata versione Latine reddidit) non est dicendus Authentica et Hebraica veritas». Cappel. Crit. Sacr. L. IV. cap. 1. p. 216.

(β) «Quinque libri Mosis plus quam ceteri, cum Hebraicis consonant. Sed et Aquila, et Symmachus, et Theodotion longe aliter habent, quam nos legimus». S. Hieron. T. 2. col. 507.

(γ) « Multa quidem sunt exemplaria apud Hebraeos, quae ne semel quidem (τὸ) Dominum habeant, hodie vero semel habent. Sciendum in quibusdam voluminibus non esse additum (τὸ) omnis». (Jd. T. 2. col. 635, καὶ Tom. 3, 1616). Ἐντεῦθεν δὲ καὶ ἄλλην τῶν ἀρχαίων ἀντιγράφων πρός

παρεξέκλινεν ἔστιν ὅτε πρὸς τὴν ἑρμηνείαν τῶν Ο, ἢ καὶ τῶν λοιπῶν τῶν ἐν τοῖς Ἑξαπλοῖς ἑρμηνευτῶν· τουτέστι, προὐτίμα τὴν ἀνάγνωσιν, ἢ τὴν γραφὴν, τοῦ ἐξ οὗ μετέφρασαν ἐκεῖνοι κειμένου, παρὰ τὴν τοῦ παρόντος, ἐξ οὗ μετέφραζεν αὐτὸς (ὅθεν καὶ μιμητὴς μᾶλλον, ἢ μεταφραστὴς ὠνομάσθη παρὰ τῷ Οὐϐιγάντῃ ἐν τοῖς Προλεγομένοις, σελ. 112), *ἀποφεύγων*, ὡς αὐτός φησι, τὸ *σφόδρα καινότροπον* (α). Ἀλλαχοῦ δὲ καὶ τὰς περὶ τοὺς ἀριθμοὺς τῶν ἐνιαυτῶν παραλλαγὰς καὶ διαφωνίας τῶν ἀντιγράφων ὡμολόγησε, προσθεὶς καὶ ὅτι, « Ἐπειδὴ ἐξ *ἀδιορθώτων ἀδιόρθωτα ἀντεγράφοντο*, κατὰ μικρὸν ἀνεκαλύφθησαν αἱ πλάναι » (ϐ). Ἔστι δ' ὅπου καὶ τοὺς Ἰουδαίους ὑπώπτευσεν, ὡς ἐξαλείψαντας ἑκοντί τινα τῆς Γραφῆς (γ). Ἐν δὲ τῇ μεταφράσει τοῦ Χρονικοῦ τοῦ Εὐσεϐίου συνεφρόνησε μετὰ τούτου, ὅτι ἐν τοῖς ἑϐραίοις κώδηξιν εὑρίσκονται διαφωνοῦντες οἱ τῶν ἐτῶν ἀριθμοὶ, ἐπὶ πλεῖον, ἢ ἐπ' ἔλασσον

τε ἄλληλα καὶ πρὸς τὸ κατ' αὐτὸν ἐπίσημον διαφορὰν ὡμολόγησε, τὸ ἐν ψαλμ. ρκθ, 4 « ἕ ν ε κ ε ν τ ο ῦ ὀ ν ό μ α τ ό ς σ ο υ (κατὰ τοὺς Ο, βλ. ὄπισθ. Βιϐλ. Β. σελ. 781). Ὅπου Ἀκύλας μὲν ἀναγνοὺς ἐν τῷ ἑϐρ. Thira, ἀντὶ τοῦ ὀ ν ό μ α τ ο ς μετέφρασε φ ό ϐ ο ν. Θεοδοτίων δὲ καὶ Σύμμαχος ἀναγνόντες Thora, ἡρμήνευσαν ν ό μ ο ν· ἡ δὲ ε, ἔκδοσις τ ρ ό μ ο ν (terrorem)· ἡ δὲ ϛ, λ ό γ ο ν (verbum). Epist. ad Sun. et Fretel. Αὐτὸς δὲ μεθηρμήνευσεν ἑτέρως, « ἐπειδὴ φοϐερὸς εἶ » (cum terribilis sis)· Τὸ δὲ καθ' ἡμᾶς ἑϐρ. πάντων αὖθις διαφέρει, ῥηματικῶς ἀναγινώσκον, « φ ο ϐ η θ ή σ ο ν τ α ι, ἢ φ ο ϐ η θ ή σ ῃ », timueris (ἑρμην. Pagnini καὶ Montan.).

(α) « Nullius a u c t o r i t a t e m secutus sum, sed de Hebraeo transferens, magis me LXX Interp: consuetudini coaptavi ; in his dumdaxat quae non multum ab Hebraicis discrepant. Interdum Aquilae quoque Symmachi et Theodotionis recordatus sum : ut nec n o v i t a t e n i m i a lectoris studium deterrerem » etc. Prooem. in Eccles. Oper. T. 2. col. 639, 658, 714.

(ϐ) In Epist. ad Timoth. c. 3. βλ. καὶ Epist. 132.

(γ) Ἐν τῷ « Ἐπικατάρατος π ᾶ ς ἄ ν θ ρ ω π ο ς ὃς οὐκ ἐμμένει » κτλ. (Δευτ. κζ, 26 : Γαλάτ. γ, 10) σημειοῖ· « Incertum habemus utrum (οἱ) 70, interpretes addiderint, o m n i s h o m o, an in veteri hebraico ita fuerit, u t p o s t e a à J u d a e i s d e l e t u m s i t ». (Com. in Galat. 3).

ἐκφραζόμενοι, ὡς ἔδοξε τοῖς ἑρμηνεῦσιν» (α). Ἄλλας τοῦ Ἱερωνύμου περὶ τῶν ἐν τοῖς ἑβραίοις κώδηξι διαφορῶν εἰλικρινεῖς ὁμολογίας ἐσημείωσεν ὁ Μορῖνος (β). Πρόσθες τούτοις, ὅτι καὶ ἐν οἷς ὁ Πατὴρ ἀπεκλαίετο διὰ τὴν δυσχέρειαν τῆς ἀναγνώσεως τῶν παρ' αὐτῷ ἑβραϊκῶν χειρογράφων, ἕνεκα τῆς τῶν χαρακτήρων λεπτότητος (οὓς ὑπὸ *φωτὶ νυκτερινῷ, καὶ ζοφουμένοις ὑπὸ γήρως ὀφθαλμοῖς*, δυσκόλως εἶχεν ἀναγινώσκειν· καὶ πρὸς αὐτὰς δὲ τὰς ἡμερινὰς καὶ ἡλιακὰς αὐγάς, ὡς φησὶν, ἀπετύφλουν αὐτὸν οἱ χαρακτῆρες), ἐπεγίνωσκε λοιπὸν ἐν τούτοις καὶ αὐτὸς τὰς ἐκ τῆς αἰτίας ταύτης προερχομένας οἱασδήποτε πλάνας, καὶ τὰ ἄφευκτα παροράματα (γ). Ὥστε τὴν *ἑβραίαν*, ἣν ἔλεγεν, *ἀλήθειαν* ἀνῆγεν εἰς τὰ ἑβραϊκὰ ἀρχέτυπα, δηλονότι τὰ τῶν προφητῶν αὐτόγραφα (καθὸ πρώτην τῶν ἀλληλοδιαδόχων ἀντιγράφων πηγὴν), ἀλλ' οὐχ εἰς τὰ κατ' αὐτὸν ἀντίγραφα, ὧν σαφῶς ἐπεγίνωσκε τὰς παντοίας διαφθοράς (δ)· (Εἰ δὲ μή γε, τότε λοιπὸν ἔλε-

(α) Hieron. in Euseb. Chronic. L. II. prooem. βλ. καὶ Walton, Proleg. VII. §. 13, 14.

(β) Morin. I. Exercit. 6. c. 11. p. 143. sq.

(γ) «Caligantibus occulis senectute, ad nocturnum lumen, nequaquam valeamus Hebraeorum volumina relegere; quae etiam ad solis dieique fulgorem, litterarum parvitate nobis coecantur». Tom. 3. col. 842.

(δ) Τοιαύτῃ φράσει φαίνεται χρησάμενος καὶ ὁ ἱερὸς Αὐγουστῖνος· ὅστις τὴν ἐκ τῶν Ο ἐκλατινισθεῖσαν Ἰτάλαν ὀνομάζει λ α τ ι ν ι κ ὴ ν ἀ λ ή θ ε ι α ν (latinam veritatem), ἐν ᾧ δυσανασχετεῖ διὰ τὰς ἐν διαφόροις αὐτῆς ἀπογράφοις τότε κατ' αὐτὸν εὑρισκομένας τοῦ κειμένου παραλλαγάς· «In diversis codicibus ita varia est (Latina veritas), ut tolerari vix possit». S. Augustin. Epist. 71 ad Hieron. Oper. T. 2. col. 161. Ὁ δὲ σοφὸς Φαβρίκιος ἐν τῷ προμνημονευθέντι πολυμαθεῖ συγγράμματι (Des titres primitifs etc.) διατείνεται (τόμ. β. σελ. 121), ὅτι ὁ μακάριος Ἱερώνυμος ἀφορῶν πρὸς τὸ κατ' αὐτὸν ἀκριβὲς καὶ ἀπαράτρωτον τοῦ ἑβραϊκοῦ κειμένου, χαρακτηρίζει τοῦτο ὡς ἑβραϊκὴν ἀλήθειαν»· καὶ (σελ. 103), ὅτι «οὐδαμοῦ ἐδήλωσεν, ὅτι τὸ ἑβραϊκὸν εἶχεν ἐπ' αὐτοῦ τινας ἐλλείψεις». Οὕτως ὁ πολυμαθὴς Φαβρίκιος βουλόμενος μέσην τεμεῖν ὁδὸν μεταξὺ τῶν τὸ ἑβραϊκὸν, καὶ τῶν τοὺς Ο κατατρεχόντων κριτικῶν, καὶ γενναίως καὶ ἐπαινετῶς μαχόμενος ὑπὲρ τῆς ἀφθορίας (ἔν γε τ ο ῖ ς κ α ι ρ ι ω τ ά τ ο ι ς) τῆς ἑβραϊκῆς Γραφῆς, ἀποκλίνει ὅμως πολὺ πλέον πρὸς τὸ νῦν ἑβραϊκὸν, καὶ πολλαχοῦ τραχύ-

γεν *ἀλήθειαν* ἐν πολλοῖς ἀνύπαρκτον καὶ χιμαιρικὴν, ἣν οὐδ᾽ αὐτὸς παγίως ἐπρέσβευε). Κἀκεῖνο δὲ σημειωτέον. Ὅτι *τοὺς ἀριθμοὺς* ἠπίστατο γεγραμμένους ἐν τοῖς ἀρχαίοις ἑβραϊκοῖς ἀντιγράφοις οὐχ ὁλοσχερεῖς καὶ ὁλογράφους, ἀλλὰ διὰ στοιχείων ἀριθμητικῶν· λέγει γάρ. «Τὸ ἰῶτα γράμμα οὐ μόνον παρ᾽ Ἕλλησιν, ἀλλὰ καὶ παρ᾽ Ἑβραίοις σημαίνει τὸν δέκα ἀριθμόν» (Τόμ. γ. 1754). Ὅσα δὲ καὶ οἷα σφάλματα, καὶ διὰ τὴν τοιαύτην στοιχειακὴν γραφὴν τῶν ἀριθμῶν, εἰσέφρησαν ἐν τοῖς ἑβραίοις κώδηξιν, ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ. Τούτων οὕτως ἐχόντων, σφόδρα λοιπὸν ἐπιλησμονικῶς, ἢ ἐπισφαλέστερον ὁ μακάριος Ἱερώνυμος εἶπεν ἐν τοῖς προηγουμένοις, ὅτι «*τὸν καγχασμὸν οὐκ ἠδύνατο κατέχειν*, εἴ τις λέγοι μετὰ Χριστὸν τὰς γραφὰς ὑπὸ τῶν Ἰουδαίων διαφθαρῆναι» (ὄπισθ. §. κα. σημ.).

§. λβ. Ταῦτα συντόμως περὶ τοῦ πανευφήμου καὶ πανευκλεοῦς τούτου Πατρὸς (ἐφ᾽ ὅσον ἀναφέρονται τὰ κατ᾽ αὐτὸν εἰς τὴν ἱστορίαν τοῦ ἑβραϊκοῦ κειμένου). Ἐκ δὲ τούτων φαίνεται καὶ ἡ φύσις καὶ ἰδιότης τῆς ἐκ τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ λατινικῆς αὐτοῦ μεταφράσεως. Ἰστέον δὲ ὅτι (ἵνα καὶ τοῦτο σημειώσωμεν ἐν παρόδῳ) ἡ καθ᾽ ἡμᾶς λατινικὴ τῆς παλαιᾶς Γραφῆς ἑρμηνεία, ἣν συνήθως *Κοινὴν*, ἢ *Βουλγάταν* καλοῦσι, καὶ ᾗ περ ὡς αὐθεντικῇ καὶ κυρίᾳ κέχρηται ἡ λατινικὴ ἐκκλησία, οὐκ ἔστιν αὐτὴ ἐκείνη ἡ τοῦ Ἱερωνύμου ἄκρατος ἑρμηνεία, ἀλλὰ σύνθετος ἔκ τε τῆς ἀρχαίας Ἰτάλας (τῆς ἐκ τῶν Ο περὶ τὰ τέλη τοῦ πρώτου μ. Χ. αἰῶνος ἑρμηνευθείσης), καὶ ἐκ τῆς ἑβραϊζούσης μεταφράσεως τοῦ Ἱερωνύμου. Ὥστε *τρίτη* τις ἀποβέβηκε, διάφορος ἑκατέρου τῶν δισσῶν, ἐξ ὧν συγκεκρότηται, κειμένων (α). Καί τοι δὲ ἐν τοῖς

νεται κατὰ τῶν Ο, φέρων τὸν Ὅσιον ὑπὲρ κεφαλῆς. Ὑπὲρ δὲ τοῦ πανευφήμου Ἱερωνύμου πολλὰ καὶ καλὰ δικαίως πανηγυρίσας, ἐξέπεσε, τέλος, καὶ εἰς τοσαύτην ὑπερβολὴν, ὥστε τὴν ἐκ τοῦ ἑβραϊκοῦ Ἱερωνύμειον ἑρμηνείαν ἐκθειάζων, προσέθηκε καὶ ὅτι «αὕτη ἐπέχει τὸν τόπον οὐ μόνον ἁπασῶν των διαφόρων ἑρμηνειῶν, λατινικῶν τε καὶ ἑλληνικῶν, ἀλλὰ καὶ αὐτοῦ τοῦ πρωτοτύπου κειμένου τοῦ ἑβραϊκοῦ (l. c. p. 94).

(α) Walton Proleg: X. 9. — Kennicot Diss. II. p. 422. πρβλ. καὶ ἐκ

χειρογράφοις ταύτης τῆς ἑρμηνείας εὑρίσκονται τόποι τινὲς διαφέροντες τῶν διὰ τοῦ τύπου ἐκδεδομένων (α), ἀλλ᾽ ὅμως καὶ τὸ κατὰ τὰς ἐκδόσεις αὐθεντικὸν καὶ κεκυρωμένον καὶ κοινῇ παραδεδεγμένον ὕφος περιέχει (ἐν τοῖς διαφέρουσι τόποις) πολλὰς ἀναγνώσεις ἀληθεῖς καὶ γνησίας, αἵτινες ἐν τοῖς νεωτέροις ἑβραϊκοῖς χειρογράφοις κεῖνται διεφθαρμέναι (β).

§. λγ. Ἀπὸ δὲ τῶν χρόνων τοῦ Ἱερωνύμου καὶ τῆς κατ᾽ αὐτὸν μεταφράσεως ἐπέκεινα κατιοῦσιν, ὅσα μὲν καὶ ἄλλα σφάλματα ἐσφάλησαν ἐν τοῖς ἀντιγράφοις οἱ ἑβραῖοι ἀντιγραφεῖς, τούτων οὔτε τὸν χρόνον οὔτε τὸν τρόπον δύναταί τις ὁρίσαι μετ᾽ ἀκριβείας. Ὅτι δὲ πάντως ἐσφάλησαν, ἀπόδειξις ἡ ἐφεξῆς. Ἐξ ὧν γὰρ ὁ Ἱερώνυμος συχνάκις ἐσημείωσεν ἐν τῷ κατ᾽ αὐτὸν ἑβραϊκῷ κειμένῳ περὶ τὰς ἀναγνώσεις παραλλαγῶν, τούτων τῶν ἀναγνώσεων ἕτεραί τινες πάντῃ διαφέρουσαι πολλάκις εὑρίσκονται ἐν τῷ καθ᾽ ἡμᾶς ἑβραϊκῷ (γ).

τῶν Δυτικῶν Baron. ad An. 231. T. 2. p. 501. — Bellarmin. De verb. Dei L. 2. c. 11. — Fabricy, Des titres primitifs de la Révélation T. 1. p. 236. — « Ex vetere Itala et ex opere S. Hieronymi enata est Vulgata nostra Latina ». Dobmayer, Institut. Theologiae in compend. redactae. vol. 1. p. 301. Solisbaci, 1833. Ὑπέστη δ᾽ οὐχ ἅπαξ καὶ διορθώσεις ἡ Βουλγάτα κατὰ καιρούς. Οἷον, κατὰ τὸν η, ἢ θ, αἰῶνα (ἐπὶ τοῦ μεγάλου λεγομένου Καρόλου) πρὸς τὸ ἑβραϊκὸν παρεξετασθεῖσα (διὰ τὰ παρεμπεσόντα ἐν τοῖς ἀντιγράφοις σφάλματα) διωρθώθη, καὶ πάλιν κατὰ τὸν ιβ, αἰῶνα, καὶ τρίτον τῷ 1240, κτλ. καὶ τέλος τὸ ἔσχατον, ἐπὶ τοῦ πάπα Κλήμεντος τῷ 1592· (ταύτῃ τῇ ἐκδόσει καὶ πᾶσαι αἱ μετέπειτα παρακολουθοῦσιν). Ἀλλὰ περὶ τῶν κατὰ καιροὺς ἐκδόσεων καὶ διορθώσεων τῆς Βουλγάτας ἱστοροῦσιν οἱ τὰ κατ᾽ αὐτὴν κριτικώτερον διαλαβόντες, Simon, Hist. Crit. du N. Test. vol. 2. p. 114 sqq. — Ackermann, Introduct. p. 62—68, κτλ.

(α) Kennicot l. c. p. 422 καὶ 195. πρβλ Fabricy l. c. vol. 2. pag. 99. not. — (β) Βλ. Capell. Crit. Sacr. Lib. V. cap. 7—11. pag. 351—371. — Kennicot l. c.

(γ) « Quicumque vel Hieronymi solius super Genesin Questiones diligenter examinaverit, — is quot quantique errores, vel variationes, in Hebraea linqua ex PUNCTIS LITTERARUMQUE SIMILITUDINIBUS oriri possint, facile cognoscet : invenietque saepe nunc in Hebraeo non esse lectio-

§. λδ. Καθ' ἣν διατρέχομεν περίοδον μνημονευτέον ἂν εἴη μάλιςα καὶ τὸ *Ταλμοῦδον* (ὃ σημαίνει *διδασκαλίαν*)· ἔςι δὲ δισσὸν, τό, τε λεγόμενον *Ἱεροσολυμικὸν*, καὶ τὸ μετέπειτα συνταχθὲν (ὃ καὶ μᾶλλον Ἰουδαῖοι τιμῶσι), τὸ καλούμενον *Βαβυλώνιον* (α). Τοῦτο τὸ διαβόητον ἰουδαϊκὸν σύγγραμμα σύγκειται ἐκ δύω μερῶν· καὶ τὸ μὲν πρῶτον ἐπιγέγραπται *Μισχνὰ*, ἢ *Μισνὰ* (συριστικώτερον, Mischna) δηλονότι κείμενον, καὶ κυρίως *δευτέρωσις*, ἢ *δεύτερος νόμος*, περιέχων πολλὰς καὶ ποικίλας ἰουδαϊκὰς παραδόσεις, τὰς λεγομένας τῶν *πρεσβυτέρων* (β)· τὸ δὲ δεύτερον

---

nem, quam Hieronymus tunc habuisse profitetur ». Grabius, Proleg. 1, §. 24 in Sept. vol. 2. — Kennicot Diss. II. p. 424.

(α) Τῆς ἰουδαϊκῆς τελετουργίας τυπικὸν (ceremoniale judaicum) ὥρισάν τινες τῶν νεωτέρων περιγραφικώτερον τὸ Ταλμοῦδον, ἤ, Πανδέκτην τοῦ παρ' Ἰουδαίοις θείου δικαιώματος. Περιέχει δὲ μεταξύ τινων ὀρθῶν καὶ πολλὰ ἀσεβῆ, βλάσφημα, δεισιδαιμονικὰ, μωρὰ, ψυχρὰ, πανάθλια (βλ. Pfeiffer, Crit. Sacr. p. 393). Οὕτω δὲ παρ' Ἰουδαίοις ἱερὸν κρίνεται τὸ Ταλμοῦδον, ὥστε οὐ μόνον ἰσοδύναμον, ἀλλὰ τρόπον τινὰ καὶ προτιμότερον τοῦτο νομίζουσι καὶ αὐτῶν τῶν θείων Γραφῶν. Ὅθεν θρυλλοῦνται παρ' αὐτοῖς αἱ δυσσεβεῖς ἐκεῖναι καὶ γλοιώδεις παρομοιώσεις (ἐν αὐτῷ κείμεναι τὸ Ταλμούδῳ) « Τὸ κείμενον τῆς Γραφῆς ὅμοιον ὕδατι· ἡ Μισχνὰ οἴνῳ· τὸ Ταλμοῦδον (ἡ Γεμάρα) οἴνῳ ἠρτυμένῳ »· καὶ πάλιν. « Ὁ Νόμος, ἅλας· ἡ Μισχνὰ, πέπερι· τὸ Ταλμοῦδον, ἀρώματα » (βλ. Pfeiffer l. c. p. 398). Τοῦ σχετλίου τούτου συγγράμματος συνοπτικήν τινα διαγραφὴν ἐξέδωκε γαλλιστὶ ὁ Κλαρίνης (Chiarini), ὅπου ῥητῶς ὀνομάζει τὸ Ταλμοῦδον « Chaos informe, receptacle d'erreurs et de prejugés, ou viennent se presser tout les rêves du fanatisme en delire ». etc. Καὶ τὴν γλῶσσαν τὴν Ταλμουδικὴν ἔκρινε ῥητῶς « ἀνάμιγμα τῆς Ἑβραϊκῆς, Χαλδαϊκῆς, Συριακῆς, Περσικῆς, Ἑλληνικῆς, Λατινικῆς, κτλ. οἷον ἔμελλε γεννήσειν ἡ πολιτικὴ καὶ θρησκευτικὴ τῶν Ἰουδαίων κατάστασις, θεωρουμένη χρονικῶς ἀπὸ τῆς εἰς Βαβυλῶνα μετοικεσίας μέχρι τοῦ ς, αἰῶνος τῆς Ἐκκλησίας. Ἀνάμιγμα ἐπὶ τοσοῦτον τοὺς τύπους τῆς ἑβραϊκῆς ἀλλοιῶσαν, ὥστε πολλάκις ἀποβαίνουσι σχεδὸν ἀγνώριστοι » κτλ. Βλ. Théorie du Judaisme etc. par l' abbè L. Chiarini. T. 1. p. 6, 50. Paris, 1830.

(β) « Τὰς τῶν Ἰουδαίων δευτερώσεις τὰς ἀπεράντους καὶ μυθικάς· ἑρμηνεύειν γὰρ σχηματιζόμενοι τὰς γραφὰς, εἰς μύθους, καὶ γενεαλογίας ἐξετράπησαν, καὶ παραδόσεις τινὰς, οὐ κατὰ τὸ τοῦ νομοθέτου βούλημα » κτλ. (Ὀλυμπιοδ. ὑπόμνημ. εἰς Ἐκκλ. ιβ). Σημειωτέον δὲ ὅτι ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς (Α. ς. πρβλ. ϛ, κ, κγ) Δευτέρωσις καλεῖται ἡ μετὰ τὸν Δεκάλογον νόμον καὶ μετὰ τὴν μοσχολατρείαν τῶν Ἰουδαίων ὡς δεσμός τις αὐτοῖς ἐπιτεθεῖσα δευτέρα νομο-

μέρος καλεῖται *Γεμάρα*, τουτέστι *τελείωσις* (οἷον γλωσσηματικὸν ὑπόμνημα), ὡς πλατυτέρα ἐξήγησις τοῦ κειμένου. Ἐν τούτοις οὖν ἀμφοτέροις περιέχεται ὁ παρ' αὐτοῖς (πρὸς διαστολὴν τοῦ γραπτοῦ Μωσαϊκοῦ) *ἄγραφος* λεγόμενος, καὶ *στοματικὸς νόμος*, ὡς ἀπὸ στόματος καὶ ζώσης φωνῆς *διὰ μακροῦ χρόνου* ἀπ' αὐτοῦ Μωσέως (κατὰ τοὺς λήρους ῥαββίνους), ἢ ἀπὸ τοῦ Ἔσδρα, (κατ' ἄλλους ὁμοίους) διαδοθείς (α). Τὸ μὲν οὖν κείμενον, ἡ Μισνὰ, πρότερον τῆς Γεμάρας προῆλθεν. Ὅτι δὲ καὶ αὕτη κἀκεῖνο κατὰ διαφόρους ἡλικίας (ἄλλοτε ἄλλων ἄλλο τι προστιθέντων) συνεγράφησαν, καὶ ἐξεδόθησαν, πάντες συνομολογοῦσι. Πολλὴ δὲ μεταξὺ τῶν κριτικῶν ἡ τῶν γνωμῶν διαφορὰ περὶ τοῦ πότε πρῶτον ἐξεδόθη ἡ Μισνά. Οἱ μὲν γὰρ θέλουσιν, ὅτι περὶ τὸ τέλος τοῦ δ, οἱ δὲ τοῦ ε, αἰῶνος, ἢ καὶ εἰς τοῦ ἕκτου τὰς ἀρχάς. Οἱ δὲ πάλιν (ἀπιθάνως) καὶ εἰς τὸν β, αἰῶνα ἀναβιβάζουσι τὴν Μισνάν (β). Καί τινες (τὸ παραδοξότερον) ἐνόμισαν, ὅτι καὶ ἐπὶ τῶν Απο-

---

θεσία, ἡ περιέχουσα τὰς διαταχθείσας αὐτοῖς ζωοθυσίας, καὶ τὰς τῶν καθαρῶν καὶ ἀκαθάρτων ζώων διαφορὰς, καὶ τοὺς ποικίλους καθαρμοὺς, καὶ τὰς ἄλλας τὰς τοιαύτας τυπικὰς τοῦ γράμματος τελετὰς, ὅσαι περιέχονται μετὰ τὸν Δεκάλογον ἔν τε τῇ Ἐξόδῳ καὶ ἐν τῷ Δευτερονομίῳ (βλ. Φωτ. Ἀναγν. ριβ. καὶ ἐπιστολ. 50. πρβλ. Coteler. Patr. Apostol. Tom. 1. p. 205, καὶ Hody de Bibl. text. p. 239). Ὅθεν οὐ συγχυτέον τὰς ἐν ταῖς Ἀποστολικαῖς διαταγαῖς δευτερώσεις πρὸς τὰς ἰουδαϊκὰς παραδόσεις, ἃς καὶ ταύτας ὁ ἱερὸς Μάξιμος (Σχόλ. εἰς Διονυσ. Ἀρειοπαγ. ἐπιστ. θ) ὠνόμασε Δευτερονόμιον (ὡς δευτέρου νόμου τόπον παρ' αὐτοῖς ἐπεχούσας) λέγων· «Ὅπερ ἡ μὲν γραφὴ οὐ λέγει, οἱ δ' ἑβραῖοι ἐν τῷ δευτερονομίῳ ἔχουσι» (δηλαδ. τῇ Μισχνᾷ).

(α) Βλ. Horne, An Introduct. to the crit. Study etc. vol. 2. part. 1. p. 417.

(β) Ὁ Λιχθόφωτος (Lightfoot), καὶ ἄλλοι ῥαββινίζοντες σοφοὶ ἐνόμισαν, ὅτι τοῦ Ἱεροσολυμικοῦ Ταλμούδου ἡ μὲν Μισνὰ συνεγράφη περὶ τὸ 150 μ. Χ. ὑπὸ τοῦ ῥαββὶ Ἰούδα τοῦ ἐπιλεγομένου ἁγίου (Ἀκκαδὼς, ἢ Haccadosch), ἡ δὲ Γεμάρα συναπηρτίσθη ὑπ' ἄλλων ῥαββίνων περὶ τὸ 300 μ. Χ. (περιέχεται δὲ τὸ Ταλμοῦδον τοῦτο εἰς ἕνα μέγαν τόμον (ἐν φύλλῳ, in fol.) καὶ ἔστιν ὀλίγον εἰς χρῆσιν παρ' Ἰουδαίοις, ὡς ἐν πολλοῖς ἀσαφὲς καὶ σκοτεινόν). Τὸ δὲ Βαβυλώνιον Ταλμοῦδον ὑπὸ πολλῶν ἐν Βαβυλῶνι συνετελέσθη περὶ τὸ 500 μ. Χ. μάλιστα παρ' Ἰουδαίοις τιμώμενον, καὶ ἀποτελοῦν 12 τόμους μεγάλους (ἐν φύλλῳ). Βλ. Bergier, Dictionnaire de Théologie. Tom. 6. p. 203.

στόλων ὑπῆρχον γεγραμμένα τὰ Μισναῖα ταῦτα διδάγματα, παρεξηγοῦντες ῥῆσίν τινα τῆς Βαρνάβα ἐπιστολῆς, ἥτις προφανῶς ἀναφέρεται εἰς τὸ Λευϊτικόν (α). Οἱ δὲ καὶ ἐπ' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν ὑπάρχουσαν τὴν βίβλον τῶν *παραδόσεων* ἐδογμάτισαν ἰουδαϊκώτερον (β). Ἀλλὰ καὶ κατὰ τοὺς Ἱερωνύμου χρόνους ὑφεστῶσαν αὐτὴν ἐπεχείρησαν ἀποδεῖξαι ἐκ τῆς τοῦ Πατρὸς πρὸς Ἀλγασίαν ἐπιστολῆς. (§ 10). Καὶ ὅμως καὶ ἐκ ταύτης συνάγεται σαφῶς, ὅτι *ἀπὸ στόματος* καὶ τότε *ἐδίδασκον* (οὐκ ἀνεγίνωσκον) οἱ Ἰουδαῖοι ταύτας τὰς δευτερώσεις (γ). Τοῦτο μαρτυρεῖ καὶ ὁ ἱερὸς Αὐγουστῖνος (ὅστις ἐτελεύτησε τῷ 430 μ. χ.). «Ἔχουσι (φησὶν) οἱ Ἰουδαῖοι παραδόσεις *ἀγράφους* (non scriptas), ἃς διὰ μνήμης διακρατοῦσι· καὶ ἕτερος πρὸς ἕτερον προφορικῶς ἀπὸ στόματος μετοχετεύουσι, καλοῦντες αὐτὰς *δευτέρωσιν* (δ). Ὅθεν καὶ *δευτερωταὶ* οἱ διδάσκοντες ῥαββῖνοι ἐκαλοῦντο (ε). Καὶ φαί-

---

(α) «Ἀκούσατε πῶς περὶ τούτου πεφανερώκασιν οἱ ἱερεῖς τοῦ λαοῦ (ἴσ. γρ. τοῦ ναοῦ), *γεγραμμένης ἐντολῆς* αὐτοῦ· ὃς ἂν μὴ νηστεύσῃ τὴν νηστείαν, θανάτῳ ἐξολοθρευθήσεται, *ἐνετείλατο κύριος*» (Λευΐτ. κγ, 29) κτλ. Βαρνάβ. ἐπιστολ. §. ζ. (ἐν Patr. Apostol. Cotel. T. 1. p. 20).

(β) Βλ. Buxtorf. Thes. Grammatic. περὶ τὸ τέλος (καὶ πολλαχοῦ τοῦ Lexic. Talmudici). J. Lightfoot. Hor. Hebr. ad cap. 20. Matth. — J. Vorstius Philol. Sacr. c. 4. p. 141. Οὐχ ὤκνησαν δὲ προσθεῖναι, ὅτι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν διδάσκων τοὺς Ἰουδαίους, ἐχρήσατο παροιμίαις τισὶν ἐκ τοῦ Ταλμούδου !!! Ἀλλὰ πρὸς τὰς τοιαύτας ἐναγεῖς ἐρεσχελίας ἀπήντησαν ἄλλοι τε, καὶ ὁ Pfeiffer Crit. Sacr. p. 398.

(γ) «Solent *respondere et dicere*, Magistri nostri *tradiderunt* nobis — Certis diebus traditiones suas exponunt, dicentes, οἱ σοφοὶ δευτέρωσιν (γρ. ἴσ. δευτεροῦσι, τουτ. ἐπεξηγοῦσι διὰ τῶν δευτερώσεων). Καὶ «Quantae traditiones Pharisaeorum sint, et quam aniles fabulae, evolvere nequeo (ἐξελίττειν, τουτ. ἐξηγεῖν, ἐκφράζειν, ταῦτα τὰ μυθάρια, τὰ «ἑλικτὰ καὶ μηδὲν ὑγιές»). S. Hieron. T. 4. col. 207. (ἀρχ. ἐκδ. T. 1. p. 1264).

(δ) Augustin. Contr. Advers. leg. et prophet. L. II. cap. 1.

(ε) «Δύω δὲ τείχη τῆς κατὰ Θεὸν πολιτείας, ἥ τε παλαιὰ καὶ ἡ καινὴ Διαθήκη, ὧν οὐδετέρας αἱ τῶν *πρεσβυτέρων* μετέχουσι *παραδόσεις*, ἐφ' ἃς (γρ. αἷς) οἱ δευτερωταὶ λεγόμενοι παρ' ἐκείνοις ἀλαζονεύονται». (Προκόπ. εἰς Ἡσαΐ. ε). πρβλ. καὶ τὸν ἱερὸν Ἐπιφάνιον (Αἱρέσ. α, 15, καὶ Αἱρέσ. λγ, 9), ὅπου τέσσαρά τινα εἴδη τῶν Δευτερώσεων ἀριθμεῖ. «Αἱ γὰρ παραδόσεις τῶν πρεσβυτέρων δευτε-

νεται λοιπὸν βέβαιον, ὅτι ἡ Μισνὰ πρὸ τοῦ ε, αἰῶνος μεσοῦντος οὐχ ὑπῆρχε συγγεγραμμένη· συνεγράφη δὲ σύνεγγυς τοῦ 500 ἔτους (α). Κατὰ γὰρ τὸ 548 ἢ (552) Ἰουστινιανὸς ὁ αὐτοκράτωρ ἀπηγόρευσε τὴν ἤδη κατ' αὐτὸν εἰσαγομένην ἐν ταῖς Συναγωγαῖς χρῆσιν τῶν δευτερώσεων (τῆς Μισνᾶς). Τότε γὰρ οἱ τῶν Ἰουδαίων ἀρχισυνάγωγοι ἐπειρῶντο τὴν ἑβραϊκὴν γραφὴν συνάμα μετὰ τῶν δευτερώσεων εἰσαγαγεῖν εἰς τὰς Συναγωγὰς, πρὸς δημοσίαν ἀνάγνωσιν, ἐξορίσαντες τὴν ἑλληνικὴν ἑρμηνείαν, εἴτε τῶν Ο, (εἰσέτι καὶ τότε κατὰ τόπους ἀναγινωσκομένην), εἴτε τὴν τοῦ Ἀκύλα, ἧπερ ὕστερον ἐχρῶντο μάλιστα, καθὼς προείπομεν) (β). Ἐπειδὴ δὲ οἱ λαοὶ, μήτε τὴν ἑβραΐδα γλῶσσαν εἰδότες, καὶ πρόπαλαι συνειθισμένοι τὴν ἑλληνικὴν ἑρμηνείαν ἀκούειν καὶ νοεῖν, ἐστασίαζον καὶ ἐθορύβουν, ἐξέδωκεν ὁ Ἰουστινιανὸς διάταγμα λέγον. « Θεσπίζομεν ἄδειαν εἶναι τοῖς βουλομένοις Ἑβραίοις κατὰ τὰς συναγωγὰς τὰς αὐτῶν, καθ' ὃν Ἑβραῖοι ὅλως τόπον εἰσὶ, διὰ τῆς ἑλληνίδος φωνῆς τὰς ἱερὰς βίβλους ἀναγινώσκειν τοῖς συνιοῦσιν, ἢ καὶ τῆς πατρίου τυχὸν, τῆς ἰταλῆς ταύτης φαμὲν, ἢ καὶ [τῆς] τῶν ἄλλων ἁπλῶς τοῖς τόποις συμμεταβαλλομένης γλώσσης, καὶ τῆς δι' αὐτῶν ἀναγνώσεως, ἐφ' ᾧ σαφῆ τε εἶναι τὰ λεγόμενα τοῖς συνιοῦσιν ἅπασιν ἐφεξῆς, καὶ κατὰ τὰ αὐτὰ ζῆν τε καὶ πολιτεύεσθαι. καὶ μὴ παῤῥησίαν εἶναι τοῖς παρ' αὐτοῖς ἐξηγηταῖς μόνην τὴν ἑβραΐδα παραλαμβάνουσι κακουργεῖν ταύτην, ὡς ἂν θελήσαιεν. — Πλὴν οἱ διὰ τῆς ἑλληνίδος ἀναγινώσκοντες τῇ τῶν Ο χρήσονται παραδόσει, τῇ πάντων ἀκριβεστέρᾳ — καὶ ταύτῃ μὲν χρήσονται μάλιστα πάντες. Πλὴν ἀλλ' ὡς ἂν μὴ

ρώσεις παρὰ τοῖς Ἰουδαίοις λέγονται· εἰσὶ δὲ αὗται τέσσαρες· μία μὲν ἡ εἰς ὄνομα Μωϋσέως φερομένη, δευτέρα δὲ ἡ τοῦ καλουμένου ῥαββὶ Ἀχιβᾶ, τρίτη Ἀδδᾶ, ἤτοι Ἰούδα, τετάρτη τῶν υἱῶν Ἀσαμωναίου ».

(α) Τὸ Talmud ante C. 500. consignatum non erat. Walton, Proleg. VIII. §. 23.

(β) «Οἱ Ἰουδαῖοι πάσας τὰς Μωσαϊκὰς καὶ προφητικὰς ἐκδόσεις (τῶν Ο) ἀφέντες, τῇ ἀπὸ τοῦ Ἀκύλα παραδόσει καὶ πλάνῃ στοιχοῦσιν » (Ἀναστάσ. Σιναΐτ. Ὁδηγῷ κεφ. ϛ). Οὕτω καὶ πρὸ τούτου ὁ Φιλάστριος (Haeres. an. 99).

τὰς λοιπὰς ἀποκλείειν νομισθείημεν ἑρμηνείας, ἄδειαν (παρέχομεν) καὶ τῇ Ἀκύλα χρῆσθαι, κἂν ἀλλόφυλος ἐκεῖνος, καὶ οὐ μετρίαν ἐπί τινων λέξεων ἔχῃ πρὸς τοὺς Ο τὴν διαφωνίαν. Τὴν δὲ παρ' αὐτοῖς λεγομένην *δευτέρωσιν* ἀπαγορεύομεν παντελῶς· ὡς ταῖς μὲν ἱεραῖς οὐ συνανειλημμένην βίβλοις, οὐδὲ ἄνωθεν παραδεδομένην ἐκ τῶν προφητῶν, ἐξεύρεσιν δὲ οὖσαν ἀνδρῶν ἐκ μόνης λαλούντων τῆς γῆς, καὶ θεῖον ἐν αὐτοῖς ἐχόντων οὐδὲν» κτλ. (α).

(α) Ἰουστιν. Νεαρ. 146. §. νζ. (ἐν Βασιλικῶν. Βιβλ. Α. Τιτ. α. σελ. 32. ἐκδ. Lips. 1833). Ἐν ταύτῃ τῇ Νεαρᾷ ὁ ἱερὸς ἑρμηνεύει Φώτιος· «Ἡ δὲ ε, διαταγὴ τοῦ γ, Τίτλου τῶν Νεαρῶν ἐπιτρέπει τοῖς Ἰουδαίοις ἐν ταῖς Συναγωγαῖς αὐτῶν καὶ ἑλληνιστὶ καὶ ταῖς ἄλλαις διαλέκτοις, πρὸς τοὺς τόπους, τὰς Γραφὰς ἀναγινώσκειν, κατὰ τὴν τῶν Ο καὶ τοῦ Ἀκύλα παράδοσιν· ὁ δὲ τὴν τοιαύτην κωλύων ἀνάγνωσιν δημεύεται, καὶ ἐξορίζεται» (βλ. Νομοκαν. ιβ. 3. in Const. Eccles. Collect. Lib. III. tit. 3. edict. 5). Ὅπου τοίνυν ἀνεγινώσκετο παρ' Ἰουδαίοις ἡ ἑλληνικὴ ἑρμηνεία, φανερὸν, ὅτι ἐν ταύταις ταῖς συναγωγαῖς ἑλληνιστὶ γεγραμμένας τὰς δ ε υ τ ε ρ ώ σ ε ι ς εἰσῆγον μικρῷ πρὸ τῶν Ἰουστινιανοῦ χρόνων οἱ τῶν ῥαββίνων λεγόμενοι π ρ ε σ β ύ τ ε ρ ο ι, καὶ (ὡς ἡ αὐτὴ Νεαρὰ τούτους ὀνομάζει) Ἀ ρ χ ι φ ε ρ ε κ ῖ τ α ι [παρὰ τὸ ἑλλην. Ἀ ρ χ ὴ, καὶ τὸ ἑβρ. φ ε ρ ε κ ί μ, ὃ δηλοῖ κ ε φ ά λ α ι ο ν π ρ α γ μ α τ ε ί α ς· τοιαῦτα ἡ Μισνὰ ἔχει 524, περιεχόμενα εἰς 63, πραγματείας (tractatus, ἑβρ. masicthoth), εἰς ἃς διαιροῦνται τὰ ἓξ μεγάλα τμήματα (τ ά ξ ε ι ς, ἢ στίχας ταῦτα καλοῦσι, s e d a r i m) τῆς ὅλης βίβλου τῆς Μισνᾶς). τούτων οὖν τῶν κεφαλαίων ἡ ἐξήγησις ἀνῆκεν εἴς ἕνα τινα τῶν ἐπισημοτάτων ῥαββίνων, ὅστις δι' αὐτὸ ἐπωνομάζετο καὶ ἀ ρ χ ε φ ε ρ ε κ ί τ η ς, οἷον ἀ ρ χ ι κ ε φ α λ α ῖ ο ς, ἢ κ ε φ α λ α ί α ρ χ ο ς]. Εἰσῆγον δὲ τὰς δ ε υ τ ε ρ ώ σ ε ι ς οἱ ῥαββεῖς, ὅπως ἐξελάσαντες, ὡς προείπομεν, ἐκ τῶν Συναγωγῶν τὴν ἀνάγνωσιν τῆς ἑλληνικῆς τῶν γραφῶν ἑρμηνείας, κατασκευάζωσι διὰ τῆς Μ ι σ ν ᾶ ς τοὺς Ἰουδαίους μᾶλλον ἰουδαϊκωτέρους. Ὅθεν ἴσως οἱ πολλοὶ μὴ στέργοντες τὴν καινοτομίαν, προσῆλθον τῷ αὐτοκράτορι Ἰουστινιανῷ, καὶ ἐξεδόθη τὸ ἀνωτέρω διάταγμα (βλ. Morin. Exercit. Bibl. pag. 297). Καὶ ὀρθῶς ἄρα εἶπεν Οὐόσσιος, ὅτι τὰς δευτερώσεις οἱ ῥαββῖνοι γεγράφασι πρῶτον ἑλληνιστί· κατὰ δὲ τοὺς Ἰουστινιανοῦ χρόνους ἢ μικρῷ μετὰ ταῦτα, συνέγραψαν καὶ ἰουδαϊστὶ τὴν Μ ι σ ν ὰ ν (J. Voss. de Sibyl. Oracul. c. 16). Ὁ δ' ἀντιλέγων Σιμώνιος μάτην ἐπεγέλα, πάνυ παλαιὰν ἐθέλων τὴν Μ ι σ ν ὰ ν κτλ. (βλ. καὶ Hody de Bibl. Text. p. 240). Ἀλλὰ καὶ ὁ Βερνάρδος μετάφρασιν ἑλληνικὴν ἐκ τῆς ἀρχαιοτέρας Ἰουδαϊκῆς Μισνᾶς ἐνόμισε τὰς ἐπὶ τοῦ Ἰουστινιανοῦ δευτερώσεις (Ed. Bernard. praef. in Guisij Misnam). Ἀλλαχοῦ δὲ πάλιν ὁ Οὐόσσιος (παραχθεὶς ἐκ τῆς λατινικῆς τοῦ Ἰουστινιανείου διατάγματος ἑρμηνείας, ἥτις τὸ Δ ε ύ τ ε ρ ω σ ι ν οὐκ ὀρθῶς ἡρμήνευσε secundam editionem), δ ε υ τ ε ρ ώ σ ε ι ς ὑπέλαβε τὴν τοῦ Ἀκύλα δευτέραν ἔκδοσιν τῆς γραφῆς (βλ. ὀπισθ. σελ. 78), μετὰ σχολίων καὶ σημειώσεων εἰς τὸ περισέλιδον ἐκδεδομένην (ad iteratas Simon. Object. Res-

Ἐντεῦθεν ὁρμώμενος ὁ κλεινὸς Κεννικῶτος τίθησι τὴν καθόλου συλλογὴν τῶν ῥαββινικῶν τούτων παραδόσεων, ἢ δευτερώσεων περὶ τὸ τέλος τοῦ ϛ, αἰῶνος· καὶ τὸ μὲν Ἱεροσολυμικὸν Ταλμοῦδον (ἡ Μισνὰ μετὰ τῆς Γεμάρας) συνεπιλήθη περὶ τὸ 600 μ. Χ. τὸ δὲ Βαβυλώνιον περὶ τὸ 700 μ. Χ. (α).

§. λε. Οὕτω δὲ τῆς ἡλικίας τοῦ Ταλμούδου διορισθείσης, βλέπομεν πολλὰς τῶν ἐν αὐτῷ φερομένων ῥήσεων τῆς ἑβραΐδος Γραφῆς διαφόρως ἐχούσας, ἢ ὡς ἀναγινώσκονται τὴν σήμερον ἐν τῷ Μασοριτικῷ. Καὶ συχνάκις τὸ Ταλμοῦδον, ὃ τιμᾶται παρ' Ἰουδαίοις, ὡς θεσπέσιος *τοῦ ἀληθοῦς καὶ τοῦ εὐθέος κανὼν*, ἀντιφάσκει προφανῶς πρὸς τὴν *ἄλλον* καὶ αὐτὴν *κανόνα τοῦ ἀληθοῦς καὶ τοῦ εὐθέος* τεθεσπισμένην Μάσοραν, καὶ αὕτη πάλιν πρὸς ἐκεῖνο (β). Ὥστε ὁ καθ' ἡμᾶς ἑβραῖος κώδηξ ὑπέστη σαφῶς καὶ ἐξ ἐκείνου τοῦ χρόνου πολλὰς καὶ ἄλλας μεταβολάς.

---

pons. p. 350). Ἀλλὰ τοῦτο, νομίζομεν, ὅτι τότε μόνον ἀληθεύει, ὅταν ἡ δευτέρωσις ὁρισθῇ οὐκ ἐπὶ τῆς Ἀκύλα δευτέρας ἑρμηνείας (ὅπερ ἀντίκειται τῷ Ἰουστινιανείῳ διατάγματι, ἀπαγορεύοντι μὲν τὰς Δευτερώσεις, συγχωροῦντι δὲ ἁπλῶς τὴν Ἀκύλου ἑρμηνείαν), ἀλλ' εἰς ἃς εἶπεν ὁ Οὐόσσιος ἐν τῷ περισελίδῳ γεγραμμένας ῥαββινικὰς ἐξηγήσεις καὶ σημειώσεις, αἵτινες ἦσαν αἱ παραδόσεις, ἢ αἱ δευτερώσεις αὐταί. Κἀκεῖνο δὲ ἀπίθανον εἶπεν ὁ κλεινὸς ἀνὴρ (αὐτόθ.)· ὅτι ἄρα ἐκ τούτων τῶν παραδόσεων μετέγραψε μέγα μέρος τῶν εἰς τὴν Γένεσιν ἑβραϊκῶν παραδόσεων ὁ Ἱερώνυμος. Οὔτε γὰρ ἐπὶ τοῦ Ἱερωνύμου ὑπῆρχον γραπταὶ αἱ παραδόσεις (βλ. ὄπισθ. σελ. 106). Καὶ οἱ ταύτας εἰς τὸν Ἀκιβᾶν, τὸν Ἀκύλου διδάσκαλον, ἀποδιδόντες παλαιοὶ ῥαββῖνοι (ὃ προστίθησιν Οὐόσσιος) ἐθεώρουν τὸν Ἀκιβᾶν τοῦτον οὐχ ὡς ἐγγράφως, ἀλλ' ὡς ἀπὸ στόματος αὐτὰς παραδιδόντα κατὰ πλάτος (οἷον εἶχεν ἐκεῖνος στόμα χρουνοχυτρολήραιον!). Οὕτω δὲ καὶ ἄλλοι ῥαββῖνοι παρεδίδουν, ὧν ἐμνήσθη ὁ Ἐπιφάνιος ἀνωτέρω (σελ. 106). Ο,τι δὲ καὶ περὶ τούτων φρονοῦσιν οἱ μεταγενέστεροι ῥαββεῖς, ἴδε παρὰ τῷ Morin. Exercit. L. II. XVI. c. 2. p. 294 seq. καὶ Hody l. c. p. 240. πρβλ. καὶ Le Moyne, Var. Sac. T. 2. p. 541.

(α) Kennicot Diss. II. p. 427. βλ. καὶ Morin. Exercit. p. 301.

(β) Βλ. Kennicot. Dis. II. p. 242—247, 270, 255. Οὕτω, φέρ' εἰπεῖν, ἐν β. Παραλ. κϛ, 5 εἶχε τὸ ἑβραϊκὸν ἐν φόβῳ κυρίου, ὡς ἀναγινώσκει καὶ τὸ Ταλμοῦδον (οὕτως ἔχουσι καὶ οἱ Ο, αὐτόθ. «συνιόντος ἐν φόβῳ κυρίου)· ἐν δὲ τῷ καθ' ἡμᾶς Μασοριτικῷ κειμένῳ γεγραπται «συνιόντος εἰς τὰς ὁράσεις τοῦ Θεοῦ». Περὶ δὲ τοῦ ρκθ, ψαλμοῦ προείπομεν ἀνωτέρω (σελ. 100). Ἄλλα παραδείγματα βλ. παρὰ Walton, Proleg. VII. §. 10. πρβλ. καὶ Hottinger. Thes. Philolog. pag. 213.

§. λϛ. Καὶ φαίνεται λοιπὸν, ὅτι ἀπ' ἀρχῆς μέχρι τέλους τῆς δ, ταύτης, ἣν διήλθομεν, περιόδου, καὶ μέχρι τέλους τῆς ἐφεξῆς, εἶχον οἱ Ἰουδαῖοι γερουσίαν τινὰ, ἢ συμβούλιον ἐκ τῶν ἐν αὐτοῖς πρωτευόντων, ὧν τοῖς διατάγμασι πάντες οἱ ἁπανταχοῦ τῆς οἰκουμένης ὁμογενεῖς αὐτῶν ὤφειλον ὑπακούειν. Ἠπίσταντο γὰρ καὶ οὗτοι πόσον συντελεῖ πρὸς τὸ ἴδιον αὐτῶν συμφέρον (καὶ μάλιστα μετὰ τὴν ἐσχάτην διασπορὰν) ἡ πειθαρχία, ἣν ἄγαν ἐπιχαρίτως ἐζωγράφισεν ὁ Αἰσχύλος (Ἑπτὰ ἐπὶ Θήβ. ςχ. 226) «*Πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας Μήτηρ, γυνὴ σωτῆρος* (τοῦ Διός)».

Ἀμφέβαλεν ὁ ἱερὸς Αὐγουστῖνος, εἴπερ ἦν καὶ ὅλως δυνατὸν ὑπὸ τῶν Ἰουδαίων διαφθαρῆναι τοσούτους κώδηκας τῆς Γραφῆς, πολλαχοῦ τῆς οἰκουμένης εἰς μῆκος καὶ πλάτος διεσπαρμένους (π. Πόλ. Θεοῦ ΙΕ, ια). Ἀλλ' ἠγνόει ἄρα ὁ Πατὴρ τὴν εἰς διατήρησιν τῆς ἰουδαϊκῆς ἀπιστίας ἀκάματον καὶ δραστήριον ἐντρέχειαν τῶν μετὰ Χριστὸν ῥαββίνων. Εἰ δ' ἐπέζη μέχρι καὶ τοῦ ἐφεξῆς αἰῶνος, ἔβλεπεν ἂν αὐτοψεὶ, πόσον ὁμαλῶς καὶ ἀψοφητὶ, ὡς ὑετοῦ ψεκάδες, κατέπεσον ἐπὶ τῶν ἁπανταχοῦ τῆς γῆς διεσπαρμένων ἀπογράφων τὰ *μασοραῖα στίγματα*. Ἔπειτα καὶ ἄλλως ἔχομεν ἐκ τῆς ἱστορίας βέβαια τὰ τῶν παρ' αὐτοῖς ψευδοπατριαρχῶν (ἔν τε τῇ Τιβεριάδι κἀν τῇ Βαβυλῶνι) πονηρὰ συνέδρια (βλ. ὄπισθ. σελ. 74). Μαρτυρεῖ δὲ καὶ Εὐσέβιος, καὶ σὺν αὐτῷ ὁ Ἱερώνυμος (ἀμφότεροι ἐν τοῖς εἰς Ἡσαϊ. γ, 4, ὑπομνήμασιν), ὅτι καὶ τοὺς παρ' αὐτοῖς λεγομένους *Ἀποστόλους* πανταχοῦ τῆς γῆς ἀπέστελλον, διαβάλλοντας τὸ κήρυγμα τοῦ Εὐαγγελίου· «Καὶ νῦν εἰσέτι (προστίθησιν ὁ Εὐσέβιος) Ἀποστόλους ἔθος ἐστὶν Ἰουδαίοις ὀνομάζειν τοὺς τὰ ἐγκύκλια γράμματα παρὰ τῶν ἀρχόντων αὐτῶν ἐπικομιζομένους» (α). Καὶ μετὰ τὴν κα-

---

(α) Βλ. Εὐσεβ. ὑπομνήμ. εἰς Ἡσ. (ἐν σελ. 354, Collect. Nov. Patr. ἐκδ. Montfaucon Paris, 1707), καὶ Οἰκουμέν. ὑπομνήμ. εἰς τὴν πρὸς ἑβρ. ἐπιστολ. πρβλ. καὶ Θεοδοσίου κώδηκα τὸν προμνημονευθέντα (σελ. 75). Τοὺς ἀποστόλους τούτους καὶ ὁ θεῖος Ἰουστῖνος ἐννοεῖ, λέγων πρὸς τὸν ἰουδαῖον Τρύφωνα (Διαλογ. §. 108) ὅτι «ἄν-

τάργησιν τῆς ἐν Τιβεριάδι πατριαρχείας, διετηρεῖτο παρ' αὐτοῖς μισόχριστος γερουσία κατὰ τὴν Βαβυλῶνα, φροντίζουσα τῶν κατὰ τόπους συναγωγῶν, ὡς ἐκ ῥαββίνων ἀπέδειξεν ὁ Μορῖνος. Ὅσα γοῦν ὑπὸ ταύτης τῆς γερουσίας ἐψηφίζοντο περὶ κυρώσεως, ἢ ἀποβολῆς τινῶν ἐν τοῖς ἱεροῖς βιβλίοις ἀναγνώσεων καὶ γραφῶν, ταῦτα διήρχοντο χωροῦντα καὶ εἰς ἅπαντα, ἢ τὰ πλεῖστα γοῦν ἑβραϊκὰ χειρόγραφα. « Καί τοι γὰρ (προστίθησι πάλιν ὁ Μορῖνος) ὀλίγη τις ἡμῖν καὶ βραχεῖα καταλέλειπται τῶν Ἰουδαϊκῶν συγγραμμάτων ἀποσκευή, οἴδαμεν ὅμως ἐκ τούτων βεβαίως, ὅτι γερουσία τις ὑπῆρχε παρ' Ἰουδαίοις καὶ πρότερον (ἀπὸ τοῦ β, αἰῶνος καὶ ἐφεξῆς), καὶ δι' ὅλων σχεδὸν 600 ἐτῶν κατόπιν τοῦ ἱεροῦ Αὐγουστίνου (τουτ. ἀπὸ τοῦ 430, ἕως τοῦ 1000 μ. Χ.), ἧς τοῖς διατάγμασιν ἅπαν τὸ ἔθνος ἀσμένως ἐπείθετο. Εἰ δέ τις καὶ σμικρὸν ἀντιβαίνοι, αὐτίκα κοινῇ τῶν ἄλλων γνώμῃ *ἀποσυνάγωγος* ἐκηρύττετο, πυρὸς καὶ ὕδατος εἰργόμενος. Ἐντεῦθεν συμπεραίνεις, ἀναγνῶστα, πόσον εὐκόλως ἠδύναντο διὰ χιλίων ἐτῶν τὰ τῶν Ἰουδαίων βιβλία κατὰ πᾶσαν τὴν οἰκουμένην διαφθαρῆναι » (α).

ΠΕΡΙΟΔΟΣ. Ε.

Ἀπὸ τῆς συμπληρώσεως τοῦ Ταλμούδου μέχρι τῶν Ῥαββίνων Βὲν-Ἀσὴρ καὶ Βεν-Νεφθαλί· ἤτοι ἀπὸ τοῦ 600 μέχρι τοῦ 1040.

§. λζ. Περὶ τὰς ἀρχὰς τῆς περιόδου ταύτης τὸ Ταλμοῦδον, πρῶτον μὲν κατὰ τὴν Ἱερουσαλὴμ καὶ τὴν Παλαιστίνην, μετέπειτα δὲ καὶ ἐπὶ τῆς Βαβυλῶνος ἤδη κεκρατηκὸς, διὰ πάσης ἤγετο τιμῆς καὶ αὐθεντίας παρὰ πᾶσι τοῖς Ἰουδαίοις. Καὶ ἦσαν μὲν ἤδη καὶ πρότερον ἐξωλισθηκότες εἰς τοσαύτην βλάβην φρενῶν, ὥστε *ἀκυροῦν τὸν λόγον τοῦ Θεοῦ διὰ τὰς παραδόσεις*

δρας χειροτονήσαντες ἐκλεκτοὺς, ἐπέμψατε κηρύσσοντας, ὅτι αἵρεσίς τις ἄθεος καὶ ἄνομος ἐγήγερται ὑπὸ Ἰησοῦ τινος Γαλιλαίου » κτλ.

(α) Morinus, Lib. I. Exercit 1. c. 5, καὶ 6. §. 1. p. 24—30.

αὐτῶν» (Ματθ.), τότε δὲ καὶ χεῖρον μανέντες ἐξεβακχεύθησαν. Γνωστὴ καὶ τετριμμένη περιφέρεται παρὰ τοῖς ῥαββινικοῖς συγγραφεῦσιν ἐκείνη ἡ γνώμη· « *Υἱὲ πρόσεχε τοῖς λόγοις τῶν γραμματέων μᾶλλον, ἢ τοῖς λόγοις τοῦ νόμου*» (δηλαδὴ τοῦ Μωσέως). « *Ἴσθι τὰ τῶν γραμματέων ῥήματα προσφιλέστερα τυγχάνοντα μᾶλλον, ἢ τὰ τῶν προφητῶν* ». Ταῦτα δὲ καὶ αὐτὸς ὁ σφόδρα φιλιουδαῖος Βουξτόρφιος μνημονεύσας, ἠγανάκτησε λέγων· « Βλέπεις, ἀναγνῶστα, τῆς σκληροτραχήλου καὶ τετυφλωμένης γενεᾶς τὰ περὶ τοῦ ἑαυτῆς Ταλμούδου, καὶ τῶν τούτου συμπιλητῶν ἀναιδέστατα καὶ ἀσεβῆ ἐγκώμια. Τί οὖν θαυμαστὸν, εἴπερ τὸν θεῖον λόγον ἀφέντες, ἠκολούθησαν ταῖς ἀτόποις παραδόσεσι τῶν πατέρων αὐτῶν»; (α). Ὁ δ᾽ αὐτὸς ὁμολογεῖ, καὶ ὅτι οἱ ἀρχαῖοι ἐκεῖνοι Ἰουδαῖοι μέχρι τοῦ 1000, ἔτους μ. Χ. μόνον περὶ τὸ Ταλμοῦδον ἠσχολοῦντο, μικρὰ τῆς τῶν Γραφῶν ἑρμηνείας φροντίζοντες (β). Ἀλλ᾽ ἦσαν ἐν τουτοις καὶ οἱ λεγόμενοι Καραῖοι, ἢ *Καραῖται* (δηλονότι *γραφικοί*), περὶ τὸ 720 μ. Χ. (ἤδη τοῦ ἑβραίου κώδηκος ἐν πολλοῖς διεφθορότος) ἀναφανέντες, οἵτινες ἀπρὶξ ἀντεχόμενοι τῶν Γραφῶν, ἀπέῤῥιπτον (ὡς πρώην οἱ Σαδδουκαῖοι) πάσας τὰς παραδόσεις καὶ *δευτερώσεις* τῶν Ῥαββίνων, αἷς προσκεκόλληνται οἱ *Ῥαββανισταί* (γ). ὅτι δὲ καὶ οὗτοι κἀκεῖνοι

(α) Buxtorf. de Abbreviation. Hebr. p. 226, 228, καὶ Kennicot Diss. II. p. 429.

(β) Αὐτ. σελ. 355. πρβλ. Wolf. Biblioth. Hebr. IV, 43.

(γ) Τὸ Καριὰ, ἢ Καραΐ, ἢ Καροΐ (πληθ. Καραΐμ) ὑπῆρχε καὶ πρότερον ἐπὶ τῶν ταλμουδιστῶν ἔντιμον ἐπίθετον, σημαῖνον τὸν ἀκριβῶς ἀναγινώσκοντα τὸν Νόμον, καὶ τοὺς προφήτας καὶ τὰ ἁγιόγραφα, ὡς ὁ καθ᾽ ἡμᾶς ἰουδαῖος Λουζάτος ἐκ τοῦ Ταλμούδου σημειοῖ (Luzzato, Prolegomeni ad una Grammatica ragion. della Lingua Ebraica p. 20. Padova, 1836). Ἀλλ᾽ ὕστερον Καραῖται ὠνομάσθησαν ἰδίως οἱ ἀνωτέρω *γραφικοί*, οἳ καὶ μέχρι σήμερον παρὰ τοῖς ἄλλοις Ἰουδαίοις ὡς σχισματικοὶ θεωροῦνται. Σῴζονται δ᾽ ἔτι καὶ τὴν σήμερον ἔν τε Κωνσταντινουπόλει, κἀν τῇ Ταυρίδι, καὶ Πολωνίᾳ, καὶ ἐν Αἰγύπτῳ, καὶ Περσίᾳ σποράδην κατοικοῦντες. Μισοῦσι δὲ τούτους θανασίμως ἀποστυγοῦντες οἱ ἄλλοι Ἰουδαῖοι, οἱ καὶ Ταλμουδικοὶ καλούμενοι, καὶ Ῥαββανισταὶ (*ῥαββανίμ*), ὡς τὰς παραδόσεις καὶ δευτερώσεις τῶν Ῥαββάνων (βλ. ὄπισθ. σελ. 74) ἀποδεχόμε-

τὸ κείμενον τῶν Γραφῶν ἀνεγίνωσκον καὶ ἡρμήνευον πρὸς τὰ σφίσιν ἀρέσκοντα, πιθανώτατα καὶ λίαν εὐλόγως συμπεραίνεται (βλ. ὄπισθεν σελ. 60).

§. λη. Ἐν δὲ τῷ μεταξὺ τούτῳ κατὰ καιροὺς ἐγίνοντο καί τινες διορθώσεις τοῦ κειμένου. Ἔτι πρὸ τῆς εὑρέσεως τῶν φωνητικῶν στιγμῶν πεντάκις λέγουσι τοὺς Ἰουδαίους διορθῶσαι τὸ κείμενον τὸ ἑβραϊκόν (α). Πρώτην ἀριθμοῦσι διόρθωσιν τὴν λεγομένην *ἀφαίρεσιν τῶν γραμματέων* (ἑβρ. Ittur Sopherim), δι' ἧς ἀφεῖλον τὸ γράμμα *Βαῦ* (= *καὶ*) ἐκ πέντε λέξεων τῆς Γραφῆς. Ὅτι δὲ ἐκ τῆς τοιαύτης ἐξαλείψεως τοῦ *καὶ* συνδέσμου ἐξήρτηται πολλάκις ὅλη ἡ περίοδος, καὶ μεταβάλλεται καὶ ἡ συνθήκη καὶ τὸ νόημα τοῦ λόγου, φανερόν. Δευτέραν δὲ διόρθωσιν τάττουσι τὴν ἐπί τινων λέξεων *ἀναγινωσκομένων* μὲν, ἀλλ' ὅμως (ἐν τῷ κειμένῳ) *μὴ γραφομένων*, ἢ καὶ τἀνάπαλιν· (διαφέρουσι δὲ αὗται τῶν πολυαρίθμων ἐκείνων, ἐφ' αἷς ὕστερον οἱ Μασορῖται ἐσημείωσαν ἁπλῶς ἐν τοῖς περισελίδοις τῶν βιβλίων τὸ λεγόμενον *Κερὶ* (ἀναγνωστόν)· περὶ τούτου λέγομεν ἐν τοῖς ἐφεξῆς. Τρίτην λέγουσι, τὴν ἐπονομασθεῖσαν διόρθωσιν, ἢ *διάταξιν τῶν γραμματέων* (ἑβρ. Tikkum Sopherim), δι' ἧς διέταξαν καὶ διώρθωσαν λέξεις οὐκ ὀλίγας, καὶ ταύτας οὐκ ἐν γράμμασι μόνον καὶ συλλαβαῖς, ἀλλὰ καὶ ὁλοκλήρους μεταβαλόντες (ὡς ὅτε, ἀντὶ τοῦ «*τὰς σκηνὰς αὐτοῦ*» ἔγραψαν «*τοῦ Θεοῦ αὐτοῦ*» κτλ.). Ὅτι δὲ *οἱ γραμματεῖς* οὗτοι οὐκ ἦσαν Ἔσδραι τινὲς περὶ τὰς τολμηθείσας ταύτας διορθώσεις, οὐδ' ἂν οἱ συγγενεῖς αὐτῶν ἀρνηθεῖεν! Τετάρτην λέγουσιν, ἐν ᾗ, τῶν χειρογράφων ἐξετασθέντων, ἐπειδὴ ἐν πλείστοις τόποις ταῦτα διεφώνουν, προεκρίθησαν ἐκεῖναι αἱ ἀναγνώσεις, αἵτινες ὑπὸ τῶν πλειόνων χειρογράφων ἐβεβαιοῦντο.

νοι. Καὶ τοιοῦτοί εἰσι πάντες, μικροῦ δεῖν, οἱ ἄλλοι, οἱ κατά τε τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν κατοικοῦντες Ἰουδαῖοι. βλ. Hotting. Thes. p. 40, 583. — Morin. Exerc. p. 420. sq. — Fabricy. l. c. T. 2. p 316.

(α) Βλ. Morin. Exercit. pag. 408. — Hottinger. Thes. Philol. p. 432. Masclef, Nov. Grammat. p. 10. — Kennicot Diss. II. p. 430.

(εἰ δὲ καὶ ἐν τοῖς πλείοσι κώδηξι τούτοις ἠλήθευε τὸ τοῦ Πριηνέως Βίαντος ἀπόφθεγμα « *οἱ πλείους κακοί* », τότε λοιπὸν καὶ τὰ ἐξ αὐτῶν ἀναγνώσματα προήρχοντο τοῖς πατράσιν ὅμοια! Ποίας δὲ καὶ πόσας ἀκριβῶς τοιαύτας ἀναγνώσεις ἐστεφάνωσε, καὶ καθίδρυσεν ἐν τῷ κειμένῳ ἡ σοφία τῶν κριτικῶν ἐκείνων, μένει ἀδιόριστον). Φαίνονται δὲ αἱ διορθώσεις αὗται γενόμεναι πρὸ τῆς ἐκδόσεως τοῦ Ταλμούδου (διότι τοῦτο μνημονεύει καὶ *τῆς ἀφαιρέσεως τῶν γραμματέων*, καί τινας ὀλίγας λέξεις *γραφομένας καὶ μὴ ἀναγινωσκομένας*, ἢ καὶ τἀνάπαλιν, καὶ τὰ μείζω, καὶ ἐλάσσω, καὶ τ' ἀντίστροφα γράμματα) (α). Πέμπτην διόρθωσιν ἀριθμοῦσι τὴν καὶ τῶν ἄλλων ἐνδοξοτέραν, ἥτις περιλαμβάνει 216, ἀναγνώσεων παραλλαγάς. Οἱ *δυτικώτεροι* Ἰουδαῖοι (τουτέστιν οἱ Παλαιστινοί, ἴσως ἐν Τιβεριάδι, ἢ καὶ ἀλλοθί που τῆς Ἰουδαίας κατοικοῦντες) μετὰ τὰς εἰρημένας δ΄, διορθώσεις ἐπεζήτασαν πάλιν τὸ κείμενον τὸ ἑβραϊκόν, ἀντιβαλόντες πρὸς ἄλληλα τὰ ἀντίγραφα, καὶ τάς τε διαφόρους παρεσημείωσαν ἀναγνώσεις, καί τινας ἀξιομνημονεύτους εἰκασίας. Ταύτην δὲ τὴν διόρθωσιν λαβόντες οἱ κατὰ τὴν Βαβυλῶνα *ἀνατολικώτεροι* Ἰουδαῖοι, παρεζήτασαν, ἀντιβαλόντες πρὸς τὰ παρ' αὐτοῖς ἄριστα χειρόγραφα, καὶ εὕρηκαν ταῦτα διαφέροντα τῶν παρὰ τοῖς Παλαιστινοῖς ἐκδεδομένων κατὰ τὰς εἰρημένας 216 παραλλαγάς, καὶ ταύτας ὑφεστώσας οὐ περὶ τόνους καὶ στιγμάς, ἀλλὰ

(α) Βλ. Walton, Prolegom. VII. §. 10. πρβλ. καὶ Kennicot. Diss. II. p. 430. *Μνημονεύει δὲ ταύτης τῆς διορθώσεως τὸ Ταλμοῦδον οὐχ ἐν τῇ προγενεστέρᾳ Μισνᾷ, ἀλλ' ἐν τῇ πολὺ ὕστερον συνταχθείσῃ Γεμάρᾳ, ἐν ᾗ καὶ ἄλλα προςίθενται πάνσοφα παραγγέλματα· οἷον, Πῶς δεῖ μεταγράφειν τὰς βίβλους τοῦ νόμου. — Τίνα γράμματα γραπτέον κεφαλαιώδη, ἢ μικρότερα, ἢ κρεμάμενα (κατ' ἐπένθεσιν ἐξέχοντα πρὸς τὰ ἄνω τῆς γραμμῆς τῶν ἄλλων γραμμάτων, ἐξ ὧν σύγκειται ἡ λέξις), ἢ ἀντίστροφα.—Τίνας αἰσχρὰς ἐν τῷ κειμένῳ λέξεις εὐφήμως ἀναγνωστέον, καὶ τὰ λοιπὰ τῆς μωρίας ῥητά. βλ.* Kennicot. Diss. II. p. 430—433 καὶ p. 243, 253. πρβλ. καὶ Walton, Proleg. VIII. §. 5. 6. καὶ 23. Carpzov. Crit. Sacr. p. 342. — Chiarini, Théorie du Judaisme T. 1. p. 59. *Ἴδε καὶ ἐν τοῖς ἑξῆς κεφ. ζ.*

καὶ κατὰ γράμματα καὶ κατὰ λέξεις. Αὕτη δὲ ἡ βαβυλωνία διόρθωσις ἐγένετο μετὰ τὸ τέλος τοῦ η, αἰῶνος, ἢ τοῦ θ, μεσοῦντος (περὶ τὸ 850 μ. Χ.). Καὶ φαίνεται λοιπὸν ἐξ αὐτῆς, ὅτι μεταξὺ τῆς τότε περὶ τὸ Ταλμοῦδον θερμῆς τῶν Ἰουδαίων σπουδῆς οὐ διέλιπον ἐν αὐτοῖς καί τινες μεμνημένοι καὶ τῶν παρ' αὐτοῖς ἁγίων Γραφῶν. Ἀλλ' οὔτε τὸν ἀριθμὸν τῶν εἰς τὰς διορθώσεις παραληφθέντων χειρογράφων γινώσκομεν, οὔτε τὸ μέτρον τῆς ἐπιμελείας, ὅσην κατέβαλον πρὸς ἀντιβολὴν καὶ διάκρισιν αὐτῶν. Εἰ μὲν οὖν τὰ τότε χειρόγραφα πρὸς ἄλληλα διεφώνουν ἐπὶ τοσοῦτον, ὅσῳ καὶ παρ' ἡμῖν τὴν σήμερον, πολὺ μείζω τὸν ἀριθμὸν τῶν περὶ τὰς ἀναγνώσεις παραλλαγῶν πάντως ἔμελλον παρασχεῖν, πλὴν εἰ μήπως ἦσαν ὀλιγάριθμα· εἰ δὲ πάλιν ὑπῆρχον πολλὰ, ἢ ἀμελέστερον λοιπὸν ἐξητάσθησαν, ἢ τῶν σεσημειωμένων παραλλαγῶν ὁ ἀριθμὸς ἐσμικρύνθη, διαφθαρεισῶν τῶν πλείστων ὑπὸ χρόνου μέχρι λήθης παντελοῦς (α).

§. λθ. Πρὸς ταῖς πέντε ταύταις ἐπισήμοις διορθώσεσι προστιθέασι καὶ ἕκτην τινὰ, μᾶλλον ἐκ τῶν διορθωτῶν, ἢ ἐκ τῆς ἰδέας αὐτῆς διακρινομένην, τὴν λεγομένην τοῦ Ἀσηρίδου καὶ τοῦ Νεφθαλίδου (Βὲν–Ἀσὴρ, καὶ Βὲν–Νεφθαλί). *Ἤστην δὲ τὼ μεγάλω ῥαββίνω τούτω*, ὁ μὲν Ἀσήρου παῖς σχολαρχῶν ἐν τῇ Παλαιστίνῃ, ὁ δὲ Νεφθαλίδης ἐν Βαβυλῶνι. Εἰ μὲν οὖν οἱ δύω οὗτοι περιλάλητοι κριτικοὶ διώρθωσαν γράμματά τινα καὶ λέξεις τοῦ ἑβραϊκοῦ κειμένου, οὐδὲν ἔχουσιν εἰπεῖν οἱ σοφοὶ τῆς διεσπαρμένης Συναγωγῆς, οὐδ' ἐπίστανται περὶ τούτων οὐδέν. Νομίζεται δὲ κοινῶς, ὅτι μόνον περὶ τὰς στιγμὰς καὶ τὰ φωνητικὰ σημεῖα (ἃ τότε κατ' αὐτοὺς, ἢ καὶ μικρῷ πρότερον ἦσαν ἐξευρεθέντα) ἰδίας τινὰς διαφωνίας ἐσημείωσαν ἐν τοῖς χειρογράφοις, διαφόρως ἑκάτεροι στίξαντες τὰς φωνάς. Ὅθεν ὕστερον ἄλλως μὲν ἀνεγίνωσκον τὰς λέξεις οἱ τῆς *Ἀσηρίτιδος*, ἄλλως δὲ πάλιν ἡ τῆς *Νεφθαλίτιδος* σχολῆς ὀπαδοί. Οὕτως οἱ δύω οὗτοι ῥαββῖνοι, πλή-

(α) Βλ. Kennicot. l. c. πρβλ. Walton, Prolegom. VIII. §. 28.

ρεις ἑκάτεροι τὸν ἐγκέφαλον ὄγκου ὑδρωπικοῦ, καὶ φλεγμαίνοντες ὑπ᾽ ἀντιζηλίας, οὐκ ἠξίωσαν ἀμφότεροι συνελθόντες, καὶ μετὰ κοινῆς σπουδῆς καὶ συνεργείας πάντα συνάμα τὰ παρ᾽ αὐτοῖς ἀντίγραφα συναντιβαλλόντες, ἕνα κώδηκα συντάξαι διωρθωμένον, ἀλλ᾽ ἐξέδωκεν ἑκάτερος ἴδιον κώδηκα, διορθώσας πρὸς τὸ δοκοῦν, καὶ τοῦτον ἐδημοσίευσεν ὡς κανόνα τῶν ἐφεξῆς ἀντιγράφων. Ἐντεῦθεν καὶ μέχρι σήμερον οἱ μὲν διατηροῦσι τὴν Ἀσηρίδου, οἱ δὲ τὴν Νεφθαλίδου διόρθωσιν, διαιρούμενοι εἰς *ἀνατολικοὺς καὶ δυτικούς* (α). Ἐγένετο δὲ αὕτη ἡ ἐσχάτη οἱαδήποτε διόρθωσις, ὡς φαίνεται, περὶ τὸ 1000, ἢ 1034 ἔτος μ. Χ. Καὶ ταῦτα μὲν περὶ τῶν ἰδίων διορθώσεων τοῦ κειμένου.

§. μ. Ἀλλὰ μεταξὺ τούτων ἀνεφάνησαν οἱ περιβόητοι Μασορῖται. Τίνες οὗτοι, καὶ πότε, καὶ ποῦ τὸ πρῶτον ἐξέφυσαν, οὐδὲν βέβαιον ἔχουσιν εἰπεῖν. «Οἱ συγγραφεῖς τῆς Μασόρας (λέγει Ἠλίας ὁ Λευΐτης, ἰουδαῖος ἀνὴρ) ἐγένοντο χίλιοι καὶ ἑκατὸν» (τουτ. πάμπολλοι)· «γενεὰ ἐπορεύετο καὶ γενεὰ ἤρχετο· οὐδ᾽ ἔςιν ἡμῖν γνωστὸς ὁ χρόνος οὔτε τῆς ἀρχῆς, οὔτε τοῦ τέλους αὐτῶν» (β). Φαίνεται δὲ πιθανώτατον, ὅτι, καθὼς ὑπῆρξεν εἶδος ἀνθρώπων Ἰουδαίων, οἵτινες ἐκ τῆς πολυμόρφου σωρείας τῶν παραδόσεων συνεκάττυσαν τὴν Μισνὰν, οὕτω μετὰ τούτους ἀνεφύη καὶ ἄλλο παρόμοιον εἶδος, οἵτινες συνήθροισαν τὰς ἰδίως τὴν τοῦ κειμένου γραφὴν ἀφορώσας *παραδόσεις*, ἔκ τε τοῦ Ταλμούδου δρεψάμενοι τὰ περὶ γραμμάτων καὶ λέξεων τοῦ κειμένου σεσημειωμένα, καί τινας ἰδίας ἑαυτῶν προσθέντες παρατηρήσεις. Ὅσοι τοίνυν κατ᾽ ἀρχὰς ἀνελάμβανον τὰς ὀλίγας περὶ ταύτης τῆς ὑποθέσεως *παραδόσεις*, ἐν ἰδίοις χαράσσοντες σχεδιάσμασιν, οὗτοι προσηγορεύθησαν Μασορῖται· καὶ οὕτω συνέστη τὸ πρῶτον ἡ, ἐξ ἧς παρωνομάσθησαν, πολυθρύλλητος *Μάσορα*, ἥτις ἐφεξῆς ηὔξανεν ἐπὶ πλέον, πολλῶν ἑκάστοτε καὶ ἄλλων σημειωμάτων προστι-

---

(α) Walton, Proleg. VIII. §. 29. p. 318.—Cappel. Crit. Sacr. III. c. 18.

(β) Βλ. Kennicot Diss. II. p. 263, 433. πρβλ. Walton Proleg. VIII §. 12.

θεμένων. Καὶ φαίνεται ἄρα, ὅτι οἱ πρῶτοι Μασορῖται ἀνεφύησαν περὶ τὸ 700 ἔτος μ. Χ. Καὶ οὔτε πολὺ πρότερον (ὁ γὰρ Ἀβενέσδρας διαβεβαιοῖ ῥητῶς, ὅτι μετὰ τοὺς συγγραφεῖς τῆς *Μισνᾶς* ἐπῆλθον οἱ τῆς *Γεμάρας*, καὶ μετέπειτα τῆς *Μασόρας* οἱ συγγραφεῖς), οὔτε πάλιν ἄγαν ὀψιαίτερον (τὰς γὰρ ἀνωτέρω μνημονευθείσας 216 παραλλαγὰς, τὰς παρὰ τοῖς ἀνατολικοῖς καὶ δυτικωτέροις Ἰουδαίοις περὶ τὰ 850 μ. Χ. γεννηθείσας, ταύτας οὐδόλως ἡ Μάσορα μνημονεύει, ὡς μεταγενεστέρας) (α). Ποία δέ τις ἡ Μάσορα αὕτη, καὶ περὶ τίνος πραγματεύεται, καὶ τίνες κυρίως οἱ πρῶτοι πατέρες αὐτῆς, λέγομεν εὐθὺς, τοσοῦτον μόνον προειπόντες, ὡς ἀναγκαῖον. Εἰς ποίαν κατάστασιν ἦσαν πρὸ τῆς τῶν Μασοριτῶν ἐπιτολῆς οἱ ἑβραῖοι κώδηκες, διακηρύττει τρανῶς ἀξιόπιστος εἰς τοῦτο ῥαββῖς, Ἡλίας ὁ Λευΐτης, λέγων· «Εἰ μὴ ἤρχοντο οἱ Μασορῖται, *ἀνθ' ἑνὸς Νόμου* (τοῦ ὅλου σώματος τῆς Γραφῆς), δύω τινὲς ἔμελλον ὑπάρχειν» (β). Τοσαύτας δηλονότι διαφθορὰς εἶχε τὸ κείμενον τὸ ἑβραϊκὸν, ὥστε, ἀντὶ μιᾶς καὶ μόνης τῆς γνησίας Γραφῆς, δύω τινὲς ἔμελλον εἶναι Γραφαὶ, διχογνώμονες ὁλικῶς, καὶ διχοστατοῦσαι, καὶ πάντῃ διάφοροι πρὸς ἀλλήλας· ἀλλ' ἐπὶ τὸ προκείμενον.

§. μα. Τὸ ἑβραϊκὸν *Μάσορα* σημαίνει *παράδοσιν* (γ)· καὶ ἔστι κριτικὴ διδασκαλία περὶ τὸ κείμενον τῆς Γραφῆς, διδάσκουσα τὴν ὀρθὴν τῶν λέξεων ἀνάγνωσιν καὶ γραφὴν, καὶ ἀφορῶσα πρὸς τὴν ἀσφαλῆ διατήρησιν τῆς ἀκεραιότητος καὶ γνη-

(α) Kennicot. Diss. II. p. 434. — (β) Id. l. c. p. 264.

(γ) Ἡ λέξις παρ' Ἰουδαίοις γράφεται καὶ Μασορὲθ, καὶ Μασσορὲθ, συνηθέστερον δὲ τὸ Μάσορα, ὃ καὶ ὀξυτονοῦσι, Μασορά. Τονίζοιτο δ' ἂν οὕτω καὶ παρ' Ἕλλησι, κατὰ τὰ τρισύλλαβα ἁπλᾶ οὐσιαστικὰ, οἷον ἀγορὰ, ἀλεωρὰ (ἰων. ἀλεωρὴ), πενθερὰ, περιστερὰ, κτλ. Ἐκφέρεται δὲ παρ' ἄλλοις καὶ προπαροξύτονον Μάσορα· καὶ τοῦτ' ἂν εἴη πάλιν ὡς τὰ γέφυρα, ὅλυρα, ἄγκυρα, Κέρκυρα, κτλ. (καί τοι τά γε τοιαῦτα [πλὴν τινων ἐξαιρετέων] μακροπαραληκτοῦσι, κατὰ τὰ διφθόγγῳ παραλήγοντα, χίμαιρα, μάχαιρα, κείαιρα, ἔθειρα, κτλ. καὶ τὸ σύνθετον κυνόσουρα).

σιότητος τοῦ ἱεροῦ κειμένου· διὸ καὶ *φραγμός*, ἢ *ἕρκος τῆς Γραφῆς* ὑπὸ τῶν ῥαββίνων ὑψηλολόγηται· περιςρέφεται δὲ α) περὶ τοὺς στίχους· β) περὶ τὰς λέξεις· γ) περὶ τὰ γράμματα· δ) περὶ τὴν στίξιν τῶν φωνῶν, ἢ περὶ τὰ φωνητικὰ καὶ προσῳδιακὰ σημεῖα (α).

Καὶ Α) τοὺς μὲν *στίχους* ἐξηκρίβωσαν οἱ Μασορῖται, ἀριθμήσαντες πόσους περιέχει ἕκαστον τεῦχος τῶν Γραφῶν, καὶ κατέγραψαν τὸ κεφάλαιον ἐν τῷ τέλει ἑκάστου τεύχους· ἐσημείωσαν δὲ καὶ ἰδίως τὸν ἐν μέσῳ τοῦ τεύχους κείμενον στίχον (β). Προσέγραψαν προσέτι καὶ ἐκ πόσων λέξεων, καὶ πόσων γραμμάτων σύγκειται, καὶ ἐκ ποίου γράμματος ἄρχεται, καὶ εἰς ποῖον γράμμα καταλήγει ἕκαστος στίχος. Εἰς τὴν θεωρίαν τῶν στίχων ἀνήκει καὶ ἡ διαταχθεῖσα ἐπανάληψις τοῦ παρατελευταίου στίχου τεσσάρων τευχῶν (τοῦ Ἡσαΐου, καὶ τῶν Θρήνων, καὶ τοῦ Μαλαχίου, καὶ τοῦ Ἐκκλησιαστοῦ) (γ). Ὅλον δὲ τῶν στίχων τῆς παλαιᾶς Γραφῆς τὸ κεφάλαιον συμποσοῦται, κατ' αὐτούς, εἰς 23206. Ἀπηρίθμησαν δὲ τούτους ἵνα μή τις, ἢ δόλῳ, ἢ ἀμελείᾳ, ἢ παραλίπῃ τινὰ στίχον, ἢ καὶ προσγράψῃ θρασέως ἔξωθέν ποθεν προσθείς· (κἀντεῦθεν φαίνεται, ὅτι ᾔδεισαν ἄρα τοιαύτας ἀφαιρέσεις καὶ προσθήκας, ἀκοντί τε καὶ ἑκόντως τὸ πρότερον γινομένας!). ἀλλ' εἴπερ ἔτυχον τοῦ σκοποῦ, βλέπομεν ἐν τοῖς ἑξῆς. Β) Ὡς τοὺς στιχους, οὕτω καὶ τὰς λέξεις ἑκάστου τεύχους ἰδίως ἠρίθμησαν, καὶ κατέγραψαν τὸ κεφάλαιον ὅλων τῶν λέξεων τῆς Γραφῆς. Γ) Ἐσημείωσαν δὲ καὶ τὰς διαφόρους ἀναγνώσεις, καὶ

(α) Βλ. Walton Proleg. VIII. §. 1. — 29. — Pfeiff. Crit. Sacr. p. 184. Hotting. Thesaur. Philolog. p. 398. — Carpzov. Crit. Sacr. p. 283. Fabricy, Des titres primitifs de la Révélat. T. 2. p. 288—315.

(β) Οἷον ἐν τῇ Γενέσει ἀριθμοῦσι στίχους ὅλους 1532, καὶ μέσον, τὸν «καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ» Γενέσ. κζ, 40. κτλ. βλ. Walt. Prol. VIII. §. 2.

(γ) Ἐν ἑκάστῳ τῶν βιβλίων τούτων μετὰ τὸν ἔσχατον καὶ τελευταῖον στίχον, ὅστις περιέχει ποινὰς, ἢ ἀπειλὰς, ἔκριναν ἐπαναληπτέον πάλιν τὸν παρατελευταῖον, ὅστις περιέχει τὰ αἰσιώτερα καὶ χαρμόσυνα· «ἵνα (λέγουσιν) ἀπαλλάττωνται οἱ ἀναγνῶσται καὶ ἀκροαταὶ μὴ στυγνάζοντες ἐπὶ τοῖς λυπηροῖς, ἀλλ' ἡδίονες καὶ χαίροντες ἐπὶ τοῖς αἰσίοις» !

ἄλλα, ὅσα περιλαμβάνονται ὑπὸ τὰ ὀνόματα *Κερὶ* (ἀναγνωστὸν) καὶ *Κετὶβ* (γραπτὸν), τουτέστιν, ὅτε ἄλλη μὲν ἐν τῷ κειμένῳ κεῖται λέξις, ἡ *γραπτὴ* (τοῦτο τὸ *Κετὶβ*), ἄλλην δέ τινα γράφουσιν ἐν τῷ περισελίδῳ (τοῦτο τὸ *Κερὶ*), ὡς ἂν ταύτην οὖσαν μᾶλλον *ἀναγνωστέαν* ἀντὶ τῆς ἐν τῷ κειμένῳ *γραπτῆς* (ἐφ᾽ ᾧ καὶ κρικύλλιον ἐπ᾽ αὐτῆς περιγράφουσιν, ὡς σημεῖον τῆς εἰς τὴν *ἀναγνωστέαν* παραπομπῆς τοῦ ἀναγνώστου), καὶ στίζουσι δὲ τὴν γραπτὴν διὰ τῶν αὐτῶν στιγμῶν, ὅσας καὶ οἵας ἔχει καὶ ἡ περισελίδιος, ἡ *ἀναγνωστέα*. Ἐσημείωσαν προσέτι καὶ λέξεις πολλὰς τὰς μὲν *πλήρεις*, τὰς δ᾽*ἐλλειπεῖς*· καὶ πλήρεις μὲν εἶπον τὰς ἐχούσας τὰ πλεονάζοντα, ἢ καὶ (ὡς λέγουσιν) *ἠρεμοῦντα* (τουτέστι κωφὰ καὶ νεκρὰ καὶ ἀνεκφώνητα) γράμματα, τὰ *ἄλεφ*, *βὰβ*, *ἰὼδ*, καὶ τὸ καλούμενον παραγωγικὸν ε̑ (he) (ταῦτα δὲ καὶ εἰς μίαν τεχνικὴν συνάπτουσι λέξιν, ἣν προφέρουσιν *ἐχεβὶ*, e–he–v–i)· ὅταν οὖν γράφωνται συνήθως αἱ λέξεις, ἄλλη τις ἄλλο τῶν γραμμάτων τούτων ἔχουσαι προσκείμενον ὅπου δεῖ, λέγονται *πλήρεις*. *ἐλλειπεῖς* δὲ πάλιν, ὅταν ἀπαντῶσι γεγραμμέναι χωρὶς τῶν ἠρεμούντων τούτων στοιχείων (α). Ἄλλας δὲ πάλιν λέξεις διώρισαν ὡς *γραφομένας* μὲν, ἀλλ᾽ οὐκ

(α) Ὀρθῶς ὁ Οὐβιγάντης παρετήρησεν, ὅτι τὰ γράμματα ταῦτα ἐγράφοντο ἐξ ἀρχῆς καὶ ἐν αὐταῖς ταῖς ἐλλειπέσι λεγομέναις λέξεσι τοῦ ἱεροῦ κώδηκος. Τότε δ᾽ ἀπ᾽ αὐτῶν ἐξεγύμνωσαν πολλὰς λέξεις οἱ ἰουδαῖοι ἀντιγραφεῖς (ὅθεν προῆλθε καὶ ἡ ἀλλόκοτος τῶν λέξεων διαίρεσις εἰς π λ ή ρ ε ι ς καὶ ἐ λ λ ε ι π ε ῖ ς), ἀφ᾽ οὗ οἱ Μασορῖται εἰσήγαγον εἰς τὸ κείμενον τὰς εἰκονιζούσας τὰ φωνήεντα στιγμὰς (puncta vocalia). Βλ. Houbigant Not. Critic. in V. T. prolegom. c. 1. §. 3. πρβλ. καὶ Morin. Exer. p. 518, sq. Μάτην δέ τινες ἀντεῖπον, ἐπιφέροντες τοῦ Ἱερωνύμου ῥῆσιν, ἥτις οὐδόλως ἀναιρεῖ τὴν Οὐβιγάντειον γνώμην (βλ. Jahn, Einleit. I, §. 95. πρβλ. δὲ καὶ Simon. Hist. Crit. V. Test. L. 1. c, 26, 27). Αὐτὴ τῶν γραμμάτων τούτων ἡ, μ η τ έ ρ ε ς ἀ ν α γ ν ώ σ ε ω ς, ἐπωνυμία κηρύττει τρανῶς, ὅτι ἦν ὅτε ἐγέννων καὶ ταῦτα τοὺς φθόγγους τῆς ἀναγνώσεως, γραφόμενα καὶ προφερόμενα μετά τε τῶν ἄλλων συστοίχων γραμμάτων, καὶ καθ᾽ ἑαυτὰ, ὡς αὐτοτελῆ φωνήεντα· « Quiescenti per appunto valeano anticamente per vocali, onde appellavansi Madri della Lezione » λέγει τις τῶν παλαιοτέρων φρονίμων ἑβραϊστῶν. Gen. Sisti, Linqua santa etc. p. 4. Venez. 1747.

ἀναγνωστέας (διὸ καὶ ταύτας ἀστίκτους γράφουσιν ἐν τῷ κειμένῳ)· ἑτέρας δὲ τἀνάπαλιν, *ἀναγνωστέας* μὲν, ἀλλ' οὐ καὶ *γραφομένας* (ὅθεν τὰ στίγματα τούτων μόνα γράφουσιν ἐν τῷ κειμένῳ, τὰ δὲ στοιχεῖα χαράττουσιν ἐν τῷ περισελίδῳ). Ἔστι δ' ἅς τινας καὶ *ἄλλως μὲν γραφομένας*, *ἄλλως δ' ἀναγνωστέας*. Καὶ ἀντὶ δὲ τῶν ἐν τῷ κειμένῳ *κακεμφάτων* φωνῶν, ἄλλας ἐσημείωσαν ἐν τῷ περισελίδῳ *εὐφημοτέρας* ἀναγνωστέας (!). Διέκριναν δὲ καί τινας, ὡς ἐχούσας τὰ στοιχεῖα πρωθύστερα (α). Καὶ πάλιν ἄλλας λεγομένας παρ' αὐτοῖς *εἰκαστικὰς*, ἢ *εἰκαστὰς* (*σεβιρὶν*), τουτέστι περὶ ὧν εἰκάσειεν ἄν τις, ὅτι δύνανται καὶ ἄλλως γραφῆναι καὶ τονισθῆναι. Προσέθηκαν καὶ τὰς προειρημένας (σελ. 113) *ἀφαιρέσεις τῶν γραμματέων*, καὶ *τὰς διορθώσεις τῶν γραμματέων*. Ἐπεσημειώσαντο πρὸς τούτοις καὶ 25, ἢ 28 τόπους, ἔν τισι τῶν στίχων *χαίνοντας*, δι' ἔλλειψιν λέξεων (ὅπου ἔδοξεν αὐτοῖς τὸ νόημα ἐλλειπτικὸν, ἢ ἀτελές)· καλοῦσι δὲ τὸ διάλειμμα τοῦτο *πισκά* (ϐ). Ἀνάγονται δὲ ταῦτα κυρίως εἰς τὴν ἰδιαιτέραν θεωρίαν τοῦ *κερὶ* καὶ *κετὶβ* (περὶ ὧν ἐν τοῖς ἑξῆς κεφ. Ζ. §. ιζ.). Δ) Ὡς τοὺς στίχους, καὶ τὰς λέξεις, οὕτω καὶ τὰ γράμματα τοῦ κειμένου διεξηκρίϐωσαν, κατά τε τὴν μορφὴν ἢ τὸ *εἶδος*, καὶ τὸ *ποσὸν* αὐτῶν· καὶ τὸ μὲν *εἶδος* ὥρισαν διατάξαντες, τίνα γραπτέον ἐν τῷ κειμένῳ κεφαλαιώδη, τίνα δὲ μικρὰ, τίνα δὲ κατ' ἐπένθεσιν μετέωρα (ἢ κρεμαστὰ), καὶ τίνα

(α) Τὸ παρ' Ἰουδαίοις Mukdam umeüchar, τουτ. ὕ σ τ ε ρ ο ν, π ρ ό τ ε ρ ο ν· οἷον λέγουσι τὸ ἐν Ἐκκλ. θ, 4. ὅπου τὸ μὲν κείμενον ἔχει Bhr (Buhar, τουτ. ἐκλέγειν), ἡ δὲ Μάσορα λέγει « γράφε Bhr (Bahar), καὶ ἀναγίνωσκε Hbr (Hubar τουτ. κοινωνεῖν), ὡς ἔχουσι καὶ οἱ Ο· ἤγουν καὶ ὁμολογεῖ, καὶ κρατύνει πάλιν ὡς αὐθεντικὴν, τὴν δ ι ά σ τ ρ ο φ ο ν γραφήν· τοιαύτας λέξεις ἀριθμεῖ 62.

(ϐ) Οἷον ἐν Γενέσ. δ, 8. τὸ « Δ ι έ λ θ ω μ ε ν ε ἰ ς τ ὸ π ε δ ί ο ν » λείπει ἐκ τοῦ ἑϐραϊκοῦ. Ὅθεν τὸ μεταξὺ τοῦ προηγουμένου « αὐτοῦ » καὶ τοῦ ἑπομένου « Καὶ ἐγένετο » σημειοῦται διὰ στιγμῶν, ἢ, ὡς ἔν τισι τῶν ἐκδεδομένων βίϐλων (οἷον τοῦ Ariae Montani) καταλείπεται διάλειμμα κενὸν καὶ χαῖνον· ἀντικρὺ δὲ ἐν τῷ περισελίδῳ χαράσσεται κρικύλλιον, δηλοῦν τὸ παρ' αὐτοῖς λεγόμενον π ι σ κ ὰ (διακοπὴ, ἢ παῦσις).

ἀντίστροφα, καὶ ἄλλα συνεστραμμένα, καὶ ἄλλα δὲ, τέλος, παρὰ τὸ σύνηθες ἐστιγμένα. Ἐν πᾶσι δὲ τοῖς εἴδεσι τούτοις θεωτροῦσιν ἐμφανικάς τινας καὶ μυστηριώδεις ἐννοίας, ἀξίας ῥαββινικῶν κεφαλῶν (α). Τὸ δὲ *ποσὸν*, ἢ τὸν ἀριθμὸν τῶν γραμμάτων διώρισαν, ἀριθμήσαντες ἓν πρὸς ἕν· οἷον, ποσάκις περιέχονται ἐν ὅλῃ τῇ Γραφῇ τὰ πέντε παρ᾽ Ἑβραίοις *τελικὰ* λεγόμενα σύμφωνα (ὡς τὸ μ, καὶ ν, κτλ.), ποσάκις δὲ πάλιν τὰ αὐτὰ ἐν τῷ μέσῳ τῶν λέξεων, ποσάκις δὲ, τέλος, ὅλα τοῦ ἑβραϊκοῦ ἀλφαβήτου τὰ γράμματα καθ᾽ ἕκαστον τεῦχος, δι᾽ ὅλου τοῦ κώδηκος τῆς Γραφῆς· καὶ συνήγαγον τούτων τὸ κεφάλαιον 815,280. Ε) Οἱ Μασορῖται εἰσήγαγον καὶ τὴν στίξιν τῶν λέξεων τοῦ κειμένου, στίξαντες τὰ σύμφωνα διὰ γραμμαρίων καὶ στιγμῶν ἐκφραζουσῶν τὰ φωνήεντα καὶ τὰς προσῳδίας, καὶ οὕτω διώρισαν,

---

(α) Οὕτω, φέρ᾽ εἰπεῖν, τὸ βὲθ (βῆτα) ἐν τῇ πρώτῃ λέξει τῆς Γενέσεως Β ε ρ ε σ ὶ θ (ἐν ἀρχῇ) γράφουσι διὰ κεφαλαίου, ἢ μεγάλου β ῆ τ α (ὅπερ ἀριθμητικῶς δηλοῖ καὶ παρ᾽ Ἑβραίοις τὰ δύω, ὡς καὶ παρ᾽ Ἕλλησιν) « ἵνα, λέγουσι, συνεμφαίνηται καὶ ἡ δ ι π λ ῆ δ η μ ι ο υ ρ γ ί α τοῦ οὐρανοῦ καὶ τῆς γῆς ». Καὶ τοῦ ὀνόματος Ἀδὰμ τὸ πρῶτον ἄλφα (δηλοῦντος καὶ τὸ ἓν) μεγαλογραφοῦσιν, « ἵνα συναποδειχθῇ καὶ ὅτι ε ἷ ς καὶ π ρ ῶ τ ο ς ἐγένετο ἄνθρωπος καὶ γενάρχης τοῦ τῶν ἀνθρώπων γένους ὁ Ἀδάμ » ! κτλ. Καὶ τὰ μικρὰ δὲ γράμματα, ὅπου γράφονται, δηλοῦσι τὴν εὐτέλειαν τοῦ πράγματος, ἢ προσώπου ! κτλ. Ὁ δὲ κλεινὸς Βουξτόρφιος (θερμότατος τῆς Μασόρας ὑπέρμαχος) « Ταύτης, λέγει, τῆς περὶ τὸ εἶδος τῶν γραμμάτων διαφορᾶς αἱ αἰτίαι δίκαιαι πάντως ὑπῆρχον, καὶ ἄξιαι τῶν ἀρχαίων ἐκείνων σοφῶν » (τῶν τῆς Μασόρας παραδοτῶν). « Ἀλλὰ ταύτας (λέγει) αἱ τῶν ἀπογόνων ἐξορίαι καὶ βαρύταται συμφοραὶ, ἢ διὰ τῆς λήθης ἐξήλειψαν, ἢ εἰς ἀναπλάσματα ποικίλα, καὶ μάταιά τινα μυστήρια μετέστρεψαν. — Εἶχον δὲ ὅμως (ταῦτα τὰ γράμματα) καὶ μ υ σ τ ι κ ή ν τ ι ν α ἔ ν ν ο ι α ν, ἧς ἡ διδασκαλία διὰ τῆς ἀπὸ στόματος παραδόσεως παρὰ τοῖς ἀρχαίοις διεξηπλοῦτο, μέχρις οὗ αἵ τε κράτισται Σχολαὶ κατεστράφησαν, καὶ οἱ διδάσκαλοι φυγαδευθέντες διεσπάρησαν, καὶ, τέλος, παντάπασιν ἠφανίσθησαν. Οὕτως οὖν ἡ εἰρημένη διδασκαλία, ἄγραφος οὖσα, πᾶσα διεξέπεσε· τὰ δὲ τῶν γραμμάτων εἴδη διεσῴθησαν, οἷον ἐξωτερικὰ τῆς ἀρχαίας σοφίας μνημεῖα καὶ μαρτύρια »! τοιαῦτα ὁ ῥαββινιστὴς Βουξτόρφιος (Tiberiad. p. 152)! Τὸ δὲ παραδοξότερον, ὅτι συμφάσκει τούτοις τοῖς φληναφήμασι καὶ ὁ βαθὺς Ὁττιγῆρος (Thesaur. Philolog. pag. 401), καὶ ἄλλοι νεώτεροι πολλοὶ καὶ σοφοί. βλέπε καὶ Carpzov Crit. Sacr. p. 324, ὅστις καὶ τινας εἰκασίας πειρᾶται παραβάλλειν εἰς μάτην πρὸς θεραπείαν τῶν προφανεστάτων ῥαββινικῶν ἐρεσχελιῶν.

καὶ ἐςήριξαν τὴν τότε κατ᾽ αὐτοὺς φερομένην πάσης λέξεως ἑβραϊκῆς ἀπαγγελίαν καὶ προφορὰν, ἥτις καὶ τὴν σήμερον ἐπικρατεῖ· περὶ τῆς στίξεως ταύτης λέγομεν ἐν τοῖς ἐφεξῆς πλατύτερον. Αὕτη καὶ τοιαύτη, συνοπτικῶς εἰπεῖν καὶ ἐν κεφαλαίῳ, ἡ ὕλη καὶ ὑπόθεσις τῆς Μασόρας, ἣν καὶ εἰς *μικρὰν*, καὶ *μέσην*, καὶ *μεγίστην*, ὡς ἐκ τῆς ἐκτὸς μορφῆς καὶ διατάξεως διαιροῦσι (α). Σημειωτέον δὲ, ὅτι ἡ νῦν κρατοῦσα τῆς Μασόρας μορφὴ πάντῃ διάφορός ἐστι τῆς ἀρχαιοτέρας. Τὸ γὰρ πρῶτον οὐ προσεγέγραπτο παράλληλος πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν, ἀλλ᾽ ἐν σχέδαις καὶ χαρτίοις ἰδιαιτέροις ἔγραφον οἱ ῥαββῖνοι τὰς εἰς τὸ κείμενον παρατηρήσεις καὶ σημειώσεις, ἃς ἐξήγουν πρὸς τοὺς μαθητὰς αὐτῶν ἐν ταῖς σχολαῖς. Αὗται δὲ κατὰ μικρὸν εἰς τοσοῦτον ἐξωγκώθησαν σωρὸν, ὥστε ὑπερέβαλον καὶ αὐτὸ τὸ κείμενον τῶν Γραφῶν. Οὐδὲ γὰρ εἰσάπαξ καὶ συνάμα, οὐδ᾽ ὑφ᾽ ἑνὸς συγγραφέως συνεγράφησαν αἱ σημειώσεις, ἀλλ᾽ ὑπὸ διαφόρων (ὡς προείπομεν), καὶ κατὰ διαφόρους καιροὺς, ἢ μᾶλλον κατὰ διαφόρους αἰῶνας, ἑκάστοτε τοῖς προτέροις νεωτέρων ἄλλων προστιθεμένων. Οὕτως ηὔξετο προϊὸν τὸ σῶμα τῆς Μασόρας (οἷα καὶ τὸν κροκόδειλον λέγουσιν αὐξάνειν ἑκάστοτε κατὰ μικρὸν, ἐν ὅσῳ ζῇ!). Ἀλλ᾽ οὐδὲ μέχρι σήμερον ἦλθεν εἰς τὸ τέρμα τῆς τελειότητος (ὡς μετὰ τῶν ῥαββίνων ἀλαζονεύεται ὁ Βουξτόρφιος)· τοιαύτας γὰρ εἶναι τὰς σημειώσεις (ὁ ῥαββὶς Ἠλίας ἐπαινῶν τὰ οἰκεῖα φησὶν), ὥστε πρὸς αὐταῖς ἀείποτε καινότερόν τι δύνασθαι προστίθεσθαι, κἀντεῦθεν

(α) Ἡ Μικρὰ σύγκειται συνοπτικῶς ἔκ τινων συντομογραφιῶν καὶ γραμμάτων ἀριθμητικῶν καὶ συμβολικῶν, οὐ πᾶσιν ἀναγνώσταις συνετὴ, δ η λ ί ο υ δ ὲ κ ο λ υ μ β η τ ο ῦ χρῄζουσα, διὸ καὶ μὴ πάνυ περισπούδαστος· ταύτην δὲ γράφουσι μεταξὺ δύω στηλῶν, τῆς μὲν περιεχούσης τὸ ἑβραϊκὸν, τῆς δὲ τὸ χαλδαϊκὸν κείμενον. Ἡ δὲ Μέση (ἡ καὶ μ ε γ ά λ η τ ο ῦ κ ε ι μ έ ν ο υ λεγομένη) προσγράφεται περὶ τὴν ᾤαν, ἢ τὸ περισέλιδον τοῦ ἑβραϊκοῦ κειμένου, περιλαμβάνουσα τὰ ἄνω, καὶ τὰ κάτω (ἢ τὰ περιπέζια), καὶ ἔστιν ὅπου καὶ τὰ περίπλευρα, ἢ πλάγια τῆς σελίδος. Ἡ δὲ, τέλος, Μ ε γ ί σ τ η (καὶ Μ ε γ ά λ η τ ε λ ι κ ὴ καλουμένη) γράφεται ἐν τῷ τέλει τῆς βίβλου, κατὰ τάξιν ἀλφαβήτου διατεθειμένη, καὶ πλήρη τὴν διδασκαλίαν ἐκτεθεῖσα. βλ. Carpzov Crit. Sacr. p. 293 sqq.

πάλιν ἄλλας ἀναφύεσθαι νεωτέρας» (ποποὶ τῆς ἀπεράντου, καὶ, ὡς ἄν τις εἴποι, τρισαλλεπαλλήλου πολυγονίας· οὕτως ἄρα «*Πόνος πόνῳ πόνον φέρει*»! Φασὶ δὲ καὶ τοὺς λαγὼς, τὸ μὲν τίκτειν, τὸ δὲ κύειν, τὸ δὲ συλλαμβάνειν, τὸ δὲ καὶ μέλλειν εὐθύς). Καὶ ἔμελλε λοιπὸν ἡ ὀλβία Μάσορα πολὺ μεῖζον, ἢ Τιτυοῦ τινος ἑκατοντάπλεθρον εὖρος καὶ μῆκος ἔχειν μέχρι τῆς σήμερον, ἢ καὶ πρὸς τὴν ἄρουραν ἐκείνην παρομοιάζειν, ἣν ὁ κεκτημένος «*ἔσπειρεν ἡμερῶν ὁδὸν*», εἰ μὴ κατεγράφετο ἐν τοῖς κώδηξι κολοβὴ καὶ πεπηρωμένη (τὸ γὰρ πλεῖστον μέρος αὐτῆς ἀπώλετο, Βάλτων φησὶ, Προλεγ. η. §. 10), καὶ εἰ μὴ, τέλος, ἐστείρευεν ἡ κοιλία τοῦ ἐγκεφάλου τῶν μεταγενεστέρων ῥαββινιδῶν.

§. μβ. Ἀλλὰ τίνες ἦσαν ἄρα οἱ πρῶτοι τῆς Μασόρας πατέρες; περὶ τούτου σφόδρα διαφωνοῦσιν οἱ Κριτικοί. Ὅσοι μὲν γὰρ ἀγαπῶσι μετὰ τῶν ἀναιδεστέρων ῥαββίνων συμπαραληρεῖν, κατάγουσι τὴν Μάσοραν συγχρόνως μετὰ τοῦ θείου νόμου ἐξ αὐτοῦ δὴ τοῦ ὄρους Σινᾶ, *παράδοσιν* καὶ ταύτην λέγοντες τοῦ Μωσέως στοματικὴν, οἵας καὶ τὰς ἄλλας τὰς ἀπὸ στόματος *Μισναΐας* παραδόσεις! (ὄπισθ. σελ. 105). Εἰ δὲ καὶ ἡ Μωσαϊκὴ Πεντάτευχος μόλις ἐπέχει τὸ τέταρτον μέρος ὅλης τῆς παλαιᾶς Διαθήκης, ἡ δὲ Μάσορα περιφράσσει καὶ περιβάλλει ἀμφοτέραις ὠλέναις πάντα καθόλου, καὶ αὐτὰ τὰ ὑστερόχρονα καὶ τελευταῖα τεύχη τῆς Γραφῆς, συνεγράφη δὲ καὶ ἐκ παρατηρήσεων, πορισθεισῶν ἀπὸ διαφόρων χειρογράφων ἀντιβολῆς, περὶ τούτων ὀλίγον φροντίζουσιν οἱ πᾶν λέγοντες καὶ γράφοντες *ὅ,τι κεν ἀπ᾽ ἀκαιρίμαν ἐπέλθῃ καὶ γλῶσσαν* καὶ γραφίδα (α). Ἄλλοι δὲ πάλιν ὁπωσοῦν

(α) Ἄπορον, πῶς καὶ αὐτὸς ὁ δεινὸς Ὀττιγῆρος ἠσμενίσθη τὴν τοιαύτην ῥαββινικὴν παράνοιαν! καί τοι ἄλλως, οἷον καὶ αὐτὸς αἰδούμενος, ἐσπούδασεν ὁπωσδήποτε ταύτην σωφρονίσαι, δι᾽ ἄλλης ὅμως παραδοξολογίας, λέγων: «Συγγραφεὺς (τῆς Μασόρας) ὑπῆρξεν ὁ Μωϋσῆς, ἀπαρτίζων τὴν τοῦ νόμου λαμπρότητα (ad Legis nitorem perficiendum !)· «Διανομεὺς δὲ καὶ προαγωγὸς (propagator), ὁ Ἔσδρας, ἀποκαθιστῶν ἀπολεσθεῖσαν ἤδη τὴν διαύγειαν (ad amissum nitorem restituendum). Συντηρηταὶ δὲ, οἱ Τιβεριαδεῖς (Μασορῖται), ὑφ᾽ ὧν, σπουδασάντων, τὰ πρό-

αἰδημονέστεροι τάχα ῥαββῖνοι, εἰς τὸν Ἔσδραν καὶ τὴν μεγάλην Συναγωγὴν ἀναφέρουσι τὴν πρώτην εὕρεσιν τῆς Μασόρας. Καὶ ταύτην μάλιστα τὴν γνώμην περιπτύσσονται πολλοὶ τῶν εὐρωπαίων σοφῶν, μετά τινος ὅμως ἠπίας καὶ κομμωτικῆς θεραπείας, καὶ σχολαιοτέρας πρὸς τὸ πιθανώτερον περιαγωγῆς. Πρώτους μὲν γὰρ ἐπιχειρήσαντας τῇ Μασόρᾳ τοὺς περὶ τὸν Ἔσδραν εἰσάγουσι καὶ τοὺς αὐτῷ συγχρόνους προφήτας, Ἀγγαῖον καὶ Ζαχαρίαν, καὶ ἐφεξῆς τὸν Μαλαχίαν, καὶ τοὺς ἄλλους θεοφιλεῖς ἄνδρας, ἐξ ὧν ἡ τότε συνίστατο μεγάλη Συναγωγή. Οὗτοι γὰρ μέλλοντες ἐκδώσειν τὸν κανόνα τῶν ἐνδιαθήκων καὶ θεοπνεύστων Γραφῶν, ἀνέκριναν μετ' ἄκρας ἐπιμελείας τὸ ἱερὸν κείμενον, καὶ εἴ τινα σφάλματα παρεισεπεπτώκεισαν ἐν τοῖς χειρογράφοις, ἀνακαθάραντες, ἀποκατέστησαν ἐν πᾶσι τὴν ἀληθῆ καὶ γνησίαν ἀνάγνωσιν. Ταύτην δὲ καὶ εἰς τὸ μέλλον ἀσφαλῆ καὶ ἄπτωτον διατηροῦντες, καὶ πρὸς πᾶν εἶδος διαφθορᾶς (ἐπελθούσης ἂν παρά τινων, ἢ παχυδέρμων κριτικῶν, ἢ δολίων αἱρετικῶν) ἀπαθῆ καὶ ἄχραντον διασῴζοντες, ἐσημείωσάν τινας περὶ τὸ κείμενον θεωρίας, ἀφορώσας τῶν τε στίχων τὸν ἀριθμὸν, καὶ τὰς ἀνωμάλους λέξεις, καὶ τὰ μὴ κατὰ κανόνας γεγραμμένα καὶ ἐστιγμένα (α), καὶ

τερον στοματικῇ περιφερόμενα παραδόσει γράμμασιν ἤδη παραδέδοται» (Hottinger. Thes. Philol. p. 400). *«Ἀλλ' εἴπερ»* (ὑποβάλλει ὁ Καρψόβιος) *«εἴπερ ἐσῴζετο τὸ πᾶσαν τὴν τοῦ νόμου λαμπρότητα περιέχον αὐτόγραφον τοῦ Μωϋσέως, οὐκ ἂν ἦν οὐδεμία χρεία Μασόρας»* (Carpzov. Crit. Sacr. p. 287). *«Ἀλλ' ἡδέως ἄν τις ἔροιτο καὶ αὐτὸν τὸν Καρψόβιον· Ποίαν τινα ἐνόησεν ἣν εἶπεν* Ὀττιγῆρος *ἀπάρτισιν, ἢ τελείωσιν τῆς τοῦ* Νόμου *λαμπρότητος;* Πῶς δὲ *καὶ αὐτὸς ὁ Μωϋσῆς τὴν λαμπρότητα τοῦ κειμένου τῶν αὐτοῦ συγγραφῶν ἐποίει τοιαύτην, ὥστε χρήζειν ἐπιστιλβούσης* Μασόρας; *Εἰ δὲ παράδοσις ἡ* Μάσορα, *πόθεν λοιπὸν ἔσχε ταύτην τὴν παράδοσιν ὁ θεόπτης; μῶν παρὰ* Θεοῦ; *(οὐ γὰρ ἂν εἴποιεν ὅτι παρὰ ἀνθρώπων). Καὶ πῶς ἂν ἁρμόζειεν ἐπὶ τῆς θείας τελειότητος τὰ πολλαχοῦ ψευδόμενα σκαριφίσματα τῆς* Μασόρας; *καλὰ ταῦτα, καὶ θεμιτὰ, καὶ πρέποντα σοφοῖς κριτικοῖς;*

(α) Οὕτως *ἐν* Γενέσ. Α, 5. *ἡ μεγάλη* Μάσορα *σημειοῖ ἑπτὰ λέξεις ἀνωμάλως ἐστιγμένας τὸ πρῶτον γράμμα, ἵνα μή τις ταύτας ὑπολάβῃ διορθωτέας πρὸς τὸν συνηθέστερον κανόνα τῆς ὀρθογραφίας! κτλ. (βλ.* Carpzov. Crit. Sacr. p. 298, *καὶ*

ἄλλας τοιαύτας παρατηρήσεις, ἃς καὶ καταγράψαντες ἐν σχέδαις ἰδίαις παρέδωκαν εἰς χρῆσιν τῶν σχολῶν καὶ τῶν μαθητῶν. Αὕτη (λέγουσιν) ἐγένετο ἡ πρώτη καταβολὴ, καὶ οἷον τὸ στημόνιον τῆς Μασόρας. Οἱ δ᾽ ἐγγύτατοι τούτων διάδοχοι καὶ μαθηταὶ τὰ παραδοθέντα παρὰ τῶν διδασκάλων νεωτέροις ἐπηύξησαν σημειώσεσι, ςεγανώτερον σφηκοῦντες καὶ συσφίγγοντες τὸν φραγμὸν τῶν θείων Γραφῶν, καὶ πρὸς τὴν πανουργίαν τῶν ῥαδιούργων *ἀντιβάτην μοχλὸν* καὶ κλεῖθρα τιθέντες ἄῤῥηκτα. Καὶ ταῦτα δὲ πάλιν τὰ σημειώματα παραλαμβάνοντες οἱ ἑκάστοτε διάδοχοι, καὶ παραδείγμασιν ἰδίοις ἐπικοσμοῦντες, δι᾽ ὅλων αἰώνων μετελαμπάδευον τοῖς κατόπιν ἐφεπομένοις, καὶ παρετίθουν τοῖς ὀψιγόνοις ηὐξημένον μετὰ τόκου τὸν θησαυρόν. Καὶ κατ᾽ αὐτοὺς δὲ (λέγουσι) τοῦ σωτῆρος Χριστοῦ τοὺς χρόνους καὶ ἐπέκεινα, οὐδεμία ἀμφιβολία, ὅτι τῶν γραμματέων ἡ ἐπιμέλεια λιπαρῶς καὶ φιλοπόνως ἐνίδρου περὶ ταύτην τὴν σπουδήν· μέχρις οὗ, κατὰ τὴν θανάσιμον τοῦ ἔθνους συμφορὰν καὶ τὴν καταστροφὴν τῶν Ἱεροσολύμων, μετῆλθεν, ὡς τὴν ἄλλην ἰουδαϊκὴν φιλολογίαν καθόλου, οὕτω καὶ τὴν Μασοραίαν πραγματείαν ἡ ἄνωθεν ἐκφωνηθεῖσα κρίσις. Μετὰ γοῦν τὴν ναυαγίαν τοσούτων γραμματικῶν πονημάτων οἱ διδάσκαλοι συλλέγοντες τὰς σανίδας καὶ τὰ ναυάγια, πρὸς οὐδὲν εἶχον πρότερον, ἢ ἀρχαιότερον ἀπιδεῖν, εἰ μὴ πρὸς τὸ κατασχεῖν πανταχόθεν τὰ περιλειφθέντα ξέσματα καὶ ῥήγματα τῶν σχεδῶν ἐκείνων, ὅσαι περιεῖχον τὰς πατρίους παραδόσεις (τουτ. τὰς *δευτερώσεις*), ἐξ ὧν κατὰ τὸν ϛ, (ὡς θέλουσιν)

---

299). *Ὁ δέ γε καὶ ῥαββὶς καὶ δυσσεβὴς* **Ἀβαρβανῆλος** *(ἐν* Προλόγ. *εἰς Ἱερεμ.) τὸ μὲν* **Κ ε ρ ὶ** *ἀποδίδωσιν εἰς τὴν διόρθωσιν τοῦ Ἔσδρα καὶ τῶν Σαμαρειτῶν, τὸ δὲ* **Κ ε τ ὶ β** *εἰς σκοποὺς τινας μυστηριώδεις, ἢ καὶ εἰς τὴν πλάνην τῶν θεοπνεύςων συγγραφέων, οὓς ἐτόλμησε καὶ ἀμαθεῖς τῆς ἑαυτῶν γλώσσης ἀποκαλέσαι. Οὗτος γὰρ ἀναγινώσκων τὸ ἑβραϊκὸν κείμενον τοῦ Ἱερεμίου κατὰ τὴν διεφθαρμένην στίξιν καὶ γραφὴν, καὶ τὰ* Karjan ve Ketiban *(κ ε ρ ί α καὶ κ ε τ ί β ι α) τῶν τυφλῶν ὁδηγῶν αὐτοῦ, τῶν* **Μασοριτῶν**, *οὐ μόνον σφαλέντα περὶ τὴν ἐναλλαγὴν τῶν γενῶν, καὶ ἀριθμῶν, καὶ χρόνων, καὶ προσώπων ἐξήλεγξε τὸν προφήτην, ἀλλὰ καὶ ἀνορθογράφον!* βλ. Carpzov Crit. Sacr. p. 331, καὶ Schulz Schol. ad Jerem. Proleg. §. 4.

αἰῶνα μ. Χ. συνεπιλήθη ἡ Μισνά. Ἐπειδὴ δὲ αὕτη παρέσχε τοῖς διδασκάλοις χώραν καὶ λαβὴν ποικίλην διαλέξεων, καὶ ἑρμηνειῶν τοῦ νόμου τοῦ ἀπὸ στόματος, ἐκ τούτων πάλιν τῶν ἀγώνων καὶ μελετῶν, εἰς ἓν σῶμα καὶ σύστημα συλλεχθέντων, συνέστη τὸ Ταλμοῦδον ἑκάτερον. Ἐσχάτη δὲ, τέλος, κατέσχεν ἄγαν μεμεριμνημένους τοὺς καθηγητὰς ἡ περὶ τὴν Μάσοραν διάσκεψις καὶ φροντίς· ὅπως ἂν ὑπ' αὐτῆς βοηθούμενοι (ἐπειδὴ τό,τε θρήσκευμα καὶ ἡ λατρεία διὰ τῆς καταστρωθείσης διδασκαλίας τοῦ στοματικοῦ νόμου κατέστησαν ἅλις ἐν ἀσφαλεῖ), περιτειχίσωσι λοιπὸν καὶ τὸ κείμενον τῶν Γραφῶν. Ὅθεν περὶ τὸ τέλος τοῦ πέμπτου, ἢ καὶ τὰς ἀρχὰς τοῦ ἕκτου μ. Χ. αἰῶνος συῤῥέοντες οἱ περικλεέστατοι τῶν διδασκάλων *εἰς τὴν ἀκαδημίαν τῆς Τιβεριάδος*, καὶ τὰς πάλαι Μασοραίας συγγραφὰς, ἔνθεν κᾀκεῖθεν δράγδην περιλαμβανομένας, καὶ τῆς ἀρχαίας καταστροφῆς ἀφαρπαζομένας, συναθροίσαντες πανταχόθεν, καὶ πρὸς ἀλλήλας ἀντιβαλόντες, εἰς κρείττονα μετέστησαν τάξιν· καὶ δὴ καὶ τοῖς ἐξ ἑαυτῶν νεωτέροις ἐπαυξήσαντες ἐφευρήμασι, καὶ *τὴν ἐσχάτην* (τὸ λεγόμενον) *ῥίνην*, καὶ ξυστῆρα στιλβωτικὸν ἐπενεγκόντες, ἐξεπέραναν τοῦτο τῆς διδασκαλίας τὸ εἶδος. Καὶ λοιπὸν (συμπεραίνουσιν), ἔχομεν Μασορίτας εἰς τρεῖς ἡλικίας διαιρουμένους· α) τοὺς πρώτους ἐκείνους γενάρχας τοῦ ἔργου καὶ πρωτουργοὺς, τοὺς ἄνδρας τῆς μεγάλης Συναγωγῆς (σελ. 124). β) Τοὺς μέσην ἐπέχοντας τάξιν *Γραμματεῖς*, τοὺς καὶ Ἀριθμητὰς λεγομένους παρὰ τοῖς ῥαββινίδαις (ἴσως, ὡς ἀριθμήσαντας ἐπ' ἀκριβὲς καὶ τοὺς στίχους καὶ τὰς λέξεις καὶ τὰ γράμματα τοῦ κειμένου). γ) Τελευταῖον, τοὺς Τιβεριαδεῖς καθηγητάς. Καί τοι (λέγουσιν) οὐδὲ τοὺς κατόπιν τῶν Τιβεριαδέων ἐπιγενομένους ἐν διαφόροις αἰῶσι νεωτέρους ῥαββίνους, οὐδὲ τούτους ἀρνούμεθα μὴ καὶ τὰς ἑαυτῶν θεωρίας, οἷον κράσπεδά τινα, πρὸς τῇ Μασόρᾳ συνεξυφάναι, προσθέντας καὶ τὰς ἰδίας παρατηρήσεις, ὅσας παρέλιπον οἱ πρεσβύτεροι» (α).

(α) Βλ. Carpzov. Crit. Sacr. p. 288 sqq. πρβλ. καὶ pag. 317, 321 sq. Ἐν δὲ

Τοιαῦτα, ὡς ἐν κεφαλαίῳ, δογματίζουσιν ὅσοι τῶν νεωτέρων κριτικῶν τὴν τῆς Μασόρας εὕρεσιν ἀπονέμουσιν εἰς τοὺς περὶ τὸν Ἔσδραν, *τῇ ἰδίᾳ δουλεύοντες ὑποθέσει*, καὶ τὰ σφίσιν ἀρέσκοντα, κἂν θέμις κἂν μὴ θέμις, θεσμοθετοῦντες. Ἐπειδὴ γὰρ εἰσάπαξ ἀπεδέξαντο τὸ καθ' ἡμᾶς Μασορίτειον κείμενον, ὡς ἐν πᾶσιν ἀκήρατον καὶ θεόπνευστον, ἑτέρωθεν δὲ πάλιν καθορῶσι τὴν κατ' αὐτοὺς *ἑβραίαν ἀλήθειαν* κυμαινομένην καὶ κινδυνεύουσαν ἐν πολλοῖς, ἂν ἐξελεγχθῇ καὶ ἡ στίξις καὶ ἡ ἄλλη μασορίτειος τοῦ κειμένου διάταξις ἄκρατον καὶ βέβηλον ἔργον τῶν Τιβεριαδέων, καὶ ἄλλων ἀνωνύμων καὶ σκοτίων ῥαββίνων, ἀναφυέντων μετὰ τὴν *θανάσιμον*, ὡς ὁμολογοῦσι, τοῦ ἔθνους *συμφορὰν* (ferali clade), διὰ ταῦτα πλάσαντες παριστῶσι « *θεὸν ἀπὸ μηχανῆς* » (τὸ τοῦ λόγου), καὶ κατάγουσι τοὺς πρώτους στήμονας τῆς Μασόρας ἀπ' αὐτῶν τῶν δακτύλων τῶν θεοπνεύστων προφητῶν. Καὶ ταῦτα ποιοῦσιν, οὐ πίνακας καὶ *κύρβεις ἀρχαίων δέλτων*, οὐχ ἱςορίας ἀπόδειξιν, ἢ χρόνων ἀναγραφὰς, οὐδὲ μάρτυρας ἱεροὺς καὶ ἀξιοπίςους εἰσάγοντες πρὸς βεβαίωσιν, ἀλλὰ χθιζῶν τινων ῥαββίνων ὀνείρους (πρὸς οὓς ἄλλοι πάλιν ἀντιλέγουσι ῥαββεῖς), καὶ λόγους κεκαλλιεπημένους, καὶ πρὸς τὸ πιθανώτατον μόρφωμα τῆς ἀληθείας ἀπεικασμένους. Εἰς τοῦτο δὲ κατήντησαν ὑπερβολῆς, ὥςε καὶ μέρος τι τῆς Μασόρας, αὐτοῖς στίγμασι, καὶ αὐτοῖς *κερίοις* ἀναμὶξ καὶ *κετιβίοις*, καὶ δὴ καὶ *στιχομετρίαις*, καὶ *γραμματομετρίαις*,

---

σελίδι 342 πάλιν ὁ Καρψόβιος τὸ κερὶ καὶ κετὶβ, ἢ τὰς διαφόρους ἀναγνώσεις, ἀναφέρει εἰς ἣν πλάττει δῆθεν ἐπὶ τῶν Μακκαβαίων γενομένην ἀντιβολὴν τῶν κωδήκων, διὰ τὸν ὑπ' Ἀντιόχου (τῷ 164 π. Χ.) διωγμὸν τῶν Γραφῶν (βλέπε ἐφεξῆς κεφ. Η. §. δ.). Ἀλλὰ καὶ τὴν ἐν Τιβεριάδι Ἀκαδημίαν, ἣν περὶ τὸ τέλος τῆς ε, ἢ τὰς ἀρχὰς τῆς ς, ἑκατονταετηρίδος (τῷ 480—510 μ. Χ.) ὑφεστῶσαν εἶπεν ὁ Καρψόβιος ἐν τοῖς ἀνωτέρω, ἀλλαχοῦ πάλιν ἠφάνισε, γράψας αὐτὸς, ὅτι πάσας τὰς ἐν Παλαιστίνῃ Ἀκαδημίας (ἐν αἷς ἦν καὶ ἡ τῆς Τιβεριάδος. βλ. ὄπισθ. §. κγ), μετὰ τὴν Ἀντωνίνου τοῦ Πίου τελευτὴν (περὶ τὸ 160 μ. Χ.), ἐξέλιπον οἱ ῥαββῖνοι, διὰ τὴν ὑπὸ τῶν ῥωμαίων ἐπαγομένην τοῖς Ἰουδαίοις κατάθλιψιν, καὶ κατὰ μικρὸν ἀνεχώρησαν εἰς τὴν Βαβυλῶνα (Carpzov. ib. p. 221).

θεοκύρωτον καὶ θεόπνευστον δογματίζουσιν (α). Ἀλλ᾽ ἕως ἂν ἀποκρίνωσι τὸν κατ᾽ αὐτοὺς χρυσὸν ἀπὸ τῆς σκωρίας, καὶ διορίσωσιν ἀκριβῶς καὶ ἀναντιῤῥήτως, ποῖον ἄρα καὶ πόσον ἐστὶν ἐκεῖνο τὸ τῆς Μασόρας μέρος, ὅπερ (κατ᾽ αὐτοὺς) ὁ θεοφόρητος Ἔσδρας ἐδιάσατο μετὰ τῶν προφητῶν, ποῖα δὲ πάλιν ἰδίως τὰ τῶν *μέσων* (ὡς λέγουσι) Μασοριτῶν *μεσοπόρφυρα πηνίσματα*, καὶ ποῖα, τέλος, τὰ τῶν νεωτάτων *κράσπεδα*, πρὸς τοῖς ἐκ τοῦ ναυαγίου περισωθεῖσι ῥακίοις συμπαρεξυφανθέντα, συγχωρείτωσαν ἡμῖν οἱ σοφοὶ κριτικοὶ θεωρεῖν καὶ κηρύττειν ὅλην τὴν Μάσοραν, ἀπὸ ἄνωθεν ἕως κάτω, κέντρωνα παχείας καὶ γρασώδους σισύρας, ὑπὸ τῶν Τιβεριαδέων καὶ ἄλλων κατὰ καιροὺς βαρβάρων ῥαββίνων, ἀπὸ τοῦ 600 (κατά τινας), ἢ μᾶλλον, ἀπὸ τοῦ 700 μ.Χ. ἔτους, μέχρι καὶ τοῦ 1000 (καὶ ἴσως καὶ ἐπέκεινα) ἀτάκτως καὶ μάλα συγκεχυμένως συνεῤῥαμένην, καὶ πλέον βλάψασαν κατὰ μέ-

---

(α) Ἄγαν ἀστείως ὁ σεμνὸς συλλογίζεται Πείπφερος. Ἐρωτήσας γάρ, «πότερον, θεῖον ἢ ἀνθρώπινον τὸ κῦρος τῆς Μασόρας; ἀποκρίνεται σχολαστικώτερον, ἢ διαλεκτικώτερον τὰ ἑξῆς. «Πρῶτον διακριτέον τοὺς συγγραφεῖς. Ὅσα προῆλθον ἐκ τῶν περὶ τὸν Ἔσδραν, θεῖον ἀναμφιβόλως ἔχουσι κῦρος· τὰ δὲ λοιπὰ πίστεώς εἰσιν ἀνθρωπίνης »—(ποῖα δὲ τὰ πρῶτα; καὶ ποῖα τὰ δεύτερα;)— »Ἔπειτα (λέγει) διχῶς θεωρητέον τὴν Μάσοραν, εἰδικῶς τε καὶ ὑλικῶς· δηλονότι διακριτέον τί ἐστι Μάσορα, καί, ὅ, τι πότ᾽ ἐστι τὸ τῆς Μασόρας. Ἐκείνως μὲν γὰρ (εἰδικῶς) ἀνθρωπίνην, οὕτω δὲ (ὑλικῶς) θείαν αὐτῆς τὴν αὐθεντίαν ἐπιγινώσκομεν. Ἐπειδὴ γὰρ ὕλη τῆς Μασόρας μεταξὺ τῶν ἄλλων ἐστὶ καὶ τὸ Κερὶ (τὸ προστιθέμενον ἐν τῷ περισελίδῳ), τοῦτο δὲ τὸ Κερί, κατά τινα βέβαιον λόγον, ἐνίοτε προτιμητέον ἐστὶ τοῦ Κετίβ (καθότι περιέχει μόριον ὁποστονδήποτε ὁλοκληρωτικὸν τῆς Γραφῆς, ἀπὸ κωδήκων διωρθωμένων ὑπὸ τῶν Μασοριτῶν, ἔστω καὶ τῶν νεωτέρων, ἀντικατασταθὲν), οὐ δυνάμεθα μὴ ὁμολογεῖν μέρος τι τῆς Μασόρας θεῖον ἔχειν κῦρος»—(καὶ λοιπὸν διὰ τὸ μέρος ἐκθειάζεται καὶ τὸ ὅλον τῆς Μασοραίας ὕλης;)—«Ὅσον δὲ (προστίθησι) περὶ τῶν ἀριθμήσεων τῶν Μασοριτῶν συντόμως ἀποφαινόμεθα· τὸ μὲν ἀριθμούμενον πρᾶγμα θεῖον εἴληχε κῦρος, τὸ δὲ εἶδος καὶ ὁ τρόπος τῆς ἀριθμήσεως, ἀνθρώπινον ». (Pfeiffer Crit. Sacra p. 195. πρβλ. Carpzov. Crit. Sacr. p. 326). Πρὸς τούτους τοὺς στρεπτοὺς καὶ ἀπεράντους ἰνδαλμοὺς τῆς Πειπφέρου διαλεκτικῆς οὔ σοι δοκοῦσιν, ἀναγνῶστα, πρέποντες· οἱ λόγοι ἐκεῖνοι τῆς Μερόπιδος τοῦ κωμικοῦ; «Ὡς ἔγωγ᾽ ἀπορουμένη, Ἄνω κάτω τε περιπατοῦσ᾽, ὥσπερ ὁ Πλάτων, Σοφὸν οὐδὲν εὕρηκ᾽, ἀλλὰ κοπιῶ τὰ σκέλη » (Ἄλεξις παρὰ Λαέρτ. Γ, §. κϛ).

ρος, ἢ ὠφελήσασαν καὶ τὸ γράμμα καὶ τὸ νόημα τοῦ ἱεροῦ κειμένου. Ταῦτα βεβαιότερα καὶ δίκαια καὶ τῷ λόγῳ σύμφωνα κεκρίκασιν ἄλλοι πάλιν ἐπίσημοι καὶ φιλαληθέστεροι κριτικοί· καὶ ἡμεῖς αὐτοῖς ἄσμενοι συμφωνοῦμεν. Ἀθέμιτον, ἀνόσιον, ἀλογώτατον νομίζομεν, εἴ τις εἰς τοὺς περὶ τὸν θεσπέσιον Ἔσδραν ἀναφέροι τὴν πρώτην εὕρεσιν τῆς Μασόρας. Ἄπαγε τοῦ ἄγους! Οὔποτε περιβαλοῦμεν τοῖς θείοις ἐκείνοις προφήταις τοσαύτην ἄγνοιαν, ὥστε μὴ σαφῶς αὐτοὺς εἰδέναι τὴν γνησίαν ἀνάγνωσιν καὶ γραφὴν ὧν ἐθεσπεσιῴδουν θεοχρήστων λογίων, ἀλλὰ *κερίοις* χρῆσθαι καὶ *κετιβίοις*, σημειοῦντας ἀμφιβόλως τὸ *ἀναγνωστὸν καὶ* τὸ *γραπτὸν* ἐπ' αὐτῶν τῶν ἰδίων αὐτῶν συγγραφῶν (φέρουσι γὰρ ἤδη τὰς Μασοραίας ταύτας παρενθήκας καὶ τὸ τοῦ Ἔσδρα τεῦχος καὶ τ' ἄλλα βιβλία τῶν αὐτῷ συγχρόνων προφητῶν). Τίς ποτε καὶ τῶν χαμαιζήλων αὐτῶν συγγραφέων κατήντησεν εἰς τοσαύτην ἀναισθησίαν, ὥστε σημειοῦν διαφόρους ὀρθογραφίας, καὶ διπλᾶς τῶν λέξεων ἀναγνώσεις, ἀγνοῶν τὴν κυρίαν αὐτῶν χρῆσιν, ἐφ' ὧν αὐτὸς ἐξηγεῖται καὶ συγγράφει ἰδίων ἐννοιῶν; Οὐδὲ περιάψομεν τοσαύτην μικρολογίαν εἰς τοὺς μακαρίους ἐκείνους ἐπόπτας τῶν μεγαλουργιῶν τοῦ Θεοῦ, ὥστε στίχους, καὶ λέξεις, καὶ γράμματα διάμεσα, καὶ ληκτικὰ, καὶ τοιαῦτα ἢ τοιαῦτα τὸ εἶδος ἀριθμεῖν, καὶ περὶ τ' ἄλλα τῆς ῥαββινικῆς ψευδοσοφίας τὰ κοσκυλμάτια ματαιοπονεῖν. Εἰ δὲ καὶ ἦσαν οἱ περὶ τὸν μακάριον Ἔσδραν πρῶτοι τῆς Μασόρας γενάρχαι, τί μὴ συνεξέδιδον καὶ οἱ Ο μετὰ τῶν κανονικῶν θείων Γραφῶν καὶ τὰς συμφυεῖς αὐταῖς Ἐσδραίας σημειώσεις; Ἔπειτα, πῶς ποτε πρὸς τὰς θεοπνεύστους ταύτας σημειώσεις ἀνεμίγνυον καὶ τὰς παρ' ἑαυτῶν οἱ μεταγενέστεροι ῥαββῖνοι, φύρδην καὶ μίγδην συγκυκῶντες, διορθοῦντες, περικόπτοντες, ἐξογκοῦντες τὰς σχέδας, καὶ πάλιν ἐπὶ τοσοῦτον αὐτῶν ἀμελοῦντες, ὥστε μόλις τὸ ἥμισυ τούτων μέρος περισωθῆναι, τὸ δὲ λοιπὸν ἀπολέσθαι; (βλ. ὄπισθεν σελ. 123).

§. μγ. Τελευταῖον· οἱ περὶ τὸν Βάλτωνα τὸ μὲν κῦρος τῆς Μασόρας ἀνθρώπινον ἀκράτως (καὶ τοῦτο *φαρισαϊκὸν*) ἀνεκήρυξαν, αὐτὴν δὲ τὴν ἀρχὴν τῆς Μασόρας (ὑπείκοντες ὁπωσδήποτε καὶ ἄκοντες, ἴσως, τῇ ὑποθέσει) εἰς τοὺς Μακκαβαϊκοὺς χρόνους ἀνήγαγον, πιθανολογοῦντες. Τότε γὰρ (φασὶν) ἀνεφύετο ἡ αἵρεσις τῶν Φαρισαίων, οἵτινες αὐχοῦντες εἶναι διδάσκαλοι καὶ φύλακες τοῦ θείου νόμου, τὸ γράμμα τούτου μόνον ἐσπούδαζον ἐξ ἐπιπολῆς, μικρὰ δὲ περὶ τῆς γνησίας αὐτοῦ σημασίας καὶ τῆς ἐμπράκτου πληρώσεως ἐφρόντιζον. Καὶ πρῶτον (λέγουσι) πιθανῶς ἠρίθμησαν τοὺς στίχους, εἶτα δὲ καὶ τὰς λέξεις, καὶ τὰ γράμματα, κτλ. Ταύτας δὲ τὰς παρατηρήσεις ἐπηύξησαν εἰς πλῆθος οἱ μεταγενέστεροι. Καθόλου δὲ (φασὶ) τὰ μέν τινα τῆς Μασόρας πρὸ τοῦ Ταλμούδου παρατετήρηται, τὰ δὲ πολλὰ μετὰ τὸ Ταλμοῦδον, καὶ τὰ πλεῖστα προσετέθησαν ὑπὸ τῶν Τιβεριαδέων καὶ ἄλλων τινῶν· τὸν δὲ χρόνον, καθ' ὃν ἡ Μασόρα ἤρξατο καὶ ἐπεραιώθη, βεβαίως καὶ ἀκριβῶς ὁρίσαι, ἀδύνατον». Τοιαῦτα ὁ Βάλτων, ἔγγιστα μὲν τοξεύσας, ἀλλ' οὐκ ἐφικόμενος τοῦ σκοποῦ (α).

§. μδ. Ἀλλ' ὅμως ὁ περικλεὴς Οὐβιγάντης, ὁ Καπέλλιος, Κλαύδιος ὁ Καπελλάνιος, Ῥιχάρδος ὁ Σιμώνιος, ὁ Καλμέτης, ὁ Βοήτιος, ὁ Κλέρικος, ὁ Βίστων, ὁ Πριδῶς, ὁ Βασνάγης, ὁ Κεννικῶτος, ὁ Ἰάννης, ὁ Ὅρνος, καὶ πάντες, μικροῦ δεῖν, οἱ τοῦ καθ' ἡμᾶς αἰῶνος ἐπίσημοι κριτικοὶ διεξήλεγξαν τὴν Μάσοραν, ἔργον τῶν Τιβεριαδέων καὶ ἄλλων νεωτέρων ῥαββίνων, ὃ καὶ ἐξ αὐτῶν τῶν Ἰουδαίων οἱ φρονιμώτεροι καθομολογοῦσιν. Ὁ προειρημένος Ἠλίας ὁ Λευΐτης ὁμολογεῖ βεβαίως νεωτέραν τοῦ Ταλμούδου τὴν Μάσοραν, καὶ ταύτης τὴν ἀρχὴν ἀναφέρει εἰς τὸ 506 μ. Χ. Ἔπειτα προστίθησι, καὶ ὅτι παρὰ τῶν Ἀράβων παρέλαβον αὐτὴν οἱ Ἰουδαῖοι (παρ' ὧν ἔχουσι καὶ πᾶν εἴ τι ἀνάγεται εἰς τὴν γραμματικὴν τέχνην, καὶ τὴν κριτικὴν θεωρίαν). Ἔχουσι δὲ καὶ οἱ Ἄραβες

(α) Walton, Proleg. VIII. §. 12.

εἶδός τι *μασόρας* ἐπὶ τῆς παρ' αὐτοῖς ἱερωτάτης βίβλου, καθ' ἣν ὅλα ταύτης τὰ γράμματα ἀριθμοῦνται 323,015 (α). Καὶ ταῦτα μὲν τοιαῦτα· λέγομεν δὲ ἤδη καί τινα περὶ τῆς χρήσεως, ἢ τῆς ἀξίας τῆς ἰουδαϊκῆς Μασόρας.

§. με. Τοῦτο τοίνυν τὸ μυρίων μὲν πόνων, μακρῶν δὲ χρόνων, ἀκαμάτου δὴ σπουδῆς, καὶ τεραστίας πολυπραγμοσύνης ἅμα καὶ δεισιδαιμονίας, ἀλλὰ καὶ θρασύτητος καὶ ἀπονοίας ἔργον οἱ μὲν οὕτως ἐθαύμασαν, ὥστε μετὰ τὴν Μάσοραν (εἶπον) οὐδεμία διαφθορὰ, οὐδὲ πλάνη τις, οὐδ' ἀλλοίωσις οὐκέτι δύναται παρεισφρῆσαι εἰς τὸ κείμενον τῆς Γραφῆς· ὅθεν καὶ *φραγμὸν* αὐτὴν προσεῖπον, καὶ *φύλακα* τῆς Γραφῆς, καὶ *φρουρὸν* ἱερὸν, καὶ τιμαλφέστατον *θησαυρὸν*, τὰ τεύχη τῆς θείας βίβλου εἰς αἰῶνας διατηροῦντα. Διὸ καί τις τῶν μασοροφίλων μάλιστα παράθερμος (ὁ Σχικκάρδος) ἐνθουσιάσας, ἀνέκραξεν· «Ὢ τῆς ἀπίστου καὶ λεπτομερεστάτης ἐπιμελείας. Ὢ μοναδικῆς καὶ ἐξαιρέτου εὐεργεσίας τοῦ Θεοῦ (!). Ὢ πολυζηλώτου καὶ θαυμαστῆς τοσούτων ἀντιγράφων συναγωγῆς, καθ' ὅλας τὰς γωνίας τῆς Εὐρώπης καὶ τῆς Ἀσίας διεσπαρμένων»! (ἐξ ὧν ἡ Μάσορα δηλονότι συνεξυφάνθη) (β). Ἄλλοι δὲ πάλιν ἄντικρυς ματαιοπονίαν εἶπον τὴν Μάσοραν, καὶ διάκενον σπουδὴν εἰς ἔργον ἀνωφελές. Καὶ ῥαββῖνοι ταύτην ἀπεσκυβάλισαν· καί τις ἐξ αὐτῶν ἐπισημότατος, ὁ Ἀβενέσδρας, παρέβαλε τοὺς Μασορίτας πρὸς τοὺς ἀριθμοῦντας τῶν ἰατρικῶν βιβλίων τὰ φύλλα καὶ τὰς σελίδας, οἵτινες ἐκ τούτου οὐδεμίαν ἰατρεύουσι πληγήν (γ). Ἀλλὰ καὶ οἱ περὶ τὸν Οὐβιγάντην αὐτὴν ἐξεσύριξαν, ὡς παντάπασιν ἀνωφελῆ πρὸς τὴν ἀκριβῆ τῶν κωδήκων ἀντιγραφήν (δ). Οἱ δέ τινες τῶν Εὐρωπαίων κριτικῶν καὶ διαπρυ-

---

(α) Simon. Disquisit. critic. p. 23. — Walton, Proleg. VIII. §. 2. — Salij Coranas, Praelimin. discur. p. 58. — Kennicot. Diss. II. p. 265.

(β) Βλ. τὰς φράσεις παρὰ Walton, Proleg. VIII. §. 13. πρβλ. καὶ Hotting. Thes. phil. p. 138. — (γ) Βλ. Walton l. c.

(δ) Houbig. Proleg. p. XVII.

σίως ἀφώρισαν τὴν Μάσοραν, ἀποσυνάγωγον αὐτὴν ἐκκηρύξαντες ἔκ τε τῆς αὐτῶν ἐκκλησίας, ἔκ τε τῆς τῶν γραμμάτων δημοκρατίας, ὡς ἐπιβλαβεστάτην καὶ ἀποτρόπαιον (α). Ἄλλοι δέ τινες ὁπωσδήποτε μετριώτεροι, μέρος μὲν τῆς Μασόρας ὠφέλιμον ἔκριναν, οἷον τὴν *στίξιν*, ὡς ἀναπληροῦσαν τὴν ἔλλειψιν τῶν φωνηέντων, καὶ συμβάλλουσαν πρὸς ἀσφαλῆ καὶ ῥᾳδίαν ἀνάγνωσιν τοῦ κειμένου. (Ἀνάγνωσιν δὲ λέγοντες οὐ νοοῦμεν τὴν ἀκριβῆ καὶ γνησίαν ἐκείνην ἀπαγγελίαν τῶν φωνῶν, καθ' ἣν ἀπήγγελλον αὐτὰς οἱ ἱεροὶ συγγραφεῖς, ἀλλ' ἣν αὐτοὶ διώρισαν οἱ Μασορῖται, οἵτινες, ἀποθανούσης ἤδη πρὸ πολλῶν αἰώνων τῆς ἑβραϊκῆς γλώσσης, καὶ μηδένα ἕτερον ἔχοντες ὁδηγὸν, ἢ τὴν ἐν πολλοῖς πεπλανημένην ἀπὸ στόματος παράδοσιν, ἀπέδωκαν πολλάκις τοὺς φθόγγους τῶν φωνηέντων διαφόρους τῶν γνησίων καὶ φυσικῶν, καὶ διέταξαν ὡς κανόνα τῆς τῶν λέξεων προφορᾶς τὴν ἤδη κατ' αὐτοὺς διεφθαρμένην· πόσον δ' ἐκ τούτου διέφθειραν καὶ τὸ νόημα φανερόν). Ὠφέλιμον ἔκριναν καὶ τὸν ἐν τῇ Μασόρᾳ διορισμὸν τῆς λέξεων τινῶν σημασίας, ἄλλοτ' ἐπ' ἄλλης ἐννοίας τῶν αὐτῶν ἐκλαμβανομένων, καὶ τὰς πρὸς τῷ περισελίδῳ σημειωθείσας διαφόρους ἀναγνώσεις, καὶ εἴ τι ἄλλο τοιοῦτο κριτικώτερον, ἢ γραμματικώτερον (β). Τὸ δὲ πλεῖστον τῆς Μασοραίας συῤῥαφῆς πάντῃ μάταιον, καὶ ἄχρηστον, καὶ ἀτελὲς, καὶ πλῆρες δὲ περιεργίας καὶ δεισιδαιμονίας ῥαββινικῆς ἀνεκήρυξαν, καὶ ἀπέδειξαν. Αὐτίκα· διέκριναν οἱ Μασορῖται σημειώσαντες κατὰ τόπους λέξεις τινὰς ὡς πλήρεις *γραφομένας*, ἢ *ἐλλειπεῖς*, ἄλλας δὲ πάλιν τὰς αὐτὰς καὶ παρομοίας (μυρίας ὅσας) ἀσημειώτους παρέλιπον, καὶ ἀφέτους βοσκομένας εἰς τὸ κείμενον. Κᾂν οὖν δῶμεν (λέγει Βάλτων) μηδέποτ' ἂν διαφθαρήσεσθαι τὰς σεσημειωμένας, αἱ λοιπαὶ πάντως ὑπόκεινται πολλαχοῦ εἰς ἀλλοίωσιν καὶ διαφθορὰν, ὡς ἂν καὶ εἰ μηδόλως ὑπῆρχε Μάσορα. Εἰ

(α) Auctor primitiar. Tubingens. etc. apud Carpzov. Crit. Sacr. p. 313.
(β) Walt. Prol. VIII: §. 17.

δὲ καὶ αἱ σεσημειωμέναι ἐλλειπεῖς αὗται λέξεις οὐδὲν ἦσαν ἕτερον, ἢ ἀντιγραφέων σφάλματα, πλανηθέντων περὶ τὴν ὁλόκληρον τῶν στοιχείων μεταγραφὴν, ἐκανόνισαν λοιπὸν καὶ ταύτας τὰς ἡμαρτημένας ὡς γνησίας τῶν λέξεων γραφάς. Πάλιν, ἡ τῶν λέξεων ἀρίθμησις καὶ μάλιστα τῶν γραμμάτων ἑκάστου τεύχους ἰδίως, καὶ ὅλης ἅμα τῆς Γραφῆς, καὶ ἡ τούτων δὲ διαίρεσις εἰς ἀρκτικὰ καὶ τελικὰ τῶν στίχων καὶ τῶν λέξεων, καὶ διάμεσα, καὶ μεγάλα καὶ μικρὰ, καὶ εἰς ἄλλα μυριόμορφα, οὐδὲν πρὸς ἀσφάλειαν τοῦ κειμένου συντελεῖ. Πρῶτον μὲν γὰρ, ἀδύνατον κατὰ πᾶσαν ἀντιγραφὴν οὕτως ἀπτώτως καὶ ἀκριβῶς κατά τε τὸ ποσὸν καὶ τὴν θέσιν καὶ τὸ εἶδος ἀντιγράφειν πάντα τὰ γράμματα καὶ τὰς λέξεις, ὥστε μηδὲν σφάλμα τὸν ἀντιγράφοντα παθεῖν· ἑνὸς δέ τινος, ἢ καὶ πλειόνων κωδήκων ἔν τισιν ἡμαρτημένως γραφέντων, ποῦ λοιπὸν ὁ ἄῤῥηκτος τῆς Μασόρας φραγμός; Ὅτι δὲ καὶ μετὰ τὴν *θείαν Μάσοραν*, καὶ τὰς κατ᾽ αὐτὴν θαυμαστὰς καὶ ποικίλας ὅσας ἀριθμήσεις καὶ διατάξεις, ἅπαντες οἱ καθ᾽ ἡμᾶς ἑβραῖοι κώδηκες ἐν πολλοῖς εἰσὶν ἐσφαλμένοι, φανερόν (α)· κηρύττουσι δὲ τοῦτο μυρίοις στόμασι καὶ τῶν σημερινῶν ἑβραίων κωδήκων ἁπάντων αἱ διάφοροι ἀναγνώσεις (β). Τὸ δ᾽ οὖν ἐπισφαλὲς καὶ ὀλισθηρὸν τῆς τῶν

(α) «Nullum quidem deprehendes manuscriptnm Biblicum ab omni librarij lapsu penitus immune, quod in tanta et Vet. Test. amplitudine, et mortalium fragilitate, humanam fere superaret sortem», ὁμολογεῖ καὶ αὐτὸς ὁ θερμὸς ὑπέρμαχος τῆς Μασόρας Καρψόβιος (Crit. Sacr. p. 381).

(β) *Χαρίεντα περὶ τούτου μῦθον ἐξέδωκεν ὁ σοφὸς Οὐβιγάντης, τὸν ἑξῆς· «Γραῦς τις ἄγροικος ἐν λειμῶνι δέσμην ποιήσασα χόρτων, ἔλεγε τῷ γείτονι. Βλέπεις ταύτην τὴν δέσμην; ἐγὼ συνελεξάμην αὐτὴν ἐκ τῶν ἀρίστων τοῦ λειμῶνός μου βοτανῶν. Ἐγὼ τῶν χόρτων τά τε φύλλα πάντα, καὶ πάντας ἠρίθμησα τοὺς κλῶνας καὶ τοὺς καυλοὺς, καὶ οὕτως ἐτεχνευσάμην, ὥστε μηδένα δύνασθαι, ἀγνοούσης μου, μεταλλάξαι πρὸς ἄλλην τινα δέσμην τὴν δέσμην τὴν ἐμὴν, μηδ᾽ ἀφελεῖν ἀπ᾽ αὐτῆς μηδέν. Ἀλλ᾽ ὦ φίλη, φησὶν ὁ γείτων, εἰ δέ τις ἄλλοσέ πῃ βλεπούσης ἐπελθὼν, τῆς δέσμης σου ψαύσοι, πῶς ἂν εἰδείης ἀ ν έ π α φ ο ν αὐτὴν οὖσαν; Μήτοι καὶ αὖθις τά τε φύλλα καὶ τοὺς καυλοὺς αὐτῆς ἀνασκοπήσεις, καὶ καθ᾽ ἕκαστα πάλιν ἐξαριθμήσεις;»* Houbigant Not. Critic. in V. T. proleg. pag. XII.

γραμμάτων καὶ λέξεων ἀριθμήσεως καὶ αὐτῶν τινες τῶν δριμυτάτων προστατῶν τῆς Μασόρας ὁμολογοῦσιν. Ἔπειτα, οὐδ᾽ αὐτοὶ οἱ Μασορῖται πάντας τοὺς ἁπανταχοῦ τῆς οἰκουμένης κώδηκας ἐξήτασαν (ὡς ὁ Σχικκάρδος ὠνείρωττεν ἀνωτέρω, πανταχόθεν τοῦ τετραπεράτου κόσμου συλλέξας τοὺς κώδηκας, καὶ τούτους σωρηδὸν παρὰ τοὺς πόδας τῶν αὐτῷ τρισολβίων ἐκείνων ῥαββίνων συναγαγών), ἀλλ᾽ ἀντέβαλον μόνους, ὅσοις ἐνέτυχον, καὶ τούτοις εὐαρίθμοις, καὶ πάντως οὐ τοῖς ἀρίστοις, ἀλλὰ πολλαχοῦ διεφθαρμένοις (α)· καὶ οὕτω λοιπὸν καὶ τὰς διαφθορὰς ἐκανόνισαν ὡς γνησίας γραφάς· ἄλλα δὲ τοσαῦτα πάλιν *Κεριὸθ* (ἀναγνωστὰ), ἤτοι διαφόρους ἀναγνώσεις, ἐν οἷς οὐκ εἶδον κώδηξι σεσημειωμένας (καὶ βελτίονας, ἴσως, ὧν εἶδον) παρέλιπον παντάπασι· καὶ τὰ γράμματα δὲ καὶ τὰς λέξεις ἠρίθμησαν ἀναλόγως καὶ συμφώνως πρὸς τὰς παρενεσπαρμένας τοῦ κειμένου διαφθοράς. Ἀλλὰ κἂν ὑποτεθῇ τοσόσδέ τις ἀριθμὸς ἢ γραμμάτων, ἢ καὶ λέξεων, ἀκριβῶς καὶ ἀσφαλῶς ἐν οἱῳδήποτε βιβλίῳ ἠριθμημένων, καὶ οὕτω πάλιν οὐχ ἧττον εἰσχωρῆσαι δύνανται πολλαὶ διαφθοραὶ καὶ μεταβολαὶ, μηδόλως βλαπτομένου τοῦ ὡρισμένου ἀριθμοῦ· καὶ πρόχειρος ἡ δεῖξις. Ἑνὸς γάρ τινος γράμματος ἀντ᾽ ἄλλου, ἢ μιᾶς τινος ἀντ᾽ ἄλλης ἰσογραμμάτου λέξεως ἡ ἀντικατάστασις, ἢ μετάθεσις, ὑπάρχει πρᾶγμα συνηθέστατον παρὰ τοῖς βιβλιογράφοις· (οἷον, ὅταν τις ἀντὶ *λάβω*, γράψῃ ἐσφαλμένως *βάλω*, ἢ *βῶλα*, ἢ *λῶβα*, ἢ *λαβὴ*, ἢ καὶ ἄλλην οἱανδήποτε λέξιν, τετραγράμματον κἀκείνην ἀκριβῶς, καὶ ὅμως εἰς ἄκρον ἡμαρτημένην· οὕτω καὶ ἡ *Θύρα* ἀποβέβηκεν *Οὐρά*!) (β). Καὶ πάλιν, αἱ λέξεις διαιροῦνται, ἢ συ-

(α) «Masoretas quosdam codices adiisse, sed non plures, eos autem deteriores, quod saepe accidit Judaeis Masoretis. lta ut ex eorum animadversionibus nihil certum haberi possit de codicum, qui tunc extabant, statu generali» etc. Houbigant Not. Critic. in V: Test. vol. 1. p. 404. πρβλ. καὶ Prolegomen. p. X. sqq.

(β) «Θύραι μὲν ἦν γεγραμμενον, διὰ τοῦ Θ, τῆς μέσης δὲ γραμμῆς δια-

νάπτονται, ἢ μετατίθενται πολλάκις ἡμαρτημένως· καὶ ὅμως ὁ ἀριθμὸς αὐτῶν διαμένει σῶος καὶ ἀβλαβὴς (οἷον ὅταν τις ἀντὶ τοῦ «*ἀθέμιτα τελείως ᾖ*», γράφῃ «*ἃ θεμιτὰ τελειώσῃ*»· καὶ ἀντὶ τοῦ «*ἦν ἂν ὅσιον αὐτόχρημα*», γράφῃ «*ἦν ἀνόσιον αὐτὸ χρῆμα*» (α)). Ἐν πᾶσι γοῦν τοῖς τοιούτοις ὅ,τε τῶν γραμμάτων καὶ τῶν λέξεων ἀριθμὸς ἀκέραιος εὑρίσκεται, καὶ τὸ κείμενον τοῦ συγγραφέως διέφθαρται καὶ παραλαλεῖ. Πόσας οὖν τοιαύτας διαφθορὰς ἔπαθε τὸ κείμενον τὸ ἑβραϊκὸν καὶ ἐντὸς τοῦ ἕρκους τῆς Μασόρας; Καὶ αὐτὴ δὲ, τέλος, ἡ τῶν στίχων καταμέτρησις ἐξελέγχεται πολλαχοῦ παραλελογισμένη (β). Ἴτω τοί-

---

φθαρείσης, ἔδοξεν «Ο ὐ ρ α ὶ γεγράφθαι», Γαλην. εἰς Ἱπποκρ. Ἐπιδημ. ς. σελ. 354. Τόμ. 9. ἔκδ. Chart. πρβλ. καὶ J. Clerici, Ars critica P. III. §. 1. c. 2. 9. p. 58.

(α) Τοιαῦτα σχεδὸν καὶ τὰ τῶν ἀρχαίων παραγράμματα, ἐξ ὧν καὶ τὰ τῶν νεωτέρων καλαμπούρια (calembours)· οἷον τὸ Σάτυρος διαιρεθὲν εἰς τὸ Σὰ Τύρος (Πλούταρχ. Ἀλεξ.), καὶ τὸ «ἱματίου καὶ γραφιδίου καινοῦ» ἀντὶ καὶ νοῦ, καὶ τὸ «ἐχέτω τἀμὰ πάντα Λέων (ἢ Παντα λέων) κτλ.

(β) Οὕτως ἐν τῇ Γενέσει οἱ μὲν ἀριθμοῦσι στίχ. 1534, οἱ δὲ 1540. Ἐν δὲ τῷ Δευτερονομίῳ οἱ μὲν 1435, οἱ δὲ 1055 κτλ. (βλ. Walton, Proleg. VIII. §. 15 καὶ Carpzov Crit. Sacr. p. 301). πρβλ. καὶ τὸν σοφὸν Μορῖνον, ὅστις ἄγαν σαφῶς ἐξελέγχει τὴν περὶ τὰς ἀριθμήσεις καὶ τὰς μορφὰς τῶν γραμμάτων πλάνην τῶν ῥαββίνων (Lib. II. Exercit. XX. c. 1—4). Καὶ ταῦτα μὲν οὕτως. Ἡ δὲ τῶν στίχων ἀπαρίθμησις συνήθης ἦν καὶ παρὰ τοῖς ἀρχαίοις Ἕλλησι καὶ Λατίνοις. Οὕτω τῶν Ἀριστοτέλους καὶ Θεοφράστου καὶ ἄλλων βιβλίων οἱ στίχοι εὑρίσκοντ' ἠριθμημένοι (Λαέρτ. Ε, α, 12, καὶ β, 13, κτλ. βλ. καὶ Γαλην. Ὑπόμν. εἰς Ἱπποκρ. β, περὶ φύσ. ἀνθρ.). Ἀλλὰ καὶ ὁ Ἰώσηπος αὐτὸς τῆς ἑαυτοῦ Ἀρχαιολογίας τοὺς στίχους ἀριθμήσας (60,000), κατέγραψεν (Ἀρχαιολ. Κ. πρὸς τῷ τέλει). Ὡσαύτως ἠριθμοῦντο καὶ τὰ ἔμμετρα ἔπη τῶν ποιητῶν. Ὁ δὲ Λουκιανὸς ἔπη εἶπε καὶ τῶν πεζῶν συγγραμμάτων τοὺς στίχους· «Πεντακοσίοις οὐδ' ὅλοις ἔπεσι περιλαβών» (τὸ ἱστόρημα. Περὶ τοῦ πῶς δεῖ ἱστορίαν συγγρ. §. λ.), ὡς εἶπον καὶ τἀνάπαλιν οἱ νεώτεροι στίχους τὰ κυριώτερον ἔπη (ἡρωϊκὰ, ἰαμβικὰ, κτλ.). Ἀλλὰ καὶ ἐν τοῖς βιβλίοις τῆς θείας Γραφῆς ἠριθμοῦντο οἱ στίχοι. Τοιαύτας στιχομετρίας ἔγραψε Νικηφόρος ὁ Πατριάρχης (ἐν τῷ τέλει τῆς Χρονογραφίας), καὶ πολὺ πρὸ τούτου ὁ Ἡσύχιος (ἢ ὅστις ἄλλος ὁ ἐκδοὺς τὰς ὑποθέσεις ἑκάστου βιβλίου τῆς Γραφῆς). Οὕτως εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ἐν τοῖς σχολίοις σεσημείωται· «ἔχει δὲ τὸ βιβλίον στίχους σπϛ (286)». καὶ εἰς τὸν Ἰώβ, «ἔχει στίχους ͵αχ (1600)». Καὶ ὁ Ὠριγένης καταγράφει τοὺς στίχους τῆς Β, καὶ Γ, Ἰωάννου ἐπιστολῆς (παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. ς, 25) κτλ. Σημειωτέον

νυν καὶ θριγκούτω τὴν Μάσοραν ὁ Βουξτόρφιος (ὁ πρῶτος τῶν χριστιανῶν ἐκ τῶν τῆς Συναγωγῆς *ἀσφοδελῶν λειμώνων* εἰς μέσον αὐτὴν ἐξαγαγὼν, καὶ γράμμασι λατινικοῖς ἐξηγήσας), καὶ

δὲ, ὅτι διαφόρως ἐγίνετο τῶν τοιούτων στίχων ἡ διαίρεσις παρὰ τοῖς ἀρχαίοις. Ἔστι μὲν γὰρ στίχος 1) τὸ ἔμμετρον ἔπος (ὡς εἴπομεν), 2) Πᾶσα σειρὰ, ἡ γραμμὴ (linea) τῶν ἐν τῇ σελίδι γραφομένων λέξεων, συνεχιζομένη κατὰ πλάτος τοῦ μεταξὺ τῶν περισελίδων διωρισμένου μέτρου, καὶ τούτου ἢ ὅλου, ἢ καὶ κατὰ στήλας διαιρουμένου· (οἷον· «Ὀρθὰ γράφε, καὶ χρῶ τοῖς στίχοις ὀρθῶς». Μ. Βασιλ. ἐπιστ. ρπ). 3) Καὶ κατ᾽ ἄλλον δὲ τρόπον ἔγραφον στίχους, ὁπότε αἱ σειραὶ αὗται διωρίζοντο μᾶλλον ἐκ τῆς ἐννοίας, καὶ ὁ στίχος συνίστατο ἐξ ἑνὸς μεγάλου κώλου, ἢ προτάσεως ὅλης, νοήματος περιεκτικῆς, ἢ καὶ ἐξ ἁπλῶν καὶ μικροτέρων κομμάτων, καταλήγων ὅπου παῦσίς τις ἐγίνετο περὶ τὴν ἀνάγνωσιν, ἢ μικρὰ φωνῆς διακοπή. Οὕτως ὁ Εὐθάλιος (διάκονος τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας· καὶ ὕστερον ἐπίσκοπος τῆς ἐν Αἰγύπτῳ Σούλκης περὶ τὰ 400 μ. Χ.), ἐν ᾗ ἐδημοσίευσεν ἐκδόσει τῆς Καινῆς Διαθήκης εἶχε τοὺς στίχους διῃρημένους κατὰ τὸ ἐφεξῆς ὑπόδειγμα (ἐκ τῆς πρὸς Τίτον β, 2, 3), ὡς φαίνεται ἐν τῷ παλαιοτάτῳ Κοισλιανῷ λεγομένῳ κώδηκι.

ΠΡΕΣΒΥΤΑΣ ΝΗΦΑΛΙΟΥΣ ΕΙΝΑΙ
ΣΕΜΝΟΥΣ
ΣΩΦΡΟΝΑΣ
ΥΓΙΑΙΝΟΝΤΑΣ ΤΗι ΠΙΣΤΕΙ, κτλ.

Οὗτος ὁ τρόπος τῆς διαιρέσεως ὠνομάζετο στιχομετρία, καὶ ἡ μέθοδος τοῦ γράφειν οὕτως ἐλέγετο «στιχηδὸν γράφειν», ἢ «ἐν εἴδει τῶν στιχηρῶν». Κατὰ τοιούτους στίχους διῃρημένα ἐγράφοντο καὶ τὰ βιβλία τῶν προφητῶν, ὡς ὁ Ἱερώνυμος τρανῶς διασαφοῖ (Praef. in Esai. καὶ Ezech.) Ἐν δὲ τῷ τέλει τοῦ χειρογράφου κατεγράφετο συνήθως καὶ ὅλος ὁ ἀριθμὸς τῶν ἐν τῷ βιβλίῳ περιεχομένων στίχων. Καὶ αὕτη ἡ διαίρεσις ἐτηρεῖτο σταθερῶς καὶ ὑπὸ τῶν ἀντιγραφέων. Ἐπειδὴ δέ τινες τούτων παρέβαινον τὴν διάταξιν, ἐντεῦθεν προήρχετο ἐνίοτε καὶ διαφορὰ περὶ τὸ κεφάλαιον τοῦ τῶν στίχων ἀριθμοῦ, τῶν μὲν πλείους τοὺς στίχους, τῶν δ᾽ ἐλάττους ἀριθμούντων. 4) Τελευταῖον, στίχοι ὠνομάσθησαν καὶ τὰ ἡμιστίχια, καὶ οἷον ἔπη τῶν στιχηρῶς συγγεγραμμένων βίβλων τῆς Γραφῆς, (βλ. Lowth de S. poes. Hebr. p. 38. sq.). αἵτινες λέγονται καὶ στιχήρεις, ἢ στιχηραὶ (Γρηγ. Ναζ. Τ. 2. σελ. 98. Ἐπιφ. π. Μέτρ. §. δ.—Κύριλ. Ἱερ. Κατηχ. δ)· καὶ τοιαῦταί εἰσιν Ἰὼβ, Ψαλμοὶ, τὰ τοῦ Σολομῶντος (Παροιμ. Ἐκκλ. Ἆσμα. Ὡσαύτως καὶ αἱ δύω τοῦ Μωσέως Ὠδαί. Ἔξοδ. ιε: Δευτ. λβ, καὶ ἡ τῆς Δεβώρας Κριτ. ε). Καὶ ἁπλῶς ὁ στίχος ἐπὶ τῶν βιβλίων τῆς καθ᾽ ἡμᾶς Γραφῆς ἐξελήφθη ὡς συνώνυμον τοῦ ἐδαφίου, ἢ ὡς μικρὸς παράγραφος τοῦ κεφαλαίου (κατὰ τὴν ἀρχαίαν τῶν κεφαλαίων διαίρεσιν), οὐ μόνον εἰς τὰς στιχήρεις, ἀλλὰ καὶ εἰς τὰς λοιπὰς βίβλους τῆς Γραφῆς. οἷον· «Ἀνισταμένη δὲ, πρῶτον τοῦτον τὸν στίχον εἶπε «Μεσονύκτιον ἐξεγειρόμην» κτλ. Ψαλμ. ριη, 62 (Μ. Ἀθανάσ. περὶ Παρθεν. σελ. 832. τόμ. α.), καὶ

πᾶς τις ἄλλος, ὅσον ἂν καὶ θέλῃ. Ὁ θριγκὸς, ἢ φραγμὸς, οὗτος οὐκ ἴσχυσεν ἀπεῖρξαι τὸν εἰς τὸ κείμενον ἠρέμα δι᾽ αὐτοῦ διαδύντα τελματώδη ῥύακα τῶν διαφθορῶν. Τὸ δὲ χείριστον, ὅτι καὶ αὐτὸς ὁ φραγμὸς ἐν πολλοῖς ἐστὶ τετρυπημένος καὶ διεῤῥωγὼς, καὶ πολυειδῶς κεχαλασμένος· καὶ ὁ *φρουρὸς* τοῦ κειμένου δεῖται καὶ αὐτὸς *φρουροῦ*, καὶ ὁ διορθωτὴς, διορθωτοῦ. Τοῦτο δὲ καὶ ῥαββῖνοι καὶ αὐτὸς, τέλος, ὁ Βουξτόρφιος ὡμολόγησε μετ᾽ ἄλλων κριτικῶν. Βλέπε τὰ περὶ τῆς Μασόρας πλατύτερον παρά τε τῷ Μορίνῳ καὶ ἄλλοις, καὶ τῷ Βάλτωνι (α). Ἐπίσημοι δέ τινες

»Καὶ στίχον ἐκ τῆς ψαλμῳδίας ταῖς βασάνοις ἐπῇδεν. «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ» κτλ. ψαλμ. λγ, 1 (Γρηγόρ. Νύσσ. λόγ. εἰς τὸν ἅγ. Θεόδωρ.). Καὶ ὁ ἱερὸς Ἐπιφάνιος στίχον ὀνομάζει τὸ α, ἐδάφιον τοῦ ρλθ ψαλμοῦ (περὶ Μέτρ.). Ὅθεν καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἀκολουθίᾳ τὸ στιχολογεῖν, καὶ ἡ στιχολογία. Ἐντεῦθεν ἐπεκλήθησαν καὶ τὰ στιχηρὰ (τροπάρια) τὰ μετὰ στίχου τινὸς (ἐκ τῶν ψαλμῶν, ἢ ἄλλων ᾠδῶν τῆς θείας Γραφῆς) προλεγομένου ψαλλόμενα. Ὁ δὲ Σουΐκῆρος οὐ μετ᾽ ἀκριβείας ἀνέφερε τὰ περὶ τούτων (Thes. Eccles. Tom. 2. p. 1021)· ἀλλὰ καὶ τὸ πολύστιχος (λόγος, βιβλίον, λεξικὸν κτλ.), σημαῖνον ἁπλῶς τὸ συγκείμενον ἐκ πολλῶν στίχων (ὁλοκλήρων δηλονότι καὶ συνεχῶν σειρῶν) οὐκ ὀρθῶς ἐξέλαβεν ἐπὶ τῆς σημασίας τοῦ στιχηδὸν γεγραμμένου (κατὰ στιχομετρίαν)· καὶ ταῦτα μὲν οὕτως. Ἐκ δὲ τῶν χριστιανῶν παρέλαβον καὶ οἱ Ἄραβες τὴν στιχομετρίαν ἀριθμήσαντες τοὺς στίχους τῆς ἱερᾶς αὐτῶν βίβλου. Ἐκ δὲ τῶν Ἀράβων οἱ Μασορῖται (παρ᾽ ὧν καὶ τὴν στίξιν ἐδανείσαντο, ὡς λέγομεν ἐν τοῖς ἑξῆς). Οἱ δὲ περὶ τὸν Βουξτόρφιον καὶ Πείπφερον καὶ τὴν κατὰ στίχους σημερινὴν διαίρεσιν τῆς ἑβραΐδος Γραφῆς ἐξ αὐτῶν τῶν θεοπνεύστων συγγραφέων, ἢ γοῦν ἀπὸ τοῦ Ἔσδρα καταγαγεῖν οὐκ ὤκνησαν! (βλ. Kennicot Diss. I. p. 229). Περὶ στίχων καὶ στιχομετρίας βλ Glass, Philolog. Sacr. pag. 347. — Leusden, Philolog. Hebraeogr. Diss. XI. p. 166. — Usserij, Epist. ad L. Cappel. ad calcem de LXX. interp. Synt. p. 207. — Montfaucon, Palaeograph. Graec. I. p. 28. — Suicer. Thes. Eccles. λ. στίχος — Simon. Hist. crit. V. Test. L. I. c. 28. — Blanchini, Vindic. Canonic. Scrip. p. 219. — Jahn, Einleit. §. 99. — Horne, An Introduct. to the critic. Study etc. vol. 2. part. 1. p. 74. κτλ.

(α) Walton, Prolegom. l. c. πρβλ. Simon. Histor. critic. V. Test. L. I. c. 24—26. Ἀλλ᾽ οὐδ᾽ ὁ κλεινὸς Καρψόβιος ἀρνεῖται διαῤῥήδην ποιά τινα τῆς Μασόρας ἐλαττώματα· πλὴν ἀλλὰ καὶ οὕτως ὑπὲρ αὐτῆς ἀπολογεῖσθαι πειρᾶται. Τί λέγων, καὶ τί τεχνάζων; ἄκουε. Τὴν ἔκπαλαι καὶ νῦν συγκεχυμένως καὶ διεφθαρμένως γεγραμμένην καὶ ληροῦσαν Μασόραν παραβάλλει πρὸς τοὺς ἐνδόξους ἀρ-

τῶν νεωτάτων κριτικῶν προσέθηκαν, καὶ ὅτι ἡ Μάσορα μᾶλλον ἐλωβήσατο, ἢ ὠφέλησε τὴν ἀκεραιότητα καὶ ὁλοκληρίαν τοῦ κειμένου, ὡς ἐξωθήσασα πλείστας ὅσας ἀληθεῖς ἀναγνώσεις (α).

§. μς. Ἡμεῖς δὲ καὶ ἐν τούτοις εὐλογοῦμεν τὸν Κύριον, ὅτι

χαίους συγγραφεῖς, καὶ πρὸς τοὺς Πατέρας τῆς Ἐκκλησίας, «ὧν φησὶ τὰς συγγραφὰς οὐκ ἀποῤῥίπτομεν, οὐδὲ καταχλευάζομεν, διότι διεφθαρμέναι, καὶ κολοβαί, καὶ τεταραγμέναι τυγχάνουσι, καὶ συγκεχυμέναι» (ὡς ἂν εἴπερ εἶχε καὶ ἡ δειλαία Μάσορα παρομοίας καὶ ἴσας ἐξ ἀντιγραφέων ἐλλείψεις καὶ κῆρας, οἵας καὶ τὰ χειρόγραφα τῶν ἐνδόξων, ἢ τῶν ἐκκλησιαστικῶν συγγραφέων! ἢ ὡσὰν εἴπερ ἦν καὶ αὐτὴ ἐπίσης σπουδαστέα! Μῶν οὐ πρέπει καὶ πρὸς τὴν τοιαύτην σύγκρισιν τὸ παρομοιῶδες, ὗ ς π ρ ὸ ς Ἀ θ η ν ᾶ ν;). «Καὶ αὐτὴ (προστίθησιν) ἡ τῶν Ο, μετάφρασις, ὦ κ α λ ὲ Θ ε ὲ (bone Deus!), πόσον ἐστὶ διεφθαρμένη, παρεμβεβυσμένη, ἢ διεσκευασμένη, ἀμφίβολος, ἀβέβαιος, ἔτι δὲ καὶ βάρβαρος! καὶ ὅμως (λέγει) ο ἱ ἐ ξ ἐ ν α ν τ ί α ς» (οὕτως ἑλληνιστὶ γράφει, νοῶν τοὺς περὶ τὸν Μορῖνον καὶ Οὐόσσιον καὶ ἄλλους κριτικοὺς προμάχους τῶν Ο) «οὐ βαρέως αὐτὴν ἀποδέχονται, καὶ τυχούσης περιστάσεως, καὶ ε ἰ ς τ ὰ ς ἰ δ ί α ς π α ρ α λ α μ β ά ν ο υ σ ι χ ρ ή σ ε ι ς (Carpzov Critic. Sacr. p. 320). Τοιαῦτα ὁ κλεινὸς καὶ ἄλλως ἐν πολλοῖς ἐμβριθὴς Καρψόβιος. Ἀλλὰ μὴ θαυμάσῃς ἀναγνῶστα· χάριν τῆς φίλης Μασόρας ὁ ἀνὴρ «κἂν εἰς πῦρ ἅλοιτο, κἂν εἰς μαχαίρας ἐγκυβιστήσειεν». Ἀποσκυβαλίζει βλασφημῶν τοὺς Ο. Καθυβρίζει τοὺς τούτοις χρωμένους, τὴν δὲ Μάσοραν δικαίως περιφρονοῦντας σοφοὺς (οἷον τοὺς περὶ τὸν Βάλτωνα καὶ Καπέλλιον), ἄγαν ἀ μ α θ ε ῖ ς, ἢ κ α κ ο ή θ ε ι ς σ υ κ ο φ ά ν τ α ς ῥητῶς ἀποκαλῶν (σελ. 316). Κατασπᾷ καὶ τὰ ἱερώτατα πρὸς τὴν μετὰ τῶν βεβήλων ἐξομοίωσιν, μιγνύων γῆν οὐρανῷ, καὶ ποριζόμενος πανταχόθεν ὅ,τι δήποτε δυνηθῇ, πρὸς ὑπεράσπισιν τῆς παντελοῦς ἀδιαφθορίας τοῦ ἑβραϊκοῦ κειμένου. Οὕτως ἀπολογούμενος πάλιν ὑπὲρ τῆς Μασόρας, κατηγορουμένης δικαίως, ὅτι μηδεμίαν ἔχει τῆς γενέσεως αὐτῆς ἱστορικὴν καὶ βεβαίαν ἀρχὴν (ὡς σκότιον γέννημα πολυπληθῶν καὶ ἡμιμαθῶν Ἰουδαίων) «Ἀλλ' οὐ παρὰ τοῦτο (φησὶ) καὶ σ φ ε ν δ ο ν η τ έ ο ν α ὐ τ ὴ ν ἐ κ τ ῆ ς γ ε φ ύ ρ α ς (τὸ τοῦ λόγου). Εἰ δὲ μή, τί ποιήσομεν (λέγει) περὶ τίνων βίβλων κανονικῶν, οἷον τοῦ Ἰησοῦ, τῶν Κριτῶν, τῆς Ῥοὺθ, τῶν Βασιλειῶν, τῶν Παραλειπομένων, τῆς Ἐσθὴρ, ὧν οἵ,τε συγγραφεῖς καὶ οἱ χρόνοι (καθ' οὓς ἔζων) καὶ τ' ἄλλα τὰ διαγνωστικὰ σημεῖα οὐ πάσης ἀμφιβολίας ἐκτός; (loc. cit. p. 314). Καὶ ἀλλαχοῦ δὲ πάλιν (p. 321 καὶ 154) τὴν ἐκ τῆς βεβήλου Μασόρας δῆθεν ἀσφάλειαν τοῦ ἑβραϊκοῦ κειμένου παρασυνάπτει πρὸς τὴν ἐκ τῆς Ἀ π ο σ τ ο λ ι κ ῆ ς κ α τ η χ ή σ ε ω ς κ α ὶ δ ι δ α σ κ α λ ί α ς ἀ σ φ ά λ ε ι α ν τῶν λόγων τοῦ Θεοῦ (Λουκ. α, 4). «Masorae ambitus — ad immotam fidelium cum in libris canonicis, tum in eorum lectione et textu ἀσφάλειαν. Luc. I. 4. etc.»!!!

(α) Jahn, Einleit. 1. Bd. p. 392, 451. — Ackermann, Introduct. §. 108 καὶ 122.

πάσης Μασοραίας λύμης ἐῤῥύσατο τὴν ἁγίαν αὐτοῦ Ἐκκλησίαν, χαρισάμενος αὐτῇ τὴν ἑρμηνείαν τῶν Ο, ἣν καὶ αὐτοὶ οἱ μάλιστα ῥαββινίζοντες τεθήπασι πολλάκις, καὶ προτιμῶσι παρὰ μυρίας Μασόρας, εἰς κατάληψιν τοῦ κειμένου τῆς ἑβραίας Γραφῆς! Ἄχραντον, ἀστιγμάτιστον, ἀβεβήλωτον ὑπὸ χειρῶν Μασοριτῶν ὑπῆρχε τότε τὸ κείμενον τὸ ἑβραϊκὸν, ὅπερ οἱ Ο πρεσβύτεροι μεθηρμήνευσαν· ἕνα φραγμὸν εἶχεν ἐκεῖνο, τὴν ἐντολὴν αὐτοῦ τοῦ περιέποντος καὶ διατηροῦντος αὐτὸ Θεοῦ. «*Οὐ προσθήσετε πρὸς τὸ ῥῆμα ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν, καὶ οὐκ ἀφελεῖτε ἀπ᾿ αὐτοῦ*» (Δευτερ. δ, 2). Τοῦτο τὸ ἕρκος διετήρησε διὰ τοσούτων αἰώνων ἀλώβητον τὴν βίβλον τῶν θείων Γραφῶν ἐν τῇ Συναγωγῇ, ἐφ᾿ ὅσον ἔμενεν ἀχώριστος ἀπ᾿ αὐτῆς ὁ Θεός. Τούτῳ τῷ θεοδμήτῳ φραγμῷ καὶ τὴν ἑλληνικὴν ἑρμηνείαν τῆς παλαιᾶς Διαθήκης ἀσφαλῶς τετειχισμένην, καὶ γνησίαν καὶ καθαρὰν διαμείνασαν αὐτοί τε παρέλαβον οἱ θεοκήρυκες Ἀπόστολοι, καὶ τῇ Ἐκκλησίᾳ παρέδωκαν. Οὕτω καὶ τὴν καινὴν Διαθήκην ὁλοφανῆ καὶ περίοπτον, καὶ χερσὶ θνητῶν ἀνθρώπων ἀθρίγκωτον παρέλαβε παρὰ τῶν Ἀποστόλων ἡ Ἐκκλησία τοῦ Χριστοῦ. Οὐδ᾿ ἠκούσθη πώποτε χρησαμένη τοιούτοις προβλήμασι δυστήνοις καὶ σαθροῖς, καὶ παρομοίοις τῷ τοῦ προφήτου «*τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ*», ὅπως ἂν ἐκ τῆς μυρίων αἱρετικῶν ἐπιβουλῆς καὶ ῥᾳδιουργίας ἐξασφαλίσῃ τὸ κείμενον ἀμφοτέρων τῶν θείων Γραφῶν (α). Εἰ δὲ καὶ ἔν τισιν αὐτῶν ἀρχαίοις ἀντιγρά-

---

(α) Τοιαῦτα καὶ ὁ γεράσμιος Βάλτων ἐσημείωσε· «Nunquam legimus, Ecclesiam Christi, cui majorem spiritus sui mensuram ipse promisit, talibus mediis usam ad textum Graecum Novi Testamenti conservandum» etc. (Walton, Proleg. VIII. §. 15). Ὅθεν καὶ ὁ κλεινὸς Οὐβιγάντης καταλιπὼν τοὺς Ἰουδαίους ἀνιάτως μωραίνοντας μέχρι σήμερον, ἐρωτᾷ τοὺς χριστιανοὺς ὑπερμάχους τῆς Μασόρας. "Εἰ (φησὶν) ἡ τῆς Μασόρας ἀξία καὶ λυσιτέλεια ὑπῆρχε τοσαύτη (καθὼς νομίζουσιν), ὥστε μηδαμῶς ἄλλως, εἰ μὴ δι' αὐτῆς τηρηθῆναι τοὺς ἑβραίους κώδηκας ἀσφαλεῖς καὶ ὑγιεῖς, ἆρά γε πιστεύουσιν, ὅτι τὰ ἑλληνικὰ τῆς Καινῆς Διαθήκης ἀντίγραφα, περὶ ὧν οὐδέποτ᾿ οὐδεμία γέγονε Μάσορα, διέμειναν λοιπὸν τῆς θείας προνοίας ἔρημα καὶ ὀρφανὰ, πληγὰς παθόντα περὶ τὸ κείμενον ἀνιά-

φοις (πρὸς τοῖς περὶ τὴν ἀντιγραφὴν ἀφεύκτοις καὶ προφανέσι παροράμασιν) ἀπαντῶνται καὶ διάφορα ἀναγνώσματα, ἀλλὰ ταῦτα μένουσιν ἐκτὸς τοῦ ἱεροῦ περιβόλου, θυραυλοῦντα διηνεκῶς, καὶ μόλις πρὸς φιλολογικὴν ἐξεταζόμενα θεωρίαν· καὶ δὴ καὶ βεβαιοῦσι τὴν ἀλήθειαν τοῦ παραδεδεγμένου κειμένου, καὶ πάλιν παραλείπονται κεχυμένα παρὰ μέρος, ὡς καὶ τὰ κέρματα ἐκεῖνα τῶν ἐκτὸς τοῦ θείου ναοῦ καθημένων κολλυβιστῶν, ὧν ἐπελθὼν ὁ Ἰησοῦς τὰς τραπέζας ἀνέτρεψε, καὶ αὐτὸ ἐξέχεε τὰ κέρμα (Ἰωάν. β, 15) (α). Ἕνα κυρίως φραγμὸν, καὶ *πύργον ἰσχύος*, καὶ τεῖχος ἐρυμνὸν περιβέβληται τὸ κείμενον τῶν ἐν τῇ Ἐκκλησίᾳ τεθησαυρισμένων Γραφῶν, αὐτὸν ἐκεῖνον τὸν ἐποικοδομήσαντα τὴν Ἐκκλησίαν αὐτοῦ «ἐπὶ τῷ *θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν*» (Ἐφεσ. β, 20), καὶ πρόπαλαι πρὸς αὐτὴν εἰπόντα διὰ τοῦ προφήτου

τους; Καὶ τοῦ μὲν παλαιοῦ ἁγιαστηρίου τὰ τείχη διεφρουρήθησαν ἐπιμελῶς καὶ ἀνυστάκτως, τὰ δὲ τοῦ καινοῦ τῆς χάριτος θυσιαστηρίου παρωράθησαν ἀφρούρητα; κτλ. Houbigant Not. crit. in V. Test. proleg. pag. XIX.

(α) Ἐξέδωκεν ὁ Μίλλιος (Mill) τὴν Καινὴν Διαθήκην μετὰ σημειώσεων τῶν παραλλήλων τόπων, καὶ μετὰ 30,000, περίπου διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, ἃς ἐκ πολλῶν συνήθροισε κωδήκων κτλ. (Oxon. 1707: φύλλ.), καὶ Μάςρικτος (Van Mastricht) ὡσαύτως ἐκ τοῦ Κυρκελλαίου (ἐν Amsteld. 1711: 8:), καὶ ἄλλοι, καὶ Βετιστένιος (Wetstein) μετὰ πλειόνων παραλλαγῶν, καὶ πολυμαθῶν σημειώσεων, καὶ προλεγομένων (Amstelod. 1751—52: φύλλ.). Κατὰ δὲ τὸ 1796 ἐξέδωκεν ὁ Γρεισβάχης (Griesbach) τὴν ἑαυτοῦ ἔκδοσιν (Halae. 2. vol. 8.). Ἐκ πάντων δὲ τῶν διαφόρων τούτων ἀναγνωσμάτων (ὧν τὰ πλεῖστα σμικρὰ καὶ οὐδενὸς ἄξια λόγου) ἀποδείκνυται τὸ βέβαιον καὶ γνήσιον τοῦ παραδεδεγμένου κειμένου τῆς Καινῆς Διαθήκης· οὐδὲ φαίνεταί τις τῶν παραλλαγῶν τούτων μᾶλλον ἀκριβεστέρα τῆς ἐν τῷ κειμένῳ συνήθους ἔκπαλαι τῇ Ἐκκλησίᾳ καὶ κοινῆς ἀναγνώσεως· Ἀλλ' οὐδ' ἐν ταῖς παραλλαγαῖς τακτέον, καὶ εἴ τινα παρὰ τοῖς ἱεροῖς Πατράσιν, ἀπὸ μνήμης γράφουσιν, ἀπαντῶσιν ἐνίοτε διαφέροντα τοῦ κειμένου· (καὶ τούτῳ τῷ σκοπέλῳ προσέκρουσαν οἱ περὶ τὸν Μίλλιον)· ἀλλὰ τὸ περὶ τούτου μακρότερα λέγειν οὐ τοῦ παρόντος. Βλέπε τὴν πρὸς τὸν δυσσεβῆ Κολλίνην (ὡς ἐκ τῶν παραλλαγῶν ἐπιχειροῦντα διασαλεύειν τὸ κείμενον τῆς καινῆς Διαθήκης) ἀπάντησιν τοῦ Βεντλήϊου Bentley, La Friponerie laique des pretendus Esprits—forts, etc. Amstel. 1738. πρβλ. Acta erudit. Lips. 1730 p. 468. sqq. καὶ Fabricy. l. c. Tom 2. p. 514 sqq. κτλ.

«*Ἐγὼ ἔσομαί σοι τεῖχος πυρὸς κυκλόθεν*» (Ζαχαρ. β, 5). Ταύτην δὲ τὴν θείαν τῶν καθ' ἡμᾶς Γραφῶν περιφρούρησιν ἀνακηρύττουσιν ἅμα καὶ βεβαιοῦσι μετὰ πληροφορίας καὶ πολλὰ δείγματα προφανέστατα. Ἡ τῶν θείων βιβλίων συνεχὴς καὶ ἀδιάλειπτος χρῆσις ἔν τε τῇ Ἐκκλησίᾳ (κατὰ τὰς δημοσίας ἀναγνώσεις, καὶ προσευχάς, καὶ ἱερὰς τελετάς), ἔν τε ταῖς ἀπ' ἀρχῆς ἐν Ἀλεξανδρείᾳ καὶ ἀλλαχοῦ καταστάσαις θεολογικαῖς σχολαῖς, κᾀν ταῖς ἀπὸ στόματος παραδόσεσι, καὶ τοῖς ἀεννάοις καὶ μέχρι σήμερον, καὶ εἰς αἰῶνας (τῇ τοῦ Χριστοῦ χάριτι) ἀκενώτοις κηρύγμασι τῆς ὀρθοδόξου διδασκαλίας (θηγομένοις μάλιστα καὶ διὰ τῶν κατὰ καιροὺς πρὸς τὰς ἐπαλλήλους αἱρέσεις ἀγωνιστικῶν τοῦ θείου δόγματος ἀποδείξεων)· ἔτι δὲ καὶ ἡ τῆς ἑρμηνείας τῶν Ο πρὸς τὴν καινὴν Διαθήκην μὴ μόνον περὶ τὰς προφητικὰς ῥήσεις, ὅσας ἐκφέρουσι κατὰ τοὺς Ο οἱ Ἀπόστολοι, ἀλλὰ καὶ καθ' ὅλον τὸ θεοῦφαντον τῆς φράσεως ὕφος λαμπροτάτη καὶ παναρμόνιος συμφωνία· καὶ τὰ συγγράμματα δὲ τῶν κατὰ διαφόρους αἰῶνας ἐκλαμψάντων ἁγίων ἡμῶν Πατέρων· καὶ τῶν ἀρχαίων, καὶ μάλιστα τῶν ἀρίστων κωδήκων ἡ παρεξέτασις (οἵοις καὶ Ὠριγένης ἐχρήσατο πρὸς διόρθωσιν τῶν ἐν ἄλλοις χειρογράφοις εἰσρυέντων σφαλμάτων)· καὶ τῶν ἐν ταῖς Γραφαῖς ὁμοίων τόπων ἡ παράλληλος συμφωνία· καὶ αὐτῶν (ἂν τύχῃ) τῶν ἀρχαίων ἑρμηνειῶν, καὶ αὐτοῦ δὲ τοῦ ἑβραϊκοῦ (ἐν οἷς οὐ διέστραπται τόποις) ἡ ὁμόλογος μαρτυρία· πάντα ταῦτα διακηρύττουσι καὶ πιστοποιοῦσι τὴν γνησίαν ἀνάγνωσιν τοῦ καθ' ἡμᾶς ἱεροῦ κειμένου πολὺ μᾶλλον ἀσφαλέστερον, καὶ μυριάκις λογικώτερον, παρὰ τὴν ἐξ ἀχέρδων καὶ βάτων καὶ ἄλλων εὐπρήστων τῆς ῥαββινικῆς φαντασίας ἀκανθῶν θριγκωθεῖσαν Μάσοραν (α). Καὶ ὅμως,

(α) Ἀσυγκρίτως λυσιτελεστέρας παρὰ τὴν Μάσοραν συνέταξεν ὁ Βουξτόρφιος (ὁ πατὴρ) τὰς Συμφωνίας τῶν ἱερῶν βίβλων, ἐν αἷς περιέχονται πληρέστατα πᾶσαι τοῦ ἑβραϊκοῦ κειμένου αἱ λέξεις κατ' ἀλφάβητον, καὶ ποσάκις ἑκάστη τούτων εὑρίσκεται, κτλ. (βλ. Walton, Proleg. VIII. §. 15. p. 292. καὶ Houbig. Prolegom. p. XIII. sqq.). Τοιαύτας Συμφωνίας ἔχομεν καὶ τῶν Ο (συμπεριληφθέντων καὶ τῶν

βλέπομεν καὶ ὧδε τὸ βάθος τοῦ πλούτου τῆς θείας γνώσεως καὶ σοφίας, ἥτις οἶδε μεταστρέφειν καὶ τὸ πονηρὸν εἰς τέλος ἀγαθὸν, *ἐξάγουσα τὸ τίμιον καὶ ἐξ ἀναξίου*. Ἴσως ἡ ἀμάθεια τῆς,

---

Ἀκύλου καὶ Συμμάχου καὶ Θεοδοτίωνος λειψάνων), ἃς μετὰ τὸν Κίρχερον ὁ γηραιὸς καὶ φιλόπονος Τρόμμιος ἐξέδωκε κατ' ἀλφάβητον ἑλληνικὸν, παραβαλὼν πρὸς πᾶσαν λέξιν καὶ τὴν ἀντιστοιχοῦσαν ἑβραϊκὴν (κατὰ τὴν μασορίτειον δηλονότι ἀνάγνωσιν καὶ σημασίαν), καί τινας ἐλλείψεις τῶν Κιρχέρου Συμφωνιῶν ἐπανορθώσας (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 717). Μάτην ὑπερασπίσθη τὴν Κιρχέρου μέθοδον ὁ J. Gagnier (Vindiciae Kircherian.). Ἀπήντησε δὲ πρὸς τοῦτον ὁ Τρόμμιος (epistol. Apologet.). Ἀλλ' ἔστιν ὅμως καί τινα ἐν τῇ κατ' αὐτὸν ἐκδόσει διορθωτέα (εἰ μὴ παντάπασιν ἡμᾶς ἡ γνώμη πλανᾷ), οἷον τὰ ἑξῆς· 1) Παρεῖδέ τινας λέξεις ἑβραϊκὰς ἐκ τῶν ἀμεταφράστων κειμένων παρὰ τοῖς Ο (ὡς τὸ Β ε δ ὲ κ, καὶ Β ο ε ρ γ ὰ ζ κτλ.), ἐν ᾧ ἐσημείωσεν ἄλλας οὐκ ὀλίγας· ἐχρῆν δὲ πάσας. 2) Παρέλιπεν ἄλλας λέξεις ἑλληνικὰς, ὅσαι κεῖνται παρὰ τοῖς Ο, κατά τινα χωρία μὴ κείμενα παρὰ τῷ ἑβραίῳ (ἃς αὐτὸς καὶ παραφράσεις νομίζει, ἢ καὶ ὡς ἄλλην ἔννοιαν διάφορον τῆς ἑβραΐδος ἀποδιδούσας), καὶ οὕτως ἔν γε τοῖς τοιούτοις κεκολόβωται τὸ κείμενον τῶν Ο. Ἀλλ' ἔπρεπε (νομίζομεν) ἵνα προστεθῶσι καὶ αὗται μετὰ τῆς ἀνηκούσης σημειώσεως· οὐδ' ὤφειλε φοβηθῆναι (καθὼς λέγει), μήπως εὑρεθῇ τὰ δ ι ά φ ω ν α ὡ ς σ υ μ φ ω ν ο ῦ ν τ α παρατιθείς. Πῶς γὰρ ἂν ἐφαίνοντο τὰ παρὰ τοῖς Ο πλεονάζοντα ὀνόματα, ὡς διαφωνοῦντα πρὸς τὰ μηδόλως ὑπάρχοντα μηδ' ἀντιστοιχοῦντα τούτοις ἑβραϊκά; Ἔπειτα, μήπως καὶ αὗται αἱ σεσημειωμέναι ἑβραϊκαὶ λέξεις (ὡς ἀναγινώσκονται καὶ ἑρμηνεύονται τὴν σήμερον) συμφωνοῦσι πᾶσαι καθόλου πρὸς τὰς ἀντιστοίχους ἑλληνικὰς τῶν Ο; αὐτὸς ὁ σοφὸς Τρόμμιος ἐσημείωσε λατινιστὶ τὰ πολλαχοῦ διαφωνοῦντα. Ἐσημείωσε προσέτι (κάλλιστα ποιῶν) καὶ τὰς ἐν τοῖς Ἀ π ο κ ρ ύ φ ο ι ς (κατὰ τοὺς Ἑβραϊστὰς) λεγομένοις βιβλίοις τῶν Ο, ἅπερ οὐχ εὑρίσκονται τανῦν παρὰ τοῖς Ἑβραίοις [καίτοι καὶ ταύτας ἄγαν ἐλλειπῶς ἐσημείωσε καὶ πτωχῶς· αὐτίκα τὴν μόνον ἐν τ ῇ π ρ ο σ ε υ χ ῇ τ ο ῦ Μ α ν α σ σ ῆ, ἄλλοθι δ' οὐδαμοῦ τῶν Ο (ὅσα γ' ἐμὲ εἰδέναι) κειμένην λέξιν, τὴν Ἄ σ τ ε κ τ ο ς, παρέδραμεν· ἄλλα παρασιωπῶμεν], πολλῷ γοῦν μᾶλλον ὤφειλε καταγράψαι καὶ τὰς ἐν τοῖς κανονικοῖς τεύχεσι σῳζομένας, ὅσαι, κἂν οὐκ ἔχουσι πρὸς ἃς συμφωνήσουσιν ἑβραϊκὰς, δεικνύουσιν ὅμως τὴν εἰς τὴν χρῆσιν αὐτῶν ἀναντίῤῥητον συμφωνίαν ὅλων τῶν τῆς ἑρμηνείας τευχῶν. Εἰ δὲ ταῦτ' ἐποίει ὁ Τρόμμιος, ἦν ἂν ἐκδεδωκὼς πληρέστερον τὸν θησαυρὸν τῶν παρὰ τοῖς Ο φωνῶν· καὶ πληρέστατον, εἴ γε προσετίθει καὶ τὸ ἑξῆς. 3) Παρέλιπε τὰ κύρια ὀνόματα (προσώπων καὶ τόπων)· καὶ κατὰ τοῦτο ἠδικήθη τό, τε τῶν Ο, κείμενον καὶ αὐτὸ τὸ ἑβραϊκὸν (ὡς εἴθε ταῦτα κατέγραφε καὶ ὁ κλεινὸς Σκλευσίνερος ἐν τῷ κατ' αὐτὸν τῆς τῶν Ο, ἑρμηνείας Θ η σ α υ ρ ῷ, ὡς, εὖ γε ποιῶν, κατεχώρισεν ἐν τῷ λεξικῷ τῆς Καινῆς Διαθήκης). Ἀλλὰ ταῦτα καὶ τὰ τοιαῦτα τοῦ σοφοῦ Τρομμίου παραλείμματα μικρὰ, ὡς πρὸς τὴν ἐκ τῶν αὐτοῦ Συμφωνιῶν χορηγουμένην τοῖς χρωμένοις εὐχέρειαν πρὸς εὕρεσιν τῶν τε κατὰ τοὺς Ο ἑλληνικῶν λέξεων,

κατὰ τὴν ξηρανθεῖσαν συκῆν, στειρωθείσης Συναγωγῆς ἔμελλε, τέλος, εἰς τοσοῦτο κακοῦ καταντήσειν, ὥστε διαστρέψαι πρὸς τὸ χεῖρον, ἢ καὶ μηδόλως ἀναγινώσκειν εἰδέναι τὸ πᾶν, ἢ τὸ πλεῖστον

καὶ τῶν ἀντιστοιχουσῶν ἑβραϊκῶν. Ἴσως δέ ποτε καὶ οἱ Ἕλληνες ἐκδώσουσι Συμφωνίας τῆς παρ' αὐτοῖς ἁγιωτάτης ἑρμηνείας τῶν Ο, ἀποδιδόντες τοῖς σοφοῖς Εὐρωπαίοις σὺν τόκῳ ὅσα τοιαῦτα παρ' αὐτῶν ἐδανείσαντο βοηθήματα. Καί τοι γε καὶ τούτων τὰς πρώτας ἀρχὰς καὶ ἀφορμὰς τοῖς Ἕλλησι πάλιν ἡ σοφία τῶν Εὐρωπαίων ὀφείλει. Τὰ τοῦ Ὠριγένους Ἑ ξ α π λ ᾶ, καὶ ἡ τοῦ Ἀμμωνίου καὶ Εὐσεβίου Σ υ μ φ ω ν ί α τ ῶ ν Ε ὐ α γ γ ε λ ι σ τ ῶ ν προήγαγον τὰς Πολυγλώττους· τὰς δὲ λεκτικὰς συμφωνίας τῶν ἑβραϊκοῦ κειμένου πρῶτος ἐξέδωκεν Ἰουδαῖος ἄνθρωπος, (πρὸς τὴν Μάσοραν ἀφορῶν) ὁ Μαρδοχαῖος Νάθαν, τῷ 1523. μετὰ δὲ, καὶ ὁ Βουξτόρφιος, τῷ 1632), ἃς ὕστερον ἐμιμήθη ὁ Κίρχερος, ἐκδοὺς τὰς πρὸς τὸ ἑβραϊκὸν Συμφωνίας τῆς κατὰ τοὺς Ο, γραφῆς. Τῶν δὲ πάλιν Εὐαγγελιστῶν, καὶ καθόλου τῆς Καινῆς Διαθήκης λεκτικὰς Συμφωνίας ἐξέδωκεν Ἑρρῖκος ὁ Στέφανος, καὶ εἴ τις ἄλλος τῶν νεωτέρων. Ὁ δὲ σοφὸς Τρόμμιος (εἰ δεῖ καὶ τοῦτο προσθεῖναι πάρεργον) λίαν ἐπαινέσας ἐν τῷ προλόγῳ τὴν ἑρμηνείαν τῶν Ο, καὶ ταύτην ὁμολογήσας, "Διὰ πολλῶν αἰώνων μέγιστον ὅσον σεβαστὴν γ ε ν ο μ έ ν η ν» (τί δ' οὐχὶ καὶ ο ὖ σ α ν, καὶ εἰς αἰῶνας ἐ σ ο μ έ ν η ν;) "τῇ Ἐκκλησίᾳ, καὶ οἷον κειμήλιον λογιζομένην παρὰ τοῖς ἀληθινοῖς τῶν θείων χρησμῶν τιμηταῖς, καὶ βεβαίως ἔτεσι σχεδὸν τριακοσίοις πρὸ τῆς Χριστοῦ γεννήσεως ἐκδεδομένην», - ταῦτα μουσικῶς προαναχρούσας, ἔπειτ' ἀπέκλινε μᾶλλον πρὸς τὴν Ὀδίου γνώμην, ἣν κἀν τῇ ἐπιγραφῇ των Συμφωνιῶν ὑπεδήλωσεν, ἐπιγράψας "τ ὴ ν κ ο ι ν ῶ ς λ ε γ ο μ έ ν η ν ἑρμηνείαν τῶν Ο!» (vulgo dictae τῶν LXX). Ἀλλ' ἀπαντῶμεν πρὸς τὸν γηραιὸν αὐτὰς αὐτοῦ τὰς λέξεις ἀντιτιθέντες, ἃς ἔγραψε παρακατιών. «Neque id solum quod Scriptores Sacri Novum Testamentum graeco idiomate expresserint, sed et quod iidem i p s i s v e r b i s e x h a c g r a e c a v e r s i o n e V. T. petitis dogmata sua et res gestas conscripserint. Id quod haud dubie ad splendorem et laudem vetustae hujus versionis plurimum confert. Cedo, quot in Evangeliorum historia loca occurunt, quot in Apostolicis scriptis citationes ex V. Test. extant, q u a e t o t i d e m v e r b i s i n G r a e c a v e r s i o n e l e g u n t u r? Praeterquam quod passim s t y l u s in V. T. Graeco usurpatus, in Graeco codice N. T. retineatur, uti a viris doctis et in utriusque Testamenti stylo dignoscendo exercitatis luculenter est demonstratum» (Praefat. ad Lector.). Εἶτ' ὦ πολύσοφε γηραιὲ, εἴπερ ἐν τῇ θεοπνεύστῳ καινῇ Διαθήκῃ διαγινώσκεις ἀκριβῶς ἐνυφασμένας καὶ λέξεις, καὶ φράσεις, καὶ λόγου συνθήκην, καὶ τὰς κατὰ λέξιν τῶν προφητικῶν ῥητῶν ἀναφορὰς, καὶ ὅλον τὸ ὕφος τῆς ἑρμηνείας τῶν Ο, πῶς οὐκ ἐπιγινώσκεις καὶ τὸ περιβάλλον αὐτὴν θεῖον κῦρος τῶν Ἀποστόλων, καὶ τὸ πρὸς αὐτὴν ἁγιώτατον καὶ διηνεκὲς διαμένον σέβας τῆς Ἐκκλησίας, ἥτις καὶ τὴν ἱστορίαν αὐτῆς, ὑπό τε τῶν ἀρχαίων καὶ τῶν περὶ τὸν Ἰώσηπον καὶ τὸν Φίλωνα τρανῶς ὁμολογηθεῖσαν, καὶ διὰ τῶν ἀποστολικῶν

μέρος τῶν ἀνέκαθεν αὐτῇ πεπιστευμένων θείων λογίων· διὸ καὶ παρεχώρησεν ἡ πανάγαθος πρόνοια τοῖς ἀποδεδοκιμασμένοις υἱοῖς τῆς Συναγωγῆς, λέγω δὲ τοῖς Μασορίταις καὶ τοῖς ἄλλοις σκληροτραχήλοις ῥαββίνοις, ἵνα βεβηλώσωσι (τόγ᾽ ἐπ᾽ αὐτοῖς) τὸ ἱερὸν κείμενον, εἰσάγοντες τὰς στίξεις, καὶ τὰς περὶ τὰς λέξεις ἀκρίτους σημειώσεις, καὶ τὰς ἄλλας τῆς Μασόρας τὰς ματαιοτεχνίας, ὅπως ἂν διακρατύνωσι μίαν τινὰ προφορὰν τῆς γραφικῆς διαλέκτου. Πολλὰ πάντως παρετόνισαν, καὶ παρεχάραξαν, καὶ διέστρεψαν ἐξ ἀμαθείας, ἢ πλάνης καὶ εἰκαιοβουλίας, ἀλλ᾽ ἐν τοῖς πλείστοις καὶ τοῖς καιριωτάτοις θείοις χρησμοῖς διετήρησαν τὴν γνησίαν ἀπαγγελίαν καὶ γραφὴν, καὶ διέσωσαν τὰς περί τε τὴν εὐσέβειαν καὶ τὴν ἠθικὴν καὶ ἱστορικὴν διδασκαλίαν *οὐσιώδεις* ῥήσεις τῶν προφητῶν, καὶ τὰς περὶ τοῦ Μεσίου *λαμπροτάτας* προῤῥήσεις, ἁπάσας συμφώνους καὶ τὰς αὐτὰς πρὸς τὴν ἑρμηνείαν τῶν Ο, ἵνα καὶ τῶν τὴν θειότητα τῶν Γραφῶν δυσσεβῶς ἀρνουμένων τὸ στόμα φραγῇ, καὶ τὸ γνήσιον τῆς ἀρχαιοτάτης καὶ ἁγιωτάτης μεταφράσεως τῶν Ο, λαμπρότερον ἀναφανῇ. Ἀλλὰ καὶ λέξεις πολλαὶ τῶν παρ᾽ αὐτοῖς περιθελιδίων (*κερὶ*) συμφωνοῦσι πρὸς τὴν ἑρμηνείαν τῶν Ο, διελέγχουσαι τὰς ἐν τῷ κειμένῳ συνήθως γραφομένας καὶ ἀναγινωσκομένας (*κετὶβ*), ὡς ἀτόπους καὶ νόθους, καὶ εἴτ᾽ ἐξ ἀμαθείας, εἴτε καὶ ἐκ πονηρίας διαστραφείσας (α). Οὕτως ἡ μοχθηρὰ σπουδὴ

καὶ λοιπῶν ἁγίων Πατέρων *γνησίαν βεβαιωθεῖσαν ἀπεδέξατο καὶ ἐτίμησε*; Προτιμᾷς *δὲ μᾶλλον τὰς κατὰ τῶν* Ο, *περιπαθεῖς καὶ νεαζούσας καὶ διεσφαλμένας κρίσεις τῶν περὶ τῶν* Ὅδιον *σοφῶν*;

(α) Οἷον τὸ «ὤρυξαν χεῖράς μου» κτλ. (ψαλμ. κα, 16) ἀντὶ τοῦ ἑβρ. caaru (ὡς εἶχε τὸ ἑβραϊκὸν τῶν Ο) ἐν τῷ νῦν ἑβρ. κειμένῳ πανταχοῦ γράφεται caari τουτ. «ὡς λέων» (οἱονεὶ σύνθετον ἐκ τοῦ μορίου ca (ὡς), καὶ ari, ὁ λέων). Οὕτω διέφθειρε τὴν λέξιν οὐχ οὕτως ἡ ἀβλεψία τῶν ἀντιγραφέων, ὅσον ἡ ῥᾳδιουργία τῶν Ἰουδαίων, ἵνα συγκρύψῃ τὴν προφητείαν τῆς εἰς τὸν σταυρὸν καθηλώσεως τῶν χειρῶν καὶ τῶν ποδῶν τοῦ Σωτῆρος ἡμῶν (πρὸς ὃν ὅλος ὁ ψαλμὸς λαμπρῶς ἀφορᾷ)· καὶ συντάσσουσι τὸ ὡς λέων πρὸς τὸ προηγούμενον «περιέσχον με» ἐπίσης καὶ βεβιασμένως καὶ ἀναιδῶς. Μεθ᾽ ὁμοίας ἀκυρολόγου ῥα-

τῆς Μασόρας ἔνθεν μὲν συγκρύπτει τὴν παρὰ τοῖς Ο σωζομένην γνησίαν ἀνάγνωσιν τῶν ἀρχετύπων θείων Γραφῶν, ἑτέρωθεν δὲ ταύτην ὑποδηλοῖ πολλάκις, οἱονεὶ δακτυλοδεικτοῦσα. Καὶ κατὰ τοῦτο ἡ Μάσορα παρομοιάζει ὁπωσδήποτε τὴν Μισνὰν καὶ τὴν Γεμάραν, ἐν αἷς μεταξὺ μυρίων καὶ παντοίων λήρων καὶ

διουργίας ὁ Ἀκύλας ἀντὶ ὤρυξαν, ἔγραψεν ᾔσχυναν. Καὶ εὗρε (πρᾶγμα παράδοξον), εὗρε καὶ οὗτος (ὡς καὶ ἡ ἀνωτέρω ἰουδαϊκὴ ἀνάγνωσις) πολλοὺς τῶν νεωτέρων σοφῶν ὑπερμάχους, ἐν οἷς καὶ τὸν Βοχάρτον (Hierozoic. P. I. L. 3. c. 6. p. 780. πρβλ. καὶ Le Moyne, Varia Sacr T. 2. p. 535—554)· ὅστις (ὁ Βοχάρτος) καί τοι ἄλλως προτιμῶν καὶ βεβαιῶν τὴν ἀνάγνωσιν τῶν Ο, λέγει ὅμως ὅτι καὶ τὸ αἰσχύνειν ἔστιν ὅπου σημαίνει καὶ τὸ βασανίζειν, ἀμύσσειν, καθαιματοῦν (cruciare, cruentare), ὡς ἐν τῷ «Χάριεν δ' ᾔσχυνε πρόσωπον» (Ἰλ. Σ, 24) κτλ. Ἀλλ' ἔν γε τοῖς τοιούτοις (ὡς νομίζομεν) τὸ αἰσχύνειν σημαίνει κυρίως τὸ ἀπὸ καλοῦ τι αἰσχρὸν, ἢ ἄσχημον ποιεῖν (κοινότερον ἀσχημίζειν)· ὅθεν καὶ τὸν τρόπον τῆς ἀσχημώσεως ἄλλη τις λέξις, ἢ φράσις, ἀείποτε παρακειμένη δηλοῖ, οἷον ἐν τῷ ἀνωτέρω «χάριεν ᾔσχυνε πρόσωπον» (ᾔσχυνε δὲ πῶς;) «χεύας κὰκ κεφαλῆς κόνιν αἰθαλόεσσαν»· καὶ πάλιν (αὐτ. στίχ. 27) «κόμην ᾔσχυνε» (πῶς;) «δαΐζων» (κόπτων, τίλλων). «Ἤσχυνε, καθύβριζε» (Σχολ. αὐτόθ.). Ἔστι γὰρ καὶ τὸ ὑβρίζειν ἐπὶ τῆς τοιαύτης σημασίας, ὡς «ὑβρίζων τὰ γένεια» (Ἰώσηπ. Ἰουδαϊκ. Ἀρχαιολ.). Οὐδαμοῦ δὲ εὕρομεν ἐπὶ τῇ τοιαύτῃ χρήσει τὸ αἰσχύνειν ἁπλῶς ἐπὶ τοῦ ὀρύττειν (διαπείρειν, τρυπᾶν)· ὡς οὐδὲ τἀνάπαλιν οὐδεὶς ἂν εἴποι «ὀρύττειν πρόσωπον, ἢ κόμην (fodere) ἀντὶ τοῦ αἰσχύνειν (λατ. foedare vultus, ἢ deturpare)· καὶ ταῦτα μὲν οὕτως. Ἡ δ' οὖν Μάσορα πολὺ παρὰ τὰς τοιαύτας ἑρμηνείας δικαιοτέρα, καὶ τοῦ νῦν ἑβραϊκοῦ κειμένου τὸ γραπτὸν (τὸ caari) νόθον καὶ διεφθαρμένον ἐξελέγχει, καὶ τὴν κατὰ τοὺς Ο γνησίαν ἀνάγνωσιν ἐπικυροῖ, γράφουσα ἐν τῷ περισελίδῳ caaru, τουτ. ὤρυξαν (βλ. τὴν ὑπὸ τοῦ Ariae Montani ἔκδοσιν τοῦ ἑβραϊκοῦ). Τὴν αὐτὴν ἀνάγνωσιν μαρτυροῦσι καὶ δύω τῶν σωζομένων ἑβραίων ἀντιγράφων. Καὶ ἀλλαχοῦ δὲ οἱ Μασορῖται ὡμολόγησαν τὴν ἀρχαίαν ταύτην ἀνάγνωσιν τῆς λέξεως τοῦ ψαλμῳδοῦ (βλ. τὴν μεγάλην Μάσοραν, εἰς Ἀριθμ. κδ, 9). Οὕτως ἀνέγνωσαν καὶ ἡρμήνευσαν καὶ ὁ Ἄραψ, καὶ ὁ Σύρος, καὶ ὁ Αἰθίοψ, καὶ ἡ Βουλγάτα. Ὁ δὲ Χαλδαῖος ἀντὶ ὤρυξαν ἔγραψε δάκνοντες (mordentes), καὶ τὸ Ταργοὺμ (ἔτι κακουργότερον, ἢ καὶ διεσκευασμένως) συνῆψεν ἀμφοτέρας τὰς ἰουδαϊκὰς ἀναγνώσεις, «ὥσπερ λέων δάκνοντες». Βλ. De-Rossi, Var. Lection. V. Test. vol. 4. p. 14—17 καὶ Supplement. ad var. S. Text. Lect. p. 100. — Kennicot Diss. I. p. 489. — Schulz καὶ Rosenmüll. Schol. in Psalm. XXII. — Glaire, Introduction etc. T. 1. p. 375.

βλασφημιῶν ἀπαντῶσι καὶ λαμπρότατα δείγματα, μαρτυροῦντα τὴν ἀλήθειαν· οὐ μόνον πολλῶν κατὰ τοὺς Ο χωρίων τῆς παλαιᾶς Γραφῆς, ἀλλὰ καὶ αὐτῶν τῶν ἰουδαϊκῶν παραδόσεων καὶ πολιτευμάτων, ὧν γίνεται μνεία ἐν τοῖς θείοις Εὐαγγελίοις (α). Ἔστι δὲ δεκτὴ καὶ ἐν τοῖς θειοτάτοις ἡ μαρτυρία τοῦ *Καϊάφα*. Καὶ βῶλοι δὲ χρυσίου ὀβρύζου καὶ ἀκηράτου, καὶ λίθων ἀδαμάντων ἀρίζηλα φέγγη πολλάκις ἀνατέλλουσιν ἐκ παντοίας ἀτίμου ὕλης ἐπικειμένης. Καὶ φαίνεται λοιπὸν καὶ τὸ φύρμα τῶν

(α) Βλ. Lightfoot, Hor. Hebr. et Talmudic. Καί τοι ὁ Λιχθόφωτος οὗτος, καὶ ἄλλοι φιλοταλμουδοὶ, πολλάκις καὶ ἐν τοῖς τοιούτοις πηδῶσιν ὑπὲρ τὰ ἐσκαμμένα, παρασπῶντες εἰς ἑρμηνείαν τῆς Καινῆς Διαθήκης καί τινα χωρία τοῦ Ταλμούδου μηδεμίαν ἔχοντα σχέσιν, καὶ μήτε οὐρανοῦ ἁπτόμενα (τὸ τοῦ λόγου), μήτε πεζοποροῦντα, χαμερπῆ δὲ καὶ χαμαίζηλα καὶ ἀπὸ γῆς φωνοῦντα, δι' ὧν βεβηλοῦσι τὰς θείας ἐννοίας, εἰσάγοντες ἀθεμίτως εἰς τὸ πανάχραντον ἁγιαστήριον τῆς εὐαγγελικῆς ἐξηγήσεως ἀνοσίους λήρους ῥαββίνων, οὓς σπανιώτατόν ἐστι μὴ μωραίνοντας καὶ ψευδομένους εὑρεῖν (Bernard. ad Joseph. pag. 210). Καὶ ὅμως οἱ τοιοῦτοι ῥαββινισταὶ βαθυτέρας σοφίας καρπούμενοι δόξαν, παραδέχονται ἐν ταῖς ἑρμηνείαις τῶν θείων Γραφῶν καὶ τὰς τοιαύτας τὰς ψυχρὰς (ἔστι δ' ὅτε καὶ βλασφήμους) τερθρείας τῶν Ἰουδαίων, καὶ ταύτας προτιμῶσι πολλάκις παρὰ τὰς ἁγίας γνώμας τῶν πνευματεμφόρων πατέρων τῆς Ἐκκλησίας, ἀκολουθοῦντες «ὁδηγοῖς τυφλοῖς». Ὅθεν καὶ δικαίως ὁ σοφὸς Οὐόσσιος ἐπέπληξε τὸν Λιχθόφωτον, ὡς καταγράναντα πολλὰ μέρη τῶν ἀποστολικῶν συγγραφῶν, ἅπερ οὐκ ὤκλασε παραβαλεῖν πρὸς τὰς φλυαρίας τῆς ῥαββινικῆς ἀθλιότητος (Voss. Respons. ad object. Crit. Sacr. in Var. Lection. p. 327. πρβλ. Seb. Schmid. in Fascicul. Disputat. Theologico — philolog. Disput. 12. p. 676. Argent. 1676). Κἀκεῖνο δὲ σημειωτέον· πολλάκις οἱ ῥαββῖνοι, καί τοι μισόχριστοι, οὐκ ὤκνησαν ὅμως ἱεροσυλῆσαι πολλὰ καὶ ἐκ τῶν θείων Εὐαγγελίων, καὶ ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων, πρὸς διαγραφὴν τῶν κατ' αὐτοὺς ἱστορικῶν τινων περιστατικῶν, καὶ πολλῶν ἀρχαίων ἐθίμων, καὶ τελετῶν, ὡς ὀρθῶς ὑπενόησεν ὁ Οὐόσσιος (αὐτόθ. σελ. 327. βλ. καὶ Meric. Casaubon. De quatuor linquis p. 110, καὶ Knachtbul. ad N. Test. πολλαχοῦ, καὶ J. Owen, Theologumen. p. 384, καὶ αὐτὸν τὸν Λιχθόφωτον ἐν Miscel. Christ. et Judaic. c. 19 καὶ 20). Ἀλλὰ καὶ ὁ Σχοιττίγενος (Schoettgen), συγγράψας καὶ αὐτὸς Horas Hebraicas et Talmudic., οὐ καθαρὰν καὶ γνησίαν πηγὴν (ἀλλὰ καὶ βορβορώδη πολλάκις) ἀπέδειξε τὸ Ταλμοῦδον εἰς τὴν θεωρίαν τῆς ἑβραϊκῆς Ἀρχαιολογίας (Hor. Hebraic. Tom. 2, p. 817), καὶ μάτην ἀντεῖπεν ὁ J. Carpzov. Praef. Appar. histor. crit. antiq. κτλ. πρβλ. Fabric. Bibliogr. Antiq. p. 9.

βιβλιδαρίων τούτων καὶ αὐτὸς ὁ μεγαλότεχνος τῆς Μασοραίας ἐπινοίας φραγμὸς παραπλήσιος πρὸς ἐκεῖνο τὸ χῶμα τὸ ὑψηλὸν, ὅπερ οἱ δυσσεβεῖς μετὰ μόχθων ἐπεσώρευσαν ἐπὶ τοῦ θεοδέγμονος τάφου, συγκρύψαι τοῦτον βουλόμενοι, ναὸν ἄναον καὶ βωμὸν καὶ εἴδωλον *Ἀφροδίτης* ὕπερθεν τοῦ χώματος ἐπιστήσαντες. Ἐλάνθανον δὲ ἄρα διὰ τούτου βεβαίαν καὶ τηλεφανῆ καθιστῶντες τοῖς μεταγενεστέροις τὴν εὕρεσιν τοῦ παναχράντου τόπου, «*ὅπου ἔκειτο ὁ Κύριος*» (α). Ἀλλ' ἱκανοῦσι ταῦτα περὶ τῆς Μασόρας, τὰ δὲ πλείω διαλαμβάνουσιν ἰδίως οἱ κριτικοὶ, ἄλλοι τε καὶ ὁ περικλεὴς Κεννικῶτος, ὅστις καὶ σφραγίζει τὸν λόγον ἐπιχαρίτως δι' εὐφυοῦς ὁμοιώσεως, παραβάλλων τὴν Μάσοραν πρὸς τὴν σκιερὰν τοῦ Βιργιλίου πτελέαν, ἧς ὑπὸ τοῖς

(α) Εὐσέβ. ἐν βίῳ Κωνσταντ. Γ. 26. Κατὰ δὲ τὸν Ἱερώνυμον, ἐπὶ μὲν τοῦ παναγίου τάφου, Διὸς ἔστησαν ἄγαλμα, τὸ δὲ τῆς Ἀφροδίτης ἐπὶ τοῦ ἁγίου Γολγοθᾶ· καὶ ἵσταντο τὰ ξόανα ταῦτα ἀπὸ τῶν Ἀδριανοῦ χρόνων μέχρι τοῦ Μ. Κωνσταντίνου, ἐπὶ ἔτη 180 (S. Hieron. epist. 13 ad Paulin.). Ἀλλ' ὁ Παλαιστινὸς Εὐσέβιος ἔζη ἐπ' αὐτοῦ τοῦ Μ. Κωνσταντίνου, καὶ ἴσως παρῆν θεωρὸς εἰς ἣν ἀκριβῶς διέγραψεν ἀνεύρεσιν τοῦ ζωοδόχου μνήματος τῆς ἀθανασίας. Ἵδρυσε δὲ ὅμως ὁ Ἀδριανὸς Διὸς ἄγαλμα καὶ ναὸν «εἰς τὸν τοῦ ναοῦ τοῦ Θεοῦ τόπον» (δηλονότι τοῦ ἑβραϊκοῦ), ὡς ὁ Δίων ἱστορεῖ (ΞΘ. §. 12). Καὶ αὐτὴν δὲ τὴν ὑπὸ Τίτου κατασκαφεῖσαν πόλιν τῶν Ἱεροσολύμων ἀνέκτισε πάλιν, ἀλλοφύλους τινὰς (οὐκ ἰουδαίους) οἰκίσας, κατὰ μὲν τὸν Εὐσέβιον (Ἐκκλ. ἱστορ. πρβλ. Χρυσόστομ. κατὰ Ἰουδ. Ὁμιλ. γ), καὶ τὸν Ἱερώνυμον (Χρονικ.), μετὰ τὸν πόλεμον τοῦ Βαρχοχέβα (ὄπισθ. σελ. 65), κατὰ δὲ τὸν Δίωνα (αὐτόθ.), πολὺ πρότερον (τῷ β, ἔτει τῆς αὐτοῦ βασιλείας). Ἀλλ' ὡς ἔοικε, μικρός τις ἦν ὁ πρῶτος ἐκεῖνος τῆς πόλεως συνοικισμὸς, καὶ οὐδὲ λόγου ἄξιος· μετὰ δὲ τὸν πόλεμον ἐπισήμως ἡ πόλις ἀνηγέρθη· καὶ μάτην ὁ Σκαλίγηρος συγκρούει τοὺς ἱστορικοὺς, ψευδίζων (κατὰ τὸ εἰκὸς!) τοὺς περὶ τὸν Εὐσέβιον (Scalig. Animadv. ad Cronic. Euseb. p. 216. πρβλ. καὶ Selden. de Synedr. II. 7. πολλῷ δὲ δικαιότερα καὶ ἀληθέστερα ἔκρινεν ὁ Tillemont. T. 2. p. 499 καὶ 1000). Ἀντὶ δὲ Ἱεροσολύμων, Αἰλίαν Καπιτωλίνην τὴν πόλιν ἐπωνόμασεν ὁ Αἴλιος Ἀδριανὸς, τὸ μὲν ἀπὸ τοῦ οἰκείου ὀνόματος, τὸ δὲ ἀπὸ τοῦ ἐν Ῥώμῃ Καπιτωλίου Διὸς, οὗπερ ἔκτισε τὸν ναόν. Καὶ σῴζονται καὶ μέχρι σήμερον νομίσματα τοῦ Ἀδριανοῦ, φέροντα ναὸν, ἐν ᾧ κάθηται Ζεὺς ἡμίγυμνος· παρίστανται δὲ Παλλὰς, καὶ ὁ τῆς Ῥώμης Δαίμων (genius), μετ' ἐπιγραφῆς· COL. AEL. CAP. Βλέπε Vaillant, de num. aer. Col. P. I. p. 154.

φύλλοις ἅπασιν ἐφίζανον ἀμαυρῶν καὶ διακένων ὀνείρων παντοῖα φῦλα (α).

§. μζ. Πρὸς τὴν *Μάσοραν* ἔχει πολλὴν σχέσιν καὶ ἡ πολυθρύλλητος παρ' Ἰουδαίοις *Κάββαλα* (ἢ Καββαλὰ), σημαίνει δὲ καὶ τοῦτο *παραδοχὴν* (ὡς τὸ Μάσορα *παράδοσιν*). Ἔστι γὰρ καὶ ἡ Κάββαλα, κατ' αὐτοὺς, μέρος τῆς στοματικῆς ἀπὸ Μω-

---

(α) « Ulmus opaca, ingens, quam sedem somnia vulgo
Vana tenere ferunt, foliis que sub omnibus haerent» (Virgil. Aen. VI. 283.
καὶ παρὰ Kennicot Diss. II. p. 283)· ἤτοι,
Ἀμφιλαφὴς πτελέη, σκιόεσσ', ἕδος ἔνθ' ἀμενηνῶν,
Ὡς φάτις, ἐστὶν ὀνείρων, πᾶσι δ' ὑπαὶ πετάλοισιν — Ἕζονται ».
Ἀλλ' ὁ σοφὸς Φαβρίκυς οὔτι πάνυ χαίρων ἀπεδέξατο τὴν ὁμοίωσιν, ἅτε καὶ αὐτὸς ἐν πολλοῖς τῆς Μασόρας θαυμαστὴς (Fabricy, Des titres etc. vol. 2. p. 303, 305. sq.). Διὸ καὶ πικρῶς Κεννικώτου καθήψατο (αὐτόθ.). Τέλος δ' οὖν, οὕτως ἐνθουσιώδης ἀπέβη περὶ τὴν Μάσοραν, ὥστε καὶ ηὔξατο ἐπιπόνως (plût-à-Dieu!), «ἵνα πρὸς τὸ παράδειγμα τῶν Ἰουδαίων κριτικῶν (τῶν Μασοριτῶν) εἶχον καὶ οἱ χριστιανοὶ, πλὴν τῶν Ὠριγένους Ἑξαπλῶν, καὶ εἶδος Μασόρας ἐπὶ τῶν ἀρχαίων τῆς ἑβραΐδος γραφῆς ἑρμηνειῶν, τῶν τε ἑλληνικῶν, καὶ λατινικῶν, καὶ τῶν λοιπῶν Ἀσιανῶν! « Ἆρά γε (φησὶν) οὐκ ἂν οὕτω παρελαμβάνομεν τὰς ἑρμηνείας ἐπὶ μᾶλλον, ἢ ὅσον εἰσὶ, συντετηρημένας ;». (Id. p. 315). Καὶ πῶς ἂν ἀμφιβάλλοις, ὦ 'γαθὲ Φαβρίκυ, περὶ τούτου τοῦ πράγματος, ἀφ' οὗ ἴδες προφανῶς τὴν ἄμαχον καὶ θαυματουργὸν τῆς φίλης Μασόρας ἰσχὺν, οὕτως ἔμπεδον καὶ ἀσφαλὲς συντηρήσασαν πρῶτον αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκόν ;—Ἀλλ' ὡς ἔοικεν, ὁ πολυΐστωρ οὗτος ἐζήλωσε τὸν Ἀμάμαν, ὅστις καὶ τῶν εἰς τὴν Καινὴν Διαθήκην φερομένων διαφόρων ἀναγνώσεων αἴτιον εἶπε τὴν ἔλλειψιν Μασόρας!! (βλ. Sixt. Amama, Antibarbar. Bibl. L. 1. c. 3). Ἀλλὰ καὶ Γλάσσιος ὁ σοφώτατος θεράπων καὶ λάτρις τὴν Μασόρας ἐπεθύμησεν ἰδεῖν τοιοῦτον τῆς Καινῆς Διαθήκης φρουρόν! Καὶ τίνος ἄλλου πράγματος ἔμελλε σφοδρότερον ἐπιθυμήσειν ἄνθρωπος, ὅστις ὠνειρεύετο καὶ λέξεις καὶ φράσεις ἑνός τινος Εὐαγγελιστοῦ καὶ εἰς ἄλλον ὑπό τινων ἀντιγραφέων μεταπεφυτευμένας; (οἷον λέγει τὸ «δύω ἐπὶ κλίνης μιᾶς» κτλ. Λουκ. ιζ 34, μετοχετευθὲν καὶ εἰς Ματθ. κδ, 41). καὶ ἄλλα δὲ τοιαῦτα φοιβητεύει ὁ μέγας οὗτος κριτικὸς ἀπὸ τρίποδος συντετριμμένου. (βλ. Glass. Philol. Sacr. L. 11. Tr. 2. p. 83: Amstelod. 1714). Ἀλλ' εὑρέθη, τέλος, καί τις τῶν νεωτέρων ἀνώνυμος καὶ ματαιόσχολος, ὅστις, κατὰ τὸν παρελθόντα αἰῶνα, ἐξέδωκε τὴν Ἀγγλικὴν μετάφρασιν τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης (Old und New Testam. dissected) φέρουσαν κατὰ τὴν Μασοραίαν μέθοδον ἠριθμημένα τά, τε γράμματα, καὶ τὰς λέξεις, καὶ τοὺς στίχους καὶ τὰ κεφάλαια τῆς Γραφῆς. Βλ. Horne, An Introduction etc. vol. 2. part. 1. p. 38.

σέως καὶ τῶν προφητῶν κατιούσης ἀγράφου παραδόσεως, καὶ ἰδίως ἀσχολεῖται περὶ τὰς μυστικωτέρας ἐννοίας, ἃς οἱ ὄλεθροι Καββαλισταὶ καυχῶνται ὅτι ἐξάγουσιν, ἐξάπτοντες οἷον *σπινθῆρας*, ἐξ ἑκάστου γράμματος τῶν λέξεων τῆς Γραφῆς, μυστήριά τινα βαθέα ἀναφαίνοντες. Ταύτην δὲ τὴν μυστηριῶτιν μέθοδον οὕτως οἱ Ταλμουδικοὶ τιμῶσιν, ὥστε τοὺς λόγους αὐτῆς ἐξισάζουσιν ὡς ἰσοδυναμοῦντας πρὸς αὐτὰ τοῦ θείου νόμου τὰ ῥήματα. Παρὰ δὲ τοῖς πολλοῖς τῶν Ἰουδαίων φέρεται καὶ γνωμικὸν, ὅτι «ἂν, τυχὸν, οἱ Καββαλισταὶ εἴπωσι *τὴν δεξιὰν ἀριστερὰν, καὶ τὴν ἀριστερὰν δεξιὰν*, ὑπακουστέον» ! Καὶ τοὺς μὲν καθηγητὰς τῆς Μισνᾶς παρομοιάζουσι πρὸς *φαρμακοπώλας*, παρασκευάζοντας τὰ φάρμακα, τοὺς δὲ Καββαλιστὰς πρὸς *ἰατροὺς* ἐπισταμένους πάσας τὰς τῶν φαρμάκων δυνάμεις, καὶ συντιθέντας τὰς ἀναγραφὰς (recettes)! Καὶ φαίνεται λοιπὸν καὶ ἡ δυσώνυμος Κάββαλα παραφυάς τις τῆς Μισνᾶς, συναυξήσασα μετὰ τοῦ Ταλμούδου καὶ τῆς Μασόρας, καὶ οὐχ ἧττον καὶ αὐτὴ βλάψασα τὸ κείμενον, δι' ὧν ἐξάπτει μυστηριακῶν *σπινθήρων*, συντρίβουσα, ὡς ἂν πυρεῖα, τὰ γράμματα τῶν λέξεων (α).

(α) Εἰς τρία τὴν Κάββαλαν διαιροῦσιν εἴδη· εἰσὶ δὲ ταῦτα. α) Ἡ Μυστικὴ, ἥτις μεταξὺ μυρίων λήρων καὶ δυσσεβεστάτων βλασφημιῶν, σῴζει καί τινας ἐκ τῶν ἀρχαίων Ἑβραίων κατιούσας ἀναγωγικὰς τοῦ γράμματος ἑρμηνείας. β) Ἡ Πρακτική· μιαρὰ καὶ παμμίαρος αὕτη, καὶ δαιμονώδης καὶ μαγικὴ (ἀπόῤῥοιά τις τῆς Χαλδαίων μαγικῆς. Ἔμαθον δὲ ταύτην, ὡς ἔοικεν, ἐκ τῶν Ἀράβων οἱ ἀρχαιότεροι ῥαββῖνοι, προσθέντες καὶ τὰς ἐξ ἑαυτῶν γοητείας). Δι' αὐτῆς κατασκευάζουσι παντοίας φαρμακείας, ἐπῳδὰς, περίαπτα, φυλακτήρια (Amuletta), καὶ τὰ μέλλοντα δὲ προληροῦσι, προφέροντες καὶ μεταπλάττοντες παντοιοτρόπως τὰς λέξεις τῆς θείας Γραφῆς, καὶ αὐτὸ τὸ τετραγράμματον Ὄνομα ! γ). Τέλος, ἡ Θεωρητικὴ, ἡ παρὰ τοῖς νεωτέροις Ἰουδαίοις ἐξαιρέτως λεγομένη Κάββαλα, σχολάζουσα ἰδίως περὶ τὴν θεωρίαν τῶν τῆς Γραφῆς λέξεων, καὶ τῶν ἐξ ὧν σύγκεινται γραμμάτων, καὶ τῶν μορφῶν καὶ στιγμάτων αὐτῶν. Καὶ τοῦτο δὲ τὸ εἶδος φαίνονται παραλαβόντες (πολλοῖς αἰῶσιν ὕστερον μετὰ τὴν ἐσχάτην αὐτῶν καταστροφὴν) παρά τινος Ἀσιανῆς μεθόδου (συνήθους καὶ παρὰ τοῖς ἀρχαίοις Ἕλλησι, καὶ μάλιστα τοῖς Ἀλεξανδρινοῖς, χαριέστερον περὶ τὰ στοιχεῖα τῶν γραμμάτων φιλολογοῦσιν, ὡς φανήσεται εὐθύς). Καὶ κατεμίανε μὲν καὶ τοῦτο τὸ θεώρημα ἡ ῥαββινικὴ κακοήθεια, πολλὰς προσάψασα πλάνας ἀστρολογικὰς, καὶ ἰδίως ἰουδαϊκὰς, ἀλλ' ὅμως κηρύτ-

§. μη. Ἀλλὰ χωρῶμεν καὶ πρὸς τὰ λοιπὰ τῆς δ, ἱστορικῆς περιόδου. Μεταξὺ τοῦ ὀγδόου, καὶ δεκάτου, ἢ ἑνδεκάτου αἰῶνος τίθεται παρὰ τοῖς κριτικοῖς καί τις νεωτέρα ἐκ τοῦ ἑβραϊκοῦ

τουσι τὴν κλοπὴν αὐτὰ τὰ ὀνόματα, καθ' ἃ τὸ εἶδος τοῦτο ὑποδιαιροῦσιν, εἰς τρία καὶ τοῦτο σχήματα καταμερίζοντες. α) Ὃ λέγεται παρ' αὐτοῖς Gematria (σαφὲς παρατραύλισμα τοῦ Γεωμετρία). Διὰ τούτου ψηφίζουσιν ἀριθμητικῶς τὰ γράμματα μιᾶς τινος λέξεως γραφικῆς καὶ πρὸς τὸ κεφάλαιον αὐτῶν ἀντικαθιστῶσιν ἄλλην ἰσόψηφον λέξιν, εἰς ἐξήγησιν τῆς προτέρας· οἷον, τὸ Ζαχαρ. γ, 8, τσεμὰχ (βλαστὸν: ἀνθ' οὗ οἱ Ο, Ἀνατολὴν) ἀναφέρουσιν εἰς τὸν Μεσσίαν, ὡς ἰσόψηφον τοῦ Μεναχὲμ (παράκλητος, ἓν τῶν παρ' αὐτοῖς ὀνομάτων τοῦ Μεσσίου), καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Καὶ φαίνεται ὁ τρόπος συγγενής πως τῆς ἀριθμητικῆς τῶν ἀρχαίων θεολογίας. Οὕτω δὲ καί τινες τῶν ἡμετέρων ἠθικώτερον παρετήρησαν τὸ ἀγαθὸς ὡς ἰσόψηφον τοῦ Θεός. Πρὸς ταύτην τὴν μέθοδον πλησιάζει καὶ ὁ παρ' Εὐρωπαίοις συνήθης (ὡς αὐτὸν ὠνόμασαν) χρονογραμματισμὸς (chronogrammatismus), καθ' ὃν ἁπλῶς καὶ ἀπονήρως ἐξάγουσιν ἐκ τῶν στοιχείων τινὸς λέξεως ἀριθμὸν, δηλοῦντα τὸν χρόνον τῆς σημαινομένης ἐννοίας. (Οὕτω καί τις τῶν ἡμετέρων ἐπέγραψεν εἰς ἀρχιερατικὸν ὠμοφόριον τὰ ἑξῆς· «Ἐπωμίδος ἔτος»· ταῦτα δὲ τὰ γράμματα ἀριθμητικῶς συγκεφαλαιούμενα δηλοῦσι τὸ ἔτος, καθ' ὃ γέγονεν ἡ ἐπωμίς). Τὸ β) εἶδος τῆς Καββάλας ταύτης ὀνομάζουσιν οἱ Ἰουδαῖοι Notaricon (ἐκ τοῦ λατινικοῦ Νοτάριος). Διὰ τούτου, πρὸς ἐξήγησιν λέξεώς τινος λαμβάνοντες αὐτῆς τὰ γράμματα, παραβάλλουσιν ἴσας τούτοις λέξεις, ἀρχομένας ἑκάστην ἐξ ἑκάστου γράμματος τῆς προκειμένης. «Καὶ ἔστιν εἶδος τῆς καὶ παρ' Ἕλλησι συνήθους Ἀκροστιχίδος (οὕτω καί τινες τῶν καθ' ἡμᾶς ἀρχαιοτέρων, εἰ καὶ μὴ κατ' ἀκρίβειαν τῆς σημασίας, ἀλλ' ὅμως εὐφυῶς, καὶ χάριν ἠθικῆς διδασκαλίας, ἀνέλυσαν τὸ ὄνομα ΑΔΑΜ, εἰς τὰ Ἀνατολὴ, Δύσις, Ἄρκτος, Μεσημβρία. Τοιαύτας καὶ ἄλλας παρὰ τοῖς ἀρχαίοις ἀπαντῶμεν ἀκροστιχίδας, ἐξ ὧν καὶ στίχους ὅλους, καὶ λέξεις ἐκφέρουσι. Τούτων παιγνιώδη μίμησιν ἔγραψε καὶ ὁ Πλανούδης ἐν τῷ βίῳ τοῦ Αἰσώπου (εἰ χρὴ καὶ τούτου μνησθῆναι) τὰ γράμματα ἐκεῖνα, ἅπερ ὁ Αἴσωπος μετὰ τοῦ ἰδίου δεσπότου συμπορευόμενος, εὕρηκε δῆθεν ἐπί τινος στήλης κεχαραγμένα· α. β. δ. ο. ε. θ. χ. ταῦτα δὲ πρῶτον μὲν ἡρμήνευσε πρὸς τὸν δεσπότην, οὕτως· «Ἀποβὰς Βήματα Τέσσαρα, Ὀρύξας Εὑρήσεις Θησαυρὸν Χρυσίου». Εὑρεθέντος δὲ τοῦ χρυσίου, καὶ τοῦ δεσπότου τὸ πᾶν σφετεριζομένου, μεθηρμήνευσε τὰ γράμματα πάλιν ὁ Αἴσωπος οὕτως· «Ἀπόδος Βασιλεῖ Διονυσίῳ, Ὃν Εὗρες Θησαυρὸν Χρυσίου». Κατανεύσαντος δὲ τοῦ δεσπότου πρὸς τὴν διανομὴν, ἀπεδείκνυε ταύτην ὁ Αἴσωπος ἐκ τῶν γραμμάτων «Ἀνελόμενοι, Βαδίσαντες, Διέλεσθε, Ὃν Εὕρατε». κτλ. (Τοῦτο τὸ παίγνιον φαίνεται μᾶλλον ἀγχινούστερον, παρὰ τὸ τοῦ εὐγλώττου καὶ φιλοψευδοῦς Μαίστρου (Maestre) λατινικὸν Ca-da-ver, ὅπερ οὗτος κατὰ συλλαβὴν ἀναλύσας, εὗρεν ἐν αὐτῷ τὸ Caro data vermibus!). Τρίτον, τέλος, εἶδος τῆς Καββάλας ἐστὶ τὸ λεγόμενον παρ' αὐτοῖς Τεμουρὰ (μεταβολὴ), δι' οὗ τὰ γράμματα τῆς λέξεως ἄλλως συλλαβί-

ἑλληνικὴ ἑρμηνεία τῆς Πεντατεύχου, καὶ ἄλλων ἐξ τευχῶν τῆς Γραφῆς (τῶν Παροιμιῶν, τοῦ Ἐκκλησιαστοῦ, τοῦ Ἄσματος, τῆς Ῥοὺθ, τῶν Θρήνων, καὶ τοῦ Δανιήλ). Ταύτης τῆς ἑρμηνείας *ἓν καὶ μόνον* ἀπόγραφον (οὐκ αὐτὸ τὸ πρωτότυπον) εὑρίκεται ἐν τῇ κατὰ Βενετίαν βιβλιοθήκῃ τοῦ ἁγίου Μάρκου, γεγραμμένον ἐν μεμβράναις κατὰ τὸν ιδ, αἰῶνα, ἢ καὶ μικρῷ μεταγενέστερον (ὡς εἰκάζεται ἐκ τοῦ εἴδους τῆς γραφῆς), ἐπίμηκες τὸ σχῆμα, μεγέθους τετάρτου. Ἔστι δὲ ἡ μετάφρασις ἄγαν δουλικὴ, λέξιν πρὸς λέξιν ἀποδιδοῦσα, κατὰ τὴν τοῦ Ἀκύλα, πρὸς ἣν καὶ ἔστιν ὅτε ἀποκλίνει, καὶ ἄλλοτε πάλιν πρὸς τὸν Σύμμαχον, καὶ τὸν Θεοδοτίωνα, καὶ τὸ πλεῖστον, πρὸς τὸ καθ' ἡμᾶς Μασορίτειον κείμενον. Βάσιν δὲ ὅμως καὶ πρώτιστον ὁδηγὸν ἔχει τὴν ἑρμηνείαν τῶν Ο, ἣν καὶ πολλάκις ἀντιγράφει. Λέξει δὲ χρῆται ποικίλῃ, καὶ μεμιγμένῃ ἐκ πασῶν τῶν ἑλληνικῶν διαλέκτων, καὶ μάλιστα τῆς Ἀττικῆς. Ἀναμίγνυσι δὲ καί τινα γλωσσηματικὰ καὶ ἀπηρχαιωμένα ὀνόματα· καὶ αὐτός τινα ὁ μεταφραστὴς οὐ λίαν εὐμούσως δημιουργεῖ, ὡς ἄλλος ἐπαρίστερος Λεξιφάνης (οἷον τὸ *Ἰευὼ*, τὸ κατὰ τοὺς Ο, *Κύριος*, ὑπ' αὐτοῦ ἑρμηνεύεται *Ὀντωτής*· καὶ ἄλλα τοιαῦτα). Τὸ δὲ ἑβραϊκὸν ἐξ οὗ μετέφρασεν οὗτος, νομίζουσιν, ὅτι ἢ ἄστικτον ὑπῆρχε παντάπασιν, ἢ ἐν ὀλίγοις ἐστιγμένον (διότι πολλαὶ τῶν κατ' αὐτὸ ἀναγνώσεων διαφέρουσι τοῦ νῦν ἑβραϊκοῦ). Αὐτὸν δὲ τὸν μεταφραστὴν ὁ μὲν Ἄμμων ἔκρινε χριστιανὸν μοναχὸν, Σύρον ἑλληνιστὴν τῆς η, ἢ τῆς θ, ἑκατονταετηρίδος. Οἱ δὲ περὶ τὸν Βαύε-

---

ζοντες, ἢ μετατιθέντες παντοίως, ἄλλας ἐξάγουσι λέξεις εἰς ἐξήγησιν. Καὶ ἔστιν εἶδος Ἀναγραμματισμοῦ, (ὡς τὸ Ἡρας ἴον, ἐκ τοῦ Ἀρσινόη κτλ). Ἀλλὰ περὶ τῆς Καββάλας εἴ τις πλείονα θέλει, ἰδέτω τοὺς, I. Reuchlin, de arte Cabbalistica· Hagan. 1530. — Morin. Exercit. in Pentat. Samarit. Exer. 2. cap. 7. 8. 9. — Hotting. Thes. philol. L. 1. c. 3. p. 437. — Bonfrerij Praeloq. c. 31. p. 83. — Walton, Proleg. VIII. §. 30. — Pasini, de praecipuis S. Biblior. Linq. et vers. p. 30 — 33. Patav. 1716. — Calmet, Diction. T. 1. p. 359. — Carpzov. Crit. Sacra. p. 285. — Chiarini, Théorie du Judaisme T. 1. p. 55 — 57. κτλ.

ρον, χριστιανὸν γραμματικὸν Βυζαντινὸν, διδαχθέντα τὰ ἑβραϊκὰ παρά τινος Ἰουδαίου δυτικοῦ (τῶν ἐν Εὐρώπῃ, καὶ κατ' αὐτὴν ἴσως τὴν Κωνσταντινούπολιν). Ἀλλ' ὁ μεταφραστὴς φαίνεται ἑλληνιστὴς Ἰουδαῖος αὐτόχρημα (τοιοῦτον αὐτὸν ἔκρινε καὶ Ὅλμης, ἀκμάσαντα μεταξὺ τῆς θ, καὶ ια, ἑκατονταετηρίδος). Οὔτε γὰρ ἂν Ἕλλην Βυζαντινὸς συγκατέῤῥαπτεν ἂν οὕτως ἀμούσως τὰς διαλέκτους εἰς ἕνα κέντρωνα κακότεχνον, προστιθεὶς καὶ οἵους οὐδ' ἂν παιδάριον ἑλληνικὸν ἔγραψε σολοικισμοὺς καὶ βαρβαρισμούς (α). οὔτε Σύρος πάλιν μοναχὸς, ἀλλ' οὐδὲ λαϊκὸς χριστιανὸς ἡρμήνευε τὴν Γραφὴν εἰς χρῆσιν τῶν ἰουδαϊκῶν συναγωγῶν. Ἔστι γὰρ ἡ Πεντάτευχος διῃρημένη εἰς τμήματα, ἢ *παράσχας*, ὁποίας ἀναγινώσκουσι κατὰ σάββατον οἱ Ἰουδαῖοι ἐν ταῖς συναγωγαῖς. Ὅθεν καὶ τὰς σελίδας ὁ κώδηξ ἔχει συντεταγμένας κατὰ τὸν τρόπον τῆς γραφῆς τῶν Ἀσιανῶν γλωσσῶν· ἄρχεται γὰρ ἐκ τῶν δεξιῶν, καὶ χωρεῖ πρὸς τ' ἀριστερά. Ταύτης τῆς ἑρμηνείας ἐξέδωκε πάντα τ' ἄλλα, πλὴν τῆς Πεντατεύχου, πρῶτον ὁ Βιλλοϊσὼν (τῷ 1784), εἶτα δὲ καὶ τὴν Πεντάτευχον ὁ Ἄμμων (τῷ 1790–1793) ἐν τόμοις τρισί (β).

§. μθ. Κατὰ δὲ τὸ 942 μ. Χ. ἐτελεύτησεν ὁ ῥαββὶς Σααδίας, ὁ Γαὼν τὸ ἐπώνυμον (γ). Οὗτος προέστη τῶν ἔν τισι τῆς Βαβυ-

(α) Οἷον (Γενέσ. α) «Τετέλεκεν οὖν ἑσπέρα, κἀτέλεσεν ἕως ἡμέρα μία» (ἀντὶ καὶ «ἐγένετο ἑσπέρα» κτλ.). Καὶ τὸ στερέωμα λέγει τάμα (ἐκ τοῦ τείνω, διότι τὸ ἑβρ. ῥακιὰ δηλοῖ καὶ ἐκτατὸν) οἷον, «Τελεσάντων φῶτα ἐν τῷ τάματι (ἀντὶ τοῦ «γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι») κτλ. Εἰσέῤῥησαν δὲ καί τινα σφάλματα τυπογραφικὰ κατὰ τὴν ἔκδοσιν· οἷον αὔξεστον (ἀντὶ αὔξεσθον, τουτ. αὐξάνεσθε, Γενέσ. α, 28) κτλ.

(β) Βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ι. §. κϛ. σελ. 641. πρβλ. Eichhorn, Repertorium für biblische und morg. Litter. 2 Bd. p. 68 4. Bd. p. 280.—Rosenmüller, Handbuch für die Literatur etc. 2 Bd. p. 470—473.—Horne, An Introduction etc. T. 2. part. 1. p. 219.

(γ) Γαῶνες (ἑβρ. Gaonim, τουτ. ἔξοχοι, ἢ ἔκλαμπροι, illustres, excellentes, διὰ τὸ τῆς σοφίας ἴσως ὑπέρεχον!) ἐπωνομάζοντο οἱ προϊστάμενοι τῶν ἐν Βαβυλῶνι σχολῶν· μετὰ δὲ τὴν τούτων κατάργησιν συγκατηργήθη καὶ τὸ ἀξίωμα μετὰ τῆς ἐπωνυμίας. Ἄλλως δὲ παρὰ τοῖς διδασκάλοις τῶν Ἰουδαίων συνήθης ἦν ἡ ῥαββὶ (Rabbi) ἐπωνυμία, ὡς καὶ τὴν σήμερον). Πρὸ δὲ τῶν Γαώνων

λωνίας χώρας ἰουδαϊκῶν σχολῶν, καὶ πρῶτος, ὡς λέγουσιν, ἐποιήσατο ἀπόπειραν *ἑβραϊκῆς γραμματικῆς*, ἧς τὰ πρῶτα θεμέλια κατέβαλεν ὕστερον Ἰούδας ὁ Χιούγας (Chiug), μετὰ 130 ἔτη κατόπιν ἐπελθὼν (τῷ 1072 μ. Χ.). Καὶ πρὸς τὴν Μάσοραν δὲ φαίνεταί τινα συνεισενεγκὼν ὁ φερέπονος Σααδίας, ἀριθμήσας καὶ αὐτὸς τὰ γράμματα τοῦ κειμένου, καὶ διὰ στίχων ἐμμέτρων ἐκφράσας τὸν ἀριθμόν! Μετέφρασε δὲ καὶ πᾶσαν τὴν παλαιὰν Γραφὴν ἀραβιστί. Ταύτης τῆς ἑρμηνείας μόνη ἡ Πεντάτευχος ἐξεδόθη γράμμασιν ἑβραϊκοῖς τὸ πρῶτον ὑπὸ τῶν Ἰουδαίων ἐν Κωνσταντινουπόλει (περὶ τὸ 1620), μετέπειτα δὲ καὶ ἐν ταῖς Πολυγλώττοις τῶν Παρισίων καὶ τοῦ Λονδίνου, ὡς ἐσχάτη τῶν ἀρχαίων μεταφράσεων· κατεκρίθη δὲ ὁ μεταφραστής, ὅτι πολάκις ἀποχωρεῖ τοῦ ἑβραϊκοῦ, παρακολουθῶν νῦν μὲν Ὀγκέλῳ, νῦν δὲ καὶ αὐτοῖς τοῖς Ο, καὶ ἄλλοτε τῇ ἰουδαϊκῇ αὐτοῦ φύσει. Ἀλλὰ καὶ ἐν οἷς ἀκολουθεῖ πιστῶς τῷ ἑβραϊκῷ, καταφαίνονται νεώτεραί τινες λῶβαι καὶ διαφθοραὶ, μικρῷ πρότερον αὐτοῦ παρεισπεπτωκεῖαι εἰς τὸ ἑβραϊκὸν κείμενον. Κατὰ τὴν δ, ταύτην περίοδον φαίνονται καί τινα ἄλλα συγγράμματα χαλδαϊστὶ παρὰ τῶν ῥαββίνων συγγεγραμμένα, ἅπερ οἱ Ἰουδαῖοι ὡς πανάρχαια περιτυμπανίζουσι (περὶ τούτων ἐροῦμεν παροδικῶς ἐφεξῆς). Κατὰ δὲ τὸ 1040 μ. Χ. οἱ Ἄραβες κρατήσαντες τῆς Βα-

---

ἦσαν οἱ Σεβουραῖται, ἢ Σεβουριεὶμ (εἰκαστικοί τινες καὶ στοχαστικοὶ, ἢ δοξασταὶ, opinistae, ἢ probabistiae, ἐκ τοῦ Sebhirin. βλ. ἐφεξ. κεφ. ζ. §. ιδ·)· οὓς καὶ κατὰ τὸ 460 μ. χ. ἀτόπως χρονολογοῦσιν οἱ πάνυ τὰ ῥαββινικὰ ἐξαρχαΐζοντες, ὅ,τε Βουξτόρφιος (Lexic. Targum f. 1428), καὶ ὁ Βαρτοτολόκκης (Biblioth. Rabbinic. T. 3. p. 667). Καὶ πρὸ τούτων πάλιν ἦσαν οἱ Ἀμοραῖται, ἢ Ἀμοραεὶμ (διαλεκτικοὶ, ἢ σοφισταὶ), καὶ οἱ κατὰ τὴν Τιβεριάδα Ταναΐται ἢ Ταναεὶμ (παραδοτικοὶ, ὡς φύλακες τῶν παραδόσεων), καὶ εἴ τινες ἄλλοι τοιοῦτοι, πάντες ἀσχολούμενοι οὐχ οὕτω περὶ τὰς Γραφὰς, ὅσῳ περὶ τὰς Ταλμουδικὰς παραδόσεις (βλ. Morin. Exercit. Bibl. L. 2. Exerc. 2. cap. 2, καὶ Exerc. 4. c. 2. προβλ. Fabricy, Des titres etc. T. 2. p. 226—230. — Chiarini l. c. Tom. 1. p. 197). Ἐκ δὲ τῆς μοχθηρίας τούτων δὴ τῶν πανεξόχων παραδοτικῶν καὶ σοφιστῶν καὶ δοξαστῶν ὅτι καὶ τὸ κείμενον τῶν ἑβραϊκῶν Γραφῶν οὐκ ὀλίγον ἀπώνατο, πρᾶγμα πιθανώτατον.

βυλωνίας χώρας, κατέστρεψαν τὰς ἐκεῖ τῶν Ἰουδαίων σχολὰς, καὶ αὐτοὺς ἐξεδίωξαν· οἱ δὲ πλάνητες φερόμενοι καὶ ἀλῆται, διεσπάρησαν ἀνεπιστρεπτεὶ, πολλαχοῦ τῆς Εὐρώπης καταφυγόντες, καὶ μάλιστα εἰς τὴν Ἱσπανίαν (α).

ΠΕΡΙΟΔΟΣ. Ϛʹ.

Ἀπὸ τοῦ 1040, μέχρι τοῦ 1452 μ. Χ. ὅτε εὑρέθη ἡ τυπογραφία.

§. ν. Κατὰ τὰς ἀρχὰς τῆς περιόδου ταύτης ἐξήνθησε παρ᾽ Ἰουδαίοις ὁπωσδήποτε σωφρονεστέρα διδασκαλία καὶ σπουδὴ περὶ τὰς Γραφάς. Καὶ δὴ περὶ τὰ μέσα τοῦ ιϐ, αἰῶνος ἀνεφάνησαν οἱ παρ᾽ αὐτοῖς ἐπισημότατοι τέσσαρες ῥαϐϐῖνοι, Μαϊμονίδης, Ἰάρχης, Ἀϐενέσδρας, καὶ Κιμχὴς, οἵτινες μετὰ τῶν περὶ αὐτοὺς παραλιπόντες τὸ Ταλμοῦδον, ἐσχόλαζον σπουδαιότερον περὶ τὰς Γραφάς (ϐ). Ἴδωμεν οὖν τίποτε μαρτυροῦσιν οἱ ἔξοχοι οὗτοι διδάσκαλοι τῆς Συναγωγῆς περὶ τοῦ κατ᾽ αὐτοὺς ἑϐραϊκοῦ κειμένου (γ).

§. να. Ὁ μὲν οὖν Ἰάρχης ὡμολόγησεν, ὅτι ὑπῆρχον ἐπ᾽ αὐτοῦ κώδηκές τινες *μᾶλλον διωρθωμένοι* (οἱ δὲ λοιποὶ ἄρα ἦσαν *ἧττον ὀρθοί!*)· καὶ πολλάκις ἀντεῖπε πρὸς τὴν Μάσοραν, ὡς ἐνιαχοῦ διεσφαλμένην· καὶ προσέθηκεν, ὅτι τὸ Ταλμοῦδον ἔν τισιν ἀντιλέγει πρὸς τὸ κείμενον ὅλων τῶν ἐπ᾽ αὐτοῦ κωδήκων τῆς Γραφῆς. Ἐσημείωσε δὲ καί τινα *κερία* καὶ *κετίϐια* μηδαμοῦ κείμενα τῆς Μασόρας. Ὁ δὲ πάλιν Ἀϐενέσδρας εὕρηκεν ἐλλείποντά τινα ἐν τοῖς κατ᾽ αὐτὸν βιϐλίοις τῶν Βασιλειῶν· Καὶ γραμματικοῦ τινος ἐπεμνήσθη γνωμοδοτήσαντος, ὅτι πλέον ἢ ἑκατὸν λέξεις μεταϐλητέον ἐν τῇ Γραφῇ. Ὁ δὲ Κιμχὴς (ὁ νεώτατος τῶν τεσσάρων) ἀπεφήνατο μετὰ βεϐαιότητος, ὅτι ὑπάρ-

(α) Walt. Proleg. XIV. §. 15. — Kennicot, Diss. II. p. 435.

(ϐ) Buxtorf. De Abbrev. Hebr. p. 294.

(γ) Kennicot, Diss, II. p. 437—440. Τούτων καὶ ἄλλων οὐκ ὀλίγων ῥαϐϐίνων μαρτυρίας περὶ τοῦ καθ᾽ ἡμᾶς ἑϐραϊκοῦ καταγράφομεν ἐφεξῆς ὁλοκλήρους ἐν ἰδίῳ κεφαλαίῳ.

χουσι διαφωνίαι μεταξὺ τῶν ἀρχαίων ἑβραϊκῶν χειρογράφων, καὶ ὅτι περὶ τὰς παραλλαγὰς τῶν ἀναγνώσεων τούτων ἔθεντο νομον οἱ Ἰουδαῖοι, ἵνα παρακολουθῶσι τῷ πλείονι τῶν χειρογράφων ἀριθμῷ. Ἀνέφερε δὲ καὶ αὐτὸς ἐκ τοῦ κειμένου ῥήσεις, αἵτινες ἄλλως ἔχουσι τανῦν ἐν τοῖς ἐκδεδομένοις διὰ τοῦ τύπου βιβλίοις τῆς Γραφῆς (α). Ὁ δὲ πρῶτος, τέλος, ὁ Μαϊμονίδης ἐμαρτύρησε τρανῶς «ὅτι ὁ παρ᾽ Ἰουδαίοις περίφημος (μηκέτι δὲ σωζόμενος) κώδηξ τῶν Γραφῶν ἐκεῖνος, ὃν λέγουσιν *Αἰγύπτιον*, ἐτηρεῖτο πρότερον διὰ πολλῶν ἐτῶν ἐν Ἱεροσολύμοις· καὶ ὅτι τὸν κώδηκα τοῦτον διώρθωσεν ὁ Ἀσηρίδης (Βὲν Ἀσήρ. βλ. ὄπισθ. σελ. 115)· διὰ τοῦτο καὶ *πάντες οἱ Ἰουδαῖοι* τοῦτον τὸν κώδηκα παραλαμβάνουσιν ὁδηγὸν πρὸς διόρθωσιν ὅλων τῶν ἱερῶν χειρογράφων αὐτῶν» κτλ. Ταῦτα ὁ κλεινὸς Βάλτων ἀντιγράφων ἐξ αὐτοῦ τοῦ Μαϊμονίδου, συμπεραίνει καὶ ὅτι πάντα ἄρα τὰ διὰ τοῦ τύπου ἐκδιδόμενα βιβλία τῶν ἑβραίων Γραφῶν πρὸς τὸν κανόνα τούτου τοῦ Αἰγυπτίου, ἢ Ἀσηρείου κώδηκος συσχηματίζονται καὶ συμμορφοῦνται (β).

§. νβ. Ἀλλ᾽ ὅμως (προστίθησιν ὁ Κεννικῶτος), καίτοι τοῦ Μαϊμονίδου βεβαιοῦντος, ὅτι πρὸς ἐκεῖνο τὸ χειρόγραφον ἅπαντες οἱ Ἰουδαῖοι τοὺς ἰδίους αὐτῶν κώδηκας ἐπηνώρθουν, ἐπειδὴ τὰ καθ᾽ ἡμᾶς σωζόμενα ἑβραϊκὰ χειρόγραφα ἐν πολλοῖς χωρίοις διαφέρουσιν ἀπ᾽ ἀλλήλων, ἕπεται δυοῖν θάτερον, ἢ ὅτι πρώην ὑπῆρχον καί τινες ἄλλοι κώδηκες πρὸς οὓς ἄλλα πάλιν ἀντίγραφα διωρθοῦντο, ἢ ὅτι τῶν καθ᾽ ἡμᾶς τινα χειρογράφων διὰ τοῦτο διαφέρουσι παρὰ πολὺ τοῦ Ἀσηρείου κώδηκος, διότι διαφωνοῦσιν αὐτὰ πρὸς ἄλληλα. Ἀλλ᾽ ἦσαν, ὡς ἔοικε, καὶ ἄλλα χειρόγραφα φημιζόμενα ὡς ἐκ τῆς σοφίας, ἢ τῆς αὐθεντίας τῶν εἴτε μεταγραψάντων, εἴτε διορθωσάντων ῥαββίνων, καὶ ταῦτα κα-

(α) Τούτων τῶν τριῶν ῥαββίνων τὰς διαφόρους ἀναγνώσεις βλ. παρὰ Καπελλανίῳ. Mare Rabbin. p. 58, 72, 187, 229, 561, 563, 572. 609.

(β) Walt. Proleg. IV. 9. — Kennicot, l. c. p. 439.

τὰ διαφόρους καιροὺς καὶ τόπους συνιστῶντο, ὡς κώδηκες διορθωτικοί. Καὶ μάρτυς ὁ Μορῖνος, λέγων. «Πρὸ τῆς εὑρέσεως τῆς τυπογραφικῆς τέχνης, ἐν ἑκάστῃ ἐπαρχίᾳ, πολλὰς ἐχούσῃ συναγωγὰς, προὔκειτο βίβλος τῆς Γραφῆς ἐστιγμένη καθ' ὅλην τὴν ἔκτασιν, καὶ, κρίσει πολλῶν ῥαββίνων, ὀρθότατα γεγραμένη. Πρὸς ταύτην, ὡς πρὸς *λύδιον λίθον*, οἱ ἄλλοι Ἰουδαῖοι τὰ ἰδιαίτερα ἱερὰ βιβλία παρεξήταζον ἀντιβάλλοντες. Οὕτως ἡ Ἀσήρειος βίβλος, ὡς ὑπὲρ τὰς λοιπὰς περιφημοτέρα, προὐτέθη δημοσίως ἐν Ἱεροσολύμοις, πρὸς ἣν καὶ Μωϋσῆς, αἰγύπτιος ῥαββὶς, διώρθωσε τὸ οἰκεῖον. Μεταξὺ δὲ τῶν Ἱσπανῶν ἄλλος κώδηξ ἀρχαιότατος ἐφημίζετο, ὁ Ἑλλήλειος (τοῦ Ἑλλήλου, ἢ Hillel), διὸ καὶ πολλάκις ἐν πράγμασιν ἀμφιβόλοις, ὅσα μάλιστα τὴν γραφὴν τῶν στοιχείων ἀφορῶσι, σεσημείωται ἐν τῷ περισελίδῳ τινῶν ἀντιγράφων· «*Οὕτω γέγραπται ἐν τῷ Ἑλληλείῳ κώδηκι*» (α).

§. νγ. Οὗτος δὲ πάλιν ὁ διασημότατος κώδηξ, ὁ *Ἑλλήλειος*, πολλῶν μνημονευομένων Ἑλλήλων, τίνος ἆρα τούτων ἔργον ὑπῆρξεν; Οἱ μὲν γὰρ ἀπαρχαΐζοντες (ὡς εἰκὸς) τὸν κώδηκα λέγουσιν, ὅτι μετεγράφη ὑπό τινος Ἑλλήλου βαβυλωνίου, ἀκμάσαντος ὅλην ἑκατονταετηρίδα πρὸς τῆς ἐσχάτης καταστροφῆς τοῦ ναοῦ (δηλονότι περὶ τὸ 30, π. Χ.) (β). Οἱ δὲ περὶ τὸν Βουξτόρφιον καταβιβάζουσι τὸ χειρόγραφον εἰς ἄλλον (τῷ 348 μ. Χ.) νεώτερον Ἑλλῆλον, τὸν πατριάρχην, οὗ μέμνηται καὶ ὁ μακάριος Ἐπιφάνιος (Αἱρέσ. α), ὡς βαπτισθέντος εἰς Χριστόν. (παράδοξον πρᾶγμα! Καὶ πῶς λοιπὸν οἱ μισόχριστοι Ἰουδαῖοι τοσοῦτον ἐτίμων ὡς ἄχραντον καὶ ἱερὸν τὸν ὑπ' αὐτοῦ μεταγραφέντα κώδηκα; πῶς δὲ πάλιν καὶ αὐτὸν τὸν Ἑλλῆλον

(α) Morin. Exercit. Bibl. p. 466, 467.

(β) Βλ. Hotting. Thes. phil. p. 42. Τούτου τοῦ Ἑλλήλου μαθητὰς καὶ ὀπαδοὺς ἐκ τῆς ῥαββίνων ἀδολεσχίας συναθροίσας ὁ Ὀττιγγῆρος, ἐπεισήγαγε καὶ τὸν μάρτυρα Ἰουστῖνον, ἀποκαλοῦντα τούτους Ἑλληλιανοὺς, ὡς αὐτὸς διώρθωσεν, ἢ μᾶλλον, ἐστρέβλωσε τὸ παρ' Ἰουστίνῳ Ἑλληνιανούς. (βλ. ὄπισθ. σελ. 60).

ἐξεθείαζον; ἔλεγον γάρ, ὅτι «Τὸ πλῆθος τῶν αὐτοῦ ἀρετῶν οὐδεὶς ἂν κατέγραψεν, οὐδ᾽ εἴπερ ἦσαν πάντες μὲν οἱ οὐρανοὶ διφθέραι καὶ μεμβράναι, πᾶσαι δὲ θάλασσαι, μέλαν» !) (α). Ἀλλ᾽ ὁ Βάλτων καὶ Οὐόσσιος καὶ ἄλλοι, καὶ πρὸ πάντων ὁ Καπέλλιος καὶ ὁ Μορῖνος, ἀληθέστερα καὶ λογικώτερα φρονοῦντες, ἀποδιδοῦσι τὸ χειρόγραφον εἰς ἄλλον παρὰ πολὺ νεώτερον Ἑλλῆλον, Ἰουδαῖον Ἱσπανόν, γενόμενον μετὰ τὸν Ἀσηρίδην καὶ Νεφθαλίδην, πρὸς ὃ διώρθουν τὰ καθ᾽ ἑαυτοὺς ἀντίγραφα οἱ ἐν Ἱσπανίᾳ Ἰουδαῖοι (β). Οὔτε γὰρ παρ᾽ ἐκείνου τοῦ *χριστιανίσαντος* Ἑλλήλου παρεδέξαντ᾽ ἂν τὸ χειρόγραφον οἱ Ἰουδαῖοι (τίς ἂν πιστεύσειεν;), οὔτε πάλιν ὁ Ἀσηρίδης καὶ Νεφθαλίδης διεφέροντ᾽ ἂν πρὸς ἀλλήλους περὶ τῶν οἰκείων ἀντιγράφων, ἐξὸν αὐτὰ διορθοῦν περὶ τὸ Ἑλλήλειον, εἴπερ ὑπῆρχε πρὸ αὐτῶν (γ). Καὶ ὁ Μορῖνος διαγράφει

(α) Παρὰ Kennicot Diss. II. p. 445. Παρομοίαν φυσαλέαν, καὶ μᾶλλον ἐρυσιπέλατος φλεγμαίνουσαν φράσιν ἀπονέμουσιν οἱ ῥαββῖνοι καὶ εἰς τὸν προειρημένον Ἰωανᾶν τὸν Ζακχαϊάδην (βλ. ὄπισθ. σελ. 73). Οὗτος ἔλεγεν ὅτι «Καὶ εἴπερ ἦσαν πάντες μὲν οἱ οὐρανοὶ διφθέραι, πάντες δὲ οἱ υἱοὶ τῶν ἀνθρώπων βιβλιογράφοι, πάντα δὲ τῶν δρυμώνων τὰ δένδρα γραφίδες, οὐδ᾽ οὕτως ἂν ἐγράφησαν ὅσα ἔμαθεν αὐτὸς παρὰ τῶν διδασκάλων αὐτοῦ» ! Chiarini, Théorie etc. T. 1. p. 77.

(β) Morin. Exercit. in Pentat. Samarit. IV. 9. 4. — Walt. Proleg. IV. 8. —Voss. de LXX.—Simon. Hist. Crit. V. Text. L. 1. c. 22.—Wolf. Biblioth. Hebr. T. 1. p. 291. — Kennicot. Diss. II. p. 440. κτλ. καὶ ὁ Βαύερος ὡσαύτως νεωτέρας ἐποχῆς ἔκρινε τὸν κώδηκα, γεγραμμένον ἐν Ἱσπανίᾳ, καὶ φέροντα τ᾽ ὄνομα τοῦ Ἑλλήλου πεπλασμένον. βλ. Horne, An Introduct. T. 2. part. 1. p. 41. πρβλ. καὶ τοὺς μάτην ἀρχαΐζοντας τὸν κώδηκα Βουξτόρφιον (De punctor. antiquit. P. 2. c. 7), Ὀττιγγῆρον (Thes. Philol. p. 106), καὶ τὸν ἠρέμα πρὸς τὸν Βουξτόρφιον ἀποκλίνοντα Καρψόβιον (Crit. Sacr. p. 369).

(γ) Walton, Proleg. IV. 8. Ἀλλ᾽ ὁ πολυμαθὴς καὶ παραδοξολόγος Τύξην (Tentamen de variis etc. p. 245—249) πρὸς τούτους τοὺς λόγους τοῦ Βάλτωνος ἀντεπεξάγει τέσσαρας ἀντιῤῥήσεις. α) Λέγει «ἴσως ὁ παλαιὸς ἐκεῖνος Ἑλλῆλος ἔγραψε τὸν κώδηκα, πρὶν ἢ χριστιανίσῃ· ἐβαπτίσθη δὲ κρυφίως (ὡς λέγει ὁ Ἐπιφάνιος), καὶ ὕστερον ἐκ Τιβεριάδος εἰς Σκυθόπολιν ἀναχωρήσας, ἐκεῖ τὸν βίον ἐτελεύτα μεταξὺ χριστιανῶν. Ὀψὲ δέ ποτε περιῆλθεν εἰς τοὺς Ἰουδαίους ἡ φήμη τῆς αὐτοῦ ἐπιστροφῆς» (ὡσανεὶ ἀπεῖχε τῆς Τιβεριάδος ἡ Σκυθόπολις πολλῶν μηνῶν ὁδόν !). «Ἐπειδὴ δὲ (λέγει) ἅπαξ ἐδέξαντο τὸν κώδηκα, οὐκ ἠθέλησαν αὐτὸν εὐθὺς ἐκ τῆς γεφύρας καταβαλεῖν». — Κ ρ υ φ ί ω ς (ἀπαντῶμεν) καὶ ν ο σ ῶ ν ὁ

χειρόγραφον ἑβραϊκὸν (γεγραμμένον τῷ 1208 μ. Χ.), ὅπου οἱ δύω ἐκεῖνοι στίχοι Ἰησοῦ τοῦ Ναυῆ (κα, 36, 37), γεγραμμένοι πρότερον ὄντες, ἔπειτ' ἀπεξέσθησαν· προσεγέγραπτο δὲ καὶ ἐν

Ἑλλὴλ ἐβαπτίσθη ὑπὸ τοῦ ἐπισκόπου, κεκλεισμένων τῶν θυρῶν· ἀλλὰ βαπτισθεὶς οὔτ' εἰς Σκυθόπολιν οὔτ' ἀλλαχοῦ τῆς γῆς ἀνεχώρησεν, ἀλλ' ἐτελεύτησε μετ' ὀλίγον, «ἐκοιμήθη μετὰ καλῆς ἀποθέσεως» (τῆς ἀπὸ τοῦ βίου ἐξαγωγῆς). Ὁ δὲ Τύξην ἐσπευσμένως ἴσως, ἀναγνοὺς τὸν ἱερὸν Ἐπιφάνιον, συνέχεε μετὰ τοῦ πατριάρχου Ἑλλήλου τὸν παρ' αὐτῷ γενόμενον ἀξιωματικὸν Ἰώσηππον, ὅστις τότε μὲν παρακύπτων διὰ τῶν τῆς θύρας ἁρμογῶν ἔβλεπε τὴν μυσταγωγίαν τοῦ βαπτίσματος Ἑλλήλου· ἔπειτα δὲ καὶ αὐτὸς χριστιανίσας, καὶ κόμης ὑπὸ τοῦ Μ. Κωνσταντίνου προχειρισθεὶς, διῆγεν ἐν Σκυθοπόλει καὶ ἐν Τιβεριάδι, κτίζων Ἐκκλησίας, καὶ διηγούμενος τά, τε καθ' ἑαυτὸν καὶ τὴν Ἑλλήλου ἐπιστροφὴν (βλ. Ἐπιφάν. τόμ. α. σελ. 127, 137 Petav.). Ὥστε πρῶτον ὁ Τύξην ἐπλανήθη περὶ τὴν ἱστορίαν. Ἀλλ' ὁ σοφὸς ἀνὴρ περιέπεσε καὶ εἰς ἄλλον παραλογισμὸν, καὶ ταῦτα προσθείς. Ὅτι τάχα «ἀφ' οὗ ὁ Πατριάρχης Ἑλλῆλος συνέλαβε σκοπὸν ἐπιστροφῆς, ἐπειράθη (καὶ τὸ πρᾶγμα, λέγει, πάντως ὑπῆρχε δυνατὸν) ποικίλας εἰσποιῆσαι μεταβολὰς εἰς τὸν κώδηκα, πρὸς τὴν χριστιανικὴν ἀλήθειαν συμβαλλούσας, αἵτινες ὕστερον μετὰ πολλοὺς αἰῶνας, ἐξηλέγχθησαν». Καὶ λοιπὸν ὁ σοφὸς Τύξην ἀντιφάσκει μὲν πρὸς τὴν διὰ πολλῶν αἰώνων παρ' Ἰουδαίοις κεκρατηκυῖαν δόξαν τοῦ Ἑλληλείου κώδηκος ὡς ἀνελέγκτου καὶ ἀμωμήτου (ὃν καὶ νῦν μετὰ πολλῆς τιμῆς μνημονεύουσιν), ἀντιφάσκει δὲ καὶ πρὸς ἑαυτὸν, ἀποδεξάμενος τὸν κώδηκα ὡς ἕνα τῶν ἀκραιφνεστάτων καὶ κυριωτάτων νενομισμένων παρ' Ἰουδαίοις, «οἵτινες (λέγει) καὶ μαθόντες ὕστερον τὸν Ἑλλήλου χριστιανισμὸν οὐκ ἠθέλησαν ὅμως εὐθὺς τὸ χειρόγραφον ἐκ τῆς γεφύρας (τὸ τοῦ λόγου) καταῤῥίψαι»! περὶ δὲ τοῦ γεφυρισμοῦ τούτου βλέπομεν καὶ παρακατιόντες· 6) Λέγει, τὴν ἀρχαιότητα τοῦ Ἑλληλείου κώδηκος ἀποδείκνυσιν ἡ μαρτυρία τοῦ περὶ τὰ 1190 μ. Χ. ἀκμάσαντος Κιμχῆ» (θαυμαστὸν, πῶς οὐ προσέθηκε καὶ τὴν τοῦ Σαγούτου, παρομοίως κἀκείνου τεραλογοῦντος 900 ἐνιαυτοὺς πρότερον αὐτοῦ γεγράφθαι τὸ χειρόγραφον). «Οὐ μόνον δὲ (φησὶν) ἐπὶ τοῦ Κιμχῆ ὑπῆρχε μέγα τὸ σέβας τούτου τοῦ κώδηκος, ἀλλὰ καὶ ὁ τοῦ δεκάτου αἰῶνος συγγραφεὺς ῥαββῖς Ἀῒς εἰς αὐτὸν ἀναφέρεται (καθὼς φαίνεται), μαρτυρῶν, ὅτι ἐπ' αὐτοῦ οἱ δύω στίχοι τοῦ Ἰησοῦ (κα, 36, 37) οὐχ εὑρίσκοντο (ἐν τῷ ἑβραϊκῷ). Ἐπειδὴ δὲ οὗτοι ἔλειπον ἐκ τοῦ Ἑλλήλου κώδηκος, ὡς ἔλειπον καὶ ἐξ ἐκείνου, ᾧπερ Ὠριγένης καὶ Ἱερώνυμος ἐχρήσαντο, δεικνύουσι λοιπὸν τὴν ἄκραν ἀρχαιότητα τοῦ χειρογράφου» — Ἀλλ' ὁ μὲν Κιμχῆς, (ἀπαντῶμεν) ἔπλασε ῥαββινικώτερον τὰ ἀπὸ γενέσεως τοῦ κώδηκος μέχρις αὐτοῦ διαδραμόντα 900 στρογγύλα ἔτη, καὶ οὔτε μαρτυρίας πίστιν περὶ τούτου παρέχει, οὔτ' ἄλλους ἔχει τοὺς πιστεύοντας, εἰ μὴ τοὺς ἀσμένως φιλομυθοῦντας. Ὁ δὲ καὶ τοῦ δωδεκάτου αἰῶνος νεώτερος ῥαββῖς Ἀῒς οὔτε φαίνεται, οὔτ' ἀκρύεται οὐδαμῆ οὐδαμῶς ἀνάγων τὸν λόγον ὀνομαστὶ εἰς τὸν Ἑλλήλου κώδηκα· καὶ τοῦτο ματαίως ὑπενόησεν ὁ Τύξην. Οἱ δὲ δύω τοῦ Ἰησοῦ στίχοι, εἰ μὲν ἔλειπον ἐκ τοῦ

περσελίδῳ ταῦτα· «Οὐχ εὕρομεν τοὺς δύω τούτους στίχους ἐν τοῖς Ἑλληλείοις» Μέμνηται δὲ τούτου τοῦ χειρογράφου ὁ Ῥάμβατος (περὶ τῷ 1200 μ. Χ.), ὅστις καὶ τρίτον ὀνομάζει κώ-

---

ἑβραϊκοῦ ᾧπερ ἐχρήσατο Ὠριγένης, ἀναπόδεικτον, ἀλλὰ καὶ μᾶλλον πιθανώτερον δοκεῖ τοὐναντίον, ὅτι ὑπῆρχον· ἐν γὰρ τοῖς ἀποσωθεῖσι λειψάνοις τῶν Ἑξαπλῶν ἀναγινώσκεται μία πόλις τῶν ἐν τῷ 36 στίχῳ (βλ. Montfauc. Hexapl.). Ὅτι δὲ ὅμως ἐπὶ τοῦ Ἱερωνύμου οὐκ ἔλειπον, πρόδηλον· ἐν γὰρ τῇ Βουλγάτᾳ καὶ νῦν ἀναγινώσκονται ἀμφότεροι οἱ στίχοι συνημμένοι εἰς ἕνα (τὸν 36), ὡς ἔχουσι καὶ οἱ Ο. Ἀλλὰ καὶ ἐν πάσαις ταῖς ἀρχαίαις μεταφράσεσιν εὑρίσκονται· σῴζονται δὲ καὶ ἔν τισιν ἑβραϊκοῖς χειρογράφοις, ὡς ἐσημείωσε Οὐβιγάντης (Not. Crit. in Jos. h. l.). γ) Μασορῖταί τινες (λέγει) τοὺς ἑαυτῶν κώδηκας διώρθουν πρὸς τὸν Ἑλλήλειον. Καὶ ὁ Κιμχῆς μαρτυρεῖ τὰ ἑξῆς. «Οὐκ εἶδον τοὺς δύω τούτους στίχους ἐν οὐδενὶ βιβλίῳ παλαιῷ καὶ βεβασανισμένῳ· ἀλλ' ἔν τισι διωρθωμένοις προσετέθησαν ὑπὸ τοῦ διορθωτοῦ». Ἄρα (συμπεραίνει ὁ Τύξην) ἡ ἔλλειψις τῶν ἐδαφίων ὑπῆρχε πρὸ τῶν Ἀσσηρίδου καὶ Νεφθαλίδου χρόνων (τῷ 1034 μ. Χ.) ἐν βιβλίοις παλαιοῖς, ἅπερ ἀντεγράφησαν ἐκ τοῦ Ἑλληλείου κώδηκος. Ὥστε ὁ Ἑλλῆλος οὐκ ἦν τοῦ Ἀσσηρίδου καὶ Νεφθαλίδου νεώτερος, ὡς ὑπέλαβεν ὁ Βάλτων». — Ἀλλ' (ἀπαντῶμεν) οὔτε περὶ τῆς ἡλικίας τῶν ἀρχαίων κωδήκων πιστεύει τις Κιμχῇ, οὔτ' αὐτὸς ὁ τάλας εἶπε ῥητῶς, ὅτι ταῦτα δὴ τὰ κατ' αὐτὸν ἀρχαῖα βιβλία ἦσαν ἀντιγεγραμμένα ἐκ τοῦ Ἑλληλείου κώδηκος. Πέπλασαι δὲ καὶ τοῦτο τὸ ἐπιχείρημα δωρεάν, ὡς ἐπλαστουργήθησαν καὶ οἱ τὰ ἑαυτῶν χειρόγραφα πρὸς τὸ τοῦ Ἑλλήλου διορθοῦντες ἀνώνυμοι Μασορῖται, οὓς αὐτὸς πάλιν ἀρνήσεται μετ' ὀλίγον. δ) Τέλος, ποικίλας λέγει τὰς αἰτίας, δι' ἃς ὁ Ἀσσηρίδης καὶ Νεφθαλίδης οὐ διώρθωσαν τὰ ἑαυτῶν χειρόγραφα πρὸς τὸ τοῦ Ἑλλήλου· α) Ἢ διότι οὐκ εἶχον οὔτε γνῶσιν, οὔτ' ἀντίγραφον αὐτοῦ» — (πῶς; τοῦ κατὰ τὴν Παλαιστίνην διάγοντος παγκοίνου πατριάρχου τῶν Ἰουδαίων Ἑλλήλου τὸ περιφημότατον χειρόγραφον οὔθ' ὁ Παλαιστινὸς Ἀσσηρίδης, οὔθ' ὁ βαβυλώνιος Νεφθαλίδης ἐγίνωσκον; ἀλλ' οὐδὲ γινώσκοντες ἐφρόντισαν δι' αὐτοῦ διαλύσασθαι τὰς πρὸς ἀλλήλους περὶ διορθώσεως τῶν παρ' αὐτοῖς κωδήκων διαφοράς; δεινὸν εἶπε καὶ τοῦτο, καὶ τοῦ ἀπίστου ἐγγύς!) - β) Ἢ «διότι (φησὶν) ὠσφράνθησαν τὸν τοῦ κώδηκος γραφέα πρὸς τοὺς χριστιανοὺς αὐτομολήσαντα» (Καὶ τοῦτο λοιπὸν ὀσφρανθέντες οἱ μεγάλοι ῥαββεῖς ἐκεῖνοι, παρέβλεπον ἄρα τοὺς ἰδίους ὁμογενεῖς, πλανωμένους ὑπὸ χειρογράφου δυσσεβήσαντος γραφέως; οὐδ' ἐκέλευον αὐτοὺς ὡς βέβηλον αὐτὸ παρευθὺς οὐ μόνον ἀπὸ τῆς γεφύρας κάτω, ἀλλὰ καί, ἧχι βύθιστον ὑπὸ χθονός ἐστι βέρεθρον, ἀποῤῥίψαι;) - γ) Ἢ, τελευταῖον, λέγει, «διότι οἱ παλαιοὶ περικλεέστατοι κριτικοὶ οὐκ εἰώθεισαν κωδήκων ἀντιβολῇ χρῆσθαι, ἀλλ' ἕκαστος αὐτῶν αὐτογνωμόνως διώρθουν ἅπερ οἱ ἀρχαῖοι κατέλιπον ἄψαυστα. Καὶ ταύτην ἀναμφιβόλως νομίζω (λέγει) τὴν αἰτίαν δι' ἣν ὁ Ἀσσηρίδης καὶ Νεφθαλείδης ἐσημείωσαν τὰς διαφόρους ἀναγνώσεις» (βλ. ὄπισθ. σελ. 116). Πρὸς ταῦτα τοῦ Τύξηνος ἄλλος μέν τις ἴσως ἔμελλεν ἀπαντᾶν,

δηκα παλαιὸν, τὸν *βαβυλώνιον*, τὸν ὑπὸ τοῦ Νεφθαλίδου διωρθωμένον. Εἰς τοὺς τρεῖς τούτους προστιθέασιν ὡς δῆθεν ἀρχαίους καὶ ἄλλους δύω, τὸν *Σιναΐτην* (Sinai), περιέχοντα μόνην τὴν Πεντάτευχον, καὶ τὸν *Ἱεριχούντειον* (α).

§. νδ. Ὁ δὲ κλεινὸς Βάλτων (Προλεγ. δ. 8) ἀποδίδωσι καὶ τὸν λόγον, δι' ὃν οὐχ εὑρίσκονται κώδηκες ἑβραῖοι πάνυ παλαιοὶ, ὁποίους ἔχομεν ἑλληνικοὺς τῆς τε παλαιᾶς καὶ τῆς νέας Γραφῆς· « Μετὰ γὰρ (φησὶ) τὴν τῶν Μασοριτῶν κριτικὴν, καὶ τὴν στίξιν, παρὰ πᾶσιν ἀποδεκτὴν γενομένην, οἱ τῶν Ἰουδαίων ἄρχοντες καὶ διδάσκαλοι πάντας τοὺς μὴ τοῖς Μοσοριτικοῖς ὁμοιομόρφως ἔχοντας κώδηκας κατεδίκασαν, ὡς βεβήλους καὶ μὴ γνησίους. Ὅθεν μετ' ὀλίγους αἰῶνας, ἁπάντων πρὸς τὰ Μασορίτεια χειρόγραφα γραφέντων, οἱ παλαιότεροι ἐξηλήφθησαν, ἢ καὶ πυρὶ παρεδόθησαν, ὡς εἶπεν Οὐβιγάντης (βλ. ἐφεξ. § ξγ). Πρόσθες καὶ τὴν παρὰ Σιμωνίῳ σεσημειωμένην συνήθειαν τῶν Ἰουδαίων, οἵτινες μετὰ τῶν ῥαββίνων ἀποθανόντων συνέθαπτον καὶ τοὺς παρ' αὐτοῖς παλαιοὺς κώδηκας τῆς Γραφῆς (β). Διὰ ταῦτα ὀλίγα χειρόγραφα ἑβραϊκὰ ἔχομεν 600 ἐτῶν, σπανιώτατα δὲ τὰ 700 ἐτῶν, ἢ καὶ 800.»

ὅτι ὁ σοφὸς οὗτος πάνυ μεγάλας ἤνοιξε τὰς θύρας εἰς τὴν τοῦ ἑβραϊκοῦ διαφθορὰν, περιβαλὼν ἑκάστῳ τῶν περιφήμων Ἰουδαίων κριτικῶν ἀπόλυτον ἐξουσίαν εἰς αὐτογνώμονα διόρθωσιν τῶν χειρογράφων. Ἀλλὰ φθὰς ἐξήλεγξεν αὐτὸς ἑαυτὸν, εἰσαγαγὼν ἀνωτέρω τοὺς Μασορίτας, (τῶν κριτικῶν τὸ κεφάλαιον) διορθοῦντας τοὺς ἑαυτῶν κώδηκας πρὸς τὸν Ἑλλήλειον. πολὺ δὲ πρότερον ἐξήλεγξαν αὐτὸν καὶ αὐτοὶ τῶν Ἰουδαίων οἱ περιφημότατοι κριτικοί. Αὐτίκα ὁ Μαϊμονίδης συνεβουλεύετο τὸν κώδηκα τὸν Αἰγύπτιον. Ὁ Ἀβενέσδρας παρέβαλε τὰς ὑπὸ τῶν Τιβεριαδέων στιχθείσας βίβλους πρὸς ἄλλους διαφόρους κώδηκας Ἱσπανικοὺς καὶ ἐκ τῆς Γαλλίας. Καὶ αὐτὸς ὁ Κιμχὴς, κατὰ τὴν μαρτυρίαν τοῦ ῥαββὶ Χαϊμίδου (Ben Chaim προλόγ. εἰς τὴν ἔκδοσιν τοῦ ἑβραϊκοῦ) ἀνεκήρυττεν, ὅτι οἱ ἄνδρες τῆς μεγάλης Συναγωγῆς, ὅτε παρετήρουν ἐν τοῖς βιβλίοις διαφορὰς, παρηκολούθουν τῇ τῶν πλειόνων συμφωνίᾳ (παραβάλλοντες δηλονότι τὰ ἀντίγραφα) κτλ. βλ. Kennicot. Diss. II. p. 223, 226, 233. — Walton, Proleg. III. §. 42. IV. §. 12.

(α) Walt. Proleg. IV. §. 8—11. — Kennicot, Diss. general. §. 56, 57. Horne, An Introduction etc. vol. 2. part. 1. p. 41.

(β) Simon. Hist. Crit. V. Test. L. I. c. 23. p. 120.

§. νε. Καὶ λοιπὸν, ἐπειδὴ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου ἡ ἰδιότης ἐκ τῆς περὶ ἧς ὁ λόγος πέμπτης περιόδου μάλιστα ἐξήρτηται, δύω τινὰ ταῦτα μετὰ προσοχῆς σημειωτέον. α), Ὅτι οἱ Ἰουδαῖοι τὰ ἑαυτῶν χειρόγραφα συνήθως διώρθουν πρός τινας περιφήμους κώδηκας· καὶ β), Ὅτι τὰ *καθ' ἡμᾶς Ἰουδαϊκὰ* χειρόγραφα πλήθουσι τοιούτων διορθώσεων. Ἀμφοτέρων δὲ τῶν θεωρημάτων τούτων τὸν λόγον ἄριστα ἐξέφρασεν ὁ Καπελλάνιος, λέγων· «Οἴδαμεν ὅτι κατὰ διαφόρους καιροὺς ἦσαν παρ' Ἰουδαίοις χειρόγραφά τινα τῆς ἱερᾶς βίβλου περιφημότατα, ἐξ ὧν καὶ τὰ λοιπὰ διωρθοῦντο. Οὕτως ὁ Ἐφοδαῖος, καὶ ὁ Χαΐμου παῖς (Βὲν Χαΐμ) μνημονεύουσι τῆς *τῶν Στεφανωμάτων* (Coronamentorum) ἐπιλεγομένης βίβλου, ἣν τῶν σημερινῶν ἀντιγράφων ἁπάντων μηδὲν ἐνδοιάζοντες προτιμῶσι. Καὶ εἰς ἄλλους δὲ τρεῖς κώδηκας, οἷον τὸν Αἰγύπτιον καὶ Βαβυλώνιον καὶ τὸν Ἱεροσολυμίτην, μέγα κῦρος ἀπένεμον, διότι, *κατά τινα φήμην ἀδέσποτον*, ἦσαν διωρθωμένοι παρὰ τῶν δύω ῥαββίνων, τοῦ Ἀσσηρίδου καὶ Νεφθαλίδου. Οὕτω καὶ τὸν Ἑλλήλειον φημίζουσι κώδηκα, μᾶλλον πρὸς ἡμᾶς τοῖς χρόνοις πλησιάζειν δοκοῦντα, ἀφ' οὗ καὶ τὰ καθ' ἡμᾶς ἴσως ἐξεῤῥύησαν ἀντίγραφα. Ἐν γὰρ τῷ *Ἰουχασὶν*, βιβλίῳ τιμιωτάτῳ παρ' Ἰουδαίοις, γέγραπται ταῦτα· «Ἔτει 956 (τουτ. τῷ 1196, μ. Χ.) *ἐγένετο διωγμὸς ἐν τῷ βασιλείῳ Λεὼν* (ἐν Ἱσπανίᾳ). *Τότε ἐξήγαγον ἐκεῖθεν τὴν Βίβλον* (ἢ, ὡς ἑλληνίζει χαλδαϊστὶ, Habiblia, τουτ. τὰ Βιβλία) *τὴν γεγραμμένην ὑπὸ τοῦ ῥαββὶ Ἑλλὴλ, — ἐξ ἧς διωρθοῦντο πάντα τὰ ἀντίγραφα. Κἀγὼ ταύτης μέρος εἶδον ἀπεμπωλημένον ἐν Ἀφρικῇ. Κατὰ δὲ τοὺς ἐμοὺς ἤδη χρόνους ἔτη* 900 *παρῳχήκασιν, ἀφ' οὗ ἡ Βίβλος μετεγράφη. Ὁ δὲ Κιμχὴς λέγει τὴν Πεντάτευχον αὐτῆς εἶναι ἐν Τολήτῳ* (τῆς Ἱσπανίας)». Ταῦτα λέγει Ζαχοῦτος ὁ συγγραφεὺς τοῦ Ἰουχασὶν. Ἐκ δὲ τούτων (συνεχίζει λέγων ὁ Καπελλάνιος) συμπεραίνω, ὅτι, ὁσηνδήποτε ἐπιμέλειαν κατέβαλλον περὶ τὴν ἀντιγραφὴν οἱ Ἰουδαῖοι (καθὼς πολλοὶ περισαλπίζουσιν), οὐδέποτ' ἂν ἦσαν οὕτως ἀσφαλῆ, καὶ πάσης ὑπονοίας ψεύδους

ἀπηλλαγμένα τὰ χειρόγραφα (καὶ ἴδια καὶ δημόσια), ὥστε ταῦτα νομίζεσθαι σφαλμάτων ἁπάντων, ἢ παραλλαγῶν ἀμέτοχα· καθότι πάντα ταῦτα (καθὼς ὁ Ζαχοῦτος, καὶ ἄλλος ἰουδαῖος, ὁ Γάνζης μαρτυρεῖ) πρὸς τὸ Ἑλλήλειον *διωρθοῦντο*. Διὸ καὶ θαυμαστὸν οὐδὲν, εἴ γε τὰ καθ' ἡμᾶς ἀντίγραφα τῶν ἑβραϊκῶν βιβλίων ὁμοιόμορφα πρὸς ἄλληλά εἰσι. — Καί τοι γὰρ ταῦτα καὶ μετὰ τὰς διορθώσεις ἐκείνας, καὶ τὰς μασοραίας τῶν γραμμάτων ἐξαριθμήσεις, φέρουσι πάλιν καὶ μέχρι σήμερον πολλὰς καὶ ποικίλας παραλλαγὰς, ἀλλ' ὅμως ἐκ πολλῶν παραδειγμάτων καταφαίνονται οὐχ ἅπαξ συνελθόντες οἱ Ἰουδαῖοι, καὶ συμπνεύσαντες, ἵνα πρὸς ἓν καὶ τὸ αὐτὸ χειρόγραφον πάντα τὰ λοιπὰ σύμμετρα ποιήσωσιν. — Ἀλλ' ἐκ ποίων ἀποδείξεων δύναται βεβαιωθῆναι τὸ κῦρος τοῦ Ἑλλήλου κώδηκος τοσοῦτον ὑπάρχον, ὥστε τοῦτο δικαίως πάντων τῶν ἄλλων ἐξέχειν, καὶ ὑπερβαρεῖν, καὶ δὴ καὶ παρ' ἡμῖν προτιμᾶσθαι τῶν ἀρχαίων ἀντιγράφων ἐκείνων, ἐξ ὧν αἱ *παλαιαὶ* μετεφράσθησαν *ἑρμηνεῖαι*; Τίς ἐπὶ τοσοῦτον ἀφωσίωται τοῖς Ἰουδαίοις, ὥστε ῥαδίως πιστεῦσαι μηδέποτε μήτ' αὐτοὺς οὕτω φρονοῦντας σφαλῆναι, μήτε τοὺς ἄλλους δύνασθαι σφάλλειν; Πόθεν βέβαιον, ὅτι ὁ κώδηξ ἐκεῖνος, ὃν διεθρύλλουν, ὡς πρὸ 900 ἐτῶν ἀντιγεγραμμένον, ὑπῆρχε πάντων κράτιστος; καὶ ὅτι τὰ λοιπὰ χειρόγραφα, τὰ πρὸς ἐκεῖνον συμμορφούμενα, διωρθοῦντο τῷ ὄντι, καὶ οὐ μᾶλλον συνδιεφθείροντο; Τίς δὲ πάλιν ἀγνοεῖ, ὅτι ἐκ ποικίλων πολλάκις εἰκασιῶν πολλοὶ πολλὰ ψεύδονται περὶ πραγμάτων ὑπερτερούντων τὴν μνήμην τὴν ἀνθρωπίνην; Πόσῳ γε μᾶλλον τοῖς Ἰουδαίοις (εὐπιστότατον δὲ πρὸς μύθους τὸ ἔθνος), οὓς οὐδεὶς ἀγνοεῖ πηλίκαις καὶ ὅσαις ἀείποτε περιέπιπτον συμφοραῖς, πόσῳ μᾶλλον, λέγομεν, ὑπῆρχε τούτοις πρᾶγμα δυσχερέστατον τὸ διὰ τοσούτων περιπτώσεων καὶ μεταβολῶν ἀσφαλῆ καὶ βεβαίαν περὶ τοῦ κώδηκος μνήμην διακρατῆσαι. Ἀρκοῦσι ταῦτα πρὸς ἀπόδειξιν, ὅτι ὑπὸ ψευδοῦς ἴσως πρὸς τὸ χειρόγραφον ὑπολήψεως, εἴτε δῆθεν ὡς ἀρχαιότατον ὂν, εἴτε καί τινος περικλεοῦς ὀνόματος φάσματι

περιβεβλημένον, ἀπατηθέντες οἱ Ἰουδαῖοι, ἐπέβαλον χεῖρας θρασείας εἰς τὸ διορθῶσαι τὰς ἱερὰς βίβλους. Οὐ δύναμαι δὲ παραλιπεῖν (ἐπισυνάπτει ὁ Καπελλάνιος) καὶ ὅσα μοι γέγραφε περὶ τούτου ὁ σοφώτατος Ῥιχάρδος ὁ Σίμων, λέγων· « Ἐν τῇ καθ᾽ ἡμᾶς βιβλιοθήκῃ τῶν Παρισίων διαφυλάττονται κομψότατα τῶν ἑβραϊκῶν ἱερῶν βιβλίων ἀντίγραφα, σαφῶς διατρανοῦντα, ἐν ποίῳ ἀριθμῷ παρὰ τοῖς ἀρχαίοις ἐτίθεντο οἱ κώδηκες τῶν Μασοριτῶν. Τούτων γὰρ ἐκεῖνα τοσοῦτον ἐν πολλοῖς τόποις διαφέρουσιν, ὥστε ἐκ τῆς ἑκατέρων ἀντιβολῆς εὔκολον συντάξαι *ὁλόκληρον τόμον* παραλλαγῶν. Ἀλλά τινες τῶν νεωτέρων Ἰουδαίων μὴ φέροντες τὴν τοσαύτην διαφωνίαν, διέφθειραν ὅλον τὸ κείμενον διὰ τῶν διορθώσεων αὐτῶν. Τάς τε γὰρ στιγμὰς τῶν φωνηέντων ἐπέσαξαν, προσθέντες καὶ τὰ σημειώματα τῶν Μασοριτῶν, καὶ τὰ σφίσι περιττὰ φανέντα γράμματα ἀπέξεσαν. Οὕτως ἅπαντα τὰ μὴ συμφωνοῦντα τοῖς σημερινοῖς ἀντιγράφοις χωρία τῇ κριτικῇ σκυτάλῃ κατεσημάνθησαν. Ταύτας δ᾽ ἐγὼ τὰς διαφορὰς ἐκ μὲν πρώτης ὄψεως εἰς τὴν ἀπειροσύνην ἀπέδωκα τῶν ἀντιγραφέων· ὡς δὲ προσεχέστερον ἐπεσκεψάμην τὸ πρᾶγμα, πάσης ἀμφιβολίας λόγος ᾤχετο. Ὅσοι γὰρ ἐν τούτοις τόποι διαφέρουσι τῆς Μασοραίας ἀναγνώσεως, ἐπὶ τούτων ἐξαιρέτως εἰργάσθη ὁ κριτικὸς ἐκεῖνος ξυστήρ. Καὶ κατὰ τοῦτο συμφωνοῦσιν ἑπτὰ κώδηκες, οἵτινες ὑπὸ μωρῶν Ἰουδαίων ἀνεμορφώθησαν, ἵνα συσχηματισθῶσι τοῖς Μοσοριτικοῖς. Ὅτι δὲ οὗτοι χυδαίων ἀνθρώπων οὐκ ἦσαν κτῆμα, δεικνύουσι τρανῶς οἱ κομψότατοι χαρακτῆρες. Ἑνὸς τούτων μάλιστα ἡ κομψότης ὑπερβαίνει καὶ τὰ βασιλικά, καὶ τὰ τοῦ Ῥ. Στεφάνου χειρόγραφα τῆς ἑβραΐδος Βίβλου. Οὗτος ὁ κώδηξ εἰς χρῆσιν Θεοδώρου τινὸς Λευΐτου, ἄρχοντος τῶν ἐν ἐξορίᾳ Ἰουδαίων, ὑπό τινος ἰουδαίου ἱερέως (λεγομένου) πρὸ 500 ἤδη ἐτῶν (περὶ τὸ 1170 μ. Χ.) ἐξ ἀρχαιοτάτων ἀντιγέγραπται κωδήκων, παροραθέντων τῶν (τότε συνήθων) ἀντιγράφων τῶν Μασοριτικῶν. Ἐκ δὲ τούτων ἅλις ἐξελέγχεται ἡ Μάσορα μὴ πάνυ πολλοῦ τετιμημένη παρὰ τοῖς παλαιοῖς Ἰου-

δαίοις. Διὰ τί δὲ τὴν σήμερον οἱ χριστιανοὶ περὶ πλείστου ταύτην ποιοῦνται, ἐγὼ μὲν οὐχ ὁρῶ, ἀλλ᾽ οὐδὲ τὸν λόγον τῶν εἰς ἔκδοσιν τῆς ἑβραΐδος Γραφῆς ἐπιστατούντων δύναμαι δοκιμάζειν· οἵτινες τὴν τέχνην τῶν Μασοριτῶν, ὡς αὐτόχρημα θείαν ἔμπνευσιν θεωροῦσι, καὶ τὰς ἰουδαϊκὰς περιέποντες δεισιδαιμονίας, δειλαίως διαφθείρουσι τὸ κείμενον τῆς ἱερᾶς Γραφῆς». Ταῦτα (προστίθησιν ὁ Καπελλάνιος συμπεραίνων τὸν ἐπίλογον) ταῦτα περὶ τῶν ὑπ᾽ αὐτοῦ ἐξετασθέντων ἀντιγράφων ἠθέλησέ με διδάξαι ὁ σοφώτατος ἀνὴρ, μάλα καταλλήλως ἔχοντα καὶ συντελοῦντα πρὸς τὴν ἀνὰ χεῖρας ὑπόθεσιν, ὅπως ἀποδειχθῇ, ὅτι μηδ᾽ αὐτοὶ οἱ Ἰουδαῖοι τὰς παρ᾽ αὐτοῖς βίβλους ἐνόμιζον ἐπὶ τοσοῦτον σφαλμάτων ἀπαθεῖς, ὥστε μὴ καὶ αὐτοὺς αὐτὰς θρασέως προσδιαφθείρειν, ὁσάκις ἐσπούδαζον διορθοῦν» (α).

§. νϛ. Ἐκ ταύτης τῆς μακρᾶς, ἀλλ᾽ ἀξιολόγου περικοπῆς ἀποδείκνυται, ὅτι τὰ περιώνυμα ἐκεῖνα χειρόγραφα, τὰ προτιθέμενα δημοσίως ὡς ὑπόδειγμα τῆς τῶν ἄλλων διορθώσεως, οὐχ

(α) Claud. Cappellanus in Mare Rabbinicum etc. P. 1. c. 4. καὶ παρὰ Kennicot Diss. II. p. 441. Ἀλλ᾽ οὐδὲ ταῦτα τὰ τοῦ δυτικοῦ Καπελλανίου ἄσμενος ἐδέξατο ὁ δυτικὸς Φαβρίκυς (Tom. 2. p. 285)· ὀλίγα δέ τινα καὶ (τἀληθὲς εἰπεῖν) ἀνίσχυρα καὶ σικύνα ἀντειπὼν, καὶ τὸν ἀδελφὸν ἐπιπλήξας, ὡς μὴ προφυλαχθέντα ἀπὸ δεινοῦ σκοπέλου εἰς πολλὰς αὐτὸν ἀποπλανήσαντος ἀνοδίας, ἀποστέλλει τὸν ἀναγνώστην πρὸς τὸν ἰσχυρότατον τοῦ ἑβραϊκοῦ κώδηκος ὑπέρμαχον λουθηρανὸν Καρψόβιον (Crit. Sacr. p. 130, 311, 363, 368). Οὗτος δὲ τί; Οὐδὲν εἶπεν οὐδ᾽ οὗτος ὑγιὲς καὶ γενναῖον πρὸς ὃν πυκνῶς καὶ πικρῶς ἐμνημόνευσε Καπελλάνιον· οὐδὲ τὰς ἐκ τῶν ἀντιγράφων ἀποδείξεις αὐτοῦ διέλυσεν, οὐδὲ πρὸς τὰς ἐπαγομένας μαρτυρίας τῶν Ἰουδαίων ἀντέφησεν. ἑλικτὰ δέ τινα περιστρέφει, διαφεύγων τοὺς ἐλέγχους. Ἢ πῶς ἂν ὡμολόγησεν ἔν γε τοῖς τοιούτοις τὴν ἀλήθειαν ὁ σοφὸς Καρψόβιος, οὕτω βαθέως τὴν ψυχὴν ὑπὸ τῆς παρθενικῆς ἀφθορίας τοῦ νῦν ἑβραϊκοῦ κειμένου κεκρατημένος; Ἐν γὰρ σελ. 130 τὴν (ὡς εἶπεν) αὐθάδη (τοῦ Καπελλανίου) ἐπίκρισιν ἐξελέγχων (insolentem censuram), ἐπειδὴ ἐκεῖνος ἔψεξε τὸν Σάγκτην Παγνίνην εἰπόντα, ὅτι « μηδὲ κατὰ μίαν λέξιν τὰ ἑβραΐα βιβλία διέφθαρται »· « καὶ ἡμεῖς (προσέθηκεν ὁ Καρψόβιος) τοῦτο πιστεύομεν ἰσχυροτάτοις ἀγόμενοι λόγοις »! Ἀλλ᾽ ὡς ἔοικε, τοὺς ἰσχυροτάτους τούτους λόγους οὐκ ᾔδεισαν οἱ ἀντιμαρτυροῦντες παλαιοὶ Ἰουδαῖοι, παρ᾽ ὧν καὶ ἡ Συναγωγὴ, καὶ αὐτοὶ οἱ χριστιανοὶ, οἱ Παγνῖναι, καὶ Καρψόβιοι, καὶ πάντες οἱ λοιποὶ παρέλαβον τὸν κώδηκα τῶν ἑβραϊκῶν Γραφῶν.

ἦσαν ἐν πᾶσι τέλεια καὶ διωρθωμένα· καὶ δῆλον, ἐκ τοῦ πάντων μάλιστα περιφημοτάτου Ἑλληλείου κώδηκος. Καὶ τοῦτον μὲν, ἴσως, ἀντέγραψεν αὐτὸς ὁ Ἑλλῆλος (οὗ τὰς ἀρετὰς οὕτως ἐπῆρεν εἰς ὕψος ἡ ὑψηλὴ παραφροσύνη τῶν ῥαββίνων, ὥστε πρὸς τὴν τούτων διαγραφὴν καὶ τὰς θαλάσσας ὅλας μετεποίησεν εἰς μέλαν γραφικὸν, καὶ τοὺς οὐρανοὺς, εἰς Περγαμηνὰς διφθέρας! βλ. σελ. 157). Κᾂν δέ τις καὶ ἄλλος οὐχ ἧττον, ἢ καὶ μᾶλλον τραγικωδέστερος Ἑλλήλου γραφεὺς τοῦ κώδηκος νομισθῇ, ἀλλὰ καὶ οὕτω πάλιν ἐκεῖνο τὸ χειρόγραφον εἶχε πολλὰς ἤδη κατά τε λέξεις καὶ κατὰ γράμματα διαφθορὰς, ὡς ἔξεστι συνιδεῖν ἐκ τῆς ὁμολογουμένης κολοβώσεως ἐκείνης, καθ' ἣν ἔλειπον ἐξ αὐτοῦ ὁλόκληροι οἱ *δύω στίχοι* τοῦ Ἰησοῦ (βλ. ὄπισθ. σελ. 158). Εἰ δὲ καὶ μόνη ἡ ἔλλειψις αὕτη, κατὰ τύχην, ἀνεκαλύφθη, τίς ἐγγυᾶται, ἢ πιστεύεται καὶ ἐγγυώμενος, ὅτι οὐκ εἶχε τὸ χειρόγραφον καὶ ἄλλας ὁμοίας ἐλλείψεις, καὶ πολυμόρφους κακογραφίας, αἵτινες μεταδιδόμεναι κατὰ καιροὺς, ἔλαθον κρατήσασαι καὶ ἐπὶ τῶν λοιπῶν, τῶν ὡς ἐπὶ τὸ πλεῖστον ἐξ αὐτοῦ διορθουμένων ἀντιγράφων; (α). Περὶ δὲ τῶν ἄλλων τῶν *παραδειγματικῶν*, ἢ *γνωμονικῶν* (normales) καὶ κανόνος τόπον ἐπεχόντων κωδήκων, εἴπερ καὶ αὐτοὶ (καθὼς ὁ τούτων ἁπάντων ἐπισημότατος Ἑλλήλειος) εἶχον πολλάς τινας καὶ παντοίας λώβας καὶ κῆρας, ὅσῳ λοιπὸν σπουδαιότερον καὶ πιστότερον, καὶ μετὰ τυφλῆς πρὸς τὸ κῦρος αὐτῶν ὑπακοῆς ἀντεγράφοντο, ἢ διωρθοῦντο ἐξ αὐτῶν τὰ χειρόγραφα, τόσῳ βεβαιότερον μετεφυτεύοντο ἐν τούτοις καὶ τὰ σφάλματα τοῦ πρωτύπου.

§. νζ. Καθόλου, δὲ πάντα σχεδὸν τὰ μέχρι σήμερον γνωστὰ παλαιὰ χειρόγραφα τῆς ἑβραϊκῆς Γραφῆς ὅτι ἐγράφησαν καθ' ἣν

(α) Ὅθεν ὁ κλεινὸς Ῥόσσις οὐ καλὴν ἀντιγράφων πηγὴν τὸν Ἑλλήλειον ἀποκαλεῖ. «Tal era pure il codice Illeliano, il quale si conservava in Ispagna, e da cui si attestano gli storici Ebrei, che venivano esaminati e coretti tutti gli altri; E la mancanza dei due celebri versetti di Giosue, e parechie altre varianti portate per autorità de questo codice — bastamente si convincono che non era esso il miglior fonte». De-Rossi Compendio di Critica sacra p. 8—9. πρβλ: Simon Hist. Crit. V. Test. L. 1. c. 22. p. 114.

ἐκτιθέμεθα περίοδον (μεταξὺ τοῦ 1000 καὶ 1457), καὶ μόλις ἔχουσιν ἣν προείπομεν ἡλικίαν 700, ἢ 800 ἐτῶν (α), ὑπάρχει πρᾶγμα βέβαιον. Ὅθεν ἕπεται πιθανώτατον, ὅτι πάντα τὰ πρὸ ταύτης τῆς χρονολογίας γεγραμμένα, κατά τι ψήφισμα τῆς ἰουδαϊκῆς γερουσίας ἤρθησαν ἐκ μέσου, καὶ ἠφανίσθησαν (βλ. ὄπισθ. σελ. 160), ὡς ἐν πολλοῖς χωρίοις διαφέροντα τῶν *γνησίων* κεκηρυγμένων *κωδήκων*. Βέβαιον ἐπίσης ὑπάρχει κἀκεῖνο, ὅτι, καίτοι κώδηκές τινες, ὡς ἀριστεύοντες νομισθέντες, ἦσαν τοῖς πᾶσι προκείμενοι πρὸς μίμησιν, κατὰ τὴν χρυσῆν εἰκόνα τοῦ Ναβουχοδονόσορος,

---

(α) Τὸ ἀρχαιότατον τῶν μέχρι σήμερον εὑρεθέντων ἀντιγράφων νομίζεται ὁ ἀπὸ τοῦ κτήτορος Λαυδίου παρωνυμούμενος Λαυδιανὸς ἐν Ὀξωνίῳ κώδηξ (περὶ οὗ καὶ ἐφεξῆς), ὃν ὁ μὲν Κεννικῶτος τιθησιν εἰς τὴν I, ὁ δὲ Ῥόσσις εἰς τὴν IA, ἑκατονταετηρίδα. Αὐτὸς δὲ ὁ Ῥόσσις ἄλλο χειρόγραφον μᾶλλον ἐξαρχαΐζει (περιέχον λείψανα μόνον τοῦ Λευϊτικοῦ καὶ τῶν Ἀριθμῶν) ὅπερ ἔκρινεν (εἰ ὀρθῶς), τοῦ **H**, αἰῶνος γόνον. Καὶ ἄλλο πάλιν περιέχον τὴν Πεντάτευχον, τοῦ Θ, ἢ I, αἰῶνος (βλ. καὶ Horne, Introduct. T. 2. p 85). Μεταξὺ τῶν ἀρχαίων ἐπισημοτάτων ἀντιγράφων τακτέον καὶ τὸ νεώτατον ἀνακαλυφθὲν, ὅπερ ἡ ἐν Ὀδησσῷ συστᾶσα διάσημος ἐπὶ τῆς ἱστορίας καὶ τῶν ἀρχαιοτήτων ἑταιρεία προσήνεγκε τῇ φιλολογίᾳ, δῶρον πολυτιμότατον, καὶ τῶν πανταχοῦ τῆς οἰκουμένης μέχρι νῦν ἐγνωσμένων χειρογράφων ἁπάντων διάφορον καὶ μοναδικόν. Περιέχει τοῦτο τοὺς τρεῖς μεγάλους προφήτας (πλὴν τοῦ Δανιὴλ), καὶ τοὺς δώδεκα. Ἑκάστη σελὶς διαιρεῖται εἰς δύω ςήλας, μεταξὺ δὲ τούτων καὶ τῶν ἄνω καὶ κάτω περισελίδων κεῖται ἡ Μάσορα· σεσημείωνται καί τινες διάφοροι ἀναγνώσεις καὶ διορθώσεις. Ἔχει δὲ καὶ τὰ τῶν φωνηέντων καὶ τὰ τῶν τόνων σημεῖα, ἀλλὰ τούτων οὐ μόνον ἡ μορφὴ, ἀλλὰ (τὸ παράδοξον) καὶ ἡ θέσις διάφορός ἐστι τῆς συνήθους καὶ ἐξηλλαγμένη· διότι τὰ στίγματα καὶ γραμμάρια φαίνονται κεχαραγμένα οὐ κάτωθεν, ἀλλ' ἐπάνωθεν τῶν στοιχείων. Ἐξαλλάσσει δὲ τῆς συνηθείας καὶ αὐτῶν τῶν γραμμάτων ἡ μορφή. Ἀλλὰ καὶ τὸ κείμενον κατὰ πολλοὺς τρόπους διαφέρει τοῦ κοινῇ παραδεδεγμένου. Ὁ κώδηξ φέρει καὶ ἐπιγραφὴν, ἐξ ἧς φαίνεται ὅτι ἐγράφη τῷ 916 ἔτει. Τούτου τοῦ κώδηκος σύντομον διαγραφὴν ἐξέδωκεν ὁ σοφὸς Πίννηρ (Pinner), ὁμοῦ καὶ πανομοιότυπον ὅλης τῆς προφητείας τοῦ Ἀββακούμ. (Μνημονεύσομεν δὲ τοῦ χειρογράφου καὶ ἐν τοῖς ἑξῆς. κεφ. Θ). Οὐ μόνον δὲ τοῦτο τὸ χειρόγραφον, ἀλλὰ καὶ ἄλλους παλαιοὺς τῆς ἑβραΐδος γραφῆς, καί τινας ῥαββινικοὺς κώδηκας ἐκτήσατο ἡ εἰρημένη Ὀδήσσειος ἑταιρεία, κομισθέντας ὑπό τινος Ἰουδαίου πεπαιδευμένου Καραΐτου, τῷ 1839, ἐκ τῶν τῆς Ταυρίδος καὶ τῶν Καυκασίων χωρῶν. Ἐξέδωκε τούτων Ῥωσσιστὶ διαγραφὴν ὁ σοφὸς τῆς ἑταιρείας πρόεδρος Βασίλειος ὁ Στέρνος (1844. Ὀδησ). Βλέπε καὶ τὴν ὑπὸ Pinner διαγραφὴν ἐν τῷ γερμανιστὶ ἐκδεδομένῳ προγράμματι. « Prospectus der der Odessaer Geselschaft-gehörenden ältesten hebräischen und Rabbinischen Manuscripte. p. 18—28, Odessa, 1845.

ἥτις προὐτέθη πᾶσιν ἀνθρώποις, ἐκ παντοίων ἐθνῶν καὶ φυλῶν καὶ γλωσσῶν, εἰς προσκύνησιν· ἀλλ᾽ ὅμως, καθάπερ ἐπὶ τοῦ Ναβουχοδονόσορος ἀνεφάνησαν οἱ περιφρονήσαντες ἐκείνου τοῦ χρυσοῦ ξοάνου τὴν λατρείαν, οὕτως εὑρέθησαν καί τινες φιλαλήθεις ὑπερβάντες τὸ πρὸς τοὺς κώδηκας ἐκείνους παράλογον σέβας, καὶ σπουδάσαντες ἀντικαταστῆσαι ἐν τῷ ἑβραϊκῷ κειμένῳ διαφόρους ἀληθινὰς ἀναγνώσεις, ἃς εἶχον ἀπεξεσμένας οἱ ἄρχοντες τῶν συναγωγῶν αὐτῶν (α). Οὕτω, φέρ᾽ εἰπεῖν, ὀλίγοι τινὲς καὶ ἐπαινετοὶ βιβλιογράφοι ἀμελήσαντες τοῦ κύρους τοῦ Ἑλληλείου κώδηκος, οὐκ ἠνέσχοντο παραλιπεῖν τοὺς προειρημένους δύω στίχους τοῦ Ἰησοῦ (κα, 36, 37). Ἐπειδὴ δὲ οὗτοι ἐν τοῖς πλείστοις ἀντιγράφοις ἔλειπον, κατ᾽ οὐδένα τρόπον ἠδύναντο οὕτως ἁπλῶς καὶ ὡς ἔτυχεν ὑπὸ πολλῶν καὶ παντοδαπῶν ἀντιγραφέων παροφθῆναι. Καὶ φαίνεται λοιπὸν πιθανώτατον, ὅτι ὑπὸ μωρᾶς τινος γνώμης τῆς ἰουδαϊκῆς γερουσίας νόθοι κηρυχθέντες, ἀπηγορεύθησαν δι᾽ αὐστηρᾶς διαταγῆς μηκέτι γράφεσθαι ἐν τῷ κειμένῳ (βλ. ὄπισθ. σελ. 111).

§. νη. Εἴδομεν ἐν τοῖς προλαβοῦσι (σελ. 163) τὸν Σιμώνιον δηλοποιοῦντα τὰς διαφόρους τῶν ἐν Παρισίοις ἑβραϊκῶν κωδήκων ἀναγνώσεις, τόμον ὁλόκληρον ἀπαρτίσαι δυναμένας, ἂν συναθροισθῶσιν εἰς ἕν. Ὁ δ᾽ αὐτὸς δικαίως ἀπεκλαίετο καὶ διὰ τὰς ἔν τισιν ἀπογράφοις, ἀρίστοις τε καὶ παλαιοτάτοις, ποικίλας ἐξαλείψεις καὶ μεταβολὰς, ὡς ἐξεπίτηδες ῥαδιουργηθείσας, ὅπως ἂν καὶ ταῦτα συμπνεύσωσι πρὸς τὰ μάλιστα παρ᾽ Ἰουδαίοις

(α) Εὐφυῶς καὶ χαριέντως ἔγραψεν ὁ Κεννικῶτος τοῦτο τῆς χρυσῆς εἰκόνος τὸ παράδειγμα (l. c. p. 445), ἀλλ᾽ ὅμως κατὰ τὸ ἕτερον μέρος τῆς ἐφαρμογῆς χωλαίνει (τόγ᾽ ἐμοὶ δοκοῦν) ἡ ὁμοίωσις. Οὔτε γὰρ οἱ Ἰουδαῖοι γραφεῖς, οὔτ᾽ αὐτοὶ οἱ κώδηκες, ἐν οἷς ἀποκατέστησάν τινας ἀληθινὰς ἀναγνώσεις, ἦσαν ἐν τοῖς ἄλλοις ἅπασιν ἄμωμοι καὶ ἄχραντοι καὶ τέλειοι, κατὰ τοὺς ἁγίους τρεῖς Παῖδας (ἄπαγε!) ἀλλὰ τί; διορθωθέντων ὀλίγων σφαλμάτων, ἀπέβησαν ἧττον λωβητοὶ καὶ πεπηρωμένοι, ὡς σῶμα πολλαχοῦ κατεσχημένον ὑπὸ λέπρας, « ὅταν ἰαθῶσιν ὀλίγαι τινὲς ἁφαὶ τοῦ δέρματος, καὶ ἀντ᾽ αὐτῶν ἀποκαταστῇ ὁ χρὼς ἐκεῖνος ὑγιής.

ἀποδεκτὰ, τὰ Μασορίτεια χειρόγραφα. Οὕτω καὶ ὁ κατὰ τὴν Αὐτοκρατορικὴν τῆς Βιέννης Βιβλιοθήκην ἐπισημότατος ἑβραϊκὸς κώδηξ παρεβιάσθη πρὸς τοὺς Μασοραίους κανόνας, ὑπὸ χειρὸς νεωτέρας τονισθείς (α). Περὶ τούτου τοῦ πράγματος δικαίως ἐμεμψιμοίρει καὶ Οὐβιγάντης, ἐξιστορῶν τὴν ἐλεεινὴν κατάστασιν ὅλων διόλου τῶν ἐν ἔτεσι 600 πρὸ αὐτοῦ γεγραμμένων ἑβραϊκῶν ἀντιγράφων, ἐν οἷς πολλάκις ἀπήντησε γραφὰς τῆς πρώτης χειρὸς, ἄλλων ἐν αὐτοῖς ὑστερογράφων κρείττονας· διότι (λέγει) τὰ παλαίτερα τῶν χειρογράφων ἀπῃτοῦντο σύμφωνα πρὸς τὸν κανόνα τῶν νεωτέρων· καὶ πολλάκις (ὡς διαφωνοῦντα) ὑπὸ τῆς ἀμαθείας καὶ δεισιδαιμονίας τῶν τῇ Μασόρᾳ καθωσιωμένων Ἰουδαίων κατεκαίοντο (β). (βλέπε ἐφεξῆς, σελ. 174). Εἰ δὲ καὶ ἐν τοῖς ἀρίστοις καὶ ἀρχαιοτάτοις τῶν σωζομένων χειρογράφων τοσαῦτα καὶ τοιαῦτα τολμήματ᾽ ἀνεκαλύφθησαν, τί ποτ᾽ ἐλπιστέον ἐκ τῶν νεωτέρων, πρὸς ἃ μάλιστα τὸ κοινῇ παραδεδεγμένον κείμενον συμφωνεῖ;

§. νθ. Ἀλλὰ καὶ Βάλτων ἐκεῖνος (γ) ὅσῳ νεώτερα, τοσούτῳ χείρονα τὰ ἑβραϊκὰ χειρόγραφα ἀποφαίνεται· καὶ τὰς ἐν αὐτοῖς καθόλου παραλλαγὰς ὁμολογῶν, εἰς τοὺς ἀντιγραφεῖς ἀποδίδωσι (πάντως γὰρ, φησιν, οὐκ ἂν προῆλθον ἐξ αὐτῶν τῶν ἱερῶν συγγραφέων), ὡς μὴ παραβαλόντας ἀκριβῶς πρὸς τὸ πρωτότυπον ἃ μετέγραψαν. Ἐκ δὲ τοιούτων ἐσφαλμένων ἀντιγράφων ἄλλοι μεταγράφοντες, ἐπολλαπλασίαζον τὰ σφάλματα, προστιθέντες

(α) Τοῦτο τὸ χειρόγραφον περιέχει τοὺς προφήτας καὶ τὰ ἁγιόγραφα, ἡλικίαν ἔχον 800, ἐτῶν, (τῷ 980, ἄλλ. τῷ 1020 μ. Χ.) κατὰ τὸν Κεννικῶτον, ὅστις καὶ κράτιστον (praestantissimum) αὐτὸν ὀνομάζει (Dissert. General. §. 49. βλ. καὶ σελ. 590). Εὕρηκε δὲ κἀν τούτῳ ὁ Βρύνσιος ἁμαρτήματα παχυλώτατα (crassissima), καί τινα τούτων ἀπαριθμεῖ (Bruns. p. XI. praef. ad Kennic. Diss. General.)

(β) « Quae quidem misera conditio omnium omnino codicum fuit, qui ante annos fere sexcentos fuere descripti; in quibus ego scriptiones priori manu factas posterioribus meliores saepe deprehendi· quoniam vetustiores ad recentiorum normam exigebantur, Judaeorumque Masorae devotorum inscitia et superstitione inurebantur». Houbigant. Proleg. pag. 105. — (γ) Walt. Proleg. VI. §. 7.

ἕκαστος καὶ τὰ παρ᾽ ἑαυτῶν. Οὕτως ἐξ ἑνὸς κώδηκος δύνανται μὲν πολλαὶ χιλιάδες ἀπογράφων ἀντιγραφῆναι· ὅσῳ δ᾽ ἂν πλείονα μεταγράφωνται, καὶ μᾶλλον ἀπὸ τῶν πρωτοτύπων ἀποπλανῶνται, τοσούτῳ πλείονα συνεφέλκονται καὶ τὰ ψεύδη. Κἀκεῖνο δὲ σημειωτέον· ὅτι καὶ πάσης μὲν ἄλλης γλώσσης ἡ ἰδιότης, μάλιστα δὲ τῆς ἑβραϊκῆς (βλ. ἑξῆς κεφ. γ. §. α) λίαν ἐστὶν εὐόλισθος εἰς σφάλματα κατὰ τὴν ἀντιγραφὴν, διά τε τὴν ὁμοιότητα τινῶν γραμμάτων δυσχερῶς διακρινομένων, καὶ διὰ τὴν τῶν φθόγγων συγγένειαν (ὅταν ὁ γράφων γράφῃ καθ᾽ ὑπαγόρευσιν). Ἔστι δ᾽ ὅτε καὶ ἐξ ἑαυτῶν ἁμαρτάνουσιν οἱ ἀντιγραφεῖς δι᾽ ὀλιγομάθειαν, ἢ καὶ μνήμης ἁμαρτίαν (οἷον, ὅταν ὁ ἀντιγράφων πολλὰς ὁμοῦ λέξεις ἀναλαμβάνων ἐκ τοῦ κειμένου διὰ τῆς ὄψεως, ἢ τῆς ἀκοῆς, ἔπειτ᾽ ἐπιλανθάνηται τῆς ἀκριβείας, καὶ τῆς ὀρθογραφίας, ἢ τῆς ποσότητος, ἢ τῆς θέσεως αὐτῶν). Ἁμαρτάνουσι πολλάκις καὶ διὰ θρασύτητα παράτολμον (οἷον, ὅταν διορθῶσιν ἣν ψευδῶς ἐξέλαβον ὡς ἡμαρτημένην γραφὴν, οἷα τολμῶσι μάλιστα οἱ ἄκριτοι τῶν κριτικῶν), ἢ καὶ διὰ πλάνην ῥεμβομένης φρενὸς (ὡς ὅταν ξένας τινὰς λέξεις ἐκ τοῦ περισελίδου μεταγγίζωσιν εἰς τὸ κείμενον, ἢ ὅταν ἐστενογραφημένην λέξιν μὴ ὀρθῶς ὁλογραφῶσιν), ἢ καὶ, τὸ πλεῖστον, διὰ χάσμην καὶ ἀμέλειαν, ὅταν, ἢ μηδόλως, ἢ μὴ μετὰ τῆς δεούσης προσοχῆς, ἀλλ᾽ ἐπιτροχάδην ἀντιβάλλωσι τὸ ἀπόγραφον πρὸς τὸ πρωτότυπον. Ὅταν δὲ καὶ ἐξ ἀντιγράφου διὰ παλαιότητα τετριμμένου μὴ μετ᾽ εὐλαβείας καὶ λιπαρᾶς ἐπιστασίας μήτ᾽ αὐτοὶ μεταγράφωσιν οἱ γραφεῖς, μήθ᾽ ὁ ὑπαγορεύων καὶ ὑφηγούμενος ἀπαγγέλλῃ (καὶ οὗτος, τυχὸν, δυσπρόφορός τις ὢν, ἢ ἀμβλυωπῶν πρὸς ἀμβλυωποῦντα, ἢ βαρύκοον τὸν ἀντιγραφέα), τότε φανερὸν, οἷον ἔσται τὸ χειρόγραφον. Ὅτι δὲ καὶ ἀπατεῶνές τινες ἀγύρται, καὶ σκευωροὶ ῥᾳδιουργοῦντες ἐξεπίτηδες παραχαράττουσι τὸ γνήσιον τῆς γραφῆς, δῆλον ἐκ πολλῶν παραδειγμάτων, οἷα τὰ τῶν ἀρχαίων αἱρετικῶν, καὶ αὐτῶν δὲ τῶν Ἰουδαίων (κἂν τοῦτο μὴ στέγωσιν οἱ πλεῖστοι τῶν κριτικῶν). Τῶν δ᾽ ἐκ τούτων τῶν πηγῶν πραχεομένων ἁμαρτημάτων,

τὰ εἴδη ποικίλα· καὶ τούτων παραδείγματα φέρομεν ἐν τοῖς ἑξῆς (α).

§. ζ. Ἐκ τούτων οὖν τῶν αἰτιῶν, ἢ ὅλων, ἢ τῶν πλείστων, καὶ πάντα τ᾽ ἄλλα πασῶν τῶν γλωσσῶν τὰ ἀντίγραφα σφάλμασιν ὑπόκεινται, πολὺ δὲ μᾶλλον ἀπέβησαν ἁμαρτημάτων ἔνοχοι οἱ τῶν ἑβραϊκῶν Γραφῶν ἰουδαῖοι ἀντιγραφεῖς. Πάντα τὰ περὶ τὸ 1000 μ. Χ. ἔτος χρονολογούμενα ἀντίγραφα ποικίλας ἔχουσι πρὸς ἄλληλα διαφοράς (β). Ἀπὸ δὲ τοῦ 1000 μέχρι τοῦ 1457, συνεχέστερον περὶ τὰς Γραφὰς αὐτῶν ἀσχοληθέντες, πολὺν μετέγραψαν ἀντιγράφων ἀριθμόν. Ἐπειδὴ δὲ πρᾶγμα δυσφύλακτον, ἢ παντελῶς ἀδύνατον ἦν τὸ μὴ περιπεσεῖν εἰς νέας ἁμαρτάδας, ὅσῳ πλείω μετέγραφον, τόσῳ πλείων εἰσέῤῥεεν ἐν τοῖς ἀντιγράφοις ὁ ἀριθμὸς τῶν διαφθορῶν, ὥστε τὰ μάλιστα νεώτατα μάλιστα διεφθαρμένα προῆλθον. Διὰ τοῦτο καὶ τὰ ἀπὸ τοῦ 1000 μέχρι τοῦ 1200 ἔτος γεγραμμένα, κρείττονα τῶν μεταγενεστέρων εὑρίσκονται, καὶ πολλῶν, τῶν μετὰ ταῦτα παρεισφρησάντων, σφαλμάτων ἀπείρατα. Ἐπειδὴ δὲ ἀπὸ τοῦ 1300 μέχρι τοῦ 1400 μ. Χ. ἔστησαν περὶ τὰς ἀντιγραφὰς οἱ Ἰουδαῖοι γνώμονα καὶ κανόνα κοινὸν καὶ καθολικὸν, ἣν δὴ λέγουσι *Μάσοραν*, πόνημα, τὰ μὲν ἐκ νεωτάτων κωδήκων, τὰ δὲ καὶ ἐξ ἀρχαιοτέρων μὲν, ἀλλὰ σφαλερωτάτων συντεθειμένον, διὰ τοῦτο καί τινα τῶν ἀντιγράφων τῆς νεωτέρας ταύτης ἐποχῆς συμφωνοῦσι πρὸς ἄλληλα θαυμαστῶς ἔν τισι διαφθοραῖς παντάπασιν ἀγνώστοις τὸ πρότερον. Ὑπάρχει δὲ λαμπρῶς ἀποδεδειγμένον, ὅτι πολλὰ καὶ τῶν παλαιῶν ἀντιγράφων ὑπέστησαν ἀδικίας ἰδίως παρὰ τῶν χειρῶν τῶν διορθωτῶν, οἵτινες λόγῳ διορθώσεως, πολ-

---

(α) *Τέσσαρά τινα τὰ καιριώτατα αἴτια τῶν ἐν τοῖς ἀντιγράφοις σφαλμάτων καθολικώτερον ἀριθμοῦνται παρὰ τοῖς κριτικοῖς· α)* Βιβλιογράφοι *(ἀντιγραφεῖς, ἢ βιβλιοπῶλαι φιλοκερδεῖς, ἢ ἀμαθεῖς, ἢ ἀμελεῖς κτλ.), β)* Ἄκριτοι *κριτικοί, διορθωταὶ τοῦ κειμένου. γ)* Ἀπατεῶνες *ἐξεπίτηδες καὶ ῥᾳδιουργοί. δ)* Παλαιότης, *ἢ ἀτέλεια τῶν χειρογράφων.* Βλ. Jo. Cleric. Ars critic. P. III. §. 1. pag. 2. sqq.

(β) Kennicot. Diss. II. p. 448 squ.

λαγῶς αὐτὰ διέφθειραν διὰ σέβας πρὸς τὴν Μασοριτῶν αὐθεντίαν ἰταμὸν καὶ τυφλὸν, μεταστρέψαντες καὶ γράμματα, καὶ λέξεις, καὶ νοήματα (α). Καὶ ἀπέβη ἄρα βαθμηδὸν καὶ κατὰ καιροὺς ἡ τῶν ἑβραϊκῶν κωδήκων ἀπὸ τοῦ κακοῦ ἐπὶ τὸ χεῖρον, καὶ τὸ χείριστον ῥοπὴ καὶ μετάπτωσις καὶ μεταβολὴ, παρομοία πως (εἰ θέμις εἰπεῖν) πρὸς τὰς παρ' Ἡσιόδῳ (μετὰ τὸ χρύσεον γένος) ἀλληλιαδόχως πρὸς τὸ χεῖρον προϊούσας γενεὰς τῶν ἀνθρώπων, καὶ ἀπὸ γένους ἀργυροῦ εἰς χαλκοῦν, καὶ, τέλος, εἰς σιδηροῦν (τί δ' οὐχὶ καὶ ὀστράκινον;) μεταβεβλημένας (β).

§. ξα. Ἀποδείκνυται τοίνυν ἐκ τούτων, ὅτι τὰ ἑβραϊκὰ χει-

(α) Οὕτως ὁ Μασοραῖος κανὼν ἐν Α. Παραλειπ. ς, 57 διέταξε γράφειν «τὰς πόλεις Ἰ ο ύ δ α φυγαδευτήριον» κτλ. (ὡς ἔχει καὶ τὰ νῦν τὸ ἑβρ.), ὅπου τὸ Ἰ ο ύ δ α προφανῶς ἐστὶ παρεμπεποιημένον (ὡς δείκνυται τρανῶς ἐκ τοῦ παραλλήλου τόπου τοῦ Ἰησοῦ κα, 13)· λείπει δὲ καὶ ἐκ τῶν Ο, καὶ ἐξ ἄλλων ἀρχαίων ἑρμηνειῶν· Ἐν δὲ πάλιν τῷ 10 στίχῳ τοῦ ιε (ἑβρ. ις) ψαλμοῦ ἀντὶ τοῦ «τ ὸ ν ὅ σ ι ό ν σ ο υ» (ἑνικῶς, ὡς ἔχουσιν οἱ Ο, κτλ.) ἡ Μάσορα γράφει πληθυντικῶς τ ο ὺ ς ὁ σ ί ο υ ς σ ο υ, ἐναντίον τοῦ νοήματος (καὶ οὐ χωρίς τινος μισοχρίστου ῥαδιουργίας τῶν οὕτω στιξάντων Μασοριτῶν)· σώζεται δὲ ὅμως καὶ ἡ ἑνικὴ γραφὴ ἐν πολλοῖς ἑβραίοις ἀντιγράφοις. Ὅτι δὲ καὶ στίχων ὁλοκλήρων τὴν κολόβωσιν (οἷον τῶν Ἰησοῦ, κα) ἐπικυροῖ τὸ Μασοριτικὸν κῦρος, προείπομεν (βλ. καὶ Kennicot. Diss. I. p. 106, 336 καὶ II. p. 449, 470). Ἀλλὰ τὰ τοιαῦτα θεωρήσομεν ἐκτενέστερον ἐν τοῖς ἑξῆς.

(β) Ἐκ τῶν Ἡσιόδου γενῶν λαβὼν τὴν ἀφορμὴν καὶ ὁ ῥωμαῖος Ὁράτιος, ἔπλεξεν ἐκείνους τοὺς παρ' ἄλλοις τε καὶ παρ' ἰατροῖς σοφοῖς περιᾳδομένους στίχους, οὓς ὁ Κεννικῶτος (Diss. I. p. 289) εὐφυῶς παρῴδησεν εἰς τὴν ἐπὶ μᾶλλον καὶ μᾶλλον αὐξανομένην τῶν ἑβραίων κωδήκων διαφθοράν.

«Damnosa quid non imminuit dies?
Aetas parentum, pejor avis, tulit
Nos nequiores, mox daturos
Progeniem vitiosorem» (Horat. Carm. L. 3. Od. 6. v. 45)· ἤτοι,

«Τί δ' οὐ χαλέπτει πουλυχήριος χρόνος;
Ἡλικίη πατέρων, τῆς πάππων χείρων,
Ἤνεγκεν ἡμᾶς ἀσθενεστέρους, μάλα
Αὐτίκα φυτεύσοντας ἐκγόνους κακίονας».

Τούτους τοῦ ῥωμαίου ποιητοῦ τοὺς στίχους καὶ ὁ κλεινὸς Ὑσσέριος λίαν ἀτυχῶς καὶ ἐπαριστερον (οὐ γὰρ ἦν Κεννικῶτος) παρῴδησεν εἰς τοὺς κώδηκας τῆς ἑρμηνείας τῶν Ο. Ἀλλ' εὗρε τὸν Καπέλλιον οὐ παίζοντα πρὸς τὰς παιγνίων χείρονας αὐτοῦ γνώμας. βλ. τὸ Δ ι α τ ρ ι β ί δ ι ο ν αὐτοῦ Dissertatiunculam (ὡς ἐπιγέγραπται) παρὰ Cappell. Crit. Sacr. p. 492.

ρόγραφα, καὶ μάλιστα τὰ ἀπὸ τοῦ ιδ, καὶ ιε, αἰῶνος καὶ ἐφεξῆς, τῆς Μασόρας μεσιτευούσης, συνηλάθησαν καταναγκασθέντα εἰς ἀπόλυτον καὶ καθολικὴν ἐν πᾶσι τοῖς σφάλμασι καὶ συντρίμμασι συμφωνίαν. Τὰ δὲ πάλιν ἀρχαιότερα, ὅσῳ μᾶλλον ἀφεστήκασι πορρωτέρω τῆς ἐσχάτης ταύτης περιόδου, τοσούτῳ καὶ τῶν νεωτέρων ἀπήλλακται διαφθορῶν (σῴζουσι δὲ δήπου τὰς ἐκ τῶν προηγησαμένων, περὶ ὧν προείπομεν, περιόδων). Καὶ ὀρθῶς λοιπὸν ἔκριναν οἱ περὶ τὸν Βαύερον καὶ τὸν Ῥόσσιν, καὶ ἄλλοι τῶν κριτικῶν (α), ὅτι τῶν ἑβραϊκῶν χειρογράφων ἐκεῖνα τῶν ἄλλων εἰσὶ τὰ κράτιστα, ὅσων αἱ ἀναγνώσεις βεβαιοῦνται ὑπὸ τῶν Ο, καὶ τῆς Σαμαρειτανῆς Πεντατεύχου, καὶ τῆς ἀρχαίας Συριακῆς ἑρμηνείας, κτλ. Διὰ τοῦτο δὲ τὸ προτέρημα καὶ ὁ προμνημονευθεὶς (σελ. 166 σημ.) *Λαυδιανὸς* κώδηξ μάλιστα φημίζεται. Περιέχει οὗτος 14 χιλιάδας παραλλαγῶν (ὧν ὑπὲρ τὰς δύω χιλιάδες εὑρίσκονται ἐν μόνῃ τῇ Πεντατεύχῳ). Τούτων δὲ τῶν παραλλαγῶν ἑπτακόσιαι μὲν ἀντιλέγουσι πρὸς τὸ κοινῶς παραδεδεγμένον κείμενον τὸ ἑβραϊκόν· ἄλλαι δὲ συμφωνοῦσι μᾶλλον πρὸς τὸ Σαμαρειτανὸν, ἢ πρὸς τὴν Βουλγάταν, ἢ τὴν Συριακὴν, ἢ τὴν Χαλδαϊκὴν ἑρμηνείαν. *Ἐννέα δὲ καὶ ἑκατὸν* ἀναγνώσεις βεβαιοῦσι τὴν τῶν Ο, ἑρμηνείαν ἐναντίον τοῦ συνήθους ἑβραϊκοῦ. Καὶ τούτων τῶν ἀναγνώσεων ἡ ἐμβριθεστάτη καὶ μάλιστ᾽ ἀξιόλογός ἐστιν ἡ βεβαιοῦσα τὴν παρὰ τοῖς Ο περὶ τῆς ἐπιφανείας τοῦ Θεανθρώπου Μεσσίου ἐσχάτην προφητείαν τοῦ Δαβίδ (Β. Βασιλ. κγ. 2–7) (β).

(α) Βλ. Horne, Introd. T. 2. part. 1. pag. 83. De Rossi Var. Lect. p. LIV

(β) Οἱ Ο, ἔχουσι «Καὶ ἐν φωτὶ Θεῷ πρωΐας ἀνατείλαι ἥλιος» (ἐκδ. Ἀλεξανδρ.). Οὕτω καὶ τὸ Λαυδιανὸν χειρόγραφον· «Καὶ ὡς φῶς πρωΐας ἀνατελεῖ Θεὸς ἥλιος» (ὁ κώδηξ ἀντὶ τοῦ Θεὸς ἔχει Ἰευώ, ἢ Ἰεχοβά, Κύριος· ἀλλ᾽ ἴσως οἱ Ο, ἀνέγνων Ἐλωΐμ· βλ. Schulz. αὐτόθ.). Τὸ δὲ κοινῶς παραδεδεγμένον ἑβραϊκὸν ἔχει «Καὶ ὡς φῶς πρωΐας ἀνατελεῖ ἥλιος» (!), ὅπου φανερῶς ἐξέπεσεν ἢ ἐξῃρέθη τὸ Ἰεχοβά (ἢ τὸ Ἐλωΐμ. Λείπει δὲ καὶ ἐκ τῆς νῦν Βουλγάτας). Ὁ δὲ Κεννικῶτος νομίζει κατὰ μετάθεσιν ἀναγνωστέον τὸ τῶν Ο, (ἵνα μᾶλλον συμφωνῇ πρὸς τὸ Λαυδιανόν)· «Καὶ ἐν φωτὶ πρωΐας (ἢ καὶ ὡς φῶς πρωΐας) ἀνατείλαι ὁ

§. ξϐ. Ἐπειδὴ δὲ ἤδη μεταβαίνομεν ἀπὸ τῆς ἐσχάτης καταστάσεως τῶν ἑβραϊκῶν χειρογράφων εἰς τὴν ἀρχὴν τῆς τυπογραφίας, τοῦτο πρώτιστον κεφάλαιον τοῦ λόγου τηρητέον· ὅτι τῶν ἑβραϊκῶν γραφῶν τὸ κείμενον, εἴπερ ἐκ τῶν νεωτάτων τετύπωται χειρογράφων, ἢ (ὅπερ ἐστὶ ταὐτὸν) ἐκ χειρογράφων διωρθωμένων κατὰ τὸν σημερινὸν τῆς Μασόρας κανόνα, ἀπεσχοίνισται λοιπὸν ἐξ ἀνάγκης καὶ πολὺ μακρὰν ἀπὸ τῆς ἀρχαίας αὐτοῦ καθαρότητος καὶ ὁλοκληρίας. Καὶ τοῦτ' ἀληθέστατον ἀποδείκνυται τηλαυγῶς ἐκ τῆς συμφωνίας, καθ' ἣν αἱ κατὰ καιροὺς τετυπωμέναι τοῦ κειμένου ἐκδόσεις συμφωνοῦσι μὲν *ἐν τοῖς καθόλου* σχεδόν τι πᾶσαι πρὸς ἑαυτάς, συμφωνοῦσι δὲ πᾶσαι καὶ πρὸς τὰ νεώτατα καὶ τοῦ κακίστου κόμματος χειρόγραφα (α). Αἱ δὲ πάλιν ἐκ τῶν ἀρχαιοτέρων χειρογράφων (ὡς ἧττον διεφθαρμένων) προστεθεῖσαι διάφοροι ἀναγνώσεις, οὐδὲν ὠφέλησαν. Λέγομεν δὲ ἤδη περὶ τῶν ἐκδόσεων τούτων, τὰς ἐπισημοτέρας ἐκλέγοντες.

ΤΗΣ Ϛ. ΠΕΡΙΟΔΟΥ ΣΥΝΕΧΕΙΑ.

Ἀπὸ τῆς ἐν ἔτει 1457 εὑρέσεως τῆς τυπογραφίας μέχρι τῶν χρόνων τῶν καθ' ἡμᾶς (ϐ).

§. ξγ. Τῆς περὶ τὰ καθόλου συμφωνίας τῶν διὰ τοῦ τύπου

Κύριος, ὁ ἥλιος» (Diss. I. p. 454, sq.). Ἀλλὰ μηδὲν κινητέον· τὸ τῶν Ο, ἐν φωτὶ Θεῷ γέγραπται ὡς τὸ «Ὁ Θεὸς φῶς ἐστι» (Α, Ἰωάν. α, 5)· πρβλ. καὶ τὸ «Ἔσται σοι Κύριος φῶς αἰώνιον, καὶ ὁ Θεὸς δόξα σου» (Ἡσ. ξ, 19: καὶ Ἀποκαλ. κα, 23). Βλ. καὶ Kennicot. Dis. General. p. 70, 71. — Horne l. c. T. 2. part. 1. p. 84.

(α) Βλ. Kennicot. Diss. II. p. 450. πρβλ. καὶ ὅσα περὶ χειρογράφων εἶπε Diss. I. p. 250, 296. καὶ τοῦ αὐτοῦ Descript. codicic. Hebr. script. ad calcem Diss. II. Περὶ χειρογράφων συνέγραψε καὶ ὁ πολυμαθὴς Τύξην (Tychsen) τὸ πολλάκις προμνημονευθὲν αὐτοῦ Δοκίμιον (Tentamen de variis codicum etc.), καὶ Σέμλερος (Semler), καὶ Σχνύῤῥερος (Schnurrer) καὶ ἄλλοι βλ. Rosenmüll. Handbuch für die Literatur der bibl. Kritik etc. 2. Bd. p. 2—34.

(ϐ) Βλ. Kennicot Diss. II. p. 451—476. πρβ. Walton, Proleg. IV. §. 14. Houbigant. Prolegom. p. LXXI.—Calmet Biblioth. Sacrée. p. 297. Rosenmüller Handb. fur die Literatur etc. 1. Bd. 189-248.—De Rossi, Compendd. i Crit.

ἐκδεδομένων βιβλίων τῆς ἑβραΐδος Γραφῆς ὁ σοφὸς Οὐβιγάντης ταύτην ἀποδίδωσιν αἰτίαν, ὅτι πᾶσαι αἱ μεταγενέστεραι ἐκδόσεις ἀντεγράφησαν ἐκ τῆς πρώτης. Πρώτη δὲ πασῶν ἔκδοσις ὁλοκλήρου τοῦ ἑβραϊκοῦ κώδηκος ἐφάνη τῷ 1488 ἡ τοῦ Σογκίνου λεγομένη, ἢ τῶν Σογκινατῶν (Soncinatos) Ἰουδαίων, παχυλωτάτων σφαλμάτων ἔμπλεως (ὡς ἀπέδειξε Κεννικῶτος). Ἤδη δὲ καὶ πρότερον ὑπῆρχον ἐκδεδομένα κατὰ μέρος τῶν ἑβραϊκῶν τινὰ τευχῶν· καὶ πρῶτον μὲν ἐξετυπώθη τὸ *Ψαλτήριον* τῷ 1477. Κατὰ δὲ τὸ 1482 ἡ Πεντάτευχος (ἐν Βονωνίᾳ)· καὶ μετὰ μικρὸν ἡ Ῥοὺθ, τὸ Ἆσμα Ἀσμάτων, ὁ Ἐκκλ. οἱ Θρῆνοι, ἡ Ἐσθήρ. Τῷ δὲ 1486 ἐφάνησαν ἐκδεδομένοι ἐν Νεαπόλει καὶ οἱ Προφῆται, καὶ τῷ ἐφεξῆς 1487 τὰ λεγόμενα Ἁγιόγραφα (ὁ Ἰὼβ κτλ. βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ζ. σελ. 429). Τούτων ἓν μόνον ἔκτυπον, ὡς φοῖνιξ, ἐκ τοῦ πυρὸς διεσώθη (κατὰ τὸν Πέλλετον), τὸ λεγόμενον τοῦ Πελλέτου (Pellet), ὅπερ οὗτος εἰς τὴν ἐν Ἐτωνίᾳ βιβλιοθήκην ἀνέθηκε (α). Κατέκαυσαν δὲ ταύτην τὴν ἔκδοσιν ὁλόκληρον οἱ Ἰουδαῖοι, ὡς περιέχουσαν *πολλὰς ἀναγνώσεις διαφόρους τῶν ὕστερον ἐκδεδομένων βιβλίων, καὶ πρὸς τὴν Μάσοραν ἐναντίας*, οἵας αὐτὰς εὕρηκεν ἀκριβώσας ὁ σοφὸς Κεννικῶτος (β). Ὁ δ' οὖν κώδηξ τῶν Σογκινατῶν περιέχει πλείονας, ἢ 12 χιλιάδας ποικίλων παραλλαγῶν, καθὼς ὁ Ῥόσσις μαρτυρεῖ (γ), γέμει δὲ καὶ πολλῶν τυπογραφικῶν σφαλμάτων (ὡς ὁ Βρύνσιος παρετήρησεν). Ὁ Βόλφιος μνημονεύει καὶ ἄλλην ἔκδοσιν τῆς ἑβραϊκῆς Γραφῆς (πλήρη καὶ ταύτην καὶ παραλλαγῶν καὶ τυπογραφικῶν σφαλμάτων, κατὰ τὸν Σχούλζιον) ἐν Βρεσκίᾳ τῷ 1494

Sacra p. 9. sqq. — Eichhorn, Einleitung etc. 2. Bd. p. 650—704. — Horne An Introduction etc. vol. 2. part. 1. p. 42, 247 καὶ part. 2. p. 4—10, 35. — Bergier, Dictionnaire de Théolog. T. 1. p. 300.

(α) Καὶ ἄλλα δὲ ὀκτὼ (τὰ πάντα ἐ ν ν έ α) τῆς ἐκδόσεως ταύτης ἀντίτυπα εὑρέθησαν ἐν ταῖς κατ' Εὐρώπην βιβλιοθήκαις (βλ. Rosenmüll. Handbuch für die Literatur etc. 1 Bd. p. 191).

(β) Kennicot. Diss. II. p. 453. πρβλ. καὶ Diss. I. p. 511. sqq.

(γ) De Rossi, Comp. di Critica Sacr. p. 9.

γενομένην, ἧπερ ἐχρήσατο καὶ Ὀπίτιος, περὶ οὗ ἐφεξῆς (α). Ἐν ταύτῃ τῇ ἐκδόσει περιέχονται οἱ ἐκ πολλῶν ἄλλων ἐκδόσεων λείποντες δύω στίχοι τοῦ Ἰησοῦ (κα, 36, 37).

§. ξδ. Τῷ δὲ 1518 ἐξεδόθη Ἐνετίησιν ἡ Βομβέργειος ἔκδοσις τοῦ ἑβραίου κώδηκος, ἐπιστασίᾳ Φήλικος τοῦ Πρατηνσίου, ἐξ Ἰουδαίων γενομένου μοναχοῦ δυτικοῦ, τοῦ τάγματος τῶν Ἐρημιτῶν (β). καὶ ἐκ ποίων μὲν χειρογράφων ἐλήφθη τὸ κείμενον τῆς περιφήμου ταύτης ἐκδόσεως, ἄδηλον· βέβαιον δὲ ὅμως, ὅτι συμφωνεῖ πρὸς τὰ νεώτατα, καὶ κατὰ τὸν Μασοραῖον κανόνα διωρθωμένα. Σημειωτέον δὲ, ὅτι καὶ αὐτὸς ὁ ἐκδότης ἐν τῇ πρὸς τὸν τότε πάπαν Λέοντα τὸν Ι, προσφωνητικῇ ἐπιστολῇ μεμψιμοιρῶν, ἀποκλαίεται περὶ τῆς εἰς ἄκρον διεφθαρμένης καταστάσεως ὧν ἴδεν ἑβραϊκῶν ἀντιγράφων· «*Ἐπὶ τοσοῦτον* (λέγει) *καθαρότητος ἀμοιροῦσιν, ὥστε τῶν σφαλμάτων ὁ ἀριθμὸς ἐξισοῦται πρὸς τὰς λέξεις*»· προστίθησι δὲ καὶ ὅτι πολλὰ τῶν ἀντιγράφων ἀντιβαλὼν, *διώρθωσεν αὐτὸς* (μασοριτικῷ τῷ τρόπῳ πάντως) ὅπερ ἐξέδωκε κείμενον.

§. ξε. Κατὰ τὸν αὐτὸν χρόνον καὶ Ξιμένης ὁ Πορφυρωτὸς (Καρδινάλιος) ἐν Κομπλούτῳ τῆς Ἰσπανίας, ἐν τῇ πρώτῃ ἐκδοθείσῃ Πολυγλώττῳ τῶν *Κομπλουτείων* λεγομένων *Βιβλίων* (γ), ἐξεπόνει περίφημον ἄλλην ἔκδοσιν τῆς ἑβραΐδος Γραφῆς (ἀπὸ τοῦ 1514 μέχρι τοῦ 1517). Καὶ αὕτη δὲ, ὡς καὶ ἡ Βομβέργειος τοῦ Πρατηνσίου, ἐξετυπώθη ἐξ ἀντιγράφων ἑβραϊκῶν, ἄλλων πάντως παρὰ τὰ τῆς συγχρόνως τυπουμένης Πρατηνσίας. Καὶ

(α) Wolf. Bibliothec. Hebr. Tom. 2. p. 865.

(β) Felix Pratensis. Οὗτος ἐξέδωκε λατινιστὶ τῷ 1515 μεταφράσας ἐκ τοῦ ἑβραϊκοῦ τὸ ψαλτήριον. Βλ. Hody, De Biblior. text. p. 461.

(γ) Πρῶτος ὁ Ἄλδος τῷ 1501 (ἐκ τῶν Ὠριγένους ὁρμώμενος Ἑξαπλῶν. βλ. ὄπισθ. σελ. 143) ἐπενόησεν, ἵνα ἐκδώσῃ τὴν Γραφὴν τρίγλωττον (ἑβραϊστὶ, ἑλληνιστὶ, λατινιστὶ)· τούτου τοῦ σχεδίου μόνον ἓν φύλλον ἐξετυπώθη ὡς παράδειγμα, καὶ πλέον οὔ (Renouard, Annales de l'Imprimerie des Aldes, T. 3. p. 45. Paris, 1825). Καὶ τοῦτο τὸ παράδειγμα προήγαγεν εἰς φῶς τὰ Κομπλούτεια Πολύγλωττα.

ὅμως ἐν ἀμφοτέραις ταύταις ταὐτόν ἐστι τὸ κείμενον, κατὰ πάντα σχεδὸν συμφωνοῦν, ὡς ἐν ἑκατέρᾳ προελθὸν ἐξ ἀντιγράφων Μασοριτικῶν (ἐπεστάτουν δὲ εἰς τὴν Ξιμένειον ταύτην ἔκδοσιν ἰουδαῖοι, ἢ καὶ ἐξ ἰουδαίων χριστιανίσαντες, καὶ εἷς Ἕλλην, *Δημήτριος* Δούκας ὁ *Κρὴς*, οὗτος ἴσως ἐπιθεωρῶν ἰδίως τὸ συνεκδιδόμενον κείμενον τῶν Ο. βλ. Φαβρικ. Ἑλλην. Βιβλιοθ. τ. 3. σελ. 673). Ὅτι δὲ τὰ ἀντίγραφα διῆλθον διὰ τῆς Μασοραίας βασάνου, μαρτυρεῖ αὐτὸς ὁ Καρδινάλιος ἐν τῇ πρὸς τὸν πάπαν Λέοντα ἐπιστολῇ, « *εἰς ἄκρον βεβασανισμένα*, καὶ διωρθωμένα (castigatissima) λέγων, καὶ *ἀρχαιότατα* τὰ χειρόγραφα, οἷς ἐχρήσατο ἀντὶ τῶν ἀρχαιτύπων »!

§. ξς. Τῷ δὲ 1526 ἐξεδόθη ἡ ἑτέρα Βομβέργειος ἔκδοσις ὑπὸ τοῦ περιφημοτάτου ῥαββίνου Ἰακὼβ τοῦ Χαϊμίδου (Βὲν Χαΐμ). Περὶ τῆς ἐκδόσεως ταύτης ὁ Οὐβιγάντης (Προλεγ. σελ. 71) ἔκρινε ταῦτα· «Μάρτυς αὐτός ἐστιν ὁ Χαϊμίδης, ὅτι οὐ τῶν ἀρίστων κωδήκων ἐκδότης ἐγένετο· ἐν οἷς γὰρ ἀποκλαίεται, διότι τῶν παρ' αὐτῷ κωδήκων ἡ Μάσορα ὑπῆρχεν οὐ κεκαλλωπισμένη, ἀλλὰ μᾶλλον παραμεμορφωμένη ποικίλαις ζώων ἰδέαις (οἷον ἄρκτων, σφιγγῶν, δρακόντων, κυνῶν, τίγρεων) περιγεγραμμένων (α), διὰ τούτων διακηρύττει σαφῶς, ὅτι οἱ παρ' αὐτῷ κώδηκες ἦσαν ἁπάντων νεώτατοι (ἢ γοῦν πάντως, ἅλις νέοι)· τοιαῦτα γὰρ κοσμήματα οὐ

(α) Εὑρίσκεται ἐν τοῖς νεωτέροις χειρογράφοις ἡ Μάσορα τοιούτοις καλλωπίσμασι κεκοσμημένη· καὶ ὁ Χαϊμίδης ἀποδέχεται τὰ κοσμήματα· Ὁ δὲ Τύξην (Tentamen. etc. p. 31) νομίζει ταῦτα πρὸς περιφρόνησιν τῆς Μασόρας ὑπό τινων ἐχθρῶν τῶν ἑβραϊκῶν κωδήκων προστεθειμένας, καὶ ἰδίως ὑπὸ Μ ο ν α χ ῶ ν! (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 591). Καὶ ὅμως εὐθὺς ὑποσημειοῖ, καὶ ὅτι ἐπίσταται « ο ὐ δ ὲ δ ι έ φ υ γ έ ν α ὐ τ ὸ ν » (non quidem me fugit), ὅτι καὶ οἱ νεώτεροι Ἰουδαῖοι εἰώθεισαν ἐν τῇ β ί β λ ῳ τ ῆ ς Ἐ σ θ ὴ ρ ἐπιγράφειν καί τινας εἰκόνας ποικίλας καὶ μορφὰς, παριστώσας τὰ ἱστορούμενα! Καὶ ὅμως ὁ Τύξην, καὶ ἐπιστάμενος ταῦτα, εἰς μὲν τὸ βιβλίον τῆς Ἐσθὴρ συγχωρεῖ τοῖς Ἰουδαίοις τοιαῦτα γράφειν κόσμου χάριν. Ἐπὶ δὲ τῶν ἄλλων τευχῶν τῶν Μασοροφόρων κωδήκων ἐφίστησι ζωγράφους, οὓς ἐμίσει Μοναχούς! Ποίους δὲ τούτους, καὶ πόθεν αὐτοὺς ἐξάγει, ῥητῶς οὐκ ἐδήλωσε· καὶ ἴσως ὑπελάμβανε τοὺς ἐκ τοῦ δυτικοῦ τάγματος τ ῶ ν ἐ ρ η μ ι τ ῶ ν τ ο ῦ ἁ γ ί ο υ Α ὐ γ ο υ σ τ ί ν ο υ, παρ' οἷς ποτε καὶ Λούθηρος ἐκεῖνος ἐμόναζε!

φέρουσιν οἱ παλαιότεροι κώδηκες. Τῷ δὲ 1549 πάλιν ἡ αὐτὴ ἔκδοσις μετετυπώθη μετὰ τοῦ περιφήμου Προλόγου (οὗτινος ἐπιτομὴν ἐπισυνάψομεν ἐν τοῖς ἐφεξῆς). Ἐκ δὲ τούτου πᾶς τις βλέπει πόσην ὁ Χαϊμίδης εἶχεν εὐλάβειαν πρὸς τὴν Μάσοραν (καὶ τὴν μικρὰν, καὶ τὴν μέσην, καὶ τὴν μεγάλην!). ὥστε πρὸς ταύτην διώρθωσε καὶ τὸ κείμενον τῆς ἐκδόσεως αὐτοῦ. Ὅθεν, χάριν τῆς τριμόρφου Μασόρας, παρέλιπε καὶ τὰ προειρημένα δύο ἐδάφια τοῦ Ἰησοῦ. Πόσας δὲ καὶ ἄλλας πλάνας καὶ ψευδεῖς ἀναγνώσεις ἡ ἔκδοσις περιέχει, ἀπέδειξεν ὁ Ῥόσσις, ὀλίγα μόνον ἀριθμήσας δείγματα (α). Κατὰ ταύτην μάλιστα τὴν ἔκδοσιν ἐγένοντο καὶ αἱ λοιπαὶ, καθὼς ὁ Λόγγος μαρτυρεῖ (ϐ).

§. ξζ. Κατὰ δὲ τὸ 1572 ἐξεδόθησαν τὰ *Πολύγλωττα* (βιϐλία) τὰ *βασιλικὰ*, ἢ *Ἱσπανικὰ*, ἐν τόμοις ὀκτὼ, ὑπὸ Ἀρία τοῦ Μοντάνου μάλιστα ἐπιστατοῦντος· ἀλλ᾽ οὐδ᾽ ἐν τούτοις τὸ κείμενον τὸ ἑϐραϊκὸν οὐδὲ γοῦν ἐπ᾽ ὀλίγοις ὀρθότερον ἐτυπώθη. Οὐδ᾽ ἂν ἤλπισέ τις τούτου βελτίωσιν οἱανδήποτε παρὰ τοῦ ἐκδότου, ὅστις ἔγραφεν ἐν τῷ προλόγῳ ταῦτα· « *Πόσον ἀκέραια καὶ ὁλόκληρα ἀείποτε τὰ ἑβραϊκὰ βιϐλία διετηρήθησαν* (καί τοι ἄλλως τινὲς φρονοῦσι, προσέχοντες τῇ γνώμῃ *ἑνὸς καὶ μόνου μάρτυρος, τοῦ Ἰουστίνου),* πλεῖστοι ὅσοι σοφώτατοι ἄνδρες ἀπέδειξαν » (γ).

§. ξη. Τῷ 1619, ἐξεδόθη πέμπτη ἔκδοσις τῶν *ῥαϐϐινικῶν* λεγομένων βιϐλίων τοῦ Χαϊμίδου· ἐξέδωκε δ᾽ αὐτὴν ὁ Βουξτόρφιος, μεταφράσας τὸ κείμενον ἀκριϐῶς ἐκ τῆς ϐ, ἐκδόσεως τοῦ αὐτοῦ

(α) De. Rossi, Compend. di Critica Sacr. p. 11.

(ϐ) Le Long παρὰ Kennicot. Diss. II. p. 456.—Wolf. Biblioth. Hebr. T. 2. p. 371. Καὶ ὁ Οὐϐιγάντης διαϐεϐαιοῖ, ὅτι πᾶσαι αἱ λοιπαὶ τῶν ἑϐραϊκῶν ϐιϐλίων ἐκδόσεις ἐκ μιᾶς ταύτης, τῆς Χαϊμίδου ἐκδόσεως ἐξεῤῥύησαν, ὡς ῥύακες ἀπὸ τῆς αὐτῆς πηγῆς. Houbigant Proleg. p. 189. πρϐλ. καὶ Kennicot. Diss. I. p. 277. καὶ Bruns ad Dissert. General. Kennicot. p 449—455.

(γ) Βλέπε τὴν φράσιν ἐκτενεστέραν παρ᾽ Ὁδίῳ σελ. 516—517, ὅστις φέρει καὶ ταύτην τὴν Μοντάνειον μαρτυρίαν (μεταξὺ πολλῶν καὶ ἄλλων τοιούτων) πρὸς ἀπόδειξιν τῆς τελειότητος τοῦ κειμένου τοῦ ἑϐραϊκοῦ!

ῥαββίνου. Τῷ δὲ 1635 ἐδημοσιεύθη ἄλλη ἔκδοσις ὑπὸ τοῦ περιφήμου Ἰουδαίου Μανασσῆ Ἰσραηλίδου (Βὲν Ἰσραὴλ), ἐν ᾗ ὁμολογεῖ ὁ ἐκδότης, ὅτι ὀλίγα τινὰ γράμματα μετέβαλεν· ἐν οἷς δὲ ἔβλεπε διαφοράς τινας τοῦ κειμένου πρὸς τοὺς κατ' αὐτὸν εἰς τὰ μάλιστα διωρθωμένους κώδηκας, κατέφευγεν εἰς τοὺς γραμματικοὺς κανόνας καὶ τὴν *Μάσοραν*.

§. ξθ. Κατὰ δὲ τὸ 1641 προῆλθον ἐν δέκα τόμοις τὰ *Παρισιανὰ Πολύγλωττα*, ἔργον ὑπερέχον μακρῷ τῷ μέτρῳ πάσας τὰς προλαβούσας τῶν ἱερῶν βιβλίων ἐκδόσεις, καὶ πάνυ λαμπρὸν καὶ μεγαλοπρεπὲς, καὶ πολλαχῶς ὠφέλιμον. Ἀλλ' οὐδ' ἐν ταύτῃ τῇ ἐκδόσει τὸ ἑβραϊκὸν κείμενον ὡς διωρθωμένον ἐπηνέθη. Δι' ἄλλα δὲ πολλὰ παρὰ τοῖς σοφοῖς ἡ ἔκδοσις αὕτη τιμᾶται, καὶ μάλιστα διὰ τὴν Σαμαρειτανὴν Πεντάτευχον, καὶ τὴν ταύτης ἑρμηνείαν, ἃ πρῶτος ἐξέδωκεν ἀμφότερα (τῷ 1620 καὶ 1630) ὁ σοφώτατος Μορῖνος μετ' ἀξιολόγων εἴς τε τὸ ἑβραϊκὸν καὶ εἰς τὸ Σαμαρειτανὸν σημειώσεων.

§. ο. Περὶ τούτους σχεδὸν τοὺς χρόνους ἀνεφάνη ἐν τῇ τῶν γραμμάτων δημοκρατίᾳ καὶ ἄλλη τις μεγαλοφυΐα, πρὸς τὴν τοῦ Μορίνου λαμπρότητα παρεμφερὴς καὶ ἰσοστάσιος, εἰ μὴ καὶ ὑπερτεροῦσα· Λουδοβῖκος οὗτός ἐστιν ὁ Καπέλλιος, ὁ συγγραφεὺς τῆς *Ἱερᾶς Κριτικῆς* (α), ἐν ᾗ τὴν διαφθορὰν τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου πολλαχῶς καὶ τηλεφανῶς ἀπέδειξε, καὶ τὴν ἑρμηνείαν τῶν Ο, ὡς μάλιστα συντείνουσαν πρὸς τὴν τούτου διόρθωσιν ὡμολόγησε. Τοῦτο τὸ σύγγραμμα ἐν ἔτεσι 36 ἐκπονηθὲν, ἔμενεν ἀνέκδοτον

(α) *Ἱερὰν κριτικὴν* (Criticam Sacram) ὠνόμασαν οἱ Εὐρωπαῖοι τὴν περὶ τὸ κείμενον τῶν *ἱερῶν Γραφῶν* ἀσχολουμένην *κριτικὴν θεωρίαν*, καὶ τὴν τοῦτο πραγματευομένην *συγγραφήν*· ὅθεν καὶ οἱ συγγραφεῖς *ἱεροὶ κριτικοὶ* συνήθως ἀποκαλοῦνται. Ἀλλ' αἱ μὲν Γραφαὶ ἱεραί τέ εἰσι καὶ ἅγιαι, εἰδὲ καὶ εἰς τὴν τὸ κείμενον αὐτῶν θεωροῦσαν *ἀνθρωπίνην* τέχνην, καὶ εἰς τοὺς αὐτὴν ἐπαγγελλομένους ἁρμόζει τὸ *ἱερὰ* καὶ *ἱεροὶ*, ἀπολύτως λεγόμενον, αὐτοὶ πάλιν ἂν εἰδεῖεν οἱ ἄνδρες οἱ σοφοί. Ἡμῖν δ' οὖν ἐξέστω λέγειν ἁπλῶς *ἡ περὶ τὰς Γραφὰς κριτικὴ* (καὶ οἱ περὶ τὰς Γραφὰς, ἢ οἱ *Γραφικοὶ* κριτικοί).

διὰ τοῦ τύπου, κωλυόμενον ὑπὸ τῶν Ἀναμορφωτῶν θεολόγων, ἕως οὗ ὁ υἱὸς τοῦ Λουδοβίκου, Ἰωάννης ὁ Καπέλλιος, αὐτομολήσας εἰς τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, κατώρθωσε τὴν ἔκδοσιν αὐτοῦ, Πεταβίου καὶ Μορίνου μεσιτευσάντων (α). Ἐξεδόθη δὲ τῷ 1650 ἐν Παρισίοις, ὀγδόῳ περίπου ἔτει πρὸ τῆς τελευτῆς τοῦ συγγραφέως (β). Καὶ φέρει μὲν τὸ πόνημα (καθὼς ἐκρίθη) πολλάς τινας, ἢ ὀλίγας ἀκροχορδόνας καὶ κῆρας, ἀχώριστα δείγματα τῆς ἀνθρωπίνης ἀσθενείας καὶ ἀτελείας, ἀλλ' ὅμως ὁλικῶς θεωρούμενον, εἰσέφερεν οὐκ ὀλίγην βοήθειαν εἰς εὕρεσιν τῆς ποθουμένης *(εἴ ποτ' ἔσεται)* διορθώσεως τοῦ ἑβραϊκοῦ κειμένου. Ὅθεν καὶ ὑπὸ σοφωτάτων ἀνδρῶν ἐπῃνέθη, ἄλλων τε καὶ τοῦ Γροτίου, καὶ Οὐοσσίου, ὅςις καὶ λαμπρότατον τὸ ἔργον ἀποκαλεῖ, « Ἐν ᾧ (λέγει) οὐ μόνον χάσματα καὶ κῆρας τοῦ ἑβραϊκοῦ κειμένου πλείστας ἀπέδειξεν, ἀλλὰ καὶ πολυειδῆ θεραπείαν, καὶ ἄλλοθεν ἂν προσγενησομένην, *καὶ μάλιστα ἐκ τῶν Ο*. Καὶ οἶδα μὲν (φησὶν) ὅ,τι περὶ τοῦ βιβλίου τούτου φρονοῦσιν οἱ Ἰουδαῖοι, καὶ οἱ σφόδρα τούτοις εὐνοοῦντες· ἀλλ' ἔγωγ' ἂν αὐτοῖς παραινέσαιμι τὸν Καπέλλιον ἐπιμελέστερον ἀναγινώσκειν, μέχρις, ἀποβαλόντες τῶν φρενῶν τὴν ἀχλὺν, ἐπιγνῶσιν, ὅτι ἐτύφλωττον πρὸς τὸν ἥλιον ». Ταῦτα ὁ Οὐόσσιος (γ).

(α) Βλ. Ὅδιον (σελ. 561), ὅστις διεξέρχεται τὰ τοῦ Καπελλίου « μετὰ δριμείας χολῆς ἰξανούσης ποτὶ ῥινί ».

(β) Τῷ δὲ 1775 ἐξεδόθη ἐν Ἅλῃ τὸ δεύτερον μετὰ σχολίων ἡ Ἱερὰ κριτικὴ τοῦ Καπελλίου ὑπὸ Vogel καὶ Scharfenberg, οἵτινες σημειοῦσι καί τινας ὀρθὰς παρατηρήσεις ἐπὶ τῶν Καπελλίου διαφόρων ἀναγνωσμάτων. Ἄλλοι δὲ παντάπασιν ἀγνώμονες ἐφάνησαν πρὸς τοὺς ἐνδόξους πόνους τοῦ Καπελλίου. Ἀντεῖπον εἰς μάτην ὁ Βουξτόρφιος καὶ ὁ Ὑσσέριος, πρὸς οὓς αὐτὸς ὁ Καπέλλιος ἀπήντησε νικηφόρος (καὶ ἄκοντος τοῦ σοφοῦ Φαβρίκυ, De titres, etc. Tom. 2. p. 448. sq.). Ὡσαύτως καὶ Μ. ὁ Βάσμουθος ἐματαιοπόνησε· καὶ τέλος, ἀγανακτῶν, εἰς τοῦτο προῆλθεν ἀσχημοσύνης, ὥστε (οὐ γὰρ ἄν τις σιγῇ παρέλθοι τὴν κρίσιν) ἀνεκήρυξε μετὰ κραυγῶν «Τὸν Καπέλλιον, βέβηλον Βιβλιομάστιγα· καὶ τὴν τούτου κριτικὴν, βυκάνην (σάλπιγγα) τοῦ Ἀθεϊσμοῦ (Atheismi buccinâm), τοῦ Κουρανίου ὑπέρεισμα (Alcorani fulcimentum), δημοσίῳ πυρὶ κατακαυστέαν» (Wasmuth Vindic. S. Hebr. Script. p. 12. Lips. 1713).

(γ) Voss. de LXX. p. 249. πρβλ. καὶ Grotij Epist. ad Cappel. καὶ Kennicot. Diss. II. p. 457—459, καὶ τὸν Hody l. c.

§. οα. Τῷ 1657 ἐξεδόθησαν τὰ *Πολύγλωττα τὰ Λονδίνεια*, τοῦ σοφωτάτου καὶ γερασμίου Βριανοῦ τοῦ Βάλτωνος ἐπιστατοῦντος. Γνωστὰ δὲ ταύτης τῆς ἐκδόσεως τὰ μεγάλα καὶ ἔξοχα προτερήματα, καὶ τοῖς πᾶσι περιᾳδόμενα. Ἀλλ᾽ ὅμως καὶ ἐν ταύτῃ δὴ τῇ πασῶν τῶν ἄλλων ἀρίστῃ καὶ ὀνησιμωτάτῃ ἐκδόσει τὸ κείμενον τὸ ἑβραϊκὸν ἐτυπώθη πρὸς τὸν Μασοραῖον γνώμονα, συμφωνοῦν κατὰ πάντα σχεδὸν πρός τε τὰς προτέρας ὅτι πλείστας ἐκδόσεις, καὶ πρὸς τὰ νεώτατα καὶ τοῦ κακίστου κόμματος ἑβραϊκὰ χειρόγραφα. Καὶ ἀπέδειξε μὲν καθαρῶς ὁ πολυΐστωρ ἐκδότης (ὁ Βάλτων) ἐν τῷ προλόγῳ ποικίλας πλάνας ὑπὸ τῶν βιβλιογράφων εἰσρυείσας εἰς τὸ κείμενον· εἶπε δὲ καὶ ὅτι ἐν τοῖς χειρογράφοις διετηρήθησαν ἀληθιναί τινες ἀναγνώσεις, καθ᾽ ἃς διέφθαρται τὸ τύποις ἐκδεδομένον ἑβραϊκόν. Εἶπε προσέτι, καὶ ὅτι ἀνεπλήρωσέ τινα μὴ κείμενα μήτε ἐν τῇ τῆς Ἑνετίας, μήτε ἐν τῇ τῆς Βασιλείας ἐκδόσει (α). Ἀλλ᾽ ὁ Κεννικῶτος ἓν μόνον εὕρηκεν ἀναπλήρωμα, *τὸ τῶν δύω στίχων* τοῦ Ἰησοῦ, καὶ πλέον οὔ.

§. οβ. Τῷ 1661 ὁ Ἰουδαῖος Ἀθίας μετ᾽ ἄλλων πολλῶν Ἰουδαίων ἐξέδωκε τὰς ἑβραϊκὰς Γραφάς· ἡ δὲ ἔκδοσις οὐδὲν ἕτερον τῶν προγενεστέρων ἐκδόσεων διαφέρει, εἰμὴ καθότι παρηκολούθησεν ἐκείναις νεωτέρα. Ἐδημοσίευσε δὲ ταύτην καὶ τρίτον ὁ Λεϋσδῆνος τῷ 1667, ὅστις λέγει πρὸς τὸν ἀναγνώστην καὶ ταῦτα· «Βιβλία σοι παρέχομεν τὰ διὰ τοῦ Ἀθία τυπωθέντα, *ὧν ὀρθότερα οὐδέποτε εἶδεν ὁ ἥλιος*». Καὶ ὅμως οὐδέποτ᾽ εἶδεν, ἥλιος ἄνθρωπον γλισχρότερον πρὸς τῇ δυστήνῳ Μασόρᾳ κεκολλημένον. Αὕτη δὲ ἡ Μασορῖτις ἔκδοσις οὕτως ἤρεσε τῇ πολιτείᾳ τῶν ἐγχωρίων, ὥστε τὸν τυπογράφον Ἀθίαν ἐκέλευσαν χρυσῷ στρεπτῷ βραβευθῆναι, φέροντι προσηρτημένον χρυσοῦν νομισματόσημον. Διὸ καὶ δικαίως δυσχεραίνει ὁ Κεννικῶτος, ὅτι ἐδόθη τοιοῦτο

(α) Τοῦ Βάλτωνος τὰ Προλεγόμενα ἐξεδόθησαν καὶ ἰδίως τῷ 1777 ἐν Λειψίᾳ ὑπὸ τοῦ Δάθου· καὶ πάλιν τῷ 1828 ἐν Κανταβριγίᾳ ὑπὸ τοῦ Βραγχάμου εἰς δύω τόμους, μετὰ πολλῶν σημειώσεων καὶ παρεκβολῶν.

γέρας εἰς Ἰουδαῖον, χάριν ἐκδόσεως, ἐν ᾗ αὐτὸς ὁ Λεϋσδῆνος (καίτοι χριστιανὸς) ὁμολογεῖ, ὅτι ἐν ταῖς περισελιδίοις λατινικαῖς σημειώσεσιν ἔστιν ἅστινας περὶ τοῦ Μεσσίου προφητείας εἰς ἄλλο νόημα διεστρέβλωσε!

§. ογ. Κατὰ δὲ τὸ 1669 εἶδε τὸ φῶς ἡ ὑπὸ Ἐρνέστου Ἰαμβλόνσκυ ἔκδοσις τῶν ἑβραϊκῶν Βιβλίων. Ὁ πολυμαθὴς οὗτος ἀνὴρ ἐξέθηκεν ἐν τῷ προλόγῳ διὰ πολλῶν καὶ καλλίστων θεωριῶν τὴν ἰδιότητα τῶν σημερινῶν ἑβραϊκῶν ἀντιγράφων. Ἐξήλεγξε δὲ λαμπρῶς καὶ τοὺς βιβλιογράφους Ἰουδαίους, ὡς πολλὰ σφαλέντας περὶ τὴν ἀντιγραφήν. Ἐσημείωσε καὶ ὅτι καὶ αὐτῶν τῶν ἐν τῷ περισελίδῳ *Κερίων* εὑρίσκονται παραλλαγαὶ ἐν τοῖς ἀπογράφοις· τὰ μὲν γὰρ ἀρχαιότερα τῶν χειρογράφων ἔχουσι τὸ *Κερὶ* ἐν τῷ κειμένῳ (ὡς *Κετὶβ*, ἢ ἀναγνωστὸν), τὰ δὲ νεώτερα ἐν τῷ περισελίδῳ. Ὅθεν καὶ ἀπέδειξε σαφῶς, ὅτι ἡ Μάσορα ἡ γράφουσα τὸ *Κερὶ* ἐν τῷ περισελίδῳ συντέτακται ἐκ νεωτέρων κωδήκων. Διεβεβαίωσε δὲ καὶ ὅτι χειρόγραφον ἑβραϊκὸν ἐν Βερολίνῳ τηρούμενον, περιέχει *χιλιάδας* διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν· καὶ ὅτι καὶ ἐν ἄλλοις χειρογράφοις εὑρίσκονται *ἀναρίθμητοι* ἀναγνώσεις, διαφωνοῦσαι πρὸς τὸ τύποις ἐκδεδομένον ἑβραϊκόν. Προστίθησι καὶ ὅτι τὰ ἀρχαῖα ταῦτα χειρόγραφα πεπόνθασιν ἀναντιῤῥήτως πολλὰς μεταβολὰς ἐκ τῆς διορθώσεως τῶν Μασοριτῶν. Ἀλλ' ὅμως σὺν πᾶσι τούτοις καὶ αὐτὸς τὸ κείμενον τὸ ἑβραϊκὸν ἐξήνεγκε τὸ αὐτὸ σχεδὸν, οἷον καὶ ὁ Λεϋσδῆνος πρότερον ἐμόρφωσεν ἐκ τῆς Μασόρας, ἐν τῇ ἐκδόσει τῇ κατὰ τὸ 1677.

§. οδ. Τῷ 1705 ἐξέδωκε κομψοτάτην ἔκδοσιν τῶν ἑβραϊκῶν βιβλίων ὁ Βανδερχοῦχθος (Van der Hooght), ἐν ᾗ καὶ αὐτὸς οὐχ ἧττον παρηκολούθησε τῇ κατὰ Λεϋσδῆνον ἐσχάτῃ Ἀθιανῇ ἐκδόσει. Καὶ ποίαν ἄν τις ἤλπισε βελτίωσιν τοῦ κειμένου παρ' ἀνδρὸς, ὅστις ἐπρέσβευε τὸ ἀναμάρτητον τῆς Μασόρας; «Ἐγὼ, (φησὶν ἐν τῷ προλόγῳ τμ. 2, 24) τοῦ ἑβραϊκοῦ ὕφους (δηλαδὴ τοῦ *κειμένου*) ἀντέχομαι κρατερῶς καὶ μέχρι κεραίας, μεμνημένος ἐκείνου τοῦ ῥαββινικοῦ ἀξιώματος· « *Ἐὰν ἀφέλῃς, ἢ πλεονάσαι ποιήσῃς ἐν*

γράμμα μόνον, ἔσῃ ὡς ἐξερημῶν ὅλον τὸν κόσμον ». Ἡ δὲ Μάσορα (προστίθησι) λέγεται τοῦ *νόμου φραγμὸς*, ἐπὶ τούτῳ συνταχθεῖσα, ἵνα μηδέποτε μηδεμία μηδ᾽ ἐν τοῖς ἐλαχίστοις διαστροφὴ τολμηθῇ ».

§. οε. Τῷ 1709 προῆλθεν ἡ τοῦ Ὀπιτίου ἔκδοσις, ἣν ὁ Λόγγος προσεῖπεν *ἀκριβεστάτην*! Ἔστι δὲ ὅμως καὶ αὕτη ἀντιγεγραμμένη ἐκ τῆς Ἀθιανῆς τοῦ Λεϋσδήνου. καί τοι ὁ ἐκδότης διακηρύττει, ὅτι ἀντέβαλε καί τινα τῶν ἐν Βερολίνῳ καὶ ἀλλαχοῦ χειρογράφων. Ἀλλ᾽ ὡς ἔοικεν, εἰ καὶ πάντα τὰ λοιπὰ τὰ πανταχοῦ τῆς οἰκουμένης ἀντίγραφα παρεξήταζεν ὁ Ὀπίτιος (πολλὰς πάντως περιέχοντα παραλλαγὰς), ἐν δὲ μιᾷ τινι καὶ μόνῃ τῶν παραλλαγῶν τούτων εὕρισκε πάντα συνάμα τὰ χειρόγραφα σύμφωνα κατὰ τῆς Μασόρας, πάντων ἂν ἐπίσης μετ᾽ ὀφρύος ἐπηρμένης ἔμελλε διὰ τοῦτο καταφρονήσειν. Αὐτὸς ὁμολογεῖ, ὅτι τῶν, οἷς ἐχρῆτο, χειρογράφων τὸ *ἄριστον* ὑπῆρχε τετράτομος κώδηξ *μετὰ τῆς μεγάλης καὶ τῆς μικρᾶς Μασόρας καὶ τοῦ Ταργοὺμ* καθωπλισμένος, γεγραμμένος δὲ καὶ τετονισμένος τῷ 1455! (α). Ἐπειδὴ δὲ ὁ Ὀπίτιος συνίστησι καὶ τὴν περὶ ἧς προείπομεν (ζ. ξγ) ἐν Βρεσκίᾳ τῷ 1494 ἔκδοσιν, φαίνεται ἄρα, ὅτι καὶ εἰς τὸν ἐξ οὗ αὕτη ἐξεδόθη παλαιὸν ἐκεῖνον κώδηκα ἡ αὐτὴ τῆς Μασόρας ἀνάχυσις ἐπεπόλαζε.

§. ος. Τῷ 1720 ἐξεδόθησαν ἐν Ἄλῃ τὰ ἑβραϊκὰ Βιβλία διὰ ἐπιμελείας Ἰωάννου τοῦ Μιχαήλου (Michaelis). Πρώτη αὕτη ἔκδοσις περιέχει παραλλαγάς τινας ἔκ τε τῶν ἑβραϊκῶν χειρογράφων καὶ τῶν ἄλλων ἐκδόσεων, ἐκδιδόντος χριστιανοῦ (ὅτι δὲ καὶ ταύτας ἐπιπολαίως ὁ ἐκδότης ἐποιήσατο, ἐσημείωσαν οἱ κριτικοί (β)). Τὸ δὲ κείμενον ἐλήφθη ἐκ τῆς Ἰαμβλοσκυάδος ἐκδόσεως μετά τινων ὀλίγων διορθώσεων, οἷον τῆς προσθήκης τῶν δύω στίχων τοῦ Ἰησοῦ, καὶ τῆς ἐξαλείψεως τῆς ἐν Παραλ. ς, 57, παρεγγεγραμμένης λέξεως *Ἰούδα* (βλ. ὄπισθ. σελ. 171).

(α) Houbigant. Proleg. p. 189. πρβλ. Kennicot. Diss. I. p. 279 sqq.

(β) Βλ. Rosenmüller, Handbuch fur die Literatur etc. 1. Bd. p. 233.

§. οζ. Τῷ δὲ 1742 ἐξέδωκεν ἐν Μαντούᾳ τὴν παρ' Ἰουδαίοις περικλεεστάτην ἔκδοσιν ὁ ἰουδαῖος Νόρζης (Norzi), ἥτις καὶ ἐσχάτως (τῷ 1803) ἐν Πίσῃ ἐτυπώθη. Πολλὰ δὲ καὶ χριστιανοί τινες εἰς αὐτὴν ἔψαλλον ἐγκώμια, ὡς ἂν μάλιστα διωρθωμένην· περιέχει δὲ καὶ πρόλογον μετὰ κριτικῶν σημειώσεων ἐκ παμπόλλων χειρογράφων, καί τινων ὀλίγων ἀρχαίων συνειλεγμένων παραλλαγῶν, οἵας καὶ Λονζάνος, ἄλλος ἰουδαῖος τῷ 1648 ἐξέδωκεν εἰς τὴν Πεντάτευχον, ἐπιγράψας *Ὀρ τορὰ*, ἤτοι *Φῶς τοῦ νόμου*! (προηγήσατο δὲ πολὺ πρὸ τούτων ὁ Τόδρος ἢ Τοδρόσιος, κριτικὰς ἐπιστασίας εἰς τὴν Πεντάτευχον συντάξας Χαλδαϊστί). Καὶ αὐτὸς δὲ ὁ Νόρζης τὸν ἑαυτοῦ πρόλογον εἶχε πρότερον ἐπιγεγραμμένον « *Ἐπισκευαστὴς τοῦ ἐρειπίου* » (Godér peretz)· ἀλλ' ἔπειτα λίαν ἀλαζονικὴ καὶ θρασεῖα δόξασα ἡ ἐπιγραφὴ, μετεβλήθη εἰς τὸ *Προσφορὰ ἐλευθέριος* (Minchad scai). *Ἐρείπιον* δὲ ἔλεγεν αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκὸν, ὡς *πλῆρες σφαλμάτων καὶ παραλλαγῶν*, καθὼς ἀλλαχοῦ ῥητῶς ὡμολόγησε. Διὸ καὶ θρηνεῖ πικρῶς, «ὅτι πλανῶνται (οἱ Ἰουδαῖοι), ὡς πρόβατα, μὴ ὄντος τοῦ διδάξοντος. Αἱ τοῦ κειμένου (λέγει) διαφωνίαι αὐξάνουσι καθ' ἑκάστην. Οἱ ἐκδόται ἐν σκότει περιπατοῦσιν. Οὐδεὶς δύναται διορθῶσαι ὅσα διεστρέβλωσαν ἐξ ἡμερῶν ἀρχαίων οἱ γραφεῖς καὶ τυπογράφοι » κτλ. Τοιοῦτο δὲ διαγράψας τὸ ἐρείπιον ὁ φιλαλήθης Ἰουδαῖος, οὐδ' αὐτὸς ἔμελλε πάντως ἔσεσθαι τούτου καλλίτεχνος *ἐπισκευαστής*. Πόσας στρεβλὰς καὶ εἰκαίας διορθώσεις ἐτόλμησε, καὶ πόσον ἦν τῇ Μασόρᾳ προσπεπατταλευμένος, ταῦτα καὶ ἄλλα τῆς κατ' αὐτὸν ἐκδόσεως ἐλλείματα ἀπέδειξεν ὁ ἔνδοξος Ῥόσσις, ἐξ ὧν προήγαγε παραδειγμάτων, ὀλίγων ἐκ πολλῶν (α).

§. οη. Τελευτῶντος δὲ τοῦ 1753, προῆλθεν εἰς φῶς ἡ τοῦ περικλεοῦς Οὐβιγάντου ἑβραϊκὴ ἔκδοσις, ἐκ δ, τόμων συνεστηκυῖα,

---

(α) De-Rossi, Compend. di Crit. Sacr. p. 12—20 Βλ. καὶ Var. Lect. V. Test. Proleg. p. XI.

καὶ χαρακτῆρσι κομψοτάτοις τετυπωμένη. Αὕτη περιέχει α) τὸ κείμενον κατὰ τὴν ἔκδοσιν τοῦ Βανδερχούχθου. β) Κριτικὰς σημειώσεις ἐξ ἑβραϊκῶν χειρογράφων καὶ τῆς Σαμαρείτιδος Πενταττεύχου, προβαλλομένας εἰς διόρθωσιν τοῦ κειμένου. γ) Νέαν λατινικὴν ἑρμηνείαν, ὑπ' αὐτοῦ φιλοπονηθεῖσαν, καθ' ἃς αὐτὸς ἐπήγαγεν εἰς τὸ κείμενον κριτικὰς ἐπιδιορθώσεις. Προέταξε δὲ καὶ σοφώτατα προλεγόμενα, ἐν οἷς μεταξὺ πολλῶν καὶ ἄλλων ἀξιολόγων παρατηρήσεων ἀνακηρύττει, τέλος, καὶ τὴν ἐν γένει ἀτελεστάτην τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου κατάστασιν. Ἔψεξαν δὲ πολλοὶ τὸν Οὐβιγάντην ψόγον ἴσως οὐκ ἄδικον, ὅτι πολλάκις θερμοτέρᾳ χρησάμενος κρίσει, παρεισήγαγεν εἰς τὸ κείμενον διορθώσεις καὶ μεταθέσεις, μήτε χειρογράφων πίστει, μήτε παραλλήλων χωρίων ἀποδείξει, μήτε μαρτυρίαις τῶν ἄλλων μεταφράσεων (καὶ μάλιστα τῆς τῶν Ο) κυρουμένας, ἀλλὰ μόνον ἐξ ἰδίας εἰκασίας (ἀπίστου πολλάκις πράγματος) ὁρμηθείς. Οἱ δέ τινες αὐτὸν ἐμέμψαντο καὶ δι' ὅσας προσέθηκε διαφόρους ἀναγνώσεις· ἄλλοι δὲ πᾶν τοὐναντίον ἀπήτουν, ἵνα πάσας τὰς παραλλαγὰς ἐκ τῶν διαφόρων κωδήκων ἀθροίσας, παραρτήσῃ πρὸς τῷ τέλει ἑκάστου κεφαλαίου. Ἀλλὰ (κατὰ τὴν Κεννικώτου κρίσιν) τοιοῦτοι δικασταὶ, πάντα τὰ καλὰ καὶ τέλεια παρὰ τοῦ ἐκδότου, ἢ καὶ τοῦ συγγραφέως, ἐν πάσαις ἀπαιτοῦντες ταῖς πραγματείαις (καὶ μάλιστα ταῖς τοιαύταις), ἆρά γε οὐκ ὀφείλουσι τό,τε βραχὺ τοῦ βίου καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἀναλογίζεσθαι μᾶλλον, ἢ *ἐπιτιθέναι φορτία βαρέα καὶ δυσβάστακτα ἐπὶ τοὺς ὤμους τῶν ἄλλων*, ἅπερ αὐτοὶ πολλάκις *οὐδ' ἄκρῳ δακτύλῳ θέλουσι κινεῖν*; (α).

(α) Βλ. τὰς μακρὰς καὶ δριμείας περὶ τῆς Οὐβιγανταίας ἐκδόσεως κρίσεις τοῦ Φαβρίκυ, καὶ τῶν, ἐξ ὧν ἠρύσατο συγγραφέων. (Fabricy, Des titres etc. T. 2. p. 372—436). Συνέγραψε δὲ πρὸς τὰ Οὐβιγάντου προλεγόμενα μάλιστα καὶ ὁ Ῥάβιος ἀντίῤῥησιν, πλήρη μὲν ἑβραϊκῆς πολυμαθείας καὶ τῆς περὶ τὸν Μασορίτειον κώδηκα στοργῆς, πλήρη δὲ πικρίας ἐμπαθοῦς καὶ ἐν πολλοῖς ἀδικωτάτης. Βλ. Seb. Ravij, Exercit. Philologicae ad C. F. Houbigant. Prolegomena in Script. Sacram. Lugduni Batav. 1785. πρβλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ε. §. ιγ. σελ. 290.

§. οθ. Αὐτὸς δὲ ὁ Μορίνῳ καὶ Καπελλίῳ παράμιλλος καὶ παρεξισούμενος Κεννικῶτος τῷ 1776—1780 ἐξέδωκεν ἐν Ὀξωνίῳ τὴν ἑβραϊκὴν Γραφὴν μετὰ διαφόρων ἀναγνώσεων, λαβὼν τὸ κείμενον ἐκ τῆς ἐκδόσεως τοῦ Βανδερχούχθου. Ἔτι δὲ πρότερον ὁ περικλεέστατος οὗτος Ἄγγλος εἶχεν ἐκδοὺς δύω Διατριβὰς, τὴν πρώτην τῷ 1753, καὶ τὴν δευτέραν τῷ 1759, ἐν αἷς ἐξελέγχει τὴν ἐν πολλοῖς τοῦ ἑβραϊκοῦ κειμένου διαφθορὰν, 70 χειρόγραφα παραβαλὼν (α). Ἐκ δὲ τούτων ὁρμηθεὶς ἐπεχείρησε καθολικὴν τῶν ἑβραϊκῶν χειρογράφων ἀντιβολὴν πρὸς διόρθωσιν τοῦ κειμένου· καὶ συνήθροισεν 615 ἑβραῖα χειρόγραφα παντοδαπὰ (ὧν τὸ παλαιότερον ἀνέβαινε μέχρι τοῦ 1106 μ. Χ. καὶ ἄλλα δὲ τρία τίθενται μετ' ἀμφιβολίας εἰς τὸν ια, αἰῶνα μ. Χ.). Ἐκ τούτων οὖν τῶν χειρογράφων, καὶ ἐξ ἄλλων 52 ἐκδόσεων συνήγαγε τὰς διαφόρους ἀναγνώσεις, καὶ συνεξέδωκε μετὰ τῆς Γραφῆς. Ἀλλ' ὡς ἔοικεν, εἰς τὴν τοσούτων ἀντιγράφων ἀντιβολὴν ἀπηύδησε καὶ ὁ νοῦς καὶ ἡ ὅρασις τοῦ μεγαλεπηβόλου κριτικοῦ, διὰ τοῦτο καὶ σφάλματα πολλὰ παρεισέφρησαν περὶ τὴν ἀντιγραφήν. Ἔψεξαν δὲ τὸν Κεννικῶτον καὶ ὡς μὴ πεποιηκότα τῶν ἀρίστων ἀντιγράφων ἐκλογὴν, καὶ ὅτι ἠρίθμησεν ὡς διαφόρους ἀναγνώσεις καί τινα σφάλματα τῶν ἀντιγραφέων, καὶ ὅτι οὐ συνεβουλεύσατο καὶ μετὰ τῆς Μασόρας, καὶ προσέτι, διότι πολλὰς τοῦ κειμένου διορθώσεις προβάλλει στοχαστικὰς καὶ ἐξ εἰκασίας (β)· καὶ ταῦτα μὲν ἡ κριτική. Τὸν δὲ β, τόμον τῆς ἐκδόσεως τοῦ Κεννικώτου κοσμεῖ διαπρεπῶς, εἰς τόπον προλόγου, ἡ σοφὴ καὶ περίφημος αὐτοῦ *Γενικὴ Διατριβὴ* (Dissertatio Generalis), δι' ἧς καθολικώτερον ἐξελέγχει τὰς διαφθορὰς τοῦ ἑβραϊκοῦ. Ταύτην ἐξέ-

(α) Τὰς σοφὰς ταύτας διατριβὰς ἐκλατινίσας ἐξέδωκεν ὁ Τέλλερος (A. Teller) ἐν Λειψίᾳ, τὴν μέν α, τῷ 1756, τὴν δὲ β, τῷ 1765.

(β) Βλ. τὸν θερμὸν καὶ πολλάκις ἄδικον τοῦ ἑβραϊκοῦ προασπιστὴν Α. Τέλλερον ἐν τῷ προλόγῳ τῆς α, τοῦ Κεννικώτου διατριβῆς. πρβλ. Rosenmüll. Handbuch etc. 1. Bd. p. 241. — Horne, An Introduction etc. vol. 2. part. 2. p. 7—8. — Glaire, Introduction etc. T. 1. p. 349.

δωκε καὶ κατ᾽ ἰδίαν ὁ Βρύνσιος (τῷ 1783), μετὰ σημειώσεων, ἐν αἷς ἐνίοτ᾽ ἐμπαθέστερον μᾶλλον, ἢ ἀληθέστερον ἀντιλέγει πρὸς τὸν ἔνδοξον Κεννικῶτον.

§. π. Τῆς περὶ τὴν σύγκρισιν τῶν χειρογράφων φιλοπονίας τοῦ Κεννικώτου συνέχειαν ἐποιήσατο Ῥόσσις ὁ Ἰταλὸς, πρὸς τοῖς 615 Κεννικωτείοις προσθεὶς αὐτὸς καὶ ἄλλων 731 ἑβραϊκῶν χειρογράφων, καὶ 300 ἐκδόσεων ἀντιβολήν. Ὥστε παρὰ τῷ Ῥόσσει φαίνονται παρεξητασμένα 1700 περίπου ἀντίγραφα τοῦ ἑβραϊκοῦ κώδηκος, χειρόγραφά τε καὶ διὰ τοῦ τύπου ἐκδεδομένα. Τὰς δὲ διαφόρους ταύτας ἀναγνώσεις (μετὰ πλείστων ἄλλων ἔκ τε τοῦ Σαμαρειτανοῦ κειμένου, καὶ τῶν ἄλλων μεταφράσεων συναντιβολῆς) ἐξέδωκεν ὁ Ῥόσσις τῷ 1784 ἐν Πάρμᾳ (α). Ἔψεξαν δὲ καὶ ταύτην τὴν πλουσίαν τῶν διαφόρων ἀναγνώσεων συλλογὴν, ὡς ἔν τισιν ἐσφαλμένην καὶ ἐλλειπῆ· οὔτε γὰρ παρέβαλε πρὸς ἄλληλα πάντα τὰ χειρόγραφα (ὅπερ καὶ αὐτὸς ὁμολογεῖ. τόμ. δ. προλεγ. σελ. 19), οὔτε διέκρινεν ἀκριβῶς τὴν ἡλικίαν τῶν οἷς ἐχρήσατο χειρογράφων. Ἀλλὰ πόσον δυσέφικτος, ἢ ἀνέφικτος, ὑπάρχει οὗτος ὁ διορισμὸς, ὡμολόγηται παρὰ τῶν σοφῶν. Ἀπὸ γὰρ τοῦ ια, αἰῶνος (1100 μ. Χ.) καὶ ἐφεξῆς πάντα τὰ ἑβραϊκὰ χειρόγραφα διευθύνθησαν πρὸς ἄλλα παλαιότερα νομιζόμενα, καὶ νῦν ἠφανισμένα, τρία, καὶ τὸ πλεῖστον, πρὸς ἓν, τὸ Ἑλλήλειον (ὡς προείπομεν σελ. 161)· πάντα τοίνυν τὰ σωζόμενα χειρόγραφα τυγχάνουσιν ἀντίγραφα τούτων τῶν τριῶν, ἢ τεσσάρων ἀρχαίων κωδήκων, καὶ συνιστῶσι τέσσαρα, ἢ τρία γένη. (β). Ἐξέδωκεν ὁ Τύξην τῷ 1772

(α) Variae Lectiones V. Testam. ex immensa Mss. editorumque codd. congerie haustae etc. 4. vol. Parmae, 1784, καὶ Scholia crit. in V. Test. Libr. seu Supplement. ad Var. Lection. Parmae 1798. Σύνοψιν τούτου τοῦ συγγράμματος ἐξέδωκεν ἀγγλιστὶ ὁ Hamilton, Codex criticus of the Hebrew Bible. London, 1821.

(β) Ὅσον δ᾽ ἐκ τοῦ χρόνου διεῖλεν ὁ Ῥόσσις τὰ ἑβραϊκὰ χειρόγραφα εἰς τρία γένη· α) εἰς *ἀρχαιότατα*, τὰ γεγραμμένα πρὸ τοῦ ΙΒ αἰῶνος· β) εἰς *ἀρχαῖα*, τὰ ἀπὸ τοῦ ΙΒ καὶ ΙΓ, αἰῶνος μέχρι μεσοῦντος τοῦ ΙΔ, γεγραμμένα· καὶ γ) εἰς *νεώτερα*, τὰ ἀπὸ τοῦ ΙΔ, αἰῶνος μέχρι τοῦ ΙΕ. Ὁ δ᾽ αὐτὸς Ῥόσσις ὑπέλαβε καὶ ἓν τοῦ Θ, ἢ Ι, αἰῶνος, καὶ ἕτερον (ἴσως ὑπερβολικώτερον) τοῦ Η, αἰῶνος (βλ. ὄπισθ.

τὸ περὶ τῶν διαφόρων γενῶν τῶν ἑβραϊκῶν κωδήκων προμνημονευθὲν *Δοκίμιον*, διαιρῶν αὐτοὺς εἰς ἀπόγραφα γεγραμμένα ὑπὸ *Ἰουδαίων* καὶ μὴ *Ἰουδαίων* (δηλαδὴ ἐξ Ἰουδαίων πιστευ-

---

§. νζ. σημ.). Σφόδρα δὲ δυσχερὴς ἡ ἀκριβὴς διάγνωσις τοῦ χρόνου, καθ' ἣν ἐγράφησαν τὰ ἑβρ. χειρόγραφα· καὶ ἔχουσι μέν τινα προσγεγραμμένον τὸ ἔτος· ἀλλὰ καὶ τοῦτο παραχαράττουσι πολλάκις οἱ Ἰουδαῖοι, ψευδῶς ἀπαρχαΐζοντες τὸ χειρόγραφον (βλ. περὶ τούτων Kennicot, Diss. generel. p. 331—334:—Jahn, Einleit. 1. Bd. p. 425). Εἴδομεν δὲ καὶ προηγουμένως τὸ πλάσμα τοῦ κατὰ τὴν Βονωνίαν Ἐσδραίου ἀντιγράφου (σελ. 65). Καὶ ἄλλο δὲ τῆς Πεντατεύχου εἱλητὸν πανάρχαιον φημιζόμενον, ὡς ἂν ἐξ αὐτοῦ τοῦ Ἐσδραίου ἀντιγράφου μεταγραφὲν, διατηρεῖται μετὰ μεγίστης εὐλαβείας ἐν τῇ κατὰ τὸ Χαλέπιον συναγωγῇ τῶν Ἰουδαίων. Τούτου ψαύειν οὐ θέμις, οὐδὲ τοῦ κιβωτίου, ἔνθα τεθησαύρισται. Τὸ δὲ κιβώτιον κεῖται κεκλεισμένον κλείθροις τρισί. Καὶ τῶν κλειδῶν ἡ μία μὲν εὑρίσκεται ἐν Χαλεπίῳ, ἡ δ' ἑτέρα ἐν Τιβεριάδι, ἡ δὲ τρίτη νῦν μὲν ἐν Κρακοβίᾳ, ἄλλοτε δὲ ἐν Πράγῃ. Ταῦτα ἱστορεῖ σπουδαίως ὁ σοφὸς Σχοῦλζης (Schulz in Leitungen des Hôchsten aus seinen Reisen P. v. p. 45). Επαναλαμβάνει καὶ ὁ Βρύνσιος (not. in Kennic. Diss. Gen. p. 571), προστιθεὶς καὶ ὅτι, κατὰ τὴν μαρτυρίαν Ἰουδαίου τινὸς (Saidi bar David), ὁ Μαϊμονίδης ἐθεμελίωσε τὰς ἑαυτοῦ θεωρίας εἰς κώδηκα κείμενον ἐν Τζοβᾷ (ὡς καλοῦσιν οἱ Ἰουδαῖοι τὴν Νίσιβιν, συγχέοντες αὐτὴν πρὸς τὸ Χαλέπιον). Καὶ ἐν Τεδέσῃ δὲ, ἡμέρας ὁδὸν ἀπεχούσῃ τοῦ Χαλεπίου, διατηρεῖται εἴλημα πανάρχαιον, ἐξ οὗ ἴσως μετεγράφη ὁ Χαλεπιανὸς κώδηξ. Τούτου δὲ τὸ μὲν κιβώτιον ἀνοίγεται, αὐτοῦ δὲ τοῦ εἰλήματος ψαύειν οὐδενὶ τῶν πάντων ἔξεστι, μή ποτε διὰ τὴν ἄγαν ἀρχαιότητα διεκπέσῃ, μεταβληθὲν εἰς κόνιν (Schulz l. c. πρβ. καὶ Michael. Or. Biblioth. P. X. p. 63, 64. Καὶ ταῦτα μὲν τοιαῦτα. Παράδοξος δ' ἐν τούτοις φαίνεται τῶν ταῦτα διηγουμένων κριτικῶν ἡ εὐμένεια, μεθ' ἧς ἐοίκασιν ἀποδέχεσθαι τὰ ψεύδη τῶν οὕτως ἀρχεγόνους καὶ τριπεμπέλους κώδηκας (καὶ τούτους ἀφανεῖς καὶ ἀοράτους) αὐχούντων Ἰουδαίων! ἐν ᾧ πάλιν ἑτέρωθεν οἱ αὐτοὶ σοφοὶ μετ' ἄκρας δυσμενείας ἀπιστοῦσι μὲν τοῖς ἀρχαίοις ἱστορικοῖς (Ἀριστέᾳ καὶ Φίλωνι, καὶ Ἰωσήπῳ) περὶ τοῦ ἱεροσολυμικοῦ χειρογράφου, ἐξ οὗ οἱ Ο, μεθηρμήνευσαν· ἀπιστοῦσι δὲ καὶ Τερτυλλιανῷ καὶ τῷ Χρυσοστόμῳ περὶ τοῦ ἐπ' αὐτῶν ἐν Ἀλεξανδρείᾳ σῳζομένου εἴτε αὐτογράφου, εἴτε καὶ μᾶλλον ἐκ τούτου μεταγραφέντος ἀπογράφου τῆς ἑρμηνείας τῶν Ο. Ἀλλ' ὅτι μὲν οὐδαμοῦ τῆς οἰκουμένης οὐδὲν τῶν ἐγνωσμένων ἑβραϊκῶν χειρογράφων εὑρίσκεται τοῦ Ι, αἰῶνος παλαιότερον, ἀπέδειξε πασιφανῶς ἡ ὑγιὴς κριτικὴ, βασανίσασα τούτους ὡς ἐκ τοῦ χρόνου. Καὶ ὡς ἐκ τοῦ τόπου δὲ καθ' ὃν ἐγράφησαν οἱ κώδηκες, διαιροῦνται α) εἰς Ἱσπανικοὺς, τοὺς ἀκριβέστερον ἀκολουθοῦντας τῇ Μασόρᾳ, καὶ παρ' Ἰουδαίοις μὲν περὶ πολλοῦ, παρὰ δὲ τοῖς κριτικοῖς ὀλίγου τιμωμένους· β) εἰς Ἀνατολικοὺς, ὁμοίους σχεδὸν τοῖς ἱσπανικοῖς· γ) εἰς Γερμανικοὺς, ὀλίγα τῆς Μασόρας φροντίζοντας, διὸ καὶ παρ' Ἰουδαίοις μὲν μικρᾶς ἀξιουμένους τιμῆς, πολλῆς δὲ παρὰ

σάντων, καὶ ἄλλων χριστιανῶν, ἀπὸ τοῦ ιδ, αἰῶνος καὶ ἐφεξῆς), καὶ πάλιν, εἰς κώδηκας Μασοριτικούς, καὶ Ἀμασορίτους (ὅσοι μὴ φέρουσι τὰ στίγματα καὶ τ' ἄλλα σημεῖα τῶν Μασοριτῶν, ἀναγινώσκονται δὲ ὅμως ἐξάπαντος κατὰ τοὺς Μασοριτείους κανόνας)· καὶ ἄλλα δὲ παντοῖα κωδήκων διέγραψεν εἴδη, καὶ πολλὴν ὁ Τύξην κατέβαλε πολυμάθειαν εἰς ταύτην τὴν συγγραφήν. Ἀλλὰ μεταξὺ τῶν καλῶν ἀνέμιξε καὶ πλάνας πολλὰς καὶ μεγάλας, πειθόμενος ῥαββίνων ὀνείροις, καὶ σφόδρα πιστεύσας τῇ γονίμῳ ἑαυτοῦ φαντασίᾳ, καθ' ἣν ἐπενόησε καὶ τὴν ἑρμηνείαν τῶν Ο γενομένην ἀπὸ κώδηκος ἑβραϊκοῦ, γράμμασιν ἑλληνικοῖς γεγραμμένου (βλ. ὄπισθ. σελ. 44). Καὶ ὅσα δὲ τῶν ἑβραϊκῶν χειρογράφων συμφωνοῦσιν ἐν πολλοῖς οὐχὶ πρὸς τὸ κοινῶς παραδεδεγμένον κείμενον τὸ ἑβραϊκὸν, ἀλλὰ πρὸς τοὺς Ο, καὶ τὴν Βουλγάταν, καὶ ταῦτα πάντῃ ψευδῶς ὑπέλαβεν ὡς ὑπό τινων χριστιανῶν ἑβραϊστῶν διωρθωμένα! καὶ ἄλλα δέ τινα τοιαῦτα παράδοξα καὶ μάταια προσθεὶς, καὶ πρὸς τὸν Βάλτωνα καὶ τὸν Κεννικῶτον ἀδίκως πολλάκις ἀντειπὼν, καὶ τὴν ἡλικίαν τῶν σημερινῶν ἑβραϊκῶν χειρογράφων ἀποδεῖξαι πειραθεὶς, οὐδὲν εὗρεν ἀντίγραφον τοῦ ΙΑ, μ. Χ. αἰῶνος ἀρχαιότερον· ἀλλ' οὐδὲ τὴν φημιζομένην ἐκείνην ἀρχαιό-

---

τοῖς κριτικοῖς· καὶ δ) εἰς Ἰ τ α λ ι κ ο ὺ ς, μέσον ἐπέχοντας τόπον μεταξὺ τῶν Ἱσπανικῶν καὶ Γερμανικῶν. Τούτους ὁ Βαύερος ὡς τῶν ἄλλων ἀρίστους ἔκρινε, διότι τούτων αἱ ἀναγνώσεις βεβαιοῦνται συχνάκις ὑπὸ τῶν Ο, καὶ τοῦ Σαμαρειτανοῦ, καὶ τῆς Συριακῆς ἑρμηνείας. Ἐκ δὲ ταύτης τῆς ὀρθῆς κρίσεως ἐξελέγχεται ψευδὴς ἡ ἀνωτέρω τοῦ Τύξηνος κρίσις, χριστιανῶν μεταγραφέων ἔργον εἰπόντος τὴν τοιαύτην τῶν ἑβραϊκῶν χειρογράφων πρὸς τοὺς Ο, συμφωνίαν. Ἄλλως δὲ, καὶ ταῦτα τὰ χειρόγραφα πλήθουσι σφαλμάτων τοῦ κειμένου. Ὁ δὲ Γαβριὴλ ὁ Φαβρίκυς χρησάμενος καὶ ὧδε ταῖς εἰθισμέναις ὑπερβολαῖς, διαβεβαιοῖ περὶ τῶν ἰταλικῶν κωδήκων, ὅτι ὀλίγας ἔχουσι πρὸς τὸ ἐκδεδομένον κείμενον διαφορὰς, καὶ μικροῦ λόγου ἀξίας » κτλ. (Fabricy, Des Titres etc. Tom. 2. p. 511). Ἀλλ' ὁ Βρύνσιος, ὁ πάντας τοὺς ἐν Ἰταλίᾳ κώδηκας ἀντιβαλὼν, ἀπέδειξεν ἐψευσμένην τὴν τοῦ Φαβρίκυ κρίσιν, σημειώσας πολυπληθεστάτας τούτων πρὸς τὸ τετυπωμένον ἑβραϊκὸν διαφορὰς, καὶ πολλὰς παραλλαγὰς οὐ μόνον περὶ τὸ Β α ῦ καὶ Ἰ ὀ δ, καὶ τὰς τοιαύτας παρωνυχίδας, τὰς μ ι κ ρ ο ῦ λ ό γ ο υ ἀ ξ ί α ς (κατὰ τὸν Φαβρίκυν), ἀλλὰ καὶ ἄλλας, μεγάλην ἐπὶ τοῦ κειμένου ἐχούσας ῥοπὴν (βλ. Bruns in Kennic. Diss. General. pag. 583—585).

τῆτα τῶν Αἰγυπτίων καὶ Ἑλληλιανῶν ἀπογράφων ἀπέδειξεν ἀληθεύουσαν (α). Ἓν μόνον ὑπάρχει βέβαιον· ὅτι κἀκεῖνα τὰ ἀρχαῖα θρυλλούμενα ἀπόγραφα εἶχον τὰς οἰκείας ἕκαστον διαφθορὰς, καὶ αὐτοὶ δὲ πάλιν οἱ ἐξ ἐκείνων ἀντιγράφοντες τὰ σῳζόμενα, προσετίθουν καὶ τὰς ἑαυτῶν πλάνας (βλ. ὄπισθ. σελίδ. 168). Ὁ δὲ σοφὸς Ῥόσσις (ἵνα πάλιν εἰς τοῦτον ἐπανέλθωμεν) καὶ πολὺ ὕστερον τῷ 1811 ἐξέδωκεν ἐν Πάρμᾳ καλλίστην *Σύνοψιν* τῆς περὶ τὴν ἑβραΐδα Γραφὴν κριτικῆς, διαλαμβάνουσαν ἐν ἐπιτομῇ περὶ τῶν ἐλλείψεων καὶ διορθώσεων τοῦ ἑβραϊκοῦ κειμένου, ἐν ᾗ προσέθηκε καὶ σχέδιον νέας ἐκδόσεως (β). Φέρονται δὲ καὶ τῶν φιλοπόνων Γερμανῶν γενναῖαι ἀπόπειραι πρὸς διόρθωσιν τοῦ ἑβραϊκοῦ, προσδοκωμένην μάλιστα ἐκ τῆς τῶν διαφόρων ἑβραϊκῶν ἀπογράφων καὶ ἐκδόσεων ἀντιβολῆς. Καὶ πάντως εἰσὶν ἀξιέπαινοι τῶν σοφῶν τούτων ἀνδρῶν οἱ μετ' ἐνδελεχείας ἄτρυτοι πόνοι. Τί γὰρ ἄλλο ζηλωτότερον καὶ λαμπρότερον παρὰ τὸ σπουδάζειν περὶ τὴν ἀνάκτησιν τοῦ ἱεροῦ ἀρχετύπου τῆς παλαιᾶς θείας Γραφῆς; (γ). Ἀλλὰ τὸ πρᾶγμα, κατὰ δυστυχίαν, ὑπερβαίνει τὰς ἀνθρωπίνους δυνάμεις. Καὶ ἴσως μέν ποτε συμφωνήσουσιν (ὡς ἐλπίζουσιν) οἱ κριτικοὶ περί τινα πιθανωτάτην γοῦν διόρθωσιν τοῦ παρ' αὐτοῖς παραδεδεγμένου κειμένου, νικήσαντες τὰς προσβολὰς τῶν ὀρθολογιστῶν, καὶ τοσούτων ἄλλων κακοσχόλων θρασυμάχων, πᾶσαν μὲν σχεδὸν λέξιν ἑβραϊκὴν, ὡς ἂν αὐτοῖς ἀρέσῃ, προπετῶς ἀναγινωσκόντων, κατὰ δὲ τὴν αὐτογνώμονα ταύτην ἀνάγνωσιν καὶ νέας ἐξηγήσεις καὶ μεταβολὰς εἰσηγουμένων!

(α) βλ. Tychsen, Tentamen etc. p. 229, 258, 311 κτλ.

(β) Bern. De-Rossi, Compendio di Critica sacra dei diffetti e delle emendazioni del sacro testo, e piano d'una nuova editione. Parma, 1811.

(γ) Τοιούτῳ ἔργῳ ἐπεχείρησεν ὁ Βάρδιτος (Bahrdt), σπουδάσας εἰς τὸ συγκρῖναι τὸ κείμενον τὸ ἑβραϊκὸν πρὸς πάσας τὰς μεταφράσεις, καὶ σημειῶσαι τὰς ἐπισημοτέρας παραλλαγὰς μετὰ σημειώσεων κριτικῶν. Τούτου τοῦ πονήματος μόνος ὁ πρῶτος τόμος ἐφάνη τῷ 1775 μετ' ἐπιγραφῆς Apparatus criticus ad formandum interpretem Vet. Testamenti.

Ἀλλ' ἐφ' ὅσον κρίνουσιν ἐπαρίστερον οἱ ἄνδρες περὶ τῶν Ο, παραβάλλοντες τούτους ἐν πᾶσιν, ὡς πρὸς σάθμην καὶ κανόνα, πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν (οὗ τινος ὁμολογοῦσι καὶ αὐτοὶ τὴν ἐν πολλοῖς κολόβωσιν καὶ διαστροφὴν, πρὸς δὲ διάγνωσιν αὐτῆς οὐδένα ἄλλον ἔχουσιν ἀρχαιότερον καὶ εἰλικρινέστερον ὁδηγὸν παρὰ μόνους, οὓς περιφρονοῦσι, τοὺς Ο)· ἐφ' ὅσον μανθάνουσι τὰ ἑβραϊκὰ ἐξ ἀνάγκης κατὰ τοὺς Μασοραίους κανονισμοὺς, καὶ τὴν ὑπὸ τῶν χαλδαϊστῶν καὶ ἀραβιστῶν ῥαββίνων χθὲς, σχεδὸν, καὶ πρώην (δισχιλίοις καὶ πεντακοσίοις ἔτεσι μετὰ τὸν Μωϋσῆν) τεκτονηθεῖσαν ἑβραίαν Γραμματικήν· ἐφ' ὅσον οὐδὲ τὰς τῇ ἑβραϊκῇ συγγενεστάτας, καὶ πρὸς μάθησιν αὐτῆς συντελεστάτας διαλέκτους (τὴν Χαλδαϊκὴν, Συριακὴν, Ἀραβικὴν, Αἰθιοπικὴν), οὐδὲ ταύτας, λέγομεν, ἔχουσι συνεργοὺς εἰς ἐξήγησιν πολλῶν σημασιῶν καὶ φράσεων καὶ ἰδιωτισμῶν, ἀνηκόντων ἰδίως εἰς τὴν ἑβραϊκήν· ἐφ' ὅσον προτιμῶσι τὰς ἐξηγήσεις τῶν ῥαββίνων, καὶ πολλάκις τὰς ἰδίας ἑαυτῶν ἐπισφαλεῖς εἰκασίας παρὰ τὰς συμφώνους ἑρμηνείας τῶν ἀρχαίων πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας, οἵτινες καὶ ἄπειροι τῆς ἑβραϊκῆς (καθὼς αὐτοὶ θέλουσι), διὰ μόνων ὅμως τῶν Ο, ἐξηκρίβωσαν τὴν ἀληθῆ σημασίαν πολλῶν ἀπόρων δοκούντων τοῦ κειμένου χωρίων· ἐφ' ὅσον ἀδιαλλάκτως ἀντιλέγουσι τὰ μὲν ἄριστα τῶν ἑβραϊκῶν χειρογράφων καὶ πρὸς ἄλληλα καὶ πρὸς τὰς ἐκδόσεις, αὗται δὲ πάλιν καὶ πρὸς ἑαυτὰς καὶ πρὸς ἐκεῖνα, καὶ πάλιν ἀμφότερα πρὸς τὴν Μάσοραν, καὶ πρὸς πάσας τὰς ἀρχαίας ἑρμηνείας, καὶ αὐτοὶ δὲ, τέλος, οἱ διασημότατοι τῶν ἑβραϊστῶν ἐξηγητῶν (οἷοι μάλιστα κλείζονται καὶ καθ' ἡμᾶς) ἀντιφάσκουσι καὶ πρὸς ἀλλήλους καὶ πρὸς τοὺς ἐπισήμους ῥαββίνους· ἐφ' ὅσον λέγομεν (ἵνα συμπεράνωμέν ποτε τὸ *τεταμένον τοῦτο*, καὶ πρὸς τὰς δυσχερείας ἀνάλογον *πνεῦμα τῆς περιόδου*), ἐφ' ὅσον ἀπαντῶσι τὰ οὐρανομήκη ταῦτα τείχη τῶν κωλυμάτων, «*Ἀρκαδίην αἰτοῦσιν* οἱ ἄνδρες. *μέγ' αἰτοῦσιν*· ἄδηλον *εἰ λήψονται*». Μέχρι σήμερον ἐπόνησαν πολλὰ σοφὰ καὶ ἄπρακτα· τὸ τῆς Μασόρας κείμενον κεῖται πάλιν τὸ

αὐτό· « Ἀμέραι δ' ἐπίλοιποι μάρτυρες σοφώτατοι ». (α). Ἀλλ' ἐπὶ τὸ προκείμενον.

§. πα. Μετὰ τὴν Κεννικώτου ἔκδοσιν ἐπηκολούθησαν καὶ ἄλλαι πολλαχοῦ τυπωθεῖσαι, καὶ μέχρι σήμερον ἐκδιδόμεναι παρὰ τοῖς Εὐρωπαίοις. Τῷ 1793 ἐξεδόθη ἐν Λειψίᾳ ἡ ἑβραϊκὴ βίβλος ὑπὸ Δοιδερλίνου καὶ Μεισίνερος μετὰ τῶν ἐπισημοτέρων ἐκ τῶν τοῦ Κεννικώτου καὶ Ῥόσσιος παραλλαγῶν, χρήσιμος τοῖς μὴ εὐποροῦσι τῶν πολυτίμων τούτων συγγραφῶν, ἀλλὰ τὸ κείμενον κατὰ τὴν Ἰάννου (Jahn) κρίσιν, γέμει σφαλμάτων. Ἐξέδωκε δὲ τὴν βίβλον καὶ αὐτὸς ὁ Ἰάννης τῷ 1806 (ἐν Βιέννῃ) ἐν τόμοις δ', κατὰ τὸ κείμενον καὶ οὗτος τοῦ Βανδερχούχθου (ᾧ χρῶνται καὶ αἱ πλεῖσται ἐκδόσεις, ὡς ἐπισημοτέρῳ τῶν ἄλλων). Τῷ δὲ 1816, ὁ ἄγγλος Βωθρόϋδος (Boothroyd) ἐξέδωκεν ἐν Λονδίνῳ τὸ ἑβραϊκὸν κείμενον ἐν δυσὶ τόμοις μετὰ διαφόρων ἀναγνώσεων κατὰ τὸ κείμενον τοῦ Κεννικώτου, προσθεὶς ἀγγλιστὶ καὶ σημειώσεις κριτικὰς ἅμα καὶ φιλολογικὰς καὶ ἑρμηνευτικάς, ἃς ἐκ τῶν ἐνδόξων ἀνελέξατο κριτικῶν. Ἡ ἔκδοσις αὕτη κρίνεται ὠφέλιμος τοῖς περὶ τὴν ἑβραϊκὴν μαθητιῶσιν, ὡς περιέχουσα ἐν συνόψει τὰ ἀναγκαιότατα. Τῷ δὲ 1828 ἐξεδόθη ἐν Λονδίνῳ ἡ ἑβραϊκὴ Γραφὴ κατὰ τὸ Ἀθιανὸν κείμενον παρὰ τῆς βιβλικῆς Ἑταιρείας, πρὸς εὐχερεστέραν εἰς τοὺς Ἰουδαίους διάδοσιν τοῦ Χριστιανισμοῦ.

(α) Καὶ λίαν ἄρα συνετῶς καί τινες τῶν καθ' ἡμᾶς νεωτάτων κριτικῶν, καίτοι τοῦ ἑβραϊκοῦ θερμοὶ προασπισταί, διωμολόγησαν ὅμως καί τινας ἐκ τῶν πολλῶν καὶ μεγάλων περὶ τὴν κριτικὴν τοῦ ἑβραϊκοῦ κειμένου θεωρίαν δυσχερειῶν, λέγοντες ἐπὶ λέξεως ταῦτα· «Grandes quidem sunt hi apparatus, plura tamen ad perfectionem criticae veter. foederis desiderantur; nam codices nec accurate descripti, neque in familias redacti, et plurimi non integri collati, sed in quibusdam dundaxat locis inspecti sunt. — Masora nondum integra excerpta est. Versiones pleraeque nec critici opem repererunt, neque integrae collatae sunt; haec p l u r a q u e a l i a posteris praestanda relinquntur ». (Ackerman l. c. § 125: p. 138. πρβλ. Jahn, Einl. 1. Bd. p. 460). Καὶ αὐτὰς δὲ τὰς πολλὰς τῶν διαφόρων ἀναγνώσεων χιλιάδας ὡμολόγησαν ὀλίγον συντελούσας πρὸς διόρθωσιν τοῦ ἑβραϊκοῦ κειμένου (De Rossi V. Lect. V. Test. proleg. p. XLVI).

Καὶ ἄλλαι δὲ παρὰ τῶν Βιβλιακῶν ἑταιρειῶν φέρονται ἐκδόσεις τῆς ἑβραΐδος Γραφῆς, ἐν αἷς ὁ Γλαῖρος προτιμᾷ τὴν ἐν Λειψίᾳ τῷ 1834 τυπωθεῖσαν, ἧς τὸν πρόλογον συνέταξεν ὁ Ῥοδομύλλερος (α). Τῷ 1831 ἐξέδωκε καὶ Σαμουὴλ ὁ Λῆς (Lee) *Πολύγλωττον* ἐν Λονδίνῳ εἰς ἕνα τόμον, μετὰ προλεγομένων· τὸ δ' ἑβραϊκὸν καὶ ὧδε κατὰ τὴν ἔκδοσιν τοῦ Βανδερχούχθου. Καὶ παρ' αὐτῶν δὲ τῶν Ἰουδαίων προῆλθον νεώταται ἐκδόσεις τῆς τῆς ἑβραϊκῆς Γραφῆς, οἷον ἣν ἐξέδωκεν ἐν Παρισίοις ὁ ῥαββῖνος Καχὴν (Cahen) τῷ 1830—1838 μετὰ νεωτέρας γαλλικῆς μεταφράσεως, καὶ σημειώσεων παντοδαπῶν (β)· καὶ ἄλλην ἐξέδωκεν ὁ Οὐρβίτας τῷ 1833 διορθώσας τὴν ἐν Λονδίνῳ (1822) προτέραν ἔκδοσιν Ἰούδα τοῦ Δαλλεμάνδου (Judah d'Allemand) (γ).

(α) Glaire, Introduction etc T. 1. p. 351.

(β) Ἡ ἔκδοσις τοῦ Καχῆνος ἐκρίθη παρὰ τοῖς Γάλλοις, ὅτι περιέχει πολλὰ μὲν καλά, π λ ε ῖ σ τ α δ ὲ λ υ γ ρ ά, καὶ κακίας οὐ σμικράς. Τὸ δὲ πάντων δεινότατον (λέγουσιν), ὅτι ὁ Καχὴν ἐν ταῖς σημειώσεσι προσποιεῖται τὸν θεολόγον, διότι πανταχοῦ σχεδὸν ἐκφέρει γνώμας ἢ οἰκείας, ἢ παρ' ἄλλων, ἀφορώσας πρὸς καθαίρεσιν τοῦ κύρους καὶ τῆς θεοπνευστίας τῶν ἑβραϊκῶν Γραφῶν. Ἰουδαΐζουσι δὲ σφόδρα κατὰ τῶν Χριστιανῶν καὶ αἱ διατριβαί, ἃς οὐκ οὔσας αὐτοῦ συνεξέδωκε. (βλ. Glaire l. c, pag. 267).

(γ) Ἐπειδὴ τὰς μετὰ τοὺς Ο, κατὰ καιροὺς ἐκ τοῦ ἑβραϊκοῦ γενομένας ἑλληνικὰς ἑρμηνείας ἐμνημονεύσαμεν ἐν τοῖς προηγηθεῖσι (σελ. 76 καὶ 151), προστεθείσθω ἐνταῦθα καὶ ἡ καθ' ἡμᾶς ὑπὸ ξενικῶν Ἑταιρειῶν ἐκδοθεῖσα χυδαιόγραικος ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασις τῆς παλαιᾶς Διαθήκης. Ἐξεδόθη δὲ κατὰ τεύχη, καὶ κατὰ καιρούς, ἀπὸ τοῦ αωλβ καὶ ἐφεξῆς· καὶ τέλος, ὁλόκληρος τῷ 1840 (βλ. « Τῆς παλαιᾶς Διαθήκης ἅπαντα ἐκ τοῦ ἑβραϊκοῦ ἀρχαιτύπου εἰς κοινὴν ἑλληνικὴν διάλεκτον μεταφρασθέντα· ἐν Λόνδρᾳ, ἔτει αωμ»). Ταύτην τὴν ἴσως ὑπὸ ζήλου μέν, ἀλλ' οὐκ ἐπ' ἀγαθῷ οὔτε τῆς φιλολογίας οὔτε τῆς ὀρθοδοξίας τῶν Ἑλλήνων γενομένην μετάφρασιν ἀπεκήρυξεν ἡ ὀρθόδοξος Ἐκκλησία, μηδεμίαν ἄλλην ἐκ τοῦ ἑβραϊκοῦ ἑλληνικὴν ἑρμηνείαν μηδέποτε μηδαμοῦ μηδαμῶς ἀποδεχομένη, εἰ μὴ μόνην ἣν παρὰ τῶν Ἀποστόλων παρέλαβεν ἑρμηνείαν τῶν Ο. Κἀκεῖνο δὲ προθετέον τῇ ἱστορίᾳ. Πρῶτοι οἱ ἐν Κωνσταντινουπόλει Κ α ρ α ΐ τ α ι ἰ ο υ δ α ῖ ο ι ἐξέδωκαν ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει τῷ 1547 γραικοβάρβαρον τῆς Πεντατεύχου καὶ τῆς βίβλου τοῦ Ἰὼβ ἑρμηνείαν, ἔχουσαν τὰς γραικικὰς φωνὰς γεγραμμένας γράμμασιν ἑβραϊκοῖς (βλ. Hody De Bibl. textit. etc. Lib. IV. p. 633). Εἶχε δὲ ἡ ἔκδοσις καὶ τὸ ἑβραϊκὸν κείμενον καὶ τὴν χαλδαίαν καὶ ἱσπανικὴν ἑρμηνείαν, ὡς δηλοῖ ἡ ἐπιγραφὴ » Pentateuchus Hebraicus, Chaldaicus, Hispanicus et Barbarograecus. Constantinopoli, 1547 fol. (βλ. Calmet Bibliograph. sacrée p. 301). Τέσσα-

§. πϐ. Καθόλου δὲ πᾶσαι αἱ μέχρι σήμερον ἐκδόσεις τοῦ ἑϐραϊκοῦ ἐκ τριῶν καὶ μόνων, ἢ ἀμέσως, ἢ ἐμμέσως πηγάζουσι, τῶν προειρημένων (§ ξγ, ξε, ξϛ), τῆς Σογκινείου (τῷ 1488), καὶ τῆς Κομπλουτείας (τῷ 1517), καὶ τῆς δευτέρας Βομϐεργιανῆς (τῷ 1526–7)· καὶ ὅμως ἅπασαι διαφέρουσιν ἀλλήλων ἐν πολλοῖς· *περιέχουσι δὲ καὶ ἀναγνώσεις, αἵτινες ἐν οὐδενὶ τῶν χειρογράφων εὑρίσκονται* » (α). Ἀλλὰ τὸ μακρότερα περὶ τῶν ἐκδόσεων λέγειν εἰς τὴν ἑϐραϊκὴν ἰδίως ἀνήκει φιλολογίαν. Ἡμῖν δ' ἅλις ἐχέτω, ὅτι καὶ ἐκ τῶν χειρογράφων ἁπάντων, καὶ ἐκ τῶν τύποις ἐκδεδομένων ἀποδείκνυται σαφῶς καὶ ἀναντιῤῥήτως ἡ τοῦ καθ' ἡμᾶς ἑϐραϊκοῦ κειμένου διαφθορὰ, συνομολογούντων καὶ αὐτῶν τῶν ἐπισημοτάτων κριτικῶν. Καὶ καταπαύομεν ἐνταῦθα τὸ μακρὸν περὶ τῆς ἱστορίας τοῦ ἑϐραϊκοῦ κειμένου κεφάλαιον, μεταϐαίνοντες εἰς ἄλλας μερικωτέρας ἀποδείξεις τοῦ προκειμένου.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Περὶ τῶν διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, τῶν ἐν τοῖς αὐτοῦ τοῦ ἑϐραϊκοῦ κώδηκος βιϐλίοις ἀναφαινομένων ἐκ τῆς πρὸς ἄλληλα παρεξετάσεως αὐτῶν καὶ ἀντιϐολῆς.

§. α. Ὅτι αἱ διάφοροι ἀναγνώσεις ἐν πᾶσι τοῖς παλαιοῖς ἀντιγράφοις προῆλθον (ὡς ἐπὶ τὸ πλεῖστον) ἐκ τῶν ἀντιγραφέων, ὑπάρχει πρᾶγμα παρὰ πᾶσιν ὁμολογούμενον· δῆλον δὲ καὶ ἐξ

ρας δὲ πρότερον ἐνιαυτοὺς (τῷ 1543) ἐξεδόθη ἐν Βενετίᾳ γραικοϐάρϐαρος ἐκ τοῦ ἑϐραϊκοῦ μετάφρασις τοῦ Ψαλτηρίου (βλ. Horne, An Introduction etc. vol. 2. part. 2. p. 103). Ταύτην ἴσως τὴν ἔκδοσιν καλλωπισθεῖσαν ἐξέδωκε καὶ ὕστερον περὶ τὰς ἀρχὰς τοῦ παρόντος αἰῶνος (τῷ 1804) ἐν Βενετίᾳ καί τις ἀνώνυμος (Ἰωάννης Λιτίνας, ὡς νῦν ἀκούομεν, ἱερεὺς, Ζακύνθιος) χάριν φιλολογικῆς περιεργίας ἐκδούς· προσέγραψε δὲ καὶ ὑποθέσεις εἰς ἕκαστον Ψαλμὸν, καί τινα σημειώματα κατὰ τὸ γράμμα (ἔκ τινος ἑϐραϊζούσης ἰταλικῆς ἴσως μεταφράσεως). Ταύτης τῆς ἐκδόσεως σπανιώτατα τανῦν εὑρίσκονται ἀντίτυπα. Οὐδὲ γὰρ διεδόθη πανδήμως εἰς τοὺς Ἕλληνας τὸ βιϐλιδάριον, ἄφαντον ἐν σκότει λήθης οὐ πολὺ μετὰ τὴν ἔκδοσιν ταφὲν, ὡς ἀπαράδεκτον. Ἀλλὰ περὶ τούτων πάντων διελάϐομεν καὶ ἀλλαχοῦ (βλ. Ἐπίκρισιν εἰς τὴν περὶ Νεοελληνικῆς κτλ. σελ. 310).

(α) Βλ. Jahn, Einleit. 1. Bd. p. 408. καὶ Ackermann, Introduct. p. 112.

αὐτῶν τῶν ἀρχαίων ἑλληνικῶν καὶ λατινικῶν ἀπογράφων, ὅθεν γεγόνασιν αἱ ἐκδόσεις τῶν ἐνδόξων ποιητῶν καὶ συγγραφέων, πολλὰς ἔχουσαι πολλάκις σεσημειωμένας περὶ τὰς ἀναγνώσεις διαφοράς. Ἀλλ᾽ εἰς τοὺς ἑβραϊκοὺς κώδηκας εἰσέφρησαν πολλῷ πλείονες τοιαῦται παραλλαγαί, καὶ ἀναγνώσεις πάντῃ διάφοροι, ἢ ὡς ἔγραψαν τὸ πρῶτον τὰς λέξεις οἱ ἱεροὶ συγγραφεῖς. Πρὸς δὲ τοῦτο πολλά τινα συνετέλεσαν. Πρῶτον μὲν γὰρ αὐτὴ τῆς ἑβραΐδος ἡ γραφὴ (καθὰ προείπομεν ἐν τοῖς προλαβοῦσι σελ. 169) λίαν ἐστὶν ὀλισθηρὰ πρὸς τὸ σφάλλεσθαι ποιεῖν τὸν ἀντιγραφέα, διά τε τὴν ςενογραφίαν τῶν λέξεων (διὰ συμφώνων μόνον γραφομένων), καὶ προσέτι, διότι γράμματά τινα προσκείμενα οὐδεμίαν ἔχουσι φωνήν· οἷον ὅταν τὰ, περὶ ὧν προείπομεν (σελ. 119) *ἠρεμοῦντα* τέσσαρα γράμματα γράφωνται πολλάκις ἀνέκφορα. Τούτων δὲ τῶν δυσχερειῶν ἡ ἑλληνὶς καὶ λατινικὴ διατελοῦσι πολλῷ πλέον τῆς ἑβραϊκῆς ἀπαθέστεραι καὶ ἀπηλλαγμέναι. Πρῶτον μὲν γὰρ οὐκ ἔχουσιν αὗται τοσαῦτα ὁμοιόμορφα γράμματα, κακῶς ὑπὸ τῶν βιβλιογράφων ἐνίοτε συγχεόμενα (ὡς ὅταν σφαλερῶς ἐν τοῖς ἑλληνικοῖς ἀνθυπαλλάσσωνται τὰ Α καὶ Δ καὶ Λ, τὰ Ο καὶ Θ, τὰ Η καὶ Ν, κτλ.), ὅσα στοιχεῖα τῆς ἑβραΐδος ὁμοιοσχημονοῦσιν ἀλλήλοις· διὸ καὶ παρεξέτρεπον τοὺς ἀντιγραφεῖς εἰς ἡμαρτημένην τῶν λέξεων γραφήν. Αὕτη δὲ πάλιν ἀπέβαινε πολὺ πλέον δυσεξέλεγκτος καὶ δυσδιόρθωτος, ἢ ὅσον γίνεται ἐν ταῖς ἑλληνικαῖς καὶ λατινικαῖς κακογραφίαις. Ἐν ταύταις μὲν γὰρ προσκείμενα τὰ φωνήεντα μετὰ καὶ τῆς ἐξηκριβωμένης ὀρθογραφίας (καὶ μάλιστα τῆς ἑλληνικῆς), ῥαδίως πολλάκις ἀποδεικνύουσι τὴν πλάνην τοῦ γραφέως. Ἐν δὲ τοῖς ἑβραϊκοῖς ἐκ μόνων συμφώνων ἡ λέξις συγκειμένη, καὶ ὅτε σφαλερῶς ἐγράφετο, προσελάμβανεν ὁποιονδήποτε νόημα, ἄλλου ἄλλοτε φωνήεντος ἔξωθεν ἐπιτεθεμένου (βλ. Βιβλ. Β. κεφ. ιϐ. σελ. 891). Πρόσθες καὶ τὴν φυσικὴν στενότητα τῆς γλώσσης, δι᾽ ἣν πολλάκις λέξεις μήτε συγγενεῖς, καὶ ἐναντιόσημοι, συμπίπτουσι πρὸς ἀλλήλας, συγκείμεναι ἐκ τῶν στοιχείων τῶν αὐτῶν (ὅθεν ἡ μεγάλη Μάσορα κατέγραψε κατάλογον οὐκ

ὀλίγων λέξεων ἀπαραλλάκτως μὲν γραφομένων, διάφορον δὲ σημασίαν ἐχουσῶν· ἀλλὰ πόσας καὶ ἄλλας ἀφῆκε πλανωμένας ἐκτὸς τοῦ καταλόγου!). Ἔπειτα δὲ καὶ αὐτοὶ οἱ τῶν σωζομένων κωδήκων Ἰουδαῖοι μεταγραφεῖς λίαν ἀμαθεῖς φαίνονται, ὡς ἐπὶ τὸ πλεῖστον, καὶ μὴ συνιέντες τὴν γλῶσσαν τὴν Γραφικήν. Διώρθουν δὲ τοὺς κώδηκας κατὰ καιροὺς καὶ διορθωταὶ, οἷον οἱ Μασορῖται, ἀντίποδες τοῦ Ἔσδρα γραμματεῖς! Οἱ δὲ τοιοῦτοι, φανερὸν, ὅτι πολλὰ καὶ διορθοῦντες τάχα, διέφθειρον, ἢ καὶ τὰ προῦπτα καὶ φανερώτατα σφάλματα διώρθουν, τὰ δὲ πλεῖστα καὶ μέγιστα κατελίμπανον ὡς εἶχον, « *τὸν μὲν κώνωπα διϋλίζοντες, τὴν δὲ κάμηλον καταπίνοντες* » (α).

§. β. Περὶ δύω δέ τινα συμβαίνουσιν αἱ διάφοροι ἀναγνώσεις, περί τε τὰ γράμματα καθ᾽ ἕκαστον, καὶ περὶ τὰς λέξεις· καὶ ταύτας, ἢ μίαν, ἢ καὶ πλείονας, καὶ λόγον ὅλον ἔστιν ὅτε ἀπαρτιζούσας. Οἱ δὲ τρόποι τῆς διαφορᾶς θεωροῦνται τετραπλῶς. Ἢ γὰρ α) *κατὰ πρόσθεσιν* (ἢ *πλεονασμὸν*) γράμματος ἑνὸς, ἢ πλειόνων (καὶ λέξεων δὲ, καὶ λόγων) μεταβάλλεται ἡ γνησία τοῦ κειμένου ἀνάγνωσις, ἢ β) *κατ᾽ ἀφαίρεσιν* (ἢ *ἔλλειψιν*), ἢ γ) κατὰ *μετάθεσιν*, ἢ δ) *κατ᾽ ἐναλλαγὴν* (β).

§. γ. Περὶ τοιούτων διαφόρων ἀναγνώσεων τοῦ ἑβραϊκοῦ διέλαβε μάλιστα ὁ Καπέλλιος (γ), ἐπαγαγὼν πάμπολλα παραδείγματα βεβαιούμενα ἐξ ἄλλων πάλιν παραλλήλων τοῦ κειμένου χωρίων, ὀρθοτέραν τὴν ἀνάγνωσιν παρεχόντων, καὶ ταῦτα ὡς ἡμαρτημένα ἐξελεγχόντων. Ἐκ τούτων τῶν παραδειγμάτων ἀναφέρομεν ὀλίγα τινὰ, καὶ ταῦτα ἐκ τῶν μάλιστα ὁμολογουμένων. Ἐκτιθέμεθα δὲ ταῦτα δίχως, α) κατὰ *γράμματα*, καὶ β) κατὰ *λέξεις*.

(α) Βλ. περὶ τῶν διαφόρων ἀναγνώσεων Houbigant, Proleg. p. XX. καὶ Montfauc. Praelim. in Hexapl. p. 24 sqq. πρβλ. Hottinger. Thes. Philol. p. 418 καὶ Le Moyne, Varia sacr. T. 2. p. 548.

(β) Ἡ ἀνάγνωσις μεταβάλλεται, καὶ ὅταν μία λέξις εἰς δύω διαιρεθῇ, ἢ δύω συναφθῶσιν εἰς μίαν (βλ. ἔμπροσθεν σελ. 202). Τούτων παραδείγματα βλ. ἐφεξῆς Κεφ. Ζ. §. η. (γ) Cappel. Crit. Sacr. L. 1. c. 3—12.

§. δ. Α) Παραδείγματα ἐκ τῶν περὶ τὰ γράμματα διαφορῶν. 1) Ἐκ τῆς τῶν στοιχείων *ἐναλλαγῆς*. Οἷον, Γενέσ. Ι. 4. Ῥιφὰθ (διὰ τοῦ ρ ἀρκτικοῦ), ἐν δὲ Α. Παραλειπομέν. α, 6 (τὸ αὐτὸ) Διφὰθ (διὰ τοῦ δ, ἀρκτικοῦ). Οἱ δὲ Ο καὶ ὧδε κἀκεῖ, Ῥιφάθ. Οὕτω καὶ ἀλλαχοῦ πολλαχοῦ συγχέουσι τὸ δ, πρὸς τὸ παρ' αὐτοῖς ὁμοιόμορφον ρ. οἷον Δοδανὶμ (Γενέσ. Ι. 4), ἀντὶ Ῥοδανὶμ (Α. Παραλειπ. α, 7), οἱ δὲ Ο (καὶ ὧδε κἀκεῖ) *Ῥόδιοι* (α).—Ἀδαρέζερ (Α. Παραλειπ. ιη, 3) καὶ Ἀδαδέζερ (Β. Βασιλ. η, 12). Οἱ δὲ Ο, Ἀδρααζὰρ πανταχοῦ, (ὡς καὶ Ἄδαρ καὶ Ἄδαδ. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 649).— Ἀρὰμ (τουτ. Συρία. Β. Βασιλ. η, 13) καὶ Ἐδὼμ (Α. Παραλ. ιη, 11) οἱ δὲ Ο, καὶ ὧδε κἀκεῖ, *Ἰδουμαία* (ἐκ τοῦ Ἐδώμ).—Σαμμὼθ ὁ Ἀρουρίτης (α. Χρον. ια, 26), καὶ Σαμμὰ ὁ Ἀρουδίτης (Β. Βασιλ, κγ, 25).— Δεγουὴλ (Dehuel. Ἀριθ. α, 14 : ζ, 47), ἀντὶ Ῥαγουὴλ (Rehuel Ἀριθ. β, 14)· οὕτως ἔχουσι καὶ οἱ Ο, πανταχοῦ (καὶ ἀλλαχοῦ δὲ πολλὴ τοῦ δ, πρὸς τὸ ρ, ἡ μεταλλαγὴ, καὶ τ' ἀνάπαλιν· ὡς ἐάν τις γράφῃ Ῥημοσθένη τὸν Δημοσθένη, καὶ Ῥαίδαλον τὸν Δαίδαλον, ἢ Δῆσον τὸν Ῥῆσον). Καὶ ἐν ἄλλοις γράμμασιν ἡ σύγχυσις· οἷον, Μερωδὰχ, καὶ *Βερωδὰχ* (Δ. Βασιλ. κ, 12) ἀντὶ *Μαρωδὰχ* (Ἡσαϊ. λθ, 1· οὕτω καὶ οἱ Ο, ἑκατέρωθι). — Ζαβρὶ (Ἰησ. ζ, 1) καὶ Ζαμβὶ (Α. Παραλ. β, 6). Οἱ δὲ Ο, πανταχοῦ *Ζαμβρὶ* (τουτ. Ζαβρὶ, μετὰ τοῦ συνήθους παρ' Ἕλλησι πρὸ τοῦ β, προτιθεμένου εὐφωνικοῦ μ, ὡς τὸ *ἄμβροτος*, καὶ ἄλλα· ἄλλοτε δὲ καὶ τὸ β τίθεται εὐφωνικῶς, ὡς ἐν τῷ μεσημβρία, ἀντὶ μεσημρία, κατὰ συγκοπήν). — Ἀχιμέλεχ καὶ Ἀβιμέλεχ (βλ. ἐφεξῆς §. ζ). Ἐν Κριτ. η, 16, διὰ τὴν ἐναλλαγὴν ἑνὸς στοιχείου (τοῦ aijn, ἀντὶ τοῦ schin), γράφεται, *ἐγνώρισε* (cognoscere fecit), ἀντὶ τοῦ *κατέξανεν* (τοὺς ἄνδρας ἐν ταῖς ἀκάνθαις), ὡς ἔχουσιν ὀρθῶς οἱ Ο, (καὶ ὁ Σύρος, ὁ Χαλδαῖος, ἡ Βουλγάτα, ὁ Ἄραψ) (β), καὶ ἄλ-

---

(α) Βλ. De-Rossi, Var. Lect. V. Test. T. 1. p. 13. πρβλ. Cleric. Ars Critic. p. III. c. 4. p. 25.

(β) βλ. Houbig. not. in h. l. καὶ A. Clarke. on Judg. 8. 16.

λα πάμπολλα παραδείγματα σφαλμάτων ἀπαντῶνται διὰ τὴν τῶν στοιχείων ἐναλλαγήν (α).

2) Ἐκ δὲ *προσθέσεως*, καὶ 3) ἐξ *ἀφαιρέσεως* (ἢ ἐλλείψεως) γράμματος ἑνὸς (κατὰ τὸν ἑβραϊκὸν τρόπον τοῦ γράφειν) προῆλθον τὰ ἑξῆς· Σουλλὰμ (Α. Παραλ. ϛ, 12, 13: Ἔσδρ. ια, 24) καὶ πάλιν ὁ αὐτὸς Μεσσουλὰμ, ἢ Μοσολλὰμ (Νεεμ. ια, 11 — Μοσόλλαμον ἕνα τινὰ ἰουδαῖον γράφει καὶ Ἰώσηπος κ. Ἀπίων. Α, § κϐ. σελ. 457). Ἡ πόλις ἡ Καριὰθ—Ἰαρὶμ (Νεεμ. ζ, 29) γράφεται καὶ (κατ' ἔκπτωσιν τοῦ ι) Καριαθ—αρὶμ (Ἔσδρ. β, 25)· καὶ ὁ Ἰασοὺϐ (Ἀριθ. κϛ, 23, καὶ α, Παραλ. ζ, 1) ἐν Γενέσ. μϛ, 13 γέγραπται (κατ' ἔκπτωσιν στοιχείου) Ἰὼϐ (ὅπου πάλιν οἱ Ο, Ἰασούϐ). κτλ. Πάλιν (κατὰ πρόσθεσιν) ἡ *Δαμασκὸς* (ὡς οἱ Ο, πανταχοῦ, καὶ πάντες ἄλλοι γράφουσι, καὶ αὐτὸ τὸ ἑβραϊκ. ἀλλαχοῦ, Δαμεσὲκ), ἐν Α. Παραλ. ιη, 4, γράφεται *Δαρμεσὲκ* (κατ' ἐπένθεσιν τοῦ ρ). Τοιαῦτα καὶ ἄλλα πολυάριθμα, καὶ *κύρια* καὶ *προσηγορικὰ*, ἡμαρτημένα κατ' *ἔλλειψιν*, ἢ *προσθήκην* στοιχείου τινὸς ἑβραϊκοῦ.

4) Ἐκ δὲ *μεταθέσεως*, γραμμάτων τὰ ἑξῆς. Ἀρὰδ (Γενέσ. μϛ, 21 καὶ οἱ Ο) καὶ Ἀδὰρ (α. Παραλ. η, 1). Οὕτω καὶ Ἀρὰς (δ. Βασιλ. κϐ, 14) καὶ Ἀσρὰ (β. Παραλ. λδ, 22). Ἀλμουγεὶμ (γ. Βασιλ. ι, 12) καὶ Ἀλγουμεὶμ (Β. Παραλ. θ, 10). Τοιαῦτα καὶ ἄλλα πάμπολλα ἐν γράμμασιν ἡμαρτημένα βλέπεις καὶ παρὰ τῷ Καπελλίῳ ἐν τέσσαρσιν ὅλοις κεφαλαίοις καταγεγραμμένα. Λέγομεν δέ τινα καὶ ἐν τῇ ἀκολουθίᾳ τοῦ ἐφεξῆς κεφαλαίου.

§. ε. Β) Ἄλλα παραδείγματα διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, προελθουσῶν ἐκ τῆς περὶ τὰς λέξεις διαφορᾶς.

Α) κατὰ πρόσθεσιν, ἢ πλεονασμὸν μιᾶς, ἢ πλειόνων λέξεων. Οἷον ἐν Ψαλμ. ιζ (ἑϐρ. ιη), 14, ἐπαναλαμϐάνεται δὶς καὶ περιττῶς τὸ «*χάλαζα καὶ ἄνθρακες πυρός*». Ἀλλ' ὁ αὐτὸς ἐν Β. Βασιλειῶν

(α) Περὶ ἐναλλαγῆς γραμμάτων καὶ λέξεων ὁλοκλήρων τοῦ ἑβραϊκοῦ ἔγραψεν εἰς πλάτος καὶ ὁ Μυντίγγης (Muntinghe, Brevis Expositio critices Vet. Foederis p. 87—108, Groningae, 1827), πρὸς ὃν παραπέμπομεν τὸν ἀναγνώστην.

κεφ. κϐ, κείμενος ψαλμὸς οὐ περιέχει τὴν ἡμαρτημένην ταύτην ἐπανάληψιν οὐδ' ἐν αὐτῷ τῷ ἑϐραϊκῷ· ἀλλ' οὐδὲ παρὰ τοῖς Ο κεῖται, οὔτε ἐν τῷ ψαλτηρίῳ, οὔτε ἐν Β. Βασιλ. κϐ. Λείπει δὲ καὶ ἐκ τῆς Βουλγάτας (βλ. ἔμπροσθ. κεφ. ιγ.). Ἄλλη παρομοίως ἡμαρτημένη ἐπανάληψις ἀπαντᾶται ἐν Α. Παραλ. ιζ, 24· ἀλλ' οὐδ' αὕτη κεῖται, οὔτε παρὰ τοῖς Ο, οὔτε ἐν τῷ παραλλήλῳ χωρίῳ αὐτοῦ τοῦ ἑϐραϊκοῦ (β. Βασιλ. ζ, 26). Ἀλλὰ περὶ τῶν τοιούτων προσθηκῶν ἐν τοῖς ἑξῆς πλατύτερον.

§. ϛ. Β) *Ἐλλείψεως* δὲ μιᾶς ἢ πλειόνων λέξεων δείγματα κείσθωσαν ταῦτα. Α. Παραλ. η, 31, μετὰ τὸ *Ζαχὰρ* (οἱ Ο, Ζακχοὺρ) ἐλλείπει ἐκ τοῦ ἑϐρ. τὸ « *καὶ Μακελὼθ* », ὅπερ ἀναγκαίως ἀπαιτεῖ ἡ τοῦ λόγου ἔννοια· ἔχουσι δὲ τοῦτο καὶ οἱ Ο (Βατικ.). Εὑρίσκεται καὶ ἐν τῷ παραλλήλῳ χωρίῳ (Α. Παραλ. θ, 37. ἔν τε τῷ ἑϐρ. καὶ παρὰ τοῖς Ο).—Ἀριθμ. κϛ, 40, ἀριθμοῦνται οἱ υἱοὶ καὶ ἔγγονοι τοῦ Ἰακὼϐ, ὡς καὶ ἐν Γενέσ. μϛ. Ἀλλὰ μεταξὺ τῶν ἄλλων διαφορῶν ἐξελέγχεται μάλιστα ἡ προφανὴς ἔκπτωσις τοῦ ὀνόματος Ἄρδ, ἢ Ἀρὲδ (οἱ Ο, Ἀδὲρ), ἣν ἐξάπαντος ἡ τοῦ λόγου σειρὰ ἀπαιτεῖ. Τὸ ἑϐρ. ἔχει « Καὶ υἱοὶ Βελὰ, Ἀρὲδ, καὶ Νασμὰν, *δῆμος Ἀρεδὶ*, τῷ Ναμεὰν δῆμος Νααμανί ». Οἱ δὲ Ο, σῴζουσι τὸ πλῆρες. « Καὶ υἱοὶ Βαλὲ, Ἀδὲρ, καὶ Νοεμάν· τῷ *Ἀδὲρ, δῆμος ὁ Ἀδερὶ*, καὶ τῷ Νοεμὰν, ὁ Νοεμανί ». Καὶ πόλεις δὲ παραλειφθεῖσαι κατέστησαν κατὰ τόπους τὸ κείμενον κολοϐόν· οἷον ἐν α, Παραλ. ϛ, 77, ἐκ τοῦ καταλόγου τῶν τοῖς Λευΐταις δεδομένων πόλεων λείπουσι τρεῖς, Ἰεκνεὰμ, Καρθὰ, Ναελὼλ, αἵτινες σῴζονται καταγεγραμμέναι ἐν Ἰησ. κα, 34, 35. καὶ ἄλλα ἀλλαχοῦ. Πλὴν δὲ τῶν κυρίων ὀνομάτων ἐλλείπουσι πολλάκις καὶ ἄλλα προσηγορικά· οἷον, ἐν Β. Βασιλ. η, 4, τὸ « *ἅρματα* », ὅπερ ἀναγινώσκεται ἐν τῷ παραλλήλῳ τόπῳ (Α. Παραλειπ. ιη, 4), κεῖται δὲ ἡ λέξις ἐν ἀμφοτέροις τοῖς χωρίοις παρὰ τοῖς Ο. « Καὶ ἔλαϐεν ὁ Δαϐὶδ *χίλια ἅρματα*, καὶ 7000 ἱππεῖς » κτλ.—Καὶ πάλιν ἐν Α. Παραλ. ιη, 16, λείπει τὸ *φρουραὶ* (Nezibim), ὅπερ ἐξ ἀνάγκης ὁ λόγος ἀπαιτεῖ· κεῖται δὲ καὶ ἐν Β. Βασιλ. η, 6, καὶ

παρὰ τοῖς Ο, ἑκατέρωθι. « Καὶ ἔθετο Δαβὶδ *φρουρὰν* ἐν Συρίᾳ».—Ἐν δ' Ἀριθμῶν κς, 14, μετὰ τὸ Συμεωνὶμ (δῆμος Συμεὼν) λείπει τὸ «*ἐξ ἐπισκέψεως αὐτῶν*» (τουτ. κατ' ἀρίθμησιν αὐτῶν), ὅπερ ἐν τῷ αὐτῷ κεφαλαίῳ προστίθεται εἰς τῶν λοιπῶν φυλῶν τὰς ἀπαριθμήσεις, κεῖται δὲ καὶ παρὰ τοῖς Ο. Ἀλλὰ καὶ τὸ «*Καὶ υἱοὶ Ἀρὰμ*» λείπει ἐν τῇ Α. Παραλ. α, 17, ὅπερ ἀπαιτεῖται πάντως ἐν τῷ λόγῳ· κεῖται δὲ καὶ παρὰ τοῖς Ο, αὐτόθι, καὶ ἐν Γενέσ. 10, 23, ὅπου συμφωνεῖ καὶ τὸ ἑβραϊκόν. Ἔτι ἐν τῷ Ἰησ. κα, 36, λείπουσι τὰ «*ἐπέκεινα τοῦ Ἰορδάνου κατὰ Ἱεριχὼ*» κτλ. κεῖνται δὲ ταῦτα παρὰ τῷ Ἑβραίῳ ἐν Α. Παραλ. ς, 78. κεῖνται καὶ παρὰ τοῖς Ο, ἑκατέρωθι. Πρὸς τούτοις, ἐν ψαλμ. ιδ, 5 (καθ' Ἑβραίους) λείπει τὸ « *οὗ οὐκ ἔστι φόβος* » ὅπερ κεῖται καὶ ἐν τῷ νγ, 6, καθ' ἑβρ. ψαλμῷ, καὶ παρὰ τοῖς Ο ἐν ἀμφοτέροις τοῖς χωρίοις (ψαλμ. ιγ, 5, καὶ νβ, 6). Πάλιν ἐν τῷ καθ' ἑβρ. ψαλμ. 57, 8 κεῖται κατ' ἐπανάληψιν τὸ « ἑτοίμη ἡ καρδία μου ». Ἀλλ' ἐν ψαλμῷ 108 (ὅπου μάλιστα πρέπει ἡ ἐπανάληψις) ἅπαξ ἀναγινώσκεται τὸ κόμμα (ἐκπεσόν), παρὰ δὲ τοῖς Ο, κεῖται ἐν ἑκατέροις τοῖς ψαλμοῖς (νς, 8, καὶ ρζ, 1). Ἀλλὰ καὶ περὶ τῶν ἐλλείψεων ἐκτενέστερον ἐν τοῖς ἑξῆς.

§. ζ. Γ) *Μεταθέσεως* δὲ παραδείγματα, τάδε. Γενέσ. β, 4, «*τὴν γῆν καὶ τὸν οὐρανὸν* » (ἀντὶ « τὸν οὐρανὸν καὶ τὴν γῆν » ὡς καὶ οἱ Ο, καὶ αὐτὸ τὸ ἑβραϊκὸν ἀλλαχοῦ πολλαχοῦ). Καὶ « ἐπὶ μητρὶ καὶ πατρὶ », ἀντὶ *πατρὶ καὶ μητρὶ*, ὡς οἱ Ο καὶ αὐτὸ τὸ ἑβραϊκὸν ἀλλαχοῦ. (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 816). Ἐν Β. Βασ. η. 17 καὶ α, Παραλ. κδ, 6, γράφεται *Ἀχιμέλεχ υἱὸς Ἀβιάθαρ*· ἀλλ' ἐν Α. Βασ. κβ, 20 γέγραπται « *Ἀβιάθαρ υἱὸς Ἀχιμέλεχ* » (πρβλ. καὶ Μάρκ. β, 26: βλ. καὶ Ἰωσήπ. Ἀρχ. Ϛ. ιβ, §. 1, 3.). Τὸ δὲ Ἀχιμέλεχ ἐνιαχοῦ γράφεται καὶ *Ἀβιμέλεχ* (Α. Παραλ. ιη, 16. ἑβρ. καὶ παρὰ τοῖς Ο, ἐν Α. Βασ. κβ, 20. Βατικ.). (α). Ὅτι δὲ ἀμφότεροι (καὶ

(α) Τὴν ἐναλλαγὴν τῶν στοιχείων τοῦ ὀνόματος καὶ Εὐσέβιος ἐσημείωσεν (εἰς) ψαλμὸν λγ. ἐπιγρ.): « Ἡ τῶν Βασιλειῶν γραφὴ Ἀχιμέλεχ (ἀντ' Ἀβιμέλεχ

ὁ πατὴρ καὶ ὁ υἱὸς) ἦσαν ὁμώνυμοι καὶ διώνυμοι (προτασσομένου παρὰ θατέρῳ τοῦ ἑτέρου ὀνόματος, ἴσως ὡς κυριωτέρου. καὶ μᾶλλον συνηθεστέρου), λέγομεν παρακατιόντες. Καὶ τὸ ἐν Νεεμ. ζ, 73, « Οἱ ἱερεῖς, καὶ οἱ λευῖται, καὶ οἱ πυλωροὶ, καὶ οἱ ᾄδοντες, καὶ *οἱ ἀπὸ τοῦ λαοῦ*, καὶ οἱ ναθανὶμ » τακτικώτερον εὑρίσκουσιν οἱ κριτικοὶ γεγραμμένον, ἢ ἐν Ἔσδρ. β, 70, ὅπου τὸ « *οἱ ἐκ τοῦ λαοῦ* » τίθεται μετὰ τὸ λευῖται, καὶ ἐπακολουθεῖ τὸ « *οἱ ᾄδοντες* ». Ἀλλ᾽ οὕτως ἔχουσι καὶ οἱ Ο᾽ καὶ ἡ μετάθεσις ἔν γε τοῖς τοιούτοις ἀδιάφορος, καί τοι ἄλλως συγχεομένης τῆς τάξεως τῶν προσώπων (οἷα καὶ παρ᾽ Ἕλλησιν ἐν τοῖς ἐσχηματισμένοις λόγοις ἐνίοτ᾽ ἐπιτηδεύεται, ὡς ἐν τῷ « *πύλας ὤϊξαν, καὶ ἀπῶσαν ὀχῆας* »).

§. η. Δ). Τῆς δὲ τῶν λέξεων *ἐναλλαγῆς* παραδείγματα βλέπεις ἐν τῷ ἑπομένῳ κεφαλαίῳ.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Ἄλλαι διάφοροι τοῦ ἑβραϊκοῦ κειμένου ἀναγνώσεις, ὡς ἐκ τῆς τῶν κυρίων ὀνομάτων, καὶ τῶν ἀριθμῶν ἐναλλαγῆς.

§. α. Ὑπάρχουσιν ἐν τῇ Γραφῇ πολλῶν κυρίων ὀνομάτων ἐναλλαγαὶ, ὁπότε πρόσωπον, ἢ τόπος τις ἄλλοτ᾽ ἐν ἄλλοις χωρίοις ἄλλως ὀνομάζεται. Τῆς δὲ τοιαύτης διαφορᾶς τὰ εἴδη διττά. Πρῶτον, ὅτε πολλάκις ὁ αὐτὸς ἢ ἄνθρωπος, ἢ τόπος ἔχει πραγματικῶς δύω συνήθως (ἔστι δ᾽ ὅτε καὶ τρία) κύρια ὀνόματα· οἷον Ἡσαῦ, ὁ καὶ Ἐδὼμ, Ἰοθὼρ καὶ Ῥαγουὴλ (Μωσέως πενθερὸς), Γεδεὼν καὶ Ἱεροβάαλ (Jerubahal), Ἐλιακεὶμ καὶ Ἰωακεὶμ, Ἰακὼβ καὶ Ἰσραὴλ, Ἀχιμέλεχ (ἢ Ἀβιμέλεχ) ὁ αὐτὸς καὶ Ἀβιάθαρ, ὁ πατὴρ τοῦ ὁμωνύμου Ἀβιάθαρ, τοῦ αὐτοῦ καὶ Ἀχιμέλεχ, καὶ ἄλλα

περιέχει, ἐναλλαγῆς στοιχείου γενομένης· οὐδὲν (ἴσ. γρ. οὐδὲ) δεῖ κινεῖσθαι· παρὰ γὰρ τὴν ὁμοιότητα τοῦ στοιχείου τοῦ Βὴθ (Beth) παρ᾽ ἑβραίοις καλουμένου, καὶ τοῦ Χὰφ (Caph), διαφόρως ἐξεδόθη τοὔνομα· σχεδὸν γὰρ ἓν καὶ ταὐτὸν ἐστὶ τὰ δύω στοιχεῖα, βραχυτάτης κεραίας μόνης ἐναλλαττούσσης» (βλ. καὶ Σειρ. εἰς τὴν Ὀκτάτευχ. ἐν Α. Βασιλ. κγ).

πολυάριθμα (α). Τοιαῦτα καὶ τὰ ἑξῆς. Ὁ *Ἀμιναδὰβ* (Α. Παραλ. ς, 22) ὁ αὐτὸς καὶ *Ἰσσαὰρ* (αὐτόθ. 2 καὶ 38. Οὕτω καὶ οἱ Ο). Ὁ Οὐριὴλ (αὐτόθ. 24) ὁ αὐτὸς καὶ Σαφανίας (αὐτόθ. 36. Οὕτω καὶ οἱ Ο). Ὁ Ἀσβὴλ (υἱὸς Βενιαμὶν Ἀριθμ. κς, 38) ὁ αὐτὸς καὶ Βαρὰδ (Α. Παραλ. ζ, 20. καὶ οἱ Ο). Ὁ Ἠλὶ, ἢ Ἐλαὶ (α. Παρ. ια, 30) ὁ αὐτὸς καὶ Σαλμὼν, ἢ Σελμὼν (Β. Βασ. κγ, 28· καὶ οἱ Ο). Ὁ Ἀχιμὼθ (α. Παραλ. ς, 25) καὶ μετ' ὀλίγον ὁ αὐτὸς, Μαὰθ (στίχ. 35). Οὕτω καὶ οἱ Ο (ὁ δὲ Καπέλλιος κατὰ λάθος ἔγραψεν, ὅτι οἱ Ο ἑκατέρωθι ἀνέγνων Ἀμιὼθ, ὅπερ ἔχει μόνη ἡ τοῦ Ἄλδου ἔκδοσις, καὶ μόνον ἐν στίχ. 35). Καὶ ἄλλα δὲ τοιαῦτα οὐκ ὀλίγα ἀπαντῶσι καὶ ἀλλαχοῦ τῆς Γραφῆς, οἷον ἐν Ἀριθμοῖς, καὶ Ἰησοῦ, καὶ μάλιστα ἐν τοῖς παραλλήλοις τόποις τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων, καὶ τοῦ Ἔσδρα καὶ τοῦ Νεεμίου. Τὸ δ' ἐν τοῖς τοιούτοις αὐτοσχεδιάζειν, ἐξελέγχοντας τὴν ἑτέραν (ὁποτέραν) τῶν Γραφῶν ὡς ἡμαρτημένην, ἄγαν τολμηρὸν καὶ προπετὲς, καὶ μάλιστα πρέπον ἀνθρώποις νεωτερισταῖς, οἵτινες ἰταμῶς ἀποφαίνονται πολλάκις περὶ πραγμάτων, ἐν οἷς ὅ,τε μακρὸς χρόνος, καὶ ἡ τοσούτων ἀρχαίων ἐθίμων, καὶ τρόπων, καὶ περιστατικῶν ὁλοτελὴς ἄγνοια, πολλὴν εὐλάβειαν ἐπιτάσσει, καὶ μάλιστα ἐν δέλτοις ἁγίαις θείων χρησμῶν.

§. 6. Ἀλλ' ὑπάρχουσι καὶ παραλλαγαὶ τῶν αὐτῶν κυρίων ὀνομάτων ἐν τοῖς παραλλήλοις τόποις ἀπαντῶσαι, περὶ ὧν καὶ λόγος ὀρθὸς, καί τινα τεκμήρια μαρτυροῦσι τὴν ἑτέραν τούτων ἀληθεύειν· ὅταν δηλαδὴ τὰ αὐτὰ ὀνόματα τὸ αὐτὸ σημαίνωσι πρόσωπον, κατὰ δὲ τὸν φθόγγον ἐν μέρει διαφέρωσιν ἀπ' ἀλλήλων, οὐδεὶς δὲ λόγος ἀποχρῶν ἐξηγεῖ τὴν διαφορὰν, τότε οὐκ ἀπίθανον ὑπολαβεῖν, ὅτι τῶν λέξεων ἡ ἑτέρα παρετράπη

(α) Τοιαῦτα καὶ ἐν τῇ Καινῇ Διαθήκῃ τὰ Σίμων καὶ Συμεὼν (ὁ θεόκλητος Πέτρος), Ματθαῖος καὶ Λευῒ κτλ. Συνήθης δὲ καὶ παρ' ἄλλοις ἔθνεσιν ἀρχαίοις ἡ τοιαύτη διωνυμία, οἷα καὶ παρ' Ἕλλησι καὶ Ῥωμαίοις· βλ. ὄπισθ. Βιβλ. Β. σελ. 709. Πρβλ. καὶ Horne, An Introduction etc. T. 2, part. 1. p. 571.

ἀπὸ τῆς γνησίας εἰς μὴ γνησίαν, καὶ τοῦτο οὐ μόνον κατ' *ἐναλλαγὴν*, ἀλλὰ καὶ (ὡς προείπομεν κεφ. γ. §. δ, 2, 3, 4) κατ' ἔλλειψιν, ἢ πρόσθεσιν, ἢ μετάθεσιν τῶν, ἐξ ὧν σύγκειται στοιχείων. Καὶ τοιαῦτα φαίνονται ἐν τῇ ἑβραΐδι Γραφῇ τὰ ἐφεξῆς ὀνόματα. Ὁ Ἀσὲμ (Α. Παρ. ια, 34) ὁ αὐτὸς γράφεται καὶ Ἰασὰν (β. Βασιλ. κγ, 32. Παρὰ δὲ τοῖς Ο ἑκατέρωθι *Ἀσὰν*, καὶ *Ἀσάμ*. [Ἀπὸ τούτου ἴσως ἤ,τε μασορῖτις στίξις, καὶ ἑνὸς, τοῦ πρώτου γράμματος ἡ ἐναλλαγὴ ἐσχημάτισε τὸ Ἰαασέν]. Ὁ *Σιμαὰ* (υἱὸς τοῦ Δαβίδ. Α. Παραλ. γ, 5) ὁ αὐτὸς καὶ Σαμουὰ (Β. Βασ. ε, 14)· οἱ δὲ Ο, ἑκατέρωθι *Σαμαὰ* (ἐκδ. Κομπλουτ.). Ὁ *Δανιὴλ* (ἄλλος υἱὸς τοῦ Δαβίδ. Α. Παραλ. γ, 5) ὁ αὐτὸς καὶ *Χιλεὰβ* (Β. Βασ. γ, 3)· οἱ δὲ Ο, ἑκατέρωθι *Δαλουΐα* (Ἀλεξ. καὶ τοῦτο φαίνεται ἡ ἀληθὴς ἀνάγνωσις, ὡς μαρτυρεῖ καὶ τὸ ἐξ αὐτοῦ ἐν τῷ ἑβρ. παραπλασθὲν *Δανιήλ*· τὸ δὲ *Χιλεὰβ* οἱ Ο οὐκ ἀνέγνωσαν). Ὁ *Ἰαὰθ* (Α. Παρ. ϛ, 20) ὁ αὐτὸς μετ' ὀλίγον *Αἰθὰν* (αὐτόθ. στίχ. 43)· οἱ δὲ Ο, ἑκατέρωθι *Ἰὲθ* καὶ *Ἰεέθ* (=Ἰαάθ). Βαθσουὰ (Bath-Sehcua) (Α. Παραλ. γ, 5), καὶ πάλιν (Β. Βασ. ια, 3) Βεθσεβὰ (Beth-Scheba) τὸ παρὰ παρὰ τοῖς Ο, πανταχοῦ Βηρσαβεὲ (Α. Παραλειπ. γ, 17). Ἰωάχαζ (Β. Παραλειπ. κα, 17) ὁ αὐτὸς καὶ (Δ. Βασιλ. η, 24) Ὀχοζίας. Οὕτως οἱ Ο, ἑκατέρωθι. Ὁ τῶν Ο, *Ναβουχοδονόσορ* (Nebuchadnezar. Δανιὴλ β, 1, κτλ.) γράφεται ἀλλαχοῦ ἐν τῷ ἑβρ. καὶ κατ' ἄλλους τρόπους ἕξ (α). Ἐν Β. Βασιλ. κγ, 8, τὸ ἑβρ. ἔχει *Ἰασὼβ Βοσσεβὲτ Ταχμονί* (Iaschob Boschebet Tachmoni)· ἀλλ' ἐν Α. Παραλ. ια, 11, ὁ αὐτὸς ἀνὴρ γράφεται *Ἰασοβὰμ, υἱὸς Ἀχμονί* (Jaschobam ben Hachmoni). Οὕτως ἔχουσι καὶ οἱ Ο. Τὸ δὲ *Ἰασὼβ Βοσσεβὲτ*, καὶ τὸ *Ταχμονὶ* ἀγνοοῦσι (β)· καὶ οἱ περὶ τὸν Κεννικῶτον λαμπρῶς ἀπέδειξαν, ὅτι τὸ

(α) Kennicot. Diss. I. p. 57—64. 75, 76, 448· καὶ Dis. II. p. 486· καὶ Remarks on Select Passages of the Old Testament p. 23—26. καὶ Horne, Introduction etc. T. 2. part. 1. p. 572.

(β) Τὸ νῦν κατὰ τοὺς Μασορίτας γραφόμενον Ἰασοβάμ (ἄλλοι Ἰασοβεάμ), ἡ μὲν Βουλγάτα ἀνέγνω Ἰεσβαάμ. Ἐν δὲ τῇ Κομπλουτείᾳ ἐκδόσει τῶν Ο,

ἑβρ. (Β. Βασιλ.) *Ἰασὼβ Βοσσεβὲτ*, ὑπάρχει σφάλμα τοῦ μεταγραφέως, διελόντος τὴν μίαν λέξιν, τὴν *Ἰασοβὰμ*, εἰς δύο ἀνυπάρκτους, καὶ τὸ *Ἀχμονὶ* μεταβαλόντος εἰς τὸ *Ταχμονί* (α). (Ταύτης δὲ τῆς κακογραφίας τοῦ Ταχμονὶ ἀπώναντο καὶ οἱ τῆς Κομπλουτείας ἐκδόται, γράψαντες (Β. Βασιλ.) « *Ἰεσβαὰθ* υἱὸς *Θεκεμανὶ* », κατὰ δασυτέραν τοῦ τ, καὶ ψιλωτέραν τοῦ χ, προφοράν· ἐν ᾧ αὐτοὶ οὗτοι ἐν Α. Παραλ. ἔγραψαν *Ἀκιμανὶ*=*Ἀχεμανί*). Ἄλλα παραδείγματα πολλῶν ἐν τῷ ἑβραϊκῷ κειμένῳ περὶ τὰ αὐτὰ ὀνόματα διεσφαλμένων παραλλαγῶν παρέξει σοι, μετὰ τοῦ Κεννικώτου καὶ ἄλλων, ὁ Καπέλλιος, πλὴν τῶν (ὧν ἐνίοτε συγχέει πρὸς τὰς παραλλαγὰς) διωνυμιῶν, ὅσαι καὶ ὑπὸ τῶν Ο, βεβαιοῦνται. Ἡμεῖς δὲ παραβάλλομεν ὡς καθολικὴν τῶν ἐν τῷ ἑβραϊκῷ ἡμαρτημένων ὀνομάτων ὁμολογίαν, αὐτὸν τὸν κανόνα τῶν κριτικῶν,

---

γράφεται Ἰεσβαὰν (Α. Παραλ.) καὶ Ἰεσβαὰθ (Β. Βασιλ.). Ἐν τῷ Ἀλεξανδρινῷ, Ἰεβαὰμ (Α. Παρ.) καὶ (Β. Βασ.) Ἰεβοσθαὶ (ἄλλ. Ἰεβοσθὲ, ἀντὶ Ἰεσβοθέ)· ἐν τῷ Βατικανῷ, Ἰεσεβαδά (δ=θ. Ἰασεβαθὰ, κατὰ τὸ Ἰεσβαὰθ) ἐν τῇ Ἀλδ. Ἰεσβαάλ. κτλ. Τὸ δὲ ἑβρ. Ἀχμονὶ παρομοίως γράφεται καὶ ἐν τῇ Βουλγάτᾳ Hachamani, καὶ παρὰ τοῖς Ο, (Α. Παραλ. Ἀχαμανί· Ἀλεξ.), Ἀχεμὰν (Βατικ.), Ἀκομονὶ (Κομπλουτ.). Ἐν δὲ Β. Βασιλ. κγ, τὸ Βατικανὸν καὶ Ἀλεξανδρινὸν ἀντὶ τοῦ Ἀχαμανὶ ἔχουσιν «ὁ Χαναναῖος». Καὶ τοῦτο ἴσως ἐκ τῆς ἀβλεψίας τοῦ ἀντιγραφέως, παραλείψαντος τὸ ἀρχικὸν τοῦ ὀνόματος Α, καὶ γράψαντος τὸ πρῶτον ν, ἀντὶ τοῦ μ. Ὅθεν προῆλθε τὸ Χαναναῖος ἀντὶ Ἀχαμαναῖος (=Ἀχαμανί). Οὕτω σχεδὸν ἔχει καὶ ὁ Ἰώσηπος (Ἀρχ. Ζ. ιβ. § 4. Hav.) «Ἰέσαιμος υἱὸς Ἀχεμαίου» (κατ' ἄλλας γραφὰς, Ἰέσεβος, ἢ Ἴσσαιμος· καὶ Ἀχεμμαίου, καὶ Ἀχεμάνου). Καὶ ἴσως ὁ Ἰώσηπος ἔγραψεν Ἰέσβαμος υἱὸς Ἀχεμάνου (ἢ Ἀχεμαναίου).

(α) Βλ. Kennic. Diss. I. p. 51—69. πρβλ. Capell. Crit. Sacr. p. 35. Ἡ Βουλγάτα (καὶ ἄλλοι ἐξ αὐτῆς) ταῦτα τὰ ἐν Β. Βασιλ. τοῦ ἑβραϊκοῦ, Ἰασὼβ Βοσσεβὲτ Ταχμονὶ, ἐξέλαβεν ὡς προσηγορικὰ, καὶ ἡρμήνευσε « Sedens in Cathédra Sapientissimus (καθήμενος ἐν καθέδρᾳ σοφώτατος). Ἀλλὰ τὸ παράχορδον τῆς ἐκδοχῆς ἐξήλεγξε μὲν ὁ Κεννικῶτος (l. c. p. 62), κηρύττουσι δὲ καὶ οἱ Ο, καὶ αὐτὸ τὸ ἑβρ. (Α. Παραλ. ια), ὅπου καὶ ἡ Βουλγάτα ἔχει Jesbaam filius Achamani. Κατὰ ταῦτα καὶ ὁ σοφὸς Καλμέτης ἔκρινεν ἀναγνωστέα καὶ γραπτέα καὶ τὰ ἐν Β. Βασιλ. κγ, Πλὴν ὅτι μάτην ἐνόμισεν, ὅτι δῆθεν καὶ οἱ Ο ἀνέγνων Τεχεμονὶ, ἀντὶ Ἀχμονί· (Calmet, Dictionnair. T. 2. v. Hachamoni καὶ Jesbaam).

καθ' ὃν κρίνουσι «τὰ τοιαῦτα διορθωτέα ἔκ τε τῶν παραλλήλων χωρίων τοῦ ἑβραϊκοῦ, καὶ τοῦ Σαμαρειτικοῦ, καὶ τῶν ἀρχαίων μεταφράσεων, καὶ ἐκ τοῦ Ἰωσήπου» (α). Καὶ ἔπεστιν ἐν τούτοις ἀπορεῖν, πῶς ὁ μακάριος Ἱερώνυμος, ἢ μᾶλλον, ὁ τὸ ὄνομα αὐτοῦ ἐπιγράψας εἰς τὴν πρὸς τὸν Δόμνιον καὶ Ῥογατιανὸν ἐπιστολὴν (ἀμφιβάλλεται γὰρ αὐτῆς ἡ γνησιότης) εὕρισκεν ἐν τοῖς ἑλληνικοῖς (τῶν Ο) καὶ λατινικοῖς ἀντιγράφοις τοσοῦτον ἐσφαλμένην τὴν γραφὴν τῶν ὀνομάτων, « ὥστε (λέγει) δοκοῦσιν οὐχ οὕτως ἑβραϊκὰ, ὅσον βάρβαρά τινα, καὶ *Σαρματικά*. — Καὶ τοῦτο τὸ ἁμάρτημα τοῖς ἀντιγραφεῦσιν ἀποδοτέον. Πολλάκις (λέγει) τρία ὀνόματα, ἐκβεβλημένων τῶν μέσων συλλαβῶν, εἰς μίαν συνωθοῦσι λέξιν· ἢ καὶ τἀνάπαλιν ἓν ὄνομα πολυσύλλαβον, εἰς δύω, ἢ καὶ τρεῖς λέξεις διαιροῦσι» (β). Ταῦτα ὁ ψευδὴς, ἢ καὶ (καθώς τινες ἀξιοῦσιν) ἀληθὴς Ἱερώνυμος ἔκρινε περὶ τῶν κωδήκων τῶν Ο, ὡς ἂν εἴπερ εἶχεν ἀνὰ χεῖρας αὐτὰ τῆς ἑβραΐδος Γραφῆς τὰ *ἀρχέτυπα*! (μήπως δὲ καὶ τὸ σημερινὸν ἑβραϊκὸν συμφωνεῖ περὶ πάντα τὰ ὀνόματα, καθὼς ἔγραψεν αὐτός; παράβαλε αὐτὰ τὰ ἐν Β, Βασιλ. κγ, τῆς Βουλγάτας πρὸς τὰ ἑβραϊκὰ, καὶ ὄψει τὴν διαφοράν). Ἔπειτα διὰ τί τοσαύτη κατὰ τῶν ἀντιγράφων τῶν Ο καταφορά; μὴ γὰρ οὐκ εἶχε πρὸ ὀφθαλμῶν διωρθωμένα τὰ τοῦ Ὠριγένους Ἑξαπλᾶ, ἐν οἷς ἐκεῖνος (καθὼς λέγει) διώρθου τὰς περὶ τὰ ὀνόματα ἀβλεψίας τῶν ἀντιγραφέων; (καί τοι καὶ τότε, καὶ πρότερον ἐπὶ τοῦ Ἀκύλα, πολλὰς ἤδη φθορὰς πεπονθότος τοῦ ἑβραϊκοῦ). Ὁ δὲ Δαλμάτης πατὴρ εὕρισκεν ἐν τοῖς ἀντιγράφοις τῶν Ο πάσας τὰς ἡμαρτημένας τῶν ὀνομάτων γραφὰς, ὧν ἴσως πολλῶν τὴν Σαρματικὴν μορφὴν, καὶ τὸν διαμελισμὸν, καὶ τὴν συμπίλησιν ὤφειλε ζητεῖν ἐν τῷ ἑβραϊκῷ (μὴ γὰρ ἔγραψαν οἱ τῶν Ο ἀντιγραφεῖς ἄλλα τε διάστροφα, καὶ τὰ *Ἰασὼβ Βοσσεβὲτ*, καὶ *Ταχμονί*;). Τὸ

(α) A. Gerard, Institutes of Biblical Criticism, etc. pag. 427. Edinburgh, 1808.

(β) Hieronymi Epist. ad Domnium et Rogatianum· βλ. καὶ Kennicot Dist. I. p. 196.

δὲ παραδοξότερον, ὅτι καὶ αὐτὸς ὁ τοσαῦτα σφάλματ' ἀντιγραφέων ἐν τῷ ἑβραϊκῷ κειμένῳ διεξελέγξας (ἐν ὅσοις δηλαδὴ μὴ πάνυ ταῖς ἰδίαις ἐπίστευσεν εἰκασίαις) σοφώτατος Κενικῶτος ἀνεμνήσθη ταύτης τῆς περὶ τῶν ἀντιγραφέων τῶν Ο, κρίσεως τοῦ Ἱερωνύμου, ἀγανακτήσας μάλιστα κατὰ τῆς κακογραφίας ἑνὸς προφανεστάτου παροράματος τοῦ τυπογράφου τῆς Βατικανῆς ἐκδόσεως (τοῦ *Οὐραιοερχὶ*), ὅπερ καὶ αὐτὸς ὁ σοφὸς ἀνὴρ ἐπέγνω, καὶ ἄλλαι ἐκδόσεις τῶν Ο τρανῶς ἐξελέγχουσι (α), Καὶ περὶ μὲν τῶν κυρίων ὀνομάτων τοσαῦτα.

(α) Ἐν Α. Παραλ. ια, 37, τὸ Ἀλεξ. ἔχει « Νοαρὰ υἱὸς Ἀρβέ. » Τὸ δὲ Βατικ. Ναaραὶ υἱὸς Ἀζοβαὶ (ὡσαύτως καὶ ἡ Βουλγάτα, Naherae filius Asbae. καὶ τὸ ἑβραϊκὸν ὁμοίως). Ἐν δὲ Βασιλ. κγ, 35, ὁ αὐτὸς ἀνὴρ (ὡς διώνυμος) γέγραπται κατὰ μὲν τὸ Ἀλεξανδ. Φαραεὶ ὁ Ἀραχαείεις (ἴσ. Ἀραχίτης, ἢ Ἀραχαῖος. τοῦτο ἔχει καὶ τὸ κείμενον τῆς εἰς τὴν Ὀκτάτευχον Σειρᾶς, ἐκδ. Θεοτόκ.). Ἀλλ' ἐν τῇ ἐκδόσει τοῦ Βατικανοῦ (αὐτόθ.) γράφεται μία μόνη λέξις, «τοῦ Οὐραιοερχί». Ὑπῆρχε δὲ καὶ ὧδε πάντως ἡ γνησία γραφή, Φαραὶ ὁ Ἀραχίτης· ἡ δὲ τοῦ τυπογράφου ἀβλεψία τὴν μὲν ἐσχάτην τοῦ Ἀραχίτης συλλαβὴν (τὴν ΤΗΣ) ἀποκόψασα παρεξετόπισε, καὶ παρήλλαξεν εἰς τὸ προηγούμενον ΤΟΥ, τοῦ δὲ Φαραὶ τὸ Φ ἔτρεψεν εἰς Ο, καὶ τὸ Α εἰς Υ, καὶ οὕτως ἐκ τοῦ Φαραὶ ὁ Ἀραχίτης συνεχώνευσε τὸ τὸν Κεννικῶτον παροργίσαν ΤΟΥ ΟΥΡΑΙΟΕΡΧΙ. Καὶ ὅμως (τὸ ἀστεῖον) καὶ εἰς αὐτὴν τοῦ Κεννικώτου τὴν Διατριβήν, ἐν αὐτῷ δὴ τούτῳ τῷ χωρίῳ τῆς παραβολῆς, ἄλλη πάλιν ἀπαράλλακτος ἀβλεψία τυπογραφικὴ διεστρέβλωσεν ἄλλο ὄνομα, τὸ Ἰεβαὰμ υἱὸς, συμπιλήσασα εἰς τὸ Ἰεβαάμυιος (Diss. I. p. 52). Αὐτὸ δὲ τὸ Φαραὶ ἐπιγινώσκει καὶ ἡ Κομπλούτειος ἔκδοσις γράφουσα « Φαραῒ ὁ Ἀρβί » (ἀντὶ Ἀρχί, ἢ Ἀραχί, καὶ ἡ Βουλγάτα, Pharai de Arbi. Οὕτω καὶ τὸ νῦν ἑβραϊκὸν Pharai Arbai). Ὁ γοῦν Κεννικῶτος ἔκρινε μὲν τὸ Ἀρχὶ τρεπτέον εἰς τὸ Ἀρβὶ (ὡς συγχυθέντος τοῦ ἑβραϊκοῦ βὲθ = Β, πρὸς τὸ ὁμοιόμορφον Κὰφ, καὶ δασύτερον Χὰφ = Χ). Αὐτοῦ δὲ πάλιν τοῦ Ἀρβὶ ἀρχαιοτέραν ἔκρινε γραφὴν τὴν Ἀσβί· Καὶ ταῦτα μὲν εἰκασίαι. Ἄλλο δέ τι πάλιν ἐν τῷ Ἀλεξανδρινῷ τυπογραφικὸν παράπτωμα παρέλιπεν ἀσημείωτον ὁ ἔνδοξος Κεννικῶτος. Ἐν γὰρ Α. Παραλ. ια, 11, μετὰ τὰ «Ἰεβαὰμ υἱὸς Ἀχαμανί» ἕπεται, «πρωτότοκος τῶν τριάκοντα», ἀντὶ πρῶτος· ἡ δ' ἐσφαλμένη ἐπανάληψις καὶ διαστροφὴ τῆς τούτου ληγούσης (τῆς ΤΟΣ) μετεμόρφωσε τὸ πρῶτος εἰς τὸ πρωτότοκος· ἐξελέγχει δὲ τὸ σφάλμα οὐ μόνον τὸ νόημα (ἂν γὰρ τὸ πρωτότοκος ἀποδοθῇ εἰς τὸ υἱὸς Ἀχαμανί, μένει τὸ τῶν τριάκοντα ἀνεξάρτητον), ἀλλὰ καὶ ἡ γνησία τῆς λέξεως γραφή, ἥτις σῴζεται ἐν τῷ Βατικανῷ «υἱὸς Ἀχαμὰν πρῶτος τῶν τριάκοντα» (αὐτόθι). Κἀκεῖνο δὲ διέλαθε τὸν κριτικόν. Παραβάλλων γὰρ τὸ χωρίον τῆς Α. Πα-

§. γ. Ἤδη δὲ προστιθέμεθα καί τινα ὀλίγα παραδείγματα τῶν ἐν τοῖς παραλλήλοις χωρίοις τοῦ ἑβραϊκοῦ πολλῶν περὶ τοὺς ἀριθμοὺς παραλλαγῶν, ἢ συγχύσεων καὶ διαφθορῶν, προελθουσῶν ἐκ τῆς τῶν ἀντιγραφέων ἀβλεψίας. Οὗτοι γὰρ τοὺς διὰ τῶν στοιχείων τοῦ ἀλφαβήτου τὸ ἀρχαῖον ἐκτεθειμένους ἀριθμοὺς εἴτε μεταγράφοντες, εἴ τε καὶ ὁλογραφοῦντες, ἐνήλλαττον ἡμαρτημένως τὰ στοιχεῖα, ἄλλ' ἀντ' ἄλλων ἐκλαμβάνοντες, καὶ γράφοντες ὁλοσχερῶς ἐν λέξεσιν ἕτερον ἀριθμὸν παρὰ τὸν ὑπὸ τοῦ γράμματος σημαινόμενον· τοιαῦτα δὲ σφάλματα περὶ τοὺς ἀριθ-

---

ραλ. ια, 11, ὡς παράλληλον πρὸς τὸ Β. Βασιλ. κγ, 8, καὶ ἐκλέγων τὰς διαφορὰς, ἐσημείωσεν ὡς ἐλλειπὲς τὸ ἐφεξῆς κῶλον «Ἰεβοσθαὶ ὁ Χαναναῖος, ἄρχων τοῦ τρίτου» (ἡ Κομπλούτ. τ ῶ ν τ ρ ι ῶ ν) «αὐτός ἐστιν Ἀδεινὼν ὁ Ἀσωναῖος ἐ π ὶ ὀ κ τ α κ ο σ ί ο υ ς τ ρ α υ μ α τ ί α ς ε ἰ σ ά π α ξ». Ἀλλὰ παρεῖδεν, ὡς ἔοικεν, ὁ κριτικὸς τὴν ἔκδοσιν τοῦ Βατικανοῦ, ὅπου γέγραπται τὸ χωρίον ὁλόκληρον οὑτωσί.—«Ἀδεινὼν ὁ Ἀσωναῖος· ο ὗ τ ο ς ἐ σ π ά σ α τ ο τ ὴ ν ῥ ο μ φ α ί α ν α ὐ τ ο ῦ ἐ π ὶ ὀκτακοσίους στρατιώτας (ἄλλ. τ ρ α υ μ α τ ί α ς) εἰσάπαξ» (Β. Βασιλ. κγ, 8). Ἀπαραλλάκτως γέγραπται καὶ ἐν Α. Παραλ. ια, 11 (κατά τε τὸ Βατικανὸν καὶ τὸ Ἀλεξανδ.). Ἀλλ' ἡ περὶ τούτων βαθυτέρα ἔρευνα ἄλλης πραγματείας ἔργον. Ὅτι δὲ αἱ μέχρι τοῦ νῦν ὑπὸ τῶν σοφῶν Εὐρωπαίων ἐκτυπωθεῖσαι ἐκδόσεις τῶν Ο περιέχουσιν οὐκ ὀλίγας ἐσφαλμένας τῶν κυρίων ὀνομάτων μάλιστα γραφὰς, φανερόν. Ἡμεῖς δὲ ὡς φιλάρχαιοι υἱοὶ τῆς ὀρθοδόξου Ἀνατολῆς, τὰ μὲν τοιαῦτα προφανῆ σφάλματα ἐπιγινώσκομεν, καὶ διορθοῦμεν (καὶ τοῦτο., διαγνώσει τῆς Ἐκκλησίας) ἐξ ἄλλων παραλλήλων χωρίων αὐτῆς πάλιν τῆς Γραφῆς, ὅταν ταῦτα συμφώνως ὑπό τε τῆς παρ' ἡμῖν χρήσεως, καὶ τῆς τῶν πατέρων ὁμοφώνου μαρτυρίας, ἔτι δὲ καὶ τῶν ἐπισημοτάτων κωδήκων, καὶ τῆς κοινῆς ὁμολογίας τῶν ἀρχαίων ἑρμηνειῶν, καὶ τῶν ὀρθῶς τετυπωμένων ἐκδόσεων μαρτυρῶνται. Αὐτὰς δὲ τὰς ὑπὸ τῶν ξένων ἐκδόσεις (εἰρήσεται γὰρ τἀληθὲς) οὔ τοι λίαν ἐν πᾶσιν ἀσφαλεῖς θεωροῦμεν. Πολλὰ γὰρ οἱ σοφοὶ ἐκδόται πολλάκις σφάλλονται περὶ τὴν ἐκτύπωσιν τῶν ἀλλογλώσσων συγγραμμάτων, ἄλλων τε καὶ τῶν ἑλληνικῶν (καὶ μάλισθ' ὅταν τύχωσιν Ἐρασμίζοντές περὶ τὴν ἑλληνικὴν προφοράν). Τότε δὲ τοῖς ἐκδόταις τούτοις (ἔν γε τοῖς τοιούτοις) πιστεύσομεν, ὅταν καὶ ἰδίοις ὀφθαλμοῖς παραβάλωμεν πρὸς τὰς τυπωθείσας ἱερὰς βίβλους καὶ αὐτοὺς τοὺς κατὰ τόπους τυπωθέντας κώδηκας, καὶ τούτους πάλιν πρὸς ἀλλήλους. Οὐδέποτε δ' ἐσόμεθα τοσοῦτον σοφοὶ, ὥστε, ἢ στοχαστικῶς καὶ ἐκ μόνης εἰκασίας, ἢ καὶ μόνον πρὸς τῶν ἄλλων μεταφράσεων τὸ παράδειγμα μεταβαλεῖν οἱανδήποτε τῶν ἀνέκαθεν τῇ Ἐκκλησίᾳ παραδεδεγμένων κατὰ τοὺς Ο ἀναγνώσεων. Τὰ τοιαῦτα τολμήματα παραλείπομεν τοῖς ὑψηλοῖς κριτικοῖς· καίτοι γε καὶ οὗτοι οὐδέποτ' ἐν τοῖς τοιούτοις πρὸς ἑαυτοὺς συμφωνήσουσιν, οἷα πάσχουσι συνήθως πάντες οἱ μ ε τ α ί ρ ο ν τ ε ς ὅ ρ ι α α ἰ ώ ν ι α.

μοὺς καὶ ἐν ἄλλοις ἁπαντῶσι συγγραφαῖς, ὧν τινα παραδείγματα προεμνημονεύσαμεν (Βιϐλ. Α. σελ. 51, 286 κτλ.). Τὴν δ' οὖν ἐν τούτοις σύγχυσιν τοῦ ἑϐραϊκοῦ συμφώνως ὁμολογοῦσιν ἅπαντες σχεδὸν οἱ κριτικοὶ, καὶ παλαιότεροι καὶ νεώτεροι (α).

§. δ. Τοιούτων οὖν περὶ τοὺς ἀριθμοὺς διαφθορῶν ὀλίγα παραδείγματα ἐνταῦθα καταγράφομεν, ἐξελεγχομένων ὑπό τε τῶν ἐν αὐτῷ τῷ ἑϐραϊκῷ *παραλλήλων τόπων*, καὶ τῆς κατὰ τοὺς Ο, γραφῆς. Τὸ ἑϐραϊκὸν ἐν μὲν Β, τῶν Παραλειπομένων, θ, 25, ἔχει « Καὶ ἦσαν τῷ Σολομῶντι 4000 *ἱπποστάσια* (ἄλλ. φάτναι) ἵππων καὶ ἁρμάτων»· ἐν δὲ τῷ παραλλήλῳ τόπῳ (Γ. Βασ. δ, 26) γράφει « καὶ ἦσαν τῷ Σαλομῶντι 40,000 φάτναι (ἢ ἱππῶνες) ἵππων, καὶ ἅρματα» (κατὰ τὴν ἑρμηνείαν τοῦ Μοντάνου). Ἀλλ' οἱ Ο, ἐν ἑκατέροις τοῖς χωρίοις ἕνα γράφουσι καὶ τὸν αὐτὸν ἀριθμόν. « Καὶ ἦσαν τῷ Σολομῶντι *τεσσαράκοντα χιλιάδες* τοκάδες ἵππων εἰς ἅρματα » (Γ. Βασιλ. ἔκδ. Ἀλεξανδ.)· καὶ πάλιν, « τέσσαρες μυριάδες (40,000) τοκάδες (ἄλλ. θήλειαι) ἵπποι εἰς ἅρματα » (Β. Παραλ. Ἀλεξανδρ. καὶ Ἰώσηπ. Ἀρχ. Η, 6, 4: ἐν δὲ τῷ Βατικανῷ ἀντὶ τοῦ *μυριάδες* κεῖται τυπωθὲν ἡμαρτημένως *χιλιάδες*)(β). Πάλιν, οἱ

(α) Ὅτι δ' ἔγραφον τὸ πάλαι γράμματα ἀνθ' ὁλογράφων λέξεων ἀριθμητικῶν, πρόδηλον. Οὕτως ἐν ἀρχαίοις νομίσμασιν οὐ μόνον ἑλληνικοῖς, ἀλλὰ καὶ αὐτῶν τῶν Ἑϐραίων (γράμμασι Μωσαϊκοῖς, ἢ Σαμαρειτανοῖς, κατὰ τοὺς Μακκαϐαίων χρόνους βεϐαίως τυπωθεῖσι), γέγραπται τὸ ἔτος στοιχειακῶς, οἷον τὸ Β, (τὸ ἑϐρ. Beth) ἀντὶ δύω (ἢ δευτέρῳ ἔτει. βλ. Memoires de l'Académ. d. Inscr. T. 24. p. 49). Ἐν ἀποσπάσματι τῶν Ἑξαπλῶν γράφεται « Ἔκρινε τὸν Ἰσραὴλ ΒΚΑΙΚΕΤΗ » (Κριτ. 1, 3) τουτ. Β, καὶ Κ, ἔτη, ἢ κϐ (Montfauc. Palaeogr. Gr. p. 188—190). Ἐν ἀρχαίοις ἀπογράφοις τῆς Ἀποκαλύψεως καὶ παρὰ τῷ θείῳ Εἰρηναίῳ τὸ ὄνομα τοῦ ἀντιχρίστου γράφεται διὰ στοιχείων χξϛ (666). Παρὰ τῷ ἱερῷ Κλήμεντι (Στρωμ. α, 387, Pot.)· γράφεται Α σ α μ ὰ, ἐσφαλμένως, ἀντὶ Α σ ὰ, ΜΑ, τουτ. 41, ἔτη (ἐϐασίλευσε) κτλ. βλ. Kennic. Dissert. Gener. p. 52. — Capell. Crit. Sacr. Libr. I. c. 10.—Calmet. Houbigant. Schulz Schol. in V. Test. T. 3. p. 350, 351. — De-Rossi Var. Lection. T. 3. p. 152, 161.—Bauer, Einleit. p. 120.—Jahn, Einleit §. 130. — Pareau Institutio etc. p. 324.— Horne. Introduction etc. vol. 2. part. 1. p. 575.

(β) Πρϐλ. Bochart. Hieroz. P. I. Lib. II. c. 9. p. 155, sq.—Τὸ ἑϐρ. ο ὐ ρ ὸ θ

ἐπιστάται τῆς τοῦ ναοῦ οἰκοδομῆς παρὰ τοῖς Ο ἀριθμοῦνται τρεῖς χιλιάδες καὶ 600, ἔν τε Γ, Βασιλ. ε, 16, καὶ Β, Παραλ. ϐ, 17 (Βατικαν.), τοσούτους ὧδε καὶ τὸ ἑϐραϊκὸν ἀριθμεῖ· ἐν δὲ Γ. Βασιλ. ε, ἀντὶ 3600, ὁ ἑϐραῖος γράφει 3300.—Ἐν Α. Παραλ., ιη, 4, γέγραπται ἐν τῷ ἑϐραϊκῷ «*χίλια ἅρματα καὶ ἑπτὰ χιλιάδες* ἱππέων, καὶ 20,000 πεζῶν ». Ἐν δὲ Β, Βασιλ. η, 4, ἁρμάτων μὲν οὐδεὶς λόγος παρ' αὐτῷ, γράφονται δὲ μόνον 1700 *ἱππεῖς*, καὶ 20,000 πεζῶν. Ἀλλ' οἱ Ο ἐν ἑκατέροις τοῖς χωρίοις ἔχουσι συμφώνως, ὡς ἔχει καὶ τὸ ἑϐρ. ἐν τῇ α, τῶν Παραλειπ. ιη, 4. « 1,000 ἅρματα, καὶ 7,000 ἱππεῖς ». Οὕτω καὶ Ἰώσηπος· « ἱπποτῶν ὡς ἑπτακισχιλίους» (Ἀρχ. Ζ. ε. §. 1). (α). Καὶ φαίνεται ἄρα ὅτι ἐν τῇ Β, Βασιλ. η, ἐξέπεσεν ἐκ τοῦ ἑϐραϊκοῦ τὸ *ἅρματα*· τὸ δὲ 1000 μεῖναν ἐκρεμὲς, ὑπηγόρευσε καὶ τὴν τοῦ ἐφεξῆς 7000 εἰς 700, μόνους συγκοπήν· ὅπως ἄμφω συναφθέντες ὁμαλῶς οἱ ἀριθμοὶ (τὸ 1000 καὶ τὸ 700) ἀποδοθῶσιν εἰς τοὺς ἱππεῖς (ϐ). Φαίνεται δὲ παλαιὸν τὸ παράπτωμα τοῦ ἑϐραϊκοῦ, διότι οὕτως ἔχει ἐν Β, Βασιλ. η, καὶ ἡ Βουλγάτα (1700). — Κατὰ τὸ ἑϐραϊκὸν, ὁ Ἰωακεὶμ ἐν μὲν Δ, Βασιλ. κδ, 8, λέγεται ὅτι ἐϐασίλευσεν ἐτῶν 18, ἐν δὲ Β, Παραλ. λς, 9, ἐτῶν 8 μόνον. Ἀλλ' οἱ Ο, ἐν ἑκατέροις τοῖς χωρίοις ἔχουσιν ἐτῶν 18 (Ἀλεξ. οὕτως ἀναγινώσκεται καὶ ἐν Α. Ἔσδρ. α, 43, ἐκδ. Ἀλεξ. καὶ Ἀλδ.). — Κατὰ τὸ ἑϐραϊκὸν ὁ Ὀχοζίας ἐν μὲν Β. Παραλ. κϐ, 2, ἱστορεῖται βασιλεύσας ἐτῶν 44, ἐν δὲ Δ. Βασιλ. η, 26, ἐτῶν 22· *εἴκοσι καὶ δύω*

καὶ φάτνας ἑρμηνεύουσι, καὶ ἱ π π ῶ ν α ς (stabula), καὶ ἀόριστον ἀριθμὸν ἵππων φατνιζομένων εἰς ζεῦξιν ὀχημάτων. Ὅθεν πάλιν ἐν Γ. Βασιλ. δ, 26 τὴν αὐτὴν λέξιν ἐξηγοῦσι ζ ε ύ γ η ἵ π π ω ν (juga equorum. βλ. Gesen. Lexic. Hebraic, manuale, p. 95). Ἀλλ' οἱ Ο εἴτε ἄλλως ἀναγνόντες, εἴτε μᾶλλον ἐξακριϐοῦντες τὴν φωνὴν, ο ὐ ζ ε ῦ γ ο ς, ἀλλὰ γ έ ν ο ς ἵππων ᾔδεισαν σημαίνουσαν, καὶ θ η λ ε ί α ς (οἵας, ἴσως, ἐζεύγνυον συνήθως ὑφ' ἅρμασιν) ἡρμήνευσαν τὴν λέξιν τὴν ο ὐ ρ ὸ θ, ἢ οὐριόθ· βλ. Schleusn. Thes. V. Test. v. Τοκάς.

(α) Μόνον κατὰ τὴν Ἀλεξανδρ. ἔκδοσιν ἐν Β. Βασιλ. η, 4, ἀντὶ τοῦ χ ί λ ι α τετύπωται ἡμαρτημ. ἑ π τ ὰ ἅ ρ μ α τ α (κατ' ἐπανάληψιν τοῦ ἑπομένου ἑ π τ ὰ χιλ. ἱππέων)· ἐν δὲ Α, Παραλ. ιη, καὶ αὕτη ἡ ἔκδοσις ἔχει χίλια ἅρματα.

(ϐ) Kennicot. Diss. I. p. 447 καὶ Schulz Schol. ad 2. Sam. l. c.

ἐτῶν ἔχουσι καὶ οἱ Ο ἑκατέρωθι· καὶ τοῦτο τὸ γνήσιον. Ὁ γὰρ Ἰωρὰμ, ὁ πατὴρ τοῦ Ἄχαζ, ἐβασίλευσε μὲν, ἄγων ἔτος 32, ἐτελεύτησε δ' ἐτῶν 40, βασιλεύσας ἐπὶ ἔτη ὀκτὼ (Δ. Βασιλ. η, 18). πῶς λοιπὸν ὁ υἱὸς αὐτοῦ καὶ διάδοχος Ἄχαζ, ὅτ' ἐπέβη τῆς βασιλείας, ἠδύνατο γεραίτερος εἶναι τοῦ πατρὸς, ἄγων ἔτος 42; Πάλιν, κατὰ τὸ ἑβραϊκὸν, ὁ προφήτης Νάθαν προβάλλει τῷ Δαβὶδ ἐν μὲν Β, Βασιλ. κδ, 13 « *ἑπτὰ* ἔτη λιμοῦ »· ἐν δὲ Α, Παραλ. κα, 12, *ἔτη τρία*· τοῦτο ἔχουσιν ἑκατέρωθι καὶ οἱ Ο. καὶ τοῦ λόγου δὲ τὸ ὕφος *τρία* ἀπαιτεῖ, κατὰ τὸ τρισάριθμον καὶ τῶν ἐφεξῆς δύω ποινῶν (*τρεῖς μῆνας* φυγῆς, καὶ *τρεῖς ἡμέρας* θανάτου)· κατὰ ταύτην τὴν ὀρθὴν ἀνάγνωσιν διορθωτέον, ἴσως, καὶ τὸ τοῦ Ἰωσήπου « *ἐπὶ ἔτη ἑπτὰ* » (Ἀρχ. Ζ. ιγ. §. 2. ὅπου ὁ μεταγραφεὺς τὸ γ (τρία) ὡς ζ ἐκλαβὼν, ὡλογράφησεν *ἑπτά*). Ἄλλας περὶ τὰς μονάδας τῶν ἀριθμῶν παραλλαγὰς ἔχει σεσημειωμένας ὁ Καπέλλιος (σελ. 38).

§. ε. Ἐκ τούτων οὖν καὶ πολλῶν τοιούτων ἄλλων παραδειγμάτων ἀποδείκνυται φανώτατον, ὅτι εἰς πολλὰ χωρία τοῦ ἑβραϊκοῦ παρεισέφρησαν σφάλματα καὶ περὶ τοὺς ἀριθμοὺς ἐκ τῆς τῶν ἀντιγραφέων ἀβλεψίας, ἢ ἀκηδίας. Ἐν γὰρ τοῖς τοιούτοις παραδείγμασιν οὐ δύναται πάντως ἑκάτερος ὁ ἀριθμὸς ἀληθεύειν· ὥστε, τοῦ ἑνὸς ἀληθεύοντος, ἔψευσται λοιπὸν ἡ θατέρου γραφή. Κατ' ἄλλας περιστάσεις ἀληθεύουσιν ἑκάτεροι οἱ ἀριθμοὶ διὰ λόγους εὐλόγους· οἷον, ὅταν διὰ γλώσσης ἰδιωτισμὸν ἀλλαχοῦ μὲν ἐκφέρηται τέλειος καὶ ἀκριβὴς ὁ ἀριθμὸς, ἀλλαχοῦ δὲ πάλιν ἀντ' αὐτοῦ ὁ *κεφαλαιώδης* (ἢ στρογγύλος), ἀλογουμένων τῶν μονάδων (α). Ἀληθεύουσιν ἀμφότεραι τοῦ ἀριθμοῦ αἱ φαινό-

(α) Οὕτω, φερ' εἰπεῖν, οἱ 71 υἱοὶ τοῦ Γεδεὼν γράφονται καὶ ἁπλούστερον 70 (Κριτ. θ, 1—5. πρβλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ε, §. ιζ, σελ. 307). Καὶ πάλιν οἱ δυνατοὶ (ἥρωες, ἢ ἀριστεῖς, καὶ κεφαλαιῶται, οἱ ἰταλ. καπιτάνιοι) τοῦ Δαβὶδ ἀριθμοῦνται μὲν τριάκοντα ἑπτὰ (Β. Βασιλ. κγ, 39), ἐν δὲ Α. Παραλ ια, 41—47 καὶ πλείονες ἀριθμοῦνται (καὶ ἄλλων τινῶν ἴσως ὕστερον εἰς τὸ τάγμα προστεθέντων), γράφονται δὲ ὅμως πανταχοῦ μόνον οἱ τριάκοντα. Βλ. Schulz

μεναι διαφοραὶ καὶ διά τινα μεσολλαβοῦντα συμβεβηκότα. Αὐτίκα· αἱ ἐν Ἔσδρᾳ (κεφ. β) καὶ Νεεμίᾳ (κεφ. θ) φαινόμεναι ἀριθμητικαὶ διαφοραὶ (ἃς ἔχουσι τὰς αὐτὰς σχεδὸν καὶ οἱ Ο) προῆλθον πάντως ἐκ τῆς διαφόρου τῶν αὐτῶν οἰκογενειῶν ἀναγραφῆς· διάφορον δὲ κατάλογον τοῦ παρὰ τῷ Ἔσδρᾳ συνέγραψεν ὕστερον ὁ Νεεμίας. Ὁ Ἔσδρας κατέγραψε τὰ ὀνόματα τῶν ἐν Βαβυλῶνι συνδραμόντων, ὅπως μετ' αὐτοῦ συναναβῶσιν εἰς τὰ Ἱεροσόλυμα. Τούτων δὲ πολλοὶ τὰ ἑαυτῶν ὀνόματα δεδωκότες, ἔπειτα μεταγνόντες, κατέμειναν πάλιν ἐν τῇ Βαβυλωνίᾳ χώρᾳ· οἱ δὲ καὶ (ὡς ἐν ταῖς τοιαύταις μετοικεσίαις γίνεσθαι φιλεῖ) καθ' ὁδὸν, ἴσως, ἐτελεύτησαν. Ἐντεῦθεν ἔστιν ὅπου παρὰ τῷ Νεεμίᾳ σμικρότερον, ἢ παρὰ τῷ Ἔσδρᾳ βλέπομεν τὸν ἀριθμόν. Ὁ δὲ πάλιν Νεεμίας ὕστερον ἐπελθὼν, καὶ γνοὺς ἀκριβῶς ὅσοι συνανέβησαν μετὰ τοῦ Ἔσδρα πραγματικῶς εἰς τὴν Ἰουδαίαν, καὶ εἴ τινες, ἴσως, προσετέθησαν καὶ ἐφεξῆς, κοινωνήσαντες τῆς ὁδοιπορίας μετὰ τὴν πρώτην ὑπὸ τοῦ Ἔσδρα καταγραφὴν, συνέταξε τὸν κατάλογον ἔν τισι διάφορον, καὶ πολυπληθέστερον τοῦ παρὰ τῷ Ἔσδρᾳ· ὥστε οὐδὲν θαυμαστὸν, εἴ περ ἐν τοῖς παραλλήλοις τόποις τῶν δύω τούτων τευχῶν παραλλάττουσιν οἱ ἀριθμοί· τοιαῦτα παρετήρησε καὶ ὁ Καρψόβιος, εἰκάσας πειθανώτατα (α). Ἐν ἄλλοις δὲ ὅμως χωρίοις (ὅσον ἂν οἱ περὶ τὸν Καρψόβιον ἀντιλέγωσιν) ἐξελέγχεται λαμπρῶς ἡ ἐσφαλμένη τοῦ ἑβραϊκοῦ γραφὴ, ὡς εἴδομεν ἐν τοῖς ἀνωτέρω παραδείγμασι.

§. ϛ. Καὶ ταῦτα μὲν περὶ τῶν ἐν τῷ ἑβραϊκῷ κειμένῳ περί τε τὰ κύρια καὶ ἀριθμητικὰ ὀνόματα παραλλαγῶν. Ἴδωμεν δὲ ἤδη καὶ προσηγορικῶν ὀνομάτων καὶ ἄλλων λέξεων διαφοράς.

Schol. in V. Test. vol. 2. p. 509, καὶ 3, pag. 264. — Kennicot. Diss. I. p. 53 sqq.

(α) Βλ. Carpzov. Introduct. ad Libr. V. Test. P. 1. c. 16. p. 292, καὶ c. 18. p. 315. καὶ ἐν Critica Sacr. p. 797.

ΚΕΦΑΛΑΙΟΝ Ε.

Περὶ τῆς ποικίλης ἄλλων ὀνομάτων ἐναλλαγῆς, καὶ τῶν ἐξ αὐτῆς ἐν τῷ ἑβραϊκῷ προερχομένων διαφόρων ἀναγνώσεων.

§. α. Εὑρίσκονται πάμπολλα παράλληλα χωρία τῆς θείας Γραφῆς, ἐν οἷς ἄλλη τις ἀντ' ἄλλης ἐπὶ τοῦ αὐτοῦ πράγματος ἐναλλάσσεται λέξις, ἰσοδύναμος μὲν, ἢ καὶ ὁπωσδήποτε διάφορος, ἀλλ' οὐκ ἀντιφατική. Ἡ δὲ τοιαύτη ποικιλία προῆλθεν ἐξ αὐτῶν τῶν ἱερῶν συγγραφέων, οἵτινες, ὅταν τὰ αὐτὰ, τυχὸν, ἃ καὶ ἀλλαχοῦ ἐῤῥέθησαν, ἐκφράζωσιν, οὐχ ἑρμηνεύουσι καὶ αὐτολεξεὶ, ταῖς αὐταῖς ἀείποτε χρώμενοι συλλαβαῖς καὶ φωναῖς, ἀλλὰ πολλάκις ἀντικαθιστῶσι καί τινα ὀνόματα συνώνυμα, ἢ ὥσπερ συνώνυμα, δι' ὧν ἢ οὐδόλως μεταβάλλεται τὸ νόημα, ἢ καὶ μεταβληθὲν ὁπωσοῦν, οὐκ ἀντιβαίνει πρὸς τὸ ἕτερον τῶν προειρημένων, ἀλλὰ μένει τοιοῦτον, ὥστε μηδὲν διαφέρειν ὁποτέρῳ τῶν δύω χρήσῃ. Οὕτω, φέρ' εἰπεῖν, ἐν ψαλμῷ ιη, 5, λέγει τὸ ἑβραϊκὸν, *χεβελὲ μαὲθ*, τουτέστι « *σχοινία θανάτου* », ὃ καὶ οἱ Ο κυριολεκτικώτερον μεθηρμήνευσαν, *ὠδῖνες θανάτου* (ψαλμ. ιζ, 5. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 711)· ἀλλ' ἐν Β. Βασιλ. κϐ, 5 (ὅπου κεῖται πάλιν ὁ αὐτὸς ψαλμὸς) ἀντὶ τοῦ *σχοινία (θανάτου)* γέγραπται «*συντριμμοί*»· ὡσαυτως ἔχουσι καὶ οἱ Ο (αὐτόθ.). Καὶ αὖθις πάλιν ἐν τῷ αὐτῷ ψαλμῷ, (ςίχ. 8) τὸ ἑβραϊκὸν ἐν μὲν τῷ ψαλτηρίῳ γράφει (τὰ θεμέλια) «*τῶν ὀρέων*» (arim)· ἐν δὲ τῇ Β. Βασιλ. κϐ, 8 «*τῶν οὐρανῶν*» (schamaim)· οὕτω καὶ οἱ Ο (Ἀλεξανδρ.). Πάλιν, ἐν ψαλμῷ ϥε, 6, τὸ ἑϐρ. « *μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ* », ἐν δὲ τῷ παραλλήλῳ χωρίῳ (Α. Παραλ. ις, 27) «*καύχημα ἐν τῷ τόπῳ αὐτοῦ*»· οὕτω καὶ παρὰ τοῖς Ο. Πάμπολλα δὲ καὶ ἄλλα τοιαῦτα παραδείγματα περιέχει τὸ ἑβραϊκὸν, ἐν οἷς ἡ τῶν συνωνύμων, ἢ καὶ ἄλλων ὁμοιοσημάντων φωνῶν ἐναλλαγὴ, τὸ αὐτὸ σημαίνει νόημα, ἢ καὶ σαφέστερον ἀποδίδωσιν. Ἔστι δ' ὅτε καὶ συνεισάγει ἄλλο τι συνυπακουόμενον. Οἷον ἐν τῷ ἑβραϊκῷ, ἐν

Α, Παραλ. ια, 13, ἱςορεῖται «μερὶς ἀγροῦ, πλήρης *κριθῆς* (scheorim)· ἐν δὲ Β. Βασιλ. κγ, 11, ὁ αὐτὸς τόπος λέγεται, « μερὶς ἀγροῦ πλήρης *φακῆς* » (adaschim). Οὕτως ἔχουσι καὶ οἱ Ο, καὶ ἡ Βουλγάτα, καὶ ἄλλαι τῶν ἀρχαίων ἑρμηνειῶν· φανερὸν δὲ, ὅτι κατὰ τὴν αὐτὴν πεδιάδα ἦσαν ἐσπαρμένα κατὰ μέρος ἀμφότερα τὰ εἴδη (α).

§. 6. Ἀλλ' ὑπάρχουσιν ἐν τῷ ἑβραϊκῷ καὶ ἄλλαι παραλλαγαὶ λέξεων, ἐν αἷς ἡ ἑτέρα κρείττων φαίνεται, καὶ μᾶλλον ἀνάλογος, καὶ κατάλληλος, καὶ φραστικωτέρα τῆς ἑτέρας· ὅθεν ἐκείνη ὕποπτος ἀποβαίνει, δοκοῦσα φθορᾶς ἔνοχος (καὶ μάλιστα ὅταν διαφωνῇ, ἢ καὶ ἀδιαλλάκτως ἔχῃ πρὸς τὸ νόημα, ἢ καὶ πρὸς τὰς ἀρχαίας ἑρμηνείας τῆς Γραφῆς). Οὕτω, φέρ' εἰπεῖν, ἐν Α. Παραλ. ια, 23, τὸν Αἰγύπτιον, ὃν ὁ Βαναίας ἀπέκτεινε, τὸ ἑβραϊκὸν ἐπονομάζει (ἄνδρα) *μιδδὰ* (middah), τουτέστιν *ὑπερμεγέθη*, καὶ ὑπερύψηλον (ὡς πεντάπηχυν)· ἀλλ' ἐν Β. Βασιλ. κγ, 21: ἀντὶ τοῦ *μιδδὰ* γέγραπται (ἄνδρα) *μαρὲχ*, τουτέςιν (ἄνδρα) *ὄψεως* (ἢ εἴδους καὶ μορφῆς), καὶ ἑπομένως *εὔοπτον*, ἢ *εὔμορφον* (ὡς ἑρμηνεύουσιν), ὅπερ οὔτε πρὸς τὴν ἔννοιαν, οὔτε πρὸς τὸ παράλληλον χωρίον συμφωνεῖ· καὶ φαίνεται λοιπὸν (κατὰ τὸν Καπέλλιον) ἡ δευτέρα αὕτη λέξις ἀπὸ τῆς πρώτης παρεφθαρμένη. Ἀλλὰ καὶ οἱ Ο μίαν καὶ τὴν αὐτὴν ἐν ἀμφοτέροις τοῖς χωρίοις ἀνέγνων, ὡς φαίνεται, λέξιν (ἴσως τὴν *μιδδά*) (6)· ὅθεν καὶ ἡρμήνευσαν ἑκατέρωθι «*ἄνδρα ὁρατὸν*» (ἤτοι *θεατὸν*, ἢ θαητὸν, *περίοπτον* διὰ τὸ περίμηκες ὕψος, καὶ « *θαυμαστὸν τὸ μέγεθος* » ὡς εἶπεν ὁ Ἰώσηπος, ἢ καὶ ἀξιοθέατον, ὡς ἡρμήνευσε τὸ *μιδδὰ* καὶ ἡ Βουλγάτα, dignum spectaculi. ἐν δὲ τῇ Β. Βασιλ. κγ, λείπει τοῦτο τὸ ἐπίθετον παντελῶς

(α) Βλ. καὶ Schulz in II. Sam. l. c. Ὁ δὲ Καπέλλιος (Crit. Sacr. p. 40) οὐ πάνυ τοι πιθανῶς ἐθέλει τὴν τῶν ἑβραϊκῶν τούτων φωνῶν ἐναλλαγὴν ἔκ τινος ἑτέρας λέξεως παραχθεῖσαν ὑπ' ἀβλεπτούντων ἀντιγραφέων, οἵτινες συγχύσαντες μετήλλαξαν τὰ στοιχεῖα· ἔχει δὲ καὶ ἄλλα τοιαῦτα στοχαστικώτερον μᾶλλον, ἢ ἀκριβέστερον σεσημειωμένα.

(6) Schleusn. Thes. V. Test. v. Ὁρατός.

ἐκ τῆς Βουλγάτας).—Πάλιν, ὁ Ἰωὴλ ἐν μὲν α, Παραλ. ια, 38, γέγραπται τοῦ Νάθαν *ἀδελφὸς* (achi), ἐν δὲ β, Βασιλ. κγ, 36, τὸ μὲν κύριον γράφεται οὐκ Ἰωὴλ, (Joel), ἀλλὰ Jghal (οὕτω καὶ ἡ Βουλγάτα καὶ παρὰ τοῖς Ο *Ἰγαὰλ*, Κομπλ. καὶ *Γάαλ*, Ἀλεξανδρ.), καὶ τοῦτο μὲν ἴσως ὡς διώνυμος, ἀντὶ δὲ τοῦ *ἀδελφὸς* ἐν τῷ ἑβρ. γράφεται *υἱὸς* (ben) τοῦ Νάθαν· παρὰ δὲ τοῖς Ο καὶ ὧδε κᾀκεῖ λέγεται *υἱὸς* (Βατικ.). Ὥστε ἡ προτέρα τοῦ ἑβραϊκοῦ γραφὴ (ἡ *ἀδελφὸς*) φαίνεται σαφῶς διεφθαρμένη (οὐ γὰρ ἐνδέχεται τὸν αὐτὸν εἶναι καὶ ἀδελφὸν ἅμα καὶ υἱόν· πλὴν εἰ μή τις ἀναπλάττοι πολλούς τινας παραπλησίους τοῖς υἱοῖς τῶν τοῦ Νῶε θυγατέρων!) (α).—Ἐν ψαλμ. 18, 26, ἐν τῷ ἑβραϊκῷ γέγραπται «μετὰ *ἀνδρὸς* (ἑβρ. gebar) *τελείου* (ἢ ἀθώου)· κτλ. ἐν δὲ Β. Βασιλ. 22. 26 « *μετὰ ἀνδρείου* (ἑβρ. gibbor) *τελείου* » κτλ. ἀλλ᾽ οἱ Ο ἑκατέρωθι ἑρμηνεύουσιν *ἀνδρός*.—Οἱ τρεῖς πρῶτοι στίχοι τοῦ λ, καὶ τοῦ ο, ψαλμοῦ (καθ᾽ ἑβραίους λα, καὶ οα) παρὰ τοῖς Ο ὑπάρχουσι σχεδὸν ὅμοιοι· ἀλλ᾽ ἐν τῷ ἑβραϊκῷ διαφέρουσιν ἐξαιρέτως, α) ὅτι ἐν τῷ λα, στίχ. 1, λείπει τὸ, καὶ *ἐξελοῦ* με, ὅπερ ὅμως ἔχει ὁ κατ᾽ αὐτοὺς οα, στίχ. 2 (ὡς καὶ οἱ Ο ἐν ἑκατέροις τοῖς ψαλμοῖς)· καὶ β) ὅτι ἐν μὲν τῷ λα, ψαλμῷ τὸ ἑβρ. ἔχει, εἰς *οἶκον καταφυγῆς* (ἤτοι τόπον ὀχυρόν· καὶ οἱ Ο ὡσαύτως ἔχουσιν ἐν ἑκατέροις τοῖς ψαλμοῖς)· ἀλλ᾽ ἐν τῷ οα ψαλμῷ ἄλλο τι διάφορον ἀναγινώσκει, κατὰ διάστροφον τῶν γραμμάτων μεταβολὴν, τὸ ἑξῆς· «*ἐκέλευσας, ἵνα*

(α). Ὁ Κεννικῶτος εἰκοτολογεῖ ὡς πιθανώτερον τὸ ἀ δ ε λ φ ὸ ς (Diss. I. p. 199)· *ἀλλὰ πολὺ γνησιώτερον (ὡς νομίζομεν) ἐστὶ τὸ υἱός· α) Διότι ἐν τῷ καταλόγῳ τούτῳ καὶ ἄλλοι πολλοὶ καὶ πρότερον καὶ κατόπιν τοῦ Ἰ ω ὴ λ ἀριθμούμενοι, λέγονται καὶ τίνων ἦσαν υἱοὶ (οἷον, Ἐλκανὰν υἱὸς Δουδεὶ, κτλ.), ἀδελφὸς δὲ ἀδελφοῦ οὐδεὶς οὐδενὸς διορίζεται. β) Διότι ἡ τοῦ Βατικανοῦ τῶν Ο, σταθερὰ ἐν ἑκατέροις τοῖς χωρίοις γραφὴ τοῦ υ ἱ ὸ ς, τοῦτο πείθει προτιμότερον. γ) Διότι αἱ λοιπαὶ ἐκδόσεις τῶν Ο τὸ υ ἱ ὸ ς ἔχουσιν ἐν τῇ πρὸ τῶν Παραλειπομένων συγγραφείσῃ Β, τῶν Βασιλειῶν, κγ (ὡς ἔχει αὐτόθι καὶ τὸ ἑβραϊκὸν κείμενον ἐν πάσαις ταῖς ἐκδόσεσι καὶ τοῖς ἑβραίοις ἀντιγράφοις τῆς Β. τῶν Βασιλ.)· τὸ δὲ ἀ δ ε λ φ ὸ ς ἐν μόνῃ τῇ Α, Παραλ. πλάνη τις ἀρχαίου ἰουδαϊκοῦ μεταγραφέως εἰσήγαγεν· ὅθεν παρεισήχθη καὶ εἴς τινα τῶν Ο, ἀντίγραφα.*

εἰσέρχωμαι διὰ παντός».— Ἐν Α. Παραλ. ιζ, 11, λέγει τῷ Δαβὶδ ὁ Θεὸς (κατὰ τὸ νῦν ἑβραϊκὸν) «ἕνα τῶν *υἱῶν σου*»· ἐν δὲ Β. Βασιλ. ζ, 12, «ἕνα ἐκ τῶν *σπλάγχνων σου*» (ἰδιωτισμὸς ἑβραϊκὸς, συνώνυμος τῷ, *ἐκ τῆς κοιλίας σου*)· οὕτως ἔχουσι καὶ οἱ Ο ἐν ἑκατέροις τοῖς χωρίοις, «*ὃς ἔσται ἐκ τῆς κοιλίας σου*» (α).— Τελευταῖον (ἵνα τ' ἄλλα παραλίπωμεν), ἐν Α, Παραλειπ. κ, 5, γράφει τὸ ἑβραϊκὸν «Καὶ *Ἐλχανὰν* (οἱ Ο, Ἐλεανὰν) υἱὸς Ἰαῒρ, ἐπάταξε τὸν *Λαχμὶ, ἀδελφὸν Γολιὰθ τοῦ Γετθαίου*· ἀλλ' ἐν Β. Βασιλ. κα, 19 « Καὶ ἐπάταξε Ἐλχανὰν *υἱὸς Ἰααρὲ* (ἄλλ. Ἰααρὶ) *Ὀρεγὶμ* (ἢ Ὀργὶμ), ὁ *Βηθλεεμίτης τὸν Γολιὰθ τὸν Γετθαῖον*». Ἀλλὰ (πλὴν τῶν ἄλλων διαφορῶν) τὸν Γολιὰθ ἀπέκτεινεν ὁ Δαβίδ· ὅθεν καὶ (ἐν τῷ Β. Βασιλ. κα,) περιττῶς μὲν ἴσως, ἀλλ' ὅμως ἔδοξε τοῖς κριτικοῖς προσθετέον τὸ *ἀδελφὸν* (ὡς ἐκπεπτωκὸς κατὰ τὴν ἀντιγραφήν· οἱ δὲ καὶ ὑπακούουσιν ἔξωθεν τὸ *ἀδελφὸν*, ὅπερ ἀσύνηθες)· τὸ δὲ «*τὸν Λαχμὶ*» (ἑβρ. eth Lachmi) τρέπουσιν εἰς τὸ *Βεθαλαχμὶ* (Beth-halachmi), ἤτοι Βηθλεεμίτην· τὸ δὲ, τέλος, Ὀρεγὶμ (ἄλλ. Ὀργὶμ) ἀποξύουσιν, ὡς διττογραφίαν τοῦ μεταγραφέως πλανηθέντος ἐκ τῆς αὐτῆς ἐν τῷ ἑξῆς στίχῳ παρακολουθούσης ἑβραϊκῆς λέξεως *Ὀρεγὶμ* (τουτ. *ὑφαινόντων*, (β). Ἄλλας παν-

(α) Λέγεται καὶ παρ' Ἕλλησι τὸ σπλάγχνα, ὡς ἰσοδύναμον τοῦ γαστὴρ (ἐπὶ μητρὸς)· ὡς τὸ «μητρὸς ὑπὸ σπλάγχνοισιν ἐόντα» (Σιμ.).

(β) Cappel. Crit. Sacr. p. 41 — Kennicot. Diss. I. p. 65 sq. — Schulz. Schol. ad II. Sam. 21, 29.—Gesen. Lex. Hebr. p. 431. πρβλ. καὶ p. 530: λέξ. Λαχμί. Ἀλλ' (οἶμαι) μηδὲν κινητέον. Ἑκάτερα τὰ χωρία ἀναπληροῦσιν ἄλληλα. Ὁ Ἐλχανὰν (ἢ Ἐλεανὰν) υἱὸς Ἰαῒρ, ὁ Βηθλεεμίτης, ἐπάταξε τὸν τοῦ Γολιὰθ ἀδελφὸν Λαχμὶ, Γολιὰθ καὶ τοῦτον ἐπικαλούμενον, ὡς διώνυμον, ἢ καὶ ὡς ἐπίσης γιγαντιαῖον, καθότι καὶ αὐτὸς «γιγάντων ἦν ἀπόγονος» (Β. Βασιλ. κα, 22), ἢ καὶ διαδεξάμενον τὴν ἐπωνυμίαν μετὰ τὸν θάνατον τοῦ ἀδελφοῦ, ὃν ἀπέκτεινεν ὁ Δαβίδ. Ἑκατέρας τὰς ἀναγνώσεις τοῦ ἑβραϊκοῦ ἔχουσιν ὡσαύτως καὶ οἱ Ο, καὶ ἡ Βουλγάτα (πλὴν ὅτι αὕτη ἐν Α, Παραλ. κ, 15. ἀντὶ τοῦ Λαεμὶ, ἢ Λαχμὶ, γράφει Bethleemita, καὶ τὰς ἄλλας κυριωνυμίας ἐκλατινίζει, ὡς λέγομεν εὐθύς). Τὸ δὲ, τέλος, ἑβρ. Ἰααρὲ Ὀργὶμ, διῃρημένως γραφόμενον, (Β. Βασιλ. κα) οἱ Ο, συνημμένως ἀναγνόντες, ἔγραψαν Ἀριωργίμ· «Καὶ ἐπάταξεν Ἐλεανὰν υἱὸς Ἀριωργὶμ» (ἔκδ. Ἀλεξανδ. Βατικαν. κτλ. Ἐν δὲ τῇ Ἄλδου ἐκδ. καὶ ἐν Ὀκτατεύχ. Θεοτόκ. γράφεται συγκεκομμένως Ἀρωρί)· καὶ φαίνεται δεύ-

τοίας τοῦ ἑβραϊκοῦ πρὸς ἑαυτὸ διαφωνίας καὶ παραλλαγὰς παραλείπομεν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ.

Περὶ διαφόρων ἀναγνώσεων τοῦ ἑβραϊκοῦ, προερχομένων ἐκ προσθέσεως, ἐλλείψεως, ἐναλλαγῆς ὁλοκλήρων ἡμιστίχων καὶ περιόδων.

§. α. Οὐ μόνον λέξεων (ὡς προείπομεν κεφ. γ. §. ϛ.), ἀλλὰ καὶ ἡμιστίχων, καὶ περιόδων ὅλων ἐλλείψεις, ἢ πλεονασμοὶ, καὶ μεταθέσεις ἀπαντῶνται ἐν τῇ ἑβραΐδι γραφῇ, ἐξ ὧν ἀποτελοῦνται μυρίαι τῶν παραλλήλων χωρίων παραλλαγαί. Ἀλλὰ κἀνταῦθα διακριτέον δύω τούτων εἴδη. Τὸ μὲν γὰρ ἐξ αὐτῶν τῶν ἱερῶν συγγραφέων προῆλθεν, ὁπότε γράφουσιν ἀλλαχοῦ συντομώτερον, ἢ πλατύτερον, ἢ σαφέστερον, ἢ καὶ πρωθύστερον, ὅ,τι ἀλλαχοῦ γέγραπται τἀνάπαλιν· καὶ ὁ μέν τις αὐτῶν ἄλλο τι προσέθηκεν ἐκτενέστερον, ὁ δέ τις παρέλιπεν, ἐπιτέμνων τὸν λόγον. Τοιαῦτα χωρία βλέπομεν καὶ ἀλλαχοῦ τῆς θείας Γραφῆς, καὶ ἐν ταῖς Βασιλείαις καὶ τοῖς Παραλειπομένοις, καὶ εἴ που ἄλλοθι. Ἔχουσι δὲ ταῦτα ἀπαραλλάκτως καὶ οἱ Ο, ὡς εἶχον πάντως καὶ τὰ αὐτόγραφα ἐξ ἀρχῆς. Πολλὰ δὲ τοιαῦτα παραδείγματα εὑρίσκονται καὶ ἐν τοῖς θείοις Εὐαγγελίοις, ἐν οἷς οἱ θεόπνευστοι Εὐαγγελισταὶ συμφωνοῦσι μὲν οἱ πάντες κατὰ τὸ νόημα καὶ τὸ πρᾶγμα, διαφέ-

---

τερον ὄνομα τοῦ διωνύμου Ἰαὶρ (Α. Παραλειπ. κ, 5, ὡς ἔχει αὐτόθ. καὶ τὸ ἑβρ. Iair, κατὰ τὸ κερὶ, ἢ ἀναγνωστόν· ἐν δὲ τῷ κειμένῳ γράφεται Ἰαὸρ, Iaor, καὶ ἐν Β. Βασιλ. κα, Iaare). Μόνη ἡ Κομπλουτ. ἔκδοσις τῶν Ο (πρὸς τὸ ἑβραϊκὸν καὶ ὧδε, ὡς καὶ ἀλλαχοῦ, διορθωθεῖσα) ἀντὶ Ἀριωργὶμ ἔχει «Ἰαρὲ τῶν ὑφαινόντων» ἐξελληνίσασα τὸ ἑβρ. Ὀργίμ· ἡ δὲ Βουλγάτα καὶ περαιτέρω προὐχώρησε, προσηγορικῶς καὶ ὧδε τὰς κυριωνυμίας ἐκλαβοῦσα, καὶ ἀντὶ τοῦ Ἐλχανὰν υἱὸς Ἰαρὲ Ὀρεγὶμ (ὡς εἶχε καὶ ἐπὶ Ἱερωνύμου τὸ ἑβραϊκὸν, πλὴν εἰμή που ἡ Βουλγ. διώρθωται ὕστερον) γράφει, Adeodatus filius Saltus Polymitarius (τουτ. Θεόδοτος, υἱὸς ἄλματος, πολυμιτάριος)· ἀλλ' οὕτως ὁ Ἐλχανὰν (= Θεοχάρης, ὅπερ ἴσως Ἐλ—ναθὰν ἀναγνοὺς ὁ Ἱερώνυμος, ἡρμήνευσε Θεόδοτος), ὁ Ἐλχανὰν οὗτος ἔμεινε χωρὶς πατρωνυμίας.

ρουσι δὲ κατὰ τὴν φράσιν, καὶ τὸ πλατύτερον, ἢ συνοπτικώτερον τῆς διηγήσεως, ἢ καὶ περὶ τὸ πλεῖον, ἢ ἔλαττον τῶν ἱστορουμένων.

§. ϐ. Ἀλλ᾽ὅμως ἐν τῇ ἑβραΐδι Γραφῇ παρατηρεῖται καὶ δεύτερον εἶδος τοιούτων παραλλαγῶν, προελθὸν ἐκ τῆς περὶ τοὺς κώδηκας συμβάσης συντριβῆς (περὶ ἧς προείπομεν, κεφ. β), καὶ τῆς ἀμελείας τῶν ἰουδαϊκῶν ἀντιγραφέων. Ὁλόκληροι περίοδοι καὶ κῶλα, καὶ ἡμίστιχα (καὶ μάλιστα ἐπὶ τῶν σύνεγγυς κειμένων ὁμοιοτελεύτων στίχων) λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ, μαρτυρούμενα ἐξ ἄλλων πάλιν παραλλήλων τοῦ ἑβραϊκοῦ χωρίων, καὶ ὑπὸ τῶν Ο, καὶ ἐξ αὐτοῦ πολλάκις τοῦ Σαμαρειτανοῦ. Ἄλλα δὲ πάλιν ἀλλαχοῦ ἐξελέγχονται περιττῶς προστεθειμένα, ἢ καὶ ἐνηλλαγμένα·

§. γ. Καὶ πρῶτον ἐλλείψεως παράδειγμα φανώτατον κείσθω τὸ τῶν δύω στίχων (36, 37), ἐκπεσόντων ἐκ τοῦ κα, κεφαλαίου τοῦ Ἰησοῦ, περὶ ὧν προείρηται ἐν τοῖς προηγηθεῖσι (κεφ. β. §. κη, νγ. πρβλ. §. νζ). Οὗτοι δὲ οἱ δύω στίχοι κεῖνται μὲν ἐν Α. Παραλ. ς, 78, 79, κεῖνται δὲ καὶ παρὰ τοῖς Ο, ἀπαιτοῦνται δὲ καὶ ἐξ αὐτῆς τῆς τοῦ λόγου ὑφῆς, εὑρίσκονται δὲ καὶ ἐν τῷ περισελίδῳ τοῦ χαλδαίου Ἰωνάθαν. — Ἄλλη ἔλλειψις ἐπίσημος ἐν Α. Παραλ. α, 36, ὅπου τὸ ἑβρ. ἔχει «*υἱοὶ Ἐλιφὰζ, Θαιμὰν, Ὠμὰρ, Σωφὰ* (ἢ Σεφὶ, Tsephi), *Γαθὰμ, Κενὲζ*, Θαμνὰ (ἑβρ. Thimnah) *καὶ Ἀμαλὴκ*». Ἀλλ᾽ἐν τῇ Γενέσ. λς, 12, ἀναγινώσκομεν ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο, ὅτι «*Θαμνὰ δὲ ἦν παλλακὴ Ἐλιφὰς τοῦ υἱοῦ Ἡσαῦ, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀμαλὴκ*»· ἀπαραλλάκτως ἔχουσιν οἱ Ο καὶ ἐν τῇ Α. Παραλ. α, 36 (μετὰ τὸ Κενὲζ) «*Θαμνὰ* δὲ, ἡ παλλακὴ Ἐλιφὰζ, ἔτεκεν αὐτῷ τὸν *Ἀμαλὴκ* (Ἀλεξανδρ. καὶ Ἀλδου)· τὰ γοῦν μεταξὺ τοῦ Θαμνὰ καὶ Ἀμαλὴκ ἐξέπεσαν ἐκ τῆς Α, τῶν Παραλειπομένων τοῦ ἑβραϊκοῦ· φαίνεται δὲ παλαιὰ ἡ ἔκπτωσις, ὡς ἀπαντῶσα κἀν τῇ Βουλγάτᾳ (λείπουσιν αἱ λέξεις καὶ ἐκ τῆς ἐκδόσεως τοῦ Βατικανοῦ). — Πάλιν, τὰ ἐν Α, Παραλ. ς. 78 «*ἐκ τοῦ πέραν τοῦ Ἰορδάνου τὴν Ἱεριχὼ* κατ᾽ ἀνατολὰς τοῦ Ἰορδάνου»

(ὡς ἔχει τὸ ἑβραϊκὸν καὶ οἱ Ο) λείπουσιν ἐν τῷ ἑβραϊκῷ ἐκ τοῦ Ἰησοῦ κα, 36 (ἐξ οὗ πάντως καὶ ὁ συγγραφεὺς τῶν Παραλειπομένων αὐτὰ μετέγραψε), κεῖνται δὲ καὶ ὧδε παρὰ τοῖς Ο, συντομώτερον « Καὶ *πέραν τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ* » (Ἀλεξ.). Ἔχει ταῦτα καὶ ἡ Βουλγάτα.—Ἄλλη τοῦ ἑβραϊκοῦ κολόβωσις ἀναντίῤῥητος ἡ ἐν Γ. Βασιλειῶν η, 16, ὅπου (μετὰ τὸ « *τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ*) λείπουσι τὰ ἑξῆς « *Καὶ ἐξελεξάμην Ἱερουσαλὴμ τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ* ». Ἔχουσι δὲ ταῦτα οἱ Ο (Βατικαν.), κεῖνται δὲ καὶ ἐν τῷ παραλλήλῳ χωρίῳ (Β. Παραλ. ϛ. 5) ἔν τε τῷ ἑβραίῳ καὶ παρὰ τοῖς Ο· ἀπαιτεῖ δὲ ταῦτα πάντως καὶ αὐτὴ τοῦ λόγου ἡ σειρά.—Ἔτι ἐκ τοῦ Γ. Βασιλ. ι, 26, λείπουσι τὰ ἐφεξῆς· « Καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων, καὶ ἕως ὁρίων Αἰγύπτου »· ἔχουσι δὲ ταῦτα οἱ Ο καὶ ὧδε καὶ ἐν Β. Παραλ. θ, 26, ὅπου κεῖνται καὶ κατ' αὐτὸ τὸ ἑβραϊκόν.—Ἐν Γενέσ. λε, 21 τὸ ἑβρ. ἔχει μόνον « *Καὶ ἤκουσεν Ἰσραὴλ* », καὶ πλέον οὔ· παρὰ δὲ τοῖς Ο εὑρίσκεις καὶ τὸ παρεκπεσὸν ἐκ τοῦ ἑβραϊκοῦ κῶλον, τὸ ἐφεξῆς, « *καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ* »· τοῦτο βεβαιοῦται ἐκ τοῦ Γεν. μθ, 4 (ὅπου ὁ Ἰακὼβ ἐξελέγχει πικρῶς τὴν αἱμομιξίαν τοῦ Ῥουβήν). Καὶ αὐτοὶ οἱ Μασορῖται ὁμολογοῦσι, καὶ προσγράφουσιν ἐν τῷ περισελίδῳ ὅτι « χάσμα ἐν τῷ στίχῳ » (μετὰ τὸ Ἰσραήλ).—Ἐν Ἐξόδ. κ, 10, λείπουσιν ἐν τῷ ἑβραϊκῷ τὰ « *ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου* » καὶ πάλιν στίχ. 17, τὰ « *οὔτε τὸν ἀγρὸν αὐτοῦ* ». Ἀλλ' ἐν Δευτερ. ε, 14, 21 κεῖνται ταῦτα ἐν τῷ ἑβραϊκῷ, καὶ παρὰ τοῖς Ο ἐν ἀμφοτέροις τοῖς τόποις.— Ἐν Μιχ. ϛ, 15. λείπει ἐκ τοῦ ἑβρ. τὸ « Καὶ ἀφανισθήσεται νόμιμα λαοῦ μου » (οἱ Ο).—Ἐν ψαλμῷ 145, λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ τὰ « *Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ* » ὅπερ ἔχουσιν οἱ Ο (ψαλμ. ρμδ, 13)· μαρτυρεῖ δὲ σαφῶς τὴν ἔκπτωσιν τοῦ στίχου αὐτὴ πρῶτον ἡ τοῦ ψαλμοῦ σύνθεσις. καὶ οὗτος γὰρ ὁ ψαλμὸς (ὡς καὶ ἄλλοι τοῦ Δαβίδ, οἷον ὁ 119, κτλ.) συντέθειται παρ' ἑβραίοις ἀλφαβηταδὸν, ἤτοι κατ' ἀλφαβητικὴν ἀκροστιχί-

δα (ἀρχομένου ἑκάστου τῶν στίχων ἀφ' ἑκάστου στοιχείου τοῦ ἑβραϊκοῦ ἀλφαβήτου). Λείπει τοίνυν ἐν τῷ ψαλμῷ τὸ ἑβραϊκὸν στοιχεῖον *Νοὺν* (=N), τὸ ἀρχικὸν τῆς τῷ *πιστὸς* ἀντιστοιχούσης ἑβραΐδος φωνῆς (τῆς *Νεεμάν*)· μετὰ δὲ τοῦ ἀκροστίχου συνεξέπεσε καὶ ὅλος ὁ στίχος. Ἔχουσι δὲ τοῦτον ἡ Βουγάτα καὶ ὁ Σύρος, καὶ ὁ Ἄραψ, καὶ ἄλλαι μεταφράσεις ἀκολουθοῦσαι τοῖς Ο, καὶ πάντες οἱ τούτου μνησθέντες ἀρχαῖοι πατέρες τῆς Ἐκκλησίας. Ἐκ δὲ τοῦ ἑβραϊκοῦ πάνυ πρώϊμος ἐξεῤῥύη, καὶ ἴσως περὶ τὰ τέλη τοῦ α, αἰῶνος μ. Χ. Οὔτε γὰρ Ἀκύλας ἔχει τοῦτον, οὔτε οἱ λοιποὶ μ. Χ. ἑρμηνευταί.— Καὶ ἐν ψαλμ. λϛ, 28 (ἑβρ. λζ), τὸ ἀπὸ τοῦ Ἄϊν (Ajin) ἀρχόμενον κῶλον ἐξέπεσε· κεῖται δὲ παρὰ τοῖς Ο. « *Ἄνομοι δὲ ἐκδιωχθήσονται* » (ἐκδ. Ἀλεξανδρ. καὶ ἐν Βουλγ.). Ἄλλα παραδείγματα τῶν ἐν τῷ ἑβραϊκῷ συχνοτάτων ἐλλείψεων καὶ συντριβῶν εὑρήσεις παρὰ τῷ Καπελλίῳ, βεβαιούμενα τὰ πλεῖστα καὶ ὑπὸ τῶν νεωτέρων κριτικῶν (α), καὶ ἄλλων σχολιαστῶν τοῦ ἑβραϊκοῦ (β).

(α) Jahn, Einleit. § 127. καὶ Ackermann, Introd. p. 124. καὶ ὁ Βρύνσιος ὁμολογεῖ τὰς ἐν τοῖς ἑβραϊκοῖς χειρογράφοις συχνάκις ἀπαντώσας ἐλλείψεις (Bruns. in Kennic. Diss. General. p. 222).

(β) Ὁ κλεινὸς Καπέλλιος (καὶ ἄλλοι ἐξ αὐτοῦ) προσέθηκε καί τινας ἐλλείψεις ἀνηκούσας οὐκ εἰς πλάνην ἀντιγραφέων, ἀλλ' εἰς αὐτῶν τῶν ἱερῶν συγγραφέων τὸ ἰδίωμα. Οὕτω, φερ' εἰπεῖν, ἐκ τοῦ α, Παραλ. κεφ. ϛ, μεταξὺ τοῦ 67 καὶ 68 στίχου λείπουσι (λέγει) ταῦτα « Καὶ ἐκ τῆς φυλῆς Δὰν τὴν Ἐλθεκὼ καὶ τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ, καὶ τὴν Γαβεθὼν καὶ τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ », ἅπερ εὑρίσκονται ἐν τῷ παραλλήλῳ τόπῳ, τοῦ Ἰησοῦ κα, 23, ἔν τε τῷ ἑβρ. καὶ παρὰ τοῖς Ο (Ἀλεξανδ.). Καὶ ταύτην τὴν ἔλλειψιν, ἢ κολόβωσιν τοῦ ἑβραϊκοῦ παμπάλαιον λέγει, καὶ πρὸ τῶν Ο γενομένην, οὐδὲ γὰρ παρὰ τούτοις εὑρίσκονται (ἐν Α. Παραλειπ.) τὰ δύω σεσημειωμένα κῶλα (Cappel. Crit. Sacr. pag. 43). Ἀλλὰ τοῦτο μᾶλλόν ἐστιν ἀπόδειξις, ὅτι οὐδ' ἐν τῷ ἑβραϊκῷ συνέβη ἡ λεγομένη αὕτη ἔλλειψις, ἀνήκει δὲ μᾶλλον εἰς αὐτὸν τὸν ἱερὸν συγγραφέα τῶν Παραλειπομένων, ὅστις ἐν τούτῳ τῷ χωρίῳ (ὡς καὶ ἐν ἄλλοις πολλοῖς) ἐξέφερε τὸν λόγον ἐπιτομώτερον. Τεκμήριον δὲ καὶ τὸ ἑξῆς. Ὅτι ἐν μὲν Ἰησοῦ κα, 24, μετὰ τὴν ἀπαρίθμησιν τῶν ἐκ τῆς φυλῆς τοῦ Δὰν πόλεων, ἐπιφέρεται « π ό λ ε ι ς τ έ σ σ α ρ ε ς ». Ὁ δὲ τῆς Α τῶν Παραλειπομένων συγγραφεὺς (ϛ. 69) τὰς δύω τούτων μόνον ἀριθμήσας (τὴν Α ἰ λ ὼ ν καὶ τὴν Γ ε θ ρ ε μ ὼ ν, ἴσως ὡς ἐπισημοτέρας) οὐδὲ τὸ « π ό λ ε ι ς τ έ σ σ α ρ ε ς προσέθηκεν » (ὅθεν δῆλον, ὅτι οὐχ ὅλας τὰς τέσσαρας ἔγραψε)· καὶ τὸν

§. δ. Προσθηκῶν δὲ, ἢ πλεονασμῶν, δείγματα κείσθωσαν ταῦτα. Ἐν Γενέσ. λα, 53 τὸ ἑβραϊκὸν ἔχει· « ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ναχὼρ κρινεῖ » (ἄλλ. κρινοῦσιν) « ἀνὰ μέσον ἡμῶν, *ὁ θεὸς τοῦ πατρὸς αὐτῶν* » κτλ. Τοῦτο τὸ τελευταῖον (« ὁ θεὸς τοῦ πατρὸς αὐτῶν ») οὐκ ἀνέγνων οἱ Ο· ἐξελέγχει δὲ τρανῶς τὴν ἄτοπον προσθήκην καὶ ἡ ἔννοια, καὶ διάσημοι κριτικοί (α). — Ἐν Β. Βασιλ. ϛ, 3, τὸ ἑβρ. γράφει· « Καὶ ἦραν αὐτὴν (τὴν κιβωτὸν) ἐξ οἴκου Ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ. Καὶ Ὀζὰ καὶ οἱ ἀδελφοί·· ἦγον τὴν ἅμαξαν ». Οὕτως ἔχουσι καὶ οἱ Ο· « ἦγον τὴν ἅμαξαν *σὺν τῇ κιβωτῷ* » (αὐτόθ.). Ἀλλὰ τὸ ἑβρ. εὐθὺς πάλιν (ςίχ. 4) ἐπαναλαμβάνει « *Καὶ ἦγον αὐτὴν ἐξ οἴκου Ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ* ». Τοῦτο (κατὰ τὴν Καπελλίου κρίσιν) φαίνεται διττογραφία περιττὴ, πλανηθέντος τοῦ μεταγραφέως ἐκ τοῦ προηγουμένου στίχου. Λείπει δὲ ἡ ἐπανάληψις ἐκ τῶν Ο (κώδ. Βατικ.). λείπει δὲ καὶ ἐκ τοῦ α, Παραλ. ιγ, 7, ὅπου οὐδ' ἐν τῷ ἑβραϊκῷ κεῖται (φαίνεται δὲ πρὸ τοῦ Ἱερωνύμου χρόνων ἐπισυμβᾶσα· ἔχει γὰρ αὐτὴν καὶ ἡ Βουλγάτα καὶ ἡ Ἀλεξανδρ. ἔκδοσις τῶν Ο). — Ἄλλη προφανῶς ἡμαρτημένη πρόσθεσις ἀπαντᾶται ἐν α, Παραλ, ιϛ, 42 τοῦ ἑβραϊκοῦ. « Καὶ μετ' αὐτῶν *Αἱμὰν καὶ Ἰδιθούμ* »· ἀλλ' ἀμφότερα τὰ ὀνόματα μετεγράφησαν κατ' ἀναδίπλωσιν ἐκ τῶν μικρῷ προηγηθέντων (ςχ. 41)· ἀγνοοῦσι δὲ καὶ ταύτην τὴν διττογραφίαν (καθ' ὅλας τὰς ἐκδόσεις) οἱ Ο. — Τοιαύτην ἀναδίπλωσιν καὶ ἐν α, Παραλ. ιζ, 24 ἔπαθε τὸ ἑβραϊκὸν, λέγον· « Ὁ θεὸς τοῦ Ἰσραὴλ, *ἐστὶ θεὸς τοῦ Ἰσραὴλ* (Elohi Jsrael), ἀλλ' οἱ Ο ἁπλῶς, « *Κύριε, ὁ θεὸς Ἰσραὴλ* » (αὐτ. Βατικ. Ἀλεξ.)· ἅπαξ ἔχει τοῦτο καὶ ἡ Βουλγάτα. ὡσαύτως καὶ τὸ παράλληλον χωρίον (β. Βασιλ. ζ. 27) παρά τε

λόγον δὲ κατασκευάζων ἀπ' ἄλλης ἀρχῆς, καὶ πρὸς τὰς φυγαδευτηρίους πόλεις κυρίως ἀπευθύνων, οὐδὲ τῆς φυλῆς τοῦ Δὰν ἐμνημόνευσεν. Οὕτως ἔχει καὶ ἡ Βουλγάτα, καὶ αἱ λοιπαὶ ἀρχαῖαι μεταφράσεις. Οὐ χρὴ τοίνυν πρὸς τοῖς προφανῶς ὑπάρχουσιν οὐκ ὀλίγοις, οὐδὲ σμικροῖς ἐλλείμασι τοῦ ἑβραϊκοῦ καὶ ἄλλα προσεπινοεῖν, οὐδὲ τὸ στρεβλὸν στρεβλότερον ποιεῖν.

(α) Houbigant. Not. in Genes. l. c. — Schulz Schol. ad Genes. h. l.

τοῖς Ο, καὶ ἐν αὐτῷ τῷ ἑβραϊκῷ.—Ἐν Λευϊτ. ζ, 19 λέγει τὸ ἑβρ., «*Καὶ κρέα*, πᾶς καθαρὸς φάγεται *κρέα*». Τοῦτο σπουδάζουσι θεραπεῦσαι ποικίλως (α)· ἔϛι δὲ σαφὴς ἐκ τοῦ μεταγραφέως ἐπανάληψις τοῦ *κρέα*, ὡς φαίνεται ἐκ τῶν Ο «πᾶς καθαρὸς φάγεται κρέα» (αὐτόθ. κεφ. ζ, 9)· οὐδ᾽ ἡ Βουλγάτα γνωρίζει τὴν ἐπανάληψιν. Περίφημος καὶ ἀρχαία καὶ ἡ ἐν Γενεσ. α, 27, παλιλλογία ἐκείνη τοῦ ἑβραϊκοῦ «Καὶ ἔκτισεν ὁ Θεὸς τὸν ἄνθρωπον *κατ᾽ εἰκόνα αὐτοῦ· κατ᾽ εἰκόνα Θεοῦ* ἔκτισεν αὐτόν»· (ταύτην τὴν *κατ᾽ εἰκόνα αὐτοῦ* δισσολογίαν καὶ Ἀκύλας εὑρὼν, ὀλίγῳ ἴσως πρὸ αὐτοῦ προστεθειμένην, ἡρμήνευσεν). Οἱ δὲ Ο ἔχουσιν, ὡς ἀνέγνων ἁπλῶς καὶ καθαρῶς «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· *κατ᾽ εἰκόνα Θεοῦ* ἐποίησεν αὐτόν» (οὕτω καὶ Γεν. ε, 1, καὶ κατ᾽ αὐτὸ τὸ ἑβραϊκόν). Ἀλλὰ καὶ περὶ προσθηκῶν ἅλις.

§. ε. Τῶν δὲ, τέλος, περὶ λόγους *μεταθέσεων* ἐν τῷ ἑβραϊκῷ παραδείγματα ἄλλα τέ τινα, καὶ τὰ ἑξῆς.—Γενέσ. ιδ, 12. τὸ ἑβρ. «Καὶ ἔλαβον τὸν Λὼτ, *καὶ τὴν περιουσίαν αὐτοῦ*, τὸν υἱὸν τοῦ ἀδελφοῦ τοῦ Ἀβραάμ»· (τὴν ἀταξίαν ταύτην καὶ εὗρε καὶ διετήρησε καὶ ἡ Βουλγάτα). Ἀλλὰ παρὰ τοῖς Ο, τετήρηται ἡ γνησία τάξις τῆς συνθέσεως· «Ἔλαβον δὲ καὶ Λὼτ, *υἱὸν τοῦ ἀδελφοῦ Ἀβραὰμ*, καὶ τὴν ἀποσκευὴν αὐτοῦ».—Πάλιν ἐν Ἐξόδ. κ, 17, τὴν δεκάτην ἐντολὴν ὁ Ἑβραῖος γράφει οὕτω· «Οὐκ ἐπιθυμήσεις *τὴν οἰκίαν τοῦ πλησίον σου*· οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου». Ἀλλ᾽ ἐν Δευτερ. ε, 21, προηγεῖται μὲν τὸ Οὐκ ἐπιθυμήσεις *τὴν γυναῖκα τοῦ πλησίον σου*, ἕπεται δὲ τὸ, *τὴν οἰκίαν*· ὅτι δὲ αὕτη ὑπῆρχε παρ᾽ ἑβρ. ἐξ ἀρχῆς ἡ τάξις τῶν κομμάτων καὶ ἐν Ἐξόδ. κ, 17, μαρτυροῦσιν οἱ Ο, παρ᾽ οἷς ἐν ἀμφοτέροις τοῖς τόποις, ἡ Ι, ἐντολὴ ἄρχεται ἐκ τοῦ «Οὐκ ἐπιθυμήσεις *τὴν γυναῖκα τοῦ πλησίον σου*» (ἔοικε δέ πως καὶ ὁ λόγος ἀπαιτεῖν πρότερον τὸ τιμιώτερον, οἷον τῆς οἰκίας ἡ γυνή· πρὸς ταύτην δὲ μάλιστα σφαδάζει καὶ ἡ ἄδικος ἐπιθυμία, πρὸς ἣν ὁ θεῖος νόμος

(α) Βλ. Houbigant. Prolegom. pag. 25. καὶ τὰς βεβιασμένας ἀντιῤῥήσεις τοῦ Ravij Exercit. pag. 57. πρβλ. Rosenmüll. ad Levit. l. c.

ἀποτείνει πρώτιστα τὴν ἀπαγόρευσιν).—Πάλιν, εἰς τὴν αὐτὴν δεκάλογον νομοθεσίαν τὸ ἑβραϊκὸν ἔν τε τῇ Ἐξόδῳ καὶ τῷ Δευτερονομίῳ τάττει πρῶτον τὴν «*Οὐ φονεύσεις*,» καὶ ἔπειτα τὴν «*Οὐ μοιχεύσεις*» ἐντολήν. Οὕτω καὶ παρὰ τοῖς Ο ἐν τῷ Δευτερονομίῳ· ἀλλ᾽ ἐν τῇ Ἐξόδῳ παρὰ τούτοις προηγεῖται, τὸ, «*Οὐ μοιχεύσεις*» (Βατικ. καὶ Ὀξωνιακ. χειρόγρ.). Καὶ ταύτην τὴν τάξιν ἐπικυροῦσιν οἱ θεῖοι Εὐαγγελισταὶ, Μάρκος (ι, 19), καὶ Λουκᾶς (ιη, 20) (α). Τὴν δὲ πάλιν ἐν τῷ Δευτερονομίῳ βεβαιοῖ ὁ θεῖος Ματθαῖος ιθ, 18 (β). Καὶ φαίνεται ἄρα, ὅτι καὶ οἱ Ο, ἀνέγνων ἐν τῷ κατ᾽ αὐτοὺς ἑβραϊκῷ, καθ᾽ ἣν τάξιν μεθηρμήνευσαν. Ὅτι δὲ καὶ κατ᾽ αὐτὸ τὸ νῦν ἑβρ. κείμενον ἡ ἐν Ἐξόδῳ ἔκθεσις τοῦ Δεκαλόγου ἔχει τινὰς ἄλλας διαφορὰς πρὸς τὴν ἐν Δευτερονομίῳ, ἃς ἐπικυροῦσι καὶ οἱ Ο, προείπομεν (Βιβλ. Β. κεφ. Ι. ζ. μα. σελ. 714).

§. ϛ. Οἱ δὲ περὶ τὸν Καπέλλιον παρετήρησαν καὶ ἐν οἷς προείπομεν ἀλφαβητικοῖς (τοῖς κατ᾽ ἀκροστιχίαν ἀλφαβήτου συντεθειμένοις) Δαυϊδικοῖς ψαλμοῖς, μεταθέσεις τινὰς τῶν στοιχείων τοῦ ἑβραϊκοῦ ἀλφαβήτου· οἷον ἐν τῷ 25 (παρὰ τοῖς Ο, κδ) ψαλμῷ εὑρίσκονται καὶ ὁ πρῶτος καὶ ὁ δεύτερος στίχος ἀρχόμενοι ἀπὸ τοῦ Α (aleph), καὶ ἐν ἄλλοις ἄλλας τῶν στίχων ἐναλλαγάς· ὡσαύτως καὶ εἰς τὰ ἀλφαβητικὰ κεφάλαια τῶν Ἱερεμίου Θρήνων· ἀλλὰ ταῦτα παραλείπομεν τοῖς ἰδίως περὶ τὴν ἑβραϊκὴν φιλολογίαν ἀσχολουμένοις κριτικοῖς (γ). Ἡμῖν δ᾽ ἅλις ἐχέτω πρὸς τὸ

(α) Οὕτως ἀνέγνωσαν καὶ Φίλων (περὶ Δεκαλ. α), καὶ Τερτυλλιανὸς (de Pudicitia), καὶ Κλήμης (Στρωμ. ϛ. σελ. 682). Οὕτως εἶχεν, ἴσως, ἐπὶ τοῦ Φίλωνος καὶ ὁ κώδηξ ὁ Ἀλεξανδρινὸς, ὅστις ἐν τῇ ἐκδόσει τοῦ καθ᾽ ἡμᾶς Ἀλεξανδρ. ἀπογράφου ἔχει καὶ ἐν τῇ Ἐξόδῳ πρῶτον τὸ Οὐ φονεύσεις.

(β) Οὕτω καὶ Χρυσόστ. εἰς ε. Κορινθ. καὶ Γρηγόρ. Ναζ. ἐν ἔπεσ. καὶ Μ. Ἀθανάσ. Συνόψ. σελ. 67 τόμ. β. Καὶ παρ᾽ Ἰωσήπῳ δὲ τὸ μὴ φονεύσῃς προηγεῖται (Ἀρχ. γ, ε, 5). πρβλ. Grot. Annot. ad Exod. c. 20. ὅστις καὶ προστίθησιν ἀστείως, ὅτι μηδὲν ἀδικῶν τὴν Μασορίτειον ἔκδοσιν (τοῦ νῦν ἑβραϊκοῦ), ἀκολουθεῖ μᾶλλον τοῖς Ο.

(γ) Βλ. Cappell. Crit. Sacr. p. 45, 47. πρβλ. Rosenmüll. Schol. ad Psalm. 25. prooem.

παρὸν ἡ ἐν τοῖς προηγηθεῖσι κεφαλαίοις ἀπόδειξις τῆς διαφθορᾶς τοῦ ἑβραϊκοῦ, τηλαυγῶς ἀναφαινομένης ἐξ ὧν, ὀλίγας ἐκ πολυπληθῶν ἐκλέξαντες, ἐσημειώσαμεν σφαλερῶν διαφορῶν.

§. ζ. Ἐκ δὲ τῶν προειρημένων συμπεραίνομεν τὰ ἐφεξῆς πορίσματα, ἃ καὶ οἱ περὶ τὸν κλεινὸν Καπέλλιον ὡμολόγησαν (α). Πρῶτον, ὅτι ὅσας ἐν τοῖς παραλλήλοις τόποις διαφόρους ἀναγνώσεις, ἢ παραλλαγὰς τοῦ ἑβραϊκοῦ κειμένου διατηροῦσιν ἀκριβῶς καὶ οἱ Ο, πᾶσαι αὗται προῆλθον ἐξ αὐτῶν τῶν ἱερῶν συγγραφέων, ἄλλως πως ἐν τούτῳ, ἢ ἐν ἐκείνῳ τῷ τεύχει τὴν αὐτὴν ἔννοιαν ἐκφρασάντων, ἄλλως δ᾽ ἐν ἄλλῳ τινὶ, ὡς προείπομεν (§. α.). Οὐδ᾽ ἔξεστιν ὅλως ἐν τοῖς τοιούτοις φαντάζεσθαι διαφθορὰς, ὡς δῆθεν προελθούσας ἐξ ἀβλεψίας καὶ πλάνης ἀντιγραφέων. Ἀπὸ τοῦ μακαρίου Ἔσδρα, τοῦ πρώτου μετὰ τὴν αἰχμαλωσίαν ἀνακαινίσαντος ὅλα τὰ τεύχη τῆς θείας Γραφῆς, τὰ αὐτὰ διέμειναν ἀντίγραφα μέχρι καὶ τῆς ἑρμηνείας τῶν Ο (βλ. ὄπισθ. σελ. 51). Δεύτερον. ὅσας διαφόρους ἀναγνώσεις, ἢ παραλλαγὰς ἀπαντῶμεν ἐν τῷ νῦν ἑβραϊκῷ κειμένῳ, ἃς οὐκ ἔχουσιν οἱ Ο, πᾶσαι αὗται παρεισέφρησαν ἐν τῷ ἑβραϊκῷ μετὰ τοὺς Ο, καὶ κυρίως μετὰ τὴν ἐσχάτην τῶν Ἱεροσολύμων ἅλωσιν, ὡς προείρηται (κεφ. β.). Εἴπερ γὰρ ὑπῆρχον αἱ αὐταὶ παραλλαγαὶ καὶ διαφωνίαι καὶ ἐν τοῖς ἑβραϊκοῖς χειρογράφοις ἐκείνοις, ἐξ ὧν οἱ Ο, μεθηρμήνευσαν, ἔμελλον πάντως καὶ ταύτας, ὡς καὶ τὰς προειρημένας, ἐν τῇ κατ᾽ αὐτοὺς ἑρμηνείᾳ διατηρήσειν. Νῦν δ᾽ ἄλλως αὐτοὶ πολλαχοῦ μεταφράσαντες (πάντῃ διαφόρως, ἢ ὡς ἐν τοῖς αὐτοῖς ἔχει χωρίοις τὸ σημερινὸν ἑβραϊκὸν), ἐδήλωσαν σαφέστατα, ὅτι τὸ κατ᾽ αὐτοὺς κείμενον παρήλλατεν ἐν τούτοις ἀπὸ τοῦ καθ᾽ ἡμᾶς ἑβραϊκοῦ. Τρίτον, τέλος, πόρισμα συνάγομεν, ὅτι ἐκ τῶν διαφόρων τοῦ ἑβραϊκοῦ παραλλαγῶν, ὅσαι κατὰ τόπους πρὸς ἀλλήλας ἀντιστοιχοῦσιν, ἐκεῖναι φαίνονται γνησιώτεραι, ὅσας ἐπισφραγίζει καὶ τὸ σύμφωνον κῦρος τῶν Ο· αἱ δὲ ἕτεραι ἐξελέγχονται

(α) Cappel. Crit. Sacr. pag. 41.

παραφθοραὶ τοῦ ἑβραϊκοῦ, καθ' ἃς καὶ αὐτὸ πρὸς ἑαυτὸ διαφωνεῖ, ὡς διδάσκουσι τρανῶς τὰ προεκτεθέντα παραδείγματα.

§. η. Εἴδομεν ἐν τοῖς προηγηθεῖσι κεφαλαίοις, ὅτι τὸ ἑβραϊκὸν κείμενον πολλὰς ἔπαθεν ἀλλοιώσεις καὶ διαφθορὰς, ἀναφαινομένας ἐξ ὧν ἐσημειώσαμεν (ὀλίγων ἐκ πολλῶν) ἐλλείψεων, ἢ προσθηκῶν, καὶ ἄλλων μεταβολῶν, ὅσαι κατὰ διαφόρους τόπους ἀπαντῶσιν ἐν αὐτῷ τῷ κοινῶς παραδεδεγμένῳ κειμένῳ τῆς ἑβραΐδος Γραφῆς. Ἤδη μεταβαίνομεν καὶ εἰς ἄλλα εἴδη διαφόρων ἀναγνώσεων, ὅσας ἔχουσι σεσημειωμένας ἰδίως οἱ Μασορῖται.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

Περὶ τῶν παρ' Ἰουδαίοις σεσημειωμένων διαφόρων ἀναγνώσεων τοῦ κειμένου· καὶ πρῶτον περὶ τῶν ἀναγνωστῶν καὶ γραπτῶν (α).

§. α. Δύω τινὰ γένη διαφόρων ἀναγνώσεων σημειοῦσιν ἐν τῷ ἑβραϊκῷ κειμένῳ οἱ Ἰουδαῖοι, τὸ μὲν, περὶ γράμματα καὶ συλλαβὰς καὶ λέξεις ὁλοκλήρους, τὸ δὲ, περὶ μόνα τὰ σημεῖα τῶν φωνηέντων καὶ τῶν προσῳδιῶν. Καὶ περὶ τούτου μὲν λέγομεν ἑξῆς ἐν ἰδίῳ κεφαλαίῳ· νῦν δὲν πρῶτον περὶ τοῦ πρώτου.

§. β. Ἐν διαφόροις χειρογράφοις, κἂν ταῖς ἐπισημοτάταις καὶ πλείσταις τῶν ἐκδόσεων τῆς ἑβραϊκῆς Γραφῆς ὑπάρχουσιν ἐν τοῖς περισελίδοις σεσημειωμέναι λέξεις, παραλλάσσουσαι τῶν ἐν τῷ κανονικῷ κειμένῳ γεγραμμένων, πρὸς ἃς ἀντιστοιχοῦσι, φέρουσαι σημεῖον τὸ στοιχεῖον Κ (ἀρκτικὸν τῆς λέξεως Keri). Τὰς τοιαύτας διαφόρους ἀναγνώσεις, ἢ παραλλαγὰς, ὀνομάζουσιν οἱ

(α) Keri ve Chetib, λέξεις Χαλδαϊκαὶ (Μασοριτῶν δημιούργημα)· ἢ καὶ Kri, Ktib (ὀρθότερον. Luzzatto, Prolegom. p. 154.)· καὶ πληθυντ. Karjan ve Chatban (θηλυκῶς, χαλδαϊκῷ τύπῳ· οἱ δὲ καὶ ἀρσενικῶς, Kerijn ve Chetibin)· καὶ ἄλλοι σχηματίζουσιν ἑβραϊκώτερον Kerijm ve Chetibhim, ἢ καὶ (θηλυκῶς) Kerioth ve Ketufoth. Βλ. Carpzov. Crit. Sacr. p. 329.

Ἰουδαῖοι *ἀναγνωστὰ καὶ γραπτὰ*, περὶ ὧν προείπομεν (κεφ. β, §. μα). Καὶ περὶ μὲν τῆς τούτων ἀρχῆς ὅ,τι φρονοῦσιν αὐτοί τε οἱ Ἰουδαῖοι, καὶ οἱ ῥαββινίζοντες κριτικοί, καὶ τούτων αὖθις οἱ συνετώτερα φρονοῦντες καὶ τὰ δίκαια, λέγομεν παρακατιόντες· ἤδη δὲ σημειοῦμεν τῶν πολυθρυλλήτων *Κερίων καὶ Κετιβίων* τούτων πρῶτον τὸν ἀριθμόν, εἶτα δὲ καὶ τὰ διάφορα εἴδη.

§. γ. Τὰς ἐν τῷ περισελίδῳ σεσημειωμένας λέξεις τῶν ἀναγνωστῶν, ὅσαι πρὸς τὰς ἐν τῷ κειμένῳ *γραπτὰς* ἀντιστοιχοῦσιν, ὁ μὲν ῥαββὶς Ἠλίας ὁ Λευΐτης (ἐν συγγράμματι Masoreth Hamasoreth, ἤτοι *Μάσορα Μασορῶν*) ἐξαριθμήσας, συνεκεφαλαίωσεν εἰς 848. Ὁ δὲ φιλοπονώτατος Καπέλλιος ἐπιμελέστερον ἐξετάσας τήν τε Βαμβεργίαν δευτέραν Ἐνετίῃσιν ἔκδοσιν τῆς ἑβραϊκῆς Γραφῆς (ἧς καὶ ὁ ῥαββὶς Ἠλίας τὴν ἀκρίβειαν δι' ἐπιγράμματος ἐξύμνησε), καὶ τὴν Πλατιανήν, καὶ τὴν ἐν Ἀντουερπίᾳ τοῦ Μοντάνου, εὕρηκεν ἐν μὲν τῇ Βαμβεργίᾳ *Κερία*, ἢ ἀναγνωστὰ 1171, καὶ προσέτι 85, *Ἰεθιρὼθ* (ἀνωμάλους τινὰς λέξεις, ἐν αἷς περιττεύει παρὰ τὴν ἀναλογίαν γράμμα τι τῶν *ἠρεμούντων* (βλ. ὄπισθ. σελ. 119), καὶ 3, *Χασερὼθ* (λέξεις, ἐν αἷς τι τῶν εἰρημένων γραμμάτων λείπει)· ἐν δὲ τῇ Πλατιανῇ ἐκδόσει, 793 *Κερία*, καὶ 99 *Ἰεθιρὼθ*, καὶ 9 *Χασερὼθ*· ἐν δὲ τῇ Μοντάνου, 983 Κερία, καὶ 58 *Ἰεθιρὼθ*, καὶ 9 *Χασερώθ*. Ὁ δὲ σοφώτατος Μορῖνος ἐξετάσας κᾀκεῖνος τὴν ἄλλην τὴν Ἐνετικὴν τοῦ ῥαββίνου Χαϊμίδου ἔκδοσιν, εὕρηκε Κερία 1195 (α). Οὕτως οἱ ἀριθμοὶ τῶν ἐν τῷ ἑβραϊκῷ κειμένῳ σημειουμένων παραλλαγῶν διαφέρουσι καὶ πρὸς ἀλλήλους, καὶ πρὸς ὃν ὁ σοφὸς ῥαββὶς Ἠλίας ἐσημείωσεν, οὔ τι πάνυ σοφὸς περὶ τὰ οἰκεῖα φανεὶς ἀριθμητής. Ἂν δὲ (φησὶν ὁ Καπέλλιος) προστεθῶσι πρὸς τοῖς *Κερίοις* καὶ τὰ *Ἰεθερὼθ* καὶ *Χασερὼθ*, τότε πολὺ πλέον ἀναβήσεται ὁ τῶν παραλλαγῶν ἀριθμός· οἷον, ἐν τῇ Βαμβεργίᾳ ἐκδόσει εὑρεθήσονται 1259, καὶ ἐπὶ τῶν ἄλλων ἀναλόγως·

(α) Cappel. Crit. Sacr. p. 69 sqq. — Walt. Proleg. VIII. §. 20. — Carpzov. Crit. Sacr. p. 346 sqq.

Κἀκεῖνο δὲ προστίθησιν· ὁ Καπέλλιος· ὅτι ἐν τῷ τῆς Πλατιανῆς ἐκδόσεως κειμένῳ παρετήρησεν ἐπὶ λέξεων πολλῶν ἐπιγεγραμμένα *κρικύλλια* (βλ. ὄπισθ. σελ. 119), δι᾽ ὧν ὁ ἀναγνώστης διδάσκεται, ὅτι ἀντὶ τούτων εὑρήσει ἐν τῷ περισελίδῳ ἄλλην τινὰ λέξιν *ἀναγνωστὴν* (κερί)· ἐν αὐτῇ δὲ ὅμως τῇ ἐκδόσει οὐδὲν τῶν ζητητέων τούτων ἀναγνωστῶν παρασεσημείωται. Ἐὰν οὖν καὶ τούτων δὴ τῶν κεκρικωμένων λέξεων ὁ ἀριθμὸς προστεθῇ πρὸς τῷ κεφαλαίῳ τῶν παραπεπηγότων *κερίων*, τότε πολὺ πλέον αὔξει τὸ ποσὸν, καὶ « μείζων πρόεισι *καὶ καρανοῦται* λόγος »! Ἐντεῦθεν πάρεστιν ἰδεῖν, ὅτι καὶ ἐξ αὐτῶν τῶν παρὰ τοῖς Ἰουδαίοις ὁμολογουμένων καὶ σημειουμένων διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, ἀποδείκνυται μεγάλη τις ἡ μεταξὺ τῶν χειρογράφων καὶ τῶν τετυπωμένων διαφωνία. Ἐν ἄλλοις μὲν γὰρ λείπουσι πολλαχοῦ τὰ παρ᾽ ἄλλοις σεσημειωμένα κρικύλλια μὲν ἐν τῷ κειμένῳ, *κερία* δ᾽ ἐν τῷ περισελίδῳ. Καὶ πάλιν ἐν τούτοις εὑρίσκεις ἐνηλλαγμένα τὰ *κετίβια* πρὸς τὰ *κερία*· καὶ ὅ,τι ἄλλοι ἔχουσιν ἐν τῷ περισελίδῳ ὡς *ἀναγνωστὸν*, τοῦτο οὗτοι φέρουσιν ἐν τῷ κειμένῳ ὡς *γραπτὸν*, καὶ τἀνάπαλιν (βλέπε ὄπισθεν σελ. 181). Ἄλλοτε δὲ πάλιν εὑρίσκεις ἐν τοῖς χειρογράφοις *ἀναγνωστά* τε καὶ *γραπτὰ*, ἅπερ ἀγνοοῦσιν οἱ τετυπωμένοι κώδηκες· ἔστι δ᾽ ὅπου τούτων καὶ μόνα τὰ κρικύλλια γράφονται (ὡς προείπομεν)· καὶ, τέλος, ἐν πολλοῖς χειρογράφοις λείπουσιν ὁλοτελῶς καὶ τὰ *κερία* καὶ τὰ *κετίβια*· γέγραπται δὲ μόνον ἁπλῶς μία τις λέξις ἐν τῷ κειμένῳ, ἐφ᾽ ἧς ἐν ἄλλοις βιβλίοις ἐπισάττονται αἱ τῶν *ἀναγνωστῶν* παραλλαγαί. Πρόσθες, ὅτι καὶ τούτων αὐτῶν τῶν σεσημειωμένων *παραλλαγῶν* ἐν διαφόροις κώδηξιν ἀπαντῶσιν ἄλλαι πάλιν ποικίλαι *παραλλαγαὶ* (« *τόκοι τόκων* », τὸ τοῦ λόγου, καὶ *μύακες ἐν μύαξιν*). Τοσαύτη ταραχὴ καὶ μάχη κατέχει πολλαχοῦ τὸ κείμενον τὸ ἑβραϊκὸν, οὗτινος καυχῶνται τὴν ἐν πᾶσι γνησίαν ἀκεραιότητα! Εἴδομεν τὸν ἀριθμόν. Ἴδωμεν ἤδη καὶ τὴν φύσιν, ἢ τὰ εἴδη τῶν *κεριῶν* καὶ *κετιβῶν*.

§. δ. Αὗται τοίνυν αἱ διάφοροι ἀναγνώσεις θεωροῦνται ἤτοι

περὶ *λέξεις ὁλοκλήρους*, ἢ περὶ τά, ἐξ ὧν σύγκεινται στοιχεῖα. Καὶ τῶν μὲν λέξεων ἡ διαφορὰ προέρχεται ἔκ τινος τῶν πέντε τούτων παθῶν, ἐλλείψεως, προσθέσεως, συνθέσεως, διαιρέσεως, ἐναλλαγῆς. Αἱ δὲ τῶν γραμμάτων διαφοραὶ ἀποτελοῦνται ἐκ τῆς ἑνὸς, ἢ πλειόνων γραμμάτων ἐλλείψεως, ἢ προσθέσεως, ἢ μεταθέσεως, ἢ ἐναλλαγῆς. Ἡμεῖς δὲ (χάριν ἐπιτομῆς) λέγομεν μόνον περὶ *τῶν λέξεων*, καὶ πόσα τὰ εἴδη τῶν κατ᾽ αὐτὰς τετραγῳδημένων διαφορῶν.

§. ε. Α) Πρῶτον εἶδός ἐστι τὸ λεγόμενον «*τῶν ἀναγινωσκομένων καὶ μὴ γραφομένων*», ἢ, *τῶν ἀναγνωστῶν καὶ μὴ γραπτῶν*· καὶ ἔστι τὸ εἶδος *ἐλλειπτικόν*. Ὑπάρχουσι λέξεις, αἵτινες ἐν μὲν τῷ ὕφει τοῦ κειμένου λείπουσιν, οὐδὲ γράφονται παντάπασι, διάλειμμα δέ τι μόνον, ἢ χάσμα κενὸν, εἰς τὸν τόπον αὐτῶν παραλείπεται (ἔστι δ᾽ ὅτε καὶ μόναι τῆς λέξεως αἱ στιγμαὶ σημειοῦνται)· αὐταὶ δ᾽ αἱ λέξεις ὁλόκληροι γράφονται κατάντικρυς ἐν τῷ περισελίδῳ, μετὰ σημειώσεως ταύτης. «*ἀναγινώσκεται καὶ οὐ γράφεται*» (Keri ve lo Ketib). Τοιαῦται λέξεις ἐν ὅλῳ τῷ κειμένῳ, κατὰ διάφορα τεύχη τῆς γραφῆς, ἀριθμοῦνται αἱ πᾶσαι *δεκατρεῖς* (α). Ἰστέον δὲ καὶ περὶ τούτων· α) Ὅτι οἱ Ταλμουδικοὶ ῥαββεῖς ἓξ μόνον αὐτὰς ἀριθμοῦσιν. ὁ δὲ λευΐτης Ἠλίας, *ὀκτώ*· λέγει δὲ καὶ ἐν τῷ τῆς Μασόρας προλόγῳ, ὅτι *δέκα* ταύτας ἀριθμοῦσιν οἱ Μασορῖται· ἄλλος δέ τις Ἰουδαῖος, ὁ Αὐενάριος (ἐν τῇ ἑβραϊκῇ γραμματικῇ) *δώδεκα* ταύτας ὁρίζει, παραλείπων τὴν δεκάτην ἀριθμουμένην ed (τουτ. *μαρτύριον*· ἐν Ἰησοῦ κβ, 34), ὡς γνησίαν τοῦ κειμένου φωνήν· ἔχουσι δὲ

(α) Βλ. ταύτας παρὰ τῷ Καπελλίῳ Crit. Sac. p. 73.—Carpzov. l. c. p. 348. γράφομεν δὲ καὶ ὧδε, χάριν τῶν ἀναγνωστῶν, ἓν, ἢ δύω δείγματα. Οἷον ἐν Κριτῶν κ, 13, παραλείπεται ἐν τῷ κειμένῳ τὸ οἱ υἱοί, οὕτω· «Καὶ οὐκ ἠθέλησαν . . . Βενιαμίν»). Καὶ ἐν Ῥοὺθ γ, 5, λείπει τὸ μοί, ἤ, πρός με· «Πάντα ὅσα ἂν εἴπῃς . . . ποιήσω». Ἄλλας τινὰς τούτων τῶν ἀναγνώσεων γράφομεν ἀνωτέρω· τὰς δὲ λοιπὰς παραλείπομεν τοῖς ἀνεχομένοις μὴ γράφειν μὲν, ἀλλ᾽ ὅμως ἀναγινώσκειν ἐν τῷ κειμένῳ! ὅ ἐστι ταὐτὸ καὶ ὡς ἂν εἰ ἔλεγον, ἀναγινώσκειν ἄγραφα!

ταύτην καὶ οἱ Ο, ὡς ἀναγνόντες πάντως ἐν τῷ τότε κειμένῳ. Ὡσαύτως καὶ ἡ Βουλγάτα. — β) Αἱ εἰρημέναι 13 λέξεις οὐ πᾶσαι ἐν πάσαις ταῖς ἐκδόσεσιν ὡς *ἀναγνωσταὶ* παρασημειοῦνται· οἷον ἡ μεταξὺ τούτων τρίτη τεταγμένη λέξις, ἡ *Περάθ* (τουτ. Εὐφράτης. Β. Βασιλ. η, 3), παρὰ μὲν τοῖς Ταλμουδικοῖς καὶ ἐν τῇ Βαμβεργίᾳ καὶ ἄλλαις ἐκδόσεσιν ἀριθμεῖται ἐν ταῖς *ἀναγνωσταῖς*· ἐν δὲ τῇ Πλατιανῇ καὶ ἄλλαις ἐκδόσεσι τίθεται ἐν αὐτῷ τῷ κειμένῳ, ὡς *γραπτὴ* γνησία καὶ ἀπαρασημείωτος, οἷα κἂν τῷ παραλλήλῳ τόπῳ (α. Παραλ. ιη, 3) ἀναγινώσκεται καθ᾽ ὅλας τὰς ἐκδόσεις τοῦ ἑβραϊκοῦ. Ἀνέγνων δ᾽ αὐτὴν ἐν ἑκατέροις τοῖς τόποις (Β. Βασιλ. η, καὶ Α. Παραλ. ιη) οἵτε Ο, καὶ ἡ Βουλγάτα, ὡς ὑφεστῶσαν τότε ἐν τῷ ἑβραϊκῷ (τὰ δὲ Μασορίτεια *κερία* ὑπῆρχον ἄγνωστα παντάπασιν οὐ μόνον τοῖς Ο, ἀλλὰ καὶ αὐτῷ τῷ Ἱερωνύμῳ, ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς). Τοῦτ᾽ αὐτὸ συμβαίνει καὶ εἰς τὴν προειρημένην *δεκάτην* λέξιν (τὴν ed, ἤτοι *μαρτύριον*), παρ᾽ ἄλλοις μὲν ἐν τοῖς *κερίοις*, παρ᾽ ἄλλοις δὲ γραφομένην ἐν τῷ κειμένῳ. Ἄλλο δέ τι γίνεται περὶ τὴν *ἐνδεκάτην* ἀριθμουμένην, τὴν *Κὰλ* (Cal, τουτ. πᾶσαν), ἣν σημειοῦσιν ἐν Δ. Βασιλ. κ. 13. (« ἐν . . . . τῇ οἰκίᾳ αὐτοῦ »). Ἐν μὲν γὰρ τῇ Πλατιανῇ καὶ τῇ Μυνστέρου ἐκδόσει σεσημείωται ἡ λέξις ἡ *Κὰλ* μετὰ τῶν *κεριῶν* (ὡς ἀναγνωστέον ὂν « ἐν *πάσῃ* τῇ οἰκίᾳ », ἢ « ἐν *παντὶ* τῷ οἴκῳ »). Ἐν δὲ τῇ Βαμβεργίᾳ καὶ ἄλλαις οὔτ᾽ ἐν τοῖς γραπτοῖς, οὔτ᾽ ἐν τοῖς ἀναγνωστοῖς σημειοῦται· οὐδ᾽ οἱ Ο, οὐδ᾽ ἡ Βουλγάτα ταύτην ἀναγινώσκουσιν· οὐδ᾽ ἐν τῷ παραλλήλῳ τόπῳ (Ἡσ. λθ, 2) κεῖται οὔτ᾽ ἐν τῷ ἑβραϊκῷ κειμένῳ, οὔτε παρὰ τοῖς Ο· καὶ φαίνεται λοιπὸν ἡ λέξις προσθήκη ῥαββινικὴ ἔν τε τῷ προειρημένῳ τόπῳ (δ. Βασιλ. κ, 13), καὶ ἐν Ἰεζεκ. θ, 11, ὅπου πάλιν τοῦτο τὸ Κὰλ μὴ κείμενον ἐν τῷ κειμένῳ τάττουσιν αἱ ἐκδόσεις ἐν τοῖς *κερίοις* οὕτω « *κατὰ* . . . ὃ » (ἀντὶ, κατὰ *πᾶν* ὃ) ἐνετείλω μοι »· οἱ δὲ Ο, καὶ ἡ Βουγάτα μηδὲν τοιοῦτον ἀναγνόντες, ἔγραψαν ἁπλῶς « *καθὼς* ἐνετείλω μοι ». Τὴν δὲ, τέλος, *δωδεκάτην* τῶν 13 λέξεων (τὴν hu = *αὐτὸς*, ἢ *οὗτος*. Ἡσαϊ. νγ, 4) ἄλλαι

μὲν ἐκδόσεις ἐν τοῖς *κερίοις* μόνον παρασημειοῦσιν· ἡ δὲ τοῦ Μοντάνου καὶ ἄλλαι καὶ πολλὰ χειρόγραφα γράφουσιν ἐν τῷ κειμένῳ. Ἐν δὲ τῇ Βαμβεργίᾳ ἐκδόσει καὶ τῇ τῶν Ἱσπανικῶν ἢ Βασιλικῶν Βιβλίων, ἐν μὲν τῷ κειμένῳ παραλείπεται τὸ σύνηθες διάλειμμα, ἢ χάσμα, τὴν ἔλλειψιν τῆς λέξεως δηλοῦν· ἀλλ᾽ ὅμως ἐν τῷ περισελίδῳ οὐδὲν *ἀναγνωστὸν* παρασημειοῦται. Ὅτι δὲ ὑπῆρχεν ἡ λέξις ἐξ ἀρχῆς ἐν τῷ κειμένῳ, μαρτυροῦσιν οἱ Ο μετὰ τοῦ Συμμάχου καὶ τοῦ Σύρου καὶ τῆς Βουλγάτας, γράφοντες, *Οὗτος* (α). Καὶ τοιαῦτα μὲν τὰ μὴ γραπτὰ, ἢ ἄγραφα, καὶ ἀναγνωστὰ τῆς ῥαββινικῆς σοφίας. Σὺ δὲ βλέπεις ἐν τούτοις σαφῶς, ἀναγνῶστα, πόσον μὲν οἱ ἑβραῖοι κώδηκες καὶ τετυπωμένοι καὶ χειρόγραφοι διαφέρουσι καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὴν ἑρμηνείαν τῶν Ο, καὶ τὴν τῆς Βουλγάτας, πόσον δὲ καὶ αὐτοὶ οἱ Ταλμουδικοὶ διαφωνοῦσι πρὸς ἑαυτοὺς, ἀμαθαίνοντες, καὶ ἀστατοῦντες, καὶ, ὡς κακοὶ λογισταὶ, νῦν μὲν αὔξοντες νῦν δὲ μειοῦντες τῶν ὧν παχυδέρμως προσεῖπον *ἀναγνωστῶν* καὶ *μὴ γραπτῶν* τὸν ἀριθμόν. Ἀλλ᾽ ὑπόμεινον, καὶ ὄψει παρανοίας μείζονας.

§. ϛ. Β. εἶδός ἐστι τὸ «*τῶν γραφομένων καὶ μὴ ἀναγινωσκομένων*», ἢ *γραπτῶν καὶ μὴ ἀναγνωστῶν*, καὶ ἔστι τὸ εἶδος πρὸς τὸ πρῶτον ἀντίστροφον, δηλαδὴ *πλεοναστικόν*. Ὑπάρχουσι λέξεις ἐν τῷ ἑβραϊκῷ κειμένῳ γεγραμμέναι, αἵτινες παρ᾽ αὐτοῖς

(α) Ἰδοὺ τὸ ῥητόν· «Οὗτος τὰς ἀσθενείας ἡμῶν φέρει» κτλ. (Ἡσ. νγ, 4. πρβλ. Ματθ. η, 17). Δι᾽ ὅλου τοῦ νγ κεφαλαίου τούτου ὁ μεγαλοφωνότατος Ἡσαΐας τὰ πάθη του θεανθρώπου Σωτῆρος προφητικῶς ἅμα καὶ λαμπρῶς, ὡς ἄλλος αὐτόπτης Εὐαγγελιστὴς, διαγράφει. Ταύτην δὲ τὴν προφητείαν οἱ πρὸς τὸ φῶς ἑκουσίως τυφλώττοντες Ἰουδαῖοι ἐκλαμβάνουσιν εἰς τὸν Ἰσραηλιτικὸν λαὸν, ἀναισχύντως τερατολογοῦντες (τούτους ἐζήλωσαν καί τινες τῶν νεωτέρων κριτικῶν, προσβιάζοντες τὰς προφητικὰς ῥήσεις, ὡς ἂν οὐκ ἂν γένοιτο ἰουδαϊκώτερον. Ἴδε τὰ βέβηλα τούτων λογάρια παρὰ Rosenmül. Schol. εἰς Ἡσ. 53). Διὰ τοῦτο ἴσως ἐν ταῖς ἀνωτέρω ἐκδόσεσιν, ἴσως δὲ κἂν τοῖς, ἐξ ὧν ἐτυπώθησαν, χειρογράφοις ἡ Ἰουδαϊκὴ κακεντρέχεια παρεσιώπησε τὸ ἀναγνωστὸν οὗτος, ὡς μὴ πάνυ τοι συμφέρον εἴς ἄλλο τι, τίς οἶδε ποῖον, ἐκ τῆς τοιαύτης σιωπῆς ἀναπλαττόμενον ἐπιχείρημα πρὸς τὴν στρεβλὴν ἐξήγησιν τῆς προφητείας.

οὐκ ἀναγινώσκονται· διὸ καὶ γράφονται *κεκρικωμέναι* καὶ αὗται, καὶ γυμναὶ τῶν φωνητικῶν στιγμῶν, πρὸς εἴδησιν τοῦ ἀναγνώστου· ἀντικρὺ δ᾽ ἑκάστης ἐν τῷ περισελίδῳ σημειοῦνται ταῦτα· « *γραπτὸν, καὶ οὐκ ἀναγνωστὸν* » (Ketib ve lo Keri).

§. ζ. Τοιαῦτα γραπτὰ ἀνέκφορα καὶ ἀνεκφώνητα, ὡς πρόσωπα κωφὰ, ἀριθμοῦνται παρὰ τοῖς Μασορίταις πέντε τὸν ἀριθμόν· οἷον, ἡ λέξις ἡ om *(ὄμ)* ἐν πέντε τόποις πλεονάζουσα (Ῥοὺθ γ, 12: Β. Βασιλ. ιγ, 32: ιε, 21, κτλ.), καὶ ἄλλαι τέσσαρες (Δ. Βασιλ. ε, 18: Ἱερεμ. λη, 16: να, 3: Ἰεζεκ. μη, 16). Ἀλλὰ καὶ τούτων πάλιν τὰς δύω (Ἱερεμ. να, 3, καὶ Ἰεζεκιὴλ μη, 16) οὐ νομίζουσι πλεοναζούσας οἱ νεώτεροι κριτικοί (α). « Καθόλου δὲ (λέγουσι) ταύτας τὰς γραπτὰς καὶ μὴ ἀναγνωστὰς, ἢ ἀνεκφωνήτους φωνὰς οἱ Μασορῖται παρεσημείωσαν, ὡς ἐν ἄλλοις μὲν ἀντιγράφοις εὑρισκομένας, ἐν δ᾽ ἄλλοις οὔ. Ὅθεν, *ἀπὸ πολλῆς πρὸς τὸ θεῖον κείμενον εὐλαβείας*, καὶ γεγραμμένας ἀφῆκαν, καὶ πάλιν ἀναγινώσκεσθαι κεκωλύκασιν ». Ἀλλὰ δυοῖν θάτερον, ἢ θείας καὶ ταύτας ἐνόμιζον εἶναι, ἢ παρ᾽ ἀνθρώπων ἀντιγραφέων ἡμαρτημένως προστεθειμένας· καὶ εἰ μὲν τὸ πρῶτον, πῶς λοιπὸν ἀπηγόρευον τὴν τούτων ἀνάγνωσιν, διαφθείροντες τὸ θεῖον κείμενον; Εἰ δὲ τὸ δεύτερον, τί λοιπὸν ἀφῆκαν ἐν τῷ κειμένῳ σφάλματα βεβαίως παρ᾽ αὐτοῖς κεκριμένα μὴ ῥητὰ, μηδ᾽ ἀναγνωστά; πῶς οὐκ ἐξεῖλον αὐτὰ τῆς τῶν θείων λόγων σειρᾶς, παρὰ τὴν πέζαν τοῦ χειρογράφου, δείγματος χάριν, καταχωρίσαντες; Εἶχον δὲ πρὸς τὴν κρίσιν αὐτῶν συμφωνοῦντα καὶ ἄλλα χειρόγραφα διωρθωμένα, ἐν οἷς αἱ παράσημοι καὶ κατεστιγμέναι λέξεις οὐχ εὑρίσκοντο. Ἀλλ᾽ ὡς ἔοικεν ἡ πολλὴ τῶν Μασοριτῶν θεοσέβεια ὡς ἐξ ἴσου θείαν εὐλαβεῖτο καὶ τὴν γραφὴν καὶ τὴν μὴ γραφὴν τῶν τοιούτων φωνῶν, τιμῶσα δηλονότι ὡς ἐπίσης ἀδιαφθόρους καὶ γνησίους καὶ τοὺς διατηροῦντας καὶ τοὺς μὴ

(α) Βλ. Houbigant. καὶ Schulz ad Jerem. l. c, καὶ Rosenmül. ad Ezechiel l. c. πρβλ. καὶ Cappel. Crit. Sacr. p. 76.

διατηροῦντας αὐτὰς κώδηκας, καὶ ἀπονέμουσα κατὰ τὸ αὐτὸ καὶ τὸ *ναὶ* καὶ τὸ *οὐ* τοῖς θεοπνεύστοις προφήταις, μᾶλλον δὲ, αὐτῷ τῷ δι' αὐτῶν λαλήσαντι θεῷ, «*παρ' ᾧ οὐκ ἔστι ναὶ καὶ οὐ*, οὐδὲ *παραλλαγὴ*, ἢ *τροπῆς ἀποσκίασμα*». Ἀποδείκνυται δ' οὖν καὶ ἐκ τούτων ἡ παράτολμος περὶ τὸ κείμενον τῶν Γραφῶν ἔνθεν μὲν αὐθάδεια, ἑτέρωθεν δὲ πάλιν ἀμφιβολία καὶ ἡμιμάθεια, ἢ καὶ παντελὴς πολλάκις ἄγνοια τῶν μεγάλων ῥαββίνων. Εἰ δὲ καὶ τὰς διορθώσεις οὐκ ἀπ' ἀρχαίων χειρογράφων πάσας ἐσημείωσαν, ἀλλὰ πολλὰς καὶ ἐκ τῆς αὐτῶν ἐξηρεύξαντο κοιλίας καὶ αὐτοὶ, κἀκεῖνοι δὴ οἱ τὸ πρῶτον ἐν τοῖς κώδηξι τὴν διάφορον ἀνάγνωσιν εἰσαγαγόντες (ὅτι δὲ καὶ αὐτογνωμόνως διώρθουν τὸ θεῖον κείμενον, εἴδομεν ἐν τῇ τούτου ἱστορίᾳ), τότε ποῖον ἕξουσιν ἀξιόπιστον ἐν τοῖς θείοις λόγοις αἱ κρίσεις τῶν ταλμουδιστῶν; Τοιαῦτα τὰ ἐχέγγυα τοῖς ἐν πᾶσιν ἀκεραιότητος τοῦ μασοριτείου κειμένου, πρὸς ὅπερ, ὡς πρὸς κανόνα, κρίνουσι τὴν ἑρμηνείαν τῶν Ο!

§. η. Γ) Καὶ τρίτον εἶδος *κερίων* ὁρίζουσιν οἱ Μασορῖται, τὸ λεγόμενον «*τῶν συνημμένως γραφομένων, διῃρημένως δὲ ἀναγινωσκομένων λέξεων*»· τὰς δὲ τοιαύτας ἐν μὲν τῷ κειμένῳ γράφουσι *συνημένας*, ἐν δὲ τῷ περισελίδῳ σημειοῦσι *διῃρημένας* ἐπιγράφοντες τὸ σημεῖον τοῦ ἀναγνωστοῦ (Keri).

§. θ. Διαφέρονται δὲ οἱ ῥαββῖνοι καὶ περὶ τὸν τούτων ἀριθμόν· ἡ μὲν γὰρ ἐλάσσων Μάσορα *δεκαπέντε* τὰς τοιαύτας λέξεις ἀριθμεῖ· *ἐννέα* δὲ μόνας ὁ Αὐενάριος· *ἕνδεκα* δὲ ταύτας εὕρηκεν ὁ φερεπονώτατος Καπέλλιος (σελ. 77). Οἷον, ἐν Γενέσ. λ, 10 γέγραπται συνημμένως, B a g a d (Βαγὰδ), ἀναγινώσκεται δὲ διῃρημένως, Ba Gad (Βα Γαδ, ὅπερ ἐξηγοῦσιν οἱ Ταλμουδισταὶ, ἦλθε *στρατός*)· ἀλλ' οὐκ ἀνάγκη διαιρεῖν (φησὶν ὁ Καπέλλιος), δύναται γὰρ ἀναγνωσθῆναι καὶ συνημμένως Begad (*Βεγὰδ*, ἐκ τῆς βε, ἢ β, προθέσεως, ἣν ἀχώριστον συνάπτουσι πρὸς τὸ ὄνομα). Οὕτως ἀνέγνων καὶ οἱ Ο, μεταφράσαντες ἀκριβῶς «*ἐν τύχῃ*», καὶ ἡ Βουλγάτα, *εὐτυχῶς* (feliciter). Ὅτι δὲ τὸ *Γὰδ* ἐνταῦθα

τύχην δηλοῖ κυρίως (ἀλλ᾿ οὐ *στρατόν*), ἐσημείωσαν ἄλλοι τε καὶ ὁ Γεσένιος (Λεξικ. ἑβραϊκ.). Πάλιν, ἐν ψαλμῷ νε, 16, γράφουσι μὲν συνημμένως ὑφ᾿ ἕν, Jasimaeth, διαιρεῖν δὲ τοῦτο κελεύουσιν εἰς δύω, Jasi maeth (διῃρημένως ἀνέγνων καὶ οἱ Ο «*ἐλθέτω δὴ θάνατος* [ἐπ᾿ αὐτούς]»· ψαλμ. νδ· οὕτω καὶ ἡ Βουλγάτα). Τοιαῦτα καὶ ἄλλα μέχρι τῶν ἕνδεκα κεῖνται παρὰ τῷ Καπελλίῳ. Σημείωσαι δὲ, ὅτι κἂν τούτοις ἔστιν ὅπου μάχονται πρὸς ἀλλήλας αἱ ἐκδόσεις· αἱ μὲν γὰρ ἔχουσί τινα τούτων ἐν αὐτῷ τῷ κειμένῳ διῃρημένως γεγραμμένα, καὶ ἀπαρασημείωτα, αἱ δὲ καὶ ταῦτα φέρουσιν ἐν μὲν τῷ κειμένῳ συναπτὰ, ἐν δὲ τῷ περισελίδῳ διαιρετά.

§. ι. Δ) Τέταρτον εἶδος *ἀναγνωστῶν* ἔρχεται τοῦ προηγηθέντος ἀντίστροφον, δηλονότι «λέξεις *διῃρημένως μὲν γραφόμεναι, συνημμένως δὲ ἀναγινωσκόμεναι*». Εὑρίσκονται δὲ τοιαῦται ἐν τῷ κειμένῳ τῷ ἑβραϊκῷ κατ᾿ ἄλλους μὲν *πέντε*, κατ᾿ ἄλλους δὲ πάλιν *ἐννέα*· κατὰ δὲ τὸν Καπέλλιον ἕξ, ὧν ἐσχάτην ἀριθμεῖ τὴν παρὰ τοῖς ῥαββίνοις σημειουμένην εἰς Ἡσ. θ, 6· καὶ περὶ ταύτης μὲν τῆς ἀναγνώσεως μελήσει τοῖς περὶ τὴν ἑβραΐδα κριτικοῖς. Ὁ δὲ Καπέλλιος (σελ. 82) παραβάλλων καὶ τὴν κατὰ τοὺς Ο ἀντιστοιχοῦσαν τοῦ Ἡσαΐου ῥῆσιν, (ἔστι δὲ ἡ λαμπροτάτη περὶ τοῦ Ἐμμανουὴλ προφητεία ἐκείνη «*Ὅτι παιδίον ἐγεννήθη ἡμῖν*» κτλ.), τὰ μέν τινα αὐτῆς ἄλλως ἀνεγνωκότας εὑρίσκει τοὺς Ο (πάντως ἀληθέστερον), ἢ ὡς ἔχουσιν ἐν τῷ νῦν ἑβραϊκῷ· τὰ δὲ καὶ συμπεφυρμένα λέγει μετὰ τῶν ἑρμηνειῶν τοῦ Ἀκύλα καὶ τοῦ Θεοδοτίωνος καὶ Συμμάχου (α). Ἀλλ᾿ ὁ Εὐ-

---

(α) Ἰδοὺ τὰ θεόχρηστα λόγια τοῦ προφήτου. «*Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν· οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, καὶ ὑγείαν αὐτῷ· μεγάλη ἡ ἀρχὴ αὐτοῦ*». κτλ. (Ἡσ. θ. 6, ἐν ἐκδόσει Κομπλουτείᾳ, καὶ τοῦ Ἄλδου, καὶ ἐν ἄλλοις κώδηξι [Holmes], καὶ τῷ καθ᾿ ἡμᾶς Ἀλεξανδρινῷ, ἐν ᾧ μόνῳ λείπει μόνον τὸ

σέβιος καὶ ὁ Θεοδώρητος ἐξέφερον τὴν ῥῆσιν κατὰ τοὺς Ο, γνησίαν τούτων τὴν ἑρμηνείαν μαρτυροῦντες, τῆς δ' Ἀκύλα καὶ τῶν ἄλλων, ὧν παραβάλλουσιν ἑρμηνειῶν, ῥητῶς διακρίνοντες. Ἔπειτα

Θεός, ἐκ τούτου δὴ τοῦ καθ' ἡμᾶς περισωθέντος κώδηκος δι' ἀβλεψίαν τοῦ ἀντιγραφέως ἐκπεσόν· ἀνέγων γὰρ τὴν λέξιν οἱ Ἀλεξανδρεῖς πατέρες, ὁ Κλήμης, ὁ Μ. Ἀθανάσιος, κτλ.). Οὕτως ἀναφέρουσι τὴν ῥῆσιν, ὁ θεῖος Ἰγνάτιος (ἐπις. πρὸς Ἀντιοχεῖς) καὶ αἱ Διαταγαὶ τῶν Ἀποστόλων (β. 24: ε, 16), ὁ Εἰρηναῖος (κ. Αἱρέσ. δ, 66), Κλήμης ὁ Ἀλεξανδρεὺς (Παιδαγωγ. Α. ε), ὁ Μ. Ἀθανάσιος (τ. α. σελ. 328, 478. καὶ τ. β. σελ. 317 Com.), ὁ Εὐσέβιος (Εὐαγγ. Ἀποδείξ. ζ, 3: θ, 8), ὁ Σευηριανὸς (παρὰ Κομβεφικ. Auct. Nov. P. T. 1. p. 251), ὁ Θεοδώρητος (ἑρμην. εἰς Ἡσ. αὐτ.), καὶ ἄλλοι τῶν πατέρων. Οὕτως ἀνέκαθεν ψάλλει τὸ ῥητὸν ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ ἡ Ἐκκλησία. Οὕτως ἀνέγνω καὶ ἡ παλαιὰ Ἰτάλα (βλ. Nobil. Schol. εἰς Ἡσ. αὐτ. ed. Roman.), καὶ ἡ Συριακὴ (τοῦ Φιλοξένου. βλ. Eichhorn, Repertor. 3 Bd. p. 176), καὶ ἄλλαι μεταφράσεις, καὶ ἡ Σλαβονική. Ἀλλ' ἐν τῇ ἐκδόσει τοῦ Βατικανοῦ κώδηκος τῶν Ο, λείπουσι τὰ μεταξὺ τοῦ «ἄγγελος», καὶ τοῦ «ἐγὼ γὰρ ἄξω» (δηλαδὴ τὰ «θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος»). Κατὰ τὸ Βατικανὸν ἀναγινώσκεται ἡ ῥῆσις καὶ παρὰ τῷ ἱερῷ Κυρίλλῳ τῷ Ἀλεξανδρείας (τ. β. σελ. 153), καὶ παρὰ τῷ Προκοπίῳ (ἐν Ἡσαΐᾳ, αὐτ. ἐκδ. Curter.). Ἀλλ' ὅτι ταῦτα τὰ λόγια ἐξέπεσαν ἐξ ἀντιγράφου παλαιοῦ, ὀψόμεθα μετ' ὀλίγον. Τὸ δὲ καθ' ἡμᾶς ἑβραϊκὸν κείμενον ἔχει τὴν ῥῆσιν οὕτω· «Quia gnatus (ἄλλ. parvulus) natus est nobis, filius datus est nobis, et erit principatus super humerum ejus, et vocabitur nomen ejus Admirabilis, consiliarius, Deus, fortis, pater aeternitatis, princeps pacis, ad multiplicandum principatum» etc. (ἑρμην. Ariae Montani). τουτέστιν· «Ὅτι παιδίον (ἢ νήπιον) ἐγεννήθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν, καὶ ἔσται ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ Θαυμαστὸς, σύμβουλος, Θεὸς, ἰσχυρὸς, πατὴρ αἰωνιότητος, ἄρχων εἰρήνης, εἰς τὸ πληθῦναι τὴν ἀρχὴν» κτλ. (Οὕτως ἔγραψε καὶ Ἱερώνυμος ἐν τῇ Βουλγάτᾳ, πλὴν τοῦ αἰωνιότητος, ὅπερ ἔχει κατὰ τοὺς Ο, τοῦ μέλλοντος αἰῶνος, περὶ οὗ ἐφεξῆς). Ἐκ τούτων τοίνυν βλέπομεν, α) Ὅτι τὸ ἑβραϊκὸν ἔχει τὰ, Θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, καὶ τ' ἄλλα τῶν Ο, ἅπερ εἴπομεν ὅτι λείπουσιν ἐκ τοῦ Βατικανοῦ διεκπεσόντα, κεῖνται δὲ ἐν ταῖς προειρημέναις ἐκδόσεσιν· ὥστε τούτων ἡ ἀκρίβεια μαρτυρεῖται καὶ ὑπὸ τοῦ ἑβραϊκοῦ, καὶ ὑπὸ τῶν προμνημονευθέντων ἀρχαίων Πατέρων, καὶ μεταφράσεων. — β) Ὅτι ἡ παρὰ πᾶσι τούτοις κειμένη λέξις «Θεὸς» ἐξέπεσεν ἐκ τοῦ καθ' ἡμᾶς σωζομένου Ἀλεξανδρινοῦ κώδηκος δι' ἀβλεψίαν τοῦ ἀντιγραφέως, συγχέαντος τὴν λήγουσαν τοῦ προηγουμένου σύμβουλΟΣ πρὸς τὸ πλησίον ἐστενογραφημένον ΘΣ. — γ) Ὅτι λείπει ἐκ τοῦ ἑβραϊκοῦ διεκπεσοῦσα ἡ λέξις ἡ Ἐξουσιαστής (ὅπερ οὐκ ὀρθῶς τινες ἐνόμισαν ἀντίστοιχον τοῦ ἑβρ. Gibbor, ἀντιστοιχοῦντος εἰς τὸ τῶν Ο, ἰσχυρός: Schleus. Thes. V. Test. v. Ἐξουσιαστής). — δ) Ὅτι λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ τὰ «Μεγάλης βουλῆς ἄγγελος, ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς

αὐτὸς πάλιν ὁ Καπέλλιος ἀπαντῶν ἀλλαχοῦ πρὸς ἄλλους διαβάλλοντας τὴν ἑρμηνείαν τῶν Ο, ὡς μετὰ τῆς Ἀκύλα καὶ τῶν λοιπῶν ἀναμεμιγμένην « Ἀλλ' ἡμεῖς (λέγει) βλέπομεν αὐτὴν καὶ ἤδη τοιαύ-

---

ἄρχοντας, καὶ ὑγείαν αὐτῷ». Ἔχει δὲ ταῦτα πάντα καὶ τὸ Βατικανὸν, ὡς καὶ οἱ λοιποὶ τῶν Ο, κώδηκες. Ἐκ δὲ τούτου πάλιν καταφαίνονται δύω τινά· 1) Ὅτι εἶχε καὶ ὁ κώδηξ ὁ ἀρχαῖος, ἐξ οὗ τὸ Βατικανὸν ἀντιγέγραπται, τὰ νῦν ἐν αὐτῷ φαινόμενα διαπεπτωκότα (περὶ ὧν προείπομεν), ὡς μαρτυροῦσι τὰ διασωθέντα μέρη τοῦ στίχου, ἅπερ οὐχ εὑρίσκονται ἐν τῷ νῦν ἑβραϊκῷ. Καὶ αὐτὸ δὲ ἰδίως τὸ «ἄξω γὰρ εἰρήνην» μετὰ τοῦ αἰτιολογικοῦ γὰρ ἐξαίφνης ἐν τῷ Βατικανῷ ἐπιφερόμενον, ἀπαιτεῖ πάντως προηγούμενον τὸ ἄρχων εἰρήνης, ὡς ἔχουσι πληρέστερον οἱ ἄλλοι κώδηκες· 2) Καταφαίνεται, ὅτι τὰ νῦν ἐκ τοῦ ἑβραϊκοῦ λείποντα «Μεγάλης βουλῆς» κτλ. ἔλειπον καὶ ἐπὶ τοῦ Ἱερωνύμου (περὶ τὰς ἀρχὰς ἴσως τοῦ ϛ, αἰῶνος τῶν γε πλείστων κωδήκων ἐκπεπτωκότα· οὐδὲ γὰρ Ἀκύλας ἀνέγνω ταῦτα, εἶχε δ' ὅμως ὁ Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς).

Ὅθεν ὁ μακάριος Ἱερώνυμος ἔνθεν μὲν ἀναγινώσκων τὸ κατ' αὐτὸν συντετριμμένον ἐν τούτοις ἑβραϊκὸν, ἑτέρωθεν δὲ χρώμενος κώδηκι τῶν Ο, παρομοίῳ πρὸς τὸ καθ' ἡμᾶς Βατικανὸν, καὶ μήτ' ἐν τούτῳ βλέπων τὰ διαπεπτωκότα (Θαυμαστὸς σύμβουλος, Θεὸς κτλ.), μήτ' ἐν τῷ ἑβραϊκῷ τὰ ἐν τῷ Βατικανῷ διασωθέντα «(Μεγάλης βουλῆς ἄγγελος, κτλ.)» ἐξέφερε περὶ τῶν Ο, παράδοξον κρίσιν· «Ὅτι (φησὶν, οἱ Ο) φρίξαντες, οἶμαι, τὴν μεγαλοπρέπειαν τῶν ὀνομάτων οὐκ ἐτόλμησαν εἰπεῖν διαῤῥήδην, ὅτι (τὸ παιδίον) Θεὸς κληθήσεται καὶ τὰ λοιπά· ἀλλ' ἀντὶ τούτων ἔθεντο ὅ,τι οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ, τὰ Μεγάλης βουλῆ ἄγγελος, καὶ, ἄξω γὰρ εἰρήνην» κτλ. (S. Hier. T. 2. p. 71). Ἀλλὰ πῶς, ὦ πανεύφημε Πάτερ, οἱ Ο, φρίσσοντες τὰς ἐν τῷ προφήτῃ θεοπρεπεῖς τοῦ παιδίου ὀνομασίας, οὐκ ἔφρισσον ἄλλας αὐτοὶ ἐξ ἑαυτῶν προστιθέντες φωνὰς, καὶ τὸ θεῖον κείμενον διαστρέφοντες; Πῶς δὲ πάλιν οὐκ ἔφριξαν αὐτοὶ οὗτοι πρὸ μικροῦ οὐ μόνον γράψαντες ἑβραϊστὶ, ἀλλὰ καὶ ἐξελληνίσαντες ἐκεῖνο τὸ οὐχ ἧττον θεοπρεπὲς ὄνομα τοῦ παιδίου, τὸ Ἐμμανουήλ; Ἐπειδὴ γὰρ ἐμπλησθέντες τῆς ἐν τῷ προφήτῃ θείας αὐγῆς, συνανεκήρυξαν μετ' αὐτοῦ τὸ μέγα σημεῖον, τὸν υἱὸν τῆς Παρθένου, καὶ τὸ τούτου προσκυνητὸν ὄνομα, τὸ Ἐμμανουὴλ (ζ, 14), ἔπειτα προϊόντες ἐφεξῆς (η, 8), τοῦτ' αὐτὸ τὸ ὄνομα καὶ ἑλληνικώτερον διετράνωσαν, ἐξηγήσαντες «Μεθ' ἡμῶν ὁ Θεός», ὃ καὶ τὸ θεόπνευστον στόμα τοῦ Εὐαγγελιςοῦ ἐπανέλαβε (Ματθ. α, 23), καὶ αὐτὸς ὁ Ἱερώνυμος ἐσημείωσεν (Ἡσ. η, 5). Ἀλλὰ καὶ αὐτὴ ἡ τῷ μεθ' ἡμῶν γενομένῳ, καὶ σαρκωθέντι Θεῷ, τῷ Ἐμμανουὴλ, ἀπιστήσασα, καὶ γενρὰ περὶ τοῦ Μεσσίου φρονοῦσα, καὶ τοῦτον εἰσέτι προσδοκῶσα, δειλάκρα Συναγωγὴ εἰς τὸν Μεσσίαν τὸ Ἐμμανουὴλ ἀναφέρει (βλ. Rosenmüll· εἰς Ἡσ. η, 14: θ, 5). Οὕτω δὲ τῷ προφητικῷ πνεύματι συμπαρακολουθοῦντες οἱ Ο, συνείκασαν καὶ ὧδε (θ, 6), ὅτι οὗτος ὁ Ἐμμανουὴλ, ὁ μεθ' ἡμῶν Θεὸς, ὁ αὐτός ἐστι καὶ τὸ τῆς Παρθένου παιδίον, καὶ υἱὸς (τοῦ Θεοῦ καὶ Πατρὸς), καὶ Θεὸς ἰσχυρὸς, κτλ. Καὶ ἔγραψαν λοιπὸν πιστῶς, οὐδ' ἔφριξαν ἅπερ

την, οἵα ὑπῆρχε καὶ ἐπὶ τοῦ Ἱερωνύμου, καθὼς ἀποδείκνυται ἐξ ὧν ἐκεῖνος σῴζει προφητειῶν καὶ ἄλλων περικοπῶν, λατινιστὶ μεθηρμηνευμένων κατὰ τοὺς Ο. Ταῦτα δὲ διαφέρουσι παντά-

---

ἀνεγίνωσκον ἐν τῷ προφήτῃ θεόχρηστα ῥήματα. Γράφοντες δὲ πάλιν τὸ Μεγάλης βουλῆς ἄγγελος, ὡς ἐν τῷ κατ' αὐτοὺς κειμένῳ ἀνεγίνωσκον, ἐμέμνηντο πάντως, ὅτι οὗτός ἐστιν ἐκεῖνος, ὃν ἀνέγνων καὶ προέγραψαν ἐν τοῖς ἔμπροσθεν (Ἐξόδ. γ, 6—16) ὁ ἄγγελος Κυρίου, ὁ τῷ Μωϋσῇ ἐκ τῆς (τὴν παρθένον εἰκονιζούσης) ἀκαταφλέκτου βάτου ὀφθείς, καὶ εἰπών· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ — ἐγώ εἰμι ὁ Ὤν» (πρβλ. Μ. Βασίλ. ἐν τόμ. β. σελ. 56). Ἀλλὰ καὶ τὴν Μεγάλην βουλὴν ἐν τῷ αὐτῷ προφήτῃ καὶ ἀνέγνων καὶ ἔγραψαν οἱ αὐτοὶ «βουλὴν ἀρχαίαν ἀληθινήν» (Ἡσ. κε, 1. βλ. καὶ Ἱερών. αὐτόθ.). Ἔπειτα τοῦτο τὸ καὶ νῦν, ὡς καὶ ἐπὶ Ἱερωνύμου, λεῖπον ἐκ τοῦ ἑβραϊκοῦ Μεγάλης βουλῆς ἄγγελος εἶχε καὶ Ὠριγένης, ὡς εἴπομεν, ἐν τοῖς Ἑξαπλοῖς (βλ. Montfauc·), ὡς ἔχει καὶ τὸ νῦν Βατικανὸν (καὶ Μ. Βασίλειος, Κύριλλος Ἀλεξ. Κυπριανὸς, Τερτυλλιανὸς κτλ.). Πῶς οὖν ὁ Ἱερώνυμος οὐ συνεῖδεν ἐκ τῶν Ἑξαπλῶν τὴν ἐν τούτῳ γοῦν κολόβωσιν τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ; Οὕτω δὲ κρίνων περὶ τῶν Ο, ἐξ ἀντιγράφων ἀτελῶν, οὐδὲν παράδοξον εἴπερ ἠπατήθη περὶ τὴν κρίσιν. Ἐκεῖνο δέ πως φαίνεται θαυμαστόν. Εἶχε πάντως ἀναγνοὺς ὁ πάνσεπτος οὗτος πατὴρ τά τε ἄλλα τοῦ Εὐσεβίου (ὃν πολλάκις ἀντέγραφε), καὶ τὴν Εὐαγγελικὴν Ἀπόδειξιν (ζ, 8), ὅπου οὗτος μνημονεύει τὰ κατὰ τοὺς Ο ἀντίγραφα, τὰ ἔχοντα καὶ τὸ «θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, κτλ. Ἀνέγνω δὲ μετὰ τῶν ἄλλων καὶ τὸν θεῖον Εἰρηναῖον, καὶ Κλήμεντα τὸν Ἀλεξανδρέα,(ἴσως καὶ τὸν Μ. Ἀθανάσιον), οἵτινες καὶ οὗτοι μνημονεύουσι τὴν ῥῆσιν ὁλόκληρον, ὡς ἔχει καὶ τὴν σήμερον ἐν τῷ Ἀλεξανδρινῷ καὶ τοῖς συμφώνοις κώδηξι. Πῶς οὖν οὐδεμίαν ἐποιήσατο μνείαν τῆς παρὰ τοῖς προτέροις αὐτοῦ πατράσι φερομένης ἀναγνώσεως τῶν Ο; Ἢ πόθεν ἄλλοθεν οὗτοι οἱ μηδὲν τοῦ ἑβραϊκοῦ φροντίζοντες πατέρες ἔμαθον τὰ ῥήματα ταῦτα, εἰ μὴ παρὰ τῶν Ο; Ἀλλ' ἴσως ὁ Δαλμάτης πατὴρ ἐπελάθετο τοῦ πράγματος. Ὁ δὲ σοφὸς Καπέλλιος ἐκ τῶν τούτου λόγων, ἴσως, ὁρμηθεὶς, ἔκρινεν ἔτι δριμύτερον· ὅτι δῆθεν διπλαῖ τινες ἑρμηνεῖαι τῶν αὐτῶν φράσεων ἐγέννησαν τὴν μεταξὺ τῶν Ο, καὶ τοῦ ἑβραϊκοῦ διάφορον ἀνάγνωσιν τοῦ προφητικοῦ ῥητοῦ· καὶ ὅτι τὰ «θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, κτλ.» προσετέθησαν ἔν τισι κώδηξιν ἐκ τῆς ἑρμηνείας τῶν περὶ τῶν Ἀκύλαν, ὅστις ἡρμήνευσε «Θαυμαστὸς, σύμβουλος, ἰσχυρὸς, δυνατὸς, πατὴρ ἔτι, ἄρχων εἰρήνης»· ὁ δὲ Σύμμαχος, «Παραδοξασμὸς, βουλευτικὸς, ἰσχυρὸς, δυνατὸς, πατὴρ αἰῶνος, ἄρχων εἰρήνης»· ὁ δὲ Θεοδοτίων, «Θαυμαστῶς βουλεύων, ἰσχυρὸς, δυνάστης, πατὴρ αἰῶνος, ἄρχων εἰρήνης». — Ἀλλ' ἐν τούτοις πρῶτον λείπουσι τὰ Θεὸς, καὶ τὸ μέλλοντος, καὶ τὸ ἐξουσιαστής. Ἔπειτα, ταύτας τὰς ἀναγνώσεις ἔμαθεν ὁ Καπέλλιος ἐκ τοῦ Εὐσεβίου, ὅστις αὐτὰς παραβάλλει, δεικνύων τὴν διαφορὰν τῆς κατὰ τοὺς Ο, ἀκριβεστέρας ῥήσεως, ἣν γράφει ἀπαραλλάκτως, ὡς ἔχει καὶ τὰ νῦν ἐν τῷ Ἀλεξανδρινῷ καὶ τοῖς λοιποῖς κώδηξιν. Ὡσαύτως καὶ

πασι τῶν παρ᾽ αὐτῷ σῳζομένων χωρίων τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν ». Εἰ τοίνυν ἐπὶ Ἱερωνύμου καθαρὰ καὶ ἀμιγὴς ἦν ἡ ἑρμηνεία τῶν Ο, πολὺ μᾶλλον ἦν ἐπὶ Εὐσεβίου καὶ τῶν ἄλλων τῶν

ὁ Θεοδώρητος, προστιθεὶς καὶ ὅτι « τὸ (κατὰ τοὺς Ο) « Θεὸς ἰσχυρὸς κακουργήσαντες οἱ περὶ τὸν Ἀκύλαν, ἰσχυρὸς, δυνατὸς ἡρμήνευσαν· κεῖται δὲ παρὰ τῷ ἑβραίῳ Ἢλ γεβώρ (El gibbor), τὸ δὲ Ἠλ, Θεὸς κατὰ τὴν τούτων (τῶν Ο) ἑρμηνείαν· τὸ γὰρ μεθ᾽ ἡμῶν ὁ Θεὸς, Ἐμμανουὴλ κείμενον (ἐν τῷ ἑβραϊκῷ), οὕτως ἡρμήνευσαν » (Θεοδώρ. ἑρμ. εἰς Ἠσ. αὐτ.). Ὁ δὲ σοφὸς Γράβιος (De Vitijs LXX. etc. p. 29) ἐπενόησεν, ὅτι καὶ πρὸ τοῦ Ὠριγένους, καὶ ἐπ᾽ αὐτοῦ τοῦ Κλήμεντος, καὶ ἐπ᾽ αὐτοῦ τοῦ Εἰρηναίου (τῷ 167 μ. Χ.), — καὶ πρὸ τοῦ Ἀκύλα (προστίθησιν ὁ παρὰ τὴν ἑαυτοῦ ἀξίαν συμφωνήσας Γραβίῳ Κεννικῶτος, Diss. II. p. 388. πρβλ. καὶ Stroth. ἐν Eichhorn, Repertorium etc. T. 3. p. 252) ὑπῆρχον διάφοροί τινες ἑλληνικαὶ τοῦ ἑβραϊκοῦ ἑρμηνεῖαι, ἐξ ὧν ὑποτίθησι πολλὰς ῥήσεις ἀναμὶξ συμπεφυρμένας· καὶ πρὸς τούτου δεῖξιν, ἀναφέρει μετ᾽ ἄλλων παραδειγμάτων (ἐν οἷς ἐπίσης παραλογίζεται) καὶ τὸ περὶ οὗ ὁ λόγος ῥητὸν, λέγων, ὅτι τοῦτο ἄλλως μὲν ἔχει ἐν τῷ Ἀλεξανδρινῷ, ἄλλως δὲ πάλιν ἐν τῷ Βατικανῷ, ᾧ συμφωνεῖ καὶ τὸ παρὰ Προκοπίῳ κατὰ τοὺς Ο, γνήσιον τοῦ Ἡσαΐου κείμενον, ἐκ τῶν Ἑξαπλῶν ἀντιγεγραμμένον. Καὶ αὐτὸς (φησὶν) ὁ Εὐσέβιος ἔγραφεν ὅτι « Λέγεται, κατὰ μὲν τοὺς Ο, Μεγάλης βουλῆς ἄγγελος, καὶ ὥς τινα τῶν ἀντιγράφων ἔχει, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, » κτλ. Ἐκ τοιούτων ἀντιγράφων ἀνάμικτον τὴν ῥῆσιν ἔχουσι καὶ Κλήμης, καὶ Εἰρηναῖος » (τὸν δὲ ἀποστολικὸν Ἰγνάτιον, καὶ τὰς Ἀποστολικὰς Διαταγὰς ὁ Γράβιος ἐσιώπησεν, ἴσως ἐπιλαθόμενος, ἢ καὶ ὡς μὴ γνήσια ταῦτα παρ᾽ αὐτῷ κεκριμένα! Ὅ γε μὴν Κεννικῶτος καὶ ὁ Στρόθιος ἀριθμοῦσι καὶ τὸν Ἰγνάτιον). Ἀλλ᾽ ὅτι μὲν ἐπὶ Εὐσεβίου ὑπῆρχεν ἔν τισιν ἀντιγράφοις τῶν Ο (παρομοίοις πρὸς τὸ καθ᾽ ἡμᾶς Βατικανὸν) ἡ τῶν λόγων τούτων διάπτωσις, προείπομεν. Ὅτι δὲ ὁ Εὐσέβιος ταῦτα, περὶ ὧν λέγει, τὰ ἀντίγραφα ἐθεώρει ὡς ἀκέραια καὶ γνήσια τῶν Ο, φαίνεται σαφῶς ἐκ τῆς βεβαιότητος μεθ᾽ ἧς ἀναφέρει καὶ ἀλλαχοῦ δὶς τὰ ῥήματα τῶν ἀντιγράφων τούτων (Εὐαγ. Ἀποδ. σελ. 208 καὶ 272. Lutet. 1545), πρὸς ἀπόδειξιν τῆς ὑπὸ τοῦ Ἡσαΐου προκηρυχθείσης Θεότητος τοῦ Ἐμμανουὴλ, μηδεμίαν ἐν τούτοις ἄλλων ἀντιγράφων διαφορὰν προστιθείς. Περὶ δὲ τῆς ἀναγνώσεως τοῦ παρὰ Προκοπίῳ ἀντιγράφου τοῦ Ἡσαΐου, πόθεν ἐπληροφορήθη ὁ Γράβιος ὅτι αὕτη ὑπῆρχεν ἡ γνησία τῶν Ο, ἢ καὶ ἀκριβῶς ἐκ τῶν Ἑξαπλῶν ἀντιγεγραμμένη; Μὴ γὰρ ὀλίγας διαφορὰς τῶν ἐν τοῖς Ἑξαπλοῖς ἄλλως παρ᾽ ἄλλοις ἀναφερομένων ῥητῶν παρετήρησεν ἡ κριτική; Αὐτὸς ὁ Γράβιος (αὐτόθ.) ἐμνημόνευσε κώδηκος ἔχοντος ἀστερίσκους πρὸ τῶν διαπεπτωκότων (τῶν « θαυμαστὸς σύμβουλος, κτλ. »), ὡς ὑπὸ τοῦ Ὠριγένους ἐν τοῖς Ἑξαπλοῖς προστεθειμένων, οὐκ ἐκ τοῦ Θεοδοτίωνος (ὡς λέγει), ἀλλ᾽ ἀπὸ κώδηκος τῶν Ο, πληρεστέρου, ᾧ καὶ Κλήμης ὁ διδάσκαλος αὐτοῦ ἐχρῆτο, ἐξ οὗ καὶ Θεοδοτίων ἴσως μετέγραψε, συμφωνοῦντος καὶ τοῦ ἑβραϊκοῦ. Ἢ πῶς ἂν ἐξωβέλιζεν Ὠριγένης τὰ λόγια ταῦτα ἐν

ἀρχαιοτέρων τούτου πατέρων, παρ' οἷς ἀναγινώσκεται ἡ ἀνωτέρω ῥῆσις τοῦ Ἡσαΐου ἀπαραλλλάκτως, οἵα καὶ παρ' ἡμῖν τὴν σήμερον. Καὶ ἄλλο δὲ πρὸς τούτοις παράδοξον ὑπέλαβεν ὁ κριτικός· ὅτι «τὸ *μέλλοντος*» πρὸς τῷ *αἰῶνος* χριςιανοί τινες προσέθηκαν ἐξηγητικῶς, ὅπως εἴπωσι τὸν Χριστὸν προκαταγγελλόμενον ὑπὸ τοῦ προφήτου *πατέρα* τῆς μελλούσης ἔσεσθαι τῶν χριστιανῶν Ἐκκλησίας, ἥτις οὕτως ὀνομάζεται ὑπὸ τοῦ Ἀποστόλου Παύλου ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ» (ἴσως ἐννοεῖ τὸ «*ἰδοὺ ἐγὼ καὶ τὰ παιδία*» κτλ. ὅπου ὁ Ἀπόστολος «*πατέρα ἡμῶν ποιεῖ τὸν Χριστὸν*» κτλ. Θεοφύλακτος καὶ Θεοδώρητος αὐτόθ.).— Ἀλλ' εἴπερ ὁ θεῖος Παῦλος οὕτως ὠνόμασε *(Χριστοῦ παιδία)* τὴν τῶν χριστιανῶν Ἐκκλησίαν, οὕτω λοιπὸν καὶ αὐτὸς τὴν τοῦτο προκαταγγέλλουσαν προφητικὴν ἀνεγίνωσκε ῥῆσιν· πῶς οὖν προ-

---

ῷ ἔκειντο καὶ τότε (ὡς καὶ νῦν) ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ, καθὼς καὶ Ἱερώνυμος αὐτὰ μεθηρμήνευσεν; Εἰ δὲ καὶ ἐξωβέλιζε, μήπως ὁ ὀβελισμὸς οὗτος ὑπῆρχε πιστότερος τῆς παρὰ τοῖς προτέροις αὐτοῦ πατράσι σῳζομένης ἀναγνώσεως οὕτως ἐμβριθοῦς καὶ θεοπρεπεστάτου ῥητοῦ; Ἀλλὰ παραλείποντες τρίβους λεπτὰς καὶ σκολιὰς τῆς Γραβίου κριτικῆς, συμπεραίνομεν ἁπλούςερον καὶ ὀρθότερον. α) Ὅτι ἡ γνησία τῶν Ο ἀνάγνωσις ὑπάρχει, ἣν ἀνέγνω Κλήμης, καὶ Ἐρηναῖος, καὶ ὁ ἀποςολικὸς Ἰγνάτιος, καὶ αἱ τῶν Ἀποςόλων Διαταγαί, καὶ ταύτην διετήρησαν οἱ τῷ Ἀλεξανδρινῷ συμφωνοῦντες κώδηκες, βεβαιουμένην καὶ ὑπὸ τῆς ἀρχαίας Ἰτάλας (κατὰ τὸν Νοβίλιον), καὶ ἄλλων ἑρμηνειῶν, καὶ ὑπὸ τῶν μετὰ τὸν Ὠριγένην πατέρων τῆς Ἐκκλησίας, καὶ μάλιστα τοῦ Μ. Ἀθανασίου, καὶ αὐτοῦ τοῦ Εὐσεβίου, καὶ τῶν σχεδὸν Ἱερωνύμῳ συγχρόνων Σευηριανοῦ καὶ Θεοδωρήτου. β) Πάντως μετὰ τὸν Κλήμεντα, καὶ πρὸ τοῦ Εὐσεβίου, παλαιοῦ τινος ἀντιγραφέως ἀβλεψίᾳ παρέδραμεν ἐκ τοῦ γνησίου κώδηκος τῶν Ο, τὰ μεταξὺ τοῦ «Μεγάλης βουλῆς ἄγγελος», καὶ τοῦ «ἄξω γὰρ εἰρήνην» προφητικὰ λόγια (τούτων δὲ τὴν ἔκπτωσιν μαρτυροῦσι καὶ τὰ ἐν τῷ Βατικανῷ παραμείναντα λείψανα τοῦ στίχου, ὡς ἀνωτέρω προείπομεν). Καὶ τοιαῦτα ἐν τούτοις ἐλλειπῆ πρὸς τοῖς ἀκριβέσιν ἀντίγραφα ὑπῆρχον καὶ ἐπὶ Εὐσεβίου καὶ ἐπὶ Ἱερωνύμου, ἐξ ὧν καὶ τὸ καθ' ἡμᾶς Βατικανόν. Πρὸς τοιοῦτο χειρόγραφον διευθύνθησαν καὶ ἡ Ἑξαπλαία Συριακὴ (Eichhorn l. c.), καὶ ἡ Ἀραβικὴ μετάφρασις. Οὕτω καὶ ἔν τισι τῆς Νέας Διαθήκης ἀρχαίοις ἀπογράφοις ἐκπεπτώκασι ῥήσεις τῶν θείων Εὐαγγελιστῶν γνησιώταται (σῳζόμεναι πάλιν ἐν ἄλλοις, καὶ ἐν τῷ κοινῶς παραδεδεγμένῳ κειμένῳ), οἷα μεταξὺ τῶν ἄλλων καὶ ἡ ἱστορία τῆς ἐπ' αὐτοφώρῳ ληφθείσης μοιχαλίδος (Ἰωάν. η, 4), ἣν καὶ ὁ Ἀρμένιος ἐκ τῆς κατ' αὐτὸν ἑρμηνείας ἐξήλειψε, βαθὺν τὸν σπόγγον ἐπενεγκών, «ὡς ἂν οὖσαν βλαβερὰν τοῖς πολλοῖς τὴν τοιαύτην ἀκρόασιν»!! (Νίκων περὶ θρησκ. Ἀρμενίων· πρβλ. καὶ Coteler. PP. Apost. T. I. p. 235).

θέθηκαν οἱ χριστιανοὶ τὸ *μέλλοντος* πρὸς τῷ *αἰῶνος*; ἢ ποίαν ἀνάγκην ἐξηγήσεως εἶχον, ἀφ᾽ οὗ ταύτην ὁ Παῦλος ἐξήγησε; καὶ διὰ τί μὴ μᾶλλον παρέλαβον παρὰ τοῦ Παύλου οὕτως ἔχουσαν τὴν ῥῆσιν ἐν τῇ τῶν Ο μεταφράσει, ἣν μετὰ τῶν Εὐαγγελίων οἱ Ἀπόστολοι παρέδωκαν τῇ Ἐκκλησίᾳ; Ἔπειτα τὸ ἑβραϊκὸν Ad, ὅπερ ὁ Σύμμαχοςκαὶ Θεοδοτίων ἁπλῶς *αἰῶνα* μετέφρασαν (« *πατὴρ αἰῶνος* »), ἔχει καὶ πάσας τὰς σημασίας τοῦ *αἰῶνος*· ὅθεν σημαίνει καὶ τὴν αἰωνιότητα (ὡς μετέφρασε τὸ Ad καὶ ὁ Μοντάνης). Τοιοῦτος δὲ κυρίως ἐστὶν ὁ *μέλλων αἰών*, ὃν πολλάκις ἥ τε Παλαιὰ καὶ ἡ Καινὴ Διαθήκη, καὶ ἰδίως ὁ Ἀπόστολος Παῦλος διακρίνει ῥητῶς ἀπὸ *τοῦ νῦν αἰῶνος* (α). Τὸ δὲ *παιδίον* τὸ κατὰ σάρκα *γεννηθὲν*, *ὁ ἰσχυρὸς Θεός*, ὁ *Ἐμμανουήλ*, αὐτός ἐστι καὶ πατὴρ καὶ δεσπότης οὐ μόνον *τῆς ἐπὶ γῆς* τῶν χριστιανῶν Ἐκκλησίας (ὡς εἶπεν ὁ κριτικὸς), ἀλλὰ καὶ τῆς ἐν οὐρανοῖς *ἐκκλησίας τῶν πρωτοτόκων*, καὶ τῆς μελλούσης αἰωνίου ζωῆς καὶ βασιλείας (ἧς οὐκ ἔσται τέλος), « ὡς *ἀρχηγὸς* τῆς σωτηρίας καὶ τῆς ἀναστάσεως ἡμῶν » (Ἑβρ. β, 10: ζ, 1). « Ὥσπερ γὰρ ὁ Ἀδὰμ τοῦ παρόντος αἰῶνος πατὴρ ὀνομάζεται, οὕτως αὐτὸς τοῦ μέλλοντος· *εἴ τις γὰρ ἐν Χριστῷ* (φησὶ) *καινὴ κτίσις* » κτλ. (Θεοδώρητ. ἑρμην. εἰς Ἡσαΐ. αὐτόθ.)· καὶ αὐτὸς ὁ Ἱερώνυμος. « Πατέρα δὲ (λέγει) τοῦ μέλλοντος αἰῶνος καὶ τῆς *ἀναστάσεως*, ὅπερ ἐν τῇ ἡμετέρᾳ (τῇ τῶν χριστιανῶν) κλήσει πληροῦται » (ἐν Ὑπομνήμ. εἰς Ἡσαΐ. αὐτόθ.). Οὐκ ἄρα χριστιανοὶ προσέθηκαν τὸ *μέλλοντος* εἰς τὸ *αἰῶνος*, ἀλλ᾽ αὐτοὶ πάντως οἱ Ο, ἢ προσκειμένην καὶ ταύτην τὴν λέξιν, ἢ ἐγκειμένην ἐν τῇ πλατυτέρᾳ σημασίᾳ τῆς ἑβραϊκῆς φωνῆς (τῆς ad) ἐξέφρασαν τρανώτατα, τήν τε δύναμιν τῆς ἑβραΐδος ἐξακριβοῦντες (ἀσυγκρίτως τελειότερον παρὰ τοὺς ῥαββίνους καὶ τοὺς κριτικοὺς), καὶ τὸ θεοπρεπὲς τῆς προφητείας νόημα διαβλέποντες ἐκ θείου φωτισμοῦ. Ἀλλὰ καὶ αὐτὸς ὁ μακάριος Ἱε-

(α) Μάρκ. ι, 30: Λουκ. ιη, 30: Ματθ. ιϐ, 23: Ἑβρ. ς, 3: Ἐφεσ. α, 21: Β, Τιμόθ. δ, 10.—βλ. καὶ Schleus. Lexic. N. Test. καὶ Suicer. Test. v. Αἰών.

ρώνυμος συμφωνῶν πρὸς τὸ νῦν ἑβραϊκὸν (ὡς προείπομεν), ὡσαύτως καὶ οὗτος ἔγραψε· « *πατὴρ τοῦ μέλλοντος αἰῶνος* (pater futuri saeculi). Παρομοίως καὶ τῶν νεωτέρων κριτικῶν ἄλλοι τε καὶ Φορέριος (α). Ταῦτα ἐν παρόδῳ πρὸς τὸν γεραρὸν Καπέλλιον, ᾧ πολλὰς μὲν ὁμολογοῦμεν χάριτας ἀνθ᾽ ὧν περὶ τὴν κριτικὴν τῆς ἑβραΐδος Γραφῆς ἐφιλοπόνησε πολλῶν δήπου καὶ καλῶν, λαμπρῶς ἐξελέγξας τὰς ἐν τῷ Μασοραίῳ κειμένῳ διαφθορὰς, καὶ σεβασθεὶς (ἐν πολλοῖς) τὸ κῦρος τῶν Ο, ἀλλ᾽ ὅμως πάλιν, ὅπου δεῖ, καὶ τούτου καὶ τοῦ Κεννικώτου, καὶ *τοῦ Πλάτωνος φιλτέραν* καὶ τιμιωτέραν ἄγομεν τὴν ἀλήθειαν. Ἀλλ᾽ ἐπὶ τὸ προκείμενον.

§. ια. Ε) Πέμπτον εἶδος ἀναγνωστῶν διακρίνουσιν οἱ Μασορῖται τὸ « *κατ᾽ ἐναλλαγὴν* », ὅταν ἀντ᾽ ἄλλων τοῦ κειμένου λέξεων

(α) Τὸ ἑβρ. Ad (παρὰ τὸ Ada, διῆλθε, προὐχώρησε) σημαίνει κυρίως δίοδον, πρόοδον (transitum, processum)· ὅθεν πολλαχοῦ τῆς παλαιᾶς Γραφῆς δηλοῖ καὶ χρόνον αἰώνιον καὶ διηνεκῆ (βλ. Gesen. Lexic. Hebr. p. 736)· Ὥστε κἂν τῷ Abi ad (πατὴρ αἰῶνος) ἡ λέξις σημαίνει οὐχ ἧττον τὸν παρελθόντα καὶ παρόντα, ἀλλὰ καὶ τὸν μέλλοντα αἰῶνα, τὸν ἀΐδιον « Nomen Ad non solum eam aeternitatem significare quam in scholis vocant a posteriore, verum et eam quae à priore dicitur » (Rosenmüll. ad Esaj. 9, 5). Τὸ δὲ πατὴρ κατὰ τὸ ἰδίωμα τῆς ἑβραϊκῆς (ᾗ λέγουσιν οἱ περὶ ταῦτα δεινοὶ) σημαίνει καὶ τὸν δεσπότην καὶ κύριον, ἢ κτήτορα (βλ. Rosenmüll. Schol ad Esaj. 9, 6). Οὕτω καὶ παρ᾽ Ἕλλησιν ἐνίοτε τὸ πατὴρ σημαίνει τὸν αὐτουργὸν, οἷον, « πατέρες ἐλευθερίας » (Πλάτ. Μίν.). Ὅθεν καὶ ὁ Forerius « Pater futuri saeculi, vel pater aeternitatis etc. pater autem more Hebraeo auctor cujuscunque rei dicitur » κτλ. πρβλ. καὶ Münster καὶ Vatable καὶ Castalio Annot. ad Esaj. h. l. Οἱ δέ τινες καὶ ἐπιθετικῶς ἐξέλαβον τὴν φράσιν, pater aeternitatis ἀντὶ pater aeternus, sempiternus, τουτ. ἀντὶ τοῦ πατὴρ αἰώνιος τὸ πατὴρ αἰῶνος (ὡς ἀναγινώσκουσιν ἁπλῶς ἐν τῷ ἑβραϊκῷ. Βλ. Castalion. l. c. καὶ Gesen. l. c.). Ἀλλ᾽ ὅμως οὔτε τὸ τῶν Ο πλῆρες καὶ σαφὲς « πατὴρ τοῦ μέλλοντος αἰῶνος », οὔτε μὴν ἡ τῆς εὐσεβείᾳ πρεπούσης φράσεως ἀκρίβεια στέργει ταύτην τὴν ἐπιθετικὴν ἑρμηνείαν. Ἔχει δὲ καὶ ὁ ἱερὸς Κλήμης (Παιδαγ. α, 5) πατὴρ αἰώνιος· ἀλλ᾽ ἡ γραφὴ αὕτη, ὡς καὶ τὸ (θεὸς) δυνάστης, ἀντὶ τοῦ ἰσχυρὸς (αὐτόθ.), φαίνεται ὑπὸ παλαιῶν βιβλιογράφων εἰς τὸ κείμενον τοῦ Κλήμεντος ἐκ τοῦ Θεοδοτίωνος προστεθειμένον (βλ. ὄπισθ. σελ. 234. σημ.). Οὕτω δὲ καὶ παρ᾽ Ἰουστίνῳ καὶ παρ᾽ ἄλλοις πατράσι συνέχεον ἐνίοτε τὰς ἑρμηνείας οἱ βιβλιογράφοι.

ἄλλας κελεύωσιν ἀναγινώσκειν ἐν τῷ περισελίδῳ. Ὑπάρχουσι λέξεις ἐν τῷ κειμένῳ, ἃς ἀναγινώσκειν οἱ ῥαββεῖς οὐ θέλουσι, κακεμφάτους αὐτὰς εὑρίσκοντες, καὶ μὴ σφόδρα καθαράς! Ὅθεν μὴ στέργοντες μήτε τὰς σφετέρας αὐτῶν μήτε τὰς τῶν ἄλλων ὄψεις καὶ ἀκοὰς ἐκ τῶν τοιούτων ὀνομάτων ἐνοχλεῖσθαι καὶ σκανδαλίζεσθαι, διέταξαν ἄλλα ἀντ᾽ αὐτῶν (εὐφημότερα καὶ ἁγνότερα δηλονότι!), καὶ ταῦτα προσέγραψαν ἐν τῷ περισελίδῳ, σημειώσαντες ὡς *ἀναγνωστὰ*, καὶ ἀναγνωστέα.

§. ιϐ. Ἐκ τούτων εἰσὶ τὰ ἐφεξῆς. Ἐν Δευτερ. κη, 30, ἀντὶ τοῦ sagal (βιάσεται, ἐπ᾽ ἀσελγείᾳ τὴν γυναῖκα) ἔγραψαν sechab (συγκοιτασθήσεται, ὡς δῆθεν εὐφημότερον.)· οὕτως ἔγραψαν καὶ ἐν Ἡσαΐ. κεφ. ιγ, 16, κτλ. Οἱ δὲ Ο, καὶ ὧδε κἀκεῖ, διὰ τοῦ *ἔχω* ἡρμήνευσαν (« *ἕτερος ἕξει αὐτὴν* »), οὐ ῥαββινικὸν εὐφημισμὸν (καθά τινες τῶν νεωτέρων ἐφαντασιοκόπησαν· βλ. ὄπισθ. Βιϐλ. Β. σελ. 832 κτλ.), οὐδὲ κακόζηλον εὐστομίαν ἐξεπίτηδες σκευωροῦντες (μὴ γὰρ καὶ οὗτοι μετήλλαττον ἐν τῇ πρωτοτύπῳ γλώσσῃ τοῦ ἱεροῦ κειμένου τὰς φωνάς;), ἀλλὰ καὶ τὴν δύναμιν τοῦ ἑϐραϊκοῦ ῥήματος ἐξηγοῦντες, καὶ ἅμα ἑλληνίζοντες, κατὰ τὴν περὶ τὰ τοιαῦτα συνήθη φράσιν τῆς ἑλληνικῆς (α). Ἴσως δὲ καὶ οὐδ᾽ αὐτὸ τὸ sagal ὑπῆρχε τὸ πάλαι τοσαύτης αἰσχρολογίας ἀνάμεστον, οἷον μετὰ τοσούτους αἰῶνας ἀνέπλασαν οἱ Μασορῖται (ϐ).—Πάλιν, ἐν Δ. Βασ. ιη, 27, καὶ Ἡσ. λς, 12, ἀντὶ τοῦ *κόπρος*, κελεύουσιν ἀναγινώσκειν, τὸ *ἐξερχόμενον*.—Καὶ ἐν Δ. Βασιλ. ι, 27, ἀντὶ τοῦ *ἀπόπατος* (οἱ Ο,

---

(α) Οὕτω παρ᾽ Ἡροδότῳ (θ, 76 « *βίῃ λαϐὼν, ἔχεν τὴν γυναῖκα* »)· πρϐλ. Β. Παραλ. ια, 21, καὶ Ματθ. κϐ, 28 : Μάρκ. ς, 18: α. Κορ. ε. 1. Ἀλλαχοῦ δὲ οἱ Ο καὶ διὰ τοῦ μολύνειν, καὶ μιαίνειν ἡρμήνευσαν τὸ ῥῆμα (Ζαχαρ. ιδ, 2. πρϐλ. Ἱερεμ. γ, 2. καὶ Θεοδώρ. αὐτόθ.). Ὅθεν καὶ τὸ « κοίτη ἀμίαντος » (Ἑϐρ. ιγ, 4).

(ϐ) Τοῦ ἑϐραϊκοῦ Sagal συγγενὲς τὸ ἑλληνικὸν ἀσελγὴς καὶ ἀσελγαίνειν ἐνόμισεν (οὐ πάνυ τοι ὀρθῶς ἐτυμολογῶν) ὁ Καπέλλιος, καὶ τοῦτο κυρίως, (ὡς λέγει) σημαίνει τὸ Sagal. Κατὰ δὲ τὸν Ὀττιγγῆρον τὸ πρότερον ἡ λέξις ἦν κοσμία, ὡς καὶ ἡ Segal (νεᾶνις ἐπίγαμος)· ὕστερον δὲ μετέπεσεν εἰς σημασίαν αἰσχρὰν (Hotting. Thes. phil. p. 420). Βλ. καὶ Morin. Exercit. pag. 501.

ἔχουσι *λυτρὼν*, ἐκ τοῦ λύω, λῦμα, λύθρον· ὅθεν καὶ τὸ λατιν. lutrina) γράφουσιν, *ἀφοδευτήριον*. Καὶ Δ. Βασιλ. ς, 25, ἀντὶ τοῦ *κόπρου* περιστερῶν, γράφουσι *ῥύσιν* (ἢ ἔκκρισιν) περιστερῶν· ἀντὶ δὲ τοῦ *οὖρον* (Δ. Βασιλ. ιη, 27. Ἡσ. λς, 2) κελεύουσιν ἀναγινώσκειν περιφραστικῶς « *τὸ ὕδωρ τῶν ποδῶν* »· καὶ τὰ λοιπὰ παραλείπομεν.

§. ιγ. Τοιαύτη καὶ τοσαύτη, ἀναγνῶστα, ἡ μασορίτειος εἴτ' αἰδῶ ταύτην λέγεις, εἴτε μᾶλλον ἀναίδειαν καὶ βέβηλον ἀσχημοσύνην, ἥτις οὐκ ὀλίγην συνεμφαίνει καὶ τὴν μωρίαν. Μὴ γὰρ οἱ ἀναγινώσκοντες τὰς ἐν τῷ περισελίδῳ δῆθεν εὐφημοτέρας φωνὰς, οὐ βλέπουσιν ἐν τῷ κειμένῳ καὶ τὰς κεκεμφάτους παρακειμένας; εἰ δὲ πρὸς αὐτὰς οἱ ῥαββεῖς καὶ στόμα καὶ ἀκοὰς ἐκέλευσαν τοὺς ἀναγινώσκοντας ἀποφράττειν, τί μὴ παρομοίως ἀπέκλεισαν καὶ τοὺς αὐτῶν ὀφθαλμούς; Εἴπερ γὰρ *ὀφθαλμοὶ ὠτίων πιστότεροι*, πολὺ μᾶλλον ἐκ τῆς ὄψεως τὸν ἐκ τῶν τοιούτων *ἀῤῥήτων* δῆθεν γραπτῶν φθόρον τε καὶ ῥύπον ταῖς ψυχαῖς ἐναπομόργνυνται· ἢ μήπως ὁ ἀναγινώσκων οὐκ ἀναγινώσκει τὰς τοιαύτας λέξεις βλέπων ἐν τῷ κειμένῳ πρῶτον, καὶ ἔπειτα στρέφων εἰς τὸ περισέλιδον τὰς ὄψεις, ἐκφωνεῖ τὰς ἀντικαταστάσας εὐσχήμονας καὶ εὐφημοτέρας; (α). Ἀλλὰ «πολλὴ (λέγουσιν) ὑπῆρχεν ἡ περὶ τὴν αἰδῶ φροντὶς τῶν ἀρχαίων ῥαββίνων καὶ προσοχὴ, κατὰ τὸ παρ' αὐτοῖς κεκρατηκὸς Ταλμουδικὸν ἐκεῖνο παράγγελμα· « Ὅσαι λέξεις εἰσὶν ἐν τῷ νόμῳ γεγραμμέναι αἰσχραὶ (obscoenae), πάσας ταύτας ἀναγινώσκειν κοσμίως (honeste)» (β).

(α) Si enim aures offendunt, cum leguntur (λέγει ὁ περικλεὴς Βάλτων, ἐπαναλαμβάνει δὲ καὶ ὁ Κεννικῶτος), cur non etiam legentis occulos: cum tum per occulos, quam per aures turpia representari animo possint? Walt. Proleg. VIII. §. 25.

(β) Hotting. l. c. καὶ Walt. Proleg. VIII. §. 24. πρβλ. καὶ Carpzov Crit. Sacr. p. 349 (ἐν σημειώσ.)· Οὗτος παραβάλλει καὶ ἐκ τῶν νεωτέρων παρόμοιον παράδειγμα, τὸ ἑξῆς· Ἐπειδὴ ἐν τῇ κατὰ Λούθηρον ἑρμηνείᾳ τὸ «σκύβαλα εἶναι» (Φιλιππησ. γ. 8) μεθηρμηνεύθη γερμανιστὶ Jch achte es für Dreck (σκῶρ), καταλείπουσι μὲν ἄθικτον ἐν τῷ κειμένῳ τὴν λέξιν, ἐν δὲ τῷ ἀναγινώσκειν ἐκφωνοῦσι (χάριν αἰδοῦς), Jch achte es für K o t h (κόπρον).

Καὶ ἐφάνησαν λοιπὸν οἱ Ταλμουδοὶ καὶ οἱ Μασορῖται κοσμιώτεροι καὶ καθαρώτεροι καὶ δὴ καὶ σοφώτεροι τῶν θεοπνεύστων προφητῶν, ἀντικαθιςῶντες τὰς παρ' ἑαυτῶν βεβήλους φωνὰς, ἀνθ' ὧν ἔγραψαν ἐκεῖνοι οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι! Ἀλλ' ὅτι μὲν ἡ θεόπνευστος Γραφὴ *πρὸς πάντα ὠφέλιμός ἐστι*, διδάσκουσα τοὺς ἀνθρώπους καὶ ἀπ' αὐτῶν πολλάκις τῶν ἀνθρωπίνων, πρὸς ἔλεγχον καὶ σωφρονισμὸν καὶ διδασκαλίαν σωτήριον, φανερόν. Καὶ ὅσοι, *καθαρᾷ διανοίᾳ*, καὶ μετὰ πίστεως καὶ φόβου Θεοῦ τὰς θείας βίβλους ἀναγινώσκουσι, καὶ ἀκούουσιν, οὐδὲν πάσχουσι δεινὸν (ἄπαγε!) ἐκ τῶν ἐν αὐταῖς συγκαταβατικῶς ἐμφερομένων λέξεων, ταπεινοτέρων μὲν οὐσῶν, καὶ ἀφελεστέρων, καὶ συνήθων εἰς τὴν κοινοτέραν διάλεκτον, ἀχράντως δὲ ὅμως καὶ ἀδιαβλήτως καὶ εὐαγῶς γεγραμμένων (α). « *Πάντα καθαρὰ τοῖς καθαροῖς* ». Οὐδὲ ναμάτων διαυγεστάτων ἀείῤῥους πηγὴ μολύνει, ἢ μολύνεται, διότι δεικνύει πρός τινας ἐγκύπτοντας δυσμόρφους τῶν προσώπων αὐτῶν τὰς εἰκόνας. Οὐδὲ τὸ σεμνότατον καὶ θεμιστοῦχον δικαςήριον χραίνουσιν αἱ φράσεις τῶν ἐν αὐτῷ καταδικαζομένων ἁμαρτημάτων. Ἡ δὲ τῶν ῥαββίνων κοσμιότης δῆθεν καὶ σεμνοπρέπεια, σπίλους καὶ μώμους βλέπουσα καὶ ἐν τοῖς ἀμώμοις, ἐθεάτρισε λαμπρῶς τὴν ἐν ταῖς ψυχαῖς αὐτῶν ἐμφωλεύουσαν διαφθοράν· « Μεμίαντο γὰρ αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις ». Καὶ τοιοῦτοι πάντως ὤφειλον εἶναι « οἱ *καθαρίζοντες τὰ ἐκτὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος*, αὐτοὶ δὲ γέμοντες ἐντὸς ἁρπαγῆς καὶ ἀκρασίας, καὶ *τάφοις κεκονιαμένοις* παρομοιάζοντες, καὶ αὐτὸν δὲ τὸν νόμον τοῦ Θεοῦ ἀθετοῦντες, διὰ τὴν παράδοσιν τῶν παρ' αὐτοῖς *πρεσβυτέρων καὶ τυφλῶν ὁδηγῶν* ». Ἄπορον δὲ πῶς καὶ αὐτὰς τοῦ Δεκαλόγου νόμου τὰς ἐντολὰς οὐ μετέφρασαν πρὸς τὸ εὐφημότερον!

(α) « Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος, καὶ οὐδὲν κοινὸν δι' αὐτῆς, εἰ μὴ τῷ λογιζομένῳ κοινὸν εἶναι, ἐκεῖνο (ἴσ. γρ. ἐκείνῳ) κοινόν. Μ. Βασίλ. ἐπιστ. πρὸς Χίλων. σελ. 739 τ. β.

§. ιδ. Σὺ δὲ πρόσθες, ἀναγνῶστα, καὶ τὸ ἑξῆς· ὅτι ἡ σοφία τῶν ῥαββίνων οὐ μόνον διὰ πολλὴν καὶ βαθεῖαν αἰδῶ, ἀλλὰ προσέτι καὶ διὰ μέγα σέβας καὶ πολλὴν εὐλάβειαν ἐκακούργει περὶ τὸ θεόπνευστον κείμενον τῶν Γραφῶν. Ὅπου εὕρηκε γεγραμμένον τὸ τετραγράμματον ὄνομα τοῦ Θεοῦ (τὸ *Ἰευῶ*, ἢ *Ἰεχοβὰ*), ὑπέγραψεν ὑπ᾽ αὐτὸ *ἐν αὐτῷ τῷ κειμένῳ* τὰς φωνητικὰς στιγμὰς τοῦ *Ἀδωναΐ*, ἢ τοῦ *Ἐλωΐμ*, ἵνα ἢ τοῦτο προφέρωσιν, ἢ ἐκεῖνο, ἀντὶ τοῦ τετραγραμμάτου (α). Καὶ ὑπῆρχε μὲν ἀνέκαθεν παρ᾽ αὐτοῖς ἄῤῥητον τὸ *Ὄνομα* καὶ ἀνεκφώνητον, εἰ μὴ μόνον ἐν τῷ ναῷ (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 596, 849). Ἀλλὰ μήπως οὐκ ἤρκει ἡ ἀπὸ στόματος περὶ τούτου παράδοσις καὶ διδασκαλία; ἢ μήπως οἱ πρὸ τῶν Μασοριτῶν Ἰουδαῖοι, οἵτινες οὐδ᾽ ἐκεῖνοι τὸ τετραγράμματον ἐτόλμων ἁπλῶς ἐκφωνεῖν, διέκρινον τοῦτο διὰ στιγμῶν καὶ κεραιῶν; Ἀλλ᾽ οἱ τὸ Ταλμοῦδον προτιμότερον νομίσαντες ὅλου τοῦ κώδηκος τῶν θείων Γραφῶν, καὶ φρικτῶς τῶν θείων ὀνομάτων καταχρώμενοι κατὰ τὴν δυσσεβεστάστην αὐτῶν Καββαλὰν, πῶς ἔμελλον ἀφέξειν τὰς χεῖρας καὶ ἀπ᾽ αὐτοῦ τοῦ θεογράφου καὶ αὐτολέκτου ὀνόματος τοῦ Θεοῦ; Καὶ τοσαῦτα μὲν τὰ εἴδη τῶν *περὶ λέξεις ὁλοκλήρους* ἐν τῷ ἑβραϊκῷ κειμένῳ σεσημειωμένων *κερίων*, ἢ *ἀναγνωστῶν*. Προστιθέμεθα δὲ καί τινα ὀλίγα καὶ περὶ τῶν προῤῥηθέντων (κεφ. β. §. μα.) *εἰκαστῶν*, ἢ *στοχαστῶν* (Sebhirin) λεγομένων ἀναγνωσμάτων, (ὡς καὶ τούτων κατὰ μέρος ἀνηκόντων εἰς τὰ περὶ *λέξεις* ὁλοκλήρους θεωρήματα, τὰ γραπτὰ καὶ ἀναγνωστὰ), καὶ περί τινων ἄλλων ταλμουδικῶν ἀναγνωσμάτων, ἀνηκόντων εἰς τὴν κριτικὴν θεωρίαν τοῦ κειμένου, καὶ τέλος, περὶ τῶν ἐν αὐτῷ κατὰ στίχους σημειουμένων *διακοπῶν*, ἢ *διαλειμμάτων* (τῶν παρ᾽ αὐτοῖς *Πισκά*).

§. ιε. Ἐν πάσαις ταῖς μεγάλου μεγέθους ἐκδόσεσι τῆς ἑβραΐδος Γραφῆς σημειοῦνται πρὸς τῷ περισελίδῳ καὶ ταῦτα δὴ τὰ *Σε-*

(α) Βλ. περὶ τούτων Cappell. Crit. Sacr. p. 176, καὶ Carpzov l. c. p. 356.

βιρίνια, ἢ *εἰκαστὰ* ἀναγνώσματα, διορίζοντα διάφορον γραφὴν, ἢ στίξιν τινῶν λέξεων, ἄλλως γραφομένων, καὶ στιζομένων ἐν τῷ κειμένῳ. διαφέρουσι δὲ ταῦτα τῶν κυρίως λεγομένων *ἀναγνωστῶν* καὶ *γραπτῶν* κατὰ τοῦτο μόνον, καθότι μετριώτερον καὶ ἠπιώτερον ἡ τούτων ἀνάγνωσις διατάσσεται, καὶ οὐκ αὐθεντικῶς καὶ ἀναγκαίως, ὡς ἡ τῶν ἄλλων *ἀναγνωστῶν*· προτιμᾶται δὲ ὅμως καὶ ἡ τοιαύτη στοχαστικὴ ἀνάγνωσις τῆς ἐν τῷ κειμένῳ *γραπτῆς*. Καὶ ἔστι πολλάκις καὶ αὕτη καλὴ πάνυ, καὶ *ἀβάσκαντος*, καὶ ἀξία τῆς εὐστοχωτάτης κεφαλῆς τῶν Μασοριτῶν! Ἐκ ταύτης τῆς ὀνομασίας καὶ κριτικῆς ἐργασίας νομίζουσιν (εἴ τῳ πιστὸν), ὅτι ἐπωνομάσθησαν καὶ οἱ περὶ ὧν προείπομεν εἰκαστικοὶ Σεβουραΐται (κεφ. β. §. μθ).

§. ιϛ. Ἀλλ' εἴπερ οὗτοι μετά τινος (κατά γε τὴν *εἰκαστικὴν* ἐπωνυμίαν) μετριότητος ὑπηγόρευον τὴν διαστρέβλωσιν τῶν Γραφῶν, ἄλλοι ὅμως ἔπραττον τὸ ἄγος ἰταμώτερον, κατὰ προστακτικὴν ἔγκλισιν καὶ διάθεσιν. Πολλαχοῦ τοῦ Βαβυλωνικοῦ Ταλμουδίου καινὰς εἰσάγοντες ἀναγνώσεις περί τινα χωρία τῆς Γραφῆς, ἐπιτάσσουσι· « *Μὴ ἀναγίνωσκε οὕτως* » (ὡς ἔχει τὸ κείμενον), « *ἀλλ' οὕτως* » (ὡς αὐτοὶ διδάσκουσιν, ἄλλην λέξιν προβάλλοντες ὁμοιόφωνον). Ποιοῦσι δὲ τοῦτο, ὁσάκις βούλονται καὶ ἐξ αὐτῆς τῆς Γραφῆς τὰ σφίσιν ἀρέσκοντα ἀποδεῖξαι. Οὕτω, φέρ' εἰπεῖν, μνημονεύοντες τὸ, ἐν *Σελμὼν*, ἑβρ. Be–Tsalmon (ὄρους ὄνομα. ψαλμ. ξζ, ἑβρ. ξη, 15) κελεύουσι· « Μὴ ἀναγίνωσκε οὕτω, ἀλλ' οὕτω· *Βεσαλμαὲθ* (Be–Tsalmaeth, τουτ. *ἐν σκιᾷ θανάτου*). Καὶ πάλιν (Ἀσμ. Ἀσμ. ζ, 11) ἀντὶ τοῦ « Αὐλισθῶμεν ἐν *κώμαις* » κελεύουσιν ἀναγινώσκειν « ἐν *ἀρνηταῖς* » (ὡς ἀποκαλοῦσι πάντας τοὺς ἀρνουμένους τὸν νόμον ἐθνικοὺς, καὶ τοὺς χριστιανοὺς), ἐκλαμβάνοντες τὴν ῥῆσιν ἐπὶ τῆς μεταξὺ τῶν ἐθνικῶν καὶ χριστιανῶν *διασπορᾶς τοῦ Ἰσραήλ*. Μεταξὺ τοιούτων καὶ ἄλλων ὕθλων πολλῶν σημειοῦσι καί τι ἱστορικώτερον (!). Ὅτι δῆθεν ὁ τοῦ Δαβὶδ ἀρχιστράτηγος Ἰωὰβ ἀπέκτεινε τὸν διδάσκαλον αὐτοῦ, διότι αὐτὸν ἐδίδαξεν ἀναγινώσκειν ἐν Δευτερ. κ, 13, Zachar (*ἄρσεν*, ὡς ἔχει

καὶ τὴν σήμερον) ἀντὶ Zecher (μνήμην) (α). Καὶ ταῦτα μὲν οὕτως. Ἐν δὲ τῇ Γεμάρᾳ τοῦ Ἱεροσολυμικοῦ Ταλμουδίου ἀντὶ τοῦ «Μὴ οὕτως ἀναγίνωσκε, ἀλλ' οὕτως», κατ' ἄλλον τύπον ἐκφράζεται τὸ παράγγελμα, πολὺ χείρονα, τὸν ἑξῆς· «*Οὐχ οὕτω γέγραπται* (ἐν τῇ Γραφῇ), *ἀλλ' οὕτω*» (καὶ ἐπάγουσι τὰς διορθώσεις) (β). Τοιαύτη τῶν ῥαββίνων ἡ τόλμη. Ἔνθεν μὲν ἀπαγορεύουσι ῥητῶς, μὴ ἀναγινώσκειν ὡς ἔχει τὸ κείμενον, ἀλλ' ὡς αὐτοῖς ἀρέσκει· καὶ γίνονται τῶν θεοπνεύστων συγγραφέων σοφώτεροι· Ἑτέρωθεν δὲ καὶ αὐτῆς τῆς θείας Γραφῆς τὸ ἀξίωμα περιβάλλουσι τοὺς ἰδίους αὐτῶν λήρους· «*Οὕτω γέγραπται*»! Καὶ τοιοῦτοι πάντως ἔμελλον εἶναι οἱ υἱοὶ τῶν ψευδοπροφητῶν ἐκείνων, οἵτινες «*ἔκλεπτον τοὺς λόγους τοῦ Θεοῦ*» συμφύροντες τὸ *ἄχυρον πρὸς τὸν σῖτον* (τοὺς ἰδίους ἑαυτῶν, πρὸς τοὺς θείους λόγους), καὶ λέγοντες «*Οὕτως εἶπε Κύριος*» (Ἱερεμ. κγ, 28–30. καὶ λε, 13). «Ἀλλὰ (λέγουσι) καί τοι κελεύοντες οἱ Ταλμουδικοὶ διαφόρως τινὰς λέξεις τοῦ κειμένου ἀναγινώσκειν, αὐτὸ τὸ κείμενον ὅμως ἄθικτον κατέλιπον καὶ ἀπαραποίητον»—Ἀλλ' εἰ μὲν ἀληθεύει ὁ λόγος οὗτος, βλέπομεν ἐν τοῖς ἐφεξῆς. Κἂν δὲ καὶ τοῦτο δῶμεν, οὐχ ἧττον πάλιν, εἰ μὴ καὶ μᾶλλον, ἀποδείκνυνται τοῦ κειμένου φθορεῖς. Εἰ γὰρ τὰς λέξεις ὁπωσδήποτε μετεποίουν εἰσάπαξ ἐν αὐτῷ τῷ κειμένῳ, καθ' ἕνα γοῦν οἱονδήποτε τρόπον ἔμελλον αὐτὸ διαφθείρειν. Ἤδη δὲ διαφόρως ἀναγινώσκειν διδάσκοντες αὐτοί, οἱ καυχώμενοι καὶ

(α) «Καὶ πατάξεις πᾶν ἀ ρ σ ε ν ι κ ὸ ν αὐτῆς ἐν φόνῳ μαχαίρας» (Δευτ. κ, 23). Ἡ ἑβραϊκὴ λέξις γράφεται διὰ τριῶν συμφώνων, ζκρ, ἢ zcr, τοῦτο δὲ ἂν μὲν ἀναγνωθῇ Ζ α κ ὰ ρ, ἄρσεν σημαίνει, ἂν δὲ διὰ τοῦ ε, Ζ ε κ ὲ ρ, μνήμην. Ὁ διδάσκαλος ἐδίδασκε τὸν Ἰωὰβ προφέρειν Ζ α κ ὰ ρ, ἀλλ' ὁ Δαβὶδ ἀνεγίνωσκε Ζ ε κ έ ρ. Ὅθεν, ἐπειδὴ ὁ Ἰωὰβ ἀπέκτεινεν ἐκ τῶν νικηθέντων ἀλλοφύλων τοὺς ἄ ῤ ῥ ε ν α ς μόνον, ἐρωτηθεὶς ὑπὸ Δαβίδ, διὰ τί τοῦτο ἐποίησεν; ἀπεκρίνατο, ὅτι οὕτω γέγραπται «καὶ πατάξεις πᾶν ἀρσενικὸν (ζακάρ)»; Οὐχὶ (φησὶν ὁ Δαβίδ), ἀλλὰ γ έ γ ρ α π τ α ι (ζ ε κ ὲ ρ) μνήμην» (ἄρδην δηλονότι, μέχρις ἐξαλείψεως καὶ τῆς μνήμης αὐτῆς). Ὅθεν ὀργισθεὶς ὁ Ἰωάβ, αὐτίκα τὸν διδάσκαλον ἀπέκτεινε» (βλ. τὸν λῆρον παρὰ Μορίνῳ Lib. II. Exercitat. 12. c. 4 p. 398).

(β) Βλ. Carpzov. l. c. p. 362. 363. — Cappel. l. c. p. 178. — Walt. Prol. III. § 43.

πεποιθότες, ὅτι *ὁδηγοί εἰσι τυφλῶν, φῶς τῶν ἐν σκότει, διδάσκαλοι νηπίων, ἔχοντες τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ* (Ῥωμ. β, 19), ἐδίδασκον λοιπὸν τοὺς μαθητὰς αὐτῶν πάνδεινον μάθημα καὶ ὀλέθριον· ὅτι ἔξεστι τοὺς θείους λόγους μεταποιεῖν παντοιοτρόπως πρὸς τὸ δοκοῦν! καὶ ἑπομένως διὰ ἑνὸς ἢ πλειόνων κιβδήλων παραναγνωσμάτων ἐξετίθουν τὸ κείμενον εἰς τοσαύτας μεταβολὰς, ὅσας ἂν ὑπηγόρευεν ἡ φαντασία ἑκάστου. Ἔπειτα τίς ἐγγυᾶται βεβαίως, ὅτι τῶν τοιούτων παραναγνωσμάτων οὐκ ἀπώνατο καὶ τὸ κείμενον αὐτό; Πολλάκις γὰρ, εἰ καὶ μὴ κατὰ προαίρεσιν, ἀλλ' ὅμως ἐκ τῆς κακῆς ἕξεως, καὶ τῆς « *μὴ οὕτως, ἀλλ' οὕτως ἀναγίνωσκε* » μοχθηρᾶς παραγγελίας, ἠδύναντο ῥᾳδίως οἱ μεταγραφεῖς τῶν μὲν γνησίων ἀναγνώσεων ἀμελεῖν, ἀντεισάγειν δὲ τὰς ἀρεσκούσας τοῖς ῥαββίνοις, ἐν αἷς ἐνετράφησαν. Οἱ δέ τινες ὑπέλαβον, ὅτι τὰς τοιαύτας ἀναγνώσεις οὐκ ἀφ' ἑαυτῶν παρήγγελλον οἱ Ταλμουδικοὶ, ἀλλὰ λαμβάνοντες ἔκ τινων κωδήκων τῆς Γραφῆς, ἐχόντων διαφόρους τοῦ κειμένου παραλλαγάς. Ἀλλὰ κἂν τοῦτο τεθῇ, φαίνονται λοιπὸν ἄλλοι πρότερον ῥαββῖνοι αὐτὸ τὸ κείμενον διαφθείραντες διὰ τῶν τοιούτων μεταβολῶν, οἱ δὲ ταύτας ἀποδεχόμενοι Ταλμουδικοὶ, καὶ διδάσκοντες τῆς συνήθους ἀναγνώσεως προτιμᾶν, οὐδ' εἴ τις αὐτὰς καὶ εἰς τὸ κείμενον κατεχώριζεν, ἔμελλον ἀντιλέγειν· καὶ μαρτυρεῖ τῶν *κετιβίων καὶ κερίων* ἡ ἐν τοῖς κώδηξιν ἀνάμιξις καὶ ἐναλλαγή. Οἱ δὲ περὶ τὸν Ὀττιγγῆρον μάτην καταψῶσι τὰ παραγγέλματα τῆς Ταλμουδικῆς παρανοίας, πρὸς τὸ πρᾳότερον ἐκλαμβάνοντες (α).

(α) Τὸ Ταλμουδικὸν « Μ ὴ ἀ ν α γ ί ν ω σ κ ε ο ὕ τ ω ς ἀ λ λ' ο ὕ τ ω ς, » ὁ σοφὸς Ὀττιγγῆρος παρήγγειλεν ἐκληπτέον μ ὴ π ρ ο σ τ α κ τ ι κ ῶ ς, ἀ λ λ ὰ σ υ γ χ ω ρ η τ ι κ ῶ ς (γράφει δὲ τὰς λέξεις ἀμφοτέρας ἑλληνιστί). Καὶ ἔστι (λέγει) ταυτὸν, ὡσανεὶ καὶ ἔλεγε « Κἂν οὕτω μάλιστα ἀναγινώσκῃς, πρόσφορον ἔσται τὸ νόημα, καὶ μάλιστα ἐὰν ᾖ ἀλληγορικόν». Thes. philolog. pag. 214. Παράδοξος τῷ ὄντι ἐκδοχὴ τοῦ προστακτικοῦ ἀντὶ συγχωρητικοῦ, καὶ σφόδρα γραμματική. Ἀλλὰ μήπως καὶ τὸν ἕτερον Ταλμουδικὸν τύπον τὸν « ο ὕ τ ω γ έ γ ρ α π τ α ι » σ υ γ χ ω ρ η τ ι κ ῶ ς, καὶ τοῦτον ἐκληπτέον; — Ὁ δὲ σοφὸς Καρψόβιος Βουξτορφίῳ

§. ιζ. Ἐνταῦθα σημειοῦμεν ἰδίως, ὡς ἐν παραρτήματι, καὶ τὴν περίφημον μασορικὴν *Πισκάν*· δηλοῖ δὲ τοῦτο *διακοπήν*· καὶ ἔςι σημεῖον κριτικὸν, ἐμφαῖνον τὰ ἔν τισι τῶν στίχων ἀπαντῶντα χαίνοντα καὶ ἐλλειπῆ μέρη τοῦ κειμένου (βλ. ὄπισθ. σελ. 120). Τοιαῦτα χασματώδη χωρία τῆς ἑβραϊκῆς γραφῆς ἀριθμεῖ ἡ Μάσορα, νῦν μὲν 25, νῦν δὲ 28. Καὶ οἱ μὲν ῥαββῖνοι πειρῶνται θεραπεύειν ταῦτα τὰ διαλείμματα, ἄλλοι ἄλλως ἀναπληροῦντες, καὶ ληροῦντες τὰ πολλά. Ὑπάρχουσι δὲ ὅμως κατά γε τοῦτο εἰλικρινεῖς, ὡς σημειώσαντες ταῦτα γοῦν τὰ χάσματα. Ἀλλ᾽ ἐν τούτοις ποῖον ἄλλο γένοιτ᾽ ἂν τρανώτερον δεῖγμα τῆς κατὰ τόπους συντριβῆς τοῦ ἑβραϊκοῦ κειμένου; 28 τοιαῦτα χάσματα σεσημείωκεν ἡ Μάσορα· ἀλλὰ πόσα καὶ ἄλλα μὴ συνέντες παρεῖδον οἱ Μασορῖται! καὶ πόσον ἐξελέγχεται παράδοξος ἡ κρίσις τῶν ἑβραϊστῶν ἐκείνων, ὅσοι τῷ *κανόνι τούτῳ* τῆς Μασόρας ςοιχοῦντες, καὶ τοῦ κρικυλλίου τῆς ῥαββινικῆς *πισκᾶς* ἐξηρτημένοι, καταψηφίζουσιν ὡς προσθήκας παρεμπεποιημένας εἰς τὸ κείμενον τῶν Ο, πάσας ἄλλας καὶ λέξεις καὶ περιόδους ὅλας καὶ μεγάλας περικοπὰς, παρὰ τούτοις μὲν σωζομένας, ἐκ δὲ τοῦ νεωτέρου

συμφωνῶν, θεωρεῖ τὸν τύπον συνήθη παρὰ ταῖς ταλμουδικοῖς ἐν ταῖς πρὸς ἀλλήλους διαλέξεσιν· ὅταν ἀναφέρωνταί τινα χωρία τῆς Γραφῆς, λέγει ὁ ἕτερος πρὸς τὸν ἕτερον « μὴ οὕτως ἀναγίνωσκε, ἀλλ᾽ οὕτως » ἀλληγορικῶς ἐκλαμβάνων τὴν λέξιν, κτλ. (βλ. Carpzov. Crit. Sacr. p. 362—364). Ἀλλὰ πῶς μὲν οἱ Ταλμουδικοὶ διαλέγονται, αὐτοὶ πάλιν ἂν εἰδεῖεν οἱ κριτικοί. Ὅτι δὲ ὁ τύπος οὗτος, ὁ μὴ οὕτως ἀνεγίνωσκε, γυμνὸς καὶ ἐκτὸς διαλέξεων ἐμφέρετ᾽ ἐν τῷ Ταλμούδῳ, καὶ ὅτι διατάσσει πάντα τινὰ ἀναγνώστην μεταβάλλειν τὴν λέξιν, εὐκόλως μὲν ἕκαστος ἐννοεῖ, δεικνύουσι δὲ καὶ τὰ ἀνωτέρω ἐκτεθέντα παραδείγματα, μαρτυρεῖ δὲ τέλος, καὶ τὸ ἕτερον Ταλμουδικὸν ἀξίωμα « Οὕτω γέγραπται ». Συμφωνεῖ δὲ τούτοις κἀκεῖνο τὸ ῥαββινικὸν παράγγελμα «Υἱὲ πρόσεχε τοῖς λόγοις τῶν γραμματέων (τῶν Ταλμουδικῶν) μᾶλλον, ἢ τοῖς λόγοις τοῦ νόμου », διὸ καὶ αὐτὸς ὁ Βουξτόρφιος ἠγανάκτησε (Buxtorf. Synagog. Jud. p. 75, βλ. ὄπισθ. σελ. 112. πρβλ. καὶ Pfeiff. Crit. Sacr. p. 397). Καὶ δικαίως λοιπὸν ὁ Καπελλάνιος (Mare Rabbinic. P. I. c. 5) καὶ ὁ Γαλατῖνος (de Arcan. Cathol. verit. L. 1. c. 8. καὶ L. 3. c. 9. πρβλ. καὶ Morin. L. II. Exercit. 22. c. 5) ἐκ τῶν δύω τούτων τῶν περὶ τὴν ἀνάγνωσιν τῆς γραφῆς ταλμουδικῶν τύπων συμπεραίνουσι τὴν ὑπὸ τῶν Ταλμουδιστῶν καὶ ἄλλων Ἰουδαίων διαφθορὰν τοῦ ἑβραϊκοῦ κειμένου.

Ἰουδαϊκοῦ κειμένου ἐκπεπτωκυίας, περὶ ὧν οὐδὲν ἐν τούτῳ σεσημείωται ῥαββινικὸν διάλειμμα! Καὶ περὶ τούτων μὲν ἐν τοῖς ἑξῆς. Ὁ δὲ Βουξτόρφιος (ἐν τῷ *περὶ Μασόρας*) μονονοὺ καὶ ἐκθειάζει ταῦτα τὰ ῥαββινικὰ χάσματα, ὡς γνήσια μέρη τῆς Γραφῆς. « Ὅταν (λέγει) χαϊνόν τι χωρίον ἡ Μάσορα σημειοῖ, οὐκ ἐθέλει διδάσκειν, ὅτι δι' ἀβλεψίαν, ἢ ἀμέλειαν τῶν ἀντιγραφέων, ἢ κατὰ τύχην, ἢ ἀπὸ πλάνης τοῦτο συνέβη, ἀλλ' ὅτι *οὕτως ἔχει, καὶ οὕτως ἔχειν ὀφείλει τὸ κείμενον*. Ἔστω τὸ χάσμα καὶ τὸ διάλειμμα. Εἰ γὰρ τοῦτο κατά τινα βουλὴν ἐξεπίτηδες *ὑπ' αὐτοῦ τοῦ συγγραφέως*, μᾶλλον δὲ *ὑπ' αὐτοῦ τοῦ ἁγίου Πνεύματος* κατεσκεύασται, οὐκ ἔστιν ἡμέτερον ἔργον τὸ τοιοῦτο χάσμα τοῦ κειμένου ἀναπληροῦν », κτλ. Τοῦτον δὲ τὸν Βουξτόρφειον λῆρον καὶ ἄλλοι τῶν μετὰ ταῦτα κριτικῶν ἀπεδέξαντο· καὶ αὐτὸς ὁ Καρψόβιος ἀνεκήρυξεν, ὅτι « πλανῶνται *πλάνην οὐρανομήκη*, ὅσοι νομίζουσι *τὴν Πισκὰν* σύμβολον ἐλλείψεως. Ἔστι δὲ σημεῖον τῆς ἐν μέσῳ τῷ στίχῳ τελείας ἐννοίας, καὶ σημαίνει *παῦσιν* (pausam)» κτλ. (α). Ἀλλ' ὅμως, εἰ καὶ μὴ *οὐρανομήκη*, γενρὰν ἀλλ' οὖν γε πάντως καὶ ἀνθρωπίνην πλάνην ἐπλανήθησαν μᾶλλον οἱ ταῦτα φρονοῦντες· ὡς ἀπέδειξε μετ' ἄλλων καὶ ὁ σοφὸς Κεννικῶτος, παραστήσας τὴν *πισκὰν* ἐμφαντικωτάτην ἀπόδειξιν τῆς τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ βεβαίας ἐν πολλοῖς καὶ ἀληθοῦς *διακοπῆς* καὶ διαφθορᾶς (β). Καὶ ταῦτα μὲν ταύτῃ.

§. ιη. Ἡμεῖς δὲ μεταβαίνομεν εἰς ἄλλο κεφάλαιον, ἐξετάσοντες ἐκτενέστερον, τίνες οἱ πρῶτοι δημιουργοὶ τῶν προειρημένων *ἀναγνωστῶν τε καὶ γραπτῶν*· καὶ ποτέραν τῶν δύω τούτων ἀναγνώσεων κρίνουσι γνησίαν καὶ αὐθεντικήν· καθότι τοῦτο πρὸ πάντων συμβάλλει μάλιστα πρὸς ἀπόδειξιν τῆς τοῦ ἑβραϊκοῦ κειμένου ἢ ἀκεραιότητος, ἢ παραφθορᾶς.

(α) Carpzov. Crit. Sacr. p. 304, καὶ p. 823.

(β) Kennicot. Diss. I, p. 332, sqq. καὶ (παρ' αὐτῷ) Van der Hooght, Leusden, etc.

ΚΕΦΑΛΑΙΟΝ Η.

Τίνες οἱ πρῶτοι εὑρέται τῶν ἀναγνωστῶν καὶ γραπτῶν, καὶ ποτέρα τῶν δύω τούτων ἀναγνώσεων ἡ γνησιωτέρα.

§. α. Εἴπομεν ἐν τοῖς προλαβοῦσι (κεφ. β. §. μα), ὅτι τῶν Μασοριτῶν ὑπῆρξεν εὕρημα ἡ διάκρισις τῶν *κερίων* καὶ *κετιβίων*, ἅπερ ἀποτελοῦσι τὸ κυριώτατον μέρος τῆς Μασόρας· ἤδη δὲ καταγράφομεν τὰς ποικίλας περὶ τῆς ἀρχῆς καὶ γενέσεως αὐτῶν δοξασίας τῶν τε ῥαββίνων, καὶ τῶν ἐπισημοτάτων κριτικῶν.

§. β. Πρῶτον μὲν οὖν οἱ Ταλμουδικοὶ, καὶ τούτων οἱ ὀπαδοὶ, δογματίζουσιν ἀναμφιβόλως, ὅτι τῶν ἀναγνωστῶν καὶ τῶν γραπτῶν ἡ διάκρισις ὑπάρχει παράδοσις αὐτοῦ τοῦ Μωσέως, καταβαίνουσα ἐκ τοῦ ὄρους Σινά. Ταύτῃ δ᾽ ἐπηκολούθησαν ἐφεξῆς καὶ οἱ τῶν λοιπῶν βιβλίων θεόπνευστοι συγγραφεῖς. Αὐτός τε γὰρ ὁ Μωϋσῆς, καὶ οἱ μετ᾽ αὐτὸν προφῆται διά τινας ἐμβριθεστάτας καὶ λίαν ἀξιολόγους αἰτίας, (ἢ πρὸς αἰνιγμὸν καὶ ἀλληγορίαν, ἢ καὶ πρὸς ἐξήγησιν ἀποκρύφων τινῶν μυστηρίων καὶ ὑψηλοτέρων ἐννοιῶν τῆς θείας Γραφῆς), ἐν ᾧ συνέγραφον τὰς ἱερὰς βίβλους, ἑκατέραν προσετίθουν καὶ τὴν ἀνάγνωσιν, τὴν μὲν γράφοντες ἐν αὐτῷ τῷ ὕφει τῆς τοῦ κειμένου σειρᾶς, τὴν δὲ παρὰ πλευρὰν ἐπὶ τῆς ὤας, ἢ τοῦ περισελίδου. Ἡ δὲ περὶ τούτων ἁπάντων διδασκαλία πρῶτον ἐπὶ τοῦ ὄρους Σινὰ δι᾽ *ἀγράφου νόμου* καὶ ἀπὸ στόματος τῷ Μωσῇ ἀποκαλυφθεῖσα, παρ᾽ αὐτοῦ δὲ καὶ εἰς τοὺς προφήτας κατὰ παράδοσιν διαπορθμευθεῖσα, κατέβη κατὰ σειρὰν καὶ εἰς τοὺς μεταγενεστέρους (βλ. σελ. 123).—Ἀλλὰ τὸν μῦθον τοῦτον οὐκ ἐλέγχου καὶ ἀναιρέσεως, συρισμοῦ δὲ μᾶλλον καὶ γέλωτος ἄξιον ἔκρινε καὶ αὐτὸς ὁ Καρψόβιος (α). Οὐδὲ τὸν Βουξτόρφιον ἐπήνεσεν, ὅστις ὑπογλυκαίνων τὸ τραχὺ τῆς ῥαββινικῆς τερατείας ταύτης, εἰκοτολόγησεν, ὅτι οἱ ῥαββεῖς ἐννοοῦσιν, οὐχ ὅτι ὁ Μωϋσῆς ὑπῆρξεν ὁ

(α) Βλ. Carpzov. Critica Sacr. p. 330—344. πρβλ. Cappell. Crit. Sacr. p. 184. — Hotting. Thes. phil. pag. 415 sqq.

πατὴρ ὅλων τῶν καθ' ὅλα (καὶ τὰ μετ' αὐτὸν συγγραφέντα) βιβλία τῆς Γραφῆς *ἀναγνωστῶν* τε καὶ *γραπτῶν*, ἀλλ' ὅτι πρῶτος αὐτὸς παρέσχε τὰ παραδείγματα, καὶ ταῦτα παραλαβόντες ἐμιμήθησαν καὶ οἱ μετ' αὐτὸν συγγραφεῖς! Ἄλλος δέ τις σοφὸς, ὁ Αἰνόσβορτος (Ainswort) εὕρηκε καὶ δεῖγμα τῶν Μωσαϊκῶν *κεριῶν* καὶ *κετιβῶν*, τὰς δύω ταυτοφώνους λέξεις, *λὸ* (τὴν μὲν διὰ τοῦ *λάμεδ* καὶ *ἄλεφ* γραφομένην, *λὰ*, διὰ δὲ τῆς ἐπιτιθεμένης στίξεως μεταβάλλουσαν τὸν φθόγγον τοῦ α, εἰς ο, καὶ δηλοῦσαν τὸ *οὐ*· τὴν δὲ διὰ τοῦ *λάμεδ* καὶ *οὐαῦ*, καὶ δηλοῦσαν *αὐτῷ*) (α). Ταύτας (λέγει) τὰς ἑτεροσήμους καὶ ταυτοφώνους λέξεις ἀκούων ὁ Μωσῆς παρὰ τοῦ Θεοῦ, ἔκρινε θεοπνεύςως ἀναγκαῖον, ἵνα γράψῃ τὴν μὲν ἐν τῷ κειμένῳ, τὴν δ' ἑτέραν εἰς τὸ περισέλιδον, διακρίνων τὰς σημασίας (β). Καὶ πάσας δὲ τὰς ἐν τῷ ἑβραϊκῷ διαφόρους ἀναγνώσεις εἰς αὐτὸ *τὸ ἅγιον πνεῦμα*, μηδὲν ὀκλάσας, ἀπέδωκεν ἰταμῶς ὁ ῥαββινοφίλας Αἰνόσβορτος· ἀντεῖπε δὲ πρὸς αὐτὸν ὁ Βιτρίγγας.

§. γ. Ἄλλοι δὲ τὴν εὕρεσιν τῶν ἀναγνωστῶν καὶ γραπτῶν, ἀπέδωκαν εἰς τὸν Ἔσδραν (βλ. ὄπισθ. σελ. 124). Σχίζονται δὲ οὗτοι τετραχῇ. Καὶ 1) ὁ μὲν δυσσεβὴς ῥαββῖνος Ἀβαρβανῆλος (ἢ Ἀβραβανῆλος) προσῆψε τὴν αἰτίαν τῶν παραλλαγῶν τούτων εἰς τοὺς θείους προφήτας, οἵτινες ἔγραψαν (λέγει) πολλὰς ἀνωμαλίας καὶ ἀνορθογραφίας· καὶ παραδειγματίζει λίαν ὑπεροπτι-

---

(α) Ὡς ἂν εἴποις ἑλληνικῶς, οὐ, καὶ οὗ (ἑοῦ, ἑαυτοῦ)· ἢ μὴ, καὶ μοί· κτλ. βλ. καὶ ὄπισθ. κεφ. β. §. κβ. σημ.

(β) Ἔχει τὰς τοιαύτας ἀναγνώσεις καὶ τὸ νῦν ἑβραϊκὸν κείμενον (δηλονότι κατὰ τὴν ἐπίπνοιαν τῶν Ταλμουδιστῶν καὶ τῆς Μασόρας !). Οἷον ἐν Λευϊτ. ια, 21, ἐν μὲν τῷ κειμένῳ γέγραπται λὸ (δηλαδὴ λα = οὐ) ἐν δὲ τῷ ἀναγνωστῷ λὸ (αὐτῷ), καὶ πάντως ἡ ἔννοια κατάφασιν ἀπαιτεῖ «Φάγεσθε ἃ ἔχει σκέλη» (οἱ Ο, τὸ δ' ἑβρ. ἑνικῶς· «φάγ. ᾧ αὐτῷ σκέλη»). Ὡσαύτως καὶ Λευϊτ. κα, 30 καὶ Ἐξόδ. λα, 1 (καὶ οἱ Ο, πάντα ταῦτα καταφατικῶς ἔγραψαν). Ἐν τούτοις οὖν, ὡς ἔοικε, καὶ τοῖς τοιούτοις χωρίοις ὁ θεόπνευστος Μωσῆς ἔγραφε (κατὰ τὸν Αἰνόσβορτον) ἐν μὲν τῷ κειμένῳ τὴν γραφὴν τοῦ ἀποφατικοῦ λὸ, ἐν δὲ τῷ περισελίδῳ τὴν τοῦ καταφατικοῦ, διακρίνων ἀντιφατικῶς τὰς ταυτοφωνίας, καὶ οἷον προγυμνάζων τοὺς Μασορίτας! Καὶ διὰ τί οὐκ ἔγραφεν ὁ προφήτης ἀμέσως ἐν τῷ κειμένῳ τὴν γραφὴν τοῦ καταφατικοῦ λό; — «Ἰὼ φρενῶν δυσφρόνων ἁμαρτήματα».

κῶς τὸν θεῖον Ἱερεμίαν (σελ. 125). Ταῦτα λοιπὸν (λέγει) τὰ γραμματικὰ σφάλματα διορθῶν ὁ Ἔσδρας, προσέγραψεν ἐν τῷ περισελίδῳ τὰ ὀρθὰ καὶ ἀναγνωστέα· κατέλιπε δὲ πάλιν ἐν τῷ κειμένῳ τὰ *γραπτὰ*, σεβασθεὶς ὡς θείας τὰς φωνὰς, καὶ μυστηρίων τινῶν περιεκτικάς. Ἐφεξῆς δὲ, τέλος, καὶ αὐτὸν τὸν Ἔσδραν κατεδίκασεν, ὡς ἀμαθέστερον τῆς ἑβραϊκῆς γραμματικῆς καὶ ἀμελῆ. Εἰς τοσαύτην ἐξετραχηλίσθη παραφροσύνην ὁ βαρβαρόφωνος Χαλδαῖος, κρίνων ἣν οὐ κατενόει γλῶσσαν τῶν θεοπνεύστων προφητῶν, καὶ πλάττων ἀνορθογραφίας κατὰ τὴν στρεβλὴν αὐτοῦ γραμματικὴν, καὶ τοὺς στρεβλοτέρους τῆς Μασσόρας κανόνας! Κἂν δὲ δῶμεν, ὅτι καὶ οἱ θεῖοι προφῆται ἦσαν ἐν πολλοῖς «*ἰδιῶται τῷ λόγῳ* (κατὰ τὸν Ἀπόστολον), *οὐ καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας καταγγέλλοντες τὰ μαρτύρια τοῦ Θεοῦ* », ἀλλ' οὔτε ὁ θεοφόρητος Ἔσδρας διέκρινε τὰς λεγομένας περὶ τὴν φράσιν αὐτῶν ἀνωμαλίας, οὔτ' Ἀβαρβανῆλοι ἦσαν οἱ κατάλληλοι τῶν τοιούτων κριταί. Ἐκεῖνο δὲ σημειωτέον ἐπὶ τῶν λογαρίων τοῦ ῥαββίνου, ὅτι τὰς ἐν τῷ κειμένῳ λέξεις, ἢ τὰ κατ' αὐτὸν *γραπτὰ*, ἀποδοκιμάζει πάντα ὡς ἐσφαλμένα, προτιμᾷ δὲ πανταχοῦ τὰ περισελίδια *ἀναγνωστὰ*, ὡς πάντα γνησίας καὶ αὐθεντικὰς λέξεις τῆς Γραφῆς! — 2) Ὁ δὲ πάλιν Κιμχὴς καὶ ἄλλοι ῥαββῖνοι κρίνουσιν, ὅτι ὁ Ἔσδρας ἐπανελθὼν εἰς Ἱερουσαλὴμ, καὶ συνάμα μετὰ τῆς μεγάλης Συναγωγῆς τοὺς διαφόρους κώδηκας τῆς Γραφῆς πρὸς ἀλλήλους ἀντιβαλὼν καὶ παρεξετάσας, ἐπειδὴ τούτους εὕρηκε τεταραγμένους ἐν πολλοῖς, καὶ πεπηρωμένους, καὶ ποικίλας ἔχοντας παραλλαγὰς, μὴ δυνάμενος διακρῖναι τῶν διαφόρων ἀναγνώσεων τὴν ἀκριβεστέραν, κατέλιπε μὲν ἐν τῷ κειμένῳ τὴν ὕποπτον αὐτῷ δοκοῦσαν (μὴ τολμήσας ἐξαλεῖψαι διὰ τὸ πρὸς τὴν Γραφὴν σέβας), προσέγραψε δ' ἐν τῷ περισελίδῳ τὴν ὀρθήν. Ἀλλὰ καὶ τοῦτο (φησὶν ὁ Καρψόβιος καὶ πρὸ τούτου ὁ Καπέλλιος), πολλῆς ἀτοπίας γέμει. Πῶς γὰρ ὁ θεόπνευστος καὶ παρ' αὐτῶν ὁμολογούμενος Ἔσδρας ἀμφέβαλλε περὶ τὰς ἀναγνώσεις διχογνωμῶν, καὶ μὴ δυνάμενος διακρῖναι τὴν ὀρθοτέραν; Μὴ

γὰρ τὸ πνεῦμα τὸ ἅγιον, ᾧ περ ἤγετο, καὶ ᾧ περ ὑπηρέτει πρὸς ἀνακάθαρσιν τῶν Γραφῶν, οὐκ ἤθελεν, ἢ οὐκ ἠδύνατο διαφωτίσαι τὰς τοιαύτας αὐτοῦ ἀμφιβολίας; Ἐπειδὴ δὲ θείᾳ πάντως ἐπιπνοίᾳ κατέγραψεν (ὡς λέγουσιν) ἐν τῷ περισελίδῳ τὴν ὀρθὴν *ἀνάγνωσιν*, διὰ τί μὴ παρομοίως διώρθου καὶ τὴν ἐν τῷ κειμένῳ *γραπτήν*; Ἐν ᾧ δὲ διὰ θεῖον σέβας ἀντικαθίστα τὰ ὀρθὰ τῶν ἀναγνωσμάτων ἀνθ' ὧν κατέκρινε βεβαίως ὡς ἐσφαλμένων, πῶς πάλιν αὐτὸς ἐσεβάσθη τὰ κατακεκριμένα σφάλματα, παραλιπὼν ὡς εἶχον ἐν τῷ κειμένῳ, παρέδωκε δὲ τὴν πλάνην καὶ εἰς τοὺς μεταγενεστέρους; — 3) Ἠλίας δὲ ὁ Λευΐτης ἄλλο τι προστίθησι γελοιότερον. Ἀπὸ Μωσέως μὲν καὶ αὐτὸς εἰς τοὺς προφήτας μέχρι καὶ τοῦ Ἔσδρα κατάγει τὴν διάκρισιν τῶν ἀναγνωστῶν καὶ τῶν γραπτῶν, ἀγράφως ὅμως καὶ ἀπὸ στόματος παραδεδομένην. Τότε δὲ (ἐπὶ τοῦ Ἔσδρα) κατεγράφησαν τὰ *κερία* καὶ *κετίβια* ἐν τοῖς κώδηξι τῶν ἤδη τετελευτηκότων προφητῶν κατὰ τὴν πατροπαράδοτον παράδοσιν. Εἰ δέ τινες εὑρέθησαν ἀνωμαλίαι καὶ ἐν τοῖς συγγράμμασι τῶν εἰσέτι τότε ζώντων προφητῶν (οἷον Ἀγγαίου καὶ Μαλαχίου κτλ.), αὐτοὶ οὗτοι προσελθόντες ἐδίδασκον τὰ ἀναγνωστά. « Οὕτω (λέγει) ὁ Ἀγγαῖος ἀκούσας ψεγομένην παρὰ τῶν ἐπικριτῶν μίαν τινα λέξιν ἐν τῷ ἰδίῳ τεύχει, τὴν *Ἐκκαβὲδ* (Eccabed, τὸ παρὰ τοῖς Ο, « *ἐνδοξασθήσομαι* », Ἀγγαῖος, α, 8), « Μὴ οὕτως εἶπεν ἀναγίνωσκε, ἀλλ' ὡς ἐγὼ ἔγραψα, *Ἐκκαβεδὰ* » (Eccabedah μετὰ τοῦ he τελικοῦ στοιχείου, ὅπερ ἀριθμητικῶς σημαίνει πέντε)· καὶ ἀπέδωκε τὸν λόγον διὰ τί ἔγραψεν οὕτω (διότι ἐνόει τὸν Σολομώντειον ναὸν, ὅπου ἦσαν πέντε κοσμήματα, μηκέτι σωζόμενα ἐν τῷ δεύτερον ἀνεγερθέντι ναῷ). Τότε λοιπὸν ἐκεῖνοι ἔγραψαν εἰς τὸ περισέλιδον ὡς *ἀναγνωστὸν* τὴν *Ἐκκαβεδά* ». Οὕτω (φησὶν) ἐποίησαν καὶ ἐπὶ τῶν ἄλλων τῶν μετὰ τὴν αἰχμαλωσίαν συγγραφέντων προφητικῶν τευχῶν! (βλ. σελ. 129). Προσοχθίζεις, ἀναγνῶστα, πρὸς τοιαύτας τῶν ῥαββίνων μωρίας· ἀλλὰ τούτους ἔσχον ἐν πολλοῖς πιστοὺς διδασκάλους ἄνδρες σοφοὶ καὶ πολλῆς ἔμπλεοι παιδείας, οἱ θερμότατοι ζη-

λωταὶ μὲν τοῦ ἑβραϊκοῦ, καταφρονηταὶ δὲ τῶν Ο κριτικοί· ἄκουε τούτων ἕνα πολὺ τοῦ Λευΐτου παραδοξολογώτερον. — 4) Ματθαῖος ὁ καὶ Ἴλληρ, ἢ Ἰλλερὸς (Hiller), πολυμαθέστατος ἀνὴρ, ἐφαντασιώθη, ὅτι τὰς ἱερὰς βίβλους ὁ μακάριος Ἔσδρας αὐτός τε μετέγραψεν *ἅπαξ καὶ δὶς*, καὶ τὰς ὑπ' ἄλλων ἀντιγραφείσας ἐξηκρίβωσεν ἐπικρίνας. Κατ' ἐκείνην δὲ τὴν πολλαπλῆν ἀντιγραφὴν καὶ ἐπίκρισιν ὁ *θεόπνευστος* Ἔσδρας οὐ πανταχοῦ τοῖς αὐτοῖς γράμμασιν ἐχρήσατο καὶ φωνητικαῖς στιγμαῖς ἐπὶ τῶν λέξεων τῶν αὐτῶν· ἀλλ' ἔστιν ὅπου καὶ γράμματα καὶ λέξεις ἐνήλλαξεν, ἢ μετέθηκε, καὶ τὰ μὲν προσέθηκε, τὰ δ' ἐξήλειψε, καί που καὶ λέξεις παρενέσπειρε χαλδαϊκάς. Ἐντεῦθεν προῆλθον αἱ μεταξὺ τινῶν παραλλήλων χωρίων διαφοραὶ (οἷον ἡ μεταξὺ τοῦ ιη, ψαλμοῦ, καὶ τοῦ ἐν Β. Βασιλ. κϐ. βλ. ὄπισθεν σελ. 197). Ἵνα δὲ (προστίθησι) μὴ παντάπασιν ἀπόλωνται τοῦ ἱεροῦ κώδηκος ἐκπεσόντα καὶ ὅσα πρότερον ἦσαν ὁπωσδήποτε γεγραμμένα, ζῶντος ἔτι καὶ αὐτοῦ, ἢ καὶ μικρῷ μετ' αὐτὸν, οἱ ἄνδρες τῆς μεγάλης Συναγωγῆς ἀσχοληθέντες πάσῃ δυνάμει, συνέλεξαν τὰς ἐν τοῖς Ἐσδραίοις ἀντιγράφοις ἐμφερομένας διττὰς ἀναγνώσεις, καὶ τὰς μὲν ἐν τῷ κειμένῳ, τὰς δ' ἐν τῷ περισελίδῳ χαράξαντες, παρέδωκαν τοῖς ἐπιγινομένοις εἰς αἰωνίαν μνήμην τοῦ πράγματος. Ἐντεῦθεν προῆλθον τὰ διάφορα εἴδη τῶν ἀναγνωστῶν καὶ τῶν γραπτῶν· ἐντεῦθεν αἱ λέξεις αἱ γραπταὶ καὶ μὴ ἀναγνωσταὶ, ἢ ἀναγνωσταὶ καὶ μὴ γραπταί· ἐντεῦθεν αἱ μορφαὶ τῶν γραμμάτων τῶν μειζόνων καὶ μικρῶν καὶ κρεμαστῶν· ἐντεῦθεν καὶ ἡ στίξις τῶν φωνῶν (βλ. ὄπισθ. σελ. 121) (α). Τοιαῦτα ὁ Ἰλλερὸς, ᾧ καὶ ἄλλοι παρηκολούθησαν ἐπίσημοι κριτικοὶ, οἷον οἱ περὶ τὸν Βαγηνσίλειον καὶ Βάσμουθον καὶ Εἰδεγγῆρον. Καὶ λοιπὸν κατ' αὐτοὺς ὁ *θεόπνευστος* Ἔσδρας ἄλλοτε ἄλλως *θεοφο-*

(α) Βλ. Math. Hiller, Arcanum Keri et Kethib libri duo, pro vindicanda S. Codicis Hebraei integritate, et firmanda locorum plus octigentorum explicatione contra Ludovicum Cappellum, Js. Vossium, Waltonum et Asseclas eorum: pag. 20 sqq. Tubing. 1692.

ρούμενος ἐν τῷ μεταγράφειν τὰς θείας βίβλους, μετεποίει τὰ λόγια τῶν προφητῶν παντοδαπῶς ἀστατῶν, καὶ νῦν μὲν οὕτω, νῦν δ' ἑτέρως, καὶ πολλάκις ἐναντίως αὐτὰ διορθῶν, ἄλλοτε μὲν γράφων (φερ' εἰπεῖν) τὸ ἀποφατικὸν *λὸ*, ἄλλοτε δὲ πάλιν (ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ λέξεως) τὸ καταφατικόν! Ἀλλ' ἡμεῖς πιστεύομεν, ὅτι « *Οὐκ ἔστιν ἀκαταστασίας ὁ Θεός* »· ὅθεν οὐδ' ἀκαταστάτους τοὺς αὐτοῦ θεράποντας ποιεῖ· τὴν δ' ὑπὸ τοῦ μακαρίου Ἔσδρα ἔκδοσιν τῶν κανονικῶν βιβλίων εἴδομεν ὅπως ἐγένετο (σελ. 22). Ἐξήλεγξε δὲ καὶ ταύτην τὴν Ἱλλεροῦ τερατολογίαν πολλαχῶς ὁ Καρψόβιος, καί τοι πάσης ἀπαντήσεως ἀναξίαν. Εἰς τὸν Ἔσδραν καὶ τὴν μεγάλην Συναγωγὴν ἀποδίδωσι καὶ Ὀττιγγῆρος τὴν ἀρχὴν τῶν διαφόρων ἀναγνώσεων· ἀλλ' οὐ (φησὶ) κατὰ θείαν ἐπίπνοιαν, ἀνθρωπίνῃ δὲ κρίσει καὶ διαφόρων κωδήκων παραβολῇ χρησάμενος, ἐσημείωσεν ὁ Ἔσδρας ἐν τῷ περισελίδῳ τὰ ὀρθότερα, κατέλιπε δὲ ὅμως ἐν τῷ κειμένῳ τὰ ἐσφαλμένα. Πολὺ δὲ μετὰ τὸν Ἔσδραν ὕστερον καὶ οἱ Μασορῖται προσηύξησαν τὰ ἀναγνωστὰ, ἐκ τῶν ἀρίστων ἐκλέγοντες ἀντιγράφων. Τὸν Ἔσδραν μετὰ τῆς μεγάλης Συναγωγῆς πρώτους γενάρχας καὶ συλλογεῖς τῶν κερίων καὶ κετιβίων ἐδόξασαν καὶ ἄλλοι ἄνδρες ἐπίσημοι, οὐ μόνον οἱ πάντα τοῖς ῥαββίνοις ῥᾳδίως χαριζόμενοι δύω Βουξτόρφιοι, ἀλλὰ καὶ Λιχθόφωτος, καὶ Βόλφιος ὁ περικλεέστατος ἐν τῇ Ἑβραΐᾳ Βιβλιοθήκῃ (τ. β. βιβλ. γ. 2). Ἄγαν ἠθέλομεν, ἵνα μὴ τοιοῦτό τι καὶ Βάλτων ἐδόξαζεν ὁ γεράσμιος· καί τοι οὗτος εὐλαβέστερον καὶ παροδικῶς μνημονεύσας τὸν Ἔσδραν ὡς ἀρχηγὸν, ἔπειτα τῶν πλείστων ἀναγνωσμάτων τούτων δημιουργοὺς ὠνόμασε τοὺς Μασορίτας (α). Καὶ τὰ μὲν τῶν Ἐσδραϊστῶν τοιαῦτα.

§. δ. Τρίτοι δὲ, τέλος, ἀνθρωπικώτερα φρονοῦντες κριτικοὶ, τὴν μὲν περὶ τὸν Ἔσδραν τερατείαν κατέλιπον, οὐδὲ τὴν ἐκ θείας ἐπιπνοίας διάκρισιν τῶν ἀναγνωστῶν καὶ τῶν γραπτῶν ἀπεδέξαντο, ἀλλ' ὅμως οὐκ ἠνέσχοντο ζητῆσαι τὴν ἀρχὴν αὐτῶν κα-

(α) Walt. Proleg. VIII. §. 23, 24 καὶ III. §. 44.

τωτέρω τῶν χρόνων τῶν Μακκαβαϊκῶν. Οὕτως ὁ κλεινὸς Καρψόβιος ἀνήγαγε τὴν γένεσιν τῶν τοιούτων διαφόρων ἀναγνωσμάτων εἰς τὴν ἐπὶ τῶν Μακκαβαίων γενομένην *δῆθεν* διόρθωσιν τῶν χειρογράφων τῆς θείας Γραφῆς, ἅτε πολλὰ παθόντων ὑπὸ τῆς μανίας τοῦ μιάστορος Ἀντιόχου. Τότε (λέγει) ἄνδρες εὐσεβεῖς καὶ πεπαιδευμένοι, παραβάλλοντες τοὺς διασωθέντας κώδηκας πρὸς ἀλλήλους, καὶ πολλὰ χωρία παρατηροῦντες ἐν αὐτοῖς περί τε τὰ γράμματα καὶ τὰς φωνητικὰς στιγμὰς διαφωνοῦντα, μετέφερον ἐκ τῆς Βαβυλῶνος τὸν ἄριστον καὶ μέγα τὸ κῦρος ἔχοντα κώδηκα, καὶ ὅπου ἀπήντων διαφωνίας μεταξὺ τούτου καὶ τοῦ Παλαιστινοῦ, τὴν μὲν κατὰ τοῦτον ἀνάγνωσιν κατελίμπανον ἄθικτον, ὡς εἶχεν ἐν τῷ κειμένῳ, τὴν δὲ κατὰ τὸν Βαβυλώνιον ἐσημείουν ἐν τῷ περισελίδῳ, προσγράφοντες τὸ σημεῖον (τὸ *κερὶ*), καὶ διδάσκοντες τοὺς Παλαιστινοὺς οὕτως *ἀναγινώσκειν*. Ταύτην ἐφαντάσθη τὴν ἀρχὴν τῶν ἀναγνωστῶν ὁ Καρψόβιος, ἅπερ ὕστερον (λέγει) προσηύξησαν οἱ Μασορῖται. Ἀλλὰ πρῶτον μὲν, δωρεὰν ἐπλάσθη διαφθορὰ καὶ διόρθωσις τῶν ἑβραϊκῶν Γραφῶν ἐπὶ τῶν Μακκαβαίων. Ἡμεῖς βλέπομεν πᾶν τοὐναντίον· ὅτι οἱ περὶ τὸν Μακκαβαῖον Ἰούδαν ἔφερον μεθ᾽ ἑαυτῶν καὶ ἐν τῷ στρατοπέδῳ τὴν θείαν Βίβλον ἀδιάφθορον (Μακκαβ. γ. 48). Καὶ πάλιν μετὰ μικρὸν οἱ ἐν Ἱεροσολύμοις ἔγραφον πρὸς τοὺς ἐν Αἰγύπτῳ ἀδελφοὺς, ὅτι καὶ Ἰούδας αὐτὸς εὐθὺς, καὶ Νεεμίας ὕστερον, κατεβάλλοντο βιβλιοθήκην, καὶ ἐπισυνήγαγον τὰ διαπεπτωκότα ἱερὰ βιβλία εἰς πλῆθος, ὥστε πέμπειν ἠδύναντο καὶ τοῖς ἀδελφοῖς (Β. Μακκαβ. β)· διορθώσεως δὲ κωδήκων λόγος οὐδεὶς οὐδαμοῦ. Ἀλλὰ καὶ τὸ τοῦ Ἔσδρα αὐτόγραφον, τὸ διατηρούμενον ἐν τῷ ναῷ, πιθανώτατα διεσώθη ὑπὸ τῶν ἱερέων, οὐδ᾽ ἀπώλετο κατὰ τὸν ὑπ᾽ Ἀντιόχου διωγμὸν (βλέπε σελ. 56 : καὶ Βιβλ. Β. σελ. 480). Πρόσθες, ὅτι οὐδ᾽ αὐτοὶ οἱ Χαλδαῖοι ῥαββῖνοι, οἱ τοσαῦτα περὶ τῶν *κερίων* ἀλαζονευσάμενοι, οὐδὲν τοιοῦτον ὠνειροπόλησαν περὶ τοῦ Βαβυλωνίου κώδηκος. Ὥστε τοῦ σοφοῦ Καρψοβίου ἡ γνώμη ἐξελέγχεται παντελῶς ἀπίθανος.

Ἔπειτα καὶ αὐτὸς ὁ ἄγαν ὑπερυψούμενος Βαβυλώνιος κώδηξ πότε καὶ ποῖός τις ἀνεφάνη, εἴδομεν ἐν τοῖς προηγηθεῖσι (κεφ. β. ζ. νγ). Ἄλλοτέ ποτε, πολλοὺς αἰῶνας ὕστερον, ἢ ὅτε ἐφαντάσθη ὁ Καρψόβιος, συνεισέφερε καὶ ὁ Βαβυλώνιος κώδηξ εἰς μόρφωσιν τοῦ νῦν Μασοριτείου κειμένου, ὡς ἐροῦμεν ἐν τοῖς ἑξῆς (κεφ. ιγ. §. ια.).

§. ε. Ὀρθότατα δὲ πάντων ἔκριναν οἱ περὶ τὸν Μορῖνόν καὶ Καπέλλιον καὶ οἱ μετ' αὐτούς, καὶ πάντες σχεδὸν οἱ καθ' ἡμᾶς νεώτατοι κριτικοὶ (α)· οἵτινες τὰ πολυθρύλλητα *κερία καὶ κετίβια* συνεῖδον καὶ ἐξέφηναν μηδὲν ἕτερον ὄντα, εἰ μὴ τῶν Μασοριτῶν σημειώσεις. Οὗτοι γὰρ παρατηροῦντες τὰς ἐν οἷς ἐχρῶντο κώδηξι πολλαχοῦ διεσφαλμένας τῶν λέξεων γραφάς, ταύτας μὲν ἐξαλεῖψαι οὐχ ὑπέμειναν διὰ σέβας, ἀλλ' ὡς εἶχον, ἀθίκτους καταλιπόντες, ἐσημείουν ἐν τῷ περισελίδῳ τὰς δοκούσας ὀρθοτέρας ἀναγνώσεις, τὰς μέν τινας, ἴσως, ἐκλέγοντες ἐξ ὧν ἐνόμιζον ἀκριβεστέρων χειρογράφων, τὰς δὲ καὶ ἐξ ἰδίας ἐπικρίσεως αὐθεντικῶς διορθοῦντες· τὰς δ' εὐφημοτέρας ἀντὶ τῶν κεκεμφάτων λέξεων τῆς Γραφῆς παρέλαβον ἐκ τοῦ Ταλμούδου, κατὰ τὴν παρ' αὐτοῖς λεγομένην *παράδοσιν τῶν πρεσβυτέρων*. Ἐπεχείρησαν δὲ τῇ τοιαύτῃ διορθώσει τὸ πρῶτον, περὶ τοὺς χρόνους τῆς ἐκδόσεως τοῦ Ταλμούδου (μετὰ τὸ 500, μ. Χ.)· καὶ τὸ ἔργον ἐφεξῆς συνεπέτεινον πολλοί τινες καὶ ἄλλοι κατὰ καιροὺς ἐπερχόμενοι. Ταῦτα ἰδίως ὁ Καπέλλιος (σελ. 171 κτλ.). Ποῖοι δέ τινες ἦσαν οἱ τότε κατ' αὐτοὺς κώδηκες, καὶ πόσην δριμύτητα κριτικῆς αἰσθήσεως εἶχον οὗτοι οἱ κατὰ καιροὺς ἄλλοι μετ' ἄλλους ἐπακολουθοῦντες διορθωταὶ τοῦ ἑβραϊκοῦ κειμένου, πόση δὲ καὶ κατ' αὐτὰ τὰ κερία καὶ κετίβια ἡ μεταξὺ τῶν ἑβραϊκῶν χειρογράφων

(α) Βλ. Morin Exercit. L. II. Exerc. 24 c. 4. p. 630 sqq. — R. Simon Hist. Crit. V. Test. L. I. c. 26. — D. E. Jablonsky praefat. (§. 11) ad Bibl. Hebraic. Berolin. 1699. — Glassij Philol. Sacr. P. 1. pag. 7. — Loescher, Danz, Pfaff κτλ. πρβλ. καὶ Fabricy Des Titres etc. Tom 2. p. 302. καὶ ἐκ τῶν νεωτάτων ἄλλοι τε καὶ Bauer, Einleit. p. 129. — Herbst, Einleit. 1. Bd. p. 121. κτλ.

καὶ ἐκδόσεων διαφορά, προείπομεν ἐν τοῖς προλαβοῦσι (κεφ. ϐ. §. λη, κτξ. καὶ κεφ. ζ. §. γ).

§. ς. Ὅτι δὲ πρὸ τῶν 500 μ. Χ. ἐνιαυτῶν, οὔτε τὰ τοιαῦτα σημειώματα τῶν ἀναγνωσμάτων, οὔτε μὴν ἡ διὰ φωνητικῶν καὶ προσῳδιακῶν σημείων κατάστιξις τῶν λέξεων ὑπῆρχεν ἐν τοῖς κώδηξι, μαρτυρεῖ μὲν Ὠριγένης, μαρτυρεῖ δὲ καὶ αὐτὸς ὁ Ἱερώνυμος, παρ' οἷς οὐδὲν ἴχνος τῶν τοιούτων Μασοριτικῶν καλλωπισμάτων ἐμφαίνεται οὐδόλως οὐδαμοῦ οὐδαμῶς, ὡς ἥ τε τῶν συγγραμμάτων αὐτῶν ἀνάγνωσις πεῖρα διδάσκει, καὶ οἱ περὶ τὸν Μορῖνον καὶ Καπέλλιον καὶ Βάλτωνα καὶ τοσούτους ἄλλους σοφοὺς ὀρθῶς ἀπεφήναντο καὶ ἀπέδειξαν. Ὁ δὲ Βουξτόρφιος καὶ ὁ φίλος αὐτοῦ Καρψόϐιος μάτην ἀντιλέγουσι. Λέγομεν δὲ περὶ τούτου ἐν τῷ ἑπομένῳ κεφαλαίῳ.

§. ζ. Ἄλλο δέ τι ζήτημα διακυμαίνει μεταξὺ τῶν κριτικῶν, πολλοῦ λόγου ἄξιον. Ποτέραν ἆρά γε τῶν διπλῶν τοῦ ἑϐραϊκοῦ κειμένου ἀναγνώσεων νομιστέον ἀληθινὴν καὶ γνησίαν, τὴν τῶν *γραπτῶν*, ἢ τὴν τῶν *ἀναγνωστῶν*; Διαφέρονται δὲ καὶ περὶ τούτου οἱ κριτικοὶ τετραχῶς.

§. η. Α) μὲν γὰρ οἱ τῶν ῥαϐϐίνων ἐπισημότατοι μόνα τὰ *κερία*, ἢ *ἀναγνωστὰ* κρίνουσιν ἀληθινὰ καὶ γνήσια (σελ. 250). Ταῦτα δὲ καὶ αὐτοὶ οἱ γράψαντες Μασορῖται μετὰ κυριότητος καὶ βεϐαίας πληροφορίας, ἀλλ' οὐχὶ διστάζοντες ἔγραψαν (ὡς ἄριστα παρετήρησεν ὁ Καπέλλιος)· δηλοῖ δὲ καὶ ὁ τόνος ὁ ἐμφαντικὸς ᾧπερ ἐχρήσαντο, γράψαντες αὐθεντικῶς « *οὕτως ἀνάγνως* ». Καὶ τὸ Ταλμοῦδον δὲ καὶ ἄλλα τῶν ῥαϐϐίνων παλαιὰ συγγράμματα, ὁσάκις εἰς τὴν Γραφὴν ἀναφέρονται, πρὸς τὰ *κερία* ποιοῦνται τὰς παραπομπάς, ὡς ἀθέμιτον ὂν παρ' αὐτοῖς ἀναγινώσκειν τὰς ἐν τῷ κειμένῳ κατακεκριμένας λέξεις. Ἀλλὰ κἂν ταῖς Συναγωγαῖς καὶ πρόπαλαι καὶ νῦν ἔτι τὰς περισελιδίους λέξεις ἀναγινώσκουσι, παρασιωπῶντες τὰς ἐν τῷ κειμένῳ γραπτάς (α). Τού-

(α) Βλ. Walton, Proleg. VIII. 23. — Carpzov. Crit. Sacr. pag. 351. Πρβλ. Cappell. l. c. p. 184.

τοις ὁμοφρονοῦσι καί τινες τῶν ἐνδόξων κριτικῶν (α). Ὥστε κατὰ τὸν κανόνα τοῦτον, πάντα τὰ ἐν τῷ *κειμένῳ γραπτὰ* μένουσιν ἄχρηστα καὶ κατηργημένα, καὶ τί ἄλλο; εἰ μὴ σφάλματα καὶ πληγαί τινες τοῦ κειμένου, προκείμεναι πρὸς ἔλεγχον καὶ *εἰς μαρτύριον αὐτοῖς* τε καὶ τοῖς φίλοις, ὅσοι τὸ ἐν πᾶσιν ἄχραντον καὶ ἀκήρατον τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ στεῤῥότατα πρεσβεύουσιν. Ὅτι δὲ οἱ Μασορῖται διὰ τῆς τοιαύτης ἀποφάνσεως συνήργουν, ὅσον τὸ ἐπ' αὐτοῖς, εἰς τὴν τοῦ κειμένου διαφθορὰν, καταργοῦντες ὡς ἡμαρτημένας *ἐξ αὐθεντίας* ἃς *ἐξ εὐλαβείας* κατελίμπανον κεκρικωμένας φωνὰς, πρόδηλον· ἡ δὲ τοιαύτη διαφθορὰ τοσοῦτον ἀπέβαινεν ἀθεράπευτος, ὅσῳ μᾶλλον ἀδιάκριτος συνεπλέκετο ἡ σύγχυσις τῶν τοιούτων *Κεριῶν* καὶ *Κετιβῶν*, ὡς ἔκ τε τῆς Μασόρας ἀποδείκνυται, καὶ ἐκ πολλῶν ἑβραϊκῶν ἐκδόσεων καὶ χειρογράφων, ἐν οἷς αἱ ἀναγνώσεις φέρονται ἐναλλάγδην καὶ φύρδην συγκεχυμέναι (βλ. κεφ. ζ. §. γ). Τὰ μὲν γὰρ ἔχουσιν ἐν τῷ κειμένῳ ἀντὶ τοῦ γραπτοῦ τὸ παρ' ἄλλοις ἀναγνωστὸν, ἀναγνωστὸν δ' οὐκ ἔχουσι. Τὰ δ' ἔχουσιν ἀμφότερα κατὰ τόπους, ἐν οἷς παρ' ἄλλοις ἀμφότερα λείπουσι (β). Καὶ ταῦτα μὲν τοιαῦτα. Πρὸς δ' οὖν τοὺς ἐκτόπως ἐραστὰς τῶν Μασοραίων ἀναγνωστῶν *(ἢ κεριῶν)* οἱ περὶ τὸν Καπέλλιον καὶ Καρψόβιον ἀντιλέγοντες, προστιθέασιν, ὅτι οὐχ ὁρῶσι τὸν λόγον, δι' ὃν ἄν τις ἀπομακρύνοιτο ἀπὸ τῶν τοῦ κειμένου *γραπτῶν* ἔν τε ταῖς κακεμφάτοις λέξεσιν (ἀνθ' ὧν ἀντέταξαν τὰς εὐφωνοτέρας), καὶ ἐν ὅσοις ἄλλοις μικραί τινες περὶ τὰ γράμματα μεταβολαὶ μόλις παραλλάσσουσι τὴν τῆς λέξεως σημασίαν.

§. θ. Β) Ἄλλοι δὲ πάλιν τῶν οὐκ ἀσήμων κριτικῶν, οἷον αἱ

(α) « Massoretharum judicium utplurinum esse sequendum, et quidem necessario » etc. Hottinger. Thes. phil. p. 421. Οὕτω καὶ Σ. ὁ Ἀμάμας (Comment. de Keri etc. §. 21) κτλ.

(β) Βλ. E. Jablonsky ubi supr. praefat. §. 13. — « Quae dissensio ex eo videtur orta, quod veterum illorum (Judaeorum) criticorum singuli suas in codicis sui margine conjecturas annotabant, alius quidem has, alius vero alias » Cappel. Crit. Sacr. p. 176. πρβλ. καὶ pag. 183.

περὶ τὸν Δάνζην καὶ Βοήτιον, ἐξορίζουσι καθόλου πάντα τὰ *ἀναγνωστὰ*, ὡς οὐκ ἀπὸ θείας ἀρχῆς, ἀλλ' ἐξ ἀνθρωπίνης πλάνης καὶ μικροπρεποῦς ὑπονοίας ὡς ἐπὶ τὸ πλεῖστον προελθόντα. Μένουσι δὲ *σταθερῷ καὶ ἀραρότι ποδὶ* ἐπὶ μόνων τῶν γραπτῶν, πάντα ταῦτα καὶ μόνα γνήσια νομίζοντες καὶ ὀρθά. Ὁ δὲ Δάνζης καὶ πανδήμως ἀνεκήρυξε πεπλανημένους, καὶ μονονοὺκ ἐναγεῖς, πάντας τοὺς τὸ περισελίδιον ἀνάγνωσμα ἀποδεχομένους, διότι τὰ ψεύδη τὰ τῶν Μασοριτῶν ἐνθρονίζουσιν εἰς τὴν ὑπερτάτην τῆς τῶν Γραφῶν θεοπνευστίας περιωπήν (α). Ἀπαντᾷ δὲ καὶ πρὸς τούτους ὁ Καρψόβιος, ὑπομιμνήσκων, ὅτι καὶ ἄλλα μὲν πολλὰ πολλάκις ὑπόπτους ἀποδεικνύουσι, καὶ σχεδὸν ἀνατρέπουσι τὰς ἐν τῷ κειμένῳ *γραπτὰς* λέξεις, καὶ αὐτὴ δὲ μάλιστα καὶ πρώτιστα ἡ τούτων ἐν τοῖς κώδηξι πρὸς τὰς *περισελιδίους* ἀνάφυρσις καὶ ἐναλλαγὴ καὶ ἀοριστία, περὶ ἧς προείπομεν ἀνωτέρω. Καὶ σημειωτέον, ὅπως καὶ αὐτὸς ὁ τοῦ ἑβραϊκοῦ θερμότατος πρόμαχος Καρψόβιος τὸ ὕποπτον καὶ συμπεφυρμένον τῶν ἀναγνωσμάτων ὡμολόγησε πολλάκις, « *καὶ μάλα τειρόμενός περ· ἀναγκαίη γὰρ ἔπειγεν* ». Ὁ δὲ Βάλτων (Προλεγ. Δ. §. 12) ἐμνημόνευσε χειρόγραφον τῆς ἑβραΐδος γραφῆς ἀρχαιότατον, καὶ σχεδὸν ὁλόκληρον (λείπει δὲ μόνον ἡ Πεντάτευχος), ἐν ᾧ ἀναγνωστὸν μὲν οὐδὲν γέγραπται (καθὼς παρ' ἄλλοις) ἐν τῷ περισελίδῳ, πάντα δὲ τὰ παρ' ἄλλοις ἀναγνωστὰ φέρονται, ὡς ἐπὶ τὸ πλεῖστον, ἐμβεβλημένα εἰς τὸ κείμενον.

§. ι. Γ) Τρίτοι δέ τινες τῶν κριτικῶν, ἄνδρες ἀμφοτεροδέξιοι, κρεῖττον ἐνόμισαν καὶ ἀσφαλέστερον, ἂν ἐγκαθορμίσωσι τὴν γνώμην αὐτῶν *ἐπὶ διπλῶν ἀγκυρῶν*, συναρμόσαντες ἀμφοτέρας τὰς δοξασίας. Οὕτως ὁ *πολλὰ μὲν σοφά*, *πλεῖστα δὲ ληρώδη* χαράξας προειρημένος Ἱλλερὸς, σφοδρὸς ῥέων καὶ πολὺς κατὰ τῶν μηδὲν

(α) J. R. Danzii, Litterator Hebraeus. c. 1. §. 25 et in praefat. §. 28, καὶ Sincerit. Scriptur. V. T. suspition. erroris etc. §. 1. sqq. §. 28 p. 86.—G. Voetius, Disput. Theol. P. I. pag. 35 sqq. πρβλ. Carpzov. l. c. p.351—353.

αὐτοῦ φροντιζόντων, Καπελλίου, καὶ Οὐοσσίου, καὶ τοῦ Βάλτωνος, ἀνεκήρυξεν ἐπίσης ἰσχυρὰς καὶ γνησίας ἀμφοτέρας τὰς ἀναγνώσεις, καὶ τὰς *Κεριὼθ* καὶ τὰς *Κετουβώθ*! καὶ θερμῶς ἐνίδρωσεν, ἰσοφαρίζων αὐτὰς, καὶ διαλλάττων, καὶ συγκιρνῶν, πράγματι δὲ μηδὲν ἕτερον ποιῶν, ἢ Σισύφειον λίθον ἀνάγων εἰς τῆς κατ' αὐτὸν θεοπνευστίας τὸ ὄρος (α). Καὶ πᾶς τις ἂν εὐλόγως ἀπορήσοι, πῶς ἡ τοῦ Ἰλλεροῦ κρίσις οὐ συνεῖδε πρᾶγμα προφανὲς, καὶ τοσοῦτον εὔληπτον καὶ ἁπλοῦν, ὅσον ἀναμφήριστον καὶ βέβαιον. Ὅτι τὸ πρωτότυπον χειρόγραφον τῆς θείας Γραφῆς μίαν πάντως καὶ μόνην εἶχε λέξεως μορφὴν, ἢ ἀνάγνωσιν, ἣν αὐτός τις ἔγραψεν ἕκαστος τῶν τὰς ἱερὰς βίβλους συγγραψάντων Προφητῶν· καὶ αὕτη λοιπὸν ἡ λέξις ὑπῆρχεν ἡ γνησία καὶ αὐθεντικὴ καὶ θεόπνευστος, ἣν καὶ Ἔσδρας ἐξέδωκεν. Ἂν δέ τις ἄλλη λέξις τὸν τόπον τῆς ἀρχιγενοῦς ἐν τοῖς μεταγενεστέροις ἀντιγράφοις ἐπέχῃ, πάντως αὕτη προῆλθεν ἐξ ἀνθρώπων ἀθειάστων, καὶ περιστατικῶν ἀνθρωπίνων· Κἂν μὲν μείνωσι γνωρίσματα τῆς εὐγενείας καὶ γνησιότητος τῆς πρώτης ἀναγνώσεως, τοῦτο κράτιστον, καὶ πρόχειρος ἡ θεραπεία. Ὅταν δὲ αἱ δύω ἀναγνώσεις φέρωνται συμπεφυρμέναι καὶ δυσδιάκριτοι, τότε πάντως ἡ μία τούτων ἐστὶν ἀληθὴς, ἡ δ' ἑτέρα, κἂν ἐν τῷ κειμένῳ, κἂν ἐν τῷ περισελίδῳ χαραχθῇ, νόθος ὑπάρχει καὶ ψευδὴς, κἂν ἐξ ἀμφοτέρων τῶν ἀναγνώσεων ὅμοιον καὶ σύμφωνον ἐξάγηται νόημα. Ἀλλ' ὅταν ἐκβαίνῃ διάφορον, καὶ πολλάκις πᾶν τοὐναντίον, οἷον, ἡ μὲν μία φωνὴ καταφάσκῃ, ἡ δ' ἑτέρωθεν ἀποφάσκῃ, τὰ δ' ἡγούμενα καὶ ἑπόμενα οὐδὲν ἐθέλουσι διδάσκειν, ποτέραν ὡς γνησίαν προτιμητέον, τότε πῶς οὐ φαίνεται παράδοξος ὁ ἀγχινούστατος Ἰλλερὸς, ὅςτις ἀμφοτέρας τὰς ἑβραϊκὰς ἀναγνώσεις, καί τοι πολὺ τὰς πλείστας πρὸς ἀλλήλας διαφερούσας, ἀπεδέξατο ὡς ἐπίσης ἀληθινὰς καὶ γνησίας φωνὰς τῶν θεοπνεύστων προφητῶν; Εἰς τοῦτο δὲ κα-

---

(α) Hiller ubi supr. L. I. pag. 58 sqq. Καὶ ἄλλοι δὲ τῷ Ἰλλερῷ συμφωνοῦσιν οἷον Hugo Brougthon, H. Ainsworth, Wasmuth κτλ.

τήντησεν ἀτοπίας ὁ σοφὸς οὗτος, ὥστε καὶ αὐτὴν τὴν ἐν τοῖς κώδηξι σύγχυσιν τῶν ἐναντιοσήμων ἑβραϊκῶν *Λὸ* (βλ. ὄπισθ. σελ. 249) εἶπεν ἁπλῆν *ἀντιστοιχίαν* (ὡς ἐάν τις λέγῃ καὶ τὸ ἑλληνικὸν *Μὴ* διάφορον τοῦ *Μοὶ*, μόνον κατὰ τὴν τῶν στοιχείων ἐναλλαγήν, τὸ δὲ νόημα σχεδὸν ταὐτόν!). Ὅθεν ἀγανακτήσας καὶ ὁ Καρψόβιος, « Ἀλλὰ τοῦτ᾽ ἐκεῖνο, λέγει, τὸ τοῦ Ἀλεξάνδρου ξίφος, δι᾽ οὗ τὸν ἄλυτον ἔλυσε τοῦ Γορδίου δεσμόν. Τοιαύτης ὅμως ἀντιστοιχίας παράδειγμα οὐδὲν οὐδαμοῦ περιέχουσι τὰ παλαιὰ συγγράμματα τῶν Ἑβραίων· ἀλλ᾽ οὐδὲ συγχωρεῖ παντάπασιν αὐτὴν ὁ τῆς ἀμφιβολίας καὶ τῆς ταραχῆς τῶν ἐννοιῶν ἐπικρεμάμενος κίνδυνος » (α). Ταῦτα σοφῶς ὁ Καρψόβιος. Ἠδύνατο δὲ πρὸς τούτοις παρακαλέσαι τὸν Ἱλλερὸν, ἵνα καὶ αὐτὸς ἐπὶ τῆς ἰδίας αὐτοῦ γλώσσης (ἢ καὶ κατ᾽ ἄλλην, ἣν ἂν ἐθέλῃ) τὰς αὐτὰς ἀντιστοιχίας (ἐπειδή γε ταύτας εὗρε δυνατὰς) ἐμπράκτως μεταχειρισθῇ, καὶ λαλῶν καὶ γράφων. Καὶ ταῦτα μὲν τοιαῦτα τῶν ταυτιζόντων *τὸ ναὶ καὶ οὔ.*

§. ια. Δ) Τετάρτη, τέλος, δόξα διασημοτάτων κριτικῶν, καὶ παλαιοτέρων καὶ νεωτέρων, καὶ μόνη παρὰ πᾶσι τοῖς ἐν τούτοις εὐλογώτερα φρονοῦσιν ἀποδεκτή, φέρεται ἡ ἑξῆς ἐκλεκτική (οὐδὲ γὰρ ἄλλη τις αὐτοῖς ὑπολείπεται). Οὔτε τὰ περισελίδια ἀναγνωστὰ τῶν ἐν τῷ κειμένῳ *γραπτῶν*, οὔτε ταῦτα πάλιν ἐκείνων πανταχοῦ προτιμητέον, ἀλλ᾽ ἐκείνην ἐκ τῶν δύω τὴν ἀνάγνωσιν ἐκλεκτέον, ἥτις ἂν μάλιστα τῷ νοήματι συμφωνῇ, καὶ τῇ σειρᾷ τοῦ λόγου συνᾴδῃ, καὶ τῇ τῆς γλώσσης ἀναλογίᾳ προσήκῃ, παραβαλλομένων καὶ τῶν ἀρίστων ἑβραϊκῶν ἀντιγράφων, μηδὲ τῶν ἀρχαίων μεταφράσεων (ὡς φησὶν ὁ Φαβρίκυς) ἀμελουμένων (β).

(α) Carpzov. Crit. Sacr. p. 351. πρβλ. καὶ Wolf. Bibl. Hebr. Tom. 2. pag. 517. δριμύτατα δὲ πάντων καθήψατο τῆς Ἱλλερείας γνώμης ὁ Zeltner in Enn. Quaest. phil. pag. 90.

(β) Βλ. Cappell. l. c. — Morin. L. II. Exercit 24. c. 4. p. 650. — Glass. Phil. Sacr. I. 7. — Walt. Proleg. VIII. §. 26. — Pfeiffer, Crit. Sacr. cap. 6. Q. 5. — Wolf. l. c. p. 507. — Carpzov. l. c. p. 353. — Fabricy, Des Titres etc. vol. 2. p. 299.

Γενναῖα πάντως τὰ βοηθήματα, καὶ τῇ κριτικῇ μεθόδῳ θαυμαστῶς ἐμπρέποντα καὶ κατάλληλα. Καὶ λοιπὸν ὑποτίθησι δογματικῶς ὁ Καρψόβιος τὰ ἑξῆς· 1) Τὰς γραπτὰς ἐν τῷ κειμένῳ *κακεμφάτους* φωνὰς κρατητέον ὡς γνησίας καὶ θεοπνεύστους, καὶ ταύτας πάντως προτιμητέον τῶν ἐν τῷ περισελίδῳ τεταγμένων εὐφημοτέρων, ἃς ἀντικατέστησαν ἄνθρωποι, οἱ Μασορῖται, χάριν εὐστομίας. 2) Ὅπου προφανῶς καὶ ἀριδήλως ἐν τῷ κειμένῳ σφάλμα τοῦ μεταγραφέως ἀπαντᾷ, προτιμητέον τὴν περισελίδιον διόρθωσιν αὐτοῦ. 3) Ὅσα τῶν συστοίχων ἀναγνωστῶν τε καὶ γραπτῶν ἀποδιδοῦσιν ἐννοίας διαφερούσας μὲν πρὸς ἀλλήλας, ἀλλ᾿ ὅμως ἐπιδεκτικὰς προσοικειώσεως καὶ διαλλαγῆς, ἐν τοῖς τοιούτοις, ἐπιμελῶς ἐξετασθέντων τῶν περιστατικῶν, προσαρμοσθέντων δὲ καὶ τῶν κανόνων τῆς ἑρμηνευτικῆς, ἐκείνην τῶν διπλῶν ἀναγνώσεων ὡς θείαν καὶ γνησίαν ἐκλεκτέον, ἥτις ἂν τῇ τε συναφείᾳ καὶ συμφράσει τοῦ κειμένου, καὶ τῇ προσῳδίᾳ, καὶ τῇ τῆς γλώσσης ἀναλογίᾳ, καὶ τοῖς παραλλήλοις χωρίοις ἀκριβῶς συμφωνῇ. «*Ἕκαστος ἐν τῷ ἰδίῳ νοΐ πληροφορείσθω*» (φησὶν ὁ Ἀπόστολος Ῥωμ. ιδ, 5)». Εἰ δὲ τοῦτο (τὸ παράγγελμα) περὶ τὴν ἐλευθέραν χρῆσιν τῶν ἀδιαφόρων πραγμάτων ἐστὶν ἀναγκαῖον, πολλῷ γε μᾶλλον περὶ τὴν ἀκριβεστάτην ἐκλογὴν τῶν ἐν τῇ Γραφῇ νοημάτων καὶ ῥημάτων τοῦ θείου Πνεύματος. Περὶ ταῦτα γὰρ ἐν πρώτοις «*καλὸν χάριτι βεβαιοῦσθαι τὴν καρδίαν*» (Ἑβρ. ιγ, 9). 4) Ὅπου τῶν διαφόρων τούτων ἀναγνωσμάτων ἀντιφατικὴ προκύπτει σημασία, θετική τε ἅμα καὶ ἀρνητικὴ (ὡς ἐν τῇ γραφῇ τῶν δύω *λò*), ἐκείνην μόνον προτιμητέον,, ἥτις ἂν βασανισθεῖσα διὰ πάσης νομίμου χρήσεως τῶν ἀνηκόντων βοηθημάτων, κρείττων τῆς ἑτέρας ἀποδειχθῇ. 5) Ὅθεν μηδεὶς κῶδηξ τῶν *κερίων*, ἢ *ἀναγνωστῶν*, ἀπορφανιζέσθω, μηδεὶς ἐν μόνοις τοῖς *κετιβίοις*, ἢ *γραπτοῖς*, συστελλέσθω· ἀλλ᾿ ἑκατέρας τῆς ἀναγνώσεως, ᾗ θέμις (rite) γραφομένης, καὶ ἐν μέσῳ προκειμένης, σταθμιζέτω ἀκριβῶς ὁ ἀναγνώστης τὰ παρ᾿ ἑκατέρᾳ μεγίστην ἔχοντα ῥοπήν· καὶ οὕτως, ὁποτέρα φανῇ τῇ τε διανοίᾳ, καὶ τῇ συμφωνίᾳ τῶν

παραλλήλων τόπων, καὶ τῇ τῆς γλώσσης ἀναλογίᾳ τὴν ἑτέραν ὑπερνικῶσα, ταύτην ἀρχέτυπον καὶ γνησίαν καὶ κυρίαν νομιςέον. Ὁπότε τοίνυν τοὺς κώδηκας τοὺς ἑβραϊκοὺς ἀχράντους πάσης φθορᾶς καὶ λώβης ἀνακηρύττομεν, ὁλοσχερεῖς αὐτοὺς καὶ πλήρεις, καὶ τοῖς ἀναγνωστοῖς τε καὶ γραπτοῖς καθωπλισμένους ἐννοοῦμεν. Καὶ γὰρ ἡ γνησία καὶ ἀρχέτυπος ἀνάγνωσις ἔστιν ὅπου ἐν τῷ *περισελίδῳ* ἐκ τῶν Βαβυλωνίων κωδήκων διατετήρηται, ἀλλαχοῦ δὲ πάλιν ἔγκειται κατὰ χώραν ἐν τῷ *κειμένῳ*, κατὰ τοὺς κώδηκας τοὺς Παλαιστινοὺς (βλ. ὄπισθ. σελ. 254). Καὶ λοιπὸν ἀτελεῖς καὶ πεπηρωμένους διακηρύττομεν πάντας τοὺς τῶν περισελιδίων ἀναγνωμάτων ἀπεστερημένους κώδηκας· χωρὶς γὰρ τῆς ἀκριβεστάτης καὶ πεφροντισμένης συνεκδόσεως τῶν *Κεριῶν καὶ Κετιβῶν* ὁλοκληρία τοῦ κειμένου οὐ συνίσταται. 6) Οὐδὲ τὴν τοῦ Σιμωνίου συμβουλὴν ἅλις ἀσφαλῆ νομίζομεν, καθ' ἣν διορθῶν τὸ ἑβραϊκὸν, εἰσάγει εἰς τὸ κείμενον τὴν περισελίδιον ἀνάγνωσιν, ἐξορύττων τὴν γραπτὴν, ὅταν ἐξελέγχηται λαμπρῶς ἡμαρτημένη. Πολλὰ γὰρ ὑπάρχουσι χωρία, ἐν οἷς ἀμφίβολον, εἴτι ἔσφαλται, ἢ μή. Ἡ δ' ἀνάγνωσις ἑκατέρα, ἥ τε ἐν τῷ κειμένῳ, καὶ ἡ περισελίδιος, ἥδρασται καὶ βέβηκεν ἐπὶ τῇ πίστει καὶ κυριότητι κωδήκων ἀρχαίων, καὶ τούτων τοῦ δοκίμου κόμματος. Καὶ μᾶλλον ἄρα συμφέρει καταλείπειν ἑκάτερα τ' ἀναγνώσματα τῇ διαγνώσει τῆς Ἐκκλησίας, ἤπερ ἐξαρτᾶσθαι τὴν ἀνάγνωσιν τῶν Γραφῶν ἐκ τῆς τούτου τινὸς, ἢ ἐκείνου τοῦ ἐκδότου αὐθαιρεσίας. Τούτου γὰρ δοθέντος, φόβος ἔπεστι, μήποτε πρὸς τὸ δοκοῦν ἑκάστῳ τῶν ἐκδοτῶν ὁ κώδηξ ἀλλοιούμενος, οὕτω ποικίλος καὶ πρὸς ἑαυτὸν ἀνόμοιος ἀποβῇ, ὥστε μηκέτι θατέρᾳ τὴν ἑτέραν ἔκδοσιν συμφωνεῖν. 7) Τὰς δὲ τῶν δύω λέξεων, *'Αδωναΐ* καὶ *'Ελωΐμ*, φωνητικὰς στιγμὰς, τὰς ὑπὸ τὸ τετραγράμματον ὄνομα προστιθεμένας, οὐ συναριθμοῦμεν μετὰ των *Κερίων* καὶ *Κετιβίων*, ὡς ὑπ' αὐτῶν τῶν θεοπνεύστων συγγραφέων προελθούσας· διὸ καὶ οὐδαμοῦ τῶν κωδήκων προσγράφεται πρὸς τῷ περισελίδῳ τὸ σύμβολον τῆς διαφόρου ἀναγνώσεως (δη-

λαδὴ τὸ γράμμα Kaph, ἢ K, τὸ ἀρχικὸν στοιχεῖον τοῦ *Κερί*). 8) Ταῦτα πάντα, τέλος, οὐδόλως ἐξελέγχουσι τὸ κείμενον τὸ ἑβραϊκὸν διαφθορᾶς τινος ἢ ἐλαττώματος ἔνοχον, ὡς οἱ Ποντιφήκειοι (οἱ Παπικοὶ) συκοφαντοῦσιν, ἀλλὰ μᾶλλον αὐτοῦ τὴν ἀκεραιότητα καὶ ὁλοκληρίαν διαφυλάττουσι καὶ διατρανοῦσιν. Ὥστε πονοῦσι μάτην ὅσοι μετὰ τοῦ Μορίνου τε καὶ Καπελλίου καὶ ἄλλων κατεξανίστανται τῆς καθαρότητος τῶν *Κεριᾶν* καὶ *Κετιβᾶν*» κτλ. Ταῦτα ἐν περιλήψει τὰ τοῦ σοφοῦ Καρψοβίου. Ἡμεῖς δὲ τί πρὸς αὐτά;

§. ιϐ. α) Ἢ παντάπασιν ἡμᾶς ἡ γνώμη πλανᾷ, ἢ πάντως καὶ τὸ α, καὶ τὸ ϐ, τούτων τῶν δογμάτων μαρτυροῦσι τὴν διαφθορὰν τοῦ ἑβραϊκοῦ κώδηκος. Τὸ μὲν πρῶτον, καθότι, ἐν ᾧ *πάντα καθόλου* τὰ περισελίδια τηρητέα δοκοῦσιν, ὡς *ὁλοκληρωτικὰ τοῦ ἱεροῦ κώδηκος μέρη* (ἄρθ. 5), τοῦτο κατελέγχει τὰ τῶν *εὐφημοτέρων* ὀνομάτων ἀναγνώσματα, νόθα Μασοραίας φαντασίας ἔκγονα, ἀποδέχεται δὲ ῥητῶς ὡς *θεοπνεύστους* τὰς ἐν τῷ κειμένῳ κακεμφάτους νομισθείσας φωνάς. Τὸ δὲ δεύτερον, καθότι ὁμολογεῖ καὶ τὰ κατ' αὐτὸ τὸ *κείμενον προφανῶς* ἀπαντῶντα σφάλματα τῶν ἀντιγραφέων· διὸ καὶ παρὰ ταῦτα δικαίως τὰς περισελιδίους διορθώσεις, ὡς γνησίας προτιμᾷ· ὥστε, κατὰ ταῦτα, πάντως ἀποῤῥιπτέον ἂν εἴη ἔκ τε τοῦ περισελίδου καὶ ἐκ τοῦ κειμένου τὰ προφανῆ τῆς ἀνθρωπίνης πλάνης ἁμαρτήματα καὶ φαντάσματα, καὶ *διακριτέον ἀπὸ τοῦ σίτου τὴν αἶραν*. Ὁ δὲ σοφὸς Καρψόβιος οὐδεμίαν περὶ τούτου γνώμην ἀπεφήνατο, οὐδ' ἐξεκήρυξε διαῤῥήδην τὰ κατακεκριμένα· Εἰ μὲν οὖν καὶ οὕτως ἐξεληλεγμένας τὰς τοιαύτας τοῦ κώδηκος λώϐας διατηρητέας πάλιν ἐν αὐτῷ φρονεῖ, κινδυνεύει λοιπὸν ἑκατέρωθεν, ἐν μέρει γοῦν, περιπεσεῖν εἰς ἃς προηγουμένως ἐξήλεγξε δισσὰς αἱρέσεις, τήν τε τῶν περὶ τὸν Ἰλλερὸν, ἄθικτον καὶ θεῖον ἐν πᾶσι πρεσϐευόντων τὸ γραπτὸν, καὶ τὴν τῶν Ἰουδαϊζόντων, ὅσοι τἀνάπαλιν ἐκθειάζουσι τὸ *ἀναγνωστὸν* (βλ. σελ. 256, 259).

β) Καὶ τὸ δόγμα δὲ τὸ τρίτον οὐκ ἀφανῶς, οὐδὲ μοναπλῶς

ἀντιβαίνει πρὸς τὴν διδασκαλίαν τοῦ κριτικοῦ. Καὶ *πρῶτον*, μαρτυρεῖ καὶ τοῦτο τὴν τοῦ κειμένου διαφθοράν. Ὅπου γὰρ ἀπαντῶσιν ἐν αὐτῷ δύω ἀναγνώσεις, ἐκεῖ πάντως ἡ μία μόνον ἐστὶ γνησία καὶ κυρία (μίαν γὰρ ἔγγραψεν ὁ θεόπνευστος συγγραφεύς)· ἡ δ' ἑτέρα λοιπὸν μένει νόθος καὶ ψευδής. *Δεύτερον*· ἐπικυροῖ τὴν γνώμην τῶν περὶ τὸν Καπέλλιον σοφῶν, οἵτινες εὐκρινῶς συνεῖδον ἐκ τῶν διαφόρων ἐκδόσεων τῆς ἑβραΐδος γραφῆς τὴν ἀναντίῤῥητον ἐναλλαγὴν καὶ ἀνάμιξιν τῶν *ἀναγνωστῶν* καὶ τῶν *γραπτῶν*, ἣν οὐδ' αὐτὸς ἠρνήσατο ὁ κριτικός. Ὅτι δὲ ταῦτα καὶ δυσδιάκριτα (ἵνα μή τις εἴπῃ παντελῶς ἀδιάγνωστα), πότερον τὸ νόθον καὶ ἀνθρώπινον, καὶ πότερον τὸ γνήσιον καὶ θεόπνευστον, αὐτὸς οὗτος ἀποδείκνυσιν, ἐν οἷς ὡς ἤπια καὶ σωτήρια φάρμακα διατάσσει τοὺς κανόνας τῆς ἑρμηνευτικῆς, καὶ τ' ἄλλα τὰ βοηθήματα τῆς σώφρονος κριτικῆς. Ἀλλ' ὅμως, ὅτι μηδὲ ταῦτα πολλάκις ὠφελοῦσι, μαρτυρήσει πάλιν αὐτὸς ἐφεξῆς. *Τρίτον*· μετὰ τὴν χρῆσιν τῶν εἰρημένων βοηθημάτων καταλείπει τὴν διάκρισιν τῆς προκριτοτέρας ἀναγνώσεως εἰς τὴν ἑκάστου πληροφορίαν, καὶ τὴν αὐτεξούσιον ἐκλογήν· ἀλλ' ὅμως καὶ αὐτὸς ἐπέγνω τὸ περὶ τὴν τοιαύτην (κατ' αὐτὸν) *πληροφορίαν* προσέρπον εὐαπάτητον καὶ εὐόλισθον· διὸ καὶ παρακατιὼν οὐδὲ τοῖς ἐκδόταις τῶν ἑβραϊκῶν Γραφῶν συνεχώρησε τὴν αὐθαίρετον ἐκλογὴν τῶν ὀρθῶν, ἀλλὰ κατεπίστευσεν αὐτὴν (εὖ γε ποιῶν τὸ κατ' αὐτὸν) τῇ διαγνώσει τῆς αὐτοῦ Ἐκκλησίας. Ὅτι δὲ καὶ οἱ κανόνες τῆς *ἑρμηνευτικῆς*, ἐκ διαφόρων ὑπαγορευόμενοι φρονημάτων, ποικίλλονται πολλάκις, τιθέντες ἀξιώματα ψευδῆ, καὶ πλανῶσι τὸν νοῦν εἰς μυρίας ἀπάτας, τοῦτο τηλαυγῶς ἀποδεικνύουσιν οὐ μόνον αἱ τῶν ῥαββίνων διάφοροι ἀναγνώσεις πρὸς τὰς κατ' αὐτοὺς ἑρμηνείας τοῦ κειμένου συμμορφαζόμεναι, ἀλλὰ καὶ αὐτῶν τινων χριστιανῶν, καὶ μάλιστα τῶν *ἐλευθεροφρόνων* καὶ *ὀρθολογιστῶν* αἱ πολύμορφοι ἀναγνώσεις, ἀπευθυνόμεναι πρὸς τὴν σπάρτην τῆς αὐτῶν καινοτόμου τεκτονικῆς. Ἀλλ' οὐδὲ τ' ἄλλα τῆς κριτικῆς βοηθήματα συντελοῦσι πάντοτε πρὸς ἀσφαλῆ διάκρισιν

τῶν γνησίων τε καὶ μή. Εἴδομεν ἐν τοῖς προλαβοῦσι πῶς οἱ περὶ τὸν Κεννικῶτον ἐκ τῶν παραλλήλων τάχα χωρίων ἐξῆγον τὴν κατὰ τόπους διαφθορὰν καὶ κολόβωσιν τοῦ κειμένου! Καὶ ἡ τῆς γλώσσης *ἀναλογία*, καὶ ὁ μασορίτειος *τονισμὸς*, καὶ τῆς ῥαββινικῆς *γραμματικῆς* οἱ κανόνες, καὶ αὐτῶν δὲ τῶν τῇ ἑβραΐδι συγγενῶν διαλέκτων αἱ συμφωνίαι, κακῶς πολλάκις ἐφηρμόσθησαν εἰς τὴν ἀρχαίαν γλῶσσαν τῶν προφητῶν, ἥτις εἶχε καί τινας ἀνωμάλους καὶ ἰδαιτέρους ἰδιωτισμούς. Οὕτω πάλιν πολλοὶ τῶν κριτικῶν διὰ τῆς γραμματικῆς *ἀναλογίας* ἀπέκοψαν ὡς νόθα πολλὰ χωρία· οἱ δὲ καὶ ὅλα τεύχη τῆς Γραφῆς ἀπέδωκαν εἰς ἄλλους δῆθεν νεωτέρους συγγραφεῖς.

γ) Τὸ δὲ πέμπτον τῶν δογμάτων 1) μὲν ἄντικρυς συνάπτει τὰς περὶ τῆς φύσεως τῶν ἀναγνωστῶν καὶ γραπτῶν προειρημένας τριπλᾶς δοξασίας. Ἐν ᾧ γὰρ ἀπαιτεῖ μέχρι κεραίας ἄθικτα μένειν ἐν τῷ κώδηκι πάντα τὰ ἀντίστοιχα ἀναγνώσματα, θεόπνευστα λοιπὸν καὶ γνήσια πάντως, εἰ καὶ μὴ πάντα, ἀλλά γε ποσά τινα τούτων διαπρεσβεύει· πόσα δὲ καὶ ποῖα τὰ γνήσια ταῦτα, ποῖα δὲ καὶ πόσα τὰ νόθα καὶ πεπλασμένα, τοῦτο μόνον ἀγνοεῖ. Καὶ διατηρεῖ λοιπὸν τὴν ἑκατέρων ἀνάμιξιν, ὡς σωρείαν νομισμάτων πεφυρμένων κιβδήλων καὶ εἰλικρινῶν, ὑπ' ἀγνοίας ἅμα καὶ φόβου, μήπως ἀποῤῥίψῃ τὸ χρυσοῦν καὶ ἐπίσημον ἀντὶ τοῦ παραχαράγματος, ἢ συνεκριζώσῃ καὶ τὸν σιτοφόρον στάχυν μετὰ τῶν ζιζανίων. Καὶ ἔστι μὲν ἐπιεικῶς δυσχερὲς ἡ τοιαύτη διαλογή· καὶ τὸ νομισματοπωλικὸν πρᾶγμα πολλάκις ἀπατᾷ καὶ τὸν δεινότατον τραπεζίτην· ἀλλ' ὅμως ἐν τούτοις ὁμολογεῖ πάλιν ὁ κριτικὸς τὴν τοῦ κειμένου διαφθοράν. 2) *Πᾶσι κετιβίοις* καὶ *κερίοις* ὁλοσχερῶς καθωπλισμένον, ἣ *θέμις*, ἐθέλει τὸν κώδηκα τὸν ἑβραϊκόν, ἵνα πλήρης καὶ τέλειος ᾖ. Χωρὶς δὲ τούτων κολοβὸν τὸ κείμενον καὶ ἠκρωτηριασμένον ἀνακηρύττει· ἀλλὰ τοῦτο πάλιν ἀντιβαίνει πρὸς τὸ πρῶτον καὶ τὸ δεύτερον αὐτοῦ δόγμα, ἐν οἷς διέκρινέ τινα καὶ τῶν *γραπτῶν* αὐτοῦ καὶ τῶν *περισελιδίων* ἀναντιῤῥήτως ἡμαρτημένα· θέλει, τοίνυν ἄθι-

κτα καὶ ταῦτα μένοντα κατὰ χώραν, ὡς θεόπνευστα, καθὼς ὁ Ἰλλερός; 3) Ἄσυλον καὶ ἄχραντον *τὴν γνησίαν ἀνάγνωσιν* τοῦ κειμένου πρεσβεύει (κἂν ἄλλως ἀδιόριστον καὶ λανθάνουσαν), τετηρημένην ἐν τοῖς ἔκ τε τοῦ Βαβυλωνίου καὶ τοῦ Παλαιστινοῦ κώδηκος συμπλακεῖσιν ἀντιστοίχοις ἀναγνώσμασιν (α)· ἀλλ' ὅτι τοιαύτην κριτικὴν ἀνθολογίαν οὔτ' ἐκ τῶν δισσῶν κωδήκων τούτων, οὔτ' ἐξ ἄλλων οὐδένων γενομένην (ὡς εἶπεν) ἐπὶ τῶν Μακκαβαίων, οὐδεμίαν οἶδεν ἡ ἱστορία, εἴδομεν ἀνωτέρω (σελ. 254). Τελευταῖον 4). Τῶν ἀντιστοίχων τούτων ἀναγνωσμάτων τὸν ἀριθμὸν ἀόριστον καὶ ἄδηλον πεποιήκασιν αὐτοὶ (καθὰ προείπομεν) οἱ κώδηκες, οἱ μὲν πλείοσιν, οἱ δ' ἐλάττοσι τοιούτοις ὅπλοις κατηρτισμένοι. Ἐν ᾧ λοιπὸν ἑδράζει τὴν ὁλοκληρίαν τοῦ κειμένου εἰς τὸν ἀόριστον καὶ ἀτέκμαρτον τῶν ἀναγνωσμάτων ἀριθμὸν, ἄλλο τι ποιεῖ, ἢ διακηρύττει καὶ αὐτὴν τὴν τοῦ κειμένου ὁλοκληρίαν ἀτερμάστιστον καὶ ἀπροσδιόριστον, καὶ, ἢ χαίνουσαν καὶ πεπηρωμένην, ἢ τἀνάπαλιν ἐξωδηκυῖαν καὶ διεσκευασμένην ἐν οἷς ἂν χωρίοις ὑποτεθῶσιν, ἢ ἐλλείποντα, ἢ πλεονάζοντα τὰ ἀναγνωστὰ καὶ τὰ γραπτά; Ἀλλὰ τοῦτο μάλιστα κατέκρινεν ὡς μέγα σφάλμα τῆς Ἰλλερείας δόξης αὐτὸς οὗτος ὁ κριτικός (β).

δ) Ὀρθῶς ἀντεῖπε πρὸς Ῥιχάρδον τὸν Σιμώνιον, ἀνοίγοντα θύρας μεγάλας εἰς τοὺς βουλομένους ἐπὶ πλέον διαφθείρειν τὸ ἑβραϊκὸν κείμενον διὰ τῆς τῶν ἀναγνωστῶν εἰς τὸν τόπον τῶν γραπτῶν αὐτογνώμονος εἰσαγωγῆς. Ἀλλ' εἴπερ ὁ Σιμώνιος ἠρώτα.— « Σὺ δὲ, ὦ βέλτιστε, θέλεις ἵνα καὶ τὰ προφανῆ σφάλματα τῶν

(α) Οὕτω καὶ ὁ Πείπφερος (καὶ ἄλλοι δὲ τῶν κριτικῶν) ἀποφαίνεται βεβαίως « Veram lectionem nunquam in omnibns exemplaribus periisse, adeoque vel in τῷ Ketibh, vel in τῷ Keri exhiberi». Pfeiffer, Crit. Sacr. c. 6. pag. 206.

(β) « Cum numerus τῶν Karian et Katban ad liquidum nondum sit perductus, earumque in aliis editionibus aut codicibus manuscriptis plures, pauciores in aliis observentur, tot lacunas et jacturas lectionis θεοπνεύστου deploraremus, quot hodie desiderantur ejusmodi lectiones discrepantes ». Carpzov. Crit. Sacr. P. I. c. 7. p. 338.

μεταγραφέων (ἃ προλαβόντως καὶ αὐτὸς ὡμολόγησας) καταχραίνωσι τὸ κείμενον; » — τότε τίποτ' ἔμελλεν ἀπαντήσειν ὁ Καρψόβιος, ἡμεῖς μὲν ἀγνοοῦμεν· ἄλλο δέ τι παρατηροῦμεν· ὅτι θεμέλιον τῆς μηδαμῇ μηδαμῶς κινήσεως τῶν ἀναγνωσμάτων τίθησι τὴν ἐν αὐτοῖς ἐγκαθημένην ἀμφιβολίαν, πότερον ἄρα τὸ ὑγιὲς, καὶ πότερον τὸ νοσοῦν καὶ πεπονηκός· διὸ καὶ ἀθεράπευτον πάντως θεωρεῖ τὴν ἀμφιβολίαν ταύτην, ὡς πίστει κωδήκων ἀρχαίων καὶ κόμματος ἐπισήμου κεκυρωμένην. Ὥστε δείκνυσιν ἐκ τούτου καὶ αὐτὸς τὸ πολλάκις ἄπρακτον τῶν, ὧν προεῖπεν ἀνωτέρω, βοηθημάτων τῆς ἑρμηνευτικῆς καὶ κριτικῆς (α).

ε) Ἐξαιρεῖ τὸ *τετραγράμματον* ἀπὸ τῶν λοιπῶν *Κεριῶν* καὶ *Κετιβῶν*, ὡς τοῦτο μόνον ὑπ' αὐτῶν (ὡς λέγει) τῶν *θεοπνεύστων συγγραφέων* διὰ τῶν στιγμῶν, τῶν τοῦ *Ἀδωναΐ*, καὶ *Ἐλωΐμ*, σεσημειωμένον· οὐ διορίζει δὲ καὶ ἐξ ὀνόματος τοὺς θεοπνεύστους τούτους συγγραφεῖς· ἀλλ' εἴτ' ἐκ τοῦ Σινᾶ καὶ τοῦ Μωσέως, εἴτ' ἀπὸ τοῦ Ἔσδρα καὶ τῶν ἄλλων προφητῶν κατάγει τὴν γένεσιν τοῦ τονισμοῦ τούτου, φανερός ἐστι καὶ κατὰ τοῦτο συμφωνῶν πρὸς οὓς ἀντεῖπεν Αἰνοσβόρτοις καὶ Ἰλλεροῖς. Ἐν ᾧ δὲ πάλιν διακρίνει κατ' ἐξοχὴν τὴν τοῦ τετραγραμμάτου στίξιν ἀπὸ τῆς τῶν ἄλλων διαφόρων ἀναγνωσμάτων (ἐν οἷς καὶ γνήσια πάντως πολλὰ καὶ θεόπνευστα φρονεῖ), δυοῖν θάτερον, ἢ διαφόρους θεοπνευ-

---

(β) Ὅθεν καὶ ὁ πολὺς Ὁττιγγῆρος ἀπαντήσας, ὅπως ἠδυνήθη, πρὸς τὰς προβαλλομένας διορθώσεις τῶν ἐν τῷ ἑβραϊκῷ διεφθαρμένων, καὶ πολλάκις ἐναντιοφανῶν ἀναγνώσεων, ἐπήγαγε τελευταῖον, ἀναγκασθεὶς, τὴν ἐφεξῆς καθολικὴν ἀπάντησιν. « Ἐπικίνδυνόν ἐστι πρᾶγμα, καὶ μετὰ πολλοῦ τοῦ ἀκροσφαλοῦς συνεζευγμένον, ἐὰν ἀπὸ τῆς παραδεδεγμένης τῶν κωδήκων ἀναγνώσεως ἐκκλίνωμεν, ἢ καὶ πειραθῶμεν αὐτὴν διορθοῦν εἴτε ἐκ τῶν ἄλλων ἑρμηνειῶν» (ἐν αἷς καὶ ἡ τῶν Ο), « εἴτε στοχαστικῇ τινι δεξιότητι, εἴτε γοῦν καὶ ἐκ τῶν παραλλήλων χωρίων τῆς Γραφῆς. Ἐὰν γὰρ τῷ κανόνι τούτῳ παρακολουθήσωμεν, θυρίδα μὲν ἀνοίξομεν εἰς ἀκολάστους γλώσσας ἀνθρώπων βεβήλων, ἢ πρὸς τὸ ἀντιλέγειν γεγεννημένων, τὰς δὲ τῶν διαφωνούντων ψυχὰς βαρύτερον παροξύναντες ἐξαγριανοῦμεν, καὶ νέον μῆλον ἔριδος μεταξὺ τῶν ἡμετέρων εἰσκυλίσομεν θεολόγων » κτλ. (Hottinger. Thes. phil. pag. 208. πρβλ. p. 213). Σοφὸν τὸ παράγγελμα, καί πως παραπλήσιον πρὸς τὸ « Μὴ κινεῖν κακὸν εὖ κείμενον » !

βαθμοὺς περὶ τὴν στίξιν θεωρεῖ, ἢ (τό γε πιθανώτατον) ἐννοεῖ καὶ ὧδε τὴν στίξιν τῶν ἄλλων (πλὴν τοῦ τετραγραμμάτου) *κεριῶν* καὶ *κετιβῶν*, ἢ ὅλων, ἢ τῶν πλείστων, βέβηλον ἀνθρωπίνης ἔργον χειρὸς, καὶ ἴσως Μασορίτιδος. Τοῦτο δὲ προεῖπε καὶ ἐν οἷς ἀντέλεγε πρὸς τὸν Ἰλλερόν· ἀλλὰ περὶ τῆς στίξεως λέγομεν ἐν τῷ ἀκολούθῳ κεφαλαίῳ.

ϛ) Τελευταῖον συμπεραίνομεν, ὅτι καὶ αὐτὰ λοιπὸν τὰ κριτικὰ τοῦ Καρψοβίου δόγματα οὐ μόνον οὐ θεραπεύουσιν, ἀλλὰ καὶ βεβαιοῦσι τὴν ἐκ τῶν ἀναγνωστῶν καὶ τῶν γραπτῶν λαμπρῶς ἐλεγχομένην διαφθορὰν, ἥτις καὶ ἀλλαχόθεν, ὡς εἴπομεν, ἀναφαίνεται. Καὶ λίαν ἀδίκως ἄρα κἀκείνους, οὓς λέγει *Ποντιφηκείους*, καὶ τοὺς περὶ τὸν Καπέλλιον οἰκείους ἔψεξεν, ὡς συκοφαντοῦντας τὸ κείμενον τὸ προφητικόν. Καὶ ἄλλοι δὲ πρὸ τούτου, καὶ Ὀττιγγῆρος ἠγανάκτησε καθ᾽ ὧν καὶ αὐτὸς ὀνομάζει Ποντιφηκείων (ὡς ἂν εἴπερ οἱ Δυτικοὶ μόνοι καὶ πρῶτοι τὸ τῶν ῥαββίνων ἄγος ἐθεάτριζον) (α). Ἀλλ᾽ ὡς ἔοικε, τὸ καλὸν τῆς σοφίας

(α) Hotting. Thes. phil. p. 425, 426. Ἐκ τούτοις ὁ σοφὸς ἀνὴρ παραβάλλει τοὺς διορθώσαντας τὸ κείμενον Μασορίτας πρὸς ἐμπείρους ὁδηγοὺς, ὅσοι τοὺς εἰς ἀνοδίας πλανωμένους εἰς ὁδὸν χειραγωγοῦσι βασιλικήν. Καὶ προστίθησι. «Πῶς ἂν οἱ Μασορῖται λέγοιντο φθορεῖς τῆς ἑβραϊκῆς ἀληθείας, ἐγὼ μὲν οὐχ ὁρῶ. Οἵτινες οὐ μόνον οὐδεμίαν ἐσφαλμένην ἀνάγνωσιν εἰσήγαγον, ἀπό γε σπουδῆς» (ἐκ προνοίας καὶ μεμελετημένως, ἢ ἐξεπίτηδες), «εἰς τὸ κείμενον, ἀλλὰ καὶ ὅπως μηδὲ τοῦ λοιποῦ παρεισφρήσωσι τοιαῦται, ἐπιμελῶς ἐσπούδασαν (διὰ τῆς Μασόρας!). Ἔπειτα (λέγει) εἴπερ τὰ ἑβραϊκὰ βιβλία κρίνονται διεφθαρμένα, διότι περιέχουσι 848 ἀ ν α γ ν ω σ τ ὰ κ α ὶ γ ρ α π τ ὰ (βλ. ὄπισθ. σελ. 224), τί γενήσεται λοιπὸν ἡ λατινικὴ Βουλγάτα, ἐν ᾗ Ἰσίδωρος ὁ Κλάριος ἐσημείωσε 80,000 σφάλματα;» κτλ. Τοιαῦτα ὁ δριμὺς Ὀττιγγῆρος. Ἀλλ᾽ ὅτι μὲν «Ὁ δ η γ ο ὶ τ υ φ λ ο ὶ» οὐκ εἰς ὁδὸν βασιλικὴν, ἀλλ᾽ εἰς β ό θ υ ν ο ν ὁδηγοῦσι, γέγραπται. Ὅτι δὲ καὶ αὐτὸς ὁ κριτικὸς ἠπίστατο καλῶς ποίας ἀναγνώσεις τοῦ κειμένου διέταξαν οἱ Μασορῖται, ἔδειξε, προσθεὶς τὸ «ἀ π ό γ ε σ π ο υ δ ῆ ς» (studio saltem!)· ἀπεδίδου δηλονότι τὰς διαφθορὰς εἰς τὴν μὴ σπουδαίως καὶ σκοπίμως, ἀλλ᾽ ἀ κ ο υ σ ί ω ς σφαλλομένην ἀμάθειαν τῶν διορθωτῶν! Καὶ τὴν Μάσοραν δὲ πρῶτον ἐπαινέσας καὶ φιλήσας, ἔπειτα καὶ εἰς αὐτὴν ὀ ξ ὺ ν ἐ ν ή λ α σ ε ν ὀ δ ό ν τ α (αὐτόθ. σελ. 408). Τὰς δ᾽ 80 χιλιάδας τῶν τῆς Βουλγάτας σφαλμάτων (αἰδούμενος καὶ αὐτὸς τοῦ λήρου τὴν ὑπερβολὴν) ἀπέδωκεν εἰς τὸν συκοφάντην, ὀνομάσας αὐτόν· ἀλλ᾽ ὅμως

χρῆμα νικῶσι πολλάκις οὐ μόνον *χελῶναι* (παλαιὸν τῶν Πελοποννησίων νόμισμα), κατὰ τὸ ἔπος ἐκεῖνο, «*Τὰν ἀρετὰν καὶ τὰν σοφίαν νικῶντι χελῶναι*», ἀλλὰ καὶ δοξῶν καὶ φρονημάτων ἐμπαθεῖς διαφοραὶ, τὴν κρίσιν ἐπιθολοῦσαι, καὶ συσκιάζουσαι τῶν ὄντων τὴν ἀλήθειαν. Καὶ ταῦτα μὲν τοιαῦτα.

§. ιγ. Ὁ δὲ σοφὸς Μορῖνος (α) καὶ αὐτοῦ καθήψατο τοῦ φίλου καὶ συναγωνιστοῦ Καπελλίου, ὅστις τοσαύτας ἐπαγαγὼν ἀποδείξεις τῆς ἐκ τῶν περὶ τὰ γράμματα μεταβολῶν οὐ σμικρᾶς, οὐδ' ἐπὶ σμικροῖς τοῦ ἑβραϊκοῦ κειμένου διαφθορᾶς, ἔπειτ', ἀγνοῶ τί ποτε μαθὼν, ἢ τί παθὼν, ἔγραψε, καὶ πάλιν ἐπανέλαβεν, ὅτι «Αἱ πλεῖσται τῶν ἐν τῷ ἑβραϊκῷ κειμένῳ διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, *οὐδεμίαν*, ἢ *σχεδὸν οὐδεμίαν* ἔχουσι ῥοπὴν *εἰς τὰ τὴν πίστιν καὶ τὸ ἦθος ἀφορῶντα χωρία* τῆς Γραφῆς. Ὥστε *κατά γε τοῦτο*, τὸ αὐτό ἐστι καὶ ἀδιάφορον, ὁποτέρᾳ τῶν διπλῶν ἀναγνώσεων ἀκολουθήσῃς»· τοιαῦτα ὁ κλεινὸς Καπέλλιος, συνεπαγόμενος καὶ ἄλλους οὐκ ὀλίγους συμφωνοῦντας, ἐν οἷς καὶ τὸν δεινὸν Ἀμάμαν. Ἀλλ' ὅμως ἔχει καὶ τοῦτο τὸ θεώρημα τοὺς ὅρους αὐτοῦ καὶ τὰς ἐξαιρέσεις· πολλάκις γὰρ ἑνός τινος γράμματος ἔλλειψις, ἢ πλεονασμὸς, ἢ ἐναλλαγὴ καὶ μετάθεσις, ἀλλοιοῖ παντάπασι τὴν σημασίαν ὁλοκλήρου χωρίου, καὶ μάλιστα κατὰ τὴν Μασορίτειον γραφὴν, ἐν ᾗ καὶ ἑνὸς ἰῶτα, ἢ μιᾶς φωνητικῆς στιγμῆς ἀλλοίωσις διαστρέφει καὶ τὴν λέξιν καὶ τὸ νόημα· ἢ οὐ διέστρεψαν οὕτως οἱ Ῥαββῖνοι τὸ *Καaροὺ* εἰς τὸ *Καaρί*; (σελ. 145). καὶ ἄλλα δὲ τοιαῦτα, περὶ ὧν ἐν τοῖς ἑξῆς. Πολλὰ δὲ καὶ ἐξ ἄλλων

ἐπιχαίρων, οὐχ ἐξήλεγξε τὴν συκοφαντίαν· παρέβαλε δὲ καὶ ταύτην· ὡς ἂν εἴπερ ὑπῆρχον ἴσαι καὶ παρόμοιαι αἱ διάφοροι τῆς Βουλγάτας ἀναγνώσεις πρὸς τὰς πολλάκις ἐναγεῖς, καὶ μετὰ τοῦ προφητικοῦ κειμένου πολλαχοῦ συμπεφυρμένας, καὶ πρὸς ὅλην τὴν (ἔν γε τοῖς ἐσφαλμένοις) ἀνωμαλίαν τοῦ ἑβραϊκοῦ, ἣν καὶ αὐτὸς ὑποσημαίνων, ἄθικτον ἐᾷν παρήγγειλεν ἀνωτέρω (σελ. 267), ὡς ἂν εἴπερ ἔλεγε· «Μὴ κίνει Καμάριναν· ἀκίνητος γὰρ ἀμείνων». Ἔπειτα κἀκεῖνο ἐπελάθετο ὁ κριτικός. Ὅτι τὸν δίκην φεύγοντα πρῶτον ἐπὶ τοῖς κατηγορημένοις ἀπολογεῖσθαι, κἄπειτ' ἀντικατηγορεῖν τοῦ διώκοντος, ὁ νόμος κελεύει.

(α) Morin. L. II Exercit. XXIV. c. 4. p. 631.

γλωσσῶν παραδείγματα διατρανοῦσι τὴν ἐκ τῆς ἑνὸς γράμματος, ἢ καὶ τόνου μεταβολῆς ἀλλοίωσιν τῆς τῶν λέξεων σημασίας (α).

§. ιδ. Ἡμεῖς δὲ μίαν ἔτι παρατήρησιν προσθέντες, συμπερανοῦμεν τὸ κεφάλαιον. Ὀρθῶς ὁ Καπέλλιος καὶ Βάλτων καὶ ἄλλοι συνεῖδον, ὅτι πολλάκις ἐν ταῖς περὶ ὧν ὁ λόγος ἀντιστοίχοις ἀναγνώσεσι τοῦ ἑβραϊκοῦ, παραβαλλομέναις πρὸς τὴν ἑρμηνείαν τῶν Ο, ἄλλοτε μὲν ἀποδείκνυται τοῖς Ο συμφωνοῦν ὃ καὶ νῦν ἐστιν ἐν τῷ ἑβραϊκῷ κειμένῳ, τὸ *γραπτὸν*, ἄλλοτε δὲ πάλιν τὸ νῦν ἐν τῷ ἑβραϊκῷ *περισέλιδον*, ἢ ἀναγνωςόν. Οὕτω, φερ᾽ εἰπεῖν, ἐν Γενέσ. λς, 5, 15, καὶ ἀλλαχοῦ πολλαχοῦ τῶν ἄλλων τευχῶν τῆς θείας Γραφῆς ἅπερ ἔχει τὸ ἑβραϊκὸν ἐν τῷ κειμένῳ, τὰ *γραπτὰ*, ταῦτα καὶ ἀνέγνων καὶ ἡρμήνευσαν καὶ οἱ Ο, τὰ δ᾽ ἐν τοῖς αὐτοῖς χωρίοις πρὸς τῷ περισελίδῳ σεσημειωμένα ἀναγνωστὰ τοῦ ἑβραϊκοῦ οὐκ οἴδασιν ὅλως. Καὶ πάλιν ἐν ἄλλοις πολλοῖς χωρίοις οἱ Ο, ἀνέγνων ἐν τῷ κατ᾽ αὐτοὺς κειμένῳ, καὶ μετέφρασαν, ὅσα τὸ νῦν ἑβραϊκὸν ἔχει γεγραμμένα οὐκ ἐν τῷ κειμένῳ, ἀλλ᾽ ἐν τῷ περισελίδῳ, ὡς *ἀναγνωστά*. Τὴν δ᾽ αὐτὴν πρὸς τὸ νῦν ἑβραϊκὸν διαφορὰν ἔχει πολλαχοῦ καὶ ἡ Βουλγάτα. Ἐσημείωσαν δὲ

(α) *Οἷον ὅταν, φέρ᾽ εἰπεῖν, ἐν τοῖς λατινικοῖς παρ᾽ ἓν γράμμα συγχέωνται τὰ* error terror, ratio oratio, prudens pudens, judicium indicium, concilium consilium, duco dico, etiam et jam, sed Diis sed iis, re probavit reprobavit, infirma in firma *κτλ. Καὶ ἐν τοῖς ἑλληνικοῖς ἄλλα τε μυρία (ἐν οἷς καὶ τὸ τοῦ Ἀρείου ὁ μ ο ι ο ύ σ ι ο ν, ἀντὶ ὁμοούσιον), καὶ τὰ παραλλάσοντα διὰ μόνην τόνου μεταβολήν· οἷον, βίος βιὸς, φόρος φορὸς, θόλος θολὸς, καιρὸς καῖρος, κτλ. Οὕτω καὶ τὸ ἐν Ἀββακ. γ, 1 «Ἐν μέσῳ δύω ζ ώ ω ν» κτλ. Ὠριγένης μὲν (περὶ Εὐχῆς §. ιδ) καὶ ἄλλοι τῶν ἀρχαίων Πατέρων, καὶ ἐκ τῶν λατίνων ὁ Τερτυλλιανὸς καὶ ὁ Αὐγουστῖνος καὶ Ἱερώνυμος, παροξύτονον ἀνέγνωσαν. Ὁ δ᾽ Εὐσέβιος (Εὐαγ. Ἀποδ. ς, ιδ), καὶ ὁ Θεοδώρητος, καὶ ὁ Θεοφύλακτος (εἰς Ἀββακ. αὐτόθ.) περισπῶσιν, ἀναγινώσκοντες ζ ω ῶ ν, οἷς παρηκολούθησε καὶ Ἡσύχιος. Ἀλλὰ καὶ ἐν τῷ περὶ Ἀρχῶν (Α, κεφ. γ) τοῦ Ὠριγένους γράφεται μὲν ἑλληνιστὶ «ἐν μέσῳ δύω ζ ώ ω ν·» ἔπειτα δ᾽ ἐν τοῖς κατωτέρω (ὅπου μόνον λατινιστὶ σῴζεται τὸ χωρίον) προστίθεται,* «sive animalia, sive vitas» *(εἴτε ζ ῶ α, εἴ τε ζ ω ά ς)· τὸ δ᾽ ἀντίστοιχον ἑβραϊκὸν ἄλλως ἄλλοι ἑρμηνεύουσι. βλ.* Drusij καὶ Grotij not. εἰς Ἀββακ. αὐτόθ.—Schleusn. Thes. V. Test. v. Ζῶον, καὶ Bochart. Hieroz. Tom. 1. pag. 288.

τοιαῦτα παραδείγματα τῆς τοῦ νῦν ἑβραϊκοῦ πρὸς τοὺς Ο, παραλλαγῆς ὅ,τε Καπέλλιος (σελ. 183), καὶ ὁ Βάλτων (Προλ. η, 26), καὶ εἴ τις ἕτερος. Καὶ τοῦτο μὲν ὑπάρχει ἄλλη τηλαυγὴς ἀπόδειξις τῆς τοῦ ἑβραϊκοῦ διαφθορᾶς. Ἐπειδὴ γὰρ εἰσέῤῥευσαν ἐν αὐτῷ διάφοροι ἀναγνώσεις, καὶ ὁ μέν τις κώδηξ ἐτήρει τὴν ἀρχαίαν καὶ κυρίαν ἀνάγνωσιν τοῦ κειμένου, ὁ δέ τις ἄλλην τινὰ νεωτέραν, οἱ Μασορῖται κριτικοὶ παραβάλλοντες τοὺς τοιούτους κώδηκας, καὶ δημιουργοῦντες ἐξ αὐτῶν τὰ *Κερία* καὶ *Κετίβια*, συνέχεον τὰς διαφόρους τῶν κωδήκων παραλλαγὰς, καὶ νῦν μὲν ἔγραφον ἐν τῷ κειμένῳ τὴν νεωτέραν ἀνάγνωσιν, τὴν δ' ἀρχαίαν ἐν τῷ περισελίδῳ, νῦν δὲ τἀνάπαλιν. Αὕτη φαίνεται ἡ αἰτία, δι' ἣν ἡ παρὰ τοῖς Ο γνησία τηρηθεῖσα ταύτης, ἢ ἐκείνης τῆς λέξεως ἀνάγνωσις ἐν τῷ νῦν ἑβραϊκῷ ἄλλοτε μὲν φέρεται ἐν τῷ κειμένῳ ὡς *γραπτὸν*, ἄλλοτε δὲ παρασημειοῦται ἐν τῷ περισελίδῳ, ὡς *ἀναγνωστόν*. Ἐν δὲ τούτοις κἀκεῖνο κρίνομεν προσθετέον· ὅτι ὁ Καπέλλιος καὶ ὁ Βάλτων, ἐν ᾧ σημειοῦσι ποῖον τῶν ἑβραϊκῶν *κερίων* ἢ *κετιβίων* ἀναλογεῖ πρὸς ταύτην, ἢ ἐκείνην τῶν Ο τὴν ἀνάγνωσιν, ἐκφράζονταί πως ἀκυρολογώτερον, οὕτως· « Ἄλλοτε μὲν οἱ Ο ἀκολουθοῦσι τῷ Κερὶ, ἄλλοτε δὲ πάλιν τῷ Κετίβ, ἀφέντες τὸ Κερί » (α). Ἀλλ' ὅτι μὲν οἱ Ο, οὐδὲ καθ' ὕπνους ἐφαντάσθησαν τὰ Μασορίτεια *Κερία καὶ Κετίβια*, καὶ ὁ τότε κώδηξ ὁ ἑβραϊκὸς ἐκαθάρευε τῶν τοιούτων περισελιδίων παραρτημάτων, αὐτὸ μόνον ἔχων τὸ κείμενον ἁγνόν, αὐτοὶ οὗτοι πάλιν οἱ ἄνδρες ἀνεκήρυξαν πολλάκις. Ὤφειλον λοιπὸν (ὡς οἶμαι) τ' ἀνάπαλιν εἰπεῖν, ὅτι « *παρὰ τοῖς Ο, τοτὲ μὲν κεῖται τὸ μασορίτειον Κερὶ, τοτὲ δὲ τὸ Κετὶβ* », καὶ οὕτως ἐκ τῶν παραβαλλομένων χωρίων ἐπάγειν ἀμφοτέρων τῶν ἀναγνώσεων παραδείγματα. Ὡς δὲ νῦν γράφουσι, φαίνονται λέγοντες, ὅτι καὶ τῶν Ο ὁ κώδηξ ὁ ἑβραϊκὸς ὑπῆρχε καθωπλισμένος *Κερίοις καὶ Κετιβίοις*· αὐτοὶ δὲ πάλιν οἱ μεταφράζοντες νῦν μὲν τούτῳ,

---

(α) « Aliquando οἱ LXX sequntur τὸ Keri — aliquando sequntur τὸ Ketib, relicto Keri.». Cappell. καὶ Walt. ubi supr.

νῦν δ' ἐκείνῳ *παρηκολούθουν*. Καὶ ἔστι μὲν ἡ τοιαύτη τῶν σοφῶν ἀνδρῶν ἀκυρολεξία μικρὰ καὶ καταφανής, οὐδ' ἂν ἐπεμνήσθημεν αὐτῆς, εἰ μὴ μετ' ἄλλων τινῶν καὶ Φράγγελος ὁ ἀρχιραββῖνος τοιοῦτό τι παράδοξον βεβαίως καὶ λίαν ἀσμένως ἐπρέσβευεν, ὡς προείπομεν (Βιβλ. Β. κεφ. ιβ. σελ. 867). Ὅστις παρέστησεν ἡμῖν τόν, ὃν Ἀλεξανδρινὸν ὀνομάζει, ἑβραϊκὸν κώδηκα τῶν Ο, διηνθισμένον ἀπὸ κεφαλῆς μέχρι ποδῶν τοῖς *κερὶ καὶ τοῖς κετὶβ*, καὶ παντάπασι παρόμοιον πρὸς ὃν αὐτὸς ἤδη ἀναγινώσκει, τὸν *Μασορίτειον*. Καὶ διαβεβαιοῖ δὲ πιστῶς ὁ Φράγγελος, ὅτι οἱ Ο ἀπέκλινον μᾶλλον πρὸς τὸ *περισελίδιον*, ἢ πρὸς τὸ *γραπτόν*· καὶ τοῦτο τεχνάζεται, ὅπως μᾶλλον ψέξῃ τὴν ἑρμηνείαν· αὐτὸς γὰρ (ἀπ' ἐναντίας βαίνων πρὸς τοὺς αὐτοῦ πατέρας) φαίνεται προτιμῶν τὸ *γραπτὸν* ὑπὲρ τὸ *ἀναγνωστόν*· καὶ τοῦτο μὲν ὡς ὕστατον καὶ νεώτερον θεωρεῖ, τὸ δὲ γραπτὸν ἀρχαιότερον (πόθεν ἔχων τὰς ἀποδείξεις;) (α). Ἀλλὰ καταλείποντες τὸν Ἀρχιραββῖνον ἐξερευνῶντα τοὺς γνώμονας τῆς τε πρεσβυτέρας καὶ τῆς νεωτέρας αὐτοῦ Μασόρας, καὶ ἄλλοτε πονούμενον, ὅπως τὴν ἐν οἷς φησὶν Ἀλεξανδρινοῖς ἀντιγράφοις γραφὴν τοῦ *κερὶ* καὶ τοῦ *κετὶβ* ἀρχαίαν ἀποδείξῃ, (καὶ τοῦτο πόθεν; ἐξ αὐτῆς ἐκείνης τῆς ἑρμηνείας τῶν Ο, ἣν αὐτὸς πρότερον ἀνεκήρυξε χθιζῶν τινων ἑλληνιστῶν ἀνθρώπων συῤῥαφήν, καὶ τούτων παντοδαπῶν, καὶ ἄλλων ἄλλο τι κατὰ καιροὺς ἑρμηνευσάντων, ὅθεν καὶ οὐδ' ἑνί τινι πάντως καὶ ὁμοιομόρφῳ κώδηκι χρησαμένων! βλ. Βιβλ. Β. σελ. 22, 623), ἐν τούτοις δὴ καὶ τοῖς τοιούτοις αὐτὸν μοχθοῦντα καταλείποντες, καὶ πολλὰ τ' ἀνδρὶ χαίρειν εἰπόντες, μεταβαίνομεν εἰς τὴν θεωρίαν τῶν στιγμῶν καὶ κεραιῶν, αἵτινες ἐπέχουσι τόπον φωνηέντων ἐν τῇ ἑβραΐδι Γραφῇ.

(α) Βλ. Frankel, Historisch-kritische Studien zu der Septuaginta. 1. Bd. 1. Abth. p. 219—242.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Περὶ τῶν σημείων τῶν φωνηέντων καὶ προσῳδιῶν τῆς Ἑβραΐδος Γραφῆς.

§. α. Ἦ μὴν καὶ ἐν ἄλλοις πολλοῖς κρατερῶς ἐρίζουσι, καὶ μάχας καυστειρὰς συνιστῶσιν ἄνδρες μεγάθυμοι κριτικοί. Περὶ δὲ τῶν φωνητικῶν καὶ προσῳδιακῶν παρ' Ἰουδαίοις σημείων καὶ πάμπαν ἀκόρεστοι μάχης συμβάλλουσι πρὸς ἀλλήλους, οὐδ' ἐπιεικτὸν καὶ μέτριον ἔχουσι πόνον, ἀλλὰ μακρὸν καὶ ποικίλον, καί, ὡς ἂν εἶπεν Ὅμηρος,

« Ὀξέσι δὴ πελέκεσσι, καὶ ἀξίνῃσι μάχονται,
Καὶ ξίφεσιν μεγάλοισι, καὶ ἔγχεσιν ἀμφιγύοισι,
— πολὺς δ' ὀρυμαγδὸς ὀρώρει ».

Ὅσοι μὲν γὰρ τὸ ἄχραντον καὶ ἀκέραιον καὶ κατὰ πάντα γνήσιον τοῦ νῦν ἑβραϊκοῦ κειμένου πρεσβεύουσι καὶ διεκδικοῦσι, θείας πάντως καὶ θεοπνεύστους φρονοῦσι καὶ τὰς στιγμὰς καὶ τὰς κεραίας, αἵτινες ἐπέχουσι τόπον φωνηέντων γραμμάτων ἐν τῇ τούτων ἀμοιρούσῃ τανῦν ἑβραΐδι γραφῇ. Καὶ μάλα σφίσι συμφερόντως τοῦτο φρονοῦντες, καὶ ὑπερασπίζοντες, ὅσον δύνανται. Ὅταν γὰρ ταῦτα τὰ σημεῖα, καὶ μάλιστα τὰ τῶν φωνηέντων (ἐξ ὧν, ὡς ἐπὶ τὸ πλεῖστον, ἐξήρτηται ἥ τε σαφήνεια καὶ ὁλοκληρία καὶ τὸ βέβαιον καὶ ἀδιάψευστον τοῦ ἑβραϊκοῦ κειμένου) τεθῶσιν ἀνθρωπίνης ἐπινοίας ἔργον, καὶ πολὺ τῶν θεοπνεύστων συγγραφέων μεταγενέστερον, οἴχεται λοιπὸν καὶ τὸ θεῖον, ὡς θέλουσι, καὶ ἀδιάψευστον κῦρος τῆς ὑπὸ τῶν μεταγενεστέρων παραδεδομένης προφορᾶς καὶ σημασίας τῶν ἑβραϊκῶν φωνῶν (καθὼς αὐτὰς προφέρουσι καὶ ἐξηγοῦσι καὶ τὴν σήμερον)· καὶ ἑπομένως ἀποβαίνει τὸ κείμενον εὐεπιχείρητον, ὡς ἐν πολλοῖς εὐπαράτρεπτον περὶ τὴν ἀνάγνωσιν, καὶ ἀβέβαιον, καὶ ἀστατοῦν, καὶ προσέτι διεφθαρμένον, ὅπου ἂν ὑποτεθῇ μὴ διὰ τῶν καταλλήλων φωνηέντων ἐμψυχωθέν. Πρὸς ταύτην δὲ τὴν δοξασίαν ἄλλοι πάλιν οὐκ

ἀγενῶς ἀντιλέγουσι, ποικίλας προβάλλοντες ἀποδείξεις. Ἐκτιθέμεθα δὲ πάσας τὰς περὶ τοῦ πράγματος ὑπολήψεις, διαγράφοντες κατὰ μέρος.

§. β. Πρῶτον μὲν οὖν οἱ ῥαββῖνοι (ἵν' ἀπὸ τούτων ἀρξώμεθα) ταῦτα τὰ παρ' αὐτοῖς γραπτὰ τῶν φωνηέντων σημεῖα σύγχρονα δογματίζουσι καὶ συνήλικα τῶν συμφώνων γραμμάτων τῆς γλώσσης τῆς ἑβραϊκῆς Καὶ οἱ μὲν *ἐκπάγλως μαινόμενοι* πατέρα τούτων ἀμφοτέρων αὐτὸν ἀποφαίνονται τὸν γενάρχην τοῦ ἀνθρωπίνου γένους *Ἀδάμ*! Οἱ δὲ πλεῖστοι κατωτέρω καταβαίνοντες, ἀρκοῦνται καὶ εἰς τὸν προφήτην Μωϋσῆν. Τούτῳ, λέγουσιν, ἀπεκάλυψεν ὁ Θεὸς καὶ τὴν μορφὴν καὶ τὸν ἀριθμὸν τῶν φωνηέντων τούτων στιγμάτων, καὶ μετ' αὐτῶν συνέγραψε τὴν Πεντάτευχον ὁ θεόπτης. Ὅθεν καὶ οἱ κατόπιν ἐπελθόντες θεῖοι προφῆται, ὡσαύτως ἐστιγμένας ἔγραψαν τὰς βίβλους τὰς ἱεράς, καθὼς γράφονται παρ' Ἰουδαίοις καὶ τὴν σήμερον. Ταύτην δὲ τὴν δόξαν τὴν ἰουδαϊκὴν πολλοὶ καὶ τῶν εὐρωπαίων χριστιανῶν ὁλοθύμως ἀπεδέξαντο, καὶ φιλολόγοι καὶ κριτικοί, ἐν οἷς καὶ ὁ πολυμαθὴς Καρψόβιος (α), καὶ Ῥοβερτίων (β), καὶ ὁ Σπίτνερος (γ).

§. γ. Ἄλλοι δὲ πάλιν, Ἠλία τοῦ Λευΐτου καὶ ῥαββίνου προμαχοῦντος, δογματίζουσιν, ὅτι τὰ μὲν σημεῖα ταῦτα τῶν φωνηέντων καὶ προσῳδιῶν ἐφεῦρον πρῶτοι καὶ κατέγραψαν οἱ Τιβεριαδεῖς Μασορῖται (περὶ τὸ 500 μ. Χ.). Ἀλλ' ὅμως οὐκ αὐτογνωμόνως, οὐδ' αὐταρέσκως ἐπέθηκαν τὰς στιγμάς, κατὰ δὲ τὴν παράδοσιν τῶν θεοπνεύστων προφητῶν, καὶ τὴν ἀπὸ στόματος πατροπαράδοτον διδασκαλίαν, ἥτις ἀμιγὴς καὶ ἄχραντος ἄνωθεν κατερχομένη, διεφύλαττεν *ἐν μνήμαις κυπαρισσίναις* τὴν γνησίαν καὶ ἄχραντον ἑκάστης λέξεως ἐκφώνησιν.

(α) « Puncta vocalia aeque ac Accentuum eandem cum literis aetatem ferunt, et a sacris amanuensibus, in αὐτογράφοις adscripta r e c t i u s c e n s e n t u r, q u a m n e g a n t u r ». Carpzov. Crit. Sacr. p. 242.

(β) I. Robertson, Clavis Pentateuchi. Edinburg. 1770. — (γ) A. Spitzner. Vindic. orig. et auctor. div. punct. vocalium etc. Lipsiae, 1791.

§. δ. Ἄλλοι δέ τινες τῶν κριτικῶν πάμμαχον παγκράτιον ἀγωνιζόμενοι, σύγχρονα μὲν καὶ ὁμόγνια τοῖς ἑβραϊκοῖς συμφώνοις καὶ τὰ φωνήεντα στίγματα πρεσβεύουσιν, ἄνωθεν καὶ οὗτοι κατάγοντες ἀπ' Ἀδάμ (ὃν πατέρα τῆς ἑβραϊκῆς ἐθέλουσι γλώσσης). Ἐπειδὴ δὲ (λέγουσι), τοῦ μακροῦ χρόνου προϊόντος, οἱ ἄνθρωποι συνήθως ὁσημέραι τῇ γλώσσῃ χρώμενοι, καὶ δίχα τῶν σημείων τούτων ἀπταίστως ἀνεγίνωσκον, εἰς λήθην ἦλθον τὰ σημεῖα παρὰ τοῖς πολλοῖς, οὐ μήν γε παρὰ πᾶσι· καὶ τότε ὁ Ἔσδρας ἐπιφανεὶς, ἀνεκάλεσε τὴν χρῆσιν αὐτῶν. Ἤδη δὲ τῆς Ἑβραίας γλώσσης εἰς τὴν Ἀραμαίαν, ἢ Συροχαλδαϊκὴν διάλεκτον μεταπιπτούσης, διεκόπη πάλιν ἡ τῶν σημείων χρῆσις παρὰ τοῖς ὄχλοις τῶν Ἰουδαίων, διέμεινε δὲ τούτων ἡ γνῶσις παρά τισιν ὀλίγοις ἀμάραντος καὶ ἀκριβής· ἕως οὗ περὶ τοὺς χρόνους τῆς ἐκδόσεως τοῦ Ταλμούδου πάλιν εἰσήγαγον τὰς στιγμὰς εἰς πάνδημον χρῆσιν οἱ Τιβεριαδεῖς, ἢ ἄλλοι τινὲς σοφοί. Ταῦτα διατείνονται καὶ ἄλλοι καὶ ὁ συγγραφεὺς τοῦ *Φιλοσοφικοῦ μαργαρίτου*, προστιθεὶς καὶ ὅτι, « κἄν τινες λέγωσιν ὑπὸ τοῦ Ἔσδρα πρῶτον μετὰ τὴν βαβυλωνίαν αἰχμαλωσίαν προστεθέντα τῇ θείᾳ Γραφῇ τὰ σημεῖα, οὐκ ὄντα πρότερον, ἀλλ' ὅμως τὴν τούτων γνώμην οὐκ ἐπὶ πάντων ἔγωγε δέχομαι τῶν σημείων, οἷς τὰ νῦν χρῶνται· τούτων γάρ τινα ἀείποτε προϋπῆρχον ». Ταύτην δὲ τὴν ἐκλογάδην ἀπὸ πασῶν τῶν ἐναντίων δοξασιῶν πρὸς τὸ ἀσφαλέστερον συμπεπλεγμένην γνώμην ἠγάπησεν, ὡς *πανταρκῆ*, καὶ ὁ κλεινὸς Ὀττιγγῆρος, ἀρέσασαν αὐτῷ τὰ μάλιστα (α). Μικτὴν δέ τινα γνώμην ἀπεφήνατο καὶ Ἰωάννης ὁ Πριδώς (β).

§. ε. Ἀλλ' ἐν τούτοις *ὤρουσε* δεινὸς ὁπλίτης, ὁ Καπέλλιος, πολλοὶ δὲ περὶ τοῦτον ἑταῖροι, *μάχης εὖ εἰδότες πάσης*, καὶ τούτων πρωτοστάτης Μορῖνος ὁ γενναιότατος (γ). Καὶ δὴ καὶ

(α) Hotting. Thes. philolog. p. 402.

(β) Prideaux, Lection. Theolog. XII. in Opuscul. p. 172. πρβλ. Carpzov. Crit. Sacr. p. 256.

(γ) Βλ. τούτων τὴν φάλαγγα παρὰ τῷ Πειπφέρῳ Crit. Sacr. pag. 86. κα παρ' Ὁδίῳ De Bibl. Text. L. 3. p. 566.

ἠρίστευσε πρὸ πάντων ὁ Καπέλλιος οὗτος, *τὴν ἀρίστην γνώμην* εἰπὼν, ἣν καὶ Βάλτων ἔπειτα στεντόρειον ἀνακηρύξας, ὑπὸ τοῦ πολεμίου Καρψοβίου ἐπετιμήθη (α). Λέγει τοίνυν ὁ Καπέλλιος, ὅτι τὰ σημεῖα ταῦτα πρῶτοι πάντων ἐφεῦρον οἱ Μασορῖται περὶ τὸ 500 μ. Χ. (β). Τοῦτο δὲ προεῖπεν, ὡς εἴδομεν, καὶ ὁ ῥαββὶς Ἠλίας, ἀλλ᾽ ὅμως τοῦ προφητικοῦ καὶ θεοῤῥύτου κύρους, ὃ περιέβαλεν ὁ ῥαββὶς τὰς στιγμὰς, ἀπεγύμνωσεν ὁ Καπέλλιος, εἰλικρινὲς *ἀνθρώπων* ἔργον αὐτὰς ἀποδείξας, καὶ τοῦτο, *Μασοριτῶν*, οἵτινες θεραπεύοντες ἐν τῇ ἑβραϊκῇ γραφῇ τὴν ἐν ταῖς πλείσταις λέξεσιν ἔλλειψιν τῶν γραπτῶν φωνηέντων καὶ προσῳδιῶν, ἐπενόησαν ὡς σύμβολα τούτων στιγμάς τινας καὶ γραμμάρια· καὶ ταῦτα τοῖς συμφώνοις ἑκάστης λέξεως συνήθως ὑπογράφοντες (ἔστι δ᾽ ὅπου καὶ ἐγγράφοντες, ἢ καὶ ἐπιγράφοντες, μίαν μόνην στιγμὴν), ἀπήρτιζον τὰς συλλαβὰς, διαρθροῦντες τὴν ἐκφώνησιν τῆς λέξεως (γ). Τὰ δὲ τοιαῦτα σημεῖα, τὸ πρῶτον εὐάριθμα

(α) Walton, Proleg. III. 38.

(β) Ὁ δὲ Βασνάγιος (Hist. des Juif. L. III. c. 9)· καὶ ὁ Καλμέτης (Diction. de la Bibl. v. Massore) καὶ εἰς τὸν θ, ἢ ι, αἰῶνα (840, 940, ἢ καὶ 1030) κατήγαγον τὴν πρώτην εὕρεσιν τῶν σημείων, ὑπερβολῇ χρησάμενοι.

(γ) Ἐν τοῖς προηγηθεῖσι (σελ. 166) ἐμνημονεύσαμεν, ἐκ τῆς τοῦ σοφοῦ Πίννηρος διαγραφῆς, τὸ ἐν τῇ βιβλιοθήκῃ τῆς Ὀδησσείας Ἑταιρείας ἐξαίρετον καὶ μοναπλοῦν μέχρι τῆς σήμερον ἑβραϊκὸν χειρόγραφον τῶν Προφητῶν, καὶ ὅτι τὰ συνήθως ἐν πᾶσι τοῖς ἄλλοις χειρογράφοις καὶ τετυπωμένοις κώδηξιν ὑποκάτω τῶν συμφώνων ὑ π ο γ ρ α φ ό μ ε ν α στίγματα τῶν φωνηέντων, ἐν τούτῳ μόνον ἐ π ι γ ρ ά φ ο ν τ α ι. Ἔστι δ᾽ ὅπου γράφονται καὶ δ ι π λ ῶ ς, ἄνωθι καὶ κάτωθι τῶν στοιχείων (ἔν τισι δὲ στίχοις ὀλίγοις τοῦ Ἡσαΐου καὶ Ζαχαρίου γέγραπται ἡ στίξις ἡ κοινὴ, κάτωθι μόνον, ἔστι δ᾽ ὅπου καὶ λείπει παντελῶς). Ὁ κώδηξ οὗτος χρονογραφεῖται τῷ 916, ἔτει (κατὰ τὴν Ἰουδαϊκὴν δηλονότι χρονολογίαν, ἥτις ὑστερεῖ τῆς σωτηρίου ἐποχῆς 240: ἔτη· προστεθέντων οὖν καὶ τούτων, φαίνεται γεγραμμένος τῷ 1156: μ. Χ.)· καὶ ἔστιν εἷς τῶν ἀρχαιοτάτων. Ἀλλ᾽ οὐδεὶς τῶν ἐκείνης τῆς ἡλικίας, ἢ καὶ ὁπωσοῦν ἀρχαιοτέρων κωδήκων, ἀλλ᾽ οὐδὲ τῶν νεωτέρων οὐδεὶς ἱστόρηται στιγματοφορῶν τὰ φωνήεντα ἐπάνωθεν τῶν στοιχείων. Μόνον (ὅσον ἡμεῖς οἴδαμεν) ὁ Μορῖνος ἐσημείωσεν, ὅτι τὸ παρ᾽ αὐτῷ Σ α μ α ρ ε ι τ α ν ὸ ν ἀπόγραφον εἶχεν ἔ ν τ ι σ ι λ έ ξ ε σ ι, καὶ ἐ π ί τ ι ν ω ν γ ρ α μ μ ά τ ω ν ἐπιγεγραμμένα γραμμάριά τινα νῦν μὲν κείμενα, ἄλλοτε δὲ πάλιν πλαγιώτερον ὀρθούμενα, κ α τ ὰ τ ὰ ς ὀ ξ ε ί α ς τ ῶ ν Ἑ λ λ ή ν ω ν (Morin. An-

ὄντα, προσηύξησαν ἄλλοι πάλιν ῥαββῖνοι κατὰ καιροὺς ἐπελθόντες, μέχρι τοῦ Ἀσηρίδου καὶ Νεφθαλίδου (βλ. ὄπισθ. σελ. 115) περὶ τὸ 1100 μ. Χ., ὁπότε φαίνεται συμπληρωθὲν τὸ παρ' Ἰουδαίοις κρατοῦν σύστημα τῶν στιγματομόρφων φωνηέντων καὶ τῶν ἄλλων προσῳδιῶν. Ἀλλ' ἐπανέστη κατὰ τοῦ Καπελλίου ἀξιόμαχος ἀνήρ, ὁ νεώτερος Βουξτόρφιος, θυμομαχῶν, καὶ πυκνοὺς ἀντιβάλλων ἀντιῤῥήσεων ὀϊστούς, οὓς καὶ νῦν ἔτι οἱ τούτου ὁμόφρονες ἄγανται καὶ τεθήπασι καὶ στεφανοῦσι (α). Ἀντέστη δὲ πάλιν ὁ Καπέλλιος καὶ χερσὶ συμπλακείς, κατέῤῥαξε τὸν ἀντίπαλον (β).

---

tiquit. Eccles. Orient. p. 199). Ἐκ δὲ τῶν λόγων τούτων ὁ Τύξην ὁρμηθείς, ἐξεφράσθη μᾶλλον ἐπιτεταμένως, Σ α μ α ρ ε ι τ α ν ὰ (πληθυντικῶς) εἰπὼν τὰ χ ε ι ρ ό γ ρ α φ α, καὶ ἐπ' αὐτῶν ἐπικείμενα οὐ μόνον γραμμάρια, ἀλλὰ καὶ σ τ ι γ μ ὰ ς (βλ. Tychsen, über das Alter der hebr. Puncte ἐν Eichhorn, Repertorium. etc. 3. Th. p. 123). Ἀλλ' οὔτε πολλὰ Σαμαρειτανῶν τοιαῦτα χειρόγραφα ἔγραψεν ὁ Μορῖνος, οὔτε σ τ ι γ μ ὰ ς ἐπὶ τῶν λέξεων. Πᾶν δὲ μάλιστα τοὐναντίον, ἀ σ τ ί κ τ ο υ ς παντάπασι τοὺς Σαμαρείτας κώδηκας ἐμαρτύρησεν ἀλλαχοῦ (L. 2. Exerc. 14. c. 4. p. 440). Ὥστε τὸ Ὀδήσσειον χειρόγραφον μόνον μέχρι τοῦ νῦν ἐφάνη ἐπεστιγμένον. Καὶ ἐκ τούτου μὲν ἐξελέχεται πάλιν ψηλαφητῶς ἡ γνώμη τῶν θελόντων Ἐσδραΐα καὶ ἀρχέγονα τὰ Μασοραΐα στίγματα (μὴ γὰρ ἡ προφητικὴ παράδοσις ἄστατος ἐπλανᾶτο, νῦν μὲν κάτωθεν, νῦν δ' ἐπάνωθεν τῶν στοιχείων κελεύουσα τοὺς Ἰουδαίους στιγματογραφεῖν; Ἰουδαῖος δὲ πάντως ὑπῆρχεν ὁ τοῦ Ὀδησσείου κώδηκος γραφεύς, ἀπ' ἄλλου πάλιν, ἴσως, ὁμοίου μεταγράψας). Ἐπειδὴ δὲ ὁ Πίννηρ ἐσημείωσεν, ὅτι τὸ κείμενον τούτου τοῦ κώδηκος διαφέρει πολλαχῶς τοῦ κοινοῦ ἑβραϊκοῦ, καὶ πολυπληθεῖς ἔχει καὶ ἐπισημοτάτας παραλλαγάς, εἰς τούτου ἄρα τοῦ ἀνδρὸς τὴν πολυμάθειαν, καὶ ἰδίως εἰς τὸ κλέος τῆς Ὀδησσείας Ἑταιρείας καὶ τὸν σοφὸν αὐτῆς πρόεδρον ἀνήκει καὶ ἡ κατὰ μέρος πρὸς τοὺς Ο, παραβολὴ τοῦ κώδηκος. Ἐλπίζω, ὅτι τοῦτο τὸ καθ' ἡμᾶς χ ρ ύ σ ε ο ν δ έ ρ α ς τ ο ῦ Π ό ν τ ο υ πολὺ μᾶλλον ἐναργέστερον, ἢ τὸ Λαυδιανὸν χειρόγραφον (βλ. κεφ. β. §. ξα), καὶ ἐν ὅτι πλείστοις συμμαρτυρήσει τοῖς Ο. Καὶ τότε δὴ πολὺ λαμπρότερον εἰς αὐτὸ ἐπιπρέψει ἡ τοῦ Πίννηρος κρίσις, «ὅτι παρομοιάζει πρὸς γῆν χρυσῖτιν ψήγματα χρυσοῦ φέρουσαν, καὶ πρὸς θάλασσαν ἐγκρύπτουσαν μεγάλους θησαυρούς». (Pinner l. c. p. 19).

(α) Βλ. Buxtorf. «De Punctor. vocalium origine, antiquitate et auctoritate».—Καὶ Lud. Cappell. «Arcanum punctationis revelatum» (ἐκδοθὲν τῷ 1624 ἐπ' ὀνόματι Th. Erpenij). Καὶ πάλιν τοῦ αὐτοῦ «De punctorum vocalium et accentuum apud Hebraeos vera et germana antiquitate», καὶ «Vindiciae arcani punctationis» ad calcem L. Cappell. Comentar. et not. Crit. in V. Test. pag. 703—979. Amstel. 1689.

(β) Τὰ σημεῖα τῶν φωνηέντων καὶ προσῳδιῶν πιθανώτατα ἐπενόησαν οἱ Ἀσια-

§. ϛ. Τὴν γνώμην τοῦ Καπελλίου κατησπάσθησαν καὶ ἄλλοι παλαιότεροι, καὶ τοῦ καθ᾽ ἡμᾶς αἰῶνος ἐπίσημοι κριτικοί.

« *Τυδείδην δ᾽ οὐκ ἂν γνοίης ποτέροισι μετείη* »,

τὸν σοφώτατον λέγω Φαβρίκυν, ὅστις συνοπτικῶς τὰς ἀντιπάλους ἐκθέμενος γνώμας, συμπεραίνει ταῦτα· « Κρατῶμεν *τὴν παράδοσιν τῶν Ἰουδαίων*, ἐπὶ θεμελίων οὐκ *ἀλαπαδνῶν* ἡδρασμένην. Τῶν φωνητικῶν *σημείων ἡ χρονολογία περιβέβληται σεβασμιωτάτην ἀρχαιότητα*. Θῶμεν, ὅτι *πρῶτοι τούτων εὑρέται γεγόνασιν οἱ Τιβεριαδεῖς Μασορῖται* περὶ τὸν ἕκτον αἰῶνα μ. Χ. διορίζοντες δι᾽ αὐτῶν πῶς ἀναγνωστέον τὸ κείμενον τῶν Γραφῶν. Ἀλλὰ τοῦτον τὸν διορισμὸν ἐποίησαν πάντως σύμφωνον πρὸς τὴν ἀναλογίαν τῆς γλώσσης, ἥτις *ἀείποτε διετηρήθη* παρὰ τοῖς σοφωτέροις τοῦ ἔθνους τῶν Ἰουδαίων » κτλ. Ἐκ δὲ ταύτης τῆς ὑστέρας ὑποθέσεως φαίνεται καὶ ὁ Φαβρίκυς ἀποκλίνων μᾶλλον πρὸς τοὺς πρεσβεύοντας, ὅτι εἰ καὶ νεώτερα καὶ μὴ θεῖα τὰ Μασοραῖα στίγματα καὶ γραμμάρια, ἀλλ᾽ ὅμως ἡ δι᾽ αὐτῶν σημαινομένη προφορὰ καὶ ἀνάγνωσις θεία τις ἐστὶ καὶ ἀναμάρτητος. Καὶ

νοὶ κατὰ μίμησιν τῶν τόνων καὶ προσῳδιῶν τῆς ἑλληνικῆς. Ὁ δὲ κλεινὸς Καπέλλιος, οὐκ οἶδα τί παθὼν, τἀνάπαλιν εἶπεν, ὅτι παρὰ τῶν Ἰουδαίων τὰ σημεῖα τῶν τόνων διῆλθον καὶ εἰς τοὺς Ἕλληνας « Punctorum Hebraicorum primos inventores (Masorethas) excitasse, et veluti manu deduxisse Graecos Grammaticos in spirituum, accentum etc. notulis excogitandis » (De punctor. Hebr. etc. L. II. 16. §. 7, 8). *Ἐν τούτοις τοῖς λόγοις τοῦ Καπελλίου μάτην ζητήσεις τὸν σοφὸν Καπέλλιον· ἐξώλισθεν ὁ ἀνὴρ, ἀνθρώπινα παθὼν, ὡς ἂν εἰ μηδόλως ἀνέγνω πόσους πρὸ τῶν Μασοριτῶν αἰῶνας ἤκμασαν οἱ τὰ σημεῖα τῶν τόνων ἐξευρόντες Ἀλεξανδρινοὶ γραμματικοί. Ἀλλ᾽ οὕτως ἐπισφαλεῖς οἱ θνητῶν λογισμοί! Ἐκ τῶν Ἑλλήνων ἐμιμήθησαν τὰ σημεῖα τῆς προσῳδίας πιθανῶς οἱ Σύροι πρῶτον, ἐκ δὲ τούτων οἱ Ἰουδαῖοι (ὡς Ἰάννης καὶ ἄλλοι βούλονται, καὶ ὁ καθ᾽ ἡμᾶς Λουζάττος ὁ Ἰουδαῖος,* Prolegomeni etc. p. 15), *καὶ οἱ Ἄραβες, καὶ Πέρσαι, καὶ Χαλδαῖοι. Ὁ δὲ Καπέλλιος καὶ τούτους τῶν Ἰουδαίων εἰσάγει μιμητάς. Τοῦτο δ᾽ οὐ παντάπασιν ἀπίθανον ἔδοξε καὶ ἄλλοις διὰ τὴν συγγένειαν ὅλων τούτων τῶν Σημιτικῶν γλωσσῶν· μιᾶς γάρ τινος τὸ πρῶτον τὰ σημεῖα παραλαβούσης, εὐκόλως αὐτὰ παρεδέξαντο καὶ αἱ λοιπαὶ ἀδελφαί. Ὁ δὲ Μορῖνος, καὶ Οὐόσσιος* (De LXX. c. 30), *καὶ Σιμώνιος* (Hist. Crit. V. T. L. I. c. 27) *συμφωνοῦσι μετὰ τῶν λεγόντων ὅτι παρὰ τῶν Ἀράβων οἱ Ἰουδαῖοι ἐδανείσαντο τὰ σημεῖα.*

ταῦτα μὲν οὗτος καὶ ἄλλοι, εἴ τινας ἔσχεν ὁμοφρονοῦντας (α).

§. ζ. Ἡμεῖς δὲ τὰς διαφόρους ἐκθέμενοι γνώμας, εἰς δύω καθολικώτερον αὐτὰς διαιροῦμεν· μίαν μὲν, τὴν θεῖόν τι καὶ θεόπνευστον πρᾶγμα πρεσβεύουσαν ταῦτα τὰ φωνήεντα καὶ προσῳδιακὰ σημεῖα τῆς ἑβραΐδος γραφῆς, τὴν δ' ἑτέραν τοὔμπαλιν ἀκράτως ἀνθρώπινα ταῦτα διαλαλοῦσαν, καὶ ἰουδαίων εὕρεμα, τῶν Μασοριτῶν, καὶ προστιθέμεθα συντόμως καὶ περιληπτικῶς τὰς κυριωτέρας ἑκατέρων τῶν μερῶν ἀντιῤῥήσεις, παρεξετάζοντες πρὸς ἀλλήλας· ἐπισυνάπτομεν δὲ καὶ τὰς περὶ τῆς ἀξίας τῶν σημείων τούτων ὑπολήψεις διαφόρων σοφῶν καὶ κριτικῶν, ὅπως ἂν ἐκ τούτων ἐπαγάγωμεν τὸ προκύψον συμπέρασμα.

§. η. Οἱ μὲν οὖν τῆς τῶν σημείων θεοπνευστίας ἀνένδοτοι προστάται (β) προβάλλονται ἓξ μάλιστα κεφάλαια, τὰ ἑξῆς·

Α) « Πᾶσα (λέγουσι) γλῶσσα φύσει σύγκειται οὐ μόνον ἐκ συμφώνων, ἀλλὰ καὶ ἐκ φωνηέντων, ἅ τινα μάλιστα διαρθροῦσι τὰς φωνὰς (ὅθεν καὶ φωνήεντα προσηγορεύθησαν ἐξαιρέτως), καὶ γίνονται οἷον ζωογόνοι τῶν λέξεων ψυχαί. Καὶ ἡ γλῶσσα τοίνυν τῶν Ἑβραίων εἶχεν ἐξ ἀρχῆς τὰ σημεῖα τῶν φωνηέντων σύστοιχα καὶ σύγχρονα τοῖς συμφώνοις αὐτῆς γράμμασιν ».—[Εἶχε πάντως (ἀπαντῶσιν εὐθὺς πρὸς τοῦτο οἱ ἐναντίοι), εἶχε καὶ ἡ γλῶσσα τῶν Ἑβραίων ἐξ ἀρχῆς τὰ ἑαυτῆς φωνήεντα, ἀλλ' οὐχὶ διὰ σημείων στιζομένων ἔξωθεν ἐκφραζόμενα, αὐτόμορφα δὲ στοιχεῖα, καὶ γράμματα τοῦ κατ' αὐτὴν ἀλφαβήτου, ὁποῖα καὶ τὴν σήμερον ἔχει τὰ, *ἄλεφ*, *ἰὸδ*, *οὐὰβ*, καὶ πολλάκις τὸ ἒ (he), καὶ τὸ *ἄϊν*. Ταῦτα δὲ κακῶς οἱ ὀψέ ποτ' ἐπελθόντες Ἰουδαῖοι γραμματικοὶ ἐξήλειψαν ἐκ τοῦ ἀριθμοῦ τῶν φωνηέντων, σύμφωνα καταστή-

(α) G. Fabricy, Des Titres primitifs etc. vol. 2. p 311. Τοῦτο φρονοῦσι καὶ ἄλλοι σοφοὶ (βλ. Wolf. Biblioth. Hebr. T. 1. p. 10), καὶ οἱ θεολόγοι τῶν Ἑλβετῶν. βλ. τὸ τούτων ψήφισμα παρ' Ὁδίῳ (αὐτόθ.), καὶ παρὰ Kennicot Diss. I. p. 222. — (β) Βλ. Pfeiffer l. c. p. 89. — Carpzov. l. c. p. 242. — Jp. Rosellini, La fionda di David, ossia l'antiq. ed autor. dei punti vocali etc. Bologna. 1823. — Moncrieff, An Essay of the Antiq. and Utility of the Hebrew Vowel Points. Glasgow, 1833.

σαντες πάντα τὰ γράμματα τοῦ ἑβραϊκοῦ ἀλφαβήτου. Ἀλλ᾽ ὅμως ὁ Ἰώσηπος λέγει ῥητῶς, ὅτι τὸ τετραγράμματον Ὄνομα σύγκειται ἐκ *φωνηέντων*· « ταῦτα δὲ ἐστὶ *φωνήεντα* τέσσαρα » (Ἰουδ. Πολ. ς.). Ὁ Ὠριγένης γράφων δι᾽ ἑλληνικῶν γραμμάτων πολλὰς λέξεις καὶ χωρία τῆς ἑβραϊκῆς γραφῆς, ἐκτίθησι τὸ *οὐάβ* διὰ τοῦ ο, ἢ ου, τὸ *ἰὼδ* διὰ τοῦ ι (ἔστι δ᾽ ὅπου καὶ διὰ τὸ ε), τὸ *ἄϊν* διὰ τὸ α, καὶ ε, καὶ τὸ *ἄλεφ* διὰ τοῦ *ἄλφα* (Ἑξαπλ.). Ὅτι δὲ τὸ ἑλληνικὸν *ἄλφα* τὸ αὐτό ἐστι καὶ τὸ φοινικικὸν, ἢ ἑβραϊκὸν *ἄλεφ*, ὡς καὶ τὸ ἰῶτα, τὸ *ἰὼδ*, φανερόν· ἦσαν οὖν ταῦτα φωνήεντα καὶ παρ᾽ Ἑβραίοις, ὡς καὶ παρ᾽ Ἕλλησιν. Ἀλλὰ καὶ Ἱερώνυμος ὡσαύτως καὶ τὸ *ἰὼδ*, καὶ τὸ *οὐὰβ*, φωνήεντα ὀνομάζει (vocales). Καὶ νῦν δὲ πολλάκις τὰ γράμματα ταῦτα ἄκρατα φωνήεντά εἰσιν, ὡς ἐν τοῖς Ἐλωεΐμ (ἄλεφ, λὰμ, ἓ, ἰὼδ, μὲμ), καὶ *Ὀλὰμ* (ἄϊν, λὰμ, κτλ.), καὶ ὅσα τοιαῦτα. Οἱ δὲ μωροὶ γραμματικοὶ καὶ τούτοις προσυπέγραψαν τὰ σημεῖα τῶν ἀνηκόντων φθόγγων. Ὥστε καὶ αὐτὸ τὸ *μεγαλοφωνότατον* α, ἄφωνον κατέστησαν, ὡς μὴ δυνάμενον ἤδη καθ᾽ ἑαυτὸ καὶ χωρὶς τῆς προσφυοῦς στιγμῆς ἐκφωνηθῆναι· ταύτης δὲ ἀπούσης, ἄφωνον ἀείποτε μένει καὶ κωφόν » (α)].

Β) « Ἀλλ᾽ (ἐπαναλαμβάνουσιν οἱ πρῶτοι) ἡ θεία Γραφὴ τελεία καὶ ὁλόκληρός ἐστι, μήτε προσθήκην μήτ᾽ ἀφαίρεσιν ἐπιδεχομένη (Δευτερ. δ, 2: ιβ, 32: Ἡσ. μ. 8), καὶ σαφὴς δὲ προσέτι, καὶ βεβαία, καὶ οὐκ ἀμφίβολος, οὐδ᾽ εἰς ποικίλα νοήματα μεταστρεπτὴ (Παροιμ. η, 8: Ψαλμ. ιη, 8, κτλ.)· ἀλλὰ χωρὶς τῶν φωνηέντων σημείων γραφομένη, ἀμφίβολος ἐν πολλοῖς χωρίοις ἀποβαίνει καὶ ἀβέβαιος περὶ τὰς σημασίας, ὁ δ᾽ ἀναγνώστης μένει χαίνων καὶ μετέωρος. Ὅθεν τὰ σημεῖα ταῦτα, δι᾽ ὧν τὸ βέβαιον καὶ τέλειον καὶ ἀσφαλὲς τοῦ θεοπνεύστου κειμένου συναπαρτίζεται, θεόπνευστα καὶ ταῦτα πάντως εἰσίν. Ἐὰν δ᾽ ἀν-

(α) Βλ. Walton, Proleg. III. §. 49. καὶ §. 39. Φωνήεντα τὰ γράμματα ταῦτα τυγχάνοντα παρὰ τοῖς ἀρχαίοις Ἑβραίοις ἀπέδειξαν καὶ Καπέλλιος, Μορῖνος, I. Οὐόσσιος, Γρότιος, Σκαλίγηρος, Δρούσιος, Κλέρικος, καὶ ἄλλοι τῶν ἐπισήμων. πρβλ. καὶ Jahn, Einleit. §. 95. Οἱ δέ τινες μάτην ἀντιλέγουσι. βλ. Eichhorn, Repertorium. Th. 18. p. 103.

θρώπινον ἔργον ὑποτεθῶσι, καὶ ἀνθρώπινον λοιπὸν ἕξουσι τὸ κῦρος. Τοῦτο δὲ (λέγουσιν) ἄντικρυς καταστρέφει τὴν αὐθεντίαν καὶ τελειότητα τῆς ἑβραΐδος Γραφῆς ». — [Ἀλλὰ τοῦτ' ἐςιν (ἀπαντῶσιν οἱ ἐναντίοι) τὸ παρὰ τὸ *ἐν ἀρχῇ αἰτεῖσθαι* σόφισμα. Τὸ λαμβάνειν ὡς ἀπόδειξιν τῆς ἀρχαιτύπου γραφῆς τῶν προφητικῶν αὐτογράφων τὴν παροῦσαν μορφὴν τοῦ μασορειτείου κώδηκος, τὸ αὐτό ἐστιν, ὡς ἂν εἴ τις καὶ ἐπ' ἄλλων γλωσσῶν ἀποδεικνύοι τὴν πρωτόγονον αὐτῶν γραφὴν ἀπαράλλακτον οὖσαν καὶ τὴν αὐτὴν πρὸς τὴν βεβαίως ἔπειτα μεταποιηθεῖσαν. Καὶ τέλειον καὶ βέβαιον οὐδ' ἀμφιβολογούμενον τὸ κείμενον τῶν Γραφῶν συνέγραψαν οἱ θεόπνευστοι προφῆται, μηδεμίαν ἔχοντες χρείαν σημείων φωνητικῶν, ὡς οὐδ' οἱ θεόπνευστοι Ἀπόστολοι χρείαν εἶχον τόνων καὶ τῶν ἄλλων προσῳδιακῶν σημείων τῆς ἑλληνικῆς γλώσσης πρὸς τὸ τέλειον καὶ βέβαιον τοῦ θείου κειμένου τῆς καινῆς Διαθήκης » (Καὶ νῦν δὲ καθ' ἡμᾶς ἀρχαῖα ταύτης ἀντίγραφα σῴζονται χωρὶς τόνων καὶ προσῳδιῶν γραπτῶν). « Ἡ δὲ γλῶσσα τῶν Ἑβραίων εἶχε μέν τινα φωνήεντα γράμματα (ὡς προείπομεν)· ἄλλων δὲ φωνηέντων γραπτὰ σημεῖα καὶ στιγμὰς οὐδόλως ἐγνώριζεν ἐξ ἀρχῆς, ὡς οὐδ' αἱ λοιπαὶ τῶν Σημιτικῶν λεγομένων γλωσσῶν. Ὡς οὖν εἰς ταύτας, οὕτω καὶ εἰς τὴν ἑβραϊκήν, ἐφ' ὅσον ἐλαλεῖτο, σύγχρονοι καὶ σύμφυτοι μετὰ τῶν συμφώνων ὑπῆρχον ἀνέκαθεν οἱ φθόγγοι τῶν φωνηέντων καὶ *συλλαβικοί*. Τὰ δὲ γραπτὰ σημεῖα τούτων εἰσήχθησαν πολλοὺς αἰῶνας ὕστερον μετὰ τὸν θάνατον αὐτῆς, πρὸς εὐκολωτέραν ἀνάγνωσιν τῶν βιβλίων].

Γ) «Ἀλλ' (ἀντεπεξάγουσι πάλιν οἱ πρῶτοι) ἡ θεία Γραφὴ γέγραπται οὐ μόνον διὰ τοὺς σοφούς, ἀλλὰ καὶ διὰ τοὺς ἰδιώτας· χωρὶς δὲ τῶν σημείων τούτων δυσανάγνωστον ἀπέβαινε τὸ κείμενον τοῖς ἁπλουστέροις, καὶ ἀμφίβολος ἐν πολλοῖς ἡ τῶν λέξεων σημασία. Ὁ δὲ θεὸς εὐανάγνωστον πάντως τὸν γραπτὸν αὐτοῦ λόγον ἐξέθηκε πρὸς τὸν λαὸν αὐτοῦ. « *Καὶ γράψεις* (φησὶν) *ἐπὶ τῶν λίθων πάντα τὸν νόμον τοῦτον σαφῶς σφόδρα* »,

(Δευτερ. κζ. 8). Αὕτη δὲ ἡ τῶν θείων λογίων ἐπὶ τῶν λίθων γραφὴ πῶς ἠδύνατο χωρὶς τῶν φωνηέντων σημείων, ἢ σαφῶς ἐξηγηθῆναι, ἢ ῥαδίως ἀναγνωσθῆναι ὑπὸ τοῦ συμμιγοῦς ὄχλου, ὧν δὴ χάριν καὶ ἐγράφετο; » — [« Ἀλλὰ καὶ ἡ δυσχερὴς ἀνάγνωσις ἀπαντῶσιν οἱ ἐναντίοι) λαμβάνεται ἐκ τῆς σημερινῆς καταστάσεως τῆς ἑβραΐδος φωνῆς· τότε δὲ πάτριον αὐτὴν καὶ ζῶσαν ἐν τοῖς στόμασιν ἔχοντες οἱ Ἑβραῖοι, ὅτι καὶ χωρὶς σημείων εὐχερῶς τὰς προφητικὰς λέξεις ἀνεγίνωσκον, ἀπόδειξις σαφὴς οἱ ἄλλοι τῆς Ἀσίας λαοὶ, οἵτινες, ἢ πάντοτε, ἢ ὡς ἐπὶ τὸ πλεῖστον, τὰς ἰδίας αὐτῶν βίβλους καὶ χωρὶς φωνητικῶν σημείων γράφουσι καὶ ἀναγινώσκουσιν ἀπροσκόπτως »].

Δ) Πάλιν, οἱ πρῶτοι προβάλλουσι τὸ « *ἰῶτα ἓν*, ἢ *μία κεραία* οὐ μὴ παρέλθῃ ἐκ τοῦ νόμου » (α). Ἐν τούτοις λέγουσιν (ἐπαρίστερα χρώμενοι τῷ ῥητῷ), τὸ *κεραία* σημαίνει τὰ τῶν φωνηέντων καὶ προσῳδιῶν σημεῖα, καὶ ἐπὶ Χριστοῦ Σωτῆρος χαρασσόμενα ἐν τῷ κειμένῳ τῆς γραφῆς. Οὐδὲ τὸ *ἄκρον* ἢ τὴν *ἐξοχὴν* τινος γράμματος σημαίνει τὸ κεραία, καθὼς τινες ὑπέλαβον. Καὶ μαρτυρεῖ ὁ διαζευκτικὸς Ἢ (*ἰῶτα* ἓν, ἢ μία *κεραία*), διαστέλλων τὰ γράμματα (ὁποῖον τὸ ἰῶτα), ἀπὸ τῶν κεραιῶν (δηλαδὴ τῶν σημείων τῶν φωνητικῶν). Ὅθεν ὁ Σωτὴρ διακεκριμένως ἐλάλησε περὶ ἀμφοτέρων, καὶ καθὼς τὰ γράμματα, μέχρι καὶ τοῦ σμικροτάτου *ἰῶτα* ἀκέραια καὶ ἄχραντα προεῖπεν εἰς αἰῶνας διαρκέσειν, οὕτω καὶ τὰς *κεραίας*, τὸ ἕτερον μέρος τοῦ κειμένου τῶν θείων λόγων, δηλονότι τὰ *σημεῖα τῶν φωνηέντων*, ἅτινα καὶ ψυχὴ τῆς ἀναγνώσεώς εἰσιν ». — [Ἀλλ' (ἀπαντῶσιν οἱ δεύτεροι) 1) Ἐπὶ Χριστοῦ Σωτῆρος οὐχ ὑπῆρχον ἐν ταῖς Γραφαῖς τὰ μετὰ πολλοὺς αἰῶνας ὑπὸ τῶν Μασοριτῶν ἐξευρημένα σημεῖα τῶν φω-

(α) Ματθ. ε, 28: Λουκ. 15, 17. Ἔστι δὲ τοῦ ῥητοῦ ἡ διάνοια μεταφορική. « διὰ γὰρ τοῦ ἰ ῶ τ α καὶ τῆς κ ε ρ α ί α ς τὸ εὐτελέστατον (τουτέστ. σμικρότατον ἐπίταγμα τοῦ νόμου) ἐδήλωσεν. Ἐν γὰρ ταῖς γραμμαῖς ταῦτά εἰσιν εὐτελέστατα, ὡς εὐχερέστερον τῶν ἄλλων ἐγχαρασσόμενα. Ἔστι δὲ τὸ μὲν ἰ ῶ τ α γραμμὴ ὀρθὴ, ἡ δὲ κ ε ρ α ί α γ ρ α μ μ ὴ π λ α γ ί α ». Εὐθύμ. Ζιγαδην. εἰς Ματθ. ε, 18.

νηέντων, ὡς ἐκ πολλῶν μαρτυριῶν ἀποδειχθήσεται ἐφεξῆς· 2) Λίαν ἄτοπος καὶ τῆς ἑλληνικῆς συνηθείας ἀλλότριος ἀνεπλάσθη καὶ ἡ τοῦ Ἠ σημασία. Μῶν ὁ διαζευτικὸς ἤ, οὐ δύναται διαστέλλειν καὶ ἀνόμοια καὶ ὅμοια, οἷον ὁλόκληρον γράμμα, καὶ ἑνός τινος γράμματος ἄκρον; 3) Οἱ θεῖοι Εὐαγγελισταὶ γράφοντες ἑλληνιστὶ, καὶ λέξεσιν ἐχρῶντο πάντως εἰθισμέναις καὶ γνωσταῖς τοῖς τότε Ἕλλησι καὶ ἑλληνισταῖς (εἰ δέ τις προσέπιπτε λέξις, ἢ λόγος ἑβραϊκὸς, προσετίθουν ἀείποτε *σχεδὸν* καὶ τὴν ἑλληνικὴν ἑρμηνείαν). Ὥσπερ οὖν ἐπὶ τοῦ προκειμένου τὸ ἑβραϊκὸν *ἰὸδ* ἐξέφρασαν ἑλληνικῶς *ἰῶτα*, οὕτω καὶ τὸ *κεραία* ἐξέλαβον οὐχὶ πάντως ἐπὶ τῶν τοῖς Ἕλλησιν ἀγνώστων καὶ ἀνονομάστων ἰουδαϊκῶν *στιγμῶν*, ἀλλ' ἐπὶ τῆς ἑλληνικῆς αὐτοῦ σημασίας. 4) Οὐδαμοῦ παρ' οὐδενὶ τῶν Ἑλλήνων συγγραφέων εὕρηται τὸ *κεραία* ἄλλο τι σημαῖνον ἐπὶ γραφῆς, εἰ μὴ γράμματός τινος τὸ *κέρας*, ἢ τὸ ἄκρον Οὕτως εἶπεν ὁ Πλούταρχος (ἐν Ζητήμ. Πλατων. § πρβλ. καὶ βίον Νουμᾶ §. ιγ) « γραμμάτων σπαραγμοῖς καὶ *κεραίαις* σπεύδοντες γράφουσιν » (ὡς οἱ στενογραφοῦντες). Οὕτω καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς, Δίων ὁ Χρυσόστομος, Φίλων ὁ Ἰουδαῖος, Κλήμης ὁ Ἀλεξανδρεὺς, καὶ εἴ τις ἕτερος ἐχρήσαντο τῇ λέξει· καὶ Ἀριστείδης δὲ ὁ ῥήτωρ « *νόμου κεραίαν* » ὠνόμασε τῶν ἑλληνικῶν *ἐγγράφων* νόμων τὸ ἐλάχιστον μέρος, ἢ γράμματος μόριον. « Κεραία, ἀρχὴ γράμματος » (Ἡσύχ.). « Κεραία, γράμματος ἄκρον » (Γλωσσάρ. παλ.). « Κεραία, γραμμὴ πλαγία » (Εὐθύμ.). « Κεραία λέγεται τὸ ἄκρον, καὶ τὸ ἔσχατον » (Σχολ. Νικάνδ. Ἀλεξιφ. στιχ. 424). Ἐπὶ τῆς αὐτῆς σημασίας ἡρμήνευσαν τὸ κεραία καὶ οἱ Λατῖνοι διὰ τοῦ apex (ἐπὶ γραμμάτων) « apices litterarum » (Quintil. καὶ Gell.). Ὅθεν καὶ Ἱερώνυμος διαστέλλων τὸ ἑβραϊκὸν στοιχεῖον *Ῥὲσχ* (Ῥῶ) ἀπὸ τοῦ ὁμοιομόρφου *Δάλεθ* (δέλτα), « *κεραίᾳ γράμματος μικρᾷ* » διαφέρειν εἶπε τὰ δύω ταῦτα γράμματα (εἰς Ζαχαρ. 12, 10: καὶ Ἀβδ. 4). Οὕτω διαγράφει καὶ τὸ *Βὲθ* καὶ τὸ παρόμοιον *Κὰφ* (εἰς Ψαλμ. ς). Καὶ ἡ Βουλγάτα δὲ τὸ εὐαγγελικὸν τοῦτο κεραία διὰ τοῦ apex

ἡρμήνευσεν, ὅπερ ὁ τῶν ἑβραϊκῶν πάλιν ἐμπειρότατος Ἱερώνυμος ἐξηγῶν, *γράμματος μορφὴν* (figuram literis) ἡρμήνευσεν (εἰς Ματθ. ε). Πρόσθες καὶ τοὺς ῥαββίνους αὐτοὺς, οἵτινες ἐν τῷ Ταλμούδῳ τὴν εὐαγγελικὴν ὑποκλέψαντες ἀντέγραψαν φράσιν, λέγοντες, «μυστήρια εἶναι ἐν ἑκάστῃ *κεραίᾳ τοῦ νόμου*» (λέγουσι δὲ τὴν κεραίαν, kotz, ἄκανθαν) (α). 5) Τελευταῖον. Τὰ Μασορίτεια σημεῖα τῶν φωνηέντων καὶ προσῳδιῶν ἔχουσι μορφὴν οὐ μόνον γραμμαρίων ἀστίκτων, καὶ ἄλλων στιγματοφόρων, ἀλλὰ καὶ στιγμῶν ἁπλῶν· μήπως οὖν οἱ Εὐαγγελισταὶ ὠνόμασαν *κεραίαν* καὶ τὰ *φωνήεντα στίγματα*; καὶ ταῦτα πάλιν ποίαν ἔχοντα μορφήν; καὶ δύω, καὶ τρία συνάμα, καὶ χωρὶς καθ' ἓν, καὶ *κάτωθεν*, καὶ ἔσωθεν, καὶ ἄνωθεν τοῖς γράμμασιν ἐνστιζόμενα· ταῦτα γοῦν εἰσὶ *κεραῖαι*; ὁποῖαι παραδοξολογίαι!].

Ε) Προβάλλουσι, τέλος, οἱ πρῶτοι καὶ μαρτυρίαν τῆς Μασόρας· καὶ Ϛ) ἐπισυνάπτουσι τὴν πάνδημον καὶ ὁμόφωνον ὁμολογίαν τῶν Ἰουδαίων. Περὶ τούτων λέγομεν εὐθύς. Καὶ ταῦτα μὲν καὶ τοιαῦτα τὰ ἐπιχειρήματα τῶν πρεσβευόντων θεόπνευστα τὰ σημεῖα.

§. θ. Οἱ δὲ ταῦτα θέλοντες ἀνθρώπινα καὶ Μασοριτικὰ, προτείνουσιν ἀποδείξεις τὰς ἐφεξῆς (β)· Α) Προβάλλουσι τὴν γραφὴν τῶν Σαμαρειτανῶν, ἥτις οὐδὲν οἶδε τοιοῦτο σημεῖον, μεταχειρίζεται δὲ γραπτὰ φωνήεντα τὰ τρία στοιχεῖα (a, i, u). Ὅτι δὲ καὶ τῶν γραμμάτων ἡ μορφὴ, καὶ τὸ εἶδος τῆς γραφῆς τοῦ

(α) Βλ. Cappel. De punct. Hebr. antiquit. L. 2. c. 14. Ὁ Καπέλλιος ὑπερεκπερισσοῦ προστίθησιν, ὅτι ἴσως καὶ ἐπὶ τοῦ Ἱερωνύμου εἰώθεισαν οἱ Ἰουδαῖοι κοσμεῖν τινα τῶν γραμμάτων, ἔξωθεν προσάπτοντες κεροειδεῖς τινας γραμμὰς, καὶ στεφανίσκους (coronas)· ὡς καὶ νῦν ἤδη γράφουσι περί τινα τῶν στοιχείων τοιαῦτα κοσμήματα· καὶ ταῦτα ἴσως ὁ Ἱερώνυμος ὠνόμασεν apices (βλ. καὶ Walton l. c.). Ἀλλὰ περιττὴν νομίζομεν τὴν τοιαύτην τοῦ apices ἐκδοχήν. Οὔτε πάντα τὰ γράμματα περικοσμοῦσιν οἱ Ἰουδαῖοι διὰ τοιούτων ὡραϊσμῶν, καὶ ὁ Ἱερώνυμος apices ἁπλῶς λέγων, τὰς κεραίας πάντως, ἤτοι τὰς ἐν τῇ μορφῇ τῶν γραμμάτων ἀχωρίστους ἐνούσας ἐξοχὰς ἐννοεῖ.

(β) Cappell. ubi sup. — Morin, Exercit. L. II. c. 3. Exerc. XVI. — Walt. Proleg. III. §. 40—49.

Σαμαρειτανοῦ κειμένου ὑπάρχει τὸ αὐτὸ καὶ τὸ τῆς Μωσαϊκῆς πρὸ τοῦ Ἔσδρα γραφῆς, εἴπομεν ἐν τοῖς προλαβοῦσι (κεφ. β. §. ϛ.). Β) Καὶ αὐτὴ δὲ (λέγουσι) τῶν καθ᾿ ἡμᾶς Ἰουδαίων ἡ ἀπ᾿ ἀρχαίων αἰώνων ἐπικρατοῦσα συνήθεια μαρτυρεῖ τὴν νεότητα τῶν μασοριτικῶν σημείων. Καθ᾿ ὅλας τὰς Συναγωγὰς τὸ πανδήμως ἀναγινωσκόμενον *εἰλητὸν χειρόγραφον* τοῦ Νόμου γράφεται χωρὶς στιγμῶν καὶ προσῳδιῶν, καὶ δίχως τῆς εἰς στίχους διαιρέσεως τοῦ κειμένου· τηρεῖται δὲ ἐν κιβωτῷ κεκαλυμμένον ὑφάσματι σηρικῷ, καὶ χρυσῷ καὶ λίθοις πολυτίμοις ὡραϊσμένον. Τιμῶσι δὲ τοῦτο διαφερόντως οἱ Ἰουδαῖοι, καὶ μετὰ πολλῆς εὐλαβείας ἐξάγουσι πρὸς ἀνάγνωσιν, ὁ δὲ λαὸς ἰδὼν, εὐφημεῖ μετ᾿ ἀλαλαγμῶν· τελεσθείσης δὲ τῆς ἀναγνώσεως, μετὰ τῆς αὐτῆς πομπῆς πάλιν ἀποθησαυρίζουσι τὸ εἰλητὸν ἐν τῷ κιβωτίῳ. Πάντα δὲ ταῦτα ποιοῦσι, διότι θεωροῦσι τὸ χειρόγραφον ὡς ἀντίτυπον τοῦ ἐν τῇ ἁγίᾳ κιβωτῷ τὸ πάλαι τηρουμένου Μωσαϊκοῦ χειρογράφου (βλ. κεφ. β. §. γ.), ὅπερ οὔτε στιγμὰς εἶχε φωνητικὰς, οὔτε διῄρητο κατὰ στίχους, ἢ κεφάλαια, ἢ βιβλία. Μαρτυροῦσι δὲ τοῦτο καὶ τῶν ῥαββίνων οὐκ ὀλίγοι· καὶ τούτων τὰς μαρτυρίας αὐτὸς ὁ Βουξτόρφιος ἀναφέρει. Τὸ δ᾿ αὐτὸ λέγουσι καὶ τῶν ἄλλων Ἰουδαίων οἱ Καραῖοι λεγόμενοι (βλ. σελ. 112), οἵτινες μετὰ τῶν λοιπῶν ῥαββινικῶν παραδόσεων καὶ τὴν στίξιν τῆς γραφῆς ἀπέῤῥιψαν (α). Ὡσαύτως καὶ οἱ Καββαλισταὶ δογματίζουσιν, ὅτι « ὁ δοθεὶς Νόμος ὅλος ἦν γεγραμμένος ὡς στίχος εἷς, καὶ χωρίς τινος εἰς ἐδάφια, ἢ περιόδους, ἢ κεφάλαια, ἢ τμήματα, ἢ βίβλους διαιρέσεως ». —[Πρὸς δὲ ταύτην τὴν ἀπόδειξιν ἀντιλέγουσιν οἱ ἐναντίοι προτείνοντες ἐνστάσεις τὰς ἐφεξῆς (β). Πρῶτον, ὅτι τὸ ῥηθὲν τοῦ Νόμου χειρόγραφον γράφουσιν ἄστικτον οἱ Ἰουδαῖοι, φεύγοντες τὴν πολυδάπανον δυσχέρειαν τῆς μετὰ στιγμῶν ἀντιγραφῆς, καὶ φοβούμενοι, μή τι σφάλμα περὶ τὴν ἀντιγραφὴν τῶν σημείων συμβῇ· ὁ δ᾿ οὖν τὴν δημοσίαν ἀνάγνωσιν

(α) Ἀρνεῖται τοῦτο ὁ Simon. Hist. Crit. V. T. Libr. I. p. 136, 145.

(β) Walton, l. c. πρβλ. καὶ Carpzov. Crit. Sacr. p. 266.

ἐκ τοῦ τοιούτου κώδηκος ποιούμενος, τῇ πρὸ τοῦ Σαββάτου Παρασκευῇ προμελετᾷ τὸ ἀνάγνωσμα ἐν χειρογράφοις ἐστιγμένοις, ὡς θείων δηλονότι κανόνων τῆς ἀναγνώσεως νενομισμένων τῶν στιγμῶν »].— Ἀλλ' (ὑπολαμβάνουσιν εὐθὺς οἱ πρῶτοι) ταῦτα σαφὴς ματαιολογία. Τίς οὐκ ἂν γελάσειεν ἀκούων, ὅτι τοσούτους κώδηκας εἰς χρῆσιν ἰδιαιτέραν ἔχοντες μετὰ στιγμῶν γεγραμμένους οἱ Ἰουδαῖοι, ἔπειτα φείδονται δαπάνης εἰς τὴν μετὰ στίξεως ἀντιγραφὴν τοῦ δημοσίου, καὶ ἁγιωτάτου παρ' αὐτοῖς νενομισμένου κώδηκος; Πῶς δ' ἐν τούτῳ μόνῳ φοβοῦνται τὰ περὶ τὴν στίξιν ἁμαρτήματα, ἐν δὲ τοῖς ἄλλοις οὔ; Εἰ δ' ἐν ἐστιγμένῳ κώδηκι προμελετᾷ τὴν ἀνάγνωσιν ὁ ἀναγνώστης, ὑπὸ τῶν θείων σημείων προεξασφαλιζόμενος, τί μὴ μᾶλλον εἶχε ταῦτα πρὸ ὀφθαλμῶν κανονίζοντα τὴν προφορὰν ἐν αὐτῷ τῷ δημοσίῳ κώδηκι; ἢ μήπως τῇ μὲν Παρασκευῇ ἡμέρᾳ τὰ σημεῖα τιμῶσι, τῷ δὲ Σαββάτῳ παραβλέπουσιν;»—[« Ἀλλ' (ἐπαναλαμβάνουσιν οἱ ἀντιλέγοντες) ἡ χρῆσις τῶν εἰς δημοσίαν ἀνάγνωσιν ἀστίκτων κωδήκων ἐκράτησε παρ' Ἰουδαίοις, ἀφ' ὅτου παρ' αὐτοῖς ἐκορυφώθη ἡ κατάχρησις τῆς Καββάλας, δι' ἧς διαστρεβλοῦσι τὴν Γραφὴν εἰς ποικίλας σημασίας » (α). Ἔπειτα ἐκ τῆς ἀστιξίας τοῦ δημοσίου κώδηκος μόνον τὸ τοῦ Μωσέως αὐτόγραφον ἄστικτον ἀποδείκνυται, οὐχὶ δὲ καὶ τὰ Ἐσδραῖα ἀντίγραφα!].—Ἀλλ' (ἀνταπαντῶσιν οἱ πρῶτοι), ἡ μὲν κακοτεχνία τῶν Καββαλιστῶν ἀρχαῖον ἦν αὐτοῖς ἐπιτήδευμα καὶ πρὸς τῆς ἐκδόσεως τοῦ Ταλμούδου· οἵτινες καὶ τότε καὶ νῦν κατασκευάζουσι τὰς ἑρμηνείας αὐτῶν ἐκ τῶν γραμμάτων μόνον τῆς γραφῆς, οὐδέποτε δὲ ἀπὸ τῶν στιγμῶν. Περὶ δὲ τῶν Ἐσδραίων ἀντιγράφων, ὅτι μὲν οἱ Ἰουδαῖοι παρὰ τοῦ Ἔσδρα προελθόντα δοξάζουσι τὰ σημεῖα, καὶ

(α) « Τὰ ἄστικτα γράμματα ποικίλας καὶ πολυειδεῖς ἐπιδέχονται σημασίας, καὶ εἰς ποικίλους διαιροῦνται σπινθῆρας. Ἑκάστης γὰρ λέξεως ἡ κατὰ γράμμα ἔννοια διορίζεται ἐκ τῆς στίξεως, καὶ τότε μίαν ἐπιδέχεται σημασίαν ἡ λέξις· ἐπὶ δὲ τῆς ἀστίκτου δύναταί τις ἐπινοεῖν καὶ ἐξευρίσκειν πολλὰς σημασίας, καὶ ταύτας θαυμασίας καὶ ἐξαιρέτους» — ὁ ῥαββὶς Bechaj παρὰ Carpzov. Crit Sacr. p. 266.

θεῖά τε ταῦτα πιστεύουσιν εἶναι καὶ μέρος τοῦ κειμένου θεόπνευστον, φανερόν. Ἐπειδὴ δὲ τούτων ἀμελοῦσιν ἐν τῷ τελειοτάτῳ παρ' αὐτοῖς νενομισμένῳ χειρογράφῳ, τί ἄλλο πάλιν ἀποδεικνύουσιν, εἰ μὴ ὅτι οἱ πρὸ τῶν Μασοριτῶν πατέρες αὐτῶν, παρ' ὧν παρέλαβον τὸ ἔθος τοῦ γράφειν ἄστικτον τὸ δημόσιον εἰλητὸν, οὔτε παρὰ τοῦ Μωσέως, οὔτε παρὰ τοῦ Ἔσδρα καταβάντα, οὔτε ὅλως ἐγνώριζον τὰ σημεῖα; Γ) Ἀπόδειξις, ὅτι Μασοριτῶν τὸ ἐφεύρεμα, ἡ σιωπὴ τοῦ Ταλμούδου. Οὔτ' ἐν τῇ Μισχνᾷ οὔτ' ἐν τῇ Γεμάρᾳ (βλ. ὄπισθ. σελ. 105) οὐδεμία γίνεται μνεία σημείων, ἀλλὰ καὶ δείγματα τρανὰ σημειοῦσιν ὅτι οἱ Ταλμουδικοὶ ἠγνόουν τὰς φωνητικὰς στιγμάς. Ὥστε μετὰ τὴν τοῦ Ταλμούδου ἔκδοσιν ἐπενόησαν οἱ Μασορῖται τὰ σημεῖα. Ὁ δὲ Καρψόβιος ἀστεῖός τις φαίνεται ἀντιλέγων, ὅτι τὸ « Ταλμοῦδον ἀπρόσφορος τῆς ἀντιλογίας ἐστὶ κριτὴς, ἅ τε βίβλος ἐξηγητικὴ τῶν ἰουδαϊκῶν ἐθίμων καὶ δικαίων, οὐδόλως ἀσχολουμένη περὶ τὴν τοῦ κώδηκος ἀνάγνωσιν· τοῦτο γὰρ ἂν ἦν τὸ «*ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷν*». Οἱ δ' ἐκ τῆς Ταλμούδου σιωπῆς συμπεραίνοντες τὴν τότε τῶν σημείων ἀνυπαρξίαν παρόμοια ποιοῦσι, καὶ εἴ τις ἐκ τῶν Πανδεκτῶν τοῦ Ἰουστινιανοῦ συμπεραίνοι μηδεμίαν τῇ καθ' ἡμᾶς εἰθισμένῃ παρομοίαν ὑπάρξαι τότε μήτε γραμμάτων, μήτε φωνηέντων, μήτε διαιρέσεων διαστολὴν, διότι περὶ τούτων οὐδὲν ὁ κώδηξ διαλαμβάνει »! (Ταῦτα βλέπων ἀναγνῶστα, πάντως μειδιῶν ἐρεῖς, ὅτι ὁ σοφὸς ἀνὴρ «*εὖ στροβιλοῖ τὴν γλῶσσαν*». Ποία δεῖξις! καὶ ταῦτα ἐκ τῶν Πανδεκτῶν τοῦ Ἰουστινιανοῦ!) (α).

(α) Ἄγγελος ὁ Πολιτανὸς (Miscellan. c. XII) *ἀναφέρει κώδηκα τῶν Ἰουστινιανοῦ Διγέστων, ἢ Πανδεκτῶν ἐν Φλωρεντίᾳ τηρούμενον, αὐτὸ τὸ ἀρχέτυπον (ὡς νομίζεται) μεγάλοις (κεφαλαίοις) στοιχείοις γεγραμμένον, καὶ χωρίς τινος μεταξὺ τῶν λέξεων διαστήματος* (nullisque intervallis dictionum). *Τοῦτόν ἴσως τὸν Ἰουστινιάνειον κώδηκα καὶ σιωπῶν ὁ Καρψόβιος ἐννοεῖ. Ἀλλ' ὅμως ὅτι καὶ μετὰ τὴν εἰθισθεῖσαν ἐν τοῖς χειρογράφοις καὶ διάστιξιν καὶ διαίρεσιν, ἔγραφον οἱ Ἕλληνες ἐνίοτε καὶ κατὰ τὸν ἀρχαῖον τρόπον (αἰδοῖ τῆς ἀαχαιότητος), μαρτυροῦσι πολλαὶ τῶν νεωτέρων ἐπιγραφαὶ ἐν κεφαλαίοις γράμμασιν ἀτόνιστοι, καὶ ὑφ' ἓν, κατὰ τὰς ἀρχαίας, κεχαραγμέναι. Ὅτι δὲ ὅμως καὶ κατὰ τοὺς Ἰουστινιανείους χρόνους, καὶ*

Δ) Ἀποδείκνυται ἡ Μασοριτικὴ τῶν σημείων φυσιογνωμία καὶ ἐξ αὐτῶν τῶν ἐν τῇ Μασόρᾳ σεσημειωμένων *Κερίων* καὶ *Κετιβίων*, ἅπερ ἐξ ἀρχαιοτέρων ὄντα κωδήκων *διάφοροι ἀναγνώσεις*, πάντα περὶ τὰ ςοιχεῖα, ἢ τὰ γράμματα τοῦ ἑβραϊκοῦ κώδηκος περιςρέφονται, οὐδὲν δὲ οὐδαμοῦ οὐδόλως περὶ σημεῖα· καὶ ἄλλας δὲ ἐκ τούτων ἐξάγουσι δείξεις τρανωτάτας οἱ περὶ τὸν Μορῖνον καὶ Καπέλλιον· πρὸς ἃς πάλιν οἱ Βουξτόρφοι καὶ Καρψόβιοι οὐδὲ γοῦν *εὖ στροβιλοῦσι τὴν γλῶσσαν*, μάταια δέ τινα καὶ μηδὲ λόγου ἄξια ἀντιλέγουσι. Ε) Ἀπόδειξις, αὐτὰ τὰ τῶν σημείων ὀνόματα, χαλδαϊκὰ τὰ πλεῖςα, καὶ Μασοραίας ἀποστάζοντα κα-

---

πολὺ πρότερον ἐγράφοντο τὰ χειρόγραφα κατὰ στίχους διῃρημένα, ὑπάρχει πρᾶγμα βέβαιον (βλ. Morin. L. II. Exercit. XX. c. IV. πρβλ. καὶ ὄπισθ. σελ. 135). Καὶ τὴν τῶν λέξεων *διάστιξιν* ἐγνώριζε καὶ Ἀριστοτέλης (Ῥητορικ. γ. 5), καίτοι καὶ τότε ἄλλων πάλιν χειρογράφων περιφερομένων ἀδιαστίκτων (ὡς τὰ τοῦ Δημοκρίτου κτλ.). Ὁ δ' ἐπ' Ἀδριανοῦ (120 μ. Χ.) γραμματικὸς Νικάνωρ ἐπωνομάσθη καὶ *Στιγματίας*, ὡς συγγράψας *περὶ ςιγμῆς καθόλου*, καὶ *περὶ στιγμῆς παρ' Ὁμήρῳ* καὶ *Καλλιμάχῳ* (Σουΐδ.). Οὐδὲ παρὰ τῷ Κικέρωνι καὶ τοῖς ἀρχαίοις λατίνοις ὑπῆρχεν ἄχρηςος ἡ διάστιξις· βλέπε τούτων παραδείματα παρὰ τῷ πολὺ τοῦ Καρψοβίου προσεκτικώτερον θεωρήσαντι τὰ τοιαῦτα σοφῷ Κλερίκῳ (J. Clerici, Ars Crit· P. III. §. I. c. 10). Καὶ ἄλλα δὲ σημεῖα ἐγνώριζον οἱ ἀρχαῖοι· οἷον τὸν *παράγραφον* (ὃν Ἰσοκράτης ὀνομάζει *παραγραφὴν*), καὶ τὴν *κορωνίδα* κτλ. Καὶ τόνους δὲ καὶ τ' ἄλλα σημεῖα τῆς προσῳδίας μετὰ τὴν ὑπὸ τοῦ Ἀριστοφάνους (τῷ 200 π. Χ.) εὕρεσιν αὐτῶν, εἰ καὶ μὴ πάντες μηδ' ἐν πᾶσι τοῖς χειρογράφοις, ἔγραφον ὅμως οἱ παλαιοὶ Ἕλληνες, ὡς μαρτυρεῖ καὶ ἡ ἐν Ἡρακλείῳ εὑρεθεῖσα ἐπὶ τοίχου παλαιὰ ἐπιγραφή. Καὶ λατινικαὶ ἐπιγραφαὶ εὑρέθησαν εἰς μάρμαρα μετὰ τόνων ἐπὶ Ὀκταβίου Καίσαρος Αὐγούστου γεγραμμέναι (βλ. Cenotaphia Pisana, pag. 488). Καὶ ὁ Κυντιλιανὸς, ἐκ δὲ τῶν Ἑλλήνων ὁ Πλούταρχος, καὶ Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς (τῷ 201 μ. Χ.), καὶ ἄλλοι μνημονεύουσι τοὺς ἑλληνικοὺς τόνους, τοὺς γραπτούς. Καὶ τῆς θείας δὲ Γραφῆς ἀρχαῖοι κώδηκες ἐγράφοντο μὲν ἀτόνιστοι (ὡς καὶ τὸ σῳζόμενον Ἀλεξανδρινὸν ἀπόγραφον τῶν Ο), ἐγράφοντο δὲ καὶ *κατὰ προσῳδίαν ἐστιγμένοι*, ὡς ὁ ἱερὸς Ἐπιφάνιος (τῷ 380—400 μ. Χ.) λέγει ῥητῶς, καταγράφων καὶ τὰ σημεῖα τῆς προσῳδίας (περὶ Μέτρ. καὶ σταθμ. §. κα). Καὶ ὁ Σύγκελλος μνημονεύει ἀρχαῖον τῆς Γραφῆς ἀντίγραφον « λίαν ἠκριβωμένον, *κατά τε στιγμὴν καὶ προσῳδίαν*-, ἀντιγεγραμμένον ἐξ ὧν ὁ μέγας καὶ θεῖος Βασίλειος διώρθωσε βιβλίων » (Συγκέλ. Χρονογραφ. σελ. 382. ἐκδ. Bon.). Βλ. καὶ τὸ περὶ γνησίας προφορᾶς τῆς Ἑλληνικ. γλώσσης ἡμέτερον πόνημα, σελ. 462, καὶ 624 κτλ. ἐκδ. ἐν Πετρουπόλει, 1830.

κομουσίας· ἀλλὰ καὶ ὁ πολὺς αὐτῶν ἀριθμὸς, καὶ ἡ χρῆσις καὶ διάταξις, καὶ τῶν τόνων δὲ ἰδίως τὸ πλῆθος (οὕς τινες κατὰ βαθμοὺς εἰς *βασιλεῖς, καὶ δοῦκας, καὶ κόμητας, καὶ δυνάστας, καὶ τοπάρχας*, *καὶ ὑπουργοὺς* διαιροῦσι) κινεῖ ἕκαστον εἰς θαυμασμὸν, πῶς ὑπέμειναν ἄνδρες σοφοὶ τοῖς τοιούτοις λήροις θεῖον, ἢ καὶ ὅλως ἀρχαῖον κῦρος περιάπτειν (α). Ϛ) Ἀπόδειξις, αἱ παλαιαὶ τῆς ἑβραϊκῆς γραφῆς ἑρμηνεῖαι, ἥ τε τῶν Ο καὶ ἡ τῶν λοιπῶν καὶ ἡ Χαλδαϊκὴ καὶ Συριακὴ κτλ. ἐν αἷς τρανώτατα δείγματα μαρτυροῦσιν, ὅτι οἱ κώδηκες, ἐξ ὧν ἡρμήνευσαν οἱ μεταφρασταὶ, οὐκ ἦσαν ἐστιγμένοι. Οὕτω, φέρ' εἰπεῖν, ἐν Ἡσαΐ. θ, 6, ἀντὶ τοῦ *μισρὰ*, τουτ. *ἀρχὴ* (ὡς ἀνέγνωσαν οἱ Ο καὶ τὸ νῦν ἑβραϊκὸν), ὁ Ἀκύλας ἀναγνοὺς *μεσουρὰ*, μετέφρασε *μέτρον*. Εἰ δ' ὑπῆρχον τὰ σημεῖα τῶν φωνηέντων ὑπογεγραμμένα τοῖς συμφώνοις, οὐκ ἂν εἰς τοσοῦτον ἐπλανᾶτο· καὶ ἄλλα τοιαῦτα παραδείγματα φέρουσι πολλά. Πρὸς τοῦτο δ' ἀπαντῶντες οἱ ἐναντίοι, αἰτίαν τῆς μὴ στίξεως τῶν κωδήκων ἐκείνων προβάλλουσι τὸ τότε σπάνιον καὶ πολυδάπανον τῶν ἐστιγμένων ἀντιγράφων! (τουτέστιν, οἱ τοῖς Ἰουδαίοις δουλεύοντες Ἀκύλας, καὶ οἱ μετ' αὐτὸν, καταλιμπάνοντες τοὺς ἐστιγμένους, εἴ περ ἦσαν τότε, κώδηκας, προέκριναν τοὺς ἀστίκτους πενίας χάριν! καὶ πάλιν πενίας χάριν καὶ ἀπορίας καὶ οἱ Ἰουδαῖοι ἠγάπων τὴν ἐξ ἀστίκτων ἀντιγράφων γενομένην τοῦ Ἀκύλα ἑρμηνείαν, εὐφημοῦντες «*ὡς πάντων μάλιστα ἐπιτετευγμένην*!). Περὶ δὲ τῶν Ο, καὶ ἰδίως ἐλευθεροστομοῦσιν οἱ ἄνδρες· « Ὅτι δῆθεν οὗτοι ἐξεπίτηδες ἐχρήσαντο διεφθαρμένοις ἀντιγράφοις» (οἷα δηλονότι εἶχον ὁ Ἀρχιερεὺς καὶ τὸ μέγα Συνέδριον τῶν Ἱεροσολύμων!!), «ὡς ἄκοντες μεταφράζοντες, Πτολεμαίου προστάξαντος· διὸ καὶ τὴν ἑρμηνείαν ψευδῆ καὶ διεφθαρμένην ἀπέδωκαν» (ἀπατήσαντες δηλαδὴ νηποινὶ καὶ ἀνεξελέγκτως αὐτόν τε τὸν σοφὸν καὶ φιλοδωρότατον καὶ πολλῶν μυριάδων Ἰουδαίων κυρίαρχον βασιλέα, καὶ τοσούτους ἐν Αἰγύπτῳ

(α) Walton, Proleg. III. §. 45.

καὶ κατ᾽ αὐτὴν τὴν Παλαιστίνην ἑλληνιστὰς καὶ νομομαθεῖς Ἰουδαίους!) «Ἔπειτα δὲ καὶ τὴν μετὰ σημείων ἀνάγνωσιν τῶν γραφῶν μέρος οὖσαν ἰδίως τοῦ τῷ Μωϋσῇ ἐπὶ Σινὰ παραδοθέντος στοματικοῦ νόμου» (κατὰ τὴν ῥαββίνων δηλαδὴ δογματοποιΐαν), «ἀθέμιτον ἐνόμισαν παραδοῦναι τοῖς ἐθνικοῖς» (τί δ᾽ οὐχὶ καὶ τοῖς ὁμογενέσιν ἑλληνισταῖς Ἰουδαίοις, παρ᾽ οἷς διὰ τοσούτων αἰώνων κεκράτηκεν ἡ ἑρμηνεία, ὡς θεία καὶ παναλήθης;). Ἀπορεῖς πάντως ἀναγνῶστα πρὸς τοσούτους ὀνείρους σοφῶν κριτικῶν, βασκανθέντων ὑπὸ ῥαββίνων, καὶ οὐδ᾽ ἀνατροπὴν τῶν λογαρίων ὑπομένεις. Ἀλλ᾽ ὁ σοφὸς Καρψόβιος καὶ πολὺ γενναιότερα προσπεφιλοτίμηται, προσθεὶς, ὅτι «ἡ ἑλληνὶς τῶν Ο μετάφρασις οὐκ ἀπ᾽ αὐτοῦ τοῦ ἑβραϊκοῦ, ἀλλ᾽ ἢ ἐκ τοῦ Σαμαρειτανοῦ κώδηκος, ἢ ἀπό τινων χαλδαϊκῶν παραφράσεων φαίνεται συντεθειμένη. Ἔπειτα καὶ ἄλλως ἡ παλαιὰ (φησὶ) καὶ γνησία τῶν Ο ἑρμηνεία οὐ περιῆλθε καὶ εἰς ἡμᾶς ἀκέραιος, ὡς ὑπὸ σοφῶν ἀνδρῶν ἤδη ἀποδέδεικται (!), συμμαρτυρούντων καὶ τῶν διαφόρων αὐτῆς κωδήκων, ἐν οἷς *ἀναρίθμητοι* σχεδὸν παρατηροῦνται διαφωνίαι τοῦ κειμένου. Ὥστε ἐκ *νενοθευμένης, καὶ διεφθαρμένης, καὶ παντάπασιν ἀγνώστου καὶ ἀμφιβόλου μεταφράσεως* οὐδὲν ἂν συμπεραίνοιτο ὑγιὲς κατὰ τοῦ ἑβραϊκοῦ πρωτοτύπου, καὶ τῆς κυριότητος τῶν κατ᾽ αὐτὸ στιγμῶν». Ταῦτα κατὰ τῶν Ο, ὁ Καρψόβιος (σελ. 271, 272). Οὐδ᾽ ἠδύνατο δικαιότερα περὶ τούτων φρονῆσαι, βεβακχευμένος ὢν ἤδη καὶ κατακώχιμος ὑπὸ τῆς θεοπνευστίας τῶν Μασοριτικῶν στιγμάτων! Ἀλλ᾽ ὅμως προχωρῶν ἐν τοῖς ἑξῆς, καὶ τοῦ θειασμοῦ λωφήσαντος καὶ ψυγέντος, ἔκρινε πικρὰ μὲν κἀκεῖ, οὐδ᾽ ἀληθῆ τὰ πλείω, ἀλλὰ γοῦν ὁπωσδήποτε σωφρονέστερα, «*ἀφρῷ ζεούσης ὕβρεως λελησμένος*» (α)· ἀλλ᾽ ἐπὶ τὸ προκείμενον. — Ζ) Ἀπόδειξις τῆς Μασο-

(α) «Codex (ex quo versionem suam transcripserunt οἱ Ο) erat Hebraeus, non Chaldaeus, nec Samaritanus, verum non punctatus, neque tamen is lacerus. Neque vero eapropter, quod haec versio suis laborat naevis, alia plane et diversa censenda est, à prima illa LXX virali, quae sub Ptolemaeo Philadelpho fuit concinnata» etc. Ταῦτα πραγματεύεται διὰ

ριτικῆς τῶν σημείων γενέθλης λαμβάνεται ἐκ τῶν Ἰωσήπου καὶ τοῦ Φίλωνος, καὶ ἐξ αὐτοῦ δὲ τοῦ Ὠριγένους καὶ τοῦ Ἱερωνύμου. Ὁ Ἰουδαῖος Ἰώσηπος (ἵνα μηδὲν εἴπωμεν περὶ τοῦ Φίλωνος) ἀναγινώσκει καὶ ἄλλα, καὶ τὰ κύρια ὀνόματα, κατὰ τοὺς Ο· εἰ δ' ἦσαν ἐπ' αὐτοῦ τετονισμένα διὰ στιγμῶν ἐν ᾧ καθ' ἡμέραν ἀνεγίνωσκεν ἑβραϊκῷ κώδηκι, πάντως ἂν ἐξέφερε ταῦτα καθ' ἣν ἡ τῶν σημερινῶν κωδήκων στίξις διορίζει πάντῃ διάφορον ἐκφώνησιν. Ἀλλ' οὐδ' Ὠριγένης, ὁ συντάξας τὰ Ἑξαπλᾶ, καὶ πολλὰς τῶν Ἰουδαίων παραδόσεις ἐκθέμενος (περὶ Ἀρχῶν δ.), οὐδαμοῦ στιγμῶν καὶ σημείων ἐπεμνήσθη. Οὐδ' αὐτὸς ὁ Ἱερώνυμος εἶδεν, ἢ ἀνέγνω χειρόγραφον τῆς ἑβραΐδος γραφῆς ἐστιγμένον, ὡς ἀποδείκνυται ἐν οἷς πολλαχοῦ διαγράφει ἐκ ποίων στοιχείων σύγκειται αὕτη, ἢ ἐκείνη ἡ λέξις ἡ ἑβραϊκὴ, καὶ πῶς ἐκφωνεῖται (α). διὰ τί δὲ καὶ με-

---

μακρῶν (Crit. Sacr. p. 501 sqq), ἀντιφάσκων ἑαυτῷ, καὶ ἀντιγράφων ἐν πολλοῖς τὸν φίλον Ὅδιον.

(α) Οἷον· «Apud Hebraeos locusta et fumarium iisdem scribitur litteris Aleph, Res, Beth, He, quod si legatur A r b e locusta dicitur, si O r o b b e fumarium» (Comment in Osee c. 13, 3). Τοιαῦτα καὶ ἀλλαχοῦ (Ἠσ. θ, 11, κτλ.), τὰ γράμματα μόνον ζωγραφῶν, στιγμῶν δὲ καὶ προσῳδιῶν ἐν τούτοις οὐδεὶς λόγος, οὐδὲ γρύ. Ἄλλοτε δὲ πάλιν καὶ ἁπλῶς τὸν φθόγγον τῆς λέξεως γράφει κατὰ τὴν τότε τῶν Ἰουδαίων προφορὰν, οἷον «Verbum Hebraicum quod tribus literis scribitur DBR (vocales enim in medio non habent, sed pro consequentia et legentis arbitrio legunt) si legatur D a b a r sermonem significat, si D e b e r, mortem, si D a b e r, loquere» (Comment. in Hierem. 9, 22). Ὁ δὲ Καρψόβιος (σελ. 272), καί τοι μηδὲν περὶ στιγμῶν εἰδότα τὸν Ἱερώνυμον, ἐστιγμένῳ κώδηκι χρησάμενον εἰσάγει· διότι λεγει (Epist. ad Cyprian.) «In Hebraeo legitur A l u m e n u, non O l a m e n u (ὡς ἀνέγνωσαν οἱ Ο). Ἀλλὰ καὶ τοῦτο τί ἄλλο δηλοῖ, εἰ μὴ τὴν αὐτὴν ἐκδοχὴν τῶν προειρημένων; ὡς ἂν καὶ εἴ τις λέγοι καὶ περὶ φωνῶν λατινικῶν, ὅτι τοῦτο (φέρ' εἰπεῖν) γράφεται Alium, non Oleum, καὶ Amnis non Omnes, πάντως οὐ συνεννοεῖ καὶ προσῳδίας γεγραμμένας ἐπὶ τῶν λέξεων. Κἂν δὲ γράφῃ καὶ ἑλληνικῶν τρία σύμφωνα, οἷον ΛΧΣ, καὶ λέγῃ, τοῦτο ἐὰν ἀναγνωσθῇ λέχος σημαίνει στρωμνὴν, ἐὰν δὲ λάχος, κλῆρον, ἐὰν δὲ λόχος, τάγμα κτλ· τί ἄλλο παρὰ τὸν φθόγγον μόνον ἐκφράζει τῶν συλλαβῶν κατὰ τὴν φυσικὴν τῆς λέξεως προφορὰν, μηδόλως ἐνθυμούμενος εἴ τις ὀξεῖα, ἢ περισπωμένη ἐπιγέγραπται; Πολλὰ (λέγει) ἐκ τοῦ Ἱερωνύμου παραδείγματα ἐξήγαγεν ὁ Βουξτόρφιος (μαρτυροῦντα δῆθεν ὅτι ἐγνώριζεν ὁ πατὴρ τὰς στιγμάς). Πολλὰ πάντως (ἀπαντῶμεν) διέστρεψεν ὁ σοφὸς

ταγράφων τὰς λέξεις, οὐ προσετίθει καὶ τὰς στιγμάς; ἢ τὰ γοῦν ὀνόματα αὐτῶν; εἰ δὲ παρῆσαν τὰ φωνητικὰ στίγματα γραπτὰ, πρὸς τί λοιπὸν ὁ πατὴρ ἐζωγράφει τὸν φθόγγον τῶν φωνηέντων, διαστέλλων τὰς σημασίας; — Ἀλλ᾽ ἐνίστανται λέγοντες, ὅτι ὁ Ἱερώνυμος οὐ μόνον *κεραίας* (apices), ἀλλὰ καὶ τόνους καὶ *προσῳδίας* (accentus) ἐπὶ τῶν ἑβραϊκῶν ὀνομάζει (α). — Ἀλλὰ περὶ μὲν τῶν κεραιῶν εἴπομεν· *τόνους* δὲ καὶ *προσῳδίας* οὐ μόνον τὰ γραπτὰ, ἀλλὰ καὶ πρώτιστα καὶ μάλιστα τὸν ἄγραφον ἦχον, ἢ φθόγγον αὐτῶν, ὀνομάζουσι καὶ Λατῖνοι καὶ Ἕλληνες. Αὐτίκα ὁ Ἀριστοτέλης (ἐφ᾽ οὗ τὰ γραπτὰ σημεῖα τῆς προσῳδίας οὔπω ἦσαν εὑρημένα) προσῳδίαν ὀνομάζει τὴν ἐπὶ μιᾶς τινος συλλαβῆς τῶν προφερομένων λέξεων καθήκουσαν *τάσιν τῆς φωνῆς*, ἢ τὸν προφορικὸν *τόνον*· «Παρὰ δὲ τὴν προσῳδίαν (φησὶν) ἐν μὲν τοῖς ἄνευ γραφῆς *διαλεκτικοῖς*» (τουτ. τοῖς ἀγράφοις κἂν τῇ διαλέκτῳ μόνον ἐκφωνουμένοις ῥήμασιν), «οὐ ῥᾴδιον ποιῆσαι λόγον» κτλ. (Σοφιστ. ἐλέγχ. α). Παρομοίως καὶ οἱ Λατῖνοι μετεχειρίζοντο καὶ τὸ τῆς προσῳδίας ἀντίστοιχον accentus (Κικέρων, Κυντιλιανὸς, κτλ.), καὶ τὸ tenor (ἀρχαίως tonor, λακωνικῶς *τόνορ*, ὁ τόνος). Οὕτω τοίνυν καὶ ὁ Ἱερώνυμος προσῳδίαν εἶπεν ἐπὶ τῶν ἑβραϊκῶν τὴν *ἀπήχησιν*, ἢ *τάσιν*, ἤτοι τὸν τόνον τῆς φωνῆς, ὅστις διαφέρει μακρῷ τῆς ἐγγράφου στίξεως *τῶν φωνηέντων* καὶ *προσῳδιῶν*. Ὡσαύτως καὶ τὸν *τόνον* ὥριζον οἱ Ἕλληνες *ἀπήχησιν φωνῆς* (Διονύσιος ὁ Θρᾷξ). — Ἀλλὰ (λέγουσιν) ὁ Ἱερώνυμος εἶπεν, ὅτι «καὶ ἡ Σαμαριτανὴ Πεντάτευχος γέγραπται τοσούτοις γράμμασιν, ὅσοις καὶ τὸ ἑβραϊκὸν, μόνον δὲ μορφαῖς καὶ κεραίαις (apicibus) διαφέρουσι» — (β). Ἀλλ᾽ ὅ,τι μὲν καὶ ὧδε τὸ κεραία σημαίνει, δῆλον ἐκ τῶν προειρημένων. Αὐτὴ δὲ ἡ μαρτυρία δείκνυσι πᾶν τοὐναντίον, ἢ θέλου-

---

ἐκεῖνος ἀνήρ· ἐξέφρασαν δὲ ταῦτα γνησίως ὁ Καπέλλιος καὶ ὁ Μορῖνος (Lib. I. Exercit. VI. c. 2, καὶ L. II. Exercit. XVI. c. 2. πρβλ. Walt. Prol. III. §.47).

(α) «Eadem verba diversis sonis atque accentibus proferantur». S. Hieronym. Epist. ad Evagr.

(β) Hier. praef. in Libr. Regum.

σιν οἱ προβαλόντες. Εἴπερ γὰρ τὸ Σαμαρειτανὸν διαφέρει τοῦ ἑβραϊκοῦ μόνον κατὰ τὰς μορφὰς καὶ κεραίας τῶν γραμμάτων (ἔχουσι γὰρ τὰ γράμματα τῶν Σαμαρειτανῶν πλείονας τῶν ἁπλουστέρων ἑβραϊκῶν ἐξοχὰς καὶ ἀποφύσεις, ἢ ὁλκοὺς καὶ σύρματα γραμμῶν, ὡς πάρεστιν ἰδεῖν ἐν τῷ κατ᾽ αὐτοὺς ἀλφαβήτῳ), τὸ δὲ Σαμαρειτανὸν οὐδέποτ᾽ ἔγνω φωνητικὰς καὶ *προσῳδιακὰς στιγμὰς*, ἄρα καὶ τὸ ἑβραϊκὸν κείμενον γυμνὸν τούτων ἔβλεπε καὶ ἀνεγίνωσκεν ὁ Ἱερώνυμος· εἰ δὲ μή, πάντως ἂν ἔλεγεν, ὅτι τὸ Σαμαρειτανὸν διαφέρει τοῦ ἑβραϊκοῦ καὶ κατὰ τὰς *στιγμάς*, ὧν ἀπεστέρηται. Καὶ μήπως μόνος ὁ Ἱερώνυμος, καὶ μόνος Ὠριγένης; τί δ᾽ οὐχὶ καὶ ὁ τὴν πατρίδα Σαμαρείτης Ἰουστῖνος, ὁ μάρτυς καὶ φιλόσοφος, καὶ Εὐσέβιος (οὐκ ἄπειρος τῆς ἑβραϊκῆς), καὶ ὁ θεῖος Ἐπιφάνιος (Παλαιστινὸς καὶ οὗτος, καὶ ἐξ Ἰουδαίων, καὶ μελετητὴς τῆς ἑβραΐδος γραφῆς), καὶ ὁ Σύρος Θεοδώρητος, καὶ Χρυσόστομος, καὶ ἄλλοι τῶν ἀρχαίων Πατέρων, καὶ αὐτὸς δὲ Προκόπιος ὁ Γαζαῖος, ἴδμων τῆς ἑβραϊκῆς (τῷ 520 μ. Χ.), οὐχὶ πάντες ἠγνόουν τὰς φωνητικὰς στιγμάς, ὡς μηδέποτε τούτων ἐπιμνησθέντες ὁσάκις ἐμνημόνευσαν λέξεων ἑβραϊκῶν; Ἀλλ᾽ εὔκολος καὶ συνήθης παρὰ τοῖς ἀντιλέγουσιν ἡ ἀπόκρισις· «*Οἱ Πατέρες ἠγνόουν τὰ ἑβραϊκά*»! Καὶ θαυμαστὸν μὲν οὐδέν, εἴ γε τοὺς Πατέρας τῆς Ἐκκλησίας *ἀπαξάπαντας* ἀδαεῖς τῆς ἑβραΐδος ἀποκαλοῦσιν, οἵτινες καὶ αὐτοὺς τοὺς Ἰουδαίους, τὸν Φίλωνα, καὶ τὸν Ἰώσηπον αὐτόν, ἀνεκήρυξαν ἀμαθεστάτους τῆς πατρῴας αὐτῶν φωνῆς. Ἀλλ᾽ ἐκεῖνο φαίνεται παραδοξότερον· ἆρά γε οἱ κατὰ τὴν Ἀσίαν καὶ ἀλλαχοῦ τοῖς Ἰουδαίοις συνοικοῦντες οὗτοι Πατέρες, οὔτ᾽ ἐξ αὐτοψίας, οὔτε γοῦν ἐξ ἀκοῆς εἶχον πώποτε μαθόντες τὴν πολύστικτον τῶν Ἰουδαίων γραφήν; Ὀλίγοι δὲ καὶ τῶν καθ᾽ ἡμᾶς, καί τοι παντάπασιν ἀμαθεῖς τῆς ἑβραϊκῆς, οἴδασιν ὅμως ἐξ ἀκοῆς, ὅτι στίζουσιν οἱ Ἰουδαῖοι τὰ γράμματα τῆς γλώσσης αὐτῶν, καθὰ καὶ Ἄραβες, καὶ ἄλλοι τῶν Ἀσιανῶν λαῶν;

Η) Ἀπόδειξις τοῦ Μασοριτισμοῦ τῶν σημείων ὅλαι αἱ λοιπαὶ Σημιτικαὶ καὶ τῆς ἑβραΐδος συγγενεῖς διάλεκτοι, Συριακή, Χαλ-

δαϊκή, Σαμαρεῖτις, Ἀραβική, Αἰθιοπική, Περσική· οὐδὲν οὐδ᾽ αὗται σημεῖον τόνου γραπτὸν ἐγνώριζον ἐξ ἀρχῆς, πολλοῖς δὲ χρόνοις μετὰ Χριστὸν εἰσήχθη ἡ στίξις εἰς αὐτάς. Ἄστικτα δὲ παρέλαβε τὰ *φοινίκεια* γράμματα καὶ ἡ ἑλληνὶς (ὡς προείπομεν). — Ἀλλ᾽ (ἐνίσταται ὁ Καρψόβιος) «τοῦτ᾽ ἂν εἴη *ἔλεγχος ὁμοίων ἐξ ἀνομοίων*. Οὔτε τὰ ἰδιώματα, ἢ οἱ χαρακτῆρες, οὔτε τὰ συγγράμματα τούτων τῶν Ἀσιανῶν γλωσσῶν ταὐτίζονται πρὸς τὰς ἱερὰς Γραφὰς τῆς ἑβραϊκῆς, ἐν οἷς ἓν καὶ μόνον κόμμα παραναγνωσθὲν, πλείονα φέρει ζημίαν, ἢ βεβήλων συγγραφῶν ὁλόκληροι βιβλιοθῆκαι ἀφανισθεῖσαι» (ὡς ἂν εἴπερ ὑπῆρχε κυρίως ὁ λόγος περὶ τῆς ὑποθέσεως καὶ τῆς ἀξίας τῶν συγγραφῶν, ἀλλὰ μὴ ἁπλῶς περὶ τοῦ εἴδους καὶ τοῦ τρόπου τῆς γραφῆς!) «Πρόσθες (λέγει) καὶ τὸν ἰδιότροπον χαρακτῆρα τῆς ἑβραϊκῆς, ἥτις, χωρὶς τῶν στιγμῶν, θαυμαστὸν ὅσον ἀποκλίνει πρὸς ἀμφιβόλους καὶ διφορουμένας σημασίας τῶν φωνῶν» (περὶ τούτου καὶ τῶν Ἀσιανῶν γλωσσῶν λέγομεν ἐν τοῖς ἑξῆς).—Θ) Οὐ μόνον οἱ Καββαλισταὶ, καὶ αὐτοὶ οἱ γνήσιοι Ῥαββάνων παῖδες, οἱ Ταλμουδικοὶ, ἠγνόουν τὰ σημεῖα (καθὰ προείπομεν), ἀλλὰ καὶ Ἀβενέσδρας, καὶ ἄλλοι μεταγενέστεροι Ῥαββεῖς συμφώνως μετὰ τοῦ Λευΐτου Ἠλία ὁμολογοῦσιν, ὅτι παρὰ τῶν Μασοριτῶν παρέλαβον τὴν στίξιν τῶν Γραφῶν (α).

§. ι. Ἐκ τούτων ἁπάντων ἀποδείκνυται σαφῶς, ὅτι φέρουσι τὴν νικῶσαν οἱ εἰπόντες Μασοριτῶν ἐφεύρημα τὰ νῦν ἐν τῷ ἑβραϊκῷ κειμένῳ προστετηκότα στίγματα τῶν φωνηέντων καὶ προσῳδιῶν, καὶ ταῦτα μετὰ τὴν ἔκδοσιν τοῦ Ταλμούδου (τῷ 500 μ. Χ.) τὸ πρῶτον ἀναφυέντα, καὶ μέχρι τοῦ δεκάτου καὶ ἑνδεκάτου αἰῶνος (1030 μ. Χ.) ὑπ᾽ ἄλλων ἄλλοτε ῥαββίνων φυτοκομούμενα, ἕως ἐπυκνώθησαν εἰς τὴν νῦν τραγῶσαν λόχμην. Τὸ δὲ Μωσαϊκὰ, ἢ Ἐσδραῖα καὶ προφητικὰ, καὶ (τὸ ἔτι στυγερώτερον) *θεόπνευστα* ταῦτα λέγειν, ῥαββίνοις ἐφείσθω, καὶ ῥαββινίζουσιν ἀνδράσι σοφοῖς· οἵτινες ὑπερασπίζουσι τὰ οἰκεῖα παντὶ σθένει, φοβούμενοι,

(α) Βλ. Cappell. l. c. καὶ Walton, Proleg. III. §. 42.

μή ποτε τῶν σημείων ἀκράτως ἀνθρωπίνων, καὶ θείου κύρους γυμνῶν, διὸ καὶ ἐπισφαλῶν ἐξελεγχθέντων, ἀμφίβολος ἀποβῇ πολλῶν ἑβραϊκῶν χωρίων καὶ φωνῶν ἡ παρ' αὐτοῖς ἀποδεδεγμένη χρῆσις καὶ σημασία, καὶ καταστῇ λοιπὸν τὸ νόημα τῆς Γραφῆς ἐν πολλοῖς ἀβέβαιον καὶ σκοτεινὸν καὶ εὐμετάβολον, ἀναγινώσκοντος ἑκάστου τὰς λέξεις ἐπ' ἀδείας πρὸς τὸ δοκοῦν, καὶ πρὸς τὸν ἴδιον σκοπὸν ἀντιμεθέλκοντος τὴν ἐξήγησιν. Ταῦτα φοβοῦνται, καὶ οὐκ ἀλόγως· οὐ γὰρ καταδέχονται φρουροὺς τοῦ ἱεροῦ κειμένου γνησίους συγγενεῖς, καὶ τούτους ἀγρύπνους καὶ πιστούς, τοὺς Ο!

§. ια. Ἀλλ' οἱ περὶ τὸν Καπέλλιον καὶ τὸν Βάλτωνα καὶ τοσούτους ἄλλους (α), καί τοι Μασορίτεια κατεξελέγχοντες τὰ σημεῖα, πρεσβεύουσιν ὅμως οὐχ ἧττον καὶ οὗτοι τὸ περὶ τὴν ἀποδεδεγμένην ἀνάγνωσιν καὶ σημασίαν βέβαιον καὶ τέλειον τῆς ἑβραϊκῆς γραφῆς· καὶ δὴ καὶ ἀπαντῶσι πρὸς τοὺς περιδεῶς ἐχομένους τῆς τῶν σημείων θεοπνευστίας, ἐπάγοντες τὰ ἑξῆς. α) Πᾶσα λέξις ἑβραϊκή, δίχως φωνητικῶν στιγμῶν γραφομένη, ὅταν μὲν θεωρῆται καθ' ἑαυτήν, ἀμφίβολός ἐστι, καὶ ποικιλότροπον ἀνάγνωσιν ἐπιδέχεται· ἀλλ' ἐν τῇ συναφείᾳ τοῦ λόγου συνειρομένη, ὡρισμένην καὶ βεβαίαν ἔχει σημασίαν, ἀφ' ἧς οὐκ ἔστιν ἀποχωρεῖν, οὐδὲ πρὸς τὸ δοκοῦν ἐκλαμβάνειν τὴν λέξιν. Ὅ,τε γὰρ τῆς συμφράσεως εἱρμός, καὶ τῶν ἡγουμένων καὶ ἑπομένων ἡ συνάρτησις, αἴρουσι πᾶσαν ἀμφιβολίαν, ὡς ἐπὶ τὸ πλεῖστον. Εἰ δὲ προστέτηκε τῇ λέξει τὸ ἀμφίβολον, οὐδ' ὑπείκει πρὸς διαστολήν, διευκρινούμενον ἐκ τῆς τοῦ λόγου συνθήκης καὶ κατασκευῆς, ἀλλ' ὅμως ἥ τε χρῆσις, καὶ ἡ παρὰ τῶν πατέρων ἤκουσα πάγκοινος παράδοσις τῆς προφορᾶς ἀφαιρεῖ πᾶσαν ἀμφιβολίαν. Ἐὰν δὲ καὶ καὶ οὕτω μένῃ πάλιν ἡ λέξις ἀμφίβολος, ἄλλως παρ' ἄλλων προφερομένη (οἷον ἔστιν ὅτε, καί τοι γε σπανίως καὶ ἐπὶ μικροῖς.

(α) Βλ. Simon. de Muis, Animadver. in praef. J. Morini in Bibl. Graec. — J. D' Espeires, Tract. 1. De auctor. text. Hebr. Dub. 3. contra Tannerum, etc.

τισι καὶ ἀδιαφόροις, ἀλλ᾽ ὅμως συμβαίνει), τότε πλείοσι συμβούλοις χρηστέον ἀντιγράφοις, καὶ δὴ καὶ παλαιοτέροις, καὶ τούτων μάλιστα τοῖς ἀρίστοις· ἀλλὰ καὶ τὴν ἀναλογίαν τοῦ νοήματος ἐπισκοπητέον, καὶ εἴ τινα παράλληλα χωρία, παραβλητέον, καὶ τὰς ἀρχαίας δὲ μεταφράσεις τὰς ὑπὸ τῆς Ἐκκλησίας παραδεδεγμένας ἐξεταστέον, καὶ πρὸς τὴν παρὰ τοῖς Πατράσι καὶ κοινῶς ἐν τῇ Ἐκκλησίᾳ κρατήσασαν χρῆσιν τῆς φωνῆς προσεκτέον, εἰς ἐξακρίβωσιν τοῦ σημαινομένου. Οὕτω φέρ᾽ εἰπεῖν, ἐν Ἐξόδῳ ιη, 15, γέγραπται « *Καὶ εἶπε Μωϋσῆς πρὸς τὸν πενθερὸν αὐτοῦ* » (τὸν Ἰοθόρ). Ἐν δὲ τούτοις ἑκάστη τῶν ἑβραϊκῶν φωνῶν καθ᾽ ἑαυτὴν θεωρουμένη, δύναται καὶ ἄλλην ἐπιδέξασθαι σημασίαν. Εἰ μὲν γὰρ ἡ πρώτη *Βαϊομὲρ* (Vaiomer) ἀναγνωσθείη, σημαίνει « *καὶ εἶπε* », εἰ δὲ, *Βαϊεαμὰρ* (Vaieamar), δηλοῖ « *καὶ εἴρητο* » (dictum fuit)· καὶ πάλιν ἡ δευτέρα δύναται ἀναγνωσθῆναι καὶ *Μωσὲ* (Mosche) ἤτοι *Μωσῆς*, καὶ *Μασὰ* (Mascha), ἤτοι *ἐξεῖλεν*, ἢ *ἐξείλκυσε* (extraxit)· τὴν δὲ τρίτην, τέλος, εἰ μὲν εἴποις *Λεχοτενὸ*, σημαίνει πρὸς τὸν *πενθερὸν* αὐτοῦ, εἰ δὲ *Λεχατανὸ*, πρὸς τὸν γαμβρὸν αὐτοῦ. Ἐὰν τοίνυν ἀναγνῷς τὴν ἐσχάτην λέξιν *πρὸς τὸν γαμβρὸν*, ψεῦδος ἔσται (ὁ γὰρ Ἰοθὸρ οὐκ ἦν γαμβρὸς τοῦ Μωσέως ἀλλὰ πενθερός). Ἐὰν δὲ καὶ ὅλον τὸ ῥητὸν κατὰ τὰς δευτέρας σημασίας ἀναγνῷς « Καὶ εἴρητο, ἐξείλκυσε *πρὸς τὸν γαμβρὸν αὐτοῦ* », παντάπασιν ἄτοπος ὁ λόγος ἔσται καὶ ἀνόητος· ἀναγκαίως ἄρα ἀναγνωστέον « *Καὶ εἶπε Μωϋσῆς πρὸς τὸν πενθερὸν αὐτοῦ* » (α). Τοιαῦτα καὶ ἄλλα

(α) Walton, Proleg. III. §. 51. Ἀλλ᾽ *οἱ* Ο ἔχουσι « Καὶ λέγει Μωσῆς τῷ *γαμβρῷ αὐτοῦ* (Ἐξόδ. αὐτόθ.), διότι τὸ γαμβρὸς ἑλληνιστὶ σημαίνει καὶ τὸν πενθερὸν, ὡς ἐκ τῶν Τραγικῶν ἐσημείωσεν ὁ Εὐστάθιος (εἰς Ἰλιάδ. ε. σελ. 572), καὶ τὸν γυναικάδελφον, καὶ ἁπλῶς τὸν κηδεστὴν καὶ συνηθέστερον συμπένθερον. « *Κρέοντ᾽ ἐμαυτοῦ γαμβρὸν* » ὁ Οἰδίπους ὠνόμασε τὸν ἀδελφὸν τῆς γυναικὸς αὐτοῦ Ἰοκάστης (Σοφοκ. Οἰδίπ. τύραν. 70: βλ. καὶ Spanhem. ad Julian. Oration. 1. p. 72. καὶ Valcken. ad Euripid. Phoen. 252). Τοῦτο δὲ καὶ Ἰώσηπος ἐπιστάμενος, ἔγραψε περὶ τοῦ Ἰοθόρ· « Μωϋσέως γὰρ ἦν γαμβρός » (Ἀρχ. ε. β. §. 3.). Καὶ αὐτὴ δὲ ἡ ἑβραϊκὴ λέξις ἡ *Χατὰν*, σημαίνει καὶ τὸν γαμβρὸν, τόν τε νυμ-

ἀπαντῶνται, καὶ ῥαδίως διακρίνονται. ϛ) Καὶ τοῦτο (λέγουσι) σημειωτέον. Οἱ Μασορῖται στίζοντες τὰς λέξεις, οὔτε νέους φθόγγους φωνηέντων, οὔτε νέαν ἀπαγγελίαν εἰσῆγον, ἀλλὰ κατὰ τὸ παραδεδομένον αὐτοῖς ἀρχαῖον ἔθος ἔστιζον τὰς βίβλους τῆς Γραφῆς. Ὅθεν ἡ ὀρθὴ ἀνάγνωσις οὐκ ἀπ᾽ αὐτῶν ἐξήρτηται τῶν Μασοριτῶν, καί τοι τούτων πρώτων γραψάντων τὰ φωνήεντα σίγματα· οὐδὲ διὰ τοῦτο πάλιν ἐστὶν ὀρθὴ, διότι διώρισαν αὐτὴν οἱ Μασορῖται, ἀλλὰ διότι ἐκφράζει τὴν γνησίαν ἐκείνην ἔννοιαν, ἣν τὸ πνεῦμα τὸ ἅγιον τοῖς ἱεροῖς συγγραφεῦσιν ὑπηγόρευσέ τε, καὶ γράμμασι δι᾽ αὐτῶν ἐνεχάραξε, καὶ ἣν Ἰουδαῖοί τε ἅμα καὶ χριστιανοὶ διεφύλαξαν. Οὐδὲ γὰρ κατὰ τὸ σφίσι δοκοῦν ἔστιξαν τὰς θείας βίβλους οἱ Μασορῖται, ἀλλὰ κατὰ τὴν ἀληθῆ καὶ παραδεδεγμένην ἀνάγνωσιν, ἐπιμελέστατα, «*ὅσον αὐτοῖς ἐνῆν*» ἐπέθηκαν τὰς στιγμάς. Ὅτι δὲ ἔστιζον, ὡς *ἐπὶ τὸ πλεῖστον*, ὀρθῶς, πρόδηλον ἐκ τῶν πρὸ τῆς στίξεως ἐκδεδομένων ἑρμηνειῶν (τῆς Ἑλληνικῆς, καὶ Χαλδαϊκῆς, καὶ Συριακῆς), αἵτινες ἐν *πᾶσι τοῖς τὴν πίστιν καὶ τὸ ἦθος ἀφορῶσι*, συμφωνοῦσιν ἀκριβῶς πρὸς τὴν Μασορίτειον ἀνάγνωσιν τοῦ ἑβραϊκοῦ. Κἀκεῖνο δὲ πρόσθες, ὅτι τὸ ἐστιγμένον ἑβραϊκὸν κείμενον οὐ μόνον παρ᾽ Ἰουδαίοις, ἀλλὰ καὶ παρὰ τοῖς χριστιανοῖς (Δυτικοῖς τε καὶ Διαμαρτυρουμένοις) ἀποδέδεκται, καὶ δεδοκίμασται, καὶ πανταχοῦ διὰ τύπων ἐκδίδοται (α). Οὐδ᾽ ἀληθεύουσιν οἱ λέγοντες· «Ὅτι δῆθεν οἱ

φίον (Γενέσ. ιζ, 10, 13), *καὶ τὸν ἄνδρα τῆς θυγατρὸς* (Γενεσ. ιθ, 12), *καὶ προσέτι τὸν συγγενῆ καὶ κηδεστὴν* (Δ. Βασιλ. η, 27 *ὅπου καὶ οἱ* Ο, *κώδηκ*. Ἀλεξ. «*γαμβρὸς οἴκου* Ἀχαάβ». *βλ. καὶ* Gesen. Lexic. Hebr. pag. 382). Καὶ *φαίνεται ἄρα τὸ* Χατὰν *ὅτι καὶ τὸν πενθερὸν ἐσήμαινεν ἐξ ἀρχῆς*. Ἡ *δὲ Μασορίτειος στίξις παρέτρεψε μικρῷ τὴν ἐκφώνησιν εἰς τὸ* Χοτὲν, *ὅπως ἰδίως δι᾽ αὐτοῦ σημαίνῃ τὸν πενθερόν*.

(α) Walton, l. c. *Σημείωσαι, ἀναγνῶστα τὸ* «ὅσον αὐτοῖς ἐνῆν», *καὶ τὸ* «ὡς ἐπὶ τὸ πλεῖστον», *καὶ τὸ* «ἐν πᾶσι τοῖς τὴν πίστιν καὶ τὸ ἦθος ἀφορῶσιν». *Ἐκ τούτων γὰρ τῶν περιορισμῶν φαίνεται σαφῶς, ὅτι καὶ αὐτοὶ οἱ ὑπέρμαχοι τῆς ἐν πᾶσι δῆθεν ἀκαιρέου διασωθείσης προφορᾶς τῆς ἑβραϊκῆς ἐφρόνουν καθ᾽ ἑαυτοὺς, ὅτι οἱ Μασορῖται* ἐφ᾽ ὅσον οὐκ

Μασορῖται, πολλοῖς αἰῶσιν ὕστερον, ἀφ' οὗ ἐπαύσατο λαλουμένη ἡ ἑβραϊκὴ διάλεκτος, ἐπελθόντες, οὐκ ἠδύναντο κατέχειν τῆς γνησίας ἀναγνώσεως καὶ προφορᾶς τοὺς κανόνας ὑγιεῖς καὶ ἀκριβεῖς διὰ τοσούτων αἰώνων ἐν μόνῃ τῇ μνήμῃ πεφυλαγμένους. Χίλιοι γὰρ ἀπὸ τοῦ Ἔσδρα, πεντακόσιοι δὲ ἀπὸ τῆς ἐσχάτης καταστροφῆς μέχρι τῶν Μασοριτῶν διῆλθον ἐνιαυτοί. Ἐν δὲ τῷ μακρῷ τούτῳ χρόνῳ (λέγουσι) ποία τις ἠδύνατο ἀνθρώπων μνήμη διατηρῆσαι τοσούτων χιλιάδων λέξεων τὴν γνησίαν ἐκφώνησιν, ὥστε μηδ' ἐν μιᾷ γοῦν λέξει, μηδὲ καθ' ἓν φωνῆεν ἁμαρτεῖν;» — Ἀλλ' ἡμεῖς πρὸς ταῦτα τὰ τῶν ἐναντίων ἀπαντῶμεν, ὅτι κἂν ἡ ἑβραῒς ἐπαύσατο λαλουμένη, ἡ ἀληθὴς ὅμως ἀνάγνωσις αὐτῆς καὶ προφορὰ διετηρήθη συνεχὴς καὶ ἀδιάλειπτος μεταξὺ τῶν πεπαιδευμένων (παρ' οἷς καὶ συνήθης σχεδὸν ὑπῆρχεν ἡ γλῶσσα) ἔκ τε τῆς εἰς τὴν ἀνάγνωσιν ἕξεως καὶ συνηθείας, καὶ ἐξ ἀσκήσεως παραμένουσα, καὶ τῆς ἐν ταῖς Συναγωγαῖς ἱερωτέρας χρήσεως, καὶ τῆς ἐν ταῖς Σχολαῖς διδασκαλίας, ἥτις ἤκμαζε παρ' αὐτοῖς καὶ πρὸ τῆς εὑρέσεως τῶν στιγμῶν. Καὶ νῦν δὲ πολλάκις οἱ Ἰουδαῖοι καὶ χωρὶς στιγμῶν, ἐκ μόνης ἀσκήσεως, ἐπιχειροῦσι τὴν Βίβλον ἀναγινώσκειν. Ὅτι δὲ διὰ τῆς ἐκ προγόνων παραδόσεως καὶ τῆς ἐκ τῶν σοφῶν διδασκαλίας ἡ γνησία προφορὰ διατηρεῖται, μαρτυροῦσιν αἱ λοιπαὶ Ἀσιαναὶ διάλεκτοι, ἄλλαι τε καὶ ἡ Χαλδαϊκὴ καὶ Ἀραβικὴ, αἵτινες οὐδ' αὐταὶ στιγμαῖς ἐχρῶντο πρὸ τῆς παρ' Ἑβραίοις χρήσεως αὐτῶν (ἡ δὲ Σαμαρειτανὴ καὶ μέχρι σήμερον ἀπείρατός ἐστι στιγμάτων φωνητικῶν), καὶ ὅμως διέμειναν ἀμετάβλητοι. Καὶ αὐτὴν δὲ τὴν Ἑλληνικὴν ἀμετάβλητον εἴδομεν διαμείνασαν,

---

ἐνῆν αὐτοῖς, καὶ ὡς ἐπὶ τὸ ἔλασσον, καὶ ἐν πᾶσι τοῖς μὴ τὴν πίστιν καὶ τὸ ἦθος ἀφορῶσιν, οὐκ ἔστιζον ὀρθῶς· περὶ δὲ τῆς ἔν γε τοῖς οὐσιώδεσι καὶ κυριωτάτοις, θείῳ νεύματι πάντως (βλ. σελ. 144), διατηρηθείσης συμφωνίας τοῦ Μασοραίου κώδηκος πρὸς τὰς ἀρχαίας μεταφράσεις, (καὶ μάλιστα τὴν τῶν Ο). βλέπε καὶ ἐφεξῆς §. ιϐ. Ὥστε καὶ ἐξ αὐτῶν δὴ τούτων, οἵτινες παρὰ τῶν Ἰουδαίων παρεδέξαντο ὡς ἀκέραιον καὶ γνήσιον τὸ νῦν Μασορίτειον κείμενον, οὐκ ὀλίγοι σοφοὶ καὶ κριτικοὶ τὰς ἐν πολλοῖς αὐτοῦ διαφθορὰς καὶ λώϐας ἀνεκήρυξαν καὶ ἀπέδειξαν.

οἷα καὶ ἐπὶ Πλάτωνος καὶ Ἀριστοτέλους ὑπῆρχε, καί τοι μετὰ χρόνον πολὺν εἰσαχθέντων εἰς αὐτὴν τῶν σημείων τῆς προσῳδίας (α)· καὶ ταῦτα μὲν οὗτοι.

§. ιϐ. Ἀλλ' ἐνίστανται πρὸς τούτους πάλιν οἱ περὶ τὸν Καρψόϐιον, οὐκ ἀγενεῖς ἤδη καὶ σαθρὰς, ἀλλὰ καὶ μάλα στιϐαρὰς ἀντιπροτείνοντες ἀποδείξεις (ϐ). Καὶ πρὸς μὲν τὸ πρῶτον ἀπαντῶσι ταῦτα· Α) Τὴν ἀμφιϐολίαν τῶν λέξεων τοῦ κειμένου διαφωτίζει πάντως ἡ τοῦ λόγου συνάφεια καὶ συνέπεια, ὁπότε τὰ ἡγούμενα καὶ ἑπόμενα κεῖνται πάσης ἀμφιϐολίας ἐκτὸς, βαίνοντα σαφῆ καὶ καθαρὰ, καὶ ἐκ τῆς τῶν ἐννοιῶν εἰρομένης ἀλληλουχίας τετραγωμένα. Ὅπου δὲ, τοῦ λόγου προϊόντος, συμπυκνοῦται τῶν λέξεων ἡ ἀσάφεια, ἄλλης μετ' ἄλλην ἀμφιϐόλου προσερχομένης, καὶ πρὸς ἄλλην καὶ ἄλλην ἀνάγνωσιν ἀστάτως ἀμφιῤῥεπούσης, αἱ δὲ στιγμαὶ τῶν φωνηέντων, αἵτινες ψυχὴ καὶ φῶς εἰσι τῆς ἀναγνώσεως, λείπουσιν ὅλως ἐκ τοῦ κειμένου, πῶς λοιπὸν κρατήσομεν βεϐαίως τὸν συνεχῆ τῶν ἡγουμένων καὶ ἑπομένων εἱρμόν; καὶ πόθεν ἕξομεν τὴν πληροφορίαν περὶ τῆς ἀληθινῆς καὶ γνησίας σημασίας τῶν φωνῶν; Μιᾶς προσῳδίας, ἑνὸς κόμματος ἔλλειψις, ἢ μετάθεσις ἀσαφῆ πολλάκις ὅλον τὸν λόγον ποιεῖ (γ). Ἀλλ' ὅταν ὅλα φωνήεντα προσυπακούωνται ἔξωθεν πρὸς ἀπαρτισμὸν τῶν

(α) Ὑπερεκπερισσοῦ, ἢ καὶ πάντῃ περιττῶς ὁ κλεινὸς Βάλτων ἐπήγαγε καὶ τὸ παράδειγμα τῆς Ἑλληνικῆς. Ταύτης γὰρ οἱ τόνοι καὶ τ' ἄλλα σημεῖα τῶν προσῳδιῶν κατεγράφησαν ὑπὸ τῶν Ἀλεξανδρινῶν γραμματικῶν, καθ' ὃν χρόνον ἤκμαζεν ἔτι, καὶ παρεῖχε ποιητὰς καὶ συγγραφεῖς, ἄλλους τε πολυπληθεῖς, καὶ μετὰ ταῦτα Διονυσίους Ἀλικαρνασσεῖς, καὶ Λουκιανοὺς, καὶ Πλουτάρχους, καὶ τοὺς λοιπούς· ἑτέρωθεν δὲ πάλιν τοὺς σοφωτάτους τῶν Πατέρων τῆς Ἐκκλησίας. Ὀρθῶς ὅμως ὁ Βάλτων προσέθηκεν ὅτι ἡ τοῦ Πλάτωνος διάλεκτος ἀμετάϐλητος (τὴν φύσιν) διετηρήθη· καθὸ ζῶσα δηλονότι, καὶ γραφομένη, καὶ λαλουμένη μέχρι σήμερον, κατὰ τὴν ἀρχέγονον καὶ γνησίαν ἐκφώνησιν καὶ τῶν τόνων καὶ τῶν στοιχείων αὐτῆς.

(ϐ) Βλ. Pfeiffer, Crit. Sacr. p. 90 sqq.—Carpzov. Crit. Sacr. p. 245-248 κτλ.

(γ) Γνωστὸς ὁ ἐκ τῆς μεταθέσεως τοῦ κόμματος ἀμφίϐολος χρησμὸς ἐκεῖνος. «Ἥξεις ἀφήξεις οὐ θνήξεις ἐν πολέμῳ», (ποῦ ἀποδοτέον τὸ ΟΥ, εἰς τὸ ἀφήξεις; ἢ εἰς τὸ θνήξεις;) κτλ.

συλλαβῶν καὶ διάρθρωσιν τῶν λέξεων, τότε πόσων ψευδῶν ἀναγνώσεων σμῆνος οὐκ ἐπικάθηται ἐπὶ τοῦ κειμένου; Πρόσθες καὶ τὴν δύω λέξεων εἰς μίαν συγχώνευσιν, ἢ μιᾶς τινος εἰς δύω διαίρεσιν, προερχομένην πολλάκις παρὰ τὴν προσῳδίαν (α). Ἀνατρέχουσιν εἰς τοὺς κώδηκας, καὶ τὰς ἀρχαίας μεταφράσεις. Ἀλλὰ ποία τούτων τῶν μεταφράσεων οὐ διαφωνεῖ πλειστάκις πολλαχοῦ πρὸς τὸ νῦν ἑβραϊκόν; Τίνες δὲ τῶν κωδήκων συμπάντων, καὶ χειρογράφων καὶ τύποις ἐκδεδομένων, οὐκ ἀντιφέρονται πρὸς ἀλλήλους κατὰ τὰς ποικίλας ἀναγνώσεις καὶ παραλλαγάς; Καὶ αὐτῶν δὲ τῶν *κερίων* καὶ *κετιβίων* πάμπολλα προῆλθον ἐκ τῶν ἄλλως ἄλλην λέξιν ἀνεγνωκότων ἐν τῷ κειμένῳ, διὰ τὴν ἔλλειψιν τῶν φωνητικῶν στιγμῶν. Ὥστε μάτην προβάλλουσι τὴν τοῦ λόγου συνάφειαν καὶ κατασκευὴν ὡς ἄῤῥηκτον ἕρκος, ἢ *ἀσπίδα πάντοτε ἴσην*, πάσης ἀμφιβολίας ἐκκρουστικήν. Β) Λέγουσιν οἱ ἀντιδοξοῦντες, ὅτι μετὰ τὴν τελευτὴν τῆς ἑβραΐδος γλώσσης μέχρι τῶν Μασοριτῶν διετηρήθη διὰ πολλῶν αἰώνων ἀπὸ μνήμης καὶ παραδόσεως ἀκριβὴς καὶ γνησία τῶν ἑβραϊκῶν φωνῶν ἡ ἀρχέγονος προφορά· ἀλλὰ λέγουσι πρᾶγμ' ἀδύνατον. Ποία ποτ' ἀνθρώπινος εὐφυΐα γένοιτ' ἂν εἰς τοσοῦτον ἀχανὴς καὶ δαιμονία, ὥστε διατηρεῖν ἀπὸ μνήμης οὐ μόνον τοσούτων χιλιάδων λέξεων τὸν γνήσιον φθόγγον, ἀλλὰ καὶ τὰς ποικίλας περὶ τὴν προφορὰν αὐτῶν ἀνωμαλίας, ἃς μόλις διορίζουσιν αἱ γραπταὶ τῶν φωνηέντων στιγμαί; Τίς δὲ πεποιθότως ἐπαναπαύεται ὡς εἰς ἀσφαλῆ καὶ βεβαίαν τὴν ἀπὸ στόματος παράδοσιν γλώσσης ἤδη πρὸ πολλοῦ τεθνηκυίας; καὶ ταύτην διδασκομένην μάλιστα μετὰ τὴν ἐπιπεσοῦσαν τοῖς Ἰουδαίοις ἀπαραδειγμάτιστον καὶ μακρὰν ἀκολουθίαν ἀλληλοδιαδόχων σφαγῶν, διωγμῶν, ἐξοριῶν, παντοδαπῶν συμφορῶν; Ἐὰν δὲ προσθῇς καὶ τὴν μεταξὺ τοσούτων ἐθνῶν παροικίαν αὐτῶν, καὶ μάλιστα

(α) Τοιαῦτα καὶ παρ' Ἕλλησι τὰ «ἐχέτω τὰμὰ π ά ν τ α Λ έ ω ν (ἢ Πανταλέων;). Καὶ «Αὐλητρὶς (ἢ α ὐ λ ὴ τ ρ ί ς;) πέπτωκε». κτλ.

τῶν Χαλδαίων (ὧν καὶ τὴν διάλεκτον προσέλαβον οἱ διὰ μακρῶν αἰώνων μετ' αὐτῶν ἐν Βαβυλῶνι συνοικοῦντες Ἰουδαῖοι), καὶ τὴν παντελῆ βιβλίων ἀρχαίων (πλὴν τῶν τῆς Γραφῆς) ἔλλειψιν, ἄλλων τε παντοίων καὶ αὐτῆς τῆς ἑβραΐδος γραμματικῆς (ἣν ἀτελῶς καὶ μόλις συνέταξαν *ἔτει χιλιοστῷ* μετὰ τὴν ἐσχάτην διασποράν), τότε ποία μένει βεβαίωσις, ἢ ὅτι διετηρήθη ἀπὸ μνήμης ἡ γνησία προφορὰ τῆς ἑβραϊκῆς, ἢ ὅτι ταύτην ἀκριβῶς ἐξέφρασαν οἱ ὀψίγονοι Μασορῖται, δι' ὧν προσῆψαν ἐν τῷ κειμένῳ φωνητικῶν καὶ προσῳδιακῶν στιγμῶν; Πῶς οὖν παριστῶσιν ὡς θείαν καὶ ἀδιάψευστον τὴν ἔπειτα διὰ τῆς στίξεως ὁρισθεῖσαν ἀπαγγελίαν τῶν φωνῶν; (α). Πολλοὺς πρὸ τῶν Μασοριτῶν αἰῶνας ἦσαν ἤδη σεσιγηκότα τὰ θεόπνευστα χείλη τῶν προφητῶν· ἡ δὲ ζῶσα καὶ γνησία τούτων ἀπαγγελία συναπέθανε μετὰ τῆς γλώσσης αὐτῶν, καὶ συνηφανίσθη μετὰ τῆς νομικῆς ἱερωσύνης, καὶ τοῦ ναοῦ, καὶ τῶν ἐν αὐτῷ τελετῶν καὶ δημοσίων ἀναγνώσεων καὶ ψαλμῳδιῶν· (ἐν δὲ ταῖς Συναγωγαῖς μικρὸν τῆς ὅλης Γραφῆς μέρος, καὶ μόνον κατὰ Σάββατον καὶ τὰς ἑορτάς, δι' ἔτους ἀναγινώσκουσιν). Ὥστε ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῶν Τιβεριαδέων ῥαββίνων, ἢ Μασοριτῶν, πᾶς ὁ τρόπος τῆς ἀναγνώσεως τῶν θείων Γραφῶν διεδίδετο ἐκ μόνης ἀνθρωπίνης παραδόσεως, στρεβλῆς πολλάκις καὶ λελωβημένης, καὶ εἰς μυρίας ἀπάτας ἐκτεθειμένης. Καὶ κατὰ ταύτην λοιπὸν τὴν παράδοσιν οἱ Μασορῖται, μεθ' ὅσης ἂν θέλῃς ἐπιμελείας, διώρισαν διὰ τῆς στίξεως τὴν παραδεδεγμένην ἀνάγνωσιν τοῦ ἱεροῦ κειμένου. Συμφωνεῖ πολλάκις αὕτη (καὶ μάλιστα περὶ τὴν θείαν διδασκαλίαν τῆς πίστεως καὶ ἱστορίας καὶ ἠθικῆς) μετὰ τῶν ἀρχαίων μεταφράσεων (*καὶ μάλιστα τῆς τῶν O*), ὁμολογοῦμεν καὶ κατανεύομεν ὁλοθύμως. Ἀλλ' εἰς πόσα πάλιν

(α) « Ὁ ῥοῦς τῶν αἰώνων» (ἀνακηρύττει καὶ καθ' ἡμᾶς ὁ σοφὸς Ἰουδαῖος Λουζάττος) « καὶ αἱ μεταναστάσεις, καὶ αἱ καταδιώξεις ἐπέφερον εἰς μέρη τῆς στοματικῆς παραδόσεως ποικίλας ἀμφιβολίας καὶ διενέξεις· ὅθεν καὶ πολὺ τὸ ἀβέβαιον ἐπενεμήθη καὶ αὐτὴν τοῦ γραφικοῦ κειμένου τὴν προφοράν » κτλ. Luzzatto, Prolegomeni etc. p. 20.

ἄλλα χωρία διαφέρεται πρὸς αὐτὰς καὶ διαφωνεῖ! Ἐὰν οὖν τεθῶσιν ἀνθρώπινα καὶ πολὺ τῶν μεταφράσεων ἐκείνων μεταγενέστερα τὰ σημεῖα, διὰ τί μὴ μᾶλλον ὀρθότερον καὶ γνησιώτερον ἀνέγνωσαν οἱ ἑρμηνεῖς ἐκεῖνοι (*καὶ πρὸ πάντων οἱ Ο*) παρὰ τοὺς ὕστερον ὀψέποτ᾽ ἐπελθόντας καὶ στίξαντας Μασορίτας, ἐν οἷς πρὸς τούτους διαφωνοῦσι; Καὶ αὐτοὶ δὲ τέλος οἱ ἀρχαιότατοι ῥαββῖνοι, οἱ περὶ τὸν Ἀσηρίδην καὶ Νεφθαλείδην, διαφερόμενοι πρὸς ἀλλήλους περὶ τὴν στίξιν οὐκ ὀλίγων λέξεων, μαρτυροῦσι τὴν πολὺ καὶ ὕστερον μετὰ τὴν χρῆσιν τῶν στιγμῶν ἀστατοῦσαν καὶ πλανωμένην παράδοσιν τῆς προφορᾶς. Γ) Τέλος, πρὸς τὴν ἐκ τῶν ἄλλων τῶν Ἀσιανῶν γλωσσῶν ἐπιφερομένην ἀπόδειξιν ἀπαντῶσι ταῦτα. Μεγάλη ἡ μεταξὺ τοῦ κώδηκος τῶν ἑβραϊκῶν γραφῶν καὶ τῆς τε Χαλδαϊκῆς (οἵα ἡ διάλεκτος τοῦ Ταλμουδίου καὶ ἄλλων συγγραφῶν ῥαββινικῶν) (α), καὶ τῆς Ἀραβικῆς, καὶ τῶν ἄλλων γλωσσῶν διαφορά. Ἄστικτα γράφονται τὰ Χαλδαϊκὰ τῶν ῥαββίνων βιβλία, ἀλλὰ τὴν ἔλλειψιν τῶν στιγμῶν ἀναπληροῦσι τὰ τρία γράμματα (*ἄλεφ, ἰὸδ, οὐαῦ*), ἅπερ ὡς φωνήεντα μεταχειρίζονται σταθερῶς, καὶ, τούτων συνεργούντων, συνεικάζουσι καὶ τ᾽ἄλλα τὰ κατ᾽ ἄλλας συλλαβὰς ἐλλείποντα καὶ ὑπακουόμενα φωνήεντα. Τοῦτ᾽ αὐτὸ καὶ Σαμαρεῖται ποιοῦσιν. Ἡ δ᾽Ἀραβικὴ τρία μόνον ἔχει φωνηέντων σημεῖα (Phathe, Damma, Kesri) καὶ ταῦτα σπανίως μεταβαλλόμενα· διὸ καὶ χωρὶς τούτων εὐκόλως ἀναγινώσκεται (β). Τοιαῦτα βοηθήματα ἔχουσι καὶ ἄλλαι τῶν Ἀσιανῶν γλωσσῶν, ἅπερ λείπουσιν ἐκ τῆς ἑβραϊκῆς. Πρόσθες, ὅτι καὶ τὸ ὕφος, ἢ ὁ χαρακτὴρ τῶν θείων Γραφῶν, καὶ μάλιστα τῶν προφητικῶν, οὕτως ἐν πολλοῖς ἐστι στρυφνὸς καὶ συνεστραμμένος, ὥστε καὶ νῦν ἤδη καθωπλισμένου τοῦ κειμένου διὰ πασῶν τῶν

(α) Καὶ αἱ νῦν μετὰ στιγμῶν γραφόμεναι Χαλδαϊκαὶ τῆς Γραφῆς παραφράσεις (Ταργουμὶμ) ἄστικτοι ἦσαν τὸ πάλαι, ὡς ἐκ τῶν μετὰ τὴν στίξιν περιττῶν ἐν αὐταῖς ἀπομεινάντων γραμμάτων ἀπέδειξεν ὁ Lud. De Dieu in Comparat. trium Linquarum L. I. c. 7. πρβλ. Walton, Proleg. III. §. 48.

(β) Βλέπε περὶ τούτων πάντων Simon. Hist. Crit. V. T. L. I. c. 31.

φωνητικῶν στιγμῶν καὶ προσῳδιῶν, διαφέρονται ὅμως πολλάκις πρὸς ἀλλήλους ἔνθεν μὲν οἱ Ἰουδαῖοι, ἑτέρωθεν δὲ οἱ Χριστιανοὶ, περὶ τῆς ἐκδοχῆς πολλῶν καὶ λέξεων καὶ χωρίων ὅλων τῆς Γραφῆς. Ἄστικτον τὸ κείμενον οὐδ᾽ ὁ μάλιστα γεγυμνασμένος δύναται πώποτ᾽ ἀναγνῶναι *κατὰ πάντα* προσηκόντως καὶ ἀπτώτως καὶ ὀρθῶς, καὶ πρὸς τὴν ἔννοιαν ἐξηκριβωμένως. Ὅθεν καὶ ἐν ταῖς Συναγωγαῖς τῶν Ἰουδαίων ὁ ἀναγνώστης ἐν ἐστιγμένῳ κώδηκι προμελετᾷ τὸ κείμενον τοῦ ἀναγνώσματος, ὅπερ ἐξ ἀστίκτου χειρογράφου (καθὰ προείπομεν) μέλλει τῷ Σαββάτῳ δημοσίως ἀναγινώσκειν. Προβάλλουσιν οἱ ἄνδρες, ὅτι καὶ ἁπλοῖ Ἰουδαῖοι καὶ παιδία τούτων πολλάκις ἀναγινώσκουσι καὶ ἄστικτον τὸ κείμενον· ἀλλ᾽ ὅτι μὲν ἡμαρτημένως ἐν πολλοῖς ἀναγινώσκουσι, τοῦτο πρόδηλον· ὅτι δὲ *οὐδ᾽ ἂν φωνὴν ἐκφέροιεν*, ἐὰν μὴ πρῶτον διδαχθῶσι στοιχειωδῶς τὴν ἐκ τῶν Μασοριτείων σημείων διωρισμένην προφορὰν, τοῦτο σιωπῶσιν· «Ὅστις» (ἀποφαίνεται λαμπρῶς ὁ σφόδρα τὴν ἑβραϊκὴν φιλολογίαν ἐξησκημένος Βουξτόρφιος), «Ὅστις ἢ τὸν Ἡσαΐαν, ἤ τινα τῶν ἄλλων προφητῶν, *δεκάκις, ἢ καὶ πλεονάκις μετὰ στιγμῶν ἀναγνοὺς*, ἢ καὶ ἀναγινωσκόμενον ἀκηκοὼς, ἐπαγγέλλεται μετὰ ταῦτα καὶ αὐτὸς τὸν αὐτὸν προφήτην ἐν ἀστίκτῳ χειρογράφῳ διηκριβωμένως καὶ ὀρθῶς κατὰ τὴν ἔννοιαν τῆς στίξεως ἀναγινώσκειν, δαφνίνου στεφάνου τοῦτον ἄξιον ἐγὼ κηρύξω, ἐὰν ὅπερ ὑπόσχεται καὶ πραγματικῶς ἐκπληρῶσαι δυνηθῇ» (α).

§. ιγ. Ταῦτα, κεφαλαιωδῶς εἰπεῖν, ἄλλοι τε πολλοὶ *καὶ* οἱ περὶ τὸν Καρψόβιον ἀπαντῶσι πρὸς τοὺς πρεσβεύοντας τὴν ἀνάγνωσιν

(α) Ὀρθῶς γε ταῦτα ὁ Βουξτόρφιος. Ὁ δὲ σοφὸς καὶ μέγας τοῦ ἑβραϊσμοῦ πρόμαχος Λιχθόφωτος (ἐνθουσιῶν καὶ οὗτος ἐκ τοῦ περὶ τὰ σημεῖα θειασμοῦ), καὶ λίαν ὑπερβολικὸς καὶ πομπώδης φαίνεται, λέγων· «Τελευταῖον, οὐδεμία τέχνη ἀνθρωπίνη πρὸς τὴν στίξιν τῶν ἱερῶν βιβλίων ἐξαρκέσει, μηδὲ γοῦν ἐφ᾽ ἑνὶ καὶ μόνῳ στίχῳ, καθὼς ἔχομεν αὐτὸν τὴν σήμερον ἐστιγμένον. Εἰς μόνον τὸν Δεκάλογον ὅλου τοῦ κόσμου αἱ ἐμπειρίαι ἀμηχανοῦσι». Lightfoot. in Erubhim. c. XXXI.

τοῦ ἑβραϊκοῦ κειμένου γνησίαν μὲν καὶ ἄστικτον διὰ τῆς παραδόσεως ἄχρι τῶν Μασοριτῶν διατηρηθεῖσαν, ἐξηκριβωμένως δὲ πάλιν καὶ ἀσφαλῶς ὑπὸ τούτων διὰ τῆς στίξεως ὁρισθεῖσάν τε καὶ παγιωθεῖσαν. Καὶ οὗτοι μὲν (οἱ περὶ τὸν Καρψόβιον) ἀπαντῶντες, ἐν οἷς ἀκριβῶς ἀποδεικνύουσι τὴν ἀνάγνωσιν τῶν ἑβραϊκῶν γραφῶν ἐν πολλοῖς ἐπισφαλῆ καὶ ἄκυρον ἐλεγχομένην, ἐὰν τεθῶσιν ἀνθρώπινον κῦρος ἔχοντα τὰ σημεῖα, καὶ πολλοὺς αἰῶνας ὕστερον ὑπὸ τῶν Μασοριτῶν εἰσπεφορημένα, βούλονται διὰ τούτων (οἷον διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς ἐπιχειροῦντες) ἀποδεῖξαι τὰ σημεῖα θεόπνευστα, καὶ πρῶτον ὑπὸ τῶν προφητῶν, ζώσης ἔτι τῆς γλώσσης, ἐγγεγραμμένα (ἄλλως γὰρ οὐκ ἂν εἴη, οὐδ' ἂν γένοιτο πώποτε γνησία κατὰ πάντα καὶ βέβαιος ἡ ἀνάγνωσις τοῦ κειμένου). Ἐπειδὴ δὲ καὶ τὰ σημεῖα τῶν Μασοριτῶν ὑστερόχρονον γέννημα τρανῶς οἱ περὶ τὸν Καπέλλιον, καὶ αὐτὰ δὲ τὰ πράγματα προαπέδειξαν, μένει λοιπὸν ἡ τῶν ἀντιπάλων Καρψοβίων ἀπόδειξις βεβαία καὶ ἀληθής· ὅτι *ἀδύνατον ὑπῆρχε γνησίαν τὴν ἀπαγγελίαν τῆς ἤδη τεθνηκυίας ἑβραϊκῆς διὰ μόνης τῆς παραδόσεως διατηρηθῆναι* μέχρι τῶν Μασοριτῶν (ὃ καὶ Μορῖνος ἀπέδειξεν (α)). Ὅθεν καὶ ἡ Μασορίτειος στίξις, ὡς *ἐν πολλοῖς εὐόλισθος καὶ ἐπισφαλὴς, οὐδὲν ἔχει κῦρος πρὸς ἀπόδειξιν τῆς ἐν πᾶσι γνησίας ἀναγνώσεως τοῦ καθ' ἡμᾶς κειμένου τοῦ ἑβραϊκοῦ.*

§. ιδ. Ἄλλοι δὲ πάλιν καὶ λίαν ἐντονώτερον ἔκριναν περὶ τῆς ἀξίας τῶν τῆς στίξεως τοῦ ἑβραϊκοῦ σημείων. Ὁ κριτικὸς Κλέρικος, εἰς τοὺς Μασορίτας καὶ αὐτὸς ἀποδιδοὺς τὴν εὕρεσιν τῶν φωνητικῶν σημείων, προσέθηκε καὶ τὴν αἰτίαν, λέγων· «Ἐφεῦρον τὰ φωνήεντα ταῦτα στίγματα, μήπως διὰ τὰς πυκνὰς τῶν Ἰουδαίων μεταναστεύσεις ἀπόληται παντάπασιν ἡ περὶ τὴν προφορὰν παράδοσις, καθ' ἣν διὰ πολλῶν αἰώνων ἐδιδάσκετο ἡ τοῦ κειμένου ἀνάγνωσις, καὶ ἥτις *ὑπῆρχεν ἤδη προπεπονθυῖα πολ-*

(α) Morin. L. II. Exerc. XVIII. c. 1.

λὰς ἀλλοιώσεις καὶ μεταβολάς. Ἐπειδὴ δὲ ἡ ἐφεύρεσις οὐ συγχρόνως, οὐδ' εἰσάπαξ, οὐδὲ παρὰ τῶν αὐτῶν ῥαββίνων ἐξετελέσθη, οἱ δὲ ῥαββῖνοι ἀείποτε δύστροποί τε ἦσαν, καί τινος *μυστικωτέρας* (οὐκ οἶδ' ὁποίας) διδασκαλίας κομπασταὶ, πλὴν τῆς ἀχρήστου πληθύος τῶν ὧν εἰσήγαγον φωνηέντων, διώρισαν καὶ κανόνας τῆς ἀναγνώσεως δυσχερεῖς, καὶ πολυελίκτους, καὶ βρύοντας ἐξαιρέσεων πολλῶν. Ὅθεν (λέγει) τὰς περὶ τὴν στίξιν ἀνωμαλίας ψευδεῖς νομιστέον, καὶ τὴν οὕτω δεισιδαιμόνως παραδεδομένην παμμιγίαν ἐκείνην τῆς τῶν στιγμάτων μεταβολῆς ἀποῤῥιπτέον· πλεῖστα γὰρ ἐν τούτοις ἢ ψεύδη τῶν βιβλιογράφων εἰσὶν, ἢ καὶ τῶν Μασοριτῶν αὐτῶν περὶ τὴν στίξιν χασμωμένων πλάναι, ὑπὸ γραμματικῶν εὐπίστων καθιερωμέναι ». Καὶ πάλιν· « Οἱ Μασορῖται προσέθηκαν τῷ κειμένῳ τὰ φωνήεντα στίγματα *καθ' ὃν χρόνον ἡ γνησία προφορὰ τῆς ἑβραΐδος γλώσσης ὑπῆρχεν ἄγνωστος ἤδη· καὶ καθωσίωσαν τὰ σφάλματα τοῦ κώδηκος αὐτῶν* » (α). Ὁ δὲ Σιμώνιος διατεινάμενος, ὅτι παρὰ τῶν Ἀράβων ἐπὶ τοῦ Καλίφου Ὁμέρου (κατὰ τὸν ζ, αἰῶνα) παρέλαβον οἱ Μασορῖται τὰς στιγμὰς, φαίνεται περὶ τούτων δύω ταῦτα φρονῶν· 1) « Ἐπειδὴ τῶν ἱερῶν βιβλίων ἡ ἀνάγνωσις ἐξήρτηται κατά τινα τρόπον ἐκ τῶν στιγμάτων τῶν φωνηέντων, ἡ νῦν ἑβραϊκὴ Μασορίτειος Γραφὴ (πᾶσα δηλονότι διόλου καὶ καθ' ὅλα τὰ μέρη) οὐκ ἂν εἴη γνήσιος λόγος Θεοῦ· καθότι μέρος αὐτῆς ἱκανὸν καὶ οὐκ εὐκαταφρόνητον (τὰ στικτὰ φωνήεντα) ἀνθρώπων ἐστὶν εὕρημα (β). 2) Ἐπειδὴ τῆς τοῦ κειμένου ἀναγνώσεως οὐχ ὑπῆρχεν ἐπὶ τοσοῦτον σταθερὰ καὶ διηνεκὴς ἡ παράδοσις, ὥστε μηδεμίαν

(α) J. Clerici, Ars Critica P. I. c. 4. Sect. 1. §. 4—10 καὶ Sect. 3. §. 5. pag. 37—43.

(β) « Superstitiosores quidem — hanc hypothesim periculosam esse arbitrati fuere. Atqui non semper de facti veritate ex consecutionibus ipsius periculosis Judicium ferri debet, maxime cum factum in manifesta luce positum est » etc. Rich. Simonij, Hist. Crit. Vet. Test. L. I. c. 27. pag. 134.

παθεῖν μεταβολὴν κατὰ καιροὺς καὶ κατὰ τόπους, καὶ πρὸ τῆς εὑρέσεως καὶ μετὰ τὴν εὕρεσιν τῶν φωνητικῶν στιγμῶν, ἡ ςίξις ἄρα τῶν Μασοριτῶν οὐκ ἂν φέροι τὰ προνόμια τῆς ἀναμαρτησίας » κτλ. (α). Ὁ δὲ Ῥάβιος καὶ ἔτι δριμύτερον καθήψατο τῶν σημείων. « Μόνα, λέγει, τὰ γράμματα ἐκφράζουσι τὴν ἔννοιαν τῆς ἑβραΐδος Γραφῆς. Ἐντεῦθεν ἕπεται ἀναγκαίως, ὅτι καθ᾽ ὅλην τὴν ἱερὰν καὶ ἐν ταῖς Ἀσιαναῖς πρωτογένεθλον γλῶσσαν (τὴν ἑβραϊκὴν) — ἡ ἀληθὴς, καὶ ἀκεραία, καὶ ἀπόλυτος, καὶ σαφὴς, καὶ δικαία, καὶ κυρία σημασία, ἐφ᾽ ὅσον ἀνθρωπίνῃ ἀσθενείᾳ ἐγχωρεῖ, ἀκριβῶς καὶ μοναπλῶς ἐκ τῶν γραμμάτων, ἢ τῶν συμφώνων, ἐξάγεσθαι ὀφείλει. Πάντα δὲ τἄλλα μέσα, δηλονότι τὰ περὶ τὰ *στικτὰ φωνήεντα καὶ τὰς προσῳδίας*, δευτερεύοντά τε εἰσι, καὶ πρός γε τὸ πρῶτον παραβαλλόμενα, *ἀβέβαια* τυγχάνουσιν ὄντα, καὶ *ἀμφίβολα, καὶ ψυχρὰ, καὶ σφαλερὰ, καὶ ψευδῆ, καὶ ἀνθρώπινα ἐφευρήματα*· διὸ καὶ πρὸς εἰδοποίησιν καὶ διάγνωσιν τῆς τῶν λέξεων σημασίας μηδέποτε μηδαμῶς οἱονεὶ μοναδικὸν καὶ ἀληθὲς καὶ ἀδιάψευστον μέσον παραδεκτέα, ἀλλὰ καὶ ἀποῤῥιπτέα» (б). Ἀλλὰ καὶ Οὐόσιος ὁ κλεινότατος (συμφωνοῦντος καὶ Κλερίκου)· « Πόσον ἀριςερῶς καὶ κακῶς προσετέθησαν ὑπὸ τῶν Μασοριτῶν τὰ ςίγματα τῶν φωνηέντων, ἀποδείκνυται προφανῶς καὶ ἐξ αὐτῶν τῶν κυρίων ὀνομάτων· τῶν τε γὰρ Πατριαρχῶν καὶ Προπατόρων καὶ τῶν Προφητῶν τὰ ὀνόματα τοσούτῳ διαφέρουσι τῶν ἐν τοῖς θείοις Εὐαγγελίοις ἀναγινωσκομένων, ὥστε οὐδεμίαν ἔχουσιν ὁμοιότητα πρὸς ἃ κατέγραψαν οἱ Μασορῖται φωνήεντα (γ). Ὡσαύτως καὶ Θωμᾶς ὁ Ὕδης, ὁ περὶ τὴν Ἀσιανὴν φιλολογίαν περιώνυμος, ἄτοπον ἐν πολλοῖς ἐξελέγχει τὴν στίξιν τῶν Μασοριτῶν, προβάλλων τὴν κατ᾽ αὐτοὺς τῶν κυρίων ὀνομάτων προφορὰν, ἄγαν οὖσαν διεφθαρμένην· οἵτινες καὶ αὐτὰ τὰ περσικὰ, Κῦρος καὶ Δαρεῖος,

(α) Simon. ib. p. 136. etc.

(б) C. Ravij, Delineat. Orthograph. et Analog. Ebraicae. pag. 83. Amstel. 1646. βλ. καὶ Carpzov. Crit. Sacr. p. 244. — (γ) J. Vossij in Respons. ad iterat. Simonij Object. pag. 192. — Cleric, l. c. pag. 40.

ἐσχημάτισαν Coresch καὶ Darjavesch, καὶ τὸ Ἀσσουῆρος (Achsuares) μετέπειτα εἰς τὸ Achaschueros (α). Ὁ δὲ Μοντεφαλκώνιος καὶ ἐκ τῶν ἀρχαίων μεταφράσεων ἀπέδειξε τρανῶς παραφωνοῦσαν τὴν κατὰ Μασορίτας ἐστιγμένην ἀνάγνωσιν. Οὕτως οἱ μὲν Ο, καὶ Ἀκύλας καὶ οἱ λοιποὶ ἀνέγνωσαν καὶ ἔγραψαν Σαβαὼθ, Σολομὼν, Ἀὼδ, Φαὰθ, κτλ. οἱ δὲ Μασορῖται ἔγραψαν Tsebaoth, Schelomo, Ehud, Pheath, καὶ ἄλλα πολλὰ καὶ πολλαχῶς διαφωνοῦντα. Τοῦτο δὲ καὶ ἐξ αὐτῶν ἀποδείκνυται τῶν γραμμάτων τοῦ ἑβραϊκοῦ ἀλφαβήτου (καθὼς αὐτῶν τὰς ὀνομασίας ἑλληνικοῖς γράμμασιν ἐξήνεγκον οἵ τε Ο ἐν τοῖς Ἱερεμίου Θρήνοις, καὶ ὁ Εὐσέβιος ἐν Εὐαγγελ. Προπαρασκ. κεφ. ι), καὶ ἐξ ὧν Ὠριγένης ἔγραψε γράμμασιν ἑλληνικοῖς ἑβραϊκῶν φωνῶν, ἄλλον ἤδη φθόγγον κατὰ τὴν Μασορίτειον στίξιν ἐκφερουσῶν. Εἶπε δὲ καὶ Ἱερώνυμος, ὅτι παρ᾽ Ἰουδαίοις κατὰ τόπους, καὶ κατὰ τὴν θέλησιν τῶν ἀναγνωστῶν αἱ αὐταὶ λέξεις κατὰ διαφόρους ἤχους ἐκφωνοῦνται (β). Εἰ

(α) Th. Hyde, Histor. Religionis Veter. Persarum cap. 2. pag. 43, 65, 66, 67, κτλ.

(β) Montfaucon, Disquisit. quomodo veteres interpretes hebraice legerint, in Hexapl. Tom. 2. pag. 394. Καὶ μέχρι δὲ τῆς σήμερον οἱ κατὰ τόπους Ἰουδαῖοι διαφόρως προφέρουσι τὴν ἑβραΐδα γλῶσσαν τῶν Γραφῶν. Οἱ δὲ Ἱσπανοὶ καὶ οἱ Ἀνατολικοὶ Ἰουδαῖοι οὐκ εἰσέρχονται εἰς τὰς Συναγωγὰς τῶν Γερμανῶν καὶ Πολωνῶν, ὡς μὴ δυνάμενοι κατανοεῖν τὰς ἑβραϊκὰς λέξεις, καθὼς αὐτὰς ἐκεῖνοι προφέρουσι, καί τοι χειρόγραφον ἐστιγμένον ἀναγινώσκοντες· οὕτως ὁ Τύξην βεβαιοῖ, παραβάλλων καὶ περικοπὴν ἐκ τοῦ πρώτου ψαλμοῦ γεγραμμένην κατά τε τὴν Ἱσπανῶν, καὶ τὴν τῶν Γερμανῶν Ἰουδαίων προφορὰν (Tychsen, Tentamen etc. pag. 156). Ὁ δ᾽ αὐτὸς αὐτόθι ψέγει καὶ τοὺς ἐκ τῆς πρὸς τὸ νῦν ἑβραϊκὸν διαφορᾶς τῶν Ο συμπεραίνοντας, ὅτι ἐπὶ τῶν Ο οὐκ ἦσαν ἐστιγμένοι οἱ ἑβραῖοι κώδηκες» (ὡς εἴθε μηδ᾽ ἐστίζοντο πώποτε ἐν οἷς ἐστίχθησαν κακῶς!). «Ὥσπερ ἂν (φησὶ), καὶ εἴ τις, ἐπειδὴ τὴν σήμερον οἱ Γερμανοὶ καὶ Ἱσπανοὶ Ἰουδαῖοι διαφόρως ἐκφέρουσι φωνητικάς τινας στιγμὰς, ἢ καί τινα γράμματα τῆς Γραφῆς, ὁ δὲ, μετά τινας ἑκατονταετηρίδας ἀναστὰς, συμπεραίνοι ἐξ εἰκασίας, ὅτι κατὰ τοὺς ἡμετέρους χρόνους οὐκ ἦσαν οἱ ἑβραῖοι κώδηκες ἐστιγμένοι» κτλ. Καὶ διὰ ταύτης λοιπὸν τῆς φαντασιώδους ὑποθέσεως ἐνόμισεν ὁ Τύξην, ὅτι ἀνέτρεψε πάσας τὰς ἀποδείξεις, ἐξ ὧν φαίνεται τρανῶς, ὅτι καὶ οἱ Ο, κώδηξιν ἀστίκτοις ἐχρήσαντο, καὶ οἱ Μασορῖται μετὰ πολλοὺς αἰῶνας ἐπελθόντες ἔστιξαν κακῶς,

δ' ἐπὶ Ἱερωνύμου τῆς ἤδη πρὸ πολλοῦ τεθνηκυίας ἑβραΐδος τοὺς φθόγγους ἄλλως ἄλλοι ἐξεφώνουν, πόσῳ μᾶλλον ἐπὶ τῶν ἔτεσι περίπου διακοσίοις μεταγενεςέρων Μασοριτῶν ἀπέβη διάφορος ἐν πολλοῖς ὁ ἦχος τῶν φωνηέντων, ὃν διὰ στιγμῶν ἐξέφρασαν οἱ παντοδαποὶ τῆς Μασόρας πατέρες; (Ὁ δὲ σοφὸς Καρψόβιος ἀδίκως τὸν οὐχ ἧττον, ἢ αὐτὸς, προςάτην τοῦ ἑβραϊκοῦ Μοντεφαλκώνιον ἔδειρεν εἰς πρόσωπον). Ἀλλ' (ἵνα παραλίπωμεν καὶ ἄλλους πολλοὺς καὶ σοφοὺς) καὶ Λούθηρος ἐκεῖνος πρὸ τριῶν ἤδη αἰώνων περὶ τῶν σημείων ἔκρινε ταῦτα· « Κατὰ τοὺς Ἱερωνύμου χρόνους οὔπω πάντως φαίνεται συνεστῶσα ἡ χρῆσις τῶν στιγμῶν, ἀλλὰ χωρὶς αὐτῶν ἀνεγινώσκοντο πάντα τὰ βιβλία τῆς Γραφῆς » (α). Καὶ πάλιν· « Αἱ στιγμαὶ τῶν φωνηέντων δύνανται ἐπίσης ἀβλαβῶς καὶ λείπειν καὶ παρεῖναι (ἐν τῷ κειμένῳ) (β). Καὶ τέλος, ἀποφαίνεται λέγων· « Μωσῆς καὶ οἱ προφῆται συνέγραψαν (τὰς βίβλους) οὐ μετὰ στιγμῶν, νέα δέ τις ἀνθρώπων εὕρεσις ἐχρήσατο στιγμαῖς μετὰ τοὺς χρόνους ἐκείνων· διὰ τοῦτο οὐδεμία ἀνάγκη τούτων ἀντέχεσθαι στεῤῥῶς, ὅσον καὶ Ἰουδαῖοι ςέργουσιν αὐτὰς ἀσμένως, καὶ μάλιστα ἐν οἷς αὐταῖς χρῶνται ἐναντίον τῆς Καινῆς Διαθήκης» (γ). Καὶ ἰδίᾳ δὲ τοὺς κατ' αὐτὸν ἑβραϊστὰς παραινεῖ « τά

ὅσα κακῶς ἀνεγίνωσκον, καθ' ἣν παρέλαβον ἀπὸ στόματος διεφθαρμένην προφοράν. Ὁ δὲ Τύξην ᾤετο ἄρα, ὅτι μηδὲν τῶν περὶ τούτου πραγματευομένων μυριαρίθμων συγγραμμάτων, μηδ' αὐτὸ γοῦν τὸ σοφὸν αὐτοῦ βιβλίον, ἔσται περισεσῳσμένον μέχρι καὶ τῶν χρόνων ἐκείνων, καθ' οὓς ἀναπλάττει τὸν μετά τινας ἑκατονταετηρίδας ἐπελευσόμενον ἀπεικαστήν! Ἣ γοῦν ἐφαντάζετο τοῦτον μόνην τὴν τῶν Ἱσπανικῶν καὶ Γερμανικῶν Ἰουδαίων διακρίνοντα προφορὰν, ἄλλης δὲ πάσης ἀναγνώσεως καὶ μελέτης ἱστορικῆς καὶ κριτικῆς ἔρημον παντάπασι καὶ κωφὸν, ὡς ἂν ἀφιξόμενον ἐκεῖθεν «ἔνθα βοῦς πωλεῖται ὀβολοῦ» (τὸ τῆς παροιμίας)· καὶ τὰ μὲν Τυξήνεια ταῦτα. Ὁ δὲ Πείπφερος παρέβαλε δεῖγμα καὶ τῆς νῦν παρὰ τοῖς Γερμανικοῖς Ἰουδαίοις εἰθισμένης προφορᾶς τε καὶ γραφῆς τῆς Χαλδαϊζούσης Ταλμουδικῆς, ἢ Ῥαββινικῆς διαλέκτου (Crit. Sacr. pag. 404).

(α) Luther in Genes. c. 36. T. 6. Witt. f. 493, et c. 46. fol. 634.

(β) Id. in Gloss. ad Genes. c. 38. 12.

(γ) «Es ist das Vortheil da, dass Moses und die Propheten nicht haben mit Puncten geschrieben, welche ein neu Menschen-Fündlein nach ihrer

τε στίγματα, — καὶ τ' ἄλλα τῆς ἰουδαϊκῆς γραμματικῆς τὰ παραγγέλματα ὅπῃ ἂν δύνωνται μεταβάλλειν ἐν τῷ κειμένῳ, καὶ ἀπὸ τῆς ἰουδαϊκῆς ἐννοίας ἀποστρέφειν, ὅπως ἂν μᾶλλον συμφωνῶσι μετὰ τῆς Καινῆς Διαθήκης. Οἱ γὰρ Ἰουδαῖοι (φησὶ) μετὰ πολλῆς καὶ λυσσώδους ἐπιμελείας στιγμαῖς τε καὶ διαστολαῖς διέλαβον τὰ βιβλία τῆς Παλαιᾶς Γραφῆς οὕτως, ὥστε ταῦτα (ὅπου ἠδυνήθησαν) καταστῆσαι διαφωνοῦντα πρὸς τὴν Καινὴν Διαθήκην» (α). Τούτῳ δὲ καὶ Ζβίγγλιος συνεφώνησε, λέγων· «Οὐ μετὰ πολλῆς ἀσυκότητος οἱ Ῥαββῖνοι διέπλασαν καὶ ὑπέγραψαν τὰ φωνήεντα» (β). Βιβλιάνδρου δὲ τοὺς λόγους γράψομεν ἐφεξῆς (Κεφ. Ι, §. ϛ). Ὁ δὲ γάλλος Ἀββᾶς Μασκλέφας ἐπὶ τοῦ παρελθόντος αἰῶνος καὶ παντάπασιν ἐξώρισε τὰς στιγμὰς, ἐπινοήσας μέθοδον τοῦ ἀναγινώσκειν ἄστικτον παντάπασιν τὴν ἑβραϊκήν· καὶ φαίνεται μὲν ἡ μέθοδος λίαν εὐπρόσωπος καὶ εὐχερής· ἐνίοτε δὲ συμβάλλει καὶ πρὸς διαλλαγὴν τοῦ νῦν ἑβραϊκοῦ πρὸς τοὺς Ο, διότι ἐξευρίσκει τὴν ὑπὸ τὴν λόχμην τῶν στιγμῶν κατακεχωσμένην ἀληθινὴν ἀνάγνωσιν, ἣν ἀνέγνωσαν οἱ Ο, ἀλλ' ὅμως ἐν ἄλλοις πάλιν ἄγαν τραχηλιᾷ, πρὸς πᾶσαν ἀντιβαίνουσα τὴν σεβασμίαν ἀρχαιότητα, καὶ μηδὲ συστῆναι δυναμένη χωρὶς ποικίλης τοῦ γραφικοῦ κειμένου ἀνατροπῆς (γ).

Zeit aufgebracht, darum nicht Noth ist dieselbe so steiff zu halten, als die Jüden gerne wolten, sonderlich wo sie dem Neuen Testament zuwider gebraucht werden». Luther in Schemhamporasch περὶ τὸ τέλος.

(α) Μνημονεύει καὶ τούτου καὶ ἄλλων τοῦ Λουθήρου χωρίων ὁ σοφὸς Ὅδιος, καί πως ψέγει τὸν Λούθηρον, ὡς ἐν τοῖς ἑβραίοις γράμμασιν ἐπιπόλαιον ἔχοντα βαφὴν (Hody pag. 555). Ἀλλ' ὅτι μὲν ὁ Λούθηρος ὑπῆρχε πολὺ, παρὰ τὸν Ὅδιον βαθύτερος ἑβραϊστὴς, οὐδεὶς ἀντερεῖ. Οὐδ' ὅτι ἔκτοτε προέκοψεν ἐπὶ πολὺ, καὶ μάλιστα κατὰ τοὺς ἡμετέρους χρόνους, ἡ περὶ τὴν ἑβραϊκὴν φιλολογικὴ διδασκαλία. Ἀλλὰ καὶ οὕτω πάλιν οὐδεὶς οὐδέποτ' ἂν ἀρνηθείη, ὅτι οὐχ ἧττον ἀλλὰ καὶ μᾶλλον ἤδη γνωρίζουσι καὶ ὁμολογοῦσι τάς τε ἄλλας καὶ δὴ καὶ τὰς ἐκ τῆς Μασοριτείας στίξεως διαφθορὰς τοῦ ἑβραϊκοῦ κειμένου.

(β) Ulr. Zwingl. in Apolog. complanationis Esajae.

(γ) F. Masclef, Grammatica Hebraica à punctis, aliisque inventis Massorethicis libera. Paris. 1716. Ἐν ταύτῃ ὁ Μασκλέφας ὑποτίθησι πρῶτον τὰ

§. ιε. Τούτων οὕτως ἐχόντων περὶ τῶν ἐν τῷ ἑβραϊκῷ κειμένῳ στικτῶν φωνηέντων καὶ προσῳδιῶν, προκύπτουσι λοιπὸν προφανῶς πορίσματα τὰ ἐφεξῆς·

Α) Ὅτι ταῦτα τὰ σημεῖα μήτ᾽ ἀπὸ τοῦ Μωσέως, ἢ τοῦ Ἔσδρα καὶ τῶν προφητῶν ἔσχον τὴν ἀρχὴν, μήτε θεῖα καὶ θεόπνευστά εἰσι· Ῥαββίνων ταῦτα πλάσματα καὶ ὄνειρα, ἅπερ καὶ Χριστιανοί τινες καὶ κριτικοὶ παραδόξως ἐπίστευσαν, ἢ γοῦν ἐνόμισαν παραδεκτέα ἐξ ἀνάγκης· διότι, χωρὶς τοῦ τοιούτου θείου κύρους τῶν στικτῶν φωνηέντων, οἴχεται τὸ ἀπλανὲς καὶ ἀσφαλὲς τῆς ἀναγνώσεως τοῦ παρ᾽ αὐτοῖς κεκρατηκότος ἑβραϊκοῦ, ἐξ οὗ τὴν παλαιὰν Γραφὴν εἰς τὰς ἐγχωρίους αὐτῶν γλώσσας ἑρμηνεύουσι.

Β) Ὅτι τὰ σημεῖα ἐφεῦρον καὶ κατέγραψαν οἱ Μασορῖται μετὰ τὴν ἔκδοσιν τοῦ Ταλμούδου, τουτέστι μετὰ τὸ 500, ἢ τὸ 600 (μ. Χ.) ἔτος καὶ ἐφεξῆς, ὁπότε ἡ γνησία τῆς ἑβραϊκῆς γλώσσης προφορὰ ὑπῆρχεν ἤδη πρὸ πολλοῦ διεφθαρμένη.

Γ) Ὅτι διὰ τῶν στικτῶν τούτων φωνηέντων ἐβεβήλωσαν ἐν μέρει τὸ θεῖον καὶ προφητικὸν κείμενον οἱ ταῦτα προσαρτήσαν-

---

ἐξ ἑβραϊκὰ γράμματα γνήσια φωνήεντα· aleph = α μακρὸν, he = ε, vav = ου, (μέσον μεταξὺ τοῦ ο, καὶ υ, καὶ ἑκατέρων τὸν φθόγγον κατὰ τόπους ἀναπληροῦν), heth = η, Jod = ι, ajin = α (βραχύ). β) Μεταξὺ δύω συμφώνων τίθησι φωνῆεν, τὸ μεθ᾽ οὗ συνάπτεται συνήθως προφερόμενον τὸ προηγούμενον σύμφωνον (οἷον μεταξὺ τοῦ beth καὶ mem, ἢ β καὶ μ, τίθησι τὸ φωνῆεν ε, διότι μετ᾽ αὐτοῦ συνεκφωνεῖται τὸ προηγούμενον Beth, Βέ—θ· καὶ πάλιν μεταξὺ τοῦ Dal καὶ Beth τὸ α (μεθ᾽ οὗ συνεκφωνεῖται τὸ Da—l)· ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων συμφώνων τὸ ἀνάλογον. Ὥστε κατ᾽ αὐτὸν τὸ ΔΒΡ (λόγος) ἐκφωνητέον οὐχὶ Δαβὰρ (ὡς τὰ νῦν ἐκφωνεῖται), ἀλλὰ Δαβὲρ (διότι τὸ ἑβραϊκὸν β, ἔχει συνημμένον τὸ φωνῆεν ε). Διὰ τὸν αὐτὸν λόγον καὶ τὸ νῦν ἀναγινωσκόμενον Beer, (συγκείμενον ἐκ τοῦ Beth, aleph, resch) ἐκήρυξεν ἐκφωνητέον οὐχὶ Βεὲρ ἀλλὰ Βὰρ (διότι τὸ aleph = α). Οὕτω καὶ τὸ Elohim (aleph, lamed, he, jod, mem) ἐκφωνητέον Aleim, κτλ. Βλ. περὶ τούτων μακρότερα ἐν Fabricy, Des titres primitifs ete vol. 2. pag. 310. sqq. Τῷ Μασκλέφᾳ παρηκολούθησε καὶ Σάκκις (Sacchi). Ἀντεῖπον δὲ πρὸς αὐτοὺς ἄλλοι τε καὶ Καρψόβιος (Critica Sacr. p. 262), καὶ ὁ Gallicciolі, καὶ καθ᾽ ἡμᾶς Λουζάττος ὁ Ἰουδαῖος (Prolegom. p. 56). βλ. καὶ Encyclopédie—des Sciences et des Ars. Tom. VIII. pag. 78. Neuchat, 1765.

τες, καὶ παρεμβαλόντες Ἰουδαῖοι, ἄνθρωποι βέβηλοι καὶ ἀθείαστοι. Προσετέθησαν παρ' Ἕλλησιν εἰς τὴν θείαν Γραφὴν τὰ γραπτὰ σημεῖα τῆς προσῳδίας, ὧν χωρὶς καὶ οἱ Ο τὴν μετάφρασιν τῆς *Παλαιᾶς*, καὶ αὐτοὶ ἴσως οἱ θεῖοι Ἀπόστολοι τὴν *Καινὴν* συνέγραψαν Διαθήκην. Ἀλλὰ ταῦτα διαφέρουσι τῶν μασοριτείων σιγμάτων παρὰ πολὺ, μᾶλλον δὲ τὸ πᾶν. Καθότι, τὰ μὲν ἑλληνικὰ τῶν τόνων καὶ τῶν ἄλλων προσῳδιῶν σημεῖα συμβάλλουσι μὲν εἰς διάκρισιν τῆς ἐννοίας, ἀλλ' οὐχὶ καὶ μέρος οὐσιῶδες καὶ συστατικὸν τῶν λέξεων ἀποτελοῦσι· καὶ χωρὶς γὰρ τούτων ἡ λέξις ὑπάρχει τελεία καὶ ἀκέραιος (κἂν ὑπό τινος, τυχὸν, μὴ ὀρθῶς ἐκφωνηθῇ). Τὰ δὲ παρ' Ἰουδαίοις φωνήεντα σίγματα γραμμάτων ἐπέχουσι τόπον, ἰδίαν ἔχοντα φωνὴν, καὶ γίνονται ὁλοκληρωτικὰ τῆς λέξεως μέρη, καθὸ μετὰ τῶν συμφώνων συνιστῶντα τὰς συλλαβὰς, καὶ συναπαρτίζοντα τὰς λέξεις καὶ τὸν λόγον. Οἱ μὲν οὖν θεόπνευστοι προφῆται τὰ στοιχεῖα τοῦ ἑβραϊκοῦ ἀλφαβήτου μόνον ἔγραψαν ἐν τῷ ἱερῷ κειμένῳ, κατὰ τὸ ἰδίωμα τῆς ἑβραϊκῆς, ἥτις ἔξωθεν *(ὡς ἐπὶ τὸ πλεῖστον)* ὑπακουόμενον ἔχει τὸν πρὸς σχηματισμὸν ἑκάστης λέξεως ἀναγκαῖον φθόγγον τῶν φωνηέντων. Οἱ δὲ ῥαββῖνοι προσέθηκαν καὶ τούτων γραπτὰ σημεῖα, διασκευάσαντες τὴν προφητικὴν γραφήν. Ὥστε τὸ νῦν Μασορίτειον κείμενον σύγκειται ἔκ τε τῶν στοιχείων τῆς ἱερᾶς γλώσσης, δι' ὧν ἔγραψαν τὰς λέξεις οἱ θεόπνευστοι προφῆται (ἐν ὅσαις δηλονότι διασῴζονται εἰσέτι ἀκραιφνῆ καὶ ἀμετάβλητα ἐκεῖνα τὰ στοιχεῖα), καὶ ἐκ τῶν βεβήλων στιγμάτων, ἃ προσέθηκαν εἰς τόπον φωνηέντων ἄκρατοι ἄνθρωποι καὶ *τρισάνθρωποι*, μηδεμίαν ἔχοντες πρὸς τοῦτο θεόθεν ἀποστολὴν (ἵνα παρασιωπήσωμεν τῆς μετὰ Χριστὸν ἰουδαϊκῆς Συναγωγῆς τὸν χαρακτῆρα).

Δ) Ὅτι διὰ τῶν σημείων τούτων ἐπέβαλον ἐνστίξαντες ἐν τῷ ἱερῷ κειμένῳ σημασίας ξένας πολλάκις τοῦ προφητικοῦ καὶ θείου πνεύματος. Καθότι μηκέτι ζῶσαν ἔχοντες τὴν πρὸ πολλῶν αἰώνων παντελῶς σεσιγημένην ἑβραϊκὴν, παραλαβόντες δὲ τὰς Γραφὰς ἀστίκτους παντάπασι καὶ χωρὶς φωνητικῶν συμβόλων γε-

γραμμένας, καὶ ταύτας ἀναγινώσκοντες κατὰ τὴν πολλάκις πλανωμένην ἀπὸ στόματος παράδοσιν, ἣν παρέλαβον παρὰ τῶν ἐν πολλοῖς παρανοούντων, καὶ παχυλῶς ἀμαθαινόντων πατέρων αὐτῶν, ἔστιξαν λοιπὸν καὶ λέξεις πολλὰς διὰ φωνηέντων ὀθνείων καὶ νόθων, μηδὲ φύσει καταλλήλων καὶ προσφυῶν· καὶ οὕτω μεταξὺ τῶν γνησίων καὶ προφητικῶν ἐννοιῶν παρανέμιξαν καὶ πολλὰς παρασημασίας, κατὰ τὰς χαλδαϊκὰς, ἢ καὶ τῶν καββαλιστῶν ῥαββίνων τὰς ἐξηγήσεις, καὶ ἁπλῶς, ἀλλοτρίας τῆς γνώμης τῶν ἱερῶν συγγραφέων. Εἴδομεν ἐν τοῖς προλαβοῦσιν εἰς πόσας ὁμωνυμίας καὶ ἀμφιβολίας ὑπόκειται πᾶσα σχεδὸν ἄστικτος λέξις ἑβραϊκὴ, οὐ μόνον καθ' ἑαυτὴν θεωρουμένη, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ τοῦ κειμένου συμφράσει συνειρομένη (α). Ἐκ δὲ τοιαύτης ἀτόπου στίξεως

(α) Οὕτω φέρ' εἰπεῖν ἡ ἐκ τεσσάρων γραμμάτων συνεστῶσα ἑβραϊκὴ λέξις ΣΜΙΜ (Schmim) δι' ἄλλων ἄλλοτε φωνηέντων στιζομένη, παρέχει σημασίας ἕξ. 1) Οὐρανοὶ (ἢ οὐρανὸς, schamaim). 2) τιθέντες, ἢ διατιθέντες. 3) ἐρημοῦντες. 4) σκόροδα (schumim). 5) τὸ ἐξ οὐρανοῦ, ἢ τὸ ἐκ τῆς δύσεως, ἢ τὸ ἐκ τῆς λεκάνης. 6) τὸ ἐκ τοῦ ὕδατος. Ἐὰν δὲ πάλιν ἡ αὐτὴ λέξις εἰς δύω διαιρεθῇ, προκύπτουσιν ἄλλαι πέντε σημασίαι. 1) Ἐκεῖ θάλασσα, ἢ ἐκεῖ δύσις κτλ. (Scham jam). 2) ὄνομα θαλάσσης, ἢ δύσεως; κτλ. (Schem jam), 3) ἔθετο θάλασσαν κτλ. 4) ἠρήμωσε θάλασσαν, κτλ. 5) σκόροδον θαλάσσης (Schum jam) κτλ. Ὅταν δὲ καὶ ἐν τῇ συμφράσει καὶ συναφείᾳ τοῦ λόγου ἡ αὐτὴ λέξις ὑποτεθῇ εἰς δύω διαιρουμένη, ἢ καὶ ὁλόκληρος μένουσα, τῇ δὲ προηγουμένῃ λέξει ἓν ἢ δύω τῶν γραμμάτων αὐτῆς μεταδιδοῦσα, τότε καὶ ὅλος ὁ λόγος ποικίλας λαμβάνει μορφὰς καὶ σημασίας. Οὕτω τὸ ἑβραϊκὸν « Βρεσὴθ βαρὰ Ἐλωῒμ ἔθ' Σαμαῒμ (Schamaim)» τουτ. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν» δι' ἄλλων καὶ ἄλλων φωνηέντων ἐκφερόμενον, συνεργούσης ἅμα καὶ τῆς διαιρέσεως, ἢ κατά τινα γράμματα συνθέσεως τῶν γειτόνων λέξεων, μεταπίπτει καὶ εἰς ἄλλας διαφόρους σημασίας· οἷον Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς ὁ ἰσχυρὸς τὴν θάλασσαν»· ἢ ἄλλως, «Ἐποίησε θεμέλιον δημιουργῶν ὁ κύριος τὸν οὐρανόν»· καὶ ἄλλως, «Ἐξεκάθηρε στολισμὸν, ὑπέκλινε πρὸς δυσμὰς τοὺς οὐρανούς» κτλ. καὶ ἄλλας μεταλλάσσει σημασίας παντοδαπὰς, καὶ πάσας κατὰ κανόνας γραμματικούς! (Βλ. Μορίνου Lib. I. Exercit. VI. c. 2. p. 105, 106). Τοιαῦτα ἀναγνώσματα γίνονται καὶ κατ' ἄλλας γλώσσας, καὶ κατ' αὐτὴν τὴν ἑλληνικὴν, ὅταν τις ὅλον λόγον συντιθεὶς, γράφῃ μόνα τὰ σύμφωνα τῶν λέξεων, τὰ δὲ φωνήεντα ἔξωθεν ἐπιβάλλῃ, ἄλλοτε ἄλλα· οἷον ὅταν γράφῃ, ΦΡ ΤΝ ΠΛΝ Κ ΤΝ ΓΝ· καὶ ἀναγινώσκῃ ΦέΡει ΤὸΝ ΠόΛον (ἢ ΤὴΝ ΠόΛιΝ) Καὶ ΤὴΝ ΓῆΝ. ἢ, ΦέΡει ΤὴΝ ΠάΛηΝ Καὶ ΤὸΝ ἀΓῶΝα, (ἢ Καὶ ΤόΝοΙ ΓόΝυ), κτλ· ἢ καὶ συνάπτῃ, ἢ

φωνηέντων ἀκαταλλήλων μετεβλήθησαν ἐν τῷ ἑβραϊκῷ πολλῶν λέξεων αἱ σημασίαι. Οὕτω, φέρ' εἰπεῖν, ἐν Γενέσ. μζ. 3. οἱ Μασορῖται στίξαντες κακῶς, ἔγραψαν *μιττὰ* (mittah) (κλίνην), ἀντὶ τοῦ *ματτὲ* (matteh), ὡς ὀρθῶς οἱ Ο ἀνέγνωσαν, καὶ ἡρμήνευσαν *ῥάβδον*· καὶ μάρτυς ὁ θεῖος Παῦλος (α). Καὶ πάλιν ἐν Ἀμὼς ε, 26, οἱ Μασορῖται ἐτόνισαν *Σικκοὺθ* (κύριον), ὅπου οἱ Ο ὀρθῶς ἀνέγνωσαν *Σουκκὼθ*, καὶ ἡρμήνευσαν *σκηνήν*· καὶ μάρτυς ὁ ἀπόστολος Λουκᾶς, καὶ Στέφανος ὁ πρωτομάρτυς (β). Καὶ πάλιν, Ἀμὼς θ, 12, τὸ ἑβραϊκὸν κατὰ τὴν Μασορίτειον στίξιν ἔχει *Ἐδὼμ* (κύριον), ὅπου οἱ Ο, ὀρθῶς ἀνέγνωσαν *ἀδὰμ* (adam), καὶ μετέφρασαν *ἀνθρώπων*· καὶ μαρτυροῦσιν οἱ θεόπνευστοι Ἀπόστολοι Ἰάκωβός τε καὶ Λουκᾶς (γ). Πάλιν ἐν Ψαλμ. β, 9, οἱ Μασορῖται ἐτόνισαν *τροὲμ* (συντρίψεις), ἀλλ' οἱ Ο, γνησίως ἀνέγνωσαν *τιρὲμ*, καὶ μετέφρασαν *ποιμανεῖς*· καὶ μάρτυς ὁ Εὐαγγελιστὴς Ἰωάννης, ἐπαναλαβὼν τὴν φράσιν τρίς (δ). Ἄλλα παραδείγματα παραλείπομεν ἐνταῦθα. Προστιθέμεθα δὲ μόνον ὅτι καὶ

διαιρῇ τὰ γείτονα σύμφωνα· οἷον, ΦύΡει ΤὴΝ ΠόΛιΝ, ΚΤείΝει ΓέΝη (ἢ ΚόΤον ΓεΝΝᾷ), ἢ ΦόΡΤοΝ ΠοΛὺΝ ἀΚάΤιοΝ ἄΓοΝ, κτλ.

(α) «Προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ» (οἱ Ο, καὶ Ἑβρ. ια, 21)· τὸ δ' ἑβραϊκὸν, «τῆς κλίνης αὐτοῦ». Βλ. ὄπισθ. Βιβλ. Β. κεφ. I. σελ. 680.

(β) «Ἀνελάβετε τὴν σκηνὴν Μολὸχ» (οἱ Ο, καὶ Πράξ. ζ, 43)· τὸ δ' ἑβραϊκὸν (ἐκδ. Mont.) «Σικκοὺθ τὸν βασιλέα ὑμῶν» (ὡς εἰδώλου ὄνομα). Βλ. ὄπισθ. Βιβλ. Β. κεφ. δ. σελ. 336.

(γ) «Οἱ κατάλοιποι τῶν ἀνθρώπων» (οἱ Ο, καὶ Πράξ. ιε, 17).

(δ) «Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ», οἱ Ο, καὶ Ἀποκαλ. β, 27. ιβ, 5. ιθ, 15. Ὁ δὲ σοφὸς Καπέλλιος παραδόξως εὑρίσκει μᾶλλον κατάλληλον τὸ μασορίτειον συντρίψεις, διὰ τὸ ἑπόμενον (λέγει) «σκεύη κεραμέως». Ἀλλὰ τοῦτο μὲν ἔχει τὸ ἴδιον ῥῆμα, τὸ συντρίψεις (ὅπερ ἐν τῷ ἑβραϊκῷ συνθραύσεις, confringes, οἱ δὲ καὶ διὰ δύω λέξεων ἐκφέρουσι, confractos disperges· ἐπειδὴ τὸ πρῶτον ἐξήγησαν συντρίψεις, conteres!). Ὁ δὲ θεῖος Ἰωάννης ἐπικυροῖ τε ἅμα καὶ ἐπεξηγοῖ τοὺς Ο, «Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίβεται» (Ἀποκάλ. β, 27), ταύτῃ δηλαδὴ τῇ σιδηρᾷ ῥάβδῳ, ἣν ὁ Γρότιος ἐξέλαβεν ἀντὶ ξίφους. Οὕτω πάλιν ἀλλαχοῦ (Μιχ. ε, 6) αὐτὸ τὸ ἑβραϊκὸν καὶ οἱ Ο ἔχουσι «ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ» (ἀπὸ τῆς τοῦ ποιμένος μεταφορᾶς, ὅστις καὶ τρέφει ποιμαίνων, καὶ ῥάβδῳ καθάπτεται, καὶ ῥομφαίᾳ παραδίδωσιν εἰς σφαγήν).

ἐκ προνοίας καὶ ἐξεπίτηδες οἱ στιγματογράφοι ἀπεμακρύνθησαν ἀπὸ τῆς γνησίας καὶ φυσικῆς ἐννοίας τοῦ ἱεροῦ κειμένου, ξενοφώνως στίξαντες οὐκ ἐν τῷ περισελίδῳ, ἀλλ' *αὐτοῦ τινα τοῦ κειμένου χωρία*, ὅπως ἀποφύγωσι τολμηράς τινας αὐτοῖς φανείσας μεταφοράς, ὧν τὴν ἔννοιαν μὴ κατανοῶν ὁ λαὸς ἐσκανδαλίζετο (!). Ταύτην δὲ τὴν μέθοδον οἱ στιγματισταὶ παρέλαβον ἐκ τῶν Χαλδαίων παραφραστῶν. Ταῦτα τρανῶς ἀνεκήρυξεν ἐπίσημος ἀνήρ, εἷς τῶν καθ' ἡμᾶς ἀνθούντων ῥαββίνων (α), εἰλικρινῶς τε ἅμα καὶ ἐπισταμένως καὶ ψηλαφητῶς ἀποδεικνύων

(ε) «In alcuni luoghi però i Puntatori sonosi deliberamente scostati dal senso piu naturale del sacro testo, e ciò ad oggeto di travestire alcune ardite metafore, di cui il popolo potuto non avrebbe colpire il vero senso, e vi avrebbe trovata cagione di scandalo. Questo prudente metodo, molto usato dai Parafrasti Caldei, etc. Luzzatto, Prolegomeni pag. 21. Ταῦτα ὁ σοφὸς Λουζάττος· καὶ φέρει παραδείγματα τοιούτων ἐξεπίτηδες παρὰ τὴν γνησίαν προφορὰν παρεστιγμένων λέξεων τῆς ἑβραϊκῆς Γραφῆς τὰ ἐν Ἡσ. α, 12. Ψαλμ. μϐ, 3. Ἐξόδ. λδ, 24 κτλ. Βλέπε καὶ τὰς τούτου εἰς τὸν Ἡσαΐαν ἐπιστασίας γαλλιστὶ ἐκδοθείσας ὑπὸ τοῦ Rosenmüller ἐν τῷ προμετωπίῳ τῶν εἰς Ἡσαΐαν αὐτοῦ Σχολίων (ἐν Schol. in V. Test. in comp. redact. Tom. 2. p. XXVI). Προστίθησι δὲ ὁ Λουζάττος (Proleg. p. 22), ὅτι οἱ στιγματογράφοι ἠλλοίωσαν μὲν πολλαχοῦ τὴν ἐ κ φ ώ ν η σ ι ν (δηλονότι τὰ φ ω ν ή ε ν τ α) τοῦ ἱεροῦ κειμένου, οὐδέποτε δὲ ὅμως τὸ κ ε ί μ ε ν ο ν α ὐ τ ὸ (δηλονότι τὰ γραπτὰ σ ύ μ φ ω ν α). Ἀλλ' εἰ μὲν μικρὸν νομίζει πρᾶγμα, καὶ ἀνεύθυνον τὸ μ ε τ α β ά λ λ ε ι ν τ ὰ φ ω ν ή ε ν τ α τῆς λέξεως, κρινέτω ὁ ῥαββὶς ὅπως ἐθέλει· οὐδένας ὅμως ἕξει τοὺς συναινοῦντας, ὡς οὐ παραχαράττει τὰς λέξεις ὁ τὰ φωνήεντα μεταποιῶν, καὶ τρέπων, φέρ' εἰπεῖν, τὸ μ ι κ ρ ὸ ς εἰς τὸ μ α κ ρ ὸ ς, καὶ τὸ χ ο ρ ὸ ς εἰς τὸ χ ο ῖ ρ ο ς. Ὅτι δὲ καὶ περὶ τὰ γράμματα κἄτι παρετόλμησαν οἱ παλαιοὶ ῥαββῖνοι, μαρτυρεῖ μετ' ἄλλων καὶ τὸ Κ α α ρ ί (βλ. σελ. 145). Τὴν δ' οὖν περὶ τὴν στίξιν ἑκουσίαν μεταβολὴν ὁ Λουζάττος (Proleg. p. 22) πειρᾶται δικαιοῦν ὡς ἀρχαίαν παράδοσιν, καταβαίνουσαν ἐκ τοῦ στοματικοῦ νόμου (τῶν Δευτερώσεων. βλ. ὄπισθ. σελ. 108), καὶ κατὰ τοῦτο (λέγει) τὸ ἀξίωμα οἱ ἐξηγηταὶ τῆς Γραφῆς ὀφείλουσι προτιμᾶν τ ὴ ν κ ο ι ν ὴ ν ὠ φ έ λ ε ι α ν, παρὰ τ ὴ ν ἐ ξ η γ η τ ι κ ὴ ν ἀ λ ή θ ε ι α ν! Φέρει δὲ πρὸς τοῦτο συμφωνοῦσαν καὶ γνώμην τοῦ Κικέρωνος τὴν ἐφεξῆς· «Omnes leges ad commodum reipublicae referre oportet, et eas e x u t i l i t a t e c o m m u n i, n o n e x s c r i p t i o n e, quae in litteris est, i n t e r p r e t a r i» (De invent. rhetoric. I, 38). Ἀλλ' ὁ μὲν τῆς Ῥώμης ῥήτωρ συμβουλεύων ἑρμηνεύειν τοὺς νόμους οὐ κατὰ γ ρ ά μ μ α, ἀλλὰ πρὸς τὸ κ ο ι ν ὸ ν σ υ μ φ έ ρ ο ν τῆς πολιτείας, οὐκ εἶπεν ὅμως καὶ διαφθείρειν ἐν τῷ γράφειν καὶ προφέρειν τοῦ νόμου τὰς λέξεις, ἀλλ' ἀντ' ἀλ-

οὐκ ὀλίγας λέξεις, ἄλλως, ἢ κατὰ τὴν γνησίαν ἔννοιαν τοῦ κειμένου, διαστιχθείσας ὑπὸ τῶν Μασοριτῶν (καὶ μάλιστα τὰς ἀναγομένας εἰς Θεὸν, ὡς τὸ « ἰδεῖν τὸν Θεὸν »), πρὸς ἀποφυγὴν τῆς ἀνθρωπομορφίας, καὶ χάριν εὐφημισμοῦ, οὗ τινος ἐνόχους καὶ τοὺς Ο τινὲς τῶν κριτικῶν ἐπεχείρησαν ἀποδεῖξαι! (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιβ. σελ. 832–856)· καὶ ταῦτα μὲν οὕτως. Ἡμεῖς δ' ἐκ τῶν προειρημένων συνάγομεν συμπέρασμα τὸ ἐφεξῆς.

Ε) Ὅσαι λέξεις καὶ χωρία τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου προφερόμενα κατὰ τὴν στίξιν τῶν Μασοριτῶν, ἀντιλέγουσι πρὸς τὴν ἑρμηνείαν τῶν Ο, εἰ μὲν, μεταβαλλομένων τῶν φωνητικῶν στιγμῶν, συμφωνήσουσι, τοῦτο κράτιστον· (τούτῳ δὲ τῷ τρόπῳ, καί τοι δυσχερῶς καὶ πολλάκις ἐπισφαλῶς, ἐπεχείρησαν ὅμως καί τινες τῶν νεωτέρων, διαλλάττοντες τὴν ἑβραΐδα γραφὴν πρὸς τοὺς Ο) (α). Εἰ δὲ μὴ, πάντα ταῦτα τὰ διαφωνοῦντα καὶ ἀντιλέγοντα χωρία τοῦ ἑβραϊκοῦ κακῶς ἔστιξαν οἱ Μασορῖται, κατὰ τὴν τότε παρ' αὐτοῖς ἐπικρατοῦσαν διεφθαρμένην προφορὰν (ἥτις ἐνίοτε φαίνεται καὶ παρὰ τοῖς μετὰ Χριστὸν μεταφρασταῖς)· καὶ παραπέμπομεν λοιπὸν τὴν κατ' αὐτοὺς ἀνάγνωσιν αὐτῇ θεοπνευστίᾳ τῶν στιγμῶν πρὸς τοὺς ῥαββίνους καὶ τοὺς ῥαββινιστάς. Ἡμεῖς δὲ φρονοῦμεν βεβαίως καὶ πιστῶς (ὅπερ καὶ ἐξ αὐτῶν ἀποδείκνυται τῶν πραγμάτων, εἰλικρινῶς ἐξεταζομένων), ὅτι κατ' ἐκεῖνα μόνον τὰ μέρη τῶν προφητικῶν Γραφῶν ἐξέφρασαν δι' ὧν ἐπενόησαν

λων φωνήεντα ἀνταλλάσσοντας πρὸς τὸ κοινὸν συμφέρον! Ὁ δ' οὖν περίφημος ῥαββὶς συγχρόνως ὡμολόγησεν, ὅτι ἓν τῶν τοῦ στοματικοῦ νόμου παραγγελμάτων ὑπῆρχε καὶ τὸ περὶ τὰς λέξεις τῆς Γραφῆς παραφωνεῖν ἐπ' ὠφελείᾳ τοῦ κοινοῦ τῶν Ἰουδαίων! καὶ κατὰ τοῦτο πάντως ἠρίστευσεν ὁ διαβόητος τῶν Δευτερώσεων καθηγητὴς Ἀκκιβᾶς (βλ. ὄπισθ. σελ. 75).

(α) Βλ. Morin. L. I. Exercit. VI. c. 3. p. 109 sqq. καὶ Ed. Pocockij Porta Mosis, sive Dissertationes aliquot etc. Oxonij 1655. Ἀλλὰ κἂν τούτῳ τῷ σοφῷ συγγράμματι ἔνεισι « φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά ». Διορθοῦνται εὐτυχῶς πολλὰ τοῦ ἑβραϊκοῦ· ἀλλὰ παραβιάζονται πολλὰ καὶ τῶν Ο. Ἔστι δ' ὅπου καὶ ῥαββινικαί τινες ἀρχαῖαι καὶ κρονόληροι γνῶμαι πιστεύονται παρὰ τὸ προσῆκον.

σημείων οἱ Μασορῖται τὴν γνησίαν καὶ προφητικὴν προφορὰν καὶ σημασίαν, καθ᾽ ὅσα συμφωνοῦσιν ἀκριβῶς καὶ οἱ Ο.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Περὶ δύω ἄλλων ἐπικρατουσῶν παρ᾽ Ἰουδαίοις ἐπισήμων τοῦ ἑβραϊκοῦ κειμένου διαφορῶν, α) τῆς μεταξὺ τῶν ἀνατολικῶν καὶ δυτικῶν Ἰουδαίων, καὶ β) τῆς μεταξὺ τοῦ Βὲν Ἀσὴρ, καὶ τοῦ Βὲν Νεφθαλείμ.

§. α. Εἴπομεν ἐν τοῖς προηγουμένοις (κεφ. β. §. λη) περὶ τῶν λεγομένων Ἀνατολικῶν (ἤτοι τῶν ἐν Ἀσσυρίᾳ καὶ Παρθικῇ), καὶ Δυτικῶν (Παλαιστινῶν καὶ Αἰγυπτίων καὶ Εὐρωπαίων) Ἰουδαίων. Οὗτοι τοίνυν χρῶνται καὶ χειρογράφοις, ἢ καὶ τύποις ἐκδεδομέναις βίβλοις τῆς Γραφῆς, αἵτινες, τῶν ἄλλων τῶν αὐτῶν μενόντων ἰδιωμάτων, διαφέρουσιν ὅμως πρὸς ἀλλήλας κατά τινα τοῦ κειμένου χωρία. Ἡ δὲ τούτων διαφορὰ συνίσταται περί τινα τῶν *γραπτῶν* καὶ *περισελιδίων* ἀναγνωσμάτων (ἢ *κετιβίων* καὶ *κερίων*). Ταῦτα δ᾽ ἀριθμοῦνται συνήθως τὰ πάντα 216, ἢ 220. Καὶ τούτων αἱ παραλλαγαὶ συνιστῶσιν ἰδίως τὴν μεταξὺ τῶν Ἀνατολικῶν καὶ Δυτικῶν κωδήκων ἑτεροιότητα.

§. β. Διαφέρουσι δὲ παρ᾽ ἑκατέροις ταῦτα τὰ ἀναγνώσματα καθ᾽ οὓς προείπομεν τρόπους καὶ ἐπὶ τῶν ἄλλων, τῶν ἐν τῷ ἑβραϊκῷ κώδηκι ἀναγνωστῶν τε καὶ γραπτῶν, τουτέστι κατά τε γράμματα καὶ κατὰ λέξεις, καὶ ἢ ἐλλείψει, ἢ πλεονασμῷ, ἢ μεταθέσει, ἢ ἐναλλαγῇ. Καὶ νῦν μὲν ἡ ἀνάγνωσις τοῦ *γραπτοῦ* τῶν Ἀνατολικῶν ἡ αὐτή ἐστι καὶ τῶν Δυτικῶν, διαφέρει δὲ ὅμως παρ᾽ ἐκείνοις τὸ *ἀναγνωστὸν*, νῦν δὲ τ᾽ ἀνάπαλιν. Διέλαβε δὲ καὶ περὶ τούτων ἀκριβῶς ὁ σοφὸς Καπέλλιος, ἀπαριθμήσας μετὰ πολλῆς ὑπομονῆς καὶ τὰ χωρία καὶ τὰς λέξεις αὐτάς (α). Ἡμεῖς δὲ τῆς τοιαύτης ἐνοχλήσεως ἀπαλλάξομεν τὸν ἀναγνώστην, ἐκεῖ-

---

(α) Βλ. Cappell. Crit. Sacr. L. III. cap. 17. pag. 187—195.

νο μόνον προσθέντες· ὅτι καὶ τοῦτο πρόκειται δεῖξις τῆς τερατείας τῶν Μασορικῶν καὶ τῶν τούτοις πειθομένων, οἵτινες διδάσκουσιν «ὅτι τὰ κατ᾽αὐτοὺς Κερία καὶ Κετίβια παρὰ Θεοῦ τῷ Μωϋσῇ καὶ τοῖς προφήταις ἐξ ἀρχῆς ἀπεκαλύφθησαν! ». Μὴ γὰρ οἱ προφῆται παραδεδώκασι τοῖς ἰδίοις αὐτῶν μαθηταῖς, ὅτι *Οἱ μὲν ἀνατολικοὶ Ἰουδαῖοι ταύτην, ἢ ἐκείνην τὴν φωνὴν οὕτω μέν πως ὀφείλουσι γράφειν, οὕτω δέ πως ἀναγινώσκειν· οἱ δὲ πάλιν Δυτικοὶ τὰς λέξεις τὰς αὐτὰς ἄλλως ὀφείλουσι γράφειν, καὶ ἄλλως ἀναγινώσκειν*; Τοῦτο δὲ φρονοῦντες καὶ δογματίζοντες οἱ οὕτω δογματίζοντες, ἄλλο τι κηρύττουσιν, ἢ τὸ κήρυγμα τὸ ἐφεξῆς; Ὅτι μετὰ τὴν τοῦ ναοῦ καταστροφὴν καὶ τὴν θεήλατον τοῦ ἔθνους συμφορὰν καὶ διασπορὰν, μηδενὸς περισωθέντος ἀπογράφου γνησίου, μαρτυροῦντος τὴν ἐν τῷ ναῷ καὶ παρὰ τοῖς ἱερεῦσι καὶ γραμματεῦσιν ἄπτωτον χρῆσιν τῆς ἀναγνώσεως τοῦ κειμένου, τῶν ἄλλων δὲ τῶν κατὰ τόπους κωδήκων ποικίλως διαφθειρομένων ὑπ᾽ ἀντιγραφέων μοχθηρῶν, καὶ πολλῶν ἄλλων περιστατικῶν, ἐπελθόντες ὕστερον οἱ ῥαββεῖς διέφθειραν κατὰ καιροὺς τὸ κείμενον ἐπὶ πλέον, ἄλλοι ἄλλας ἀναμίξαντες διαφόρους ἀναγνώσεις, καὶ ἐκθειάσαντες καὶ αὐτὰς τὰς πλάνας τῶν ἀντιγραφέων.

§. γ. Β) Ἄλλαι διάφοροι ἀναγνώσεις ἐγέννησαν τὴν διαφορὰν τὴν μεταξὺ τοῦ Ἀσηρίδου καὶ Νεφθαλείδου (περὶ ὧν προείπομεν κεφ.β. §. λθ)· διαφέρονται δὲ οὗτοι οὐχὶ περὶ λέξεις, ἢ γράμματα τοῦ κειμένου, ἀλλὰ μόνον περί τινας προσῳδιῶν καὶ φωνηέντων στιγμάς. Καὶ τὴν μὲν τοῦ Νεφθαλείδου διάταξιν ἀκολουθοῦσιν οἱ *Ἀνατολικοὶ*, τὴν δὲ τοῦ Ἀσηρίδου οἱ *Δυτικοί*· ἔστι δ᾽ ὅπου παραδέχονται καί τινας κατὰ τὸν Νεφθαλείδην ἀναγνώσεις. Διέλαβε δὲ καὶ περὶ τούτων ὁ Καπέλλιος (α). Ἐσημείωσε δὲ καὶ ὅτι αἱ περὶ μόνα τὰ σημεῖα τῆς στίξεως αὗται παραλλαγαὶ πάντως ἐγεννήθησαν μετὰ τὴν εὕρεσιν καὶ καταγραφὴν τῶν στιγμῶν

(α) Cappell. Crit. Sacr. L. III. c. 18.

(τοῦτο καὶ ὁ λευΐτης Ἠλίας ὁμολογεῖ), καὶ ἴσως προῆλθον παρὰ τῶν ἐσχάτην χεῖρα ἐπιβαλόντων εἰς τὴν κατάστιξιν τοῦ κώδηκος, οἵτινες ἐφιλοτιμήθησαν προσθεῖναι καὶ τὰ παρ᾽ ἑαυτῶν ψεύδη πρὸς τοῖς ἐφευρήμασι τῶν προγενεστέρων. Οὐδὲ γὰρ ἅμα τε ἤρξατο καὶ ἐξετελέσθη τὸ *μέγα* τῆς στίξεως ἔργον, ἀλλ᾽ ὑπὸ διαφόρων ῥαββίνων κατὰ διαφόρους βαθμοὺς, καὶ καιροὺς διαφόρους, διὰ πολλῶν ἐτῶν ἐφιλοπονεῖτο τεκταινόμενον, μέχρις οὗ κατήντησεν εἰς ἣν ἔχει τὴν σήμερον σφυρήλατον τελειότητα· ἔσχατον δὲ γάνωμα προσέθηκαν οἱ περὶ τὸν Ἀσηρόπαιδα καὶ τὸν Νεφθαλείδην τὴν σημείωσιν τῶν κατ᾽ αὐτοὺς διαφόρων ἀναγνωσμάτων. Καὶ φαίνεται τὸ τῆς εὑρέσεως ὀψίγονον ἐξ αὐτῆς τῆς φύσεως αὐτῶν, ἅτε περὶ μικρά τινα ἀσχολουμένων· καὶ ὅμως ἐπὶ τούτοις διεφέροντο μεγάλως καὶ μονονοὺ διεξιφίζοντο οἱ ῥαββεῖς, πολὺν θόρυβον ἐλαύνοντες ἀξίως τῆς ἀλαζονικῆς αὐτῶν ἀμαθείας. Δείκνυται δι᾽ οὖν καὶ ἐκ τούτων, ὅτι ἡ γνησία προφορὰ, καὶ ἑπομένως ἡ σημασία πολλῶν ἑβραϊκῶν φωνῶν ὑπῆρχεν ἤδη παρὰ τοῖς ῥαββίνοις τεταραγμένη καὶ συγκεχυμένη· διὸ καὶ διεφέροντο περὶ τὸν διὰ τῆς στίξεως σχηματισμὸν τῶν λέξεων.

§. δ. Ταῦτα καὶ περὶ τούτων τῶν παρ᾽ αὐτοῖς Ἰουδαίοις σεσημειωμένων ἐν τῷ κατ᾽ αὐτοὺς κειμένῳ διαφορῶν. Περὶ δὲ τῶν ἄλλων μυριάδων τῶν διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, ὅσαι καταφαίνονται ἐκ τῆς πρὸς ἀλλήλους ἀντιβολῆς τῶν τε χειρογράφων, καὶ τῶν ἐκτυπωθέντων κωδήκων τῆς ἑβραΐδος Γραφῆς, προείπομεν· καὶ ὅτι τῶν πολυπληθῶν χειρογράφων πολύχουν καὶ πλουσίαν παράθεσιν ὁ Ῥόσσις ἐξέδωκε, σημειώσας τὰς ποικίλας παραλλαγάς. Ἐκ τούτων ἡμεῖς ἐκλέξαντες παραθήσομεν ἐν τοῖς ἐφεξῆς (κεφ. ιγ) τὰς μετὰ τῶν Ο συμφωνούσας ἐν ἐκείνοις τοῖς τόποις, καθ᾽ οὓς τὸ κοινῶς παραδεδεγμένον ἑβραϊκὸν κείμενον διαφέρει.

§. ε. Ἀλλὰ καὶ τῶν τύποις ἐκδεδομένων ἑβραίων κωδήκων ἐν πολλαῖς ἐκδόσεσι διαφόρους ἀναγνώσεις ἰδίως ἐσημείωσαν οἱ πολυμαθεῖς ἐκδόται, οἷον Οὐβιγάντης, καὶ Κεννικῶτος, καὶ ἄλλοι, περὶ ὧν προείπομεν. Καὶ ὅτι μὲν καθ᾽ ὅλας τὰς ἐκδόσεις τοῦ

κοινῶς παραδεδεγμένου κειμένου θεμέλιου χώραν ἐπέχει, καὶ οἷον πηγή τις ἐστιν ἡ τοῦ ῥαββὶ Χαΐμου ἔκδοσις (τῷ 1525), πλήρης οὖσα σφαλμάτων, ὡς ἀπὸ διεψευσμένου κώδηκος ἀρυσθεῖσα (ἐξ ἧς καὶ εἰς τὰς λοιπὰς ἐκδόσεις πολλὰ σφάλματα μετωχετεύθησαν), οὐ μόνος Οὐβιγάντης ἀνεκήρυξεν, ἀλλὰ καὶ πολὺ μετ' αὐτὸν ὁ ἔνδοξος Ῥόσσις μετὰ πάντων (ὡς λέγει) τῶν κριτικῶν (α). Καὶ περὶ τούτων μὲν τῶν ἐν τῷ κοινῷ ἑβραϊκῷ ἐπισήμων καὶ προφανῶν ἁμαρτημάτων μελήσει πάλιν αὐτοῖς τοῖς ἑβραΐζουσι κριτικοῖς. Ἡμεῖς δ' ἐνταῦθα παροδικῶς σημειοῦμεν ὀλίγας ἐκ πολλῶν τῶν περὶ τὰς ἀναγνώσεις διαφορῶν, ὅσαι ἀπαντῶσιν ἐν ἐκδόσεσι γνωσταῖς καὶ τοῖς Ἰουδαίοις, Δυτικοῖς τε καὶ Ἀνατολικοῖς (β)· ἐκ δὲ τῶν ἀναγνώσεων τούτων ὅσαι συμφωνοῦσι πρός τε τὰς ἀρχαίας μεταφράσεις καὶ μάλιστα πρὸς τοὺς Ο, δικαίως λοιπὸν αὗται τὰς διαφωνούσας ἐξελέγχουσι ψευδομένας.

Παροιμ. κα, 4· κατὰ μὲν τὴν ἔκδοσιν τοῦ Πλαντίνου καὶ τοῦ Ῥοβέρτου Στεφάνου ἀναγινώσκεται Ner, *λύχνος*, ἢ λαμπτήρ· οὕτως ἡρμήνευσαν καὶ οἱ Ο, « λαμπτὴρ δὲ ἀσεβῶν ἁμαρτία » (αὐτόθ.). Τοῦτο λέγει καὶ τὸ Ταργούμ. Ἀλλ' ἡ Βαμβέργειος καὶ ἡ τοῦ Μυνσέρου ἔκδοσις ἔχει Nir, ἤτοι νέωμα (νειός, νεήροτος ἀγρός)· οὕτω καὶ λατινιστὶ μετέφρασεν ὁ Μύνστερος (novale)· ἡ δὲ Τιγουρίνα, καὶ Ἰούνιος, καὶ ὁ Τρεμέλλιος, *ἄροσις* (aratio), οὕτω καὶ ἡ ἀγγλικὴ μετάφρασις (plowing), καὶ ἡ γαλλικὴ ὡσαύτως (labourage).

Ναοὺμ α, 14. Αἱ τοῦ Στεφάνου, Βαμβέργου, Μυνστέρου, ἐκδόσεις ἔχουσι ki kalloth « *ὅτι ὑβρίσθης* », ὡς ἔχει καὶ ἡ Ε, ἔκδοσις (ἐν τοῖς Ἑξαπλοῖς), ἣ παρηκολούθησε καὶ Ἱερώνυμος (quia

(α) «Annon demum fatentur omnes critici fontem hodiernarum editionum, vel Vulgati textus esse Biblia Veneta R. Jacobi Chaijm ann. 1525, hanc autem editionem mendosam esse, ex mendoso codice haustam, insignia ac manifestissima in sacrum textum, et secutas omnes, vel fere omnes editiones menda invexisse, ac singulares lectiones nulla codicum auctoritate firmatas»? De—Rossi, Prolegom. §. X. pag. XII. Variar. Lection. vol. 1. βλ. καὶ ὄπισθ. σελ. 176.

(β) Βλ. Cappell. Crit. Sacr. L. III. cap. 19.

inhonoratus es), οὕτως ἐξέδωκαν καὶ πᾶσαι αἱ νεώτεραι μεταφράσεις. Ἀλλ' ἡ Πλαντ. καὶ ἡ ἄλλη τοῦ Μυνστέρου ἔκδοσις ἔχουσι ki kallah τουτ. ὅτι *ἐλαφρὸς*, ἢ *ταχύς*· οὕτω καὶ ὁ Χαλδαῖος καὶ ὁ Σύρος (*ταχέως*), καὶ οἱ Ο « *ὅτι ταχεῖς* » (α).

Ὠσηὲ ιγ, 7· κατὰ Μύνστερον κτλ. γράφεται asur (ἐνεδρεύσω) « ὡς πάρδαλις κατὰ τὴν ὁδὸν *ἐνεδρεύσω* ». Οὕτως ἡρμήνευσαν αἱ πλεῖσται καὶ τῶν νεωτέρων μεταφράσεων. Ἀλλ' ἡ Πλαντίνη τοῦ ἑβραϊκοῦ ἔκδοσις γράφει *Ἀσσοὺρ* (κύριον), ὡς ἔχουσι καὶ οἱ Ο, « κατὰ τὴν ὁδὸν *Ἀσσυρίων* »· οὕτω καὶ Ἱερώνυμος, καὶ ἡ Βουλγάτα.

Ψαλμ. ρϐ. 3. Ἡ Βαμϐέργειος καὶ ἡ Πλαντίνη Beassan (διὰ τοῦ Beth) τουτ. « *ΕΝ καπνῷ* ». (Οὕτω καὶ ἐν Ψαλμ. λζ, 20 πᾶσαι αἱ ἐκδόσεις, καὶ αἱ νεώτεραι μεταφράσεις). Ἀλλ' ἡ Μυνστέρου καὶ ἄλλαι ἐν Ψαλμ. ρϐ, γράφουσι Keassan (διὰ τοῦ Caph) « ΩΣ *καπνός* ». Οὕτω καὶ οἱ Ο. « Ἐξέλιπον *ὡσεὶ καπνὸς*, αἱ ἡμέραι μου », ἐν ἑκατέροις τοῖς χωρίοις (Ψαλ. ρα, 3 καὶ λϛ, 20), καὶ ὁ Ἱερώνυμος, καὶ ὁ Χαλδαῖος κτλ. Τὸ δὲ ἐν *καπνῷ* παντάπασιν ἀκατάλληλον.

Β. Παραλ. λε, 3. Ὁ Μύνστερος καὶ αἱ λοιπαὶ ἐκδόσεις ἔχουσι « Καὶ εἶπε τοῖς Λευΐταις *τοῖς διδάσκουσι* (πάντα Ἰσραὴλ » κτλ.). Οὕτω καὶ Ἱερώνυμος, ᾧ παρηκολούθησαν καὶ πᾶσαι αἱ ἑρμηνεῖαι τῶν νεωτέρων. Ἀλλ' εἰς ἄλλας ἑβραϊκὰς ἀναγνώσεις ἀντὶ *διδάσκουσι* γέγραπται *ὀχυρώματα*, ἢ *ὀχυρώσεις* (munitiones, ὅθεν ὀχυρούς, δυνατούς. Καπέλ. αὐτόθ.). Οὕτω καὶ οἱ Ο « εἶπε τοῖς Λευΐταις, *τοῖς δυνατοῖς* ἐν παντὶ Ἰσραὴλ, τοῦ ἁγιασθῆναι αὐτοὺς τῷ Κυρίῳ».

(α) Ἐν τῷ Ἑβραϊκῷ (ἐκδόσ. Ariae Montan.) λήγει τὸ Α κεφάλ. τοῦ Ναοὺμ εἰς τὸ ὅ τ ι τ α χ ε ῖ ς· καὶ ἐφεξῆς ἄρχεται τὸ Β, κεφάλ. Ἰ δ ο ὺ ἐ π ὶ τ ὰ ὄ ρ η ο ἱ π ό δ ε ς, κτλ. Οὕτως ἔχει καὶ τὸ Ἀλεξανδρινόν· Ἀλλὰ τὸ Βατικανὸν τῶν Ο συνάπτει ἐπὶ τοῦ Α, κεφαλαίου στίχ. 15, καὶ τὸ « Ἰδοὺ ἐ π ὶ τ ὰ ὄ ρ η ο ἱ π ό δ ε ς ε ὐ α γ γ ε λ ι ζ ο μ έ ν ο υ » (ὅπου καὶ ὁ Ἱερώνυμος ἐν τῷ ἑϐρ.)· τὸ δὲ ὅ τ ι τ α χ ε ῖ ς ἀποδίδοται πρὸς τὸ ο ἱ π ό δ ε ς. Οὕτως ἀνέγνω καὶ Θεοδώρητος, καὶ Τερτυλλιανός (adv. Marcion. IV. 14)· βεβαιοῦται ἡ ἀνάγνωσις καὶ Ἡσαϊ. νϐ, 7· πρϐλ. καὶ Voss. de LXX. p. 80 : καὶ Drusij Annot. ad Nahum 1.

Ἰὼβ λς, 11. Ὁ Μοντάνης καὶ ἄλλαι ἐκδόσεις ἔχουσι vecallu (καὶ πληρώσουσι, τελέσουσι). Οὕτως ἀνέγνων καὶ οἱ Ο, « *συντελέσουσι* » (τὰς ἡμέρας αὐτῶν), καὶ ἡ Βουλγάτα (complebunt), καὶ αἱ πλεῖσται τῶν νεωτέρων ἑρμηνειῶν. Ὁ δὲ Μύνστερος καὶ ἄλλοι, ve ballu, *παλαιώσουσι* (κατὰ σύγχυσιν τοῦ Β ἀντὶ Κ). Οὕτω παρανέγνω καὶ ὁ Σύμμαχος (ἐν τοῖς Ἑξαπλοῖς).

Α. Παραλ. ς, 57. Διάφοροι ἐκδόσεις καὶ κώδηκες ἔχουσι « πόλεις *Ἰούδα* » (Jehuda)· ἀλλ' ἡ ἔδοσις Μυνστέρου, καὶ ἡ καθ' ἡμᾶς τοῦ Καχῆνος, καὶ ἄλλαι οὐκ ἔχουσι τὸ *Ἰούδα*, ὡς οὐδ' οἱ Ο, οὐδ' ἡ Βουλγάτα, οὐδ' ἡ Κασταλίωνος, οὐδ' ἄλλαι πολλαὶ τῶν νεωτέρων ἑρμηνειῶν.

Ἰησ. ιδ, 2. μετὰ τὸ « καθὼς ἐνετείλατο κύριος ἐν χειρὶ *Μωϋσῇ* » (οἱ Ο, « ἐν χειρὶ *Ἰησοῦ* », οὕτω καὶ ὁ Σύρος, κτλ.), ἡ Μυνστέρου καὶ ἄλλαι ἐκδόσεις ἔχουσι lateth « *ἵνα δῶσι* » (δώσωσι), ἀλλ' ἡ Πλαντίνη καὶ ἡ Βαμβέργειος οὐκ ἔχουσι τὸ περιττὸν τοῦτο *(ἵνα δῶσι)*, ὡς οὐδ' οἱ Ο, οὐδ' ἡ Βουλγάτα, οὐδ' ἄλλαι τῶν μεταφράσεων πολλαί.

Ἰησ. κα, 35. Ἐκ πολλῶν ἐκδόσεων καὶ χειρογράφων λείπουσιν οἱ δύω στίχοι (περὶ ὧν προείπομεν σελ. 216), οὓς ἔχουσιν ἄλλαι πάλιν ἐκδόσεις καὶ οἱ Ο, μετὰ τῆς Βουλγάτας, κτλ. βεβαιοῦνται δὲ καὶ ἐκ τῆς Α, Παραλειπομ. ς, 78, 79. (βλέπε καὶ ἐν τοῖς ἑξῆς κεφ. ιγ. §. η).

§. ς. Ἀρκοῦσι ταῦτα δείγματος χάριν περὶ τῆς ποικίλης διαφωνίας τῶν ἐκδόσεων τοῦ ἑβραϊκοῦ, ἀπὸ διαφωνούντων πάλιν χειρογράφων ἐκδεδομένων. Ὥστε καὶ ἐκ τούτων ἀποδείκνυται τρανῶς ἡ τοῦ Μασοριτείου κειμένου ἐν πολλοῖς παραφθορά. Σὺ δὲ βλέπεις ἀναγνῶστα καὶ ὧδε, πῶς ἐκείνη δὴ ἡ παρά τε Ἰουδαίοις, παρά τε τοῖς φιλιουδαίοις κριτικοῖς ὡς ὑπερφυής τις ὑμνουμένη καὶ ἐξαισία κρίσις τῶν Μασοριτῶν, καὶ ἡ πρὸς τὴν ἀβλαβῆ μέχρι κεραίας καὶ στιγμῆς διατήρησιν τοῦ κειμένου πανθαύμαστος αὐτῶν εὐλάβεια καὶ προσοχὴ, πάντα ταῦτα καὶ τὰ τοιαῦτα φάσμα καὶ *λόγος* εἰσὶν, *οὐκ ἔργον*, οὐδ' ἀλήθεια. Μετὰ γὰρ τὴν

ἀκριβεστάτην ἐκείνην ἀπαρίθμησιν τῶν γραμμάτων, τῶν λέξεων, τῶν στίχων, ὅλων τῶν συστατικῶν μορίων τῆς ἑβραϊκῆς Γραφῆς, καὶ τὴν ποικίλην ἀνάμιξιν ὀρθῶν τε καὶ ψευδῶν ἀναγνωσμάτων, πάντων ἐπίσης ὡς ἀκηράτων καὶ γνησίων συγκαταμετρηθέντων καὶ κατασηκασθέντων, πάλιν εἰσέφρησαν εἰς τὸν κώδηκα σφάλματα πολλὰ καὶ παντοδαπὰ περί τε τὰς στιγμὰς, περί τε τὰ γράμματα, καὶ τὰς λέξεις, καὶ τοὺς στίχους αὐτούς. Καὶ ὁ κατάστικτος πάνθηρ τῆς ἀμελείας καὶ ἀμαθείας καὶ τῶν γραφέων καὶ τῶν διορθωτῶν ὑπερπηδῶν κατὰ καιροὺς τὸ τῆς Μασόρας ἕρκος, *«ἔσφαζε, κἀῤῥάχιζε» καταξαίνων, καὶ κατατρώγων ἐκ τῶν ἠριθμημένων!* Ἀλλὰ περὶ μὲν τῆς Μασόρας ἅλις προείρηται (σελ. 117). Ἡμεῖς δὲ σφραγίζομεν τὸ κεφάλαιον, προσθέντες ὁλόκληρον μαρτυρίαν παλαιοῦ καὶ οὐκ ἀσήμου ἑβραϊστοῦ Λουθηρανοῦ, Θεοδώρου τοῦ Βιβλιάνδρου, λέγοντος ταῦτα. « Οὐκ ἀγνοητέον κἀκεῖνο· οἱ τῶν Ἑβραίων κώδηκες, κἂν ὦσιν ἄγαν ἐπιμελῶς, ἢ χειρὶ γεγραμμένοι, ἢ τύποις κεχαραγμένοι, πάλιν ἔχουσί τινα σφάλματα ἄλλοτε μὲν περὶ τὰς στιγμὰς καὶ κεραίας, ἄλλοτε δὲ περὶ τὰ γράμματα, ἄλλοτε δὲ περὶ λέξεις ὅλας ». (Καὶ πάλιν) « Ὑπῆρχε πάντως ἄγαν κατωφερὲς καὶ ῥᾷστον πρᾶγμα τοῖς τε βιβλιογράφοις καὶ τοῖς συγγραφεῦσιν αὐτοῖς (δηλονότι τοῖς Μασορίταις) τὸ πρὸς τοιαῦτα σφάλματα λεληθότως ἕρποντας ἐξολισθαίνειν, καὶ μάλιστα περὶ τὰς στιγμὰς, ἐν αἷς ἡ πραγματεία λίαν ἐστὶν ἐπίζηλος καὶ ἀκροσφαλής. Ἐὰν γὰρ ὡς ὀρθὸν καὶ γνήσιον ἐνστερνισθῶμεν πᾶν τὸ συναντώμενον ἐν ταῖς ἱεραῖς τῶν Ἑβραίων Γραφαῖς, τότε καὶ μυῖα πρὸς τῷ γράμματι καθήσασα, μυστηριῶδές τι γεννήσει, *Ἥρας τε καὶ Εἰληθυίας συναιρουμένων!* (α). Διὰ ταῦτα οὐδόλως συμφέρει τὸ προσδεδέσθαι τῇ δεισιδαιμονίᾳ ἐπὶ τοσοῦτον, ὥστε νομίζειν ἀθέμιτον ἱεροσυλίαν, ἂν

(α) Σφόδρα δηκτικῶς ὁ Βιβλίανδρος οὗτος παραβάλλει τὰς Μασοριτείους στίξεις καὶ τὴν δῆθεν μυστηριώδη αὐτῶν γένεσιν πρὸς τὰ πτυελώδη στίγματα τῶν μυιῶν, ὁποῖα διὰ τῆς προβοσκίδος ἐπαφιᾶσιν εἰς τὰς σελίδας τῶν βιβλίων. Καὶ ἄπορον, πῶς οὐκ ἐπέπληξαν αὐτῷ οἱ περὶ τὸν Καρψόβιον οἰκεῖοι! βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ς. σελ. 357.

ὑπονοήσωμεν, ὅτι καὶ σφάλματα περὶ τὴν γραφὴν τῶν ἱερῶν κωδήκων ἐμπεπαλαίωνται » (α).

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Περὶ τῶν διαφόρων ἀναγνώσεων τοῦ ἑβραϊκοῦ κειμένου παραβαλλομένου πρὸς τὸ Σαμαρειτανόν.

§. α. Ἄχρι τοῦδε εἴδομεν τὰς ποικίλας τοῦ ἑβραϊκοῦ κειμένου παραλλαγὰς αὐτοῦ πρὸς ἑαυτὸ ἀντιβαλλομένου καθ᾽ ὅλας τὰς προγεγραμμένας ἐπόψεις (Κεφαλ. γ – ι). Ἤδη δὲ θεωροῦμεν ὅσας ἔχει τὰς διαφωνίας πρὸς ἄλλας ἔξωθεν τῆς Συναγωγῆς λαμβανομένας βίβλους καὶ ὕφη τῆς παλαιᾶς Γραφῆς, καὶ πρῶτον πρὸς τὸ κείμενον τὸ Σαμαρειτανόν.

§. β. Ποῖον τὸ κείμενον τῆς Σαμαρειτανῆς Πεντατεύχου, καὶ ὅτι οὐδέν ἐστιν ἕτερον, εἰ μὴ αὐτὸ τὸ ἑβραϊκὸν, γράμμασι Μωσαϊκοῖς γεγραμμένον, εἴδομεν ἐν τοῖς προλαβοῦσι (κεφ. β. §. ε). Καὶ εἶπε μὲν καὶ ἔγραψε πολλὰ καὶ κατ᾽ αὐτοῦ ἡ ὑψηλὴ τῶν νεωτέρων κριτικὴ, τὰ μὲν κατὰ τοῦ κύρους καὶ τῆς γνησιότητος τῶν ἱερῶν Γραφῶν ὀρθολογιστοῦσα, τὰ δὲ *ζαμενῶς* συμμαχοῦσα τῷ Μασοριτείῳ κειμένῳ, καὶ ταῖς δόξαις τῶν ῥαββίνων τῆς φυγοφώτου Συναγωγῆς, ἥτις ἀποστρέφεται πᾶν τὸ κατελέγχον τοῦ κατεσκληκότος αὐτῆς *προσώπου τὰ ῥάκη*. Ἀλλ᾽ ὑπάρχουσι καὶ ἄλλοι πάλιν οὐχ ἧττον σοφοὶ κριτικοὶ, καὶ σεμνοὶ θιασῶται τῆς τοῦ πράγματος ἀληθείας, οἵτινες ὑπεραπολογοῦνται τῆς Σαμαρείτιδος Πεντατεύχου, τιμῶντες αὐτὴν τὸ κατ᾽ ἀξίαν (β).

(α) Th. Bibliander, praef. in Grammaticam Hebr. Tiguri, 1535 καὶ παρὰ Cappell. Critic. Sacr. pag. 203.

(β) Ὑπὲρ τοῦ Σαμαρειτανοῦ κειμένου, ὅτι γνήσιον καὶ ἀρχαῖον ἐπίσης τῷ ἑβραϊκῷ, συνέγραψεν ὁ πρῶτος αὐτοῦ ἐκδότης, καὶ πρῶτος ἐν Εὐρώπῃ τῶν Σαμαρειτανῶν γραμμάτων ἀνακαινιστὴς Μορῖνος, Praefat. ad version. LXX. interpr. Paris. 1628: καὶ Exercitat. Ecclesiastic. in utrumque Samaritanorum Pentat. Paris. 1631: καὶ Opuscul. Hebraeo-Samaritan. 1657: καὶ Antiquitat. Eccles. Orientalis. Londin. 1682. Τῷ Μορίνῳ συμφωνοῦσι Ludov. Cappellus (Crit. Sacr. L. III. c.

§. γ. Τοῦτο τοίνυν τὸ Σαμαρειτανὸν, τὸ μὲν σύνολον, συμφωνεῖ περὶ τὰ καίρια καὶ θεμελιώδη πρός τε τὸ καθ' ἡμᾶς Μασορίτειον κείμενον, καὶ πρὸς τὴν ἑρμηνείαν τῶν Ο, δεικνύον καὶ τοῦτο τὴν γνησιότητα τῶν θεοπνεύςων τοῦ θεόπτου προφήτου τευχῶν, μηδεμίαν μηδ' αὐτὸ περὶ τὰ βάσιμα καὶ οὐσιώδη παθὸν διαστροφὴν, δι' ὅλων ἤδη πλέον ἢ δισχιλίων καὶ πεντακοσίων ἐτῶν (ἀπὸ τοῦ 720 π. Χ. βλ. ὄπισθ. σελ. 18), καὶ ταῦτα τηρούμενον ἐν χερσὶ τῶν τοῖς Ἰουδαίοις ἐχθίστων Σαμαρειτῶν (α). Ἐν δὲ τοῖς κατὰ μέρος τόποις ἔπαθε καὶ τοῦτο ποικίλας ἀλλοιώσεις καὶ

---

20), J. Vossius (de LXX.), Whiston (Essay towards restoring etc. prop. VI). Houbigant. (Prolegomen. in S. Scriptur. Paris. 1746), Kennicot. (Diss. II. super Textum etc. cap. 1.), Alexius à S. Aquilino (Pentateuchi Hebraeo-Samaritani praestantia etc. Dessov. 1783), Lobstein (Codex Samaritanus Parisinus etc. Francof. 1781), Jlgen (Urkunden des Jerusalemischen Tempelarchivs), Alex. Geddes (Critical remarks on the Hebrew corresponding with a new translation of the Bible. vol. 1. London, 1804). Τούτοις σχεδὸν συμφωνοῦσι καὶ Michaelis, Einleitung ins A. Test. p. 309—352. Eichhorn, Einleitung etc.—Bertholdt, Einleit. ins A. Test. p. 475.—Bauer, Einleit. p. 269, καὶ Crit. Sacra p. 331.—Horne, Introduction etc. T. 2. part. 1. p. 43.— Glaire, Introduct. vol. 1. p. 118. βλ. καὶ Hales, Analysis of Chronology, vol. 1. p. 80 sqq. Δριμύτατοι δὲ τῆς γνησιότητος τοῦ Σαμαρειτανοῦ καὶ ἄπρακτοι πολέμιοι ἀνεφάνησαν οἱ αὐτοὶ καὶ θερμότατοι τοῦ ἑβραϊκοῦ προστάται. Buxtorf. Anticrit. P. II. c. 7. — Simeon de Muis, Assertio veritatis hebraic. prima. 1621, et altera. 1634. — Hottinger. Exercitat. Antimorinian. de Pentateuch. Samaritano ejus que udendica Authentia. Tigur. 1644.—Fuller. Miscell. Sacr. IV. 4. —Leusden, Philol. hebraeo — mixt. Diss. 8. — Usser. Epist. ad L. Cappell. — Pfeiffer, Crit. Sacr. c. 8. κτλ. Μέτριοι δὲ, τὴν μέσην τεμόντες, καὶ τό, τε γνήσιον καὶ χρήσιμον καὶ δὴ καὶ τὰ σφάλματα τοῦ Σαμαρειτανοῦ ὁμολογοῦντες. Walton, Proleg. c. XI. — Rich. Simonius, Hist. Crit. V. Test. L. 1. c. 11, 12,—Clericus L. II. c. 17. Comment. in Pentat. Jndex, 11. (καίτοι καὶ ἄλλην οὗτος παράδοξον καὶ ὅλως ἀσύστατον γνώμην προτείνει),—J. Carpzov. Crit. Sacr. P. II. c. 4. §. 3.—Jahn, Einleit. §. 114, κτλ. Βλ. καὶ Gesenij, De Pentateuchi Samaritan. origine etc. §. 1 καὶ §. 7. Τούτου δὲ τοῦ σοφοῦ τὴν γνώμην ἐκτιθέμεθα ἀνωτέρω.

(α) Βλ. Les Nouveaux Eclaircissemens sur l'origine de Pentateuque des Samaritains, par un Religieux de la congrégation de S. Maure, Paris, 1760. pag. 39. καὶ Fabricy, Des titres primitifs. etc. vol. 1. p. 75. sqq.

διαφθορὰς, καί τοι μὴ μεγάλην ἐχούσας ῥοπὴν πρὸς τὸ σύνολον τῆς θεοπνεύστου τοῦ Μωϋσέως διδασκαλίας· λέγομεν δὲ περὶ τούτων ἐφεξῆς. Ἐπειδὴ δὲ τὸ κείμενον τοῦτο ἐν πλείστοις δὴ χωρίοις συμφωνεῖ πρὸς τὴν ἑρμηνείαν τῶν Ο μᾶλλον, ἢ πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν, οἱ δὲ πρόμαχοι τοῦ ἑβραϊκοῦ συγκαταδικάζουσι μετὰ τῶν Ο καὶ τὸ Σαμαρειτανὸν, διὰ ταῦτα, πρὶν ἢ διαλάβωμεν περὶ τῶν πολλῶν αὐτοῦ πρὸς τὸ ἑβραϊκὸν παραλλαγῶν ἐκλέγοντες τὰς καιριωτέρας, οὐκ ἀνοίκειον, ἀλλὰ καὶ ἀναγκαῖον ἔδοξεν ἡμῖν, ἐὰν θεωρήσωμεν ἐν περιλήψει τοὺς λόγους, δι' οὓς οἱ κριτικοὶ τὸ Σαμαρειτανὸν ἐκφαυλίζουσι, καὶ ποίαν κρίνουσιν αἰτίαν τῆς μετὰ τῶν Ο μᾶλλον, ἢ μετὰ τοῦ ἑβραϊκοῦ συμφωνίας αὐτοῦ.

§. δ. Προβάλλομεν δ' ἀντὶ πάντων τῶν ἄλλων κριτικῶν τὸν πρό τινων ἐνιαυτῶν εὐκλεῶς ἀνθήσαντα Γεσένιον, ὅστις ἁπάντων μὲν τῶν προγενεστέρων ἐπεξῆλθε τὰς γνώμας, « *πάντα δ' ἐξήτασε φρενὶ* », καὶ οὕτως ἐξήνεγκε τὴν ἑαυτοῦ ψῆφον ἐν τῇ « *περὶ γενέσεως καὶ φύσεως, καὶ τοῦ κύρους τῆς Σαμαρείτιδος Πεντατεύχου* » μικρᾷ μὲν τὸν ὄγκον, βαρυτίμῳ δὲ τὴν ἀξίαν συγγραφῇ.

§. ε. Πρῶτον τοίνυν ἔκρινεν ὁ Γεσένιος, ὅτι ἡ Σαμαρειτανὴ Πεντάτευχος ἔσχε τὴν ἀρχὴν ἐπὶ Δαρείου τοῦ Κοδομάνου, καὶ πρὸ τῆς (ἐν ἔτει 334 π. Χ.) ἀναβάσεως τοῦ Μ. Ἀλεξάνδρου. Τότε γὰρ ὁ Μανασσῆς, ἀδελφὸς τοῦ ἀρχιερέως τῶν Ἱεροσολύμων, συζευχθεὶς εἰς γάμου κοινωνίαν μετὰ τῆς θυγατρὸς τοῦ Σαναβαλλέτου, Σαμαρείας σατράπου, καὶ ἀπειληθεὶς ὑπὸ τοῦ ἀδελφοῦ, ὡς ἀποβληθήσεται τῆς ἱερωσύνης κατὰ νόμον, εἰ μὴ τὴν ἀλλόφυλον ἀποπέμψει γυναῖκα, κατέφυγε πρὸς τὸν πενθερὸν εἰς Σαμάρειαν, κἀκεῖ τὸν ἐν Γαριζεὶμ ἀντικαταστήσας ναὸν, ἀρχιερεὺς ἐχρημάτιζε, πολλῶν καὶ ἄλλων ὁμοίως κακογάμων ἱερέων καὶ ἰουδαίων μετ' αὐτοῦ συνελθόντων, ὡς Ἰώσηπος ἱστορεῖ (α). Τότε

(α) Ἰώσ. Ἀρχ. ΙΑ, ζ, 2 : η, 2—6 : πρβλ. Νεεμ. ιγ, 28 : καὶ Εὐσεβ. Χρον. καὶ Scaliger. Annimadvers. in Chronic. Euseb. p. 125. βλ. καὶ ὄπισθ. σελ. 35.

τοίνυν εἰσήγαγεν ὁ Μανασσῆς καὶ τὴν Μωσαϊκὴν Πεντάτευχον εἰς τοὺς Σαμαρείτας, ὡς κώδηκα πολιτικὸν καὶ θρησκευτικόν (α). Ἀλλὰ ταύτην τὴν γνώμην, καὶ πρότερον ὑπό τινων εἰρημένην, ἀνεσκεύασαν ἄλλοι πληρέστατα (β). Οὐδὲ πιστεύσειεν ἄν τις οὕτως εὐχερῶς, ὅτι μετὰ τὴν Ἐσδραίαν ἔκδοσιν ὅλου τοῦ κώδηκος τῶν κανονικῶν Γραφῶν, ὁ Μανασσῆς οὗτος μόνην ἔφερε τὴν Πεντάτευχον. Ἀλλ' οὐδ' ἐκεῖνο πιθανὸν οὐδ' ὁπωσοῦν, ὅτι, καθ' ὃν χρόνον ἤκμαζε μάλιστα τὸ μεταξὺ τῶν Ἰουδαίων καὶ Σαμαρειτῶν μῖσος (εὐθὺς ἀρξάμενον μετὰ τὴν ἐπὶ τοῦ Ζοροβάβελ καὶ τοῦ *Ἔσδρα* ἐπιστροφὴν τῶν Ἰουδαίων), ἀπεδέξαντο οἱ Σαμαρεῖται τὴν *ὑπὸ τοῦ Ἔσδρα* καὶ τῆς ἰουδαϊκῆς Συναγωγῆς Ἀσσυρίοις γράμμασιν ἐκδοθεῖσαν Πεντάτευχον· τὴν δ' οὖν περὶ τῆς ἀρχῆς τῆς Σαμαρείτιδος Πεντατεύχου μάλα πιθανὴν καὶ τῆς ἀληθείας ἁπτομένην γνώμην εἴπομεν ἐν τοῖς ἔμπροσθεν (σελ. 19).

§. ϛ. Ὁ δὲ περικλεὴς Γεσένιος ἐξέθηκε φιλοτίμως καὶ τὰς αἰτίας, δι' ἃς, καὶ τοὺς τρόπους, καθ' οὓς ἡ Σαμαρεῖτις Πεντάτευχος ἰδιαίτατα συμφωνεῖ πρὸς τὴν ἑρμηνείαν τῶν Ο. ΧΙΛΙΑ καὶ ἐπέκεινα *χωρία* τοῦ Σαμαρειτανοῦ κειμένου συμφωνοῦσι μετὰ τῶν Ο, κατὰ τοῦ σημερινοῦ ἑβραϊκοῦ κώδηκος (γ)· ἐν δὲ τούτοις (προστίθησιν ὁ Γεσένιος) σπανιάκις μίαν γοῦν, ἢ δύω τῶν ἀρχαίων μεταφράσεων ἔχουσι συμφωνούσας. Τῆς δὲ τοιαύτης (λέγει) τῶν

(α) Βλ. Gesenij l. c. §. 2. pag. 8. φέρει δὲ ὡς ὁμόφρονας καὶ τὸν Prideaux, καὶ τὸν Fulda, καὶ τὸν Paulum, καὶ τὸν De Wette. Πρόσθες τούτοις καὶ τὸν Bleek.

(β) Carpzov. Crit Sacr. p. 602. πρβλ. Cellier, Introduct. à l' A. Test, p. 429—430, καὶ E. G. Bengel. Archiv für die Theologie und ihre neueste Litteratur. 3. Bd. pag. 626, καὶ Glaire, Introduction etc. Tom 1. p. 157.

(γ) Βλ. Castelli, Animadvers. SS. Samar. in Polyglot. Londinens. T. VI. p. 19. πρβλ. καὶ Hotting. Thesaur. philol. pag. 297—302. ὅπου ἀριθμοῦνται περίπου 130 συμφωνίαι τῶν Ο πρὸς τὸ Σαμαρειτανὸν, ἐν αἷς τὸ ἑβραϊκὸν παντάπασι διαφέρει. Πολλὰς ἐσημείωσε καὶ Whiston, ἐν Essay towards restoring etc. Appendic I.

δύω Πεντατεύχων συμφωνίας τρεῖς τινες ἂν εἴησαν αἰτίαι· α) Ἢ τῶν Ο ἡ μετάφρασις ἐγένετο ἐκ τοῦ Σαμαρειτανοῦ κώδηκος, ὅπερ Ὀττιγγῆρος ἐφαντάσθη πρῶτος· μετέπειτα δὲ καὶ Ἁσσεκάμπιος ἐκόσμησε τὸ φάντασμα (οὔτε δὲ τὸν Ποστέλλιον, οὔτε τὸν Δεδιοῦν, οὔτε τὸν Σελδῆνον ἔσχεν οὗτος συμφωνοῦντας, ὡς ἀνέφερεν (α)· ἄλλους δέ τινας προσέλαβεν ὀπαδούς)· συνεφώνησε καὶ Εἰχόρνιος, ἀλλὰ πρὸς καιρόν. (Οὗτος γὰρ γεννήσας πρῶτον τὴν ἑρμηνείαν τῶν Ο, ἐκ τοῦ Σαμαρειτανοῦ, ἔπειτα μεταγνοὺς, ἄδηλον εἶπε τὸ πρωτότυπον ἐξ οὗ προῆλθεν ἡ ἑλληνὶς ἑρμηνεία· καὶ τέλος, ἀνεκήρυξεν, ὅτι μετεφράσθη ἐκ πρωτοτύπου μάλα συγγενοῦς τῷ Σαμαρειτανῷ) (β). — β) Ἢ ὁ ἕτερος τῶν κωδήκων διεσκευάσθη καὶ διεῤῥαγιουργήθη ἐκ τοῦ ἑτέρου (κατὰ μὲν τὸν ῥαββὶν Ἀζαρίαν ὁ ἑλληνικὸς, ὡς εἰκὸς (!) ἐκ τοῦ Σαμαρειτανοῦ παρὰ τῶν Ἀλεξανδρινῶν Ἰουδαίων, διὰ τὸ πρὸς τοὺς Παλαιστινοὺς μῖσος (!)· κατὰ δὲ τὸν Γρότιον καὶ Ὑσσέριον καὶ Ῥάβιον τἀνάπαλιν, ὁ Σαμαρειτανὸς ἐκ τοῦ ἑλληνικοῦ). — γ) Ἢ, τέλος, καὶ ἡ Σαμαρεῖτις καὶ ἡ τῶν Ο, Πεντάτευχος ἐκ μιᾶς καὶ τῆς αὐτῆς ἐξῆλθον πηγῆς, ἔκ τινων δηλονότι κωδήκων ἰουδαϊκῶν, διατεταγμένων κατά τινα ἰδιαιτέραν τῶν Μωσαϊκῶν βιβλίων ἔκδοσιν, διαφέρουσαν τῆς ὕστερον παρὰ τοῖς Παλαιστινοῖς Ἰουδαίοις πανδήμως κρατησάσης καὶ κυρωθείσης, καθ' ἣν συνετάχθη καὶ τὸ καθ' ἡμᾶς Μασοριτικὸν κείμενον τῆς Γραφῆς. Τούτων δὲ τῶν αἰτιῶν τὴν μὲν πρώτην καὶ δευτέραν ἀνασκευάζει σοφῶς ὁ Γεσένιος, ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ (γ). Αὐτὸς δὲ

(α) Ὁ Postellus οὐδὲν εἶπεν ἕτερον, ἢ ὅτι οἱ Ο, μετέφρασαν ἐξ ἑβραίου κώδηκος γράμμασι γεγραμμένου Σαμαρειτανοῖς (Tabul. linquar. tab. 2). Ὁ δὲ De Dieu (Com. in Math. 19) καὶ ὁ Seldenus (Mari Claus. p. 57) λόγῳ μόνῳ ψιλῷ διέλαβον ὅτι οἱ Ο, συμφωνοῦσι πρὸς τὸ Σαμαρειτανόν. Βλ. καὶ Amersfoot, Diss. philol. de Var. Lection. Holmes. etc p. 68.

(β) Eichhorn, Einleit. Bd. 2. p. 168, 173. not. καὶ Bd. 1. p. 142. Οὕτω καὶ ὁ Eichstaed (ad Mori Acroas. 2, p. 57), καὶ Michael. Einleit. §. 66.

(γ) *Δύω μεγάλας δείξεις προὔτειναν οἱ περὶ τὸν Ἁσσεκάμπιον. 1) Τὸ Σαμαρειτικοῖς γράμμασι γραφόμενον τετραγράμματον ΠΙΠΙ, γεγραμμένον ἔν τισι τῶν ἀρχαίων ἀντιγράφων τῶν Ο (ὡς Ὠριγένης καὶ Ἱερώνυμος μαρτυροῦσι)· ἀλλὰ περὶ τοῦ γελοίου τούτου ἐπιχειρήματος προείπομεν ἐν τοῖς προλαβοῦσι (κεφ. β §. κϛ.). — 2) Πρα-*

τὴν ἐσχάτην δόξαν πρεσβεύων, ἐκτίθησι τὴν πρότασιν ἐπὶ λέξεως οὕτως. « Ὁρίζομεν (statuimus), ὅτι ἥ τε Ἀλεξανδρινὴ (τῶν Ο) ἑρμηνεία ἐπίσης καὶ τὸ Σαμαρειτανὸν κείμενον ἐκ κωδήκων

βάλλουσι τὴν ἐν πολλοῖς τῶν Ο πρὸς τὸ ἑβραϊκὸν διαφωνίαν, ὡς προελθοῦσαν ἐκ συγχύσεως γραμμάτων ὁμοίων ἀλλήλοις μᾶλλον κατὰ τὴν Σαμαρειτανὴν, ἢ κατὰ τὴν ἑβραϊκὴν αὐτῶν μορφήν. Ἀλλὰ καὶ τοῦτο πάντη μάταιον ἀπέδειξεν ὅ, τε Βάλτων (Proleg. IX. §. 14), καὶ Καρψόβιος, (Crit. Sacr. p. 503), καὶ ἄλλοι, καὶ αὐτὸς ὁ Γεσένιος (αὐτόθ. σελ. 12). Ἐπειδὴ δὲ οἱ Ο ἐν τοῖς πλείοσι χωρίοις καὶ κεφαλαίοις καὶ τμήμασιν ὅλοις συμφωνοῦσι πρὸς τὸ ἑβραϊκὸν, μηδὲν μελήσας ὁ Ἀσσεκάμπιος αἴτιον τούτου εἶπε τὸν Ὠριγένην, ὅστις ἀνεχώνευσε τὴν ἑρμηνείαν τῶν Ο, πρὸς τὸν κανόνα τοῦ ἑβραϊκοῦ, προσθεὶς ὀβελοὺς, καὶ τ' ἄλλα τὰ σημεῖα τῶν κριτικῶν, ἅπερ ὕστερον ἠμελήθησαν ὑπὸ τῶν ἀντιγραφέων! Ἀλλὰ τοῦτο (λέγει ὁ Γεσένιος) παρατόλμως ἐπιφέρεται κατὰ τῆς ἱστορίας. Ἀδύνατον ἦν τοσαύτας καὶ οὕτω βιαίας ἀλλοιώσεις εἰς τὸ τῶν Ο κείμενον ἐπεισενεγκεῖν τὸν Ὠριγένην, ὅστις καὶ ἄλλως ὀλίγον ἀνεγίνωσκε τὰ ἑβραϊκὰ (καθὼς αὐτὸς ὁ Γεσένιος θέλει! βλ. καὶ ὄπισθεν σελ. 90). Ἔπειτα τί ποτε φρονήσομεν περὶ τοσούτων ἄλλων ἀναγνώσεων, καθ' ἃς οἱ Ο διαφωνοῦσιν ὁμοίως πρός τε τὸ Ἑβραϊκὸν καὶ πρὸς τὸ Σαμαρειτανόν; Περὶ τούτων ὁ Ἀσσεκάμπιος σιωπᾷ! Ὁ δὲ πάλιν Εἰχόρνιος (ἐν οἷς ἐγέννα τὴν ἑρμηνείαν ἐκ τοῦ Σαμαρειτανοῦ), λέγων (ὃ καὶ πρότερον εἶπεν ὁ Ἄραψ Ἀβουλφατάχας), ὅτι « ἴσως τὴν Ἀλεξανδρινὴν ἑρμηνείαν (τῶν Ο), συνέταξαν Ἀλεξανδρινοί τινες Σαμαρεῖται », ἐπελάθετο πόσον ἔκαιε καὶ κατ' αὐτὴν τὴν Αἴγυπτον ἐπὶ τῶν Πτολεμαίων τὸ μεταξὺ τῶν Σαμαρειτανῶν καὶ Ἰουδαίων μῖσος, οὗτινος δεῖγμα τραγώτατον ἱστόρησεν ὁ Ἰώσηπος (Ἀρχ. ιγ, γ. §. 4). Πῶς λοιπὸν παρὰ τῶν οὕτω στυγητῶν αἱρετικῶν, τῶν Σαμαρειτανῶν, προελθοῦσαν τὴν Πεντάτευχον ἀπεδέξαντο πάντες οἱ ἑλληνίζοντες Ἰουδαῖοι, ὡς γνήσιον καὶ θεόπνευστον, καὶ ταύτῃ μόνῃ διὰ τοσούτων αἰώνων ἐχρῶντο πανταχοῦ; Πρόσθες καὶ ὅτι λείψανά τινα καὶ ἀποσπάσματα τοῦ Σαμαρειτικοῦ κειμένου ἐξελληνισμένα σῴζονται μέχρι σήμερον παρὰ τοῖς Πατράσι, διάφορα τῆς ἑρμηνείας τῶν Ο· (λέγομεν ἐφεξῆς περὶ τούτου). Ὅσον δὲ πρὸς τὴν ἀνωτέρω Β, γνώμην τοῦ Ἀζαρίου (ᾧ παρηκολούθησε καὶ ὁ Καρψόβιος, συνάμα τῷ καθηγεμόνι Βουξτορφίῳ), φαίνεται σαφῶς, ὅτι ὁ ῥαββὶς ὁ Ἀζαρίας εἰσάγων τὴν ἑρμηνείαν τῶν Ο πρὸς τὸ Σαμαρειτανὸν διασκευασθεῖσαν, καὶ ταῦτα ὑπὸ τῶν Ἀλεξανδρινῶν Ἰουδαίων (!), ἐξεφράσθη ὡς ῥαββὶς, μισῶν καὶ τὴν ἑρμηνείαν καὶ τοὺς ἑλληνιστὰς ὁμογενεῖς αὐτοῦ, καθὰ καὶ ἄλλοι τινὲς τῶν νεωτέρων ῥαββίνων μετὰ τὰ 500, ἀπὸ Χριστοῦ καὶ ἐφεξῆς· (Ὅτι γὰρ μέχρι Φίλωνος καὶ Ἰωσήπου καὶ πολὺ ὕστερον, ἀδελφοὺς ἀλλήλους ἐθεώρουν οἵ τε ἑλληνισταὶ καὶ οἱ ἑβραΐζοντες Ἰουδαῖοι, καὶ ὅτι ἀμφότεροι ἐπίσης ἐμίσουν τοὺς εἰς τὸ Ὀνιεῖον τῆς Αἰγύπτου συνερχομένους, ὡς αἱρετικοὺς, προαποδέδεικται (Βιβλ. Β. κεφ. θ. §. ιη. σελ. 564). Ἐξελέγχει δὲ τὴν ῥαββινικὴν ἀκρισίαν καὶ αὐτὴ ἡ ἑρμηνεία τῶν Ο, ἐν τοῖς πλείστοις δὴ πρὸς τὸ ἑβραϊκὸν συμφωνοῦσα κατὰ τοῦ Σαμαρειτανοῦ, καὶ πάλιν ἑτέρωθεν, ἡ μέχρι καὶ τῶν λεπτοτάτων ἐν ἄλλοις συμφωνία τῶν Ο πρὸς τὸ Σαμαρειτανὸν, οὐ διασκευῆς ἀπόζουσα, ἀλλ' ἑρμη-

ἐξέῤῥευσαν ἰουδαϊκῶν τ' ἄλλα μὲν ἀλλήλοις ὁμοίων, ἐπὶ δὲ τῆς Πεντατεύχου μετεῤῥυθμισμένων πρὸς ἄλλην ἔκδοσιν, διαφέρουσαν ἐκείνης, ἥτις ὕστερον δημόσιον ἔσχε κῦρος παρὰ τοῖς Παλαιστινοῖς. Τὸ δὲ Σαμαρειτανὸν ἀπόγραφον μετὰ ταῦτα ὑπὸ βιβλιογράφων ἡμιμαθῶν πολυειδῶς διεφθάρη τε καὶ διεσκευάσθη». Ταῦτα ὁ Γεσένιος ἄγαν ὁριστικῶς καὶ βραχυλόγως, ἅμα δὲ καὶ πεφυλαγμένως (ὅσον ἐξῆν), καὶ δεξιῶς πρὸς τὸν σκοπὸν, συνεπιφερόμενος καὶ γνώμας ἄλλων ὁμοίας (α). Αὐτὸς δ' ἐπάγει δεῖξιν τὴν ἑξῆς.

§. ζ. Αὐτὸς (φησὶν), ᾧ χρώμεθα τανῦν, ὁ κώδηξ τῶν ἱερῶν βιβλίων τῆς ἑβραΐδος Γραφῆς πολλὰ περιέχει δείγματα, ἐξ ὧν μανθάνομεν, ὅτι ἑνὸς καὶ τοῦ αὐτοῦ συγγράμματος (οἷον ψαλμοῦ, ἱστορήματος, γενεαλογίας) διάφοροι ἐνίοτε ὑπῆρξαν ἐκδόσεις, τὰ μὲν περὶ τὴν λέξιν διαφωνοῦσαι (οἷον ὁ ιζ [Ἑβρ. ιη] ψαλμὸς, ὁ ἐν τῷ Ψαλτῆρι, πρὸς τὸν ἐν Β. Βασιλ. κϐ, τὸν αὐτὸν ὄντα, καὶ ὁ ιγ

νείας ἔχουσα χαρακτῆρας αὐτοτελοῦς. (βλ. Michael. Einleit. ins A. T. §. 66). Τελευταῖον, ὁ μὲν Γρότιος (Annot. ad Levitic. 17, 4) ἄγαν ὀψὲ, καὶ μόλις ἐπὶ τοῦ Ἰουστινιανοῦ ὑπὸ τῶν τότε χριστιανισάντων Σαμαρειτῶν ἐνόμισε διασκευασθεῖσαν ἐκ τῶν Ο, τὴν Σαμαρειτανὴν Πεντάτευχον, δωρεὰν τοῦτο πλάσας, καὶ παντάπασι καὶ ἀνιστόρητον καὶ ἀπίθανον. Ὁ δὲ κλεινὸς Ὑσσέριος εἰπὼν, ὅτι ἔκ τε τοῦ ἑβραϊκοῦ καὶ τοῦ ἑλληνικοῦ (τῶν Ο) συνεῤῥάφη τὸ Σαμαρειτανὸν ὑπὸ τοῦ συνακμάσαντος τῷ μάγῳ Σίμωνι Σαμαρείτου Δοσιθέου (περὶ οὗ ἐφεξῆς), οὐ τοῦτο πρῶτον καὶ μόνον ἔγραψε παρατράγῳδον καὶ παράδοξον ἐν τῇ πρὸς τὸν Καπέλλιον ἐπιστολῇ (ad calcem Syntagm. de LXX. interp. p. 216), πρὸς ἣν ἐκεῖνος ἀπήντησε νικηφόρος. Μάτην δὲ καὶ ὁ Ῥάϐιος (Exercit. ad Houbig. Proleg. p. 132. sq) ὑπέλαϐεν, ὅτι δῆθεν οἱ Σαμαρεῖται προσήρμοσαν τὸ κατ' αὐτοὺς κείμενον πρὸς τὸ τῶν Ο, διὰ τὸ πρὸς τοὺς Παλαιστινοὺς Ἰουδαίους μάλιστα μῖσος (παρ' οἷς ἤκουε κακῶς ἡ ἑρμηνεία τῶν Ο), ἅμα δὲ καὶ τοῖς Αἰγύπτου βασιλεῦσιν εὐαρεστοῦντες! Ἄλλο τοῦτο ξενολόγημα! Ὅτι δὲ καὶ τὸ πρὸς τοὺς Ο μῖσος τῶν Ἰουδαίων πολὺ νεώτερον (ὡς προείπομεν), καὶ ὅτι ἡ συμφωνία τοῦ Σαμαρειτανοῦ πολὺ μείζων, ἢ ὥστε ἐκ διασκευῆς προελθεῖν, κάλλιστα τὸν Ῥάϐιον ὑπέμνησεν ὁ Γεσένιος (l. c. pag. 13).

(α) Βλ. Houbig. Proleg. pag. 47. Francof.—De Wette, Beytraege etc. Bd. 1. p. 19.—Bertholdt, Einleitung pag. 531. Τοιοῦτό τι λέγει καὶ ὁ ῥαϐϐὶς Ἀζαρίας (Meor Enaim c. 5), οὗ τὴν γνώμην γράφομεν ἐν τοῖς ἑπομένοις.

ψαλμὸς πρὸς τὸν νδ [Ἑβρ. ιδ, καὶ νγ], ὡσαύτως καὶ ὁ ρδ [ρε] ὁ ἐν τῷ Ψαλτῆρι, πρὸς τὸν ἐν Α, Παραλ. ις), τὰ δὲ πάλιν διαφωνοῦσαι κατὰ τὴν τάξιν τῶν κεφαλαίων, καὶ στίχων (ὡς ἡ τῶν Ἱερεμίου κεφαλαίων ἐν τῷ ἑβραϊκῷ τάξις διαφέρει τῆς παρὰ τοῖς Ο) (α). Ἡ δὲ τοιούτων δευτέρων ἐκδόσεων ἰδιότης ῥᾷστα προδίδωσι τὰς δευτέρας φροντίδας διασκευαστοῦ τινος, ὅστις εἴτε δυσκολίας τινὰς πραγματικὰς καὶ λεκτικὰς ἠθέλησεν ἐξομαλῦναι, εἴτε καὶ σφάλματά τινα, ἢ ὄντα, ἢ (τὸ πλεῖστον) δοκοῦντα θεραπεῦσαι, πρὸς ἐμμέλειαν τοῦ κειμένου. Καὶ τούτου τοῦ πράγματος ἔχομεν σαφέστατον δεῖγμα τὰς ἐν τοῖς Παραλειπομένοις προσραφείσας ἐκ τῶν Δ. Βασιλειῶν περικοπάς (β). Τοιαύτη τις, νομίζομεν, ὑπῆρξε παρ' Ἰουδαίοις καὶ τῆς ἑβραΐδος Πεντατεύχου ἔκδοσις ἄλλη, παρ' ἣν ἔχομεν διάφορος, ἧς οἱ διασκευσταὶ τοῦτο πρῶτον ἐφρόντισαν, ὅπως τὸ κατ' αὐτοὺς κείμενον κατασκευάσωσιν ὁμαλώτερον καὶ ἐμμελέστερον. Τὰς δ' ἐν αὐτῷ δυσχερείας, ἢ ἀσαφείας, καὶ τὰ δόξαντα σφάλματα θεραπεύοντες, εἰσήγαγον εἰς τὸ κείμενον γλωσσήματά τινα (πρὸς τῇ παραγραφῇ, ἤτοι τῷ περισελίδῳ, πρότερον προσγεγραμμένα), καὶ διορθώσεις ἐξ εἰκασίας. Ταύτης οὖν τῆς ἐκδόσεως τῆς Πεντατεύχου (ἣν δυναταί τις *Ἀλεξανδρινο-Σαμαρειτανὴν* ἀποκαλεῖν) (γ) πολλὰ φαίνονται δείγματα,

---

(α) Τοῦτο τὸ περὶ τὴν τάξιν τῶν κεφαλαίων τοῦ Ἱερεμίου κτλ. περιττῶς (νομίζομεν) ἀνέφερεν ὁ Γεσένιος ὡς παράδειγμα ἄλλης ἐκδόσεως τῶν προφητικῶν συγγραφῶν. Διότι προφανῶς ἀνήκει εἰς τοὺς Ἰουδαίους μάλιστα βιβλιογράφους, ὧν τινες ἐξ ἀβλεψίας μετέθηκάν τινα κεφάλαια, καὶ στίχους, ὡς καὶ ἄλλοι, καὶ Καπέλλιος παρετήρησεν (βλ. Cappell. Crit. Sacr. III. 14) Ὁ δὲ Εἰχόρνιος καὶ εἰς αὐτὸν τὸν Ἱερεμίαν ἀπέδωκε τὴν διπλῆν ἔκδοσιν (Eichhorn, Einleitung etc. καὶ παρ' αὐτῷ τῷ Gesen. l. c. p. 14. μὴ δεχομένῳ τὴν γνώμην), βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ιβ. §. ε. σελ. 810.

(β) Περὶ τούτων ὁ Γεσένιος ἔγραψε καὶ ἐν τῇ Geschichte der Hebr. Sprache und Schrift. §. 12. Ἀλλὰ κἀκεῖ καὶ ὧδε ἀπίθανα λέγει, ἢ σφόδρα κριτικά. Βλ. περὶ τούτων τῶν λεγομένων προσραφῶν (!) ὄπισθ. σελ. 47.

(γ) Ὡς ἐξ αὐτῆς δηλαδὴ προελθούσης τῆς τε Σαμαρείτιδος Πεντατεύχου καὶ τοῦ παρὰ τοῖς Ἀλεξανδρινοῖς ἑβραϊκοῦ κειμένου, ἐξ οὗ θέλει ὁ Γεσένιος ἡρμηνευμένην τὴν τῶν Ο! τούτους δ' ἕνα τινὰ φρονεῖ, καὶ ἑνικῶς ἐνίοτ' ἐκφέρει· διὸ καὶ ἐφε-

παρά τε τοῖς Ἀλεξανδρινοῖς (τουτ. τοῖς Ο) καὶ τοῖς Σαμαρείταις ἐν πολλοῖς παραδεδεγμένα χωρίοις, εἰ καὶ μὴ ἐν πᾶσιν ὁμαλῶς καὶ εὐσταθῶς (ὡς φιλεῖ συμβαίνειν ἐν οἱαδήποτ᾽ ἐκδόσει μήπω τέλεον διαπερανθείσῃ). Ἄλλοι δὲ πάλιν Ἰουδαῖοι, καὶ μάλιστα οἱ Ἱεροσολυμῖται, ἐσπούδασαν εὐλαβέστερον διατηρῆσαι τὴν ἀρχαίαν (τῆς πρώτης ἐκδόσεως) ἀνάγνωσιν ἀπαράλλακτον, καί τοι δυσχερεστέραν ἔστιν ὅπου, καὶ σκοτεινοτέραν, ἀλλ᾽ οὐχὶ διὰ τοῦτο καὶ παντάπασι σφαλμάτων καθαρεύουσαν.

§. η. Τούτων οὕτω (φησὶ) τεθέντων, εὐμαρῶς λοιπὸν καὶ δίχως πραγματείας ἀναφανήσονται αἱ αἰτίαι τῆς τε συμφωνίας καὶ τῆς διαφωνίας τοῦ Σαμαρειτανοῦ καὶ τοῦ Ἀλεξανδρινοῦ. Τοιούτῳ γὰρ παρηλλαγμένῳ κώδηκι τῆς ἑβραϊκῆς Πεντατεύχου χρησάμενος ὁ Ἀλεξανδρινὸς ἑρμηνεὺς, οὐκ ἠδύνατο μὴ καὶ πάσας, μέχρι καὶ τῶν μικροτάτων, ἐκφράσαι τὰς ἀλλοιώσεις, καθ᾽ ἃς αὕτη ἡ ἑτέρα (ἐξ ἧς ἡρμήνευεν) ἔκδοσις διέφερε τῆς Παλαιστινῆς· καθ᾽ ὅλας δὲ ταύτας καὶ μέχρι σήμερον ἡ ἑλληνικὴ ἑρμηνεία συμφωνεῖ πρὸς τὸ κείμενον τὸ Σαμαρειτανόν. Εἰ δ᾽ ἔχει καί τινας ἰδιαζούσας ἀναγνώσεις ἡ ἑρμηνεία, τοῦτ᾽ ἀποδοτέον εἰς τὰς αὐτὰς αἰτίας, δι᾽ ἃς καὶ ἐν τοῖς ἄλλοις ἅπασι (τοῖς ἐκτὸς τῆς Πεντατεύχου) βιβλίοις πρὸς τὸ ἑβραϊκὸν διαφωνεῖ· εἴτε γὰρ ἴδιά τινα ἀναγνώσματα περιεῖχεν ὁ κώδηξ ἐκεῖνος, ἐξ οὗ ὁ ἑρμηνεὺς ἐξελλήνιζεν, εἴτε γλωσσήματα καὶ τόπους παραλλήλους πρὸς τῇ ᾤᾳ προσγεγραμμένους, εἴτε, τέλος, καὶ αὐτὸς ὁ ἑρμηνεὺς προσέθηκέ τινας εἰκασίας ἰδίας, κριτικάς τε καὶ ἐξηγητικάς. Τῆς δ᾽ αὐτῆς ἐκδόσεως ἄλλοι ἑβραῖοι κώδηκες, ἐπειδὴ κατὰ τοὺς αὐτοὺς χρόνους (καθ᾽ οὓς ὁ Ἀλεξανδρινὸς ἐξελλήνιζεν), ἢ μικρῷ γοῦν πρότερον ἀφίκοντο εἰς τοὺς Σαμαρείτας, εὗρον καὶ παρὰ τούτοις κριτικοὺς, οὐ πάνυ τοι μετρίους περὶ τὴν εἰς τὸ διορθοῦν ἐπιμέλειαν καὶ σπουδήν· τούτους δὲ πρότερον εἶχον προλαβόντες οἱ προρρηθέντες (§ ζ) Ἰουδαῖοι διασκευασταί.

ξῆς Ἀλεξανδρινὸν ἑρμηνέα καλεῖ, ὡς ἂν ὑφ᾽ ἑνός τινος Ἀλεξανδρινοῦ πονηθεῖσαν τὴν ἑρμηνείαν.

Οὗτοι τοίνυν οἱ Σαμαρεῖται διορθοῦντες τὸ παρ' αὐτοῖς κείμενον τῆς Πεντατεύχου, καὶ διεσκεύαζον ἅμα, καὶ ἀνεπλήρουν, τὰ μὲν σαφηνείας χάριν, διαφωτίζοντες τὰς δυσχερείας, καὶ πλείονα μεθοδεύοντες τῶν παραλλήλων χωρίων τὴν συμφωνίαν, ἵνα μηδὲν ἐλλείπῃ, μηδ' ἀντιλέγειν τι δοκῇ πρὸς τ' ἀλλαχοῦ εἰρημένα· τὰ δ' οὕτω τροποποιοῦντες, ὅπως ἂν καὶ ἡ νέα παρ' αὐτοῖς (ἡ Ἰουδαΐζουσα) θρησκεία, καὶ, ᾗ προσῳκειώθησαν, ἡ λατρεία μὴ στερῆται τῶν ὑπερασπιζόντων χωρίων τοῦ ἱεροῦ κώδηκος » (ὡς ἐν οἷς μετέβαλον τὸ Γαιβὰλ εἰς τὸ Γαριζείμ. βλ. ὄπισθ. σελ. 36). « Προσετέθη δὲ καὶ οὐκ ὀλίγος διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν ἀριθμὸς, εἰς ἃς περιέπιπτον οἱ Σαμαρεῖται, μεταστρέφοντες εἰς τὸ κατ' αὐτοὺς ἰδίωμα τὸν ἀρχαῖον καὶ ἀνόθευτον καὶ ἁγνὸν ἑβραϊσμόν· καὶ τοι γε οὐχ ἑκόντες μετέβαλλον τὸ κείμενον· ἀλλ' ἐπειδὴ οὐκ ἦσαν ἅλις πεπαιδευμένοι, ὥστε διακρίνειν τὸν καθαρὸν ἑβραϊσμὸν ἀπὸ τοῦ κατ' αὐτοὺς οἰκιακοῦ καὶ συγγενοῦς ἰδιώματος, ἐπεισῆγον τοὺς τούτου σχηματισμοὺς καὶ ἄκοντες εἰς τὸ κείμενον τὸ ἑβραϊκόν. Κατὰ ταύτας οὖν τὰς ἀναγνώσεις ἡ κυρίως Σαμαρειτανὴ ἔκδοσις (ἡ καθ' ἡμᾶς) διαφέρει τῆς ἑβραϊκῆς ἐκδόσεως ἐκείνης, ἣν, ὡς κοινὸν θεμέλιον τῆς τε Ἀλεξανδρινῆς ἑρμηνείας » (δηλ. τῶν Ο) « καὶ τοῦ Σαμαρειτανοῦ κώδηκος, Ἀλεξανδρινο-Σαμαρειτανὴν ὠνομάσαμεν. Τούτων δὲ τῶν τῆς κυρίως Σαμαρειτανῆς ἐκδόσεως ἀναγνώσεων πλαστουργὸς ἐκρίθη παρά τισι Δοσίθεός τις (Ἑβρ. Dosthee), Σαμαρείτης αἱρετικὸς, τοῖς Ἀποστόλοις σύγχρονος, « ὁ μυρίαις καὶ ποικίλαις νοθείαις τὴν Μωσαϊκὴν *Ὀκτάτευχον* κατακιβδηλεύσας » (α). Ἀλλ' ἐπειδὴ καὶ τὴν αὐθεντίαν τοῦ Δοσιθέου οὐχ εὕρομεν παρὰ τοῖς Σαμαρείταις ἀποδεκτὴν γενομένην, αἱ μὲν ὑπὸ τούτου κατατολμηθεῖσαι περὶ τὸ Μωσαϊκὸν κείμενον νοθεῖαι

(α) Εὐλόγιος παρὰ Φωτίῳ, ἀναγ. σλ. σελίδ. 883. ὅπου ἀντὶ τοῦ Ὀκτάτευχος (ὅπερ καὶ ὁ Γεσένιος ἔγραψεν ἀπορηματικῷ τῷ σχήματι (Octateuchum ?), πάντως γραπτέον Π ε ν τ ά τ ε υ χ ο ν. «Ea enim vox pro Ὀκτατεύχῳ in Photio est reponenda». γράφει καὶ ὁ Ὑσσέριος (Epist. ad L. Cappell. pag. 216). Τοῦ δὲ Δοσιθέου τούτου καὶ Ὠριγένης (κατὰ Κέλσ. α) ἐμνημόνευσε, καὶ ὁ ἱερὸς Ἐπιφάνιος, καὶ ἄλλοι.

ἄλλαι τινὲς ἦσαν, πολὺ τῶν προειρημένων διάφοροι. Πιθανώτερα δ' ἔκριναν οἱ περὶ τὸν Βάλτωνα (Προλεγομ. κεφ. ια, 11, 12), πολλὰς τῶν ἐν τῷ Σαμαρειτανῷ μεταβολὰς ἀποδιδόντες εἰς ἐκεῖνον τὸν γαμβρὸν τοῦ Σαναβαλλέτου Μανασσῆν καὶ τοὺς μετ' αὐτοῦ συναποικήσαντας ἱερεῖς. Ὑπάρχει δὲ πρᾶγμα βέβαιον, ὅτι κατὰ μικρὸν εἰσέφρησαν εἰς τοῦτο τὸ κείμενον αἱ ἀλλοιώσεις. Νεώταται δὲ πασῶν τῶν διαφθορῶν ἐπεισῆλθον αἱ ἐκ τῆς συνήθους τῶν Σαμαρειτῶν διαλέκτου, περὶ ὧν προείπομεν ».

§. θ. Ταῦτα κρίνας ὁ Γεσένιος διορίζει, κάλλιστα καὶ κριτικώτατα ποιῶν, καὶ τοὺς τρόπους, καθ' οὓς τὸ Σαμαρειτανὸν συμφωνεῖ, ἢ διαφωνεῖ, πρὸς τὸ τῶν Ο κείμενον, ἐναντίον τοῦ νῦν ἑβραϊκοῦ. Πέντε δὲ τοὺς τρόπους τούτους συνεκόμβωσε, τοὺς ἑξῆς· α) Συμφωνοῦσι (φησὶν) ἀμφότερα τὰ κείμενα κατὰ μέγα μέρος τῶν ἀναγνώσεων ἐκείνων, ὅσαι γλωσσήματος ἀπόζουσιν, ἐπενεχθέντος ἐν τῷ κειμένῳ, καί τινος στοχαστικῆς ἢ κατ' εἰκασίαν διορθώσεως δυσχερεστέρων τινῶν χωρίων· ἡ δὲ τοιαύτη συμφωνία γίνεται οὕτως, ὥστε κατ' οὐδένα τρόπον δύναταί τις ὡς ἐκ τύχης συμβᾶσαν αὐτὴν ἐκλαβεῖν (α). — β) Συμφωνοῦσι πολλαχοῦ ἐν ταῖς ἐπιτομωτέροις διορθώσεσιν, ἢ ἀναπληρώσεσι καὶ διασκευαῖς τοῦ κειμένου διὰ τῶν παραλλήλων τόπων (β). — γ) Ἀκριβέστατα συμφωνοῦσιν ἐν πράγμασι μικροῖς, καὶ πολλάκις ἐν τοῖς ἐλαχίστην ἔχουσι ῥοπὴν, καὶ μηδόλως μεταβάλλουσι τὴν ἔννοιαν, καὶ προσέ-

---

(α) Τούτου (λέγει) τοῦ γένους παραδείγματα τὰ Γενέσ. β, 2. (ἐν τῇ ἡμέρᾳ τῇ ἕ κ τ ῃ οἱ Ο, καὶ τὸ Σαμαρειτανόν· τὸ δὲ ἑβραϊκὸν τ ῇ ἑ β δ ό μ ῃ). καὶ β, 24 (ἔσονται οἱ δ ύ ω εἰς σάρκα μίαν· ἐν τῷ ἑβραϊκῷ λείπει τὸ δ ύ ο). καὶ Γενέσ. ιδ, 19. ιε, 21. ιζ, 14. ιη, 19. κδ, 62. κε, 8. κζ, 27. κθ, 1. λς, 6. μα, 16. μζ, 21. μθ, 3. 4. 12. 22. 26. Λευΐτ. ιη, 21. Ἀριθμ. ις, 15. κα, 28. λδ, 6. Δευτερ. λβ, 5 κτλ. (Gesen. σελ 10. πρβλ. σελ. 29—36).

(β) Οἷον (λέγει) Γενέσ. α, 15 « τοῦ φαίνειν ἐπὶ τῆς γῆς » (ἐκ τοῦ ἑβρ. λείπει· προσετέθη δὲ ὧδε τὸ κῶλον ληφθὲν ἐκ τοῦ 17 στίχ. τοῦ αὐτοῦ κεφαλαίου). Οὕτω καὶ Γενέσ. ια, 8. « καὶ τὸν πύργον » (ἐκ τοῦ ἑβρ. λείπει· προσετέθη δὲ ὧδε ἐκ τοῦ 4 στίχου). Γενέσ. ια, 11. « καὶ ἀπέθανε » (ἐκ τοῦ κεφ. ε, 5). Γεν. ιζ. 14 « τῇ ἡμέρᾳ τῇ ὀγδόῃ » (ἐκ τοῦ ἑβρ. λείπει· προσετέθη δὲ ὧδε ἐκ τοῦ στίχ. 12) κτλ. (σελ. 45—46).

τι περὶ τὰς πρὸς τὸ δοκοῦν ἐναλλαγὰς, ἢ μεταθέσεις τῶν γραμμάτων καὶ τῶν λέξεων. Καὶ ἡ τοιαύτη δὲ συμφωνία πολλῷ γ᾽ ἂν ἧττον ἀποδοθείη εἰς τύχην τυφλήν. — δ) Ἐκ δὲ τοὐναντίου πάλιν ἐν πολλοῖς δυσχερεστέροις τόποις (οἵους εἴπομεν ἐν τῷ πρώτῳ τρόπῳ) οἱ Ἀλεξανδρινοὶ (οἱ Ο) συμφωνοῦσι μετὰ τοῦ ἑβραϊκοῦ κατὰ τοῦ Σαμαρειτανοῦ, καὶ μάλιστα ὅπου τοῦτο φέρει διορθώσεις, καὶ μακρὰς χωρίων παραλλήλων προσθήκας τολμηροτέρας, καὶ λίαν αὐτογνώμονας (α). Οὐδ᾽ ἀκολουθεῖ πώποτε ἡ Ἀλεξανδρινὴ ἑρμηνεία τῷ Σαμαρειτανῷ οὔτε κατὰ τὰς διασκευὰς τῶν ἔν τισι χωρίοις προστεθειμένων μεγάλων περικοπῶν (β), οὔτε κατὰ τοὺς Σαμαρειτισμούς. — ε) Ἔστιν ὅτε περὶ τοὺς ἐξομαλισμοὺς τῶν ἐν τῷ κειμένῳ δυσνοήτων φράσεων ἐκφέρουσιν οἱ μὲν Ἀλεξανδρινοὶ ταύτην τινὰ, τὸ δὲ Σαμαρειτανὸν ἐκείνην τὴν εἰκασίαν. Ἐνταῦθα ἀνήκουσιν ἐν πρώτοις τὰ δύω συστήματα ἐκεῖνα τὰ περὶ τὴν ἀπαρίθμησιν τῶν ἐτῶν τῆς ζωῆς τῶν πατριαρχῶν (καθ᾽ ἃ κανονίζονται αἱ γενεαλογίαι τῶν τε πρὸ τοῦ κατακλυσμοῦ, καὶ τῶν μετὰ τὸν κατακλυσμόν. βλ. Γενέσ. κεφ. ε. καὶ ια). Ταῦτα γὰρ ἄλλως μὲν ἐκφράζονται παρὰ τοῖς Ἀλεξανδρινοῖς, ἄλλως δὲ πάλιν κατὰ τὸ Σαμαρειτανὸν, μηδετέρου τούτων συμφωνοῦντος πρὸς τὸ ἑβραϊκόν (γ). ϛ) Τελευταῖον, ἐνίοτε ἡ Ἀλεξανδρινὴ ἑρμηνεία διαφωνεῖ πρός τε τὸ ἑβραϊκὸν καὶ πρὸς τὸ Σαμαρειτανόν. Τοῦτο

(α) Οἷον Γενέσ. ιζ, 17. κα, 3, 4. κδ, 55. μα, 32. μθ, 10. Ἐξόδ. ιε, 1. ιζ, 13. ιθ, 13. κα, 21. Ἀριθμ. ια, 25, 32. κβ, 5. κδ, 17, 22. Δευτερ. κη, 37, 49. λβ, 10, 24, 26. λγ, 10. Ταῦτα καὶ ἄλλα τοιαῦτα λείπουσιν ἔκ τε τοῦ ἑβραϊκοῦ καὶ ἐκ τῶν τούτῳ συμφωνούντων Ο (σελ. 11).

(β) Πάμπολλα δείγματα μεγάλων διασκευῶν καὶ παρεγγραφῶν οὐ μόνον στίχων, ἀλλὰ καὶ τεμαχίων ἔστιν ὅπου μεγάλων, ἐξ ἄλλων κεφαλαίων τῆς Γραφῆς προστεθειμένων ἔχει τὸ Σαμαρειτανὸν ἐν τῷ βιβλίῳ μάλιστα τῆς Ἐξόδου, ἢ ἐξ αὐτοῦ τούτου, ἢ ἐκ τοῦ Δευτερονομίου διεσκευασμένῳ, ὡς Ἐξόδ. κεφ. ϛ, 1, ἐκ τοῦ ιδ, 12: καὶ Ἐξόδ. ιη, 24: ἐκ τοῦ Δευτερ. α, 17. κτλ. [τὰς τοιαύτας τοῦ Σαμαρειτανοῦ διασκευὰς ὁ κλεινὸς Κεννικῶτος οὐκ ὀρθῶς ἐξέλαβεν ὡς δείξεις τῆς ἐν τούτοις τοῖς χωρίοις κολοβώσεως τοῦ ἑβραϊκοῦ, ὡς προείπομεν ὄπισθ. σελ. 37 — 47].

(γ) Περὶ τῆς χρονολογίας ταύτης πραγματευόμεθα ἐφεξῆς ἐν ἰδίῳ κεφαλαίῳ.

δὲ τὸ γένος τῶν παραλλαγῶν συνίσταται 1) ἐκ τῆς τῶν γραμμάτων εἴτε μεταθέσεως, εἴτε μεταϐολῆς καὶ ἐναλλαγῆς (α). 2) ἐκ τῆς, ὡς ἐπὶ τὸ πλεῖστον, προσθήκης τῶν παραλλήλων χωρίων (ϐ). Τοιαῦτα καὶ τὰ περὶ τῶν τρόπων, καθ᾽ οὓς τὸ Σαμαρειτανὸν πρὸς τοὺς Ο συμφωνεῖ, ἢ διαφωνεῖ, πεπραγμάτευται ὁ σοφὸς Γεσένιος, πλούσια ἐν περιλήψει πολλαχοῦ ἐκφέρων τὰ παραδείγματα, καὶ μάλιστα ἐν τῷ β, μέρει τῆς ἐμϐριθεστάστης αὐτοῦ συγγραφῆς, ὅπου καὶ ἰδίως ἀνακρίνει τὰς ἐν τῷ α, μέρει προδιατεταγμένας ἰδέας, ἢ τάξεις τῶν ἀναγνώσεων τοῦ Σαμαρειτανοῦ (σελ. 22—64).

§. ι. Ἡμεῖς δὲ τὰ μὲν εἰς τὴν ὀρθογραφίαν καὶ πᾶσαν τὴν ἄλλην γραμματικὴν τοῦ Σαμαρειτανοῦ κειμένου θεωρίαν ἀναγόμενα, ὅσα ὁ πολυμαθέστατος κριτικὸς ἐσημείωσε, θαυμάζοντες, ὡς εἰκὸς, παρεῶμεν εἰς τὴν ἐπίκρισιν τῶν περὶ τὰ τοιαῦτα δεινῶν, (καί τοι ἄλλως ἀμφιϐάλλομεν, εἰ καὶ Δοσίθεος ἐκεῖνος ὁ Σαμαρείτης ἰδὼν ποθεν τὰς μετὰ τοσούτους αἰῶνας περὶ τῆς Σαμαρείτιδος γλώσσης οὕτως ὁριστικῶς ἐκφερομένας κρίσεις τῶν νεωτέρων κριτικῶν, ἔμελλεν εὑρεῖν τὰς πάσας ἀμέμπτους καὶ ἀληθεῖς!), περιοριζόμεθα δὲ μόνον εἰς ὅσα τὸν ἡμέτερον ἀποϐλέπουσι σκοπόν. Ἀναλάϐωμεν ἐξ ἀρχῆς ἐν κεφαλαίοις τὰ περὶ τῆς τοῦ Σαμαρειτανοῦ πρὸς τοὺς Ο, συμφωνίας κεκριμένα περὰ τῷ σοφῷ κριτικῷ.

α) Τίθησι δύω παλαιὰς διαφόρους ἐκδόσεις τῆς ἑϐραϊκῆς Πεντατεύχου· τὴν μὲν παρὰ τῶν Ἰουδαίων διεσκευασμένην, καὶ Ἀλεξανδρινο-Σαμαρειτανὴν ἐπωνομασμένην (ἐξ ἧς ἐπήγασεν ἥ,τε τῶν Ο ἑρμηνεία, καὶ τὸ κείμενον τὸ Σαμαρειτανὸν), τὴν δ᾽ ἀκέραιον

(α) Ὅταν δηλαδὴ τὴν ἑϐραϊκὴν λέξιν δι᾽ ἄλλου τινὸς γράμματος ἀναγινώσκοντες (οἱ Ο), ἄλλως μεταφράζουσιν· οἷον· Γενέσ. γ, 17 « ἐν τοῖς ἔργοις σου » (ἀναγνόντες baabodecha, ἀντὶ τοῦ ἑϐραϊκοῦ baaburecha = διὰ σέ). Τοιαῦτα καὶ Ἀριθμ. κα, 14. Δευτερ. ιϐ, 30. λα, 1. λγ, 2.

(α) Οἷον, Γενέσ. α, 6, 8. ζ, 3. η, 1. θ, 1. κτλ. ἐν Γενέσ. λε, 22, ἔχει παρεμϐεϐυσμένον καὶ σχόλιον ὁλόκληρον καὶ ψυχρὸν! (Gesen. pag. 11)· ἀλλὰ περὶ τούτων λέγομεν ἐφεξῆς.

καὶ ἀδιασκεύαστον διαμείνασαν παρὰ τοῖς Παλαιστινοῖς (καίτοι μὴ παντάπασι σφαλμάτων καθαρεύουσαν), ἐξ ἧς κατάγεται τὸ σημερινὸν ἑβραϊκὸν, ἢ Ἰουδαϊκὸν (Μασορίτειον) κείμενον. Καὶ πρὸς ἀπόδειξιν τῆς διπλῆς ταύτης ἐκδόσεως φέρει παραδείγματα.

β) Διορίζων τὰ εἴδη, ἢ τοὺς τρόπους τῆς κοινῆς τῶν Ο, πρὸς τὸ Σαμαρειτανὸν συμφωνίας, καθ' οὓς ἀμφότερα τὰ κείμενα διαφέρουσι τοῦ ἑβραϊκοῦ, τίθησι τούτους κυρίως εἴς τινα γλωσσήματα, καὶ τὰς ἐξ εἰκασίας, ἢ στοχαστικὰς διορθώσεις, πρὸς ἐξήγησιν καὶ σαφήνειαν, ἢ ἐμμέλειαν ἀφορώσας, μετὰ καὶ τῆς τῶν παραλλήλων τόπων προσθήκης.

γ) Τὰς ἰδιαιτέρας τῶν Ο διαφορὰς ἀποδίδωσιν εἴς τε τὴν παρὰ γράμμα, ἢ καὶ παρὰ λέξεις ὅλας ἐσφαλμένην ἀνάγνωσιν τοῦ παρ' αὐτοῖς ἑβραϊκοῦ, καὶ εἰς ἰδιαιτέρας ἄλλων παραλλήλων τόπων προσθήκας καὶ διασκευάς.

δ) Ὡσαύτως καὶ τὰς ἰδιαζούσας τῷ Σαμαρειτανῷ διαφορὰς ἀπένειμεν εἰς ἄλλας πάλιν μακρὰς παρεγγραφείσας ἐκ παραλλήλων τόπων διασκευὰς, καὶ διορθώσεις, καὶ τὰς λοιπὰς ἐν μέρει διανοθεύσεις.

§. ια. Ταῦτα τοῦ περικλεοῦς ἀνδρὸς τὰ ἀξιώματα μετὰ προσοχῆς ἡμεῖς διεξερχόμενοι καὶ ἀνασκοποῦντες, ὁμολογοῦμεν, ὅτι καὶ σπουδάσαντες οὐκ ἔσχομεν ὅπως πείσωμεν ἑαυτοὺς, ὡς ὀρθὰ καὶ δίκαια *πάντα* λέγει· πολλὰ γὰρ ἑωρῶμεν ἀντιπίπτοντα καὶ προσάντη, καὶ πολὺ ἐν τούτοις τὸ ἀπίθανον ἐπανθοῦν. Λέγομεν δὲ τὰ δόξαντα.

Α) Ὅσα τῆς διπλῆς ἐκδόσεως παραδείγματα τίθησιν ἐκ τῆς θείας Γραφῆς, ἐφ' ὧν ἐπιστηρίζει τὴν ἣν ὑπέθετο διπλῆν τῆς Πεντατεύχου ἔκδοσιν, οὐδὲν ἔχουσι κοινὸν πρὸς τὸν σκοπόν. Διαφέρουσιν οἱ σεσημειωμένοι τέσσαρες τοῦ προφητάνακτος ψαλμοὶ κατά τινα πρὸς ἀλλήλους (βλ. ὄπισθ. σελ. 197)· ἀλλὰ τούτους οὐδεὶς ἄλλος ἐξέδωκεν οὕτως, εἰ μὴ πάλιν αὐτὸς ὁ πνευματέμφορος αὐτῶν ἀοιδός. Ἐν τοῖς μεγίστοις αὐτοῦ κινδύνοις ἐνθεάζων, καὶ εὐλογῶν τὸν ῥύστην αὐτοῦ καὶ σωτῆρα, συνέταξε τὸν ιζ, ἐπινίκιον ψαλμὸν, ὡς ἔχει ἐν Β. Βασιλ. κβ· καὶ τοῦτον συχνάκις

ᾄδων, καὶ μελίζων ἔν τισι διαφόρως, ὡς ἤγετο πάλιν ὑπὸ τοῦ αὐτοῦ πνεύματος, παρέσχε, τέλος, μετὰ τῶν ἄλλων αὐτοῦ ψαλμῶν, ψάλλεσθαι καὶ τοῦτον ἐν τῷ Ναῷ, ὡς ἔχει ἐν τῷ Ψαλτῆρι. Διὸ καὶ ὁ ἱερὸς Θεοδώρητος οὐκ ἄλλην ὑπὸ τοῦ προφητάνακτος καὶ ἄλλην ὑπ' ἄλλου τινὸς ἔκδοσιν τοῦ ψαλμοῦ διακρίνων, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἐν ἑκατέροις τοῖς χωρίοις εἰδώς, ἔλεγεν· «Ἐπινίκιον τῷ Θεῷ συντέθεικεν ὕμνον ὁ θεῖος Δαβίδ (τὸν ἐν Β, Βασιλ. κβ)· ἔστι δὲ σύμφωνος τῷ ἑπτακαιδεκάτῳ ψαλμῷ· μᾶλλον δέ, ὁ αὐτός ἐστιν, ὀλίγας ἔχων ὀνομάτων ἐναλλαγάς» (α). Οὕτω καὶ αὐτὸς ὁ πάνσοφος Μωϋσῆς τὸν Δεκάλογον ἐξήνεγκε θεοπνεύστως ἐν τῷ Δευτερονομίῳ διάφορον περί τινα τῆς ἐν τῇ Ἐξόδῳ ἐκδόσεως αὐτοῦ (β). Οἱ δὲ περὶ τὸν Κοίλερον (Koehler) οὐδ' εἰς ἐκδόσεις ὅλως, ἀλλ' εἰς μόνους τοὺς μεταγραφεῖς τοῦ ῥηθέντος ψαλμοῦ ἀπέδωκαν τὰς ἔν τε τῷ Ψαλτῆρι, κἀν τῇ Β τῶν Βασιλειῶν διαφοράς· κακῶς φρονοῦντες· οἵτινες ὑπέλαβον, ὡς

(α) Θεοδώρητ. ἐν Ἀπόρ. εἰς Β. Βασιλ. ἐρωτ. μγ. (Βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 697). Καὶ ὀρθῶς ἄρα περὶ τούτων ἄλλοι τε τῶν νεωτέρων ἔκριναν, καὶ ὁ Σχούλζιος, λέγων· «Aliud hujus (18) Psalmi exemplar invenitur 2. Samuel. 22, mutatis quibusdam, quae non incuria librariorum sola fudit, sed quae Davides, qui hoc carmen triumphale pluribus vicibus forte cecinit, immutasse et emendasse videtur» Schulz, Schol. in V. Test. vol. 4. pag. 86.

(β) Ταύτην τὴν ἔν τισι διαφέρουσαν ἔκφρασιν τῶν ἐντολῶν τοῦ Δεκαλόγου (ὡς γέγραπται ἐν Ἐξόδ. κ, 1—18, καὶ ἐν Δευτερ. ε, 6—21) παρατηρήσας ὁ Δεβέττης, εἰς τοσαύτην ἐξώλισθεν ἀτοπίαν, ὥστε διεβεβαίωσεν, ὅτι οὐ περιεσῴθη ὁ γνήσιος Δεκάλογος, ἀλλὰ μόνον τούτου *παράφρασις*» (De Wette, Beitraege etc. Bd. 11, 253. Halle, 1807). Τοιαῦτα διατείνεται καὶ ὁ Fulda (N. Repert· T. 3. 205), καὶ ὁ Bohlen (Genes. S. 173), καὶ ὁ George, καὶ ὁ Vatke, καὶ οἱ τοιοῦτοι (βλ. Herbst Einleit. Bd. 1. p. 96). Ὡς ἂν εἴπερ οὐκ εἶχεν ἐξουσίαν ὁ θεόπτης ἐπιτομώτερον, ἔστιν ὅπου, ἢ μᾶλλον ἀνεπτυγμένως ἐξενεγκεῖν τὴν ἔκφρασιν τῶν ἄλλως ἐπ' ἀκριβὲς ὡρισμένων ἑκατέρωθι, καὶ αὐτοτελεξεὶ διατεταγμένων ἐντολῶν τοῦ Δεκαλόγου! ἢ ὡσανεὶ τοῦτο μόνον ὑπῆρχε παράδειγμα τῆς ἐν ταῖς θείαις Γραφαῖς (καὶ παρὰ τοῖς θύραθεν) ἐνίοτε διαφερούσης τῶν αὐτῶν πραγμάτων ἐξηγήσεως. Ἀλλ' οὕτω ματαιάζει πολλάκις, ἀδικίαν εἰς ὕψος λαλοῦσα ἡ ἱερόσυλος ψευδοκριτική, ἥτις οὐκ ἔφριξε χεῖρα παλαμναίαν ἐπιβαλεῖν καὶ εἰς αὐτὰς τὰς θεογράφους πλάκας τοῦ Δεκαλόγου!

ἔοικεν, εἰς τοῦτο ἀκηδίας, ἢ ἀμαθείας, ἐληλακυῖαν τὴν ἑβραϊκὴν πολιτείαν καὶ κατ᾽ αὐτὴν αὐτῆς τὴν ἀκμὴν, ὥστε μηδὲ τοὺς ψαλμοὺς τοῦ Δαβὶδ, ἔτι ζῶντος αὐτοῦ καὶ βλέποντος καὶ ἀκούοντος, καὶ ὕστερον δὲ πάλιν ἀδιαλείπτως ἐν τῷ ναῷ ψαλλομένους (α), μηδ᾽ αὐτοὺς γοῦν ἀκριβῶς καὶ πεφροντισμένως μεταγράφειν (β). Ἐπελάθοντο δὲ ἴσως, καὶ ὅτι ὁ μακάριος Ἔσδρας ἐκδιδοὺς μετὰ τῶν ἄλλων ἱερῶν τευχῶν καὶ τὴν Β, τῶν Βασιλειῶν καὶ τὸ Ψαλτήριον, ἐξέδωκεν ἀπαραλλάκτως καὶ τὰς ἐν ἑκατέροις τοῖς χωρίοις τοῦ Ψαλμοῦ διαφορὰς, ὡς ἐκ τῆς χειρὸς τοῦ προφητάνακτος προελθούσας αὐτὰς εἰδὼς καὶ σεβόμενος. Καὶ ταῦτα μὲν περὶ τοῦ ιζ, ψαλμοῦ. Τὰ δ᾽ αὐτὰ λέγομεν καὶ περὶ τοῦ ιγ καὶ νβ (ἑβρ. 14 καὶ 53)· ὁ γὰρ νβ, ὁ αὐτὸς σχεδόν ἐστι τῷ ιγ, πλήν τινων μεταλλαγῶν, ἃς αὐτὸς πάλιν ὁ θεῖος μελῳδὸς ἐμποιήσας, ἐξέδωκε καὶ αὖθις τὸν ψαλμὸν, ἐπ᾽ ἄλλῃ τινὶ ψάλλεσθαι περιστάσει, ἢ καὶ κατ᾽ ἄλλην ἡμέραν, ἄθικτον τὸν πρώτως ἐκδοθέντα, καὶ ἄλλοτε ψαλλόμενον ιγ, καταλιπὼν (γ). Ὁ δὲ

(α) Ἰώσηπ. Ἀρχ. ζ, ιβ. 3. πρβλ. Β. Βασιλ. κβ. Α. Παραλ. ιϛ, 8. κε, 1—16: Β. Παραλ. κθ, 30: Νεεμ. ιβ, 36. βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ζ. σελ. 475.

(β) Βλ. καὶ Rosenmüll. Schol. in Psalm. 18. Ὅστις καὶ αὐτὸς ὁ σοφὸς ἀνὴρ δύω ἀρχαιότατα ἀντίγραφα τοῦ ψαλμοῦ κατὰ τοὺς ἀρχαιοτάτους χρόνους ὑπάρχοντα ὁμολογήσας, ἔπειτα εἰς αὐτοὺς τοὺς παλαιοτάτους ἀντιγραφεῖς τοῦ ψαλμοῦ πιθανολογῶν ἀπέδωκε τὴν γένεσιν τῶν διαφορῶν. Τοιούτου (φησὶν) εἴδους διαφορῶν ἐν πᾶσι τοῖς συγγράμμασι, καὶ μάλιστα τοῖς ἀρχαιοτάτοις, πολλὰ σῴζονται παραδείγματα, ἅπερ σπανίως παρ᾽ αὐτῶν προέρχονται τῶν συγγραφέων (Quae rarissime ab auctoribus ipsis proficiscuntur)». Ἀλλ᾽ ὅμως εἴτε σπανίως, εἴτε θαμινώτερα, προέρχονται πάντως καὶ ἀπ᾽ αὐτῶν τῶν συγγραφέων! Οὕτως (εἰ καὶ ὅλως θεμιτὸν τοῖς ἀκράτως ἀνθρωπίνοις τὰ θεόπνευστα λόγια παραβάλλειν) τὸ προοίμιον τῆς Πολιτείας ὁ Πλάτων ἑπτάκις εὕρηται μεταγράψας.

(γ) «Has mutationes (τοῦ 53 ψαλμοῦ, πρὸς τὸν 14, παραβαλλομένου) mere ex Scribarum errore ortum traxisse, quod Koehlero aliisque placet,—mihi persuadere non possum, sed potius verum duco, psalmum (τὸν 53) sive ab auctore Davide ipso, sive ab alio poeta serioris aevi (τοῦτο τὸ δεύτερον sive μενέτω παρ᾽ αὐτῷ τῷ σοφῷ) tamquam secundam editionem emendatam, et occasioni, quae tunc temporis fuerit, accomodatam

σοφὸς Εἴχόρνιος καὶ λίαν παράδοξα φαίνεται λέγων· « ὅτι μετὰ τὴν ὑπὸ τοῦ Κύρου πάλιν ἀποκατάστασιν τῆς πολιτείας τῶν Ἑβραίων (δηλονότι μετὰ τὴν τούτων ἐπὶ τοῦ Ζοροβάβελ καὶ τοῦ Ἔσδρα ἐπιστροφὴν), ὁπότε τὸ τεῦχος τοῦ καθ' ἡμᾶς Ψαλτῆρος συνεπήγνυτο ἐκ συναγωγῆς διαφόρων πινακίων περιεχόντων ἀρχαίους ψαλμοὺς, ὁ τούτων συλλογεὺς» (ἐπειδὴ παρ' ἰδιώτου τινὸς, ὡς ἔοικε, θέλει τὴν συλλογὴν γενομένην!) ἐπιλαθόμενος, ὅτι εἶχεν ἤδη προτεταγμένον τὸν ψαλμὸν (τὸν ιγ) ἐν τῇ κατ' αὐτὸν συλλογῇ, ἐπισυνῆψε καὶ δεύτερον πάλιν τὸν αὐτὸν (τὸν νβ)· ῥᾷστα δὲ (φησὶν) ἔσφηλεν αὐτοῦ τὴν μνήμην ἥ τε σμικρότης τοῦ ψαλμοῦ, καὶ τὸ βραχὺ τοῦ ἀποστήματος τῶν δύω τόπων, ἐν οἷς αὐτὸν κατεχώρισε (δηλαδὴ τὸ μεταξὺ τοῦ ιγ, καὶ τοῦ νβ διάστημα)»(α). Ὡς ἂν εἴπερ ὁ ταχυλήσμων οὗτος συλλογεὺς συνήθροιζε τοὺς ψαλμοὺς εἰς τεῦχος ἀποκεισόμενον ἐν τῇ κατ' αὐτὸν βιβλιοθήκῃ διὰ παντὸς ἐσφραγισμένον, καὶ μηκέτι μήτε παρ' αὐτοῦ, μήτε παρ' ἄλλου μηδενὸς ἀναγνωσθησόμενον, ἵνα γοῦν ὀψέ ποτε φανερωθῇ τὸ παράπτωμα τῆς διπλῆς ἐπαναλήψεως τοῦ ψαλμοῦ! Ἀλλ' ὅτι μὲν ἐν τῇ Ἐσδραίᾳ ἐκδόσει τοῦ κώδηκος τῶν Γραφῶν ὑπῆρχε καὶ τὸ τεῦχος τοῦ Ψαλτῆρος κανονικῶς ἀπηρτισμένον, καὶ περιέχον ἀκριβῶς ἐξηριθμημένους (ἴσως δὲ καὶ ἔκτοτε ἐπιγεγραμένους, ὡς ἦσαν ἐπὶ τῶν Ο) τοὺς 150 ψαλμοὺς, ὑπάρχει πρᾶγμα πρόδηλον. Καὶ ἐκ τοιούτου τεύχους πάντως ἐπ' αὐτοῦ τοῦ Ἔσδρα ᾖδον οἱ ψαλτῳδοὶ « *ἐν ᾠδαῖς Δαβὶδ ἀνθρώπου τοῦ Θεοῦ* » (β). Κατὰ δὲ τὸν Ὠρι-

---

prodiisse, quae etiam sententententia S. V. Doederlein est ». Schulz. Schol. in Psalm. 53.

(α) Eichhorn, Einleit. in das Alt. Testam. 3. Th. pag. 425.

(β) Νεεμ. ιβ, 36. βλ. καὶ Θεοδώρ. προοιμ. εἰς ψαλμ. πρβλ. καὶ Rosenmüll. prolegom. in Psalm. §. 3. 4. Ἐν δὲ τοῖς σχολίοις ὁ αὐτὸς Ῥοδομύλλερος (Schol. in Psalm. 14)· « Ἀδύνατον, εἶπεν, ἐπιλυθῆναι τὰ παρὰ τοῖς κριτικοῖς» (π ρ ὸ ς τ ί κ α λ ό ν;) « ἀνακινηθέντα δύω ταῦτα ζητήματα. Τίς ἄρα ἡ αἰτία τῆς ἐπαναλήψεως τοῦ ψαλμοῦ; καὶ πότερος τῶν δύω τούτων ψαλμῶν ὁ γνήσιος (!) καὶ πρώτως ἐκδεδομένος; ». Τὴν δὲ γνώμην τοῦ Εἰχορνίου καί τοι μὴ παντάπασιν ἀποῤῥιπτέαν εἰπὼν, ἀλλ' ὅμως αὐτὸς ἀποδοκιμάζει, νομίζων πιθανώτερον, ὅτι

γένην, οἱ Ἑβραῖοι διῄρουν τὴν τῶν Ψαλμῶν βίβλον (καὶ νῦν οἱ Μασορῖται διαιροῦσιν) εἰς πέντε βιβλία (οἷον ἄλλην Πεντάτευχον ποιοῦντες· βλ. καὶ τὸν Ἐπιφάν. περὶ Μέτρ. §. ε). Ὁ δ᾽ αὐτὸς Ὠριγένης παρατηρῶν, ὅτι « οἱ πλείονες τῶν μετὰ τὸν Ν, Ψαλμὸν μακρῷ πρόσθεν εἴρηνται τοῦ Ν », καὶ ἄλλην μυστικωτέραν ἐπάγων τῆς διατάξεως ταύτης αἰτίαν, προστίθησι καὶ ταῦτα· « τὴν βίβλον (τοῦ Ψαλτῆρος) περιέχειν ἁπλῆν συναγωγὴν κατὰ τὸ αὐτὸ ᾠδῶν ὁμοῦ καὶ ψαλμῶν καὶ τῶν λοιπῶν σποράδην ἀναγεγραμμένων, ἤτοι [τοῦ] Ἔσδρα καὶ ταῦτα μετὰ τῶν ἄλλων γραφῶν ἀπομνημονεύσαντος, ἢ καὶ τῶν παρ᾽ ἑβραίοις παλαιῶν σοφῶν κατὰ τὸ προσπεσὸν ἑκάστου τῇ μνήμῃ συλλεξαμένων τοὺς ἐμφερομένους, ὡς ἔτυχέ τε τὴν ἔκθεσιν αὐτῶν ἁπλουστέρᾳ διανοίᾳ *κεκαθαρμένων* (ἴσ. γρ. πεποιημένων) » (α). Ἐν τούτοις ὁ Ὠριγένης πρῶτον μὲν καὶ κυρίως ἀποδίδωσι τὴν ἔκδοσιν τῶν ψαλμῶν *εἰς τὸν Ἔσδραν*, εἰς ὃν ἀπέδωκε καὶ ἀλλαχοῦ τὴν ἔκδοσιν πάσης τῆς *παλαιᾶς* Διαθήκης, ὡς εἴδομεν (κεφ. β. §. ζ). Οὕτω δὲ καὶ πάντες οἱ Πατέρες, καὶ αὐτῶν τῶν Ἰουδαίων οἱ ἀρχαιότατοι. Ἤδη δὲ προστιθεὶς καὶ *ἄλλων τινῶν* περὶ τοῦ Ψαλτῆρος γνώμην, πρῶτον μὲν

οὐκ ἐξ ἀμελείας, ἢ λήθης, ἀλλὰ μᾶλλον ἐξεπίτηδες καὶ ἀπὸ σπουδῆς ὑπὸ τῶν ἐσχάτων συλλογέων (à novissimis collectoribus) γέγονεν ἡ τοῦ ψαλμοῦ ἐπανάληψις, οἵτινες τὰς μεταξὺ τῶν τούτου δισσῶν ἐκτύπων διαφορὰς οὐ καταφρονητέας νομίσαντες, ἠθέλησαν τὴν ἑαυτῶν πίστιν καὶ ἐπιμέλειαν ἐπιδείξασθαι πρὸς τὸν ἀναγνώστην, ἑκάτερα τὰ ἔκτυπα παραστήσαντες » κτλ. — Ἀλλὰ μήπως οἱ ἔσχατοι συλλογεῖς (τοὺς περὶ τὸν Ἔσδραν πάντως, ἢ τίνας ἄλλους λέγει;) ἀπέβλεπον ἁπλῶς πρὸς τὸν ἀναγνώστην ἐπιδεικτιῶντες, ὡς ἂν ἀκριβολόγοι καὶ πιστοί τινος ἰδιωτικοῦ καὶ ἀνιέρου συγγράμματος ἐκδόται; οὐδ᾽ ἐφρόντιζον θρησκευτικῶς περὶ τῆς κανονικῆς ἐκδόσεως τῶν παρ᾽ ἅπασιν ὡς θεοπνεύστων τιμωμένων ψαλμῶν οὔτ᾽ αὐτοὶ οἱ συλλογεῖς, οὔτ᾽ ἄλλοι παρ᾽ ἑβραίοις τότε διαλάμποντες σοφοί, οὔτε τὸ μέγα Συνέδριον τῶν Ἱεροσολύμων; Ἢ οὐ προῆλθεν ἐκεῖθεν καὶ ὁ κώδηξ, ἐξ οὗ καὶ οἱ Ο μεθηρμήνευσαν ὅλους τοὺς 150 ψαλμούς, καθ᾽ ἣν ὑπῆρχον τάξιν ἔκπαλαι διατεταγμένοι; Ἄπορα καὶ ταῦτα καὶ ἄλυτ᾽ ἀποφαίνεται ἡ ὑψηλὴ κριτική! Βλ. καὶ Reddings, Observat. philol. crit. de Psalmis bis editis. Franeq. 1795.

(α) Ὠριγέν. ἀποσπάσμ. παρὰ Montfauc. Hexapl. vol. 1 p. 78—85.

τοὺς παλαιοὺς παρ' Ἑβραίοις σοφοὺς λέγων (οὐχ *ἕνα* τὸν συλλογέα), τίθησι τούτους πάντως πρὸ τοῦ Ἔσδρα ποιησαμένους τὴν Συλλογὴν, ἣν ἔπειτα καὶ οὗτος ἐπεκύρωσε, συνεκδοὺς ἐν τῷ *Κανόνι* μετὰ τῶν ἄλλων τευχῶν καὶ τοὺς Ψαλμοὺς, ὡς ἦσαν πρὸ αὐτοῦ τεταγμένοι. Δεύτερον. Ὁ Ὠριγένης λαλεῖ περὶ τῆς κατὰ τὸ *πρότερον καὶ ὕστερον* χρονολογικῆς διατάξεως τῶν 150 ψαλμῶν (καὶ τοῦτό πως περιεργότερον· μὴ γὰρ ἱστορίαν περιέχουσιν οἱ ψαλμοὶ, ἵνα χρονολογικῶς διαταχθῶσιν; ἠδύναντο γὰρ καταχωρισθῆναι καὶ κατὰ λόγον τῶν καιρῶν, ἢ τῶν τελετῶν, καθ' ἃς ἐψάλλοντο, ἢ καὶ δι' ἄλλην αἰτίαν, ἥτις οὐκ ἐλάνθανε πάντως τὸν ἀποδεξάμενον ταύτην τὴν διάταξιν σοφώτατον Ἔσδραν). Ὁ δὲ, τέλος, προβληθεὶς ὑπὸ τοῦ Γεσενίου Ψαλμὸς τῆς Α, τῶν Παραλ. (ις, 8–36) οὐχ ἁπλῶς καὶ μόνος ἐστὶν ὁ τοῦ Ψαλτηρίου ρδ (ἑβρ. 105), πρὸς ὃν ὡς δευτέρα ἔκδοσις παραβάλλεται (ὄπισθ. σελ. 330), ἀλλὰ περιέχει (ἀπ' ἀρχῆς ἕως τοῦ 23 στίχου) μέρος μόνον τοῦ ρδ ψαλμοῦ (στίχους 16), καὶ πρὸς τούτοις ὅλον τὸν ϟε (ἑβρ. 96) ψαλμὸν (ἀπὸ τοῦ 23 στίχου μέχρι τοῦ 33). Οἱ δὲ πάλιν 34 καὶ 35 στίχοι κεῖνται καὶ ἐν τῷ ρε (ἑβρ. 106, στίχ. 47, 48). Πρῶτον μὲν οὖν αὐτὸν ὁλόκληρον συντάξας ὁ προφητάναξ, παρέσχε τοῖς περὶ τὸν Ἀσὰφ ψαλτῳδοῖς, ἵνα τοῦτον ψάλλωσιν ἐπὶ τῆς πανηγυρικῆς ἐν τῇ Σιὼν καταθέσεως τῆς κιβωτοῦ (Α. Παραλ. ις). Ἔπειτα δὲ κατ' ἄλλας περιστάσεις εἰς δύω τοῦτον διεῖλεν, (ὡς κεῖται ἐν τῷ Ψαλτῆρι) εἴς τε τὸν ρδ (ὃν καὶ ἀνεπλήρωσε), καὶ τὸν ϟε (α). Ἀλλ' ἔστω, τέλος, δῶμεν

(α) Ὁ δὲ Δεβέττης πᾶν τοὐναντίον ὑπέλαβεν, ὅτι ἐκ τῶν δύω τοῦ ψαλτῆρος ψαλμῶν συνέταξεν ὕστερον ὁ συγγραφεὺς τῆς Α, τῶν Παραλ. τὸν ἐν κεφ. ις. διότι ὁ σύνθετος οὗτος ψαλμὸς ἐν τῷ 35 στίχῳ δείκνυσι τὴν ἐν Βαβυλῶνι αἰχμαλωσίαν, λέγων, τὸ «Σῶσον ἡμᾶς κύριε. καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν»! ταῦτα ὁ κριτικός. Ὡσανεὶ ἡ Α, τῶν Παραλειπομ. ἠδύνατο συνταχθῆναι κατὰ τὴν διάρκειαν τῆς αἰχμαλωσίας! (ἐκ ποίων τότε ἀρχείων τῆς Ἱερουσαλήμ;). Ἢ ὡσανεὶ οἱ μὲν ἄλλοι προφῆται ἠδύναντο προφητεύειν τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν τοῦ λαοῦ, ὁ δὲ προφητάναξ οὔ! (βλ. Θεοδώρητ. εἰς ψαλμ. ρα, κτλ.). Τὸν αὐτὸν στίχον ἔχει καὶ ὁ ρε (ἑβρ. 106) ψαλμὸς (ςχ. 47). Ἐκ τούτου πάλιν ἄλλοι τῶν κρι-

(ὅπερ οὐ διδόαμεν), ὅτι καὶ πέντε ψαλμῶν, διτταὶ γεγόνασιν ἐκδόσεις, μεταβληθέντων, ἢ καὶ προςεθέντων τινῶν ςίχων, ἢ φωνῶν τῆς πρώτης εἰς τὴν δευτέραν ἔκδοσιν ὑπ᾽ ἄλλου τινὸς τῶν προφητικῶν ἀνδρῶν, ἢ καὶ ὑπ᾽ αὐτοῦ τοῦ θεοφιλεστάτου Ἔσδρα, διά τινας περιστάσεις καὶ λόγους εὐλόγους (καὶ τούτους κεκυρωμένους καὶ κοινῶς παραδεδεγμένους ὑπὸ τοῦ μεγάλου Συνεδρίου, τοῦ ἐπαγρυπνοῦντος εἰς τὴν ἀκριβῆ διατήρησιν τῆς τῶν θείων λόγων γνησιότητος)· ποίαν ἀναλογίαν ἔχουσι τὰ τοιαῦτα πρὸς τὴν ὑποτιθεμένην δευτέραν ἔκδοσιν ὅλης τῆς Πεντατεύχου; καὶ ταύτην μερικὴν γενομένην *ὑπό τινων Ἰουδαίων ἀγνώστων*, οἵτινες διεσκεύαζον καὶ μετέβαλλον αὐτεξουσίως πρὸς τὸ σφίσι δοκοῦν τὴν ὑπὸ πάσης τῆς Συναγωγῆς παραδεδομένην καὶ σεβαζομένην ἀρχέτυπον ἔκδοσιν τῶν Μωσαϊκῶν τευχῶν;

Β) Ἀλλὰ καὶ καθ᾽ ἑαυτὴν θεωρουμένη αὕτη τῆς δευτέρας ἐκδόσεως ἡ ἐπίνοια λίαν ἄτοπος ἐξελέγχεται καὶ ἀσύστατος. Καὶ τούτου δείξεις τὰ ἑξῆς·

α) Τίθησιν ὁ κριτικὸς, ὡς πρᾶγμα βέβαιον καὶ ἀναντίῤῥητον, ὅτι ὁ καθ᾽ ἡμᾶς Μασορίτειος κώδηξ ὑπάρχει ὁ αὐτὸς ἐκεῖνος (πλὴν ὧν λέγει μικρῶν τινων σφαλμάτων), ᾧ περ ἐχρῶντο οἱ Ἰουδαῖοι ἀπὸ τοῦ Ἔσδρα μέχρι τῆς σωτηρίου ἐποχῆς, καὶ πάλιν ἐκεῖθεν ἄχρι καὶ τῆς σήμερον· καὶ πρὸς τούτου τὴν ἔκδοσιν παραβάλλει τὴν ἑτέραν τὴν διεσκευασμένην, ἐξ ἧς καὶ οἱ Σαμαρεῖται τοὺς ἰδίους κώδηκας ἔσχον, καὶ ἡ τῶν Ο, γέγονεν ἑρμηνεία,

---

τικῶν εἶπον ὅτι μετεφυτεύθη ὁ στίχος καὶ εἰς τὸν ἐν Α, Παραλ. (ις, 35). Ὡς ἂν εἴπερ οὐκ εἶχεν ἐξουσίαν ὁ προφήτης ἐπαναλαμβάνειν τὰ αὐτὸς ἑαυτοῦ, ὁσάκις ὑπὸ τοῦ πνεύματος ἤγετο, ὁποῖα βλέπει πᾶς τις καὶ ἀλλαχοῦ τῶν εἰς αὐτὸν ῥητῶς ἐπιγεγραμμένων ψαλμῶν· (οἷον, ψαλμ. νθ, 6—12, τὰ αὐτὰ καὶ ψαλμ. ρζ, 7—13. καὶ πάλιν τὰ ἀπὸ 1—6 τοῦ ρζ ψαλμοῦ κεῖνται καὶ ἐν ψαλμῷ γς, 7—11. κτλ.). Ἀλλὰ καὶ τοῦτο τῆς δριμύτητος τῶν νεωτέρων κριτικῶν, ἵνα καὶ τῶν ψαλμῶν καὶ τῶν ἄλλων προφητικῶν συγγραφῶν τὸν χρόνον ἐξάγωσιν ἐκ τῶν ἐν αὐτοῖς εἰρημένων, ὡς πάντα προγεγονότα, ἢ γοῦν καί τινα παρόντα περιστατικὰ διαλαμβανόντων, οὐδέποτε δὲ πόῤῥωθεν τὰ μέλλοντα προφητευόντων! (τοῦτο γὰρ ὁ ὀρθὸς λόγος ὑπαγορεύει, καὶ δειλαίως ἀπαιτεῖ!).

συμφωνοῦσα πρὸς τὸ Σαμαρειτικὸν, καθ' ἃς λέγει διασκευάς. Ἀλλὰ τοῦτ' ἂν εἴη « *τὸ παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι* ». Πρῶτον ὤφειλεν ἀποδεῖξαι, ὅτι αἱ παρά τε τοῖς Ο, συνάμα κὰν τῷ Σαμαρειτικῷ κοινῶς κείμεναι καὶ λεγόμεναι αὗται διασκευαὶ καὶ παρεγγραφαὶ οὐχ ὑπάρχουσι τἀνάπαλιν τρανώτατα δείγματα τοῖς ἐν τούτοις τοῖς τόποις κολοβώσεως τοῦ μετὰ Χριστὸν ἑβραϊκοῦ. Πάλιν τίθησι τὴν Σαμαρειτανὴν καὶ τὴν τῶν Ο, Πεντάτευχον, ὡς ἀμφοτέρας προελθούσας ἀπὸ κωδήκων ἑβραϊκῶν, τ' ἄλλα μὲν τοῖς ἀρχαίοις καὶ καθαροῖς συμφωνούντων, εἰς μόνην δὲ τὴν Πεντάτευχον, ὡς ἀπ' ἄλλης ἐκδόσεως, διαφερόντων. Ἀλλὰ καὶ ὧδε τοῦτο πρῶτον ὤφειλεν ἀποδεῖξαι. Ἄλλων τῆς Γραφῆς χωρίων ἤ καί τινων τευχῶν, διπλαῖ τινες ἐκδόσεις, ἃς παρεδειγμάτισεν, οὐδεμίαν παρέχουσι δεῖξιν τοῦ προκειμένου θέματος (ὡς προείπομεν). Ἐπειδὴ γεγόνασιν ἐκείνων δεύτεραι ἐκδόσεις, ὑπῆρξε λοιπὸν ἐξάπαντος καὶ τῆς Πεντατεύχου;

β) Τὴν δευτέραν ταύτην ἔκδοσιν τῆς ἑβραΐδος Πεντατεύχου τὴν Ἀλεξανδρινο-Σαμαρειτανὴν (ἄγαν τραγικὸν τὸ σχῆμα τῆς λέξεως, καὶ ὑπότραχυ πρὸς ἑλληνικὰς ἀκοάς, πρέπον δὲ ὅμως τῷ πλάσματι!), ταύτην ὁ σοφὸς Γεσένιος τίθησιν ὑπάρχουσαν ἤδη κατὰ τοὺς Ἀλεξάνδρου χρόνους· καὶ ταύτης ἀντίγραφον λέγει ὅτι ἔλαβον οἱ Σαμαρεῖται κατὰ τοὺς αὐτοὺς χρόνους, ἢ *ὀλίγῳ πρότερον* τῆς ἑλληνικῆς ἑρμηνείας τοῦ Ἀλεξανδρινοῦ (α). Καὶ πόθεν μὲν οὗτος ὁ *Ἀλεξανδρινὸς*, κατὰ τὸν Γεσένιον (καθ' ἡμᾶς δὲ τοὺς ἀρχαίους, ὅλων *ἑβδομήκοντα* ἱεροσολυμιτῶν γερόντων χορὸς), πόθεν εἶχε λαβὼν τὸν ἐξ οὗ τὴν ἑρμηνείαν ἐποιήσατο παρηλλαγμένον κώδηκα, οὐ διώρισεν ἐνταῦθα ὁ κριτικός· διώρισεν ὅμως τὸν ἐκείνου ἀδελφὸν, τὸν παρὰ τοῖς Σαμαρείταις διαβάντα κώδηκα, ὅτι ἦλθεν εἰς Σαμάρειαν, *ἐξ Ἱεροσολύμων* (ὅθεν ἦλθε φέρων αὐτὸν ὁ

(α) «Posuimus.. Samaritanos codicem suum c i r c a A l e x a n d r i M a g n i a e t a t e m e codicibus Judaicis descripsisse.» (Gesen. l. c. pag. 16. conf. pag. 8. et 15).

Μανασσῆς, ὁ *ἀδελφὸς τοῦ ἀρχιερέως*, καὶ οἱ μετ᾽ αὐτοῦ ἱερεῖς). Ὥστε καὶ ὁ Ἀλεξανδρινὸς ἑρμηνεὺς ἐκεῖθεν εἶχε τὸ πρωτότυπον, εἴτ᾽ αὐτὸς λαβών, εἴτε καὶ κατ᾽ Ἀλεξάνδρειαν εὑρὼν μετακομισθέν, ὅθεν ἐξεπόνησε τὴν *τῶν Ο λεγομένων* ἑρμηνείαν. Ἀλλ᾽ ὁ σοφὸς κριτικὸς εἶπε πάλιν, ὅτι παρὰ τοῖς Παλαιστινοῖς Ἰουδαίοις καὶ μάλιστα *τοῖς Ἱεροσολυμίταις* διέμεινεν ὁ ἀρχαῖος κώδηξ ἀπαράλλακτος, ἐξ εὐλαβείας τηρηθείς (α). Ὥστε κατὰ ταῦτα δισσαῖς λοιπὸν ἐκδόσεσιν ἐχρῶντο τῆς Πεντατεύχου κατὰ τὴν Παλαιστίνην, καὶ κατ᾽ αὐτὰ τὰ *Ἱεροσόλυμα*, τῇ μὲν ἀρχαίᾳ καὶ καθαρᾷ, τῇ δὲ διεσκευασμένῃ (β). Καὶ τοῦτο πότε; μικρῷ μετὰ τὸν Νεεμίαν. Κατὰ γὰρ τοὺς Ἀλεξάνδρου χρόνους, ὁπότε μετῴκησεν ὁ Μανασσῆς εἰς Σαμάρειαν, ἡ ἑτέρα ἔκδοσις ὑποτίθεται ἤδη διεσκευασμένη· διεσκευασμένη δὲ καὶ κατὰ τὴν Ἀλεξάνδρειαν, ὁπότε γέγονεν ἡ ἑλληνὶς ἑρμηνεία ὀλίγῳ μετὰ τὴν εἰς τοὺς Σαμαρείτας ἄφιξιν τοῦ κειμένου (ἤτοι 40, περίπου ἔτει μετὰ τὴν Ἀλεξάνδρου τελευτήν). Ἐπειδὴ δὲ καὶ οἱ Ἀλεξανδρινοὶ Ἰουδαῖοι μετῳκίσθησαν ὑπὸ τοῦ Α, Πτολεμαίου μάλιστα ἐκ τῆς Παλαιστίνης (βλ. ὄπισθ. Βιβλ. Α. κεφ. ιδ. §. ς. σελ. 471), ἕπεται λοιπόν, ὅτι τοιαύτην διεσκευασμένην ἔκδοσιν ἦλθον καὶ αὐτοὶ φέροντες μεθ᾽ ἑαυτῶν ἐκ τῆς Παλαιστίνης καὶ τῶν Ἱεροσολύμων. Ἀλλὰ τοιαύτην διασκευὴν καὶ βεβήλωσιν τῆς Μωσαϊκῆς Πεντατεύχου γνωστὴν μὲν τῷ οἴκῳ τοῦ ἀρχιερέως τῶν Ἱεροσολύμων (εἴ γε τοιοῦτο ἀπόγραφον ἔφερεν εἰς τὴν Σαμάρειαν ὁ τοῦ ἀρχιερέως ἀδελφὸς Μανασσῆς), καταπραχθεῖσαν δ᾽ ἐν μέσῳ *τῆς πόλεως τοῦ Θεοῦ καὶ*

(α) « Alterius hujus (Alexandrino—Samaritanae) editionis exempla in multis, quamquam non in omnibus lectionibus sibi constantia —usu videntur recepta fuisse apud Alexandrinos et Samaritanos; Aliis, Judaeis potissimum Ierosolymitanis, veterem lectionem non variatam— religiosus servare studentibus ». Gesen. l. c. p. 14, 15.

(β) *Τοιαύτην διπλῆν ἔκδοσιν τῶν ἑβραϊκῶν γραφῶν εἶπε πρῶτος ὁ ῥαββὶς Ἀζαρίας (ἀξιόπιστος μάρτυς, καὶ μάλιστα περὶ τῆς ἑρμηνείας τῶν Ο!). γράφομεν τούτου τοὺς λόγους παρακατιόντες· μνημονεύει δὲ τούτους καὶ ὁ Γεσένιος* (l. c. p. 14).

τῆς ἧς αὐτὴ προὐκάθητο Παλαιστίνης (καὶ ταῦτα, νεαρῶν εἰσέτι τῶν ἰχνῶν τῆς Ἔσδρα χειρὸς προσκειμένων ἐπὶ τῆς κανονικῆς ἐκδόσεως ὅλου τοῦ κώδηκος τῶν Γραφῶν), οὐδ' ἂν αὐτὸς ὁ Γεσένιος, βραδύτερον βουλευσάμενος, ἀπεδέξατο.

γ) Ἡ δευτέρα αὕτη διεσκευασμένη ἔκδοσις ἀντίκειται πρὸς τὴν ἱστορίαν. Οὐ μόνον Ἀριστέας καὶ Ἀριστόβουλος καὶ Ἰώσηπος μετὰ τοῦ Φίλωνος, καὶ οἱ ἱεροὶ Πατέρες ἱστόρησαν τὴν ἑρμηνείαν τῶν Ο (τούτους γὰρ οὐ λέγομεν, ὡς *ἐν καρὸς μοίρᾳ* τεθειμένους παρὰ τῇ ὑψηλῇ κριτικῇ), ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν νεωτάτων καὶ ἄγαν αὐστηρῶν κριτικῶν ἄνδρες ἐπισημότατοι ἀπεδέξαντο ὡς ἱστορικὴν ἀλήθειαν, ὅτι παρὰ τοῦ ἀρχιερέως ἐκ τῶν Ἱεροσολύμων ἐςάλη ὁ ἑβραϊκὸς κώδηξ τῶν Γραφῶν, ἐξ οὗ πεφιλοπόνηται ἡ ἑλληνὶς ἑρμηνεία. Κώδηκα δὲ *διεσκευασμένον* καὶ πολυτρόπως *νενοθευμένον* πῶς ἂν ἀπέστειλεν ὁ ἀρχιερεὺς πρὸς τὸν βασιλέα τὸν Φιλάδελφον;

δ) Ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, στασιαζόντων ἐν Ἀλεξανδρείᾳ τῶν Ἰουδαίων πρὸς τοὺς Σαμαρείτας περί τε τοῦ ἐν Ἱεροσολύμοις ἱεροῦ, καὶ τοῦ ἐν Γαριζεὶμ κτισθέντος ὑπὸ τῶν Σαμαρέων, καὶ κρινομένων ἑκατέρων ἐπ' αὐτοῦ τοῦ Πτολεμαίου, ἔκρινεν ὁ βασιλεὺς ὅτι κατὰ τοὺς Μωσέως νόμους ᾠκοδομήθη τὸ ἐν Ἱεροσολύμοις ἱερόν. Ταῦτα ἱστορῶν ὁ Ἰουδαῖος Ἰώσηπος (Ἀρχ. ιγ, γ, 4) ἀναφέρει τοὺς παρὰ τοῖς Ἀλεξανδρινοῖς *Νόμους τοῦ Μωσέως* (ἤτοι τὴν κατὰ τοὺς Ο, Πεντάτευχον) πεποιθότως καὶ ἀνυπόπτως, ὡς γνησίους παρὰ πᾶσιν ἀνωμολογημένους θεσμοὺς τοῦ Νομοθέτου τῶν Ἰουδαίων, οἷς καὶ οἱ τότε Ἀλεξανδρεῖς ἐχρῶντο πιστῶς.

ε) *Ἰούδας ὁ Μακκαβαῖος, καὶ ἡ γερουσία, καὶ οἱ ἐν Ἱεροσολύμοις καὶ Ἰουδαίᾳ*, γράφοντες τὴν πρὸς Ἀριστόβουλον καὶ πρὸς ἅπαντας τοὺς ἐν Αἰγύπτῳ ἀδελφοὺς ἰουδαίους δευτέραν ἐπιστολὴν, εὐαγγελίζονται μετὰ τῶν ἄλλων, καὶ ὅτι ὁ Ἰούδας ἐπισυνήγαγεν ἐν Ἱεροσολύμοις πάντα τὰ διὰ τὸν Ἀντιόχου πόλεμον διαπεπτωκότα βιβλία, καὶ ἐπιφέρουσιν· « *ὧν οὖν ἐὰν χρείαν ἔχητε*,

τοὺς ἀποκομιοῦντας ὑμῖν ἀποστέλλετε » (Β. Μακκαβ. β, 15). Εἰ δὲ καὶ τοὺς Ἀλεξανδρινοὺς Ἰουδαίους οἱ ἐν Ἱεροσολύμοις ἠπίσταντο (πῶς γὰρ οὐ ἔμελλον;) χρωμένους καὶ σεβαζομένους ἄλλην *διεσκευασμένην ἔκδοσιν* τῆς Πεντατεύχου νομοθεσίας, πῶς λοιπὸν τοῖς τοιούτοις μετέδιδον καὶ τῶν παρ' αὐτοῖς *ἀδιασκευάστων καὶ γνησίων* τετηρημένων κωδήκων; μᾶλλον δέ, πῶς οὐκ ἂν ἐμίσουν ἀποστυγοῦντες, ὡς κεχραμέναις καὶ νενοθευμέναις χρωμένους ταῖς θείαις Γραφαῖς;

ς) Ἔτι τρανώτερον ὁ ἱεροσολυμίτης Σειραχίδης διεκήρυξεν, ὅτι μία καὶ μόνη ὑπῆρχεν ἐπ' αὐτοῦ (τῷ 175 π. Χ.) τῶν ἑβραϊκῶν γραφῶν ἔκδοσις, ἡ Ἐσδραία, ἡ γνησία καὶ ἀρχέτυπος, ᾗπερ οἱ Ἱεροσολυμῖται καὶ πάντες οἱ ἑβραΐζοντες Ἰουδαῖοι ἐχρῶντο, καὶ ἐξ ἧς ἐγένετο καὶ ἡ ἑρμηνεία τῶν Ο. « Οὐ γὰρ ἰσοδυναμεῖ (φησὶν) αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα » (τὰ τῆς ἑβραϊστὶ συνταχθείσης *Σοφίας* τοῦ πάππου αὐτοῦ Σειράχ), « καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν » (ὡς ἡρμήνευεν αὐτὸς ἑλληνιστί). « Οὐ μόνον δὲ ταῦτα, *ἀλλὰ καὶ αὐτὸς ὁ νόμος, καὶ αἱ προφητεῖαι, καὶ τὰ λοιπὰ τῶν βιβλίων* οὐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς (τουτ. *ἑβραϊστὶ*) λεγόμενα » (Προλόγ. Σ. Σειράχ. βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. θ. σελ. 582, 592). Τί ἄλλο ταῦτα δηλοῦσι σαφῶς καὶ τρανῶς, εἰ μὴ ὅτι ὁ Σειραχίδης συγκρίνων τὴν ἣν καὶ αὐτὸς ὡς γνησίαν ἀνεγίνωσκεν ἑρμηνείαν τῶν Ο, πρὸς τὴν ἐξ ἧς ἐκεῖνοι μεθηρμήνευσαν ἑβραϊκὴν Γραφήν, μίαν μόνην ταύτης ἔκδοσιν ἐγνώριζεν; αὐτὴν ἐκείνην δηλονότι, ᾗ καὶ ὁ πάππος αὐτοῦ Ἰησοῦς ἐχρῆτο, συγγράφων ἑβραϊστὶ τὴν αὐτοῦ Σοφίαν ἐν μέσοις τοῖς Ἱεροσολύμοις τῷ 240, ἢ 230 π. Χ. (ἤτοι 40 περίπου ἔτει μετὰ τοὺς Ο).

ζ) Ὁ Ἰώσηπος, σοφὸς τῶν Ἱεροσολύμων ἱερεύς, ὅστις ἀνεγίνωσκεν ἐν τῷ ναῷ τὴν (κατὰ τὸν Γεσένιον) ἄχραντον πάσης διασκευῆς διατηρηθεῖσαν παρ' Ἰουδαίοις ἔκδοσιν τῶν ἑβραΐδων Γραφῶν, αὐτὸς οὗτος ἐν ταῖς αὐτοῦ συγγραφαῖς ἀείποτε σχεδὸν ἐχρῆτο τῇ ἑρμηνείᾳ τῶν Ο, ὡς ἄχραντον δήπου καὶ ταύτην εἰδώς, καὶ

τιμῶν, καὶ σύμφωνον ἐν πᾶσι, καὶ (ὡς εἶπεν ὁ Φίλων) *ἀδελφὴν* τῶν αὐτῷ πατρίων Γραφῶν. Εἰ δὲ καὶ ἔκ τινος ἑτέρας ἐκδόσεως διεσκευασμένης ἠπίστατο γεγονυῖαν τὴν Ἀλεξανδρινὴν ἑρμηνείαν, οὐκ ἂν ἐσιώπησε τὴν τοιαύτην διανόθευσιν τῆς Γραφῆς ὁ Ἰουδαῖος ἱερεὺς, ἐν οἷς μάλιστα συνέγραφε *τὴν ἱστορίαν τῆς ἑρμηνείας*. Ἢ μήπως ἐλάνθανε τὸν Ἰώσηπον, καὶ πρὸ τούτου τὸν Σειραχίδην, καὶ αὐτὴν τὴν κατὰ τὸν Μακκαβαῖον Ἰούδαν γερουσίαν τῶν Ἱεροσολύμων ἐκ ποίας ἐκδόσεως ἐξελληνίσθη ἡ Ἀλεξανδρινὴ μετάφρασις;

η) Οἱ κατὰ τὸν β, αἰῶνα ἑλληνισταὶ Ἰουδαῖοι φρίσσοντες τοὺς Ο, καὶ νέας ἄλλας τυρεύοντες ἑρμηνείας (καὶ πρώτην τὴν διὰ τοῦ Ἀκύλα), ἔλεγον πρὸς τὸν μάρτυρα καὶ φιλόσοφον Ἰουστῖνον (Διαλ. π. Τρύφωνα), ὅτι « *οὐ καλῶς ἔν τισιν ἡρμήνευσαν* οἱ Ο » (ὅσα δηλονότι αὐτοῖς ἀπήρεσκον), οὐδέποτε δὲ εἶπον (διότι οὐδ᾽ ἐφρόνουν), ὅτι μεθηρμήνευσαν ἀπὸ νενοθευμένης καὶ διεσκευασμένης, καὶ πρὸς τὸ κατ᾽ αὐτοὺς ἀρχαῖον ἑβραϊκὸν διαφερούσης ἐκδόσεως. Ἀλλὰ καὶ οἱ Ταλμουδικοὶ ἐθεώρουν τὴν ἑρμηνείαν ὡς ἀπὸ γνησίων καὶ καθαρῶν πηγάσασαν ἀντιγράφων· καὶ μαρτυροῦσι τὰ ιγ πολυθρύλλητα χωρία, καθ᾽ ἃ μόνα ἔπλαττον τοὺς Ο, ἐξεπίτηδες διαστρέψαντας τὸ κείμενον (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. θ. ζ. ις).

θ) Ὁ σοφὸς Γεσένιος οὐ διώρισε τὸν χρόνον τῆς πρώτης ὑποτιθεμένης ἀλλοιώσεως καὶ διασκευῆς τῆς Πεντατεύχου· ἐγένετο δ᾽ ἂν αὕτη ἢ πρότερον, ἢ ὕστερον τοῦ Ἔσδρα· καὶ εἰ μὲν πρότερον, ᾤχοντο λοιπὸν (τοὐλάχιστον ἐκ τῆς Παλαιστίνης) τὰ διασκευάσματα, πρὶν ἔτι μεταφέρῃ τὴν Πεντάτευχον εἰς τοὺς Σαμαρείτας ὁ ἱεροσολυμίτης Μανασσῆς. Ὁ γὰρ Ἔσδρας ἐπελθὼν, ἐξέδωκε τὴν ἀκριβεστάτην ἔκδοσιν τῶν κανονικῶν Γραφῶν. Εἰ δὲ μετὰ τὸν Ἔσδραν, καὶ τὸν ἐν Ἱεροσολύμοις βιβλιοθήκην συστήσαντα Νεεμίαν (Β. Μακκαβ. β, 13) ἀνεφύησαν οἱ διασκευασταὶ, σφόδρα μὲν πρόωροι ἀνεφάνησαν, καὶ εὐθέως ἴσως μετὰ τὸν θάνατον τοῦ Νεεμίου (ἐπὶ γὰρ τοῦ μόλις ἔτεσιν 60 ὑστερήσαντος Ἀλεξάνδρου τοῦ Μ. [ὄπισθ. σελ. 53] ἡ Πεντάτευχος ἤδη τίθεται διεσκευασμένη), πλὴν ἀλλ᾽ ὅμως καὶ

οὕτως ἀωρὶ προκύψαντες, ἐκακούργουν τὴν διασκευὴν ἀγνῶτος πάντως τοῦ Ἀρχιερέως, ἐκτός που τῶν Ἱεροσολύμων, ἐν οἷς, κατὰ τὸν Γεσένιον, ἐκράτει τὸ ἀρχαῖον ἑβραϊκόν. Ἀλλ' ὁ τοῦ ἀρχιερέως ἀδελφὸς Μανασσῆς, ὅστις ἔφερεν εἰς τὴν Σαμάρειαν τὴν διεσκευασμένην ἔκδοσιν, ἦλθεν ἐκ τῶν Ἱεροσολύμων· ἐκεῖθεν λοιπὸν ἔλαβε καὶ τὸ νενοθευμένον Σαμαρειτικόν· ἐκεῖθεν ἐξῆλθε καὶ τὸ τούτου ἀδελφὸν, τὸ Ἀλεξανδρινὸν ἰουδαϊκὸν ἀπόγραφον· ὅπερ ἀντιβαίνει πρὸς τὴν ὑπόθεσιν (ὡς ἀνωτέρω προαπεδέδεικται). Ὁ σοφὸς Γεσένιος μόνην ἴσως τὴν Πεντάτευχον ἐξελληνίσθαι τὸ πρῶτον δοξάζει, τὰ δὲ λοιπὰ τῶν ἱερῶν τευχῶν, ἄλλοτε ἄλλα· κρινέτω ὅπως ἐθέλει (βλέπε ὄπισθ. Βιβλ. Β. κεφ. θ. §. κθ.). Ὅτι ὅμως ἐπὶ τοῦ Σειραχίδου, καὶ τοῦ Ἀριστοβούλου, καὶ ἔτι πρότερον ἐπὶ τοῦ Φιλοπάτορος Πτολεμαίου (τῷ 215 π. Χ. ἤτοι 67, ἔτει μετὰ τοὺς Ο) ὑπῆρχον ἤδη μεθηρμηνευμένα ὅλα τὰ κανονικὰ βιβλία τῶν Γραφῶν, οὐδ' ἂν αὐτὸς ὁ σεμνότατος ἀνὴρ ἔξαρνος γένοιτο. Εἰ μὲν οὖν ἡ Πεντάτευχος ἐξελληνίσθη ἀπὸ τῆς διεσκευασμένης ἐκείνης τῆς Ἀλεξανδρινο-Σαμαρειτανῆς, τἄλλα λοιπὸν τὰ προφητικὰ βιβλία (ἐν οἷς κεῖνται πάλιν πολλὰ χωρία λείποντα ἐν τῷ νῦν ἑβραϊκῷ, καὶ ἄλλα ἄλλως διαφωνοῦντα) ἐκ τίνος Ἰουδαϊκοῦ διεσκευασμένου κώδηκος ἡρμηνεύθησαν; (εἶπε γὰρ [§ ς], ὅτι μόνον *κατὰ τὴν Πεντάτευχον* διέφερον τῶν ἄλλων ἑβραίων κωδήκων οἱ, ἐξ ὧν προῆλθε τό,τε Σαμαρειτικὸν καὶ ἡ ἑρμηνεία τῶν Ο). Ἆρά γε αὐτοὶ ἐκεῖνοι οἱ τῆς Πεντατεύχου διασκευασταὶ διεσκεύαζον καὶ ὅλον τῆς Ἐσδραίας ἐκδόσεως τὸν κώδηκα; ἢ ἄλλοι τινὲς ἐκείνων διάδοχοι διεῤῥαψῴδουν τὰς ἐν τούτῳ προσθήκας καὶ ἀλλοιώσεις, οἵους κἀν τοῖς Ὁμήρου ποιήμασι λέγουσί τινες *τοὺς Ὁμηρίδας, ῥαπτῶν ἐπέων ἀοιδούς;* Συνεῖδεν ὁ κριτικὸς τὴν ἀτοπίαν· ὅθεν ἐσπούδασε προκαταλαβεῖν τὸν ἀναγνώστην διὰ προκατασκευῆς (βλ. §. η), ἀναπλάσας ἐκεῖνον μόνον τὸν, ἐξ οὗ μετέφρασαν οἱ Ο, κώδηκα *γλωσσήματά* τινα περιέχοντα, καὶ τόπους *παραλλήλους*, καὶ τούτους πρὸς τῇ *ᾤα* προσγεγραμμένους (ὡς ἂν εἴπερ εἶδεν αὐτὸν αὐτοψεί!). Ταῦτα δὲ πάντα οἱ Ο παρενέδυσαν εἰς τὸ κείμενον, προ-

θέντες (ὡς λέγει) καί τινας ἰδίας ἐξ ἑαυτῶν ἐξηγητικὰς, ἢ κριτικὰς εἰκασίας (§. η). Καὶ φαίνεται λοιπὸν ἐκ τούτων, ὅτι αὐτοὶ οἱ Ο ἐγίνοντο τῆς ἑρμηνείας διασκευασταί! Ἀλλ᾽ὡς πρὸς τὰ τοιαῦτα φαντάσματα, οὐδὲν ἄν τις ἠδίκησε τὸ Γεσενίου κλέος, εἴπερ ἔλεγε καὶ περὶ αὐτοῦ τὸ Τιμώνειον ἐκεῖνο ἔπος· «*Ὡς ἀνέπλασσε Πλάτων, πεπλασμένα θαύματα εἰδώς*». Ἀπαντήσει δὲ ὅμως αὐτὸς πρὸς ἑαυτὸν εὐθὺς ἐν τῷ ἄρθρῳ τῷ ἑξῆς.

ι) Τελευταῖον (ἵνα καὶ ἄλλα παραλίπωμεν) τὴν περὶ τὰς ἱερὰς Γραφὰς ἀπὸ τοῦ Ἔσδρα μάλιστα καὶ ἐφεξῆς (μέχρις ἁλώσεως) ἄκραν καὶ θρησκευτικὴν εὐλάβειαν τῶν Ἰουδαίων καὶ προσοχὴν, ὅπως ἂν ἄχραντοι διαμένωσι καὶ ἀῤῥαδιούργητοι, μαρτυροῦσι μὲν ὅ,τε Φίλων καὶ Ἰώσηπος, περιτράνοις λέξεσιν εὐθυῤῥημονοῦντες (βλ. ὄπισθ. κεφ. β. §. κ.), ἀνακηρύττουσι δὲ καὶ ῥαββῖνοι, καὶ κριτικοὶ, καὶ παλαιότεροι καὶ νεώτεροι· οἵ γε καὶ μετὰ τὴν ἅλωσιν, καὶ τὴν εἰς τὰ τετραπέρατα διασπορὰν τῶν Ἰουδαίων, ἐφιστῶσι πάλιν τὴν ἰουδαϊκὴν προσοχὴν ἀκάμμυστον καὶ ἄγρυπνον φυλάκισσαν τῆς ἀδιαφθορίας τῶν Γραφῶν. Ἀπὸ δὲ τῶν ἐπαίνων τῆς τοιαύτης πολυωρίας τῶν μετὰ Χριστὸν Ἰουδαίων, πλήρεις πᾶσαι μὲν ἀγυιαὶ, πᾶσαι δὲ σελίδες τοιούτων βίβλων κριτικῶν! Πῶς λοιπὸν, εὐδαιμονούσης ἔτι καὶ συνεστώσης τῆς ἰουδαϊκῆς πολιτείας, ὀλίγῳ μετὰ τὸν Ἔσδραν καὶ Νεεμίαν (καθ᾽ οὓς χρόνους ἐσῴζοντο πάντως ἐν τῷ ναῷ καὶ αὐτὰ τὰ τοῦ Ἔσδρα αὐτόγραφα), πῶς εὑρέθησαν ἄνθρωποι γνήσιοι Ἰουδαῖοι διασκευασταὶ, μᾶλλον δὲ παλαμναῖοί τινες ἀλάστορες καὶ μιάστορες, διορθοῦντες πρὸς τὸ δοκοῦν, καὶ, ὡς ἄλλοι τινὲς αὐτόχρημα Σαμαρεῖται Δοσίθεοι, κατακιβδηλεύοντες τὸ θεόπνευστον τῆς Πεντατεύχου κείμενον, εἴτ᾽ ἐντὸς, εἴτ᾽ ἐκτὸς τῶν Ἱεροσολύμων, ὅπου γῆς ἂν θέλωσιν οἱ περὶ τὸν Γεσένιον; (α). Τοῦτο κατ᾽ ἐκείνους μάλιστα τοὺς χρόνους

(α) Ἀλλὰ τὸν μὲν Δοσίθεον τοῦτον ὁ ἀρχιερεὺς τῶν Σαμαρειτῶν διαφθείροντα τὸ Σαμαρειτανὸν κείμενον μαθὼν, καθεῖρξεν ὡς ἱερόσυλον, καὶ τὸ διεφθαρμένον ἀπόγραφον κατέκαυσε (βλ. Abrah. Ecchellens. apud De-Rossi, Var. Lection. prolegom. §. 25)· οἱ δὲ τοῦ ἑβραϊκοῦ διασκευασταὶ νηποινεὶ καὶ ἐπ᾽ ἀδείας ἐῤῥαδιούργουν;

φαίνεται πρᾶγμ᾽ ἀδύνατον· πλὴν εἰ μή τις πρῶτον ἀποδείξει καὶ τὸν ἀρχιερέα, καὶ πᾶν τὸ συνέδριον τῶν Ἱεροσολύμων ἀσεβεῖς τῆς διασκευῆς συνενόχους, καὶ πᾶν δὲ τὸ κατὰ χώρας ἰουδαϊκὸν ἐμπεπτωκὸς εἰς ἀνοσιουργίαν *χείρονα τῆς μοσχολατρείας* (ὡς ὀρθῶς ἔκρινεν ὁ Ἰουδαῖος Τρύφων τὴν διαφθορὰν τῶν Γραφῶν· βλ. Ἰουστίνου Διάλογ. πρὸς Τρύφ.). Ὅτι δὲ τοιαύτη τοῦ ἱεροῦ κειμένου βεβήλωσις κατ᾽ ἐκείνους τοὺς χρόνους οὐκ ἂν ἐγένετο οὐδαμῇ οὐδαμῶς, μάρτυρες καὶ ἄλλοι πολλοὶ καὶ ἀγαθοὶ, καὶ πρὸ πάντων κριτικώτατος ἀνὴρ, οὗ τὴν πολυμάθειαν ἐν τοῖς μάλιστα θαυμάζομεν, *αὐτὸς ὁ Γεσένιος*. Οὗτος γὰρ ἐν τῷ προκειμένῳ συγγράμματι, ἀντιλέγων ὀρθῶς πρὸς τὸν Κεννικῶτον, εἰπόντα, «ὅτι τὰς ἐν τῷ Σαμαρειτανῷ μεγάλας περικοπὰς, ὅσαι λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ, παρεῖδον χάριν συντομίας οἱ ἐπὶ τοῦ Βασιλέως Πτολεμαίου Ἰουδαῖοι τοῦ κειμένου ἀντιγραφεῖς» (βλ. ὄπισθ. σελίδι 43), πρὸς ταύτην δὴ τὴν Κεννικώτου παράδοξον γνώμην ἀπαντῶν ὁ Γεσένιος, ἔγραψεν αὐταῖς λέξεσι ταῦτα· «Πλάττων ὁ Κεννικῶτος τὴν ἀτυχῆ αὐτοῦ εἰκασίαν, ἠμέλησε τῆς τῶν Ἰουδαίων θεοσεβείας, οἵτινες ἔκτοτε διὰ παντὸς τοῦ χρόνου μεριμνῶντες, ὅπως μηδ᾽ ἰῶτα γοῦν ἐκ τῶν ἁγιωτάτων γραμμάτων ἐκπέσῃ, οὐδέποτ᾽ ἂν ὑπέμειναν ὁλοκλήρους τούτων περικοπὰς ἑκόντες ἀποβαλεῖν, καὶ ταῦτα πάλιν ἐπὶ μόνῳ σκοπῷ, ὅπως ἂν τῇ τῶν γραφέων ὀκνηρίᾳ μαλακὸν ὑποστρωθῇ προσκεφάλαιον. Ὑπόθες δ᾽ οὖν ὅτι *κώδηκές τινες οὕτως ἐκολοβώθησαν, ἐκεῖνοι τυχὸν, ἐξ ὧν ἡ Ἀλεξανδρινὴ ἐξέρρευσεν ἑρμηνεία*» (διότι οὐδ᾽ οἱ Ο ἔχουσι ταύτας τὰς μεγάλας τοῦ Σαμαρειτανοῦ περικοπὰς, ὡς προείρρηται, σελ. 334), «ἀλλὰ πῶς ποτε πείσεις σαυτὸν, ὅτι αὕτη δὴ ἡ πήρωσις καὶ κολόβωσις ἴσχυσε καὶ εἰς πάντας τοὺς κώδηκας εἰσβαλεῖν, ὥστε μηδένας ἄλλους, πλὴν τῶν Σαμαρειτανῶν, ἀκεραίους διασωθῆναι; » (α). Οὕτως ὁ σοφὸς Γεσένιος ἐξελέγχει συγχρόνως καὶ τὴν Κεννικώτου πλασματολογίαν, καὶ τὴν αὐτὸς ἑαυτοῦ, τὴν περὶ τῆς

(ϐ) Gesen. De Pentat. Samarit. §. 13. p. 47.

διπλῆς ἐκδόσεως τῆς Πεντατεύχου. Καὶ ἐπειδὴ θεμέλιον τῆς δείξεως ὑπέθετο πρᾶγμα βέβαιον καὶ ὁμολογούμενον, ὅτι *οὐκ ἂν ὑπέμειναν οἱ Ἰουδαῖοι κολοβῶσαι καὶ κιβδηλεῦσαι χερσὶν ἰδίαις τὸ ἁγιώτατον κείμενον τῶν Γραφῶν* (καὶ τοῦτο μέχρι τῆς ἐσχάτης αὐτῶν καταστροφῆς, καθὼς τὰ πράγματα μετὰ τῆς ἱστορίας ὁρίζουσι τὸν χρόνον· ὄπισθ. κεφ. β. §. κγ.), ὤφειλεν, ἴσως ὁ κριτικὸς μηδ᾽ ἐκείνην ἐνδοῦναι τὴν ὑπόθεσιν, ὅτι δῆθεν κώδηκές τινες ἐκολοβώθησαν, *καὶ αὐτοὶ κατὰ τύχην ἐκεῖνοι, ἐξ ὧν ἐπήγασεν ἡ πολύκροτος Ἀλεξανδρινὴ ἑρμηνεία.* Μὴ γὰρ οἱ τούτους ἐξ ὑποθέσεως τότε περικόψαντες οὐκ ἦσαν Ἰουδαῖοι γνήσιοι καὶ θεοσεβεῖς; Ὑποτεθέντος δὲ, ὅτι τῶν τινες Ἰουδαίων διέφθειρον ἔστιν οὕστινας τῶν κωδήκων ἐπὶ τοῦ Πτολεμαίου (τοῦ Φιλαδέλφου), ἀνθούντων ἔτι τῶν ἰουδαϊκῶν καλλιστείων, *δέχου ἔπειτα τὸν ἄνδρα*, τὸν λαμπρὸν Κεννικῶτον, συμπεραίνοντα κατ᾽ ἐπαγωγὴν, ὅτι, καθὼς οὗτοι καὶ Ἰουδαῖοι τυγχάνοντες, ὅμως κατετόλμων τοῦ ἱεροῦ κειμένου, παρομοίως παρηνόμησαν καὶ ἄλλοι ἀλλαχοῦ, ἕως ἐπενεμήθη τοὺς τότε κοινοὺς κώδηκας τὸ νόσημα. Ψευδὴς πάντως ἡ ἐπίνοια· ἀλλ᾽ ὅμως, ἐπειδὴ καὶ οἴκοθεν ἐξελέγχεται τὸ Κεννικώτειον πλάσμα, ἡ δὲ ῥηθεῖσα *καθ᾽ ὑπόθεσιν* ἔνδοσις οὐδόλως καθάπτεται τῆς *λεγομένης Ἀλεξανδρινῆς* ἑρμηνείας (διότι καθὼς αὕτη, παρομοίως καὶ τὸ ἑβραϊκὸν οὐκ ἐπίσταται τὰς ὕστερον ὑπ᾽ αὐτῶν τῶν Σαμαρέων προσραφείσας ἐν τῷ Σαμαρειτανῷ μεγάλας περικοπὰς), κείσθω δὴ καὶ αὕτη ἡ ψευδὴς ὑπόθεσις οἱόν τις εἰς ἄτοπον ἀπαγωγὴ, πρὸς σαφέστερον ἔλεγχον τῆς παραδοξολογίας. Ταῦτα πρὸς τὴν χαλκευθεῖσαν *διεσκευασμένην* παρ᾽ Ἰουδαίοις ἔκδοσιν τῆς Πεντατεύχου, ἐξ ἧς οἱ περὶ τὸν Γεσένιον μαιεύουσι τό, τε Σαμαρειτικὸν, καὶ τὸ ἑλληνικὸν τῶν Ο. Ὅταν δὲ ἐνθυμηθῶμεν καὶ τὸν χρόνον, καθ᾽ ὃν προϋπῆρχε μακρῷ πρότερον τοῦ Ἔσδρα παρὰ τοῖς Σαμαρείταις ἡ Πεντάτευχος (βλ. ὄπισθ. κεφ. β. §. ε.), τότε πίπτει παντελῶς ἡ τοῦ Γεσενίου ὑπόθεσις, καὶ ὁ Κεννικῶτος εὑρίσκεται πολὺ τούτου δικαιότερος καὶ ἀληθέστερος κατὰ τοῦτο, ὅτι τὴν παρὰ τοῖς

Σαμαρείταις προΰπαρξιν τῆς Πεντατεύχου μετὰ νέφους ἄλλων πολλῶν καὶ ἀγαθῶν μαρτύρων ἀνακηρύττει.

§. ιγ. Τούτων οὕτως ἐχόντων, καὶ αὐτοῦ Γενεσίου συμμαχοῦντος ἤδη κατὰ μέρος, συμπεραίνομεν τὰ ἐφεξῆς πορίσματα·

α) Ἡ ὑποτεθεῖσα *διεσκευασμένη* παρ' Ἰουδαίοις *Ἀλεξανδρινο-Σαμαρειτανὴ* ἔκδοσις τῆς Πεντατεύχου ὑπάρχει πάντῃ ἀνυπόστατος καὶ ψευδὴς καὶ τ' ὄνομα καὶ τὸ πρᾶγμα. Ἓν καὶ τὸ αὐτὸ ὑπῆρχε τὸ κείμενον τῆς Σαμαρείτιδος καὶ τῆς ἑβραϊκῆς, ἢ Μωσαϊκῆς Πεντατεύχου. Καὶ αὐτὸ τὸ καθ' ἡμᾶς σωζόμενον Σαμαρειτανὸν, ὅσον κατὰ τὴν *γλῶσσαν*, τὸ αὐτό ἐστι καὶ τὸ ἑβραϊκὸν, κατὰ δὲ *τὴν μορφὴν τῶν γραμμάτων* διάφορον. Ἐν τούτῳ μὲν γὰρ ἔμειναν τὰ Μωσαϊκὰ ἀρχέτυπα στοιχεῖα· τὸ δ' ἑβραϊκὸν φέρει τοὺς χαρακτῆρας τῶν Ἀσσυρίων, καθ' οὓς ὁ Ἔσδρας ὕστερον ἐξέδωκε τὰς Γραφάς (α). Ὅθεν καὶ ὀρθῶς εἶπον οἱ εἰπόντες, ὅτι ἥ τε Σαμαρειτανὴ καὶ ἡ ἑβραϊκὴ Πεντάτευχος ὑπάρχουσιν ἀπόγραφα *ἑνὸς καὶ τοῦ αὐτοῦ ἀρχετύπου* (βλ. ὄπισθ. σελ. 323), καὶ ἐν γένει θεωρούμενα, ὁμοιάζουσιν ἀμφότερα πρὸς ἄλληλα, ὅσον καὶ τὸ ζεῦγος τῶν ἀδελφῶν ὀφθαλμῶν (β).

β) Ἐκ τοῦ ἑβραϊκοῦ κειμένου, καθαροῦ καὶ ἀδιαφθόρου τετη-

(α) «Samaritanum exemplar, tamquam idem cum hebraico (etsi hodie differat quoad formam litterarum) propterea a e q u e a n t i q u u m esse cum hebraico, quoad originale suum, neque aliter esse posse, cum non sit versio, sed ipse textus». Kennicot. Diss. II. pag. 128. Τοῦτο ἴσως φρονῶν κυρίως καὶ ὁ μακάριος Ἱερώνυμος ἔλεγε «Samaritani Pentateuchum Mosis totidem litteris scriptitant, figuris tantum et apicibus discrepantes». Hieron. Praef. in Libr. Reg.

(β) Ὅθεν καὶ Ἄσσιος λέγει. «Gehen Sie selbst mit Unpartheylichkeit und Prüfungsgeist an den Samaritanischen Pentateuch, vergleichen Sie ihn wie ich gethan habe, mit dem hebräischjüdischen Texte, stellen Sie eine Untersuchung über die verschiedenen Lesarten an, ziehen Sie die unbeträchtlichen und vorsätzlichen Aenderungen ab: kein Ey kann dem andern so ähnlich sehen, als die beiden Brüder». (Hasse) Aussichten zu künftigen Aufklaerungen über d. alt. Test. pag. 15. Jena, 1785. πρβλ. Gesen. de Pentat. Samar. pag. 24.

ρημένου, οὐ διὰ μακροῦ μετὰ τὴν ὑπὸ τοῦ Ἔσδρα ἔκδοσιν, ἐξελληνίσθη κατὰ τὴν Ἀλεξάνδρειαν ὑπὸ τῶν Ο ἡ Πεντάτευχος ὁμοῦ καὶ πάντα τὰ κανονικὰ βιβλία τῆς Γραφῆς· ἃ καὶ πανδήμως ὑπὸ τῆς μεγάλης Συναγωγῆς τῶν Ἰουδαίων, ὡς ἀκραιφνῆ καὶ γνήσια καὶ ἰσότιμα τῷ πρωτοτύπῳ κυρωθέντα, παρεδόθησαν πᾶσι τοῖς ἁπανταχοῦ τῆς οἰκουμένης ἑλληνίζουσιν ἑβραίοις πρὸς θρησκευτικὴν ἀνάγνωσιν (Βιβλ. Β. κεφ. θ. §. κθ.).

γ) Καθ' ὅσα συμφωνεῖ τὸ Σαμαρειτανὸν πρὸς τὴν ἑρμηνείαν τῶν Ο, πάντα ταῦτα προφανῶς ὑπῆρχον καὶ ἐν τῷ ἑβραϊκῷ γνησίῳ κώδηκι, ἐξ οὗ οἱ Ο μεθηρμήνευσαν. Οὔτε γὰρ οἱ Σαμαρεῖται παρὰ τῶν σφίσι μισουμένων Ἰουδαίων ἠδύναντο ταῦτα παραλαβεῖν, οὔτε πάλιν οἱ ἑλληνισταὶ Ἰουδαῖοι παρὰ τῶν Σαμαρειτῶν, « *οἷς οὐδέποτε συνεχρῶντο* », καὶ πρὸς οὓς ἀκήρυκτον εἶχον πόλεμον. Καὶ ὀρθῶς λοιπὸν ἔκρινεν ὁ Γεσένιος, ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀρχαίου κώδηκος προελθούσας ταύτας τὰς συμφωνίας. Ἐσφάλη δὲ μόνον, ὅτι τὸν κώδηκα τοῦτον ὑπέλαβε διάφορον τοῦ ἀρχαίου καὶ γνησίου ἑβραϊκοῦ, ὅστις μέχρις Ἰωσήπου ἀναντιῤῥήτως συνεφώνει μετὰ τῆς ἑρμηνείας τῶν Ο. Ἔστι δὲ πάντως ὁ Ἰώσηπος ἀξιοπιστότερος παρὰ τὸν ὁμογενῆ μέν, ἀλλὰ ιδ, αἰῶνας ὅλους αὐτοῦ μεταγενέστερον, καὶ υἱὸν τῆς ἐσχάτης διασπορᾶς, ῥαββῖν Ἀζαρίαν, ὅστις πρῶτος (ὅσον ἡμεῖς οἴδαμεν) ἐφαντάσθη δισσὰς κωδήκων ἐκδόσεις ἐν αὐτοῖς Ἱεροσολύμοις καὶ μετὰ τὸν Ἔσδραν αὐτὸν περιφερομένας. Καί, *τύχῃ ἀγαθῇ*, ἔσχεν ὁ ῥαββῖς οὐκ ὀλίγους μαθητὰς καὶ ἐξ αὐτῶν τῶν σοφῶν κριτικῶν (α).

(α) *Ἰδοὺ οἱ λόγοι τοῦ Ἀζαρίου· «* Κατὰ *τὸν χρόνον τοῦ δευτέρου ναοῦ (μετὰ τὸν Ἔσδραν) διπλᾶ ὑπῆρχον τοῦ* Νόμου *ἀντίτυπα* (exemplaria). Τὸ *μὲν ἦν γεγραμμένον* Ἀσσυρίοις γράμμασι, *κατὰ τὴν γλῶσσαν τὴν ἁγίαν... καὶ τοῦτο ἦν ὃ διέταξε καὶ διώρθωσεν ἐπιμελῶς ὁ γραμματεὺς* Ἔσδρας... Τὸ *δὲ ἕτερον ἀντίτυπον, παρηλλαγμένον ὀλίγον μὲν ὧδε, ὀλίγον δ' ἐκεῖ, καὶ διεχεῖτο εἰς τὸν ὄχλον, καὶ ἦν γεγραμμένον γράμμασιν ἑβραϊκοῖς, τουτ. τοῖς πέραθεν τοῦ* Εὐφράτου *» (ἐννοεῖ πάντως τὰ πρὸ τοῦ* Ἔσδρα, *τὰ φοινίκεια, τὰ νῦν* Σαμαρειτικά, *οἷς ἐχρήσατο* Μωσῆς), *« ἃ κατελείφθησαν εἰς χρῆσιν τῶν ἰδιωτῶν, καὶ ἐν γλώσσῃ* Ἀραμαίᾳ (Συριακῇ, *ἢ* Χαλδαιοσύρᾳ)... *Ὅπερ οἱ* Ο *γέροντες μετακληθέντες πρὸς* Πτολεμαῖον

δ) Λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ κώδηκος πάντα καθ᾽ ὅσα τὸ Σαμαρειτανὸν ἰδίως μετὰ τῶν Ο συμφωνεῖ, διότι ἐξέπεσαν ἐκ τοῦ πολλαχῶς συντριβέντος ἑβραϊκοῦ κειμένου μετὰ τὴν ἐσχάτην τῶν

ἔκριναν καλόν· καὶ ἐκ τούτου ἤρεσεν αὐτοῖς ἑρμηνεῦσαι τὸν νόμον (R. Azar. in Meor Enaim c. 5. καὶ παρὰ τῷ De-Rossi, Var. Lection. Vet. Test. Proleg. §. 8. πρβλ. Gesen. l. c. p. 14). Τίνα πρῶτον, τίνα δ᾽ ὕστερον ἀναγνῶστα θαυμάσεις ἐκ τῶν ῥαββινικῶν μυθαρίων τούτων; Ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τοῦ Νεεμίου, ἢ καὶ τῶν Μακκαβαίων, ἄλλοις ἀντιγράφοις ὁ ὄχλος ἐχρῆτο! καὶ ταῦτα 1) ἦσαν ποῦ καὶ ποῦ παρηλλαγμένα (δηλονότι διεφθαρμένα ὑπ᾽ αὐτῶν πάντως τῶν Ἰουδαίων· καίτοι κατὰ τὸ ῥαββινικὸν ἀξίωμα, «ἐξ ἑνὸς καὶ μόνου γράμματος τοῦ νόμου ἐξήρτηνται ὄρη μεγάλα, καὶ ὅλος ὁ κόσμος!). 2) ἦσαν γεγραμμένα γράμμασιν ἀρχαίοις Χαλδαίοις, ἢ Μωσαϊκοῖς, ἃ παρέμειναν εἰς χρῆσιν τοῦ ἐκ τῆς Βαβυλῶνος ἐπανελθόντος ὄχλου (ὡς τούτοις δηλαδὴ χρησαμένου καὶ κατὰ τὴν ἐν Βαβυλῶνι αἰχμαλωσίαν!). 3) ἦσαν ἐν γλώσσῃ Ἀραμαίᾳ (οὕτω πρόωρον καὶ ταύτην εἰσήγαγεν ὁ ῥαββὶς εἰς τὴν Ἰουδαίαν!). Ἀλλ᾽ ὁ μὲν Ἀζαρίας πλανηθεὶς ἐκ τῆς Φίλωνος λέξεως, ὅτι «τὸ παλαιὸν ἐγράφησαν οἱ νόμοι γλώσσῃ χαλδαϊκῇ, τὴν ἑβραϊκὴν ἐννοοῦντος (βλ. ὄπισθ. Βιβλ. Α. κεφ. κα. σελ. 636), ἔπλασε καὶ τὸ Χαλδαιομωσαϊκὸν ἀπόγραφον, ἐν μέσοις Ἱεροσολύμοις περιφερόμενον· ἐπέπληξε δὲ δὲ τοῦτον καὶ αὐτὸς ὁ μὴ πάνυ πρὸς τοὺς Ο φιλόφρων Ὀττιγγῆρος, ἀπὸ κώδηκος ἑβραϊκοῦ τὰ μάλιστα διωρθωμένου (emendatissimo) γενέσθαι τὴν ἑρμηνείαν τῶν Ο, βεβαιῶν (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιβ. σελ. 797, 799). Τὸ δὲ παράδοξον, ὅτι καὶ ὁ ἔνδοξος Ῥόσσις κατησπάσθη τὴν Ἀζαρίου γνώμην, ἐκφράσας εὐμορφοτέραν. Εἰσάγει καὶ αὐτὸς διπλοῦν κωδήκων γένος, τὸ μὲν (ὡς τοῦτο καλεῖ) Προεσδραῖον (Antiesdrinum), ἢ Ἰσραηλιτικὸν (ὡς τούτῳ χρησαμένων τῶν 10 φυλῶν τοῦ Ἰσραὴλ καὶ πρότερον, καὶ ἀφ᾽ οὗ ἀπήχθησαν εἰς τὴν Ἀσσυρίαν), τὸ δ᾽ αὐτὸ καὶ Αἰγύπτιον, (διὰ τοὺς ἐκεῖ μετοικισθέντας Ἰουδαίους), καὶ Βαβυλώνιον (διὰ τοὺς ἐν Βαβυλῶνι καταμείναντας Ἰουδαίους, μετὰ τὴν αἰχμαλωσίαν τῶν δύω τοῦ Ἰούδα φυλῶν), καὶ πρὸς τούτοις Ἀδιόρθωτον ἐπονομάζει (ὡς μὴ τυχὸν τῆς Ἐσδραίας διορθώσεως)· Εἰς τοῦτο τὸ πολυώνυμον καὶ πολύπατρι γένος ὁ Ῥόσσις ἀνάγει τήν τε Σαμαρειτανὴν Πεντάτευχον, καὶ τὴν ταύτῃ πολλαχοῦ συμφωνοῦσαν ἑρμηνείαν τῶν Ο. Τὸ δὲ ἕτερον γένος τῶν κωδήκων, Ἐσδραῖον, καὶ Ἰουδαϊκὸν (ἐκ τῶν δύω τοῦ Ἰούδα φυλῶν), καὶ Παλαιστινόν, καὶ Διωρθωμένον ἀποκαλεῖ, καὶ ἐξ αὐτοῦ κατάγει τὸ σημερινὸν ἑβραϊκὸν (πατρῷζον δηλαδὴ, καὶ αὐτοχθονικὸν, κατὰ τοὺς ἰθαγενεῖς τεττιγοφόρους!). Οὐδὲ γὰρ ἐξώρισε (λέγει) τὰ ἐκτὸς τῆς Παλαιστίνης τυχόντα προεσδραῖα χειρόγραφα ἡ τοῦ Ἔσδρα διόρθωσις. Διὰ τοῦτο καὶ πρὸς τὰ ἀντίγραφα τῆς Ἐσδραϊκῆς ἐκδόσεως εἰς τοσοῦτον ἡ τῶν Ο, ἑρμηνεία διαφωνεῖ, συμφωνεῖ δὲ μᾶλλον μετὰ τῶν Σαμαρειτανῶν, ἢ Ἰσραηλιτικῶν ἀντιγράφων, ἔκ τινος τῶν ἐν Αἰγύπτῳ προεσδραίων μεταφρασθεῖσα, διαφέροντος πρὸς τὸ Παλαιστινὸν τὸ διωρθωμένον, ἢ (προστίθησι), καὶ ἐκ τοῦ Ἱεροσολυμίτου κοινοῦ κώδηκος, ὥς φησιν

Ἰουδαίων αἰχμαλωσίαν, καὶ συγχυθέντος πολυμιγῶς. Τῶν γὰρ ἀρίστων Ἑσδραϊκῶν ἀντιγράφων ἀπολεσθέντων, καί τινων ἴσως ἡμαρτημένων καὶ μοχθηρῶν ὑπολειφθέντων, εἴ τινα καὶ περιεσώθησαν κατ᾽ ἐκείνην τῆς ἁλώσεως τὴν πανωλεθρίαν (ἀσυγκρίτως φοβερωτέραν τῆς Βαβυλωνίας αἰχμαλωσίας, καθ᾽ ἣν καὶ τότε τὰ *πλεῖστα* τῶν ἀντιγράφων ἀπώλοντο, τὰ δὲ καὶ λωβηθέντα διεφθάρησαν, ὡς προείρηται σελ. 25, ὅθεν ἐδέησε καὶ τῆς Ἑσδραίας διορθώσεως τῶν Γραφῶν), οἱ τότε περισωθέντες δύστηνοι ῥαββῖνοι παρὰ τῶν ἐν Ἀσσυρίᾳ καὶ Βαβυλῶνι σφίσιν ὁμογενῶν (μηδ᾽ ἐκείνων εὐτυχούντων), προσέλαβον ἀντίγραφα *προεσδραῖα*, καὶ ταῦτα λίαν ἠμελημένα. Οὐδὲ γὰρ ἐξώρισεν ἅπαντα τὰ τοιαῦτα ἀρχαῖα ἀπόγραφα πανταχόθεν ἐκ τῶν ἐκτὸς τῆς Παλαιστίνης χωρῶν ἡ τοῦ Ἔσδρα ἔκ-

---

Ἀζαρίας! Οἱ δὲ (προσεπιμετρεῖ), ὅ,τε Τύξην καὶ ὁ Μάσχιος, τὰς τῶν Ο πρὸς τὸ ἑβραϊκὸν διαφορὰς ἀπονέμουσιν εἰς χειρόγραφον ἑβραιοελληνικὸν (τουτέστιν ἑβραϊκὸν, γράμμασιν ἑλληνικοῖς γεγραμμένον. βλέπε ὄπισθεν Βιβλ. Β. σελ. 594), ὅθεν ἐγένετο ἡ ἑρμηνεία τῶν Ο» (De-Rossi l. c. Prolegom. §. 8. καὶ 28). Οὕτως ὁ κλεινὸς Ῥόσσις ἀπὸ πάντων ἑλείων λειμώνων, ἀπ᾽ Ἀσσυρίας, ἀπ᾽ Αἰγύπτου, ἀπ᾽ Ἀζαρίου, καὶ Τύξηνος, καὶ Μασχίου, καὶ ὧν τινων ἄλλων τοιούτων μισεβδομήκοντα γνωμολόγων, ἀκανθολογήσας, ἔπλεξε τὸν ςέφανον τῆς ἑρμηνείας τῶν Ο! Καὶ δὴ καὶ τὰ δόξαντα μετὰ πολλῆς ἀπεφήνατο τῆς ὀφρύος· οἷαν ἐπεδείξατο καὶ ἀρχόμενος τῶν Προλεγομένων (σελ. 3), ἐν οἷς εἶπεν· ὅτι διὰ τῶν ὑπ᾽ αὐτοῦ ἐκδεδομένων διαφόρων ἀναγνώσεων τοῦ ἑβραϊκοῦ κώδηκος ἄλλα τε κατορθοῦνται πολλὰ, καὶ τὰ τούτου ἕλκη θεραπεύοται! καὶ τὸ ἀρχαῖον ἀξίωμα τοῦ ἱεροῦ κειμένου ἀποκαθίσταται! τ᾽ ἀληθῆ ἀπὸ τῶν ψευδῶν διακρίνονται! τὰ ἀνθρώπινα ἀπὸ τῶν θείων! τὰ αὐθεντικὰ ἀπὸ τῶν ἀποκρύφων! αἱ ψευδεῖς ἀπὸ τῶν ἀληθινῶν ἀναγνώσεων»! κτλ. Ταῦτα δὲ πᾶς τις ἀναγινώσκων, ἀπορήσει πάντως, πῶς τοιαύτης παναχείας οὔσης τῆς Συλλογῆς, οὐκ εὐθέως αὐτὸς ὁ Ῥόσσις ἐπεχείρησε τοῦ ἑβραϊκοῦ κειμένου τὴν ἔκδοσιν, ἐπανάγων αὐτὴν εἰς τὸ γνήσιον καὶ πρωτότυπον κάλλος· ἵνα διὰ τῆς τοιαύτης ἐκδόσεως αὐτῶν ἐκείνων τῶν προφητικῶν αὐτογράφων ἀχράντων ἀναλαμψάντων, μὴ διεφέροντο πρὸς ἀλλήλους μέχρι σήμερον οἱ τοῦ ἑβραϊκοῦ κειμένου κριτικοὶ, ἀκίχητα διώκοντες! Πλὴν ἀλλ᾽ ὅμως μικρὰ καὶ παροπτέα τὰ τοιαῦτα τοῦ σοφοῦ, ἔργον ἐκδόντος, εἰ καὶ μὴ τοιοῦτο, οἷον εἶπε (πῶς γὰρ ἂν γένοιτο;), ἀλλ᾽ ὅμως ἐπίσημον, καὶ πρὸς τὴν Γραφικὴν φιλολογίαν χρησιμώτατον, αὐτὴν δηλαδὴ τὴν τῶν διαφόρων ἀναγνώσεων κριτικὴν Συλλογήν. Πρὸς δὲ τὴν ἐπαρίστερον αὐτοῦ περὶ τῶν Ο κρίσιν, καὶ τὴν γενεαλογίαν τοῦ προεσδραίου κώδηκος ἀπαντήσομεν εὐθὺς ἐν τοῖς ἀνωτέρω.

δοσις, ὡς εἶπεν ὀρθῶς ὁ Ῥόσσις (α). Ὁ δ' Ἰουδαῖος Ἄλβος φοβούμενος τὸν ἔλεγχον τῶν τοιούτων ἀδιορθώτων ἐν Ἀσσυρίᾳ κωδήκων, καθίζει τὸν Ἔσδραν ἄγαν πρώϊμα καὶ τούτων διορθωτὴν (λέγει γὰρ, ὅτι δῆθεν ὁ Ἔσδρας, πρὶν ἐκ Βαβυλῶνος ἀπάρῃ, διώρθωσε τοὺς ἐκεῖ κώδηκας· πάντας δὲ τοὺς μὴ γνησίους παρέλαβε μεθ' ἑαυτοῦ, ἵνα μὴ συγχέοιντο μετὰ τῶν διωρθωμένων!). Ὤφειλε δὲ, ἴσως, ὁ Ῥόσσις προσθεῖναι καὶ ὅτι τοὺς ἐκτὸς τῆς Παλαιστίνης τούτους δὴ τοὺς *Ἀσσυρίους*, καὶ *Ἰσραηλιτικοὺς*, ἢ *Προεσδραίους* κώδηκας οἱ Ἰσραηλῖται μεταστοιχίζοντες πάντως ἀπὸ τῶν Μωσαϊκῶν (ἐν οἷς τὸ πρῶτον ἐγράφησαν) εἰς τὰ παρὰ τοῦ Ἔσδρα ἀντεισαχθέντα χαλδαϊκὰ γράμματα, καὶ μεταγράφοντες τὸ κείμενον, ὡς εἶχε, προσετίθουν καὶ σφάλματα πολλὰ πρὸς τοῖς παρεισφρήσασι πρὸ τοῦ Ἔσδρα· διὸ καὶ οἱ τοιοῦτοι κώδηκες ἦσαν πολλαχοῦ πεπονθότες διαφθορὰς πολλῷ πλείονας, παρὰ τὸ συγγενὲς αὐτῶν, τὸ Σαμαρειτικὸν, ὅπερ διετηρήθη ἐν τῇ ἀρχετύπῳ τῶν γραμμάτων μορφῇ. Ἀπὸ τοιούτων οὖν κωδήκων εὐθὺς μετὰ τὴν καταστροφὴν οἱ Ἰουδαῖοι παρέλαβον τὸ κείμενον τῆς Γραφῆς, καὶ πρὸς τοῦτο διώρθουν καὶ τὸ κείμενον τῶν περιλειφθέντων παλαιστινῶν χειρογράφων. Τοιούτοις κώδηξιν ἐχρήσαντο καὶ οἱ Χαλδαῖοι παραφρασταὶ (Ταργουμισταὶ), καὶ οἱ περὶ τὸν Ἀκύλαν ἐξελληνίσαντες τὰς Γραφάς. Ὅτι δὲ ταῦτα οὐκ ἀμάρτυρος καὶ διάκενος λόγος (οἵους συσκευάζουσι κατὰ τῶν Ο), μαρτυροῦσι τὰ κατὰ τοὺς Φιλαδέλφου χρόνους ἐν Αἰγύπτῳ διεφθαρμένα ἀντίγραφα, περὶ ὧν ὁ Ἰώσηπος μετ' Ἀριστέου διαῤῥήδην ἱστοροῦσιν· ὅθεν ἐζητήθη παρὰ τοῦ Ἀρχιερέως ἐξ Ἱεροσολύμων γνήσιος καὶ ἀκριβὴς κώδηξ τῶν Γραφῶν, ἐξ οὗ γέγονεν ἡ ἑρμηνεία (βλέπε ὄπισθ. κεφ. β. §. ιϛ). Ὁ δὲ κλεινὸς Ῥόσσις τούτων ἴσως ἐπιλαθόμενος,

---

(α) «At vero Esdrina recensio priores codices non extorsit, qui extra Palaestinam in Assyria, Babylonia, Aegypto legebantur, hisque codicibus tribuendum potissimum videtur antiquorum Apographorum dissidium. Ad hos codices referendi, 1) Samaritani, 2) Israelitici et Assyriaci. 3) Aegyptii. 4) Babylonii Judaeorum qui reversi non sunt». De-Rossi, Var. Lect. Vet. Test. Proleg. pag. IX.

ἔγραψε πᾶν τοὐναντίον· ὅτι ἄρα ἐξ Αἰγυπτίου διεφθαρμένου χειρογράφου μεθηρμήνευσαν οἱ Ο! Ἄλλην πιθανωτάτην παρέχουσι τοῦ πράγματος δεῖξιν αὐτοὶ οἱ περὶ ὧν προείπομεν (σελ. 155, κτλ.) περίφημοι παρ᾽ Ἰουδαίοις κώδηκες, ὁ *Αἰγύπτιος*, καὶ ὁ *Βαβυλώνιος*, ἐξ ἐκείνων δὴ καὶ οὗτοι τῶν ἐν Αἰγύπτῳ καὶ Βαβυλῶνι, ἢ Ἀσσυρίᾳ, προεσδραίων καὶ ἀδιορθώτων τό,τε γένος ἕλκοντες, καὶ αὐτὴν τὴν τοῦτο μαρτυροῦσαν *ἐπωνυμίαν*, ἐν οἷς ἠσχολοῦντο μάλιστα οἱ Μασορῖται κριτικοὶ, παραβάλλοντες καὶ ἄλλους, ὅσους εὕρισκον. Ὥστε καὶ ἡ κατὰ τὴν ἐσχάτην τῶν Ἰουδαίων συμφορὰν διάπτωσις καὶ διαφθορὰ τῶν Ἐσδραίων, ἢ Παλαιστινῶν χειρογράφων, καὶ ἡ ἐν Χαλδαίᾳ καὶ Ἀσσυρίᾳ ἀναμφίβολος σχεδὸν ὕπαρξις καὶ χρῆσις τῶν προεσδραίων, ἢ Ἰσραηλιτικῶν (καὶ τούτων μᾶλλον, ἢ τὸ Σαμαρειτανὸν, διεφθαρμένων), καὶ ἡ κατ᾽ Αἴγυπτον ἱστορικῶς ἀποδεδειγμένη περιφορὰ διεφθαρμένων ἀντιγράφων, ἀποδεικνύουσι τὸ πρᾶγμα πιθανώτατον, ὅτι ἐκ τοιούτων κωδήκων ἀνέλαβον ἐν ταῖς Συναγωγαῖς τὸ σύνηθες κείμενον οἱ Ἰουδαῖοι, μεταῤῥυθμίζοντες πρὸς αὐτὸ καὶ εἴ τινα τῶν Παλαιστινῶν χειρογράφων ὁπωσδήποτε περιεσώθησαν (ὡς προείπομεν)· τὰς δὲ κεκριμένας ἀναγνώσεις εἰς τὰς πανταχοῦ τῆς οἰκουμένης Συναγωγὰς διέταττεν ἡ ἰουδαϊκὴ γερουσία (βλέπε ὄπισθ. κεφ. β. §. λς). Καὶ ἐνταῦθα πραγματικῶς ἀληθεύει, ὅ,τι πρότερον ἐφαντάζετο ὁ Καρψόβιος ὡς δῆθεν ἐπὶ τῶν Μακκαβαίων συμβὰν, ἡ μὴ (καθὼς εἶπε) διόρθωσις, ἀλλ᾽ ἀνάμιξις καὶ συνδιαστροφὴ τῶν Παλαιστινῶν πρὸς τὰ Βαβυλώνια χειρόγραφα (βλ. κεφ. η. §. δ). Ἡ δὲ τῶν Ο ἑρμηνεία γενομένη ἐξ ἀντιγράφου διωρθωμένου καὶ καθαρεύοντος (ὁποῖον ὁ ἀρχιερεὺς ἔμελλε πάντως πέμπειν πρὸς βασιλέα), καθ᾽ ὃν καιρὸν καὶ τὸ Σαμαρειτικὸν ἔσωζεν εἰσέτι ἀκεραιοτέρους τοὺς χαρακτῆρας τῆς γνησίας αὐτοῦ γενέθλης, ἔπρεπεν ἀναγκαίως ἵνα κἀκείνη πρὸς τοῦτο πολλάκις συμφωνῇ, καὶ ἀμφότερα τὰ κείμενα διεξελέγχωσιν ἐν οἷς διαφέρει τὸ διεφθαρμένον ἰουδαϊκόν. Ἀλλὰ ταύτην τὴν ἁπλουστάτην καὶ μόνην ἀληθινὴν αἰτίαν τῆς συμφωνίας παριδόντες οἱ τοῦ Μασοριτείου κειμένου πρόμαχοι, ἐφαν-

τάσθησαν, οἱ μὲν, ὅτι τὸ Σαμαρειτικὸν διωρθώθη πρὸς τὸ τῶν Ο, οἱ δὲ, ὅτι οἱ Ο ἡρμήνευσαν ἐκ τοῦ Σαμαρειτικοῦ (βλ. ἀνωτέρω §. γ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. θ. σελ. 595), οἱ δὲ, τέλος, ὅτι δῆθεν ἔκ τινος ἑβραϊκοῦ μετὰ τὸν Ἔσδραν κώδηκος οἵ τε Σαμαρεῖται μετέγραψαν τὸ ἑαυτῶν κείμενον, καὶ οἱ Ο, μεθηρμήνευσαν. Ἀλλὰ καὶ οὕτω (καί τοι παρατρέποντες τὴν ἀρχαιότητα τοῦ Σαμαρειτανοῦ), καὶ οὕτως ὁμολογοῦσιν, ὅτι ὑπῆρχε κώδηξ ἀρχαῖος ἑβραϊκὸς τοῦ νῦν ἰουδαϊκοῦ κειμένου διάφορος, ᾧ περ ἠκολούθησαν οἱ Ἕλληνες καὶ οἱ Σαμαρεῖται (α). Ἐπειδὴ δὲ τὸν κώδηκα τοῦτον οἱ περὶ τὸν Ἰουδαῖον Ἰώσηπον σύμφωνον εὕρισκον τοῖς Ο (οὐ γὰρ ἂν ἄλλως αὐτοῖς ἐχρῶντο), ἕπεται πάντως, ὅτι τὸ νῦν ἑβραϊκὸν οὔτ' ἐπὶ Ἰωσήπου, οὔτ' ἐπὶ τῶν Ο τοιοῦτον ὑπῆρχεν, οἷον ἀπέβη μετὰ τὴν ἅλωσιν, παντοίοις ἄλλοις διεφθαρμένοις ἀντιγράφοις ἀναμιγὲν, καὶ ὑπὸ τῶν Μασοριτῶν διὰ τῆς στίξεως μάλιστα προσδιφθαρέν.

ε) Ὅσα εἶπον οἱ κριτικοὶ περὶ τῆς πολυκρότου διορθώσεως καὶ *διασκευῆς* ἢ λέξεων, ἢ μικρῶν τινων χωρίων, λειπόντων μὲν ἐν τῷ νῦν ἑβραϊκῷ, κειμένων δὲ ὅμως ἐπίσης ἔν τε τῷ Σαμαρειτανῷ καὶ παρὰ τοῖς Ο, πάντα ταῦτα μάτην ἐῤῥέθησαν. Ἄγαν ἀγρύπνους οἱ ἄνδρες παριστῶσι τοὺς Ἰουδαίους (μετὰ τὴν ἐκ Βαβυλῶνος μάλιστα ἐπιστροφὴν) εἰς διατήρησιν τῆς ἀκριβείας καὶ ἀκεραιότητος τοῦ κειμένου τῶν Γραφῶν (καὶ τοιοῦτοι πάντως ἐφάνησαν μέχρις ἁλώσεως)· Ἀλλὰ καὶ οἱ τὴν ἑρμηνείαν τῶν Ο, ὡς ἰσότιμον τοῦ ἀρχαιτύπου παραλαβόντες ἑλληνισταὶ Ἰουδαῖοι, ἰουδαῖοι πάντως ἦσαν κἀκεῖνοι, καὶ ἐπίσης τοῖς ἄλλοις ὁμογενέσιν ὑπέρμαχοι καὶ ζηλωταὶ τῆς τοῦ θείου λόγου γνησιότητος. Ὅθεν οὔτε διορθώσεις, οὔτε διασκευὰς καὶ παρενθήκας οὔτ' ἐκ παραλλήλων τόπων, οὔτ' ἄλλοθεν οὐδαμόθεν οὐδέποτ' ἂν ἔστεξαν ἐν τῷ ἱερῷ κειμένῳ γινομένας ἐξεπίτηδες, πρὸς τὸ κατασκευάζειν δῆθεν ὁμαλώτερον τοῦ φυσικοῦ καὶ ἐμμελέστερον τὸ κείμενον.

(α) Βλ. τὸν Houbigant. Prolegom. c. III. Artic. I. §. I. διαλαμβάνοντα περὶ τούτου πληρέστατα.

Πλὴν εἰ μή που νομίζουσιν οἱ ἄνδρες τοὺς Ἰουδαίους σεβομένους μὲν μέχρις ἑνὸς ἰῶτα τὸ κείμενον τὸ ἑβραϊκὸν, κουφότερον δὲ θεωροῦντας ἀνοσιούργημα τὸ διασκευάζειν καὶ διαφθείρειν ἐξ ἀρχῆς τὸ παρ' αὐτοῖς ὡς θεῖον παραδεδεγμένον κείμενον τῆς ἑλληνικῆς ἑρμηνείας. Ἀλλ' αὐτοὶ καὶ κατ' αὐτὸ τὸ ἑβραϊκὸν οὐκ ἀφῆκαν τοὺς Ἰουδαίους καθαρεύοντας τοῦ ἄγους τῆς διασκευῆς καὶ παραφθορᾶς! ἢ πῶς ἄλλως ἔπλασαν τὴν *Ἀλεξανδρινο-Σαμαρειτανὴν* ἔκδοσιν διάφορον τῆς ἀρχαιγόνου καὶ γνησίας, τῆς Παλαιστινῆς; Κἀκεῖνο δὲ σημειωτέον. Τῶν ἑλληνικῶν κωδήκων καὶ πρὸ Χριστοῦ διεσπαρμένων οὐ μόνον κατ' Ἀλεξάνδρειαν, καὶ τὴν Αἴγυπτον, καὶ Ἀφρικὴν, καὶ κατ' αὐτὴν ὕστερον τὴν Παλαιστίνην, ἀλλὰ καὶ κατὰ τὴν ἄλλην Ἀσίαν καὶ τὴν Εὐρώπην, καὶ πανταχοῦ τῆς οἰκουμένης κατά τε νήσους καὶ ἠπείρους, ὅπου κατῴκουν ἑλληνιστῶν ἰουδαίων μυριάριθμα πλήθη, πῶς ἂν εἰσεχώρησαν εἰς ἅπαντα τὰ χειρόγραφα τοιαῦται βέβηλοι διορθώσεις καὶ διασκευαί; μετὰ δὲ τὴν σωτήριον ἐποχὴν εἰς ἀσφαλῆ καὶ γαλήνιον ὅρμον κατῆρεν ἡ ἑρμηνεία, τοὺς κόλπους τῆς Ἀποστολικῆς Ἐκκλησίας (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιβ. σελ. 815 κτξ.). Πρόσθες, ὅτι πλὴν τοῦ Ἰωσήπου, καὶ αὐτὴ ἡ ἐκ τοῦ ἑβραϊκοῦ μεθηρμηνεῦσθαι πεπιστευμένη (ἴσως τῷ β, αἰῶνι μ. Χ.) παλαιὰ Συριακὴ μετάφρασις συμφωνεῖ πολλαχοῦ μετὰ τοῦ Σαμαρειτανοῦ καὶ τῶν Ο, ἐναντίον τοῦ ἑβραϊκοῦ, οὐχ ὅτι διώρθωται ἐν τούτοις τοῖς χωρίοις κατὰ τοὺς Ο, (ὅπερ ὅσῳ πρόχειρον, τοσοῦτον ἀναπόδεικτον ἀντιλογίαν ἀνθυπέβαλόν τινες τῶν κριτικῶν) (α), ἀλλὰ διότι μέχρι τότε τὸ ἑβραϊκὸν ἔν γε τοῖς τοιούτοις χωρίοις ὑπῆρχεν ἀδιάφθορον. Καὶ αὐτὴ δὲ ἡ Βουλγάτα τοῦ Ἱερωνύμου συμφωνεῖ πολλαχοῦ τῷ Σαμαρειτανῷ καὶ τοῖς Ο, προτιμήσαντος ἐν τούτοις τοῦ πατρὸς τὴν κατ' αὐτοὺς ἀνάγνωσιν, ὡς μᾶλλον ἀξιόπιστον τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ.

(α) Simon. Hist. Crit. V. Test. L. II. c. 15.— Stark, Carmina Davidis vol. 1. p. 209. — Gesen. l. c. p. 26.—Jahn, Einleit. §. 51.—Eichhorn, Einleit. 2. Bd. pag. 125. — Horne, An Introduction etc. vol. 2. part. 1. p. 220.

ς) Ὅσα δὲ πάλιν ἰδίως ἡ ἑρμηνεία τῶν Ο περιέχει διαφωνοῦντα, ἢ καὶ μηδόλως κείμενα μήτε ἐν τῷ Σαμαρειτικῷ, μήτε ἐν τῷ νῦν ἑβραϊκῷ, τούτων τὴν αἰτίαν οἱ μὲν περὶ τὸν Γεσένιον ἀπέδωκαν εἴς τε τὴν μὴ ὀρθὴν ἀνάγνωσιν τῶν γραμμάτων τοῦ ἑβραϊκοῦ κώδηκος, καὶ, ὡς ἐπὶ τὸ πλεῖστον, εἰς ἄλλας πάλιν ἐκ παραλλήλων τόπων προστεθειμένας διασκευάς. Ἀλλὰ περὶ μὲν τῆς ἀναγνώσεως, πολὺ μᾶλλον δικαιότερον ἄν τις ὑποπτευθείη τὴν στρεβλὴν ἀνάγνωσιν ἐγκειμένην ἐν τῷ πολυπαθεστάτῳ Μασοριτείῳ, τῷ καθ' ἡμᾶς, οὐκ ἐν ἐκείνῳ τῷ γνησίῳ καὶ διωρθωμένῳ κώδηκι, ἐξ οὗ μετέφρασαν οἱ Ο. Ἔπειτα καὶ ἐξ αὐτῶν τινες τῶν κριτικῶν ἐπέπληξαν τὸν Καπέλλιον, ὡς φαντασθέντα πολλὰς παρὰ τοῖς Ο παραλλαγὰς ἐξ ἐσφαλμένης δῆθεν ἀναγνώσεως καὶ συγχύσεως τῶν ἑβραϊκῶν γραμμάτων καὶ φωνῶν προελθούσας (α). Ὁ δ' αὐτὸς πάλιν Καπέλλιος ἀπέδειξε συγχρόνως (καὶ ἄλλοι μετ' αὐτὸν), ὅτι πολλαχοῦ οἱ Ο ἀνέγνων ὀρθότερον, ἢ ὡς ἔχει τὸ καθ' ἡμᾶς ἑβραϊκόν. Ἀλλὰ καὶ τῶν καθ' ἡμᾶς τινες ἐπισήμων κριτικῶν, καί τοι μή πανυ τοῖς Ο εὐνοοῦντες, ὡμολόγησαν ὅμως, ὅτι τὸ ἑβραϊκὸν κείμενον, ἐξ οὗ κατὰ τὸν γ, αἰῶνα πρὸ Χριστοῦ Σωτῆρος, οἱ Ο μεθηρμήνευσαν, ὑπῆρχε *μᾶλλον* (ὡς αὐτοὶ λέγουσι· καθ' ἡμᾶς δὲ *πάμπαν*) σφαλμάτων καθαρεῦον, ἢ ὁποῖον ὕστερον ἀπέβη κατὰ τὸν β, αἰῶνα μ. Χ. ὁπότε μεθηρμήνευσαν οἱ περὶ τὸν Ἀκύλαν (β). Ὅσον δὲ περὶ τῶν ἰδιαιτέρων, ἃς εἶπεν ὁ Γεσένιος, παρὰ τοῖς Ο διασκευῶν, ὅτι πρὸ Χριστοῦ Σωτῆρος οὐκ ἂν ἐγένοντο, προείπομεν ἀνωτέρω. Μετὰ δὲ τὴν θείαν ἐπιφάνειαν, πολλῷ μᾶλλον ἀδύνατον ἦν τὰ τοιαῦτα καταπραχθῆναι. Μαρτυροῦσι δὲ καὶ πᾶσαι αἱ ἐκ τῶν Ο παλαιαὶ τῆς Γραφῆς μεταφράσεις, αἵ τε ἄλλαι, καὶ ἡ περὶ τὰ τέλη τοῦ α, αἰῶνος φιλοπονηθεῖσα ἀρχαία λατινὶς, ἡ Ἰτάλα, περιέχουσα τὰς λεγομένας ταύτας διασκευάς. Ὡσαύτως καὶ τῶν θείων Πατέρων οἱ ἀρχαιότατοι. Ὑπῆρχον τὰ χωρία ταῦ-

(α) Cappell. Crit. Sacr. ed. Volgel et Scharfenberg Tom. 2. p. 581. sq. πρβλ. καὶ Gesen. l. c. p. 12, καὶ Geschichte der Hebr. Sprach. §. 22, 1.

(β) Βλ. Jahn, Einleit. 1. Bd. p. 382: καὶ Ackerman, Introd. §. 106.

τα καὶ ἐπὶ Ὠριγένους (ὅθεν τούτοις ὁ κριτικὸς προσετίθει τὸν ὀβελὸν, ὡς λειπόντων ἐν τῷ κατ' αὐτὸν πεπηρωμένῳ ἑβραϊκῷ). Ὥστε δικαιότερον ἂν ἔπραττον οἱ ἄνδρες, εἴ περ, ἣν λέγουσιν ἐν τοῖς Ο προσθήκην τῶν παραλλήλων, ἔκρινον τἀνάπαλιν περὶ ταῦτα κολόβωσιν τοῦ μετὰ Χριστὸν ἑβραϊκοῦ (ἐξ οὗ καὶ αἱ λοιπαὶ ἐπήγασαν ἑρμηνεῖαι), μαρτυρουμένην καὶ ὑπὸ τῆς ἀνεικάστου τῶν περισωθέντων ἑβραϊκῶν κωδήκων διαφορᾶς καὶ ταραχῆς (οἷα εἴδομεν καὶ τὰ ἐν Ἰησοῦ, ιη, 27, ἐκπεπτωκότα, καὶ ἄλλα τοιαῦτα). Εἰ δὲ καὶ τὰς ἐπαναλήψεις τοῦ λόγου καταδικάζουσιν ὡς διασκευὰς, ἐκκοπτέτωσαν λοιπὸν καὶ ἐκ τῶν θύραθεν συγγραφέων καὶ ποιητῶν πάσας τὰς τοιαύτας παλιλλογίας, ὡς προστεθείσας παραλλήλων χωρίων ἐπαναλήψεις, καὶ μὴ δεχέσθωσαν ὡς ὁμηρικὰ, φερ' εἰπεῖν, τὰ Ἰλ. β, 28–33, ἅπερ αὐτολεξεὶ μετεγράφησαν κατ' ἐπανάληψιν ἐκ τῶν μικρῷ προηγηθέντων (στίχ. 11-16), καὶ ἄλλα πάμπολλα. Ἀλλὰ περὶ τῆς εἰκαιολογίας τῶν τοιούτων ἐπινοιῶν τῆς κριτικῆς εἴπομεν ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Β. κεφ. ιβ. σελ. 856–886).

ζ) Ὅσα δὲ, τέλος, διαφωνεῖ τὸ Σαμαρειτικὸν πρός τε τοὺς Ο, καὶ πρὸς τὸ τούτοις συμφωνοῦν ἑβραϊκὸν, περὶ τούτων ὀρθῶς ἔκρινεν ὁ Γεσένιος, ἀποδιδοὺς τὴν αἰτίαν εἰς τοὺς Σαμαρεῖς κριτικοὺς (τοὺς μεταγενεστέρους μάλιστα), οἵτινες εἴτε πρὸς τοὺς ἐχθροὺς Ἰουδαίους ἀντιπαθοῦντες (ὡς ὑπέλαβεν ὁ Ῥάβιος), εἴτε καὶ οἴκοθεν φιλοτιμούμενοι σαφέστερον καὶ ὁμαλώτερον δῆθεν, καὶ πρὸς τὸ θρησκευτικὸν αὐτῶν συμφωνότερον τὸ κείμενον ἀποδοῦναι, μετεποίουν τὸ *Γαιβάλ* εἰς τὸ *Γαριζείμ*, καὶ προσετίθουν μεγάλας ἐκ τῶν παραλλήλων χωρίων περικοπὰς (α), καὶ τ' ἄλλα περὶ ὧν ὁ Γεσένιος ἐσημείωσε κριτικῶς (πλὴν ὅσων εἶπε πάλιν περὶ τοῦ ἀρχαιοτάτου Σαμαρειτανοῦ, τιθεὶς τοῦτο καὶ αὖθις ἀπὸ τοῦ

(α) Ὁ Houbigant (Proleg. pag. 50, 51) πειρᾶται δικαιοῦν καὶ ταύτας τὰς ἐπαναλήψεις τῶν μεγάλων περικοπῶν, ὡς δῆθεν ἐνυπαρχουσῶν ἐν τῷ ἀρχαίῳ ἑβραϊκῷ. Λέγει δὲ τοῦτο οὐ πάντη πιθανόν· ἀντεῖπε δὲ πολὺ δικαιότερα ὁ Γεσένιος (l. c. p. 47).

ἑβραίου κώδηκος μετὰ τὸν Ἔσδραν μεταγραφὲν καὶ μεταστοιχειωθέν)· εὐκόλως δὲ προσετίθεντο τοιαῦται διασκευαί, διά τε τὴν ὀλιγότητα τῶν χειρογράφων, καὶ τὸ τοῦ ἔθνους εὐπεριόριστον. Ὅσα δὲ πάλιν τὸ Σαμαρειτικὸν συμφωνοῦν πρὸς τὸ ἑβραϊκὸν διαφωνεῖ πρὸς τοὺς Ο, πάντα (νομίζομεν) προῆλθον ἐκ τῶν διαφόρων ἀναγνώσεων, ὅσας εἶχον τὰ προεσδραῖα Ἰσραηλιτικὰ χειρόγραφα (ἐξ ὧν καὶ τὸ Σαμαρειτανὸν, καὶ τοῦ νῦν ἑβραϊκοῦ ἡ καταγωγὴ), παραλλάττοντα τῆς διωρθωμένης ἐκδόσεως τοῦ Ἔσδρα, ἐξ ἧς οἱ Ο μεθηρμήνευσαν (βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ιϐ. σελ. 887 κτξ.).

§. ιδ. Ταῦτα εἴχομεν εἰπεῖν περὶ τῆς ἐν πολλοῖς συμφωνίας, ἐν πολλοῖς δὲ πάλιν διαφωνίας τοῦ Σαμαρειτανοῦ πρός τε τοὺς Ο, καὶ πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκόν. Ὅτι δὲ τὸ σημερινὸν Σαμαρειτανὸν ἀπὸ τῶν Δοσιθέου χρόνων, ἢ καὶ ἀπὸ τοῦ γ, αἰῶνος καὶ ἐφεξῆς, διετηρήθη τὸ *πλεῖστον* ἀναλλοίωτον, μαρτυροῦσι πολλὰ τούτου χωρία ἀπαραλλάκτως ἔχοντα καὶ τὴν σήμερον, ὡς μνημονεύονται παρὰ τῷ Ὠριγένει (Ἑξαπλ. εἰς Ἐξόδ. κη, 4· Λευϊτ. η, 9), καὶ τῷ τούτου συγχρόνῳ Ἀφρικανῷ, καὶ παρ' Εὐσεβίῳ, Κυρίλλῳ, Ἱερωνύμῳ, Διοδώρῳ, καὶ ἄλλοις ἀρχαίοις Πατράσιν. Αὐτίκα ὁ Εὐσέβιος (ἐν τῷ Χρονικῷ) λαμβάνων ἐκ τοῦ Ἀφρικανοῦ, ψηφίζεται τὰ ἀπὸ τοῦ κατακλυσμοῦ μέχρις Ἀβραὰμ ἔτη, κατά τε τοὺς Ο καὶ τὸ Σαμαρειτικὸν, 942 (βλ. ἐφεξῆς §. κ). Οὕτως ἔχει τοῦτο καὶ τὴν σήμερον· (τὸ δὲ ἑβραϊκὸν ἀριθμεῖ μόνον 292). Ὁ Διόδωρος εἰς Ἀριθμ. κδ, 7, σχολιάζει, ὅτι τὸ Σαμαρειτικὸν ἔχει Γὼγ (ὡς καὶ οἱ Ο)· οὕτως ἔχει καὶ τανῦν· (τὸ δ' ἑβραϊκὸν *Ἀγὰγ*). Ὁ φοῖνιξ Προκόπιος ὁ Γαζαῖος εἰς Δευτερονομ. α, 9, σημειοῖ, ὅτι τὰ ἐκεῖ γεγραμμένα ἐκεῖνα « Καὶ εἶπα πρὸς ἡμᾶς — οὐ δυνήσομαι » κτλ. πρόσκειται τὰ αὐτὰ κατὰ τὸ Σαμαρειτανὸν ἀντίγραφον καὶ ἐν Ἐξόδῳ (ιη, 14)· οὕτω κεῖνται καὶ τανῦν (ἐν δὲ τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο, λείπουσι ταῦτα ἐκ τῆς Ἐξόδου)· μνημονεύουσι δὲ τοῦ Σαμαρειτικοῦ καὶ τὰ ἐν τῇ κατὰ Ῥώμην ἐκδόσει τῶν Ο παλαιότατα σχόλια. Εἰσὶ δὲ ὅμως καί τινες τόποι ἄλλως μὲν ἔχοντες παρὰ τῷ Ἱερωνύμῳ, ἄλλως δὲ κείμενοι τανῦν ἐν τῷ Σαμαρει-

τικῷ (α). Ὅτι δὲ τοῦτο τὸ Σαμαρειτικὸν καὶ αὐτῶν τινες τῶν Ἰουδαίων ἐτίμων, μαρτυρεῖ ὁ Σύγκελλος (τῷ 792 μ. Χ. ἐκ τοῦ Ἀφρικανοῦ λαβών), ἐν οἷς λέγει « Τὸ Σαμαρειτῶν ἀρχαιότατον (ἀντίγραφον) καὶ χαρακτῆρσι διαλλάττον, ὃ καὶ *ἀληθὲς* εἶναι καὶ πρῶτον ἑβραῖοι καθομολογοῦσι » (β).

ϛ. ιε. Ἀλλὰ ποῖον Σαμαρειτικὸν ἐννοοῦσιν οἱ Πατέρες, ὁσάκις ἐν ταῖς Σειραῖς μνημονεύουσι τὰς διαφόρους αὐτοῦ ἀναγνώσεις; Οἱ πλεῖστοι τῶν νεωτέρων φρονοῦσιν, ὅτι ἄρα ὑπῆρχεν ἑλληνική τις ἑρμηνεία τῆς Σαμαρειτανῆς Πεντατεύχου, φιλοπονηθεῖσα ὑπ' αὐτῶν τῶν Σαμαρειτῶν, χάριν τῶν παρ' αὐτοῖς ἑλληνιζόντων (γ). Ὁ δὲ δριμὺς Ὀττιγγῆρος ἰδίως διατείνεται, ὅτι ἡ τοιαύτη ἑρμηνεία γέγονεν ἐπὶ τοῦ Μ. Ἀλεξάνδρου, πολὺ πρότερον καὶ τῆς ἑρμηνείας τῶν Ο (δ)· ὕστερον ὅμως συγκατέβη καὶ οὗτος μετὰ τῶν ταὐτιζόντων τὸ Σαμαρειτικὸν πρὸς τὴν τοῦ Σαμαρείτου Συμμάχου ἑρμηνείαν. Οἱ δὲ τοῦτο πρεσβεύοντες προβάλλουσι καί τινας λόγους εὐπροσώπους δοκοῦντας, καὶ μάλιστα τὴν τοῦ μακαρίου Ἐπιφανίου ῥῆσιν ἐκείνην, ὅτι ὁ Σύμμαχος (τοῖς ὁμοφύλοις Σαμαρειτανοῖς ἀπεχθόμενος) «πρὸς διαστροφὴν τῶν παρὰ Σαμαρείταις *ἑρμηνειῶν* ἑρμηνεύσας» ἐξέδωκε τὴν κατ' αὐτὸν ἑρμηνείαν· (περὶ Μέτρ. § ιϛ). Εἰ γὰρ (λέγουσιν) ὑπῆρχον ἑρμηνεῖαί τινες ἐν τῇ κοινῇ τῶν Σαμαρειτῶν διαλέκτῳ καὶ γράμμασι Σαμαρειτικοῖς

(α) Βλ. Σχόλ. Nobilij in edit. Romana, καὶ ἐν Σειρᾷ τῆς Ὀκτατεύχου — Montfaucon, Hexapl. T. 1. p. 19. πρβλ. J. Morini, Exercit. Pentat. Samarit. III. c. 1. 2. 3.— Walton, Proleg. XI. 13—16.—Houbigant. Proleg.— Schmid, Hist. antiq. etc. pag. 245.—Eichhorn, Einleit. 1. Bd. pag. 417.

(β) Σύγκελ. *Χρονογρ.* σελ. 156, 166. Bon.

(γ) Morinus, Exercit. de Pentat. Samarit.— Simon. Hist. Crit. V. Test. L. II. c. 9. — Montfaucon, Praelim. in Hexapl. pag. 19. — Gesen. l. c. p. 21. Ὁ δὲ Βάλτων (Proleg. XI. 22) καὶ ὁ Καρψόβιος (Crit. Sacr. p. 620) ἀμφιβάλλουσι.

(δ) Hotting. Proleg. Antimorin. §. 25. pag. 28—38. πρβλ. καὶ Thes. philol. p. 304. Οὗτος ἠπάτησε καὶ τὸν περὶ πολλὰ καὶ ἄλλα λίαν εὔπιστον κατὰ τῶν Ο φανέντα Βιβλιοθηκογράφον Φαβρίκιον, ὡς διαλαμβάνομεν ἐν τοῖς ἀνωτέρω.

συγγεγραμμέναι, πῶς ἂν ὁ Σύμμαχος ἠδύνατο ταύτας διαστρέψαι, γράφων τὸ κείμενον ἑλληνιστί; Ἀλλ᾽ ὑπῆρχον (ἀπαντῶμεν) Σαμαρεῖς ἑλληνισταὶ (ἐξ ὧν καὶ αὐτὸς ὁ Σύμμαχος ἦν). Οὗτοι δὲ τὸ μὲν παρ᾽ Ἰουδαίοις ἑβραϊκὸν μισοῦντες, οὐκ ἀνεγίνωσκον, ἀνεγίνωσκον δὲ τὴν ἐκ τούτου ἑλληνικὴν τοῦ Συμμάχου ἑρμηνείαν, ἥτις ἔσῳζε τὰς διαφορὰς, καθ᾽ ἃς διεφώνει τὸ παρ᾽ Ἰουδαίοις πρὸς τὸ παρὰ Σαμαρείταις ἑβραϊκόν. Καὶ πρὸς ταύτην τὴν Συμμάχειον ἑρμηνείαν ἠδύναντο οἱ Σαμαρεῖς διαστρέψαι καὶ τὰς *ἐξηγήσεις*, ἢ *παραφράσεις* τοῦ παρ᾽ αὐτοῖς ἑβραϊκοῦ, ἃς εἶχον συγγεγραμμένας ἐν τῇ τότε παρ᾽ αὐτοῖς κοινῶς συνειθισμένῃ Σαμαρειτανῇ διαλέκτῳ· (τοιαύτας παραφράσεις τοῦ κειμένου εἶχον καὶ οἱ Ἰουδαῖοι τὰς τοῦ Ὀγκέλου, γεγραμμένας εἰς τὴν τότε παρ᾽ αὐτοῖς συνήθη χαλδαϊκὴν διάλεκτον). Ὅτι δὲ τὸ *ἑρμηνεία* σημαίνει οὐ μόνον τὴν κυρίως μετάφρασιν, ἀλλὰ καὶ τὴν διὰ πλειόνων λέξεων ἀνάπτυξιν καὶ ἐξήγησιν τοῦ κειμένου, ὑπάρχει ἀναντίῤῥητον (α). Ἔπειτα καὶ τὸ *ἑρμηνεῖαι* πληθυντικῶς λεγόμενον παρὰ τῷ Ἐπιφανίῳ, οὐ μίαν *ἑρμηνεῖαν* δηλοῖ (οἵαν πλάττουσι τὴν παρὰ Σαμαρείταις ἑλληνικὴν), ἀλλὰ διαφόρους *ἐξηγήσεις* τοῦ κειμένου, οἵας οἱ Σαμαρεῖς ῥαββῖνοι μετεχειρίζοντο, παραφράζοντες Σαμαρειτιστὶ τὸ κείμενον πρὸς κοινοτέραν κατάληψιν. — Ἀλλὰ (λέγουσι) καὶ ὁ Θεοδώρητος ἔγραψε περὶ τοῦ *τετραγραμμάτου*, ὅτι « οἱ Σαμαρεῖται *καλοῦσιν* αὐτὸ Ἰαβέ ». — Καὶ μήπως (ἀπαντῶμεν) τὸ *καλοῦσι* δηλοῖ τὸ *γράφουσιν ἑλληνιστὶ* ἐν τῇ κατ᾽ αὐτοὺς ἑρμηνείᾳ; Παράδοξος ἐκδοχή! *καλοῦσιν* εἶπεν ὁ Θεοδώρητος τὸ *ἐκφωνοῦσι*, προφέρουσιν *Ἰαβέ*· τὸν δὲ φθόγγον τῆς λέξεως αὐτὸς ἔγραψε γράμμασιν ἑλληνικοῖς. Σύρος δὲ ὢν ὁ Πατὴρ οὐ μόνον ἠπίστατο πάντως καὶ τὴν Συριακὴν (τί δ᾽ οὐχὶ

(α) Οὕτως ὁ ἱερὸς Θεοδώρητος ἔγραψεν ἑ ρ μ η ν ε ί α ς ε ἰ ς τ ὴ ν θ ε ί α ν Γ ρ α φ ὴ ν καὶ ἄλλοι πολλοί. Καὶ αὐτὸς δὲ ὁ Σύμμαχος ἔγραψε καὶ ὑ π ο μ ν ή μ α τ α καὶ ἐ ξ η γ ή σ ε ι ς ε ἰ ς τ ὰ ς Γ ρ α φ ὰ ς, καὶ ἰδίως εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, διαστρέφων καὶ ὧδε τὴν ἔννοιαν τοῦ θείου κειμένου καθ᾽ ἣν ἐφρόνει πλάνην τῶν Ἐβιωναίων. βλ. Εὐσεβ. ἐκκλ. ἱστορ. ς, ιζ. καὶ Ἱερων. Κατάλογ. λ. Ὠριγένης.

καὶ τὴν Σαμαρειτανήν;), ἀλλὰ καὶ μετὰ Σαμαρειτῶν συναναστρεφόμενος, ἔμαθεν ὅπως παρ' αὐτοῖς προφέρεται τὸ *τετραγράμματον*· καὶ ταῦτα μὲν πρὸς τοὺς ἐξηγοῦντας τὸ *Σαμαρειτικὸν* ἀνώνυμον ἑλληνικὴν ἑρμηνείαν τῆς Σαμαρειτανῆς Πεντατεύχου.

§. ις. Πρὸς δὲ πάλιν τοὺς ταὐτίζοντας τὸ Σαμαρειτικὸν μετὰ τῆς Συμμάχου ἑρμηνείας ἀντιλέγει μὲν ἡ ἀνωτέρω ῥῆσις τοῦ ἱεροῦ Ἐπιφανίου, ἀντιλέγει δὲ καὶ ἡ κοινῶς ἀνωμολογημένη ἱστορικὴ ἀλήθεια, παραδιδοῦσα, ὅτι ὁ Σύμμαχος μετέφρασε τὴν Πεντάτευχον οὐκ ἐκ τοῦ Σαμαρειτικοῦ κειμένου, ἀλλ' ἐκ τοῦ παρ' Ἰουδαίοις ἑβραϊκοῦ, ἐξ οὗ περ ἐξελλήνισε καὶ πάντα τ' ἄλλα βιβλία τὰ προφητικά. Μὴ γὰρ μόνην τὴν Πεντάτευχον, ἣν μόνην εἶχον οἱ Σαμαρεῖται, μετέφρασεν ὁ Σύμμαχος; ἢ τὰ μὲν ἄλλα προφητικὰ τεύχη μεθερμηνεύων ἐκ τοῦ ἑβραϊκοῦ διὰ τοὺς ἑλληνιστὰς Ἰουδαίους, μόνα τὰ τοῦ Μωϋσέως ἐξελλήνιζεν ἐκ τοῦ παρ' αὐτοῖς ἀποτροπαίου Σαμαρειτανοῦ; ταῦτα πῶς οὐκ ἀπίθανα; Ἀντιφωνοῦσι δὲ, τέλος, καὶ αὐτοὶ οἱ τοῦ Σαμαρειτικοῦ μνημονεύοντες Πατέρες, οἵτινες πολλαχοῦ τῆς εἰς τὴν Πεντάτευχον Σειρᾶς διαστέλλουσι τὸ Σαμαρειτικὸν ἀπὸ τοῦ Συμμάχου (ἦν δ' ἂν ἐπιεικῶς ἄτοπον τοὺς αὐτοὺς Πατέρας ἐν ταῖς αὐταῖς εἰς τὴν Πεντάτευχον ἐξηγήσεσι τὴν αὐτὴν τοῦ Συμμάχου ἑρμηνείαν νῦν μὲν ἐκ τούτου κυρίως ἀποκαλεῖν, ὀλίγῳ δ' ὕστερον, ἢ καὶ πρότερον, ἐθνωνυμικῶς μετονομάζειν τὸ *Σαμαρειτικόν*!). Ἀλλ' οἱ περὶ τὸν Φαβρίκιον προβάλλουσιν ἐπιχείρημα τοῦτο. « Εἰ πρὸ τοῦ Ὠριγένους ὑπῆρχεν ἄλλη τις *ἑλληνικὴ ἑρμηνεία* τῆς ἑβραϊκῆς Πεντατεύχου (λεγομένη δηλονότι τὸ Σαμαρειτικὸν), διὰ τί μὴ κἀκείνην Ὠριγένης κατεχώρισεν ἐν τοῖς Ἑξαπλοῖς; Εἰ δὲ καὶ κατεχώρισεν, ὡς Οὐοσσίῳ ἔδοξε (α), διὰ τί πάντες οἱ ἀρχαῖοι, ὅσοι περὶ τῶν Ὠριγένους διαλαμβάνουσιν Ἑξαπλῶν, τοῦτο παρεσιώπησαν; Ὑπολείπεται τοίνυν, ὅτι τὴν ἐκ τοῦ *Σαμαρειτικοῦ* ταύτην ἑρμηνείαν ὁ Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς κατεχώρισεν ἐπὶ τῷ Συμμά-

(α) Λάθος τοῦ Φαβρικίου. βλ. τί λέγει ὁ Οὐόσσιος ἐφεξῆς (§. ιζ).

χου ὀνόματι· ἢ γοῦν, ὅτι καὶ ἐκτὸς οὖσα τῶν Ἑξαπλῶν, ἀνεγινώσκετο παρὰ τοῖς Πατράσι. Καὶ τῷ ὄντι ὁ Σύμμαχος διττὰς ἐξέδωκεν ἑρμηνείας, ὡς ἐκ τοῦ Ἱερωνύμου (ὑπομν. εἰς Ἱερεμ. λϛ, καὶ Ναούμ, γ), ὁ σοφώτατος Ὅδιος καλῶς παρετήρησε (σελ. 586). Ἴσως οὖν τὴν ἑτέραν τούτων, ἥτις οὐκ ἦν ἐν τοῖς Ἑξαπλοῖς, μνημονεύουσιν οἱ ἀρχαῖοι ὑπὸ τ' ὄνομα τὸ Σαμαρειτικόν» (α). Ἀλλὰ καὶ ταῦτα παράδοξα λέγουσιν οἱ ἄνδρες, ἑδράζοντες τοὺς λόγους ἐπὶ ψευδοῦς ὑποθέσεως. Πρῶτος ἴσως Ὀττιγγῆρος ἔπλασεν *ἑλληνικὴν* ἐκ τοῦ Σαμαρειτικοῦ ἑρμηνείαν. Οἱ δὲ περὶ τὸν Φαβρίκιον ἐπὶ τούτου τοῦ πλάσματος, ὡς ἐπ' ἀδαμαντίνης κρηπῖδος τῆς ἀληθείας, ἐπῳκοδόμησαν τὰ Συμμάχεια διλήμματα. Ἀλλ' οὔτε πρότερον Ὠριγένους ὑπῆρξεν *ἑλληνικὴ* τοῦ Σαμαρειτικοῦ ἑρμηνεία, (ἢ πότε, ποῦ τις τῶν ἀρχαίων, εἴτε Χριστιανῶν, εἴτε καὶ Ἰουδαίων, εἶπέ τι τοιοῦτο; δειξάτωσαν)· καὶ αὐτὸς ἐκεῖνος ὁ Ὠριγένης διακρίνει ῥητῶς τὸ Σαμαρειτανὸν ἀπὸ τοῦ Συμμάχου τῶν Ἑξαπλῶν (ὡς ὀψόμεθα μετ' ὀλίγον). Ἔστι δὲ καὶ τοῦτο ἀστεῖον. Ὁ Ὠριγένης (κατ' αὐτοὺς) καταχωρίσας ἐν τοῖς Ἑξαπλοῖς τὸ Σαμαρειτικὸν, δηλονότι τὴν (ὡς θέλουσιν) προϋπάρχουσαν ἑλληνικὴν μετάφρασιν, ἐπέγραψεν αὐτὴν εἰς τὸν Σύμμαχον· οἱ δὲ μετ' αὐτὸν Πατέρες, οἱ χρώμενοι τοῖς Ὠριγένους Ἑξαπλοῖς, οὐκ ἀγαπήσαντες τῇ γεγραμμένῃ ὀνομασίᾳ τῆς ἑρμηνείας, μετωνόμασαν αὐτὴν τὸ *Σαμαρειτικόν*! καὶ τοῦτο οὐχ ὁ μὲν, ὁ δ' οὐ, ἀλλὰ πάντες ἐπίσης, ὅσοι τοῦ Σαμαρειτικοῦ μνημονεύουσιν. Ἐπειδὴ δὲ οἱ Πατέρες οὗτοι μνημονεύουσιν ἐνίοτε πρὸς τῷ Σαμαρειτικῷ καὶ τὸν Σύμμαχον ἐξ ὀνόματος, εὔκολος καὶ τούτου ἡ θεραπεία. Σαμαρειτικὸν ὠνόμασαν τὴν ἐκτὸς τῶν Ἑξαπλῶν ἀπομείνασαν ἑτέραν τῶν διπλῶν τοῦ Συμμάχου ἑρμηνειῶν! Ἀλλ' ὁ

(α) Fabric. Biblioth. Graec. vol. 3. p. 697. Harl. Ὁ δὲ Scharfenberg (σημ. αὐτόθ.) τὴν μὲν γνώμην τοῦ Φαβρικίου οὐκ ἀποδέχεται, ἄλλο δέ τι παράδοξον αὐτὸς ὑπέλαβεν· ὅτι δῆθεν τὸ Σαμαρειτικὸν σημαίνει Σαμαρειτανὴν ἑρμηνείαν λέξεσιν ἑλληνικαῖς γεγραμμένην· (γράμμασι δηλονότι ἑλληνικοῖς ἤ τι ἄλλο τὸ verbis graecis δηλοῖ ;)

μὲν Σύμμαχος μίαν καὶ μόνην ἐκ τοῦ παρ' Ἰουδαίοις ἑβραϊκοῦ φιλοπονήσας ἑρμηνείαν, καὶ ταύτην ἐκδοὺς, ἔπειτα τὴν αὐτὴν ἔν τισι χωρίοις διορθώσας ἐξέδωκε καὶ δεύτερον, καὶ ταύτης τῆς ἐπιδιορθωθείσης ὀλίγας τινὰς λέξεις ὁ Ἱερώνυμος ἀναφέρει (βλέπε ὄπισθ. σελ. 80). Εἰ δὲ καὶ Σύμμαχος τὸν Ἀκύλαν μιμούμενος, καὶ δευτέραν ἐξ ὑπαρχῆς ἐξεπόνησεν ὁλόκληρον ἑρμηνείαν (ὡς οἱ περὶ τὸν Μοντεφαλκώνιον ὑπέλαβον, οὔτοι πάνυ πιθανῶς), καὶ ταύτην λοιπὸν τὴν δευτέραν ἐκ τοῦ ἑβραϊκοῦ πάλιν μεθηρμήνευσε καὶ αὐτὸς, ὡς καὶ Ἀκύλας. Ὁ δὲ σοφὸς Φαβρίκιος οὐδ' αὐτῷ γοῦν προσεῖξεν, ὃν πιστῶς ἐπιμαρτύρεται, τῷ φιλουμένῳ μάλιστα, Ὀδίῳ τῷ κλεινῷ, λέγοντι διαῤῥήδην, ὅτι « τὰς δύω ἐκδόσεις ὁ Σύμμαχος ἐξέδωκεν ἀμφοτέρας ἐκ τοῦ ἑβραϊκοῦ ». Οὐδ' ἐκεῖνο συνεῖδεν, ὅτι ὅσας διαφορὰς ὁ Ἱερώνυμος ἐκ τῆς δευτέρας τοῦ Συμμάχου ἐκδόσεως ἀναφέρει, κεῖνται μόνον ἐν τόποις προφητικοῖς, οὐδεμία δὲ ἐν τῇ Πεντατεύχῳ· οὐδ' ὅτι, τέλος, τραγέλαφον πλάττουσιν, οἱ πλάττοντες τῆς μὲν Πεντατεύχου ἑρμηνείαν ἐκ τοῦ Σαμαρειτικοῦ, τῶν δὲ λοιπῶν προφητικῶν τευχῶν ἐκ τοῦ παρ' Ἰουδαίοις ἑβραϊκοῦ. Παρὰ τῷ Φαβρικίῳ τάττομεν καὶ τὸν περιώνυμον Τύξηνα, ὅστις μεταξὺ πολλῶν καὶ ἄλλων ὧν εἶπε σοφῶν, ἔκρινεν, ὡς ἔοικε, μηδὲ τῶν ἄλλως αὐτῷ κατὰ νοῦν ἐπελθόντων παραδόξων μηδὲν ἄῤῥητον καταλιπεῖν. Ἀφ' οὗ γὰρ τὴν Σαμαρειτανὴν Πεντάτευχον ἀπεφήνατο ἀντιγραφὴν ἀπό τινος ἑβραϊκοῦ Μασοριτείου κώδηκος, μόλις περὶ τὸν Ι, ἢ ΙΑ, ἢ ΙΒ, αἰῶνα μετὰ Χριστὸν ἀντιγραφεῖσαν (ἐφ' ᾧ μηδ' αὐτὸς ὁ Γεσένιος ἠδυνήθη τὸν γέλωτα κατασχεῖν, σελ. 10), ἔπειτα τὸ παρὰ τοῖς Πατράσι τοῖς τοῦ γ, καὶ δ, αἰῶνος ἐμφερόμενον *Σαμαρειτικὸν* ἐξήγησεν, ὅτι ἄρα σημαίνει ἑλληνικὴν μετάφρασιν « ὑπ' *ἀνδρὸς Σαμαρείτου*, οἷον τοῦ Συμμάχου » (viri Samaritani v. gr. Symmachi). Ἀλλὰ πεπλάνηται περὶ τὴν ἐκδοχὴν τῆς λέξεως ὁ σοφός. Τὸ *Σαμαρειτικὸν* σημαίνει αὐτὸ τὸ *ἑβραϊκὸν* κείμενον γράμμασι γεγραμμένον *Σαμαρειτικοῖς* (τουτ. τοῖς παρὰ Σαμαρείταις ἀποσωθεῖσιν ἀρχαίοις ἑβραϊκοῖς, ἢ Μωσαϊκοῖς· διὸ λέγεται καὶ « *τὸ παρὰ τοῖς Σαμαρείταις*

ἑβραϊκὸν »)· καὶ πάλιν ἰδίως *ἑβραϊκὸν* (καὶ «τὸ *παρ' Ἰουδαίοις ἑβραϊκὸν* ») τὸ γλώσσῃ τε ἑβραϊκῇ, καὶ γράμμασι τοῖς μετὰ τὸν Ἔσδραν *ἑβραϊκοῖς* (Ἀσσυρίοις) γεγραμμένον. Οὕτω καὶ *Συριακὸν* τὸ γράμμασι καὶ γλώττῃ Συριακῇ μεθηρμηνευμένον, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Πάντα γὰρ τὰ τοιαῦτα τῆς θείας Γραφῆς ἐπώνυμα σημαίνουσι τὴν ἐγγράμματον γλῶσσαν, καθ' ἣν τὸ ἱερὸν κείμενον συνεγράφη, ἢ ἐξεδόθη, οὐχὶ τὸ ἐθνικὸν ὄνομα τοῦ *συγγράψαντος*, ἢ *μεταφράσαντος καὶ ἐκδεδωκότος*. Εἰ δὲ μὴ στέργοι τούτοις ὁ Τύξην, λεγέτω λοιπὸν καὶ *Συριακὸν* τὸ μὴ εἰς τὴν *Σύραν γλῶσσαν*, ἀλλ' ὑπό τινος *Σύρου* μεταφρασθὲν, καὶ *ἑλληνικὸν* τὸ ὑπό τινος *Ἕλληνος* συγγραφὲν, καὶ διακυβευέτω τὰς λέξεις, ὅπως ἂν ἐθέλῃ· οὐδὲν γὰρ οὔτε κουφότερον οὔτ' εὐστροφώτερον λόγου, παρά γε τοῖς σοφισταῖς (α). Ὁ δὲ σοφώτατος Μάσιος ὥρμησε μὲν ἀπ' ὀρθῆς καὶ ἀληθοῦς ἐννοίας, λέγων, ὅτι «οἱ τῶν Σαμαρειτῶν ἑλληνίζοντες *οὐδεμίαν* ἄλλην εἶχον *ἑλληνικὴν ἑρμηνείαν τῆς Πεντατεύχου*, παρὰ τὴν τῶν Ο πρεσβυτέρων »· ἀλλ' ἔπειτα προελθὼν, ἔστη περιπεπλεγμένος καὶ ἀπορῶν· «ἐκ ποίου τάχα δικαιώματος αὕτη ἡ ἑρμηνεία ἴσχυσεν ἀποκαλεῖσθαι καὶ τὸ *Σαμαρειτικόν!* Καὶ αὐτὴ δὲ (λέγει) πάλιν, ἣν τὸ *Σαμαρειτικὸν* οἱ Πατέρες ἐπονομάζουσι, διαφέρει ἔν τισι τῆς τῶν Ο, ἑρμηνείας, ὡς πρόδηλον ἐκ τοῦ κατ' Εὐσέβιον Χρονικοῦ » (β). Οὕτως ὁ Μάσιος συνῆπτε τοῖς Σαμαρείταις τοὺς Ο, καὶ πάλιν διηπόρει βλέπων « *ὅτι οὐ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις* ».

§. ιζ. Πάντων δὲ πιθανώτατα φαίνεται τὸ παρὰ τοῖς Πατράσι *Σαμαρειτικὸν* ἐξηγήσας ὁ σοφώτατος Οὐόσσιος (κἂν ὁ Σιμώνιος εἰς μάτην ἀντεῖπεν) (γ). Ὁλόκληρον (λέγει) ἑλληνικὴν ἑρμηνείαν *τῆς Σαμαρειτανῆς Πεντατεύχου* οὐδεμίαν ἴσμεν παρά τινι μνη-

---

(α) Tychsen, Tentamen de variis codic. etc. pag. 119. sq.

(β) Masius praef. in Josua.

(γ) Vossij, de LXX. p. 95, 96. καὶ Respons. ad Objeet. nuperae Critic. Sacr. in Vossij Variar. Observat. pag. 305.

μονευομένην. Ὁ δὲ πολυμαθέστατος Ὠριγένης συντάττων τὰ Ἑξαπλᾶ, πῶς ἂν ἠδύνατο παντάπασιν ἐπιλαθέσθαι τῆς παρὰ τοῖς Σαμαρείταις ἀρχαιοτάτης Πεντατεύχου; Κατατάξαι μὲν οὖν ὁλόκληρον αὐτῆς τὸ κείμενον οὐκ ἂν εἶχεν, ὡς νομίζομεν, ἐπειδὴ τὰς στήλας ἐκλήρωσεν εἰς μόνον τὸ *ἑβραϊκὸν ἔδαφος* (κείμενον), καὶ εἰς τὰς ἐκ τούτου γενομένας ἑρμηνείας· διαφόρους δέ τινας ἀναγνώσεις ἐκλέγων, παρεσημείου ἐν τῇ ᾤᾳ, προσγράφων καὶ τὸ ὄνομα «*τὸ Σαμαρειτικὸν*», (ὅτι γὰρ ἔγραψε καί τινας ἰδίας σημειώσεις ὁ Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς, ἀπέδειξεν ἐκ τῶν περισεσωσμένων ὁ Μοντεφαλκώνιος, Ἑξαπλ. Προλόγ. σελ. 18). Εἰ δὲ καὶ ἠπίστατο γράμματα Σαμαρειτανὰ ἀναγινώσκειν ὁ Ὠριγένης, ἐκεῖνοι μόνον ἀμφιβαλέτωσαν οἱ καὶ τῶν ἑβραϊκῶν αὐτὸν ἀμαθέστατον παριστῶντες! (α)· (ἐν δ᾽ ἑκατέροις ἓν καὶ τὸ αὐτὸ σχεδόν ἐστι τὸ Μωσαϊκὸν κείμενον κατὰ λέξιν, ὥστε μόνη ἡ τῶν Σαμαρειτικῶν γραμμάτων γνῶσις ἀπαιτεῖται πρὸς τὴν καὶ κατὰ Σαμαρείτας ἀνάγνωσιν αὐτοῦ). Οὐ γὰρ μόνος Ὠριγένης, ἀλλὰ καὶ ὁ φίλος

(α) Ὁ δὲ κλεινὸς Οὐόσσιος (αὐτόθ.) καὶ ἄλλοθεν τοῦτο πιθανολογεῖ, ὁρμώμενος ἐκ τῶν Εὐσεβίου ἐκείνων· «Τοσαύτη δὲ εἰσήγετο τῷ Ὠριγένει τῶν θείων λόγων ἀπηκριβωμένη ἐξέτασις, ὡς καὶ τὴν ἑβραΐδα γλῶτταν ἐκμαθεῖν· τάς τε παρὰ τοῖς Ἰουδαίοις ἐμφερομένας π ρ ω τ ο τ ύ π ο υ ς αὐτοῖς ἑβραίων στοιχείοις γραφὰς, κτῆμα ἴδιον ποιήσασθαι» (Εὐσέβ. Ἐκκλ. ἱστορ. ϛ, 16). Τοῦτο τὸ π ρ ω τ ο τ ύ π ο υ ς ὁ Οὐόσσιος διορθῶν εἰς τὸ π ρ ω τ ο τ ύ π ο ι ς (στοιχείοις), συμπεραίνει ἐκ τούτου, ὅτι ὁ Ὠριγένης ἐποιήσατο κτῆμα ἴδιον καὶ κώδηκα γεγραμμένον στοιχείοις ἑβραϊκοῖς πρωτοτύποις (τοῖς Μωσαϊκοῖς), δηλαδὴ Σαμαρειτανόν. Ἀλλ᾽ εἰ δεῖ τ᾽ ἀληθὲς εἰπεῖν, ἥ τε τῆς αἰτιατικῆς εἰς τὴν π ρ ω τ ο τ ύ π ο ι ς δοτικὴν μεταβολὴ βεβιασμένη δοκεῖ, καὶ ἡ ἔλλειψις τοῦ ὀνόματος τοῦ Σαμαρειτῶν ἀντιβαίνει· ἔδει γὰρ εἰπεῖν τὸν Εὐσέβιον, καὶ τὰς παρὰ τοῖς Σαμαρείταις (οὐκ Ἰουδαίοις) γραφὰς (ὡς διέστειλε καὶ Σύγκελλος ἐξ αὐτοῦ Εὐσεβίου «τὸ Σ α μ α ρ ε ι τ α ν ὸ ν ἑβραϊκὸν, καὶ τὸ π α ρ᾽ Ἰ ο υ δ α ί ο ι ς» Χρονογ. σελ. 165). Ὁ δ᾽ Εὐσέβιος (αὐτόθι) καὶ ῥητῶς «αὐτὴν τ ὴ ν ἑ β ρ α ί ω ν σ η μ ε ί ω σ ι ν (τουτ. γραφὴν τοῦ κειμένου) ἀντιπαραθέσθαι ταῖς ἑρμηνείαις» τὸν Ὠριγένην λέγει. Ἔπειτα πῶς ἂν θείημεν τὸν Εὐσέβιον λέγοντα περὶ τοῦ Ὠριγένους, ὅτι μόνον τὸν Σαμαρειτανὸν ἐκτήσατο κώδηκα; αὐτὸν δὲ ἄρα τὸν παρ᾽ Ἰουδαίοις ἑβραϊκὸν οὔ; Ἀλλὰ ταύτης μὲν τῆς γνώμης οὐδ᾽ αὐτὸς Οὐόσσιος ἀντιποιεῖται στεῤῥῶς. Π ρ ω τ ο τ ύ π ο υ ς δὲ τ ὰ ς Ἰ ο υ δ α ί ω ν γραφὰς ὠνόμασεν ὁ Εὐσέβιος ὡς ἐκ τῆς παραβολῆς αὐτῶν πρὸς τὰς ἐξ αὐτῶν γενομένας ἑλληνικὰς μ ε τ α φ ρ ά σ ε ι ς (βλ. καὶ Vales. annot. εἰς Εὐσέβ. αὐτόθ.).

αὐτοῦ Ἀφρικανὸς τῶν Ἑβραίων καὶ Σαμαρειτανῶν γραμμάτων ἔμπειρος ἦν, καὶ Σαμαρείτην εἶχε κώδηκα τῆς Πετατεύχου, (ὡς ἀποδείκνυτ᾽ ἐξ ὧν ἔγραψε περὶ τῆς κατὰ τὸ Σαμαρειτικὸν χρονολογίας)· οὐδὲν δὲ ξένον εἰ καὶ Ὠριγένης εἶχε τοιοῦτον, Ἀμβροσίου τοῦ φίλου πρὸς πᾶσαν δαπάνην φιλοτίμως ἐπαρκοῦντος. Ἀπὸ τούτων οὖν τῶν Ὠριγένους ἐκ τοῦ Σαμαρειτανοῦ παρασημειώσεων ἀντέγραφον καὶ ὅσοι τῶν Πατέρων ὑποτίθενται τῶν ἑβραϊκῶν καὶ Σαμαρειτανῶν γραμμάτων ἀδαεῖς· Ἀλλ᾽ οὐ δήπου θήσουσιν ἐν τούτοις οἱ κριτικοὶ καὶ τὸν προειρημένον Ἀφρικανὸν, οὐδὲ τὸν Εὐσέβιον, ἴσως, ὅστις καὶ αὐτὸς περὶ τὴν χρονολογίαν ἐχρῆτο « *τῇ τε κατὰ τὸ ἑβραϊκὸν, τῇ τε παρὰ Σαμαρείταις ἐκδόσει* » (Σύγκελλ. Χρονογρ. σελ. 125), οὐδὲ τὸν Ἱερώνυμον, τὰ παρὰ Σαμαρείταις ἑβραϊκὰ τεύχη διαστέλλοντα ῥητῶς ἀπὸ τοῦ Συμμάχου (ἑρμην. εἰς τὴν πρὸς Γαλάτ. καὶ ἀλλαχοῦ), οὐδὲ τὸν ἐξ Ἐδέσσης Εὐσέβιον καὶ τῆς Ἐμέσσης ἐπίσκοπον (τῷ 340 π. Χ.), οὐδὲ τὸν ἐκ τῆς Φοινίκης Προκόπιον τὸν Γαζαῖον, οἵτινες ἐσημείωσαν, ὅτι κατὰ τὸν Σαμαρειτανὸν κώδηκα τὰ ἐν Δευτερονομίῳ (κζ, 4) γέγραπται καὶ ἐν Ἐξόδῳ (ιη, 24)· καὶ πάλιν, ὅτι παρὰ Σαμαρείταις γέγραπται « ἐν ὄρει Γαριζεὶμ ἀντὶ ἐν ὄρει Γαιβάλ »· οὐδ᾽ ἄλλους τοιούτους τῶν ἀρχαίων Πατέρων, οἵ γε καὶ αὐτὸ τὸ Σαμαρειτικὸν ἀναγινώσκειν ἠπίσταντο, καὶ τὰς τούτου παραλλαγὰς σημειοῦν (α). Καὶ σημαίνει ἄρα τὸ Σαμαρειτικὸν ἑλληνικὴν μὲν ἑρμηνείαν οὐδεμίαν οὐδαμῇ οὐδαμῶς, *αὐτὸ δὲ τὸ πρωτότυπον τῆς Σαμαρειτῶν Πεντατεύχου*, ἐξ οὗ Ὠριγένης πρῶτος καὶ οἱ μετ᾽ αὐτὸν ἐγκρατεῖς τῆς Σαμαρειτικῆς ἀναγνώσεως ἐσημείουν ὀλίγας ἐκ πολλῶν διαφορὰς, ἑλληνιστὶ μεταφράζοντες.

(α) Ὁ δὲ Λόγγος διαφεύγων τὸν ψόγον τὸν ὑπό τινων Στεντόρων κριτικῶν διαπρυσίως κεκηρυγμένον κατὰ πάντων, εἴ τις εἴποι, ἢ τὸν Ὠριγένην, ἤ τινα τῶν ἄλλων Πατέρων (πλὴν μόνου τοῦ Ἱερωνύμου) ἐγκρατῆ τῆς ἑβραϊκῆς, ἢ τῆς Σαμαρειτικῆς, ἠρκέσθη μόνον εἰπὼν, ὅτι καὶ ὁ Γαζαῖος Προκόπιος, καὶ ἄλλοι Πατέρες τῆς μὲν Σαμαρειτῶν γλώσσης ὑπῆρχον ἀδαεῖς, ἐμάνθανον δὲ ὅμως παρ᾽ αὐτῶν τῶν Σαμαρειτῶν, ἐρωτῶντες, ὅπως ἔχοι ἐν τοῖς χωρίοις τὸ κατ᾽ αὐτοὺς κείμενον, καὶ οὕτως ἀνέφερον τὰς λέξεις κατὰ τὴν ἐκείνων ἀναφοράν ! (Le Long. Biblioth. Sacr. p. 213.). Τοιαῦτα καὶ Ὅδιος ἔκρινε (σελ. 603).

§. ιη. Τούτου δὲ δεῖξις καὶ ἄλλη· παρὰ Εὐσεβίῳ καὶ μάλιστα τοῖς ἐφεξῆς Πατράσιν (οἷον Διοδώρῳ, Εὐσεβίῳ τῷ Ἐμέσσης, Ἱερωνύμῳ, Θεοδωρήτῳ, Διδύμῳ, Προκοπίῳ κτλ.) πρὸς ταῖς ἄλλαις ἀναγνώσεσι μνημονεύονται καὶ «ὁ *Ἑβραῖος*», καὶ «ὁ *Σύρος*», ἢ «ὁ *Σύρος καὶ ὁ Ἑβραῖος*» συνάμα (ὡς πολλάκις συμφωνοῦντες)· πολὺς δὲ καὶ περὶ τούτων ὁ λόγος παρὰ τοῖς κριτικοῖς. Οἵ γε καὶ ἐκ τούτων συνήγαγον, ὅτι καὶ τῆς Συριακῆς λοιπὸν ἑρμηνείας ὑπῆρχέ τις ἰδίως ἑλληνικὴ μετάφρασις· ἑβραῖον δ' ἐξέλαβον, ἢ τὸν Ἀκύλαν (ὅστις ὅμως παρὰ τοῖς εἰρημένοις Πατρᾶσι πολλάκις μνημονεύεται ῥητῶς, ὡς τοῦ *Ἑβραίου* διάφορος), ἢ γραφικάς τινας ἐξηγήσεις τῶν ἀρχαίων Ἑβραίων, αἷς ἐχρῆτο καὶ Ὠριγένης καὶ Εὐσέβιος, καὶ ὕστερον ὁ Ἱερώνυμος (α). Ἀλλὰ καὶ ὧδε παρετόπασαν οἱ κριτικοὶ οἷα καὶ περὶ τοῦ Σαμαρειτικοῦ. Τὸ *Ἑβραῖος* σημαίνει τὸ *ἑβραϊκὸν*, ἔστι δ' ὅτε καί τινας ἀναγνώσεις καὶ ἐξηγήσεις τῆς ἑβραϊκῆς λέξεως διαφόρους, ἢ ὡς ἐξήγησαν οἱ ἄλλοι ἑρμηνεῖς. Καὶ πάλιν ὁ *Ἑβραῖος καὶ ὁ Σύρος* (συνάμα) τὴν τοῦ Συριακοῦ σύμφωνον πρὸς τὸ ἑβραϊκὸν ἑρμηνείαν. Οἱ τῆς Σύρων γλώσσης ἔμπειροι Πατέρες ἀναγινώσκοντες τὴν ἐκ τοῦ ἑβραϊκοῦ συριακὴν μετάφρασιν, ἐσημείουν τὴν διάφορον ἀνάγνωσιν, ἑρμηνεύοντες αὐτοὶ ἑλληνιστί· οὕτω, φέρ' εἰπεῖν, ὁ Σύρος Θεοδώρητος εἰς Ἰεζεκ. κζ, 14, σημειοῖ ὅτι «ὁ Ἀκύλας τὸ ἐν *μαγώζοις*, ἀπὸ τοῦ ἑβραϊκοῦ» (ὡς καὶ τοῦτο τ' ὄνομα ἑβραϊκὸν ὂν) «ἐξελληνίζει· σημαίνει δὲ ἐν *ἀποκρύφοις σκεύεσι*· τοῦτο γὰρ καὶ *Σύρος νοήσας ἡρμήνευσε*» (τουτ. ἐν τῇ κατ' αὐτὸν Συριακῇ μεταφράσει). Πολλὰ τοιαῦτα παραδείγματα φέρουσιν οἱ περὶ τὸν Μοντεφαλκώνιον, οἱονεὶ παριστῶντα ἑλληνικήν τινα τῆς Συριακῆς μεταφράσεως ἑρμηνείαν. Ἀλλ' εἰ δοκεῖ τοῖς σοφοῖς, ἐπιλυσάτωσαν ἡμῖν τὴν ἀπορίαν αὐτοὶ πάλιν οἱ Πατέρες. Αὐτίκα αὐτὸς ὁ Θεο-

(α) Montfaucon, Praelimin. in Hexapl. pag. 20, 21. Ἄλλοι πάλιν ὑπέλαβον, ὅτι αἱ πλεῖσται τῶν ἐπ' ὀνόματι τοῦ Ἑβραίου φερομένων ἀναγνώσεων προῆλθον ἐκ τῶν Ἱερωνύμου ὑπομνημάτων. Ἀλλὰ πάντα ταῦτα καλῶς ποιῶν ὁ Ἔρφης ἠρέμα ἐξεσύριξεν «ὡς ἁπλῆν ὑπόθεσιν» (Einleit. I. Bd. p. 161).

δώρητος (εἰς Ἰεζεκ. αὐτ. στχ. 8) «Τὸ *Ἑβραίων* καὶ τὸ *Σύρων*» (κείμενον, ἤτοι τὸ ἑβραϊκὸν καὶ συριακὸν, τουτ. ὁ Ἑβραῖος καὶ ὁ Σύρος) «οὐκ ἔχει τὸ (παρὰ τοῖς Ο) οἱ *ἄρχοντές σου*, ἀλλ' οἱ *γείτονές σου*» (οὕτως ἔχει καὶ τανῦν τό,τε ἑβραϊκὸν καὶ ἡ Συριακὴ ἑρμηνεία· πρβλ. καὶ εἰς Ἰεζεκ. αὐτόθι στχ. 12, ἐν τοῖς Ἑξαπλ.). Καὶ πάλιν ὁ Δίδυμος (εἰς Γενέσ. η, 7). «Ὁ Σύρος, *οὐχ ὁμοίως τῇ ἑλληνικῇ*· λέγει γὰρ ὑπέστρεψεν (ὁ κόραξ), καὶ ὁ Ἑβραῖος»· (οὕτως ἔχουσιν ἀμφότερα καὶ τανῦν). Τί ἄλλο λοιπὸν κἀν τοῖς ἄλλοις διὰ τοῦ Σύρος καὶ τοῦ Ἑβραῖος, οἱ Πατέρες ἐνόουν, εἰ μὴ αὐτὸ τὸ ἑβραϊκὸν πρωτότυπον καὶ τὴν αὐτοῦ Συριακὴν μετάφρασιν, καὶ ταύτην ἀντιδιεσταλμένως πρὸς τὴν *ἑλληνικήν*; Ὁ δὲ μέγας Βασίλειος γράφει, ὅτι, ὡς ἤκουσε παρὰ *Σύρου ἀνδρὸς*, τὸ κατὰ τοὺς Ο, ἐξηγηθὲν *ἐπεφέρετο* (Γενέσ. α, 2) κατὰ τὴν Σύρων φωνὴν ἐξηγεῖται «*συνέθαλπε καὶ ἐζωογόνει*» (α)· ἐν δὲ τούτοις δύω τινα τρανώτατα μαρτυρεῖ ὁ Οὐρανοφάντωρ, ὅτι οὔτε μετάφρασις ὑπῆρχε τῆς Συριακῆς ἑρμηνείας *ἑλληνική*· καὶ ὅτι οἱ Πατέρες οὐ μόνον ἐκ τῆς ἀναγνώσεως τοῦ Συριακοῦ, ἀλλὰ καὶ ἐκ τῆς ἀπὸ στόματος ὁμιλίας ἐμάνθανον, ὅπως ἔχει τοῦτο, ἢ ἐκεῖνο τὸ λόγιον τῆς Γραφῆς ἐν τῇ Συριακῇ μεταφράσει. Καὶ ὀρθῶς λοιπὸν ὁ Καρψόβιος ἔκρινε τὸ Συριακὸν πᾶσι τοῖς ἀρχαίοις Πατράσι πάνυ γνωστὸν (β). Ὀρθῶς δὲ καὶ ὁ Δοιδερλῖνος ἀπεφήνατο μηδεμίαν γενέσθαι τοῦ Συριακοῦ ἑρμηνείαν ἑλληνικήν (γ)· ἀλλ' οὗτος παρεξέπεσεν εἰς ἄλλο παράδοξον· Σύρον (φησὶν) ἐννοοῦσιν

(α) Μ. Βασιλ. *εἰς Ἑξαήμερ. ὁμιλ. β. σελ.* 24.

(β) Carpzov. Crit. Sacr. p. 624, *μὴ διορίζων ὅμως (ὡς εἴωθεν ἐνίοτε πρὸς τὸ ἀσφαλέστερον τὸν λόγον οἰκονομεῖν), πότερον ἐξ αὐτοῦ ἀμέσως τοῦ Συριακοῦ, ἢ καὶ ἔκ τινος ἄλλης μεταφράσεως ἔσχον οἱ Πατέρες τὴν γνῶσιν τῆς Συριακῆς ἑρμηνείας. Ἐπειδὴ δὲ μεταξὺ τῶν Πατέρων μνημονεύει καὶ τὸν ἱερὸν Ἀμβρόσιον (τὸν Μεδιολάνων), καὶ αὐτὸν τὸν* Μ. Βασίλειον, *οὗτοι δὲ ἀμφότεροι οὐ φαίνονται τῆς Σύρων γλώσσης ἐγκρατεῖς, μή ποτε καὶ ὁ Καρψόβιος ὑπεπόταζεν ἑλληνικήν τινα ἑρμηνείαν τῆς Συριακῆς;*

(γ) Doederlein, Disputat. historico-philol. Quis sit ὁ Σύρος. Altdorf. 1772.

ἴσως τὸν Ἱερώνυμον, διότι καὶ Θεόδωρος ὁ Μοψουεστίας (παρὰ Φωτίῳ) κακίζων τὴν ἐκ τοῦ ἑβραϊκοῦ νεωτέραν λατινικὴν τοῦ Ἱερωνύμου ἑρμηνείαν, ὠνόμαζεν αὐτὸν *Ἀρὰμ*, τουτ. Σύρον (ἴσως ὡς ἐν ταῖς Συρίας ἐρήμοις τοὺς ἀσκητικοὺς ἄθλους ἀγωνισάμενον). Ταύτην δὲ, λέγει, τὴν Ἱερωνύμου ἑρμηνείαν ἐξελλήνισεν ὁ φίλος αὐτοῦ Σωφρόνιος, ὁ (καθὰ λέγει) *Κωνσταντινουπόλεως Πατριάρχης*» (α). Ἀλλ' εἴπερ ὁ Μοψουεστίας ἐπωνόμαζεν *Ἀρὰμ*, ἢ Σύρον τὸν Ἱερώνυμον, μήπως ἕπεται παρὰ τοῦτο καὶ ὅτι οὗτός ἐστιν ὁ *Σύρος* τῶν Πατέρων; ἐγὼ μὲν οὐχ ὁρῶ τὴν ἀκολουθίαν. Πᾶν δὲ τοὐναντίον μάλιστα βλέπω, ὅτι ὁ *Σύρος* μνημονεύεται καὶ παρ' Εὐσεβίῳ, τῷ πλέον ἢ 60 ἐνιαυτοῖς Ἱερωνύμου προγενεστέρῳ· ἔπειτα καὶ οἱ ἄλλοι Ἀνατολικοὶ οὐδέποτ' ἂν ἐμνημόνευσαν τὴν τότε κατ' αὐτοὺς χθιζὴν ἀναφανεῖσαν, καὶ μήπω μηδὲ παρὰ τοῖς Λατίνοις τότε δεδεγμένην ἑρμηνείαν τοῦ Ἱερωνύμου, συγκαταλέγοντες καὶ ταύτης τὰς ἀναγνώσεις μετὰ τῶν ἀρχαίων ἐκ τοῦ ἑβραϊκοῦ

(α) Οὐ μόνος ὁ Δοιδερλῖνος, ἀλλὰ καὶ ἄλλοι σοφοὶ κατὰ λάθος ἔπλασαν τὸν Σωφρόνιον τοῦτον Οἰκουμενικὸν Πατριάρχην! Ἀλλ' οὐδεὶς Σωφρόνιος ἐπατριάρχευσεν ἐν Κωνσταντινουπόλει οὔτε πρότερον, οὔτε πολλοῖς αἰῶσιν ὕστερον Ἱερωνύμου. Μόλις τῷ 1465 ἐγένετο πατριάρχης Σωφρόνιος ὁ Α (ὁ Συρόπουλος). Ἄλλοι δὲ τὸν παρ' Ἱερωνύμῳ Σωφρόνιον εἶπον πατριάρχην Ἱ ε ρ ο σ ο λ ύ μ ω ν, συγχέοντες δηλαδὴ τὸν 240 ἔτεσι μετὰ τὸν Ἱερώνυμον (τῷ 629) πατριαρχεύσαντα ἐν Ἱεροσολύμοις ἀοίδιμον Σωφρόνιον. Ὁ δὲ παρ' Ἱερωνύμῳ φαίνεταί τις ἱερομόναχος, εὐλαβὴς αὐτοῦ μαθητὴς, ὅστις χαριζόμενος τῷ διδασκάλῳ, ἐξελλήνισεν ἐκ τοῦ λατινικοῦ οὐχὶ πᾶσαν τὴν Ἱερωνύμου μετάφρασιν, ἀλλὰ μόνον τὸν ψαλτῆρα καὶ τοὺς προφήτας (ὡς αὐτὸς λέγει πάλιν ὁ Ἱερώνυμος). Ἀλλὰ ταύτης τῆς τοῦ Σωφρονίου σκοτεινῆς ἑρμηνείας (εἴγε καὶ ὅλως ἐκ τοῦ γραφείου αὐτοῦ προέκυψεν) οὐδ' ἴχνος, οὐδ' ὄνομα, ἐφάνη ἢ ἠκούσθη οὐδαμοῦ τῆς Ἀνατολικῆς, ἀλλ' οὐδ' αὐτῆς τῆς Δυτικῆς Ἐκκλησίας· οὐδ' ἄλλοθεν οὐδαμόθεν οἴδαμεν οὐδὲν περὶ τοῦ Σωφρονίου τούτου, εἰ μὴ μόνον ἐξ ὧν ἔγραψε περὶ αὐτοῦ αὐτὸς μόνος ὁ Ἱερώνυμος· ἢ τίς ἦν ὁ ἀνὴρ οὗτος, ὥστε καὶ μνημονεύεσθαι ὡς νέος ἑρμηνεὺς τῶν θείων Γραφῶν; ἐν ᾧ καὶ αὐτοῦ τοῦ διδασκάλου αὐτοῦ, τοῦ Ἱερωνύμου, τὴν ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν οὔτε ἡ Δυτικὴ Ἐκκλησία κατ' ἀρχὰς ἀπεδέξατο, καὶ ἡ Ἀνατολικὴ διὰ τῆς βαθείας σιωπῆς αὐτῆς ἀπεδοκίμασε. Τοῦ Σωφρονίου δὲ τούτου ἓν καὶ μόνον σῴζεται μετάφρασμα, καὶ τοῦτο ἀμφιβαλλόμενον, ἡ ἑλληνικὴ μετάφρασις τοῦ Ἱερωνυμείου καταλόγου τῶν ἐκκλησιαστικῶν συγγραφέων, μετὰ τοῦ πρωτοτύπου συνεκδιδομένη ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Ἱερωνύμου. Βλ. Cave, Dupin, κτλ.

ἑρμηνειῶν. Εἰ δὲ καὶ ὁ Ἱερώνυμος αὐτὸς (ὡς προστίθησιν ὁ Δοιδερλῖνος) οὐκ ὠνόμασεν οὐδαμοῦ τὸν Σύρον· ἀλλ᾽ ἀρκοῦσιν ὠνομακότες οἱ περὶ τὸν Εὐσέβιον (ἵνα μὴ καὶ ἄλλας δείξεις ἀντεπάγωμεν) (α). Καθὼς λοιπὸν τὸ *ὁ Σύρος ἅμα καὶ ὁ Ἑβραῖος* σημαίνει αὐτὸ τὸ Συριακὸν καὶ αὐτὸ τὸ ἑβραϊκὸν, οὕτω καὶ τὸ *Σαμαρειτικὸν* αὐτὸ δηλοῖ τὸ πρωτότυπον τῆς Σαμαρείτιδος Πεντατεύχου. Παρίτω τελευταῖος μάρτυς Ὠριγένης αὐτὸς, λέγων· « Ἃ καὶ αὐτὰ *ἐκ τοῦ τῶν Σαμαρειτῶν ἑβραϊκοῦ* μετεβάλομεν καταλλήλως τῇ τῶν Ο ἑρμηνείᾳ, τῇ ἐν τῷ Δευτερονομίῳ φερομένῃ » (β). Ὁ δ᾽ αὐτὸς καὶ ἐν αὐτῷ τῷ ὕφει τῶν Ἑξαπλῶν ἔστιν ὅπου προστίθησι καὶ τὴν κατὰ τὸ Σαμαρειτικὸν ἀνάγνωσιν, διακρίνων τοῦτο σαφῶς ἀπὸ τῶν ἄλλων, καὶ ῥητῶς ἀπὸ τοῦ *Συμμάχου*. (Ἐξόδ. ι, 7. πρβ. η, 21: κτλ.).

§. ιθ. Δύω μόνας ἔχει μεταφράσεις ἡ παρὰ Σαμαρείταις ἑβραϊκὴ Πεντάτευχος, τὴν μὲν παλαιοτέραν (ἴσ. περὶ τὸ 200 μ. Χ.), κατὰ διάλεκτον Σαμαρειτανὴν, ἢ Χαλδαιο-Σαμαρειτανὴν (τὴν τότε τοῖς Σαμαρείταις συνήθη χαλδαϊκὴν γλῶσσαν), τὴν δὲ πολὺ νεωτέραν, Ἀραβικὴν, καὶ ταύτην ἐν στοιχείοις Σαμαρειτικοῖς. Ἀλλὰ τὰ περὶ τούτων ἄλλαις ἐξεταστέον (γ).

§. κ. Ἡμεῖς δὲ τὰ κατ᾽ αὐτὴν τὴν παρὰ Σαμαρείταις ἑβραϊκὴν Πεντάτευχον ἅλις ἤδη ἐξητακότες, καὶ τὴν ἐν πολλοῖς αὐτῆς πρὸς τοὺς Ο, συμφωνίαν προϋπογράψαντες, ἐπάγομεν καὶ ταύτης ὀλίγα παραδείγματα.

Α) Κατὰ τὸ *παρ᾽ Ἰουδαίοις* ἑβραϊκὸν, τὸ κεφάλαιον τῶν ἐτῶν τῶν *ἀπὸ Κατακλυσμοῦ μέχρι τῆς τοῦ Ἁβραὰμ γεννήσεως* Πατριαρχῶν συγκεφαλαιοῦται εἰς ἔτη 292 (βραχύτατος

(α) Βλ. καὶ Eichhorn, Einleit. I. §. 207. p. 454. Ὅστις ἀναφέρων τοὺς Δοιδερλίνου λόγους, ἐπιφέρει πέντε λέξεις καὶ ὀρθάς. « Οὐδὲν ὁ Σύρος ἕτερον, ἢ αὐτὴ ἡ Συριακὴ ἑρμηνεία ».

(β) Σημειώσ. ἐν τοῖς Ἑξαπλ. Βλ. Montfaucon, Hexapl. vol. 1. p. 158. καὶ Praelimin. p. 19.

(γ) Walton, Proleg. καὶ Carpzov. Crit. Sacr. p. 615.

ἀριθμὸς, οὗ τινος αὐτὴ καὶ μόνη ἡ ὀλιγότης ἀποδείκνυσι τὸ ψευδὲς τῆς ἀναγνώσεως). Ἀλλὰ τὸ Σαμαρειτικὸν ψηφίζει ἔτη 942, (§. ιδ). Ἐπειδὴ δὲ παρὰ τοῖς Ο, ἀριθμεῖται καὶ *Καϊνὰν*, ὁ τοῦ Ἀρφαξὰδ (ἐν δὲ τῷ Ἰουδαϊκῷ καὶ τῷ Σαμαρειτικῷ οὐχ εὑρίσκεται τὸ ὄνομα τοῦτο, πάνυ πρώην ἐκπεσὸν), συνεπιλογιζομένων καὶ τῶν 130 ἐτῶν τῆς ζωῆς τοῦ Καϊνᾶν, συμποσοῦται τὸ κεφάλαιον ὅλον ἀκριβῶς κατὰ τοὺς Ο, ἔτη 1072. Ἔπειτα καὶ κατὰ μέρος τὰ πρὸ τῆς παιδοποιΐας ἔτη ἑκάστου τῶν ἀπὸ κατακλυσμοῦ μέχρις Ἀβραὰμ Πατριαρχῶν διαγράφει καὶ τὸ Σαμαρειτικὸν ἀπαραλλάκτως ὡς οἱ Ο· τὸ δὲ παρ' Ἰουδαίοις ἑβραϊκὸν, ἐλάττονα *κατὰ μίαν ὅλην ἑκατονταετηρίδα*. Ἀλλὰ περὶ τῆς χρονολογίας τοῦ τε παρ' Ἰουδαίοις ἑβραϊκοῦ καὶ τοῦ Σαμαρειτικοῦ, καὶ ἰδίως τῶν Ο, πραγματευόμεθα ἐφεξῆς.

Β) Συμφωνεῖ μετὰ τῶν Ο, τὸ Σαμαρειτικὸν, καὶ καθότι περιέχει καὶ λέξεις πολλὰς κατὰ μέρος, καὶ λόγους ὅλους ἐκπεπτωκότας ἐκ τοῦ ἑβραϊκοῦ. Ἰδοὺ καὶ τούτων ὀλίγα ἐκ πολλῶν παραδείγματα.

Γενέσ. β. 25. « Ἔσονται *οἱ δύο* εἰς σάρκα μίαν » (οἱ Ο καὶ τὸ Σαμαρειτανὸν, καὶ οἱ Εὐαγγελισταί)· ἐν τῷ ἑβραϊκῷ λείπει τὸ *οἱ δύο*· βλ. ἐφεξ. κεφ. ιγ. §. γ.

Γενέσ. δ. 8. « *Διέλθωμεν εἰς τὸ πεδίον* ». Οἱ Ο καὶ τὸ Σαμαρειτανὸν (οὕτω καὶ τὸ Ταργοὺμ, ὁ Ἀκύλας, ἡ Βουλγάτα, ὁ Σύρος, καὶ Φίλων, καὶ Ἰώσηπος)· ἐν δὲ τῷ ἑβραϊκῷ λείπουσι τὰ λόγια βλ. ἐφεξῆς κεφ. ιγ. §. γ.

Γενέσ. μγ, 28. « Καὶ εἶπεν· Εὐλογητὸς ὁ ἄνθρωπος ἐκεῖνος τῷ Θεῷ »· οἱ Ο, καὶ τὸ Σαμαρειτανόν· ἐν δὲ τῷ ἑβραϊκῷ λείπουσι καὶ ταῦτα.

Γενέσ. μθ, 22. « Υἱός μου νεώτατος πρός με ἀνάστρεψον » οἱ Ο, καὶ τὸ Σαμαρειτικόν. Ἐν δὲ τῷ ἑβραϊκῷ, κατὰ τὴν διεστραμμένην στίξιν καὶ παραγραφὴν τῶν Μασοριτῶν, γέγραπται οὕτω· « *θυγατέρες ἀναβαίνουσαι ἐπὶ τοῖχον* »! (καὶ τοῦτο πράγματα παρέσχεν οὐκ ὀλίγα καὶ ῥαββίνοις καὶ ῥαββινισταῖς).

Ἐξόδ. δ, 6. « Καὶ ἐξήνεγκε τὴν χεῖρα αὐτοῦ *ἐκ τοῦ κόλπου αὐτοῦ* »· οἱ Ο, καὶ τὸ Σαμαρειτικὸν (ἡ φράσις βεβαιοῦται καὶ ἐκ τοῦ ἐφεξῆς 7, στίχου). Ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ *ἐκ τοῦ κόλπου αὐτοῦ*.

Ἐξόδ. ιϐ. 40. « Ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραὴλ, ἣν κατῴκησαν ἐν γῇ Αἰγύπτῳ *καὶ ἐν γῇ Χαναὰν* ἔτη 430 »· οἱ Ο (α). Οὕτως ἔχει καὶ τὸ Σαμαρειτικόν· ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ *ἐν γῇ Χαναὰν*, κεῖται δὲ μόνον τὸ *ἐν γῇ Αἰγύπτου*· ἀλλ' αὐτοῦ κατῴκησαν οἱ υἱοὶ Ἰσραὴλ ἔτη μόνα 210 (οὐχὶ *τετρακόσια τριάκοντα*· ὡς ἔχει καὶ Ἰώσηπος Ἀρχ. ιε, 2. καὶ αὐτὸς ὁ θεῖος Παῦλος. Γαλάτ. γ, 17). Καὶ τὸ πρᾶγμα μεγάλας παρέχει δυσχερείας τοῖς χρονολόγοις, ἅς, ὅ,τι κἄν εἴπωσι (λέγουσι δὲ πολλὰ σοφὰ καὶ μάταια), οὐδέποτ' ἐπιλύσουσι χωρὶς τῆς ἀναγνώσεως τοῦ *ἐν γῇ Χαναὰν*, κτλ. βλ. ἐφεξῆς, κεφ. ιγ. §. δ.

Λευϊτ. ιζ, 4. « Καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς μὴ ἐνέγκῃ, ὥστε *ποιῆσαι αὐτὸ εἰς ὁλοκαύτωμα, ἢ σωτήριον, κυρίῳ δεκτὸν εἰς ὀσμὴν εὐωδίας. Καὶ ὃς ἂν σφάξῃ ἔξω, καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ* αὐτὸ, ὥστε προσενέγκαι δῶρον τῷ Κυρίῳ ἀπέναντι τῆς σκηνῆς Κυρίου » κτλ. οὕτω καὶ τὸ Σαμαρειτικόν. Τὸ δ' ἑβραϊκὸν ἔχει ταῦτα· « Καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς μὴ ἐνέγκῃ, ὥστε προσενεγκεῖν προσφορὰν τῷ Κυρίῳ ἐνώπιον τῆς σκηνῆς τοῦ Κυρίου »· τὰ δὲ λοιπὰ τὰ ἐν τῷ μεταξὺ λείπουσι πάντα, κατολισθήσαντος τοῦ βλέμματος τοῦ ἀντιγραφέως ἀπὸ τοῦ πρώτου τοῦ *(ἐπὶ τὴν θύραν τῆς σκηνῆς)* « *μὴ ἐνέγκῃ* » εἰς τὸ δεύτερον, τὸ πρὸς τῷ τέλει, « *μὴ ἐνέγκῃ* » (« αὐτὸ, ὥστε *προσενέγκαι* ») κτλ. βλ. ἐφεξῆς κεφ. ιγ. §. ε.

(α) Κώδηξ Βατικ. ἐν δὲ τῷ Ἀλεξανδρινῷ μετὰ τὸ ἐν γῇ Χαναὰν ἀναγινώσκονται καὶ ταῦτα· « Αὐτοὶ, καὶ οἱ πατέρες αὐτῶν » κτλ. (ὃ καὶ πληρέστερον δοκεῖ· οὕτως ἔχουσι καὶ τῶν ἁγίων Πατέρων ἄλλοι τε καὶ Αὐγουστῖνος (Quaest. 47 in Exod.). Βλ. καὶ Cappel. Crit. Sacr. p. 210. Οἱ δέ τινες μάτην κοπιῶσι νεωτέραν δῆθεν προσθήκην ἀποδεῖξαι τὸ κόμμα τοῦτο. Φυλαττέσθω δὲ καὶ αὐτὸς ὁ σοφὸς Γεσένιος (καθὼς λέγει) « μὴ τὴν Σκύλλαν φεύγων, ἐμπέσῃ εἰς τὴν Χάρυϐδιν », Gesen. l. c. p. 50. καὶ Rayij Exercit. pag. 160-161.

Ἀριθμ. α, 44. «Δώδεκα ἄνδρες, ἀνὴρ εἷς *κατὰ φυλὴν μίαν, κατὰ φυλὴν οἴκων πατριᾶς αὐτῶν* ἦσαν»· οἱ Ο καὶ τὸ Σαμαρειτικόν. Τὸ δ' ἑβραϊκὸν δώδεκα ἄνδρες, ἀνὴρ εἷς *κατ' οἶκον τῶν πατέρων αὐτῶν* ἦσαν» (ὅπου φαίνεται καὶ τὸ κολοβὸν τοῦ στίχου, καὶ τὸ ἐκ τούτου ἀσαφές).

Ἀριθμ. δ, 14. «Καὶ λήψονται ἱμάτιον πορφυροῦν, καὶ συγκαλύψουσι τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἐμβαλοῦσιν αὐτὸ εἰς κάλυμμα δερμάτινον, ὑακίνθινον, καὶ διεκβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ». Οὕτως οἱ Ο, καὶ τὸ Σαμαρειτικόν. Ἐν δὲ τῷ Ἑβραϊκῷ οὐδ' ἴχνος τούτων εὑρήσεις. Ὅτι δὲ προφανῶς ἐκπεπτώκασι τὰ κόμματα, ἀποδεικνύει ἡ ἐν τῷ αὐτῷ στίχῳ κατ' ὄνομα καταγραφὴ καὶ ἀπαρίθμησις ὅλων τῶν ἄλλων σκευῶν τῆς σκηνῆς, μετὰ καὶ διαταγῆς, πῶς συσκευαστέον ἕκαστον (ὅταν ἀπαίρωσιν εἰς ἄλλον σταθμόν)· πῶς οὖν ἔμελλον παραλειφθῆναι ἀκατονόμαστα καὶ ἀδιάτακτα τὰ *περὶ λουτῆρος καὶ τῆς βάσεως*, ἅτινα καὶ ταῦτα συναπετέλουν ἀξιόλογον μέρος τῶν ἄλλων τῆς σκηνῆς σκευῶν; βλ. ἑφεξῆς κεφ. ιγ. §. ϛ.

Τοιαύτας ἐλλείψεις καὶ ἡμιστίχων καὶ περιόδων ὅλων (παραλείπομεν τὰς λέξεις) ἀπαντᾷ πᾶς τις καὶ ἀλλαχοῦ τῆς ἑβραϊκῆς Πεντατεύχου, ἐν ᾧ ταῦτα κεῖνται μὲν παρὰ τοῖς Ο καὶ τῷ Σαμαρειτικῷ, κεῖνται δὲ καὶ κατ' αὐτὸ τὸ ἑβραϊκὸν ἐν ἄλλαις πάλιν τεύχεσιν, οἷον ἐν Δευτερονομίῳ, ἢ ἀλλαχοῦ, ὅπου γίνεται κατ' ἐπανάληψιν ἀνάμνησις τῶν αὐτῶν.

Γ) Λέγομεν καὶ ἕν, ἢ δύω παραδείγματα λέξεων ἐναλλαγῆς.

Γενέσ. β. 2. «Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ *ἕκτῃ* τὰ ἔργα αὐτοῦ». Οἱ Ο, καὶ τὸ Σαμαρειτ. οὕτω καὶ ὁ Σύρος· (πρβλ. Ἐξόδ. κ, 10: λα, 17). Τὸ δ' Ἑβραϊκὸν ἔχει «ἐν τῇ ἡμέρᾳ τῇ *ἑβδόμῃ*». Οὕτως ὁ Θεὸς τῇ αὐτῇ ἡμέρᾳ, τῇ *ἑβδόμῃ*, καὶ συνετέλεσε τὰ ἔργα αὐτοῦ, καὶ «κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε» (Γενέσ. β, 2)· τί τούτου ἀτοπώτερον; Καὶ ὅμως οἱ ῥαββινισταὶ γίνονται παντοῖοι πρὸς ὑπεράσπισιν τῆς τοιαύτης ἀναγνώσεως τοῦ νῦν ἑβραϊκοῦ, οἵτινες, ὅπως δικαιώσωσι

τὸ σφάλμα τοῦ ἰουδαίου μεταγραφέως, ἀνατρέπουσι τὸ σάββατον (ὅ ἐστι *κατάπαυσις*), συγχέοντες τὸν ὅρον τῆς συμπληρώσεως, ὃν αὐτός τε διετράνωσεν ὁ θεόπτης, καὶ πᾶσα ἡ ἀρχαία Συναγωγὴ διελάλει, καὶ πᾶσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία διὰ τῶν ἱερῶν βιβλίων διακηρύττει. (τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἔχει καὶ ἡ ἀποστολικὴ τοῦ Βαρνάβα ἐπιστολή). Ἀλλὰ περὶ τούτου καὶ ἐν τοῖς ἑξῆς (κεφ. ιγ. §. γ).

Γενέσ. κθ, 8. « Ἕως τοῦ συναχθῆναι πάντας τοὺς *ποιμένας*, καὶ ἀποκυλίσουσι τὸν λίθον » κτλ. Οὕτως οἱ Ο, καὶ τὸ Σαμαρειτ. Τὸ δὲ νῦν ἑβραϊκὸν ἀντὶ τοῦ *ποιμένας* ἔχει *ποίμνια*· ἀλλὰ τὰ ποίμνια οὐκ ἀποκυλίουσι τὸν λίθον τοῦ φρέατος. Ὁ Ἰουδαῖος ἀντιγραφεὺς ἠπατήθη ἐκ τοῦ ἀνωτέρω 3 στίχου « καὶ συνήγοντο ἐκεῖ πάντα *τὰ ποίμνια*, καὶ ἀπεκύλιον τὸν λίθον »· οὕτως ἔχουσι καὶ οἱ Ο (στίχ. 3), ἀλλ' ἐν τούτῳ σαφηνίζεται τὸ νόημα ἐκ τοῦ σύνεγγυς προηγουμένου 2, στίχ. « Ἐκ τοῦ φρέατος ἐκείνου *ἐπότιζον τὰ ποίμνια* » κτλ. Ὁ δὲ Γεσένιος θέλει πάντως ἐν ἀμφοτέροις τοῖς στίχοις τὸ *ποίμνια* (ὑπονοῶν εἰς τὸ *ἀπεκύλιον*, τὸ *οἱ ἄνθρωποι*, κτλ.)· καὶ χαριεντιζόμενος περὶ τῶν Ο, « Ἐλάνθανε (λέγει) *τοὺς χρηστοὺς* ἀνθρώπους τούτους, πόσον συνεχῶς μεταβάλλεται παρ' Ἑβραίοις τὸ τοῦ λόγου ὑποκείμενον, ἀναπληροῦται δὲ ἐκ τῆς συναφείας. Καὶ τί ποτ' ἂν ἐποίησαν εἰς Ἡσαΐ. λζ. 36, ὅπου ἔχει τὸ ἑβραϊκόν, « *Καὶ ὅτε πρωΐας ἀνέστησαν* (Cum mane surgerent), *ἰδοὺ πάντες ἦσαν πτώματα νεκρά;* (σελ. 51) ».— Ἀλλ' ἐποίησαν, ὦ Γεσένιε (σὺ δ' ἐπιλέλησαι ἄρα), ἐποίησαν καὶ ὧδε τὸ πρέπον οἱ κατὰ σὲ *εὐήθεις* οὗτοι, καὶ μηδὲ τὸ πολλοστημόριον λαχόντες τῆς σοφίας τῶν νεωτέρων ἑβραϊστῶν! ἀπέδωκαν τὴν φράσιν ἀκριβῆ τε ἅμα καὶ σαφῆ, καὶ καθαρὰν πάσης ἑβραϊκῆς ἀμφιβολογίας· « *Καὶ ἀναστάντες τὸ πρωΐ, εὗρον πάντα τὰ σώματα νεκρά!* Τὸ δ' οὖν *ποίμνια* ἀντὶ τοῦ *ποιμένες* διὰ τοῦτο πάντως οὐ δικαιοῦται. Ἀποδέχεται δὲ τὴν ἀνάγνωσιν τῶν Ο, καὶ ὁ Κεννικῶτος (α).

(α) Kennicot. Diss. I. p. 334.

Ἀριθμ. ιϛ, 15. « Οὐκ *ἐπιθύμημα* οὐδενὸς αὐτῶν εἴληφα » οἱ Ο καὶ τὸ Σαμαρειτικὸν (καὶ ὁ Χαλδαῖος καὶ ὁ Φίλων). Τὸ δὲ νῦν ἑβραϊκὸν « Οὐδὲ γοῦν *ὄνον* αὐτῶν εἴληφα » (ne asinum quidem unum). Καὶ ὅτι μὲν καὶ τοῦτο προῆλθεν ἐκ διεφθαρμένης τῶν Ἰουδαίων γραφῆς, φανερόν· οἱ Ο ἀνέγνωσαν, ὡς γράφει καὶ τὸ Σαμαρειτικὸν, Chamud (διὰ τελικοῦ τοῦ δ), ὃ δηλοῖ *ἐπιθύμημα, πρᾶγμα ἐπιθυμητὸν, ἐφετόν*· ὁ δ' Ἰουδαῖος ἀβλεπτῶν, μετέγραψε Chamor [διὰ τελικοῦ τοῦ ρ], ὃ δηλοῖ *ὄνον*· (βλ. Καπέλ. ἔνθα ἀνωτ. σελ. 211). Ἀλλὰ καὶ οὕτως οἱ δεινοὶ τῶν κριτικῶν προτιμῶσι τὴν Μασορίτειον ἀνάγνωσιν· « διότι (λέγουσι) καὶ ἀρχαῖαι μεταφράσεις οὕτως ἔχουσιν, οἷον ἡ Βουλγάτα (ἥτις ἔγραψε δῆθεν μετριώτερον, *ὀνάριον*, asellum!), καὶ ἄλλαι » (ὡς ἂν εἴπερ ἦσαν αὗται καὶ τῶν Ο ἀρχαιότεραι, καὶ αὐτοῦ τοῦ Σαμαρειτικοῦ!), καὶ διότι (λέγουσιν) ἡ αὐτὴ φράσις ἀπαντᾷ καὶ Α. Βασιλ. ιϐ, 3. « Μόσχον τίνος εἴληφα; ἢ *ὄνον τίνος εἴληφα*; κτλ. (ϐ). Ἀλλ' (ἀπαντῶμεν) τίνα λόγον ἔχουσι ταῦτα πρὸς τὴν Μωσαϊκὴν φράσιν; Ἐν ταύτῃ Μωϋσῆς βαρυθυμῶν (πρὸς τοὺς περὶ τὸν Κορὲ καὶ τὸν Δαθὰν), ἔλεγε πρὸς Κύριον· « Μὴ πρόσχῃς εἰς τὴν θυσίαν αὐτῶν· οὐκ *ἐπιθύμημα* οὐδενὸς αὐτῶν ἔλαβον » (δηλαδὴ κατὰ τὴν ἔννοιαν τῆς Ι, ἐντολῆς, τῆς « *οὐκ ἐπιθυμήσεις* », κτλ.)· κατὰ δὲ τὸ ἑβραϊκὸν ὁ Μωϋσῆς λέγει « *οὐδ' ὄνον* ἔλαβον » (ὡς ἐλαχίστου δηλονότι πράγματος παράδειγμα τιθέμενον, κατὰ τὸ *οὐδ' ὀβολὸν*, κτλ.). Ἐν δὲ τῇ Α. Βασιλ. (ιβ. 3) ὁ Σαμουὴλ προσκαλεῖ κτηνοτρόφον λαὸν, ἵνα δημοσίως εἴπωσιν, εἴ τινα ἠδίκησε, βιαίως παρ' αὐτοῦ λαβὼν, ἢ

(ϐ) Ἰδοὺ ὁλόκληρον τὸ ῥητόν. « Ἰδοὺ ἐγὼ, ἀποκρίθητε κατ' ἐμοῦ ἐνώπιον Κυρίου, καὶ ἐνώπιον τοῦ Χριστοῦ αὐτοῦ. Μόσχον τίνος εἴληφα; ἢ ὄνον τίνος εἴληφα; ἢ τίνα κατεδυνάστευσα ὑμῶν; ἢ τίνα ἐξεπίασα; ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα καὶ ὑπόδημα; ἀποκρίθητε κατ' ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν » (ὁ προφήτης Σαμουὴλ πρὸς τὸν λαὸν, Α. Βασιλ. ιϐ, 3). Ταῦτα δὲ συνοπτικώτερον ἐξέφερεν ὁ Σειραχίδης Ἰησοῦς, λέγων· « χρήματα καὶ ἕως ὑποδημάτων ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα » (Σ. Σειραχ. μϛ, 19). Ὅπου παρατηρητέον τὸ « ἕως ὑποδημάτων », ὡς ἐλαχίστου, καὶ μηδενὸς ἀξίου πράγματος παράδειγμα τιθέμενον, κατὰ τὸ « ἕως σφυρωτῆρος ὑποδήματος » (Γενέσ. ιδ, 23).

μόσχον, ἢ *ὄνον* (δηλονότι ἐξ ὧν ἔβοσκον κτηνῶν), ὑποσχόμενος, ἐὰν ἐξελεγχθῇ, πάντα ἀποτίσειν (α). Πότερον οὖν, παρομοίως ἄρα καὶ ὁ Μωϋσῆς διαμαρτυρεῖτο *πρὸς τὸν Θεὸν*, ὡς ὁ Σαμουὴλ *πρὸς τὸν λαόν*; ἢ μήπως καὶ τὰ παρὰ τῷ Σαμουὴλ *μόσχος*, ἢ *ὄνος*, σημαίνουσι τὸ φαυλότατον καὶ ἐλάχιστον, οἷον ἐξηγοῦσι τὸ ἀνωτέρω « *οὐδὲ γοῦν ὄνον* »; ἀλλ' ὁ Σαμουὴλ ὡς τιμῆς ἄξια πάντως καὶ τὸν μόσχον καὶ τὸν ὄνον ἀριθμεῖ, καὶ τούτων τὴν ἀξίαν ἕτοιμός ἐστιν, ἐξελεγχθεὶς, ἀποδώσειν. Μόνα δὲ τὰ *ὑποδήματα*, ὡς ταπεινοῦ καὶ φαύλου πράγματος παράδειγμα, φαίνεται ἔσχατον προστιθεὶς, καθάπερ ἐξέφρασε καὶ ὁ Σειραχίδης (« *καὶ ἕως ὑποδημάτων* » βλ. καὶ ἐν τοῖς ἑξῆς Κεφ. ΙΓ. §. ια). Ὥστε ματαίως καὶ παρὰ χορδὴν διὰ τούτων πειρῶνται δικαιοῦν οἱ κριτικοὶ τὴν « *οὐδὲ γοῦν ὄνον* » ἡμαρτημένην ἀνάγνωσιν (β). Οἱ δέ τινες εἶπον, ὅτι καὶ ἐν τῷ ὀνόματι *τοῦ ὄνου* συμπεριλαμβάνονται καὶ τὰ λοιπὰ *ἐπιθυμητὰ* (γ). ὡς ἂν εἴπερ ἦν ὁ προσευχόμενος Μωϋσῆς, εἷς τις τῶν ἐξ ἀφελείας βαττολογούντων ὀνηλατῶν καὶ κτηνοτρόφων, οἷς πλοῦτος εὐκταιότατος τὸ ὑπηρετικὸν κτηνίδιον· ἢ ὡς ἂν εἴπερ ἦν ἰδίως ὁ ὄνος τῶν ἐπιθυμητῶν τὸ *ἄκρον ἄωτον*! ἀλλ' ὅ γε Φίλων τοῦτ' οὐκ ᾔδει, οὐδ' ἄλλος τῶν ἀρχαίων οὐ-

---

(α) « Ἐλέγξαι δὲ, εἰ μόσχον, ἢ πρόβατον, ἢ τοιοῦτό τι προσηκάμην, ἃ πρὸς τροφὴν ἀνεμέσητον δοκεῖ λαμβάνειν· ἢ εἴ τινος ὑποζύγιον (= ὄνον) εἰς ἐμὴν ἀποσπάσας χρείαν, ἐλύπησα » κτλ. Ἰώσηπ. Ἀρχ. ς, ε, §. 5.

(β) Βλ. Rosenmüll, καὶ Schulz Schol. in Numer. l. c. καὶ πρὸ τούτων τὸν Grotium in h. l. Ὅστις καὶ ἀγανακτήσας (ὡς εἴωθεν ἐνίοτε ὁ Γρότιος), ἀφ' οὗ παρέπεμψε καὶ αὐτὸς εἰς τὸ τῆς Α. Βασιλ. ιβ, 3. « Τοῖς δὲ Ο, λέγει, κατηκολούθησεν, ὡς ποιεῖ πολλάκις, ὁ Σαμαρειτικὸς χριστιανὸς κώδηξ » !! Οὕτως ὁ κλεινὸς ἀνὴρ ἐχριστιάνισε καὶ τὸ Σαμαρειτικὸν κείμενον, ὅπως ἂν αὐτὸς ἐπὶ πλείονος ἀδείας ἰουδαΐζῃ!

(γ) Schleusn. Thes. V. Test. vol. 2. pag. 457. v. ἐπιθύμημα. Ὅστις οὐδὲ τῶν Ο τὴν ἀνάγνωσιν ἀποδοκιμάζει. Λέγει δὲ ὅμως ὅτι δικαιολογεῖται καὶ ἡ Μασορίτειος ἀνάγνωσις ἐξ ἄλλου παραδείγματος τοῦ ἐν Γενέσ. μθ, 14. « Ἰσσάχαρ ὄνος δυνατὸς (ὀστώδης), ὡς ἔχει τὸ νῦν ἑβραϊκόν. Ἀλλὰ κἀκεῖ τὸν ὄνον τοῦτον ἐγέννησεν ἰουδαϊκὴ κακογραφία, ἥτις ἔγραψε κἀκεῖ Chamor ἀντὶ Chamud ὡς ἀνέγνωσαν οἱ Ο, καὶ ἔγραψαν πάλιν ἐπεθύμησε « Ἰσσάχαρ τὸ καλὸν ἐπεθύμησε » (ἐκ τοῦ Chamad).

δείς (α). Ἔπειτα καὶ ἄλλως, ποῦ τις ἂν θείη τοὺς σοφοὺς τούτους κριτικούς; νῦν μὲν γὰρ τὸν ὄνον ἐπὶ τοῦ φαυλοτάτου ἐκλαμβάνουσιν (*οὐδὲ γοῦν ὄνον*), νῦν δὲ πάλιν καὶ ὡς ἰσοδύναμον τῶν εὐκταιοτάτων καὶ κρατίστων καταθυμίων· ταῦτα πῶς οὐκ ἀντίφασις; Τελευταῖον· οὐδαμοῦ τῆς θείας Γραφῆς, οὐδὲ τῶν ἔξω συγγραφέων τῆς ἀρχαιότητος οὐδέποτε φαίνεται τὸ ζῶον παροιμιωδῶς ἐπὶ τῶν ἐλαχίστων καὶ σμικροτάτων τεθειμένον, οὐδ᾽εἶπέ τις πώποτε, ἀλλ᾽ οὐδ᾽ ἂν εἴποι (νομίζομεν), ὅτι « *οὐδ᾽ ὄνον γοῦν ἔλαβεν*», ὡς ταυτόσημον τοῦ « *οὐδ᾽ ἀττάραγον* (ψίχα), ἢ *οὐδὲ τρίχα*, ἢ οὐδὲ *βελόνην*» (ὡς τὸ τοῦ Μενάνδρου «*Μηδὲ βελόνης ἐπιθύμησον ἀλλοτρίας* »), ἢ οὐδὲ *ῥάμμα* (κατὰ τὸ « ἀπὸ *σπαρτίου*, καὶ ἕως σφαιρωτῆρος ὑποδήματος » κτλ.). Ἔοικε δέ πως (εἴ γε δεῖ καὶ τοῦτο προσθεῖναι) καὶ αὐτὸ τὸ μέγεθος τοῦ ὄνου πρὸς τὴν τοσαύτην σμικροποιΐαν (*κώνωπι* καὶ *ψύλλῃ* μᾶλλον προσήκουσαν) ἀνθιστάμενον· οὗ τινος καὶ μόνα *τὰ ὦτα* χάριν τοῦ *μεγέθους* πεπαροιμίασται· ὅθεν καὶ « *Οὐατόεις θὴρ* » ἤκουσε παρὰ Καλλιμάχῳ (β). Καὶ ταῦτα μὲν ἄλλως εἰρήσθω.

§. κα. Πολλὰ καὶ ἄλλα δείγματα, *χίλια* περίπου (καθὼς προείρηται σελ. 326), σημειοῦσιν οἱ κριτικοὶ τῆς τοῦ Σαμαρειτικοῦ πρὸς τοὺς Ο, συμφωνίας, ἐν οἷς τὸ νῦν ἑβραϊκὸν διαφωνεῖ (γ). Ἡμῖν δ᾽ ἅλις ἐχέτω καὶ ταῦτα πρὸς ἀπόδειξιν τῆς τοῦ Μασοριτικοῦ κειμένου διαφθορᾶς. Ἐν δὲ τοῖς ἐφεξῆς παραβάλλοντες τὸ νῦν Ἑβραϊκὸν πρὸς τοὺς Ο, πολλὰ καὶ ἄλλα τοῦ Σαμαρειτικοῦ μαρτύρια παραθήσομεν συμφωνοῦντα τοῖς Ο. Ἐνταῦθα δὲ καταπαύοντες τὴν θεωρίαν τῶν διαφόρων ἀναγνώσεων, ὅσαι

(α) « Ἐπιθύμημα οὐδενὸς αὐτῶν ἔλαβον ». Σύμπαν τὸ τῆς ἐπιθυμίας αὐτῶν γένος, τεθησαυρισμένον παρ᾽ αὐτοῖς, ὡς μέγιστον ὄφελος, ὑπερβάλλον βλάβος ». Φίλ. τόμ. α. σελ. 412. Mang.

(β) Καλλιμ. Λείψ. ριθ. ἐκδ. Ernest. πρβλ. καὶ Εὐσταθ. εἰς Ἰλιάδ. α. σελ. 817.

(γ) Βλ. καὶ ἄλλα τούτων παραδείγματα παρὰ Hotting. Thesaur. phil. pag. 296 sqq. — Cappell. Crit. Sacr. III. c. 20. — Morin. Exercit. Pentat. Samarit. — Walt. Proleg. XI. §. 18. — Gesen. l. c. p. 29—36. κτλ.

προκύπτουσιν ἀπὸ μόνου τοῦ ἑβραϊκοῦ κειμένου, ἐσωτερικῶς καθ᾽ ἑαυτὸ πανταχόθεν θεωρουμένου, μεταβαίνομεν ἤδη καὶ εἰς τὴν τῶν *ἀρχαίων μεταφράσεων* πρὸς αὐτὸ παρεξέτασιν καὶ παραβολὴν, καὶ πρῶτον τῆς τῶν Ο.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Περὶ τῶν διαφόρων ἀναγνώσεων τοῦ καθ᾽ ἡμᾶς ἑβραϊκοῦ κειμένου, παρεξεταζομένου πρὸς τὴν ἑρμηνείαν τῶν Ο.

§. α. « *Δεῦρο ἀπὸ Λιβάνου, Νύμφη, δεῦρο ἀπὸ Λιβάνου. Ἐλεύσῃ καὶ διελεύσῃ ἀπ᾽ ἀρχῆς πίστεως, — ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων* » (α). Τούτοις τοῖς μυστικωτέροις ῥήμασιν ἐξέστω δή μοι προσειπεῖν, καὶ προσπτύξασθαι καὶ τὴν θεσπεσίαν ἑρμηνείαν τῶν Ο, πρὸς ἣν ἥκομεν ἤδη παρεξετάσοντες τὸ καθ᾽ ἡμᾶς ἑβραϊκόν. Ἀπὸ τοῦ νοητοῦ Λιβάνου, τῶν αἰωνίων τοῦ ὑψίστου βουλῶν, ἡ γέννησις καὶ ἔξοδος αὐτῆς καταβαίνει. Ἐν τῷ βάθει τοῦ πλούτου τῆς θείας σοφίας μετὰ τῆς τῶν Προφητῶν ἀποστολῆς καὶ αὐτὴ προωρίσθη, οἱόν τις ἑλληνικὴ προφητεία, καὶ ἐν καιρῷ τῷ τῆς ἐκβάσεως θεία τις ἐνέργεια ἀνεφάνη, καὶ πρόδρομος *τοῦ Εὐαγγελίου τῆς δόξης*, διανοίγουσα τοῖς ἔθνεσι τὰς αὐτοῖς ἀγνώστους ὁδοὺς τῶν Προφητῶν, ὅσα μετ᾽ ὀλίγον ἔμελλον πιστεύειν εἰς τὸν προφητευθέντα Σωτῆρα τοῦ κόσμου. *Ἀπ᾽ ἀρχῆς τῆς εἰς Χριστὸν πίστεως* συνεφθέγγετο μετὰ τῶν Ἀποστόλων τὰς προφητικὰς προῤῥήσεις· καὶ ταύτας κατ᾽ αὐτὴν ἔγραψαν οἱ θεῖοι Εὐαγγελισταὶ προχεομένας ἐκ τῶν *κεχαριτωμένων χειλέων* « *τοῦ ὡραίου κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων* », οὗτινος « *ἐθαύμαζον οἱ ὄχλοι τοὺς λόγους τῆς χάριτος*, τοὺς ἐκπορευομένους *ἐκ τοῦ στόματος αὐτοῦ* ». Συνέμπορος μετὰ τῶν Ἀποστόλων ἐξῆλθεν εἰς τὸ κήρυγμα τοῦ λόγου τῆς ζωῆς, καὶ ταύτης ἡ φράσις καὶ τὰ ῥήματα μετὰ τοῦ Εὐαγ-

(α) Ἀσμ. δ, 8. βλ. καὶ ἐν τοῖς ἑξῆς §. ια.

γελίου σύμφωνα καὶ συνῳδὰ συνηρμοσμένα, ἤχησαν ἐξάκουστον εἰς πᾶσαν τὴν οἰκουμένην. Διῆλθε καὶ *μάνδρας λεόντων*, τὰς Συναγωγὰς τῶν κατὰ τοῦ Χριστοῦ μανέντων Ἰουδαίων (Ἰεζεκ. ιθ, 2). Διῆλθε καὶ *ὄρη παρδάλεων*, τὰ ὑψώματα τῶν αἱρετικῶν καὶ τῶν ἄλλων τοῦ κόσμου σοφῶν, οἵτινες τῇ ποικιλίᾳ τῶν λόγων, καὶ τῇ τεχνολογίᾳ τῶν σοφισμάτων τὰς κατ' αὐτῆς ἐξύφαινον ἐπιβουλάς. Ἀλλὰ καὶ οὕτως *ὅλη καλὴ* κατέβη καὶ ἀμώμητος ὑπὸ τῇ σκέπῃ τοῦ φυλάξαντος αὐτὴν Θεοῦ. *Κῆπος* ἀσφαλῶς *κεκλεισμένος* πρὸς πάντας τοὺς ἐπιβούλους, ἄχραντα καὶ γνήσια διασῴζουσα τῶν θείων προφητῶν τὰ θεσπίσματα. Ἀκήρατος λειμὼν καὶ ἀειθαλής, εἰς ὃν οὐδέποτ' ἦλθε σίδηρος Μασορίτειος, καταστίζων καὶ περικόπτων τὰς θείας φωνάς· οὐ ῥαββῖνος μονιός, λυμαινόμενος τὰ θεόχρηστα λόγια· οὐ κέρας ὑψηλῆς κριτικῆς προσαῤῥάσσον ἔξωθεν, καὶ μαινόμενον κατερεῖψαι τὸ μέγα καὶ προφητικὸν ἅμα καὶ ἀποστολικὸν αὐτῆς ἀξίωμα. *Πηγὴ* τοῖς μὲν ἀπιστοῦσι καὶ ἀμυήτοις *ἐσφραγισμένη*, δαψιλῆ δὲ τοῖς εὐσεβέσι προῤῥέουσα τοῦ θείου λόγου τὰ νάματα, « *ὡς φρέαρ ὕδατος ζῶντος καὶ ῥοιζοῦντος ἀπὸ Λιβάνου* » (Ἆσμ. αὐτόθ.). Ἀθόλωτος καὶ καθαρὰ διασῴζεται ἐντὸς τῶν ἀδαμαντίνων τῆς Ἐκκλησίας θριγγῶν, ἐφ' ὧν κρέμανται *χίλιοι θυρεοὶ*, τῶν θεοφόρων Πατέρων αἱ συγγραφαί, *πᾶσαι βολίδες τῶν δυνατῶν*. Καὶ κεῖται γνησία καὶ τελεία ἡ θεία βίβλος ἐνώπιον Κυρίου, ἐκ πλαγίων τῆς θείας κιβωτοῦ, τοῦ *ἐπὶ τῷ θεμελίῳ τῶν Προφητῶν καὶ Ἀποστόλων* ἐπῳκοδομημένου ἱεροῦ θυσιαστηρίου, ὅπου σύνναον τοῖς θείοις Εὐαγγελίοις παρέθηκαν αὐτὴν εἰς αἰῶνας οἱ θεόπνευστοι κήρυκες τοῦ λόγου τῆς ζωῆς.

§. β. Ταῦτα προαναφωνοῦμεν περὶ τῆς ἑρμηνείας τῶν Ο μετὰ φρονήματος στεῤῥοῦ, καὶ βεβηκότος ἐπὶ τῇ χρυσέᾳ κρηπῖδι τῆς ἱερᾶς ἀληθείας, μηδὲν ἐπιστρεφόμενοι τῶν ὀξέων τῆς ματαιοσοφίας κραυγῶν. Οἱ καθόλου πολέμιοι τῶν θείων Γραφῶν ἐξουθενοῦσι τοὺς Ο, συνεξουθενοῦντες καὶ τὸ ἑβραϊκόν. Οἱ δὲ τούτου πάλιν προμαχοῦντες ἐκφαυλίζουσιν ὅμως καὶ οὗτοι τοὺς Ο, πει-

ρώμενοι διαφεύγειν τοὺς ἐλέγχους τῆς τοῦ Μασοριτείου κειμένου διαφθορᾶς. Διὰ ταῦτα πρῶτον πλάττουσι διεσκευασμένον καὶ διεφθορὸς πολλαχοῦ τὸ κείμενον, ἐξ οὗ οἱ Ο μεθηρμήνευσαν. Ἔπειτα δὲ καὶ τούτους αὐτοὺς εἰδωλοποιοῦσι διασκευαστὰς καὶ διαφθορεῖς τῆς ἰδίας αὐτῶν ἑρμηνείας. Καὶ ἄλλους δὲ κατόπιν εἰσάγουσιν αὐτογνώμονας μετασκευαστὰς καὶ ἐξισωτὰς, προτιθέντες τὴν βίβλον τοῖς βουλομένοις ἐμποιεῖν καὶ ἐγκαινοτομεῖν ἐπ᾿ ἀδείας, ὡς εἰς ἔρημον λείαν Μυσῶν. Καὶ γλώσσας καὶ σημειώσεις ποικίλας ἐκ τοῦ περισελίδου μεταφυτεύουσιν εἰς τὸ κείμενον· καὶ πάλιν ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν ἐπαφιᾶσι φορυτὸν μυρίων λέξεων, ὡς ἂν ἐκ τῶν περὶ τὸν Ἀκύλαν μεταφραστῶν φύρδην καὶ μίγδην συγκεχυμένων μετὰ τοῦ κειμένου τῆς ἑρμηνείας. Καὶ αὐτὰ δὲ, τέλος, τὰ προφανῆ τῶν ἀντιγραφέων καὶ τυπογράφων ἁμαρτήματα εἰς αὐτοὺς ἀπονέμουσι πολλάκις τοὺς ἱεροὺς ἑρμηνεῖς (βλ. Βιβλ. Β. σελ. 889, κτξ.). Τοιοῦτον κυκεῶνα παρέστησαν ἡμῖν οἱ θαυμάσιοι κριτικοὶ τὴν ἑρμηνείαν τῆς Παλαιᾶς Διαθήκης, ἣν μετὰ τῆς Καινῆς παρέδωκαν οἱ Ἀπόστολοι τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ. Καὶ παράδοξον οὐδὲν, εἴ γε τὸ οἰκεῖον ἔργον ποιοῦσιν. Ἐπειδὴ γὰρ εἰσάπαξ ἐνεκολπώσαντο τὸ κείμενον τὸ ἑβραϊκὸν, ἠναγκάσθησαν ἀποδέξασθαι καὶ πᾶσαν τὴν Μασορίτειον αὐτοῦ κατασκευὴν, καθ᾿ ἣν αὐτὸ παρέλαβον ἐκ μέσης τῆς Ἰουδαίων Συναγωγῆς. Ὅθεν καὶ τὰ Μασοραῖα *στίγματα* ὡς θεόπνευστα σημεῖα καθωμολόγησαν (οἱ μὲν καὶ κατὰ τὴν μορφὴν, οἱ δὲ μόνον γοῦν κατὰ τὴν δύναμιν ὅλων ἐν γένει τῶν φθόγγων αὐτῶν)· χωρὶς γὰρ τούτων οὔτε κῦρος εἰς τὸ κείμενον ἀπομένει, καὶ αὐτοὶ ἀγνοοῦσι τὴν ἀνάγνωσιν τῶν ἑβραϊκῶν φωνῶν. Οἱ δὲ καὶ τολμηρότερον μετατιθέντες, ἢ βραχύνοντες, ἢ πληθύνοντες, καὶ παντοιοτρόπως μεταποιοῦντες τὰ φωνήεντα ταῦτα στίγματα, ἄλλας πάντη διαφόρους ἐξάγουσιν ἀναγνώσεις, κυρωτικὴν αὐθεντίαν ἔχοντες ἕκαστος τὴν ἑαυτοῦ κεφαλήν. Καὶ τὸν παμμιγῆ κέντρωνα τῶν ῥαββινικῶν *ἀναγνωστῶν τε καὶ γραπτῶν* ἀμφιλαφῶς περιβαλόντες ὅλον ἠσπάσαντο (ἅτε μηδὲν ἔτι κριτήριον ἔχοντες διακρῖνον βεβαίως, πότερον ἐν

τούτοις τὸ γνήσιον ἢ τὸ νόθον); καὶ τὰ χάσματα καὶ ῥήγματα τοῦ κειμένου ὡς ἐξ αὐτῶν τῶν θεοπνεύστων πηγάσαντα συγγραφέων ἀπεδέξαντο, συγκαττύοντες καὶ συῤῥάπτοντες τὰ διαλείμματα κατὰ τὴν ῥαββινικὴν, ἢ τὴν ὀρθολογικὴν μυσταγωγίαν. Καὶ τὰ προφανῆ δὲ παραγράμματα καὶ παραναγνώσματα πάνυ ὁμαλῶς περιπέττουσι καὶ περιδεσμοῦσι. Καὶ ὅλως, τὴν ἐκ ποικίλων κωδήκων, Ἐσδραίων, Προεσδραίων, Παλαιστινῶν, Αἰγυπτίων, Βαβυλωνίων συμπίλησιν καὶ συνούλωσιν τοῦ μετὰ τὴν ἅλωσιν διαῤῥαγέντος καὶ πολλαχῶς πηρωθέντος ἑβραϊκοῦ κειμένου (καθὼς αὐτὸ συνεπίλησεν ἡ τῶν Ῥαββίνων ἐντρέχεια) προβάλλουσιν ὡς ἀνόθευτον καὶ γνησίαν καὶ τελειοτάτην μορφὴν τοῦ ἑβραίου κώδηκος, οἷον αὐτὸν ὁ μακάριος Ἔσδρας ἐξέδωκε· καὶ οὕτω τὴν Μασορίτιδα Βίβλον, ὡς ἄχραντον πρωτότυπον, καθιδρύσαντες οἷον ἐπὶ θρόνου δικαστικοῦ, παραβάλλουσι πρὸς τοῦτο προσάγοντες τὴν ἑρμηνείαν τῶν Ο, καὶ, ἐν οἷς ἂν αὕτη μὴ συμφωνῇ, καταδικάζουσιν αὐτὴν, ἀποφαίνοντες τοιαύτην, οἵαν προείπομεν ἀνωτέρω.

§. γ. Ἀλλ' ὑπάρχουσιν, ὡς εἴδομεν, καὶ μεταξὺ τῶν ἐπισημοτάτων κριτικῶν ἄνδρες ὁμολογοῦντες εἰλικρινῶς τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου τὴν κατάστασιν. Καὶ ἐξ αὐτῶν δὲ τῶν ἐπιεικέστερά πως καὶ πρᾳότερα περὶ τούτου κρινόντων, καὶ τὴν διόρθωσιν αὐτοῦ παντοιοτρόπως εὐχομένων καὶ σπουδαζόντων, ἐξέλαμψαν μετ' εὐκλείας οἱ δεικνύοντες τὰς πολλὰς καὶ μεγάλας ἐλλείψεις τῆς ἑβραΐδος Γραφῆς, καὶ τὴν ὑπέροχον δόξαν τῆς ἑρμηνείας τῶν Ο διομολογοῦντες. Οὕτως ὁ κλεινὸς Καπέλλιος δι' ὅλου τοῦ Δ, βιβλίου τῆς Κριτικῆς αὐτοῦ παραβάλλων οὐκ ὀλίγας πρὸς τοὺς Ο παραλλαγὰς τοῦ ἑβραϊκοῦ, διακηρύττει τρανῶς, ὅτι ὁ ἑβραῖος κώδηξ, ὃν οἱ Ο μεθηρμήνευσαν, ὑπῆρχεν ἀναμφιβόλως πάντῃ διάφορος τοῦ καθ' ἡμᾶς Μασοριτικοῦ, καθὼς ἀποδείκνυται ἐξ ὧν ἐκεῖνοι πολλάκις ἄλλως ἀνέγνων ἐν τῷ κατ' αὐτοὺς ἑβραϊκῷ, ἢ ὡς ἔχει τὸ σημερινὸν, οὐ μόνον κατὰ φωνήεντα καὶ τόνους διαφόρως προφέροντες, ἀλλὰ καὶ κατὰ γράμματα (τὰ σύμφωνα), καὶ κατὰ λέξεις, καὶ περιόδους, καὶ χωρία ὁλόκληρα.

« Ὅθεν (λέγει) γίνεται κατάδηλον, ὅτι τὰ ἐν ᾗ χρώμεθα τανῦν ἑβραϊκῇ γραφῇ θεόχρηστα λόγια οὐχ εὑρίσκονται γεγραμμένα πανταχοῦ διὰ τῶν αὐτῶν γραμμάτων καὶ φωνῶν, δι' ὧν ἔκειντο τὸ πρῶτον ἐν τοῖς Μωσέως καὶ τοῖς ἄλλοις προφητικοῖς αὐτογράφοις κεχαραγμένα· ἄλλως γὰρ, οὐκ ἂν οὕτω διέφερον πρὸς ἄλληλα τὰ ἐξ ἐκείνων ἀντίγραφα » (α). Ὅτι δὲ οἱ Ο μετέφρασαν ἀπὸ καθαροῦ καὶ γνησίου καὶ ἀβλαβοῦς ἔτι διατελοῦντος τοῦ κώδηκος τῆς Ἑσδραίας ἐκδόσεως, ὡμολόγηται παρὰ πᾶσι τοῖς μὴ βουλομένοις πρὸς ἀέρα πυκτεύειν.

§. δ. Ὅσοι δὲ πάλιν ὠνειρεύθησαν, ὅτι ἡ καθ' ἡμᾶς σωζομένη ἑρμηνεία τῶν Ο ὑπάρχει δῆθεν ἀνάμικτος καὶ συμπεφυρμένη πολλαχοῦ καὶ μετὰ πλείστων λέξεων ἐκ τῶν Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἑρμηνειῶν, πρὸς ἃς αὐτὴν παραλλήλως συνεξέδωκεν Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς, καὶ πρὸς τούτους ἀπηντήσαμεν ἐν τοῖς προηγηθεῖσι (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιβ. σελ. 860, 882)· ἀλλὰ καὶ ὁ Καπέλλιος δι' ὀλίγων καὶ στρογγύλων ἀπαντῶν, ἀποδείκνυσιν αὐτοὺς ἐψευσμένους (β). Λέγουσιν, ὅτι συνεμίγησαν μετὰ τῆς ἑρμηνείας τῶν Ο, ὅσα λείποντα τὸ πρῶτον ἐξ αὐτῆς προσέθηκε δι' ἀστερίσκων ὁ Ὠριγένης, ἀναπληρῶν ἐκ τοῦ ἑβραϊκοῦ (κατὰ τὴν Θεοδοτίωνος καὶ τῶν λοιπῶν μετάφρασιν). Ἀλλ' ἐάν τις παραβάλῃ τοὺς Ο πρὸς τὸ νῦν ἑβραϊκὸν, εὑρεθήσονται πάμπολλοι τόποι, ἐν οἷς καὶ νῦν ἤδη λείπουσιν, ἃ κεῖνται ἐν τῷ ἑβραϊκῷ. Καθόλου δὲ, ἡ καθ' ἡμᾶς ἑρμηνεία τῶν Ο ὅτι ἡ αὐτή ἐστιν, οἵα ἦν καὶ ἐπὶ Ἱερωνύμου, δείκνυται ἐκ τῶν ἑξῆς· α) Τὰ εἰς αὐτὴν ἐκδεδομένα σχόλια τῶν παλαιῶν, καὶ τῶν ἁγίων Πατέρων αἱ ἐξηγήσεις σημειοῦσι συνεχῶς καὶ διαῤῥήδην, πόσα διαφόρως παρὰ τοὺς Ο μεθηρμήνευσαν Ἀκύλας καὶ οἱ λοιποὶ μ. Χ. ἑρμηνευταί. β) Ἐὰν ἡ καθ' ἡμᾶς ἑρμηνεία τῶν Ο παρεξετασθῇ πρὸς τὴν ἐξ αὐτῆς λατινικὴν μετάφρασιν, ἣν αὐτὸς ἐξελατίνισεν ὁ Ἱερώνυμος, καὶ κατεχώρισεν ἐν τοῖς εἰς τοὺς μείζονας καὶ τοὺς μικροὺς Προφήτας ὑπομνήμασιν, εὑρεθήσεται πανταχοῦ σχεδὸν ἡ αὐτὴ καὶ ἀπαράλλακτος· (ἡ δ' αὐτὴ εὑρίσκεται παρε-

(α) Cappell. Crit. Sacr. IV. c. 15. — (β) Id. ibid. p. 214.

ξεταζομένη καὶ πρὸς τὰ σωζόμενα λείψανα τῆς ἐξ αὐτῆς ἑρμηνευθείσης ἀρχαίας Ἰτάλας). γ) Τέλος, ἡ Ἀνατολικὴ Ἐκκλησία (καὶ πᾶσαι αἱ ὑπ' οὐρανὸν ὀρθόδοξοι τοῦ Χριστοῦ Ἐκκλησίαι) μόνην ἀπ' ἀρχῆς ἁγίαν ἐκράτει τὴν ἑρμηνείαν τῶν Ο, διακρίνουσα ἀπὸ τῶν ἄλλων τῶν μετὰ Χριστὸν ἑρμηνειῶν, τοῦ Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος, καὶ ταύτῃ μόνον ὡς κυρίᾳ καὶ γνησίᾳ ἐχρῆτο εἴς τε τὰς ἱερὰς τελετὰς, καὶ τὴν διδασκαλίαν τῆς πίστεως, καὶ εἰς δημοσίαν ἀνάγνωσιν, καὶ μελέτην ἰδίαν τῶν εὐσεβῶν. Τὰς δὲ λοιπὰς ἑρμηνείας παρελάμβανον ἐνίοτε περὶ τοὺς ὑπομνηματισμοὺς τῶν Γραφῶν μόνοι κατ' ἰδίαν οἱ σχολιασταὶ, εἴτε πρὸς ἐξήγησιν τῶν παρὰ τοῖς Ο δοκούντων ἀσαφεστέρων, καὶ ἐπιμαρτύρησιν τῆς ἐν αὐτοῖς ἀληθείας, εἴτε πρὸς ἀναίρεσιν τῶν παρ' Ἰουδαίοις ἀντιλογιῶν, εἴτε καὶ πρὸς ἠθικοῦ τινος ἢ δογματικοῦ νοήματος ἀρίδηλον διατράνωσιν. Διὰ δὲ ταύτην τὴν κοινὴν ἀχρηστίαν ἐν ὀλίγῳ χρόνῳ πᾶσαι αἱ μετὰ Χριστὸν αὗται ἑρμηνεῖαι παντάπασι διεξέπεσαν, οὐδ' ἀπέμειναν ἴχνη τούτων, εἰ μὴ παρὰ τοῖς ὑπομνηματισταῖς καὶ τοῖς παλαιοῖς Σχολίοις (ὡς προείπομεν). Εἰ δ' ἀπὸ τῶν Ἱερωνύμου χρόνων (τῷ 400, μ. Χ.), καὶ ἀπ' αὐτοῦ Ὠριγένους (τῷ 210, μ. Χ.) γνησία καὶ ἀκέραιος διεσώθη καὶ εἰς ἡμᾶς ἡ ἑρμηνεία τῶν Ο, τοιαύτη πάντως περιῆλθε καὶ εἰς αὐτοὺς καὶ εἰς πᾶσαν τὴν Ἐκκλησίαν ἀπὸ τῶν Ἀποστόλων καὶ τῶν Ἀποστολικῶν Πατέρων καὶ τῶν σοφωτάτων διδασκάλων τῆς Ἐκκλησίας, παρ' οἷς ἐμαθήτευσε καὶ Ὠριγένης, καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος. Καὶ ἀναγινώσκεται λοιπὸν καὶ σήμερον ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἡ παλαιὰ Διαθήκη τοιαύτη ἐν γένει, οἵαν αὐτὴν ἀνηγόρευσεν ὁ Ἀπόστολος καὶ ἀδελφόθεος Ἰάκωβος, λέγων· «*Μωσῆς ἐκ γενεῶν ἀρχαίων* ΚΑΤΑ ΠΟΛΙΝ *τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος* » (Πράξ. ιε, 21: ἑβραϊστὶ δηλονότι παρὰ τοῖς τότε ἑβραΐζουσι, παρὰ δὲ τοῖς ἑλληνίζουσιν ὁ αὐτὸς *Μωσῆς* ἑλληνιστὶ κατὰ τοὺς Ο). Τοιαύτην μετὰ τῶν λοιπῶν Ἀποστόλων καὶ Παῦλος ὁ θειότατος αὐτός τε ἀνεγίνωσκε, καὶ ἀναγινωσκομένην ἤκουεν

ἐν ταῖς Συναγωγαῖς τῶν ἑλληνιστῶν, κηρύττων τὸ Εὐαγγέλιον «*μετὰ τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν Προφητῶν*» (Πράξ. ιγ, 15. βλ. καὶ ὄπισθ. Βιϐλ. Β. κεφ. ιϐ. §. γ). Συνομολογοῦσι τὴν ταὐτότητα καὶ αὐταὶ αἱ μέχρις ἁλώσεως Συναγωγαὶ τῶν Ἰουδαίων διὰ δύω μεγαλοφώνων στομάτων, τοῦ Ἰωσήπου καὶ τοῦ Φίλωνος.

§. ε. Τούτων οὕτως ἐχόντων, ἐπάγομεν λοιπὸν πολλὰ παραδείγματα τῶν πρὸς τοὺς Ο, παραλλαγῶν τοῦ νῦν ἑϐραϊκοῦ, ἐξ ὧν τρανῶς ἀποδείκνυται ἡ τούτου μετὰ τὴν ἅλωσιν ἐν πολλοῖς διαφθορὰ καὶ κολόϐωσις. Μάτην περιπέττουσι τὰς Μασοραίας πλάνας οἱ σοφοὶ ῥαϐϐινισταὶ, παντοίως θεραπεύοντες, καὶ ψιμυθιοῦντες, καὶ τημελέστατα βοστρυχίζοντες· οὐδὲν γὰρ ἕτερον, ἢ *τ᾽ ἄνω κάτω* ποιοῦσι, προσάπτοντες διασκευὰς, καὶ μετασκευὰς, καὶ παντοῖα χάσματα καὶ παραναγνώσματα οὐχ (ὡς ἔπρεπεν) εἰς αὐτὸ τὸ ἑϐραϊκὸν, ἀλλ᾽ εἰς τὴν ἑρμηνείαν τῶν Ο· εὔκολος δ᾽ αὐτοῖς ἡ τῆς ἀληθείας εὕρεσις· «*στρεψάτωσαν τὸ πινάκιον*, καὶ τἀντίστροφα κατὰ φύσιν αὐτοῖς ἕξει» (βλ. Βιϐλ. Β. σελ. 869). Λαμϐάνομεν δὲ τὰ παραδείγματα κατ᾽ ἐκλογὴν ἔκ τε τῶν παρὰ Καπελλίῳ (ὀλίγα, συντομίας χάριν, ἐκ πολλῶν ἀπανθίζοντες), καὶ ἐξ ὧν ὁ Γεσένιος ἐκ τῆς Πεντατεύχου μόνον παροδικῶς ἐσημείωσεν (ἐν τῷ περὶ τῆς Σαμαρειτικῆς Πεντατεύχου), καὶ ἐξ ἄλλων νεωτέρων (εἴ που τις τύχοι καθ᾽ ὁδὸν ἡμῖν συναντῶν), προστιθέντες καί τινα τῆς ἡμετέρας πενίας τριώϐολα.

§. ϛ. Τετραχῶς δὲ θεωροῦμεν καὶ ταύτας τοῦ ἑϐραϊκοῦ τὰς πρὸς τοὺς Ο διαφοράς· *α*) κατὰ τὴν ἡμαρτημένην προσῳδίαν, τουτέστι τήν τε στίξιν τῶν φωνηέντων, καὶ τὴν τῶν κομμάτων ἢ περιόδων διαστολήν· ϐ) κατὰ γράμματα, ἤτοι τῶν λέξεων τὰ στοιχεῖα (καὶ ταῦτα, κατ᾽ ἐναλλαγὴν, μετάθεσιν, πρόσθεσιν, ἔλλειψιν)· *γ*) κατὰ λέξεις (ὡσαύτως)· *δ*) κατὰ κόμματα, καὶ περιόδους (καὶ τοῦτο κατὰ πρόσθεσιν, μετάθεσιν, ἔλλειψιν).

§. ζ. Α) Πρῶτον τοίνυν οἱ Μασορῖται *κατέστιξαν* τὸ κείμενον τὸ ἑϐραϊκὸν διὰ στιγμάτων πολλαχοῦ ξενοφωνούντων, τουτέστιν ἐκφραζόντων ἀλλότρια φωνήεντα, καὶ πάντη διαφέροντα

τῶν καταλλήλων καὶ προσφυῶν, ἐν οἷς ἀνέγνωσαν τὰς λέξεις οἱ Ο, κατὰ τὴν ἐπ' αὐτῶν γνησίαν καὶ ἀδιάφθορον τηρουμένην προφορὰν τῆς ἑβραΐδος γλώσσης (ὄπισθ. σελ. 311). Μέγιστον δὲ τούτου δεῖγμα καὶ ἀναντίῤῥητον, αὐτὰ τὰ κύρια ὀνόματα τῆς θείας Γραφῆς, ἅπερ ἄλλως μὲν οἱ Ο, καὶ οἱ θεῖοι Ἀπόστολοι, καὶ αὐτοὶ δὲ οἱ *ἔσχατοι μάρτυρες* τῆς ἔτι κατ' αὐτοὺς σωζομένης ἀδιαφθορίας τοῦ ἑβραϊκοῦ, *Φίλων καὶ Ἰώσηπος*, ἔγραψαν, ἄλλως δ' ἐτόνισαν καὶ ἔγραψαν οἱ Μασορῖται, τά τε φωνήεντα καὶ αὐτὰ τὰ σύμφωνα πολλάκις μεταποιήσαντες. Πλὴν γὰρ ὀλίγων τινῶν ὀνομάτων, ἐν οἷς τὸ νῦν ἑβραϊκὸν συμφωνεῖ τοῖς Ο (οἷα τὰ Ἀδὰμ, Κάϊν, Σὴμ, Σὴθ, Χὰμ, Ἀβραὰμ, Ἰσραὴλ, Ἰωσὴφ, Δαβὶδ, καὶ ἕτερά τινα τῶν δώδεκα Πατριαρχῶν, ἅπερ ἦσαν μάλιστα κοινὰ καὶ συνήθη τῇ κοινῇ διαλέκτῳ τῶν Ἰουδαίων), τἄλλα πάντα σχεδὸν ἀλλοτρόπως οἱ Μασορῖται μετεσχημάτισαν. Οἷον, Chanoch (Χανὸχ) ὁ Ἐνὼχ, Hava (Ἀβὰ) ἡ Εὔα, Hebel ὁ Ἄβελ, Chenan ὁ Καϊνὰν, Methuselach ὁ Μαθουσάλας, Machalalel ὁ Μαλελεὴλ, Lemech ὁ Λάμεχ, Iered ὁ Ἰάρεδ, Iepheth ὁ Ἰάφεθ, Chenahan ὁ Χαναὰν, Nimrod ὁ Νεβρὼδ, Rehu ὁ Ῥαγαῦ, Terach ὁ Θάρα, Sarai ἡ Σάῤῥα, Parhoh ὁ Φαραὼ, Ischac (ἢ Itsac) ὁ Ἰσαὰκ, Iahacob ὁ Ἰακὼβ, Simhon ὁ Συμεὼν, Jehudah ὁ Ἰούδας, Jehosuah ὁ Ἰησοῦς, Iesaï ὁ Ἰεσσαὶ, Semuel ὁ Σαμουὴλ, Schelomoh ὁ Σολομὼν, Rechabham ὁ Ῥοβοὰμ, Jarobham ὁ Ἱεροβοὰμ, Eliiahu ὁ Ἠλιοὺ, Elisaah ὁ Ἐλισαῖος, Iiob ὁ Ἰὼβ, κτλ. Καὶ ἔτι *τραγικώτερα*, Josciahu ὁ Ἰωσίας, Jesahiahu ὁ Ἠσαΐας, Irmeiahu ὁ Ἱερεμίας, Chizchiiahu ὁ Ἐζεκίας, Jeoiachim ὁ Ἰωακεὶμ, Sidchiiahu ὁ Σεδεκίας, Nebuchadnezar ὁ Ναβουχοδονόσορ, Achasueros ὁ Ἀσσουῆρος, Chores ὁ Κῦρος, Tzaphnath-Pahaneach, τὸ ξενικὸν Ψονθομφανὴχ (οἱ Ο, καὶ Ἰώσηπος)· καὶ αὐτὸ τὸ οἰκειότατον καὶ σύνηθες *Ἱερουσαλὴμ*, παραγέγραπταί που καὶ *Ἱερουσαλαὲμ*, καὶ ἄλλα μυριάριθμα (α), ἐν οἷς ἴσως συγκαταλεκτέον καὶ αὐτὸ

(α) Βλ. τὴν ὑπὸ τοῦ Ariae Montani ἔκδοσιν τοῦ Ἑβραϊκοῦ. πρβλ. καὶ ὄπισθ. σελ. 202, 306, καὶ Βιβλ.Β, κεφ. ιϐ. § κϐ.

Jeschurun (α). Εὑρίσκει δὲ πᾶς τις ἐν τῷ τέλει τῆς ὑπὸ Βατάβλου ἐκδόσεως τοῦ ἑβραϊκοῦ πλατεῖαν συλλογὴν ὅλων τῶν κυρίων ὀνομάτων, ἑβραϊκοῖς καὶ ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς γράμμασι γεγραμμένα, ὡς ἀναγινώσκονται ἔν τε τῷ νῦν ἑβραϊκῷ, καὶ παρὰ τοῖς Ο, καὶ ἐν τῇ λατινικῇ Βουλγάτᾳ, ἐν οἷς φαίνεται ἡ μεγάλη διαφωνία τῆς Μασοραίας ἀναγνώσεως πρός τε τοὺς Ο (οἷς καὶ Ἰώσηπος καὶ Φίλων ἐν ὅσοις μνημονεύουσι κυρίοις ὀνόμασι συμφωνοῦσι), καὶ πρὸς αὐτὴν πολλάκις τὴν ἐκ τοῦ ἑβραϊκοῦ Βουλγάταν. Ὅθεν καὶ ὀρθῶς μετ' ἄλλων νεωτέρων κριτικῶν καὶ Οὐβιγάντης ἀνεκήρυξε· «Μὴ τοῖς νεωτέροις Ἰουδαίοις, ἀλλὰ μᾶλλον τοῖς Ο, καὶ τῇ Βουλγάτᾳ πιστευτέον περὶ τῆς τῶν κυρίων ὀνομάτων γραφῆς» (β).

§. η. Ἄλλα παραδείγματα παραλλαγῶν τοῦ ἑβραϊκοῦ προερχομένων ἐκ τῆς ἡμαρτημένης μάλιστα στίξεως τῶν φωνηέντων φέρονται πάμπολλα· σημειοῦμεν δὲ καὶ τούτων ὀλίγα παραδείγματα, καὶ μόνον ἐκ τῆς βίβλου τῶν Ψαλμῶν.

Ψαλμ. λα, 4 (Ἑβρ. λβ). «*Ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν*» (οἱ Ο)· τὸ δὲ νῦν ἑβρ. «*Ἐστράφη ὁ χυμός μου εἰς ξηρασίας θέρους*» (οὕτω καὶ ὁ Χαλδαῖος).

(α) Τὸ Ἰεσσουρούν εὑρίσκεται παρ' Ἑβραίοις τετράκις (Δευτερ. λβ, 15. λγ, 5, καὶ 26· καὶ Ἡσαΐ. μδ, 2). Οἱ δὲ Ο ἐν μὲν τῷ Δευτερονομίῳ μεταφράζουσιν ὁ ἠγαπημένος· ἐν δὲ τῷ Ἡσαΐᾳ «ἠγαπημένε Ἰσραήλ» (ἀμφότερα διακεκριμένως ἀναγνόντες)· νομίζεται δὲ παρὰ τοῖς κριτικοῖς τὸ ὄνομα ὡς ἰσοδύναμον τοῦ Ἰσραήλ, σημαῖνον δὲ κυρίως τὸν εὐθύν, ὡς ἔχουσιν Ἀκύλας, Σύμμαχος, Θεοδοτίων, ὡς ἐκ τοῦ Jachas· ἡ δὲ Βουλγάτα ἐν μὲν Δευτερον· λβ, 15, ἔχει dilectus (ἠγαπημένος), ἐν δὲ τοῖς λοιποῖς χωρίοις, rectissimus (εὐθύτατος, ὑπερθετικῶς). Οἱ δὲ θέλουσι τὸ ὄνομα ὑποκοριστικὸν αὐτοῦ τοῦ Ἰσραήλ. βλ. Critic. Sacros ibid. Οὕτως ἔχει καὶ ἡ ἰουδαΐζουσα Ἑνετικὴ μετάφρασις «ὦ Ἰσραηλίσκε»! (ἐκδ. Villois.). Ἀλλ' εἰ μή τι ἄλλο ἀνέγνων οἱ Ο, τοῦτο λοιπὸν σημαίνει τὸ ἠγαπημένε (ὡς τὸ φίλτατος, ἀγαπητὸς, dilectus, καὶ τὰ τοιαῦτα στοργῆς ἐνδεικτικὰ προσηγορικά). Τοιοῦτος δὲ τύπος ὑποκοριστικὸς καὶ παιδαριώδης, ἐξ ὀνόματος κυρίου, ἢ ἐθνικοῦ πεποιημένος, οὐχ εὑρίσκεται παρὰ τῇ θείᾳ Γραφῇ, καὶ φαίνεται καὶ τοῦτο τῆς Μασορίτιδος σοφίας ὑποκόρισμα. Ἀμφιβάλλουσι δὲ καὶ οἱ νεώτεροι ἑβραΐσταὶ περὶ τῆς παραγωγῆς τοῦ ὀνόματος. βλ. Gesen. Lexic. Hebraic. p. 455.

(β) Houbig. Not. Crit. in II. Regum c. XIV. 2.

Ἐνταῦθα 1) τὸ τοῦ « *εἰς ταλαιπωρίαν* » ἀντίστοιχον ἑβραϊκὸν Leschod (ἐκ τοῦ Schod, ἡ ταλαιπωρία, κτλ. καὶ τοῦ προθετικοῦ l, ἤτοι le= εἰς) ἡ Μασορίτειος ἀνάγνωσις στίξασα κακῶς, καὶ ὑφ' ἓν τὴν λέξιν ὡς μίαν ἐκλαβοῦσα, ἔγραψε Leschaddi, ὅπερ ἑρμηνεύουσι *χυμὸν* (καὶ τοῦτον ζωτικὸν, καὶ τοῦτο πάλιν μεταφορικώτερον, ἀντὶ τοῦ ἀκμὴ, viror, vigor, σφρῖγος, ἰσχύς). Ἀλλὰ τὸ ψευδὲς τῆς ἀναγνώσεως ἐξελέγχεται μὲν καὶ ἐκ τῆς βεβιασμένης ἐξηγήσεως· τὸ δὲ μέγιστον, ὅτι οὐδαμοῦ τῆς ἑβραΐδος Γραφῆς ἀπαντᾶται ἡ λέξις ἡ leschad, εἰ μὴ μόνον ἐν Ἀριθ. ια, 8, πάντῃ ἑτεροσήμαντος. Ἐκεῖ οἱ Ο, κρεῖττον ἐπιστάμενοι τὴν σημασίαν τοῦ leschad, ἢ καὶ ἄλλως ἀναγνόντες, ἡρμήνευσαν *ἐγκρὶς* (λάγανον, πλακούντιον γλυκύ· βλ. καὶ Gesen. Ἑβρ. λεξικ. σελ. 536, καὶ Schleusn. λ. ἐγκρίς). 2) Ὡσαύτως καὶ τὸ « *ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν* » (becharboni kotz) μικρὰ παρανάγνωσις (becharbone kaitz) μετεμόρφωσεν εἰς τὸ « *εἰς ξηρασίας θέρους* ». Ἀλλὰ τὸ γνήσιον τῆς ἑρμηνείας τῶν Ο, βεβαιοῦσι 1) ὁ Θεοδοτίων· 2) ἡ Βουλγάτα· 3) ὁ Σύρος (ἐλευθερώτερον ἐκφράσας)· 4) ἡ ἀναλογία, καὶ τὸ μάλιστα κατάλληλον τῆς ἐννοίας. Ὁ λόγος ἐνταῦθα προφανῶς ἐστι μεταφορικὸς (πρβλ. Ψαλμ. νζ, 9: [καθ' ἑβρ. νη], Ἰεζεκ. κη, 24, κτλ), καὶ ἔστιν *ἄκανθα*, *ἡ ἁμαρτία*· (Θεοδώρ. εἰς Ψαλμ. νζ· καὶ Σουΐδ. λ. ἄκανθα). Οἱ δὲ περὶ τὸν Βῶσον ἠλληγόρησαν τὴν *ἄκανθαν* εἰς βαρεῖαν συμφορὰν, οἷον καὶ τὸ « τὰ βέλη σου ἐνεπάγησάν μοι ». (Ψαλμ. λζ, 2: πρβλ. Ἰὼβ, ς, 4), οὐδ' οὕτω κακῶς· εἴ γε καὶ αὐτοὶ ὁμολογοῦσι καὶ τὴν ἀνάγνωσιν καὶ τὴν μεταφορὰν τῆς *ἀκάνθης*) (α). Λέγει τοίνυν ὁ προφήτης (ὡς ἐξήγησαν οἱ Πατέρες ἡμῶν) « *ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι* τὴν ἁμαρτίαν μου, ὡς *ἄκανθαν* » (« αἰτία γὰρ τῶν κακῶν ἡ ἁμαρτία ». Θεοδώρητ.)· καὶ εὐθὺς ἐπιφέρει (αὐτὸς

(α) L. Bos, Proleg. in LXX. c. 3. πρβλ. Schleusn. Thes. V. Test. λ. ἄκανθα. — Rosenmüll. Schol. in Psalm. 32. 4. καὶ Schulz ibid. πρβλ. καὶ Köhler ἐν Eichhorn, Repertorium T. V. p. 64.

ἑαυτὸν ἑρμηνεύων), «*τὴν ἁμαρτίαν μου ἐγνώρισα*» κτλ. Ἄκουε καὶ τὸ ἑβραϊκόν· «Ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου· *μετεστράφη ὁ χυμός μου εἰς ξηρασίας θέρους*». κτλ. Ἄλλως δὲ ἡρμήνευσεν ὁ Ἀκύλας· «*ἐστράφην εἰς προνομήν μου ἐν ἐρημώσει θερείᾳ*» κτλ. καὶ ἄλλως ὁ Σύμμαχος· «*μετεστράφη μοι εἰς διαφθορὰν, ὡς καῦσος θερινός*»· καὶ ἄλλως ἡ πέμπτη ἔκδοσις· «*ἐστράφη εἰς ταλαιπωρίαν ἐν τῷ ἐρημωθῆναι ὀπώραν*· καὶ ἄλλως Ἱερώνυμος (ἐν τῇ ἰδίᾳ μεταφράσει) «ἐστράφην ἐν τῇ ταλαιπωρίᾳ μου, ἐν τῷ ἐκκαίεσθαι τὸ θέρος διηνεκῶς(jugiter)»· καὶ ἄλλως, τέλος, τινὲς ἐκ τῶν νεωτέρων, οἷον ὁ Κοίλερος· «*οἱ χυμοί μου ἐξηράνθησαν, ὡς οἱ καρποὶ τῆς γῆς ἐν τῇ θερμότητι τοῦ θέρους*» (α). Βλέπεις ἀναγνῶστα καὶ ἐκ ταύτης τῆς διαφωνίας πόσον ἀληθεύει τὸ «πολύμορφος ἡ πλάνη καὶ πολυσχιδής», καὶ πόσον ἀκριβέστερον οἱ Ο καὶ ἀνεγίνωσκον καὶ ἡρμήνευον τὰ ἑβραϊκά. Ἢ τίς τῶν τοσούτων καὶ οὕτως ἀλλοκότων ἑρμηνειῶν φαίνεται καλλιωτέρα, ἢ καὶ ἀντάξιος τῆς τῶν Ο; (β) — Αὐτόθ. στίχ. 8, «*Ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου*» οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος, ὁ Χαλδαῖος (πρβλ. Ἱε-

---

(α) *Σημείωσαι, ὅτι οὐδεὶς τῶν ἀρχαίων ἑρμηνευτῶν ἀνέγνω τὸ τοῦ νῦν ἑβραϊκοῦ* Leschaddi, *ἀλλὰ πάντες (πλὴν τοῦ Χαλδαίου) κατὰ τοὺς* O, le-schod· *σημαίνει δὲ ἡ λέξις καὶ προνομήν, ἐρήμωσιν, ὄλεθρον κτλ.* (Gesen. Lexic. Hebr. p. 983) *πρβλ. καὶ ψαλμ. ρα, (ἑβρ. ρβ), ὅπου ὁ προφητάναξ πολλαχῶς ἐκφράσας τὴν ὀδύνην αὐτοῦ* (στχ. 3, 4, 5), *οὐκ εἶπεν ὅμως, καὶ οἱ χυμοί μου ἐστράφησαν εἰς ξηρασίαν θερινήν!*

(β) «Inter tot lectionum varietates merito illa Septuaginta prefertur, qui videntur paulo aliter legisse textum Hebraeum, quam modo se habeat. Ac proinde in Hebraeo, ut modo legitur, scribarum errorem esse putandum est, ut bene notat Bellarminus et Lorinus» etc. Corderius, in Exposition. Patr. Graec. in Psalm. Tom. I. pag. 554. Ὁ δὲ ῥαββινικώτατος Γλάσσιος (Glass. Philol. Sacr. I. p. 29) ἀκάθαρτον θυγατέρα (impuram filiam) τῆς ἑβραϊκῆς Γραφῆς τὴν Βουλγάταν ὀνομάζει, διότι συμφωνεῖ καὶ ὧδε τοῖς Ο· «Ὅτι δὲ (προστίθησιν) οἱ Ο πολλάκις ἀφίστανται τῆς διαυγεστάτης ἑβραίας πηγῆς, ὑπὸ μεσημβρινῷ ἡλίῳ δείκνυται προκείμενον». Τοιαῦτα πολλάκις ὑπὲρ τῆς Μασορίτιδος γραφῆς ὁ ταύτης. «Οὐ μάλοις, οὐδὲ κικίννοις, ἀλλὰ μεσημβριναῖς τῷ ὄντι μανίαις ἐρῶν πολυμαθέστατος Γλάσσιος.

ρεμ. κδ. 6, *Στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς ἀγαθά*)· τοιοῦτο καὶ τὸ «ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους». (Ψαλμ. λγ, 15). Τὸ δὲ νῦν Ἑβραϊκὸν «*Βουλεύσομαι ἐπὶ σὲ τῷ ὀφθαλμῷ μου*». Οὕτω παρανέγνω καὶ Σύμμαχος «*Βουλεύσομαι περὶ σοῦ*» κτλ. ᾧ παρηκολούθησε καὶ Ἱερώνυμος (α). Ὅτι δὲ καὶ ἡ φράσις, ἡ, *βουλεύεσθαι τῷ ὀφθαλμῷ*, πάντῃ παράδοξος καὶ ἀσυνήθης, τί χρὴ καὶ λέγειν;

Ψαλμ. λϐ. 7. «Συνάγων *ὡσεὶ ἀσκὸν* ὕδατα θαλάσσης» οἱ Ο, ὁ Σύμμαχος, ἡ Βουλγάτα, ὁ Χαλδαῖος, ὁ Ἄραψ, καὶ πάντες οἱ ἀρχαῖοι. Τὸ δὲ νῦν ἑϐραϊκὸν, «Συνάγων *ὡς σωρὸν* ὕδατα θαλάσσης» (στίξις μοχθηρά· ned, σωρὸς, ἀντὶ nod, ἀσκός). Ἐξελέγχει δὲ τὸ σφάλμα καὶ αὐτὸ τὸ ἀκατάλληλον τῆς ἐννοίας· *Σωρὸς* μὲν γὰρ ἐπὶ ξηρῶν γίνεται καὶ λέγεται, σωρὸς δὲ τῆς ῥοώδους φύσεως τῶν τῆς κυμαινομένης θαλάσσης ὑδάτων οὔτ' ἂν γένοιτο, οὔτ' ἂν πρέποι λεγόμενος (πλὴν εἰ μή γε στήσοι ταῦτα θαυματουργῶν αὐτὸς πάλιν ὁ δημιουργός· τότε γὰρ καὶ ὡσεὶ *πῆγμα*, ἢ *σωρὸς*, καὶ ὡσεὶ *τεῦχος* ἵστανται τὰ ὕδατα) (ϐ). Τὸ *ἀσκὸν* βεϐαιοῖ καὶ τὸ ἑπόμενον ἡμίστιχον «(τιθεὶς) ἐν *θησαυροῖς* (ἀντιστοίχως πρὸς τὸ *ἐν ἀσκῷ*) ἀϐύσσους»· «Πᾶσαν γὰρ τῶν ὑδάτων τὴν φύσιν, ὥσπερ ἐν ταμείοις τισι, τοῖς ἀφωρισμένοις χωρίοις, καθειργμένην ἔχει, – καὶ ὡς ἐν ἀσκῷ τινι» κτλ. (Θεοδώρητ.) (γ).

(α) «Consulam super te oculum meum». πρϐλ. Rosenmül. καὶ Schulz Schol. ibid. καὶ Schleusn. Thes. V. Test. v. ἐπιστηρίζω.

(ϐ) «Ἔστη δὲ τὰ ὕδατα (τοῦ Ἰορδάνου) τὰ καταϐαίνοντα ἄνωθεν, πῆγμα ἓν» (Ἰησ. γ, 16) κατὰ τὸ Βατικ. Τὸ δ' Ἀλεξανδρινὸν καὶ ὁ Θεοδοτίων, σωρὸς εἷς, καὶ τὸ ἑϐραϊκὸν, ned (ὁ δὲ Σύμμαχος καὶ ὧδε nod ἀναγνοὺς, ἡρμήνευσεν ἄσκωμα. βλ. Θεοδώρητ. εἰς Ἰησ. γ). πρϐλ. καὶ Ἐξόδ. ιε, 8. ιδ, 22. (ἐπὶ τῆς διαιρέσεως τῆς Ἐρυθρᾶς), ὅπου καὶ οἱ Ο καὶ τὸ ἑϐρ. «ὡσανεὶ τεῖχος» (choma)· Ἀλλ' αἱ τῶν θαυμασίων τούτων ἐκφράσεις (δι' ὧν τὸ, ὡς τεῖχος καὶ πῆγμα καὶ σωρὸς, ἀκίνητον ἑστηκὸς σχῆμα τοῦ ὕδατος ἐκφράζεται) οὐδὲν ἔχουσι κοινὸν πρὸς τὴν ἀνωτέρω γραφικωτάτην εἰκόνα τῆς φυσικῆς καταστάσεως τῶν θαλασσίων ὑδάτων. βλ. καὶ τὴν ἐφεξῆς σημείωσιν.

(γ) Οὕτως ἀνέγνων καὶ τῶν νεωτέρων, Γρότιος, Κλάριος, Καπέλλιος κτλ. Ἄλλοι δὲ παραδόξως προτιμῶσι τὸ σωρὸς (Schulz, κτλ.). Ὁ δὲ Σχλευσίνερος κρί-

Ψαλμ. λε. 1 (Ἑβρ. λϛ) «Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν *ἐν ἑαυτῷ*» (οἱ Ο καὶ ἡ Βουλγάτα). Τὸ δὲ νῦν Ἑβραϊκὸν (κατὰ λέξιν) «Ῥητὸν (ἢ ῥῆμα) τῆς παραβάσεως τῷ ἀσεβεῖ ἐν τῷ ἐνδοτέρῳ *τῆς καρδίας μου*» (α)· ἢ (ὡς μεταποιοῦσιν) «Εἶπεν ἡ ἀποστασία (defectio) τοῦ ἀσεβοῦς ἐν μέσῳ *τῆς καρδίας μου*»· ἢ «Ῥῆμα (χρησμὸς) τῆς παραβάσεως τῷ ἀσεβεῖ ἐν μέσῳ τῆς *καρδίας αὐτοῦ*», καὶ ἄλλα τοιαῦτα παρὰ τοῖς νεωτέροις ποικίλα καὶ παράδοξα. Οὐδὲ γὰρ δύνανται (καὶ δικαίως) οὔτε νοῆσαι, οὔτε μὴν ἑρμηνεῦσαι συμφώνως καὶ ὁμαλῶς τὴν παραδεδεγμένην καθ' ἑβραίους σκοτεινὴν ἀνάγνωσιν (β). Συμφωνεῖ δέ πως καὶ ὁ Σύμμαχος· «Φησὶ περὶ ἀσυνθεσίας τοῦ ἀσεβοῦς ἔνδοθεν *ἡ καρδία μου*» κτλ. ἀλλὰ τὸ μὲν παρὰ τοῖς Ο, τριτοπρόσωπον (*ἐν ἑαυτῷ*) μαρ-

---

νει ἀναγνωστέον «ὡς εἰς ἀσκὸν» ὡς ἔχει καὶ ἡ Βουλγάτα «quasi in utrem, καὶ ὁ Σύμμαχος, «ὡς ἐν ἀσκῷ»· εὑρέθησαν δὲ καί τινα τῶν Ο ἀντίγραφα οὕτως ἔχοντα (Μ. Βασίλ. εἰς ψαλμ. αὐτ.)· ἀλλ' ἡ διόρθωσις, οἶμαι, περιττή· αὐτός τε γὰρ ὁ Μ. Βασίλειος καὶ ἄλλοι τῶν Πατέρων «ὡσεὶ ἀσκὸν» ἀνέγνων· καὶ ἡ φράσις ἐστὶν ἡ αὐτὴ καὶ τὸ «ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν» (ψαλμ. οζ, 13). Τὸ γὰρ ἀσκὸς καὶ χωρὶς τῆς συνήθως συναπτομένης γενικῆς (οἷον, ἀσκὸς ὕδατος, οἴνου, κτλ.) καὶ καθ' ἑαυτὸ λεγόμενον πολλάκις ἐμφαίνει καὶ τὸν πλήρη· οἷον «Ἀσκὸς βαπτίζῃ, δῦναι δέ τοι οὐ θέμις ἐστί». (Πλούτ. Θησ. ὡς πλήρης ἀσκὸς δηλονότι, βαπτιζόμενος ἐν τοῖς κύμασι, καὶ πάλιν ἀναδύων ἐπιπολῆς). Τοιοῦτο καὶ τὸ «Συνάγων ὕδατα ὡσεὶ ἀσκὸν» (ὡς ἂν εἴποις, συνάγων τὰ ὕδατα τῆς θαλάσσης οἷον ἀσκὸν, ἔμπλεων αὐτῶν, οἰδαινόντων δηλαδὴ καὶ φυσώντων, καὶ ἅμα ἐγκεκλεισμένων ἐντὸς τῆς ὁροθετηθείσης περιοχῆς· κατὰ τὸ «μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ» κτλ.). Ἀλλὰ καὶ ἐν ψαλμ. οζ, (ὅπου ὁ λόγος περὶ τῆς διαιρεθείσης Ἐρυθρᾶς), nod (ἀσκὸν) ἀνέγνων οἱ Ο (ὅπου τὸ νῦν ἑβρ. ἔχει ned, σωρὸν), ὅθεν ἔγραψαν καὶ «ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν», ἄνω δηλονότι μετέωρα ἑστηκότα, κατὰ τὸ μόνιμον οἴδημα τοῦ ἀσκοῦ. Τὸ δὲ ἔστησε (πολὺ παρὰ τὸ συνάγειν διάφορον) εἰδοποιεῖ καὶ τὸ ἀκίνητον καὶ πάγιον τῶν τότε σταθέντων, καὶ ὡς ἐν ἀσκῷ τινι ἐνδεδεμένων, ὅπερ (ἐν Ἐξόδῳ) ἐκφράζουσι τὰ τεῖχος, καὶ πῆγμα, καὶ σωρός.

(α) «Dictum praevaricationis impio in interiori cordis mei». (Ar. Montan.).

(β) Βλ. Criticos Sacros, καὶ Schulz, καὶ Rosenmül. Schol. ad h. l. Ὁ δὲ Hezelius ἄλλως πάντῃ διαφόρως ἀναγνοὺς, ἡρμήνευσεν· «εἴρηται ἐν τῇ καρδίᾳ μου» (τουτ. εἴρηκα, διανοοῦμαι κατ' ἐμαυτὸν), αἰχμή ἐστι τοῦ ἀσεβοῦς (cuspa est impij), τουτ. ὁ ἀσεβὴς τέκτων ἐστὶ τῆς ἑαυτοῦ κακοτεχνίας»!!! εἰς τοιαῦτα περιπίπτουσιν οἱ τῶν Ο, καταφρονοῦντες!

τυροῦσι καὶ ὁ Σύρος, ὁ Χαλδαῖος, ὁ Ἄραψ, ὁ Ἱερώνυμος, καί τινες κώδηκες ἑβραϊκοὶ (τοῦ Κεννικώτου· ἐν οἷς ἀναγινώσκεται libbo, ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀντὶ τοῦ νῦν ἑβραϊκοῦ libbi τῇ καρδίᾳ μου). Οὐδ' ἁρμόζει ὅλως ἐπὶ τοῦ θείου Προφήτου τὸ δύσφημον ἅμα καὶ μακρόθεν λαμβανόμενον τῆς τοιαύτης προσωποποιΐας· «εἶπεν *ἡ ἀποστασία τοῦ ἀσεβοῦς ἐν τῇ καρδίᾳ μου*! (τί εἶπεν;) « οὐκ ἔστι φόβος Θεοῦ » κτλ. Καθόλου δὲ τὴν γνησίαν ἀνάγνωσιν καὶ ἑρμηνείαν τῶν Ο αὐτὸ τὸ κατάλληλον τῆς ἐννοίας διακηρύττει· «*φησὶν*», ἤτοι διαλογίζεται ἐν ἑαυτῷ (ὡς τὸ « εἶπεν ἐν ἑαυτῷ » Ἐσθ. ϛ, 6. κτλ. τοιοῦτο καὶ τὸ «εἶπε πρὸς ὃν θυμόν»· Ἰλ. Σ. κτλ.), βουλεύεται καθ' ἑαυτὸν *ὁ παράνομος* περὶ (ἢ ἕνεκα) τοῦ ἁμαρτάνειν· « οἴεται γὰρ μηδένα θεωρεῖν τῆς ψυχῆς αὐτοῦ τὰ κεκρυμμένα βουλεύματα »· καὶ τοῦτο διὰ τί; « Ὅτι οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ » (α). Τί τούτων λογικώτερον καὶ σαφέστερον;

Ψαλμ. λϛ, 20 (Ἑβρ. λζ) « *ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι*» (οἱ Ο, Ἀκύλας, Σύμμαχος, Θεοδοτίων, Βουλγάτα, Ὠριγένης κτλ. ἐκ τοῦ ἑβραϊκοῦ, kicor kerum)· τὸ δὲ νῦν ἑβραϊκὸν ἔχει « *ὡς τὸ πολύτιμον τῶν ἀρνίων* » (kiiacar karim), καὶ τοῦτο *τὸ πολύτιμον* ἐπεξηγοῦσιν, «*ὡς τὸ στέαρ* τῶν ἀρνίων»· ἄλλοι ἑρμηνεύουσιν «ὡς *εὐφρόσυνοι βοσκαὶ*» (laeta pascua), ἢ « μετὰ τῆς εὐπρεπείας τῶν βοσκῶν » (cum decore pascuum), καὶ ταῦτ' ἐπεξηγοῦσιν, «ὡς ὁ χόρτος καὶ τὰ ἄνθη τῶν βοσκῶν» (β). Ὁ δ' Ἱερώνυμος ἀντὶ τοῦ *ἀρνίων* (karim) ἀνέγνω *μονοκερώτων* (karem). Παράβαλε τοίνυν ἀναγνῶστα τὸ ὅλον τῶν Ο « (οἱ ἐχθροὶ τοῦ κυρίου) *ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον*» (κατὰ τὸ «ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν». Ψαλμ. ξζ, 2). Ἰδοὺ καὶ τὸ ἑβραϊκόν: « Ὡς τὸ *πολύτιμον* (στέαρ)

(α) Θεοδώρ. προβλ. Σειρ. εἰς τοὺς Ψαλμ. καὶ ὁ ἱερὸς Ἀμβρόσιος «Dixit injustus ut sibi delinquat, vel, ut in se delinquat » (in Psalm.) τουτ. « Ὥστε καθ' ἑαυτὸν (κρυφίως) ἁμαρτάνειν.

(β) Βλ. Criticos Sacros, καὶ Schulz, καὶ Rosenmüll. Schol. h. l.

τῶν ἀρνίων (ἢ, ὡς *εὐφρόσυνοι βοσκαὶ*, ἤ, ὡς *εὐπρέπεια βοσκῶν*) ἐκλείποντες, ὡσεὶ καπνὸς ἐξέλιπον ». Πότερον ἄρα τῶν νεωτέρων τὸ ἀληθέστερον, ἢ ψευδέστερον; *τὸ πολύτιμον τῶν ἀρνῶν;* ἢ *αἱ εὐφρόσυνοι βοσκαί*; (τοὺς δὲ *μονοκέρωτας* παραλείπομεν). Πόσα δὲ διπλασιάζονται καὶ τὰ παραδείγματα· ὡς *τὸ στέαρ τῶν ἀρνίων*, ὡσεὶ καπνὸς, ἐξέλιπον!! Οἱ δὲ περὶ τὸν Γρότιον τοῦτο διορθοῦντες, « ὡς τὸ στέαρ (λέγουσιν) ἐκλείπει *ἐν καπνῷ* θυόμενον ἐπὶ τοῦ θυσιαστηρίου »! Ἀλλ' οὔτε θυσίας, ἢ ὁλοκαυτώματος οὐδὲ σκιὰ γοῦν ὑπονοίας φαίνεται εἰς τὴν φράσιν, οὔτε λέγεται ὅλως « *ἐκλείπειν ἐν καπνῷ* » ἀντὶ τοῦ *καίεσθαι* καὶ συνεκλείπειν μετὰ καπνοῦ τὸ θυόμενον (ὡς τὸ « ἐκκαύσω ἐν καπνῷ πλῆθός σου »· Ναοὺμ β. 13)· οὔτε λίαν εὐαγὲς, τὸ παραβάλλειν τοὺς ἴσα καὶ καπνῷ ἀφανιζομένους ἐχθροὺς τοῦ Κυρίου πρὸς τὴν ἁγίαν θυσίαν, τὴν καπνίζουσαν ἐπὶ τοῦ θυσιαστηρίου « Καπνὸς δὲ (φησὶν ὁ κατὰ τοὺς Ο ἀνεγνωκὼς Ὠριγένης) πυρὸς σβεσθέντος σημεῖον· καὶ οὗτοι δὲ (οἱ ἐχθροὶ Κυρίου), ὡς πῦρ καταφλέξαντες (ἐν τῷ *δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι*), κατεσβέσθησαν». (Σειρ. εἰς Ψαλμ. αὐτ.).

Ψαλμ. νζ, 8 (Ἑβρ. νη). « Ὡσεὶ *κηρὸς* ὁ τακεὶς ἀνταναιρεθήσονται· *ἔπεσε πῦρ ἐπ' αὐτοὺς* καὶ οὐκ εἶδον τὸν ἥλιον » (οἱ Ο καὶ ἡ Βουλγ.). Τὸ νῦν ἑβρ. « Ὡς *κοχλίας* τήξεως (τουτ. τηκόμενος) ἄπεισιν· *ἔκτρωμα γυναικὸς*, οὐ μὴ ἴδωσι τὸν ἥλιον ». Πρὸς τῇ νῦν ἑβραϊκῇ ἀναγνώσει πλησιάζει καὶ ὁ Ἀκύλας· « Ὁμοίως γῆς ἐντέρῳ *(σκώληκι)* τακὲν πορεύεται· *ἔκτρωμα γυναικὸς*, οὐ μὴ ὁραματισθῶσιν ἥλιον »· (τούτῳ παρ' ὀλίγον ἠκολούθησε καὶ Ἱερώνυμος), καὶ ὁ Σύμμαχος· « Ὥσπερεὶ *χορίον* διαλυθὲν διαφωνεῖ » (=ἀπόλλυται), « ἢ ἔκτρωμα γυναικὸς, ἵνα μὴ ἴδωσι τὸν ἥλιον». Ὁ δὲ Θεοδοτίων ἡρμήνευσε *σύμμικτον* εἶδος· «Ὡσεὶ *κηρὸς* ὁ τακεὶς ἀνταναιρεθήσεται» (τοῦτο κατὰ τοὺς Ο, οὕτω καὶ ὁ Σύρος, ὁ Ἄραψ, ὁ Αἰθίοψ), καὶ πάλιν (κατὰ τὸ ἑβρ.) « *ὡς ἔκτρωμα γυναικὸς* οὐκ εἶδεν ἥλιον ». Ἄλλας τῶν νεωτέρων ἑρμηνείας παραλείπομεν. Τὸ τοίνυν ἑβρ. Sabbelul (ἀνθ' οὗ οἱ Ο ἔγραψαν *κηρὸς*) τῶν ἅπαξ

ἐν τῇ γραφῇ ἀναγινωσκομένων ἐστί· καὶ πρῶτοι οἱ Ταλμουδικοὶ καὶ ἄλλοι ῥαββῖνοι ἡρμήνευσαν *κοχλίαν* (ἢ γυμνοκοχλίαν, ὃς λέγεται καὶ σέσιλος, limax), ὃ καὶ ὁ κλεινὸς Βοχάρτος ὑπερασπίζεται (α). Ἀλλ' οἱ Ο ἠπίσταντο τοῦτο σημαῖνον μᾶλλον *κηρὸν* (ὡς καὶ τοῦτον ἐν τῷ τήκεσθαι *ῥευστὸν*, παρὰ τὸ Sabal, ἰέναι καὶ ῥέειν, ὅθεν ἐτυμολογοῦσι πιθανῶς καὶ τὸ Sabbelul) (β)· ἢ ἀνέγνωσαν ἄλλο τι ἐν τῷ τότε κώδηκι (καὶ ἴσως αὐτὸ τὸ Donag, ὁ κηρός)· οὕτω καὶ ὁ Σύμμαχος ἄλλως ἀναγνούς, ἡρμήνευσε *χόριον* (γ)· καὶ τὸ τοῦ Ἀκύλα δὲ *ἔντερον γῆς* ἄλλην ἴσως ἀνάγνωσιν ἐμφαίνει. Ἀλλὰ τὸ τῶν Ο « *ὡσεὶ κηρὸς ὁ τακείς* » μαρτυρεῖται μὲν ὑπὸ τοῦ Θεοδοτίωνος καὶ τῶν ἄλλων, ὧν προείπομεν ἀρχαίων ἑρμηνευτῶν· βεβαιοῦται δὲ καὶ ὑπὸ τοῦ ξζ, ψαλμοῦ (βλ. παρακατιών). Ἀλλ' οἱ κριτικοὶ (δ) ἀκατάλληλον εὑρίσκουσι τὸ *κηρὸς* ὡς πρὸς τὸ ἑπόμενον ῥῆμα τοῦ ἑβραϊκοῦ, τὸ *ἄπεισι*. « Πῶς γὰρ ἂν (φασὶν) ὁ ἀσεβὴς λέγοιτο *ἰέναι*, ἢ *ἀπιέναι*, ὡς *κηρὸς τηκόμενος*, ὃς οὐδέποτ' α εἶσι καὶ πορεύεται », ἢ γοῦν καὶ μικρὸν ἀποχωρεῖ τοῦ, καθ' ὃν ἐτάκη, τόπου ; (ὁ δὲ κοχλίας πορεύεται δήπου σιαλίζων καὶ τηκόμενος.). Ἀλλὰ πρῶτον μὲν, οἱ

(α) Bochart. Hieroz. P. II. L. IV. c. 30. p. 646. ἐτυμολογεῖ δ' ἐκ τοῦ sebil, ἡ ὁδός· ὁ γὰρ κοχλίας πορευόμενος, διαγράφει διὰ τοῦ σιέλου, ἢ τῆς μύξης, τὴν πορείαν αὐτοῦ.

(β) « Sabbelul, cera, limax. à Sabal, fluo». Schleusn. Thes. V. Test. v. κηρός.

(γ) Ὁ Βοχάρτος (ἔνθ' ἀνωτέρω) *νομίζει, ὅτι ὁ Σύμμαχος ἀνέγνω* Silja, *ὃ δηλοῖ καὶ τὸ χόριον, καὶ τὸ* Sabbelul, *κατὰ διεφθαρμένην τῶν νεωτέρων Ἰουδαίων προφοράν*. Καὶ ὁ Ἀκύλας, *λέγει, εἶπε γῆς ἔντερον, ἢ σκώληκα, τὸν κοχλίαν, ὡς καὶ οἱ Ἄραβες λέγουσι* hallazon *καὶ τὸν σκώληκα καὶ τὸν κοχλίαν (ὡς εἶδος σκώληκος). Σοφὰ ταῦτα, πάνυ σοφά· ἀλλ' ἡμεῖς ἀμφιβάλλομεν, εἴγε καὶ αὐτὸς ὁ κλεινὸς ἀνὴρ ἐπίστευεν, ὅτι ἐπὶ τοῦ Ἀκύλα καὶ Συμμάχου ὑπῆρχε γνωστὴ καὶ συνήθης ἡ παρὰ τοῖς μεταγενεστέροις Ἰουδαίοις διαφθορὰ τοῦ* Sabbelul, *καὶ αὐτὴ αὐτοῦ ἡ ἐπὶ τοῦ κοχλίου σημασία*. Ὁ δ' οὖν Ἀββενέσδρας *ἑρμηνεύει τὸ* Sabbelul, *ῥέον ὕδωρ· τοῦτο καὶ Δοιδερλῖνος ἠγάπησε. Κρῖνον ἀναγνῶστα μεταξὺ τῶν μακρὰν τῶν Ο γινομένων κροτοθορύβων τούτων καὶ διαπληκτισμῶν, τίς ὁ ἀδικώτερος. βλ.* Eichhorn, Repert. T. IX. p. 53.

(δ) Rosenmüll. Schol. in Psalm. h. l. καὶ πρὸ τούτων ὁ Bochart. l. c.

Ο, ἀνέγνων τὸ ῥῆμα πληθυντικῶς, ἀνταναιρεθήσονται (τουτ. ἀρθήσονται ἐκ μέσου, ἀφανισθήσονται· τὸν πληθυντικὸν ἀριθμὸν ἀπαιτοῦσι καὶ τὰ ἡγούμενα καὶ ἑπόμενα). Ἔπειτα, καὶ τὸ ῥῆμα τὸ ἑβραϊκὸν ἐνταῦθα σημαίνει οὐχ ἁπλῶς τὸ ἀπιέναι καὶ καθ᾽ ὁδὸν πορεύεσθαι, ἢ ἕρπειν (ὡς οἱ κοχλίαι), ἀλλὰ τὸ *ἀπεῖναι ἄφαντον*, ἢ ἔῤῥειν, *οἴχεσθαι* (ὡς καὶ αὐτὸ πολλάκις τὸ *πορεύεσθαι* κτλ.). Ἐπὶ ταύτης γὰρ τῆς σημασίας καὶ Ἀκύλας ἔταξεν (ὡς ἔοικε) τὸ *πορεύεσθαι*, γράψας οὐ *τηκόμενον*, ἀλλὰ « *τακὲν* πορεύεται » (ἐπειδὰν τακῇ, οἴχεται). Καὶ Σύμμαχος (καί τοι ἀκυρολεκτῶν) τὸ *διαφωνεῖ*· καὶ ὁ Θεοδοτίων (ὡς οἱ Ο) « *ἀνταναιρεθήσεται* ». Ἀπίασι λοιπὸν καὶ οἴχονται ἄφαντοι (ἀνταναιροῦνται) οἱ ἀσεβεῖς, ὡς τηκόμενος καὶ διαῤῥέων κηρὸς, ὃς οὐ μόνον ἐν τῷ τήκεσθαι, μικρὸν (ὡς λέγουσιν) ἀπὸ τοῦ οἰκείου τόπου ἀποχωρεῖ, ἀλλὰ καὶ ὅλως ἀφανίζεται καὶ ἀπόλλυται (κατακαιόμενος καὶ λυόμενος εἰς τὰ ἐξ ὧν συντέθειται), ὡς εἶπε πάλιν ὁ προφητάναξ αὐτός· « ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως *ἀπολοῦνται* οἱ ἁμαρτωλοὶ » (οὕτως ἔχει τὴν ῥῆσιν ταύτην καὶ τὸ νῦν ἑβραϊκόν). Καὶ ὄρη δὲ τηκόμενα παρομοίως ἀνέγνωμεν παρὰ τῷ αὐτῷ ψαλμῳδῷ, καὶ ἀλλαχοῦ τῆς Γραφῆς (ψαλμ. ϟς, 5. πρβλ. Μιχ. α, 4. Ἡσ. ξδ, 1). Κἀκεῖνο δὲ προσθετέον· ὅτι ταχεῖαν ὁ ψαλμὸς διαγράφει τὴν αἴφνης ἐπιπίπτουσαν ἀπώλειαν τῶν ἀσεβῶν (οἵα καὶ ἡ τῆξις τοῦ κηροῦ πυρακτωθέντος), « τῆς θανατικῆς *φθασάσης* αὐτοὺς *διαπύρου* καταιγίδος » (Θεοδώρητ. αὐτόθ.)· τὸ ταχὺ τῆς ἀπωλείας διαγράφει καὶ τὸ προηγούμενον (στίχῳ 7) παράδειγμα τοῦ ῥέοντος ὕδατος « ἐξουδενωθήσονται, *ὡσεὶ ὕδωρ διαπορευόμενον* » κτλ. Ὁ δὲ σέσιλος καὶ *ὑγροκέλευθος* κοχλίας (α), βράδιστα μὲν ἕρπει, βράδιστα δὲ τήκεται, κενὸν τὸ κέλυφος λιπὼν

(α) « Ὑλογενὴς, ἀνάκανθος, ἀναίματος, ὑγροκέλευθος » (ὁ κοχλίας· — γρίφος παρ' Ἀθην. β. 63). Ὁ δὲ Κικέρων (De Divinat. L. II, 64) καὶ ἄλλως αὐτὸν εἰκονογραφεῖ· « terrigenam (γηγενῆ), herbigradam (χλοηβάτην), domiportam (φερέοικον), sanquine cassam (ἄναιμον) κτλ. βλ. καὶ Bochart. l. c.

(οἷα καὶ ἐν λειμῶσι, καὶ θαμνίσκοις, καὶ παρ' αἰγιαλοῖς πολλάκις ὄστρακα κοχλίων ὁρῶνται). Ὅθεν καὶ κατὰ τοῦτο πολὺ τῆς ἀληθείας ἀπέχει ἡ *τοῦ κοχλίου* Μασορίτειος ἀνάγνωσις. Οὐδ' εὕρηται οὐδαμοῦ ἄλλοθι τῆς Γραφῆς ὡς σύμβολον τῆς ἀπωλείας τῶν ἀσεβῶν κοχλίας ἕρπων καὶ τηκόμενος. Ὑπενόησε τὸ ἄτοπον τῆς κοχλιώδους ὁμοιώσεως καὶ Ῥυδιγκῆρος· ἀλλ' ὅμως ἐπέμεινεν εἰς αὐτήν (α). — Πάλιν οἱ Ο, ἔγραψαν « *Ἔπεσε πῦρ* », ὀρθῶς ἀναγνόντες ἐν τῷ κειμένῳ (Naphal ess, ἢ essa)· καὶ μαρτυρεῖ μὲν ἡ Βουλγάτα· βεβαιοῖ δὲ καὶ ἄλλο πάλιν χωρίον τοῦ ψαλμῳδοῦ· « *πεσοῦνται* ἐπ' αὐτοὺς ἄνθρακες, *ἐν πυρὶ* καταβαλεῖς αὐτοὺς » (ψαλμ. ρλθ, 10, ἐπὶ παρομοίας τῶν ἀσεβῶν ἀπωλείας καὶ τοῦτο λεγόμενον· οὕτως ἔχει τοῦτο καὶ ἐν τῷ ἑβραϊκῷ). Εἶχε δὲ κατὰ νοῦν (οὐχ οἱ Ο, ὡς εἶπεν ὁ Καπέλλιος), ἀλλ' αὐτὸς ὁ Προφητάναξ κᾀκεῖνα τὰ τῆς Γενέσεως (ιθ, 24) « Κύριος ἔβρεξεν ἐπὶ Σόδομα πῦρ » κτλ. « ἀπὸ τῶν ἐκεῖ γενομένων σχηματίζων τὰς τιμωρίας, καὶ διὰ τούτων τὰς παντοδαπὰς κολάσεις παραδηλῶν » (Θεοδώρητ. εἰς ψαλμ. ι). Οἱ δὲ περὶ τὸν Ἀκύλαν ἀνέγνωσαν ἐν τῷ κατ' αὐτοὺς κειμένῳ οὐχ ὡς οἱ Ο, ἀλλ' ὡς στίζουσι καὶ νῦν οἱ Μασορῖται (Nephel esseth) τουτέστιν *ἔκτρωμα γυναικός*· καὶ οὕτως ὠμοτόκησαν *ἐκτρώματα* καὶ χόρια! Οἱ δὲ νεώτεροι παραβάλλουσι πρὸς ταύτην τὴν φράσιν τὸ τοῦ Ἰὼβ « Ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, ἢ ὥσπερ νήπιοι, οἳ οὐκ εἶδον φῶς » (γ, 16), καὶ ἄλλο χωρίον παρόμοιον τοῦ Ἐκκλησιαστοῦ (ς, 3–5). Ἀλλ' ἐν τούτοις μὲν ἄλλη τις ἐπικρατεῖ πάντῃ διάφορος ἔννοια, ὅτι (διὰ τὴν ἀθλιότητα τοῦ βίου) κρεῖττον ἴσως ἂν ἦν, ἢ τὸ μη-

---

(β) Rudinger apud Rosenmull. Schol. ub. supr. πρβλ. καὶ Schulz ibid. Ὅθεν καὶ ὁ Γεσένιος τὸ κοχλίας ἀποδεχόμενος, ἐξηγεῖ, ὅτι « σιάλῳ τὴν ὁδὸν ὑγραίνων (ὁ κοχλίας), ὅσῳ μακροτέρῳ προβαίνει, τοσούτῳ μᾶλλον διαλύεται, καὶ τέλος, τηκόμενος θνήσκει » (Lex. Hebr. p. 978). Ἀλλ' οὕτω (νομίζομεν) « ὁ δ ὸ ς β ρ α χ ε ῖ α (ἡ ταχεῖα τοῦ ἀσεβοῦς ἀπώλεια) γ ί ν ε τ α ι μ α κ ρ ά », καὶ τοῦ τὰς ὀ φ ρ ῦ ς ἐν τῷ βαδίζειν ἐ π η ρ κ ό τ ο ς κοχλίου β ρ α δ υ π ο ρ ω τ έ ρ α, ὅπερ οὐκ ἐννόει πάντως ὁ θεῖος ψαλμῳδός (πρβλ. καὶ ψαλμ. οβ, 19, 20. βλ. καὶ Σειρ. εἰς τοὺς ψαλμ. αὐτ. καὶ Corder. annot. in v. 9.

δόλως γενέσθαι, ἢ θανεῖν, αὐτίκα τικτόμενον· (οὕτω πρὸ τῶν ἀνωτέρω λέγει ὁ Ἰώβ· « Διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα; ἐκ γαστρὸς δὲ ἐξῆλθον, καὶ οὐκ εὐθὺς ἀπωλόμην; ». γ, στίχ. 11· ἀλλὰ καὶ ὁ Ἐκκλησιαστὴς ὡσαύτως· « Ἀγαθὸν ὑπὲρ αὐτὸν [τὸν γεννηθέντα] τὸ ἔκτρωμα » κτλ.). Ὁ δὲ ψαλμῳδὸς ἐκφράζει τὴν θεήλατον ἀπώλειαν τῶν ἀσεβῶν, ἐφ' οὓς ἡ θεία δίκη *ἐπιβρέχει παγίδας* (α), καὶ ὧν « *πῦρ καὶ θεῖον* ἡ μερίς » (ψαλμ. ι, 7). Σύμφωνα δὲ τούτοις καὶ τὰ ἀνωτέρω παραβληθέντα χωρία τοῦ προφητάνακτος (πρβλ. καὶ ψαλμ. ιζ, 12· καὶ Ἐξόδ. θ, 23. Ἡσ. λ. 30). Καὶ ὀρθῶς ἄρα συμπεραίνει ὁ Ἡρακλείας Θεόδωρος· « Ἐπειδὴ γὰρ εἶπεν, *ὡσεὶ κηρός*, κηροῦ δὲ ἴδιον τῷ πυρὶ τήκεσθαι, καλῶς ἐπήγαγεν « *ἔπεσε πῦρ ἐπ' αὐτούς* »· ὥσπερ τὸ πῦρ ἐπενεχθὲν τήκει καὶ μειοῖ τὸν κηρὸν, οὕτως ἡ τοῦ Θεοῦ ὀργὴ ἐπενεχθεῖσα πάντας ἀφανίσει· τὸ δὲ, οὐκ εἶδον τὸν ἥλιον, ἀντὶ τοῦ, ἀπώλοντο, ἀνῃρέθησαν » κτλ. (Σχόλ. εἰς ψαλμ. αὐτόθ.),

Ψαλμ. ϙ, 3 (ἑβρ. ϙα) « Ἀπὸ λόγου ταραχώδους » (οἱ Ο, ἡ Βουλγάτα κτλ. καὶ ὁ Σύμμαχος « *ἀπὸ λόγου* ἐπηρείας »). τὸ δὲ νῦν ἑβρ. « *ἀπὸ λοιμοῦ* ὀλεθρίου· Οὕτως ἡ Μασορίτειος στίξις ἔτρεψε τὸ Dabar (λόγος) εἰς τὸ Deber (λοιμός). Ἀλλὰ τὸ προηγούμενον «ῥύσεταί σε *ἀπὸ παγίδος θηρευτῶν*» (τουτ. λαθραίων ἐπιβουλῶν)

(α) Τὸ παγίδας (ὡς ἔχει καὶ τὸ ἑβρ.) ἐνταῦθα φαίνεται μεταφορικῶς σημαῖνον ἃς εἶπε καὶ ἀνωτέρω ὁ Θεοδώρητος διαπύρους καταιγίδας, ἀστραπὰς, ἢ σκηπτοὺς, κεραυνούς. Οὕτω καὶ τὸ « ὡς παγὶς γὰρ ἐπελεύσεται » (Λουκ. κα, 35) γέγραπται καὶ « ὥσπερ ἀστραπὴ » (Ματθ. κδ, 27). Ὅθεν καί τις τῶν ἀρχαίων ἀνώνυμος τὸ ἀνωτέρω τοῦ ψαλμοῦ παγίδας, ἄνθρακας ἐξήγησε (παρὰ Χρυσοστ. αὐτόθ.)· Καὶ τῶν νεωτέρων τινὲς τοῦτο τὸ παγίδας ἡρμήνευσαν σύρματα (tractus) κεραυνῶν (ὡς τὸ ἕλικες, ἢ βόστρυχοι ἀστραπῆς. Αἰσχύλ.), καθότι ταῦτα φαίνονται οἷον πυρίνων σχοινίων ἄνωθεν εἰς γῆν κατιόντων διάπλοκοι παγίδες, ἢ βρόχοι. Οὕτω (φασὶ) καὶ Ἄραβες παγίδας καλοῦσι τοὺς κεραυνούς (Michaelis not. ad Lowth De Sacra poës. Hebr. pag. 162. Gœtting. 1758). Καὶ Ὅμηρος δὲ μάστιγα Διὸς κακὴν ὠνόμασε τὸν κεραυνόν (Ἰλιάδ. Ν, 812. Ὅθεν καὶ Λυκόφρων Ἀλεξ. 436, 740 « ἀγηλάτῳ μάστιγι »· καὶ, « κεραυνίῃ μάστιγι »), οἷον μακρὸν καὶ πλατὺν ἱμάντα, κατὰ τὸ « ἀμφὶ Τυφωεΐ γαῖαν ἱμάσσῃ » (Ἰλιάδ. β. 782), τουτ. μαστίζει, ὅ ἐστι κεραυνοῖς πλήττει (Σχολ.).

βεβαιοῖ καὶ τὸ « *ἀπὸ λόγου ταραχώδους* » (ἐμφανῶν συκοφαντιῶν, δυσφημιῶν)· λοιμῶν δὲ καὶ νόσων οὐδεὶς ἐνταῦθα λόγος.

Ψαλμ. ζ. στίχ. 11 « Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ *ἰσχυρὸς*, *καὶ μακρόθυμος*, *καὶ μὴ ὀργὴν ἐπάγων* καθ' ἑκάστην ἡμέραν » (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος). Τὸ δὲ νῦν ἑβραϊκὸν « ὁ Θεὸς κριτὴς δίκαιος, καὶ *Θεὸς ὀργιζόμενος πᾶσαν ἡμέραν* » (καὶ πλέον οὔ). Πόθεν ἡ τοσαύτη διαφορά; Οἱ κριτικοὶ κεκρίκασιν, ὅτι τὸ *ἰσχυρός* ἐστι παρεμπεποιημένον ἴσως ἐκ τοῦ Ἀκύλα, ὅστις πάντοτε σχεδὸν τὸ ἑβραϊκὸν El (θεὸς) ἑρμηνεύει *ἰσχυρός*· καὶ τὸ *μακρόθυμος* δὲ κρίνουσι παρένθετον ἔκ τινος ἄλλης ἑρμηνείας. Τὸ δὲ « *μὴ ὀργὴν ἐπάγων* » ἄλλως (λέγουσι) παρεπλάσθη. Τὸ ἑβραϊκὸν ἔχει El zoem (Θεὸς ὀργίλος, ἢ θυμώδης, irascens)· τοῦτο τοίνυν ἢ ἄλλος τις ἑρμηνεὺς (κατὰ τὸν Ἀγέλλιον), ἢ καὶ αὐτοὶ Ο (ὑπογλυκαίνοντες, ὡς ἀνιλεώτερον, κατὰ τὸν Δοιδερλῖνον!) ἀνέγνωσαν Al (μὴ) ὀργὴν ἐπάγων, καὶ οὕτω συνέστη τὸ πολυσύνθετον κρᾶμα τῆς ἑλληνικῆς ἑρμηνείας! (α). Καὶ ὅμως 1) τὴν φράσιν ὁλόκληρον τῶν Ο ἔχουσιν ἡ Βουλγάτα, καὶ ὁ Σύρος· ὥστε, πᾶν τοὐναντίον, αὐτοὶ οἱ ῥαββῖνοι ψευδῶς ἔστιξαν καὶ ἀνέγνων El (Θεὸς), ἀντὶ τοῦ γνησίου Al (μή). Οὕτω παρεφώνησαν καὶ ἀλλαχοῦ, ὡς ὀψόμεθα ἐν τοῖς ἑξῆς· 2) Ὁ θεῖος Χρυσόστομος διέσωσε τὰς τῶν ἄλλων (τῶν περὶ τὸν Ἀκύλαν) ἑρμηνείας (β)· καὶ αὐτὸς ὁ Χρυσόστομος, καὶ ὁ Μ. Βασίλειος, καὶ ὁ Θεοδώρητος, καὶ ἄλλοι τῶν ἀρχαίων Πατέρων (οἵτινες εἶχον πρὸ ὀφθαλμῶν τὰ Ἑξαπλᾶ τοῦ Ὠριγένους) γράφουσιν ὁλόκληρον καὶ ἀκραιφνῆ τὴν φράσιν κατὰ τοὺς Ο. Ὥστε ἡ ἐκ τῶν ἄλλων ἑρμηνευτῶν, ἢ *γλωσσημάτων*, λεγομένη ἀνάμιξις τοῦ χωρίου

(α) Βλ. Agellium παρὰ Montfaucon, Hexapl. vol. 1. p. 481. — Rosenmüll. Schol. in h. l. — Drusij Annotat. ad h. l.

(β) Χρυσόστομ. εἰς ψαλμ. ζ. σελ. 75 τόμ. 3. Παρὰ δὲ τῷ Κορδερίῳ (Explanat. Psalmor. Tom. 1. p. 143)· *αἱ παρὰ τῷ Χρυσοστόμῳ ῥήσεις τῶν ἄλλων ἑρμηνευτῶν γράφονται μετὰ τοῦ ἀρνητικοῦ μή· « Ἄλλος (ὁ Σύμμαχος) φησὶ μὴ ἐμβριμώμενος· ἄλλος δὲ (ὁ Ἀκύλας) μὴ ἀπειλούμενος ». Ἄλλως δὲ γράφονται παρὰ τῷ* Bos *ἐκδ. τῶν* Ο *(σελ.* 727). *καὶ* Montfauc. Hexapl. vol. 1. p. 481.

τῶν Ο ὑπάρχει πλάνη τῶν κριτικῶν. 3) Τὸ «*μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην*» φαίνεται ταὐτὸ καὶ τὸ «*οὐκ εἰς τέλος ὀργισθήσεται*» (Ψαλμ. ρβ, 9), καὶ τὸ «μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν; κτλ. (Ψαλμ. πδ, 5)· καὶ ὅλη ἡ φράσις ἀναφέρεται εἰς Ἐξόδ. λδ. 6 (πρβλ. καὶ Ἀριθμ. ιδ, 18). 4) Τέλος, ἡ ἑβραϊκὴ φράσις, ἡ «*ὀργιζόμενος κατὰ πᾶσαν ἡμέραν*» ἄτοπος καὶ βλάσφημός τις εἶναι δοκεῖ (εἰ γὰρ *πᾶσαν ἡμέραν* ὁ Θεὸς ὀργίζεται συνεχῶς, πότε λοιπὸν ἐλεεῖ;). Ὅθεν ὁ Χαλδαῖος Ταργουμιστὴς αὐτὴν διεσκεύασε, γράψας, «ὁ Θεὸς κριτὴς δίκαιος, *ἀλλ' ὀργῇ* θυμούμενος *κατὰ τῶν πονηρῶν* πᾶσαν ἡμέραν. Ἄλλοι ἀναγινώσκουσι κατ' αἰτιατικὴν «*ὁ Θεὸς τὸν δίκαιον, καὶ τὸν παροργίζοντα*» (αὐτὸν δηλαδὴ), καὶ ὑπονοοῦσι τὸ *κρίνει* (α). Εἰς τοσαύτας εὑρεσιολογίας κατήντησαν οἱ ἄνδρες, ἵνα μὴ ὁμολογήσωσιν ἓν καὶ μόνον ἁπλοῦν πρᾶγμα, τοῦ Μασοριτείου κειμένου *τὴν κακὴν στίξιν καὶ κολόβωσιν*!

Ψαλμ. ρθ, 3 (Ἑβρ. 110) «*Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε*»· οἱ Ο· τὸ δὲ νῦν ἑβραϊκὸν, «*Ἐκ γαστρὸς ἀπὸ τῆς ἠοῦς σοι δρόσος τῆς γεννήσεώς σου*» (β). Πρὸς τούτῳ πλησιάζει καὶ Ἀκύλας· «Ἀπὸ μήτρας ἐξωρθρισμένης σοι δρόσος παιδιότητός σου»· καὶ Σύμμαχος· «Ὡς κατ' ὄρθρον σοι δρόσος ἡ νεότης σου» (ὅπου λείπει τὸ *ἀπὸ μήτρας*)· καὶ ἡ Ε, ἔκδοσις, «Ἐκ μήτρας ἀπὸ ὄρθρου σοι δρόσος ἐν νεότητί σου»· ἡ δὲ ϛ, «ἐκ γαστρὸς ζητήσουσί σε, δρόσος νεανιότητός σου· ὁ δὲ Θεοδοτίων μᾶλλον ἀποκλίνει πρὸς τοὺς Ο (πλὴν τῆς τελευταίας λέξεως) «ἐκ μήτρας ἀπὸ πρωΐ *νεότητός σου*» (ὅπου λείπει τὸ *δρόσος σοι*) (γ). Ὁ δὲ Χαλδαῖος (Ταργουμιστὴς), παραφραστικώτερον· «ταχέως ἔσονταί σοι ὡς δρόσος καταβαίνοντες, καθίζουσι πεποιθότως οἱ γεννητοί σου».

(α) Rosenmüll. Schol. ad h. l.

(β) «A vulva (ἄλλ. ex utero), ab aurora tibi ros nativitatis tuae» (ἑρμην. Ariae Montan.). Καὶ αὐτὸ τὸ ἑβραϊκὸν κατὰ λέξιν (ὡς γέγραπται παρὰ τοῖς ἀρχαίοις). «Μηρὲμ μεσσαὰρ λακθὰλ ἰελεδεθέχ». Ἐπιφ. Αἱρ. ξς: Montfauc. Hexapl. vol. 1. pag. 624.

(γ) Θεόδωρ. Ἡρακλ. ἑρμην. εἰς τοὺς ψαλμ. Corder. Tom. 2. pag. 241. καὶ Ἐπιφάν. αὐτ. καὶ Εὐσέβιος. βλ. Montfauc. Hexapl. vol. 1. p. 624. κτλ.

Καὶ τέλος, ὁ μακάριος Ἱερώνυμος πάντη διαφόρως· « ὡς ἐκ μήτρας ἀνατελεῖ σοι ἡ δρόσος τῆς νεότητός σου» (α). Ἐν πάσαις ταύταις ταῖς μετὰ Χριστὸν ἑρμηνείαις βλέπει πᾶς τις οὐ μόνον διαφωνίαν, ἀλλὰ καὶ ἀσάφειαν καὶ στρεβλότητα, οἵα καὶ ἡ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ. Τοῦτο δὲ καὶ ἄλλως ἄλλοι τῶν κριτικῶν θεραπεύουσι καὶ παραποιοῦσιν. Οἱ μὲν, « οἱ νέοι σου *(ἔσονται)* σοι *(ὡς)* ἡ δρόσος *(ἡ ἐξερχομένη)* ἐκ τῆς μήτρας τῆς ἠοῦς. Οἱ δὲ, « ὑπὲρ τὴν γαστέρα τῆς ἠοῦς » (τουτ. ὑπὲρ τὴν δρόσον τὴν ἐκ τῆς μήτρας τῆς ἠοῦς) « ἔσται σοι ἡ δρόσος τῆς γενέθλης σου, ἤτοι τῶν ἀπογόνων σου»· ἢ « Ἡ δρόσος τῆς νεότητός σου (τουτ. τῆς νεολαίας σου, ἢ τῶν νέων σου) ἔσται σοι ὑπὲρ τὴν δρόσον τῆς ἠοῦς» (β). Καὶ ταῦτα παραδειματίζουσιν ἀτόπως πρὸς τὸ (Β. Βασιλ. ιζ, 12) « *ὡς πίπτει ἡ δρόσος ἐπὶ τὴν γῆν*» (ὅπου εἰκονίζεται οὐχὶ τὸ *πλῆθος* τοῦ στρατοῦ, ὅπερ ἐκεῖ συγκρίνεται πρῶτον « *πρὸς τὴν ἄμμον τὴν ἐπὶ τῆς θαλάσσης*» στίχ. 11, ἀλλὰ μᾶλλον ἡ παρομοία δρόσου πρωϊνῆς ταχεινὴ καὶ ἥσυχος ἐπίπτωσις τῶν εἰσ-

(α) «Quasi de vulva orietur tibi ros adolescentiæ tuæ» (ἐν τῷ καθ' Ἑβραίους ψαλτηρίῳ). Ὅθεν ὁ κλεινὸς Ματθαῖος ὁ Σαβέριος, δικαίως ἠγανάκτησεν ὅτι παρεὶς ὁ πατὴρ τὴν ὑψηλὴν ἐξήγησιν τῶν Ο, κατέβη καὶ αὐτὸς εἰς τοιαύτην ἀγενῆ καὶ σκοτεινὴν καὶ ἀμφίβολον τοῦ ῥητοῦ ἑρμηνείαν. S. Mattei, J Salmi tradotti dall' Ebraico etc· Tom. 5. pag. 175. Padova, 1780.

(β) Βλ. Rosenmüll. Schol. in h. l. καὶ Lowth, De Sacra Poesi Hebr. p. 207. Ὅστις καὶ βεβαιοτάτην ἀπεφήνατο ἣν αὐτὸς ἡρμήνευσεν ἐξήγησιν τοῦ ῥητοῦ « Connabor (λέγει) itaque efficere, ne de loci gravissimi, atque ,ut mihi videtur, clarissimi c e r t i s s i m a i n t e r p r e t a t i o n e posthac dubitetur » etc. Καὶ πειρᾶται ἀποδεῖξαι τὴν ἔλλειψιν τῆς ῥήσεως (ἣν αὐτὸς ἀναπληροῖ λέγων· « ἡ δρόσος σου ὑ π ὲ ρ τ ὴ ν δ ρ ό σ ο ν τῆς ἠοῦς), φέρων καὶ ἄλλων ἐλλείψεων παραδείγματα· οἷον ἐκ τοῦ Ἰὼβ, λε, 2. ὅπου (κατὰ τὸ ἑβρ.) « ἡ δικαιοσύνη μου ὑπὲρ τὸν Θεὸν » (mea justitia prae Deo), ἀντὶ ὑπὲρ τὴν τοῦ Θεοῦ (ὅπου οἱ Ο « Δίκαιος εἰμὶ ἔναντι κυρίου »), καὶ ἄλλα (ὧν οὐδὲν οἴδασιν οἱ Ο). Οὕτω, λέγει, κ α ί τ ο ι σ κ λ η ρ ό τ ε ρ ο ν, τὸ « ἡ δρόσος τῆς γενέθλης σου ἀπὸ τῆς ἠοῦς = ὑπὲρ τὴν δρόσον τῆς ἠοῦς ! ! Ἀλλὰ κἂν δῷ τις αὐτῷ τὴν χρῆσιν τῶν ἐν τῷ ἑβραϊκῷ προβαλλομένων ἐλλείψεων, μάταια πάντα· διότι τὸ παραδειγματιζόμενον αὐτὸ τὸ « ἡ δ ρ ό σ ο ς σ ο υ » οὐχ ὑπάρχει, οὐδ' ἔγραψεν αὐτὴν ὁ ψαλμῳδός. βλ. ἐφεξῆς ἐν τοῖς ἀνωτέρω.

βαλόντων· « *καὶ παρεμβαλοῦμεν ἐπ' αὐτῶν, ὡς πίπτει δρόσος ἐπὶ τὴν γῆν).* Δρόσος δὲ (λέγουσι) *τῆς γαστρὸς* τῆς ἠοῦς, αὐτή ἐστιν ἡ δρόσος τῆς ἠοῦς, ἥτις ἀναριθμήτους δρόσου σταγόνας ἐν μιᾷ νυκτὶ συναθροισθείσας, οἷον ἐκ τῆς μήτρας αὐτῆς ἀποτίκτει· τοιαῦτα (λέγουσι) καὶ τὰ τοῦ Ἰὼβ (λη, 8, καὶ 28) «Θάλασσα ἐκ *κοιλίας μητρὸς* αὐτῆς ἐκπορευομένη »· καί, «τίς ἐστιν ὁ *τετοκὼς βώλους δρόσου;*» (ἤγουν, ἀπὸ μὲν τοῦ 8 στίχου λάβε τὴν *κοιλίαν τῆς μητρὸς* τῆς θαλάσσης, ἀπὸ δὲ τοῦ 28, στίχου λάβε *τὸν τόκον τῶν βώλων τῆς δρόσου*, καὶ συμφύρας, ἀπάρτισον ἐξ ἀμφοτέρων τὴν εἰκόνα « *τῆς γαστρὸς τῆς ἠοῦς*, τικτούσης *δρόσου σταγόνας*, ὧν ἔσται πολυπληθεστέρα *ἡ δρόσος τῆς νεολαίας*! κτλ.) (α). Σοφώτατα ταῦτα τῶν κριτικῶν, οἷς ἠδύναντο προσθεῖναι καὶ τὰ παρ' Ἕλλησι συνήθη, *ἑέρση*, καὶ *δρόσος*, καὶ *ψάκαλος*, ὡς ἐπονομάζονται πάντα τὰ νεογνὰ καὶ νεαρὰ (οἷον, «*δρόσοις λεόντων* ». Αἰσχύλ. Ἀγαμ. 145)· ἀλλ' ὅμως ἀποβαίνουσι τὰ πάντα ματαίων *ἐπῳδῶν* θρυλλήματα πρὸς θεραπείαν τῆς πληγῆς τοῦ Μασοριτικοῦ κειμένου. Ὁ θεῖος προφητάναξ οὐκ ἔγραψεν οὐδόλως τὸ «*σοὶ δρόσος*» (Ἑβρ. lekha tal). Οὐδ' ὑπῆρχον ἀνέκαθεν ταῦτα τὰ ῥήματα εἰς τὸ κείμενον, ὡς ἀπέδειξε τρανῶς ὁ Οὐβιγάντης (σημ. εἰς Ψαλμὸν 110). Ἐγεννήθησαν δὲ κατὰ παραφθορὰν τῆς πρὸς τὸ *ἐγέννησά σε* ἀντιστοιχούσης καὶ μετ' αὐτὰ παρακολουθούσης εὐθὺς ἑβραΐδος φωνῆς, (τῆς jelidetikha), εἴτε ὑπὸ χρόνου, εἴτε καὶ ἐξ ἀβλεψίας τῶν μεταγραφέων ἔν τινι κώδηκι παραφθαρείσης (καὶ μάλιστα ἐν τοῖς μετὰ τὴν ἅλωσιν συγχεομένοις ἑβραϊκοῖς κώδηξι), κἀκεῖθεν καὶ εἰς τὴν ᾤαν τῶν ὑγιαινόντων χειρογράφων προσγραφείσης, ὅθεν παρεισέδυσαν ἔκπαλαι

(α) Περιέβαλε μὲν ἡ Μασορίτειος φαντασία καὶ *βλέφαρα* καὶ *πτέρυγας* τὴν ἠῶ (κατὰ τὴν *λευκόπτερον ἡμέραν*! Εὐριπ.), οἷον ἐν οἷς ἔγραψε (ψαλμ. 139, 8) « ἐὰν ἀναλάβω *τὰς πτέρυγας τῆς ἠοῦς* (ὅπου οἱ Ο, γνησίως καὶ ἀκριβῶς· « ἐὰν ἀναλάβω *τὰς πτέρυγάς μου κατ' ὄρθρον*». ψαλμ. ρλη, 9), ἀλλὰ *γαστὴρ*, ἡ *μήτρα* τῆς ἠοῦς ἐν τούτῳ μόνον τῷ χωρίῳ ἀπαντᾶται (ὅσον ἡμεῖς οἴδαμεν). Βλ. καὶ Gesen. Lexic. Hebr. pag. 995.

καὶ εἰς τὸ κείμενον (α). Ἀλλ' ὑπῆρχον ὅμως καὶ χειρόγραφα καθαρεύοντα τούτων. Ὅθεν οἱ μὲν ἄλλοι οἱ περὶ τὸν Ἀκύλαν ἀναγνόντες αὐτὰ, μετέφρασαν· ὁ δὲ Θεοδοτίων οὔτ' ἀνέγνω, οὔτε μετέφρασεν· ἔπειτα, ὁ μὲν Σύμμαχος οὐδόλως ἀνέγνω τὸ « *ἐκ γαστρὸς* » (ὅθεν πάλιν φαίνεται τῶν τότε χειρογράφων ἡ σύγχυσις)· τῶν δ' ἄλλων τῶν ἑρμηνευτῶν ὁ μέν τις ἔγραψε *ζητήσουσί σε* (ἀντὶ τοῦ, *ἀπὸ τῆς ἠοῦς*), οὐδεὶς δὲ εἶπε *μήτραν*, ἢ γαστέρα *ἠοῦς* (*ἀλλὰ κατ' ὄρθρον*, ἢ *ἀπὸ ὄρθρου κτλ.*). Αὐτὸ δὲ τὸ Ἑβρ. Sachar, οὐ μόνον *ἠῶ, καὶ ὄρθρον* (auroram) *σημαίνει*, ἀλλὰ καὶ τὸν ἑωθινὸν ἀστέρα, τὸν *ἑωσφόρον* (luciferum, ὡς ἐσημείωσεν ὁ Μοντάνης ἐν τῷ ἑβραϊκῷ· αὐτόθ.)· οὕτως ἀλλαχοῦ καὶ αὐτὸ τὸ ἑβραϊκὸν ὀνομάζει τὸν ἑωσφόρον· « ἑωσφόρος ἠοῦς *υἱός* » (ben Sachar. Ἡσαϊ. ιδ, 12· ἀνθ' οὗ πάλιν οἱ Ο « ὁ ἑωσφόρος *ὁ πρωῒ ἀνατέλλων*). Καὶ αὐτὸς δὲ ὁ Ἀκύλας ἄλλως πως ἀναγνοὺς, ἔπλασε τὸ *ἐξωρθρισμένη!* Τελευταῖον ἀντὶ τοῦ *ἐγέννησά σε* (Jelidetikha) δι' ἄλλων φωνηέντων τὴν αὐτὴν λέξιν οἱ λοιποὶ ἀναγνόντες (Jaledutekha, ὡς στίζουσι καὶ νῦν οἱ Μοσορῖται, παρὰ τοῦ Jaladeti, ἐγέννησα, jaleduth, γέννησις καὶ νεότης), ἐπλαστούργησαν τὰ *παιδιότης καὶ νεανιότης* (β). Καὶ τὰ μὲν τούτων τοιαῦτα. Τῶν δὲ Ο τὴν ἀνάγνωσιν ἐπικυροῦσι α) τὰ παρόμοια χωρία τῆς Γραφῆς· οἷον τὰ, « Πρὸ τοῦ αἰῶνος—πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με» (Παροιμ. η, 23–25)· καὶ, «*Πρὸ τοῦ ἡλίου* διαμένει τὸ

(α) Ἀνέγνω καὶ ὁ Σύρος τὸ tal, καὶ ἡρμήνευσε π α ῖ δ α (δηλονότι νεογνόν· οἷον ἀμνὸν, κτλ.). Ὅθεν ἔχει καὶ ἡ νῦν Συριακὴ μετάφρασις «ἐκ γαστρὸς πρὸ τῆς ἠοῦς σ ο ι π α ῖ δ α ἐγέννησά σε». βλ. Schulz Schol. in h. l.). Παράγουσι δὲ τὸ tal ἐκ τοῦ talal (νεάζειν), πρὸς ὃ παραβάλλει τὸ ἑλληνικὸν θάλλω ὁ Γεσένιος (Lexic. Hebr. pag. 390). Πρόσθες καὶ τὸ θ ά λ ο ς (ὡς καὶ τὸ ἔ ρ ν ο ς, π τ ό ρ θ ο ς, βλαστὸς) ἐπὶ τεκνων νεογνῶν. (Τοιοῦτο ἴσως καὶ τὸ τ ᾶ λ ι ς, ἡ μελλόγαμος παρθένος, πρόσθες καὶ τὸ Συριστὶ θυλικὸν τ α λ ι θ ὰ = ἡ παῖς. Μάρκ. ε, 41). Καὶ ταῦτα μὲν πάντῃ περιττὰ πρὸς τὸ προκείμενον· ὁ δὲ Σχούλζιος ἀστεΐζεται, ὡς ἔοικε, λέγων· «Διατί οἱ Ο καὶ ὁ Θεοδοτίων οὐ μετέφρασαν τὸ lekha tal; διότι οὐκ ἐ ν ό η σ α ν τὰς λέξεις» ! (ἴσ. ἤθελε γράφειν οὐκ ἀ ν έ γ ν ω σ α ν). Schulz ibid. — (β) Βλ. καὶ Cappelli Critic. Sacr. pag. 219.

ὄνομα αὐτοῦ, *καὶ πρὸ τῆς σελήνης*» κτλ. (Ψαλμ. οα) τουτέστι «*πρὸ τοῦ τὸν κόσμον εἶναι*» (Ἰωάν. ιζ, 5). β) Ἡ Βουλγάτα (ἐκ τῆς ἀρχαίας Ἰτάλας). γ) Ὁ Ἄραψ. δ) *Ἑκατὸν* κώδηκες ἑβραϊκοὶ, καὶ ἓξ ἐκδόσεις διατηροῦσι τὴν ἀντίστοιχον τοῦ *ἐγέννησά σε* φωνήν (α). ε) Ὁ μάρτυς Ἰουςῖνος (Ἀπολογ. α, §. 45), ὁ θεῖος Εἰρηναῖος (γ, 6), ὁ Κλήμης, ὁ Ἱππόλυτος, ὁ Εὐσέβιος, ὁ Μ. Ἀθανάσιος καὶ πάντες οἱ ἀρχαιότατοι τῆς Ἐκκλησίας Πατέρες (ἀπὸ τοῦ β, αἰῶνος καὶ ἐφεξῆς), ὅσοι τοῦ ῥητοῦ ἐμνημόνευσαν, γράφουσι τοῦτο, καθὼς οἱ Ο· κἀκεῖνοι δὲ οἱ περὶ τὸν Θεόδοτον ἀνεκήρυττον τὸ *πρὸ ἑωσφόρου* ἐγέννησά σε (β). ς) Ὅθεν καὶ τῶν νεωτέρων κριτικῶν ἐπισημότατοι (τὴν ταραχὴν μάλιστα τοῦ ἑβραϊκοῦ παρατηροῦντες) ὡμολόγησαν τῶν Ο τὴν ἀλήθειαν (γ). Καὶ ταῦτα μὲν περὶ τὸ λεκτικὸν φιλολογικώτερον.

Ἀλλ' ὅταν θεωρήσωμεν τὴν θειοτάτην ἔννοιαν τῆς προφητικῆς ταύτης ῥήσεως, ἥτις ἄγαν ἐκφαντορικῶς καὶ διαῤῥήδην θεολογεῖ τὴν ἐκ τοῦ Πατρὸς *προαιώνιον* γέννησιν τοῦ Μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, εἰς ὃν καὶ ὅλος ὁ θεοπρεπὴς οὗτος ψαλμὸς (ὁ ρθ) ἀναφέρεται (καθὼς αὐτὸς ὁ Κύριος ἡμῶν ἀπεφήνατο, Ματθ. κβ, 44: Μάρκ. ιβ, 36: Λουκ. κ, 43: Πράξ. β, 35: Ἑβρ. α, κτλ.), τότε ποῦ μένουσι τοῦ Μασοριτείου κειμένου αἱ *νεότητες, καὶ ἡ δρόσος τῆς ἡοῦς*; «Διαναστῶμεν, παρακαλῶ, (φησὶν ὁ θεῖος Χρυσόςομος), καὶ συντείνωμεν ἑαυτούς· καὶ γὰρ περὶ σφόδρα μεγάλων ἡμῖν ὁ ψαλμὸς διαλέγεται θεωρημάτων, *οὐ πρὸς ἓν εἶδος αἱρέσεως, ἀλλὰ πρὸς ποικίλα καὶ διάφορα ἑστηκώς*· καὶ γὰρ [καὶ] πρὸς Ἰουδαίους, καὶ πρὸς Παῦλον τὸν Σαμοσατέα, καὶ πρὸς τοὺς τὰ Ἀρείου φρονοῦντας, καὶ πρὸς τοὺς τὰ Μαρκίωνος,—καὶ πρὸς ἅπαντας τοὺς τῇ ἀναστάσει διαπιστοῦντας παρατάττεται» —οἱ Ἰουδαῖοι ἀναφέρουσι τὸν ψαλμὸν εἰς τὸν Ἀβραὰμ, ἕτεροι δὲ εἰς τὸν Ζοροβάβελ, καὶ ἄλλοι εἰς ἄλλον, «καθάπερ *οἱ μεθύοντες, καὶ μηδὲν σύμφωνον*

(α) De-Rossi, Var. Lection. etc. Tom. 3. pag. 73.

(β) Κλήμ. Στρωμ. ἐν Θεοδότ. Ἐκλογ.

(γ) Houbigant, l. c. — Michaelis Coll. Crit. p. 565.

φθεγγόμενοι· μᾶλλον δὲ, καθάπερ οἱ ἐν σκότει βαδίζοντες καὶ προσαράσσοντες ἀλλήλοις ». καὶ, « Τὸ ἐκ γαστρὸς *πρὸ ἑωσφόρου ἐγέννησά σε* αὐτὸν (ὁ προφήτης) εἰσάγει τὸν Θεὸν λέγοντα· σκόπει δὲ καὶ πόσῃ κέχρηται οἰκειότητι τῆς λέξεως· ἤρκει μὲν γὰρ καὶ τὸ εἰπεῖν *ἐγέννησά σε*, ἀλλὰ διὰ τοὺς χαμαὶ βαδίζοντας — καὶ *γαστρὸς* ἐμνημόνευσεν, ἵνα τὸ γνήσιον τῆς γεννήσεως παραστήσῃ, καὶ ὅτι ὁμοούσιός ἐστι τῷ Πατρί· Τὸ δὲ *πρὸ ἑωσφόρου* οὐ πρὸ τῆς ἀνατολῆς, λέγει, τοῦ ἑωσφόρου, ἀλλὰ πρὸ τῆς φύσεως, πρὸ τοῦ γενέσθαι ἑωσφόρον· ὡς ὅταν λέγῃ, πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ » κτλ. (α). Οὕτω καὶ Σευῆρος (ἢ Σευηριανὸς) ὁ Γαβάλων· « τὸ *ἐκ γαστρὸς* καὶ τὸ *ἐγέννησά σε* σημαίνει τὸ ὁμοούσιον, τὸ δὲ πρὸ *ἑωσφόρου* τὸ πρὸ τῶν αἰώνων. Καί [τοι] γὰρ ἡ γαστὴρ ἀλλότριον τῆς ἀσωμάτου καὶ ἐπέκεινα πάντων οὐσίας, πλὴν παραστατικὸν τῆς γνησίας καὶ κατὰ φύσιν ὥσπερ γεννήσεως· τῇ γὰρ πενίᾳ κέχρηται τῶν παρ' ἡμῖν λέξεων ἡ θεία Γραφὴ, τὸ τῆς ἡμετέρας διανοίας χθαμαλὸν, ὡς ἔνεστι, βουλομένη πρὸς τὸ ὕψος τῶν θείων νοημάτων ἀναγαγεῖν » (β). Τοιαῦτα καὶ ὁ Μ. Ἀθανάσιος (πολλαχοῦ), καὶ ὁ Καισαρείας Εὐσέβιος (γ), καὶ ὁ ἱερὸς Ἀμβρόσιος (δ), καὶ Αὐγουστῖνος, καὶ Ἱλάριος (ε), καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (ζ), καὶ Θεοδώρητος (η), καὶ ἄλλοι τῶν Πατέρων συχνοί (θ). Ὥστε καὶ κατὰ τὴν δογματικὴν τῆς θεοπνεύστου ῥήσεως σημασίαν, ἡ μὲν Μασορίτειος ἀνάγνωσις ἄτοπός ἐστι, καὶ πρὸς ἀνθρωπικὰς καὶ βεβήλους ἐξηγήσεις ἄγαν ὀλισθηρὰ καὶ ἐπισφαλὴς, καὶ αὐτόχρη-

---

(α) Χρυσόστομ. εἰς ψαλμ. ρθ.

(β) Σευῆρ. Σειρ. εἰς ψαλμ. αὐτόθ. Τοιαῦτα καὶ ὁ Μ. Ἀθανάσιος πρὸς τὸν Ἄρειον εἰπόντα « γαστέρα ἔχει ὁ Θεός ; » (βλ. τόμ. α. σελ. 98 ἐκδ. Com.). Ὥστε μάτην ὁ Μιχαῆλις ὑπώπτευσεν ὁπωσοῦν ἀκατάλληλον ἐπὶ Θεοῦ τὸ ἐκ γαστρὸς, προτείνων ἀναγνωστέον, ἀγαπητὸν (dilectum) Michael. l. c.

(γ) Εὐαγγ. Ἀποδ. δ. 16. — (δ) S. Ambros. de Fide. cap. 4. — (ε) S. Hilar. de trinit. L. 12. — (ζ) Ὁμιλ. ἑορτ. λόγ. ιβ. σελ. 151· Antverp. 1618. — (η) Ἑρμην. εἰς ψαλμ. ρθ.

(θ) Ὁ δὲ Θεόδωρος ὁ Ἡρακλείας (ἑρμην. εἰς ψαλμ.) μνημονεύων καὶ τὰς πα-

μα ἰουδαϊκή (α). Ἡ δὲ τῶν Ο, γνησία, καὶ θεοπρεπής, καὶ τοῦ μεγάλου μυστηρίου τῆς εὐσεβείας ἐκφαντορική· καὶ τί πλέον; ἢ αὐτοῦ τοῦ «*Ἐν ἀρχῇ ἦν ὁ Λόγος*» ὁμόστοιχος καὶ συνθεοῤῥήμων, μεθ' οὗ συμπαρέταξεν αὐτὴν ἡ μεγάλη σάλπιγξ τῆς Ἐκκλησίας, ὁ οὐρανοφάντωρ Βασίλειος, λέγων· «Ἀλλ' ἡμεῖς *αὐτὰς τὰς τοῦ ἁγίου Πνεύματος φωνὰς* αὐτοῖς παρεξόμεθα. Ἐκ μὲν οὖν τοῦ Εὐαγγελίου λάβωμεν τὸ «*Ἐν ἀρχῇ ἦν ὁ Λόγος*», ἐκ δὲ τοῦ

ρερμηνείας τῶν περὶ τὸν Ἀκύλαν κτλ., πειρᾶται καὶ ἐκ τούτων ἀποδείξεις ἐκφέρειν τοῦ μυστηρίου, ὡς καὶ Θεοδώρητος, καὶ Εὐσέβιος ἐνίοτε ἐν ἄλλοις ποιοῦσιν, ἐπάγοντες, ὡς ἐπιστόμισμα τῶν Ἰουδαίων, καὶ ἐξ αὐτῶν τῶν ἐναντίων μαρτυρίας τῆς ἀληθείας (ὃ καὶ μεγίστην πίστωσιν ἔχει), καὶ οἷον ἐξάγοντες τίμιον ἐξ ἀναξίου, καὶ μέλι ἐκ πέτρας. Λέγει τοίνυν ὁ Θεόδωρος· «Μήτραν ἐξωρθρισμένην» (τὸ τοῦ Ἀκύλα) «τὴν καθαρὰν καὶ ἁγνὴν βούλεται σημαίνειν, τὴν ὑπηρετησαμένην τῇ τοῦ τοῦ κυρίου οἰκονομίᾳ — Οἷα γὰρ δρόσος ἀπ' οὐρανοῦ φερομένη, οὕτω πως ἐν τῇ μήτρᾳ τῆς κυοφορούσης αὐτὸν μητρὸς ἡ τῆς σαρκὸς ὑπέστη σύστασις ἐν τῇ παιδιότητι αὐτοῦ. Τὸ δὲ ἑβραϊκὸν ἀντὶ τοῦ ἐκ γαστρὸς Μαριὰμ ἔχει, ὃ τινες ἔφασαν ὀνομαστὶ τὴν ἁγίαν σημαίνειν παρθένον [οὕτω τὸ ἑβρ. Μερεὲμ (Merechem), ἤ, ὡς ἔγραφον οἱ τότε, Μηρὲμ (βλ. ὄπισθ. σελ. 403) = ἐκ γαστρὸς, συνέχεον πρὸς τὸ κύριον τῆς θεοτόκου Μαριὰμ, διὰ τὴν ὁμοιοφωνίαν]. Ἦσαν καὶ ἐπὶ Χρυσοστόμου οἱ ἐκλαμβάνοντες καὶ αὐτὸ τῶν Ο τὸ «ἐκ γαστρὸς πρὸ ἑωσφόρου» ἐπὶ τῆς κατὰ σάρκα γεννήσεως τοῦ θεανθρώπου (ὃ καὶ Αὐγουστῖνος ἐμνημόνευσε), πρὸς οὓς ἀντιλέγει δικαίως ὁ πάγχρυσος τὴν γλῶσσαν καὶ τὰς φρένας πατὴρ (Χρυσόστομ. εἰς ψαλμ. ρθ.). Ταύτην δὲ τὴν δόξαν ἠσπάσαντο καί τινες τῶν νεωτέρων δυτικῶν, ἐξηγοῦντες τὸ τοῦ Ἱερωνύμου Ex vulva orietur tibi ros». Βλ. Corder. Exposit. etc. Tom. 3. pag 255.

(α) Εἰσὶ δὲ καὶ αὐτῶν τινες τῶν ἀρχαίων ῥαββίνων ἀπονέμοντες τὴν προφητείαν εἰς τὸν Μεσσίαν, ἄλλοι τε καὶ ὁ ῥαββὶς Ἰσαὰκ Ἀράμας, ἐξηγῶν τὸ ἑβραϊκόν. «Antequam (λέγει) crearetur vulva genitricis tuae, prophetata fuit nativitas tua. Et huic convenit illud Ante solem propagatur nomen ejus. quoniam, antequam crearetur sol, subsistens firmum que erat nomen Messiae nostri, erat que sedens ad dexteram Dei» etc. apud Clarium Annot. ad Psalm. 110. καὶ Corder. l. c. καὶ Mattei l. c. pag. 172. Κἀκεῖνοι δὲ οἱ ἐπὶ τοῦ Σωτῆρος ἡμῶν πλατυκράσπεδοι Φαρισσαῖοι ἐρωτηθέντες ὑπ' αὐτοῦ «Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον (τὸν Χριστὸν), πῶς υἱὸς αὐτοῦ ἐστι; (Ματθ. κβ. 43—46), οὐκ ἠδύναντο ἀποκριθῆναι αὐτῷ λόγον», τὸ ὕψος τῆς προφητείας ἐκπληττόμενοι. Ἔστι δὲ ἐν τῷ ἑβραϊκῷ καὶ ἡ ἀρχὴ τοῦ ψαλμοῦ, «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου» ἄγαν φραστικὴ καὶ ἐμφαντικωτάτη, διὰ τὴν κυριωνυμίαν τῶν θείων ὀνομάτων «Εἶπεν ὁ Ἰεχωβὰ τῷ Ἀδωναΐ!» κτλ.

ψαλμοῦ, ὡς ἐκ προσώπου τοῦ πατρὸς εἰρημένον, τὸ, « *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε* » κτλ. (α).

Ταῦτα δεῖγμα μικρὸν τῶν πρὸς τοὺς Ο διαφορῶν τοῦ ἑβραϊκοῦ διὰ τὴν ἐσφαλμένην μάλιστα στίξιν τῶν φωνηέντων.

§. θ. Ἤδη δὲ προστιθέμεθα καί τινα παραδείγματα τῶν διαφορῶν, τῶν προερχομένων ἐκ τῆς ἡμαρτημένης ἐν τῷ ἑβραϊκῷ προσῳδιακῆς διαστίξεως τοῦ λόγου, καὶ τῆς ἀτάκτου τῶν περιόδων εἰς τὰ ἴδια μέρη διαιρέσεως καὶ διαστολῆς. Εἴπομεν (κεφ. β. §. μϛ.), ὅτι τὸ κείμενον τὸ ἑβραϊκὸν ἐπὶ τῶν Ο, ὑπῆρχεν οὐ μόνον τῆς τῶν φωνηέντων στίξεως ἀπηλλαγμένον, ἀλλὰ καὶ γεγραμμένον εἰρομένως ὑφ᾿ ἓν, καὶ εἰς περιόδους, καὶ κῶλα, καὶ κόμματα ἀδιαίρετον (καὶ τούτων γὰρ τὰ σημεῖα εἰσήγαγον οἱ οἱ Μασορῖται). Οἱ μὲν οὖν Ο, ζώσης ἔτι τῆς γλώσσης, διέκρινον τὸ τέλειον καὶ ἀτελὲς τοῦ νοήματος ἐν τῷ ἑρμηνεύειν. Οἱ δὲ Μασορῖται, ὕστερον ἐπελθόντες, διεῖλον τὸν λόγον ἀτάκτως, διακρίνοντες τὰς περιόδους, καὶ τὰ κῶλα, καὶ τὰ κόμματα, πολλάκις ἀκαταλλήλως καὶ ἀπροσφυῶς πρὸς τὴν σειρὰν τῶν ἐννοιῶν. Δῆλον δὲ, ὅτι ἐκ τῆς τοιαύτης ἢ τοιαύτης τῶν φράσεων διαστολῆς προέρχεται πολλάκις καὶ νόημα διάφορον, καὶ μάλιστα ἐν τοῖς *προφητικοῖς* καὶ τοῖς *στιχηροῖς* (οἷον ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν, τῶν Παροιμιῶν, τοῦ Ἰὼβ), ὅπου τὸ νόημα φαίνεται πολλάκις δυσληπτότερον μᾶλλον, ἢ ἐν τοῖς τεύχεσι τοῖς *ἱστορικοῖς*· καὶ ἐκ τούτου τοίνυν ἐγεννήθησαν πολλαὶ τοῦ νῦν ἑβραϊκοῦ πρὸς τοὺς Ο παραλλαγαί· καὶ τούτων παραδείγματα ἐκτιθέμεθα ὀλίγα ἐκ πολλῶν, τὰ ἐφεξῆς.

Ἰωνᾶ Β. στίχ. 6. «Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς, ἄβυσσος ἐκύκλωσέ με *ἐσχάτη· ἔδυ* ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων (β)· στίχ. 7. Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι». (οἱ Ο, Ἀλεξ.).

(α) Μ. Βασιλ. κατ. Εὐνομ. λόγ. β. τόμ. β. σελ. 55.

(β) «Εἰκὸς δὲ καὶ ὄρη λέγειν τὰ τοῖς ὕδασι ταῖς θαλάσσαις κρυπτόμενα» κτλ. (Θεοδώρητ.). Ἀπόκρημνοι καὶ σχισματώδεις, ἢ σπηλυγγώδεις ῥίζαι τῶν ὀρέων (οἷον τῶν ἀκρωτηρίων) ἐν τῇ θαλάσσῃ κεῖνται, ἔνθα καὶ κήτη ἐμφωλεύουσι· πρβλ. ψαλμ. ιζ, 15.

Τὸ δὲ νῦν ἑβραϊκόν· στίχ. 6. « Περιέσχον με ὕδατα ἕως ψυχῆς, ἄβυσσος ἐκύκλωσέ με, φῦκος περιδέδεται τῇ κεφαλῇ μου· στίχ. 7, Εἰς σχισμὰς ὀρέων κατέβην, γῆν τοῖς μοχλοῖς αὐτῆς δι' ἐμὲ εἰς αἰῶνα » (α). Ἐν τούτοις 1) οἱ μὲν Ο ἀνέγνων *Σὸφ* (= τέλος, ἔσχατος), καὶ συνῆψαν πρὸς τὸ *ἄβυσσος* τὸ ἐπίθετον *ἐσχάτη* (τουτ. πυμάτη, κατωτάτη, βαθυτάτη)· 2) τὸ ἐφεξῆς, *ἔδυ* (ὡς ἡρμήνευσαν τὸ νῦν ἑβραϊκὸν chabus, ἄλλως ἴσως αὐτοὶ ἀναγνόντες) *ἡ κεφαλή μου*, συνῆψαν τῷ *εἰς σχισμὰς ὀρέων*· καὶ ὧδε τελευτᾷ τὸ κῶλον καὶ ὁ στίχος· 3) ὁ δ' ἐφεξῆς ἄρχεται ἐκ τοῦ «*κατέβην*» κτλ. Οἱ δὲ Μασορῖται 1) τὸ μὲν κῶλον ἔστιξαν μετὰ τὸ *ἐκύκλωσέ με*· 2) ἀντὶ δὲ τοῦ *Σὸφ*, ἀνέγνων *Σοὺφ* (φῦκος), ὡς ἄλλου κόμματος ἀρχὴν, καὶ ἀντὶ τοῦ *ἔδυ*, ἀνέγνωσαν *δέδεται* (περιδέδεται), καὶ τὸ κῶλον καὶ τὸν στίχον ἀπήρτισαν εἰς τὸ *κεφαλῇ μου*· 3) τὸ δὲ *κατέβην* συνάψαντες μετὰ τοῦ *εἰς σχισμὰς ὀρέων*, ἀφῆκαν ἔπειτα τὸ γῆν, ὡς ἰδίως ἀποδιδόμενον πάλιν εἰς τὸ *κατέβην* (ἄλλοι ἀναγινώσκουσι « γῆ, ἧς οἱ μοχλοὶ *περὶ ἐμὲ*, ἢ *ὑπὲρ ἐμοῦ*, τουτ. ἐπάνω μου εἰσίν)· ἐκ δὲ τῆς τοιαύτης τοῦ λόγου διαιρέσεως, καὶ τῆς παραναγνώσεως τοῦ *φῦκος* ἀντὶ *ἐσχάτη*, προῆλθεν ἡ παράδοξος ἔννοια τοῦ φύκοις τὸν Ἰωνᾶν περιδεδέσθαι τὴν κεφαλὴν ἐν τῇ κοιλίᾳ τοῦ κήτους! (β). Ἀλλ' οὐδεμία τῶν ἀρχαίων μεταφράσεων ἔχει τοῦτο. Ὁ Σύρος· « ἐν βάθει θαλάσσης συγκέκλεισται (conclusum est, ἀντὶ τοῦ ἔδυ) ἡ κεφαλή μου ». Ὁ Ἱερώνυμος,

---

(α) « Circumdederunt me aquae usque ad animam, vorago circumdedit me, carectum alligatum (ἄλλ. alga alligata) capiti meo. Ad excisiones (ἄλλ. ad extrema) montium descendi, terram vectibus suis propter me in saeculum» etc. Μετάφρ. Montan.

(β) Βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ια. σελ. 795. Ἐξηγοῦσι δὲ τὸ « φῦκος περιδέδεται τῇ κεφαλῇ, οἷον κόσμημά τι, ὡς τιάρα » (Gesen. Lexic. Hebr. p. 318). Ἀπὸ γὰρ (φασὶ) τῶν ἐν τῷ βυθῷ τῆς θαλάσσης φυομένων φύκων, οἷον σχοινία τινὰ αὐτόματα συστρεφόμενα, ῥᾷστα περιπλέκονται τοῖς κολυμβῶσιν, ἢ καταδυομένοις (Rosenmüll. Schol. in Jon. h. l.). Ἀλλ' οὐδὲν τούτων ὁ προφήτης φησίν· ἅμα γὰρ αὐτὸν ἐν τῇ θαλάσσῃ ῥιφθέντα, καὶ καταδύντα εἰς τὰ βάθη, κατέπιε τὸ κῆτος (Ἰων. α, 15 ; β, 1). Ἐκ δὲ τῆς κοιλίας τοῦ κήτους προσηύξατο πρὸς κύριον (β, 2).

« πέλαγος ἐκάλυψε τὴν κεφαλήν μου »· καὶ ὁ Χαλδαῖος Ταργουμιστής, « θάλασσα φυκώδης (mare algosum) ἐπικρέμαται ἐπὶ τῆς κεφαλῆς μου ».

Ἀβδιοὺ στχ. 9. « Πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θαιμὰν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ἠσαῦ· στίχ. 10. Διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν σου Ἰακὼβ καλύψει σε αἰσχύνη» κτλ. (οἱ Ο). Τὸ δὲ νῦν ἑβραϊκὸν, στίχ. 9. «Πτοηθήσονται οἱ ἀνδρεῖοί σου, ὦ Θαιμὰν, ὅπως ἐκκοπῇ ἄνθρωπος ἐξ ὄρους Ἠσαῦ ἀπὸ φόνου (ab occisione=διὰ τὴν σφαγήν)· ςίχ. 10. Ἀπὸ ἀδικίας τοῦ ἀδελφοῦ σου Ἰακὼβ», κτλ. Ἀλλὰ τὴν κατὰ τοὺς Ο ἀνάγνωσιν καὶ διαίρεσιν, ἢ στίξιν τοῦ λόγου βεβαιοῦσιν ὁ Σύρος, ἡ Βουλγάτα, ὁ Χαλδαῖος. Καὶ αὐτοὶ δὲ οἱ νεώτεροι οὕτω διορθοῦσι τὸ ἑβραϊκόν (α).

Ἠσαϊ. α, ςχ. 12. «Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. ςχ. 13. Ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοι ἐστί »· οἱ Ο. Τὸ δ᾽ ἑβρ. στίχ. 12. « Τίς ἐζήτησε τοῦτο ἐκ τῶν χειρῶν ὑμῶν, ἵνα πατῆτε τὰς αὐλάς μου; 13. Οὐ προσθήσετε προσφέρειν μοι δῶρον ψευδὲς (ἄλλ. *μάταιον*)· τὸ θυμίαμα αὐτὸ βδέλυγμά μοι (ἐστί)». Ἐν τούτοις φαίνεται ἐκ πρώτης ὄψεως ἡ κατὰ Μασορίτας ἄτοπος τοῦ λόγου διαίρεσις. Κατὰ τοὺς Ο, τὸ *ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν* ἀναφέρεται εἰς τὰ προηγούμενα ἐν ςίχ. 11 (τὰ ὁλοκαυτώματα, καὶ τὸ ςέαρ, κτλ. οὕτως ἀνέγνων καὶ ἡ Βαρνάβα ἐπιςολὴ, ϛ. 2: ὁ Ἰουςῖν. Ἀπολ. α. §. 37, ὁ Μ. Βασίλειος, ὁ Θεοδώρητος, καὶ ἄλλοι, καὶ Ἱερώνυμος ἐν τοῖς ὑπομνήμασι). Σύνηθες δὲ καὶ ἀλλαχοῦ τῆς θείας Γραφῆς τὸ *ἐκζητεῖν* (ἢ προσδέχεσθαι) *ἐκ τῶν χειρῶν τινος θυσίαν*, κτλ. τὸ δ᾽ ἐκζητεῖν *ἐκ τῶν χειρῶν τινος* καὶ αὐτὸ τὸ *πατεῖν* τὴν αὐλὴν, μόνη λέγειν οἶδεν ἡ στίξις τῶν Μασοριτῶν, οἵτινες ἀποῤῥήξαντες ἐκ τοῦ 12 στίχου τὸ *Οὐ προσθήσεσθε* (ὅθεν ἐξήρτητο τὸ *πατεῖν τὴν αὐλὴν)*, μετέστησαν ὡς ἀρχὴν τοῦ 13, στίχου· παρα-

(α) Βλ. Schulz καὶ Rosenmüll. Schol. in h. l.

ποιήσαντες καὶ τὸ «ἐὰν φέρητε» εἰς ἀπαρέμφατον (προσφέρειν μοι)· διὸ καὶ δυσχερείας πολλὰς παρέσχον τοῖς κριτικοῖς (α).

Ψαλμ. κϛ. 12. (Ἑβρ. κζ). «Ἐπανέστησάν μοι μάρτυρες ἄδικοι· καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. στίχ. 13. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων» (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος κτλ.). Τὸ δ' ἑβραϊκὸν, ϛχ. 12. «Ἐπανέστησάν μοι μάρτυρες ψευδεῖς, καὶ λαλῶν ἁρπαγήν (β). στίχ. 13. Εἰ μὴ ἐπίστευον τοῦ ἰδεῖν τὴν ἀγαθωσύνην Κυρίου ἐν γῇ ζώντων» — Ἐνταῦθα οἱ μὲν Ο, συνῆψαν ὀρθῶς πρὸς τῷ ἀδικία τὸ ἑαυτῇ, καὶ αὐτοῦ τελευτᾷ τὸ κῶλον, αὐτοτελῆ παρέχον τὴν ἔννοιαν. Ἡ δὲ ῥαββινικὴ διάϛιξις ἀποκόψασα τὴν ἀντωνυμίαν (ἑβρ. *λου*), καὶ προσθεῖσα καὶ ἄλλην συλλαβὴν, τὴν μὴ (ἑβρ. *λε*), ἐσχημάτισε σύνθετον τὸ *λουλε* (εἰ μὴ), καὶ ἐκ τούτου ἤρξατο νέου ϛίχου (τοῦ 13) «Εἰ μὴ ἐπίστευον» κτλ. Ἐπειδὴ δὲ ὁ λόγος μένει χωρὶς ἀποδόσεως ἀπέραντος καὶ ἀτελὴς, οἱ μὲν τῶν κριτικῶν πλάττουσιν ἀποσιωπήσεως σχῆμα, καὶ ὑπονοοῦσιν «*ἀπωλόμην ἂν*», κατὰ τὸ «Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ, τότε ἂν ἀπωλόμην» (Ψαλμ. ριη, 92)· ἀλλ' ἐν τούτῳ τῷ ῥητῷ πλήρης ἐστὶν ἡ φράσις, καὶ οὐδεμία ἀποσιώπησις. Οἱ δὲ, πρὸ τοῦ *εἰ μὴ* προτάσσουσιν αὐτοσχεδιάζοντες ἐν *οὐαὶ* («Οὐαὶ εἰ μὴ ἐπίστευον! κτλ.). Οἱ δὲ, τέλος, ἀποῤῥίπτουσιν εἰλικρινῶς τὸ *λουλε* (εἰ μὴ), ὡς μασοριτείας ἀμαθείας, ἢ δεισιδαιμονίας ἔκγονον, καὶ ἀναγινώσκουσιν ὡς οἱ Ο. Οὐδὲ γὰρ τῶν ἄλλων τῶν ἀρχαίων ἑρμηνευτῶν οὐδεὶς ἀνέγνω τοῦτο τὸ μόριον (πλὴν τοῦ Χαλδαίου μόνου), καὶ πέντε δὲ κώδηκες ἑβραϊκοὶ οὐκ ἔχουσιν αὐτό (γ).

Ψαλμ. πθ. 2. «Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. ϛίχ. 3. *Μὴ* ἀποστρέψης ἄνθρωπον» κτλ. (οἱ Ο καὶ ἡ Βουλγάτα·

(α) Βλ. Rosenmüll. Schol. in h. l. Ὁ δὲ Καπέλλιος κακῶς ἔστιξε τὰ τῶν Ο, «Ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοι» κτλ.

(β) Ἄλλοι, «πνέων βίαν»· ὁ Σύμμ. «ἐξεφάνη ἡ ἀδικία».

(γ) Schulz καὶ Rosenmüll. Schol. in h. l. — Michael. Orient. Bibl. T. 12 p. 135. — De-Rossi, Var. Lect. vol. 4. p. 22.

πρβλ. ψαλμ. ηβ. 2. «*ἀπὸ τοῦ αἰῶνος σὺ εἶ*»).Τὸ δὲ ἑβραϊκὸν, ϛχ.2. «Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ ὁ *Θεός*. στίχ. 3. Σὺ ἐπιστρέφεις ἄνθρωπον» κτλ. Οὕτως οἱ μὲν Ο ἀναγνόντες *Αλ* (μὴ), συνῆψαν τοῦτο εἰς τὴν ἀρχὴν τοῦ 3, στίχου· οἱ δὲ ῥαββῖνοι ἀναγνόντες *Ελ* (Θεὸς), προσῆψαν εἰς τὸ τέλος τοῦ προηγουμένου 2, στίχου, καὶ μετέβαλον τὸν λόγον ἐξ ἀποφατικοῦ εἰς καταφατικόν. Ἄλλα πολλῷ πλείω τούτων παραδείγματα τῆς ἀτόπου τοῦ λόγου στίξεως καὶ διαιρέσεως βλέπε παρὰ τῷ Καπελλίῳ (σελ. 235–240). Ἡμεῖς δὲ μεταβαίνομεν εἰς τὰς ἐκ τῶν γραμμάτων προκυπτούσας πολλὰς τοῦ νῦν ἑβραϊκοῦ πρὸς τοὺς Ο διαφοράς (α).

§. ι. Β) Τῶν περὶ τὰ γράμματα παραλλαγῶν, ἢ διαφορῶν, τὰ εἴδη θεωροῦνται τετραπλῶς α) κατ᾽ ἐναλλαγὴν, β) κατὰ μετάθεσιν, γ) κατὰ πρόσθεσιν, δ) κατ᾽ ἔλλειψιν. Ἑκάστου τούτων καταλέγομεν παραδείγματα ὀλίγα ἐκ πολλῶν.

α) Παραδείγματα τῶν ἐκ τῆς *ἐναλλαγῆς*, ἢ μεταβολῆς ἑνός τινος, ἢ πλειόνων ἑβραϊκῶν γραμμάτων προκυπτουσῶν διαφορῶν.

Κριτ. ιη, 7. «*Κληρονόμος ἐκπιέζων* θησαυρούς» (ἐκδόσ. Βατικανοῦ, Ἀλδ. Ἐνετ. καὶ ἐν τῇ Ὀκτατ. ἐκ δὲ τοῦ Ἀλεξανδ. λείπει). Τὸ δ᾽ἑβραϊκ.«*Κεκτημένος* κράτησιν» (retentionem, ἑβραϊςὶ, ezer, ὅπερ ἄλλοι μὲν ἐπεξήγησαν imperium, ἐξουσίαν, ἄλλοι δὲ immunitatem, τὸ ἀφορολόγητον). Ἀλλ᾽ οἱ Ο, ἀντὶ μὲν τοῦ νῦν ezer ὀρθῶς ἀνέγνων ozar, καὶ ὀρθῶς ἡρμήνευσαν *θησαυρούς*. Τὸ δὲ πάλιν ἑβραϊκὸν joresch (ὃ τὸν *κληρονόμον*, καὶ τὸν κτήτορα σημαίνει, καὶ μάλιστα τὸν δι᾽ ἁρπαγῆς, ἢ βίας *ἐκπιέζοντά* τινος τὴν κληρονομίαν) (β) ἀκριβῶς ἐσαφήνισαν διὰ δύω λέξεων «*κληρονόμον ἐκπιέζοντα*». Ὥστε κακῶς ὑπέλαβον οἱ

(α) Πάμπολλα καὶ τούτων παραδείγματα καταλέγει ὁ Καπέλλιος (Crit. Sacr. pag. 241. 271). Ἀντεῖπε δὲ (πολλάκις εἰς μάτην) πρὸς ταῦτα ὁ Βουξτόρφιος (Anticritica). Διώρθωσε δέ τινα καὶ ὁ Scharfenberg (ἐκδ. Cappel. T. 11. p. 581, sq.).

(β) Βλ. Gesenij, Lexic. Hebraic. p. 447 καὶ Schleusn. Thes. V. Test. λ. ἐκπιέζω.

κριτικοὶ τὸ *ἐκπιέζοντα* γλώσσημα παρεισφρῆσαν ἐξ ἄλλης ἑρμηνείας, τῶν Ο. — Ζαχαρ. ε, 6 : « *Ἀδικία* αὐτῶν» (οἱ Ο, Σύρ. Ἄραψ, καὶ κώδηκ. ἑβρ.)· τὸ δὲ νῦν ἑβραϊκὸν, «τὸ *ὄμμα* αὐτῶν ». Οὕτως ἡ ἡμαρτημένη ἀλλαγὴ ἑνὸς γράμματος (τοῦ vàv) εἰς τὸ ὁμοιόμορφον ἰῶτα (jod) μετεποίησε τὸ γνήσιον *Αον* (ἀδικία), εἰς τὸ ψευδὲς *Αϊν (ὄμμα)*. Τοῦτο συνεῖδε καὶ ὡμολόγησε καὶ αὐτὸς ὁ τὴν κατ' αὐτὸν ἑβραίαν ἀλήθειαν περὶ πλείστου ποιούμενος Ἱερώνυμος (εἰς Ζαχαρ. αὐτόθ. βλέπε καὶ Οὐβιγάντην αὐτόθι, καὶ Ῥόσσιν τ. 3. σελ. 213).—Ψαλμ. ϙϛ, 11 (ἑβρ. ϙζ) « Φῶς (τῷ δικαίῳ·) *ἀνέτειλε*» (ἑβρ. zarach. πρβλ. ψαλμ. ρια, 4. οὕτως ἀνέγνω καὶ ἡ Βουλγάτα, Σύρος, Ἄραψ, καὶ κώδηκ. ἑβρ. Ῥόσσου). τὸ δὲ κοινὸν ἑβρ. « Φῶς *ἐσπάρη* (ἑβρ. zarua). Οὕτως οἱ Μασορῖται κακογραφοῦντες τὴν ἑβραϊκὴν φωνὴν, ἐμιμήθησαν ἐν ἀγνοίᾳ τὸ ἑλληνικὸν «*Σπείρειν θεόκτισταν φλόγα* » (Ἀριστοτ. Ποιητ. §. ιγ). — Β. Βασιλ. ιη, 3. «*Σὺ* ὡς ἡμεῖς δέκα χιλιάδες » (δηλ. σὺ μόνος ἀντάξιος εἶ δεκακισχιλίων ἡμῶν)· τὸ δὲ νῦν ἑβρ. « *Ὅτι νῦν* ὡς ἡμεῖς, δέκα χιλιάδες»[τὴν Μασορίτειον ταύτην κακογραφίαν διορθοῦσι σχεδόν τι πάντες οἱ κριτικοὶ κατὰ τοὺς Ο]. — Ἆσμ. Ἀσμ. δ. 12. « Κῆπος κεκλεισμένος , ἀδελφή μου νύμφη, *κῆπος κεκλεισμένος*, πηγὴ ἐσφραγισμένη » (οἱ Ο, καὶ ἡ Βουλγ.). Τὸ δὲ νῦν ἑβραϊκὸν « Κῆπος κεκλεισμένος, ἀδελφ. νύμφη, *βρύσις κεκλεισμένη*, καὶ πηγὴ ἐσφραγισμένη». Οὕτως ἀντὶ τοῦ ἑβρ. gan (κῆπος), ἔγραψε gal (βρύσις), καὶ διέφθειρε τὸ καλὸν τῆς ἐπαναλήψεως σχῆμα, ὅπερ ἀποδείκνυσι καὶ ἡ μεσολλαβοῦσα κλητικὴ, ἡ, « *ἀδελφή μου νύμφη* » (α). — Παροιμ. ιθ, 14 « Παρὰ δὲ κυρίου *ἁρμόζεται ἀνδρὶ γυνή* ». Τὸ δ' ἑβρ. «Καὶ παρὰ κυρίου γυνὴ *συνετὴ*»(ὁ δ' Ἀκύλ. Θεοδοτ. *ἐπιστήμων*). Ἐν οὖν τῷ νῦν ἑβραϊκῷ, 1) λείπει προφανῶς ἐκπεσοῦσα ἡ λέξις, ἡ ἀντιστοιχοῦσα *τῷ ἀνδρὶ* (isch)· 2) ἀντὶ δὲ τοῦ νῦν masekaleth (συνετὴ), οἱ Ο (κατὰ τοὺς κριτικοὺς) ἀνέγνων, ἢ masekareth (μισθοῦται, τουτ. διὰ *προικὸς ἄγεται*· οὕτως ἡρμήνευσε καὶ ὁ Χαλ-

(α) Κατὰ τοὺς Ο, διορθοῦσι καὶ Houbigant. Schol. in h. l. καὶ ἄλλοι.

δαῖος ταργουμιστής), ἢ mithmasera (παραδίδοται) (α). Οἱ δέ τινες ὑπέλαβον, ὅτι οἱ Ο τὸ μὲν τοῦ *συνετὴ* ἀντίστοιχον ἑβραϊκὸν ἡρμήνευσαν *ἀνδρεία* (ὡς Παροιμ. λα, 10), καὶ εἰς τοῦτο κρίνουσι τρεπτέον τὸ *ἀνδρί*· τὸ δ' *ἁρμόζεται* (λέγουσι) προσέθηκαν ἀφ' ἑαυτῶν οἱ Ο, συμπληροῦντες τὴν ἐλλειπτικὴν φράσιν τοῦ ἑβραϊκοῦ (β). Ἀλλὰ 1) τὴν τῶν Ο γνησίαν ἀνάγνωσιν καὶ ἑρμηνείαν ἐπικυροῖ ὁ θεῖος Παῦλος, λέγων (κατὰ τὴν αὐτὴν φράσιν) « *ἡρμοσάμην ἑνὶ ἀνδρὶ* παρθένον ἁγνήν » κτλ. (Β. Κορινθ. ια, 2). 2) Αὐτὴ ἡ φράσις μαρτυρεῖ, ὅτι οἱ Ο, οὔτ' ἀνέγνων, οὔτ' ἔγραψαν οὔτ' *ἀνδρείαν*, οὔτε συνετὴν, ἢ ἄλλο τι τοιοῦτον ἐπίθετον, εἰδοποιοῦν μερικώτερον τὴν γυναῖκα. Ἰδοὺ ὁλόκληρος ὁ στίχος τοῦ Παροιμιαστοῦ· « Οἶκον καὶ ὕπαρξιν *μερίζουσι* πατέρες παισὶ, παρὰ δὲ Κυρίου ἁρμόζεται ἀνδρὶ γυνή ». Τὸ πρῶτον κῶλον οὐδὲν εἰδικὸν γνώρισμα τοῦ οἴκου καὶ τῆς ὑπάρξεως περιέχει, οὐδὲ τὸ δεύτερον λοιπὸν τὸ πρὸς ἀπόδοσιν ἀντιστοιχοῦν. Παρὰ τῶν πατέρων (φησὶ) μερίζεται τοῖς παισὶν ἡ τῆς οὐσίας κληρονομία (πρβλ. β. Κορ. ιβ. 14)· ἀλλ' ἡ *γυνὴ* (ἡ νόμιμος σύζυγος), *ἁρμόζεται* (συζεύγνυται) *τῷ ἀνδρὶ* παρὰ τοῦ ἐπουρανίου Πατρὸς· κατὰ τὸ « *Καὶ ἤγαγεν αὐτὴν* (τὴν γυναῖκα) *ὁ Θεὸς πρὸς τὸν Ἀδὰμ* » (Γενέσ. β. 22) (γ)· καὶ, « Οὓς *ὁ Θεὸς* συνέζευξε » (Ματθ. ιθ. 6). πρόσθες καὶ τὸ « Αὕτη ἡ γυνὴ, ἣν *ἡτοίμασε Κύριος* τῷ ἑαυτοῦ θεράποντι τῷ Ἰσαὰκ » (Γενέσ. κδ, 44). Ὅθεν πάλιν ὁ Παροιμιαστὴς ἐπαινῶν ἰδίως τὴν *ἀγαθὴν* γυναῖκα μικρὸν ἀνωτέρω (κεφ. ιη, 22), φησίν· « Ὃς εὗρε γυναῖκα *ἀγαθὴν* , εὗρε χάριτας· *ἔλαβε δὲ παρὰ Κυρίου ἱλαρότητα* » (τουτ. εὐδοκίαν, ὡς Ἀκύλας,

---

(α) Cappel. l. c. p. 244 καὶ Grot. annot. ad 1. Corinth. c. 11. 1.

(β) Βλ. Jaeger in h. l. καὶ Schleusn. Thes. V. Test. v. ἁρμόζω, ἀνὴρ, γυνή.

(γ) « Παρέδωκεν αὐτῷ, καὶ ἐνεχείρισεν αὐτήν» (Χρυσοστόμ. εἰς Γενέσ. Ὁμιλ. ιε). Ὅθεν ὀρθῶς καί τις τῶν νεωτέρων ἐσημείωσεν· « Discamus porro ex praesenti loco, Deum esse qui adhuc hodie omnes, qui juxta verbum suum matrimonia capessunt, conjugit». Fagius Annot. ad Genes. II, 22. πρβλ. Grot. ubi supra.

Σύμμ. Θεοδοτ.). Τὸ δ' ἑβραϊκὸν ἐνταῦθα πέπονθε πᾶν τοὐναντίον, ἢ ἀνωτέρω (ιθ, 14)· οὔτε γὰρ τὸ *ἀγαθὴν* ἔχει, καὶ ἄλλως κεκολόβωται τὴν ἀρχὴν οὑτωσί· «*Εὗρε γυναῖκα, εὗρεν ἀγαθόν*». Ὅθεν οἱ κριτικοὶ πρὸς θεραπείαν προστιθέασι καὶ τὸ *Ὃς* (ἐν τῇ ἀρχῇ), καὶ τὸ *ἀγαθὴν* (μετὰ τὸ γυναῖκα), κατὰ τοὺς Ο. Ἔχουσι δὲ τὸ *ἀγαθὴν* καὶ Σύρος, καὶ ἡ Βουλγάτα, καὶ πάντες οἱ ἀρχαῖοι (πλὴν τοῦ Χαλδαίου) (α). — Ἀριθμ. ις. 5. «*Ἐπέσκεπται, καὶ ἔγνω* ὁ θεὸς τοὺς ὄντας αὐτοῦ». Τὸ δ' ἑβρ. «*Αὔριον καὶ γνωστὸν ποιήσει* ὁ Κύριος τίνες (εἰσὶν) αὐτοῦ» [ὁ ῥαββῖνος ἔγραψε b o k e r vejoda, αὔριον (ἢ ἕω, πρωῒ) γνωστὸν ποιήσει, ἀντὶ τοῦ τῶν Ο, bakar vejada]· ἀλλὰ κατὰ τοὺς Ο, ἀνέγνω καὶ ὁ θεῖος Παῦλος «*Ἔγνω Κύριος* τοὺς ὄντας αὐτοῦ» (β. Τιμοθ. β. 19). Ἄλλα πάμπολλα παραλείπομεν.

β) Τῶν δ' ἐκ τῆς *μεταθέσεως* ἑνός τινος, ἢ πλειόνων γραμμάτων παραλλαγῶν δείγματα κείσθωσαν ταῦτα. Ἀριθμ. κς. 36, 40. Οἱ Ο, *Τανὰχ*, καὶ Ἀδὰρ (κύρ. ὀνόμ.), τὸ δ' ἑβρ. *Ταχὰν* καὶ *Ἀρὲδ* κτλ. — Ὠσηὲ ιγ, 10. «Ποῦ ὁ βασιλεύς σου» (ἑβρ. ajeh = ποῦ· οἱ Ο, καὶ τὸ Ταργοὺμ, καὶ ἡ Βουλγάτα)· τὸ δὲ νῦν ἑβρ. «*ἔσομαι* (ἑβρ. ehi) βασιλεύς σου» (β). Καὶ πάλιν αὐτόθ. στίχ. 14. τὸ ἑβρ. «*ἔσομαί σοι* (κέντρον, ᾅδη» κτλ.). Οἱ δὲ Ο, «*ποῦ* (τὸ κέντρον σου ᾅδη»; κτλ.). πρβλ. Α. Κορινθ. ιε, 55. — Ψαλμ. νδ, 21 (ἑβρ. νε) «Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ» (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος)· τὸ δὲ νῦν ἑβρ. «Μαλακὰ (ἢ βουτυρώδη) τοῦ στόματος (αὐτῶν)· (ἑλλ. τὰ λόγια)· καὶ ὁ Σύμμαχος, «λειότερα βουτύρου τὰ στόματα αὐτῶν» (οἱ Ο ἀνέγνων, chulleku, *διεμερίσθησαν*, καὶ m e c h a m a t h, *ἀπὸ ὀργῆς*, οἱ δὲ ῥαββῖνοι συνέχεον τοῦτο πρὸς τὸ machmaoth, *ἀπὸ βουτύρου*, κτλ. — Ψαλμ. οα, 5 (ἑβρ. οβ) «*Συμπαραμενεῖ* τῷ ἡλίῳ (ἐκ τοῦ ἑβρ. jaarikh. Οὕτω καὶ ἡ

(α) Βλ. Houbig. not. in h. l. καὶ ἔκδ. τοῦ ἑβρ. ὑπὸ Montani. πρβλ. Criticos Sacros Annot. καὶ Schulz Schol. in h. l.—Kennicot. Diss. II. p. 182.— De-Rossi l. c. vol. IV. p. 97. Ὁ δὲ Doederlein (ibid.) εἰς μάτην πειρᾶται δικαιοῦν τὴν ἔλλειψιν. — (β) Βλ. Gesen. Lex. Heb. p. 19.

Βουλγάτα καὶ ὁ Ἄραψ)· τὸ δὲ νῦν ἑβραϊκὸν, «*φοβηθήσονταί σε μετὰ* τοῦ ἡλίου» (irauka), καὶ ἄλλα πάμπολλα.

§. ια. Τῶν δ' ἐκ τῆς *προσθέσεως* ἑνός τινος, ἢ πλειόνων γραμμάτων παραλλαγῶν δείγματα τὰ ἑξῆς.

Ὠσηὲ θ, 12. «*Σάρξ μου* ἐξ αὐτῶν» (οἱ Ο, Θεοδοτίων, Ἱερώνυμος, Θεοδώρητος, ὁ Ἄραψ, καὶ ἄλλαι ἑρμηνεῖαι)· τὸ δ' ἑβραϊκὸν, «*ἐν τῷ ἀποστῆναί με* ἀπ' αὐτῶν» (ὁ Ἀκύλας, *ἐκκλίναντός μου*)· οἱ Ο, ἀνέγνων basari (σάρξ μου), οἱ δὲ Ἰουδαῖοι, basori (ἀποχώρησίς μου; ἢ ἐν τῷ ἀποχωρῆσαί με ». Ἱερών.). Ταύτην τὴν μεταβολὴν τῆς γραφῆς, εἴτε ἑκουσίως (κατά τινας), εἴτε καὶ ἐξ ἀβλεψίας τῶν ἀντιγραφέων γενομένην, κρατοῦσιν ἐπιμελῶς οἱ Ἰουδαῖοι πρὸς συσκίασιν τῆς προφητείας, προκηρυττούσης τρανῶς τὸ «*Ὁ Λόγος σὰρξ ἐγένετο*». Τὴν δ' οὖν γνησίαν γραφὴν, τὴν besari (σάρξ μου) διετήρησε καὶ εἷς κώδηξ ἑβραϊκός (α). — Α. Παραλ. κα, 20. «Καὶ εἶδε τὸν *βασιλέα*» (melekh), τὸ δὲ νῦν ἑβραϊκὸν, «εἶδε τὸν *ἄγγελον*» (meleakh). Ἀλλὰ τῶν Ο, τὴν ἀνάγνωσιν ἐπικυροῦσι καὶ κώδηκες ἑβραϊκοὶ (Ῥόσσ. τόμ. 4, σελ. 183), καὶ τὸ παράλληλον χωρίον (Β. Βασιλ. κδ, 9), ὅπου καὶ τὸ νῦν ἑβραϊκὸν ἔχει τὸν *βασιλέα*. — Γενέσ. ε, 29. Οὗτος (ὁ Νῶε) *διαναπαύσει* ἡμᾶς», τὸ δὲ νῦν ἑβραϊκὸν, «οὗτος *παραμυθήσει* ἡμᾶς» (jenachamenu, ἀντὶ τοῦ τῶν Ο, janichenu, *ἀναπαύσει*, ἐκ τοῦ nucha, ὅθεν παρωνόμασται καὶ τὸ, κατὰ τὴν μασορῖτιν γραφὴν, Noach, ὁ Νῶε)· καὶ δηλοῖ τρανῶς τὸ λόγιον· «ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ *Νῶε*, λέγων· οὗτος *διαναπαύσει* ἡμᾶς» (β). — Ἰεζεκ. με, 5. «Εἴκοσι καὶ πέντε χιλιάδες (πηχῶν) μῆκος, καὶ εἴκοσι (τὸ ἑβρ. δέκα) χιλιάδες εὖρος

(α) De-Rossi, Suplem. pag. 83. πρβλ. Morin. Exercit. Bibl. L. I. c. 2. pag. 104. ὁ δὲ Βαρβερίνειος κώδηξ, «διότι ἀνῆκα αὐτοὺς» καὶ ὁ Θεοδώρητος (ἑρμ. εἰς Ὠσηὲ αὐτ.) ἀναφέρει ἀμφοτέρας τὰς ἀναγνώσεις. Καὶ τὸ ἀ ν ῆ κ α α ὐ τ ο ύ ς, καὶ τὸ «Σ ά ρ ξ μ ο υ ἐ ξ α ὐ τ ῶ ν. ὅπερ ἐ π ὶ τ ῆ ς τ ο ῦ Λ ό γ ο υ σ α ρ κ ώ σ ε ω ς ἑρμηνεύει. βλ. καὶ Hieron. Com. in Osse. ibid.

(β) Βλ. Grotij, Vatable, καὶ Houbig. not. h. l. ὁ δὲ Ravius (Exercit.) μάτην ἀντιλέγει. πρβλ. καὶ Schulz, Schol. in h. l.

ἔσται τοῖς Λευΐταις εἰς κατάσχεσιν *πόλεις τοῦ κατοικεῖν*». Τὸ δὲ νῦν ἑβραϊκὸν, .. εἰς κατάσχεσιν «*εἴκοσιν ἐξέδραι*»· οὕτω καὶ Ἀκύλας, ὁ δὲ Σύμμαχος «εἴκοσι θάλαμοι» ἄλλ. γαζοφυλάκια [οἱ Ο, ἀνέγνων arim (πόλεις) lasebeth (εἰς οἴκησιν), οἱ δὲ Ἰουδαῖοι, ἀντὶ τοῦ arim ἔγραψαν esserim (εἴκοσι) καὶ lesekoth, θάλαμοι ἢ κοιτῶνες]· ἀλλὰ ποῖοί τινες ἂν εἶεν κοιτῶνες 25000 πηχῶν τὸ μῆκος, καὶ δέκα χιλιάδων τὸ πλάτος; Οἱ τοῦ ἑβραϊκοῦ προμαχοῦντες ἀντὶ *θάλαμοι εἴκοσι*, γράφουσι *μετὰ* θαλάμων εἴκοσι, προστιθέντες ἐξ ἑαυτῶν τὴν *μετά*· ἀλλ' εὐκολώτερον καὶ δικαιότερον ἴσως ἂν ἐποίουν, ἀφαιροῦντες ἐκ τοῦ κειμένου τὴν παλαιὰν τοῦ Ἰουδαίου μεταγραφέως προσθήκην (ὡς ἔκριναν καὶ ἄλλοι ἐξ αὐτῶν, καὶ ὁ Καπέλλιος), καὶ γράφοντες κατὰ τοὺς Ο· (εἰς πόλεις γὰρ κατῴκουν καὶ πρὸ τῆς μετοικεσίας οἱ Λευῖται διεσπαρμένοι). Τοσαῦτα καὶ περὶ προσθέσεως.

§. ιϐ. Τῶν δὲ παραλλαγῶν, τῶν ἐκ τῆς ἐλλείψεως ἑνός τινος ἢ πλειόνων ἑβραϊκῶν γραμμάτων, δείγματα ταῦτα.

Α. Παραλ. δ. 8. Ἰαρὶμ (κύρ. ὀνομ.) τὸ δὲ ἑβραϊκὸν Ἀρὶμ (χωρὶς τοῦ ἰώδ). ὁμοίως καὶ (αὐτ. ς, 70) Ἰεβλαὰμ (πόλεως ὄνομα) τὸ ἑβραϊκὸν, Βιλεὰμ (οὐκ ὀρθῶς). — Ψαλμ. οϐ, 10 (ἑϐρ. ογ). «Καὶ *ἡμέραι* πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς»· τὸ δ' ἑβραϊκὸν, «Καὶ *ὕδατα* πλήρους» (καὶ ὑπονοοῦσι *ποτηρίου*, ἢ *ῥύακος*)» ἐκθλιβήσονται (ἢ ἐκμυζηθήσονται) αὐτοῖς»· οἱ Ο ἀνέγνωσαν jeme (ἡμέραι), ὁ δὲ ῥαββῖνος, me (ὕδατα). Ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο μαρτυροῦσιν ὅ,τε Σύρος, καὶ ἡ Βουλγάτα, καὶ δύω κώδηκες ἑβραῖοι (τοῦ Κεννικώτου), τὸ εὑρεθήσονται σημαίνοντες. Καὶ αὐτὴ δὲ ἡ ἐκ τῆς ἐλλείψεως δυσχέρεια τοῦ νοήματος μαρτυρεῖ τὴν φθορὰν τοῦ ἑβραϊκοῦ. Ὑπονοοῦνται μὲν καὶ παρ' Ἑβραίοις πολλάκις (ὡς καὶ παρ' Ἕλλησι, καὶ ἄλλοις) ἔξωθεν τὰ οὐσιαστικὰ ἐπί τινων κειμένων ἐπιθέτων [οἷον εἰς τὸ *δεξιὰ*, τὸ χεὶρ, καὶ τὰ *δεξιὰ* (μέρη), καὶ εἰς τὸ *νεκρὸς*, τὸ ἄνθρωπος κτλ.]· ἀλλ' οὔτε παρ' Ἑβραίοις (οἶμαι), οὔτε παρ' Ἕλλησιν εὑρίσκεται παράδειγμα ἐλλείψεως οὐσιαστικοῦ, ὑπονουμένου εἰς ἐπίθετον περιεκτικὸν, καὶ ἅμα ἀναφερόμε-

νον εἰς ἄλλην παρακειμένην πτῶσιν (ὡς τὸ, ὕδατα *πλήρους*, ἢ μεςοῦ, ἢ κενοῦ, καὶ τὰ τοιαῦτα). ἡ γὰρ τοιαύτη ἔλλειψις ἀόριστον καὶ σκοτεινὸν τὸν λόγον ποιεῖ· «ὕδατα *πλήρους*» (ποίου τούτου; ποτηρίου, λάκκου, φρέατος, κώθωνος, λέβητος, νέφους, ῥύακος, ἢ τίνος;). Πρόσθες καὶ τὸ ἀντίστροφον τῆς φράσεως· ἔδει γὰρ εἰπεῖν τ᾽ἀνάπαλιν, *ὑδάτων πλήρη*, εἴτε ποτήρια, εἴτ᾽ἄλλο πᾶν ὅ,τι ἤθελεν ἡ ῥαββινικὴ φαντασία. Ἔπειτα καὶ ἄλλως ἄτοπος ἡ φράσις καὶ ἐπαρίστερος φαίνεται καὶ μικροποιός· τῷ λαῷ ἐπιςραφέντι ἐκθλιβήσονται, ἢ θηλάσονται, ἢ ἐκμυζηθήσονται (exsuguntur, ἢ exprimentur) ὑδάτων πλήρη *ποτήρια* (οἷον *ἀμυστὶ* πίνοντι!). Σκληρὰ δὲ καὶ τὰ παθητικὰ, *ἐκθλιβήσονται* κτλ. καὶ ἐκ διαμέτρου ἀντικείμενα πρὸς ἐκεῖνο τὸ κάλλιστον καὶ ζωγραφικώτατον· «ἐκ πέτρας μέλι ἐθήλασεν αὐτούς». Οἱ δέ τινες θεραπεύοντες τὴν παράδοξον ἔλλειψιν *τοῦ πλήρους*, ἐξήγησαν αὐτὸ ὡς ἀφῃρημένον, «ὕδατα *πληρώματος* (aqua plenitudinis)· ἀλλὰ καὶ τοῦτο κρυστάλλου ψυχρότερον, καὶ οὐδὲν βέλτιον τοῦ πρώτου! Πόσον δὲ φυσικὸν τὸ τῶν Ο! «*ἡμέραι πλήρεις* εὑρεθήσονται ἐν αὐτοῖς»· τουτ. αἱ ἡμέραι αὐτῶν, οἷον ἀριθμηθεῖσαι, πλήρεις εὑρεθήσονται (τέλειαι, ἢ πλήθουσαι, ὡς τὰ, *πλήρεις ποταμοὶ*, *πλήρης σελήνη*, κτλ.), τὸ αὐτὸ καὶ *πλήρεις ἡμερῶν* ἔσονται· «ἡμέρας γὰρ πλήρεις τὸ γῆρας ἐκάλεσε» (Θεοδώρητ.).—Ἆσμ. Ἀσμ. δ,8. «Δεῦρο ἀπὸ Λιβάνου—ἐλεύσῃ, καὶ *διελεύσῃ* ἀπ᾽ ἀρχῆς *πίστεως*». Οὕτως ἡρμήνευσε καὶ Ἱερώνυμος (ab ininitio fidei) (α). Τὸ δὲ νῦν ἑβραϊκόν· «Μετ᾽ ἐμοῦ ἐκ τοῦ Λιβάνου—ἐλεύσῃ, *ἐπιβλέψεις* ἐκ τῆς ἄκρας *Ἀμανὰ*» (ὅπου παρ᾽ ἓν γράμμα μετέβαλον τὸ διαλεύσῃ εἰς τὸ ἐπιβλέψεις)· τὸ δὲ Ἀμανὰ ἐξέλαβον ὡς κύριον· (καὶ Ἀκύλας οὕτως, «*ἀμανὰ*»). Ἀλλ᾽ οἱ Ο, ἀνέγνων *ἐμουνὰ* (emunah, τουτ. πίςεως), καί τοι καὶ αὐτὸ τὸ *ἀμανὰ* (amanah) εὑρίσκεται ταὐτόσημον προσηγορικόν (β). Οἱ δὲ μεταγενέστεροι ῥαββῖνοι καὶ οἱ κριτικοὶ

(α) S. Hieron. Advers. Jouinian. Lib. 1. p. 484. T. I. Paris 1609.
(β) Scheusn. Thes. V. Test. v. πίστις.—Gesen. Lex. Hebr. p. 73.

τὸ *Ἀμανὰ* ἐξέλαβον ὡς κύριον ὄρους ὄνομα (κατὰ τὰ ἐφεξῆς, Σανὶρ καὶ Ἑρμὼν, ἅπερ οὕτως ἀπέδωκαν καὶ οἱ Ο, αὐτόθι) (α)· μέρος δὲ τοῦ Λιβάνου λέγουσι τὸ Ἀμανὰ, παρονομασθὲν ἀπὸ τοῦ παῤῥέοντος καὶ τὴν Δαμασκὸν ποτίζοντος ποταμοῦ *Ἀμανὰ* (πηγάζει δὲ οὗτος ἐκ τοῦ Ἀντιλιβάνου). Ἀλλὰ πρῶτον μὲν Ἀμανὰ ποταμὸς οὐδαμοῦ τῆς Γραφῆς ἀναγινώσκεται, εἰ μὴ *Ἀβανὰ* (Δ, Βασιλ. ε, 12, ἔν τε τῷ κοινῷ ἑβραϊκῷ, καὶ τῇ Βουλγάτᾳ, καὶ τοῖς Ο· οὕτω καὶ Ὠριγένης ἀνέγνω, κτλ.) Κἂν δὲ δῶμεν καὶ ὅτι τὸ Ἀμανὰ τὸ αὐτό ἐστι καὶ Ἀβανὰ (κατὰ τὴν συνήθη τοῦ μ καὶ β, ἐναλλαγὴν) (β), ἀλλὰ καὶ οὕτω πάλιν ὡς ὄρους ὄνομα τοῦτο δὴ τὸ Ἀμανὰ οὐδαμοῦ κεῖται τῆς Γραφῆς. Ἀλλ' οὐδ' Ἰώσηπος, οὐδ' ὁ Εὐσέβιος, οὐδ' Ἱερώνυμος ἐμνημόνευσαν ὄρους τῆς Παλαιστίνης Ἀμανά. Μόνον ἐν τῷ παρόντι τοῦ Ἄσματος χωρίῳ ἐξέλαβον οἱ νεώτεροι τὴν λέξιν ὡς κυριωνυμίαν μέρους τοῦ Λιβάνου· καὶ ὅμως ὁ Χαλδαῖος Ταργουμιστὴς καὶ ὧδε τὸ *Ἀμανὰ* ἐπὶ τοῦ *Ἀβανᾶ* ποταμοῦ ἐκλαμβάνει (nahar Amana)· καὶ ἀκυρολογεῖ μὲν καὶ οὗτος, ἀλλ' ὅμως ἀποδείκνυσιν, ὅτι κατὰ τοὺς αὐτοῦ χρόνους ἄγνωστος ἦν ἡ ἐπὶ τοῦ ὄρους ἐκδοχὴ τῆς λέξεως. Ἕτερον ὄρος μακρὰν ἀπέχον τοῦ Λιβάνου ἐκαλεῖτο παρὰ τοῖς ἀρχαίοις Ἀμα-

---

(α) Ἑρμὼν (Ψαλμ. πη, 12), καὶ (κατ' ἄλλην προφορὰν) Ἀερμὼν (Ἰησ. ια, 3. Ψαλμ. ρλβ, 3), καὶ (πληθυντ.) Ἑρμωνιεὶμ (ψαλμ. μα, 6) ἐκ πολλῶν πάγων, ἢ ἐξοχῶν συνεστηκὼς αὐχὴν τοῦ Ἀντιλιβάνου (ὡς τὰ, Ἄλπεις, Ἀπέννινα, πληθυντικά). «Οἱ δὲ Φοίνικες τὸ Ἑρμὼν ἐπωνόμαζον Σανιὼρ, (τὸ ἑβρ. ἔχει Σιριὼν, κατὰ μετάθ.), καὶ ὁ Ἀμοῤῥαῖος ἐπωνόμασεν αὐτὸ Σανίρ» (Δευτερ. γ. 9. πρβλ. καὶ Δευτερ. δ, 48. ὅπου καὶ Σηὼν ὀνομάζεται τὸ Ἀερμὼν, κατ' ἄλλην ἴσως ἐξοχὴν αὐτοῦ). Ὥστε τὰ τοῦ Ἄσματος ἀνωτέρω Ἑρμὼν καὶ Σανὶρ ὑπάρχουσι σχεδὸν συνώνυμα. Βλ. Relandi, Palaestin. illustr. L. 1. c. 49—Bochart. Geograph. Sacr. p. 360.—Schulz καὶ Rosenmüll. Schol. in Psalm. 89.

(β) Βλ. De-Rossi, Var. Lect. T. 2. p. 230. καὶ Gesen. Lex. Hebr. p. 73. ὅστις καὶ αὐτὸς Amana τὴν λέξιν γράφει. Πρὸς τοῦτο ἔτρεψαν τὸ τῶν Ο, Ἀβανᾶ καὶ οἱ ἐκδόται τῆς Κομπλουτησίας. Αἱ δὲ λοιπαὶ ἐκδόσεις πᾶσαι, καὶ οἱ πολυάριθμοι κώδηκες τῆς Ὀλμησίας ἐκδόσεως γράφουσιν Ἀβανᾶ. Τοῦτο προτιμᾷ καὶ Οὐβιγάντης. Τοῦτον τὸν Ἀβανᾶ ποταμὸν οἱ Ἕλληνες Χρυσοῤῥόαν καλοῦσι. Οἱ δὲ νῦν ἐγχώριοι, Βαῤῥαδύ. βλ. Calmet. Diction. T. 1. p. 9. καὶ 121.—Schulz. ad 11. Reg. v. 12.

νὸν (α), ὄρος τῆς Κιλικίας. Ὅθεν καί τινες μὴ εὑρίσκοντες ἐν τῇ Παλαιστίνῃ τοιοῦτον ὄρος, ἐνόμισαν ὅτι τὸ ἄνω χωρίον τοῦ Ἄσματος ἐννοεῖ τὸν Ἄμανον τῆς Κιλικίας, οὓς ὁ κλεινὸς Βοχάρτος ἐξήλεγξεν (β). Εἰκάζει δὲ καὶ οὗτος πιθανολογῶν, ὅτι τὸ τοῦ Ἄσματος Ἀμανὰ κορυφή τις ἐστὶ τοῦ Λιβάνου (ἀφ' οὗ τἀνάπαλιν αὐτὸς παρονομάζει τὸν παραῤῥέοντα ποταμὸν) (γ). Ἀλλὰ πάσας τὰς εἰκασίας ταύτας ἁπλᾶς ἀποδείκνυσιν εἰκασίας ἡ ἑρμηνεία τῶν Ο, οἵτινες τὸ ἑβραϊκὸν τοῦ Ἄσματος *ἀμανὰ* μετέφρασαν *πίστιν*, ὡς προσηγορικὸν ἐκλαβόντες· δείκνυσι δὲ καὶ ἡ χρῆσις τοῦ ὀνόματος τοῦ Λιβάνου, ὃς καὶ ἀλλαχοῦ τῶν Γραφῶν καὶ ἐν αὐτῷ τῷ Ἄσματι ὁλοκλήρως ἀείποτε ὀνομάζεται, μηδεμιᾶς κορυφῆς αὐτοῦ διαιρουμένης (δ). Οὕτω καὶ ὧδε τοῦ μὲν Ἑρμὼν καὶ Σανὶρ λέγεται κορυφὴ (ἣν εἶπον οἱ Ο, *κεφαλὴν*, ὡς καὶ ἐν Γενέσ. η, 5), ὁ δὲ Λίβανος ἁπλῶς ἐκφέρεται («Δεῦρο ἀπὸ Λιβάνου»). Ὥστε τὸ *ἀπ' ἀρχῆς πίστεως*, κατὰ γράμμα μὲν (ὅπερ ἀείποτε φιλοῦσιν οἱ τὸν ἐκ τούτου ψυχοκτόνον κίνδυνον μὴ δειλιῶντες) ἐκφράζει τὸ ἀπὸ *κορυφῆς πιστῆς*, τουτέστι, βεβαίας καὶ στεῤῥᾶς (ε)· κατὰ

(α) Ἀμανὸν, τὸ, καὶ Ἀμανὸς, ὁ (Στράβ. 521, 535, 751, ὅθεν καὶ Ἀμανίδες πύλαι 676) ὄρος Κιλικίας. Οὕτω καὶ Ὀππιανὸς «Κίλικάς τε πάγους καὶ πρῶνας Ἀμανοῦ» (Κυνηγετ.). Καὶ Αἰλιανὸς «Οἱ ἐν Σύροις ἔλαφοι γίνονται μὲν ἐν ὄρεσι μεγίστοις, Ἀμανῷ τε καὶ Λιβάνῳ καὶ Καρμήλῳ» (π. Ζώων Ε. 56). πρβλ. Ἱερώνυμ. Com. in Ezech. VII, καὶ XX. καὶ Epist. ad Dardan. Τὸ Ἀμανὸς (φοινικικὸν ἴσως)· ὁ Βοχάρτος κρίνει συγγενὲς τοῦ ἑβρ. amana, στεῤῥότης. βλ. Bochart. Geogr. Sacr. p. 360.

(β) Bochart. Geogr. Sacr. p. 359.

(γ) Bochart. ibid. βλ. καὶ Cappell. not. εἰς Ἀσμ. αὐτόθ. ὅστις καὶ αὐτὸς ἀμφιβάλλει περὶ τῆς ἐπ' ὄρους ἐκδοχῆς τοῦ Ἀμανᾶ.

(δ) Πρβλ. Ἀσμ. γ, 9: δ, 14. 15: ε, 15 κτλ. Ἐν δὲ ζ, 4, διαγράφεται καὶ «πύργος τοῦ Λιβάνου σκοπεύων πρόσωπον Δαμασκοῦ».

(ε) Οὕτω καὶ «ἐν τόπῳ πιστῷ» (Ἡσαΐ. κβ. 23, 25) τουτ. στεῤῥῷ, εὐπαγεῖ, ὀχυρῷ· ὅθεν καὶ νόσους πιστὰς (Δευτ. κη, 59), ἐμμόνους, σταθεράς. καὶ ὕδωρ πιστὸν (Ἡσ. λγ, 16), ἀέναον, ἀδιάκοπον· τοιοῦτο καὶ τὸ ὅρκια πιστὰ (Ἰλ. β. 124), βέβαια, διηνεκῆ, ἀπαράβατα. Ὁ Ἀκύλας εἶπε καὶ «αἱ χεῖρες αὐτοῦ πίστις» (Ἐξόδ. ιζ, 12) ἀντὶ πισταί, τουτ. (ὡς οἱ Ο) ἐστηριγμέναι (αὐτόθ.). Ἡ δὲ πάλιν ἀρχὴ ὅτι σημαίνει καὶ τὴν ἄκραν, ἢ τὸ ἄκρον, ὅθεν καὶ τὴν ἀκρώρειαν, τὴν κορυφὴν, πρόδηλον.

δὲ τὴν μυστικὴν καὶ πνευματικὴν ἔννοιαν (πρὸς ἣν ἀποβλέπει ὅλως διόλου καὶ ἡ ὑπόθεσις, ἣν πραγματεύεται καὶ μελῳδεῖ τὸ θεόπνευστον Ἆσμα τῶν Ἀσμάτων), τὸ *ἀρχὴ πίστεως* ἐμφαίνει κυρίως τὴν ὑψηλὴν ἀρχὴν τῆς εἰς Χριστὸν *πίστεως*, ὅθεν ἀνέτειλεν ἡ ἄμωμος νύμφη τοῦ αἰωνίου νυμφίου (ἡ ἐξ ἐθνῶν Ἐκκλησία)· καὶ Λίβανον τὴν *Ἱερουσαλὴμ* τροπικῶς ὀνομάζει (ὡς πολλάκις εἰώθασι τροπολογεῖν οἱ θεῖοι προφῆται) (α). Ὥστε τὸ προσηγορικὸν *ἀμανὰ* μάτην ἐνομίσθη παρὰ τοῖς νεωτέροις κύριον ὄρους ὄνομα, καθὼς καὶ ἄλλα τινά (β). — Ἄλλο δεῖγμα τῶν ἐκ τῆς ἐλλείψεως ἑνός τινος γράμματος παραλλαγῶν παρέχει τὸ ἑβραϊκὸν ἐν Ἀμὼς η, 8, ὅπου οἱ Ο, «Ἀναβήσεται *ὡς ποταμὸς συντέλεια*»· τὸ δ' ἑβραϊκὸν

(α) Βλ. Μ. Ἀθανάσ. ἐν Συνόψει τῆς ἁγ. Γραφῆς. (Βιβλ. ις. σελ. 93. Τ. β. ἐκδ. Com.), καὶ τὰς Ὠριγένους δ, ὁμιλίας εἰς τὸ Ἆσμα (Λατινιστὶ ἐκδεδομένας ἐν τοῖς Ἱερωνύμ. Τ. 4. σελ. 306, κτξ.), καὶ Θεοδώρητ. προοιμ. ἑρμην. εἰς τὸ Ἆσμ. πρβλ. καὶ τὴν ὑπὸ Μεὐρσίου ἐκδοθεῖσαν Εὐσεβίου, Πολυχρονίου, Ψελλοῦ, Ἐξήγησιν εἰς τὸ Ἆσμα, (σελ. 6, 45. Lugdun. 1617), καὶ τὴν τριῶν ἁγίων Πατέρων, Γρηγορίου, Νείλου, Μαξίμου, ἑρμηνείαν εἰς τὸ Ἆσμα (ἐν Gallandi, Bibliothec. Patrum T. VI. p. 645:), καὶ Φίλωνος ἐπισκόπου Καρπάσου ἑρμην. αὐτόθι. (ib. T. IX. p. 747), καὶ τὴν εἰς Κασσιόδωρον ἐπιγεγραμμένην λατιν. τοῦ Ἄσματος ἑρμηνείαν, κτλ. Βλ. καὶ Ἰωάννου τοῦ ἐκ Λίνδου (τοῦ καὶ μετὰ ταῦτα Μυρέων ἐπισκόπου) τὸ ἱερὸν Ἆσμα τῶν Ἀσμάτων (Ἐνετίῃσι 1785). Ὅτι δὲ τὸ μυστηριῶδες τοῦ Ἄσματος νόημα παρὰ τοῖς ἱεροῖς Πατράσιν ἀνάγεται καὶ εἰς τὴν θεόνυμφον καὶ ἀειπάρθενον Θεοτόκον, πρόδηλον τοῖς φιλοθέοις ἀναγνώσταις.

(β) Οὕτω καὶ ψαλμ. μα, 6, ὅπου οἱ Ο, «ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιεὶμ, ἀπὸ ὄρους μ ι κ ρ ο ῦ (τουτ. ἀπὸ μικροῦ τινος ὄρους, ἢ λόφου, τῶν ὀρέων τοῦ πολυδειράδος Ἑρμὼν (βλ. ὄπισθ. σελ. 420), τὸ ἑβρ. ἀντὶ τοῦ μ ι κ ρ ο ῦ ἔχει mizar (ὅπερ καὶ ὁ Σύμμαχος ἀ π ὸ μ ι κ ρ ο τ ά τ ο υ, καὶ ὁ Ἱερώνυμος, minimo). Τοῦτο δὲ πάλιν οἱ Ἰουδαῖοι καὶ οἱ πλεῖστοι τῶν κριτικῶν κύριον ὄρους ὄνομα λέγουσι, καὶ γράφουσι Μιζὰρ, ἢ Μισάρ· ποῖον δὲ ὅμως, ἀγνοεῖν ὁμολογοῦσι (βλ. Critic. Sacros, καὶ Rosenmüll. Schol. in Psalm. h. l.). Καὶ πάλιν ἐν Ἆσμ Ἀσμάτ. β, 17. τὸ ἑβρ. ἔχει «ἐ π ὶ τ ὰ ὄ ρ η Β ε θ ή ρ (Bether), ὅπερ οἱ Ο, ὀρθῶς ἡρμήνευσαν κ ο ι λ ω μ ά τ ω ν, ὡς προσηγορικὸν (βλ. Schulz, Schol. ibid.—Gesen. Lexic. Hebr. pag. 185)· πολλοὶ δὲ τῶν νεωτέρων (καὶ αὐτὸς ὁ Ἱερώνυμος) ἐξέλαβον ὡς κύριον ὄρος Β ε θ ή ρ, ποῖον δὲ τοῦτο ἀγνοοῦσι (βλ. Schulz ibid. καὶ Cappell. not. Crit. εἰς τὸ Ἆσμ. αὐτόθ.). Ἐν τῷ αὐτῷ κεφαλ. β, στιχ. 9, οἱ Ο, ἔχουσιν «ἐπὶ τὰ ὄρη Β α ι θ ή λ»· (καὶ Ὠριγένης γ, ὁμιλ. εἰς τὸ Ἆσμα)· ἀλλὰ τοῦτο νῦν ἐκ τοῦ ἑβραϊκοῦ λείπει.

«ἀναβήσεται ὡς φῶς ὅλη» κτλ. (ἀνέγνων kaor kulah, ἀντὶ τοῦ τῶν Ο, kajeor (ὡς ποταμὸς) kalah (συντέλεια). Οὕτως ἔχουσι καὶ πολλοὶ κώδηκες ἑβραῖοι, καὶ ὁ Χαλδαῖος, καὶ πάντες οἱ ἀρχαῖοι μεταφρασταὶ, καὶ οἱ πλεῖστοι τῶν νεωτέρων· ἡ αὐτὴ φράσις κεῖται καὶ Ἀμὼς θ, 5 (ὅπου καὶ τὸ ἑβρ. ἔχει ὡς ποταμὸς jeor, κατὰ τὸ αἰγυπτιακὸν ΙΑΡΟ, κύριον ὄνομα τοῦ Νείλου, ὡς ἐκαλεῖτο τὸ πρῶτον παρ' Αἰγυπτίοις, τουτ. *ποταμὸς* κατ' ἐξοχήν· πρβλ. Ἰεζεκ. κθ, 3). – Ψαλμ. ιη, 4 (ἑβρ. ιθ) «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν *ὁ φθόγγος αὐτῶν*» (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος· καὶ ὁ Σύμμαχος ἔγραψεν «*ὁ ἦχος*»)· οἱ δὲ Ἰουδαῖοι, ἀντὶ τοῦ ὁ φθόγγος (kolam) ἔγραψαν «*ἡ γραμμὴ* αὐτῶν» (kavam), ὅπερ καὶ σχοινίον, ἢ *χορδὴν* ἐπεξηγοῦσιν. Ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο βεβαιοῖ ὁ θεῖος Παῦλος (Ῥωμ. ι, 18), καὶ αὐτὰ τὰ ἐφεξῆς τοῦ στίχου («καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ *ῥήματα αὐτῶν*»), καὶ πάντες οἱ τοῦ στίχου μνημονεύσαντες ἀρχαῖοι Πατέρες. Καὶ νεώτεροι δὲ κριτικοὶ κατὰ τοὺς Ο διορθοῦσι τὸ ἑβραϊκόν (α). Προστεθήτω δὲ καὶ τὸ Ἡσαΐ. θ, 6 (κατὰ τὸ ἑβραϊκόν· βλ. ὄπισθ. κεφ. ζ. §. ι). «Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Θαυμαστὸς, Σύμβουλος, Θεὸς ἰσχυρὸς» κτλ. τοῦτο δὲ τὸ *καλεῖται* ἡ ἰουδαϊκὴ κακουργία μετέστρεψεν εἰς τὸ *καλέσει* (τουτ. ὁ Θαυμαστὸς, ὁ Θεὸς, ὁ Ἰσχυρὸς, *καλέσει* τὸ ὄνομα αὐτοῦ [τοῦ Μεσίου] Ἄρχων εἰρήνης, κτλ.). Οἱ μὲν γὰρ Ο, ἀνέγνων i k a r e (καλεῖται), οὕτω καὶ Ἀκύλας, καὶ Σύμμαχος καὶ αὐτὸς ὁ Χαλδαῖος Ταργουμιστής· οἱ δὲ ῥαββῖνοι δι' ἄλλων στιγμῶν τονίσαντες, συνέκοψαν εἰς τὸ i k r a (καλέσει) (β). Ἄλλα πάμπολλα δείγματα τῶν ἐκ τῆς ἐλλείψεως *γράμματός τινος* διαφόρων ἀναγνωσμάτων παρέξει σοι Καπέλλιος (σελ. 275). Ἴδωμεν ἤδη καὶ ἄλλα παραδείγματα παραλλαγῶν, προερχομένων οὐχ ἁπλῶς ἀπὸ γραμμάτων *μόνων*, ἀλλὰ καὶ ἀπὸ λέξεων ὁλοκλήρων.

(α) Drusius, Cappellus, Houbigant, Bellarminus. κτλ. Οἱ δὲ περὶ τὸν Γλάσσιον (Phil. Sacr. p. 54) μάτην καὶ ὧδε προΐστανται τοῦ ἑβραϊκοῦ.

(β) Βλ. De-Rossi, Var. Lect. Vet. Test. Tom. 3. p. xi.

§. ιγ. Γ) Διαφέρει τὸ νῦν ἑβραϊκὸν πρὸς τοὺς Ο καὶ κατὰ διαφόρους ἀναγνώσεις, προερχομένας ἐκ τῆς τῶν λέξεων μεταθέσεως, ἢ *μεταβολῆς*, ἢ *προσθέσεως*, ἢ *ἐλλείψεως*, ἢ μιᾶς εἰς δύω *διαιρέσεως*, ἢ καὶ ἐκ δυοῖν εἰς μίαν *συνθέσεως* καὶ συναλοιφῆς.

α) Καὶ μεταθέσεως μὲν παραδείγματα ταῦτα· Α. Παραλειπ. θ, 32. «*Βαναΐας* ὁ Καθαθίτης ἐκ τῶν ἀδελφῶν αὐτῶν». Τὸ δ' ἑβρ. «*Ἐκ τῶν υἱῶν τῶν Κααθιτῶν*, ἐκ τῶν ἀδελφῶν» κτλ. [ἑβρ. *μιν Βενε ακεαθι*, κτλ. οἱ δὲ Ο, ἀνέγνων, *Βεναΐα μιν ἀκααθί*, τουτ. Βαναΐας ἐκ τῶν Καθιτῶν = ὁ Καθαθίτης). Οὕτως ἡ μετάθεσις τοῦ *μιν* (ἐκ) μετέβαλε τὸ νόημα, διαστρέψασα καὶ εἰς τὸ προσηγορικὸν Βενε (υἱῶν) τὸ κύριον Βεναία (ἢ Βαναία) ὅπερ ἀπαιτεῖ καὶ αὐτὴ τοῦ λόγου ἡ σειρά· καθότι κἀν τῷ προηγουμένῳ στίχῳ προηγεῖται κύριον, ὁ Ματταθίας. Ὅθεν οἱ νεώτεροι τοῦ νῦν ἑβραϊκοῦ ἑρμηνεῖς θεραπεύοντες τὸ ἄτοπον, ἀναστρέφουσι καὶ διασκευάζουσι τὴν φράσιν γράφοντες «Καὶ *ἄλλοι* (ἢ *τινὲς*) ἐκ τῶν ἀδελφῶν αὐτῶν, ἐκ τῶν υἱῶν τῶν Καθιτῶν!]. — Δευτερ. λβ, 5. «Ἡμάρτοσαν, *οὐκ αὐτῷ τέκνα*, μωμητὰ» κτλ. (οἱ Ο, καὶ ἡ Ἰτάλα). Τὸ δὲ νῦν ἑβραϊκὸν, «Διέφθειρεν ἑαυτῷ (ἄλλοι *ἐκείνῳ*) οὐχ υἱοὶ αὐτοῦ, κηλὶς αὐτῶν» (α). Ὁ δ' Ἀκύλας «Διέφθειραν αὐτῷ, κτλ.» ὁ δὲ Σύμμαχος, «Διέφθειραν πρὸς αὐτὸν, οὐχ υἱοὶ τὸ σύνολον» (β). Σελίδας ὅλας ἐπλήρωσαν οἱ νεώτεροι Σχολιασταὶ τοῦ ἑβραϊκοῦ, θεραπεύοντες τὴν ἐκ τῆς ἀταξίας ἀσάφειαν τῆς ῥήσεως (γ). Ὁμολογοῦσι δὲ, τέλος, καὶ ὅτι τὸ ἀρνητικὸν οὐκ (ἑβρ. lo) τακτέον πρὸ τοῦ αὐτῷ (sibi, ἢ illi), ὡς ἔχουσι καὶ οἱ Ο. Οὕτως ἔχει καὶ τὸ Σαμαρειτικὸν, καὶ ὁ Χαλδαῖος, καὶ ὁ Σύρος (δ). — Ρουθ δ, 11. «Καὶ

(α) Corrupit sibi non filij ejus, macula eorum» (Montan.).

(β) Ἡ δὲ Βουλγάτα, «Peccaverunt ei, et non filij ejus in sordibus».

(γ) Β. Criticos Sacros καὶ Clericum in Deuter. h. l. — Lowth, de Sacra poës. Hebr. pag. 287. — Houbigant, Prolegom. p. 28. — Ravij Exercitat. pag. 61. — Schulz καὶ Rosenmüll. Schol. in h. l.

(δ) Καὶ ἑρμηνεύουσι (τὸ ὀρθότερον)· Corrupti sunt, non sunt ejus, filij maculae· ἢ, non sunt ejus filij, maculosi· τουτ. Διεφθάρησαν, οὐκ (εἰσὶν)

εἵποσαν πᾶς ὁ λαὸς οἱ ἐν τῇ πύλῃ· μάρτυρες· καὶ οἱ πρεσβύτεροι εἵποσαν· δῴη Κύριος» κτλ. — Τὸ δὲ νῦν ἑβραϊκὸν, «Καὶ εἶπε *πᾶς ὁ λαὸς ἐν τῇ πύλῃ καὶ οἱ πρεσβύτεροι*· μάρτυρες· δῴη Κύριος» κτλ. Ὅπου οἱ πρεσβύτεροι συγχέονται μετὰ τοῦ λαοῦ, ὡς ἁπλοῖ μάρτυρες. Κατὰ δὲ τὴν γνησίαν παρὰ τοῖς Ο, διάταξιν τῆς φράσεως, οἱ πρεσβύτεροι (τουτ. ἡ γερουσία. Δευτερ. κε, 7) ἰδίως ἐκφωνοῦσι τὰς ἐπὶ τῷ γάμῳ εὐχὰς (ὡς καὶ οἱ γονεῖς, παρὰ τῷ Τωβίτ, ζ, 13). Οὐδ᾿ ἠδύνατο, οὐδὲ γοῦν ἠπίστατο πᾶς ὁ λαὸς οὕτω *μακρὰν* καὶ καλὴν εὐλογίαν ἐκφωνεῖν· ὅθεν καὶ ὁ ἱερὸς Θεοδώρητος· «Ἐκράτυναν δὲ καὶ οἱ πρεσβύτεροι τῇ εὐλογίᾳ τὸν γάμον» (κτλ. εἰς Ῥοὺθ αὐτόθ.). Ὅτι δὲ τοὺς γάμους ἐν συνάξει δημοσίᾳ καὶ μετ᾿ εὐχῶν ἐτέλουν οἱ Ἑβραῖοι, μαρτυροῦσι καὶ τὰ νῦν ἰουδαϊκὰ Εὐχολόγια, καὶ τὸ ἔθος αὐτῶν, ὃ διατηροῦσιν εἰσέτι, παραλαβόντες ἄνωθεν παρὰ τῶν πατέρων (α). — Ἀμὼς ε, 26· «Ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ *ἄστρον τοῦ Θεοῦ ὑμῶν* Ῥαιφὰν, τοὺς τύπους αὐτῶν, οὓς ἐποιήσατε ἑαυτοῖς (οἱ Ο, καὶ Πράξ. ζ, 43, οὕτω καὶ ὁ Σύρος καὶ Ἱερώνυμ.). Τὸ δ᾿ ἑβραϊκὸν, «ἀνελάβετε *Σικκοὺθ*, τὸν βασιλέα ὑμῶν, *τὸν Κιοὺν, τὰ εἴδωλα ὑμῶν, τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν* (ἄλλ. τῶν Θεῶν ὑμῶν) κτλ. Περὶ δὲ τοῦ *Σικκοὺθ* καὶ *Κιοὺν* βλ. Βιβλ. Β. σελ. 235). Τοσαῦτα περὶ τῶν ἐκ *μεταθέσεως* τῶν λέξεων πρὸς τοὺς Ο, παραλλαγῶν τοῦ ἑβραϊκοῦ.

αὐτοῦ, υἱοὶ κηλίδος· ἢ «οὐκ εἰσὶν αὐτοῦ υἱοὶ, κεκηλιδωμένοι» (Houbig. καὶ Schulz). Τοῦτο σημαίνει καὶ τὸ τῶν Ο στιζόμενον ὡς ἀνωτέρω· «Ἡμάρτοσαν» (οὕτως ὡρισμένως ἀπέδωκαν οἱ Ο τὸ ἑβρ. sicheth ἀπόλλυμι, φθείρω, καὶ ὀλέθρια πράττω) «ἡμάρτοσαν, οὐκ (εἰσὶν) αὐτῷ (ἀντὶ αὐτοῦ) τέκνα, μωμητὰ (ὄντα) κτλ. (ὡς τὸ «οὐκ εἰμὶ ὑμῶν» Ὠσηὲ α, 9) «ὡς μὴ ὄντες οὖν υἱοὶ θεοῦ, ἡμάρτοσαν αὐτῷ καὶ διέφθειραν» (ἴσ. γρ. διέφθοραν, ἢ διεφθάρησαν). βλ. Σειρὰν εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ. 1624. πρβλ. καὶ S. Augustin. in Deuteronon. Quaest. 55. Ἡ δὲ στίξις τοῦ Καπέλλου (Crit. Sacr. p. 288) ἡμάρτοσαν οὐχ (γρ. οὐκ) αὐτῷ» (non ipsi peccarunt, τουτ. οὐκ αὐτῷ ἥμαρτον) ἡμάρτηται παντάπασιν.

(α) Τοῦτο καὶ Γρότιος ὁμολογεῖ λέγων· «Notandum est inter laudatos mores quos à patribus Judaei acceperunt etiam hunc ſuisse, ut matrimonium non privatim sed in piorum conventu celebrarent μετ᾿ εὐλογίας». Grot. annot. ad Matthaeum c. 25, 2.

β) Τῶν δ' ἐκ τῆς μιᾶς εἰς δύω λέξεις διαιρέσεως παραλλαγῶν δείγματα τὰ ἑξῆς.

Ψαλ. ρε, 7 (ἑβρ. ρϛ). «Καὶ παρεπίκραναν *ἀναβαίνοντες* ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.» Τὸ δ' ἑβρ. «Καὶ παρεπίκραναν παρὰ *τὴν θάλασσαν*, *τὴν θάλασσαν* τὴν ἐρυθράν»· (οἱ Ο, ἀνέγνων ἡνωμένως alim, *ἀναβαίνοντες*· οἱ δὲ ῥαββῖνοι διῃρημένως, al–jam, παρὰ τὴν θάλασσαν). Τὸ δὲ σφάλμα τῆς κατατομῆς κηρύττει καὶ ἡ ψυχρὰ ἀναδίπλωσις· *τὴν θάλασσαν*, *τὴν θάλασσαν*!).–Ψαλμ. μζ, 14 (ἑβρ, μη). «Αὐτὸς ποιμανεῖ ἡμᾶς *εἰς τοὺς αἰῶνας*» (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύμμαχος, ὁ Σύρος, ὁ Χαλδαῖος καὶ 143, κώδηκες ἑβραῖοι Ῥόσσ. τόμ. 4, σελ. 33). Τὸ δὲ κοινὸν ἑβρ. «αὐτὸς ὁδηγήσει ἡμᾶς ἕως *θανάτου*» (οἱ Ο, ἀνέγνων ὑφ' ἕν, alamoth, ὁ δὲ ῥαββῖνος διῃρημένως, al muth).– Ζαχαρ. ια, 7. (Ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς) *εἰς τὴν Χαναναῖτιν*.» Τὸ δ' ἑβρ. «τὰ ὄντως *τεθλιμμένα* (ἀνέγνω διῃρημένως, laken anije, ἀντὶ τοῦ τῶν Ο, likenaanije· οὕτω καὶ ϛίχ. 11 αὐτόθι).– Ἀμὼς δ, 13 «*τὸν Χριστὸν αὐτοῦ*». Τὸ δ' ἑβρ., τὸ *διανόημα* (ἢ τὸν *διαλογισμὸν*) αὐτοῦ (οἱ Ο ἀνέγνων ὑφ' ἕν, messicho, τὸν Μεσσίαν=«*τὸν Χριστὸν αὐτοῦ*», οἱ δ' ἀρχαῖοι ῥαββῖνοι διεῖλον τὴν λέξιν mah secho· ὅθεν ἔγραψε καὶ ὁ Ἀκύλας, «τίς ἡ *ὁμιλία* αὐτοῦ·» ὁ δὲ Σύμμαχος, τὸ *φώνημα*· ὁ Θεοδοτίων ὁ *λόγος*· ἡ Ε, ἔκδ. ἡ *ἀδολεσχία*· καὶ ὁ Ἱερώνυμος eloquium, ὁ δὲ Χαλδαῖος *πρᾶγμα*). Ἀλλὰ τῶν Ο τὴν ἑρμηνείαν ἐπικυροῦσι πάντες οἱ ἀρχαῖοι πατέρες τῆς Ἐκκλησίας, καὶ μάλιστα κατ' ἔννοιαν δογματικήν (α).–Γενέσ. η, 4 Ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ,

---

(α) Ἰδοὺ ὅλον τὸ προφητικὸν ῥητόν. «Διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ» κτλ. Τοῦτο οἱ Ἀρειανοὶ καὶ οἱ Πνευματομάχοι αἱρετικοὶ παρελάμβανον ὡς δεῖξιν, ὅτι κτιστὸν τὸ Πνεῦμα. —Ἀλλ' οἱ θεῖοι Πατέρες τὸ μὲν πνεῦμα φυσικῶς (ὡς καὶ τὸ βροντὴν) ἐξελάμβανον, ἑρμηνεύοντες, ἀέρος ῥεῦμα, ἄνεμον, πνοήν· τὸ δὲ ἀπαγγέλλων τὸν Χριστὸν αὐτοῦ, ἐπ' αὐτοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος Χριστοῦ, δι' οὗ τὰ πάντα ἐγένετο. «Ὥστε διὰ πάσης τῆς κτίσεως, ἔκ τε βροντῶν, καὶ ἀνέμων, καὶ τῆς λοιπῆς δημιουργίας, τὸν δημιουργὸν ἀναγγέλλεσθαι.— Ὡς γὰρ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ—οὕτω

ἑβδόμῃ καὶ *εἰκάδι* τοῦ μηνὸς, ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ ». Τὸ δ' ἑβρ. ἐν « μηνὶ τῷ ἑβδόμῳ, ἑβδόμῃ καὶ *δεκάτῃ ἡμέρᾳ* τοῦ μηνὸς » [οἱ Ο, ἀνέγνων μίαν λέξιν esserim, εἰκάδι (εἰκοστῇ)· ὁ δὲ ῥαββῖνος διῃρημένως, assar jom, δεκάτῃ ἡμέρᾳ]. Ταύτην τοῦ μασοριτείου κειμένου τὴν ἀνάγνωσιν κρατοῦσι καὶ μέχρι σήμερον οἱ θερμοὶ τούτου προστάται, φοβούμενοι μὴ καθαιρεθῇ ἡ ἀκεραιότης τοῦ ἑβραϊκοῦ! (ὡς ἔλεγεν ὁ Ἀμάμας ἐν Σχολίοις εἰς Γένεσ. αὐτόθι). Ἀλλ' ὅμως τὴν ἀνάγνωσιν τῶν Ο βεβαιοῦσι πάντες αὐτῶν οἱ κώδηκες, καὶ ἡ Βουλγάτα, καὶ πάντες οἱ ἀρχαῖοι Πατέρες· καὶ αὐτὸς ὁ πάντων καὶ ῥαββίνων καὶ ῥαββινιστῶν ἀξιοπιστότερος Ἰώσηπος (α). Ὡσαύτως καὶ τῶν νεωτέρων διάσημοι κριτικοί (β). Τοσαῦτα καὶ περὶ τῶν ἀτόπων τῆς μιᾶς εἰς δύω λέξεις *διαιρέσεων*, ἢ κατατομῶν (γ).

καὶ βροντῆς ἦχοι, καὶ πνευμάτων κινήσεις, τὸν δημιουργὸν αὐτῶν ἀνακηρύττουσι. Τάχα δ' ἂν τοῦτο καὶ προφητεία εἴη, πρὸς τὴν ἐνανθρώπησιν τοῦ κυρίου φέρουσα » κτλ. (Μ. Βασίλ. κ. Εὐνομ. λόγ. γ. Τόμ. Β. σελ. 85). Οὕτω καὶ ὁ Μ. Ἀθανάσιος (ἐπιστ. π. Σεραπίων. τόμ. α. σελ. 345, 351. ἐκδ. Com.), καὶ Εὐσέβιος (Εὐαγ. Ἀποδ. δ. ις. σελ. 119. πρβλ. καὶ Ἐπιφάν. Αἱρέσ. οδ. σελ. 896). Καὶ ὁ Ἱερώνυμος, καίτοι προτιμῶν τὴν καθ' ἑβραίους ἀνάγνωσιν, ὅμως ἐξηγεῖ καὶ κατὰ τοὺς Ο τὸ ῥητὸν, διατρανῶν τὸ δόγμα τῆς εὐσεβείας (Comm. in Amos, 4, 13). Ὁ δὲ θεῖος Κύριλλος ὁ Ἀλεξανδρείας καὶ ἐπὶ βασιλέων (ὡς χριστῶν Κυρίου) ἐξέλαβε τὸ ῥητόν· « Ἐγὼ (φησὶν) ὁ στερεῶν βροντὴν, ἀνιεὶς δὲ τοῖς ἐν κόσμῳ πνευμάτων φορὰς,—καὶ σαφῆ ποιούμενος τὴν ἀνάῤῥησιν, οὗπερ ἂν ἑλοίμην εἶναι χ ρ ι σ τ ο ῦ, τουτέστι τοῦ π ρ ὸ ς β α σ ι λ ε ί α ν κ α τ α χ ρ ι ο μ έ ν ο υ, καὶ τὸ κρατεῖν λαγχάνοντος » κτλ. (Περὶ τοῦ ἁγ. Πνεύμ. λόγ. ζ. σελ. 650 κτξ. τόμ. ε. Lut. 1638). Καὶ ὁ ἱερὸς Θεοδώρητος, χ ρ ι σ τ ὸ ν καὶ αὐτὸς ἀναγνοὺς « λέγει δὲ (φησὶ) τὸν Κύρον » (Ἑρμην. εἰς Ἀμὼς αὐτόθ.).

(α) Ὁ Ἰώσηπος γράφει ἱ σ τ α μ έ ν ο υ ἑ β δ ό μ ῃ (τουτ. ἁπλῶς τῇ ἑ β δ ό μ ῃ ἡμέρᾳ τοῦ ἑβδόμου μηνὸς, ὅπερ οὔτε τῷ ἑβραϊκῷ οὔτε τοῖς Ο, συμφωνεῖ). Ὅθεν ὁ κλεινὸς Βερνάρδος διορθοῖ τὸ ἱσταμένου εἰς τὸ φ θ ι ν ο μ έ ν ο υ (τουτ. φ θ ί ν ο ν τ ο ς), ὀρθῶς· (ὡς τοῖς Ο, συμφωνοῦντος ἀείποτε σχεδὸν τοῦ Ἰωσήπου). βλ. Ἀρχ. α. γ §. 5. Ταύτην ἐν Ἰωσήπῳ τὴν γραφὴν ἀποδέχεται καὶ ὁ Cartwricht. Annot. in Genes. h. l.

(β) Cappell. Crit. Sacr. p. 290.—Houbigant. not. in Genes. h. l. πρβλ. καὶ Schulz, Schol. in h. l.

(γ) Βλ. καὶ ἄλλα παρὰ Καπελλίῳ (Crit. Sacr. p. 289. sqq). πρβλ. Bonfrer. Praeloq. c. 6, Sec. 8. p. 60, etc.

γ) Τῆς δὲ πάλιν δύω λέξεων εἰς μίαν συνθέσεως, ἢ συγχύσεως δείγματα ταῦτα.

Ψαλμ. νδ. (ἑδρ. νε) 15. «*Ἐλθέτω δὴ θάνατος*» (οἱ Ο, Ἀκύλας, Σύμμαχος, ἡ Βουλγάτα, ὁ Σύρος) καὶ αὐτὸ τὸ ἑβραϊκὸν ἐν τῷ περισελίδῳ, jaschi maeth. Ἐν δὲ τῷ κειμένῳ κεῖνται συμπεφυρμένως αἱ δύω λέξεις εἰς μίαν (jeschimoth, τουτ. ἐρημώσεις· καὶ ὑπακούουσι βεβιασμένως τὸ *ἐλθέτωσαν*).—Ὠσηὲ ς, 6 «Καὶ τὸ *κρίμα μου ὡς φῶς*»(ἐξελεύσεται). οἱ Ο, Σύρος, Χαλδ. κτλ. τὸ δὲ νῦν ἑβραϊκόν· «τὸ κρίμα *αὐτοῦ φῶς*» κτλ. (ἀντὶ τοῦ, ὡς φῶς, ka—our, ὡς ἀνέγνων οἱ Ο). Οὕτως ὁ ἰουδαῖος συνέφυρε τὸ ὁμοιωματικὸν ka (ὡς) πρὸς τὴν προηγουμένην λήγουσαν τοῦ ῥήματος, καὶ μετέβαλε τὴν ἀντωνυμίαν εἰς τριτοπρόσωπον.—Ναοὺμ α, 15 «Διελθεῖν διὰ σοῦ εἰς *παλαίωσιν*» (τουτ. εἰς τριβήν, φθοράν, κατανάλωσιν) οἱ Ο, τὸ δ' ἑβρ. «Διελθεῖν διὰ σοῦ *οὐδαμινὸς*» (ἄλλ. ὀλοθρευτής). Οἱ Ο, ἀνέγνων δύω λέξεις (al beli, ἐκ τοῦ balah = παλαιοῦσθαι, τρίβεσθαι, φθείρεσθαι). Οἱ δὲ ραββῖνοι πρωθυστέρως ἀναγνόντες συνῆψαν τὰς δύω εἰς μίαν (belijaal).—Α. Παραλ. β. 24. «Καὶ μετὰ τὸ ἀποθανεῖν Ἐσρὼμ, *ἦλθε Χαλὲβ* εἰς *Ἐφραθά.*»—Τὸ δ' ἑβραϊκόν· «Καὶ μετὰ τὸ ἀποθανεῖν Ἐσρὼν *ἐν Χαλὲβ Ἐφραθὰ*» πάντῃ ἀδιανόητον! Οἱ Ο ἀνέγνων δύω λέξεις (ba Chaleb), ὁ δὲ ῥαββῖνος συνήλασεν αὐτὰς εἰς μίαν (becaleb). Οὕτω καὶ Γενέσ. λ. 11, ἐν μὲν τῷ κειμένῳ γράφεται μονολεξεὶ bagad (*ἐν τύχῃ*, ὡς ἔχουσι καὶ οἱ Ο), ἐκ δὲ τῷ περισελίδῳ, ὡς ἀναγνωστὸν (*κερὶ*), σημειοῦται διῃρημένον, ba gad, *ἦλθε τύχη*.-Γενέσ. δ, 15 «*Οὐχ οὕτω*· πᾶς ὁ ἀποκτείνας Κάϊν» κτλ. Τὸ δ' ἑβραϊκὸν «*Διὰ τοῦτο*· πᾶς» κτλ. Οἱ Ο, ἀνέγνων δύω φωνὰς (lo ken)· ὁ δὲ ῥαββῖνος, μίαν (laken). Οὕτω καὶ ἐν Ἱερεμ. β, 33, καὶ ἐν Ἰὼβ, κ, 2.—Ἰωνᾶ α, 9. «*Δοῦλος Κυρίου* εἰμὶ ἐγώ.» Τὸ δ' ἑβρ. «*Ἑβραῖος*, ἐγὼ» κτλ. Οἱ Ο, ἀνέγνων abed Jah (τὸ δὲ Jah συγκοπὴ τοῦ Jechovah)· ὁ δὲ ῥαββῖνος μεταβαλὼν ἐξ ἀβλεψίας τὸ τοῦ *Αβεδ* ληκτικὸν δ, εἰς ρ, συνῆψε τὰς λέξεις εἰς μίαν συγκεκομμένην, Jberi (ἑβραῖος). Οὕτω καὶ Α, Βασιλ. ιδ, 21. ιγ, 3, καθ' ὁμοίαν ἐναλλαγὴν τῶν τελικῶν

στοιχείων (δ, ρ) ὁ Ἰουδαῖος ἔγραψεν Ἑβραῖοι (Jberim), ὅπου οἱ Ο, δοῦλοι (abadim).—Ψαλμ. ιε. 3 (ἑβρ. 16)· «Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς» (οἱ Ο καὶ ἡ Βουλγ.). Τὸ δὲ νῦν ἑβραϊκὸν, «Ἐν τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ καὶ *τοῖς μεγαλοπρέσι μου* πᾶν τὸ θέλημά μου.» Τῆς ἑβραΐδος ταύτης περικοπῆς τὴν διαστροφὴν ὁμολογοῦσι καὶ οἱ τῶν νεωτέρων ἐπισημότατοι κριτικοὶ, καὶ σπουδάζουσιν ἐν μέρει κατὰ τοὺς Ο, θεραπεῦσαι (α)· φαίνεται δὲ ἡ διαφθορὰ τοῦ χωρίου ἀρχαία· οἱ Ο ἀνέγνων jaadid Jah (ἐθαυμάστωσεν ὁ Κύριος), ἡ δὲ ῥαββινικὴ ἀβλεψία ἐμόρφωσεν ἐκ τῶν δύω λέξεων μίαν συγκεχομένην, vaaddide (τουτ. καὶ τοῖς μεγάλοις). Οὕτω καὶ Ἀκύλας «*τοῖς ὑπερμεγέθεσί μου*·» καὶ ὁ Σύμμαχος «*εἰς τοὺς μεγάλους*»· ὁ δὲ Θεοδοτ. «*θαυμαστόν μοι*» (κατὰ τοὺς Ο). Τὴν ἀνάγνωσιν τῶν Ο βεβαιοῦσιν Ὠριγένης, Εὐσέβιος, ὁ Μ. Ἀθανάσιος, Θεοδώρητος, καὶ πάντες οἱ ἀρχαῖοι Πατέρες μετὰ τῆς Ἐκκλησίας· παράβαλε καὶ τὸ «*Ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ*» (β), καὶ τὸ «*Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ὁσίοις αὐτοῦ* (Ψαλμ. ξζ, 35· ἑβρ. ξη, ὅπου πάλιν ἄλλα λέγουσιν οἱ Μασορῖται)· πρόσθες καὶ τὸ leschad (ὄπισθ. σελ. 391). Ἄλλα τῆς ὑφ' ἓν τῶν λέξεων συμφύρσεως παραδείγματα βλέπε παρὰ Καπελλίῳ (σελ. 291).

δ) Ἐκ δὲ τῆς τῶν λέξεων *μεταβολῆς* πολλαὶ προῆλθον διαφοραί. Μεταβολὴν δὲ λέξεων λέγομεν, ὅταν οἱ Ο φαίνωνται προφανῶς ἀναγνόντες ἄλλην τινὰ λέξιν πάντῃ διάφορον, ἢ ὡς ἔχει τὸ νῦν ἑβραϊκὸν μεταβεβλημένην. Τῆς δὲ τοιαύτης μεταβολῆς ὅτι πλεῖστα δείγματα ἀπαντῶνται, λέγομεν δ' ὀλίγα τινὰ, καὶ πρῶτον περὶ τοὺς ἀριθμούς.

Γενέσ. β, 2. «Συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ *ἕκτῃ*». Τὸ δὲ Μασορίτειον, «τῇ ἡμέρᾳ τῇ *ἑβδόμῃ*» (βλ. ἐφεξῆς κεφ. ιγ. §. γ).—

(α) Βλ. Rosenmüll. Schol. in Psalm. h. l.

(β) Ψαλμ. δ. 3. Οὕτως ἔχουσι καὶ νῦν κώδηκες ἑβραῖοι mirificavit. βλ. De-Rosi, Var. Lect. Tom. 4. p. 1. πρβλ. Schulz καὶ Rosenmüll. Schol. in Psalm. 4.

Γενέσ. μς, 26, 29· « Αἱ ψυχαὶ αἱ μετὰ Ἰακὼβ εἰσελθοῦσαι εἰς Αἴγυπτον (ἦσαν) *ἑβδομηκονταπέντε* (οὕτω καὶ Ἐξόδ. α, 5. καὶ Δευτερον. ι, 22) (α). Τὸ δὲ νῦν ἑβραϊκὸν μόνον *ἑβδομήκοντα*. Ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο, κυροῦσι 1) ἡ τριπλῆ συμφωνία τῶν ἐν Γενέσει, καὶ Ἐξόδῳ, καὶ Δευτερονομίῳ χωρίων, ἐν οἷς ὁ ἀριθ-

---

(α) Κατὰ τὸ Ἀλέξανδρ. καὶ ἐκδ. Ἄλδ. Ἑνετ. κτλ. καὶ πάντας, σχεδὸν, τοὺς πολυαρίθμους κώδηκας τῆς Ὁλμησ. ἐκδ. Τὸ δὲ Βατικανὸν ἐν μὲν Γενέσ. μς, καὶ Ἐξόδ. α, γράφει ψυχὰς 75· ἐν μόνῳ δὲ τῷ Δευτερονομίῳ μόνον 70 (διὰ τὴν ἀντιγραφέως ἀβλεψίαν). Τοιοῦτον ἔχων κώδηκα ὁ μακάριος Ἱερώνυμος (Quaest. in Genes.) διεβεβαίου, ὅτι « αὐτοὶ οἱ Ο, οἵτινες ἐν τῇ Γενέσει ἔγραψαν 75, ἐν τῷ Δευτερονομίῳ ἔγραψαν 70 »! Οὕτως ὁ Πατὴρ ὁμολογήσας τοὺς Ο γεγραφότας τὸν 75 ἀριθμὸν (καὶ τοῦτον δίς. Γενέσ. μς. καὶ Ἐξόδ. α), ἔπειτα παρέστησε τούτους ἀστατοῦντας καὶ διαφωνοῦντας πρὸς ἑαυτοὺς ἐν μόνῳ τῷ χωρίῳ τοῦ Δευτερονομίου, μηδὲν ὑποπτεύσας, μήπως ἐκ τοῦ ἀντιγράφου τῶν Ο, ᾧ περ αὐτὸς ἐχρῆτο, δι' ἀβλεψίαν τοῦ ἀντιγραφέως ἐξεπεπτώκει ἐν τῷ Δευτερονομίῳ ὁ πέντε ἀριθμός. Τὸ δὲ παραδοξότερον, ὅτι καὶ τῶν νεωτέρων κριτικῶν ἄνδρες ἐπίσημοι προφέρουσιν ὡς δεῖξιν γεωμετρικὴν τὸν ἀνθρώπινον τοῦτον τοῦ ἱεροῦ Πατρὸς παραλογισμὸν (Drusius, Cappellus, Grotius in Act. Apostol. VII. 14. Bernard. εἰς Ἰωσήπ. Ἀρχ. β. ζ. 4). Πάλιν, ὁ μακάριος Ἱερώνυμος (αὐτόθ.) μνημονεύων καὶ τὴν περὶ τοῦ 75 μαρτυρίαν τοῦ πρωτομάρτυρος Στεφάνου (περὶ ἧς ἀνωτέρω), ἀπαντᾷ ταῦτα· « Ὅτι ὁ τῶν Πράξεων συγγραφεὺς καὶ εὐαγγελιστὴς Λουκᾶς ἐκδιδοὺς εἰς τὰ ἔθνη τὴν βίβλον τῶν Πράξεων, οὐκ ὤφειλεν ἄλλως γράψαι, ἢ ὡς εἶχεν ἡ τότε τοῖς ἔθνεσι δεδημοσιευμένη ἑρμηνεία τῶν Ο, ὡς πολὺ πλεῖον ἔχουσα κῦρος, ἤ περ αὐτὴ τοῦ Ἀποστόλου ἡ συγγραφὴ, ἀγνῶτος ἔτι ὄντος καὶ ἰδιώτου, μηδὲ λίαν ἀξιοπίστου δοκοῦντος τοῖς ἐθνικοῖς »! κτλ. Ἀλλὰ καὶ ταῦτα τοῦ Πατρὸς πῶς οὐ παράδοξα; Εἴπερ γὰρ ἡ τῶν Ο ἑρμηνεία ὑπῆρχε τότε δεδημοσιευμένη, καὶ λίαν (ὡς φησὶ) τιμωμένη παρὰ τοῖς ἐθνικοῖς· αὐτοὶ δὲ οἱ Ο ἔγραψαν ἐν τῷ Δευτερονομίῳ τὸν 70 ἀριθμὸν (ὡς ἀνωτέρω διεβεβαίωσε), τί μὴ μᾶλλον ἔγραφεν ὁ Εὐαγγελιστὴς ἐκ τοῦ Δευτερονομίου τὸν ἀριθμόν; μὴ γὰρ οὐκ ἦν καὶ τὸ Δευτερονόμιον ἐπίσης τῇ Γενέσει καὶ τῇ Ἐξόδῳ δεδημοσιευμένον εἰς τὰ ἔθνη; ἢ μήπως ὀλιγώτερον ἐτιμᾶτο τοῦτο παρὰ τὰ ἄλλα βιβλία τῆς Πεντατεύχου; Ἔπειτα καὶ αὐτὸς ὁ θεόπνευστος Λουκᾶς, κηρύττων τὰ λόγια τοῦ Θεοῦ μετεχειρίζετο (ἄπαγε!) ψευδεῖς μαρτυρίας τῶν Ο, παραλείπων τὰς παρ' αὐτοῖς (οἷον τὴν ἐν τῷ Δευτερονομίῳ) ἀληθεστέρας; Ἀνάξια ταῦτα τῆς ἑαυτοῦ σοφίας καὶ ἁγιότητος ἔγραψεν ὁ μακάριος, ἀπατηθεὶς πάλιν καὶ ὧδε ὑπὸ τῆς κατ' αὐτὸν ἑβραϊκῆς ἀληθείας! Ὅς γε καὶ τούτοις οὐκ ἀρκεσθεὶς, προσέθηκε καὶ γενικὸν παρατήρημα (generaliter observandum!)· ὅτι « Ὅπου οἱ Ἀπόστολοι, ἢ οἱ Ἀποστολικοὶ ἄνδρες διαλέγονται πρὸς τοὺς λαοὺς, ὡς ἐπὶ τὸ πλεῖστον καταχρῶνται (abutuntur) ταῖς μαρτυρίαις, ὅσαι προϋπῆρχον ἤδη δεδημοσιευμέναι ἐν τοῖς ἔθνεσι » (μηδὲν δηλονότι περὶ τῆς ἀληθείας τῶν λόγων φροντίζοντες!). « Καί τοι (προστί-

μὸς 75 γέγραπται παγίως καὶ σταθερῶς. 2) Ὁ πρωτομάρτυς Στέφανος μετὰ τοῦ θείου Λουκᾶ (Πράξ. ζ, 14) (α). 2) Ὁ Φί–

θησι) πολλοὶ παραδιδόασιν, ὅτι ὁ Εὐαγγελιστὴς Λουκᾶς, ὡς προσήλυτος, ἠγνόει τὰ ἑβραϊκὰ» (διὸ καὶ παρεφέρετο κατὰ τὴν τοῦ 75 ἀριθμοῦ ψευδῆ τῶν Ο γραφήν! τὸ δὲ Δευτερονόμιον, ὅπου καὶ οἱ Ο ἔγραψαν 70, ὁ θεῖος Λουκᾶς, ὡς ἔοικεν, οὐκ ἀνέγνω!!). Τοιαῦτα ὁ Δαλμάτης Πατήρ. Ἀλλ' ὁ ἱερὸς Αὐγουστῖνος (καίτοι καὶ αὐτὸς εἰδὼς τὴν ἐν τῷ ἑβραϊκῷ γραφὴν τὴν 70), καὶ ὁ θεῖος Ἀμβρόσιος μετὰ τῆς ἀρχαίας Ἰτάλας ἀνεκήρυττον καὶ ἀπεδέχοντο τοὺς Ο γεγραφότας 75. Καὶ ἡ τῆς Δυτικῆς Ἐκκλησίας ἀδελφὴ τῷ τότε, καὶ ἀνέκαθεν σεβασμία μήτηρ καὶ διδάσκαλος Ἀνατολικὴ Ἐκκλησία κηρύττει εἰς αἰῶνας, ὅτι «Τὸν ἀριθμὸν τοῦτον (τὸν 75) μετὰ ἀκριβείας ἐπεσημήνατο ἡ ΘΕΙΑ ΓΡΑΦΗ. — Ἀπὸ γὰρ τῶν ΟΕ ψυχῶν εἰς ἑξακοσίας χιλιάδας ἐξετάθη τὸ γένος τοῦ Ἰσραήλ». (Χρυσόστομ. εἰς Γένεσ. Ὁμιλ. ξε).

(α) Ὅσοι τῆς κατὰ τὸ νῦν ἑβραϊκὸν ἀναγνώσεως ἀπρὶξ ἔχονται, λέγουσιν ὅτι ὁ θεῖος Στέφανος διαλεγόμενος πρὸς Ἰουδαίους ἑλληνιστὰς, ἐχρῆτο τῇ ἑρμηνείᾳ τῶν Ο, καὶ κατὰ ταύτην λοιπὸν ἐξέφερε τὸ ῥητὸν (Schulz, Schol. in Genes.). Ἀλλ' (ἐρωτῶμεν) ἄλλως λοιπὸν ἀνεγίνωσκον τὴν Γραφὴν οἱ ἑλληνισταὶ κατ' αὐτὴν τὴν Ἱερουσαλὴμ ἐπὶ τοῦ Στεφάνου, καὶ ἄλλως οἱ ἑβραΐζοντες; Κἂν τοῦτο δοθῇ, μήπως οὐκ εἶχον οὗτοι γνῶσιν οὐδεμίαν τῆς παρὰ τοῖς ἑλληνισταῖς ἀναγνώσεως; εἰ δὲ καὶ πάντως εἶχον, πῶς οὐ διώρθουν τοὺς πλανωμένους ἀδελφούς; Ἔπειτα ὁ πλήρης πνεύματος ἁγίου Στέφανος ἐποιεῖτο τὸν λόγον οὐχ (ὡς λέγουσιν) ἁπλῶς πρὸς ἑλληνιστὰς, ἀλλὰ πρὸς αὐτὸ τὸ Συνέδριον τῶν Ἰουδαίων, κρινόμενος περὶ βλασφημίας· πῶς λοιπὸν ἐκεῖνοι ἀκούοντες τὸν πρωτομάρτυρα μεταποιοῦντα τὸ 70 εἰς τὸ παρ' αὐτοῖς ἀνήκουστον 75, καὶ διαφθείροντα τὸ κείμενον τῆς Γραφῆς, οὐκ ἐπέφερον αὐτῷ νέον βλασφημίας ἔγκλημα, διαπριόμενοι πολὺ πλέον κατ' αὐτοῦ; Τί δ' οὐκ ἔλεγε καὶ ὧδε ὁ ἀρχιερεὺς «ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν ἐκ τοῦ στόματος αὐτοῦ;». Ἀλλὰ ταῦτα (λέγουσιν) οὐκ ἔγραψεν αὐτὸς ὁ Στέφανος, ἀλλ' ὁ Εὐαγγελιστὴς Λουκᾶς, λαβὼν ἐκ τῆς συνήθους τοῖς ἑλληνισταῖς ἑρμηνείας τῶν Ο. Ἀλλ' ἐκ τούτου συνάγεται δυοῖν ἀτόποιν θάτερον, ἢ γὰρ ψευδὴς (ἄπαγε) διερμηνευτὴς τῶν Στεφάνου λόγων ἐκὼν ἐγένετο ὁ θεόπνευστος Εὐαγγελιστὴς, ἢ γοῦν οὐδ' αὐτὸς ἠπίστατο τὸν κύριον ἀριθμὸν τῶν ἀπογόνων τοῦ Ἰακὼβ, ὅπερ οὐχ ἧττον ἄτοπον. Ἄλλος δέ τις (ὁ Καλμέτης Comment. in Act. 7) ἀπεστομάτισε καὶ θρασύτερα, ἢ ἀθεμιτώτερα. «Τὸ κῦρος (εἶπε) τοῦ ἁγίου Στεφάνου πάντως οὐ κατισχύσει τῆς πίστεως τοῦ τε κειμένου τοῦ ἑβραϊκοῦ» (δηλαδὴ τοῦ ῥαββινικοῦ καὶ μασοριτικοῦ!), «καὶ τοῦ τῆς Βουλγάτας»! (τῶν δ' Ο, λόγος οὐδεὶς παρὰ Καλμέτῃ, παναρκὴς γὰρ ἡ κατ' αὐτὸν Βουλγάτα! βλ. ὄπισθ. σελ. 102). Ἄλλοι δὲ πάλιν ἐσυκοφάντησαν ὡς πλαστογράφους τοὺς ἀρχαίους (ὡς λέγουσι) χριστιανοὺς (αὐτοὺς δηλαδὴ τοὺς Πατέρας τῆς Ἐκκλησίας), οἵτινες εὑρόντες καὶ ἐν ταῖς Πράξεσι τὸν 70 ἀριθμὸν (ὡς δῆθεν ἔγραψεν ὁ Λουκᾶς), μετέβαλον εἰς 75, κατὰ τοὺς Ο, ἵνα συμφωνῶσιν ἑκάτερα τὰ χωρία! Καὶ φαίνεται ἄρα, ὅτι ἡ τοιαύτη ῥᾳδιουργία τῶν Ἀποστολικῶν

λων (α). 3) Πάντες οἱ ἀρχαῖοι Πατέρες τῆς Ἐκκλησίας ἀπὸ τοῦ β, αἰῶνος, καὶ ἐφεξῆς, οἷον Κλήμης ὁ Ἀλεξανδρεὺς (β), ὁ Ὠριγένης, ὁ ἱερὸς Ἀμβρόσιος (γ), ὁ Χρυσόστομος, ὁ Ἀλεξανδρείας Κύριλλος (δ), ὁ Αὐγουστῖνος (ε), αὐτὸς ὁ Ἱερώνυμος (ἐν οἷς ὁμολογεῖ τοὺς Ο, γεγραφότας ἐν τῇ Γενέσει τὸν οε, ἀριθμόν)· ἄλλους παραλείπομεν (ζ). 4) Αὐτὴ ἡ σειρὰ τοῦ παρὰ τοῖς Ο καταλόγου

λόγων ἐγένετο κατ᾽ αὐτὸν ἔτι τὸν πρῶτον αἰῶνα, καὶ ἴσως ἔτι ζῶντος τοῦ Λουκᾶ! πᾶσαι γὰρ αἱ ἀρχαῖαι τῶν Πράξεων μεταφράσεις, ὁ Σύρος, ἡ ἀρχαία Βουλγάτα, ὁ Ἄραψ, κτλ. ἀναγινώσκουσι τὰς ψυχὰς 75! Ἀλλὰ τὰς τοιαύτας ἀσχημοσύνας αἰδὼς καὶ μνημονεύειν ὅλως, ἤπού γε καὶ ἀπαντήσεως ἀξιοῦν. Οἱ δὲ περὶ τὸν Ἰταλὸν Μαρκίνην ἔκοψαν τὸν γόρδιον δεσμὸν μαχαίρᾳ ξυλίνῃ, λέγοντες, ὅτι ἄρα ὁ θεῖος Στέφανος οὐχ ὁρίζει τὸν ἀριθμὸν τῶν Ἰακὼβ ἐκγόνων (περὶ ὧν ὁ λόγος ἐν τῇ Γενέσει), ἀλλ᾽ ἀριθμεῖ τοὺς μετὰ τοῦ Ἰακὼβ πραγματικῶς εἰσελθόντας εἰς Αἴγυπτον. Ἦσαν δὲ οὗτοι 64, οἱ ἔκγονοι τοῦ Ἰακὼβ (καθὼς αὐτοὺς ἀριθμεῖ), καὶ ἕνδεκα αἱ γυναῖκες τῶν ια, υἱῶν τοῦ Ἰακὼβ, (οἱ πάντες 75). Ὥςε (κατὰ τὸν Μαρκίνην) ὁ θεῖος Στέφανος ἠρίθμει καὶ τὰς γυναῖκας τῶν υἱῶν Ἰακὼβ, ἃς ὁ θεῖος Μωσῆς ῥητῶς ἀπέκλεισε τοῦ καταλόγου! (Γενέσ. μς, 26). Ἔπειτα τί ἄρα καὶ βουλόμενος ὁ πρωτομάρτυς ἐποιεῖτο νέαν ἀπαρίθμησιν τῶν περὶ τὸν Ἰακὼβ, διάφορον τῆς Μωσαϊκῆς; Βλ. J. Marchini, De Divinit. et canonicit. Sacror. Biblior. p. 82.

(α) Φίλων τ. α. σελ. 467. καὶ ἐν τῷ Περὶ τῆς εἰς τὰ προπαιδεύματα Συνόδου· τόμ. α. σελ. 525. καὶ Ὀνομαστικῷ εἰς τὴν Γένεσ. (παρ᾽ Ἱερωνύμῳ, τ. γ).

(α) « Ἔφορός τε καὶ ἄλλοι πολλοὶ τῶν ἱστορικῶν καὶ ἔθνη καὶ γλώσσας πέντε καὶ ἑβδομήκοντα λέγουσιν εἶναι, ἐπακούσαντες τῆς φωνῆς Μωσέως λεγούσης (Ἐξόδ. α) « Ἦσαν δὲ πᾶσαι αἱ ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα αἱ εἰς Αἴγυπτον κατελθοῦσαι » κτλ., (Στρωμ. Α. σελ 248).

(β) S. Ambros. in Exod. ὅπου καὶ μυστικὸν τοῦτον εἶναι τὸν ἀριθμὸν ἐκ τῶν Ὠριγένους εἰς τὴν Ἔξοδον ὑπομνημάτων ἀποδείκνυσι.

(γ) «Κατῴχοντο μὲν (οἱ υἱοὶ Ἰσραὴλ) ἐκ γῆς Χαναὰν εἰς Αἴγυπτον ἐν ἑβδομήκοντά που καὶ πέντε ψυχαῖς, καθὰ γέγραπται». Κύριλλ. Γλαφυρ. εἰς Πεντάτευχ. βιβλ. β. σελ. 202. Antw. 1618.

(δ) S. Augustin. de Civit. Dei. L. XVI. c. 40.

(ε) Ὁ Βερνάρδος (εἰς Ἰώσηπ. Ἀρχ. Β. ζ. §. 4) ὡς σύμφωνον τῷ Ἱερωνύμῳ περὶ τοῦ ἑβδομήκοντα ἀριθμοῦ μνημονεύει καὶ τὸν μακάριον Ἐπιφάνιον. Ἀλλ᾽ ἰδοὺ οἱ λόγοι τοῦ Πατρὸς, ὡς φαίνονται τανῦν ἐκδεδομένοι. «Καὶ ὁ Ἰσραὴλ μετὰ τὴν τοῦ Ἰωσὴφ εἰς Αἴγυπτον κάθοδον κάτεισι καὶ αὐτὸς σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, υἱῶν τε καὶ ἐκγόνων, γυναικῶν τε τῶν προειρημένων, ΕΝ ἑβδομήκοντα ψυχΩΝ τὸν ἀριθμόν» (Ἐπιφάν. Αἱρέσ. δ. §. 9. σελ. 10 Petav.). Καὶ ἔστι μὲν ὁ μακάριος Ἐπιφάνιος ἁπλοϊκὸς τὴν φράσιν καὶ ἀφελὴς, ἀλλ᾽ ὅμως οὐδέποτ᾽ ἂν ἔγραψεν ΕΝ ἑβδομήκοντα ψυχΩΝ, συντάττων οὕτως ἀκαταλλήλως τὴν ἐν μετὰ γε-

τῶν Ἰακὼβ ἐκγόνων ἐμφαίνει τὴν συνέπειαν τοῦ ἀριθμοῦ. Ἐν Γενέσει μς, 20, παρὰ τοῖς Ο ἀριθμοῦνται μετὰ τοῦ Ἐφραὶμ καὶ Μανασσῆ καὶ οἱ ἐξ αὐτῶν ἓξ ἔγγονοι καὶ δύω δισέγγονοι τοῦ Ἰωσὴφ (οἵτινες λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ), οἱ γεννηθέντες *ἐν Αἰγύπτῳ* (αὐτόθ.), καὶ οὗτοι (οἱ πάντες *ἐννέα* μετ᾽ αὐτοῦ τοῦ Ἰωσὴφ) προστιθέμενοι πρὸς τοὺς ἐκ τῆς Χαναὰν μετὰ τοῦ Ἰακὼβ εἰς τὴν Αἴγυπτον εἰσελθόντας 66, ἀποτελοῦσι τὸν 75 ἀριθμόν (α). 5) Ὑποδείκνυσι τὸν ἀριθμὸν καὶ ἡ μεταξὺ τῶν ἀριθμουμένων ἀπογόνων τοῦ τε Ἰωσὴφ, καὶ τοῦ Βενιαμὶν ἀντίστοιχος ἀναλογία· οἱ Ο μετὰ τῶν υἱῶν τοῦ Βενιαμὶν ἀριθμοῦσι καὶ τοὺς ἐκ τούτων ἐγγόνους, ἐν οἷς καὶ τὸν Νοεμὰν (υἱὸν Βαλὰ, υἱοῦ Βενιαμὶν), καὶ ἕνα δισέγγονον, τὸν Ἀρὰδ (*υἱὸν Γηρὰ, υἱοῦ Βαλὰ, υἱοῦ Βενιαμίν*· Γενέσ. μς, 21). Τὸ δ᾽ ἑβραϊκὸν καὶ τοῦτον τὸν Ἀρὰδ, καὶ τὸν Νοεμὰν, καὶ τὸν Γηρὰ, ἐν μὲν τῇ Γενέσει (αὐτόθ.) ὡς υἱοὺς τοῦ Βενιαμὶν ἀριθμεῖ

νικῆς· ἔγραψε δὲ πάντως « τῶν προειρημένων Π]ΕΝ[ΤΕ ΚΑΙ] *ἑβδομήκοντα ψυ*ΧΩΝ *τὸν ἀριθμὸν* ». Ἡ δὲ *τῶν μεταγραφέων ἀβλεψία, ἢ καὶ ἡ τοῦ χειρογράφου ὑπὸ χρόνου τριβὴ συνέκοψε τὸ* ΠΕΝΤΕ *εἰς μόνην τὴν* ΕΝ. Ἴσως *δὲ καὶ δι᾽ ἀριθμητικῶν στοιχείων ἔγραψεν ὁ* Πατὴρ ΟΕ, *ψυχῶν, ὁ δὲ μεταγραφεὺς ὁλογραφῶν τὰ στοιχεῖα, τὸ μὲν* Ο *ἐξέφρασεν ὁλόγραφον, τὸ δὲ* Ε *ἐξ ἀβλεψίας ἔτρεψεν εἰς* ΕΝ, *προτάξας τοῦ ἀριθμοῦ· ἐγράφετο δὲ πολλάκις τὸ στοιχεῖον τοῦ ἐλάσσονος ἀριθμοῦ καὶ πρὸ τοῦ μείζονος, οἷον,* ΕΟ, *τουτ. π έ ν τ ε κ α ὶ ἑ β δ ο μ ή κ ο ν τ α, ὡς καὶ* ΑΙ, ΒΙ, *ἀντὶ ια, ιβ, κτλ.* (*Οὕτω γράφονται καὶ ἐν τῇ Σλαβονικῇ οἱ διὰ γραμμάτων δεκαδικοὶ ἀριθμοί, προηγουμένων τῶν μονάδων*). Ὁ *δὲ σοφὸς ἐκδότης παρέστησε τὸν ἱερὸν* Ἐπιφάνιον *βαρβαρίζοντα μὲν περὶ τὴν φράσιν, ἀντιλέγοντα δὲ καὶ πρὸς οὓς ἀντέγραφεν* Ο. Ὅτι *δὲ τὸ κείμενον τοῦ μακαρίου* Ἐπιφανίου *ἐν πλείστοις χωρίοις ἔχει χρείαν διορθώσεως, εἴπομεν καὶ ἀλλαχοῦ* (Βιβλ. Α. σελ. 50, 257, 601. *καὶ* Βιβλ. Β. *σελ.* 307 *κτλ.*). Τοῦτο *δὲ καὶ πρὸ ἡμῶν ὁ περικλεὴς ἐπὶ σοφίᾳ καὶ πάντ᾽ ἄριστος* Ἀνδρέας *ὁ* Μουστοξύδης *πρὸ πολλοῦ παρετήρησε.* Βλ. *Συλλογὴν Ἑλληνικῶν ἀνεκδότων ποιητῶν καὶ λογογράφων.* Τετράδ. Β. *ἐν* Βενετ. 1816.

(α) « Πᾶσαι *αἱ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ* Ἰακὼβ *εἰς* Αἴγυπτον *ἑξηκονταέξ.* Υἱοὶ *δὲ* Ἰωσὴφ *οἱ γενόμενοι αὐτῷ ἐν* Αἰγύπτῳ *ψυχαὶ ἐννέα, πᾶσαι ψυχαὶ οἴκου* Ἰακὼβ, *αἱ εἰσελθοῦσαι μετ᾽ αὐτοῦ εἰς* Αἴγυπτον, *ψυχαὶ ἑβδομήκοντα πέντε* » (Γενέσ. μς, 26, 27). Τὸ *δὲ ἑβραϊκὸν, στίχ.* 27. «Υἱοὶ *δὲ* Ἰωσὴφ, *οἱ γενόμενοι αὐτῷ ἐν* Αἰγύπτῳ *δύω ψυχαὶ* » (Ἐφραὶμ *καὶ* Μανασσῆς)· « *πᾶσαι αἱ ψυχαὶ τοῦ οἴκου* Ἰακὼβ *ἑβδομήκοντα* » (66 *οἱ μετὰ* Ἰακὼβ *ἐλθόντες· τρεῖς ὁ* Ἰωσὴφ *μετὰ τῶν δύω τέκνων, καὶ εἷς αὐτὸς ὁ* Ἰακὼβ, *οἱ πάντες* Ο.). *ὁ δὲ* Ἰώσηπος *ἀριθμεῖ τούτους* Ο, *χωρὶς τοῦ* Ἰακὼβ (Ἀρχαιολ. *β.* ς. 4. *καὶ σημ.* Bernard.), *ὡς καὶ* Ἰεζεκιῆλος. *βλ. ἄνω*

(λέγει δὲ υἱοὺς καὶ τοὺς ἐγγόνους ἡ Ἑβραΐς). Ἀλλ' ἐν Ἀριθμοῖς (κϛ, 40), καὶ αὐτὸ τὸ ἑβραϊκὸν οὐ μόνον *τὸν Ἀρὰδ* (ἢ Ἀδάρ), ἀλλὰ καὶ τὸν *Νοεμὰν, υἱοὺς* Βαλᾶ ῥητῶς ἀναγράφει, καὶ ἑπομένως ἐγγόνους τοῦ Βενιαμίν. Καὶ φαίνεται ἄρα ὁ θεῖος Μωσῆς, ὅτι διά τινα λόγον ἐπίσημον ἐγενεαλόγησε μέχρι *τρίτης* γενεᾶς τοὺς δύω τούτους υἱοὺς τῆς Ῥαχὴλ, καὶ *υἱοὺς γήρως* τοῦ Ἰακὼβ. Ἐπειδὴ δὲ οἱ τοῦ *Βενιαμὶν ἔγγονοι* (καί τοι *ἐν Αἰγύπτῳ* γεννηθέντες) συναριθμοῦνται *κατὰ πρόληψιν* καὶ ἐν αὐτῷ τῷ ἑβραϊκῷ μετὰ τῶν 70 ψυχῶν, ὑπῆρχον ἄρα ἀνέκαθεν ἐν τούτῳ καταγεγραμμένοι καὶ οἱ *τοῦ Ἰωσὴφ ἔγγονοι*, μεθ' ὧν ὁ ἀριθμὸς συγκεφαλαιοῦται εἰς 75 (κατὰ τοὺς Ο). Πῶς γὰρ ἔμελλεν ὁ προφήτης τοὺς μὲν Βενιαμὶν ἐγγόνους ἀριθμεῖν, τοὺς δὲ τοῦ περικλεεστάτου Ἰωσὴφ σιωπᾷν; 6) Τούτους οὖν τοὺς Ἰωσὴφ ἐγγόνους οὐκ ἔχει τὸ καθ' ἡμᾶς ἑβραϊκὸν ἐν τῷ καταλόγῳ τῆς Γενέσεως (μϛ), 70 δὲ μόνον ἀριθμεῖ τοὺς μετὰ Ἰακὼβ συνελθόντας· Ὡσαύτως καὶ Ἰώσηπος (Ἀρχ. Β, ζ, 4), ἀλλὰ καὶ ὁ τούτου παλαιότερος τραγῳδοποιὸς Ἰεζεκιῆλος (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. γ. §. κγ)· λέγει δὲ καὶ οὗτος, ὅτι ὁ Ἰακὼβ « Κατῆλθ' ἐς Αἴγυπτον ἔχων ἑπτάκις δέκα Ψυχὰς σὺν αὐτῷ» (παρ' Εὐσεβίῳ Εὐαγγελικ. Προπαρ. θ, 6). Τοσούτους ἔχει καὶ τὸ καθ' ἡμᾶς Σαμαρειτικόν. Καὶ φαίνεται λοιπὸν, ὅτι καὶ Ἰώσηπος καὶ τούτου πρότερον ὁ Ἰεζεκιῆλος, οὐκ ἀντέγραψαν τὴν γενεαλογίαν τοῦ Ἰακὼβ ἀμέσως ἐκ τῆς θείας Γραφῆς (ἵνα μὴ καὶ ἐπ' αὐτῶν οὕτως ἀωρὶ διεφθαρμένα φανῶσι τὰ ἑβραϊκὰ χειρόγραφα), ἀλλὰ κατά τινα συνήθη τοῖς ἑβραίων σοφοῖς γενεαλογικὴν ἐν τοῖς καταλόγοις ἐπιτομὴν, καθ' ἣν ἠριθμοῦντο μόνον οἱ μετὰ τοῦ Ἰακὼβ εἰς Αἴγυπτον συνελθόντες (66), ἐκ δὲ τῶν ἐν Αἰγύπτῳ γεννηθέντων μόνοι οἱ δύω υἱοὶ τοῦ Ἰωσήφ· καὶ οὗτοι μετ' αὐτοῦ καὶ τοῦ Ἰακὼβ ἀπήρτιζον τὸν στρογγύλον, καὶ μάλιστα παρὰ τοῖς Ἰουδαίοις φίλον καὶ σεβάσμιον ἀριθμὸν, τὸν 70, οἱ δὲ λοιποὶ πέντε οἱ ἐν Αἰγύπτῳ γεννηθέντες ἔγγονοι τοῦ Ἰωσὴφ παρεσιωπῶντο·(Σύνηθες δὲ πολλάκις καὶ αὐτῇ τῇ θείᾳ Γραφῇ τὸν ὁλοσχερῆ λέγειν ἀριθμὸν, παραλειπομένων τῶν περιττευουσῶν ὀλίγων μονάδων). Οὕτω καὶ ἐν Α. Παραλ. ϛ, 8–15,

οἱ τοῦ Ἀαρὼν ἀπόγονοι καὶ διάδοχοι ἀρχιερεῖς γενεαλογοῦνται κατὰ πέντε ἔλασσον, ἢ ὡς ἀριθμοῦνται παρ᾽ Ἰωσήπῳ (Ἀρχ. Ι, η, 6: Κ, ι, 1)· καὶ πάλιν ὁ Δ, λεγόμενος Ἔσδρας α, 1, ἀριθμεῖ ἓξ πρόσωπα ὀλιγώτερα τῶν ἐν Α, Παραλ. ϛ, 1, κτλ. (α). Τὴν δὲ τοιαύτην τῆς Ἰακὼβ γενεαλογίας συντομωτέραν σειρὰν εἰσήγαγον ὕστερον καὶ εἰς αὐτὸ τὸ κείμενον τῆς ἑβραΐδος Πεντατεύχου χεῖρες ἀντιγραφέων ἀμαθῶν· καὶ πρὸς τοιοῦτο κείμενον ἡρμήνευσε καὶ ὁ Χαλδαῖος, καὶ ὁ Ἀκύλας· ἐκ δὲ τούτων πάλιν ὑπό τινος νεωτέρου Σαμαρείτου κριτικοῦ διωρθώθη καὶ τὸ Σαμαρειτανόν (β). Ὅ,τι μάλιστα πείθει, ὅτι ἐπὶ τοῦ Ἰωσήπου οἱ ἑβραϊκοὶ κώδηκες τῆς Γραφῆς εἶχον τὸν 75 ἀριθμὸν (κατὰ τοὺς Ο), μαρτυρεῖ μὲν ὁ Φίλων (ἑβραῖος καὶ αὐτὸς, καὶ τοῖς Παλαιστινοῖς γνωστότατος), μαρτυρεῖ δὲ καὶ ὁ θεῖος Στέφανος, ἐπ᾽ αὐτοῦ τοῦ Συνεδρίου τὸν 75, ἀριθμὸν ὡς γνωστὸν ἀπαγγείλας, καὶ αὐτὴ τοῦ Συνεδρίου ἡ πρὸς τοῦτο πάντως καταφάσκουσα σιωπή. 7) Οἱ δὲ περὶ τὸν Γράβιον, καὶ οἱ πλεῖστοι τῶν νεωτέρων κριτικῶν, ὅσοι τὸ νῦν ἑβραϊκὸν πρεσβεύουσιν ὡς κανόνα, πρὸς ὃν πάντως ἀπαιτοῦσιν εὐθύνεσθαι

(α) Ἀλλὰ καὶ ὁ θεῖος Ματθαῖος ἐν τῇ γενεαλογίᾳ τοῦ Κυρίου παρέλιπεν εὐλόγως τινὰ πρόσωπα γνωστὰ, ἀριθμήσας τὰ κυριώτατα (βλ. τοὺς ἱεροὺς Πατέρας εἰς Ματθ. α, 1—17. καὶ τὸν ὑπὸ Καλμέτου Συμβιβασμὸν τῶν δύω γενεαλογιῶν τοῦ Κυρίου, ἐν τῷ τέλει τῆς Εὐγενίου Ἑκατονταετηρίδος. Πρβλ. καὶ Ἀνασκευὴν τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης σελ. 14). Καὶ ἐξ αὐτῶν τῶν θύραθεν ἱστορικῶν ὁ λατῖνος Σολῖνος γενεαλογῶν τοὺς Μακεδόνων βασιλεῖς, παρέλιπέ τινας ἧττον ἐπισήμους. βλ. καὶ Grot. Annot. εἰς Ματθ. α, 17, καὶ Λουκ. γ, 23, κτλ.

(β) Τοῦτο φαίνεται πιθανώτατον· διότι καὶ ἐν Ἀριθμ. κϛ, 40 τὸ ἀνωτέρω «Καὶ ἐγένοντο υἱοὶ Βελὰ Ἀδὰρ καὶ Νοεμὰν» (ὅπερ ἔχουσι καὶ οἱ Ο, καὶ τὸ νῦν ἑβραϊκὸν) ἀπέξυσεν ἐκ τοῦ Σαμαρειτικοῦ νεώτερός τις Σαμαρείτης κριτικὸς (βλ. καὶ Rosenmüll. Schol. in Num. h. l.). Τῶν δέ τις ἀρχαίων Σχολιαστῶν (εἰς Δευτερ. ι, 22) σημειοῖ τὰ ἐφεξῆς· «Καὶ Ἀκύλας καὶ τὸ Σαμαρειτικὸν ἑβδομήκοντα μόνους λέγει· οὐδὲ γὰρ ἀριθμεῖ τοὺς υἱοὺς Ἰωσὴφ Μανασσῆ καὶ Ἐφραὶμ (ἴσ. γρ. τοὺς υἱοὺς τῶν υἱῶν Ἰωσ. Μαν. καὶ Ἐφρ.) ὡς μὴ κατελθόντας (μετὰ τοῦ Ἰακὼβ) εἰς Αἴγυπτον· ὡς ἔστιν εὑρεῖν ἀπὸ τῆς ἐν Γενέσει γενεαλογίας. Οἱ δὲ Ο ἑρμηνευταὶ κᾀκείνους ἠρίθμησαν· τὸ γὰρ ἐξ Ἰακὼβ γένος κατέλεξαν, οὐ τοὺς συνελθόντας ἐν Αἰγύπτῳ» κτλ. (Σειρ. εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ. 1474). Σημειωτέον, δὲ ὅτι τὸν Ἀκύλαν μόνον ἐκ τῶν λοιπῶν τὸ Σχόλιον μνημονεύει. Μή ποτε οὖν ὁ Σύμμαχος καὶ Θεοδοτίων ἠρίθμουν 75, κατὰ τοὺς Ο;

καὶ τοὺς Ο, προβάλλουσι καὶ ὧδε τὸν παρ' αὐτοῖς ἐξευρημένον *κοινὸν τόπον*, ἢ σοφιστικὸν *πανδέκτην*, λέγω δὲ τὸν πολυθρύλλητον ὄνειρον *τῆς διασκευῆς*, ὅθεν ἐπιλύουσι πάσας τὰς δυσχερείας· « Ἤτοι γὰρ (φασὶν) αὐτοὶ οἱ Ο προσέθηκαν καὶ τοὺς ἐγγόνους τοῦ Ἰωσὴφ εἰς τὸ κείμενον, ἢ γοῦν ἄλλος τις πρὸ τῶν Φίλωνος χρόνων συνείρων τὴν συνέχειαν τῆς Ἰακὼβ γενεαλογίας, προσέγραψεν εἰς τὴν ᾤαν ἔν τε τῇ Γενέσει, κἀν τῇ Ἐξόδῳ» *(πρόσθες κἀν τῷ Δευτερονομίῳ*· βλ. ἐφεξῆς §. ζ), « ταύτην τὴν προσθήκην, λαβὼν ἐκ τῆς Α, τῶν Παραλειπομένων (ζ, 14, 20)· ἐκ δὲ τῆς ᾤας παρεισέδυ καὶ εἰς τὸ κείμενον » (α)! Ἀλλ' (ἐρωτῶμεν) τί ποτε βουλόμενοι, εἴτ' αὐτοὶ οἱ Ο, εἴτ' ἄλλοι τινὲς ἄγνωστοι καὶ σκοτεινοὶ διασκευασταί, ἢ πολλῷ, ἢ καὶ ὀλίγῳ πρότερον τοῦ Φίλωνος γεγονότες, παρεμπεποιήκασι ταύτην τὴν προσθήκην, ἀνθολογήσαντες ἐκ τῆς Α, τῶν Παραλειπομένων; Μὴ γὰρ οὐκ εἶχον τὴν συνέχειαν τῆς Ἰακὼβ γενεαλογίας ἐν αὐτῇ δὴ τῇ βίβλῳ τῶν Παραλειπομένων, ὡς ἔςι κἀν τῷ ἑβραϊκῷ; τί μὴ ἠρκέσθησαν εἰς αὐτήν; Πῶς δ' ἂν ἀπεδέξαντο τὴν προσθήκην καὶ τὸν ἀριθμόν, ἐν *τρισὶ* τόποις τῆς Πεντατεύχου κατ' ἐπανάληψιν γεγραμμένον, αἱ κατὰ τόπους Συναγωγαὶ τῶν ἑλληνιστῶν, εἴπερ αὐτὸν ᾔδεισαν μηδόλως μηδαμοῦ τοῦ ἑβραϊκοῦ πρωτοτύπου γεγραμμένον ἐξ ἀρχῆς; Ἀλλ' οἱ μὲν Ο, μέγαν ἔχουσι καὶ ἀναντίῤῥητον συνήγορον τὴν θεόπνευστον μαρτυρίαν τοῦ πρωτομάρτυρος (β). Τούτου δ' οὐ καταπροΐξονται, *οὐδ' ἰσχύσουσιν ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ πνεύματι ᾧ ἐλάλησεν*, οἱ παῖδες καὶ διάδοχοι τῶν *Λιβερτίνων κριτικῶν*. Ἡμεῖς δὲ

(α) Grabe, de vitiis LXX. pag. 26. πρβλ. Cleric. Art. Critic. P. III. c. 7. p. p. 40. — Schulz καὶ Rosenmüll. Schol. in Genes. h. l. Ὁ δὲ κλεινὸς Κεννικῶτος καὶ λίαν χαριέντως ἐρωτᾷ τὸν Γράβιον· « Ἰδοὺ δή! (En vero!) καὶ τί δεινὸν ἐπηκολούθησε τὴν ἄσοφον ταύτην διασκευήν; Ἐπειδὴ γὰρ ὅλον τὸ κεφάλαιον ἔλασσον ἦν τοῦ δικαίου, γενομένης ταύτης τῆς προσθήκης, ὁ 70 ἀριθμὸς ἐτράπη εἰς 75, κτλ. (Kennicot. Disert. II. pag. 391). Καὶ ὁ Ἔρασμος (annot. εἰς Πράξ. ζ) οὐκ ἀπίθανον ἔκρινε τὴν ἐκ τοῦ ἑβραϊκοῦ ἔκπτωσιν τοῦ πέντε ἀριθμοῦ. Οὐδ' ὁ Καχὴν (not. in h. l.) νοθίζει τὸν 75, ἀριθ. τῶν Ο.

(β) Βλ. καὶ Ἀνασκ. τῆς τελευτ. διερμηνευθ. Διαθήκ. σελ. 291, καὶ 570.

προστιθέμεθα καὶ ἄλλα τινὰ δείγματα τῆς ἐν τῷ ἑβραϊκῷ μεταβολῆς τῶν λέξεων.

Β. Βασιλ. κδ, 13. « Εἰ ἔλθοι σοι *τρία ἔτη* λιμός »· τὸ δ' ἑβραϊκὸν, *ἑπτὰ ἔτη*· ἀλλ' ἐν Α, Παραλειπομ. κα, 12, γράφει καὶ τὸ ἑβραϊκὸν, ὡς καὶ οἱ Ο, *ἔτη τρία* (βλέπε ὄπισθεν κεφ. δ. §. δ) — Ψαλμ. ρμ, 5 (ἑβρ. ρμα) « Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου » (οἱ Ο, ἡ Βουλγάτα, καὶ Κλήμης ὁ ἰσαπόστολος, Ἐπιστολ. Κορινθ. α, §. 56)· τὸ δ' ἑβραϊκὸν, « *Πληττέτω σφύρᾳ με ὁ δίκαιος, ἔλεος* » (τουτ. *ἔλεος ἔσται μοι τοῦτο*), « καὶ *ἐλεγχέτω με· ἔλαιον* (ἔσται τοῦτο) *τῇ κεφαλῇ μου· οὐ συντρίψει τὴν κεφαλήν μου* »· πάντῃ διάφορος καὶ παράδοξος ἀνάγνωσις! Ἄλλαι πλεῖσται ὅσαι καὶ πολυειδεῖς παρατηροῦνται λέξεων μεταβολαὶ, καθ' ἃς διαφέρει τῶν Ο, τὸ ἑβραϊκόν. Μεταβάλλει δὲ τοῦτο καὶ τὰς ἀντωνυμίας πολλάκις, καὶ γένη, καὶ πτώσεις, καὶ χρόνους, καὶ συζυγίας, ἀναλόγως πρὸς τὴν ἔννοιαν τῆς λέξεως, ἣν διαφόρως κατὰ γράμματα καὶ στιγμὰς ἀναγνωστέαν παρέχει.

ε) *Προσθέσεως* δὲ λέξεων, καθ' ἣν τὸ νῦν ἑβραϊκὸν διαφέρει τῶν Ο, καταλέγομεν δείγματα ταῦτα.

Γενεσ. λε, 10. « Τὸ ὄνομά σου οὐ κληθήσεται ἔτι Ἰακὼβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου » (οἱ Ο, ἡ Βουλγάτα κτλ. πρβλ. Γενέσ. λβ, 28)· τὸ δ' ἑβραϊκὸν, « τὸ ὄνομά σου Ἰακὼβ, οὐ κληθήσεται ἔτι *Ἰακὼβ*, » κτλ. προφανὴς παλλιλογία μεταγραφική. — Ἐσθὴρ α, 11. « *Τὴν βασίλισσαν* » (οἱ Ο)· τὸ δ' ἑβραϊκὸν προςίθησι (μηδὲν δέον) καὶ τὸ κύριον, « *τὴν Ἀστὶν* » (ἑβρ. Vasthi), ἐκ τοῦ 9 ςχ. ἐπαναληφθέν. Οὕτως (αὐτόθ. β, 3) προσέγραψε καὶ τὸ κύριον ὄνομα τοῦ εὐνούχου, μεταλαβὸν ἐκ τοῦ ἐφεξῆς 8, ςχ. Καὶ ἄλλας δὲ λέξεις προστίθησι πρὸς τὸ δοκοῦν· τὰς δὲ πάλιν παραλείπει. — Ὠσηὲ δ, 18 « Ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος ». Τὸ ἑβραϊκὸν « ἠγάπησαν τὸ *δότε* (ἑβρ. hebu, ἀντὶ τοῦ *δῶρα*), ἀτιμίαν οἱ *θυρεοὶ* αὐτοῦ » (τοῦτο δ' ἐπεξηγοῦσιν, οἱ *ἄρχοντες αὐτῶν*)· τὸ

δ' οὖν πρόσθετον τοῦτο *δότε* οὐκ ἀνέγνων οἱ Ο (α). — Ὠσηὲ η, 2. « Ὁ Θεὸς ἐγνώκαμέν σε » (οἱ Ο, ὁ Σύρος, καὶ κώδηξ Ἑβραῖος)· τὸ δὲ κοινὸν ἑβραϊκὸν μετὰ τὸ Θεὸς προστίθησι καὶ τὸ *Ἰσραήλ* (β). — Ψαλμ. λη, 8. (ἑβρ. λθ) « Ὄνειδος ἄφρονι *ἔδωκάς με* »· τὸ ἑβραϊκὸν προστίθησι καὶ *μὴ* (al), προφέρον ἀρνητικῶς, « *μή με δῷς* ὄνειδος » κτλ. (ἀλλὰ τὰ ἐφεξῆς « ἐκωφώθην » κτλ. ἐξελέγχουσι τὴν προσθήκην τῆς ἀρνήσεως). Οὕτω καὶ Ζαχαρ. ιγ, 4. ἀντὶ τοῦ « Καὶ ἐνδύσονται δέῤῥιν τριχίνην, ἀνθ' ὧν ἐψεύσαντο » (οἱ Ο), τὸ ἑβραϊκὸν προσέθηκε τὸ ἀρνητικὸν (al) « *οὐκ ἐνδύσονται* »! — Ψαλμ. νδ, 10 (ἑβρ. νε) « Ἀνομία καὶ πόνος *ἐν μέσῳ αὐτῆς* (οἱ Ο, ἡ Βουλγάτα)· τὸ δ' ἑβραϊκὸν ἔχει τὸ *ἐν μέσῳ αὐτῆς* οὐ μόνον ἐν τῷ 10 στίχῳ (ὡς οἱ Ο), ἀλλὰ καὶ ἐφεξῆς (στίχ. 11), ἐκ φανερᾶς πλάνης τοῦ Ἰουδαίου μεταγραφέως. Οὕτω καὶ Ψαλμ. ϟγ, 23 (ἑβρ. ϟδ) « Κατὰ τὴν πονηρίαν αὐτῶν *ἀφανιεῖ αὐτοὺς* Κύριος ὁ Θεὸς ἡμῶν » (οἱ Ο, Βουλγάτα, Σύρος, κώδηξ Ἑβρ.)· τὸ δὲ κοινὸν ἑβραϊκὸν « Διὰ τὴν πονηρίαν αὐτῶν *ἀφανιεῖ αὐτούς, ἀφανιεῖ αὐτοὺς* Κύριος, κτλ. (προφανὴς διττογραφία τοῦ ἀβλεπτοῦντος ἀντιγραφέως). — Ψαλμ. λδ, 20 (ἑβρ. λε) « Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ *ἐπ' ὀργῇ* δόλους διελογίζοντο » (οἱ Ο, Θεοδοτ. Βουλγ.)· Τὸ δ' ἑβραϊκόν, « Ὅτι *οὐκ* εἰρηνικὰ ἐλάλουν, καὶ ἐπὶ τῶν *ἡσύχων* τῆς γῆς λόγους δολίους διανοηθήσονται » (καὶ ὁ Σύμμαχος. « Οὐ γὰρ εἰς εἰρήνην λαλοῦσιν, ἀλλὰ περὶ *συναρπαγῆς* ἐν τῇ γῇ λόγους δολίους λογίζονται »· ἡ δὲ Ε, ἔκδοσις, « Ὅτι οὐκ εἰρήνην λαλοῦσι· καὶ ἐπὶ *συντελείᾳ* γῆς ῥήματα δόλια » κτλ.)· ὅπου οἱ Ἰουδαῖοι ἀντιγραφεῖς α) ἀντὶ τῆς *ἐμοὶ* (li) ἀντωνυμίας, ἔγραψαν τὸ ἀποφατικὸν *οὐ* (lo), ὅπερ ἐξελέγχεται ψευδὲς ἔκ τε τοῦ ἑπομένου καὶ τοῦ προη-

---

(α) Ὁ δὲ Καπέλλιος τὸ φ ρ υ ά γ μ α τ ο ς οἴεται διορθωτέον εἰς τὸ φ ρ ά γ μ α τ ο ς (ὡς δῆθεν ἀνεγνωκότων τῶν Ο miganeha (ἐκ τοῦ Gan, φραγμὸς, ἵνα συμφωνῇ πρὸς τὸ ἑβραϊκὸν magen (ὁ θυρεός). Ἀλλὰ τοῦτο μᾶλλον ὤφειλε διορθοῦν εἰς ὅπερ οἱ Ο ἀνέγνων migeonam (ἐκ τοῦ Gaon τὸ φρύαγμα), ὡς ὀρθῶς ἔκρινεν ὁ Scharfenberg. Βλ. καὶ Schleusn. Thes. V. Test. v. φράγμα.

(β) De-Rossi, Var. Lect. V. Test. Tom. 3. p. 176 καὶ Schulz in Hos. h. l.

γουμένου στίχου· εἰ γὰρ *δόλους διελογίζοντο, καὶ διένευον ὀφθαλμοῖς* (ἐγκοτοῦντες, καὶ βυσσοδομεύοντες τὴν ὀργὴν), πῶς ἐλάλουν *οὐκ εἰρηνικά;* 6) ἀντὶ τοῦ ὀργῇ (rogen), ὅπερ ὁ Σύμμαχος ἄλλως ἀνέγνω, μεταφράσας *συναρπαγὴν*, καὶ ἄλλοι *συντέλειαν* (α), ὁ Ἰουδαῖος ἔγραψεν *ἡσύχων* (riger), ὅπερ οὐδαμοῦ τῆς Γραφῆς εὑρίσκεται οὕτως ἁπλῶς γεγραμμένον· διὸ προσετέθη καὶ τὸ *τῆς γῆς* (eretz), πρὸς ἐπεξήγησιν (ἵνα ᾖ ὡς ὑπερθετικὸν, κατὰ τὴν συνήθη παρ' Ἑβραίοις φράσιν· ὡς τὸ «οἱ ἔνδοξοι τῆς γῆς» (Ἡσ. κγ)= οἱ *ἐνδοξότατοι*, κτλ.)· προσετέθη δὲ καὶ τὸ λόγους (dibre), εἰς τὸ περισέλιδον ἴσως προγεγραμμένον, πρὸς ἐξήγησιν τοῦ *δόλος* (mirmoth, δόλοι, καὶ δόλια, ἐλλειπτ. *λόγια*, ὡς τὸ ἑλληνικ. *ἀπατήλια βάζειν*).—Ψαλμ. ιζ, 6 «*χάλαζα καὶ ἄνθρακες πυρὸς*», κατ' ἐσφαλμένην ἐπανάληψιν (βλ. ὄπισθ. κεφ. β. § κη, καὶ κεφ. γ. § ε).—Ἱερεμ. ιη, 4. «Καὶ ἔπεσε τὸ ἀγγεῖον, ὃ ἐποίει αὐτὸς *ἐν ταῖς χερσὶν αὐτοῦ*, καὶ πάλιν αὐτὸς ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον» (οἱ Ο). Τὸ δ' ἑβραϊκὸν, ἀντὶ τοῦ *ἐν ταῖς χερσὶν αὐτοῦ*, γράφει μετὰ προσθήκης· «ὡς *πηλὸς ἐν χερσὶ κεραμέως*» (ἃ προφανῶς παρεγράφησαν ἐκ τοῦ ἐφεξῆς 6, στίχου· ὅπου κεῖνται καὶ παρὰ τοῖς Ο) πρόσθες καὶ τὰ προσεσημειωμένα (§. η, καὶ θ), τὸ «*σοὶ δρόσος*» (leka tal), καὶ τὸ «*εἰ μὴ*» (lule). Ἄλλας προσθήκας τοῦ νῦν ἑβραϊκοῦ βλέπε πλείονας παρὰ Καπελλίῳ (σελ. 282). Πρβλ. καὶ τὰ ὄπισθεν, Βιβλ. Β. κεφ. ιβ. σελ. 809.

ϛ) *Ἐλλείψεως* δὲ λέξεων ἐν τῷ ἑβραϊκῷ παραδείγματα ταῦτα. Λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ οὐκ ὀλίγα κύρια ὀνόματα, κείμενα παρὰ τοῖς Ο, οἷον, Α. Παραλ. η, 24, 25, λείπουσι τὸ Ἀμβρὶ, καὶ τὸ Ἰαθίν· Αὐτ. ςίχ. 30, 31, λείπουσι τὸ Νὴρ, καὶ τὸ Μακελὼθ, ἅπερ ἀπαιτοῦνται ἀναγκαίως· καὶ γὰρ ἐφεξῆς ςίχ. 32 καὶ 33, καταγράφεται ἡ γενεαλογία τοῦ Μακελὼθ καὶ τοῦ Νὴρ παρά τε τοῖς Ο, καὶ ἐν αὐτῷ τῷ ἑβραϊκῷ.—Αὐτόθ. θ, 44, λείπει ὁ *Ἀσὰ*, καὶ οἱ προγεγραμμένοι ἓξ υἱοὶ τοῦ Ἐσὴλ, ἀναγινώσκονται ἐν τῷ ἑβραϊκῷ *πέντε*.

(α) Βλ. Schleusn. Thes. V. Test. v. Συναρπαγή.

Οἱ δὲ Μασορῖται θεραπεύοντες δῆθεν τὴν ἔλλειψιν *τοῦ ἕκτου*, γράφουσιν ἐν τῷ περισελίδῳ ὡς ἀναγνωστὸν *(κερὶ)* τὸ *Βοχρού*· ἀλλ' οὕτω διαφθείρουσι τὸ ὡς γραπτὸν *(κετὶβ)* ἀντιστοιχοῦν ἐν τῷ κειμένῳ προσηγορικὸν *Βοχροὺ*(ἐκ τοῦ Βεχὼρ), ὅπερ ἐςὶ τὸ *πρωτότοκος αὐτοῦ* (ὡς ἔχουσι καὶ οἱ Ο). Ὥστε ἐν ᾧ πλάττουσι *κύριον* ὄνομα πρὸς ἀναπλήρωσιν τοῦ ἕκτου υἱοῦ, κλέπτουσιν ἑτέρωθεν ἐκ τοῦ κειμένου τὸ (πρωτότοκος) προσηγορικὸν τοῦ πρώτου υἱοῦ τοῦ Ἐσὴλ. (βλ. Καπέλλ. σελ. 279). – Αὐτόθ. ιε, 18, λείπει τὸ Ὀζίας, ἀπαιτούμενον καὶ τοῦτ' ἀναγκαίως· καὶ γὰρ μετ' ὀλίγον, στίχ. 21, κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ, ὡς καὶ παρὰ τοῖς Ο. – Αὐτόθ. ς. 27, λείπει τὸ *Σαμουὴλ ὁ υἱὸς αὐτοῦ* (ἔκδ. Ἄλδου), οὕτινος εὐθὺς ἀκολουθεῖ ἡ γενεαλογία. Ἄλλα κύρια παραλείπομεν (ἐσημειώθησαν δὲ καί τινα ἐν κεφ. γ. §. ς.). – Ἐκκλ. θ. 2. « Συνάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, τῷ ἀγαθῷ καὶ *τῷ κακῷ*, *τῷ καθαρῷ* καὶ τῷ ἀκαθάρτῳ» (οἱ Ο)· ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ «*καὶ τῷ κακῷ*», τὸ ἀντίστοιχον πρὸς τὸ *ἀγαθῷ*. – Ἀμὼς α, 3. «Ἀνθ' ὧν ἔπριζον (οἱ ἐν Δαμασκῷ) πρίοσι σιδηροῖς τὰς *ἐν γαστρὶ ἐχούσας* τῶν ἐν Γαλαὰδ» (οἱ Ο). Τὸ δ' Ἑβρ. «σιδηροῖς τὴν Γαλαὰδ» (λείπει τὰς *ἐν γαστρὶ ἐχούσας*· ὅπερ κεῖται ἐφεξῆς στίχ. 13, ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο, ὅπου πάλιν ὁ προφήτης ἐλέγχει *καὶ τοὺς Ἀμμωνίτας, ὡς ἀνωτέρω τοὺς Δαμασκηνοὺς, ἐπὶ τῇ αὐτῇ ὠμότητι.*— Ἀμὼς α, 15, λείπει τὸ *ἱερεῖς* (Schleusn. Thes. λ. ἱερεύς).–Ὠσηὲ δ, 3, λείπει τὸ «*Καὶ σὺν τοῖς ἑρπετοῖς* τῆς γῆς». Ὡσαύτως καὶ Ναοὺμ β, 5, τὸ «*φεύξονται ἡμέρας*» (καί τοι ἀναγκαίως ἀπαιτούμενον ἐκ τῆς ἐννοίας). – Ἆσμ. Ἀσμ. η, 4. Ὥρκισα ὑμᾶς *ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι* τοῦ ἀγροῦ » τοῦτο λείπει ἐκ τοῦ ἑβραϊκοῦ (ὅπου κεῖται μόνον τὸ « ὥρκισα ὑμᾶς)· ἀλλὰ βεβαιοῦται 1) ἐκ τῶν παραλλήλων χωρίων (κεφ. β. στίχ. 7. γ, 5. ε, 8), ὅπου ἐπαναλαμβάνεται ἡ αὐτὴ φράσις (ἐν ἐκείνοις δὲ τὸ νῦν ἑβραϊκὸν ἔχει, εἰς τὰς *δορκάδας καὶ τὰς ἐλάφους τοῦ ἀγροῦ*, κατ' ἄλλην ἀνάγνωσιν)· 2) ἐκ τῆς φράσεως. Οὐδαμοῦ τοῦ Ἄσματος κεῖται μόνον τὸ *ὥρκισα*, προστίθεται δὲ καὶ τὸ ὑποκεί-

μενον τοῦ ὅρκου. Τοιαῦτα καὶ ἄλλα ἀλλαχοῦ πολυάριθμα. Ἀλλ᾽ ἀρκοῦσι καὶ ταῦτα τὰ ὀλίγα παραδείγματα τῆς πρὸς τοὺς Ο διαφορᾶς τοῦ ἑβραϊκοῦ διὰ τὴν ἐν αὐτῷ μιᾶς τινος ἢ πλειόνων λέξεων ἔλλειψιν. Βλέπε πλείονα παρὰ Καπελλίῳ, ὅστις ὁμολογεῖ καὶ διακηρύττει (σελ. 279 - 281), ὅτι καὶ ταῦτα καὶ ἄλλα πλεῖστα, μὴ κείμενα ἐν τῷ καθ᾽ ἡμᾶς ἑβραϊκῷ, πάντως ὑπῆρχον ἐν τῷ κώδηκι τῶν Ο, ἐξ οὗ τὴν ἑρμηνείαν ἐποιήσαντο.

§. ιδ. Δ). Οὐ μόνον κατὰ λέξιν διαφέρει τὸ ἑβραϊκὸν ἀπὸ τῶν Ο, ἀλλὰ καὶ κατὰ κώλων, ἢ ἡμιστίχων, ἢ καὶ στίχων ὁλοκλήρων προσθήκην, ἢ ἐναλλαγὴν, ἢ μετάθεσιν, ἢ ἔλλειψιν.

α) Καὶ *προσθήκης* μὲν ἐν τῷ ἑβραϊκῷ δείγματα τὰ ἑξῆς·

Γενέσ. λα, στίχ. 51, 52. Τὸ ἑβραϊκὸν διὰ φανερὰν ἀβλεψίαν μεταγραφέως ἐπαναλαμβάνει τὰ ἐν ϛχ. 47, καὶ 48. ἅπαξ εἰρημένα « ἰδοὺ ὁ βουνὸς οὗτος, καὶ ἰδοὺ ἡ στήλη, ἣν ἔστησα μεταξὺ ἐμοῦ καὶ σοῦ » (ἐκεῖ μόνον ἔχουσι ταῦτα οἱ Ο, πλὴν τῆς Κομπλουτείας ἐκδόσ.) — Δευτερον. λϐ, στίχ. 52 (« τὴν γῆν) *ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ* ». Ταῦτα λείπουσιν ἐκ τῶν Ο, διότι προσετέθησαν ἐν τῷ νῦν ἑβραϊκῷ παρὰ τῶν ἀντιγραφέων κατὰ προφανεστάτην ἐπανάληψιν ἐκ τοῦ μικρὸν ἀνωτέρω, 49 στίχου τοῦ αὐτοῦ κεφαλαίου. — Α. Βασιλ. θ, 25. Τὸ ἑβραϊκὸν ἔχει « καὶ ἐλάλησε (Σαμουὴλ) μετὰ Σαοὺλ ἐπὶ τοῦ δώματος ». Οὐδὲ τοῦτ᾽ ἀνέγνων οἱ Ο. καὶ φαίνεται μὲν τὸ κῶλον προσθήκη (κατὰ τὸν Καπέλλιον)· ἔστι δὲ μᾶλλον φθορὰ τοῦ νῦν ἑβραϊκοῦ. Οἱ Ο, ἀνέγνων οὐχ ὡς ἔγραψαν οἱ Μασορῖται (dbr, ἤτοι daber, *ἐλάλησεν*), ἀλλ᾽ ἕτερον ῥῆμα (rbd, ἤτοι rebad, ἢ rabed, *ἔστρωσεν*). Ὅθεν καὶ ἡρμήνευσαν ὀρθῶς « Καὶ *διέστρωσαν* τῷ Σαοὺλ ἐπὶ τῷ δώματι, καὶ ἐκοιμήθη »· καὶ τοῦτο βεβαιοῖ τρανῶς ὁ ἐφεξῆς στίχος 26 (« Καὶ ὡς ἀνέβαινεν ὁ ὄρθρος, ἐκάλεσε Σαμουὴλ τὸν Σαοὺλ *ἐπὶ τῷ δώματι*, λέγων, *ἀνάϛα*» κτλ.), ἐπιμαρτυρεῖ δὲ καὶ ἡ Βουλγάτα. Τὸ δ᾽ ἑβραϊκὸν διεφθάρη μὲν ἐκ τῆς στρεβλῆς γραφῆς τοῦ daber ἀντὶ rebad, κεκολόβωται δὲ καὶ τὴν λέξιν, τὴν *ἐκοιμήθη* (α). — Ἡσ. μ. 6, 7: « Πᾶσα σὰρξ

(α) Βλ. Houbigant. not. καὶ Schulz Schol. in h. l. πρβλ. Schleusn. Thes.

χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα » (οἱ Ο, ὁ Ἄραψ, καὶ 8 κώδηκες Ἑβραῖοι Ῥόσ. Οὕτω καὶ Α, Πέτρ. α, 24, 25: πρβλ. Ἰακώβου α, 10, 11). Τὸ δ' ἑβρ. μεταξὺ τοῦ «*ὡς ἄνθος χόρτου*», καὶ τοῦ «*ἐξηράνθη ὁ χόρτος*» ἔχει παρέμβυστον καὶ τὸν ἐφεξῆς στίχον· « ἐξηράνθη ὁ χόρτος, ἐξέπεσε τὸ ἄνθος, ὅτι πνεῦμα Θεοῦ ἐνεφύσησεν ἐν αὐτῷ· ἀληθῶς χόρτος ἐστὶν ὁ λαός ». Ταύτην τὴν ἔκ τε τῆς τοῦ ἀντιγραφέως διττογραφίας, καὶ ἔκ τινος ἐν τῷ περισελίδῳ παρασημειώσεως παρεισφρήσασαν ἀρχαίαν προσθήκην ἔχουσι καὶ οἱ περὶ τὸν Ἀκύλαν(α), καὶ ὁ Ἱερώνυμος. Ἀλλ' οἱ Ο, ταύτην οὐκ ἀνέγνων, ὡς αὐτὸς ὁ Ἱερώνυμος μαρτυρεῖ, οὐδ' ὁ Κύριλλος, οὐδ' ὁ Θεοδώρητος, παρὰ δὲ τῷ Προκοπίῳ κατηστέρισται, ὡς οὐκ οὖσα τῶν Ο. Λείπει ὁ ςίχος ὅλος καὶ ἐκ τοῦ Ἄραβος, καὶ ἐξ ἄλλων μεταφράσεων, καὶ ἐξ *ὀκτὼ κωδήκων ἑβραϊκῶν* (Ῥόσσ. τόμ. 3, σελ. 38). Καὶ τῶν νεωτέρων δὲ ἐπισημότατοι κριτικοὶ, οἱ μὲν ὅλον τὸν στίχον ἐξοβελίζουσιν, ὡς διασκευὴν, οἱ δὲ μόνον τὸ « Ἀληθῶς χόρτος, ἢ (κατὰ τὸν Ἀκύλαν) *πράσον* ὁ λαός » (β). — Ἡσ. ς, 13. τὸ ἑβραϊκὸν, « *Σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς* ». Οὐδὲ ταῦτ' ἀνέγνων οἱ Ο, ἐν τῷ τότε κειμένῳ τῶν ἑβραϊκῶν Γραφῶν· ἡρμήνευσαν δ' αὐτὰ οἱ περὶ τὸ Ἀκύλαν

V. Test. λ. διαστρώννυμι. Ὁ δὲ Ἱερώνυμος (ἐν τῇ Βουλγάτᾳ συνῆψε τὰς φράσεις ἀμφοτέρας καὶ τοῦ ἑβραϊκοῦ καὶ τῶν Ο, λέγων· «et locutus est cum Saule in solario, stravit que Saul in solario, et dormivit »· πότερον; οὕτως ἄρα ἀνέγνω ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ, σῳζομένης ἔτι τῆς γνησίας γραφῆς, ἣν ἀνέγνων οἱ Ο, καὶ προστεθείσης καὶ τῆς μεταγενεστέρας παραναγνώσεως ὑπὸ τῶν ἀντιγραφέων, ἢ τινῶν διορθωτῶν; ἢ μήποτε αὐτὸς ὁ Ἱερώνυμος ἀπαρεσκόμενος τῇ ἀδιανοήτῳ φράσει τοῦ ἑβραϊκοῦ, προσέθηκε καὶ τὴν τῶν Ο; ἀλλ' ὅπως ἂν ἔχῃ, καὶ τὸ παρανάγνωσμα τῶν Ἰουδαίων ἐξελέγχεται, καὶ ἡ σύναψις ἀμφοτέρων τῶν φράσεων ἀποβαίνει βαττολογώδης «Καὶ ἐλάλησε Σαμ. μετὰ τοῦ Σαοὺλ ἐν τῷ δώματι, καὶ ἔστρωσε Σαοὺλ ἐν τῷ δώματι, καὶ ἐκοιμήθη!

(α) «Ὁ Σύμμ. καὶ Θεοδοτ. ἐκ προσθήκης φασίν· « Ἀληθῶς χόρτος ὁ λαός· ἐξηράνθη τὸ ἄνθος» · ὁ δ' Ἀκύλας· « Πράσον ὁ λαός· ἐξηράνθη πράσον, ἀπέῤῥευσεν ἄνθος » κτλ. (Σχόλ. αὐτόθ. ἐκδ. Βατικ. Bos).

(γ) Οὕτω Lowth, Koppe, Gesenius (in Esai), Jahn, Einl. 1. Bd. §. 135. Ὁ δὲ

ἐκ τοῦ κατ' αὐτοὺς μεταγενεστέρου κώδηκος. Ὅθεν καὶ Ὠριγένης αὐτὰ προσέθηκεν ἐν τοῖς Ἑξαπλοῖς ἐκ τοῦ Θεοδοτίωνος, ὡς ὁ Μ. Βασίλειος μαρτυρεῖ· « τοῦτο (τὸ κόμμα) ἐκ τῶν Θεοδοτίωνος πρόσκειται, μὴ κείμενον παρὰ τοῖς Ο » (ἑρμην. εἰς Ἡσαΐα ϛ). Ἀναφέρουσι τοῦτο καὶ Χρυσόστομος, καὶ Ἱερώνυμος· ἔχουσι δὲ καὶ ἡ Κομπλουτεία καὶ καὶ ἡ τοῦ Ἄλδου ἔκδοσις. Λείπει δὲ ὅμως τὸ κόμμα ἔκ τε τοῦ Βατικανοῦ καὶ τοῦ Ἀλεξανδρινοῦ, καὶ ἄλλων ἐκδόσεων, οὐδὲ Κύριλλος ὁ Ἀλεξανδρείας, οὐδ' ὁ Θεοδώρητος ἀνέγνων αὐτὸ (ἑρμην. εἰς Ἡσ.). Τοιαῦταί τινες καὶ ἄλλαι ἀλλαχοῦ φαίνονται παρενθῆκαι ἐν τῷ ἑβραϊκῷ. Ἐν δὲ τῷ Ἰὼβ, καὶ ςίχων, ἢ περιόδων ὅλων προσθήκας ἔχει τὸ νῦν ἑβραϊκὸν, μὴ κειμένας παρὰ τοῖς Ο, εἶχε δὲ ταύτας καὶ ἐπὶ Ὠριγένους (βλ. ἐφεξῆς κεφ. ιγ. §. κγ). Καὶ ἐν τῷ Ἱερεμίᾳ δὲ πολλάκις ἀπαντῶσι παρ' Ἑβραίοις τινὲς προσθῆκαι, ἃς οὐκ ἀνέγνων οἱ Ο (περὶ ὧν λέγομεν εὐθὺς παρακατιόντες). Εἰσὶ δὲ καί τινες ἐλλείψεις ἐν αὐτοῖς τοῖς Ο, κατά τινας κώδηκας φερόμεναι, αἵτινες ὅμως ἐν ἄλλαις ἐκδόσεσιν ὑπάρχουσι γεγραμμέναι, οἷον ἐν Ἱερεμίᾳ κεφ. ι, στίχοι τρεῖς (6, 7, 8), καὶ τέσσαρες ἄλλοι (κεφ. ιζ, 1—5, κτλ.) κεῖνται ἐν τῇ τοῦ Ἄλδου, καὶ τῇ Κουμπλουτείᾳ ἐκδόσει, καὶ παρὰ τῷ μακαρίῳ Θεοδωρήτῳ. Καὶ ἔπεστιν ἄρα καὶ ὧδε θαυμάζειν τῆς κρίσεως τοῦ μακαρίου Ἱερωνύμου, ὅστις ὑπομνηματίζων τὰ ἀνωτέρω τοῦ Ἱερεμίου, ἐπειδή τινα οὐχ εὗρεν ἐν τῷ κατ' αὐτὸν ἀντιγράφῳ τῶν Ο, σεσημείωκε τὰ ἑξῆς· « Διὰ τί (φησὶ) τοῦτο παρέλιπον οἱ Ο, ἀγνοῶ. Πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα· ἅπερ, εἴ γε θελήσαιμι πάντα καταχωρίζειν, φαίην ἂν, *ὡς οὐ βιβλίου, ἀλλὰ βιβλίων ἔσται χρεία* (α)! Ἡμεῖς δὲ πρὸς ταῦτα σιγῶμεν, αἰδοῖ τοῦ μακαρίου Πατρὸς, ὅστις εὖ γε πεποίηκε, μήτε *πολλὰ* (καὶ ταῦτα *ἐξ ἑνὸς* τεύχους τοῦ Ἱερεμίου), μήτε

Rosenmüll. h. l. μάτην προβάλλει τὰς ἀρχαίας ἑρμηνείας ὡς ἐπικυρούσας τὸ ἔκτοτε διεσκευασμένον χωρίον.

(α) « Multaque ejusmodi alia, quae si voluero cuncta, digerere non dicam libro, sed libris opus erit» (S. Hieron. Comm. in Jerem. cap. 17). πρβλ. καὶ Cappell. Crit. Sacr. p. 295.

κἂν ἐν *βιβλίον* γράψας περὶ τῶν ἐλλείψεων τῶν Ο! εἴθε δὲ μηδ᾽ ὅσα γέγραφεν ἔγραψεν, ἔνθεν μὲν ἀναλογισάμενος τὰς ἐν τῷ ἑβραϊκῷ τοῦ Ἱερεμίου κειμένῳ πυκνὰς παλλιλογίας, ἑτέρωθεν δὲ πάλιν ἀκριβεστέροις χρησάμενος ἀντιγράφοις τῶν Ο, οἵοις καὶ αὐτὸς ὁ σύγχρονος αὐτοῦ, γέροντος νεώτερος, Θεοδώρητος ἐκ γειτόνων ἐχρῆτο, καὶ τοσοῦτοι ἄλλοι τῶν ἐπ᾽ αὐτοῦ, καὶ τῶν ἔτι παλαιοτέρων διδασκάλων τῆς Ἐκκλησίας (ἐν οἷς καὶ Ὠριγένης, οὗ τοὺς πόνους ἀνεγίνωσκε), καὶ αὐτὴ δὲ ἡ παρ᾽ ᾗ διέτριψεν Ἐκκλησία τῆς Παλαιστίνης.

β) Ἐναλλαγῆς δὲ τῶν στίχων, ἢ κώλων (ὅταν ἄλλη τις φράσις ἀντ᾽ ἄλλης, διαφορα λεγούσης, ἀνταλλάσσηται) οὐκ ὀλίγα παραδείγματα διαιροῦσι τὸ ἑβραϊκὸν ἀπὸ τῆς ἑρμηνείας τῶν Ο. Αὐτίκα Ψαλμ. πγ, 11 (ἑβρ. πδ) οἱ μὲν Ο ἔχουσιν « *Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ* κύριος ὁ Θεός ». (Οὕτω καὶ ὁ Θεοδοτίων καὶ ἡ Βουλγάτα). Τὸ δὲ νῦν ἑβρ. « Ὅτι *ἥλιος καὶ θυρεὸς* κύριος ὁ Θεός ». Οὕτω καὶ Ἀκύλας καὶ Σύμμαχος (α).

γ) Καὶ μεταθέσεις δὲ στίχων, ἢ περιόδων ἐμποιοῦσι διαφορὰς μεταξὺ τοῦ ἑβραϊκοῦ καὶ τῶν Ο. Οἷον, ἐν Ἀριθμ. κϛ. παρὰ τοῖς Ο φαίνονταί τινες τῶν στίχων πρωθύστεροι μεταθέσεις ἀπὸ τοῦ 14 ςίχου καὶ ἑξῆς. Ὡσαύτως καὶ ἐν Ἐξόδῳ κεφ. λζ, λη, λθ, φαίνονταί τινες οὐκ ὀλίγοι στίχοι τεταγμένοι διαφόρως, ἢ ὡς ἔχουσιν ἐν τῷ νῦν ἑβραϊκῷ, καθ᾽ ὅλας τὰς ἀρχαίας ἐκδόσεις τῶν Ο, πλὴν τῆς Κομπλουτείας, ἥτις συμφωνεῖ πρὸς τὸ νῦν ἑβραϊκόν. Ἐσημείωσε δὲ καὶ Ὠριγένης (ἐπιστ. πρὸς Ἀφρικανὸν) τὰς ἐν τοῖς εἰρημένοις κεφαλαίοις παραλλαγάς· καὶ ταῦτα μετεῤῥύθμισε πρὸς τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν ἐν τοῖς Ἑξαπλοῖς (β). Ἀλλὰ τὰ τοιαῦτα ἀ-

---

(α) Ὁ Στάρκιος (Stark), *καὶ ἄλλοι προχείρως διορθοῦντες τῶν* Ο *τὸ κείμενον, καὶ διαλάσσοντες αὐτοὺς πρὸς τὸ νῦν ἑβραϊκὸν, ἔκριναν τρεπτέον τὸ ἔλεος εἰς τὸ ἥλιον· τὸ δὲ ἀλήθειαν παρεῖδον. Καὶ τοίνυν, κατ᾽ αὐτοὺς, λέγουσιν οἱ* Ο *ὅτι ἀγαπᾷ ὁ κύριος τὸν ἥλιον καὶ τὴν ἀλήθειαν »! ἀλλὰ μήπως τὸ ἔλεος οὐκ ἀγαπᾷ ; Τοιαῦτα στρεβλώματα λόγῳ διορθωμάτων βλέπει τις πολλὰ παρὰ τοῖς νεωτέροις κριτικοῖς* (βλ. Schleusn. Opuscul. critic. pag. 235).

(β) Βλ. Grabe, de vitijs LXX. interpret. c. I. §. 6, 7. καὶ Not. εἰς Ἐξόδ.

νήκουσιν ἴσως εἰς τοὺς κατὰ καιροὺς βιβλιογράφους καὶ βιβλιοπηγοὺς τοῦ τε καθ᾽ Ἑβραίους καὶ τοῦ τῶν Ο κώδηκος, μεταβαλόντας ἔν τισιν ἐξ ἀπροσεξίας τὴν τάξιν τῶν στίχων· ἴσως δὲ κἀν τούτοις διέφερεν ὁ κώδηξ ἐξ οὗ μετέφρασαν οἱ Ο, τοῦ κατὰ τοὺς Ὠριγένους χρόνους ἑβραϊκοῦ. Τοῦτ᾽ αὐτὸ λέγομεν καὶ περὶ τῆς (σελ. 330) προῤῥηθείσης τάξεως τῶν Ἱερεμίου κεφαλαίων, ἅτινα ἀπὸ τοῦ κε, κεφαλαίου μέχρι τοῦ ἐσχάτου (νβ) τέτακται κατὰ σειρὰν παρηλλαγμένην τῆς ἐν τῷ καθ᾽ ἡμᾶς ἑβραϊκῷ κατὰ τοὺς πλείστους κώδηκας, παρὰ δὲ τῷ Θεοδωρήτῳ (ἐκ τῶν Ἑξαπλῶν ἴσως ὁρμηθέντι), καὶ ἐν τῇ Κομπλουτείᾳ ἐκδόσει διατηρεῖται ἡ αὐτὴ καὶ καθ᾽ Ἑβραίους διάταξις. Φαίνεται δὲ, ὅτι καὶ παρ᾽ Ἑβραίοις ἔκπαλαι διέφερε κατὰ κώδηκας τῶν Ἱερεμίου κεφαλαίων ἡ τάξις (α). Ἀλλὰ καὶ περὶ τὸ κείμενον ἀπαντῶνται διαφοραί τινες τῶν Ο, πρὸς τὸ ἑβρ. Ἐν τῷ θείῳ προφήτῃ τούτῳ συναντῶσι πολλάκις αἱ αὐταὶ σχεδὸν φράσεις κατ᾽ ἐπανάληψιν ἄλλαι ἀλλαχοῦ γεγραμμέναι, ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο (β). Ἀλλ᾽ ὑπάρχουσι καί τινες ἐπαναλήψεις, ἃς οὔτ᾽ ἀνέγνων, οὔτε ἔγραψαν οἱ Ο, (ὡς ὁμολογοῦσι καὶ οἱ περὶ τὸν Μιχαῆλιν καὶ Εἰχόρνιον)· καὶ φαίνονται τὰ τοιαῦτα προσθῆκαι τοῦ ἑβραϊκοῦ. Ὅθεν οὗτοί τε καὶ ἄλλοι τῶν νεωτέρων κριτικῶν διπλᾶς τῶν προφητειῶν ἐκδόσεις ἀπέ-

---

λθ. ἐν τῇ ὑπ᾽ αὐτοῦ ἐκδόσει τοῦ Ἀλεξανδρινοῦ κώδηκος τῶν Ο. πρβλ. Morin. Exercit. Biblic. L. I. Exer. 9. c. 1. §. 10 sqq. καὶ Cappel. Crit. Sacr. pag. 296. Καὶ ἀλλαχοῦ δὲ φαίνεται μετάθεσις στίχων παρὰ τοῖς Ο· οἷον ἐν Παροιμ. κδ. ὅπου ἀπὸ τοῦ 34 στίχου μέχρι τέλους τοῦ κεφαλαίου. ἀναγινώσκονται τὰ παρ᾽ Ἑβρ. ἐν κεφ. λ. ἀπὸ τοῦ 15 στίχ. μέχρι τοῦ 6, τοῦ λα, κεφ.

(α) Οὕτω (κατὰ τοὺς κριτικοὺς) χρονολογικῶς θεωρουμένης τῆς τάξεως τῶν κεφαλαίων, τὸ μὲν κη, κεφ. τοῦ Ἱερεμίου φαίνεται, ὅτι ἀνήκει εἰς τὴν ἀρχὴν τῆς Σεκεδίου βασιλείας· τὸ δὲ κα, εἰς τὴν ὕστερον ἐπ᾽ αὐτοῦ πολιορκίαν τῆς Ἱερουσαλήμ. Καὶ πάλιν, τὸ μὲν κε, εἰς τὸ 4, ἔτος τῆς Ἰωακεὶμ βασιλείας, τὸ δὲ κς, εἰς τὸ πρῶτον αὐτῆς ἔτος· εἰς τὴν Ἰωακεὶμ βασιλείαν ἀνήκει καὶ τὸ λε· τὸ δὲ λβ, εἰς τὸ 10 ἔτος τῆς Σεδεκίου, κτλ. βλ. Schulz, proleg. in Jerem. §. V. Περὶ δὲ τῶν Θρήνων, βλ. Rossi, Var. Lect. T. 3. p. 242—245.

(β) Οἷον Ἱερεμ. β, 28: πρβλ. ια, 13:—δ, 5: πρβλ. η, 14.—ζ, 32, 33. πρβλ. ιθ, 6, 7: — ι, 12, 16. πρβλ. κη, 15, 19, κτλ. Βλ. Spohn, Hieremias Vates è vers. Alexandrin. etc. praefat. p. 2, sqq. Lips: 1796.

δωκαν εἰς αὐτὸν τὸν Ἱερεμίαν· μίαν μὲν, ὡς λέγουσι, καθ' ἣν ἔφερε μεθ' ἑαυτοῦ συλλογὴν, ὅτε μετέβη εἰς τὴν Αἴγυπτον ὁ προφήτης· ἐξ ἐκείνης δὲ γενεαλογοῦσι καὶ τὸ ἀπόγραφον, ἐξ οὗ οἱ Ο μεθηρμήνευσαν· ἑτέραν δὲ λέγουσιν ὕστερον ὑπ' αὐτοῦ γενομένην, ἐν ᾗ καί τινα προσθεὶς, καὶ ἄλλως μεταβαλὼν ὁ προφήτης, καὶ τὴν τάξιν τῶν κεφαλαίων ἀνακαινίσας, ἀπέστειλε πρὸς τοὺς ἐν Βαβυλῶνι Ἰουδαίους· ἐκ δὲ ταύτης τῆς δευτέρας δῆθεν ἐκδόσεως κατάγουσι τὸ νῦν Μασορίτειον καθ' Ἑβραίους κείμενον (α). Ἀλλὰ ταῦτα μὲν εὐφάντασα κριτικῆς ἐπινοίας ὄνειρα. Ὅτι δὲ τὸ νῦν ἑβραϊκὸν διαφέρει τοῦ παρὰ τοῖς Ο Ἐσδραίου κώδηκος, κατ' ἄλλα τε πολλὰ, καὶ κατὰ τὸ τεῦχος τοῦ Ἱερεμίου, πρόδηλον καὶ ἀναντίῤῥητον.

δ) Ἐλλείψεων δὲ, τέλος, ἡμιστίχων καὶ στίχων ὅλων, καὶ περιόδων, καθ' ἃς ἐλλεῖπον τὸ ἑβραϊκὸν διαφέρει τῶν Ο, πάμπολλα φαίνονται παραδείγματα. Βλέπε τούτων ἱκανὰ σεσημειωμένα ἐν τῷ ἀκολούθῳ ιγ, κεφαλαίῳ.

§. ιε. Ἔστι μὲν οὖν ὀχληρὰ τοῖς πολλοῖς ἀναγνώσταις ἡ μακρὰ τῶν περὶ λέξεις καὶ φράσεις παραλλαγῶν ἀντιπαράθεσις καὶ παραβολὴ (καθά που καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος ἐσημείωσεν), ἀλλ' ὅμως τοῖς γε περὶ τὴν γνῶσιν τῶν θείων Γραφῶν ἀσχολουμένοις, καὶ ἄλλως χρηστομαθοῦσιν, οὐ παντάπασιν ἀσυντελής· ἡμῖν δὲ δήπου καὶ ἀναγκαία γίνεται πρὸς ἀπόδειξιν τῆς τοῦ νῦν Μασοριτείου κειμένου πρὸς τὴν ὑπεροχὴν τῶν Ο διαφορᾶς. Διὰ ταῦτα καὶ ἴδιον κεφάλαιον προστιθέμεθα, καταλέγοντες οὐ πάσας (εἰ καὶ μὴ *βιβλίων ὅλων*, κατὰ τὸν Ἱερώνυμον, *βιβλίου* δὲ ὅμως χρῃζούσας παχυμεροῦς), ἀλλὰ τὰς *ἐπισημοτέρας* ἐλλείψεις καὶ πηρώσεις τοῦ νῦν ἑβραϊκοῦ, πρὸς τοὺς Ο παραβαλλομένου, ὅπως ἂν ἔχωσιν οἱ ἡμέτεροι πολλὰ τούτων παραδείγματα συνοπτικώτερον καὶ ἀθρόα συντεθειμένα.

(α) Βλ. Michaelis εἰς Ἱερεμ. λγ, 6. — Eichhorn, Einleit. in d. A. Test. §. 540—542, καὶ Repertorium etc. 1. Bd. p. 141 — 168. Ἀντιλέγει δὲ πρὸς ταῦτα ὁ Σπὼν (Spohn u. s.), καὶ ὁ Γεσένιος (De Pentat. Samaritan. p. 14).

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Περὶ ἐλλείψεως λέξεων, στίχων, περιόδων ὅλων καὶ περικοπῶν, καθ' ἃς ἐλλείπει τὸ ἑβραϊκὸν, παραβαλλόμενον πρὸς τοὺς Ο.

§. α. Πάντες οἱ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου κρατερῶς ὑπερμαχοῦντες ἐπισημότατοι κριτικοὶ, ὁσάκις ἀπαντήσωσιν ἐν αὐτῷ λέξεων ἔλλειψιν, ἢ καὶ στίχων, καὶ περιόδων, κειμένων παρὰ τοῖς Ο, πρόχειρον ἀείποτε (σχεδὸν) καὶ πολλὴν διὰ στόματος ἔχουσι τὴν φράσιν ἐκείνην «*τοῦτ' ἀφ' ἑαυτῶν προσέθηκαν οἱ Ἀλεξανδρινοὶ*» (de suo addiderunt)! Προσεπιτραγῳδοῦσι δὲ κἀκείνας τὰς, ὑφ' ὧν πάντα ὦτα διατεθρύλληνται, πολλαπλᾶς ἀναμίξεις διαφόρων ἑρμηνειῶν, καὶ ἄλλα γλωσσήματα παρεισφρήσαντα, καὶ διασκευὰς, καὶ κῆρας παντοίας καὶ διαφθορὰς καταβοσκηθείσας τὸ κείμενον τῶν Ο (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιβ. §. ιγ–ιδ.)(α). Ταύτην δὲ τὴν καταδίκην τῆς ἑρμηνείας οἱ ἄνδρες καταψηφίζονται, κρίνοντες αὐτὴν οὔτ' ἀπὸ *ῥητρῶν* ἐνθέσμων, οὔτ' ἀπὸ σοφῶν *ἀξόνων καὶ κύρβεων*, ἀλλὰ κατὰ τοὺς Μασοραίους θεσμοὺς, καὶ τὸ τοσοῦτον ἀντιλεγόμενον κείμενον τῆς καθ' ἡμᾶς ἑβραΐδος γραφῆς, ὡς ἂν εἴπερ ἐκ τοιούτου πάντως πανομοιοτάτου πρωτοτύπου μεθηρμήνευσαν οἱ Ο! (β). Οὐδ' ἀνέχονται, οὐδ' ἂν εἴτι καὶ γέ-

---

(α) Οὕτως ὁ Γράβιος (Grabe) καὶ αὐτοῦ τοῦ Ὠριγένους ἀρχαιοτέρας ἐν τῇ τῶν Ο, ἑρμηνείᾳ παρετήρησε διαφθοράς· οἷον παρεμποιήσεις, ἢ διασκευὰς, κολοβώσεις, μεταθέσεις, παντὸς εἴδους κακίας συγγραφικάς. Καὶ παρέστησεν ἡμῖν τὸ κείμενον τῶν Ο, βρύον παντοίων ψευσμάτων, καθ' ὅλους αὐτοῦ τοὺς κώδηκας ἔτι κατὰ τὸν β, αἰῶνα, καὶ κατ' αὐτοὺς σχεδὸν τοὺς χρόνους τῶν Ἀποστόλων! Καὶ λοιπὸν ἀπὸ τοιαύτης θολερᾶς πηγῆς οὐ μόνον οἱ Ἀποστολικοὶ Κλήμεντες, καὶ Ἰγνάτιοι, καὶ Ἰουστῖνοι, ἀλλὰ καὶ αὐτοὶ οἱ θεῖοι Εὐαγγελισταὶ ἠρύοντο τὰς προφητικὰς μαρτυρίας, καὶ τοσαύτας ἄλλας ἐκφράσεις, συγγράφοντες τὴν Καινὴν Διαθήκην! Βλ. Grabe, Diss. de vitiis LXX. interpr. cap. 1. Ἀλλὰ γὰρ οὐκ ἂν εἶχε κρείττονα φρονεῖν ὁ Γράβιος, ᾧ τινι γνώμων καὶ κανὼν ὑπῆρχεν ὁ αὐτὸς καὶ πρόπαλαι τῷ Ἱερωνύμῳ, ἡ ἑβραϊκὴ ἀλήθεια (Hebraica veritas!)· τουτέστιν ἡ παρὰ τοῖς μετὰ Χριστὸν Ἰουδαίοις κατάστασις τοῦ ἑβραϊκοῦ κειμένου.

(β) Οὕτω (φέρ' εἰπεῖν) ὁ κλεινὸς Ῥοδομύλλερος παραινεῖ φιλανθρώπως τοὺς

νοιτο, βελτίονα τοῦ Μασοριτείου κειμένου κρίνειν ἐν γένει τὴν ἑρμηνείαν, ὡς ἂν ἀπὸ τελειοτέρων καὶ καθαρῶν πηγάσασαν ἀντιγράφων. Κἂν δέ τις ἐξ αὐτῆς συμβουλεύῃ διορθοῦν σφάλματά τινα τῆς ἑβραΐδος Γραφῆς, ἀσχάλλουσι καὶ ἀγανακτοῦσιν, ὡς ἀναξίως καὶ παρ' ὀλίγον ἀσεβῶς ὑβριζομένου τοῦ Μασοριτείου κειμένου! (α).

§. ϛ. Ἡμεῖς δὲ παραγράφοντες τὴν δεδεκασμένην γνώμην τῶν τοιούτων ἐπικριτῶν, οἵτινες καθίζουσιν ὑπέρτατον τῶν Ο δικαστὴν αὐτὸν τὸν ὑπόδικον, καὶ ἐπὶ πολλοῖς κατηγορημένοις ἀνα-

---

νέους, ὅπως, ἐάν ποτε, τυχὸν, ἀπαντήσωσι παρὰ τοῖς Ο λέξεις » (τί δ' οὐχὶ καὶ φράσεις, καὶ περιόδους καὶ περικοπὰς ὅλας; κτλ.) « πρὸς ἃς οὐδὲν ἐν τοῖς ἑβραϊκοῖς τεύχεσιν ἀντιστοιχεῖ, μὴ συμπεράνωσιν εὐθὺς, ὅτι δῆθεν οἱ ἑρμηνεῖς ἐκεῖνοι ἄλλως πως ἀνέγνων ἐν τῷ κατ' αὐτοὺς κειμένῳ. Πλὴν γὰρ (φησὶ) τῆς πονηρᾶς ἐντρεχείας (mala sedulitate) τῶν διασκευαστῶν, καὶ αὐτοὶ ἐκεῖνοι οἱ ἑρμηνεῖς εἰώθεισαν προστιθέναι μίαν καὶ δύω λέξεις ἐξ ἄλλων παρομοίων τόπων τῆς Γραφῆς » (Rosenmüll. Schol. in Psalm. 4, 8). Ταῦτα ὁ περιφανὴς κριτικὸς ὑπὲρ τοῦ Μασοριτείου κειμένου! Καί τοι γε καὶ αὐτὸς πολλάκις ἐν τοῖς πολυμαθέσιν αὐτοῦ σχολίοις ἀέκοντι θυμῷ καθομολογεῖ τὴν διεφθαρμένην ἑβραϊκῶν τινων λέξεων γραφὴν, προτιμῶν τὴν ἐξήγησιν τῶν Ο, καὶ καλῶς εἰδὼς μηδαμοῦ μηδέποτε μάτην προστιθέντας λέξεις τοὺς Ο, πλὴν εἴ που δεήσει πρὸς ἀκριβῆ τῆς ἐννοίας διατράνωσιν, καὶ τῆς ἑβραϊκῆς στενολογίας ἀνάπτυξιν (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ιγ. §. η, καὶ θ). Λαμπρῶς δὲ διεκήρυξε καὶ ὁ λαμπρὸς Καπέλλιος, ὅτι κἂν μὴ κεῖνται πολλαὶ καὶ λέξεις καὶ φράσεις ἐν τῷ νῦν ἑβραϊκῷ, ὑπῆρχον ὅμως ἐν τῷ κώδηκι ἐξ οὗ μετέφρασαν οἱ Ο, ὡς προείπομεν (σελ. 441).

(α) Οὕτως ὁ δεινὸς Καρψόβιος (Crit. Sacr. p. 544) καταμωκᾶται τοῦ Καπελλίου, διότι εἶπε (καὶ ἀπέδειξε, Crit. Sacr. L. IV. cap. 7), ὅτι ἡ ἀνάγνωσις, ᾗ παρηκολούθησαν οἱ Ο, κρείττων ἐστὶν ἐνίοτε καὶ προτιμοτέρα τῆς τοῦ σημερινοῦ ἑβραϊκοῦ « Nimis (λέγει) magnifice sentiunt (ἄγαν μεγάλα φρονοῦσι!) de usu versionis Graecae, qui ex illa censent emendandum et restaurandum esse textum hebraeum, quem corruptum causantur » etc. Ἐφεξῆς δὲ καὶ τὸν Βίσωνα ἐπιῤῥαπίζει· θαυμάζει δὲ μεμψιμοιρῶν, πῶς καὶ αὐτὸς ὁ ἄλλως ὁμόφρων αὐτῷ Βῶσος (Bos), εἶπεν οὐχωρὶς περιφανοῦς ἀδικίας κατὰ τῆς ἑβραϊκῆς ἀληθείας τετολμημένης (non absque insigni in veritatem Hebraicam injuria!), « Ὅτι ἔξεστιν ἐνίοτε ἐκ τῆς ἑρμηνείας τῶν Ο ἀποκαθιστᾷν ἐν τῷ ἑβραϊκῷ τὴν ἀρχαίαν καὶ ἀληθινὴν ἀνάγνωσιν, καὶ τὰ ἐλλείποντα ἀναπληροῦν » (Bos. prolegom. cap. 1. sub. fin.). Καὶ πάντως οὐκ ἂν εἶχε τούτων δικαιότερα κρίνειν καὶ γράφειν ὁ διάπυρος ὑπερασπιστὴς τῆς Μασόρας Καρψόβιος « θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχων » (βλ. ὄπισθ. κεφ. β. §. μβ).

πολόγητον κώδηκα τῶν Μασοριτῶν, σημειοῦμεν αὐτοῦ τὰς καιριωτάτας (ὡς προείπομεν) ἐλλείψεις, ἐν δὲ τῷ μεταξὺ καί τινας παρεξηγήσεις καὶ παρεκτροπὰς, ἐπάγοντες ἐν πολλοῖς καὶ μαρτυρίας τῶν νεωτέρων κριτικῶν, καὶ ἐξ αὐτῶν δὲ τῶν ἑβραϊκῶν χειρογράφων, καὶ τοῦ Σαμαρειτανοῦ, καὶ τῶν ἀρχαίων ἑρμηνειῶν ἀποδείξεις τρανάς. Καταχωρίζομεν δὲ τὰς σημειώσεις κατὰ τὴν τάξιν τῶν ἱερῶν βιβλίων τῆς Γραφῆς.

§. γ. Ἐκ τῆς Γενέσεως.

Κεφάλ. Α. στίχ. 6 καὶ 7. « Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα . . . ., καὶ *ἐγένετο οὕτω*. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα» κτλ. (οἱ Ο, καὶ ἡ παλαιὰ Ἰτάλα). Ἐν δὲ τῷ νῦν ἑβραϊκῷ, τὸ «*καὶ ἐγένετο οὕτω*» οὐχ εὑρίσκεται μετὰ τὸ «Καὶ εἶπεν ὁ Θεὸς » (στίχ. 6), ἀλλὰ κεῖται γεγραμμένον εἰς τὸ τέλος τοῦ 7 στίχου (μετὰ τὸ « *ὕδατος* »). Αὕτη φαίνεται πρώτη τῶν παμπόλλων καὶ μεγάλων τοῦ Μασοριτείου κειμένου διαφορῶν, εὐθὺς ἀπαντῶσα κατ᾽ αὐτὴν τῆς Πεντατεύχου τὴν ἀρχήν. Ἀλλ᾽ ἡ ἀτοπία ταύτης τῆς (ἐκ παλαιῶν ἀντιγραφέων) ἐκεῖ μὲν (ςχ. 6) ἐλλείψεως, ὧδε δὲ (ςχ. 7) προσθήκης, ἢ *μεταθέσεως* τοῦ κόμματος ἐξελέγχεται τρανῶς ὑπὸ τῶν ἐφεξῆς στίχων 9, 11, 15, ὅπου καὶ τὸ ἑβραϊκὸν ἔχει τὸ «*καὶ ἐγένετο οὕτως*» εὐθὺς μετὰ τὸ « Καὶ εἶπεν ὁ Θεός ». Ἔχει δὲ πάνυ σημαντικὴν καὶ ὑψηλὴν τὴν ἔμφασιν τὸ «*καὶ ἐγένετο οὕτω*» τεθειμένον ὑπὸ τοῦ θείου προφήτου πανταχοῦ μετὰ τὸ « *εἶπεν* », ὡς δηλοῦν τὸ ἀνείκαστον τάχος τῆς ἐκτελέσεως τοῦ θείου προστάγματος, ἅμα ἐκφωνηθέντος· ὅθεν καὶ τὸ «αὐτὸς εἶπε, καὶ ἐγενήθησαν» (Ψαλμ. λϐ,9) (α). Ἐφεξῆς δ᾽ ἐπιφέρεται καὶ ἡ διαγραφὴ τοῦ τετελεσμένου ἔργου· « Ἐγένετο, φησιν, οὕτω· πῶς; ὡς προσέταξεν ὁ δεσπότης· εἶπε, καὶ τὸ ἔργον

(α) Βλ. καὶ Λογγῖνον περὶ ὕψους τμ. θ. Παρομοία τις φαίνεται κᾀκείνη ἡ Ὁμηρικὴ φράσις· «Ὣ ς ἅ μ᾽ ἔ π ο ς τ ε κ α ὶ ἔ ρ γ ο ν ἐμήδετο» (Ὕμν. εἰς Ἑρμ. ςχ. 46). καὶ, « Αὐτίκ᾽ ἔπειθ᾽ ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον» (Ἰλ. Τ. 242). Ὅθεν καὶ τὸ τοῦ Τερεντίου dictum, factum. Ὁ δὲ Βιργίλιος εἶπε καὶ dicto citius (τὸ ἑλληνικὸν, λ ό γ ο υ θ ᾶ τ τ ο ν) Aeneid. I. 140.

ἠκολούθησε» (Χρυσός. εἰς Γένεσ.). Τὸ *εἶπεν* ὑπάρχει τὸ πρῶτον πρόσταγμα, τὸ δὲ «*καὶ ἐγένετο οὕτω*» τὸ ἀποτέλεσμα, μέσον ἀείποτε τόπον ἐπέχον μεταξὺ τοῦ προστάγματος καὶ τῆς ἐπομένης τοῦ γεγενημένου διαγραφῆς (τῆς «*Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα*» κτλ.), ἥτις ἐπιφέρεται οἷον ἐπεξήγησις τοῦ «*οὕτως*», ἰσοροῦσα τοῦ γεγενημένου δημιουργήματος τὰς ἰδιότητας διὰ τῶν αὐτῶν λέξεων, δι' ὧν ἐξέφερε τὸ πρόσταγμα ὁ Δημιουργός. Αὕτη τῶν τριῶν προτάσεων ἡ διάταξις ἐπικρατεῖ οὐ μόνον πανταχοῦ τοῦ πρώτου κεφαλαίου τῆς Γενέσεως, ἀλλὰ καὶ ἀλλαχοῦ τῆς Γραφῆς εἰς ἄλλας διηγήσεις· οἷον, «Καὶ εἶπε· Συντέλεσον οὖν τὰ ἕβδομα ταύτης... Ἐποίησε δὲ Ἰακὼβ οὕτως, καὶ *συνετέλεσε τὰ ἕβδομα*» (Γενέσ. κθ, 27, 28). «Καὶ εἶπε· συλλέξατε· ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραὴλ, καὶ *συνέλεξαν*» κτλ. (Ἐξόδ. ις, 16). «Καὶ νῦν λάβετε δύω βόας... καὶ ζεύξατε· καὶ ἐποίησαν οὕτω· καὶ *ἔλαβον δύω βόας*», κτλ. (Α. Βασιλ. ς, 7). Οὕτω καὶ Λουκ. θ, 14, 15. «Κατακλίνατε αὐτοὺς... καὶ ἐποίησαν οὕτω, καὶ *ἀνέκλιναν* ἅπαντας». Ἀλλαχοῦ δὲ καὶ χωρὶς τοῦ *ἐγένετο* (ἢ *ἐποίησαν*) οὕτως, ἐπαναλαμβάνεται μετὰ καλλίστης ἀφελείας ἡ φράσις, οἷον· «Ὄμοσόν μοι· καὶ ὤμοσεν αὐτῷ» (Γενέσ. μζ, 31). «Συλλέγετε λίθους· καὶ συνέλεξαν λίθους» (Γενέσ. λα, 46) (α). Ἡ δὲ τοιαύτη ἐπανάληψις, ἢ παλιλλογία, συνήθης τῇ ἑβραϊκῇ γλώσσῃ (β). Ὥστε ἡ κατὰ τοὺς Ο, θέσις τοῦ *ἐγένετο οὕτω* (ἐν στίχ. 6)

(α) Βλ. τὸν κλεινὸν Βαταυὸν Θεόφιλον Πλύσκην, ὅστις διὰ πολλῶν παραδειγμάτων ἐκ τοιούτων παραλληλισμῶν καὶ ἄλλων λόγων ἰσχυρῶν ἀποδείκνυσι τὴν ἀτοπίαν τῆς ἐν τῷ ἑβραϊκῷ κειμένῳ μεταθέσεως τοῦ καὶ ἐ γ έ ν ε τ ο ο ὕ τ ω ς (ἔστι δὲ ἀρχαία· οὕτως ἔχει καὶ ἡ Βουλγάτα, καὶ τὸ Ταργοῦμον, καὶ τὸ ἐν τοῖς Ἐξαπλοῖς ἑβραϊκὸν, ουιει χεν)· ἐξελέγχει δὲ ὁ Πλύσκης καὶ ἄλλα τινα σφάλματα τοῦ ἑβραϊκοῦ, περὶ ὧν ἐν τοῖς ἑξῆς (Th. Plüschke, De emendando Pentateucho Graeco Septuaginta interpr. et inde hebraico· pag. 1—62. Bonn. 1837). Ὁ δ' Ἀρχιῤῥαβῖνος Φράγκελος ἀπ' ἐξῳδηκότος ἥπατος φυσᾷ κατὰ τοῦ Πλύσκου τρία σημεῖα θαυμαστικὰ καὶ σαρδόνια, λέγων· «Τὰ πρῶτα τρία κεφάλαια τῆς Μασοριτικῆς Γενέσεως ἐπεχείρησεν ὁ Πλύσκης διορθώσασθαι ἐκ τῶν Ο!!! (Frankel. l. c. pag. 271. πρβλ. σελ. 79). Ἴσως δὲ καὶ ἅμα μυχθίζων, καὶ ἀποτροπιαζόμενος (τὸ τοῦ ποιητοῦ) «τ ρ ὶ ς ἐ ς κ ό λ π ο ν ἔ π τ υ σ ε»!

(β) Καὶ παρὰ τοῖς Ἕλλησιν, οἷον, «Ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. ἀνέ-

ἀποδείκνυται πανταχόθεν γνησία καὶ ἰδία τοῦ Μωσαϊκοῦ πρωτοτύπου. Οὕτω κεῖται καὶ ἐν πᾶσι τοῖς ἐπισημοτάτοις ἀρχαίοις κώδηξι τῶν Ο (α), καὶ παρὰ τοῖς ἱεροῖς Πατράσιν. Οὐδ᾽ ὑπῆρχε πιστευτὸν, ὅτι ἔταξε τὸ κόμμα τοῦτο ὁ μέγας Μωσῆς διὰ τοσούτου διαστήματος ἀφεστηκὸς ἀπὸ τοῦ καταλλήλου τόπου, καθ᾽ ὃν ἔταξεν αὐτὸ τετράκις ἐν τοῖς ἐφεξῆς (στίχ. 9, 11, 15, 20) (β). « Τάξει δέ τινι καὶ ἀκολουθίᾳ κέχρηται ἡ Γραφή » (Χρυσός.). — Αὐτόθ. ϛχ. 7. « Καὶ διεχώρισεν ὁ *Θεός* ». Λείπει τὸ *ὁ Θεὸς* ἐκ τοῦ νῦν ἑβραϊκοῦ· ἡ δὲ παρὰ τοῖς Ο ἐπανάληψις τοῦ Θεὸς κυροῦται ἐκ τῶν ϛχ. 4, 10, 28, καὶ Μ. Βασ., Χρυσ. κτλ. (γ). — Αὐτόθ. ϛίχ. 8· « Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν » (οἱ Ο καθ᾽ ὅλους τοὺς ἀρχαίους κώδηκας, καὶ ἡ Ἰτάλα) ἐν δὲ τῷ νῦν ἑβραϊκῷ λείπουσι ταῦτα, πρόπαλαι καὶ αὐτὰ διαπεπτωκότα, ὡς Ὠριγένης μαρτυρεῖ (δ). Τὴν δ᾽ ἀνάγνω-

---

τειναν ἅπαντες » (Ξενοφ. Κύρ. Ἀναβ.). Παρ᾽ Ὁμήρῳ δὲ συνεχεῖς αἱ τοιαῦται ἐπαναλήψεις (Οὕτως Ἰλ. β. 28, 65. πρβλ. Ἰλ. α. 65, 93: δ. 195, 205 κτλ.). Σύνηθες δὲ τὸ σχῆμα μάλιστα πρὸς ἔκφρασιν ἀκριβῆ τῶν προστεταγμένων, καὶ παράστασιν τῆς πιϛῆς ἐκτελέσεως αὐτῶν.

(α) Βλ. τὴν ὑπὸ τοῦ Holmes ἐπισημοτάτην ἔκδοσιν τῶν Ο, ἐν ᾗ συνήχθησαν αἱ διάφοροι ἀναγνώσεις ἐξ ὅτι πλείστων κωδήκων, ἐκδεδομένων τε καὶ χειρογράφων· (136, παρεβλήθησαν εἰς μόνην τὴν Πεντάτευχον, καὶ ἰδίως εἰς τὴν Γένεσιν), καὶ ἐκ τῶν ἀρχαίων μεταφράσεων, καὶ τῶν Πατέρων, κτλ. Vetus Testamentum Graecum cum varijs lectionib. edidit Robertus Holmes. Oxon. T. V. fol. 1798—1827. Ἐν ταύτῃ τῇ μεγατίμῳ Συλλογῇ τρία μόνον ἄσημα χειρόγραφα διορθωθέντα πρὸς τὸ ἑβραϊκὸν ἔχουσι τὸ ἐ γ έ ν ε τ ο ο ὕ τ ω ἐν τῷ 7 στίχῳ (κατόπιν « τοῦ σ τ ε ρ ε ώ μ α τ ο ς »). Ἡ δὲ Κομπλουτεία ἔκδοσις, ἀντιλεγόντων τῶν ἀντιγράφων ἁπάντων, παρέλιπε παντάπασι τὸ κόμμα. Καὶ ὁ σοφὸς Γράβης (χάριν τ ῆ ς ἑ β ρ α ϊ κ ῆ ς ἀ λ η θ ε ί α ς) μηδὲν μελήσας, παρέθηκεν ὀβελὸν πρὸς ταῖς λέξεσιν ἐν τῇ κατ᾽ αὐτὸν ἐκδόσει τοῦ Ἀλεξανδρινοῦ, ἄκοντος καὶ αὐτοῦ τούτου!

(β) Οὕτως ἔκρινε καὶ Schulz Schol. in Genes h. l.

(γ) Βλ. Scheid Dissert. ad h. l. ὅστις κρίνει πάντως γραπτέον τ ὸ Θ ε ὸ ς (Elohim) καὶ εἰς τὸ Ἑβραϊκόν.

(δ) « Καὶ ἐν τῇ Γενέσει δὲ τὸ, ε ἶ δ ε ν ὁ θ ε ὸ ς ὅ τ ι κ α λ ὸ ν ἐπὶ τῷ γενέσθαι στερέωμα, παρ᾽ Ἑβραίοις οὐχ ε ὑ ρ ί σ κ ε τ α ι . . . καὶ ἄλλα δὲ ἐστὶν εὑρεῖν ἐν τῇ Γενέσει, οἷς σημεῖα παρεθήκαμεν τοὺς καλουμένους ὀβελούς »· (Ὠριγ. ἐπιστ. πρὸς Ἀφρικαν. §. δ. Ὅθεν μάλιστα καὶ Γράβης, Ὠριγενίζων δῆθεν, ὠβέλισε τὸ κόμμα). Παρ᾽ Ἑβραίοις δὲ λέγων ὁ Ὠριγένης, ἐννοεῖ τὸ ἑβραϊκὸν κείμενον, ᾧπερ οἱ κατ᾽ αὐτὸν Ἰουδαῖοι ἐχρῶντο. Ὅθεν καὶ τοὺς ὀβελοὺς προσέθηκεν, οὐκ εἰς αὐτὰ τὰ πρωτότυπα τῶν προφητῶν ἀναφέρων τὸν νοῦν, οὐδὲ νοθείας καταδικάζων τὴν

σιν τῶν Ο μαρτυροῦσι καὶ οἱ λοιποὶ στίχοι ἐφεξῆς (10, 12, 18, 21, 25), ἐν οἷς εἰς ἑκάστης τῶν ἄλλων ἡμερῶν τὰ δημιουργήματα ἐπιφωνεῖται ὁ ἔπαινος (ἐν δὲ τῷ 31 στίχῳ καὶ περὶ πάντων, ὡς

ῥῆσιν τῶν Ο (ἄπαγε!)· ἀλλὰ τοῦτο μόνον σημαίνων, ὅτι ἐν τῷ κατ' αὐτὸν Ἰουδαϊκῷ κειμένῳ οὐχ εὑρίσκετο. Ὁ δὲ Πλύσκης (σελ. 14) δριμύτερον καθάπτεται τῶν Ὠριγένους ὀβελῶν, ὡς μὴ πάνυ κριτικῶς πανταχοῦ προστεθειμένων! Ἀποδοκιμάζει δὲ καὶ τὰ τοῦ προμνημονευθέντος Τοιπλέρου, ὅστις ἄγαν θαρσαλέως κατέκρινεν ὡς νόθον τὸ προκείμενον κόμμα τῶν Ο, ἀποῤῥίψας εἰς ἣν λέγει παμμεγέθη σωρείαν (immensam molem) τῶν προσθηκῶν, προελθοῦσαν (ὡς ἐπὶ λέξεως τερατεύεται) a nimio studio (τῶν Ο) textum satis sibi constantem, aequabilem, perspicuum, etiam pleniorem perfectioremque reddendi (Toepler, De Pentat. etc. pag. 7). Ὁ δὲ σοφὸς Πλύσκης (σελ. 14) ἀναφέρει καὶ γνώμην, ἣν ἤκουσε παρά τινος ῥαββίνου, ὅτι ἐξεπίτηδες οὐκ ἔγραψεν ὁ Μωϋσῆς τὸ «εἶδεν ὁ θεὸς ὅτι καλὸν» εἰς τὸ δημιούργημα τῆς δευτέρας ἡμέρας, διότι «ὁ δύω ἀριθμὸς διαιρέσεώς ἐστι σημεῖον ἀπαίσιον καὶ δυσοιώνιστον». Ταῦτα παρὰ τῷ Πλύσκῃ διεξερχόμενοι, ἐπεμνήσθημεν ὁμοίας τοῦ Ἱερωνύμου γνώμης, ἣν ὁ μακάριος ἐκεῖνος (Ἰουδαίοις καὶ τοῦτο πιστεύσας) ἀναφέρει παραδόξως ἐν τῷ κατὰ τοῦ μισοπαρθένου καὶ θεοστυγοῦς Ἰοβινιανοῦ πρώτῳ βιβλίῳ, λέγων· ὅτι «Secundum Hebraeam veritatem, ἐπὶ τῆς δευτέρας ἡμέρας (τῆς δημιουργίας) ἀφεῖλεν ἡ Γραφὴ τὸ «εἶδεν ὁ Θεὸς ὅτι καλὸν», ἐννοεῖν ἡμῖν παρέχουσα μὴ καλὸν εἶναι τὸν δισσὸν ἀριθμὸν, ὃς ἀπὸ τῆς ἑνότητος διαιρεῖ, καὶ παρεικονίζει τὰς τοῦ γάμου συνθήκας» (praefigurat foedera nuptiarum»! S. Hieron. adv. Jovinian. Libr. 1. p. 472. Tom. 1. Paris 1609). Ὑπῆρχε δὲ παρ' Ἰουδαίοις παλαιόθεν καὶ ἐπὶ Ὠριγένους τὸ περὶ τῆς β, ἡμέρας πρόβλημα (ὡς αἰσθανομένοις τὴν ἔλλειψιν. βλ. Kennicot. Dissert. General. ed. Bruns. pag. 175). Ῥαββινικήν τινα γνώμην ἐπίσης γελοίαν ἀναφέρει καὶ ὁ δριμὺς τοῦ ἑβραϊκοῦ κἂν αὐταῖς αὐτοῦ ταῖς προφανέσι λώβαις προστάτης Ῥοδομύλλερος Schol. in Genes. h. l.). Τὸ ἔργον (λέγει) τῶν ὑδάτων ἀρξάμενον τῇ δευτέρᾳ ἡμέρᾳ, διέμεινεν ἀτελές· διεπεράνθη δὲ τῇ τρίτῃ, καθ' ἣν καὶ ἕτερον ἔργον (τὸ τῆς βλαστήσεως) ἤρξατο καὶ ἐξετελέσθη· διὸ καὶ δὶς ἐπάγεται κατὰ τὴν ἡμέραν ταύτην τὸ «εἶδεν ὁ θεὸς ὅτι καλὸν» (ϛχ. 10 καὶ 12).— Ἀλλ' (ἀπαντῶμεν) τὸ ἔργον τῆς δευτέρας ἡμέρας πάντως οὐκ ἦν τὸ τῶν ὑδάτων ἔργον (ἤδη προδεδημιουργημένων μεθ' ἧς ἐκάλυπτον γῆς. στίχ. 2), ὑπῆρξε δὲ κυρίως τὸ στερέωμα. «Γεννηθήτω γὰρ (φησὶ) στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος καὶ ὕδατος (στίχ. 6, 7)· τοῦτο τοίνυν τὸ μόνον τῆς β, ἡμέρας ἔργον, τὸ ϛερέωμα, ὃ ἐκάλεσεν ὁ θεὸς οὐρανὸν, οὐκ ἦν ἄξιον τοῦ ἐπαινετικοῦ ἐπιφωνήματος; Παράδοξος ἡ κρίσις! Κατὰ δὲ τὴν τρίτην ἡμέραν διττῶν τῶν ἔργων γενομένων, τῆς τε τῶν ὑδάτων οὐ δημιουργίας, ἀλλὰ συναγωγῆς, μεθ' ἣν ὤφθη ἡ ξηρὰ, καὶ τῆς βλαστήσεως τῆς γῆς, διττὰ πάντως ὤφειλον εἶναι καὶ τὰ τῆς

ἐν κεφαλαίῳ, τῶν κατὰ μέρος εἰρημένων καθολικῶς ἐκφωνεῖται). Συνομολογοῦσι καὶ νεώτεροι κριτικοί (α).

Αὐτόθ. ϛχ. 9. « Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν (ἄλλ. αὐτοῦ), καὶ ὤφθη ἡ ξηρὰ » (οἱ Ο, καθ᾽ ὅλους τοὺς ἐπισήμους κώδηκας). Ἐκ δὲ τοῦ ἑβραϊκοῦ λείπουσι καὶ ταῦτα, πρόπαλαι διαπεπτωκότα· διὸ καὶ παρὰ τῷ Ὠριγένει ὠβέλιστο (β). Ἀλλ᾽ ὅμως, ὅτι ἔγραφε καὶ ὧδε ὁ θεῖος προφήτης

ἐγκρίσεως καὶ ἀποδοχῆς ἐπιφωνήματα (βλ. Μ. Βασίλ. εἰς τὴν Ἑξαημ. Ὁμιλ. α. καὶ β. καὶ Χρυσόστομ. πρβλ. καὶ Εὐσέβ. Εὐαγ. Προπ. ια, σελ. 328).

(α) Houbigant. not. Crit. in h. l. — Scheid. h. l. — Plüschke etc. Ὁ δὲ Μοντεφαλκώνιος ἢ λάθετ᾽, ἢ οὐκ ἐννόησεν, ἐκδοὺς ἐν τοῖς Ἑξαπλοῖς τὸν ἀνωτέρω 8 στίχον τοῦ κειμένου τῶν Ο, χωρὶς τοῦ « Καὶ εἶδεν ὁ Θεός » κτλ.

(β) Τοῦτο σημαίνει παλαιά τις ἔν τινι κώδηκι (107, Holmes) σημείωσις, λέγουσα. « Ἔνθα κεῖται ὀβελός, οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ, παρὰ μόνοις δὲ φέρεται τοῖς Ο». Ἀλλὰ καὶ ὁ Μ. Βασίλειος ἐσημείωσεν (ὡς φέρεται ἐν ταῖς ἐκδόσεσι) τὰ ἐφεξῆς. « Πρόσκειται δὲ ἔν τισι τῶν ἀντιγράφων, « Καὶ συνήχθη τὸ ὕδωρ » κτλ. ἅπερ οὔτε τινὲς τῶν λοιπῶν ἐκδεδώκασιν ἑρμηνέων (Ἀκ. Θεοδ. Σύμμ.), οὔτε ἡ χρῆσις τῶν Ἑβραίων ἔχουσα φαίνεται. Καὶ γὰρ τῷ ὄντι παρέλκει μετὰ τὴν μαρτυρίαν τοῦ « ὅτι ἐγένετο οὕτως » ἡ τῶν αὐτῶν πάλιν ἐπεκδιήγησις· τὰ τοίνυν ἀκριβῆ τῶν ἀντιγράφων ὠβέλισται· ὁ δὲ ὀβελὸς ἀθετήσεως σύμβολον » (εἰς τὴν Ἑξαήμ. Ὁμιλ. δ. σελ. 50). Καὶ ταῦτα μὲν ὑπάρχουσι σαφῶς ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν σεσημειωμένα (καί τοι καθ᾽ἡμᾶς τοιοῦτο σχόλιον ἐν τοῖς Ἑξαπλοῖς οὐ σώζεται. βλ. Montfaucon, Hexapl.). Πρὸς δὲ ταῦτα τοῦ θείου Πατρὸς ἠγανάκτησεν ὁ Πλύσκης (σελ. 16)· ἀλλὰ περιττῶς· Πρῶτον μὲν γὰρ ἡ περικοπὴ αὕτη οὐ φαίνεται γνησία τοῦ Μ. Βασιλείου, καθὰ δείκνυται ἐκ τῶν ἐφεξῆς· α) ἐκ τῆς ἀκυρολογίας· οἷα ἡ « τὰ ἀκριβῆ τῶν ἀντιγράφων ὠβέλισται (ἀντὶ ἐν τοῖς ἀκριβέσι τῶν ἀντιγράφων ὠβέλισται ἡ ῥῆσις)· ἄκαιρος δὲ καὶ ἡ ἐπεξήγησις τοῦ τί ἐστιν ὀβελός ». β) διότι ἡ τοῦ Ῥωμαίου Εὐσταθίου (τῷ 440) παλαιὰ λατινικὴ τῆς Ἑξαημέρου μετάφρασις (κεῖται δὲ ἐν Biblioth. Patrum, Paris, 1644. Tom. I. p. 1467, καὶ τῇ Paris 1603, ἐκδόσει τῶν ἁπάντων τοῦ Μ. Βασιλείου) οὐ περιέχει τὴν περικοπήν. γ) διότι ὁ τοῦ Βασιλείου σύγχρονος ἱερὸς Ἀμβρόσιος ὁ Μεδιολάνων ἐν τῇ αὐτοῦ Ἑξαημέρῳ, ἣν συνέγραψε, τὰ πλεῖστα μεταγράψας ἐκ τῆς Ἑξαημέρου τοῦ Μ. Βασιλείου, (ταύτην δὲ ὁ Κασσιόδωρος ὡς ἀκριβεστάτην καὶ γλαφυροτάτην ἐπαινεῖ· βλ. Cave Script. Eccles. hist. p. 149), ἀντιλέγει πρὸς τοὺς παρέλκειν νομίζοντας τὴν ἀνωτέρω ῥῆσιν (ὡς ἐροῦμεν παρακατιόντες), οὐ τὸν Μ. Βασίλειον πάντως ἐννοῶν (ἐξ οὗ μετέγραφε, καὶ ὃν ἐσέβετο, ὡς ἔξεστιν ἐκ τῆς νε, πρὸς αὐτὸν ἐπιστολῆς τοῦ Μ. Βασιλείου συμβαλεῖν), ἀλλὰ τὸν Ὠριγένην, καί τινας ἑτέρους Ὠριγενίζοντας τότε κριτικούς, ἐξ ὧν ἀντιγραφεῖσα ἡ γνώμη προσετέθη ὕστερον καὶ εἰς τὴν ᾤαν τῶν κωδήκων τοῦ Μ. Βασιλείου, ὅθεν παρεισέφρησε καὶ εἰς τὸ κείμενον.

τὴν παρὰ τοῖς Ο ἐπανάληψιν, μαρτυροῦσιν οἱ λοιποὶ στίχοι (3, 7, 12, 16, 21), ἐν οἷς ἑκάστοις πάλιν οἱ τῶν γεγενημένων δημιουργημάτων χαρακτῆρες διὰ τῶν αὐτῶν διαγράφονται φωνῶν, δι' ὧν καὶ ἡ γένεσις αὐτῶν προσετάγη. Καθομολογοῦσι δὲ γνησίαν τὴν ἀνάγνωσιν καὶ νεώτεροι κριτικοί (α).

δ) Διότι Ἰωάννης ὁ Φιλόπονος (Κοσμοπ. δ. 4) ἀναιρεῖ τὴν κρίσιν ταύτην, εἰς τὸν Ὠριγένην ἀλλ' οὐκ εἰς τὸν Μ. Βασίλειον ἀποδιδούς. ε) Διότι πάντη ἀκατάλληλον καὶ ξένον προσπίπτει τὸ περὶ ἀ ν τ ι γ ρ ά φ ω ν κ α ὶ ὀ β ε λ ῶ ν διαλέγεσθαι ἐν τῇ Ἐκκλησίᾳ πρὸς τὸν λαόν, πρὸς ὃν ἐξεφώνει τὰς εἰς τὴν Ἑξαήμερον ὁμιλίας ὁ Μ. Βασίλειος. Τοῦτο δὲ καὶ Φρόντων ὁ Δουκαῖος ὀρθῶς παρετήρησε (Not.). ς) Διότι, τελευταῖον, αὐτὸς ὁ Μ. Βασίλειος εἶπε γνώμην πάντῃ ἐναντίαν τῆς προκειμένης, ἣν γράφομεν εὐθύς. Ἀλλὰ κἂν ἡ περικοπὴ γνησία τεθῇ, ὁ Μ. Βασίλειος εἶπε παρέλκουσαν τὴν ἐπεκδιήγησιν κατὰ τὴν Ὠριγένους δηλαδὴ κρίσιν καὶ τὴν ἔκδοσιν τῶν Ἑξαπλῶν, ἅπερ ἐνομίζοντο ἀκριβέστερα τῶν ἀντιγράφων. Ὅτι δὲ αὐτὸς ὁ Πατὴρ τὴν τοιαύτην τῆς γραφῆς ἐ π ε κ δ ι ή γ η σ ι ν ὡς γνησίαν ἐπεδοκίμαζε, δῆλον ἐξ ὧν ἐσημείωσε μικρὸν ἀνωτέρω περὶ τῆς ἐπὶ τοῦ στερεώματος ἐπαναλήψεως λέγων· «Γ ε ν η θ ή τ ω σ τ ε ρ έ ω μ α» αὕτη φωνὴ τῆς προκαταρκτικῆς αἰτίας· (καὶ) «ἐ π ο ί η σ ε ν ὁ θ ε ὸ ς τ ὸ σ τ ε ρ έ ω μ α»· αὕτη τῆς ποιητικῆς καὶ δημιουργικῆς δυνάμεως μαρτυρία» (Ὁμιλ. γ. σελ. 35). Πῶς οὖν ὕστερον τὴν αὐτὴν μαρτυρίαν, ἢ ἐπεκδιήγησιν, ἔκρινε παρέλκουσαν ἐν τοῖς ἑξῆς (στίχ. 9); ἔχει δὲ καὶ ὁ θεῖος Χρυσόστομος (εἰς Γένεσ. ὁμιλ. δ) τὸ κ α ὶ σ υ ν ή χ θ η τ ὸ ὕ δ ω ρ, κτλ. ὡς γνήσιον ἑρμηνεύων, καὶ Θεοδώρητος, καὶ Φιλόπονος, καὶ Κύριλλος (κ. Ἰουλιαν. β. 49, 55), καὶ μάλιστα ὁ ἱερὸς Ἀμβρόσιος (in Hexaëmer.), κατάλληλον εὑρίσκων τὴν ἐπανάληψιν (repetitum operationis, vel indicium, vel effectum), ὡς καὶ ἐν τοῖς ἄλλοις δημιουργήμασι· καὶ σφόδρα ἀντιλέγει πρὸς τοὺς ὀβελίζοντας, ὡς ἂν μήτ' ἐν τῷ ἑβραϊκῷ μήτε παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς κείμενα τὰ ῥήματα! Ἔχει ταῦτα, τέλος, καὶ ὁ ἥμισυν αἰῶνα πρὸ τῶν Ὠριγένους Ἑξαπλῶν ἀκμάσας ἱερώτατος Θεόφιλος ὁ Ἀντιοχείας (πρὸς Αὐτόλυκ. βιβλ. β)· καὶ Κλήμης δὲ πρὸ τούτου ὁ Ῥώμης, ὁ ἰσαπόστολος (Ἐπιστ. Κορ. α. §. 20) ταύτην τὴν ῥῆσιν ἐννοεῖ λέγων· «τὸ χύτος τῆς ἀπείρου θαλάσσης κατὰ τὴν δημιουργίαν αὐτοῦ συσταθὲν ε ἰ ς τ ὰ ς σ υ ν α γ ω γ ά ς». (βλ. Cotel. PP. Ap. T. 1. p. 157. καὶ Pearson, Praef. paraenet. ἐν τῇ ἐκδ. τῶν Ο). Ἔχουσι δὲ τὴν ῥῆσιν καὶ πάντες σχεδὸν οἱ πολυάριθμοι καθ' ἡμᾶς σωζόμενοι κώδηκες τῶν Ο (βλ. ἐκδ. Holmes). Ὁ δὲ σοφὸς Ὅδιος δραξάμενος τῶν ἀνωτέρω λόγων τοῦ Μ. Βασιλείου, προέβη καὶ πολὺ περαιτέρω. Συνάγει ἐκ τούτων, ὅτι ὁ Μ. Βασίλειος προτιμᾷ τὸ ἑβραϊκὸν τῆς ἑρμηνείας τῶν Ο! (Hody, de Biblior. text. pag. 314). Ἄλλο τοῦτο «Ἀ μ α ς ἀ π ή τ ο υ ν». Ὁ Μ. Βασίλειος λέγει περὶ ἀ ν τ ι γ ρ ά φ ω ν, καὶ ὁ Ὅδιος μεταβάλλει ταῦτα εἰς αὐτὴν τ ὴ ν ἑ ρ μ η ν ε ί α ν τῶν Ο! Ἀλλὰ πόσον ἐτίμα ταύτην, καὶ τί εἶπε περὶ αὐτῆς ὁ Μ. Βασίλειος, ὀψόμεθα ἐν τῷ ἐφεξῆς Δ, Βιβλίῳ.

(α) Houbigant, Schroeder, Plüschke. βλ. καὶ Schulz, Schol. ad h. l.

Αὐτόθ. στίχ. 11. «Σπεῖρον σπέρμα *κατὰ γένος καὶ καθ' ὁμοιότητα*» (οἱ Ο, καὶ ἡ Ἰτάλα). Αἱ δύω ὕστεραι λέξεις λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ. Ἀλλ' ἐν στίχῳ 12 ἔχει καὶ τοῦτο μόνον τὸ *κατὰ γένος*, ὅπου πάλιν οἱ Ο, καὶ τὸ *καθ' ὁμοιότητα* (α). — Αὐτόθ. στίχ. 12. « ξύλον *κάρπιμον* » (οἱ Ο, καὶ κώδηκες ἑβραῖοι)· λείπει τὸ «κάρπιμον» ἐκ τοῦ κοινοῦ ἑβραϊκοῦ προφανῶς ἐκπεσὸν, ὡς μαρτυρεῖ ὁ στίχος ὁ 11 (ὅπου ἔχει καὶ αὐτὸ, ὡς οἱ Ο, τὸ *κάρπιμον*, etzpheri, ξύλον καρποῦ)· ὁμολογοῦσι δὲ καὶ οἱ κριτικοί. Καὶ (ἐν τῷ τέλει τοῦ 12, στίχου) λείπει τὸ « *ἐπὶ τῆς γῆς* », ὅπερ ἔχουσιν οἱ Ο, καὶ κώδηκες ἑβραῖοι (β)· μαρτυρεῖται δὲ καὶ ὑπὸ τοῦ 11 στίχου, ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ. — Αὐτόθ. στίχ. 14. «*εἰς φαῦσιν ἐπὶ τῆς γῆς*» (οἱ Ο, καὶ τὸ Σαμαρειταν. καὶ κώδηξ ἑβραῖος Ῥόσσου). Ἐν δὲ τῷ κοινῷ ἑβραϊκῷ λείπει· κεῖται δὲ κἀν τούτῳ ἐν τῇ ἐπαναλήψει (στίχ. 15)· ὡς καὶ παρὰ τοῖς Ο. — Αὐτόθ. στίχ. 20. «*Καὶ ἐγένετο οὕτως*» (οἱ Ο, Σύμμαχος, Θεοδοτίων) ἐν τῷ

(α) Τὸ *καθ' ὁμοιότητα, γλώσσημά τινες εἶπον (κατὰ τὴν συνήθη παραδοξολογίαν), ἢ προσθήκην ἐκ τῶν ἄλλων τριῶν ἑρμηνευτῶν παρεισδύσασαν εἰς τὸ κείμενον τῶν* Ο. Ἀλλὰ *τὴν λέξιν ἔγραψεν ἐν τοῖς* Ἑξαπλοῖς *εἰς τὸ κείμενον τῶν* Ο *καὶ αὐτὸς* Ὠριγένης, *ὁ καὶ τῶν ἄλλων τὰς ἑρμηνείας παραθείς· ἔχουσι δὲ ταύτην καὶ* Θεόφιλος ὁ Ἀντιοχείας (τῷ 168 μ. Χ.), Συμμάχου *καὶ* Θεοδοτίωνος *προγενέστερος, καὶ ὁ* Μ. Βασίλειος, *καὶ* Χρυσόστομος, *καὶ πάντες οἱ τῆς ῥήσεως μνημονεύσαντες* Πατέρες, *οἵτινες εἶχον πρὸ ὀφθαλμῶν καὶ τῶν* Γ, *ἑρμηνευτῶν τὰς ἑρμηνείας· ἢ τοίνυν ἐξέπεσεν ἐκ τοῦ ἑβραϊκοῦ (ὡς τἆλλα) καὶ ἡ ταύτης ἀνάλογος φωνὴ, ἢ οἱ* Ο *τὰς λέξεις ἔγραψαν ἀμφοτέρας, ἑρμηνεύοντες ἀκριβῶς τὴν δύναμιν τοῦ ἑβραϊκοῦ* min, *ὅπερ καὶ γένος, ἢ εἶδος σημαίνει, καὶ ἰδέαν, ἢ μορφὴν* (formam, et speciem)· *καὶ τοῦτο οἱ* Ο, *εἶπον ὁμοιότητα (ἀμφότερα δὲ τὰ ὀνόματα πάντως ἀναγκαῖα πρὸς χαρακτηρισμὸν τῶν φυομένων, κατά τε γένος, ἢ εἶδος, καὶ μορφὴν διακρινομένων. βλ. ὄπισθ.* Βιβλ. Β. *κεφ. ιβ. σελ.* 852). Ἐκ *τούτου τοῦ χωρίου τῆς* Γενέσεως (*ὅπου καὶ μόνον κεῖται τὸ ὁμοιότης παρὰ τοῖς* Ο, *ἀλλαχοῦ δὲ τίθεται τὸ ὁμοίωσις, καὶ ὁμοίωμα) ἐλήφθη ἡ λέξις ἡ ὁμοιότης καὶ ἐν* Σ. Σολομ. *ις, ὅπου σημαίνει τὸν μεμορφωμένον τύπον (εἴδωλον ὁμοιότυπον), ὡς καὶ τὸ μορφὴ πολλάκις παρὰ τοῖς* Ἕλλησι. Κεῖται *καὶ παρὰ τῷ* Ἀποστόλῳ *ἡ λέξις* (Ἑβρ. *δ*, 15. *ζ*, 15) «*καθ' ὁμοιότητα*», *ἀντὶ τοῦ καθ' ὁμοίωσιν (ἤτοι παρομοίως).*

(β) Βλ. De-Rossi, Var. Lection. Vet. Test. Tom. I. p. 3. πρβλ. καὶ Scheid καὶ Schulz, Schol. ad. h. l.

ἑβραϊκῷ λείπει καὶ τοῦτο διεκπεσὸν, ὡς μαρτυροῦσιν οἱ ἄλλοι στίχοι (6, 9, 11, 15), καὶ ἐφεξῆς 24, 30, ἐν οἷς κεῖται κἀν τῷ ἑβραϊκῷ. — Αὐτόθ. στίχ. 27. «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον — *κατ' εἰκόνα Θεοῦ* ἐποίησεν αὐτὸν» (οἱ Ο καθ' ὅλους τοὺς κώδηκας καὶ τὰς ἀναγνώσεις τῶν Πατέρων). Τὸ δ' ἑβραϊκὸν, «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον *κατ' εἰκόνα αὐτοῦ, κατ' εἰκόνα Θεοῦ* ἐποίησεν αὐτόν»· ὅπου τὸ *κατ' εἰκόνα αὐτοῦ* φαίνεται περιττὴ ἐπανάληψις ἐξ ἀρχαίας πλάνης τοῦ μεταγραφέως (γράψαντος δὶς τοῦ betzalem, *κατ' εἰκόνα*)· οὐδ' ἀνάγεται πιθανῶς εἰς τὴν ἄλλως παρ' Ἑβραίοις συνήθη πλεοναστικὴν ἐπανάληψιν καὶ παλιλλογίαν (βλέπε ὄπισθ. σελ. 450). Ὡσαύτως καὶ στίχ. 28. οἱ Ο, ἔχουσι «*καὶ* εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων» (οὕτω καὶ κώδηκες ἑβραϊκοὶ, καὶ Ἱερώνυμος)· ὁ δ' Ἰουδαῖος ἀντιγραφεὺς ἐδιττολόγησε περιττῶς τὸ ὁ Θεὸς (Elohim), «Καὶ εὐλόγησεν αὐτοὺς *ὁ Θεὸς*, καὶ εἶπεν αὐτοῖς *ὁ Θεὸς*» (τοῦτο δὲ καὶ πολλοὶ τῶν κριτικῶν ὡς νόθον ὀβελίζουσι (α). — Αὐτόθ. στίχ. 28. «(Καὶ ἄρχετε) . . . καὶ πάντων *των κτηνῶν, καὶ πάσης τῆς γῆς*, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς» (οἱ Ο)· τὸ δ' ἑβραϊκὸν, «καὶ πάντων τῶν κτηνῶν τῶν *ἑρπόντων ἐπὶ τῆς γῆς*». Οὕτως ἡ ἀβλεψία τοῦ παλαιοῦ μεταγραφέως παρεῖδε τὰς μεταξὺ τοῦ *κτηνῶν* καὶ τοῦ *ἑρπόντων* μεσολαβούσας λέξεις, τὰς «*καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν*» κτλ. (β). Ἀλλὰ τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν Ο μαρτυρεῖ μὲν ὁ Ταργουμιστὴς (Ἰωνάθαν), ὅστις ἔχει τὰς λέξεις, μαρτυρεῖ δὲ μάλιστα ὁ 26 στίχος τοῦ κεφαλαίου, ὅπου κεῖνται ταῦτα καὶ ἐν τῷ νῦν ἑβραϊκῷ (πρβλ. καὶ στίχ. 25, καὶ κεφ. η, 1) (γ).

(α) Βλ. Schulz, Schol. ad h. l. *Νομίζουσι δὲ καὶ ὅτι μετὰ τοὺς Ἱερωνύμου χρόνους εἰσέφρησεν εἰς τὸ ἑβραϊκὸν κείμενον· ἀλλ' ἔστι καὶ τοῦτο τὸ σφάλμα ἀρχαῖον· ἔχουσι γὰρ τοῦτο καὶ οἱ* Γ (*Ἀκύλ. Σύμμ. Θεοδ.*), *καὶ αὐτὸ τὸ ἑβραϊκὸν τῶν Ἑξαπλῶν* (Montf.).

(β) « Tutus est textus Graecus per totum vers. 28, exacte respondentibus Latinis. Hebraicus aliquod vocum jacturam fecit ». Plüschke l. c. p. 48.

(γ) *Ἐν κεφ.* Α. 30, *ὅπου τὸ π ά ν τ α χ ό ρ τ ο ν χ λ ω ρ ὸ ν ε ἰ ς β ρ ῶ σ ι ν ἔχει τὸ δ έ δ ω κ α ὑπονοούμενον ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς* Ο, *ὁ κλεινὸς*

Κεφ. Β, 2. «Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν *τῇ ἡμέρᾳ τῇ ἕκτῃ*» (οἱ Ο, καθ᾽ ὅλους τοὺς κώδηκας)· τὸ δ᾽ ἑβραϊκὸν, «*τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ*». Οὔτε λαμπρότερον εὑρίσκεις ἄλλο παρὰ τοῦτο δεῖγμα πλάνης ἀντιγραφικῆς, οὔτε θερμοτέρους καὶ μᾶλλον πείσμονας ὑπερασπιστὰς ἄλλης ὁμοίως ἡμαρτημένης γραφῆς. Ἁπλῆ καὶ μόνη τοῦ

Πλύσκης ἐσημείωσεν ὡς παρατηρήσεως ἄξιον τὸ ἐφεξῆς· «Ὅτι οὐδεὶς κώδηξ (τῶν Ο) φέρει προστεθειμένον ἢ τὸ δέδωκα, ἤ τι ἄλλο τοιοῦτο ῥῆμα, πρὸς σαφήνειαν προστεθέν. Μεμνήσθωσαν (λέγει) τῆς ἀπὸ παντὸς παραπληρώματος ἀποχῆς καὶ ἐγκρατείας *(τῶν Ο), ὅσοι τὴν μεγάλην σωρείαν τῶν* προσθηκῶν, *καθ᾽ ἃς πλεονάζει τὸ ἑλληνικὸν κείμενον ὑπὲρ τὸ ἑβραϊκὸν, οὐκ ἀρκοῦνται μόνον ἀπορρίπτοντες εἰς βιβλιογράφους θρασύλλους καὶ μωροὺς* (sciolos), *ἀλλὰ συκοφαντοῦσι θρασύτατα καὶ αὐτοὺς τοὺς Ο, ὡς μὴ μόνον ὀλίγα τινὰ λεξείδια κατὰ μέρος, ἀλλὰ καὶ γνώμας ὅλας, καὶ στίχους, ἢ περιόδους, καὶ ταύτας ὅτι πλείστας, μετὰ τῶν τοῦ πρωτοτύπου κειμένου πρὸς τὸ δοκοῦν συνεξυφάναντας» (σελ. 23). Ὀρθῶς γε ταῦτα ὁ Πλύσκης εἰς ἄλλους τε πολλοὺς καὶ τὸν Γεσενίου μάλιστα μεταγραφέα Τοίπλερον ἀπετόξευσεν. Ἀλλ᾽ ἦν ἂν δικαιότερος, εἴ γε μήτε τοὺς βιβλιογράφους ᾐτιᾶτο ὡς προστιθέντας (ᾗ φησὶ) σωρηδὸν ὅ,τι ἂν αὐτοῖς ἐπ᾽* ἀκαιρίμαν *ἐπήρχετο γραφίδα, καὶ βεβηλοῦντας τὴν θείαν βίβλον, ὡς ἂν οὖσαν ἔρημον, εἴτ᾽ ἐν* μέσῃ *τῇ τῶν ἑλληνιστῶν συναγωγῇ πρὸ Χριστοῦ, εἴτε καὶ μετὰ Χριστὸν ἐν* μέσῃ τῇ Ἐκκλησίᾳ! *μήτε προσθήκας ὅλως ἐν τοῖς Ο τοὺς ὑπὲρ τὸ ἑβραϊκὸν πλεονασμοὺς ἀπεκάλει, ἀλλὰ τἀνάπαλιν, κολοβώσεις καὶ πηρώσεις αὐτοῦ τοῦ ἑβραϊκοῦ, ἃς ἐπέφερον εἰς αὐτὸ μετὰ τὴν θεήλατον συμφορὰν βάρβαροι χεῖρες Ἰουδαίων παντοδαπῶν, Χαλδαίων, Αἰγυπτίων, Παλαιστινῶν, Ταλμουδιστῶν, Μασοριτῶν, Καββαλιστῶν, μεγάλων* ῥαββάνων, *μικρῶν ῥαββίνων, παντοίων φθόρων καὶ λοιμῶν, οἵτινες διορθοῦντες ὅπερ ἐν πολλοῖς οὐ κατενόουν κείμενον τῆς Γραφῆς (καὶ τοῦτο πολλαχοῦ διὰ τὰς περιστάσεις λελωβημένον) προσέῤῥαπτον, ἀπέκοπτον, μετέβαλον τὰ δοκοῦντα, τυποῦντες πανταχοῦ τῆς παχυλῆς καὶ δεισιδαίμονος αὐτῶν ἀμαθείας τὰ ἴχνη. Ὅθεν ἔπειτα οἱ λάτρεις τῆς Μασοραίας ἐκδόσεως κριτικοὶ ἐσυκοφάντησαν καὶ τοὺς Ο, καὶ ἄλλους, ὡς διασκευαστὰς τῆς ἑλληνικῆς ἑρμηνείας, συμφορήσαντας σωρείαν προσθηκῶν. Ταῦτα νομίζομεν ὤφειλεν ὁ σοφὸς Πλύσκης καθαρώτερον ὁμολογῆσαι, ἵνα πρός τε τὴν ἀλήθειαν καὶ πρὸς ἑαυτὸν συμφωνότερος ἦν. Αὐτὸς γὰρ εἶπεν αὐταῖς λέξεσιν ἀλλαχοῦ (σελ. 15) τὰ ἐφεξῆς·* «Quis aequus judex credat, hanc scilicet laciniam *(τὴν «Καὶ συνήχθη τὸ ὕδωρ» κτλ. βλ. ὄπισθ. σελ.* 453) vel ab ipsis LXX temere assutam sacris prophetae oraculis, vel ab audaculo scriba Graeco pro supplemento allitam, quum et testes satis consonent, et superiora pariter atque inferiora omnia illam particulam ut genuinam commendent? Quis demonstret fidum interpretem pro libidine integras sententias intercalare ausum, quibus lectores omnes facile careant? etc.

στίχου ἡ ἀνάγνωσις ἀποδείκνυσι τῆς Μασοραίας ἀναγνώσεως τὴν ἀτοπίαν· « Καὶ συνετέλεσεν ὁ Θεὸς *τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ* τὸ ἔργον αὐτοῦ *ὃ ἐποίησε*, καὶ κατέπαυσε *τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ* ἀπὸ παντὸς τοῦ ἔργου αὐτοῦ ὃ ἐποίησεν »· ἀλλ' οὕτως ἀναιρεῖται τὸ σάββατον· οὐδὲ σημαίνει ὅλον ὅλως ἀκραιφνῆ κατάπαυσιν (ἐδαπάνησε γὰρ πάντως ὁ Θεὸς καὶ τοῦ σαββάτου μέρος εἰς τὴν συντέλειαν τοῦ ἔργου· καὶ ποίου ἔργου;) (α). — Ἀλλ' ἡ ἑβραϊκὴ γλῶσσα (λέγουσιν) ἕνα μόνον ἔχει παρῳχημένον· ὅθεν ἀναγνωστέον, *συντετέλεκεν*, ἢ *συνετελέκει* (συντελέσας εἶχε) τὰ ἔργα αὐτοῦ *τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ*. — Ἀλλὰ μήπως καὶ ὁ λεγόμενος οὗτος ὑπερσυντελικὸς, ἢ παρακείμενος χρόνος οὐχ ἁρμόζει ἐπίσης καὶ εἰς τὴν ἡμέραν τὴν *ἕκτην*; Αὐτίκα ὁ Θεόδωρος ἑρμηνεύων τὸ χωρίον φησίν· « ἐπὶ μὲν τῆς ἕκτης ἡμέρας *συμπεπλήρωκε* πάντα, ἐπαύσατο δὲ τῇ ἑβδόμῃ ἡμέρᾳ τοῦ ποιεῖν » (β). Ἄλλοι πάλιν διαλλάττοντες τὸ *ἕκτῃ* τῶν Ο, πρὸς τὸ ἑβραϊκὸν *ἑβδόμῃ*, λέγουσιν, ὅτι τὸ ἔσχατον τῆς ἕκτης ἡμέρας σημεῖον ὑπάρχει τὸ αὐτὸ καὶ ἀρχὴ τῆς ἑβδόμης (ὡς εἴθισται καὶ ἐπὶ πάντων τῶν χρονικῶν καὶ συνεχῶν διαστημάτων). Καὶ τὸ μὲν τῇ *ἕκτῃ* ἡμέρᾳ θεωρεῖται *ἐγκλειστικῶς* (inclusive), ὡς ὅριον ἐντὸς τῆς δημιουργίας· τὸ δὲ τῇ *ἑβδόμῃ*, *ἐκκλειστικῶς* (exclusive), ὡς ὅριον ἐκτὸς ἐφαπτόμενον τῆς δημιουργίας (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ια. σελ. 742). Οὕτω (λέγουσι) καὶ αἱ Ὀλυμπιάδες συγκείμεναι ἐκ *τετραετίας*, ἤγοντο κατὰ *πενταετηρίδα*, ἤτοι δι' ἔτους πέμπτου, καὶ ὁ τῶν Ῥωμαίων Δίσεκτος (bisextilis annus) ἐλέγετο *πέμπτος* ἐνιαυτός· καὶ αὐτὸς ὁ Ἰουβιλαῖος λέγεται *πεντηκοστὸς* ἐνιαυτὸς, ὡσαύτως ἐκκλειστικῶς, ἢ μεθορικῶς (terminative), ὡς μὴ περιεχόμενος ἐντὸς τοῦ ὅρου τῶν ἑπτάκις ἑπτὰ

(α) *Ὅθεν καὶ ὁ μακάριος Ἱερώνυμος ἐξ αὐτῆς τῆς ἀναγνώσεως ἐξελέγχει τοὺς Ἰουδαίους ὡς καυχωμένους ἐπὶ τῇ ἀργίᾳ τοῦ σαββάτου, διότι καὶ ὁ Θεὸς (κατὰ τὴν κατ' αὐτοὺς ἀνάγνωσιν) ἔλυσε τὸ σάββατον, συμπληρῶν τὰ ἔργα αὐτοῦ* (Quaest. in Genes.). *Καὶ ὅμως αὐτὸς πάλιν ὁ Ἱερώνυμος ἔγραψεν ἐν τῇ Βουλγάτᾳ, τῇ ἡμέρᾳ τῇ ἑ β δ ό μ ῃ, κατὰ τὴν* Hebraicam veritatem!

(β) *Παρὰ Θεοδωρήτ. ἐν τοῖς Ἀπορ. εἰς Γένεσ. κα.*

ἀριθμουμένων ἐνιαυτῶν (Λευϊτικ. κε, 7–8). Ταῦτα ἐκεῖνοι. Ἀλλὰ τί κοινὸν τούτοις καὶ τῷ «*συνετέλεσε τὰ ἔργα τῇ ἕκτῃ ἡμέρᾳ*;» Ὡς γραμμή τις συνεχῶς θεωρεῖται πάντως ὁ χρόνος κατ' ἐπίνοιαν, ἐκ σημείων συνεστηκυῖα· ἀλλὰ τὸ ἔσχατον σημεῖον χρονικοῦ τινος ὡρισμένου διαστήματος διακρίνεται τοῦ σύνεγγυς, ἀφ' οὗ πάλιν ἄρχεται ἄλλου διαστήματος ἴσου καταμέτρησις· ἄλλως δὲ, συγχύζονται τῶν διαστημάτων τὰ τέρματα, καὶ παραλύεται τῶν χρόνων ἡ τάξις. Οὕτω γὰρ καὶ ἡ πρώτη ἡμέρα ἀποβαίνει δευτέρα, καὶ αἱ λοιπαὶ παρομοίως, καὶ αὐτοὶ δὲ, τέλος, οἱ ἐνιαυτοὶ καὶ οἱ αἰῶνες, ὡσαύτως. Ξένα δὲ παντάπασι τοῦ προκειμένου καὶ τὰ τῶν Ὀλυμπιάδων καὶ Δισέκτων παραδείγματα. Ἄλλως θεωρεῖται ἐπὶ τῶν κυκλουμένων περιόδων ὁ ὅρος, καὶ ἄλλως ἐπὶ τῶν ἱστορικῶν ἔργων καὶ συμβεβηκότων ὁ χρονικὸς διορισμός. Εἰς τοὺς περιοδικοὺς κύκλους τῶν κυρίως *τετραετηρίδων* ὀλυμπιάδων λαμβάνεται ὁ πρῶτος τῆς σύνεγγυς ἀρχομένης περιόδου ἐνιαυτὸς, καθ' ὃν ἑωρτάζετο τῆς ἤδη τετελεσμένης τὸ τέρμα, ὁ δ' αὐτὸς ἐγίνετο καὶ ἀρχὴ τῆς ἐφεξῆς τετραετηρίδος. Καὶ «ὁ μὲν Ζεὺς ποιῶν τὸν Ὀλυμπιακὸν ἀγῶνα — *ἅπαντας τοὺς Ἕλληνας δι' ἔτους πέμπτου συνήγειρε*» (Ἀριστοφ. Πλούτ.). Ἀλλ' ὁ ἀληθὴς Θεὸς δημιουργῶν καθ' ἑκάστην τεταγμένην ἡμέραν *ὡρισμένως* ἕκαστον ἔργον τῆς αὐτοῦ παντοδυναμίας, ἐποίησε τὸν σύμπαντα κόσμον ὡρισμένως «*ἐν ἓξ ἡμέραις, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ*». Ἔπειτα καὶ αὐτὴ ἡ ἑορταστικὴ πενταετηρὶς καὶ (ἵνα ταύτην ὡς θυραίαν παραλίπωμεν) αὐτοῦ τοῦ Ἰουβιλαίου, ἢ τοῦ *πεντηκοστοῦ* ἐνιαυτοῦ τὸ παράδειγμα ἀποδείκνυσι μᾶλλον τῆς ἕκτης ἡμέρας τὸ βέβαιον· ὡσαύτως καὶ ἡ μετὰ ἑπτὰ ἑβδομάδας ἡμερῶν ἑορταζομένη *πεντηκοστὴ* (Λευϊτ. κγ). Ὅ,τι γὰρ ὑπῆρχε τὸ 49 ἔτος πρὸς τὸ ἑορτάσιμον 50 τῆς ἰουβιλαίας *πεντηκονταετηρίδος*, καὶ ἡ 49 ἡμέρα πρὸς τὴν ἑορτάσιμον *πεντηκοστὴν*, τοῦτ' αὐτὸ ὑπῆρξε καὶ ἡ *ἕκτη* ἡμέρα πρὸς τὴν σαββατίζουσαν *ἑβδόμην*, ὅρος δηλονότι πεπηγὼς, καὶ τέρμα καὶ πέρας τοῦ διαστήματος τῆς δημιουργίας πλῆρες καὶ τέλειον. Ὁ δὲ κλεινὸς Γεσένιος (συνεπαγόμενος

καὶ μάρτυρα σεμνότατον, ποῖον; τὸν ῥαββὶν Ἀβενέσδραν!) ἀποφαίνεται κανόνα γενικόν· « ὅτι *παντὸς ἔργου ἡ ἐκτέλεσις, ἡ τελευτὴ οὐδόλως ἀνήκει εἰς τὸ ἔργον αὐτο* (α). — Ἀλλ᾽ εἰ μὴ εἰς τὸ ἔργον αὐτὸ, ποῦ λοιπὸν ἀνήκει τὸ τέλος αὐτοῦ; εἰ δὲ μὴ, οὐδ᾽ ἡ ἔναρξις λοιπὸν εἰς τὸ ἔργον ἀνήκει· ἑκάτερα γὰρ τὰ ἄκρα, τὸ ἐξ οὗ καὶ τὸ εἰς ὃ, διορίζουσι τὴν τοῦ ἔργου ὁλοκληρίαν, χωρὶς δὲ τούτων λέγοιτ᾽ ἂν *ἀτέλεστον*, ἢ *ἀτερμάτιστον* τὸ ἔργον, καὶ *ἀκέφαλον*· « Αἴρεται δ᾽ οὖν ἐκ τοῦ μέσου πᾶσα δυσχέρεια (προστίθησιν ὁ Γεσένιος), ἐὰν ἑρμηνεύσῃς, « καὶ τέλος ἐπέθηκεν ὁ Θεὸς τῷ ἔργῳ αὐτοῦ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ » (β). — Ἀλλὰ μήπως οὐχ ἁρμόζει πολὺ μᾶλλον κυριώτερον καὶ φυσικώτερον ἡ αὐτὴ φράσις καὶ *τῇ ἡμέρᾳ τῇ ἕκτῃ*; Ἔπειτα παρὰ τίνι τῶν ἀρχαίων συγγραφέων, ἢ καὶ ἐν αὐτῇ τῇ συνηθείᾳ, κατὰ ποίαν ἀνθρώπων γλῶσσαν, τίς ποτε καὶ ποῖον ἔργον ἐπιχειρήσας, ὅταν τοῦτο ὁλοσχερῶς *συντελέσῃ ἐν ἓξ ἡμέραις*, λέγεται ὅτι ἐπέθηκεν αὐτῷ τέλος τῇ ἐπαύριον; — « Τελευταῖον (λέγει) αἱ ἐξ αὐτῆς τῆς φύσεως τοῦ *ποιήματος* (τῆς Γενέσεως!) πηγάζουσαι ἐσωτερικαὶ ἀποδείξεις πρὸς μόνην τὴν Μασορῖτιν ἀνάγνωσιν (τῇ ἑβδόμῃ) εὐνοϊκῶς ἔχουσι. Περὶ γὰρ τῆς ἕκτης ἡμέρας ἐπαύσατο διαλεγόμενος *ὁ ποιητὴς* (δηλονότι ὁ θεῖος Μωϋσῆς), ἐν τῷ τέλει τοῦ πρώτου κεφ. (α, 31)· ἡ δὲ τέχνη τῆς πανταχοῦ (τοῦ α, κεφ.) διαλαμπούσης ἐποποιΐας, καὶ τῶν μελῶν ὁ παραλληλισμὸς οὐ ῥᾳδίως ἐπιδέχονται (ἐν τῷ β, κεφ.) νέαν ἀνάμνησιν τῆς ἕκτης ἡμέρας » (γ). — Θαυμασὸς ὁ ἔνδοξος κριτικὸς, ὅτι διεξετάσας ἐξεῦρε καὶ αὐτὸν τὸν μυελὸν τῆς φύσεως

(α) « Absolutionem operis ad ipsum opus minus pertinere » (Gesen. de Pentat. Samaritan. p. 50). Τοῦτο καὶ ὁ παλαιότερος Fagius ἀνέφερε (Annot. in Genes. h. l.). Ὁ δὲ Δρούσιος, καί τοι καὶ αὐτὸς τῆς Μασοραίας ἀναγνώσεως προστάτης, εἶπε τοὐναντίον (καὶ ἀληθέστερον)· ὅτι « Completio operis est opus! » etc. (Annot. in h. l.).

(β) « Et finem imposuit Deus operi suo die septimo. » Gesen. ubi supra.

(γ) Gesen. l. c. Καὶ ὁ Δεβέττης π ά ν υ κ α λ ὸ ν (sehr schön) καὶ εὔμορφον εὑρίσκει τὸ τοῦ ποιητοῦ (καθὰ καὶ αὐτὸς τὸν Μωϋσῆν ὀνομάζει) τῇ ἡμέρᾳ

τῆς γλώσσης τῆς Μωσαϊκῆς (α). Ἀλλ' ὅμως κατ' αὐτὸ τὸ β, κεφάλ. τῆς κατ' αὐτὸν *ἐποποιΐας*, ὁ κατ' αὐτὸν *ποιητής*, καὶ καθ' ἡμᾶς θεόπτης καὶ θεόπνευστος προφήτης καὶ ἱστορικὸς τῆς παναληθοῦς κοσμογονίας, ἐποιήσατο πάλιν νέαν ἀνάμνησιν καὶ « τῆς ἡμέρας, ᾗ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ, καὶ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ » (β, 4, 19), καὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας, ἣν πρότερον ἐσχάτην τῶν ἄλλων δημιουργημάτων ἅλις ἐξιστορήσας (α, 26–31), τρανώτερον πάλιν διέγραψε (β, 7, 21. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 853). Καὶ αὐτὸ δὲ τὸ τέλος τοῦ α, κεφαλαίου παραβαλλόμενον πρὸς τοῦ β τὴν ἀρχὴν, ἀποδείκνυσι πᾶν τοὐναντίον ὧν λέγει ὁ κριτικός. Τὸ πρῶτον κεφάλαιον λήγει εἰς τὸ « Καὶ ἴδεν ὁ Θεὸς τὰ ΠΑΝΤΑ ὅσα ἐποίησε — καὶ *ἐγένετο ἡμέρα ἕκτη* », καὶ εὐθὺς ἄρχεται τὸ β· « Καὶ *συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ* » κτλ. Φανερὸν λοιπὸν, ὅτι ἐπικρατεῖ ἡ ἔννοια τῆς ἕκτης ἡμέρας (οὐδεμία γὰρ ἄλλη μεσολαβεῖ)· καὶ εὐθὺς ὁ 2 στίχος τοῦ β κεφαλαίου πάλιν ἐπαναλαμβάνει, « *Καὶ συνετέλεσεν ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ* τὰ ἔργα αὐτοῦ, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ». Ἀλλὰ καταλείποντες τὰς σοφιστικὰς εἰκαιολογίας, ἐπιφέρομεν ἀποδείξεις τῆς κατὰ τοὺς Ο γνησίας ἀναγνώσεως σαφεῖς καὶ ἀναν-

---

τῇ ἑ β δ ό μ ῃ· καὶ πτερούμενος ἐπ' αὐτῆς, ἀποβλέπει πρὸ ὀφθαλμῶν καθαρῶς καὶ ἡσύχως τὴν συντέλειαν τῆς δημιουργίας· « Aber den Tag darauf sehen wir die Vollendung klar und ruhig vor uns ! » De Wette, Beitraege zur Einleit. des A. Test. 2. Bd. pag. 41.

(α) Ποιητὴν ἀνωνύμως ὀνομάζει τὸν θεῖον Μωσῆν ὁ Γεσένιος, διότι καὶ αὐτὸς, ὡς καὶ ὁ Φάτηρ (Vater), νεωτέραν τῶν Μωσέως χρόνων τίθησι τὴν Πεντάτευχον, ἄλλας τε φέρων ἀποδείξεις εὐτραπέλους, καὶ αὐτὴν τὴν indolem, τουτέστι τὴν φύσιν, ἢ τὸ ἰδίωμα τῆς ἀρχεγόνου ἐκείνης ἑβραϊκῆς γλώσσης, ἣν διεξηρεύνησεν, ἔχων ἡγουμένην, ὡς φωσφόρον Ἀθηνᾶν, τὴν ῥαββινικὴν μάλιστα γραμματικὴν, καὶ τὴν Μασορῖτιν ἔκδοσιν τῆς καθ' ἡμᾶς Ἰουδαϊκῆς γραφῆς! (βλ. Gesen. Geschichte der Hebr. Sprache und Schrift. pag. 31). Παρομοίως καὶ ἄλλοι περὶ τὴν ἐκτὸς φιλολογίαν ὀρθολογισταὶ κεκρίκασι τὴν Ὁμήρου ποίησιν ψευδῶς εἰς Ὅμηρον ἐπιγεγραμμένην, ἐπιφέροντες κἀκεῖνοι δείξεις ἄλλας λεκτικάς. Οὕτως ἡ περίσοφος οἴησις θραύει πανταχοῦ τὰ ὅρια τοῦ ἀληθοῦς ὀρθοῦ λόγου, πηδῶσα μακρὰ, καὶ μακρότερα κυβιστῶσα, ὁ δὲ τράχηλος ἀλγεῖ!

τιῤῥήτους (τοῖς γε μὴ θέλουσι μάχεσθαι πρὸς τὰ τὸ λογικὸν ἀσφαλῶς διοικοῦντα ἡνία τῆς ἱερᾶς ἀληθείας)· καὶ πρῶτον (ὃ καὶ μέγιστον, καὶ μόνον ἀντὶ πασῶν ἀποδείξεων ἀρκοῦν), αὐτὰ τὰ παράλληλα χωρία τῆς θείας Γραφῆς. Αὐτίκα Ἐξόδ. κ, 11. «Ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε . . . καὶ *κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ* ». Καὶ (Ἐξόδ. λα, 17), «Ὅτι ἐν ἓξ ἡμέραις ἐποίησε . . ., καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ *κατέπαυσε, καὶ ἐπαύσατο* ». Σύμφωνος δὲ καὶ αὐτὴ ἡ ἐντολή, «Ἐν ἓξ ἡμέραις ποιήσεις τὰ ἔργα σου, *τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνάπαυσις* » (Ἐξόδ. κγ, 12). 2) Κατὰ τοὺς Ο, ἔχει καὶ τὸ Σαμαρειτικόν. 3) Ὁ Σύρος. 4) Ὁ Ἰώσηπος· «τὸν κόσμον ἐν ἓξ ταῖς πάσαις ἡμέραις Μωϋσῆς φησὶ γενέσθαι· *τῇ δὲ ἑβδόμῃ ἀναπαύσασθαι* » κτλ. (Ἀρχ. Α. α, §. 1). 5) Ὁ Φίλων (τόμ. α. σελ. 43). 6) Ἡ τοῦ Βαρνάβα ἐπιστολὴ (α). 7) Πάντες οἱ ἀρχαῖοι Πατέρες τῆς Ἐκκλησίας, ὅσοι τῆς ῥήσεως ἐμνημόνευσαν, καὶ

(α) Ἐν τῇ ἐπιγεγραμμένῃ εἰς τὸν Βαρνάβαν ἐπιστολῇ (κατὰ τὴν Κοτελερίου ἔκδοσιν ἐν PP. Apost. Tom. I. σελ. 15—74) ἀναγινώσκονται ταῦτα· «Καὶ ἐ π ο ί η σ ε ν ὁ θεὸς ἐν ἓξ ἡμέραις τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καὶ σ υ ν ε τ έ λ ε σ ε ν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ κατέπαυσεν ἐν αὐτῇ» (§. ιε). Ὅπου ὁ πολυμαθὴς αὐτῆς ἐκδότης ἐσημείωσεν, ὅτι ἡ ῥῆσις συνεῤῥάφη μέρος ἐκ τῆς Γενέσ. β, 2, καὶ μέρος ἐκ τῆς Ἐξόδ. κ, 11· καὶ ὅτι ὑπῆρχον ἀρχαῖά τινα χειρόγραφα τῶν Ο, συμφωνοῦντα πρὸς τὸ ἑβραϊκὸν (κατὰ τὸ συνετέλεσε τῇ . . . ἑ β δ ό μ ῃ). - Ἀλλ' ὁ σοφὸς ἀνὴρ ἠπατήθη, ἐκλαβὼν ὡς ὀρθὴν τὴν ἡμαρτημένην ἀνάγνωσιν τοῦ χωρίου (ἔχει δὲ καὶ ἄλλα σφάλματα ἀντιγραφέων ἡ ἐπιστολή). Ὁ Βαρνάβας π ά ν τ ω ς ἔγραψε «Καὶ σ υ ν ε τ έ λ ε σ ε ν ὁ θεὸς ἐν ἓξ ἡμέραις τὰ ἔργα τῶν χειρῶν αὐτοῦ ἃ ἐ π ο ί η σ ε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ» κτλ. (ὅλον τὸ χωρίον λαβὼν ἐκ τοῦ Γενέσ. β, 2)· ἡ δὲ τῶν ἀντιγραφέων ἀβλεψία μετέστρεψε καὶ συνέχεε τὴν γραφήν, (ἣν ἐτήρησε καὶ ὁ Λατῖνος μεταφραστής). Καὶ μάρτυς πιστὸς αὐτὸς πάλιν ὁ Βαρνάβας, ὅστις εὐθὺς μετὰ τὸ ῥητόν, ἐπιφέρει· «Π ρ ο σ έ χ ε τ ε τέκνα τί λέγει τὸ σ υ ν ε τ έ λ ε σ ε ν ἐν ἓ ξ ἡ μ έ ρ α ι ς, τοῦτο λέγει, ὅτι συντελεῖ ὁ θεὸς ἐν 6000 ἔτεσι τὰ πάντα. Καὶ [τὸ] κ α τ έ π α υ σ ε ν ὁ θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τοῦτο λέγει, ὅτι κτλ. (σελ. 44—46. Cotel.). Ταύτην τὴν διαφθορὰν τοῦ κειμένου τῆς τοῦ Βαρνάβα ἐπιστολῆς οὐδ' αὐτὸς ὁ νεώτατος αὐτῆς ἐκδότης Ἕφελος παρετήρησεν, ἀλλ' ἐξέδωκεν, ὡς εἶχε, καθὰ καὶ ἄλλοι πρὸ αὐτοῦ (βλ. Patrum Apostolic. Opera ed. C. J. Hefele. pag. 21. Tubing. 1842). Ὁ δὲ Κοτελέριος (σελ. 44) ἀναφέρει καὶ ἐκ τῶν εἰς τὸν Μ. Ἀθανάσιον ἐπιγραφομένων (ἄλλου δὲ νεωτέρου Ἀθανασίου Ἀλεξανδρέως κεχρημένων) Ζ η τ η μ ά τ ω ν π ρ ὸ ς Ἀ ν τ ί ο χ ο ν, τὰ ἑξῆς. Διὰ τί δὲ τῇ ἑβδόμῃ ἡμέρᾳ ὁ θεὸς τὴν κτίσιν

αὐτὸς Ὠριγένης. 8) Καὶ ὁ Κέλσος παρ᾽ αὐτῷ (κατὰ Κέλσ. ϛ. §. 61). 9) Καὶ τὸ Ταργοῦμον μνημονεύει τῆς κατὰ τοὺς Ο, ἕκτης ἡμέρας (α). 10) Καὶ αὐτῶν τῶν νεωτέρων κριτικῶν ἄνδρες ἐπισημότατοι ὁμολογοῦσι τὸ γνήσιον ἀνάγνωσμα τῶν Ο (ϐ). — Αὐτόθ. στίχ. 3. «ὧν *ἤρξατο* ὁ Θεὸς *ποιῆσαι*» (οἱ Ο, καθ᾽ ὅλους τοὺς κώδηκας· τὸ δ᾽ ἑϐραϊκὸν (καὶ ἡ Βουλγάτα), «ὧν *ἐδημιούργησεν*, ἵνα ποιήσῃ» (creaverat, ut faceret· ἑϐρ. bara la–assoth)· ἄλλοι τοῦτο ἐξηγοῦσι, *παρήγαγε ποιῶν*· ἄλλοι, *νεωστὶ πεποίηκεν*· ἄλλοι, *ὧν ἐποίησεν ὁ Θεὸς ἐγκύπτων* (creaverat incumbendo)· οἱ δέ τινες, καὶ «*ἐμόχθησε τοῦ ποιεῖν*»· σημαίνει δὲ τὸ ἑϐραϊκὸν assa (ποιεῖν) καὶ τὸ *μοχθεῖν* (βλ. Ἐκκλ. ϐ, 11) (γ). Καὶ λοιπὸν (κατ᾽ αὐτοὺς), τρόπον τινὰ, *ἐμόχθησεν* ἐν τῷ ποιεῖν ὁ τῶν ὅλων

ἐ τ έ λ ε σ ε; (Ζητ. να). Ἀλλὰ τί κοινὸν τούτοις καὶ τῇ κατὰ λέξιν ῥήσει τῆς Γραφῆς; Μόνον τὴν διάνοιαν ὁ Ἀθανάσιος ἐξέφρασε συντόμως ἅμα καὶ ἀ κ υ ρ ο λ ο γ ῶ ν· ἐ τ έ λ ε σ ε γὰρ εἶπε τὴν κτίσιν ἀντὶ τ ε λ έ σ α ς (ἐν ἓξ ἡμέραις) κατέπαυσε τ ῇ ἑ ϐ δ ό μ ῃ (βλ. Φιλόπ. Κοσμοπ. ζ, 14). Καὶ μάρτυς αὐτὸς ὁ Ἀθανάσιος, ὅστις οὐδαμοῦ τῶν αὐτοῦ συγγραμμάτων εἶπε σ υ ν ε τ έ λ ε σ ε τ ῇ ἑ ϐ δ ό μ ῃ, ἀλλὰ μόνον κ α τ έ π α υ σ ε ν ὁ θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ (βλ. Σύνοψ. κεφ. α. Γένεσ.). Ἀλλ᾽ ἐπάνιμεν ἐπὶ τὴν ἐπιστολήν. Ὡς ὁ Κοτελέριος, ἀπαραλλάκτως καὶ ὁ Λεμοῦνος ἐξέδωκε τὸ ἀνωτέρω σφάλμα ἐν τῇ τοῦ Βαρνάϐα ἐπιστολῇ (Le Moyen, Var. Sacr. vol. 1. p. 40. πρϐλ. καὶ vol. 2. p. 845, 846). Ὑπὸ δὲ τῆς ἐκδόσεως τοῦ Κοτελερίου πλανηθεὶς καὶ ὁ σοφὸς Πλύσκης (ὡς καὶ Γράϐης προ αὐτοῦ, epist. ad Mill. καὶ Μαγγέϋς, not. εἰς Φίλων.) ἐπίστευσεν ὡς γνησίᾳ τῇ τοῦ Βαρνάϐα γραφῇ (σελ. 24). μνημονεύει δὲ καὶ τὴν εἰρημένην τοῦ Ἀθανασίου περικοπήν. Προστίθησι δὲ ὅτι καὶ Θεόφιλος ὁ Ἀντιοχείας ἔχει τὸ σ υ ν ε τ έ λ ε σ ε τῇ ἑϐδόμῃ. Ἀλλὰ καὶ τοῦτο λάθος. Ἰδοὺ τοῦ Θεοφίλου αἱ λέξεις αὐταί. «Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕ κ τ ῃ τὰ ἔργα αὐτοῦ ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑϐδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ» κτλ. Θεόφιλ. πρὸς Αὐτόλυκ. Βιϐλ. Α. §. 11. σελ. 381, ἐν ἐκδόσ. Ἰουστίν. Venet. 1747. βλ. καὶ Holmes not. ad. Gen. h. l.

(α) Παρὰ Δρουσίῳ Annot. in Genes h. l. βλ. καὶ Crit. Sacros. T. I. σελ. 59 ἐκδ. Londin. 1660.

(ϐ) Morinus, Lud. Cappellus, J. Vossius, Houbigant, Simonius, Ilgen, κτλ.

(γ) Βλ. Gesen. Lexic. Hebraic. p. 172, 799. — Schulz Schol. ad h. l. — F. J. V. Maurer, Comment. Grammat. critic. in V. Test. Lipsiae, 1832. — Plüschke ub. supr. p. 24. Οὕτω καὶ παρ᾽ Ἕλλησι, τὸ πονεῖν, καὶ κάμνειν, καὶ τὸ λατ. elaborare· καὶ τὸ γερμ. machen συγγενεύει τῷ μ ο γ ε ῖ ν, μοχθεῖν, κτλ.

δημιουργὸς, ὃς εἶπε, καὶ ἐγενήθησαν· *ἐνετείλατο*, καὶ ἐκτίσθησαν» (Ψαλμ.). Οὕτω καὶ ὁ Κέλσος ἔλεγεν, ὅτι ὁ Θεὸς «ὥσπερ τις ἀτέχνῶς πονηρὸς χειροτέχνης *ἐκκαμὼν*, πρὸς ἀνάπαυσιν ἀργίας (τῆς ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ) ἐδεήθη» (α). Οἱ μὲν οὖν Ο καὶ ἀνέγνων ὡς ἡρμήνευσαν γνησίως καὶ σαφῶς. Συνήθης δ' αὐτοῖς ἡ φράσις· οἷον «ἤρξαντο ποιῆσαι» (Γενέσ. ια, 6)· «ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεθαι» (Γενέσ. ς, 1), «ἤρξατο ἔρχεσθαι» (μα, 54), «ἤρξατο ὁ κύριος ἐξαποστέλλειν» (Δ, Βασιλ. ιε, 37) κτλ. Οὕτω καὶ «μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς» (Λουκ. γ, 8)· «ἄρξησθε ἔξω ἑστάναι» Λουκ ιγ, 25) φράσις ἑβραΐζουσα ἀντὶ τῶν ἁπλουστέρων *ἐποίησεν*, *ἐγένοντο* κτλ. τὸ δ' *ἄρχομαι* πλεονάζει (β). Τὸ δ' ἑβραϊκὸν ἐξηγείτωσαν, ὅπως ἂν ἐξηγῶσι ῥαββινισταὶ μαχόμενοι πρὸς ἑαυτοὺς καὶ διαφωνοῦντες. Διατείνονται δὲ μάλιστα ὅτι τὸ *βαρὰ* σημαίνει τὸ ἐκ τοῦ μηδενὸς ποιεῖν, τὸ δὲ *ἀσσὰ* (ποιεῖν) ἔχει πλατυτέραν σημασίαν, σημαῖνον καὶ τὸ παράγειν ἐξ ὕλης προϋπαρχούσης, ἐφ' ᾧ καὶ τοὺς Ο ἔψεξαν ὅτι μεθηρμήνευσαν τὸ *βαρὰ* διὰ τοῦ *ποιεῖν* ἐν τῷ «*Ἐν ἀρχῇ ἐποίησε*» καὶ ἀλλαχοῦ· ἀλλὰ περὶ τούτου προείπομεν (Βιβλ. Β. κεφ. ια. σελ. 718) (γ). Ἐπιλέγομεν

(α) Παρ' Ὠριγέν. κατὰ Κέλσ. ς. §. 61. σελ. 679 ἐκδ. Delarue.

(β) Οἶδε τοῦτον τὸν πλεονασμὸν καὶ τῶν κατωτέρω χρόνων ὁ ἑλληνισμός· «Διώκειν αὐτὴν ἤρξατο» (Ἀπολλόδ. γ, 14. 6. πρβλ. καὶ Ἡρωδιαν. α, γ. 2. Οὕτω καὶ οἱ Λατῖνοι· ὡς ὁ Terent. Andr. V, 1, 2, coepi adire, ἀντὶ adij, καὶ Sallustius κτλ. Βλ. Obearij, De stylo N. Test. p. 17 seq. καὶ Grotij not. in Luc. 3. 8.

(γ) Περὶ τοῦ ποιεῖν ἐσημείωσε καὶ ὁ Προκόπιος τὰ ἑξῆς· «Τὸ γὰρ ἐποίησεν, ἐπειδὴ λέγεται καὶ ἐπὶ τῶν ἔκ τινος γιγνομένων, οἷον ὅτι ἐκ σιδήρου δρέπανον, ἤ τι τοιοῦτον ὁ τεχνίτης ἐκποίησε, δέδωκέ τισι λαβὴν τοῦ λέγειν, ὡς Μωϋσῆς ἐξ Αἰγυπτίων μαθὼν ἐξ ὕλης προϋποκειμένης γεγονέναι τὸ πᾶν, εἰκότως εἶπεν ἐποίησεν. Ὧν ἀγνοοῦντες τὴν συκοφαντίαν οἱ ἑρμηνεύσαντες, ἐποίησεν εἶπον (Προκοπ. Γαζ. ἑρμην. εἰς Γένεσ.). Καὶ τοῦτον μὲν τὸν λῆρον τῶν συκοφαντῶν αἱρετικῶν (οἷος ἦν καὶ Ἑρμογένης ἐκεῖνος ὁ ἐμβρόντητος· βλ. Θεοδώρητ. Αἱρετ. κακομυθ. Α. 12. σελ. 207. τόμ. δ. ἐκδ. Lutet. 1642) ἀνεμάσσησαν ἐλεεινῶς καὶ νεώτεροί τινες ὑλομανεῖς σοφοί· Ὁ δὲ Προκόπιος λέγων ὅτι τὸ ἐποίησε λέγεται» ΚΑΙ ἐπὶ τῶν ἔκ τινος γινομένων, φανερός ἐστι, ΚΑΙ ἐπὶ τῶν ἐκ τοῦ μηδενὸς γινομένων ὁμολογῶν τὴν σημασίαν τοῦ ποιεῖν. Ὁ δὲ Φι-

δὲ καὶ ὧδε· ὅτι τὴν τοιαύτην σημασίαν ἀπέδωκαν εἰς τὸ βαρὰ, κατὰ προκατάληψιν, ἀφ᾽ οὗ εἶδον, ὅτι τοῦτο τὸ ῥῆμα πρῶτον ἀπαντᾷ ἐν ἀρχῇ τῆς ἱερᾶς ἱςορίας τῆς *ἐκ τοῦ μηδενὸς* δημιουργίας τῶν ὄντων. Ἔστι δὲ κυρίως τὸ πολύκροτον τοῦτο *βαρὰ* ταυτοσήμαντον πολλάκις τοῦ *ἀσσά*, καθὼς καὶ τὸ *ποιεῖν* τοῦ *κτίζειν* καὶ *δημιουργεῖν* (ἐκ τοῦ μηδενός). Κατ᾽ αὐτὸ τὸ πρῶτον κεφάλαιον τῆς Γενέσεως (α, 31), ὅπου οἱ Ο ἔχουσι «πάντα ὅσα *ἐποίησεν* (ὁ Θεὸς)», τὸ ἑβραϊκὸν οὐκ ἔχει *βαρὰ*, ἀλλὰ *ἀσσά*. Καὶ πάλιν ἐν μὲν τῷ « *ποιήσωμεν ἄνθρωπον* » (α, 26), τίθησι καὶ τὸ ἑβραϊκὸν τὸ ἰσοδύναμον *ἀσσά*· ἐν δὲ τῷ ἐφεξῆς, « *καὶ ἐποίησεν* ὁ Θεὸς τὸν ἄνθρωπον » (α, 27) τίθησι πάλιν τὸ *βαρὰ* (πρβλ. καὶ Γενέσ. α, 7, 16. β, 2. γ, 1. ε, 1. Ψαλμ. ϙε, 5: ργ, 19· ὅπου γέγραπται τὸ ἀσσὰ ἀντὶ τοῦ *βαρὰ*)· οἱ δὲ Ο, πανταχοῦ γράφουσιν

λόπονος οὐκ ὀρθῶς ἔλεγεν, ὅτι ποιεῖν ἐστι τὸ κατὰ ποιότητα μεταβάλλειν· ὅθεν (φησὶ) καὶ Ἀριστοτέλης οὐκ εἶπε τὸν θεὸν ποιητὴν εἶναι, ἢ ποιητικὸν αἴτιον τοῦ κόσμου » (εἰς τὸ περὶ Γενέσ. κεφ. α). Ἀλλ᾽ ὅτι τὸ ποιεῖν εἶχε καὶ παρ᾽ Ἕλλησι τὴν σημασίαν τῆς ἐξ οὐκ ὄντων παραγωγῆς, μαρτυρεῖ Πλάτων, εἰπὼν τὸν Θεὸν « ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς» (περὶ Νόμ. 1. σελ. 608· πρβλ. καὶ Κλήμεντ. Στρωματ. ε. σελ. 432. Εὐσέβ. Εὐαγ Προπαρ. ιγ. σελ. 392). Εἶπε καὶ Θαλῆς ὁ σοφὸς κάλλιστον τὸν κόσμον, ὅτι ποίημα Θεοῦ. Ὁ δὲ θεῖος πάλιν Ἰουστῖνος ἐκ τοῦ Πλάτωνος ἔγραψεν, ὅτι «Ὁ μὲν ποιητὴς οὐδενὸς ἑτέρου προσδεόμενος, ἐκ τῆς ἑαυτοῦ δυνάμεως καὶ ἐξουσίας ποιεῖ τὸ ποιούμενον· ὁ δὲ δημιουργὸς τὴν τῆς δημιουργίας δύναμιν ἐκ τῆς ὕλης εἰληφὼς, κατασκευάζει τὸ γιγνόμενον» (Λόγ. πρὸς Ἕλλην. σελ. 23). Ὅθεν καὶ ποιητὴν τῶν αἰώνων» (Γρηγ. Ναζ. πρβλ. Ἑβρ. α, 1), καὶ ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων ὑμνεῖ τὸν Θεὸν ἡ τοῦ Χριστοῦ Ἐκκλησία. Λέγεται δὲ ὅμως καὶ κτίστης, καὶ δημιουργὸς ὁ τῶν ὅλων ποιητής (Θεόφιλ. πρὸς Αὐτόλυκ. α. πρβλ. Ἀθηναγ. Ἀπολογ. κϛ. 14). « Τὸ γὰρ ποιῆσαι τῷ κτίσαι ταὐτόν ἐστι » (Γρηγ. Νύσ. λόγ. κατ᾽ Εὐνομίου. πρβλ. Κυρίλ. Ἀλεξανδρ. Θησαυρ. σελ. 156. τ. ε). Ὅθεν καὶ κτίσις ἐν τῇ Γραφῇ λέγεται «ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγή » (Φώτ. ἀναγν. σωζ). Καὶ πάλιν, «ὁ Θεὸς ψιλῷ τῷ βούλεσθαι δημιουργεῖ » (Κλήμ. Προτρεπτ.), τουτ. τὰ μὴ ὄντα ποιεῖ (Ἡσύχ. Λεξ. δημιουργεῖ). Ὥστε τὰ ῥήματα ποιεῖν, κτίζειν, δημιουργεῖν, ἀδιαφόρως ἐπὶ Θεοῦ τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παράγειν σημαίνουσιν ἐν τῇ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ (Ματθ. ιθ, 4. Μάρκ. ι, 6. Πράξ. δ, 24. Μαρκ. ιγ. 19. Ῥωμ. α, 25. κτλ.). Οὕτω καὶ τὸ λατ. creo, ἐκυριολεκτήθη καὶ ἐπὶ τοῦ τὰ μὴ ὄντα ποιεῖν, μηδὲν ἕτερον κυρίως σημαῖνον, ἢ ἁπλῶς τὸ ποιῶ, δημιουργῶ (ἐκ τοῦ ἀρχαίου ἑλληνικοῦ κρέω, τὸ τρέφω κτλ. βλ. Ῥείμ. λ. Κράω)· ὅθεν καὶ τὸ cresco (αὔξω).

ἐποίησε· καὶ πάλιν ἔστιν ὅπου τὸ *βαρὰ* ἐξελλήνισαν καὶ διὰ τοῦ συνωνύμου *κτίζω*. (Δευτερ. δ, 32· Ψαλμ. ν, 11 κτλ.) (α).

Κεφ. β, 4. «Αὕτη *ἡ βίβλος* γενέσεως οὐρανοῦ» κτλ. (οἱ Ο,

(α) Ὅτι τὸ βαρὰ οὐ σημαίνει κυρίως τὸ ἐκ τοῦ μηδενός τι ποιεῖν, ὁμολογοῦσι καὶ τῶν ἀρχαίων ῥαββίνων συχνοί (βλ. Simon. Hist. Crit. V. Test. L. II. c. 5). καὶ ὁ Gesenius (Lexic. Hebraic. p. 171 καὶ 799) λέγει μὲν ὅτι τὸ βαρὰ σημαίνει καὶ τὸ δημιουργεῖν (ἐπὶ θεοῦ) κτλ. οὐ προσέθηκεν ὅμως καὶ ὡς φύσει κυρίως ἐνοῦσαν αὐτῷ τὴν (ἥν τινες ἀπαιτοῦσιν) ἐκ τοῦ μηδενὸς ποιεῖν σημασίαν, ἀλλὰ μόνον τὴν τοῦ νέον τι παράγειν (novi quiddam producere. σελ. 172), καὶ ὡς ἂν εἴποις, νεουργεῖν, καινίζειν, καινοποιεῖν κτλ. Ὁ δὲ Πλύσχης ἐξοριστέον ἔκρινεν ἐξ ὅλου τοῦ α, κεφαλαίου τῆς ἑβραϊκῆς Γενέσεως τὸ βαρὰ, ἀντικαθιστῶν τὸ ἀσσὰ, ὃ φησὶν ἀνέγνων οἱ Ο, γράψαντες πανταχοῦ ποιεῖν, τὸ δὲ βαρὰ (φησὶν) οὐκ εἶχεν ἐξ ἀρχῆς ὁ ἑβραῖος κώδηξ ἐν τῇ τῆς κτίσεως ἱστορίᾳ· ἐπειδὴ δὲ διεφέροντο οἱ Ἰουδαῖοι περὶ τοῦ δόγματος τῆς τοῦ παντὸς δημιουργίας εἴτ᾽ ἐξ οὐκ ὄντων (β. Μακκ. ζ. 28), εἴτ᾽ ἐξ ἀμόρφου ὕλης (Σοφ. Σολομ. ια, 17) ἐγένετο, διασκευαστής τις ἐπελθὼν ἐκ τῶν μὴ πρεσβευόντων τὴν τῆς ὕλης αἰωνιότητα, ἔτρεψε πολλαχοῦ εἰς τὸ bara τὸ καθολικώτερον καὶ πρὸς παντοῖα φιλοσοφούμενα ῥᾳδίως μεταπῖπτον ἀσσά· ἡ δὲ παραδιόρθωσις αὕτη γέγονε (μετὰ τοὺς Ο) πρὸ τῶν Ἀκύλα καὶ Συμμ. καὶ Θεοδοτ. χρόνων, οἵτινες κτίζειν ἔγραψαν ἀντὶ τοῦ παρὰ τοῖς Ο ποιεῖν» κτλ. (Plüschke l. c. pag. 29—30). Ἀλλ᾽ ὅτι μὲν Ἰουδαῖοι διασκευασταὶ (οὓς ὁ Τοίπλερος ἐζήτει παρὰ τοῖς Ο) κατέχραναν πολλαχοῦ τὸ ἑβραϊκὸν, ὀρθῶς εἶπεν ὁ Πλύσχης, καὶ ἄλλοι πρὸ αὐτοῦ (βλ. ὄπισθ. κεφ. β. §. κγ.). Ὅτι δὲ καὶ τὸ assa μετέστρεψαν πολλαχοῦ εἰς τὸ bara, μάτην (νομίζομεν) ὁ σοφὸς ἀνὴρ ὑπενόησε· τί γὰρ ἂν ὠφέλησαν, εἴγε καὶ τὸ βαρὰ μήτε τὸ ἐκ τοῦ μηδενός τι ποιεῖν σημαίνει (ὡς καὶ αὐτὸς ὁ Πλύσχης διαβεβαιοῖ σελ. 30), καὶ συνωνυμεῖ πολλαχοῦ πρὸς τὸ ἀσσὰ, καθὰ προείπομεν; ἀπεδοκίμασε δὲ τὴν γνώμην τοῦ Πλύσχου καὶ Θήρσιος ὁ νεώτερος (De Pentat. vers. Alexandr. p. 58). Ὅτι δὲ τέλος, τὸ ἐν τῇ Σοφίᾳ τοῦ Σολομ. (ια, 17) «ἡ χείρ σου ἡ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης» σημαίνει τὸ τῆς ὕλης αἰώνιον καὶ ἀνίδεον, τοῦθ᾽ ἡμεῖς ἀπαυδῶμεν, καὶ μάλ᾽ αὖθις ἀπαυδῶμεν, καὶ ἀποφάσκομεν πρὸς τὸν σοφὸν Βαταυόν. Οὐδὲν γὰρ ἕτερον ἡ ἄμορφος ὕλη σημαίνει ἐνταῦθα, εἰ μὴ τὰ τῆς Γενέσ. α, 2. δηλαδὴ, τὸ τῆς γῆς ἀόρατον καὶ ἀκατασκεύαστον (τὸ ἑβρ. Tochu va bochu), καὶ τὸ σκότος τὸ ἐπικείμενον ἐπάνω τῆς ἀβύσσου· ταῦτα ἐκ τοῦ μηδενὸς τὸ πρῶτον παραγαγὸν τὸ πρόσταγμα τοῦ δημιουργοῦ, ἔπειτα διεμόρφωσε καὶ κατεκόσμησεν· «ὁμοῦ τε γὰρ ἐνόησεν ὁ θεὸς ὁποῖόν τινα χρὴ τὸν κόσμον εἶναι, καὶ τῷ εἴδει αὐτοῦ τὴν ἁρμόζουσαν ὕλην συναπεγέννησε» (Μ. Βασιλ. εἰς Γένεσ. Ὁμιλ. β. σελ. 19.). Ἀντιλέγει δὲ πρὸς τὸν Πλύσχην καὶ αὐτὴ ἡ Σοφία, ὑμνοῦσα τὸν Θεὸν ὡς «ποιήσαντα τὰ ΠΑΝΤΑ ἐν ΛΟΓΩ αὐτοῦ (κεφ. θ, 1), καὶ πάλιν (κεφ. α, 14) «Ἔκτισε γὰρ εἰς τὸ ΕΙΝΑΙ τὰ πάντα» (δηλονότι ἐξ οὐκ ὄντων). πρβλ. Παροιμ. η, 23—31.

Φίλων, Θεόφιλος Ἀντιοχείας, κτλ.)· τὸ δὲ νῦν ἑβραϊκὸν, «Αὗται *αἱ γενέσεις* οὐρανοῦ» κτλ. τὸ δὲ βίβλος (ἑβρ. *σεφὲρ*) ἐκπέπτωκεν. Ἀλλὰ τοῖς Ο μαρτυροῦσι τὰ ἑξῆς, ἐν κεφ. ε, 1. ὅπου καὶ τὸ ἑβραϊκὸν ἔχει τὸ *αὕτη ἡ βίβλος γενέσεως* (πρβλ. καὶ Ματθ. α, 1) (α). — Αὐτόθ. στίχ. 6. «Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς» (οἱ Ο, τὸ Σαμαρειτανὸν, ἡ Βουλγάτα, ὁ Φίλων, ὁ Ἀκύλας) (β)· τὸ δὲ νῦν ἑβραϊκὸν (ed) ἐξηγοῦσιν *ἀτμὸν* (τὸ Ταργοὺμ, *νεφέλην*)· τὴν ῥαββινικὴν ταύτην ἐξήγησιν (ἣν πολλοὶ τῶν κριτικῶν προτιμῶσι, κακίζοντες τὴν τῶν Ο) ἐμνημόνευσεν ἐν παρόδῳ καὶ ὁ Ἐμέσσης Εὐσέβιος (γ). —

(α) Ὑπῆρχε δὲ πρῴην ἔν τισιν ἀρχαίοις ἑβραϊκοῖς ἀπογράφοις, ὡς φαίνεται ἐκ τοῦ ἐφεξῆς σχολίου· «Τὸ β ί β λ ο ς ἐν τῷ τόπῳ τούτῳ (β, 4) κ α θ ό λ ο υ» (δηλονότι ἐ ν π ᾶ σ ι τοῖς ἀπογράφοις) «οὐ κεῖται παρ' Ἑβραίοις· ἀλλ' ἐπὶ πλάνῃ (ἴσ. ὑπὸ πλάνης) ἑβραίου ἀντιγραφέως, πλανηθέντος ἐν τῇ πλάνῃ ἐκείνου, ἐν ᾧ κεῖται παρὰ μὲν Ἀκύλᾳ, τ ο ῦ τ ο τ ὸ β ι β λ ί ο ν γ ε ν ν η μ ά τ ω ν Ἀ δ ά μ. παρὰ δὲ τοῖς Ο, «α ὕ τ η ἡ β ί β λ ο ς γ ε ν έ σ ε ω ς ἀ ν θ ρ ώ π ω ν» (ε, 1). Ὠήθη γὰρ καὶ ἐν τούτῳ τῷ τόπῳ βιβλίον (ἴσ. τὸ βιβλίον) παραλελεῖφθαι· καὶ οὕτως αὐτὸ προσέθηκε» (Montfauc. Hexapl. Tom. I. p. 16). Οὕτως ὁ ἀνώνυμος οὗτος Σχολιαστὴς ἐνόμιζε προσθήκην ἔν τισι τότε ἑβραϊκοῖς ἀπογράφοις τὴν ἐκ τῶν πλειόνων ἔκπτωσιν τῆς λέξεως. Ὅτι δὲ ταύτην ἀνέγνων καὶ οἱ Ο ἐν τῷ κατ' αὐτοὺς ἑβραίῳ κώδηκι (ὡς ἀνέγνω καὶ Ἀκύλας), τοῦτο μόνον οὐ συνεῖδε.

(β) Ὁ Ἀκύλας ἔχει ἐ π ι β λ υ σ μ ὸ ς (γράφεται καὶ ἐ π ι β λ υ γ μ ὸ ς, ἢ ἐ π ι φ λ υ γ μ ὸ ς) ἐκ τοῦ βλύζω = βρύω, ὅθεν καὶ τὸ κοινὸν β ρ ύ σ ι ς (ἡ πηγή) καὶ Θεοδώρητος «βεβλάστηκεν (ἡ γῆ), ἀρδείαν ἔχουσα, τὴν μετὰ τὸν χωρισμὸν τῶν ὑδάτων ἐναπομείνασαν αὐτῇ νοτίδα τε καὶ ἰκμάδα· οὕτω γὰρ καὶ Ἀκύλας ἡρμήνευσε «Καὶ ἐ π ι β λ υ σ μ ὸ ς ἀνέβη ἐκ τῆς γῆς» κτλ. (Ἀπορ. εἰς Γενέσ. ἐρωτ. κβ. βλ. καὶ ἐν Σειρ. εἰς τὴν Ὀκτάτ. Τ. α. σελ. 59). Σημαίνει δὲ τὸ πηγὴ καὶ «ὕδωρ ἀθροισθὲν ἤδη καὶ ῥεῖθρον γενόμενον» (Γρηγόρ. Νύσ. εἰς Ἑξαήμ.)· καὶ καθολικώτερον, παντὸς ὑγροῦ πολυῤῥοῦν ἀνάδοσιν (βλ. Μάρκ. ε, 29). Οὕτω καὶ πηγαὶ γ ά λ α κ τ ο ς (Σοφοκλ.), δ α κ ρ ύ ω ν, κτλ. Ὁ δὲ Φίλων καὶ περιληπτικώτερον ἐκλαμβάνει τὸ π η γ ὴ (ὡς τὸ ἡ ἵ π π ο ς, κτλ.) «πᾶσαν φλέβα γῆς, πότιμον ὕδωρ πᾶν ὁμηροῦσαν (ἴσ. γρ. ὀμβροῦσαν), ἢ πηγάζουσαν» (βλ. Σειρ. εἰς τὴν Ὀκτάτ. Τ. α. σελ. 60. πρβλ. καὶ Ἀνασκ. τῆς τελευτ. διερμ. Διαθ. σελ. 613).

(γ) Ἡ αὐτὴ ἑβραϊκὴ λέξις (ἡ ed) εὑρίσκεται καὶ ἐν Ἰὼβ λς, 27, ὅπου οἱ Ο, κατ' ἄλλην ἴσως γραφὴν, ἢ προφορὰν ἀναγνόντες, ἢ τὴν σημασίαν διακρίνοντες, ἡρμήνευσαν ν ε φ έ λ η ν. Ἐν δὲ τῷ ἀνωτέρω χωρίῳ καὶ ὁ Πλύσκης ἐξηγῶν τὸ ἑβρ. κατὰ τοὺς Ο, π η γ ὴ ν, ἔκρινεν ὀρθῶς πάντῃ ἀπρεπῆ καὶ μηδόλως τῷ παραδείσῳ τῆς τρυφῆς προσήκοντα ὀνόματα, τὴν νεφέλην, καὶ τὴν ὁμίχλην. Καὶ προστίθησι χαριεντιζόμενος, ὅτι «Καὶ οἱ λατῖνοι πηγὴν ἀναγινώσκοντες (fontem), οὐ φθονοῦσι τοῖς Προτεστάνταις καὶ Ἰουδαίοις παράδεισον συννεφώδη καὶ κάθυγρον, καὶ συσκο-

στίχ. 7, « χοῦν *λαβὼν* ἀπὸ τῆς γῆς (οἱ Ο, ἔκδ. Κομπλουτ. Ἄλδ. Ὀκτατεύχ. Θεοτ. βλ. τὴν ἔκδ. Ὅλμητ. καὶ Φίλων, Ἰώσηπος Α, α, 2: Ἀποστόλων Διαταγ., Εἰρηναῖος, Ὠριγένης, Μ. Ἀθανάσιος, Χρυσόστομος, Γρηγόρ. Νύσσ., Δαμασκ. κτλ.)· τὸ δ' ἑβραϊκὸν, « ἔπλασε τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς »· (ἡ ἔκπτωσις τοῦ *λαβὼν* ἀρχαία· οὕτω καὶ Ἀκύλας, Σύμμαχος, Θεοδοτίων· παρωράθη τὸ λαβὼν καὶ ἐν ἐκδ. Βατικ. καὶ Ἀλεξανδρ.)· ἀλλὰ χωρὶς τούτου, ἡ φράσις φαίνεται χωλαίνουσα. Οὐ τὸν ἄνθρωπον εἰς *χοῦν ἀπὸ τῆς γῆς*, ἀλλὰ τ' ἀνάπαλιν, *τὸν χοῦν εἰς ἄνθρωπον* ἔπλασεν (ὅθεν καὶ ἡ Βουλγάτα μετεποίησε τὴν φράσιν· « Ἔπλασε τὸν ἄνθρωπον *ἐκ χοὸς τῆς γῆς* » de limo terrae· οὕτω θεραπεύουσι καὶ τὸ νῦν ἑβραϊκόν).

Αὐτόθ. στίχ. 19. « Καὶ ἔπλασεν *ἔτι* » (οἱ Ο, τὸ Σαμαρειτ. ὁ Ἄραψ, ὁ Φίλων κτλ.). Λείπει τὸ *ἔτι* ἐκ τοῦ ἑβραϊκοῦ, προϋπάρχον πάντως ἐπὶ τῶν Ο (α). — στίχ. 20. « Καὶ πᾶσι τοῖς πετεινοῖς »

τούμενον ἀτμοῖς » (pag. 33)· ἵνα δὲ καὶ τὸ π η γ ὴ δικαιώσῃ, παραβάλλει τὸν παράδεισον (οὐ πάνυ τοι σεμνῶς καὶ σωφρόνως ποιῶν) πρὸς τοὺς Ἀ λ κ ι ν ό ο υ κ ή π ο υ ς, « ἔνθα ἦσαν δ ύ ω κ ρ ῆ ν α ι » κτλ. (Ὀδυσ. ζ. 129). Ἀλλὰ πάντα ταῦτα μάτην πεφιλολόγηνται. Εἰ γὰρ ἀκριβέστερον ὁ σοφὸς κριτικὸς προσεῖχε τῇ ῥήσει τῆς Γραφῆς, ἔβλεπεν ἂν σαφῶς, ὅτι τὸ « π η γ ὴ δ ὲ ἀ ν έ β α ι ν ε ν ἐ κ τ ῆ ς γ ῆ ς » γέγραπται καὶ πρὸ τῆς ἀνθρώπου πλάσεως, καὶ πρὶν ὁ παράδεισος φυτευθῇ ἐν τῇ Ἐ δ ὲ μ, ἐξ ἧς (φησὶ τὸ λόγιον) κ α ὶ π ο τ α μ ὸ ς ἐ κ π ο ρ ε ύ ε τ α ι ποτίζειν τὸν παράδεισον » (Γενεσ. β, 6—10. πρβλ. Μ. Βασίλειον, Χρυσόστομον, Γρηγόριον Νύσσ. κτλ.). Ἐν δὲ τούτοις σημειωτέον, ὅτι πάντες οἱ τῶν Ο, κώδηκες (πλὴν ἑνὸς καὶ μόνου) γράφουσιν Ἐ δ ὲ μ (Schleusn. Opusc. p. 218). Οὕτω καὶ Ἀκύλας, Σύμμ. Θεοδοτ. (κατὰ τὰ Montf. Ἑξαπλ. τ. α. σελ. 15). Τὸ δ' ἑβρ. κατὰ τὴν Μασορῖτιν γραφὴν (καὶ ὁ Ἱερώνυμος) ἔχει πανταχοῦ Ἐ δ ὲ ν [ὅθεν οἱ νεώτεροι, (Drusius, Rosenmüller, Gesen.) γεννῶσι παραδόξως καὶ τὸ ἑλληνικὸν ἡ δ ο ν ή, τὸ ἐκ τοῦ ἥδω, ἥδων, ὡς κάλλων, καλλονή, χάρμων, χαρμονή κτλ.]. Ὁ δὲ πάλιν Ἀκύλας τὸ κ α τ ὰ ἀ ν α τ ο λ ὰ ς, (« ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς » β, 8. οὕτω καὶ ἑβρ. mi-kedem) ἡρμήνευσεν ἀτόπως « ἀ π' ἀ ρ χ ῆ ς, καὶ ὁ Σύμμαχ. « ἐ κ π ρ ώ τ η ς ». Τούτοις πεισθεὶς καὶ ὁ μακάριος Ἱερώνυμος, μετέφρασεν ἐν τῇ Βουλγάτᾳ ἀπ' ἀ ρ χ ῆ ς (à principio), καί πως ἠσμενίσθη καὶ τὴν ῥαββινικὴν τερατολογίαν ἐκείνην, ὅτι « Πρὶν ἢ ποιήσῃ ὁ Θεὸς τ ὸ ν ο ὐ ρ α ν ὸ ν κ α ὶ τ ὴ ν γ ῆ ν, ἔκτισε τὸν παράδεισον! » (Tradit. Hebr.). Οὕτως ὑπὲρ τὸ μέτρον ἐνίοτε τοῖς ῥαββίνοις ἐπίστευεν ὁ μακάριος· καὶ τοσούτῳ προχειρότερον, ὅσῳ ὀλιγώτερον συνεβουλεύετο τοῖς Ο!

(α) Βλ. καὶ Plüschke. l. c. p. 53. « Τὰ ἑβραϊκὰ χειρόγραφα (λέγει οὗτος,

(οἱ Ο, Φίλων, Βουλγάτα, Σύρος, Ταργούμ. καὶ κώδηκες ἑβραῖοι, Ῥόσσ.). Ἐκ τοῦ κοινοῦ ἑβραϊκοῦ λείπει τὸ *πᾶσι*, προφανῶς ἐκπεσόν.— ςίχ. 23. «Ἐκ τοῦ ἀνδρὸς *αὐτῆς* ἐλήφθη» (οἱ Ο, Σαμαρειτ. Ὄγκελος, Σύμμαχος, ὁ Ἄραψ, ὁ Ἀρμένιος, ὁ Ἴϐηρ, ὁ Σλάϐος, Θεόφιλ. Ἀντιοχ. κτλ.)· τὸ δ' ἑβραϊκὸν, «ἐλήφθη *ἐξ ἀνδρὸς*» (δίχως τοῦ αὐτῆς)· τοῦτο δέ πως ἀοριστίαν ἐκφράζει, ὡς ἂν εἴπερ ἦσαν τότε πολλοί τινες ἄνδρες! ἀντιλέγει δὲ καὶ πρὸς τὰ ἀνωτέρω «ἤγαγεν αὐτὴν (τὴν Εὔαν) ὁ Θεὸς πρὸς τὸν Ἀδάμ». Εἰ δ' οὗτος διωρισμένως εἶπε «τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν *μου*» κτλ., πῶς ἔπειτ' ἀορίστως λέγει «*ἐξ ἀνδρὸς ἐλήφθη* αὕτη»; (οὕτως ἔχει καὶ ἡ Βουλγάτα, καὶ ὁ Θεοδοτίων) (α). —Στίχ. 24. «Καὶ ἔσονται οἱ δύω εἰς σάρκα

σελ. 36), ὅσα εὑρέθησαν καὶ παρεξητάσθησαν, ἀπέχουσι μακρῷ τῶν χρόνων τῶν Πτολεμαϊκῶν» (καθ' οὓς οἱ Ο, μεθηρμήνευσαν). «Καὶ αἱ διαφθοραὶ, ὅσας μετὰ τοὺς Ὠριγένους καὶ Ἱερωνύμου χρόνους ἔπαθε τὸ ἑβραϊκὸν, κοῦφαί τινές εἰσι, παραϐαλλόμεναι πρὸς ἃς ὑπέστη πρὸ τῆς Ὠριγένους ἐποχῆς» (μετὰ τὴν ἐσχάτην δηλονότι καταστροφήν. βλ. ὄπισθ. σελ. 88).

(α) Τὸ ἑβραϊκὸν ἔχει· «**Αὕτη** κληθήσεται ἰ σ σ ὰ, ὅτι ἐξ ἀνδρὸς (ἑβρ. ἴ σ σ) ἐλήφθη». Κατάλληλος ἡ παρωνυμία. Ταύτην καὶ ὁ Σύμμαχος ὕστερον μιμούμενος, ἡρμήνευσε τὸ ἰ σ σ ὰ, ἀ ν δ ρ ὶ ς, αὐτὸς πρῶτος πλάσας τὴν λέξιν. Κατ' αὐτὸν ἔγραψε καὶ ἡ Βουλγάτα τὸ **virago** (ἐκ τοῦ vir, ὁ ἀνὴρ), ἀλλ', ἴσως, ὀρθότερον ἂν ἔλεγε **vira**· τὸ γὰρ **virago** φαίνεται μεγεθυντικὸν, ὡς σημαῖνον γυναῖκα ἀνδρικὴν (οἷον ἀμαζόνα). Ὁ δὲ Θεοδοτίων σπουδάσας διασῶσαι τὴν παρωνυμίαν, ἡρμήνευσε τὸ ἰ σ σ ὰ, λ ῆ μ μ α· ὅπως παρηχῇ πρὸς τὸ ἐ λ ή φ θ η, ἴσως ἐτυμολογῶν ἀτόπως τὸ ἰ σ σ ὰ ἐκ τοῦ ν α σ σ ὰ, ἐναντίον δηλονότι τῆς ὑπὸ τοῦ Μωσέως ὡρισμένης ἐκ τοῦ ἴ σ σ παραγωγῆς τοῦ ἰ σ σ ὰ (ὁ δὲ μακάριος Ἱερώνυμος καὶ τὸ τοῦ Θεοδοτίωνος εὗρηκε καλὸν, μόνον ἵνα παραϐλέψῃ τὴν ἑρμηνείαν τῶν Ο. Δύναται γὰρ, λέγει, τὸ ἰ σ σ ὰ, διαφόρως τονιζόμενον, σημαίνειν καὶ τὸ λ ῆ μ μ α! ἐφ' ᾧ δικαίως ἠγανάκτησε καὶ ὁ Δρούσιος. Annot. in h. l.). Οἱ δὲ, τέλος, Ο, οὐχ ἁπλῶς δι' ἔλλειψιν ἀντιστοιχούσης ἑλληνικῆς λέξεως ἡρμήνευσαν τὸ ἰ σ σ ὰ διὰ τοῦ συνήθους γ υ ν ή· («**Αὕτη** κληθήσεται γ υ ν ὴ, ὅτι ἐκ τοῦ ἀ ν δ ρ ὸ ς αὐτῆς» κτλ. οὕτω καὶ Ἰώσηπος· «τὸ δὲ ἰσσὰ κατὰ τὴν Ἑβραίων διάλεκτον καλεῖται γυνή» Ἀρχ. Α, α.). Φαίνεται μὲν γὰρ οὐ σῷζον τὴν λεκτικὴν ἀκολουθίαν τὸ γυνὴ, ὡς μὴ παρωνυμούμενον ἐκ τοῦ ἀ ν ή ρ (κατὰ τὸ ἰ σ σ ὰ, ἐκ τοῦ ἴ σ σ) ἀλλὰ σῴζει θαυμαστῶς τὴν κυριολεξίαν, ὡς ἐκ τῆς ἀναγκαίως ἀπαιτουμένης ἀναλογίας εἰς ἔμφασιν τῆς σχέσεως τοῦ ἀ ν ή ρ πρὸς τὸ γ υ ν ὴ, κατά τε τὴν τοῦ γένους ἀντιπαράθεσιν, καὶ τὴν σ υ ζ υ γ ί α ν· (ἀμφότερα γὰρ ἐνταῦθα δηλοῖ τὸ γ υ ν ή· καὶ μαρτυρεῖ τὸ παρακολουθοῦν, ἐ κ τ ο ῦ ἀ ν δ ρ ὸ ς α ὐ τ ῆ ς ἐ λ ή φ θ η· κ α ὶ, ἕ ν ε κ ε ν τ ο ύ τ ο υ κ α τ α λ ε ί ψ ε ι, κτλ. στίχ. 24. πρβλ. γ, 21· ὅθεν καὶ ὁ Ὄγκελος ἡρμήνευσε **de marito suo**, τουτ. ἐκ τοῦ ἀνδρὸς, δηλαδὴ τοῦ συζύγου αὐτῆς)· τὸ δὲ ἀ ν δ ρ ὶ ς (ὡς

μίαν» (οἱ Ο, καθ' ὅλους τοὺς Ὀλμητείους κώδηκας, ὁ Φίλων, τὸ Σαμαρειτανὸν, ἡ Βουλγάτα, ὁ Σύρος, Ταργοὺμ Ἱεροσολ. ὁ Ἰωνάθαν, κτλ. καὶ πρὸ πάντων Ματθ. ιθ, 5: Μάρκ. ι, 8. α. Κορινθ. ς, 16: Ἐφεσ. ε, 31). Ἐκ τοῦ ἑβραϊκοῦ κειμένου λείπει τὸ *οἱ δύω*, κακῶς ἐκπεσὸν, ἢ μᾶλλον ἐκβληθέν. Ἐξεκόπη δὲ πάντως μετὰ τὸ 1000, ἔτος μ. Χ. καὶ μαρτυρεῖ τὸ Ἱεροσολυμικὸν Ταργοὺμ, καὶ ὁ Ἰωνάθαν, οἵτινες ἀνέγνων τὴν λέξιν πρὸ τοῦ 1000 ἐν τῷ ἑβραϊκῷ κώδηκι. Κείσθω δὲ καὶ τοῦτο δεῖγμα τῆς καὶ κατόπιν ἐκείνων ἐπεισπεσούσης διαφθορᾶς τοῦ μασοριτικοῦ κειμένου. Φαίνεται δέ πως ἡ παράλειψις τῆς λέξεως οὐ τυχαία, ἑκουσία δὲ μᾶλλον. Τὸ γὰρ *οἱ δύω* περιορίζει *ἀμφοτέρους* τοὺς συζύγους, συνάπτον εἰς *σάρκα μίαν* ἀποκληρωτικῶς· ὅθεν ἀντιβαίνει πρὸς τὴν ἀποδεκτὴν παρ' Ἰουδαίοις πολυγαμίαν. Ἤρξαντο δ', ὡς ἔοικε, πάνυ πρώϊμα τὴν λέξιν ἀποξέειν κατὰ μικρὸν ἐκ τῶν ἀντιγράφων· ὁ γὰρ Χαλδαῖος Ὄγκελος οὐκ ἔχει τὸ *οἱ δύω* (α).

καὶ τὸ Ἱερωνύμειον virago, *ἢ καὶ* virassa, *καὶ* vira) *καθὸ πεπλασμένον, φαίνεται μᾶλλον παίγνιον λέξεως, ἄλλο μηδὲν παρὰ τὴν παρωνυμίαν ἐκφράζον, καὶ διὰ τὴν ἀχρηστίαν τῆς λέξεως σκοτεινόν.* Ὅθεν οὐδ' ὁ Ταρσοῦ Διόδωρος *ἐμνημόνευσε τὸ ἀνδρὶς (Σειρ. αὐτόθ.).* Οὗτος *δὲ σημειώσας τὸ παρὰ τοῖς* Ο, *δοκοῦν ἀνακόλουθον τῆς εἰς τὸ γυνὴ ἑρμηνείας τοῦ ἰσσὰ, ἔπειτα μετέφρασε τοῦτο καὶ λίαν ἀκαταλλήλως, ἡ ἄ ν θ ρ ω π ο ς.* Ἀλλὰ *πῶς ἠδύναντο ἢ οἱ* Ο, *ἢ αὐτὸς ὁ σοφὸς* Διόδωρος *γράψαι «αὕτη κληθήσεται ἡ ἄ ν θ ρ ω π ο ς, ὅτι ἐκ τοῦ ἀ ν θ ρ ώ π ο υ αὐ τ ῆ ς ἐλήφθη»;* Ἔπειτα *τὸ ἄ ν θ ρ ω π ο ς κυριολεκτικῶς σημαίνει τὸ ἑβρ.* Ἀ δ ά μ. Κἂν *δὲ τὸ κατὰ τοὺς* Ο, *φαινόμενον ἀνακόλουθον τῆς παρωνυμίας θεωρηθῇ ὡς ἄφευκτον παρακολούθημα τῆς τῶν διαλέκτων ἐν πολλοῖς ἀσυμβιβάστου διαφορᾶς· ἀλλ' ὅμως ἡ ἑπομένη ἑρμηνεία ἐξηγεῖ τοῦ ἑβραϊκοῦ ὀνόματος τὴν σημασίαν, ὡς καὶ ἐν τοῖς κυρίοις ὀνόμασιν· οἷον «*Ἔτεκε *τὸν* Κ ά ϊ ν, *καὶ εἶπεν ἐ κ τ η σ ά μ η ν ἄνθρωπον» (τὸ γοῦν* Κάϊν = *κτῆσις* ['Ιώσηπ.] *οἷον* Κτησίας)· «Ἐπωνόμασε Μ ω ϋ σ ῆ ν» *ὅτι ἐκ τ ο ῦ ὕ δ α τ ο ς αὐτὸν ἀ ν ε ι λ ό μ η ν».* Ἐπωνόμασε Νῶε· *οὗτος γὰρ διαναπαύσει ἡμᾶς (ὥστε τὸ* Νῶε = *ἀνάπαυσις)· «*Μόνον *γάρ τις ἐπυνθάνετο τὴν τοῦ παιδίου προσηγορίαν, καὶ εὐθέως ἡ ἑρμηνεία τῆς προσηγορίας ἐδιδάσκετο» (Χρυσόστ.).* Τελευταῖον *(ἵνα καὶ τὸ θειότατον παράδειγμα προσθῶμεν), ὁ θεόπνευστος* Εὐαγγελιστὴς *ἱστορῶν τὰ τοῦ* Ἀγγέλου *πρὸς τὸν* Ἰωσήφ. Κ α ὶ κ α λ έ σ ε ι ς *τ ὸ ὄ ν ο μ α α ὐ τ ο ῦ* Ἰ η σ ο ῦ ν, *οὐχ ἡρμήνευσε τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα (προσθεὶς ὅ ἐστι* Σ ω τ ή ρ)· *ἀλλ' εὐθὺς ἐπιφέρει, «αὐτὸς γὰρ σ ώ σ ε ι τὸν λαὸν αὐτοῦ».* Ματθ. *α.* 21. *πρβλ.* Λουκ. *α,* 31 *καὶ β,* 11.

(α) Βλ. *τὸν σοφὸν* Schulz, Schol. ad h. l. *ὁμολογοῦντα τὴν τοιαύτην ὑπὸ τῶν*

Κεφ. Γ. 10. «Ἀδὰμ ποῦ εἶ;». (οἱ Ο, Θεόφιλ. κτλ.) Ἐκ τοῦ ἑβρ. λείπει τὸ *Ἀδάμ*.— Αὐτόθ. στίχ. 11. «Καὶ εἶπεν *αὐτῷ ὁ Θεὸς*» (οἱ Ο)· ἐν δὲ τῷ νῦν ἑβραϊκῷ κεῖται μόνον τὸ «Καὶ *εἶπε*»· καὶ ὁ

Ἰουδαίων ἀποβολὴν τῆς λέξεως ἕνεκα τῆς πολυγαμίας «πρὸς ἣν (φησὶν) οὕτω προφανῶς ἀντιβαίνει». Ἀλλ' ἐπειθ' ὁ αὐτὸς, (οὐκ οἶδ' ὅτι παθὼν) «κἂν τεθῇ φησὶ, κἄν τε μὴ, τὸ λεξείδιον (οἱ δύω), οὐδὲν ἐκ τούτου παρέπεται κώλυμα κατὰ τῆς πολυγαμίας» (πῶς δ' οὐχί; εἴγε, καθὼς εἶπας, προφανῶς ἀντίκειται πρὸς αὐτὴν τὸ λεξείδιον;). Ἀλλ' ἰδοὺ (φησὶν) ὁ Ἀπόστολος εἶπε καὶ περὶ τοῦ πόρνου καὶ τῆς πόρνης τὸ «ἔσονται οἱ δύω εἰς σάρκα μίαν» (α. Κορ. ς. 16).— Ἀλλ' ἀπαντᾷ πρὸς τὸν κριτικὸν παρευθὺς αὐτὸς ὁ Ἀπόστολος. Ἰδοὺ τὸ χωρίον ὁλόκληρον· «Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστίν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο. Ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ» (κατὰ τὸ «προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ». Γενέσ. β, 24) «ἓν σῶμα ἐστίν; ἔσονται γὰρ, φησὶν, οἱ δύω εἰς σάρκα μίαν· Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμα ἐστίν·» (α. Κορ. ς. 15—17). Καὶ πάλιν ὁ αὐτὸς Ἀπόστολος· «Ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ (τοῦ Χριστοῦ), ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. «Ἀντὶ τούτου (φησὶ) καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύω εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν» κτλ. (Ἐφεσ. ε, 30—33). Ὥστε ἡ παρὰ τῷ Ἀποστόλῳ χρῆσις τοῦ ῥητοῦ (τοῦ «ἔσονται οἱ δύω» κτλ.), οὐ μόνον οὐ δικαιοῖ τὴν ἔλλειψιν τοῦ «οἱ δύω», ἀλλὰ καὶ, πᾶν τοὐναντίον, ἀναγκαίαν ἀποφαίνει τὴν λέξιν. Ἐχρήσατο γὰρ ὁ Ἀπόστολος τῷ ῥητῷ πρὸς τρανώτερον ἔλεγχον τῆς παρανόμου καὶ μιαρᾶς συναφείας τῶν δύω πόρνων σωμάτων, τῶν τὰ μέλη τοῦ Χριςοῦ ποιούντων πόρνης μέλη, καὶ δι' ἑνώσεως ἀθέσμου καὶ νόθου διασπώντων τὸν μόνον ἄῤῥητον, καὶ κατά τε σῶμα καὶ πνεῦμα ὁλοσχερῶς ἑνοποιὸν τῆς ἱερᾶς συζυγίας συνδυασμόν. Καὶ πάλιν ἀπέδειξε διὰ τῆς κυρίας τοῦ ῥητοῦ σημασίας τὴν ἱερότητα τοῦ νομίμου καὶ τιμίου καὶ τὴν κοίτην ἀμιάντου γάμου (τοῦ ἑνὸς ἀνδρὸς πρὸς μίαν γυναῖκα), μυστήριον αὐτὸν ὀνομάσας («τὸ μυστήριον ΤΟΥΤΟ), καὶ μέγα προσειπών· καθότι ἐν αὐτῷ διαλάμπει τὸ ὑπερφυὲς μυστήριον τοῦ μετὰ τῆς μιᾶς Ἐκκλησίας ἀφθάρτου καὶ ἀχράντου γάμου τοῦ ἑνὸς καὶ μόνου νυμφίου καὶ θεοῦ καὶ σωτῆρος αὐτῆς· «Μυστήριόν ἐστιν ὁ γάμος, καὶ εἰκὼν ἐστι τῆς ἀγάπης τοῦ Χριστοῦ, ἣν περὶ τὴν Ἐκκλησίαν ἀπεδείξατο» (Χρυσόστομ. Ὁμιλ. νς. εἰς Γεν. κθ. πρβλ. Θεοδώρητ. καὶ Θεοφύλ. εἰς Ἐφεσ. ε, καὶ εἰς α. Κορ. ς. βλέπε καὶ Κλήμ. Στρωμ. γ. σελ. 337). Ὅθεν πάλιν καὶ δεσμὸν τὸν νόμιμον γάμον ὠνόμασεν ὁ Ἀπόστολος, λέγων «δέδεσαι γυναικί»· καὶ, «ἡ γυνὴ τῷ ἀνδρὶ δέδεται νόμῳ»· διὸ (φησὶν) «Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνὴ (α. Κορ. ζ, 4, 27, 39. πρβλ. Ῥωμ. ζ. 2)· «αὕτη δὲ ἡ περικοπὴ μονογαμίαν ἵστησι» (Κλήμ. Στρωμ. γ, 335). Εἰ δὲ καὶ ὁ Μωσαϊκὸς νόμος οὐκ ἀπηγό-

λόγος ἀποβαίνει ἀμφίβολος.—Αὐτόθ. λείπει τὸ *περιπατοῦντος*, ὅπερ ἔχουσιν οἱ Ο, Χρυσόστ. Θεοδώρητ. ὡς εἶχε τότε καὶ τὸ ἑβραϊκόν· καὶ μαρτυρεῖ τὸ ἐν τῷ 8, στίχῳ *περιπατοῦντος*, ὅπερ κεῖται καὶ ἐν τῷ νῦν ἑβραϊκῷ.—στίχ. 14. «*Ἐπὶ τῷ στήθει* καὶ τῇ κοιλίᾳ πορεύσῃ» (οἱ Ο, ὁ Φίλων, Θεόφιλ. Ἀντιοχ.)· ἐν τῷ ἑβραϊκῷ λείπει τὸ *ἐπὶ τῷ στήθει* (α).—στίχ. 17. «Ἐπικατάρατος ἡ γῆ *ἐν τοῖς ἔργοις*

ρευσε ῥητῶς τὴν πολυγαμίαν (ὡς οὐδὲ τὴν διάζευξιν τοῦ γάμου πάλιν ἐκώλυσε, συγκαταβαίνων πρὸς τὴν σκληροκαρδίαν τῶν Ἰουδαίων. Ματθ. ιθ), ἀλλ' ὅμως ὁ πρὸ τῆς παραβάσεως νόμος ὁ φυσικὸς καὶ ἀρχέγονος, ὅστις εὐθὺς μετὰ τὴν τῆς γυναικὸς δημιουργίαν ἐτέθη, τὴν μονογαμίαν διέταξεν. Εἰ γὰρ ἐξ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ δημιουργὸς (τουτέστιν ἕνα ἄνδρα καὶ μίαν γυναῖκα), ἤγαγε δὲ τὴν γυναῖκα πρὸς τὸν Ἀδὰμ αὐτὸς ὁ Θεὸς, ἕνεκα δὲ ταύτης ἐῤῥέθη τὸ «καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα» κτλ. πῶς οὐ μᾶλλον ἀπολείψει πᾶσαν ἄλλην γυναῖκα, διάφορον τῆς πρὸς ἣν κατὰ τὸν θεῖον νόμον ἀδιασπάστως προσκεκόλληται, καὶ μεθ' ἧς ἁρμόζεται ὑπὸ τοῦ κυρίου; (βλ. ὄπισθεν σελ. 414). Οὐκέτι γὰρ εἰσὶ δύο (ὡς ἦσαν πρὸ τοῦ γάμου), ἀλλὰ σὰρξ μία» καθὼς αὐτὸς ὁ τοῦ γάμου νομοθέτης καὶ τελεσιουργὸς ἀπεφήνατο ἐν τοῖς Εὐαγγελίοις (Ματθ. ιθ). Εὑρίσκομεν δὲ καὶ ἐν τῇ παλαιᾷ Γραφῇ παραδείγματα μονογαμίας τῶν πρὸ τοῦ νόμου πατέρων (οἷον τὸν Ἰσαὰκ, τὸν Ἰωσὴφ, τὸν μακάριον Ἰὼβ, αὐτὸν τὸν θεόπνευστον νομοθέτην Μωϋσῆν κτλ.). Καὶ παρὰ τοῖς ἐθνικοῖς δὲ σῴζονται τοῦ πρωτογόνου τούτου καὶ σεμνοτάτου νόμου παραδείγματα. Αὐτίκα γὰρ οἵ τε Ῥωμαῖοι τοῦτον ἐτίμων ἀνέκαθεν, καὶ πρῶτος Ἀντώνιος «ὁμοῦ δύο γυναῖκας ἠγάγετο, πρᾶγμα μηδενὶ Ῥωμαίῳ τετολμημένον» (Πλούταρχ. Δημητρ. καὶ Ἀντων. σύγκρ. §. δ.)· καὶ παρ' Ἕλλησιν ἀπαντῶμεν ἄλλα τοιαῦτα θεωρήματα· ἀλλὰ τὸ μηκύνειν περὶ τούτων τὸν λόγον ἐκτὸς ἐστὶ τοῦ προκειμένου. Τὸ δ' οὖν ἀποστολικὸν ῥητὸν οὐδὲν πρὸς ἔπος ὁ Σχούλζιος ἐπήνεγκεν ὡς ἀπόδειξιν, ὅτι οὐδόλως κωλύει τὴν πολυγαμίαν καὶ προσκείμενον τὸ λεξείδιον τὸ οἱ δύω! Περὶ δὲ τῆς τούτου ἐκπτώσεως ἐκ τοῦ ἑβρ. βλ. καὶ Morin. De Pentat. Samar. p. 286. — Houbigant, not. in l. c. — Michael. Or. Biblioth. T. IX. pag. 99.—Stark. David. carmin. T. 1. p. 106.—Kennicot. Dissert. general. pag. 8. —De-Rossi, Var. Lection. Tom. 1. p. 4. Ὁ δὲ Φαβρίκυς κακῶς κακῷ συμβούλῳ πεισθεὶς, τῷ Σιμωνίῳ (Simon Hist. crit. de V. Test. pag. 75), οὐκ ὤκνησεν εἰπεῖν, ὅτι προσετέθη ὑπὸ τῶν Ο, πρὸς πλείονα τοῦ πράγματος διασάφησιν! (Fabricy, Des Titres primit. Tom. 1. p. 339).

(α) Βλ. Schleusn. Thes. V. Test. v. Στῆθος, Κοιλία: καὶ Michael. Suppl. p. 294.—Schulz, Schol. ad h. l. Ὁ δὲ Ἱερώνυμος μίαν λέξιν μόνον ἀναγνοὺς ἐν τῷ ἑβρ. ὡς ἔχει καὶ τὴν σήμερον, τὴν Gachon (σημαίνει δὲ τοῦτο κοιλίαν ἐπὶ ἑρπετῶν. Gesen. Lex. Hebr. p. 207), στῆθος αὐτὴν ἡρμήνευσε· τὸ δὲ κοιλία λέγει προστεθειμένον ὑπὸ τῶν Ο (Quaest. hebr. πρβλ. καὶ Plüsk. l. c. p. 61). Ἀλλ' οἱ

σου» (οἱ Ο)· τὸ νῦν ἑβραϊκὸν « *διὰ σὲ*» (βλ. Βιβλ. Β. κεφ. ια. σελ. 723). Ἀλλὰ τὴν φράσιν τῶν Ο ἐπικυροῦσι Σύμμαχος, Φίλων, Βουλγάτα, καὶ κῶδηξ ἑβρ. Ῥόσσ. (α), καὶ πρὸ πάντων τὸ παράλληλον « καταράσασθαι τὴν γῆν *διὰ τὰ ἔργα τῶν ἀνθρώπων* » (Γενέσ. η, 21. πρβλ. ε, 29). — στίχ. 24. « Καὶ ἐξέβαλε τὸν Ἀδάμ, καὶ *κατῴκισεν αὐτὸν* ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς, καὶ ἔταξε τὰ Χερουβὶμ » κτλ. (οἱ Ο, πολλαὶ τῶν ἀρχαίων ἑρμηνειῶν, καὶ Φίλων)· τὸ δὲ νῦν ἑβραϊκὸν κεκολόβωται καὶ διέστραπται οὕτω· « Καὶ ἐξέβαλε τὸν Ἀδάμ, καὶ *ἔταξε* κατὰ ἀνατολὰς πρὸς τῷ παραδείσῳ τῆς Ἐδὲμ τὰ Χερουβίμ ».

Κεφ. Δ, 7. « Οὐκ ἐὰν ὀρθῶς προσενέγκης » κτλ. Βλ. Βιβλ. Β. κεφ. ια. σελ. 724.— στίχ. 8. « Καὶ εἶπε Κάϊν πρὸς Ἄβελ· *διέλθωμεν εἰς τὸ πεδίον* » (οἱ Ο, τὸ Σαμαρειτανὸν, Ἀκύλας, Ταργοὺμ Ἰωνάθαν, Ταργοὺμ Ἱεροσολύμων, Βουλγάτα, Σύρος, Ἄραψ, Κόπτης, Ἀρμένιος, Ἴβηρ, Σλάβος, Φίλων, Ἰώσηπος, Κλήμης ὁ Ῥώμης, κτλ.). Ἐν δὲ τῷ νῦν ἑβραϊκῷ κεῖται μόνον τὸ « *Καὶ εἶπε Κάϊν πρὸς Ἄβελ* »· λείπει δὲ παντάπασι τὸ « Διέλθωμεν » κτλ. Ἐξέπεσε δὲ πάντως μετὰ τοὺς Ἀκύλα χρόνους· οὔτε γὰρ Ὄγκελος ὁ Χαλδαῖος, οὔτε μὴν ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων ἔχουσι τοῦτο (κατὰ τὸ σχόλιον τὸ εἰς Γένεσ. αὐτόθ.). Ὅθεν οὐδ᾽ Ἱερώνυμος ἀνέγνω τὸ κόμμα· ὁμολογεῖ δὲ ὅτι κεῖται ἐν τῷ Σαμαρειτανῷ· καὶ ὅμως αὐτὸς κρίνει τοῦτο *περιττὸν*, λέγων (Ζητήμ. εἰς Γενέσ.) « Ἐν τῷ *εἶπε Κάϊν πρὸς Ἄβελ* ὑπακουστέον τὸ, *ἅπερ ἐλάλησεν αὐτῷ ὁ Θεὸς* » (ἐν Γενέσ. δ, στίχῳ 6). Τοσοῦτον παρ᾽ αὐτῷ ἴσχυεν ἡ *ἑβραϊκὴ ἀλήθεια* τοῦ καθηγητοῦ ῥαββὶ *Βαραβανίνου*! Ἀλλὰ πούποτ᾽ ἠκούσθη τοιαύτη ἔλλειψις; (μάτην δὲ ταύτης ὑπερασπίσαι καὶ καθ᾽ ἡμᾶς ὁ Γεσένιος ἐπειράθη, φέρων παραδείγματα μηδὲν πρὸς ἔπος) (β). Ἐξε-

---

Ο καὶ ὧδε τὸ μὲν Gachon κυρίως καὶ ἀκριβῶς κοιλίαν ἡρμήνευσαν· ὡς καὶ ἐν Λευϊτ. ια, 42. (ἀλλαχοῦ δ᾽ οὐχ εὑρίσκεται ἡ λέξις). Τὴν δὲ τοῦ στήθους ἀνάλογον ἑβραΐδα φωνὴν, ἣν καὶ ὧδε ἀνέγνων καὶ ἡρμήνευσαν ὀρθῶς οἱ Ο, ὤφειλον οἱ περὶ τῶν Ἱερώνυμον παρὰ τῶν ῥαββίνων μᾶλλον ἀπαιτεῖν, μηδὲ μεταφράζειν στῆθος τὸ Gachon, ὡς καὶ Ἀκύλας ἀκύρως ἡρμήνευσεν ἐν Λευϊτ. ια, 42.

(α) De-Rossi, Supplem. pag. 3. — (β) Gesen. Lexic. Hebr. pag. 74.

λέγχει δὲ τὸ χάσμα καὶ ἡ τῶν ἑξῆς ἀκολουθία. « Εἶπε Κάϊν πρὸς Ἄβελ· καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ »! (ποία συνάφεια τῆς ἐννοίας;). Τοῦτο τὸ διάσπασμα τινὲς τῶν νεωτέρων αἰσχυνόμενοι, παρεξηγοῦσι τὸ *εἶπε*, μεταστρέφοντες εἰς τὸ *διελέξατο*, *συνελάλησεν*· οἱ δὲ, καὶ εἰς τὸ *ἠπείλησεν*, ἢ *ἐπικράνθη*. Πάντα μάταια παραπλάσματα βαθείας καὶ μέγα χαινούσης ὠτειλῆς! Οἱ δὲ καὶ παντάπασιν ἄτοπον καὶ κωφὸν εὑρίσκουσι τὸ (καθὰ λέγουσι) πρόσθετον τοῦτο, τὸ, « *Διέλθωμεν εἰς τὸ πεδίον* ». *Εἰς τὸ πεδίον* (λέγουσι) διέτριβον, καὶ εἰς τὸ *πεδίον* ὁ Κάϊν προσεκάλει τὸν Ἄβελ; (α). Ἀλλ' εὐθὺς αὐτοὺς ἐξελέγχει τὸ ἱερὸν λόγιον, ἐκ τοῦ σύνεγγυς ἀντιφωνοῦν· « καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς *ἐν τῷ πεδίῳ* » (οὕτως ἔχει καὶ τὸ ἑβραϊκόν)· ἐπικυροῦται δ' ἐκ τούτου συνάμα καὶ τὸ *Διέλθωμεν* κτλ. Εἰ γὰρ ὁ φόνος κατεπράχθη « *ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ* », εἰς τοῦτο λοιπὸν *τὸ πεδίον διῆλθον*, ἄλλοθέν ποθεν πάντως μεταβάντες. (Ἢ πόθεν ἔμαθον οἱ σοφοὶ, ὅτι κατῴκουν ὁσημέραι μετὰ τῶν τέκνων οἱ προπάτορες *εἰς τὸ πεδίον* αἴθριοι; μὴ γὰρ οὐκ εἶχον εἰς κατοίκησιν καὶ ὄρη, καὶ δάση, καὶ νάπας, καὶ ἄντρα, καὶ σκηνὰς οἱ *τοὺς δερματίνους φορέσαντες χιτῶνας*; Ὁ δὲ Κάϊν αὐτὸς πόθεν ἔσχε στεγασμάτων ἔννοιαν; μετὰ γὰρ τὸν φόνον « καὶ πόλιν ἦν οἰκοδομῶν ». Γενέσ. δ, 18). Ἠσθάνθησαν καὶ οἱ ῥαββῖνοι τὴν ἔλλειψιν τοῦ ἑβραϊκοῦ, καὶ ταύτην σιγῇ δακτυλοδεικτοῦσιν. Ἐν πλείστοις ἑβραϊκοῖς χειρογράφοις καὶ ἐκδόσεσιν εὑρίσκεται *χάσμα*, ἢ διάλειμμα (τὸ παρ' Ἰουδαίοις λεγόμενον *πισκὰ*) μεταξὺ τοῦ *εἶπε Κάϊν*, καὶ τοῦ « Καὶ ἐγένετο »· καὶ τοῦτο καταλέγουσιν οἱ Μασορῖται πρῶτον τῶν 25 ἢ 28 παρ' αὐτοῖς ἀριθμουμένων τοιούτων *διαλειμμάτων* (βλέπε ὄπισθεν κεφ. ζ. ϛ. ιζ). Ὁμολογοῦσι τὴν ἔλλειψιν καὶ τῶν νεωτέρων κριτικῶν οἱ ἐπισημότατοι (β).—στίχ. 20. « Πατὴρ .. *κτηνοτρό-*

(α) Βλ. Michael. Or. Biblioth. T. 9. pag. 177.—Semler Aparat. p. 53. Dath. ad h. l. κτλ.

(β) Βλ. Cappel. Annot. ad h. l. Morinus, Houbigant, Less (de cura T. Hebre. p. 42), Stark (David. Carmin. p. 210), Kennicott (Diss. I. p. 332

φων» (οἱ Ο, Φίλων, ἡ δὲ Βουλγάτα, *ποιμένων*, οὕτω καὶ Σύρος, Ἄραψ, καὶ Ὄγκελος)· τὸ δὲ νῦν ἑβραϊκὸν, « πατὴρ . . *κτήσεως* (ποίας κτήσεως ;)· τὴν κολόβωσιν ταύτην ὁμολογοῦσι καὶ οἱ κριτικοὶ, προσθετέον κρίνοντες τὸ *ποίμνης* (βλ. Σχούλζιον). — ϛίχ. 22: «Ἔτεκε τὸν Θόβελ» κτλ. (οἱ Ο, ὁ Φίλων, ὁ Ἰώσηπος κτλ.)· τὸ δὲ νῦν ἑβραϊκὸν, «Ἔτεκε τὸν *Θουβὰλ-Κάϊν*» κτλ. (οὕτω καὶ Ἱερώνυμος)· καὶ ἔστιν ἡ διαφθορὰ τοῦ ἑβραϊκοῦ παλαιὰ (μετὰ τὸν Ἰώσηπον, καὶ τὸν Ἀκύλαν ἴσως). Ὁ παραβλὼψ Ἰουδαῖος μεταγραφεὺς προσέθηκε πρὸς τῷ Θόβελ, καὶ τὸ *Κάϊν* ἐκ τοῦ κατωτέρου ϛίχου, καὶ ἔτεκε τὸ *τερατῶδες* Θουβὰλ-Κάϊν, ὅπερ οὐδαμοῦ τῆς Γραφῆς ἀναγινώσκεται· μάτην δὲ παρέχει πράγματα καὶ τοῖς κριτικοῖς (βλέπε ὄπισθ. Βιβλ. Β. κεφ. ι. σελ. 654) (α). — στίχ. 25· «Καὶ συλλαβοῦσα» (οἱ Ο, Φίλων, Σύρος, καὶ κώδ. ἑβραῖος), ἐν δὲ τῷ κοινῷ ἑβραϊκῷ λείπει ἡ μετοχὴ (ἀλλ' ὑπῆρχε πάντως, ὡς κεῖται καὶ ἐν ϛίχ. 1). — στίχ. 26. « Κυρίου *τοῦ Θεοῦ* » (οἱ Ο, καὶ οἱ δύω Ἄραβες) — ἐκ τοῦ νῦν ἑβραϊκοῦ λείπει τὸ τοῦ *Θεοῦ* (Elohim).

Κεφ. Ε, 24. « Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ, καὶ οὐχ εὑρίσκετο· διότι *μετέθηκεν* αὐτὸν ὁ Θεὸς » (οἱ Ο, Φίλων, κτλ.). Τὸ δὲ νῦν ἑβραϊκὸν (ὡς ἐξηγοῦσι), « Καὶ περιεπάτησεν ὁ Ἐνὼχ μετὰ τοῦ Θεοῦ, καὶ οὐκ ἦν· *ἔλαβε* γὰρ αὐτὸν ὁ Θεός ». Ταῦτα παραβάλλομεν μόνον πρὸς ἀπόδειξιν της ἀκριβείας τῶν Ο. 1) Τὸ *περιεπάτησε μετὰ τοῦ Θεοῦ* (φράσιν ἰδιάζουσαν τῇ ἑβραΐδι διαλέκτῳ), μεθηρμήνευσαν κυρίως καὶ θαυμαστῶς διὰ τοῦ *εὐηρέστησε τῷ Θεῷ*· οὐδ' εἶπον περιπατεῖν, ἢ *βαδίζειν* μετὰ Θεοῦ,

---

καὶ II. p. 341), De-Rossi, Var. Lect. in V. Test. vol. 1. p. 5 — Schulz, Schol. ad h. l. Ὁ Σχούλζιος ἔγραψεν, ὅτι καὶ ἡ τῆς Ἐνετίας ἰουδαΐζουσα μετάφρασις τῆς Πεντατεύχου φέρει σεσημειωμένον τὸ διάλειμμα μετὰ προσθήκης τοῦ ἀντιγραφέως, οὕτως· « Καὶ εἶπε Κάϊν πρὸς Ἔβελον τὸν ἀδελφὸν αὐτοῦ γρ . . . Χ ρ η σ τ ὸ ν κ α ὶ π ο ν η ρ ό ν· καὶ ἐν τῷ εἶναι σφε ἐν τῷ ἀγρῷ » κτλ. Ἀλλ' ἐν τῇ ἐκδόσει τοῦ Ἄμμωνος καὶ ἐν αὐτῷ τῷ πρωτοτύπῳ (ὡς εἴδομεν Ἐνετίησιν αὐτοψεὶ), ταῦτα οὐχ εὑρίσκονται.

(α) Βλ. τοὺς Criticos Sacr. καὶ τοὺς ἐκ Περσῶν κενὰ μυθοπλαστοῦντας Rosenmüll. Sch. ad h. l. πρβλ. Gesen. Lex. Heb. p. 1048.

ὃ παρ' Ἕλλησι καὶ κατ' ἄλλας γλώσσας ἄτοπον προσπίπτει, μηδὲν ἄλλο σημαῖνον, ἢ τὸ *συνοδίτην* εἶναί τινα καὶ ὁμόστιχον *συνέμπορον* τοῦ Θεοῦ *περιπατοῦντος*! Καὶ ὅμως εἶπε καὶ ὁ Ἱερώνυμος **ambulavit cum Deo**! Οὐδ' ἰσοδυναμεῖ κατὰ λέξιν ἡ φράσις (κατὰ τὸν Δρούσιον) πρὸς τὸ λατινικὸν vivere cum Deo, ζῆν σὺν Θεῷ, ἢ μετὰ Θεοῦ, τουτ. *κατὰ Θεὸν* (ὡς τὰ, *σὺν τῷ δικαίῳ*, ἢ *μετὰ νόμων βιοῦν*)· ἄλλο δὲ καὶ τὸ ἑλληνικὸν « *ἕπεσθαι Θεῷ* » (ὅπῃ ἂν ὑφηγῆται), καὶ *ἀκολουθεῖν* (*καὶ ἐπακολουθεῖν Θεῷ*· ὡς καὶ οἱ Ο' Ἰησ. ιδ, 8. πρβλ. καὶ Δευτερ. ιγ, 4). — 2) Ἀντὶ τοῦ ἑβραϊκοῦ *οὐκ ἦν* (ὃ σημαίνει καὶ τὸ μὴ ὑπάρχειν, ἀποθανεῖν, ὡς Ἱερεμ. λη, 15: Ματθ. β, 18), ἔγραψαν μᾶλλον ἐκπεφασμένως *οὐχ εὑρίσκετο* (ἐπὶ τῆς γῆς). — 3) Τὸ ἑβραϊκὸν *ἔλαβεν* αὐτὸν ὁ Θεὸς (ὡς ἐξηγοῦσι τὸ ἑβραϊκὸν **Lakah**) ἐμφαίνει μὲν τὴν ἀπὸ γῆς ἔπαρσιν τοῦ Ἐνὼχ, ἀλλ' οὐχὶ καὶ τὴν ἤδη ζῶντος αὐτοῦ μετάστασιν· ταύτην δὲ παρίστησι τρανώτερον καθ' ἑαυτὸ λεγόμενον τὸ *μετέθηκε* (α). Κεῖται μὲν γὰρ καὶ τὸ ἔλαβεν ἐν τῇ Γραφῇ ἀντὶ τοῦ *ἀνέλαβεν* αὐτὸν ὁ Θεὸς (ζῶντα δηλαδὴ καθὼς τὸν Ἠλίαν), ἀλλὰ μετά τινος προσδιορισμοῦ (ὡς ἐροῦμεν εὐθύς)· ἄλλως δὲ (καθὼς ἐνταῦθα) ἁπλῶς λεγόμενον τὸ *ἔλαβε* (sumsit), ἢ (κατὰ τὴν Βουλγάταν) ἀνείλετο, ἢ ἀνέφερε (tulit ἀντὶ transtulit), ἐπιδέχεται καὶ τὴν σημασίαν τοῦ θανόντα προσέλαβεν (ὡς καὶ τὸ τῆς Συνηθείας, « ἐπῆρεν αὐτὸν ὁ Θεός »)· καὶ οὕτως ἐξηγοῦσι πολλοὶ τῶν σοφῶν κριτικῶν (Ἀβενέσδρα τοῦ ῥαββίνου πρώτου καθηγησαμένου), *πρόωρον θάνατον* ἀποθανεῖν λέγοντες τὸν Ἐνὼχ, ὡς πολὺ βραχύτερον τῶν ἄλλων Πατριαρχῶν βεβιωκότα (β). Ὅτι

(α) Ἄλλο τὸ « ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη » (Σοφ. Σολ. δ, 10), συνημμένον μετὰ τῆς σαφῶς διαγραφομένης τελευτῆς τοῦ δικαίου.

(β) Βλ. Drusij Annot. in h. l. καὶ μάλιστα τὸν Rosenmüll. (Schol. ad h. l.), *ὅστις προστίθησι καὶ ὅτι « τὸ νέον ἀποθνήσκειν ὡς σημεῖον θείας εὐνοίας ἐνομίζετο παρὰ τοῖς ἀρχαίοις (ὡς ἂν εἰ καὶ ὁ πέντε καὶ ἑξήκοντα καὶ τριακόσια ζήσας ἔτη, καὶ γεννήσας υἱοὺς καὶ θυγατέρας* Ἐνὼχ, *ἐτελεύτησεν (ὡς λέγει) νέος!)· καὶ φέρει τούτου μαρτύρια τὰ* Ὀδυσ. Ο, 245, *καὶ τὰ τοῦ*

δὲ ζῶντα τὸν Ἐνὼχ μετατεθέντα παρίστησιν ἐνταῦθα ἡ Γραφή, δηλοῖ καὶ αὐτὸ τὸ πρὸς τὸ *μετέθηκεν* ἀντιστοιχοῦν ἑβραϊκὸν ῥῆμα (τὸ Lakah), ὅπερ κεῖται καὶ περὶ τοῦ ζῶντος ἀναληφθέντος Ἠλιοὺ (Δ. Βασιλ. β, 5, 10). Ἐκεῖ δὲ τοῦτο οἱ Ο, μετέφρασαν ἁπλῶς *ἔλαβεν*, ὡς τρανώτατα ζωγραφουμένης τῆς ἀναλήψεως ζῶντος

Σωκρατικοῦ Αἰσχίνου, Διαλόγῳ γ, §. 10· ἠδύνατο δὲ προσθεῖναι καὶ τὸ Μενάνδρειον « Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος » καὶ ὅσα ἄλλα τοιαῦτα φιλολογούμενα. Ἀλλὰ τί ταῦτα πρὸς τὸ « εὐηρέστησε τῷ θεῷ, διὸ καὶ μετέθηκεν αὐτὸν ὁ Θεός; » τοῦτο παρίστησι τὴν ζῶντος τοῦ δικαίου μετάθεσιν, ὡς ἴδιον γέρας τῆς δι' ἔργων ἀγαθῶν πρὸς θεὸν εὐαρεστήσεως αὐτοῦ· τὰ δὲ παραδείγματα παριστῶσι τὸν πρόωρον ἑκάστου νέου θάνατον, ὡς ἁπλοῦν σημεῖον τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ Θεοῦ. Εἰ δ' εὕρηκεν ἐν τούτοις ποιὰν ὁμοίωσιν ὁ κριτικὸς, ἀλλὰ πολὺ πρὸ τούτων ὤφειλεν ἐκεῖνα μάλιστα μνημονεῦσαι τὰ τῆς Σοφίας « Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι » κτλ. καὶ « εὐάρεστος τῷ θεῷ γενόμενος ἠγαπήθη » κτλ. διὰ τοῦτο ἔσπευσεν ἐκ μέσης πονηρίας » (Σοφ. Σολομ. δ, 7—14. πρβλ. καὶ τὸ τοῦ Ἰὼβ, ια, 2: « εὐλογημένος γυναικὸς γεννητὸς ὀλιγόβιος »). Ἐξ ἐκείνης γὰρ τῆς βαρβάρου (!) φιλοσοφίας ἡ ἔννοια, ἀπὸ τῶν πατριαρχικῶν καταβαίνουσα χρόνων, μετεδόθη καὶ εἰς τοὺς ἐθνικούς. Τοῦτ' αὐτὸ ὤφειλε σημειώσασθαι καὶ περὶ ὧν ἐπάγει ἐξωτερικῶν ἱστορημάτων, ἢ μυθευμάτων, « συγκλώθων ἔριον λίνῳ », καὶ παραβάλλων αὐτὰ πρὸς τὸ περὶ τοῦ Ἐνὼχ γεγραμμένον οὐχ ηὑ (ἢ οὐχ εὑρίσκετο), ὅπως δι' αὐτῶν ἀποδείξῃ καὶ τοῦτον, ὅτι οὐχ ὑπῆρχεν ἔτι μεταξὺ τῶν θνητῶν (ἄφαντος καὶ ἀνάρπαστος αἴφνης ὑπὸ θανάτου γενόμενος), « ὡς (φησὶν) ὁ Ῥωμύλος (Liv. 1, 16. πρόσθες καὶ Πλούταρχ. Ῥωμύλ. §. κζ, κη), ὡς ἡ Σεμίραμις (Διόδ. β, 20), ὡς ὁ Ἡρακλῆς (Λυσίας λόγ. κα), ὡς τὸ σῶμα τῆς κόρης Ἀσπαλίδος (Ἀντων. Λιβεράλ. Μεταμορφωσ. 13) »· ἐπάγει δὲ, τέλος, καὶ τὰ Ὀδυσ. δ, 561 (πρόσθες καὶ τὰ Πλουτάρχ Σερτωρ. §. η. καὶ Παραμυθητ. πρὸς Ἀπολλών.). Εἶχε δὲ προσθεῖναι καὶ ἄλλα παρόμοια, οἷον τὰ περὶ Ἀριστέου τοῦ Προκοννησίου, καὶ Κλεομήδους τοῦ Ἀστυπαλέως, ὁμοίως ἀφαντωθέντων, μυθολογούμενα (Ἡρόδ. δ. 15. Πλούταρχ. Ῥωμύλ. § κη. Παυσαν. ϛ, 9), καὶ τὰ τοῦ Εὐριπίδου (Ἑλέν. 1680 κτλ.), καὶ ὅσα τοιαῦτα, ψυχρὰ μὲν καὶ μειρακιώδη, καὶ τὸ τῆς ἱερᾶς ἱστορίας ὕψος εἰς κενόσπουδον ἐπίδειξιν κατασπῶντα, καὶ μᾶλλον ἁρμόζοντα κατ' ἀνάγκην εἰς τὰς πρὸς ἐθνικοὺς καὶ ἄλλους τῆς ἀληθείας ἀφεστηκότας, καὶ ὅλως περὶ τὴν κοσμοσοφίαν ἐπτοημένους ἀντιῤῥητικὰς ἀπολογίας τῆς εὐσεβείας, ἤπερ εἰς εὐαγεῖς καὶ χριστιανικοὺς τῶν θεοπνεύστων λογίων ὑπομνηματισμούς· πλὴν ἀλλ' ἐπειδὴ « κᾀκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία (καθ' ἣν καὶ ἡ φλυαρία πολλάκις παίδευσις ἔδοξε), τί ἄλλο καὶ ταῦτα τὰ πλάσματά εἰσιν, εἰ μὴ σκιαγραφίαι τινὲς καὶ ἀπηχήματα τῆς πρὸ πολλῶν αἰώνων, πρὶν ἢ ταῦτα πλασθῶσι, γενομένης, καὶ κατὰ παράδοσιν εἰς ἅπασαν τὴν Ἀσίαν διαφημισθείσης μεταθέσεως τοῦ Ἐνὼχ, καὶ τῆς ἐφεξῆς ἀναλήψεως τοῦ Ἠλιού;

τοῦ προφήτου (στίχ. 9, 10)· *Μετέθηκεν* ἔγραψε περὶ τοῦ Ἐνὼχ καὶ ὁ τοὺς Ο, προφανῶς (καὶ ἄκοντος Ὀδίου· βλ. Βιβλ. Β. κεφ. §. ε, κϛ.) ἀείποτε μετὰ χεῖρας ἔχων, καὶ ἀναγινώσκων Σειραχίδης· «Ἐνὼχ, εὐηρέστησε τῷ κυρίῳ, καὶ *μετετέθη*» κτλ. (Σ. Σειρ. μδ, 16. Σημείωσαι δὲ καὶ τὸ *εὐηρέστησε* τῷ κυρίῳ, κατὰ τοὺς Ο, οὐχὶ *περιεπάτησε μετὰ τοῦ Θεοῦ*!)· καὶ πάλιν· «*Οὐδεὶς ἐκτίσθη ἐπὶ τῆς* γῆς τοιοῦτος, οἷος ὁ Ἐνώχ· καὶ γὰρ αὐτὸς *ἀνελήφθη* (τὸ Ἀλεξανδρινὸν, *μετετέθη*) ἀπὸ τῆς γῆς» (Σ. Σειρ. μθ, 14. Βατικ.). Καὶ Φίλων ὡσαύτως (τόμ. Β. σελ. 3, 4. Μ.). Ἀλλὰ καὶ αὐτὸς ὁ Ἰώσηπος τὸ *μετέθηκε* (ζῶντα) διερμηνεύων, «Ἐνῶχος δὲ (φησὶν) *ἀνεχώρησε πρὸς τὸ θεῖον*· ὅθεν οὐδὲ τελευτὴν αὐτοῦ ἀναγεγράφασιν» (α).

(α) Ἰώσηπ. Ἀρχ. Α. γ. 4. Οὕτω καὶ περὶ τοῦ Ἠλιού. «Καὶ Ἠλίας ἐξ ἀνθρώπων ἠφανίσθη· καὶ οὐδεὶς ἔγνω μέχρι τῆς σήμερον αὐτοῦ τὴν τελευτήν» (Ἀρχ. Θ, β. 2). Καὶ πάλιν περὶ ἀμφοτέρων. «Περὶ μέν τοι γε Ἠλία καὶ Ἐνώχου .. ἐν ταῖς ἱεραῖς ἀναγέγραπται βίβλοις, ὅτι γεγόνασιν ἀφανεῖς, θάνατον δ' αὐτῶν οὐδεὶς οἶδεν» (αὐτόθ.). Ἐν δὲ τούτοις σημειωτέον, ὅτι πολλοὶ τῶν κριτικῶν (Γρότιος, Δρούσιος, καὶ ἄλλοι, καὶ οἱ νεώτεροι Σχούλζιος, Ῥοδομύλλερος κτλ.) μνημονεύοντες ταῦτα τὰ χωρία τοῦ Ἰωσήπου γράφουσι μόνον τὸ «ἀ ν ε χ ώ ρ η σ ε πρὸς τ ὸ θ ε ῖ ο ν», καὶ τὸ ἐ ξ ἀ ν θ ρ ώ π ω ν ἠ φ α ν ί σ θ η, καὶ τὸ «ἀ φ α ν ε ῖ ς ἐ γ έ ν ο ν τ ο», τὰ δ' ἐπισυναπτόμενα παρ' Ἰωσήπῳ (ὅτι «ο ὐ δ ε ὶ ς ἔ γ ν ω τ ὴ ν α ὐ τ ο ῦ τ ε λ ε υ τ ὴ ν», καί, «θ ά ν α τ ο ν δ' α ὐ τ ῶ ν ο ὐ δ ε ὶ ς ο ἶ δ ε»), ταῦτα παραλείπουσιν οἱ κριτικοί, τὸ μὲν συντομίας χάριν, τὸ δὲ καὶ ὡς ἄντικρυς ἀντιλέγοντα πρὸς τὴν δόξαν αὐτῶν. Θέλουσι γὰρ οὗτοι πάντες (καὶ μάλιστα οἱ Διαμαρτυρούμενοι), ὅτι πάντως ἡ Γραφὴ διὰ τοῦ «ἔ λ α β ε ν α ὐ τ ο ὺ ς ὁ θ ε ὸ ς» τὸν αἰφνίδιον αὐτῶν θάνατον δηλοῖ· ἐπὶ δὲ τοῦ Ἐνὼχ, καὶ τὸν π ρ ό ω ρ ο ν!! (βλ. ἀνωτέρω)· τί δ' οὐχὶ καὶ ἐπὶ τοῦ Ἠλιού; (οὗτος γὰρ πάντως νεώτερος τοῦ Ἐνὼχ ἐλήφθη). Τὴν δ' ἐν Δ. Βασιλ. β, 9—13 οὕτως ἐναργῶς ἱστορουμένην ἐν συσσεισμῷ, καὶ ἐ ν ἅ ρ μ α τ ι π υ ρ ὸ ς, καὶ ἵ π π ο ι ς π υ ρ ὸ ς, ὡς ε ἰ ς τ ὸ ν ο ὐ ρ α ν ὸ ν μετὰ σώματος ἀνάληψιν τοῦ Ἠλιοὺ παντοίως μεταποιοῦσι πρὸς τὸ φυσικώτερον (ἔξεστι γὰρ αὐτοῖς!), καὶ πλάττουσι τὸν θεῖον προφήτην ἀποθανόντα, ἢ καὶ ἀ λ λ α γ έ ν τ α τὸ βρότειον σῶμα (κατὰ τὸ α, Κορινθ. ιε, 51, 52. ἔξεστι γὰρ πάλιν αὐτοῖς καὶ π ρ ὸ τ ῆ ς ἐ σ χ ά τ η ς σ ά λ π ι γ γ ο ς ἐπισπεύδειν τὴν ἀλλαγήν!). Ἀπέθανε δὲ (φασὶν) ἐν μέσῳ λαίλαπος καὶ βροντῶν καὶ ἀστραπῶν, αἴφνης καταραγεισῶν (εἰς ταῦτα τροπολογοῦσι τὸ π ύ ρ ι ν ο ν ἅ ρ μ α καὶ τοὺς π υ ρ ί ν ο υ ς ἵ π π ο υ ς). Οὕτως οἱ τὸ γράμμα πανταχοῦ κρατοῦντες ἀμφιλαφῶς, πάντα δὲ καὶ τὰ προφανῶς ἀλληγορούμενα περιφεύγοντες, πλάττουσι τἀνάπαλιν ἐν αὐτοῖς τοῖς ἐμπράκτοις καὶ ἱςορικοῖς ἀλληγορίας, καὶ σχήματα, καὶ τρόπους εἰκονικοὺς καὶ συμβολικοὺς, πρὸς ἀναίρεσιν τῶν θαυμασίων τοῦ Θεοῦ, πᾶν μὲν ὑπερφυὲς καὶ θεῖον

Τοιαῦτα καὶ οἱ Ταργουμισταί. Τὸ δὲ Σαμαρειτανὸν ἔχει· «καὶ ἔλαβεν αὐτὸν ὁ ἄγγελος αὐτοῦ» (βλ. Γρότιον, κτλ.). Τελευταῖον (ἵνα σιγήσωσι χείλη θνητῶν, καὶ παλαιῶν ῥαββίνων, καὶ νεωτέ-

---

ἐξανθρωπίζοντες, παρεξισοῦντες δὲ τοῦ θεοπνεύστου γράμματος τὴν ἀλήθειαν πρὸς βεβήλους μυθοπλαστίας. Ἀλλὰ τὰς ματαιολογίας αὐτῶν ἐξελέγχει καὶ ὧδε (καθὼς καὶ ἀλλαχοῦ πολλαχοῦ) αὐτὸς ὁ λόγος τῆς θείας Γραφῆς. Καὶ γάρ, 1) ὅλη τῆς διηγήσεως ἡ φράσις παρίστησιν ἐναργῶς καὶ ἐμπεριστάτως τὴν ζῶντος μετὰ σώματος ἀνάληψιν τοῦ Ἠλιοῦ, καὶ ἰδίως τὰ ῥήματα· οἷον, ἀνάγει (τὸν Ἠλίαν ὁ Κύριος) ὡς εἰς τὸν οὐρανόν»· «λαμβάνει τοῦτον ἐπάνωθεν τῆς κεφαλῆς τοῦ Ἐλισσαίου»· «ἦρεν αὐτὸν πνεῦμα Κυρίου»· «ἀνελήφθη ὡς εἰς τὸν οὐρανόν» (β. Βασιλ. β, 1, 3, 5, 9, 11, 16: πρβλ. γ, Βασιλ. ιη, 12: α, Μακκ. β, 58: Σ. Σειρ. μθ, 14, Βατικ: Ματθ. δ, 1: Πράξ. α, 11)· — 2) Οὐδαμοῦ τῆς θείας Γραφῆς αἱ βρονταὶ καὶ ἀστραπαὶ τροπολογοῦνται συμβολικῶς εἰς ἅρμα καὶ ἵππους πυρός· ἀλλὰ τὸ ἅρμα πυρὸς καὶ ὧδε καὶ ἀλλαχοῦ σημαίνει κυρίως καὶ πραγματικῶς τοῦτ' αὐτό, ἅρμα πυρὸς (πύρινον). Αὐτὸς ὁ διπλῆν τὴν χάριν Ἠλιοῦ διαδεξάμενος Ἐλισσαῖος παρέστησε θεόθεν κύκλωθεν αὐτοῦ ἵππους καὶ ἅρμα πυρός (Δ. Βασιλ. ς, 17. πρβλ. Ἰωσήπ. Ἀρχ. θ, δ. 3). — 3) Ὁ Ἠλίας ἔλεγε πρὸς τὸν Ἐλισσαῖον, «ἐὰν ΙΔΗΣ με ἀναλαμβανόμενον ἀπὸ σοῦ». Καὶ οὗτος αὐτὸν «ΕΩΡΑ, καὶ ἐβόα, Πάτερ, Πάτερ» κτλ. ςίχ. 10, 12). — 4) Οὐ μόνον αὐτὸς Ἠλίας προεῖδε καὶ προεῖπε τὴν μετὰ σαρκὸς ἀνάληψιν αὐτοῦ, ἀλλὰ καὶ Ἐλισσαῖος, καὶ οἱ ἐν Βαιθήλ, καὶ οἱ ἐν Ἱεριχῷ υἱοὶ τῶν προφητῶν (στίχ. 3, 5, 9). — 5) Ὁ Ἐλισσαῖος συνεπορεύετο καὶ συνελάλει μετὰ τοῦ Ἠλιοῦ, τὸ δὲ ἅρμα μετὰ τῶν πυρίνων ἵππων διέστειλεν ἀναμέσον ἀμφοτέρων» (ςχ. 11). εἰ δὲ ταῦτα ἦσαν ἀστραπαὶ κεραυνίας φλογός, πῶς οὐ κατεφλέχθη καὶ Ἐλισσαῖος; — 6) Καὶ αὐτὴ ἡ μηλωτὴ τοῦ Ἠλιοῦ, ἥτις ἀπ' αὐτοῦ ἀναφερομένου ἔπεσεν ὑψόθεν ἐπάνω τοῦ Ἐλισσαίου; (στίχ. 12, 13). — 7) Τὴν ζῶντος μετὰ σώματος ἀνάληψιν τοῦ Ἠλιοῦ μαρτυροῦσι λαμπρῶς οἱ ταύτην προφητεύσαντες πολυπληθεῖς υἱοὶ τῶν προφητῶν, οἵτινες ἠπίσταντο μὲν βεβαίως αὐτὸν ἀναληφθέντα, ἠγνόουν δὲ ποῦ· διὸ καὶ ἀπέστειλαν 50 ἄνδρας εὐζώνους, ζητήσοντας, πού ποτε ἀπήγαγε τὸν Ἠλίαν ὅπερ αὐτὸν ἦρε πνεῦμα Κυρίου (τουτ. θεία δύναμις· στίχ. 16). — 8) Ἐν Α. Μακκ. β, 58 γέγραπται «Ἠλίας ἐν τῷ ζηλῶσαι ζῆλον νόμου, ἀνελήφθη ὡς εἰς τὸν οὐρανόν», ὡς γέρας τοῦ ζήλου δηλονότι λαβὼν τὴν σύσσωμον ἀνάληψιν, εἰδ' ἀστραπόβλητος ἠφανίσθη, τοῦτο λοιπὸν ἔλαβε τοῦ θείου ζήλου βραβεῖον; 9). Ὁ Σειρὰχ ἀριθμήσας τὰς θαυμαστὰς πράξεις τοῦ Ἠλιοῦ, ἐπιφέρει· «Ὁ ἀναληφθεὶς ἐν λαίλαπι πυρός, ἐν ἅρματι ἵππων πυρίνων, ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς καιρούς, κοπάσαι ὀργὴν πρὸ θυμοῦ, καὶ ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν» κτλ. (Σ. Σειρ. μη, 9, 10). Ταῦτα δὲ λέγων ὁ Σειράχ, ζῶντα προφανῶς ἐφρόνει τὸν Ἠλίαν ἀναληφθέντα, καὶ τηρούμενον εἰς καιρούς, οὓς διέγραψεν ὁ πρὸς ὃν σαφῶς ἀναφέρεται προφήτης Μαλαχίας (δ, 5, 6). Οὗτος γὰρ κατέγραψε τὰ περὶ τοῦ Ἠλιοῦ προορισθέντα ταῦτα. «Καὶ ἀποςελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν

ρων κριτικῶν), αὐτὸ τὸ λαλοῦν ἐν τῷ Ἀποστόλῳ θεῖον Πνεῦμα σφραγίζει τὴν ἀκρίβειαν τῶν Ο. « Πίστει Ἐνὼχ μετετέθη *τοῦ μὴ ἰδεῖν θάνατον*· καὶ οὐχ εὑρίσκετο, διότι *μετέθηκεν* αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς *μεταθέσεως* αὐτοῦ μεμαρτύρηται *εὐηρεστηκέναι* τῷ Θεῷ » κτλ. (Ἑβρ. ια, 5). Τὸ μετέθηκεν ἐκφράζουσι καὶ αἱ παλαιαὶ μεταφράσεις, ὁ Σύρος, ὁ Ἄραψ, ὁ Σλάβος, ὁ Ἴβηρ, ὁ Ἀρμένιος, κτλ.

Κεφ. Ϛ, 19. « Καὶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων, καὶ ἀπὸ πάσης σαρκὸς δύο δύο ἀπὸ πάντων εἰσάξεις » κτλ. (οἱ Ο)· τὸ δ' ἑβραϊκὸν

ἡμέραν Κυρίου *τὴν μεγάλην καὶ ἐπιφανῆ* » (*τῆς δευτέρας παρουσίας*). « Ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν » (*καὶ σημειῶσαι καὶ ταῦτα κατὰ λέξιν ἐκ τῶν* Ο *λαβόντα τὸν Σειραχίδην*) « *μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην* » (*τοῦτο εἶπεν ὁ Σειρὰχ κοπάσαι ὀργὴν πρὸ θυμοῦ*).— 10) Ὁ *θεῖος* Παῦλος *μήπω θάνατον ἰδεῖν, τὸν* Ἠλίαν *ἐθέσπισε* (*βλέπε τὴν ῥῆσιν ἄνω: πρβλ. καὶ τὰ περὶ τῆς* Ἠλιοὺ *ἀναλήψεως, παρὰ τοῖς θείοις* Πατράσι. Μ. Ἀθανάσ. *λόγ. εἰς τὴν* Ἀνάληψ: Γρηγόρ. Ναζ. *λόγ. λδ, καὶ λθ*: Χρυσόστομ. *εἰς* Ματθ. Ὁμιλ. *λα, καὶ νζ. καὶ τόμ. ε. σελ.* 600, *καὶ τόμ. ϛ. σελ.* 792 : Θεοδώρητ. *εἰς* Μαλαχ. *δ, καὶ ἐν* Ἀπόρ. *εἰς* Δ, Βασιλ. Ἐρωτ. *ϛ*: Μεθόδ. Πατάρων *λόγ. εἰς τὴν* Ὑπαπαντὴν *σελ.* 418 : Θεοφύλακτ. *εἰς* Ματθ. *ιζ*, Μάρκ. *θ.* Λουκ. *α, κδ* : (*βλ. καὶ* Ὠριγένην, *καὶ ἄλλους ἐν* Σειρᾷ *εἰς δ*, Βασιλ. *β*,—Καὶ *περὶ τοῦ* Ἐνὼχ *βλέπε* Σειρ. *εἰς* Γενέσ. *ε*, 24, *καὶ* Χρυσόστομ. *εἰς* Γέν. Ὁμιλ. *κα* : Εἰρην. *α*, 5, *καὶ δ*, 30. *κτλ.* πρβλ. Tertullian. de Anima c. 50. καὶ adv. Marcion. V. 12, *καὶ* Ἱερώνυμον Comm. in Math. 12, 14. 17, 11 *κτλ.*). Ἀλλ' *οἱ σοφοὶ κριτικοὶ μήτε τὸν* Ἐνὼχ, *μήτε τὸν* (*κατὰ τὸν* Χρυσόστομον) « *πυρίπνουν ἁρματηλάτην καὶ οὐρανοφοίτην* Ἠλίαν » *ζῶντας ἀναληφθέντας ἐθέλουσι, προτιμῶσι δὲ καὶ ὧδε τὰς βεβήλους τοῦ κατ' αὐτοὺς ὀρθοῦ λόγου κενοφωνίας, ἀπατῶντες καὶ ἑαυτοὺς καὶ τοὺς ἀναγνώστας, καὶ συναναφύροντες τὴν θεόπνευστον ἱστορίαν πρὸς τὰ μυθοπλαστούμενα, οἷα ἴδομεν ἀνωτέρω φιλολογοῦντας αὐτοὺς περὶ τοῦ* Ἐνώχ ! Ἄπορον *δὲ, πῶς καὶ ὧδε οὐκ ἀπέδειξαν τὴν περὶ τοῦ* Ἠλιοὺ *γνωμολογίαν αὐτῶν ἔκ τε τῶν* Αἰσχύλου *περὶ τοῦ* Προμηθέως *δεδραματουργημένων* (Αἰσχύλ. *στίχ.* 1024, 1089), *καὶ ἐκ τῶν τοῦ* Σοφοκλέους *περὶ τῆς* Οἰδίπου *τελευτῆς* (Οἰδ. Κολ. 1460 *κτξ.*). Τοιαῦτα *τὰ σοφίσματα τοῦ φρονήματος τῆς σαρκὸς, ἐν οἷς αὐχοῦσιν οἱ κακοδιδασκαλοῦντες ψυχὰς ἀκεραίας καὶ ἀναιτίους, οὐκ εἰδότες ὅτι διπλῆν ἕξουσι τὴν κρίσιν*! Τὰ *δὲ τέκνα τῆς εὐσεβείας καὶ φρονοῦσι καὶ λέγουσι πρὸς* Κύριον *μετὰ τοῦ* Προφητάνακτος » Ἀρχὴ *τῶν λόγων σου ἀλήθεια· ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου* » (Ψαλμ. *ριη*, 15, 18).

συντέτριπται μόνον εἰς τὸ «Καὶ ἀπὸ παντὸς ζῶντος (ἢ ζώου) ἐκ πάσης σαρκὸς, δύω ἐκ πάντων εἰσάξεις» κτλ. Ἀλλ' ἡ κατὰ τοὺς Ο, διαίρεσις ἐπικυροῦται ἐφεξῆς στίχ. 20, ὅπου πάλιν ἐπαναλαμβάνονται τὰ αὐτὰ σχεδὸν (κατὰ τὸ ἔθος τῆς Γραφῆς), μετὰ καὶ τῆς προσθήκης τοῦ, *κατὰ γένος* (τουτ. κατ' εἶδος). Οὕτω καὶ στίχ. 14 καὶ ἐν τῷ ἑβραϊκῷ.

Κεφ. Ζ, 2. «*ἄρσεν καὶ θῆλυ*» (οἱ Ο, Σαμαρ. Βουλγ. κτλ.)· τὸ δ' ἑβραϊκὸν «*ἄνδρα καὶ τὴν γυναῖκα αὐτοῦ*» (ἐπὶ τῶν ἀλόγων ἄτοπον· καὶ τοῦτο διόρθωσις Μασοριτῶν· οὐδὲ κεῖται τοιοῦτο παράδειγμα ἕτερον· βλέπε τὸν Οὐβιγάντην· *Ἔθνος* μὲν γὰρ, καὶ *γένος*, καὶ *φῦλον*, καὶ τ' ἄλλα τὰ τοιαῦτα λέγονται καὶ ἐπὶ ἀλόγων· ἐπὶ δὲ τῆς τούτων συζυγίας οὐδαμοῦ κεῖται τὸ *ἀνὴρ καὶ γυνὴ*, ἀλλ' ἄρσεν καὶ θῆλυ. Οὕτως ἔχει καὶ αὐτὸ τὸ ἑβραϊκὸν ἐφεξῆς (στίχ. 3 καὶ 9). — «*Δύο, δύο*» (οἱ Ο, Σαμαρειτ. Σύρος κτλ. ἔστι δὲ ἑβραϊσμὸς = ἀνὰ δύω· πρβλ. Μάρκ. ϛ, 7, καὶ Λουκ. ι, 1)· αὐτὸ δὲ τὸ ἑβραϊκὸν ἀπέβαλεν ἐνταῦθα τὸν ἑβραϊσμόν· ἔχει γὰρ ἅπαξ μόνον *τὸ δύο*! — στίχ. 3. «Καὶ ἀπὸ τῶν πετεινῶν τοῦ οὐρανοῦ *τῶν καθαρῶν* ἑπτὰ ἑπτά· *καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν, δύο δύο*» (οἱ Ο, τὸ Σαμαρειτ., ὁ Σύρος, κτλ. βλ. καὶ Οὐβιγάντην). Τὸ δὲ νῦν ἑβραϊκὸν καὶ ὧδε κεκολόβωται εἰς τὸ «Καὶ ἀπὸ τῶν πετεινῶν τοῦ οὐρανοῦ *ἑπτὰ ἑπτὰ*», καὶ πλέον οὐ· τὰ δὲ λοιπὰ προφανῶς ἐξέπεσαν· δείκνυσι δὲ καὶ ἡ πρὸς τὸν προηγούμενον στίχον ἀντιπαράθεσις (ὡς γὰρ ἐπὶ τῶν κτηνῶν διακρίνονται τὰ μὲν, *καθαρὰ* [ἑπτὰ ἑπτὰ] τὰ δὲ, *μὴ καθαρὰ* [δύο δύο], οὕτω πάντως καὶ ἐπὶ τῶν πετεινῶν). Ἐξελέγχεται δὲ τοῦ μὲν *τῶν καθαρῶν* ἡ ἔκπτωσις καὶ ἐκ τοῦ μείναντος ἀριθμοῦ, *ἑπτὰ ἑπτά*· ὅλον δὲ τὸ κόμμα τὸ *περὶ τῶν μὴ καθαρῶν* ἀπαιτεῖται πάντως καὶ ὑπὸ τῆς ἐννοίας (ὅσον γὰρ ἐκ τῆς παρούσης τοῦ ἑβραϊκοῦ καταστάσεως, ἀπὸ τῶν μὴ καθαρῶν πτηνῶν οὐκ εἰσήγαγεν ὁ Νῶε εἰς τὴν κιβωτόν!). Καὶ ἐν τοῖς ἑξῆς (στίχ. 8) ἡ αὐτὴ κολόβωσις συνέβη. — στίχ. 11. «Ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός» (οἱ Ο, Ἰώσηπ. Ἀρχ. Α, γ, 3)· τὸ δ' ἑβραϊκὸν τῇ 17 ἀλλ' ἡ

τῶν Ο, ἀνάγνωσις κυροῦται καὶ ἐκ τῶν ἀναλόγων, ἐν κεφ. η, 14. ὅπου καὶ τὸ ἑβραϊκὸν ἔχει τῇ 27 τοῦ μηνός.—ϛχ. 17. «Ὁ κατακλυσμὸς, 40 ἡμέρας *καὶ* 40 *νύκτας*» (οἱ Ο)· ἐν τῷ ἑβραϊκῷ λείπει τὸ 40 *νύκτας*· ἀλλὰ κεῖται καὶ ἐν τούτῳ ϛίχ. 12, ὡς καὶ παρὰ τοῖς Ο.

Κεφ. Η. στίχ. 7. «Ἀπέστειλε τὸν κόρακα, καὶ ἐξελθὼν *οὐκ ἀνέστρεψε*» (οἱ Ο, καθ' ὅλας τὰς ἐκδόσεις καὶ τοὺς Ὀλμητ. κώδηκας, πάντες οἱ Πατέρες, ὁ Σύρος, ἡ Βουλγάτα, κτλ.)· τὸ δ' ἑβραϊκὸν, «*Ἐξῆλθεν ἐξερχόμενος, καὶ ἐπανερχόμενος*» (exiit egrediendo, et redeundo: Μοντάν. οὕτω διώρθωται καὶ τὸ Σαμαρειτ.). Ἀλλὰ τὸ τῶν Ο, *οὐκ ἀνέστρεψε*, βεβαιοῦται τρανῶς καὶ ἐκ τῆς ἀκολουθίας τοῦ λόγου· καὶ γὰρ, 1) τὸ μετὰ τὸ οὐκ *ἀνέστρεψεν* ἑπόμενον «*ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ*» κτλ. δείκνυσι σαφῶς ἀναγκαίαν τὴν ἄρνησιν (δηλονότι οὐκ ἐπανῆλθεν, ἕως οὗ ἐξηράνθη τὸ ὕδωρ, τουτ. οὐδέποτ' ἐπανῆλθε. Χρυσόϛ.). ἐν δὲ τῷ ἑβρ. τὸ *ἐξῆλθεν ἐξερχόμενος καὶ ἐπανερχόμενος* φαίνεται ἐπιεικῶς ἄτοπον· ἄλλοι δ' ἐπεξηγοῦσι τοῦτο, καὶ ἐξελθὼν ἀφίπτατο, καὶ ἐπανίπτατο (evolabat et revolabat. Ῥοδομύλ., Δρούσιος, κτλ.)· ἐπανήρχετο δὲ λέγουσιν οὐκ εἰς τὴν κιβωτὸν, ἀλλ' ἐπὶ τῆς κιβωτοῦ (πρὸς ἀνάπαυσιν). Ἀλλὰ τί μὴ τοῦτον ἐλάμβανεν ὁ Νῶε εἰς τὴν κιβωτὸν (ὡς ἔλαβε καὶ τὴν περιστερὰν ἐπανελθοῦσαν); Εἰ δ' *ἐξῆλθεν* εἰσάπαξ, πῶς ἐξήρχετο *παρατατικῶς*; ἢ καὶ, εἴπερ ἐτρέφετο ἀπὸ τῶν πτωμάτων, τί μὴ καὶ ἐπ' αὐτῶν ἐπανεπαύετο; πόσα τὰ παράλογα!—2) «Καὶ ἀπέστειλε (φησὶ) τὴν περιστερὰν *ὀπίσω αὐτοῦ*» (στίχ. 8), κατόπιν δηλαδὴ τοῦ *μὴ ἐπιστρέψαντος* κόρακος· εἰ γὰρ οὗτος ἐπανήρχετο, πρὸς τί λοιπὸν ἀπέστειλεν ὁ Νῶε καὶ τὴν περιστερὰν ὀπίσω αὐτοῦ, τοῦ ἰδεῖν εἰ κεκόπακε τὸ ὕδωρ; (εἶχε γὰρ ἂν συνεικάσαι καὶ ἐκ τῆς τοῦ κόρακος ἐπιστροφῆς, ὅτι οὔπω ἐκεκοπάκει).—3) Τῶν Ο τὴν ἀνάγνωσιν ἔχουσι καὶ πάντες οἱ ἀρχαῖοι Πατέρες τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας (Χρυσόϛομος, Κύριλλος, Ἱλάριος, Ἀμβρόσιος, Σουλπίκιος, Αὐγουστῖνος, Ἱερώνυμος), καὶ αὐτὸ τὸ α, βιβλ. τῶν Σιβυλλείων ἐπῶν (α)· ἀποδέχονται δὲ καὶ οἱ ὑγιέ-

(α) Ὁ δὲ Ἰώσηπος ἔχει «Ὁ δὲ πᾶσαν τὴν γῆν εὑρὼν ἔτι λιμναζομένην, πρὸς

στερα φρονοῦντες κριτικοί(α). – στίχ. 13. « *Ἐν τῇ ζωῇ τοῦ Νῶε* » λείπει τοῦτο ἐκ τοῦ ἑβρ. δῆλον δὲ ὅτι ἀπαιτεῖται ἐκ τοῦ προηγουμένου ἔτους (ἐν τῷ ἑνὶ καὶ 600 ἔτει), ὅπερ ἀναφέρεται *εἰς τὴν ζωὴν τοῦ Νῶε*· (ὡς καὶ κεφ. ζ. στίχ. 11, ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ)· ἄλλως δὲ τὸ 600 ἔτος ἐνταῦθα μένει ἀόριστον.

Κεφ. Θ. ςίχ. 1. «*Καὶ κατακυριεύσατε αὐτῆς*» (οἱ Ο). ἐκ τοῦ ἑβρ. λείπει· ἀλλ᾽ἀπαιτεῖται πάντως. Ἡ εὐλογία τοῦ Θεοῦ ἀνανεοῦται καὶ πρὸς τὸν Νῶε, οἷον δεύτερον τῶν ἀνθρώπων γενάρχην, οἵα δέδοται καὶ τῷ πρώτῳ γενάρχῃ, τῷ Ἀδὰμ (Γενέσ. α, 28, ὅπου κεῖται τὸ κόμμα καὶ ἐν τῷ ἑβραϊκῷ).–ςχ. 5. «Καὶ ἐκ χειρὸς ἀνθρώπου ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου» (οἱ Ο, ὁ Ἄραψ, καὶ κώδηξ ἑβραῖος) (β)· τὸ δὲ κοινὸν ἑβραϊκὸν, « Καὶ ἐκ χειρὸς ἀνθρώπου, *ἐκ χειρὸς ἀνδρὸς*» κτλ. (ὅπου τὸ δεύτερον προφανὴς ἐπανάληψις τοῦ μεταγραφέως).

Κεφ. Ι. στίχ. 24. Ἀρφαξὰδ ἐγέννησε *τὸν Καϊνᾶν, καὶ Καϊνᾶν* ἐγέννησε τὸν Σαλὰ (οἱ Ο, οὕτω καὶ κεφ. ια, 13, καὶ Α. Παραλ. α, 18 (Ἀλεξ.), καὶ Λουκ. γ, 36). Ἐν δὲ τῷ ἑβραϊκῷ λείπει ὁ Καϊνᾶν οὗτος (βλ. ἐφεξῆς τὸ περὶ χρονολογίας κεφάλαιον).

Κεφ. ΙΑ. στίχ. 8. « Οἰκοδομοῦντες τὴν πόλιν καὶ *τὸν πύργον* » (οἱ Ο)· ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ «καὶ τὸν πύργον»· ἀλλ᾽

Νώεον ἐπανῆλθε » (Ἀρχ. α, γ. §. 5). Εἷς κώδηξ τοῦ Ἰωσήπου, καί τινες τῆς λατινικῆς μεταφράσεως ἔχουσιν· « Οὐκ ἐπανῆλθεν ». Ἀλλ᾽ ὁ Μιχαὴλ ὁ Σικελὸς ἀνέγνω παρ᾽ Ἰωσήπῳ « ἐπανῆλθε » (Σχολ. αὐτόθ.). Ὥστε καὶ ἐπὶ τοῦ Ἰωσήπου ὑπῆρχεν ἐν ἑβραίοις κώδηξιν ἡ νῦν ἀνάγνωσις (εἴπερ ὧδε ἐχρήσατο τῷ ἑβραϊκῷ κειμένῳ ὁ Ἰώσηπος, ὅστις ἄλλως πανταχοῦ σχεδὸν ἀκολουθεῖ τοῖς Ο). Εἰ δὲ καὶ ὁ κώδηξ ὁ ἔχων τὸ οὐκ ἐπανῆλθεν ἀληθεύει, ὁ Ἰώσηπος λοιπὸν ἔγραψεν « Ὁ δὲ [καίτοι] πᾶσαν τὴν γῆν εὑρὼν . . . οὐκ ἐπανῆλθεν » (Ὅτι δὲ τὸ τοῦ Ἰωσήπου κείμενον ἔπαθεν ἐνιαχοῦ τινας λώβας, προείπομεν Βιβλ. Α. σελ. 493).

(α) Βλ. Cappell. Grit. Sacr. p. 660, καὶ Schol. in Genes. h. l.—Bochart. Hieroz. P. II. L. 2. c. 12., Houbigant, Schulz, κτλ. Ὁ Βοχάρτος παραβάλλει καὶ ἐκ τοῦ Αἰλιανοῦ (ἱς. α, 47) μῦθον ἑλληνικόν. « Ὅτι ἄρα ὁ Ἀπόλλων ὑδρευσόμενον ἀποπέμπει (τὸν κόρακα)· ὁ δὲ ἐντυγχάνει λῃΐῳ βαθεῖ μὲν, ἔτι δὲ χλωρῷ, καὶ μένει, ἕως ἂν αὖον γένηται » κτλ. (τοιαῦτα καὶ ὁ Σχολ. Ὑγίνου)· καὶ παράδοξον οὐδὲν, εἰ καὶ ἐκ τῆς φήμης τῶν περὶ τὸν κόρακα τοῦ Νῶε πέπλασαι ὁ μῦθος, ὡς καὶ ἐκ τῆς κιβωτοῦ ἡ τοῦ Δευκαλίωνος κιβωτός, κτλ. (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 153). — (β) Βλ. De-Rossi, Var. Lect. V. Test. Tom. 4. p. 212.

ἔστιν ἀναγκαῖον (ὡς κεῖται καὶ στίχ. 4, 5).—ςίχ. 11, καὶ 13, 15, 17, 19, 21, 23, ἐν τῇ γενεαλογίᾳ ἑκάστου τῶν ἐκγόνων τοῦ Νῶε μετὰ τὸ « ἐγέννησεν υἱοὺς καὶ θυγατέρας » παρὰ τοῖς Ο πρόσκειται τὸ « *καὶ ἀπέθανε* »· ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ ῥῆμα ἐν πᾶσι τοῖς στίχοις. Ἀλλὰ τὸ τῶν Ο ἐπικυροῦται καὶ ἐκ τοῦ ε, κεφαλαίου, ὅπου κἀν τῷ ἑβρ. παρομοίως ἐκφράζεται καὶ τελευτᾷ ἑκάςου τῶν πρὸ τοῦ κατακλυσμοῦ πατριαρχῶν ἡ γενεαλογία. Καὶ αὐτὴ δὲ τῶν ἑκάστου ἐτῶν ἡ ἀπαρίθμησις, μετὰ τὸ *ἐγέννησεν υἱοὺς καὶ θυγατέρας*, ἀπαιτεῖ τὸ *καὶ ἀπέθανεν*, ὡς τοῦ βίου κατακλεῖδα.

Κεφ. ΙΓ, 17. Ἐν τῷ ἑβρ. λείπει τὸ « *καὶ τῷ σπέρματί σου εἰς τὸν αἰῶνα* »· κεῖται δὲ τοῦτο παρὰ τοῖς Ο (ὡς καὶ στίχ. 15 ἐν ἀμφοτέροις τοῖς κειμένοις).

Κεφ. ΙΔ. στίχ. 12. « Ἔλαβον δὲ καὶ τὸν Λὼτ, *υἱὸν τοῦ ἀδελφοῦ Ἀβραὰμ*, καὶ τὴν ἀποσκευὴν αὐτοῦ » (οἱ Ο)· τὸ δ' ἑβραϊκὸν, « Ἔλαβον τὸν Λὼτ, καὶ *πᾶσαν τὴν οὐσίαν αὐτοῦ*, υἱοῦ τοῦ ἀδελφοῦ Ἀβραὰμ ». Ἐσφαλμένη μετάθεσις, ἣν ὁμολογοῦσιν Οὐβιγάντης, Ῥοδομύλλερος, καὶ ἄλλοι. — στίχ. 19 καὶ 20, λείπει τὸ κύριον Ἀβραὰμ (ὅπερ οἱ Ο, καὶ τὸ Σαμαρειτ.).

Κεφ. ΙΕ. στίχ. 21. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ τὸ *Εὐαίους*, ὅπερ ἔχουσιν οἱ Ο· πρβλ. Ἐξόδ. γ, 8: λγ, 2: Δευτερ. ζ, 1· ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ.

Κεφ. ΙΖ. 10. « *εἰς τὰς γενεὰς αὐτῶν* » (οἱ Ο, ὁ Ἄραψ)· τοῦτο λείπει ἐκ τοῦ ἑβραϊκοῦ, ἀλλ' ἡ ἀνάγνωσις τῶν Ο, βεβαιοῦται καὶ στίχ. 7, 9· ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ.— ςίχ. 14· « (περιτμηθήσεται) *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ* » (οἱ Ο, τὸ Σαμαρειταν. ὁ Φίλων, κτλ.) τοῦτο λείπει ἐκ τοῦ ἑβραϊκοῦ, ἀπαιτεῖται δὲ ὑπὸ τῆς ἀκριβείας τῶν λέξεων τοῦ νόμου, καὶ βεβαιοῦται ἐν στίχ. 12, καὶ κα, 4. (βλ. καὶ Οὐβιγάντην, καὶ ὄπισθ. Βιβλ. Β. σελ. 742). — στίχ. 19, « εἶναι αὐτῷ Θεὸς » (οἱ Ο, Βατικ. καὶ Ὀκτάτ. Θεοτ. Ἄραψ, Ἀρμέν. καὶ Κύριλλος Ἀλεξανδρ.). Ἐκ δὲ τοῦ ἑβραϊκοῦ λείπει· ἀλλ' ἡ φράσις μαρτυρεῖται καὶ ἐκ τοῦ προηγουμένου 7 στίχου. (α).

(α) Βλ. De-Rossi, Var. Lect. V. Test. Tom. I. pag. 16.

Κεφ. ΙΗ. 17. Ἀβραὰμ « *τοῦ παιδός μου* » (οἱ Ο, ὁ Σύρος, ὁ Φίλων· βλ. καὶ Ἰουστῖν. Διαλόγ. β. καὶ Χρυσόστομον, κτλ.)· ἐκ δὲ τοῦ ἑβραϊκοῦ λείπει τὸ *παιδός μου*· ἀλλ' εἰς τοῦτο πρώτιστα τὸ *τοῦ παιδός μου* (κείμενον ἀρχῆθεν καὶ ἐν τῷ ἑβραϊκῷ) ἀφορᾷ μάλιστα τὸ ἐν Ἡσ. μα, 8, καὶ Β. Παραλ. κ, 7. « *τῷ ἠγαπημένῳ* Ἀβραὰμ » (πρβ. καὶ Αἴνεσιν τῶν τριῶν παίδων, στίχ. 11). « Καὶ ὁ Ἀβραὰμ φίλος Θεοῦ *ἐκλήθη* (Ἰακώβου Ἐπιστ. κεφ. β, 23). Ὅθεν καὶ Κλήμης ὁ Ῥώμης, ὁ ἀποστολικός· « Ἐμαρτυρήθη μεγάλως Ἀβραάμ, καὶ φίλος προσηγορεύθη τοῦ Θεοῦ » (ἐπιστ. α. §. 17). Τοιαύτη δὲ μαρτυρία οὐδαμοῦ τῆς Γενέσεως γέγραπται ἄλλη, πλὴν τῆς παρούσης. Καὶ Κλήμης ὁ Στρωματεὺς τοῦτο τὸ χωρίον ἔοικεν ἐννοῶν ἐν οἷς λέγει, « Ὁ γάρ τοι *φίλος* Θεοῦ διὰ πίστιν ἐλευθέραν κληθεὶς Ἀβραάμ, οὐκ ἐπήρθη τῇ δόξῃ, μετριοπαθῶν δὲ ἔλεγεν· ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός » (βλ. Γενέσ. ιη, 23–27) (α). – στίχ. 23. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ τὸ « Καὶ ἔσται ὁ δίκαιος ὡς ἀσεβής ». Ἔχουσι δὲ τοῦτο οἱ Ο (καὶ Ἰουστῖνος Διαλόγ. α, Χρυσόστ., Θεοδώρητ., Προκόπ. ἐν Ὀκτατ. Θεοτ.), κυρούμενον καὶ ἐν στίχ. 25, ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ.

(α) Κλήμ. Στρωμ. δ. σελ. 376. πρβλ. Παιδαγ. β, 2. γ, 8. Οὕτω καὶ Φίλων π α ῖ δ α θ ε ο ῦ (κατὰ τοὺς Ο) τὸν Ἀβραὰμ ἀλλαχοῦ ὀνομάσας, εἶπε τοῦτον καὶ φ ί λ ο ν θ ε ο ῦ· « Φίλον γὰρ (φησὶ) τὸ σοφὸν τῷ θεῷ μᾶλλον, ἢ δοῦλον· παρ' ὃ καὶ σαφῶς ἐπὶ Ἀβραὰμ φάσκει « Μὴ ἐπικαλύψω (οἱ Ο, οὐ μὴ κρύψω) ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ φίλου μου ;» (τόμ. α. σελ. 401· πρβλ. καὶ σημ. Mang.). Ὅθεν τινὲς ὑπέλαβον, ὅτι τοῦτο παρὰ τοῖς Ο, ἐγέγραπτο πρότερον ἀντὶ τ ο ῦ π α ι δ ό ς μ ο υ (Βλ. Schulz, Schol. ad Genes. h. l. Schleusn. Thes. V. Test. v παῖς κτλ.). Ἀλλ' ἐπὶ τοῦ Ἀβραὰμ τὸ π α ῖ ς, καὶ φ ί λ ο ς, ἢ ἠγαπημένος θεοῦ, ἐξελαμβάνοντο ὡς ἰσοδύναμα. Οὕτω καὶ ἐν Βαρούχ γ, 36, γέγραπται, « Ἰακὼβ τῷ π α ι δ ὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ » (πρβλ. καὶ β, 20, 28. καὶ Ἡσ. μβ. 1)· καὶ Σχούλζιος ἔκρινεν, ὅτι ἡ πρὸς τὸ τῶν Ο, τ ο ῦ π α ι δ ό ς μ ο υ ἀντίστοιχος ἐκπεσοῦσα ἑβραϊκὴ λέξις ὑπῆρχεν ἢ Eber (παῖς, δοῦλος, θεράπων), ἢ Racham, ἢ γοῦν Ohab (ἠγαπημένος, αὕτη κεῖται περὶ τοῦ Ἀβραὰμ καὶ ἐν τῷ ἑβραϊκῷ, β, Παραλ. κ, 7). Καὶ ὁμολογεῖ ὁ Σχούλζ. τὴν προφανεστάτην ἔλλειψιν τοῦ ἑβραϊκοῦ. Οὕτω καὶ ὁ Μιχαῆλος (Or. Biblioth. T. 4). Ὁ δὲ Ῥοδομύλλερος μάτην ἀνανεύει (Rosenmüll. Schol. ad h. l.).

Κεφ. Κ. στίχ. 2. « Ἐφοβήθη γὰρ εἰπεῖν ὅτι γυνή μου ἐστί· μή ποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως δι' αὐτήν » (οἱ Ο, πρβλ. Ὀκτάτευχ. Θεοτ., Χρυσόσ., καὶ Σλάβ., Ἴβηρ. κτλ.). Ἐκ τοῦ ἑβραϊκοῦ λείπει ὅλον τὸ κόμμα. Ἀλλ' ἡ τῶν Ο ἀνάγνωσις ἐπικυροῦται ἐκ τοῦ ἐφεξῆς 11, στίχου (πρβλ. καὶ τὰ Γενέσ. κϛ, 7. περὶ τοῦ Ἰσαὰκ ἐν ἀμφοτέροις τοῖς κειμένοις). — στίχ. 4. « Ἔθνος *ἀγνοοῦν* καὶ δίκαιον » (οἱ Ο, καθ' ὅλους τοὺς κώδηκας). Ἐν δὲ τῷ νῦν ἑβραϊκῷ λείπει τὸ *ἀγνοοῦν*· ἀπαιτεῖται δὲ ὑπὸ τοῦ λόγου, καὶ μαρτυρεῖται ὑπὸ τοῦ ἐφεξῆς στίχου « ἐν καθαρᾷ καρδίᾳ » (ἀθώᾳ, καὶ *ἀγνοούσῃ* τὸ κακὸν) « καὶ ἐν δικαιοσύνῃ χειρῶν » (ςίχ. 5). Εἰ δ' ὠβέλιστο ὑπ' Ὠριγένους ἡ λέξις (Μοντεφαλκ. βλ. Προκόπ. ἐν Σειρᾷ εἰς τὴν Ὀκτάτευχον ἐκδ. Θεοτόκ. σελ. 259), τοῦτο δείκνυσι μόνον, ὅτι ἤδη ἐπ' αὐτοῦ ἐξεπεπτώκει τοῦ ἑβραϊκοῦ. — στίχ. 14. « *Χίλια δίδραχμα* » (οἱ Ο, τὸ Σαμαρειτ. ἡ Βουλγάτα, Φίλων)· λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβραϊκοῦ. Ἀλλ' ἐπικυροῦται ἐκ τοῦ ἐφεξῆς 16 στίχ. ὅπου ἔχει καὶ τὸ ἑβραϊκὸν ὡς οἱ Ο « Καὶ τῇ Σάῤῥᾳ εἶπεν (ὁ Ἀβιμέλεχ)· ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου » κτλ. ἐπιγινώσκουσι δὲ ταύτην τοῦ ἑβραϊκοῦ τὴν ἔλλειψιν καὶ οἱ περὶ τὸν Οὐβιγάντην κριτικοί. Ἀλλ' οἱ καὶ τὰς κολοβώσεις τοῦ ἑβραϊκοῦ θερμῶς ὑπερασπίζοντες λέγουσιν, ὅτι ἀπὸ τοῦ 16 στίχου προσέθηκεν ὁ Σαμαρείτης μεταγραφεὺς τὰ *χίλια δίδραχμα* καὶ εἰς τὸν 14, στίχον, ἐν ᾧ καταγράφονται μόνα τὰ τῷ Ἀβραὰμ ὑπὸ τοῦ Ἀβιμέλεχ δωρηθέντα (*πρόβατα, καὶ μόσχοι* » κτλ.)· τῷ δὲ Σαμαρειτικῷ παρηκολούθησαν καὶ Ο. Ταῦτα ὁ πολλάκις κατὰ τῶν Ο ὀξύνων καὶ στιλβῶν τὴν γραφίδα Ῥοδομύλλερος (Σχολ. αὐτόθι). Ἀλλὰ πόθεν μὲν ἔμαθεν ὁ κριτικὸς ὅτι παρεμπεποίηται κατὰ ταῦτα τὸ Σαμαρειτανὸν, καὶ οὐ κεκολόβωται μᾶλλον τὸ ἑβραϊκὸν, καὶ πότε τοῦτο συνέβη, καὶ διὰ τί οἱ Ο κατηκολούθησαν ἐκείνῳ μᾶλλον, ἢ τῷ ἑβραϊκῷ, περὶ τούτων οὐκ ἐρωτῶμεν τὸν ἄνδρα· ἐκεῖνο δὲ μόνον θαυμάζομεν· πῶς ἔπεισεν ἑαυτὸν, ἢ γοῦν ἔδοξε πεισθεὶς ὁ σοφὸς, ὅτι ἐκ τοῦ 16 στίχου μετεγράφησαν αἱ λέξεις καὶ εἰς τὸν 14. Εἰ γὰρ μὴ ἦσαν ὧδε γεγραμμέναι

καὶ ἐν τῷ ἑβραϊκῷ, πῶς ἂν ἔλεγεν ὁ Ἀβιμέλεχ τῇ Σάῤῥα, « *ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου* »; Τί ἄλλο τοῦτο στεντορείως κηρύττει, εἰ μὴ ὅτι ὁ θεῖος προφήτης ἔγραψεν ἐν τῷ 14 στίχῳ, ὡς ἔχουσιν οἱ Ο, καὶ τὸ Σαμαρειτικόν; πάντα δηλονότι ὅσα δέδωκεν ὁ Ἀβιμέλεχ τῷ Ἀβραὰμ πρὸς ἐξιλέωσιν· χίλια μὲν δίδραχμα ἕνεκα τῆς Σάῤῥας (ὧν ἔπειτα ποιεῖται μνείαν καὶ πρὸς αὐτὴν), καὶ τ' ἄλλα δὲ, τὰ πρόβατα, καὶ τὰ λοιπὰ, θεραπεύων τὸν δίκαιον, καὶ ἀφοσιούμενος ἣν εἰς αὐτὸν ἐξ ἀγνοίας ἐπήνεγκε λύπην (βλέπε τὸν Χρυσόστομον αὐτόθ.).

Κεφ. ΚΑ. 9. « (Ἰδοῦσα δὲ Σάῤῥα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας) παίζοντα *μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς* » (οἱ Ο, ἡ Βουλγάτα). Ἐν δὲ τῷ νῦν ἑβραϊκῷ λείπει τὸ *μετὰ Ἰσαὰκ* κτλ. (ἔλειπε καὶ ἐπὶ Ἱερωνύμου· Ζητήμ. ἑβρ. εἰς Γένεσ.). Ἀλλὰ 1) τὸ *παίζειν* ἀπαιτεῖ τὸν πρὸς ὃν ἔπαιζεν (εἰ γὰρ ἔπαιζε καθ' ἑαυτὸν ὁ Ἰσμαὴλ, τί δεινὸν ἔπραττεν, ὥστε παροξύναι καθ' ἑαυτοῦ τὴν τῆς Σάῤῥας ὀργήν; πρβλ. στίχ. 10). — 2) Οἱ περὶ τὸν Οὐβιγάντην διορθοῦσι τὸ ἑβρ. κατὰ τοὺς Ο. — 3) Πρὸ πάντων καὶ ἐπὶ πᾶσιν ἐπικυροῖ τοὺς Ο ὁ θεῖος Παῦλος (Γαλάτ. δ, 28), λέγων· ὅτι « ὁ κατὰ σάρκα γεννηθεὶς (υἱὸς τῆς Ἄγαρ) *ἐδίωκε* τὸν κατὰ πνεῦμα » (τὸν Ἰσαάκ). Ὥστε καὶ τὸ « *μετὰ Ἰσαὰκ* » ὁ Ἀπόστολος ἀνέγνω, καὶ τὸ *παίζοντα* ἡρμήνευσε διὰ τοῦ *ἐδίωκε* (σημαίνει γὰρ καὶ τοῦτο τὸ *παίζειν*, τουτ. *ἐμπαίζειν* ὑβριστικῶς, ὑβρίζειν, περιφρονεῖν, κατὰ τὸ ἀντίστοιχον ἑβρ. *σαχὰκ*) (α). — στίχ. 22, καὶ 32. « Καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ » (οἱ Ο)· ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ κόμμα ἐξ ἀμφοτέρων τῶν στίχων. Ἀλλ' ὁ αὐτὸς νυμφαγωγὸς τοῦ Ἀβιμέλεχ γέγραπται καὶ ἐφεξῆς κεφ. κς, 26, ἐν ἀμφοτέροις τοῖς κειμένοις. Ἐνταῦθα δ' ἐκπεσὸν ἐν τῷ ἑβραϊκῷ πρῶτον (ὡς ἔοικεν) ἐκ τοῦ 22 στίχου, δι' ἀβλεψίαν ἴσως ἀντιγραφέων, ἐξεκόπη καὶ

(α) Βλ. Schleusn. Thes. V. Test. v. παίζω.—Gesen. Lex. Hebr. pag. 861. — Houbig. not. ad h. l. Καὶ ὁ Δάθης (Dathe) προσέλαβε τὸ κόμμα εἰς τὴν κατ' αὐτὸν ἑρμηνείαν· Βλ. καὶ Amersfood. Dissert. etc. p. 20.

ἐκ τοῦ 32, ὑπὸ τῆς ῥαββινικῆς ποδοστράβης, ὅπως ἂν χωλαίνῃ τὸ κεφάλαιον *ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις*.— στίχ. 33. « Καὶ ἐφύτευσεν *Ἀβραὰμ* ἄρουραν » (οἱ Ο, τὸ Σαμαρειτανὸν, ἡ Βουλγάτα, βλ. καὶ Οὐβιγάντην). Ἐκ δὲ τοῦ νῦν ἑβραϊκοῦ λείπει τὸ Ἀβραὰμ, καὶ ὁ λόγος ἀποβαίνων ἀπρόσωπος, ἀπαιτεῖ προφανῶς τὸ *τίς* ἐφύτευσε.

Κεφ. ΚΒ. 1. « Ἀβραὰμ, Ἀβραὰμ » (οἱ Ο, ἡ Βουλγάτα, τὸ Ταργούμ. ἡ ἰουδαΐζουσα Ἑνετικὴ μετάφρασις, καὶ δύω κώδηκες ἑβραῖοι, βλ. Ῥόσσ.)· τὸ δ' ἑβραϊκὸν ἅπαξ μόνον, *Ἀβραάμ*. Ἀλλ' ἐξελέγχεται καὶ ἐκ τοῦ 11 στίχου ἐφεξῆς, ὅπου καὶ αὐτὸ, ὡς καὶ οἱ Ο, *δισσεύει* τὸ ὄνομα. — στίχ. 13. « Κριὸς *εἷς* » (βλέπε ὄπισθεν Βιβλ. Β. σελ. 678. πρβλ. καὶ Γεσέν. περὶ τῆς Σαμαρειτάνῆς Πεντατεύχου σελ. 63). — Αὐτόθ. « *Ἀντὶ Ἰσαὰκ* » (οἱ Ο, καὶ κώδ. Ἑβρ. Ῥόσ.) ἐν τῷ νῦν ἑβρ. λείπει.— στίχ. 16. « *Δι' ἐμὲ* » (οἱ Ο, τὸ Σαμαρειτ. Σύρος, Βουλγάτα, κτλ. βλ. καὶ Οὐβιγάντην). Λείπει καὶ τοῦτο, ἀλλὰ κυροῦται μὲν ἐκ τοῦ προλαβόντος 12 στίχου (ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ), ἀπαιτεῖται δὲ καὶ ἐκ τῆς ἀκριβείας τοῦ νοήματος. οὐδ' *ἐμπεριέχεται* ἐν τῇ τοῦ λόγου *σειρᾷ* (κατὰ τὸν Σχούλζιον)· ὥστε οὐδ' αὕτη ἡ λέξις οὔτε *προφανῶς* (ὡς εἶπεν), οὔτε ἀφανῶς, οὔτε *ὄζει*, οὔτε πνεῖ προσθέτου γλωσσήματος· ἀλλ' ὑγιῶς κειμένη καὶ γνησίως, ἐξελέγχει καὶ αὐτὴ τὸ Μασοραῖον κείμενον πεπηρωμένον.

Κεφ. ΚΓ. 1. « Ἐγένετο δὲ ἡ ζωὴ Σάῤῥας ἔτη 127 » (οἱ Ο, ἡ Βουλγάτα, καὶ ἄλλαι τῶν ἑρμηνειῶν, Ἀρμεν. Σλαβον. Ἰβηρικ.). Ἐν δὲ τῷ νῦν ἑβραϊκῷ, « Καὶ ἐγένοντο τῆς ζωῆς τῆς Σάῤῥας 100 ἔτη, καὶ 20 ἔτη, καὶ 7 ἔτη, *τὰ ἔτη τῆς ζωῆς τῆς Σάῤῥας* ». Τοῦτο δὲ τὸ ἔσχατον, « *τὰ ἔτη τῆς ζωῆς τῆς Σάῤῥας* », τίς οὐ βλέπει παρενθήκην ὂν κατ' ἐπανάληψιν ἐκ πλάνης τοῦ ἀντιγραφέως; (βλ. καὶ Οὐβιγάντην).— στίχ. 2. (ἐν πόλει Ἀρβὸκ) « *ἥ ἐστιν ἐν τῷ κοιλώματι* » (οἱ Ο, καὶ τὸ Σαμαρειτ.). Λείπει καὶ τοῦτο τὸ κόμμα, πρόπαλαι ἐκπεσόν· ἐσημείωσε δὲ τὴν ἔλλειψιν καὶ Ἱερώνυμος, προσθεὶς, καὶ ὅτι « οὐ κεῖται τοῦτο ἐν τοῖς *αὐθεντικοῖς κώδηξιν* » (Ζητήμ. εἰς

Γένεσ.). Ἐννοεῖ δὲ πάντως οὐ τῶν Ο, ἀλλ' *ἑβραίους* κώδηκας· καὶ πόσους μὲν ἐκ τούτων *αὐθεντικοὺς* εἶδεν ὁ Πατὴρ, ἄδηλον. Ἐκ δὲ τοῦ περιορισμοῦ τῆς φράσεως αὐτοῦ συμπεραίνεται πιθανῶς, ὅτι εἶχον τὸ κόμμα ἄλλοι τινὲς κώδηκες, οὓς αὐτοὺς ἐνόμιζε μὴ *αὐθεντικούς*. Ἀλλὰ τοῦτο μὲν ἐχέτω ὅπως ἂν ἔχῃ· τῆς δ' οὖν ἐξ *αὐθεντικωτάτου* χειρογράφου γενομένης ἑρμηνείας τῶν Ο πάντες οἱ καὶ εἰς ἡμᾶς περισωθέντες, ἢ καὶ ἐκδοθέντες κώδηκες (καὶ αὐτοὶ οἱ Ἱερωνύμου σύγχρονοι, ὁ Βατικανὸς καὶ Ἀλεξανδρινὸς) περιέχουσι τὸ γνήσιον κόμμα (βλ. Οὐβιγάντην). Ἀνέγνω δὲ πάντως ἐν τοῖς *αὐθεντικοῖς* κώδηξι καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος καὶ ἀλλαχοῦ «*τὴν κοιλάδα Χεβρὼν*» (Γενέσ. λζ, 14), ὅπερ μαρτυρεῖ τῷ περὶ τῆς Ἀρβὸκ (αὕτη ἐστὶ Χεβρὼν) ἣ *ἐστὶν ἐν τῷ κοιλώματι*. — στίχ. 13 «Ἐπειδὰν πρὸς ἐμοῦ εἶ, ἄκουσόν μου» (οἱ Ο καὶ τὸ Σαμαρειταν. καὶ κώδ. ἑβρ. Ῥόσσ.)· τὸ δὲ κοινὸν ἑβραϊκὸν, «Ἀλλ' ἐὰν σὺ, εἴθε ἄκουσόν μου»· καὶ ἀναπληροῦσιν, ἐὰν σὺ *θέλῃς*· καὶ τὸ *εἴθε* μεταλαμβάνουσιν εἰς τὸ *παρακαλῶ*. Ἀλλ' ἡ τοιαύτη πεπλασμένη ἔλλειψις καὶ κατηναγκασμένη ἑρμηνεία προῆλθεν ἐκ τῆς κακογραφίας ἑνὸς λεξειδίου ἑβραϊκοῦ, τοῦ *λοὺ (εἴθε)*, ἀντὶ τοῦ γνησίου *λὸ (ἐμοὶ)*, ὡς ἀνέγνων καὶ ἡρμήνευσαν ὀρθῶς καὶ ἑλληνικῶς οἱ Ο «*πρὸς ἐμοῦ*»· (ὡς τὸ «*πρὸς ἡμέων ἐστὶν*» Ἡρόδ. κτλ. τουτέστι *πρὸς τὸ μέρος ἐμοῦ*, ὑπὲρ ἐμοῦ· πρβλ. καὶ Γενέσ. κθ, 34). Βλ. καὶ Οὐβιγάντου Σχόλ. καὶ Βώσου Προλεγόμενα εἰς τὴν ἔκδοσιν τοῦ Βατικανοῦ τῶν Ο.

Κεφ. ΚΔ. 3. «*Τὸν Ἰσαὰκ*» (οἱ Ο, καὶ κώδηκες ἑβρ.). ἐκ τοῦ κοινοῦ ἑβρ. λείπει· ἀλλὰ μαρτυρεῖται ἐκ τοῦ 4 στίχου, ὅπου καὶ ἐν τῷ ἑβραϊκῷ. — στίχ. 7. «*Καὶ ὁ Θεὸς τῆς γῆς*» (οἱ Ο). ἐκ τοῦ ἑβραϊκοῦ λείπει. — «στίχ. 8 «Εἰς τὴν *γῆν ταύτην*» (οἱ Ο). ἐκ τοῦ ἑβρ. λείπει· ἀλλὰ μαρτυρεῖται ἐκ τοῦ 5, στίχου, ὅπου καὶ τὸ ἑβρ. — ςχ. 14 «*Ἕως ἂν παύσωνται πίνουσαι*» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· (ἀλλὰ μαρτυροῦσι τὰ ἐν στίχ. 18 καὶ 22). — ςχ. 15. «Λαλοῦντα *ἐν τῇ διανοίᾳ αὐτοῦ*» (οἱ Ο, καὶ τὸ Σαμαρειτ.)· ἐν τῷ ἑβρ. λείπει τὸ ἐν τῇ *διανοίᾳ*· ὅθεν καὶ ὠβέλιστο ἐν τοῖς Ἑξα-

πλοῖς (Προκόπ.)· ἀλλ' ἄδικος ἦν ὁ ὀβελός· κεῖται γὰρ ἡ λέξις καὶ στίχ. 45, ἐν ἀμφοτέροις τοῖς κειμένοις. — στίχ. 40 ἐκ τοῦ ἑβρ. λείπει τὸ ἐμφαντικώτατον *Αὐτὸς* (οἱ Ο, ὁ Σύρος, Ταργοὺμ, καὶ κώδηξ, ἑβρ. πρβλ. καὶ ςίχ. 7).— ςίχ. 43. « Καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων τῆς πόλεως ἐκπορεύονται ἀντλῆσαι ὕδωρ· καὶ ἔςαι ἡ παρθένος, ἣ ἂν ἐγὼ εἴπω » κτλ. (οἱ Ο) (α)· τὸ δ' ἑβρ. συντέτριπται οὑτωσί· « Καὶ ἡ νεᾶνις ἡ ἐκπορευομένη ἀντλῆσαι, ᾗ ἂν εἴπω »· — στίχ. 44· « Καὶ *ἐν τούτῳ γνώσομαι, ὅτι πεποίηκας ἔλεος* τῷ κυρίῳ μου Ἀβραὰμ » (οἱ Ο, καθ' ὅλας τὰς ἐκδόσεις). Ταῦτα λείπουσιν ἐκ τοῦ ἑβρ. μαρτυροῦνται δὲ ὑπὸ τοῦ 14 στίχ. ὅπου κεῖνται ἐν ἀμφοτέροις τοῖς κειμένοις. — στίχ. 46· « Ἐπὶ τὸν βραχίονα αὐτῆς » (οἱ Ο, καὶ ἄλλαι ἑρμην. ὁ Ἀρμέν., ὁ Σλάβος, κτλ. πρβλ. καὶ ςίχ. 18)· λείπει ἐκ τοῦ ἑβρ.—στίχ. 47. « *Ἀνάγγειλόν μοι* (οἱ Ο, καὶ οἱ, Κόπτης, Σλάβος, Ἴβηρ, Ἄραψ. πρβλ. καὶ στίχ. 23). ἐν τῷ νῦν ἑβρ. λείπει —ςίχ. 50. « Τὸ πρᾶγμα *τοῦτο* » (οἱ Ο, καὶ κώδ. ἑβρ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *τοῦτο*. — στίχ. 54 « Ἵνα ἀπέλθω » (οἱ Ο, πρβλ. στίχ. 56). ἐκ τοῦ ἑβρ. λείπει. — στίχ. 60 « *Τὴν ἀδελφὴν αὐτῶν* » (οἱ Ο, κώδηξ Ἀλεξ. Κοττον. ὁ τοῦ Χρυσος. ὁ τῆς Ὀκτατ. Θεοτ. κτλ. καὶ ὁ Σύρος, ἡ Βουλγάτα, καὶ κώδηξ ἑβραῖος Ῥόσσ.). ἐν τῷ κοινῷ ἑβρ. (καὶ ἐν τῷ Βατικανῷ) λείπει.

Κεφ. ΚΕ. στίχ. 8· « Πρεσβύτης καὶ πλήρης *ἡμερῶν* » (οἱ Ο, τὸ Σαμαρ. τὸ Ταργοὺμ, ὁ Φίλων, ὅλαι αἱ ἀρχαῖαι μεταφράσεις, καὶ πολλοὶ κώδηκες ἑβραῖοι) (β)· ἐν δὲ τῷ κοινῷ ἑβρ. λείπει τὸ *ἡμερῶν*, καὶ μένει τὸ *πλήρης* ἀμφίβολον, ὡς ἀντίθετον τοῦ *κενός*· ἂν δ' ἑρμηνευθῇ *κεκορεσμένος* (ὡς ἔχει ἡ ἰουδαΐζουσα Ἑνετικὴ μετάφρασις), τότε φαίνεται σαφῶς κεκορεσμένος *βρωμάτων*, καὶ ἀντίθετον τοῦ *νῆστις*! ἀλλ' ἡ φράσις ὁλόκληρος κεῖται παρ' ἀμφοτέροις τοῖς κειμένοις ἀλλαχοῦ πολλαχοῦ (Γενέσ. λε, 29 : Ἰὼβ, μβ, 17 : α. Παραλ. κγ, 1 : κθ; 28, κτλ.) (γ). — στίχ. 30. « Ἀπὸ τοῦ

(α) Πρβλ. καὶ De-Rossi, V. Lect. V. Test. Tom. 4. p. 213.

(β) De-Rossi, Var. Lection. V. Test. Tom. 1. p. 22.

(γ) Βλ. καὶ Kennicot. Diss. II. p. 174.—Schulz Schol. ad h. l.— Houbigant.

ἐψήματος τοῦ πυῤῥοῦ τούτου » (οἱ Ο, Βουλγ. Σλάβ. Ἀρμέν. κτλ.)· τὸ δ' ἑβρ. «ἀπὸ τοῦ *πυῤῥοῦ τοῦ πυῤῥοῦ* τούτου» (χωρὶς τοῦ ἐψήματος). Ἀλλὰ καὶ ὁ Σύμμαχος ἅπαξ ἔχει τὸ *πυῤῥοῦ*, αὐτὴν τὴν ἑβραϊκὴν λέξιν τιθεὶς (ἀπὸ *ἀδὰμ* τούτου)· ἡ δ' ἐν τῷ ἑβρ. δίπλωσις τῆς λέξεως (ἣν πειρῶνται δικαιοῦν ὡς ἄκρας ἐπιθυμίας ἐμφαντικήν, ἢ καὶ ὡς ἂν τάχα μὴ εἰδότος τοῦ Ἠσαῦ τὸ εἶδος τοῦ ἐψήματος!) προῆλθεν ἐκ τῆς ἀβλεψίας τοῦ μεταγραφέως, γράψαντος δὶς τὴν λέξιν τὴν αὐτήν, ἀντὶ τοῦ *ἐψήματος* (ὃ κεῖται καὶ ἐν τῷ ἑβρ. στίχ. 29 καὶ 34).

Κεφ. ΚΖ. στίχ. 6. « (τὸν υἱὸν) *τὸν ἐλάσσω* » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· μαρτυρεῖται δ' ἐκ τοῦ ἐφεξῆς 15 στίχ. (ὅπου καὶ τὸ ἑβρ. ἔχει *τὸν νεώτερον*).—ςίχ. 27. « Ἀγροῦ *πλήρους* » (οἱ Ο, τὸ Σαμαρ., ἡ Βουλγάτ., ὁ Σύρος)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *πλήρους* διεκπεσόν, καὶ σαφῶς ἀπαιτούμενον εἰς συμπλήρωσιν τῆς ἐννοίας (τουτ. ἀγροῦ *πεπληρωμένου βλαστημάτων εὐωδεστάτων*· Εὐσέβ.). πρβλ. Οὐβιγάντην καὶ Γρότιον, ὅστις ὀρθῶς ἔκρινε προσθετέαν τὴν λέξιν εἰς τὸ ἑβραϊκόν, καὶ ἄκοντος Γεσενίου (α). — στίχ. 34 λείπει τὸ *Ἰσαὰκ* (οἱ Ο, καὶ κώδηκες ἑβρ. Ῥάσ.).

κτλ. Ἀλλ' ὁ Rosenmüll. (Schol. ad h. l.) δικαιῶν καὶ αὖθις τοῦτο τὸ κολόβωμα τοῦ ἑβραϊκοῦ, οὐδόλως ἀναγκαῖον κρίνει τὸ ἡ μ ε ρ ῶ ν· «προηγοῦνται γάρ φησι, τὸ πρεσβύτης, καὶ τὸ ἐν γήρᾳ καλῷ, ἐξ ὧν σαφηνίζεται τὸ π λ ή ρ η ς». Ὡς ἂν εἰ καὶ π ρ ε σ β ύ τ η ς καὶ ἐν γ ή ρ ᾳ κ α λ ῷ τελευτήσας ἄνθρωπος, οὐκ ἂν λέγοιτο πλήρης καὶ ἄλλου τινὸς πράγματος οἷον βρώσεως, ὀργῆς, δόξης, χαρᾶς, κτλ. Αὐτοὶ οἱ ῥαββῖνοι λέγουσιν, ὅτι διὰ τοῦτο ἐνταῦθα γέγραπται τὸ πλῆρες μόνον, σεσίγηται δὲ τὸ ἡ μ ε ρ ῶ ν, ἵνα δηλωθῇ ὁ Ἀβραὰμ πλήρης π ρ α γ μ ά τ ω ν ἁ π ά ν τ ω ν ἀποθανών! Γράφει τοῦτο καὶ αὐτὸς ὁ κριτικός· ἀντὶ δὲ τοῦ κατεξελέγξαι τὴν πλάνην τὴν ἰουδαϊκήν, ὁ δὲ φαίνεταί πως ταύτην ἐπικοσμῶν (οὐ γὰρ ἂν εἴποιμι συνηγορῶν). Αὐτίκα γὰρ πρὸς δεῖξιν αὐτῆς παραβάλλει ἐκεῖνα τοῦ Ῥωμαίου Λουκρητίου τὰ ἐπικούρεια «Et nec opinanti mors ad caput adstitit ante, Quam satur, ac plenus possis discedere rerum» (L. 3. 972) τουτ.

« Μηδέ σοι ἐλπομένῳ θάνατος κεφαλῆφιν ἐπιστῇ,
Πρὶν πάντων ἀπίῃς κεκορεσμένος, εὖ μάλα πλησθείς ».

(α) Βλ. Gesen. De Samarit. Pentat. pag. 32. Ὁ δὲ περικλεὴς Μητροπολίτης τῆς Μόσχας Φιλάρετος, ἐν αἷς ἐξέδωκε Ῥωσσιστὶ εἰς τὴν Γένεσιν σημειώσε

Κεφ. ΚΗ. 4 (Ἀβραὰμ) «*Τοῦ πατρός μου*»(οἱ Ο, τὰ Σαμαρειταν. καὶ κώδ. ἑβρ.)· ἐκ δὲ τοῦ κοινοῦ ἑβρ. λείπει τὸ τοῦ *πατρός μου*.

Κεφ. ΚΘ. στίχ. 1. «Καὶ ἐξάρας Ἰακὼβ τοὺς πόδας ἐπορεύθη, εἰς γῆν ἀνατολῶν, *πρὸς Λάβαν τὸν υἱὸν Βαθουὴλ τοῦ Σύρου, ἀδελφὸν δὲ Ῥεβέκκας μητρὸς Ἰακὼβ καὶ Ἡσαῦ*» (οἱ Ο, καθ' ὅλους τοὺς κώδηκας). Ἐν δὲ τῷ νῦν ἑβρ. λείπουσι πάντα τὰ *ἀπὸ τοῦ πρὸς Λάβαν* καὶ ἐφεξῆς· ἀλλὰ πρῶτον μὲν εἰσὶν ἀναγκαῖα πρὸς τὴν τοῦ λόγου σαφήνειαν· «*ἐπορεύθη* (λέγει τὸ ἑβρ.) *εἰς γῆν υἱῶν ἀνατολῆς*»· ἀλλὰ ποῦ τῆς ἀνατολῆς; ἄδηλον. Ὅθεν καὶ τὰ ἐφεξῆς (στίχ. 2) «*Καὶ ὁρᾷ· καὶ ἰδοὺ φρέαρ ἐν τῷ πεδίῳ*», μένουσιν ὡσαύτως ἀόριστα, πλανῶντα τὴν διάνοιαν (ποῦ ἄρα τὸ πεδίον μετὰ τοῦ φρέατος!). Τὸ δὲ (κατὰ τοὺς Ο) «*πρὸς Λάβαν*»· διορίζει τὸν τόπον καὶ σαφηνίζει τὸν λόγον· ἔπειτα ταῦτα τὰ *πρὸς Λάβαν* κτλ. μαρτυροῦνται καὶ ἄλλοθεν (κεφαλ. κη, 5), ὅπου κεῖνται καὶ ἐν τῷ ἑβραϊκῷ.

Κεφ. Λ. στίχ. 9. «Καὶ εἰσῆλθε πρὸς αὐτὴν Ἰακὼβ» (οἱ Ο), ἐκ τοῦ ἑβραϊκοῦ λείπει· ἀλλὰ μαρτυρεῖται ἐκ τοῦ 4 στίχου, ἔνθα κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ. — στίχ. 14. «*Μῆλα* μανδραγορῶν» (οἱ Ο, Ἀκύλας, Ταργούμ. Ἰώσηπος, Ἰτάλα, Χρυσόστ. Αὐγουστῖνος)· τὸ δ' ἑβραϊκὸν, *μανδραγόραν* (χωρὶς τοῦ μῆλα, ὅπερ ὀρθῶς καὶ ἀκριβῶς διακρίνει τὸ μέρος τοῦ φυτοῦ· ἔστι γὰρ καὶ *ἄνθος*, καὶ *πόμα* μανδραγόρου) (α). — στίχ. 16. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ τὸ «*σήμερον*» (οἱ Ο, καὶ τὸ Σαμαρειτανὸν, *τῇ νυκτῇ ταύτῃ*. βλ. Οὐ-

---

σιν, ἐστιγμάτισε τὴν ἐκ τοῦ ἑβρ. ἔκπτωσιν τ ο ῦ π λ ή ρ ο υ ς (Σημειώσ. αὐτόθ. σελ. 523, ἐν Πετρουπόλει 1816).

(α) Βλ. Michael. Supplem. p. 413. — Drusij adnot. in h. l. — N. Fuller. Miscell. VI. 6. — Schleusn. Thes. in h. v. καὶ Rosenmüll. Schol. ad h. l. — «Ὥσπερ μανδραγόραν τὸν ἄκρατον πίνομεν» (Φίλων τόμ. 2. σελ. 478. M.). «Ὥσπερ μανδραγόραν πεπωκότας» (Δημοσθέν. βλ. καὶ Λουκιαν. τ. γ. σελ. 517. R.). «Μανδραγόρας, εἶδος βοτάνης οἰνικὸν καὶ ὑπνωτικὸν» (Ἡσύχ.). Ὁ δὲ Σουΐδας «ὑπνωτικὸς καρπός». «Τούτου δὲ (παρὰ τὰ φύλλα) μ ῆ λ α, οὔοις ἐμφερῆ, ὠχρὰ, εὐώδη, κτλ. (Διοσκορ. δ. 76. πρβλ. Sprengel, Geschichte der Botanik. I, Bd. p. 23.

διγάντην κτλ.). – στίχ. 18. «*Ὁ ἐστὶ μισθὸς* (οἱ Ο, καὶ Φίλων)· λείπει καὶ τοῦτο (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 912).

Κεφ. ΛΑ. 13. «Ὁ Θεὸς *ὁ ὀφθείς σοι ἐν Τόπῳ Θεοῦ*» (=Βαιθήλ. οἱ Ο καθ' ὅλας τὰς ἐκδόσεις). Τὸ δ' ἑβραϊκὸν ἔχει μόνον, «*ὁ Θεὸς τῆς Βαιθήλ*! Λείπουσιν ἐξ αὐτοῦ καὶ τὰ «*ἔσομαι μετὰ σοῦ*» (πρβλ. στίχ. 3). – 18. Τὸ ἑβραϊκὸν ἔχει «*τὸ ποίμνιον τῆς κτήσεως αὐτοῦ, ὃ ἐκτήσατο*»· ἀλλὰ ταύτην τὴν προσθήκην ἀγνοοῦσιν οἱ Ο, καὶ εἷς κώδηξ ἑβραῖος ἱσπανικὸς (Ῥόσ. τόμ. δ. σελ. 254). – στίχ. 22. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ «*τῷ Σύρῳ*» (οἱ Ο καὶ στίχ. 24). – στίχ. 37. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ τὸ *ἠρεύνησεν* (οἱ Ο, τοῦτο καὶ ὁ λόγος ἀπαιτεῖ. πρβλ. καὶ στίχ. 32) (α). – στίχ. 35. Λείπει τὸ «ἐν ὅλῳ τῷ οἴκῳ» (οἱ Ο, καὶ ἐν στίχῳ 34). – στίχ. 53. Τὸ ἑβραϊκὸν ἔχει «*ὁ Θεὸς τῶν πατέρων αὐτῶν*». Καὶ ταῦτα παρένθεσις προφανής, ἣν οὔτε οἱ Ο ἔχουσιν, οὔτε δύω κώδηκες ἑβραῖοι (Κεννικώτου)· καὶ νεώτατοι δὲ κριτικοὶ ταῦτα παραγράφουσιν, ὡς παρέμβυστα (β). – στίχ. 54. «Καὶ ἔφαγον καὶ *ἔπιον*» (οἱ Ο)· ἐν τῷ ἑβραϊκῷ λείπει τὸ «*καὶ ἔπιον*»· ἀλλὰ πρβλ. Γενέσ. κδ, 54 : κε, 34 κτλ. (ὅπου κεῖται τὸ *ἔπιον* ἐν ἀμφοτέροις τοῖς κειμένοις).

Κεφ. ΛΒ. στίχ. 23. Ἐν τῷ ἑβραϊκῷ λείπει τὸ *πάντα* (ὅπερ ἔχουσιν οἱ Ο, τὸ Σαμαρειτ. Σύρος, Βουλγάτα, καὶ κώδηξ ἑβραῖος).

Κεφ. ΛΓ. 4. (Ἡσαῦ) «*ὁ ἀδελφὸς αὐτοῦ*» (οἱ Ο, καὶ κώδηξ ἑβρ. Ῥόσσ. τόμ. Α. σελ. 29). ἐν δὲ τῷ κοινῷ ἑβρ. λείπει.

Κεφ. ΛΔ. στίχ. 10. Ἐν τῷ ἑβραϊκῷ λείπει τὸ *πλατεῖα* (ἡ γῆ), ὅπερ ἔχουσιν οἱ Ο (ὡς καὶ στίχ. 21). – στίχ. 15. «Ἐν τούτῳ ὁμοιωθησόμεθα ὑμῖν, καὶ κατοικήσομεν ἐν ὑμῖν» (οἱ Ο)· τὸ δὲ νῦν ἑβραϊκόν, «ἐν τούτῳ *συγκατανεύσομεν* ὑμῖν (ἄλλοι ἑρμηνεύουσι complacebimus, εὐαρεστήσομεν· ἡ Βουλγάτα, ἰσχύσομεν ὁμόσπονδοι, valebimus foederati· ὁ δὲ Ὄγκελος ἡρμήνευσε com-

(α) Βλ. καὶ De-Rossi, Var. Lection. V. Test. Tom. I. pag. 27.

(β) Βλ. Kennicot. Diss. I. p. 352. Houbigant, Vogel, Schulz Schol. ad h. l. κτλ.

formabimus, συμμορφωσόμεθα, τοῦτ᾽αὐτὸ τὸ τῶν Ο, *ὁμοιωθησόμεθα*)· τὸ δὲ «*κατοικήσομεν ἐν ὑμῖν*» γλώσσημα πρόσθετον τοῖς Ο λέγουσι (Ῥοδομύλλερος). Ἀλλ᾽ἔστι καὶ τοῦτο τοῦ Μασοριτείου κειμένου κολόβωμα· μαρτυρεῖται μὲν γὰρ ὑπὸ τοῦ ἐφεξῆς 16, στίχ. ὅπου πάλιν ἐπαναλαμβάνεται πρὸς βεβαίωσιν· ἀπαιτεῖται δὲ καὶ ὑπὸ τῆς ἐννοίας τοῦ λόγου· (τὸ μὲν γὰρ *ὁμοιωθησόμεθα* ἀνήκει εἰς ἣν οἱ υἱοὶ τοῦ Ἰακὼβ προὔτεινον τοῖς Συχεμίταις περιτομήν· τὸ δὲ *κατοικήσομεν ἐν ὑμῖν* λέγουσι πρὸς ἀπάντησιν τῶν ἐν στίχ. 10 λόγων τοῦ Συχέμ). — στίχ. 24. Ἐν τῷ ἑβρ, λείπει τὸ « τὴν σάρκα τῆς ἀκροβυστίας αὐτῶν » (ἀλλ᾽ ἡ φράσις τῶν Ο μαρτυρεῖται καὶ Γενέσ. ιζ, 11, 14. ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ). — στίχ. 27. Λείπει τὸ κύριον ὄνομα « *τὴν Δείναν* » (οἱ Ο, ὁ Σύρος, καὶ κώδηκες ἑβραῖοι Ῥόσσ.). — στίχ. 29. Λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ τὰ « *Καὶ πάντα τὰ σώματα αὐτῶν* (ἠχμαλώτευσαν). . καὶ *ὅσα ἦν ἐν τῇ πόλει* » (πρβλ. στίχ. 28, καὶ κεφ, λϛ, 6).

Κεφ. ΛΕ. στίχ. 4. « Καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας » (οἱ Ο). Ταῦτα λείπουσιν ἐκ τοῦ νῦν ἑβραϊκοῦ, πρώϊμα διεκπεσόντα (ᾧ κατηκολούθησε καὶ τὸ Σαμαρειτ.)· πόθεν γὰρ ἄλλοθεν αὐτὰ παρέλαβον οἱ Ο, εἰ μὴ ἐκ τοῦ κατ᾽ αὐτοὺς ἀκεραίου σωζομένου κειμένου; — στίχ. 7. Τὸ ἑβρ. ἔχει « Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ (τόπου) *θεὸς Βαιθὴλ* » (Él Bethel, ἢ ὡς παρατραυλίζει ἡ ἰουδαΐζουσα Ἑνετικὴ μετάφρασις, *θεὸς δόμου θεοῦ* = Ἢλ Βαὶθ—ἥλ). Οἱ δὲ Ο, « ἐκάλεσε *Βαιθὴλ* » (οὕτω καὶ ἡ Βουλγάτα, Σύρος, Ἄραψ, καὶ κώδ. ἑβραῖοι Ῥόσσ.). Ἄτοπον παντάπασιν ἔκρινε καὶ Ῥόσσις τὸ πρόσθετον *θεός*· πανταχοῦ γὰρ ὁ τόπος καὶ καλεῖται καὶ γράφεται ἁπλῶς *Βαιθήλ*. Ἐξελέγχεται δὲ ἡ προσθήκη καὶ ἐκ τοῦ 15 στίχου, ὅπου ταὐτὰ ἐπαναλαμβάνονται, καὶ ἡ πόλις γράφεται Βαιθήλ. — Αὐτόθ. Λείπει ἐκ τοῦ ἑβρ. τὸ κύριον *Ἠσαῦ* (οἱ Ο, τὸ Σαμαρειτανὸν, τὰ Ταργούμια, ὁ Σύρος καὶ κῶδηξ ἑβρ. Ῥόσσ.).—ϛχ. 21. « *Καὶ πονηρὸν ἐφάνη ἐναντίον* αὐτοῦ » (οἱ Ο καθ᾽ ὅλας τὰς ἐκδόσεις, καὶ τοὺς Ὀλμητ. κώδηκας, καὶ τοὺς μνημονεύσαντας τῆς ῥήσεως ἀρχαίους Πατέρας τῆς Ἐκκλησίας.

Ὁ δὲ Γράβης ἐκδ. Ἀλεξανδρ. προσέθηκε καὶ ὧδε τολμηρότερον τὸν *ὀβελόν*!). Τοῦτο τὸ κῶλον ὅλον λείπει ἐκ τοῦ ἑβραϊκοῦ· ὑποδεικνύουσι δὲ τὴν ἔλλειψιν καὶ οἱ Μασορῖται, διαλείποντες ἐν τῷ ςίχῳ διάστημα κενὸν, ἢ χάσμα (*πισκά*. βλ. ὄπισθ. κεφ. ς. §. γ). Φαίνεται δὲ πρόπαλαι τὸ κῶλον ἐκ τοῦ ἑβραϊκοῦ κειμένου διεκπεσόν· ὅθεν καὶ τὸ πολλαχοῦ πρὸς τὸ μεταγενέστερον ἑβραϊκὸν παραδιορθωθὲν Σαμαρειτικὸν ἔχει ταύτην τὴν ἔλλειψιν. Ἡ δὲ Βουλγάτα μόνον τὸ τοῦ χάσματος προηγούμενον, τὸ *ἤκουσε δὲ Ἰσραὴλ*, παρέφρασεν εἰς τὸ « *Ὅπερ ἐκεῖνον* (τὸν Ἰσραὴλ) *οὐδόλως ἔλαθεν* », αὐτὸ δὲ τὸ χάσμα παρεῖδε χαῖνον. Τῶν δὲ νεωτέρων κριτικῶν οἱ μὲν δικαιότεροι ἀποδέχονται τὸ τῶν Ο, ὡς γνήσιον καὶ πολλῶν θησαυρῶν ἀσυγκρίτως πολυτιμότερον ἀνάγνωσμα (οἷον καὶ τὸ Γενέσ. δ. 8. βλ. ὄπισθ. σελ. 473), ἀναπληροῦν τὸ κεχηνὸς τοῦ λελωβημένου Μασοριτείου κειμένου. Οἱ δὲ σφόδρα μασορειτικοὶ τὸ χάσμα μὲν ὁμολογοῦσιν, ἄλλας δ' ἄλλοι πλάττουσι ψυχρὰς εἰκοτολογίας, μὴ ςέργοντες τοὺς πᾶσαν λώβην τοῦ ἑβραϊκ. καταφαίνοντας Ο (α). Ἀλλὰ τοὺς τοιούτους ἐξελέγχει λαμπρῶς ὁ παλαιὸς Χαλδαῖος Ἰωνάθαν, ὅστις ἀπεδέξατο τὰ τῶν Ο, γράψας « Καὶ πονηρὸν ἐγένετο αὐτῷ » (τουτ. δεινὸν καὶ δυσάρεστον ἐφάνη) (β). Ἐπικυροῦσι δὲ τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν Ο, καὶ τὰ ἐν Γενέσ. μθ, 3, ἐν οἷς, ὁ πρᾳότατος Ἰακὼβ ἀποθνήσκων, κατέκρινε πικρότατα τὴν πανάθεσμον ἀνοσιουργίαν τοῦ τὴν πατρῴαν κοίτην μιάναντος Ῥουβὶμ, ἐγκοτῶν, διότι πάντως, ὅτε *ἤκουσε* τὸ κακούργημα, « *πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ* ».

Κεφ. ΛϚ. στίχ. 6. « Καὶ ἐπορεύθη (Ἡσαῦ) *ἐκ τῆς γῆς Χαναὰν* » (οἱ Ο, καὶ τὸ Σαμαρειταν.)· τὸ δὲ νῦν ἑβρ. « καὶ ἐπορεύθη *εἰς γῆν* » (πόθεν;) λείπει τὸ *Χαναὰν* (βλ. Οὐβιγάντ.). — στίχ. 39. « Υἱὸς

(α) Βλ. Michael. Or. Biblioth. P. IX. p. 202. — Schulz καὶ Rosenmüll. Schol. ad h. l.

(β) Τοῦτο φαίνεται δεχόμενος καὶ Drusius not. major. ad Genes. h. l. πρβλ. καὶ Amersfood, l. c. p. 55. Ὁ δὲ Μόσχας Φιλάρετος (Σημ. αὐτόθ.) διομολογεῖ τρανῶς τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν Ο.

Βαράθ» (οἱ Ο), λείπει ἐκ τοῦ ἑβρ. μαρτυρεῖται δὲ ἐκ τοῦ 35, ϛχ. καὶ ἐκ τῆς Α. Παραλειπ. α, 50, ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ.

Κεφ. ΛΗ. 13. «*Τῇ νύμφῃ αὐτοῦ*» (οἱ Ο)· λείπει καὶ τοῦτο· μαρτυρεῖται δὲ ἐκ τοῦ 16 στίχου. — στίχ. 15· «*Καὶ οὐκ ἐπέγνω αὐτὴν*» (οἱ Ο, Βουλγάτ.). Λείπει· ἀπαιτεῖται δὲ πάντως ὑπὸ τῆς ἐννοίας (πρβλ. στίχ. 16. ὅπου καὶ ἐν τῷ ἑβρ.). — στίχ. 28· «Ὁ εἷς προεξήνεγκε τὴν χεῖρα» (οἱ Ο, Βουλγ. Σύρος)· ἐν τῷ ἑβρ. λείπει τὸ «*ὁ εἷς*» (τῶν διδύμων ἐμβρύων), καὶ μένει τὸ ῥῆμα ἀπρόσωπον (Οὐβιγάντ.).

Κεφ. ΛΘ. 13 καὶ 18. Λείπει ἐκ τοῦ ἑβρ. τὸ *ἐξῆλθεν*· (οἱ Ο, Σαμαρ. Ταργοὺμ, καὶ κώδ. ἑβρ. Ῥόσσ. πρβλ. καὶ στίχ. 15, ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ.). — στίχ. 17. «*Κοιμήθητι μετ' ἐμοῦ*» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει (πρβλ. στίχ. 14). — στίχ. 23. Λείπει ἐκ τοῦ ἑβρ. τὸ «Πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσὴφ» (οἱ Ο. πρβλ. στίχ. 3 καὶ 8).

Κεφ. ΜΑ. 7. (στάχυες) «*οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι*» (ἀντιθέτως πρὸς τοὺς στάχεις τοὺς *ἐκλεκτοὺς καὶ πλήρεις*). Ἐκ τοῦ ἑβρ. λείπει τὸ *ἀνεμόφθοροι* (πρβλ. 6 καὶ 23, ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ.). Παρομοία ἔλλειψις καὶ στίχ. 24. — Ὡσαύτως καὶ στίχ. 20, λείπει τό, *τὰς ἐκλεκτὰς* (βοῦς. πρβλ. στίχ. 4). — ϛίχ. 34. «Καὶ ἀποπεμπτωσάτωσαν *πάντα τὰ γεννήματα* τῆς γῆς Αἰγύπτου τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας» (οἱ Ο, καὶ τὸ Σαμαρειτ.). τὸ δ' ἑβρ. «Καὶ ἀποπεμπτωσάτωσαν *τὴν γῆν Αἰγύπτου* ἐν τοῖς 7 ἔτεσι τῆς εὐθηνίας» (ἀλλ' οὐ *τῆς γῆς Αἰγύπτου*, τῶν δὲ κατ' αὐτὴν *γεννημάτων τὸ πέμπτον* ἔδει λαμβάνειν δι' ὅλων τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας. Ὥστε προφανὴς ἡ φθορὰ τοῦ ἑβρ.). — καὶ στίχ. 50 ἐν τῷ ἑβρ. λείπει τὸ *ἑπτά*.

Κεφ. ΜΒ. στίχ. 1. «Ἰδὼν δὲ ὁ Ἰακὼβ . . . εἶπε τοῖς υἱοῖς αὐτοῦ» (οἱ Ο, Βουλγ. Ἄραψ καὶ κώδ. ἑβραῖος Ῥόσ.)· τὸ δὲ νῦν ἑβρ. «Καὶ εἶδεν *Ἰακὼβ* . . . καὶ εἶπεν *Ἰακὼβ*» (δὶς τὸ *Ἰακὼβ*, ἐκ τοῦ ἀντιγραφέως). — στίχ. 2. λείπει τὸ «*μικρὰ βρώματα*» (οἱ Ο, καὶ ἡ Βουλγ. πρβλ. Γενέσ. μγ. 2 : μδ, 25, ὅπου κεῖνται αἱ λέ-

ξεις καὶ ἐν τῷ ἑβρ.). – στίχ. 27. « *Τὸν δεσμὸν* τοῦ ἀργυρίου » (οἱ Ο)· τὸ δ' ἑβρ. *τὸ ἀργύριον* (χωρὶς τοῦ δεσμόν· ἀλλὰ βλ. ϛχ. 35)· – στίχ. 33. « *Τὸν δὲ ἀγορασμὸν τῆς σιτοδοσίας* τοῦ οἴκου ὑμῶν λαβόντες ἀπέλθατε » (οἱ Ο, ἡ Βουλγ.)· τὸ δ' ἑβρ. « *Καὶ τὴν πεῖναν τῶν οἴκων ὑμῶν λαβόντες* ἀπέλθετε ». Τὴν παράδοξον ταύτην φθορὰν συγκαττύουσιν οἱ ἐξηγηταί, προστιθέντες λέξεις τινὰς ἔξωθεν· οἷον, « Καὶ *σῖτον* διὰ τὴν πεῖναν », τουτ. *πρὸς ἀποφυγὴν τῆς πείνας* (βλ. Μοντάν. οἷον « *λιμοῦ ἀλεωρὴν* », καθ' Ἡσίοδον!). Ὁ δὲ Καχὴν μηδὲν ὀκνήσας, ἀντὶ τοῦ *πεῖναν*, ὡς ἔχει ῥητῶς τὸ ἑβρ., ἐξήγησε *τροφάς*, ἢ σιτοδοσίαν, καὶ οὕτως ἀπηλλάγη τῶν πραγμάτων τῶν Μασοριτικῶν· ἀλλὰ μᾶλλον ὤφειλεν ἀναπληροῦν τὴν ἔκπτωσιν τῆς λέξεως, γράφων καὶ ὧδε κατὰ τὸ πλῆρες καὶ τέλειον τοῦ 19, στίχου αὐτοῦ τοῦ ἑβρ. ὅπου πάλιν ὡσαύτως οἱ Ο σαφῶς καὶ γνησίως ἡρμήνευσαν. – στίχ. 30. « *Καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ* ὡς κατασκοπεύοντας τὴν γῆν » (οἱ Ο)· τὸ δὲ νῦν ἑβρ. κολοβῶς· « Καὶ δέδωκεν ἡμᾶς ὡς κατασκόπους τῆς γῆς ». Ἀλλὰ τὸ ἀκέραιον τῆς ἀναγνώσεως τῶν Ο μαρτυρεῖται στίχ. 17, ἐν ἀμφοτέροις τοῖς κειμένοις.

Κεφ. ΜΓ. στίχ. 3, 5. Λείπει ἐκ τοῦ ἑβρ. τὸ, *ὁ νεώτερος*. πρβλ. στίχ. 28, καὶ Γενέσ. μϐ. 13, 20, 34. ὅπου καὶ ἐν τῷ ἑβραίῳ.– στίχ. 16. « *Τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον* »· Λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβρ. μαρτυρεῖται δ' ἐφεξῆς ἐκ τοῦ 29 στίχου. – στίχ. 26. Λείπει τὸ « *ἐπὶ πρόσωπον* » ὅπερ ἔχουσιν (οἱ Ο, ἡ Βουλγάτα, τὸ Ταργοὺμ, καὶ κώδ. ἑβραῖοι Ῥόσσ.), καὶ αὐτὸ δὲ τὸ κοινὸν ἑβρ. ἀλλαχοῦ (Γενέσ. μϐ, 6. μη, 12). – στίχ. 28. « Καὶ εἶπεν· εὐλογημένος ὁ ἄνθρωπος ἐκεῖνος τῷ θεῷ » (οἱ Ο, καὶ τὸ Σαμαρειτ.). Λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβρ. Ἀλλ' ἡ φράσις ἐπικυροῦται ἐκ τοῦ 29 στίχου, ὅπου παρομοίως ὁ Ἰωσὴφ εὔχεται καὶ τῷ Βενιαμίν· ὁμολογοῦσι δὲ καὶ οἱ κριτικοὶ (Οὐϐιγάντης, Ῥοδομύλλερος, κτλ. βλ. καὶ τὸν Μητροπολίτην τῆς Μόσχας Φιλάρετον. αὐτόθ.).–Κεφ. ΜΔ. στίχ. 5. « *Ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν;* » (οἱ Ο, καθ' ὅλας τὰς ἐκδ. καὶ τοὺς Ὀλμητ. κώδηκας, ἡ Βουλγάτα, ὁ Σύρος). Ἐκ τοῦ ἑβρ.

λείπουσιν ἐκπεσόντα· καὶ ὀρθῶς ἐκρίθησαν προσθετέα (Οὐβιγάντ.)· ἀπαιτεῖ δὲ ταῦτα πάντως καὶ ἡ ἔννοια, ἵνα μὴ γρῖφος ὁ λόγος ᾖ.— ςχ. 31. « Μὴ ὂν τὸ παιδίον *μεθ' ἡμῶν* » (οἱ Ο, Βουλγ· Σαμαρειτ. Σύρος, κῶδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ κοινοῦ ἑβρ. λείπει τὸ *μεθ' ἡμῶν*.— ςχ. 32. « *Καὶ στήσω αὐτοὺς ἐνώπιόν σου* » (οἱ Ο). Λείπει καὶ τοῦτο· κυροῦται δὲ ἐκ τῶν ἐν κεφ. μγ, 9.

Κεφ. ΜϚ. στίχ. 20. οἱ Ο (καθ' ὅλους τοὺς κώδηκας) καταγράφουσι τοὺς υἱοὺς τῶν υἱῶν Ἰωσήφ. Ὅλον δὲ τὸ κόμμα τοῦτο λείπει ἐκ τοῦ ἑβραϊκοῦ· μαρτυρεῖται δὲ ἐκ τῶν ἐν Ἀριθμοῖς, κς, 29: καὶ Α, Παραλ. ζ, 14, 20, 21. Ὁ δὲ Γράβης (π. σφαλ. τῶν Ο.) παρεμπεποιημένον τὸν στίχον τοῦτον βεβαίως ἀποφαινόμενος (certum habe, λέγει), βεβαίως ἐπιδείκνυται τὴν ἰδίαν ἑαυτοῦ πλάνην. Οὕτω καὶ ἐφεξῆς στχ. 27. ψυχαὶ 75 (οἱ Ο)· τὸ δ' ἑβρ. 70: βλ. ὄπισθ. σελ. 429, καὶ ἐν τοῖς ἑξῆς §. ζ, Δευτερον. Ι.

Κεφ. ΜΖ. 16. « Καὶ *δώσω ὑμῖν ἄρτους ἀντὶ τῶν κτηνῶν* » (οἱ Ο, τὸ Σαμαρειτ.). Ἐκ τοῦ ἑβρ. λείπει τὸ *ἄρτους* (πρβλ. ςχ. 15, 17), καὶ ὁ λόγος ἀποβαίνει χωλὸς (βλ. Οὐβιγάντ.).— ςχ. 19. λείπει ἐκ τοῦ ἑβρ. τὸ « *ἵνα σπείρωμεν* » (πρβλ. στίχ. 23).—στίχ. 21 « *Κατεδουλώσατο αὐτῷ* (τὸν λαὸν) *εἰς παῖδας* » (οἱ Ο, Σαμαρειτ. Βουλγάτ.). Τὸ δὲ νῦν ἑβρ. « *Μετετόπισεν εἰς πόλεις* »· ἄτοπον. Κατέλιπε λοιπὸν τὴν χώραν ἀκατοίκητον, καὶ τοὺς ἀγροὺς ἐρήμους; ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο βεβαιοῦσι τὰ ἐν στίχ. 19, 23, 25· ὁμολογοῦσι δὲ καὶ οἱ κριτικοί· (πρβλ. καὶ Φιλάρετ. αὐτόθ.).— στίχ. 31. « Καὶ προσεκύνησεν Ἰσραὴλ *ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου* αὐτοῦ » (οἱ Ο, καὶ ὁ θεῖος Παῦλος Ἑβρ. ια, 21). Ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *αὐτοῦ*. Καὶ ἀντὶ τῆς *ῥάβδου* (matte) γέγραπται *κλίνης* (mitta). Οὕτως ἡ στρεβλὴ ἀνάγνωσις μετέστρεψε τὴν ῥάβδον εἰς κλίνην (βλ. σελ. 313). Ὡσαύτως καὶ Ἀκύλας παρανέγνω τὴν λέξιν ἐνταῦθα, κακῶς ὑπὸ τῶν συγχρόνων ῥαββίνων διδαχθείς, ὡς καὶ Σύμμαχος, καὶ Ὄγκελος ὁ Χαλδαῖος, διὰ τὴν τότε διαφθαρεῖσαν ἤδη παράδοσιν τῆς γνησίας τῶν λέξεων προφορᾶς (α).

(α) Τῷ Ἀκύλᾳ πειθόμενος καὶ ὁ μακάριος Ἱερώνυμος, καὶ τοῖς συγχρόνοις δὲ

Ἀλλ' ἡ ψευδὴς ἀνάγνωσις τῆς λέξεως ἐξελέγχεται καὶ ἐκ τῆς φράσεως αὐτῆς. Οὐδαμοῦ τῆς γραφῆς ἀλλαχοῦ ἀπαντᾶται τοιοῦτο *τῆς κλίνης ἄκρον*, ἢ (κατὰ τὸν Ἀκύλαν) *κεφαλὴ τῆς κλίνης* (τὸ ἑβρ. ἔχει *ῥώς*, τουτ. κεφαλὴ, καὶ ἄκρον). *Ἄκρον* δὲ τῆς ῥάβδου, καὶ (συνωνύμως) τοῦ *σκήπτρου* ἀπαντᾶται πολλαχοῦ (Κριτ. ς, 21 κτλ. καὶ Α. Βασιλ. ιδ, 27, ὅπου καὶ τὸ ἑβρ. ἔχει τὴν αὐτὴν λέξιν, *ματτέ)*. Παραβάλλουσιν οἱ κριτικοὶ ὡς παράλληλον τῆς προκειμένης καθ' Ἑβραίους ἀναγνώσεως τὸ « προσεκύνησεν ὁ βασιλεὺς (Δαβὶδ) *ἐπὶ τὴν κοίτην αὐτοῦ* » (γ. Βασιλ. α, 47). Ἀλλ' ἡ ἀντιπαράθεσις (ὅσον ἐκ τῆς φράσεως) φαίνεται σφόδρα παράδοξος. Μὴ γὰρ λέγει τὸ ῥητὸν « ἐπὶ *τὸ ἄκρον τῆς κοίτης* (ἢ *τῆς κλίνης)* αὐτοῦ; Πολὺ πρὸ τῶν κριτικῶν παρέβαλον πρὸς ἄλληλα τὰ χωρία ταῦτα τῆς Γραφῆς, καί τινες τῶν καθ' ἡμᾶς ἀρχαίων Πατέρων, ὡς ὅμοια κατὰ τὴν ἔννοιαν (καθότι καὶ ὁ Δαβὶδ προσεκύνησε τῷ Θεῷ ἐπὶ τῆς κλίνης, ἡσθεὶς ἐπὶ τῇ βασιλείᾳ τοῦ Σολομῶντος, καὶ Ἰακὼβ ὡσαύτως τῷ θεῷ προσεκύνησεν, ὀμόσαντος τοῦ Ἰωσὴφ, ὡς πληροφορίαν περὶ τῶν ἐπαγγελιῶν ἐντεῦθεν λαβών· (βλ. Σειρ. εἰς Γένεσ. αὐτόθ.). Ἀλλ' ὁ μὲν Δαβὶδ (ὡς αὐτοὶ πάλιν ὁρίζουσιν οἱ Πατέρες) ἔκλινε τὴν κεφαλὴν, ἐφ' ᾗ κατέκειτο κοίτῃ· ὁ δὲ Ἰακὼβ, ἐπὶ τὸ ἄκρον τῆς ἐφ' ἧς ἐπεστήρικτο ῥάβδου (καθειμένους ἔχων τοὺς πόδας ἀπὸ τῆς κλίνης· ὅθεν ἔπειτα «*ἐξάρας τοὺς πόδας ἐπὶ τὴν κλίνην*, ἐξέλιπε» ςχ. 33), ἢ γοῦν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσὴφ, παρεστηκότος. Οὕτω δὲ πάλιν «διὰ τῆς προσκυνήσεως, τὴν πρὸς τὸν Ἰωσὴφ τιμὴν ἀπεδείκνυε, διὰ τῶν ἔργων αὐτῶν ἐκπληρῶν τὴν ἔκβασιν τοῦ ὁράματος Ἰωσὴφ (Γενέσ. λζ, 5, 10)· Ἀλλὰ τὴν μὲν ἑρμηνείαν τοῦ θείου νοήματος διδάσκουσι

ῥαββίνοις πιστεύων, οὐ μόνον κλίνην ἔγραψεν ἀντὶ ῥάβδου, ἀλλὰ καὶ ἐξ ἑαυτοῦ τινα προσέθηκεν, οἷον σαφηνίζων τὴν φράσιν τῆς Γραφῆς· λέγει γάρ· **Et adoravit dominum conversus ad lectuli caput** (Vulg.) τουτ. καὶ προσεκύνησε τὸν Κύριον, στραφεὶς πρὸς τὴν κεφαλὴν τοῦ κλινιδίου (ἐφ' οἷς καὶ παρέσχεν Ἐράσμῳ γέλωτος ἀφορμήν. Erasm. Annot. ad h. l.). Ἀλλὰ πῶς συνῆπτε καὶ διήλλαττε ταῦτα ὁ μακάριος πατὴρ πρὸς τὰ τοῦ Ἀποστόλου (ἑβρ. ια, 21), ὅσον τὸ καθ' ἡμᾶς, ἀποροῦμεν.

πλατύτερον οἱ Πατέρες ἡμῶν (Χρυσός. Θεοδώρητ. Θεοφύλ. κτλ.), ἡ δὲ κατὰ Μασορίτας ἀνάγνωσις ὅτι παρέφθαρται, καὶ παραπεφώνηται, τοσοῦτόν ἐστι βέβαιον, ὅσον καὶ ὅτι ἀληθεύει τὸ θεόπνευστον στόμα τοῦ Ἀποστόλου Παύλου, γράψαντος αὐτὴν τὴν ῥῆσιν τῶν Ο.

Κεφ. ΜΗ. στίχ. 7. «Ἐκ Μεσοποταμίας *τῆς Συρίας*» (οἱ Ο, τὸ Σαμαρειτ.)· ἐκ τοῦ ἑβρ. ἐξέπεσε τὸ τῆς *Συρίας*, γράφεται δὲ μόνον *Παδὰν* (χωρὶς τοῦ Ἀρὰμ, ἡ Συρία. βλ. Οὐβιγάντην).

Κεφ. ΜΘ. στίχ. 10. « *Ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται* » (οἱ Ο, κώδ. Ὀξων. κτλ.)· τὸ δ' ἑβρ. « ἕως ἂν ἔλθῃ ὁ *Σιλώ*» (Siloh). Καὶ τοῦτο διεφθαρμένη γραφὴ καὶ στίξις τῶν Μασοριτῶν· τὴν δὲ τῶν Ο ἀνάγνωσιν βεβαιοῦσι· α) τὰ τοῦ Ἰεζεκιὴλ, κα, 27. « ἕως οὗ ἔλθῃ ᾧ *καθήκει*, καὶ παραδώσω αὐτῷ» (τὸν στέφανον)· β) τὸ Σαμαρειτικόν· γ) ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος· δ) ὁ Ὄγκελος· ε) τὸ Ταργοὺμ τῆς Ἱερουσαλήμ· ϛ) ἡ Ἀραβικὴ μετάφρασις· ζ) Ἰουστῖνος ὁ μάρτυς (πρὸς Τρύφωνα), καὶ Ὠριγένης, καὶ πάντες οἱ ἀρχαῖοι Πατέρες τῆς Ἐκκλησίας· η) αὐτοὶ οἱ τοῦ Σωτῆρος ἡμῶν καὶ τῶν Ἀποστόλων σύγχρονοι Ἡρωδιανοὶ (οἱ νομίσαντες Μεσσίαν τὸν Ἡρώδην) (α).—

(α) Παρ' Ἐπιφαν. Αἱρέσ. κ. (σελ. 45. τόμ. α). Ὁ δὲ μακάριος Ἱερώνυμος ἄλλως ἀναγνοὺς (ἴσως Schilo) ἡρμήνευσεν ὁ ἀπεσταλμένος, ἢ πεμπτέος (qui mittendus est). Οὕτω πως ἀνέγνω καὶ Εὐσέβιος. «Ἀντὶ γὰρ τοῦ ᾧ ἀπόκειται, τὸ ἑβραϊκὸν Σιλωὰμ περιέχει» κτλ. (Εὐσέβ. Εὐαγ. Ἀποδειξ. ζ. α. σελ. 206. κατὰ τὸ, Ἰωάν. θ, 7). Ἀλλ' ἡ γνησία καὶ ἑρμηνεία καὶ ἀνάγνωσις (Schello) τῆς ἅπαξ (ἐνταῦθα μόνον) ἐν τῇ ἑβραΐδι γραφῇ κειμένης ταύτης φωνῆς ἀποδείκνυται πάντοθεν ἡ τῶν Ο (βλ. καὶ Vossij de LXX. p. 21). Τῶν δέ τινες λήρων ῥαββίνων ἄλλως γράφουσι τὴν λέξιν (Schileja), ὃ παρὰ τοῖς Ταλμουδικοῖς Ἰουδαίοις χόριον σημαίνει, καὶ μετωνυμικώτερον (λέγουσι) τέκνον, υἱὸς (τὸν Μεσσίαν ἐννοοῦντες). Ἀλλ' ὀρθῶς ὁ Οὐβιγάντης τὸ Ταλμουδικὸν τοῦτο λεξείδιον, ὡς σαπρὸν καὶ βέβηλον, ἀπέῤῥιψεν εἰς τὰ ῥυπαρὰ τῶν ἰουδαίων ἐργοστάσια (Houbig. Not. in h. l.). Ὁ δὲ Καχὴν καὶ σφόδρα ἰουδαϊκῶς, τὸ Σιλὼ τοῦτο ἐξέλαβε τὸ αὐτὸ καὶ τὸ Σηλὼ χωρίον, ὅπου τὸν Ἱεροβοὰμ ἐβασίλευσαν, ὡς εἰς τοῦτον δῆθεν πληρωθείσης τῆς προφητείας!! (βλ. La Bible, par Cahen, Tom. 1. p. 174. πρβλ. καὶ τὰ τοῦ Munk. ibid. Tom. 2. p. 18). Ἄλλας, ὅσον σοφωτέρας τῆς ἀληθείας, τοσοῦτον εἰκαιομυθεστέρας γνώμας τῶν κριτικῶν βλ. εἰς τοὺς Crit. Sacros, καὶ Schulz καὶ Rosenmüll. Schol. ad h. l. πρβλ. καὶ De-Rossi, Var. Lection. Tom. 4. p. 217—220. καὶ Schol. Critic. p. 8.

στίχ. 14. «Ἰσσάχαρ τὸ *καλὸν* ἐπεθύμησεν» (οἱ Ο, καὶ ὁ Φίλων, τόμ. α, σελ. 59, 471. Μ.)· τὸ δὲ νῦν ἑβραϊκὸν, «ὁ Ἰσσάχαρ (ἐςὶν) ὄνος ὀστώδης». Ἀλλ' οἱ μὲν Ο, ἀνέγνωσαν *χαμοὺδ* (ἐπιθυμητὸν, καλόν)· ἡ δὲ περὶ τὴν γραφὴν καὶ ἐκφώνησιν τῆς λέξεως ῥαββινικὴ πλάνη μετέστρεψε τὸ *χαμοὺδ* εἰς τὸ *χαμὸρ* (ὄνος), παρὰ γράμμα μόνον ἓν τὸ καλὸν εἰς *ὄνον* μεταβαλοῦσα, καὶ τὰ λοιπὰ παρεξήγησε (α). Τὴν διαφθορὰν τοῦ Μασοριτείου τούτου χωρίου μαρτυροῦσι καὶ αἱ ποικίλαι καὶ ἀδιάλλακτοι περὶ τὴν ἑρμηνείαν διαφωνίαι τῶν νεωτέρων κριτικῶν. Ὅσοι δὲ παραδέχονται ὡς περιμάχητον τὴν Μασοραίαν ἀνάγνωσιν, παραβάλλουσι καὶ τὸν ὄνον τὸν Ὁμηρικὸν (Ἰλιαδ. Α. 557), καὶ ἄλλον ἐξάγουσιν ἐκ παροιμίας Ἀραβικῆς *μάχιμον ὄνον*, ἐπισύρουσι δὲ καὶ ἐξ αὐτῶν τινα τῶν Ἀράβων Καλίφων φιλοπόλεμον, ἐπωνυμούμενον *ὄνον* (β). Θαυμαστὰ ταῦτα καὶ μεμεστωμένα πολυμαθείας· ἓν αὐτοῖς λείπει μόνον· ὅτι οὐδαμοῦ τῆς θείας Γραφῆς ἀπαντᾷ τοιαύτη παρομοίωσις ἀνδρὸς ἐπισήμου πρὸς *ὄνον ὀστώδη*! Καὶ πέπλασται λοιπὸν καὶ ὧδε τὸ *χαμὸρ*, ὡς καὶ Ἀριθμ. ις, 15, ἐπ' ἄλλης ἐννοίας, ὅπου ὁ ἐνταῦθα *ὀστώδης ὄνος* ζωγραφεῖται καὶ κώνωπος ἐλάσσων, καὶ ἀτιμότερος ὀβολοῦ. (βλέπε ὄπισθεν σελ. 379).— ςχ. 22. «Υἱός μου νεώτατος πρός με ἀνάτρεψον» (οἱ Ο, καὶ τὸ Σαμαρειταν. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 736). – στίχ. 24. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ τὸ «*παρὰ Θεοῦ τοῦ πατρός σου*» (οἱ Ο). — στίχ. 26. «Πατρός σου καὶ *μητρός σου*» (οἱ Ο, τὸ Σαμαρειτ.) ἐκ τοῦ ἑβρ. ἐξέπεσε τὸ «καὶ μητρός σου» (Οὐβιγάντ.). – Αὐτόθ. Ὑπερίσχυσεν ὑπὲρ *εὐλογίας ὀρέων μονίμων καὶ ἐπ' εὐλογίας θινῶν ἀενάων*» (οἱ Ο, συμφωνεῖ τὰ πλεῖστα καὶ τὸ Σαμαρειτ.). τὸ δὲ ἑβραϊκὸν, «Ὑπερίσχυσαν ὑπὲρ εὐλογίας *τῶν γεννητόρων μου μέχρις ὁρίου λόφων αἰῶνος*»! (ταῦτα τὰ ῥαββινικὰ παρεξηγήματα, παρεδέξατο καὶ Ἱερώνυμος). Ἀλλὰ τὸ γνήσιον τῆς ἑρμηνείας τῶν Ο, δείκνυσι μὲν αὐτὸ τὸ ὕψος καὶ μέγεθος τῆς ἐν-

(α) Βλ. Grabium. ad h. l. —Schleusn. Thes. V. Test. λ. ἐπιθυμέω.
(β) Rosenmüll. Schol. ad. h. l.

νοίας, ἐπικυροῖ δὲ πρώτιστα καὶ μάλιστα τὸ παράλληλον χωρίον (Δευτερ. λγ, 15), ὅπου τὰ αὐτὰ ἐπαναλαμβάνει περὶ τῆς Ἰωσὴφ εὐλογίας ὁ θεῖος Μωσῆς ἔν τε τῷ ἑβρ. καὶ παρὰ τοῖς Ο· (πρβλ. καὶ ἄλλην παρομοίαν φράσιν, Ἀββ. γ, 6)· μαρτυροῦσι δὲ καὶ πάντες οἱ τῆς ῥήσεως μνησθέντες ἀρχαῖοι τῆς Ἐκκλησίας Πατέρες· συνομολογοῦσι καὶ τῶν νεωτέρων κριτικῶν οἱ περιφανέστατοι καὶ δριμύτατοι (α).

Κεφ. Ν. στίχ. 5. « *Πρὸ τοῦ τελευτῆσαι* » (οἱ Ο, Ἀλεξανδρ. καὶ τὸ Σαμαρειταν. πρβλ. 16), ἐκ τοῦ ἑβραϊκοῦ λείπει καὶ τοῦτο διεκπεσὸν (Οὐβιγάντ.). — στίχ. 25 Συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν *μεθ' ὑμῶν* (οἱ Ο, τὸ Σαμαρειταν., ὁ Σύρος, ἡ Βουλγάτα, ὁ Ἄραψ, τὸ Ταργοὺμ, καὶ 15 κώδηκες ἑβραῖοι. βλ. Ῥόσσ. τόμ. α, σελ. 47). Ἐκ τοῦ κοινοῦ ἑβραϊκοῦ λείπει τὸ « μεθ' ὑμῶν »· μαρτυρεῖται δὲ ἡ ἔκπτωσις καὶ ἐν Ἐξόδῳ ιγ, 19. ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ.

§. δ. *Ἐκ τῆς Ἐξόδου.*

Κεφ. Α. στίχ. 4. « Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ· ἦσαν δὲ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ, *πέντε καὶ ἑβδομήκοντα* » (οἱ Ο, καθ' ὅλους τοὺς κώδηκας)· τὸ δ' ἑβραϊκὸν, « ψυχαὶ *ἑβδομήκοντα* » (βλέπε ὄπισθεν σελ. 430). Καὶ τὸ « Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ » ἐν τῷ ἑβραϊκῷ μετέπεσεν εἰς τὸν 5 στίχον· ὁ δὲ Βῶσος (Bos) ἠπατημένως ἐνόμισε τὸ κόμμα προστεθὲν ὑπὸ τῶν Ο. — στίχ. 11. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ τὸ « *Καὶ τὴν Ὢν* » (*ἥ ἐστιν Ἡλιούπολις*). Οἱ Ο, ὁ Φίλων καὶ ὁ 140 π. Χ. ἀκμάσας Ἀρτάπανος (βλέπε ὄπισθεν Βιβλ. Β. σελ. 137). — στίχ. 12. Λείπει ἐκ τοῦ ἑβρ. τὸ, « *οἱ Αἰγύπτιοι* » (οἱ Ο)· καὶ ὁ λόγος ἄτοπος ἀποβαίνει καὶ σκοτεινός.

Κεφ. Β. στίχ. 6. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ « *ἡ θυγάτηρ Φαραὼ* » (οἱ Ο, τὸ Σαμαρειτανόν. βλ. Οὐβιγάντ.). — στίχ. 11. Λείπει τὸ « *τοὺς υἱοὺς Ἰσραὴλ* » καὶ τὸ, « *υἱῶν Ἰσραὴλ* » (οἱ Ο, Φίλων, πρβλ. στίχ. 23), ἀπαιτεῖται δὲ καὶ ὑπὸ τῆς ἐννοίας πρὸς διασάφησιν

(α) Michael. Or. Biblioth. Tom. 9. p. 233. — Ilgen καὶ Vater. Annot. in h. l. — Gesen. de Pentat. Samarit. p. 33. (πρβλ. καὶ Φιλαρέτου σημ. αὐτ.). Ὁ δὲ Rosenmüller Schol. ad h. l. εἰς κενὸν ἀντιλέγει.

τοῦ προηγουμένου *ἀδελφοὺς καὶ ἀδελφῶν* αὐτοῦ. Ὁ Μωϋσῆς εἶχε καὶ κυρίως ἀδελφὸν τὸν Ἀαρών, καὶ ἄλλους συγγενεῖς (οἵτινες λέγονται καὶ ἁπλῶς ἀδελφοί). Ἡ τοίνυν ἔλλειψις τοῦ «*τοὺς υἱοὺς Ἰσραὴλ*» ἀμφίβολον ποιεῖ τὸν λόγον· πότερον, τῶν συγγενῶν, ἢ τῶν ἄλλων τῶν ὁμογενῶν τινα κατενόησε τυπτόμενον ὑπὸ τοῦ Αἰγυπτίου. — στίχ. 21. Λείπει τὸ «*γυναῖκα*» (οἱ Ο, τὸ Σαμαρειταν. ὁ Σύρος, καὶ κώδηκες ἑβραῖοι, Ῥόσσ.). — στίχ. 22. Λείπει τὸ «*ἐν γαστρὶ λαβοῦσα*» (πρβλ. στίχ. 2. ὅπου καὶ ἐν τῷ ἑβρ.).— Αὐτόθ. «Τὸ δὲ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν Ἐλιέζερ· ὁ γὰρ Θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ ἐρρύσατό με ἐκ χειρὸς Φαραὼ» (οἱ Ο. Κομπλουτ. Ὀξων. καὶ ἄλλοι πολλοὶ κώδηκες Ὅλμητος· κατὰ δὲ τὴν τοῦ Ἄλδου καὶ τὴν Φραγκοφουρτίαν ἔκδοσιν ἐν τῇ ἀρχῇ τοῦ στίχου κεῖνται καὶ ταῦτα. «*Ἔτι δὲ συλλαβοῦσα ἔτεκεν υἱὸν δεύτερον, καὶ ἐκάλεσε* τὸ ὄνομα αὐτοῦ *Ἐλιέζερ*» κτλ.). Ἐκ τοῦ ἑβρ. ταῦτα πάντα λείπουσιν ἐκπεπτωκότα (παλαιὰ δὲ ἡ ἔκπτωσις, οὐδὲ γὰρ ἐν τῷ Βατικανῷ τῶν Ο κεῖνται. Ἀλλὰ τὸ γνήσιον τοῦ στίχου μαρτυροῦσι, α) ὁ Σύρος, ἡ Βουλγάτα, ὁ Ἄραψ, ὁ Κόπτης, ὁ Ἴβηρ, ὁ Σλάβος.—β) τὸ παράλληλον χωρίον, Ἐξόδ. ιη, 4. (ὅπου γέγραπται τὰ αὐτὰ καὶ ἐν τῷ ἑβραϊκῷ). Οἱ τοῦ Μασοριτείου κειμένου προστάται λέγουσιν (ὡς εἰώθασιν ἐπὶ τῶν τοιούτων), ὅτι ἐκ τούτου δῆθεν τοῦ χωρίου (Ἐξόδ. ιη, 4) μετεγράφησαν τὰ λόγια καὶ ἐν τῷ ἀνωτέρῳ (β, 22)· ἀλλὰ καὶ ὧδε ἀπατῶνται. Καὶ γὰρ 1) εὐθὺς ἐφεξῆς τὸ ἱερὸν κείμενον οὐ *παῖδα* μόνον ἕνα, ἀλλὰ πληθυντικῶς *τὰ παιδία* λέγει τοῦ Μωϋσέως, κατά τε τὸ νῦν ἑβραϊκὸν καὶ τοὺς Ο, (δ, 20) «Ἀναλαβὼν (φησὶ) Μωϋσῆς τὴν γυναῖκα *καὶ τὰ παιδία*» (προῆλθε γὰρ μετ' αὐτῶν μέχρι τινὸς καθ' ὁδὸν, καὶ πάλιν ἀπέστειλεν αὐτοὺς πρὸς τὸν Ἰοθὸρ, ὡς δηλοῖ τὸ «*μετὰ τὴν ἄφεσιν αὐτῆς*» τουτ. τῆς Σεπφώρας, ιη, 2. πρβλ. Ἰωσήπ. Ἀρχ. Β. ιγ, 1, καὶ Γ. γ, 1). Ὥστε 2) ἀμφοτέρους τοὺς υἱοὺς ἐτέκνωσεν ἐν γῇ Μαδιὰμ, παρὰ τῷ πενθερῷ Ἰοθὸρ (εἰς δὲ τὴν τούτου γῆν οὐκ ἐπανῆλθεν ὁ Μωϋσῆς, ἀφ' οὗ θεόθεν εἰς Αἴγυπτον ἀπεστάλη)—3) τρίτῳ ἤδη μηνὶ ἀπὸ τῆς ἐξ Αἰγύπτου ἐξόδου (ιθ, 1), ἦλθεν ὁ Ἰοθὸρ εἰς τὴν

ἔρημον τοῦ Σινᾶ, προσάγων τῷ Μωσῇ τὴν Σεπφώραν καὶ τοὺς δύω υἱοὺς (ιη, 2). Εἰ δὲ καὶ μόνον τοῦ ἑνὸς υἱοῦ, τοῦ πρωτοτόκου, μνημονεύεται ἡ ἐν τῷ καταλύματι περιτομὴ, ἐπιφανέντος τοῦ ἀγγέλου τῷ Μωϋσεῖ πορευομένῳ εἰς Αἴγυπτον (δ, 25), σεσίγηται δὲ ἡ περιτομὴ τοῦ ἑτέρου παιδὸς, ἀλλ᾽ ὅμως (εἴγε μὴ προπεριτετμημένος οὗτος ὑπῆρχε· Θεοδώρητ.), καὶ τῶν ἄλλων Ἑβραίων τὰ ἐν τῇ ἐρήμῳ γεννηθέντα τέκνα ἀπερίτμητα ἦσαν. Καὶ αὐτὸν δὲ τὸν πρωτότοκον οὐκ αὐτὸς ὁ Μωϋσῆς περιέτεμεν, ἀλλ᾽ ἡ Σεπφώρα (βλ. τὸν Εὐσέβιον καὶ τοὺς ἄλλους Πατέρας, Σχολ. ἐν Σειρᾷ εἰς Ἐξόδ. β, 29: δ, 20: η, 22)·—4) τελευταῖον, καὶ τῶν νεωτέρων ἐπίσημοι σοφοὶ τὸ γνήσιον τοῦ στίχου διακηρύττουσι (α).

Κεφ. Γ. 8 καὶ 17. Λείπει ἐκ τοῦ ἑβρ. τὸ *Γεργεσαίων* (οἱ Ο· πρβλ. Γενέσ. ιε, 21, ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ.). — στίχ. 10. Λείπει τὸ « *ἐκ γῆς Αἰγύπτου* » (οἱ Ο, Ταργοὺμ, ὁ Ἄραψ, καὶ κώδ. ἑβρ. Ῥόσσ.)· οὕτω καὶ κεφ. θ. 11.

Κεφ. Δ. 1. « Τί ἐρῶ πρὸς αὐτούς; » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει (πρβλ. γ. 13. παρ᾽ ἀμφοτέροις). — στίχ. 6. « *ἐκ τοῦ κόλπου αὐτοῦ* » (οἱ Ο, τὸ Σαμαρειτ. καὶ ἐξ κώδ. ἑβραῖοι Ῥόσσ.). Λείπει· κεῖται δὲ ἐν στίχῳ 7, παρ᾽ ἀμφοτέροις. — στίχ. 17 (τὴν ῥάβδον) « τὴν στραφεῖσαν εἰς ὄφιν » (οἱ Ο)· λείπει καὶ τοῦτο· ἀλλὰ μαρτυρεῖται ἐν Ἐξόδῳ ζ, 15. ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ. — στίχ. 18. « Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου » (οἱ Ο). Καὶ τοῦτο λείπει· κυροῦται δὲ κατά τε τὸ νόημα ἐκ τοῦ ἐφεξῆς 19 στίχου, καὶ κατὰ τὴν φράσιν ἐκ τοῦ β, 23. ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ. — στίχ. 24· « Ἄγγελος Κυρίου » (οἱ Ο, καὶ Ὄγκελ.), τὸ δ᾽ ἑβρ. μόνον « *ὁ Κύριος* » (*Ἰεωῦ·* δὶ

(α) Βλ. Morin. L. I. Exercit. 1. c. 4. §. 2. p. 20: καὶ Bellarmini de verb. Dei· « Adde quod interdum desunt integrae sententiae in hebraeo, cum non desint nec in versione LXX, nec in Hieronymi translatione· exemplum habemus Exod II. 22. ubi deest totum illud, alium quoque genuit». etc. Βλ. καὶ τοῦ δυσαρέστου Fagij Transl. Collat. in Crit. Sacr. T. IX. p. 2911. Lond. πρβλ. καὶ Vater καὶ Rosenmüll. Schol. in h. l.

ἀρχαίαν ἔκπτωσιν τοῦ *μελὰκ*, ὁ ἄγγελος· πρβλ. κεφ. γ. 2). — στίχ. 26. «*Ἔστη* τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου» (οἱ Ο)· τὸ δ' ἑβρ. «*Νυμφίος* αἱμάτων σύ μοι» (κατ' ἄλλην ἀνάγνωσιν, ὡς ἀνέγνω καὶ Σύμμαχος, καὶ ἄλλοι)· ἀλλ' οἱ Ο ἀνέγνων *Χατὰμ*, τὸ σφραγίζειν, κλείειν, ὅθεν καὶ παύειν, ἱστᾶν, (κωλύειν τῆς συνεχοῦς κινήσεως καὶ φορᾶς, οἷον ῥοῦν, δρόμον, κτλ. ὡς τὸ «ἔστη ἡ ῥύσις τοῦ αἵματος». Λουκ. η, 44· καὶ συνήθως, *ἐστάθη*). Ἡ δὲ ῥαββινικὴ κακογραφία μετέβαλε τὸ *χατὰμ* εἰς τὸ *χατὰν* (πενθερὸς, γαμβρὸς, νυμφίος, κτλ. βλ. ὄπισθ. σελ. 296)· ὅθεν κυρίως προῆλθε καὶ ἡ παρεξήγησις τοῦ πολλὰ πράγματα τοῖς κριτικοῖς παρασχόντος «*Νυμφίος αἱμάτων*» (α). Κατὰ τοὺς Ο, ἀνέγνω καὶ ἄλλος ἀρχαῖος, ἑρμηνεύσας «*ἐσφράγισε τὸ αἷμα τῆς περιτομῆς*» (Ἑξαπλ. πρβλ. Ὠριγ. κ. Κέλσ. ε. §. 48. τόμ. α, σελ. 614).

Κεφ. Ε. 2. «Τοὺς υἱοὺς Ἰσραὴλ» (οἱ Ο, ὁ Ἄραψ, καὶ κώδηξ ἑβραῖος Ῥόσσ.). τὸ νῦν ἑβρ. ἔχει μόνον, *τὸν Ἰσραήλ*.

Κεφ. Ϛ. 20. (ἔλαβεν Ἀβραὰμ Ἰωχαβὲδ) «*θυγατέρα τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ*» (οἱ Ο, καὶ ἡ Βουλγάτα)· τὸ δὲ νῦν ἑβρ. *τὴν πατραδέλφην* (θείαν πρὸς πατρός)· οὕτως ἑρμηνεύουσι τὸ ἑβρ. *Δοδὰ* (Dodah)· ἀλλὰ τοῦτο σημαίνει καὶ τὴν γυναῖκα τοῦ πατραδέλφου (Λευϊτ. ιη, 14). Οἱ δὲ Ο, πάντως ἠπίσταντο τὴν λέξιν παραδηλοῦσαν προσέτι καὶ τὴν *θυγατέρα* τοῦ πατραδέλφου (τὴν ἐξαδέλφην). Καὶ ταύτην εἶχε τὴν συγγένειαν ἡ Ἰωχαβὲδ πρὸς τὸν Ἀμράμ. Οὗτος ἦν υἱὸς Καὰθ, ἔγγονος Λευῒ (Ἐξόδ. ϛ, 16, 18). Ἡ δὲ Ἰωχαβὲδ *θυγάτηρ* Λευῒ, (Ἀριθμ. κϛ, 59), δηλονότι *ἐγγόνη* καὶ αὕτη τοῦ Λευῒ, γεννηθεῖσα ἐκ θατέρου τῶν δύω τοῦ Καὰθ ἀδελφῶν (Ἐξόδ. ϛ, 16), καὶ θείων τοῦ Ἀμράμ. Διὸ καὶ *ἐκ τῶν θυγατέρων τοῦ Λευῒ* λέγεται ἡ Ἰωχαβὲδ (Ἐξόδ. β, 1), τουτ. ἐκ τῶν ἐγγονῶν, ἢ ἀπογόνων, κατὰ τὸ «*ἐκ τῶν θυγατέρων Ἀαρὼν*» Λουκ. α, 32. πρβλ. ιγ, 16. Τοιοῦτο καὶ τὸ ἐκ τῶν θυγατέρων Φουτιὴλ, Ἐξόδ. ϛ, 25. Οἱ δὲ κριτικοὶ Ὀγκέλῳ πεισθέν-

(α) Βλ. τοῦ σοφοῦ J. F. Fischer. Prolusion. de vers. Graec. etc. I. §. 6. pag. 12. Lips. 1772.

τες (ὅστις πρῶτος ἡρμήνευσε *πατραδέλφην* τοῦ Ἀμρὰμ τὴν Ἰωχαβὲδ), ψέγουσι τοὺς Ο, διότι ταύτην εἶπον «θυγατέρα τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ». Ὁ δὲ Καχὴν ὑπέλαβεν, ὅτι εὗρε καὶ τὴν αἰτίαν, δι' ἣν οἱ Ο, μετέφρασαν *ἐξαδέλφην*, τὴν κατ' αὐτὸν θεῖαν (tente) καὶ σύζυγον τοῦ Ἀμράμ· «διότι (λέγει) ἡ συζυγία αὕτη κεκώλυται ἐν τῷ Λευϊτικῷ (κ, 19). Τοῦτο δὲ καὶ Γρότιος *πολὺ* πρὸ τοῦ Καχῆνος ἐπενόησεν.—Ἀλλ' οἱ μὲν Ο, ἠπίςαντο δήπου τοὺς περὶ γαμικῆς συγγενείας νόμους θεσπισθέντας ὑπὸ τοῦ θεοπνεύστου Μωσέως μετὰ πολλὰς δεκάδας ἐνιαυτῶν, ἀφ' οὗ συνῆλθον εἰς γάμον οἱ γονεῖς αὐτοῦ. Οὐδὲ *τοὺς πρὸ τῆς θείας ταύτης νομοθεσίας γενομένους γάμους* τῶν συγγενῶν ἀθεμίτους νομίσαντες, ᾐδέσθησαν ἑρμηνεῦσαι πιστῶς οἱ Ο (οἷον ἔγραψαν καὶ τὸν τοῦ Ἀβραὰμ μετὰ τῆς Σάῤῥας· Γενέσ. ιϐ, 11: κ, 12). Τοὺς δὲ κριτικοὺς τούτους ἐδίδαξεν ὀρθότερα ἄλλος φρόνιμος ῥαϐϐῖς, Μωσῆς ὁ Μενδελσών, ἑρμηνεύσας καὶ αὐτὸς (κατὰ τοὺς Ο) *ἐξαδέλφην* (γερμ. die Base), τὸ τοῦ παρόντος χωρίου ἑϐρ. *Δοδά*. Ἄλλος δὲ Ταργουμιστής, ὁ Οὐζηλίδης Ἰωνάθαν, οὔτ' ἐξαδέλφην, οὔτε θεῖαν ἢ πατραδέλφην (κατὰ τὸν Ὄγκελον) ἡρμήνευσε τὸ ὄνομα, ἀλλ' *ἀγαπητὴν* (διότι τὸ *Δοδὰ* σχηματίζεται παρὰ τὸ *Δὸδ*, κυρίως *φίλος, ἀγαπητός*· ἐκ δὲ τούτου καὶ ὁ πάτρων)· ἴτωσαν οὖν οἱ κριτικοί, καὶ μανθανέτωσαν τῶν Μωσαϊκῶν φωνῶν τὴν σημασίαν παρὰ τῶν πρὸς ἑαυτοὺς πολλάκις διαφωνούντων Χαλδαίων Ταργουμιστῶν καὶ Ταλμουδῶν μᾶλλον, ἢ παρὰ τῶν Ο! (α). — Αὐτόθ. «Καὶ ἐγέννησεν αὐτῷ (τῷ Ἀμρὰμ, ἡ Ἰεχωϐ.) τόν τε Μωϋσῆν, καὶ τὸν Ἀαρών, *καὶ Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν*» (οἱ Ο, τὸ Σαμαρειτ. ὁ Σύρος, καὶ εἷς κώδηξ ἑϐραῖος)· ἐκ δὲ τοῦ νῦν ἑϐρ. λείπει ὅλον τὸ κόμμα τὸ «καὶ Μαριὰμ κτλ. (ἔλλειψις ἐπίσημος· διότι πρῶτον ἐνταῦθα ὁ θεῖος Μωσῆς καταγράφει τὴν ἑαυτοῦ γενεαλογίαν, ἐν ᾗ καὶ τὴν σύζυγον τοῦ Ἀαρὼν Ἐλισάβετ ἁγίως καὶ δικαίως ἐμνημόνευσε (βλ. Σειρὰν αὐτόθ.), καὶ τὸν πατέρα καὶ τὸν ἀδελφὸν αὐτῆς ὀνομάσας.

(α) Βλ. Grot. Annot. ad h. l. καὶ de Jur. Bel. et pac. II. 4. §. 14. — Schulz, Rosenmüll. καὶ Cahen Schol. ad h. l.

Πῶς οὖν ἔμελλε παραλείψειν τὰ γενέθλια τῆς πολλαχοῦ τῆς Γραφῆς ἀπαντώσης ἀδελφῆς αὐτοῦ Μαριάμ;)· πρβλ. καὶ Ἀριθμ. κϛ, 59, ὅπου κεῖται τὸ κόμμα καὶ παρὰ τῷ ἑβρ. Κατακρίνουσι δὲ τὴν ἔλλειψιν καὶ περιφανεῖς κριτικοί (α).

Κεφ. Ζ. 9. «Δότε *ἡμῖν* σημεῖον, ἢ τέρας» (οἱ Ο, καὶ τὸ Σαμαρειτ.)· τὸ δὲ νῦν ἑβρ. οὔτε τὸ τέρας ἔχει (ὃ κεῖται καὶ ϛχ. 3. ἐν ἀμφοτέροις), γράφει δὲ καὶ *ὑμῖν* (ἀκατάλληλον. βλ. Οὐβιγάντ).— Αὐτόθ. (καὶ ῥίψον) « *ἐπὶ τὴν γῆν καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ* ». Λείπουσι ταῦτα ἐκ τοῦ ἑβρ. μαρτυροῦνται δὲ ἐν ϛίχ. 10 (πρβλ. καὶ στίχ. 20), ὅπου κεῖνται παρ' ἀμφοτέροις. — στίχ. 15· « Ἰδοὺ αὐτὸς ἐκπορεύεται» (οἱ Ο, τὸ Σαμαρειτ.)· ἐκ τοῦ ἑβρ. λείπει τὸ ἐμφαντικὸν *αὐτός*. — στίχ. 20. « Καὶ ἐπάρας *Ἀαρὼν* τὴν ῥάβδον» (οἱ Ο, Ἀλεξ.). Ἐκ τοῦ ἑβρ. λείπει τὸ *Ἀαρὼν*, ἀναγκαῖον ὂν εἰς διορισμὸν τῆς ἐννοίας (Οὐβιγ.). Ὅθεν καὶ ὁ κλεινὸς Ἄγγλος Βωθρόϋδος, ὀρθῶς ποιῶν, εἰσήγαγε τὴν λέξιν εἰς ἣν ἐκ τοῦ ἑβραϊκοῦ μετέφρασεν ἀγγλικὴν ἑρμηνείαν τῆς Γραφῆς.

Κεφ. Η. στίχ. 3. « Καὶ *ἐν τοῖς φρέασί σου*. — στίχ. 11. *ἐκ τῶν ἐπαύλεων*· — στίχ. 16, ἔν τε *τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι* » (οἱ Ο)· λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ (πρβλ. στίχ. 17).

Κεφ. Θ. 8. « *Καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ* ». Λείπει καὶ τοῦτο (πρβλ. ζ, 10, ἐν ἀμφοτέροις). — στίχ. 28. λείπει τὸ « *καὶ πῦρ* » (πρβλ. στίχ. 24). — στίχ. 29 λείπει « *ὁ ὑετός* » (πρβλ. στίχ. 33, 34).

Κεφ. Ι. 4. «*Ταύτην τὴν ὥραν*» (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. (πρβλ. θ, 18, ὅπου καὶ ἐν τῷ ἑβρ.). — στίχ. 12. «*Καὶ πάντα τὸν καρπὸν τῶν ξύλων*»· λείπει· (πρβλ. στίχ. 15). — στίχ. 18. « *Ἐξῆλθε Μωϋσῆς*» (οἱ Ο, τὸ Σαμαρειτανόν, ἡ Βουλγάτα, ὁ Σύρος, Ταργοὺμ, καὶ 14 κώδηκ. ἑβραῖοι Ῥόσ.). ἐκ τοῦ ἑβρ. λείπει τὸ Μωϋ-

---

(α) Kennicot. Diss. General. pag. 125. — Houbig. ad h. l. πρβλ. De-Rossi Var. Lect. V. Test. Tom. 1. p. 51, καὶ Horne, Introduction etc. Tom. 2. P. 1. pag. 265.

σῆς, προφανῶς ἐκπεσόν. — στίχ. 22. « Σκότος, γνόφος, *θύελλα* » (οἱ Ο)· λείπει τὸ *θύελλα* ἐκ τοῦ νῦν ἑβρ. καὶ ὁ κλεινὸς Ῥοδομύλλερος μνημονεύων ἔκ τινος Ἄραβος ἱστορικοῦ σκότος βαθὺ μετ' ἀνέμου σφοδροῦ καὶ καταιγίδος ἐπιπεσὸν ἐν Αἰγύπτῳ (τῷ 1110 μ. Χ.), « ἀξιοσημείωτον (προστίθησιν), ὅτι καὶ οἱ Ο μετὰ τοῦ ὑπὸ Μωσέως διαγραφομένου ψηλαφητοῦ σκότους ἐνόμιζον συνημμένην καὶ συστροφὴν ἀνέμου· διὸ καὶ πρὸς τῷ « *σκότος καὶ γνόφος* (ὡς ἔχει καὶ τὸ ἑβρ.) προσέθηκαν ἀφ' ἑαυτῶν καὶ τὸ *θύελλα* ». Ἀλλὰ πολὺ πρὸ τῶν Ἀραβικῶν τούτων ἱστορημάτων (ὧν εἰδήμονας, ὡς ἔοικεν, εἰσάγει καὶ τοὺς γηραιοὺς Ο!) ὤφειλε μᾶλλον ὁ κριτικὸς μνημονεῦσαι τὰ ἐν Δευτερ. δ, 11, καὶ ε, 22, ὅπου πάλιν ἔγραψαν οἱ Ο, « *σκότος, γνόφος, θύελλα* » ὡς ἔχει ἐν τῷ πρώτῳ τόπῳ τοῦ Δευτερ. καὶ τὸ νῦν ἑβρ., *θύελλαν* εἰπόντες τὸ ἑβρ. *ἀραπὲλ* (σκοτόμαιναν, ἀχλὺν, ἢ ζόφον, caliginem, ἑρμηνεύουσι καὶ τοῦτο)· καὶ κατὰ ταῦτα φαίνεται ὧδε τὸ *θύελλα* συνώνυμον τοῦ *ἀήρ*· ὃ καὶ τὸν ἀφώτιστον ἀέρα, τὸ *σκότος* σημαίνει (ὡς καὶ τὸ « ῥῦσαι ὑπ' *ἠέρος* ». Ἰλ. ρ, 645), ὅθεν καὶ *ζόφος ἠερόεις*. Ὥστε καὶ τὰ « *σκότος, γνόφος* (ἐκ τοῦ νέφος), *θύελλα* » εἴη ἂν ὡς τὸ « *ἐρεβεννὴ ἐκ νεφέων ἀὴρ* » (Ἰλ. ε, 864). Τοῦτο τοίνυν τὸ *ἀραπὲλ* ἀνέγνων καὶ ὧδε πάντως οἱ Ο, καὶ μεθηρμήνευσαν πιστῶς· ἡ δ' ἐπαρίστερος τῶν Ἰουδαίων ἀντιγραφὴ παρέβλεψε τὴν λέξιν.— στίχ. 24. « Μωϋσῆν καὶ *Ἀαρὼν* » (οἱ Ο, Βουλγάτα, Ταργούμ., καὶ κώδ. ἑβραῖος Ῥόσ.). Ἐν τῷ νῦν ἑβρ. λείπει τὸ καὶ *Ἀαρὼν*, ἀπαιτούμενον πάντως ἐκ τῆς ὅλης ὑφῆς τοῦ λόγου (βλ. καὶ Οὐβιγ.). Αὐτόθ. « Κυρίῳ τῷ Θεῷ ὑμῶν » (οἱ Ο, ὁ Σύρος, καὶ κώδ. ἑβραῖος)· τὸ δὲ κοινὸν ἑβρ. ἔχει μόνον τῷ *κυρίῳ* (οὕτω καὶ κεφ. ιγ, 5, λδ, 14. βλ. Ῥόσ. τόμ. α. σελ. 55, 77).

Κεφ. ΙΑ. 2. « Καὶ ἱματισμὸν » (οἱ Ο, τὸ Σαμαρειτ. καὶ κώδ. ἑβραῖος Ῥόσ.)· ἐκ τοῦ κοινοῦ ἑβρ. λείπει· ἀλλ' ἐν κεφ. γ, 22, καὶ ιβ, 35, κεῖται καὶ ἐν τῷ ἑβρ. (Οὐβιγάντ.). — στίχ. 3. « *Καὶ ἔχρησαν αὐτοῖς* » (οἱ Ο, καὶ τὸ Σαμαρειτ.)· ἐκ τοῦ ἑβρ. λείπει (ἀπαιτεῖται δὲ πάντως ὑπὸ τῆς ἐννοίας).

Κεφ. ΙΒ. 10. « *Καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ* » (οἱ Ο) ἐκ τοῦ ἑβρ. λείπει τὸ κόμμα· ὃ πάντως ἔγραψε Μωσῆς ἐν τοῖς ἐνταῦθα πρῶτον θεσπιζομένοις περὶ τοῦ πάσχα διατάγμασι· βεβαιοῦται δὲ καὶ ἐν στίχ. 46, ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ. — ϛχ. 40. « Ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραὴλ, ἣν κατῴκησαν ἐν Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν *αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν* » (οἱ Ο, τὸ Σαμαρειτ. ὁ Ἰώσηπος, ἡ Ἰτάλα [παρ' Αὐγουστίνῳ], ὁ Σύρος, τὸ Ταλμοῦδον, ἐκ κωδήκων πάντως ἀρχαίων τὴν ῥῆσιν λαβόν. βλ. Ῥόσ. τόμ. δ, σελ. 221, καὶ Βάλτων. Προλεγ. ια, 18). Ἐκ τοῦ νῦν ἑβρ. λείπουσι τὰ « *Καὶ ἐν γῇ Χαναὰν* », καὶ τὰ « *αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν* », γέγραπται δὲ μόνον « ἣν κατῴκησαν *οἱ υἱοὶ Ἰσραὴλ ἐν Αἰγύπτῳ* ». Οἱ δὲ καὶ ταύτης τῆς λώβης τοῦ Μασοραίου κειμένου προστάται μηδὲν ἐνδοιάζοντες, ἀσπάζονται τὴν γνώμην τῶν νεωτέρων ῥαββίνων· οἵτινες περιπλάττοντες τὸ σύντριμμα τοῦ παρ' αὐτοῖς κειμένου, ἐξηγοῦσι τὸ « *οἱ υἱοὶ Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ* » κατὰ διπλῆν συνεκδοχὴν, ἐκλαμβάνοντες αὐτούς τε τοὺς Ἰακὼβ ἀπογόνους, καὶ *τοὺς πατέρας αὐτῶν* (ἀπὸ τοῦ Ἀβραὰμ καὶ ἐφεξῆς), μετὰ δὲ *τῆς Αἰγύπτου* συμπεριλαμβάνοντες καὶ *τὴν γῆν Χαναὰν*, ὡς συνυπονοουμένην (κατ' οὐκ οἶδ' ὁποῖον λόγου σχῆμα παροριστικὸν καὶ ἀνήκουστον!). χωρὶς γὰρ ταύτης τῆς διπλῆς συνεκδοχῆς οὐκ εὐοδοῦται ὁ τῶν 430 ἐτῶν ἀριθμὸς ὃν διήγαγον οἱ υἱοὶ Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ (κατὰ τὸ ἑβρ.). Ταύτην δὲ τῶν συνεκδοχῶν τὴν διπλόην ἐφαντάσθη πρῶτος ὁ Χαλδαῖος Ἰωνάθαν. Ἀλλ' ὅτι μὲν οὗτος, μὴ δυνάμενος συμπληρῶσαι τὸ κατ' αὐτὸν πεπηρωμένον κείμενον, ἐπειρᾶτο θεραπεύειν τὴν πληγὴν ἐν τῇ κατ' αὐτὸν παραφράσει, λαμβάνων τὰ φάρμακα παρὰ τῶν Ο, φαίνεται φωτὸς τηλαυγέστερον. Τῶν δὲ κριτικῶν οἱ δριμύτατοι ὀφείλοντες προσθεῖναι εἰς τὸ νῦν ἑβραϊκὸν τὰ ἐλλείποντα, οἱ δὲ μᾶλλον ἀγαπῶσιν ὡς γνησίαν καὶ τελείαν τὴν διεφθαρμένην ἀνάγνωσιν, ἀντιλέγοντες πρὸς τοὺς Ο πολλαχῶς. Καὶ οἱ θερμουργότεροι οὐδὲ τὴν διπλῆν ἀποδέχονται συνεκδοχὴν, ἀλλ' οὕτως ὀρθῷ μετώπῳ καὶ ἄντικρυς διατείνονται, ὅτι

κατ᾽ αὐτὴν τὴν Αἴγυπτον αὐτοὶ τοῦ Ἰακὼβ οἱ ἀπόγονοι διέτριψαν ἔτη 430 (α). Ἰδοὺ δὲ συλλήβδην ἀμφοτέρων αἱ ἀποδείξεις.

1) Διαθρυλλοῦσι τὴν συνήθη ἐπῳδήν· ὅτι καὶ τὸ τῶν Ο κείμενον καὶ τὸ Σαμαρειτικὸν ἐν τούτῳ τῷ χωρίῳ διεσκευάσθησαν! Ἀλλ᾽ ὅ γε Χαλδαῖος Ἰωνάθαν, καὶ ὁ ἀρχαῖος ῥαββῖνος παρὰ τῷ Φαγίῳ, ἀνέγνω ταῦτα πάντως ὡς γνήσια ἐν τοῖς Ο.—2) Προβάλλουσιν, ὅτι τὸ, «*καὶ οἱ πατέρες αὐτῶν*» ἐν τῷ Βατικανῷ καί τισιν ἄλλοις κώδηξι λείπει.—Ἀλλὰ πρῶτον μὲν, τὸ κυριώτατον *ἐν γῇ Χαναὰν* κεῖται ἐν πᾶσι τοῖς κώδηξι τῶν Ο, καὶ τοῦτο μόνον ἤρκει πρὸς ἔλεγχον τῆς κολοβώσεως τοῦ νῦν ἑβραϊκοῦ· συνεισάγει δὲ πάντως καὶ τὸ «*οἱ πατέρες αὐτῶν*» καὶ κατ᾽ αὐτὴν τὴν τοῦ Χαλδαίου συνεκδοχὴν (ποῦ γὰρ ἄλλοθι, εἰ μὴ εἰς τὴν Χανανῖτιν παρῴκησαν οἱ πατριάρχαι μέχρι καὶ τοῦ Ἰακώβ;). Ἔπειτα καὶ τοῦτο τὸ «*καὶ οἱ πατέρες αὐτῶν*» γέγραπται ῥητῶς ἔν τε τῷ Ἀλεξανδρινῷ, καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις ἀρχαίοις ἀντιγράφοις, κἀν τῇ τοῦ Ἄλδου ἐκδόσει (βλ. καὶ ἔκδ. Ὅλμητος). Εἰ δὲ καὶ λείπει ἔν τισι τῶν κωδήκων, οὐδὲν ἕτερον ἐκ τούτου δείκνυται, εἰ μὴ μόνον, ὅτι οἱ Ἕλληνες ἀντιγραφεῖς οὐκ ἦσαν ἐν πᾶσιν *ἀναμάρτητοι*, οἵους ἡμῖν παριστῶσι τοὺς Ἰουδαίους οἱ ῥαββινίζοντες κριτικοί!—3) Εἰσάγουσι καὶ τὸν κατὰ τὸν β, αἰῶνα ἱερὸν Θεόφιλον τὸν Ἀντιοχείας, ὅτι μόνον *ἐν Αἰγύπτῳ* λέγει τὴν κατοίκησιν τῶν υἱῶν Ἰσραὴλ (Λόγ. γ. πρὸς Αὐτόλυκ. §. 9 καὶ 24), συμπεραίνοντες καὶ τούτου μονονοὺ μεταγενεστέραν ἣν λέγουσιν ἀνωτέρω προσθήκην εἰς τὸ κείμενον τῶν Ο. Ἀλλ᾽ ὁ Θεόφιλος οὐδαμοῦ τὴν ῥῆσιν τῆς γραφῆς ἐμνημόνευσεν ὅλην κατὰ πόδας καὶ ἐπὶ λέξεως, συντόμως δὲ λέγει μόνον, «Ὅτι ὁ Ἰακὼβ ἔζησεν ἕως τῆς μετοικεσίας τῆς ἐν Αἰγύπτῳ γενομένης· ἡ δὲ παροίκησις τῶν Ἑβραίων ἐν Αἰ-

---

(α) Βλ. Simon Hist. Crit. du V. Test. p. 82.—Ravij Exercitat. p. 158. seq.—Cleric. Art. Crit. T. 2. p. 3. c. 7. pag. 41.—Koppij Program. Jsraelitas non 215 sed 430 annos in Aegypt. commoratos esse. Gotting. 1777.—Schulz, Vater, καὶ Rosenmüll. Schol. ad h. l.—Gesenij, De Pentat. Samarit. §. 14 pag. 49.

γύπτῳ ἐγενήθη ἔτη 430 » (§. 24). Ἐπειδὴ τοινυν εἶπε τὴν ἐπὶ Ἰακὼϐ *εἰς Αἴγυπτον* μετοικεσίαν, ἐπισυνῆψεν εὐθὺς καὶ τὴν ῥῆσιν ἐπιτομώτερον, μόνης τῆς Αἰγύπτου μνημονεύσας· μὴ γὰρ ἄλλοις κώδηξιν ὁ Θεόφιλος ἐχρῆτο διαφόροις τῶν Ο; ἢ μήπως αὐτὸς μόνος τῶν ἄλλων θείων Πατέρων ἠρίθμει τὰ 430 ἔτη τῆς ἐν Αἰγύπτῳ κατοικήσεως τῶν Ἑϐραίων ἀπὸ τοῦ Ἰακὼϐ καὶ ἐφεξῆς; ἀλλὰ τοῦτό γε νεωτέροις τισὶν ἀπέκειτο, τοῖς σφόδρα ῥαϐϐινισταῖς. Ὁ δὲ Θεόφιλος ἀνεγίνωσκεν ἐκ τῶν Ο, τὴν ῥῆσιν, ὡς ἀνέγνω καὶ ὁ μίαν ὅλην ἑκατονταετηρίδα πρὸ αὐτοῦ ἀκμάσας Ἰώσηπος (Ἀρχ. Β, ιε, §. 2). Καὶ αὐτὸ δὲ τὸ ἑϐραϊκὸν ἐπὶ Ἰωσήπου (ἴσως δὲ καὶ μέχρι Θεοφίλου) διέσῳζε τὴν ῥῆσιν μήπω διεκπεσοῦσαν.— 4) Προϐάλλουσι τὸ (Γενέσ. ιε, 13, 16) «πάροικον ἔσται τὸ σπέρμα σου *ἐν γῇ οὐκ ἰδίᾳ*, καὶ δουλώσουσιν αὐτοὺς *τετρακόσια ἔτη* .. *τετάρτη* δὲ γενεᾷ ἀποστραφήσονται ὧδε ». Ταῦτα (λέγουσιν) ἐκτὸς πάσης ἀμφιϐολίας δηλοῦσι τὴν ἐν Αἰγύπτῳ κάκωσιν τῶν Ἰσραηλιτῶν, ἐν ᾗ διέμειναν μέχρι τετάρτης γενεᾶς, τουτ. ἔτη τετρακόσια· ἡ γενεὰ γὰρ ἴση μιᾷ ἑκατονταετηρίδι ». — Μέγας καὶ ταῦτα παραλογισμός. Οὐ μόνον γὰρ τῆς ἐν Αἰγύπτῳ δουλείας τὰ ἔτη, ἀλλὰ καὶ τὰ τῆς πρότερον ἐν Χαναὰν διατριϐῆς τῶν Ἑϐραίων ἐμφαίνει τὸ ῥητόν (α). Λέγει γὰρ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ (οὐκ ἐν Αἰγύπτῳ μόνον) ἔτη τετρακόσια, (τὸ δὲ μεταξὺ *καὶ δουλώσουσιν* αὐτοὺς, τὴν ἐν Αἰγύπτῳ πάντως δουλείαν καὶ κάκωσιν ἰδίως προλέγον, ἐτέθη διὰ μέσου, καὶ ἔστι τὸ σχῆμα τοῦ λόγου *ὑπερϐατὸν*, ὡς ὁ ἱερὸς ἐσημείωσεν Αὐγουστῖνος (ϐ).

(α) «Πῶς 400 ἔτη ἔφη δουλεύειν αὐτοὺς, καί τοι, οὐδὲ τὰ ἡμίσυ τούτων πεποιηκότων αὐτῶν εἰς τὴν Αἴγυπτον; Διὰ τοῦτο οὐκ εἶπεν, ὅτι εἰς τὴν Αἴγυπτον ποιήσουσιν ἔτη υ, ἀλλ' ἐ ν γ ῇ ο ὐ κ ἰ δ ί ᾳ· ὥστε δυνηθῆναι τοῖς ἔτεσιν, οἷς κατὰ τὴν Αἴγυπτον ἐποίησαν, συναριθμεῖσθαι καὶ τὸν χρόνον τοῦ Πατριάρχου, καθ' ὃν ἐκ τῆς Χαῤῥὰν ἐξελθεῖν προσετάχθη· ἐξ ἐκείνου γὰρ ἡμῖν καὶ τὸν ἀριθμὸν ἐκ τῶν ἐτῶν αὐτοῦ κατάδηλον ἐποίησεν ἡ Γραφὴ εἰποῦσα, ὅτι 75 ἐτῶν ἦν, ἡνίκα ἐξῆλθεν ἐκ Χαῤῥάν ,,. Χρυσόστομ. ὁμιλ. λζ. βλ. καὶ Εὐστάθ. εἰς Ἑξαήμ. σελ. 9.

(ϐ) Βλ. S. August. Quaest. ad. h. l. Τοῦ ἱεροῦ τούτου Πατρός εἰσι καὶ ταῦτα· « Scriptum est in Exodo: Incolatus filiorum Israelis quem incoluerunt in terra Aegypti, et in terra Chanaan ipsi et patres eorum.

Ὅτι δὲ καὶ ἡ γενεὰ ἰσοδυναμεῖ τῇ ἑκατονταετηρίδι, πλάσμα καὶ τοῦτο φαίνεται κατ' ἐπίνοιαν ψευδῆ. Ἡ γενεὰ ἐνταῦθα σημαίνει ἁπλῶς ἀπογόνων διαδοχὴν, ὡς καὶ ἐν Ἐξόδ. ιγ, 18 (βλ. Βιβλ. Β. σελ. 739). Ἔπειτα καὶ κατὰ χρόνον ὡρισμένον, οὐδαμοῦ τῆς Γραφῆς σημαίνει τὴν ἑκατονταετηρίδα ἡ γενεά. Καὶ οἱ Ἑβραῖοι συνήθως ἀνέκαθεν ἀνεμέτρων τὰς γενεὰς πρὸς τὰς τῶν ἀπογόνων διαδοχὰς (κατὰ τὸ μεταξὺ τῆς τοῦ πατρὸς καὶ τῆς υἱοῦ γεννήσεως χρονικὸν διάστημα)· παρομοίως ἐψήφιζον τὰς γενεὰς καὶ οἱ ἀρχαίοι Ἕλληνες, καίτοι μὴ πάντες ἰσαρίθμως· (βλ. Ἰλιαδ. Α, 250: καὶ Ἡρόδοτ. β, 142), ἀνὰ τριάκοντα (καὶ 33), ἢ τεσσαράκοντα, ἢ καὶ ἑξήκοντα ἔτη· (ἴδε Σουΐδ. λ. γενεά. πρβλ. Ἡσύχ. καὶ Μ. Ἐτυμολόγ. βλ. καὶ ἐφεξ. κεφ. ΙΔ, §. κα) (α). — 5) «Οἱ τῆς Γραφῆς

---

anni 430» (οὕτως οὖν εἶχε καὶ ἡ Βουλγάτα ἢ Ἰτάλα, κατὰ τοὺς Ο), πρβλ. καὶ Deyling. Observat. SS. Tom. 1. p. 69, sq. καὶ Kœppen die Bibel ein Werk etc. P. I. pag. 303. Τὸ γνήσιον τῆς κατὰ τοὺς Ο ἀναγνώσεως ὁμολογοῦσι Morin. Exercitat. Biblic. IV. 2. — Cappel. Crit. Sacr. IV. 10. — J. Voss. de LXX. — Pezron, L' antiquit. des temps retablie etc. cap. 7. p. 96. Paris, 1704. — Bernard not. εἰς Ἰώσηπ. Ἀρχ. Β. ιε §. 2. — Houbigant. καὶ Geddesis not. ad h. l. — Kennicott Diss. I. p. 580. — Vernet Opuscul. select. Genev. 1784.

(α) «Καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν· ἔζησε δὲ Ἰὼβ τὰ πάντα ἔτη διακόσια τεσσαράκοντα» (Ἰὼβ μβ, 16). Ὁμολογεῖ ταῦτα ὁ σοφὸς Γεσένιος (Lexic. Hebraic. pag. 240)· προστίθησι δὲ ὅμως, ὅτι «κατὰ τοὺς χρόνους τῶν Πατριαρχῶν, μακροβιωτάτων γενομένων, ἠρίθμουν τὴν γενεὰν ἔτεσιν ἑκατόν». Καὶ φέρει δεῖξιν ποίαν; αὐτὰ τὰ ἀνωτέρω τῆς Γραφῆς χωρία (Γενέσ. ιε, 16, καὶ Ἐξόδ. ιβ, 40). Ἀλλὰ 1) τοῦτ' ἐστὶν αὐτὸ ἐκεῖνο τὸ παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι· περὶ τούτων γὰρ τῶν χωρίων ὁ λόγος, τίποτε σημαίνει ἐν τούτοις ἡ γενεά· ὥστε οὐδεμία δεῖξις ἐκ τούτων. Ἀλλαχοῦ δὲ τῆς Γραφῆς οὐδαμοῦ τοιαύτη ἀπαντᾷ σημασία. 2) Ὁ Ἰὼβ ἔζησεν ἐπὶ τῶν Πατριαρχῶν· καὶ τούτου ἡ μαρτυρία προφανῶς ἀναιρεῖ τὸ πλάσμα τῆς ἑκατονταετηρίδος. 3) Οὐδεὶς τῶν ἀρχαίων Πατριαρχῶν ἐν τῇ θείᾳ Γραφῇ φαίνεται, γενεαλογούμενος καθ' ἑκατονταετηρίδας. (βλ. ἐφεξῆς. Κεφ. ΙΕ.). Ὁ Γεσένιος ἐπιφέρει πρὸς παράδειγμα καὶ τὸ Saeculum τῶν Λατίνων, ὅπερ ἡλικίαν ἀνθρώπου πρῶτον σημαῖνον, ἔπειτα μετέπεσε καὶ εἰς τὴν σημασίαν τῆς ἑκατονταετηρίδος. Ἀλλ' ἠδύνατο προσθεῖναι καὶ τὸ ἑλληνικὸν αἰὼν ὁμοίως εἰς μάτην· ταῦτα γὰρ κατὰ τοὺς κάτω χρόνους καὶ πολλοὺς αἰῶνας ὕστερον οὐ μόνον τῶν Πατριαρχῶν, ἀλλὰ καὶ τοῦ Μωσέως καὶ τῶν ἄλλων προφητῶν προσέλαβον τὴν σημασίαν τῆς ἑκατονταετηρίδος. (βλ. καὶ J. Voss. de LXX. p. 325.).

(λέγουσι) διασκευασται (τουτέστιν οἱ Ο, οἱ τὸ χωρίον τοῦτο διασκευάσαντες, καὶ οἱ Σαμαρεῖται μετ' αὐτῶν!!) φεύγοντες τὴν Χάρυβδιν, ἐνέπεσαν εἰς τὴν Σκύλλαν, καὶ συνέπλεξαν δεσμὸν πολὺ δυσλυτότερον παρ' ὃν ἔτεμον μᾶλλον, ἢ ἔλυσαν. Πῶς γὰρ ἂν πεισθείης, ὅτι τῶν μετὰ τοῦ Ἰακὼβ εἰσελθόντων εἰς τὴν Αἴγυπτον 70 ἀνθρώπων οἱ ἀπόγονοι ἐν διαστήματι 215 ἐτῶν ἐπληθύνθησαν ἐπὶ τοσοῦτον, ὥστε ἀνέβησαν εἰς ἑξακοσίας χιλιάδας, αἵτινες *λέγονται* (!) μετὰ Μωϋσέως ἐκ τῆς Αἰγύπτου κατὰ τὴν ἔξοδον ἐξελθεῖν»; — Ἀλλὰ πρὸς λυσιν ταύτης τῆς ἀπορίας πρῶτον μὲν ὑπομιμνήσκομεν τοὺς σοφοὺς ἐκείνην τὴν πρὸς Ἀβραὰμ ὑπόσχεσιν τοῦ θεοῦ· «Ποιήσω σε εἰς ἔθνος μέγα, καὶ πληθυνῶ σε σφόδρα σφόδρα» (Γενέσ. ιβ, ιζ. πρβ. Ἐξόδ. α)· καὶ ταύτης τῆς ἐπηγγελμένης θείας εὐλογίας καρπὸς ὑπῆρξαν αἱ ἐκ τῆς Αἰγύπτου ἐξελθοῦσαι ἑξήκοντα μυριάδες, αἵτινες καὶ *λέγονται*, καὶ *γράφονται*, καὶ τοσαῦται πραγματικῶς γενέσθαι πιστεύονται παρὰ πᾶσι τοῖς πρεσβεύουσι τὴν θείαν Γραφὴν ὡς λόγον θεοῦ. Οὗτοι δὲ προστιθέασι καὶ ὅ,τι παρέλιπεν ὁ Γεσένιος· ὅτι αἱ 600 αὗται χιλιάδες ἦσαν μόνον ἀπὸ εἰκοσαετοῦς καὶ ἀνωτέρω, χωρὶς γυναικῶν καὶ παιδίων· ὥστε μετ' αὐτῶν ἀνέβαινεν ἴσως ὁ ἀριθμὸς καὶ εἰς 2,000,000. Ἔπειτα, καὶ φυσικώτεραι δείξεις ἀποφαίνουσι πολύχουν τὸν ἐν Αἰγύπτῳ πληθυσμόν. Οἱ γὰρ Ἰουδαῖοι καὶ μακρόβιοι ἦσαν, καὶ ἐκ νέας ἡλικίας ἐτεκνοποίουν, καὶ τὰ τέκνα αὐτῶν καὶ δίδυμα καὶ τρίδυμα πολλάκις γινόμενα, ζῶντα διετηροῦντο ὑπὸ τῆς θείας προνοίας, καὶ νόσων καὶ πολέμων ἀνθρωποφθόρων ἦσαν ἀπείρατοι, διάγοντες ἐν εἰρήνῃ κουροτρόφῳ. Αὐτὸς ὁ Ἀριστοτέλης καὶ ὁ Πλίνιος ἱστοροῦσι τὸ πολύτοκον τῶν ἐν Αἰγύπτῳ (α). Ὁ δὲ Καπέλλιος καὶ κατ' ἀπαρίθμησιν ἁπλῆν ὑποτιθεὶς καθ' ἕκαστον τῶν ἀπογόνων Ἰακὼβ ἀνὰ 4 μόνα τέκνα, ἀναβιβάζει τὸν ἀριθμὸν εἰς 3,145,728 (α).

(α) Ἀριστοτ. Ζ. Ἱστορ. Ζ. 4. — Plin. Hist. Nat. VII. 3. — Senec. Quaest. nat. 3, 25· πρβλ. Rosenmüll. Schol. in V. Test. Tom. 1. pag. 352. — Eichhorn, Repertorium etc. 14. Bd. p. 269.

(β) J. Cappell. Observat. in Exod. h. l.

Κεφ. ΙΔ. ϛίχ. 20. Λείπει ἐκ τοῦ ἑβρ. τὸ «*Καὶ ἔστη*» (ὁ στύλος τῆς νεφέλης)· ἀλλ' ἀπαιτεῖται τὸ ῥῆμα ὑπὸ τῆς ἐννοίας· πρβλ. καὶ στίχ. 19, ὅπου κεῖται ἐν ἀμφοτέροις.

Κεφ. ΙΔ. ϛίχ. 17. «Τὴν καρδίαν Φαραὼ καὶ τῶν Αἰγυπτίων πάντων» (οἱ Ο, Βουλγ. καὶ εἷς κώδηξ ἑβραῖος. βλ. Ῥόσσ. Τόμ. α. σελ. 59). Ἐκ δὲ τοῦ νῦν ἑβραϊκοῦ λείπει τὸ *Φαραώ*, καὶ τὸ *πάντων* (πρβλ. στίχ. 8 καὶ κεφ. Ι. 1).

Κεφ. ΙΕ. στίχ. 18. «Καὶ ἐπ' αἰῶνα *καὶ ἔτι*» (οἱ Ο, καὶ τὸ Σαμαρειτ.)· ἐκ τοῦ ἑβρ. λείπει τὸ «*καὶ ἔτι*».

Κεφ. ΙϚ. στίχ. 6. «Πρὸς πᾶσαν *συναγωγὴν* υἱῶν Ἰσραὴλ» (οἱ Ο, τὸ Σαμαρειτ. καὶ κώδ. ἑβραῖος Ῥόσσ.). τὸ δὲ νῦν ἑβρ. «πρὸς πάντας υἱοὺς Ἰσραήλ».

Κεφ. ΙΗ. 8. «*Καὶ ὅτι ἐξείλετο αὐτοὺς Κύριος ἐκ χειρὸς Φαραώ, καὶ ἐκ χειρὸς τῶν Αἰγυπτίων*» (οἱ Ο)· λείπει τοῦτο ἐκ τοῦ ἑβραϊκοῦ· καὶ στίχ. 9. λείπει τὸ «*ἐκ χειρὸς Φαραώ*»· ἀλλ' ἐν στίχ. 10 κεῖται καὶ ἐν τῷ ἑβρ. ἡ φράσις ὁλόκληρος.

Κεφ. ΙΘ. στίχ. 8. «*Ποιήσομεν, καὶ ἀκουσόμεθα*» (οἱ Ο). ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ «*ἀκουσόμεθα*»· ἀλλ' ἡ κολόβωσις τοῦ ῥήματος ἐξελέγχεται ἐξ ἄλλου παραλλήλου χωρίου (κδ, 7), ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ. — στίχ. 10. «*Διαμάρτυραι τῷ λαῷ*» (οἱ Ο)· λείπει καὶ τοῦτο ἐν τῷ ἑβραϊκῷ κεῖται δὲ κἀν τούτῳ ἐφεξῆς (στίχ. 21). — στίχ. 18. «Καὶ ἐξέστη *πᾶς ὁ λαὸς*» (οἱ Ο, ὁ Ἄραψ, καὶ ἐννέα κώδ. ἑβραῖοι Ῥόσσ.). τὸ δὲ νῦν ἑβρ. «Καὶ ἐτρόμαξεν (expavit) ὅλον τὸ *ὄρος*»!

Κεφ. Κ. ϛίχ. 10. «Ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου» (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.). Λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβρ. ἀλλὰ πρβλ. Δευτερ. ε, 14, ὅπου κεῖται παρ' ἀμφοτέροις. — στίχ. 12. «*Ἵνα εὖ σοι γένηται*»· καί, «*ἐπὶ* (τῆς γῆς) *τῆς ἀγαθῆς*»· λείπουσι καὶ ταῦτα ἐκ τοῦ ἑβρ. (πρβλ. κεφ. γ, 8. Δευτερ. α, 25, 35. ε, 16, ὅπου κεῖται παρ' ἀμφοτέροις· βλ. καὶ Δευτερ. ϛ, 18, καὶ Ἐφεσ. ϛ, 3). — στίχ. 17. «Οὐδὲ τὸν ἀγρὸν αὐτοῦ» (οἱ Ο, τὸ Σαμαρειτ. καὶ 4, κώδ. ἑβρ. Ῥόσσ.). Λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβρ. ἀλλ' ἐν Δευτερ.

ε, 21, κεῖται παρ' ἀμφοτέροις (βλέπε καὶ ὄπισθεν κεφ. ς. §. γ). — Αὐτόθ. « Οὐδὲ παντὸς κτήνους αὐτοῦ » (οἱ Ο)· λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβρ. κεῖται δὲ κἂν τούτῳ, Δευτερον. ε, 14· (πρβλ. ε, 21).

Κεφ. ΚΒ. στίχ. 5. (Ἀποτίσει ἐκ τοῦ ἀγροῦ αὐτοῦ) « *κατὰ τὸ γέννημα αὐτοῦ· ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ* » κτλ. (οἱ Ο, καὶ τὸ Σαμαρ.). ἐν δὲ τῷ ἑβραϊκῷ ταῦτα λείπουσι (Οὐβιγάντ.). — στίχ. 14. « Αἰχμάλωτον γένηται » (οἱ Ο). λείπει καὶ τοῦτο· ἀλλὰ πρβλ. ςίχ. 10.

Κεφ. ΚΓ. στίχ. 8. « Ἐκτυφλοῖ *ὀφθαλμοὺς* βλεπόντων » (οἱ Ο, τὸ Σαμαρειτ., ὁ Σύρος, Ὄγκελος, Ἰωνάθαν, καὶ πολλοὶ κώδ. ἑβρ. Ῥόσσ.). ἐν δὲ τῷ νῦν ἑβραϊκῷ ἐξέπεσε τὸ *ὀφθαλμούς*· — στίχ. 22. « Ἐὰν ἀκοῇ ἀκούσῃ τῆς φωνῆς μου, καὶ ποιήσῃς πάντα ὅσα ἐντέλλομαί σοι, καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν· ἐμοῦ γάρ ἐστι πᾶσα ἡ γῆ· ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον » (οἱ Ο, καθ' ὅλους σχεδὸν τοὺς κώδηκας καὶ τὰς ἐκδόσεις, πλὴν τῆς Ἄλδ. καὶ Κομπλουτ.)· ἐκ δὲ τοῦ ἑβραϊκοῦ λείπει πᾶσα ἡ περικοπὴ αὕτη· μαρτυρεῖται δὲ ὅμως ἐκ τοῦ κεφ. ιθ, 5, 6, ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ (πρβλ. καὶ Α. Πέτρ. β). — στίχ. 23. « Καὶ Γεργεσαῖον » (οἱ Ο, Σαμαρειτ. καὶ κώδηξ ἑβρ. Ῥόσ.)· ἐν δὲ τῷ κοινῷ ἑβρ. λείπει ἡ λέξις. Ὡσαύτως καὶ ςχ. 28, λείπει τὸ *Ἀμοῤῥαίους* (οἱ Ο, τὸ Σαμαρειτ. καὶ κώδηξ ἑβρ. ἔχει τὴν λέξιν ἀπεξεσμένην· Ῥόσ.). — στίχ. 31. « *Τοῦ μεγάλου Εὐφράτου* ». Λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβραϊκοῦ, κυροῦται δὲ ἐκ τοῦ Γενέσ. ιε, 18, ὅπου κεῖται παρ' ἀμφοτέροις.

Κεφ. ΚΕ. ςίχ. 4. « Καὶ βύσσον (ἑβρ. Sesch) *κεκλωσμένην* » (οἱ Ο). Λείπει ἐν τῷ ἑβρ. ἡ μετοχή· βεβαιοῦται δὲ ἐκ τῶν κεφ. κς, 1, 31, 36· κζ, 9, καὶ ἀλλαχοῦ πολλαχοῦ, ὅπου κεῖται παρ' ἀμφοτέροις. Ὥστε πρόδηλον, ὅτι οὔτε παρὰ τοῖς Ο εἰσεῤῥύη ἐνταῦθα (κατὰ τὸν Σκλευσίνερον), οὔτε τὸ ἑβρ. Sesch ἔχει συνυπακουόμενον ἔξωθεν καὶ τὸ *κεκλωσμένην* (ὡς ἔοικεν ὑποτοπάζων ὁ Ῥοδομύλλερος.)· πανταχοῦ γὰρ τῆς Ἐξόδου, ὁσάκις ἡ λέξις ἰδίως ση-

μαίνει τὸν εἰς κατασκευὴν τῶν τῆς Σκηνῆς βύσσινον μίτον, συνάπτεται κἂν τῷ ἑβρ. μετὰ τοῦ *κεκλωσμένον*, ὡς καὶ παρὰ τοῖς Ο, (Οὐβιγάντ. βλ. παρακατιὼν εἰς κεφ. λθ, 24 : ὅπου τ' ἀνάπαλιν ἐκπέπτωκεν ἐκ τοῦ ἑβρ. τὸ *βύσσος*).— στίχ. 9. Λείπει « τὸν *ἐν τῷ ὄρει* » (οἱ Ο, τὸ Σαμαρειτ. καὶ εἷς κώδ. ἑβρ. Ῥόσ.), καὶ τὸ κοινὸν ἑβρ. ἐν στίχ. 40.

Κεφ. ΚΖ. 11 καὶ 15. « *πήχεων* » (οἱ Ο, τὸ Σαμαρειτ. ἡ Βουλγ. ὁ Σύρος)· ἐκ τοῦ ἑβρ. λείπει, προφανῶς ἐκπεσόν (Οὐβιγάντ.).

Κεφ. ΚΗ. στίχ. 29 (ἑβρ. 35). Λείπει τὸ « καὶ βύσσου κεκλωσμένης ἐπὶ τοῦ λώματος » (οἱ Ο)· πρβλ. κεφ. λθ.

Κεφ. ΚΘ. 38. « Ἀμώμους » (οἱ Ο, καὶ εἷς κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει. — Αὐτόθ. « Ἑπτὰ ἡμέρας ἐπὶ τὸ θυσιαστήριον »· λείπει καὶ τοῦτο (πρβλ. Ἐξόδ. κθ, 38. Ἀλεξανδρ.). — Αὐτόθ. « Κάρπωμα ἐνδελεχισμοῦ » (οἱ Ο, τὸ Σαμαρειτ. εἷς κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει.

Κεφ. Λ. στίχ. 6. « Ἀπέναντι τοῦ καταπετάσματος τοῦ ὄντος ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου » (οἱ Ο)· τὸ δὲ νῦν ἑβρ. προστίθησι « κατὰ πρόσωπον τοῦ ἱλαστηρίου τοῦ ὄντος ἐπάνω τοῦ μαρτυρίου ». Ταῦτα τὰ πρόσθετα λείπουσιν ἔκ τε τῶν Ο, καὶ ἐκ τοῦ Σαμαρειτανοῦ, καὶ (κατὰ μέρος) ἐκ τοῦ Ἄραβος (Οὐβιγ.).

Κεφ. ΛΑ. ςίχ. 8. « Πάντα τὰ σκεύη » (οἱ Ο, τὸ Σαμαρ., ὁ Σύρος, ὁ Ἄραψ, Ταργοὺμ Ὀγκέλου καὶ Ἰωνάθαν, καὶ πολλοὶ κώδηκες ἑβραῖοι. Ῥόσσ.)· ἐκ δὲ τοῦ κοινοῦ ἑβραϊκοῦ λείπει τὸ *πάντα*· πρβλ. καὶ Ἐξόδ. λ. 27.

Κεφ. ΛΒ. ςίχ. 22. « Πρὸς Μωϋσῆν » (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἐν τῷ νῦν ἑβρ. λείπει.—στίχ. 32. « Καὶ εἰ μὲν ἀφῆς αὐτοῖς—*ἄφες* » (οἱ Ο, καὶ τὸ Σαμαρειτ.)· ἐν δὲ τῷ νῦν ἑβρ. λείπει τὸ *ἄφες* (βλ. Οὐβιγάντ.). Καὶ ἔστι μὲν ἡ τοιαύτη ἔλλειψις συνήθης καὶ παρ' Ἕλλησι· συνηθέστερον δὲ τὸ πλῆρες, καὶ οὕτως εἶχεν ἐνταῦθα καὶ τὸ ἑβρ. ὡς τὸ Σαμαρειτανὸν μαρτυρεῖ. — στίχ. 34. « *Εἰς τὸν τόπον* » (οἱ Ο, ὁ Χαλδαῖος, ὁ Ἄραψ, εἷς κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβρ. λείπει, καί τοι ἀναγκαιότατον διὰ τὸ ἐφεξῆς « *ὃν εἶπά σοι* ».

Κεφ. ΛΓ. στίχ. 3. «*Καὶ εἰσάξω σε*» (οἱ Ο, Βουλγάτ. κτλ.)· ἐκ τοῦ ἑβρ. λείπει διεκπεσόν (Οὐβιγάντ.). – στίχ. 8. «*Ἔξω τῆς παρεμβολῆς*»· λείπει (πρβλ. στίχ. 7).

Κεφ. ΛΔ. στίχ. 1· «Καὶ ἀνάβηθι εἰς τὸ ὄρος πρός με»· λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβρ. κεῖται δὲ κἀν τούτῳ ἐφεξῆς στίχ. 2 (ὅπου ὁ λόγος κατ' ἐπανάληψιν). – ϛίχ. 7. (καὶ οὐ καθαριεῖ) «*τὸν ἔνοχον*» λείπει ἡ αἰτιατικὴ ἐκ τοῦ ἑβρ. προφανῶς ἐκ τῆς ἐννοίας ἀπαιτουμένη. Οὕτω λείπει καὶ ἐν Ἀριθμ. ιδ, 18, ὅπου πάλιν ἡ φράσις ἡ αὐτή· (πρβλ. Ναοὺμ α, 3. καὶ Ἱερεμ. κθ, 12). – στίχ. 13. «Καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε ἐν πυρί» (οἱ Ο)· λείπει ὅλον τὸ κόμμα ἐκ τοῦ ἑβρ. μαρτυρεῖται δὲ ἐκ τοῦ παραλλήλου χωρίου Δευτερ. ζ, 5, 25, ὅπου κεῖται ἐν ἀμφοτέροις. – στίχ. 11. «καὶ τὸν Γεργεσαῖον» (οἱ Ο, τὸ Σαμαρ.)· ἐν τῷ ἑβρ. λείπει. – στίχ. 16. «Καὶ τῶν θυγατέρων σου δώσεις τοῖς υἱοῖς αὐτῶν» (οἱ Ο, ὁ Σύρος)· καὶ τοῦτο λείπει· μαρτυρεῖται δὲ ἐν Δευτερ. ζ. 3. ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ.

Κεφ. ΛΕ. στίχ. 3. «Ἐγὼ κύριος» (οἱ Ο). Λείπει. πρβλ. Λευΐτ. ιθ, 3. (παρ' ἀμφοτέροις).

Κεφ. ΛΘ. ϛίχ. 24. «*Ἐκ βύσσου* κεκλωσμένης» (οἱ Ο, Βουλγάτ. Σύρος, Σαμαρειτ., Χαλδαῖος, Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ.)· λείπει τὸ ἀναγκαιότατον *βύσσου* (Οὐβιγ. βλ. ἀνωτέρ. εἰς Κεφ. κε, 4).

Κεφ. Μ. στίχ. 17. «Ἐκπορευομένων αὐτῶν ἐξ Αἰγύπτου» (οἱ Ο, καὶ τὸ Σαμαρειτ.)· ἐκ τοῦ ἑβρ. λείπει, καί τοι ἀπαιτούμενον ἀναγκαίως (Ῥοδομύλλερος, Καχήν).

§. ε. Ἐκ τοῦ Λευϊτικοῦ.

Κεφ. Α. ϛίχ. 11. «Καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· μαρτυρεῖται δὲ ἐκ τοῦ προηγουμένου 4 στίχ. (ὅπου κεῖται ἐν ἀμφοτέροις τοῖς κειμένοις)· ἀπαιτεῖται δὲ καὶ ὑπὸ τῆς ἀναλογίας (ταὐτὰ γὰρ ὁ νόμος κελεύει ἐπί τε τῆς τοῦ βοός, καὶ τῆς τοῦ προβάτου θυσίας. πρβλ. καὶ κεφ. ις. 21).

Κεφ. Β. στίχ. 1. «Θυσία ἐστί» (οἱ Ο, καὶ τὸ Σαμαρειτ.)· ἐκ τοῦ ἑβρ. λείπει· ἀλλ' ἐν στίχ. 15 κεῖται παρ' ἀμφοτέροις.

Κεφ. Γ. ςίχ. 2. «Ἐναντίον κυρίου» (οἱ Ο)· λείπει καὶ τοῦτο (βλ. στίχ. 7. Οὕτω καὶ κεφ. δ, 2, 4. πρβλ. Δευτερ. α, 21, θ, 16).— στίχ. 5. λείπει τὸ «*Τοῦ θυσιαστηρίου*» (οἱ Ο, καὶ τὸ Σαμαρειτ. βλ. Οὐβιγ.).— στίχ. 8. Λείπει τὸ «*οἱ ἱερεῖς*» (οἱ Ο, ὁ Σύρος καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἀλλ' ἐν Λευΐτ. α, 5, 7, 8, κεῖται καὶ ἐν τῷ ἑβρ.— στίχ. 11. «*Ὀσμὴ εὐωδίας*» (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.)· καὶ τοῦτο λείπει. πρβλ. στίχ. 5.

Κεφ. Δ. 5. «Ὁ τετελειωμένος τὰς χεῖρας» (οἱ Ο, τὸ Σαμαρ.)· ἐκ τοῦ ἑβρ. λείπουσιν αἱ λέξεις (ἴσως ἑκουσίως ἀφαιρεθεῖσαι. βλ. Οὐβιγάντ. αὐτόθ.).— στίχ. 6. καὶ 17. «*τοῦ ἁγίου*» (οἱ Ο, τὸ Σαμαρ. κώδ. ἑβρ. Ῥόσσ.)· ἐν τῷ ἑβρ. λείπει.— στίχ. 7, καὶ 17. Λείπει ἐκ τοῦ ἑβρ. τὸ «*τοῦ μόσχου*»· πρβλ. στίχ. 5 (ἐν ἀμφοτέροις).— στίχ. 14. «*Παρὰ τὰς θύρας*» (οἱ Ο, Βουλγάτ., καὶ κώδ. ἑβρ. Ῥόσσ.)· λείπει καὶ τοῦτο (πρβλ. καὶ στίχ. 4).— στίχ. 18. «*Τῶν θυμιαμάτων τῆς συνθέσεως*»· λείπει ἐκ τοῦ ἑβρ. ἀλλ' ἐν στίχ. 7, κεῖται ἐν ἀμφοτέροις.— στίχ. 27. Λείπει τὸ *πασῶν*, ἐκ τοῦ «πασῶν τῶν ἐντολῶν» (οἱ Ο, τὸ Σαμαρ. ὁ Χαλδ. ὁ Κόπτ. τὰ Ταργούμ., κώδ. ἑβρ. Ῥόσσ. πρβλ. καὶ Λευΐτ. δ, 22).— στίχ. 29. «Ἐν τῷ τόπῳ τοῦ ὁλοκαυτώματος» (τὸ ἑβρ.)· «Ἐν τῷ τόπῳ *οὗ σφάζουσι* τὰ ὁλοκαυτώματα» (οἱ Ο, τὸ Σαμαρ. ὁ Σύρος. πρβλ. καὶ στίχ. 24, καὶ 33. Οὐβιγ.).

Κεφ. Ε. ςίχ. 6. «Ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπουσιν αἱ λέξεις· κεῖνται δὲ ἐν δ, 35, παρ' ἀμφοτέροις.— στίχ. 8. Λείπει καὶ τὸ *ἱερεὺς* (οἱ Ο, κώδ. ἑβρ. Ῥόσ.).

Κεφ. Ϛ. ςίχ. 9. «Οὐ σβεσθήσεται» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· βεβαιοῦται δὲ ἐκ τῶν ςίχ. 12. καὶ 13.— στίχ. 33. «Καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐντοσθίων» (οἱ Ο, καὶ τὸ Σαμαρ.)· ἐκ τοῦ ἑβρ. λείπει· κεῖται δὲ κἀν τούτῳ, κεφ. δ, 8.

Κεφ. Θ. στίχ. 21. «(συνέταξε) κύριος τῷ Μωϋσῇ» (οἱ Ο, τὸ Σαμαρειτ. Ταργοὺμ Ἰωνάθ. καὶ κώδ. ἑβρ. Ῥόσσ.)· τὸ δ' ἑβρ. «συνέταξε Μωσῆς».

Κεφ. Ι. ςίχ. 1. «*Οἱ δύω* υἱοὶ Ἀαρὼν» (οἱ Ο, τὸ Βατικ. Ἀλδ.

κώδ. Ὅλμητ. ὁ Ἄραψ, ἡ Ἐνετικὴ ἑρμην. « τῷ υἱῷ τοῦ Ἀαρῶνος » [δυϊκῶς], καὶ κώδ. ἑβρ., καὶ κώδ. Ταργούμ. βλ. Ῥόσσ. Τ. 1. σελ. 93). Ἐκ τοῦ ἑβρ. λείπει τὸ «οἱ δύω».– στίχ. 6. « Τοὺς καταλελειμένους » (οἱ Ο)· λείπει καὶ τοῦτο· ἀλλ' ἐν στίχῳ 12, κεῖται παρ' ἀμφοτέροις. – στίχ. 9. « Προσπορευομένων ὑμῶν πρὸς τὸ θυσιαστήριον » (οἱ Ο)· λείπει καὶ τοῦτο· κεῖται δὲ ἐν Ἐξόδ. λ. 20, παρ' ἀμφοτέροις. – στίχ. 15. λείπει τὸ « *τῷ Μωϋσῇ* » (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.).

Κεφ. ΙΑ. στίχ. 3. Λείπει τὸ « *κτῆνος* » (οἱ Ο)· καὶ τὸ *δύω* (χηλῶν), ὅπερ ἔχουσιν οἱ Ο, τὸ Σαμαρ. ὁ Σύρος, κώδ. ἑβρ. (Ῥόσσ.)· μαρτυρεῖται δὲ καὶ ἐκ τοῦ Δευτερ. ιδ, 6 (Καχήν). – στίχ. 4. «*Τῶν διχηλούντων τὰς ὁπλὰς*» (οἱ Ο)· λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβρ. (πρβλ. στίχ. 7). – στίχ. 21. « Ἃ *ΟΥΚ ἔχει* σκέλη » (τὸ ἑβρ.)· « Ἃ *ἔχει* σκέλη » (οἱ Ο, τὸ Σαμαρειτ. αἱ πλεῖσται τῶν ἀρχαίων μεταφράσεων, τὰ Ταργοὺμ, πολλοὶ κώδ. ἑβρ., καὶ ἐν τῷ περισελίδῳ (κερὶ) τοῦ κοινοῦ ἑβρ. κειμένου. Οὐβιγάντης, Ῥόσσις, Καχήν. βλ. ὄπισθ. σελ. 249). – στίχ. 26. « Ἕως ἑσπέρας »· καὶ τοῦτο λείπει· κεῖται δὲ στίχ. 24, 28, 31, καὶ ιε, 8, ἐν ἀμφοτέροις.–Αὐτόθ. « (ὁ ἁπτόμενος) *τῶν θνησιμαίων αὐτῶν* » (οἱ Ο, τὸ Σαμαρειτ. κώδ. ἑβρ. Ῥόσσ)· ἐκ τοῦ ἑβρ. λείπει (καί τοι τῶν ὧν οὐκ ἄνευ· ὁ γὰρ τῶν θνησιμαίων ἁπτόμενος, ἐκεῖνος ἀκάθαρτος ἦν. πρβλ. στίχ. 27, 28. Καχὴν, Οὐβιγ.). – στίχ. 31 « Τῶν ἐπὶ τῆς γῆς »· λείπει καὶ τοῦτο (πρβλ. 29) – ϛχ. 36. λείπει τὸ « *Ὑδάτων* » (οἱ Ο, τὸ Σαμαρ.).– στίχ. 40 « *Καὶ λούσεται ὕδατι* » (οἱ Ο, καὶ εἷς κώδ. ἑβρ. Ῥόσσ. τόμ. 1. σελ. 95)· ἐν τῷ ἑβραϊκῷ λείπει. – στίχ. 44. « Κύριος ὁ Θεὸς ὑμῶν » (οἱ Ο, τὸ Σαμαρειτ. καὶ κώδηκ. ἑβρ. Ῥόσσ.)· ἐν τῷ ἑβραϊκῷ λείπει.

Κεφ. ΙΒ. στίχ. 7. « *Ὁ ἱερεὺς* » (οἱ Ο, τὸ Σαμαρ. ὁ Σύρος, κώδ. Ῥόσσ.), λείπει καὶ τοῦτο (ὡσαύτως καὶ ιγ, 50, 54. βλ. Οὐβιγάντ., Ῥόσσ.).

Κεφ. ΙΓ. 4. « Αὐτὴ δὲ ἐστὶν ἀμαυρά ». Λείπουσι καὶ ταῦτα, κυροῦνται δὲ ἐκ τῶν ϛίχ. 6, 26, 28, ὅπου κεῖνται καὶ ἐν τῷ ἑβρ.–

στίχ. 22 καὶ 27 «*Ἐν τῷ ἕλκει ἐξήνθησεν*» (οἱ Ο). ἐκ τοῦ ἑβρ. λείπουσιν· ἀλλ' ἐν στίχ. 20 κεῖνται παρ' ἀμφοτέροις.

Κεφ. ΙΔ. ςχ. 10. «*Ἐνιαυσίους*» (οἱ Ο, τὸ Σαμαρειταν.)· ἐκ τοῦ ἑβρ. λείπει. — στίχ. 24, τὸ ἑβραϊκὸν ἔχει δὶς κατ' ἐπανάληψιν τὸ *ἱερεύς*· ἀλλ' οἱ Ο, ἡ Βουλγάτα, ὁ Ἄραψ, τὸ Σαμαρειτ. καὶ κώδηκ. ἑβρ. (Ῥόσσ.) οὐκ ἔχουσι τὸ δεύτερον *ἱερεύς*. — στίχ. 20. «*Ἔναντι Κυρίου*» (οἱ Ο, τὸ Σαμαρειτ.). ἐκ τοῦ ἑβρ. λείπει. — στίχ. 47. «Καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας» (οἱ Ο). λείπει· κεῖται δὲ ἐν στίχ. 46· καὶ τὸ νόημα τοῦτ' ἀπαιτεῖ.

Κεφ. ΙΕ. 3. «Καὶ οὗτος ὁ νόμος τῆς ἀκαθαρσίας αὐτοῦ» κτλ. (οἱ Ο). Τοῦ στίχου τούτου, τὰ μὲν πλεῖστα κεῖνται καὶ ἐν τῷ Σαμαρειτ. ὀλίγα δέ τινα κατελείφθησαν ἐν τῷ ἑβραϊκῷ, τῶν λοιπῶν ἐκρυέντων (Οὐβιγάντ., Καχήν). — ςίχ. 9. «*Ἕως ἑσπέρας*» (οἱ Ο, ὡς καὶ ἐν τοῖς προηγουμένοις στίχοις). ἐκ τοῦ ἑβρ. λείπει (Καχήν). — ςχ. 12. «Καὶ καθαρὸν ἔσται» (οἱ Ο). λείπει καὶ τοῦτο· μαρτυρεῖται δὲ ἐν στίχῳ 13.

Κεφ. ΙϚ. ςχ. 1. «*Πῦρ ἀλλότριον*» (οἱ Ο, ἡ Βουλγάτα)· ἐκ τοῦ ἑβραϊκοῦ λείπει· πρβλ. κεφ. Ι. 1. καὶ Ἀριθμ. γ, 4 (παρ' ἀμφοτέροις). — στίχ. 24. «Καὶ περὶ τοῦ οἴκου αὐτοῦ» (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.). ἐκ τοῦ ἑβρ. λείπει. Ὡσαύτως καὶ τὸ «καὶ περὶ τῶν ἱερέων» (ςίχ. 20: πρβλ. 33).

Κεφ. ΙΖ. 3. «Ἢ τῶν προσηλύτων, τῶν προσκειμένων ἐν ὑμῖν» (οἱ Ο). Λείπουσι ταῦτα ἐκ τοῦ ἑβρ. κεῖνται δὲ στίχ. 10 (πρβλ. καὶ ιη, 26: κ, 2. παρ' ἀμφοτέροις). — στίχ. 4. Λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ «*Ὥστε ποιῆσαι αὐτὸ εἰς ὁλοκαύτωμα, ἢ σωτήριον κυρίῳ δεκτὸν* κτλ. ἕως τοῦ *προσενέγκαι*» (οἱ Ο, τὸ Σαμάρ. βλ. ὄπισθ. σελ. 376)· Τὴν ἔλλειψιν ταύτην καὶ Καπέλλιος ὁμολογεῖ, καὶ Καχὴν ὁ Ἰουδαῖος· ὁ δὲ Ῥοδομύλλερος καὶ πρὸ τούτου Οὐβιγάντης μάτην ἔκριναν περιττεύοντα τὰ λόγια

Κεφ. ΙΗ. 5. «*Πάντα* (τὰ κρίματά μου· ἐγὼ κύριος) *ὁ Θεὸς ἡμῶν*» (οἱ Ο) αἱ τρεῖς λέξεις λείπουσιν ἐκ τοῦ ἑβρ. (πρβλ. στίχ. 4, 26, 30, καὶ κεφάλ. κ, 22 κτλ.). — στίχ. 21. «Καὶ ἀπὸ

τοῦ σπέρματός σου οὐ δώσεις *λατρεύειν ἄρχοντι* » (οἱ Ο, τὸ Σαμαρειτ. ἡ Ἑνετικ. ἑρμηνεία [«τῷ βασιλεύοντι»], ὁ ῥαβδὶς Βὲν Οὐζιήλ. βλ. Καχῆνα). Τὸ δὲ νῦν ἑβρ., « ἀπὸ τοῦ σπέρματός σου οὐ δώσεις εἰς τὸ διαβιβάζειν τῷ Μολὸχ » (δηλονότι, καθὼς ἐπεξηγοῦσι, διαβιβάζειν *διὰ τοῦ πυρὸς*, ἢ κατακαίειν εἰς θυσίαν τῷ εἰδώλῳ Μολόχ· βλ. γ. Βασιλ. ια, 7 : δ, Βασ. κγ, 10: Ἱερεμ. λθ, [ἑβρ. λβ] 35. κτλ.). Ἀλλὰ τοῦτο σφάλμα παρὰ γράμμα· οἱ Ο, ἀνέγνων Αβιδ (abid) λατρεύειν (δουλεύειν, ὑπηρετεῖν, ἄρχοντι ἀπίστῳ δηλαδή), ὅπερ ἡ τοῦ Ἰουδαίου μεταγραφέως ἀβλεψία ἔγραψεν Αβιρ (abir), διάγειν, διαβιβάζειν· ὅθεν καὶ τὸ *Μελὲχ* (ἄρχων, βασιλεὺς) ἐξέλαβον ἀντὶ κυριωνυμίας τοῦ εἰδώλου *Μολὲχ* (Μολὸχ), ὅπερ καὶ τοῦτο κυρίως *ἄρχοντα*, βασιλέα, σημαίνει. Βλέπε καὶ Ῥοδομύλλερον αὐτόθ. ὅστις ὅμως τὴν τῶν Ο, καὶ τοῦ Σαμαρειταν. ἀνάγνωσιν ὠνόμασε παραδόξως *παραδιόρθωσιν*, δέον μᾶλλον τὴν ἰουδαϊκὴν ἐξελέγξαι *παραγραφήν*. Εἰλικρινέστερος δὲ καὶ ὧδε ὁ Ἰουδαῖος Καχὴν, ὁμολογῶν, ὅτι τὸ *διαβιβάζειν* (abir) οὐκ ἔχει τὸ *διὰ τίνος* (τὸ γὰρ *διὰ πυρὸς* ἐπινοοῦσιν ἔξωθεν αὐτογνωμόνως οἱ νεώτεροι ἐξηγηταὶ, σοφώτεροι Μωσέως εἶναι βουλόμενοι· ὅστις, εἴπερ εἶχε κατὰ νοῦν τὰ τῶν ἐξηγητῶν τούτων, οὐκ ἂν παρίλιπε τὸ *διὰ πυρὸς*, ὡς εἴθισται ἡ φράσις καὶ ἀλλαχοῦ τῆς Γραφῆς (οἷον Δευτερ. ιη, 10. κτλ.). Τὸ δὲ δουλεύειν, ὡς ἔχουσιν οἱ Ο, ἀβίαστόν ἐστι καὶ ὁμαλὸν (βλ. Οὐβιγάντ.). τὰ αὐτὰ σημειωτέον καὶ ἐφεξῆς κεφ. κ, 2—5, ὅπου πάλιν ἡ αὐτὴ φράσις, καὶ τρανώτερον ἐκφράζει τὸν λόγον τῆς ἐντολῆς.

Κεφ. ΙΘ. στίχ. 23. «Ἣν κύριος ὁ Θεὸς ὑμῶν *δίδωσιν ὑμῖν*» (οἱ Ο). ἐκπέπτωκε καὶ τοῦτο ἐν τῷ ἑβρ. πρβλ. κγ, 10: κε, 2, ὅπου κεῖται παρ' ἀμφοτέροις.

Κεφ. Κ. στίχ. 7. « Ἅγιος ἐγὼ» (οἱ Ο, τὸ Σαμαρ. ὁ Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ. πρβλ. καὶ Λευΐτ. ια, 44: ιθ, 2: καὶ Α. Πέτρ. α, 16). ἐκ τοῦ ἑβραϊκοῦ λείπει.

Κεφ. ΚΒ. στίχ. 4. «*Τοῦ ἱερέως*» (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβραϊκοῦ λείπει. Καὶ στίχ. 18, λείπει « *τῶν προσκειμένων* »

(οἱ Ο. Βουλγ. Σύρος, Ἄραψ, τὸ Σαμαρ. καὶ κώδ. ἑβρ. Ῥόσσ. πρβ. κεφάλ. ιζ, 3).

Κεφ. ΚΓ. ςίχ. 19. «Μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος» (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. κεῖται δὲ ςχ. 20 παρ' ἀμφοτέροις·—ςίχ. 20. «Τῷ προσφέροντι αὐτὰ αὐτῷ ἔσται» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπουσι· κεῖνται δὲ ἐν κεφ. ς, ςχ. 39 (ἑβρ. ζ, 9) παρ' ἀμφοτέροις.

Κεφ. ΚΔ. ςίχ. 7. «*Καὶ ἅλας*» (οἱ Ο, Φίλων, Βίῳ Μωσ. γ, 19.)· λείπει· ἀλλὰ μαρτυρεῖται ἐκ τῶν κεφ. β, 13 (Οὐβιγ.).

Κεφ. ΚΕ. στίχ. 35 «Ὁ μετὰ σοῦ» (οἱ Ο, τὸ Σαμαρ.). ἐκ τοῦ ἑβρ. λείπει.

Κεφ. ΚϚ. ςίχ. 24. «Θυμῷ πλαγίῳ» (οἱ Ο, κώδ. ἑβρ. Ῥόσσ.)· ἐν δὲ τῷ νῦν ἑβρ. μόνον τὸ *πλαγίως* (ἢ *ἐναντίον*)· ἀλλὰ τὸ *θυμῷ* μαρτυρεῖται καὶ στίχ. 28, ὅπου κεῖται παρ' ἀμφοτέροις. — ςίχ. 45. «Ἐξ οἴκου δουλείας» (οἱ Ο)· λείπει καὶ τοῦτο· κεῖται δὲ κἀν τῷ ἑβρ. Ἐξόδ. ιγ, 3 (α).

§. ς. Ἐκ τῶν Ἀριθμῶν.

Κεφ. Α. στίχ. 26, 28, 30, 32, 34, 36, 40, 42. λείπουσιν ἐκ τοῦ ἑβρ. τὸ «*κατὰ κεφαλὴν*» καὶ τὸ «*πάντα ἀρσενικὰ*», ἅπερ ἔχουσιν οἱ Ο, συμφώνως τοῖς στίχοις, 2, 20, 22 (ἐν οἷς κεῖνται καὶ ἐν τῷ ἑβρ.) συνεχῶς ἐπαναλαμβανόμενα, καθὸ τύπος καθολικὸς τῆς ἀπαριθμήσεως ἑκάστης τῶν ιβ, φυλῶν· τοῖς δὲ ῥαββίνοις, ὡς ἔοικεν, ἐπὶ μὲν τῆς φυλῆς Ῥουβὴν, καὶ τῆς τοῦ Συμεὼν αἱ λέξεις αὗται ἔδοξαν ἀναγκαῖαι, ἐπὶ δὲ τῶν ἑτέρων δέκα φυλῶν, περιτταί! Συγκέχυται δὲ καὶ ἡ τάξις τῶν ὀνομάτων τῶν

(α) Μετριώτεραι φαίνονται ἐν τῷ Λευϊτικῷ αἱ τοῦ Μασοριτ. κειμένου πρὸς τοὺς Ο, διαφοραί, διὰ τὴν ἐν ταῖς νομικαῖς πράξεσι μάλιστα καθημερινὴν τοῦ βιβλίου χρῆσιν· ἀλλὰ καὶ οὕτω καταφαίνεται ἥ,τε τῶν ἰουδαϊκῶν ἀντιγραφέων, καὶ ἡ τῶν Μασοριτῶν καὶ ῥαββίνων ἐκβαρβάρωσις. Οἵτινες, παρακολουθοῦντες ἴσως καὶ κώδηξιν ἔκπαλαι λελωβημένοις, οὐδὲ κατ' αὐτὰ τὰ ἔθιμα τῶν θυσιῶν καὶ τ' ἄλλα τὰ πρὸς ἱεροτελεστίαν ἀνήκοντα ἔβλεπον ἐν τῷ ἑβραϊκῷ τὰς φράσεις κεκολοβωμένας, ὡς ἐκ τῶν παραλλήλων χωρίων πολλάκις, καὶ ἐξ ἄλλων πάλιν ἑβρ. κωδήκων ἀποδείκνυται. Ὁ δὲ διασκευαστικώτατος Τοίπλερος ὀνειρευέσθω ὅσας θέλει τῶν Ο, διασκευάς (βλ. Toepler l. c. p. 13).

φυλῶν, ἄλλως τεταγμένων παρὰ τοῖς Ο (βλ. Καχῆν. αὐτόθ.) — στίχ. 42. Τὸ ἑβρ. ἔχει περιττεύουσαν λέξιν τὸ *ἐπεσκεμμένοι* (ἀπαριθμηθέντες)· τοῦτο δ' οὐκ οἴδασιν οἱ Ο, ὁ Σύρος, τὸ Ταργοὺμ, καὶ πλεῖστοι κώδ. ἑβραῖοι (Ῥόσσ.). — στίχ. 47. « Ἐν τοῖς υἱοῖς Ἰσραὴλ » (οἱ Ο, καὶ κώδ. Ῥόσ.)· τὸ δὲ νῦν ἑβρ., «ἐν αὐτοῖς ».

Κεφ. Β. 7, 14, 20, 22, 29, λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ « *Καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ* » (οἱ Ο, κατὰ τὸν ἐν στίχ. 5, καθολικὸν τύπον τοῦ διορισμοῦ τῆς στρατοπεδείας, ὅπου κεῖνται αἱ λέξεις καὶ ἐν τῷ ἑβρ. κεῖνται δ' ἐν τούτῳ προσέτι καὶ στίχ. 12, 27· ὡσαύτως καὶ ϛίχ. 20, ἔν τισι κώδ. ἑβρ. (Ῥόσ.), μαρτυροῦσαι τὴν ἀπὸ τῶν ἄλλων στίχων ἔκπτωσιν αὐτῶν, ἐν οἷς διεσώθησαν ὁμαλῶς παρὰ τοῖς Ο).

Κεφ. Γ. ϛχ. 10. « Καὶ πάντα τὰ κατὰ τὸν βωμὸν (ἄλλ. το θυσιαστήριον), καὶ ἔσω τοῦ καταπετάσματος » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει. Καὶ στίχ. 12. λείπει τὸ « λύτρα αὐτῶν ἔσονται » (οἱ Ο, καὶ τὸ Σαμαρειτ. πρβλ. Ῥοδομύλλ.). — στίχ. 16. « καὶ Ἀαρὼν » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. κυροῦται δὲ ἐκ τοῦ 39 στίχ. ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ. (καί τοι περιεστιγμένον ὑπὸ τῶν Μασοριτῶν, ὡς λεῖπον ἴσως ἔκ τινων τῶν κατ' αὐτοὺς κωδήκων)· ἔχουσι δὲ τοῦτο καὶ ἡ Βουλγάτα, καὶ πᾶσαι αἱ λοιπαὶ μεταφράσεις (πρβλ. Κλέρικον, Σχούλζιον, Ῥοδομύλλερον, Καχῆνα).

Κεφ. Δ. 3, 23, 30, 35, 39, 43, 47 (οἱ Λευῖται) « *Ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν* καὶ ἐπάνω »· (οἱ Ο, πρβλ. Ὠριγέν. εἰς Ἀριθμ. δ, καὶ Φίλων τόμ. α. σελ. 203). Τὸ δὲ νῦν ἑβρ. « *ἀπὸ τριάκοντα* ἐτῶν ». Ἡ φθορὰ παλαιὰ (ἧς μετέσχε καὶ τὸ παραδιορθωθὲν Σαμαρειτ. καὶ ἡ Βουλγ. καὶ ἄλλαι μεταφράσεις). Ἀλλ' ἐξελέγχεται λαμπρῶς ἐφεξῆς ἐν κεφ. η, 24, ὅπου καὶ τὸ ἑβρ. καὶ τὸ Σαμαρειτ. καὶ ἡ Βουλγάτα, καὶ πᾶσαι αἱ ἀρχαῖαι μεταφράσεις ἔχουσιν (ὡς κᾀκεῖ οἱ Ο), « *ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν* ». Ὅθεν καὶ αὐτὸς ὁ ἰουδαῖος Καχὴν τοῦτον τὸν ἀριθμὸν εὑρίσκει ὀρθὸν « *καὶ φυσικόν* ». Ἀλλ' ὁ κλεινὸς Ῥοδομύλλερος, « Ἐπειδὴ (φησὶ) τὸ Σαμαρειταν. καὶ αἱ ἀρχαῖαι μεταφράσεις συμφωνοῦσι μετὰ τοῦ Μασοριτι-

κοῦ μόνου (εἰς τὸ Δ, στίχ. 3), *ἀναμφίβολόν* ἐστιν, ὅτι οἱ Ο πρὸς τὸ δοκοῦν μετεποίησαν τὸν ἀριθμὸν, ἵνα μὴ πρὸς ἑαυτὸν ὁ Μωϋσῆς διαφωνῇ». Ὁμολογεῖ λοιπὸν ὁ κριτικὸς, ὅτι καὶ οἱ Ο τὸν 25 ἀριθμὸν ἀνέγνωσαν ἐν κεφ. η, 24, ὡς ἔχει καὶ τὴν σήμερον τὸ ἑβραϊκόν· πῶς τοίνυν οὐκ ἀνέγνωσαν τὸν αὐτὸν ἀριθμὸν καὶ ἐν Δ, 3; κτλ. Πῶς δὲ καὶ αὐτὸς ὁ θεῖος ὁ Μωϋσῆς διάφωνα πρὸς ἑαυτὸν νομοθετεῖ; ἢ μήπως ἡ τῶν Μασοριτῶν καὶ τῶν νεωτέρων Σαμαρειτῶν, καὶ ἡ τῶν ἄλλων ἐκ τοῦ διεφθορότος ἑβραϊκοῦ μεταφράσεων ἡμαρτημένη γραφὴ πιστοτέρα κρίνεται τῆς ἐν τῷ η, κεφ. παρ' ἅπασι, κἂν αὐτῷ τῷ ἑβρ., διατηρηθείσης ἀκραιφνοῦς καὶ γνησίας τοῦ Μωσέως γραφῆς; Παράδοξα δοκοῦσι ταῦτα, καὶ μόλις πρέποντα ῥαββίνοις, οἵτινες θεραπεύοντες τὴν περὶ τὰ ἔτη διαφωνίαν τοῦ ἑβρ., διεμυθολόγησαν τοὺς Λευΐτας ἀπὸ μὲν *εἰκοσιπενταετοῦς* τὰ κουφότερα τῆς σκηνῆς βαστάζειν ἐθιζομένους, ἀπὸ δὲ τῶν 30, ἐτῶν καὶ ἐφεξῆς εἰς βαρυτέρας εἰσαγομένους ὑπηρεσίας, καὶ ὅσα τοιαῦτα ληροῦσιν ἐκεῖνοι, οἷς καὶ Δρούσιος ὁ πάνυ συνήνεσε (Σημ. αὐτόθ.). Ἀντεῖπε δέ πως ὁ Γρότιος (αὐτόθ.), μνημονεύων τὰ Α, Παραλ. κγ, 24, 27 (ὅπου ἐπὶ τοῦ Δαβὶδ οἱ Λευῖται «*καὶ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω ἐποίουν τὰ ἔργα τῆς λειτουργίας Κυρίου*»). Ἐξεσύριξε δὲ καὶ αὐτὸς ὁ Ῥοδομύλλερος (αὐτόθ.) ἀποπτύων τὰ ῥαββινικὰ ταῦτα, ὡς ἄγνωστα τῇ θείᾳ Γραφῇ (προσέθηκε δ' ἂν, ὅτι καὶ ἀντιλέγουσιν· εἴ γε τοὺς Λευΐτας ΠΑΝΤΑ τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ποιεῖν κελεύει τὸ θεῖον λόγιον, Ἀριθμ. δ. 3. κτξ. πρβλ. α, 50. η, 24) (α). Ἄλλος δέ τις οὐχ ἧττον διάσημος κριτικὸς, ὁ Φάτηρ (Vater), δραξάμενος ταυτησὶ τῆς τοῦ νῦν ἑβρ. διαφωνίας, μηδενὸς δὲ λόγου τοὺς Ο, ἀξιῶν, ἐπενόησεν ὀρθολογικώτερον (ὡς εἴωθε πολλάκις) ἄλλον

(α) *Οὕτω καὶ τὸν τοῦ νομικοῦ πολὺ τελειότερον καὶ ἱερώτερον Λευΐτην (τὸν ἱεροδιάκονον) ἐν τῇ θείᾳ τῆς χάριτος οἰκονομίᾳ εἰκοσιπενταετῆ χειροτονεῖσθαι θεσπίζει ἡ τοῦ Χριστοῦ Ἐκκλησία. Τριακονταετῆ δὲ τὸν πρεσβύτερον· «καὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς ἐν τῷ 30, ἔτει ἤρξατο διδάσκειν». βλ. τῆς ς, Οἰκουμενικ. κανόν. ιδ, καὶ Νεοκαισ. κανόν. ια. πρβλ. Γρηγορ. Ναζ. εἰς τὰ φῶτα λόγ. α.* Hieron. Epist. ad Paul.

μὲν τὸν συγγραφέα τοῦ Δ, κεφ. τῶν Ἀριθμῶν, ἕτερον δὲ τὸν συῤῥάπτην τῆς ἐν τῷ η, κεφ. περικοπῆς! Ἀλλὰ γὰρ ἐξέστω τοῖς περὶ τὸν Φάτερον μεγάλα τερατολογεῖν· οἵτινες καὶ κατὰ πάσης τῆς Πεντατεύχου μαψιδίως κατεφρυάξαντο (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 644). — ςχ. 14. « *Καὶ λήψονται ἱμάτιον πορφυροῦν, καὶ συγκαλύψουσι* κτλ. μέχρι τοῦ, *ἐπὶ τοὺς ἀναφορεῖς* » (οἱ Ο, καὶ τὸ Σαμαρ. βλ. ὄπισθ. σελ. 377). Πάντα ταῦτα λείπουσιν ἐκ τοῦ νῦν ἑβρ. Ἀλλὰ τὴν κολόβωσιν ταύτην τοῦ Μασοραίου κειμένου ὁμολογοῦσι καὶ τῶν νεωτέρων κριτικῶν οἱ ἐπισημότατοι (Καπέλλιος, Γρότιος, Οὐβιγάντης, Σχούλζης, Ῥοδομύλλερος, καὶ αὐτὸς ὁ Καχήν). Τοιούτων οὖν ἐλλείψεων ἐν τῷ νῦν ἑβρ. προφανῶς ὁμολογουμένων, ἴτωσαν ἔπειτα, καὶ κρατείτωσαν δράγδην οἱ κριτικοὶ τά τε ἄλλα σφάλματα τοῦ Μασοραίου κειμένου, καὶ τὴν ἀνωτέρω ψευδογραφίαν τῶν 30 ἐτῶν, ἀντὶ τοῦ γνησίου ἀριθμοῦ τῶν 25. — στίχ. 40. « Κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν » (οἱ Ο, καὶ τὸ κοινὸν ἑβρ.)· ἐν ἄλλοις δὲ κώδηξιν ἑβραίοις λείπει τὸ κόμμα παντάπασιν· ἔν τισι δὲ φαίνονται τούτου ἴχνη ἐξαλειφθέντος. Ὅθεν οὐδ᾽ ἐν τῇ Βουλγάτᾳ κεῖται, οὐδ᾽ ἐν τῷ Ταργούμῳ, οὐδ᾽ ἐν τῷ Ἄραβι (βλ. Ῥόσσ. τόμ. β. σελ. 6). Κείσθω καὶ τοῦτο δεῖγμα τῆς μετὰ τὸν β, αἰῶνα παλαιᾶς τῶν ἑβραϊκῶν χειρογράφων ταραχῆς, καὶ τῆς ἐπὶ λόγῳ διορθώσεως ποικίλης αὐτῶν διαστροφῆς (βλ. ὄπισθ. σελ. 163). — στίχ. 41. Λείπει ἐκ τοῦ ἑβρ. τὸ « *ἐν χειρὶ Μωϋσῇ* »· (οἱ Ο, Ταργοὺμ. Ἰωνάθ. κώδ. ἑβρ. Ῥόσσ.). πρβλ. στίχ. 37, καὶ 45, ἐν ἀμφοτέροις.

Κεφ. Ε. ςχ. 9. Λείπει ἐκ τοῦ ἑβραϊκοῦ τὸ « *τῷ ἱερεῖ* » (οἱ Ο), κώδ. ἑβρ. Ῥόσσ. πρβλ. ςχ. 8.

Κεφ. Ζ. ςχ. 72 καὶ 78. Ἐπαναλαμβάνεται δὶς τὸ *ἡμέρα* ἐν τῷ ἑβρ. Ἐν δὲ τοῖς Ο, ἅπαξ (οὕτω καὶ Καχήν).

Κεφ. Θ. ςχ. 16. Λείπει ἐκ τοῦ ἑβρ. τὸ *ἡμέρας* (οἱ Ο, Βουλγάτ. Σύρ. Καχήν)· πρβλ. Ἐξόδ. μ, 38, ἐν ἀμφοτέροις.

Κεφ. Ι. ςχ. 6. « Καὶ *σαλπιεῖτε σημασίαν τρίτην*, κτλ. τοῦ ςίχου μέχρι τοῦ « *πρὸς βοῤῥᾶν* » (οἱ Ο). Λείπουσι καὶ ταῦτα ἐκ τοῦ ἑβρ.

καί τοι ἀναγκαιότατα πρὸς ἀπόδοσιν τῆς ἐννοίας· λείψανον δὲ τούτων ἔνεστιν ἐν τῷ Σαμαρειτικῷ· καὶ ἡ Βουλγάτα βλέπουσα τὴν ἔλλειψιν, ἀνεπλήρωσεν (ἢ μετέφρασεν, ἴσως εὑροῦσα ἐν τῷ κατ' αὐτὴν ἑβραϊκῷ τὴν ἀναπλήρωσιν) οὕτω « *Κατὰ ταῦτα καὶ οἱ λοιποὶ ποιήσουσι* » (βλ. Οὔβιγ. καὶ Καχῆν.)· καὶ ὁ Κλέρικος ἀπορεῖ, πῶς ἐν μὲν τῷ γ, κεφαλαίῳ δωδεκάκις ἐπαναλαμβάνονται τὰ αὐτὰ, ἐνταῦθα δὲ παραλείπονται, καί τοι ἀναγκαιότατα.

Κεφ. ΙΓ. 30. « *Καὶ ὁ Εὐαῖος* » (οἱ Ο)· λείπει· πρβλ. Ἐξόδ. λγ, 2.

Κεφ. ΙΔ. ϛχ. 10. Λείπει καὶ τὸ « *ἐν νεφέλῃ* » (οἱ Ο, ὁ Σύρ., Ταργοὺμ Ἰωνάθ· πρβλ. καὶ Ἐξόδ. ιϛ, 10, ἐν ἀμφοτέροις). — στίχ. 12. « Καὶ τὸν οἶκον τοῦ πατρός σου (οἱ Ο, τὸ Σαμαρ.) ἐκ τοῦ ἑβραϊκοῦ λείπει. — στχ. 32. Τὸ ἑβρ. « Καὶ *τὰ πτώματα* » (αὐτῶν ὑμῶν πεσεῖται). Οἱ δὲ Ο, « *Καὶ τὰ κῶλα ὑμῶν* » κτλ. Οὕτω καὶ ὁ θεῖος Παῦλος (Ἑβρ. γ, 17). — στχ. 34. « *ἡμέραν τοῦ ἐνιαυτοῦ* » (οἱ Ο, Βουλγ., Σύρ., κώδ. Ταργούμ., κώδ. ἑβρ. Ῥόσσ.). Ἐν τῷ νῦν ἑβραϊκῷ διπλασιάζονται αἱ λέξεις αὗται κατ' ἐπανάληψιν ἐξ ἀβλεψίας τοῦ ἀντιγραφέως. — στχ. 45. « Καὶ ἀπεστράφησαν εἰς τὴν παρεμβολὴν » (οἱ Ο, καὶ τὸ Σαμαρειτ.). Ἐκ τοῦ νῦν ἑβρ. λείπει· ἀλλὰ καὶ αὐτὸς ὁ Φάτηρ (Vater), καί τοι *γλώσσημα* καλῶν τὴν γνησίαν ταύτην ῥῆσιν, ἀλλ' ὅμως ἀπαρχαΐζει, ἀποδιδοὺς εἰς τὸ πρωτότυπον κείμενον τὸ ἑβρ. (βλ. καὶ Καχῆν· αὐτόθ.).

Κεφ. ΙΕ. ϛχ. 5. « Κάρπωμα ὀσμὴν εὐωδίας τῷ Κυρίῳ » (οἱ Ο), ἐκ τοῦ ἑβρ. λείπει. (πρβλ. στχ. 10). — ϛίχ. 6. « Ὅταν ποιῆτε αὐτὸν (τὸν κριὸν) εἰς ὁλοκαύτωμα, ἢ θυσίαν » (οἱ Ο), λείπει ἐκ τοῦ ἑβρ. πρβλ. στίχ. 3 (ἐν ἀμφοτέροις). — στχ. 36. « *Πᾶσα ἡ συναγωγὴ* » (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.). λείπει καὶ τοῦτο.

Κεφ. ΙϚ. 8. Τὸ ἑβραϊκὸν, « *παρακαλῶ* » (na! ὡς τὸ λατ. quaeso). Τοῦτο ἀγνοοῦσιν οἱ Ο, ἡ Βουλγάτα, ὁ Ἄραψ, καὶ κώδ. ἑβρ. Ῥόσσ.). — στχ. 15. Τὸ ἑβραϊκὸν, « Οὐδ' ἕνα *ὄνον* »· τὸ δὲ Σαμαρ. ὁ Χαλδαῖος, καὶ οἱ Ο, « *Οὐδενὸς ἐπιθύμημα* » (ὅπερ ἄλλος ἑρμηνεὺς εἶπε *δῶρον*). Βλ. ὄπισθ. σελ. 371 (πρβλ. καὶ Οὐβιγάντην, καὶ Μοντεφαλκ. Ἑξαπλ.). Ὁ δ' ἡμέτερος Προκόπιος ἀπέκλινεν (ὡς

εἴωθεν ἐνίοτε) πρὸς τὴν ἑβραίαν ἀνάγνωσιν (εἴπερ ὑγιὲς τὸ χωρίον τοῦ Προκοπίου· βλ. Σειρ. εἰς τὴν Ὀκτάτ. τόμ. α, σελ. 1271). — ςχ. 16. «*Ἁγίασον* (τὴν συναγωγήν σου), *καὶ γίνεσθε ἕτοιμοι*» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπουσι. — στίχ. 22. «Θεός, Θεὸς τῶν πνευμάτων, ΚΑΙ πάσης σαρκὸς» (οἱ Ο· οὕτω καὶ κεφ. κζ, 16)· τὸ δὲ νῦν ἑβραϊκὸν, «Θεὸς τῶν πνευμάτων *πάσης σαρκὸς*» (χωρὶς τοῦ ΚΑΙ), ἐν ἑκατέροις τοῖς χωρίοις. Ἀλλὰ δικαίως ἄν τις ἔροιτο τοὺς ἑβραϊςὰς *πόσα πνεύματα* ἔχει πᾶσα σάρξ; ἢ τίποτε νοοῦσι διὰ τούτων τῶν πνευμάτων (ἑβρ. *ρουχόθ*); Ὁ Καχὴν ἀποδίδωσιν κατὰ λέξιν «τῶν πνευμάτων τῶν ἐν πάσῃ σαρκὶ, ὡς ἔχει καὶ τὸ ἑβρ. le (=ἐν) cal baschar (πάσῃ σαρκί)· τὸ δὲ νόημα ἐξηγεῖ, ὡς τὸ αὐτὸ καὶ «*Θεὸς τῶν ἐμψύχων ὄντων*» (Dieu des êtres animés). Ἄλλοι δὲ τὸ μὲν *πνευμάτων* ἐξέλαβον ἀντὶ τοῦ *ζωῆς*, τὸ δὲ πάσης σαρκὸς ἀντὶ τοῦ, παντὸς τοῦ ἀνθρωπίνου γένους (Ροδομύλ.)· παραβάλλουσι δὲ καὶ τὸ τοῦ Ἰὼβ (ιβ, 10) «Ἐν χειρὶ αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων, καὶ πνεῦμα *πάσης σαρκὸς* ἀνθρώπου» (κατὰ τὸ ἑβρ.). Ἀλλὰ τοῦτο μὲν οἱ Ο καὶ ἀνέγνων καὶ ἡρμήνευσαν διαφορώτερον· «Καὶ πνεῦμα *παντὸς ἀνθρώπου*» (χωρὶς τοῦ *σαρκὸς*)· καὶ τοῦτο δὲ σημαίνει τὴν λογικὴν τοῦ ἀνθρώπου ψυχήν· ἔπειτα τοῦτο τὸ ῥητὸν οὐδ' ἐν τῷ ἑβραϊκῷ ἔχει τῶν *πνευμάτων* πληθυντικῶς, ὡς τὸ ἀνωτέρω. Ἀλλ' εἴπερ ἤθελον οἱ κριτικοὶ διορθῶσαι μόνον ἓν στοιχεῖον ἐν τῷ ἑβρ. τρέψαντες τὸ l (le=ἐν) εἰς τὸ v (va), ὅ ἐστιν ὁ ΚΑΙ, ῥᾷστα καὶ ἀπόνως εὕρισκον τοὺς Ο, ἑρμηνεύσαντας ὀρθῶς καὶ γνησίως. Ὅτι δὲ *ὁ Θεὸς τῶν πνευμάτων* ἰδίως καὶ κατὰ λέξιν ὑμνεῖται καὶ «*Θεὸς πάσης σαρκὸς*», ἡ θεία διδάσκει Γραφή· «Ἐγὼ Κύριος ὁ Θεὸς *πάσης σαρκὸς*» (Ἱερεμ. λθ, 27. ἑβρ. λβ). Ὥστε καὶ ὁ προφήτης ἀνέγνω τοῦτο τοῦ Μωϋσέως, καθὼς οἱ Ο, «*Καὶ πάσης σαρκὸς*» (τουτ. Θεός). Τὸ δὲ πνευμάτων ἐνταῦθα σημαίνει τὰς ἀθανάτους ψυχὰς, κατὰ τὸ, «Καὶ τὸ πνεῦμα ἐπιστρέψει πρὸς Θεὸν, ὃς ἔδωκεν αὐτὸ» (Ἐκκλ. ιβ, 7. οἱ Ο, καὶ τὸ ἑβρ.)· καὶ τὸ *σαρκὸς* δὲ ἐπὶ παντὸς ζῶντος ἀνθρώπου πολλάκις τίθησιν ἡ Γραφὴ (βλ. Σειρ. εἰς τὴν Ὀκτάτ.). Ἀλλὰ ταῦτα μὲν ἀνήκουσιν εἰς τὴν ἑρμηνευτικὴν τῶν θείων Γρα-

φῶν. Ἡμεῖς δὲ παρετείναμεν τὸν λόγον χάριν πολλῶν νεωτέρων κριτικῶν, Σαδδουκαίας γέννας τέκνων, οἵτινες μηδεμίαν φασὶν ἐν τῇ Πεντατεύχῳ γίνεσθαι μνείαν ἀθανασίας ψυχῶν· ὅθεν καὶ τὴν προκειμένην ἀνάγνωσιν τοῦ Μασοραίου κειμένου στέργουσι θαυμαστῶς. Καίτοι γε οὐδ' αὐτὸς ὁ Καχὴν ἠρνήσατο τὸ *ἀξιοσημείωτον* (ὡς λέγει) ταύτης τῆς φράσεως τῆς Πεντατεύχου (πρβλ. καὶ Δρούσ. καὶ Σχούλζ. αὐτ. βλ. καὶ Ἀνασκευὴν τῆς τελευτ. διερμην. Διαθήκης σελ. 286, καὶ 584, κτξ.). — στχ. 37. Λείπει ἐκ τοῦ ἑβραϊκ. τὸ *χαλκᾶ* (οἱ Ο). — στχ. 39. « Υἱὸς Ἀαρὼν » (οἱ Ο, καὶ τὸ Σαμαρ.)· ἐκ τοῦ ἑβρ. λείπει. — στχ. 44. λείπει καὶ τὸ *Ἀαρὼν* (οἱ Ο, καὶ ὁ Σύρος).

Κεφ. ΙΗ. στχ. 1. « *Μετὰ σοῦ* » δὶς ἐν τῷ ἑβρ. ἅπαξ δὲ οἱ Ο, (Ἀλεξ. καὶ κώδ. Ταργούμ., κώδ. ἑβρ. Ῥόσσ.).

Κεφ. ΙΘ. στχ. 3. « Εἰς τόπον καθαρὸν » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. (πρβλ. στχ. 9). — στίχ. 7. « *ὕδατι* » δὶς ἐν τῷ ἑβρ. τὸ πρῶτον ἀγνοοῦσιν οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος, κώδ. ἑβρ. Ῥόσσ. καὶ ὁ τόπος ὁ παράλληλος Λευϊτ. ιϛ, 28 (ἐν ἀμφοτέροις τοῖς κειμένοις). — στίχ. 18. (ὀστέου) « *ἀνθρωπίνου* » (οἱ Ο)· λείπει καὶ τοῦτο· πρβλ. στχ. 16.

Κεφ. Κ. στχ. 25. « Ἐναντίον πάσης τῆς συναγωγῆς » (οἱ Ο)· καὶ τοῦτο λείπει· πρβλ. στχ. 29.

Κεφ. ΚΑ. 3. « *Ὑποχείριον αὐτοῦ* » (οἱ Ο, τὸ Σαμαρ. ὁ Σύρος, ὁ Ἄραψ)· ἐκ τοῦ ἑβρ. λείπει. (πρβλ. στίχ. 2). — στχ. 20. « Λόγοις εἰρηνικοῖς » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. μαρτυρεῖται δὲ ἐκ τοῦ παραλλήλου τόπου, Δευτερ. β, 26 (παρ' ἀμφοτέροις).

Κεφ. ΚΒ, στχ. 11. « Καὶ οὗτος ἐγκάθηται ἐχόμενός μου » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπουσι καὶ ταῦτα· μαρτυροῦνται δ' ἐν στίχῳ 5. — Αὐτόθ. λείπει καὶ τὸ « *ἀπὸ τῆς γῆς* »· πρβλ. στχ. 6.

Κεφ. ΚΓ. 2. Τὸ ἑβρ. ἐπαναλαμβάνει τὰ « *καὶ Βαλὰκ* », « *καὶ Βαλαάμ* »· ἅπαξ δὲ ταῦτα οἱ Ο, ὁ Κόπτης, καὶ κώδ. ἑβρ. (Ῥόσσ. τόμ. σελ. 16). — στίχ. 3. « Καὶ παρέστη Βαλὰκ ἐπὶ τῆς θυσίας αὐτοῦ » (οἱ Ο, καὶ Καχήν)· ἐκ τοῦ ἑβρ. λείπει. Ὡσαύτως καὶ στίχ. 4. λείπει τὸ « Καὶ Βαλαὰμ ἐπορεύθη ἐπερωτῆσαι τὸν θεὸν » (οἱ Ο, πρβλ. στίχ. 3). Ὡσαύτως καὶ τὸ « καὶ εἶπε *Βαλαάμ* » (οἱ

Ο, Βουλγ.). – στίχ. 6. « Καὶ ἐγενήθη πνεῦμα θεοῦ ἐπ᾽ αὐτῷ » (οἱ Ο, βλ. καὶ Καχῆν.)· ἐκ τοῦ ἑβρ. λείπει· (πρβλ. κεφ. κδ, 2. ἐν ἀμφοτέρ.). – στίχ. 21· « Οὐκ ἔσται *μόχθος* ἐν Ἰακὼβ, οὐδ᾽ ὀφθήσεται *πόνος* ἐν Ἰσραὴλ »· οἱ Ο· οὕτω *σχεδὸν* καὶ τὸ νῦν ἑβρ. (πλὴν τοῦ πόνος, ἀνθ᾽ οὗ γράφουσιν *ἀνομίαν*, οἱ δὲ, *δυστυχίαν*). Ταῦτα δὲ ὁ Ταργουμιστὴς Ὄγκελος παρέφρασεν οὑτωσίν· « Οὐχ ὁρῶ *προσκυνητὰς εἰδώλων* ἐν οἴκῳ Ἰακὼβ, οὐδὲ *λάτρεις ματαιότητος* ἐν Ἰσραήλ ». Τοιοῦτό τι ἔχει καὶ ἡ Βουλγάτα· « Οὐκ ἔσται *εἴδωλον* ἐν Ἰακὼβ, οὐδὲ φαίνεται *ὁμοίωμα* (simulacrum) ἐν Ἰσραήλ ». Πότερον, ἐκ τοῦ Ὀγκέλου παρεισέφρησαν ταῦτα καὶ εἰς τὴν Βουλγάταν μετὰ τὸν Ἱερώνυμον (οὐ γὰρ εἶδε πάντως αὐτὸς ὁ πατὴρ τὰ τοῦ Ὀγκέλου), ἢ μήποτε τὸ ἑβραϊκὸν χειρόγραφον, ἐξ οὗ μετέφρασεν ὁ Ἱερώνυμος ὑπῆρχε μετεσκευασμένον κατὰ τὴν Ὀγκέλου παράφρασιν; τοῦτο πιθανώτερον.

Κεφ. ΚΔ. ϛχ. 22. Τὸ ἑβρ. « *Οὐχ ἧττον ἔσται πρὸς τὸ βοσκηθῆναι Κάϊν* »· ἡ δὲ Βουλγάτα, « *Ἐκλεγεὶς ἐκ ῥίζης Κὶν* » (τὰ πάντα ἀκατάληπτα). Ἀλλ᾽ οἱ Ο, « Καὶ ἐὰν γένηται τῷ Βεὼρ νοσσιὰ πανουργίας »· πάντῃ διάφορον καὶ ὀρθότερον. Ὅθεν τὸ ἑβραϊκὸν, ἅλις διεφθαρμένον ἐν τούτῳ τῷ μέρει καὶ ὁ Καχὴν ὁμολογεῖ. – στίχ. 23 « Καὶ ἰδὼν τὸν Ὤγ » (οἱ Ο)· τοῦτο λείπει ἐκ τοῦ ἑβρ. (ἀλλὰ μαρτυρεῖται ἐκ τῶν προηγουμένων ἐθνικῶν, « τὸν *Ἀμαλὴκ*, τὸν *Κεναῖον* » βλ. ϛχ. 20, 21). – ϛίχ. 24 Τὸ ἑβραϊκ. « *Καὶ πλοῖα* »· οἱ δὲ Ο, τὸ Σαμαρειτ. καὶ κώδ. ἑβρ. Ῥόσσ. (τόμ. β. σελ. 18) « *Καὶ ἐξελεύσεται* » (βλέπε καὶ Οὐβιγάντ.). – Αὐτόθ. *Κιτιαίων* (οἱ Ο, καὶ τὸ νῦν ἑβρ.). Ἀλλὰ πολλοὶ κώδηκες τοῦ Ταργουμιστοῦ Ὀγκέλου ἔχουσι *Ῥωμαίων* (Ῥόσ. αὐτόθ.). Καὶ Ἱερώνυμος ὧδε μὲν *Ἰταλίαν* ἡρμήνευσε τὸ *Κιτιαίων*, ἐν δὲ Δανιὴλ ια, 30 καὶ διωρισμένως Ῥωμαίους τοὺς *Κιτιαίους* ἐξήγησεν. Ὅθεν εἰσεχώρησε τὸ *Ῥωμαῖος* καὶ εἰς τὸ κείμενον τοῦ παρὰ τῷ Δεμαγίστρῳ *Δανιὴλ κατὰ τοὺς* Ο. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 110, καὶ σελ. 637–643.

Κεφ. ΚϚ. στίχ. 14. « Ἐκ τῆς ἐπισκέψεως αὐτῶν » (οἱ Ο)· ἐκ

τοῦ ἑβραϊκοῦ λείπει· μαρτυρεῖται δὲ ἐκ τῶν στίχ. 18, 22, 25, 27, κτλ. (παρ' ἀμφοτέροις). – στίχ. 59. Τὸ ἑβραϊκόν· « Ἰωχαβὲδ θυγάτηρ Λευΐ, *ἣν ἔτεκεν αὐτὴν τῷ Λευΐ* ἐν Αἰγύπτῳ » (ἑρμην. Μοντάν.). Φράσις πάντῃ ἀδιανόητος. Ὅθεν αὐτὴν ἀναπληροῦσιν οἱ κριτικοὶ, ὑπονοοῦντες τὸ « *ἡ μήτηρ αὐτῆς* » (ἔτεκεν αὐτὴν τῷ Λευΐ)· καθὼς (λέγουσι) καὶ ἀλλαχοῦ (γ, Βασιλ. α, 6, 7) γέγραπται· « καὶ ἔτεκεν αὐτὸν ὀπίσω Ἀβεσσαλώμ ». – Ἀλλ' ἐν τούτῳ τῷ χωρίῳ ὑπονοεῖται οὐχὶ « *ἡ μήτηρ αὐτοῦ* », ἀλλ' αὐτὸς ὁ *Δαβὶδ*, (ὡς ἡ σειρὰ τοῦ λόγου διακηρύττει). Παραφέρουσι καὶ ἄλλο παράδειγμα (ἐκ τοῦ Α, Παραλ. ζ, 14), παρ' Ἑβραίοις μὲν κἀκεῖνο διεφθορὸς, πλῆρες δὲ παρὰ τοῖς Ο (Οὐβιγάντ. Σχούλζ. αὐτόθ.). Ἡ δὲ περὶ ἧς ὁ λόγος ἀνάγνωσις τοῦ ἑβραϊκοῦ ἀντιλέγει καὶ τῇ ἱστορίᾳ. Ἡ γὰρ Ἰωχαβὲδ λέγεται θυγάτηρ Λευΐ, ὡς ἀπόγονος, ἐγγόνη (βλ. ὄπισθ. σελ. 505). Ὁμολογεῖ δὲ τοῦτο καὶ Ῥοδομύλλερος (εἰς Ἀριθμ. κϛ, 59. πρβλ. καὶ σχόλ. εἰς Ἀριθμ. ιγ, 22), καίπερ ἀλλαχοῦ λαμπρῶς πρὸς ἑαυτὸν ἀντιφάσκων (σχόλ. εἰς Ἐξόδ. ϛ, 20). Καὶ ἄλλοι δὲ καὶ ὁ Καχὴν, « *ἀδύνατον*, εἶπεν, *εἶναι* τὴν Ἰωχαβὲδ κυρίως *θυγατέρα* τοῦ Λευΐ, μίαν δὲ τῶν ἀπογόνων αὐτοῦ ». Καὶ μένει λοιπὸν ὀρθὴ καὶ γνησία ἡ ἀνάγνωσις τῶν Ο· « Ἰωχαβὲδ θυγάτηρ Λευΐ, ἣ ἔτεκε τούτους (τὸν Μωσῆν καὶ Ἀαρὼν) τῷ Λευΐ » κτλ. δηλονότι, ἔτεκεν αὐτοὺς τῷ ἑαυτῆς καὶ τοῦ ἀνδρὸς καὶ τούτων προγόνῳ, καὶ πατριάρχῃ τῆς φυλῆς, τῷ Λευΐ, εἰς ὃν ἀνῆκον ὡς ῥιζοῦχον τῆς τοῦ γένους σειρᾶς. Οὕτω καὶ Ῥαχὴλ γέγραπται, ὅτι ἔτεκε *τῷ Ἰακὼβ* οὐ μόνον τοὺς υἱοὺς, ἀλλὰ καὶ τοὺς ἐγγόνους αὐτοῦ (τοὺς υἱοὺς Ἰωσὴφ καὶ Βενιαμὶν), καὶ τοὺς ἐξ αὐτῶν δισεγγόνους τοῦ πατριάχου (Γενέσ. μϛ, 20–23· βλ. καὶ ὄπισθ. σελ. 433). Λέγονται δὲ καὶ οἱ γενάρχαι καὶ φύλαρχοι μάλιστα πατέρες τῶν ἀπογόνων. Ὅθεν καὶ τὸ *υἱοὶ Ἰσραήλ*. Ἐνταῦθα δέ πως ἔοικεν ἡ Γραφὴ καὶ ἐμφαντικώτερον ἀναγαγεῖν τὴν γέννησιν τοῦ Μωσέως καὶ Ἀαρὼν εἰς τὸν Λευΐ, ὡς εἰς πατέρα (τουτ. ἀμφοτέρωθεν προπάτορα), διά τε τὴν Μωσέως δόξαν, καὶ τὴν ἐπισημότητα τῶν ὁμοφύλων Ἀαρὼν καὶ ἐκ τοῦ Λευΐ παρονομασθέντων Λευϊτῶν· ἐφεξῆς δὲ

συνῆψεν εὐθὺς καὶ τὴν κυρίαν γέννησιν αὐτῶν· « Καὶ ἔτεκεν (Ἰωχαβὲδ) τῷ *Ἀμρὰμ* τὸν Ἀαρὼν καὶ Μωϋσῆν » κτλ. Καὶ σφόδρα λοιπὸν ἠδίκησε τοὺς Ο ὁ Ῥοδομύλλερος (Σχολ. εἰς Ἀριθμ. κϛ) εἰπὼν, ὅτι « ἡ κατ' αὐτοὺς ἑρμηνεία *ψευδές τι* λέγει (falsum quid dicit)! – στίχ. 61. « Ἐν τῇ ἐρήμῳ Σινὰ » (οἱ Ο, καθ' ὅλας τὰς ἐκδόσεις)· ἐκ τοῦ ἑβρ. λείπει.

Κεφ. ΚΖ, ϛχ. 23. Τὸ ἑβρ. « *διὰ χειρὸς* » Μωϋσέως. Ἀλλ' οἱ Ο, ἡ Βουλγάτα, καὶ κώδηξ παλαιὸς ἑβρ. τῆς Πεντατεύχου ἀγνοοῦσι τὸ *διὰ χειρὸς* (Ῥόσσ.).

Κεφ. ΚΗ. ϛχ. 18. « Ἔϛαι ὑμῖν » (οἱ Ο, κώδ. ἑβρ. Ῥόσ.)· λείπει· – ϛίχ. 22. (χίμαρον) « *ἐξ αἰγῶν ἕνα* » (οἱ Ο, ὁ Σύρος, Σαμαρειτ., Ταργοὺμ, κώδ. ἑβρ. Ῥόσσ.)· λείπει καὶ ὧδε, καὶ κεφ. κθ, 22, 28, κτλ. (Ῥόσσ.). – στχ. 30. Λείπει τὸ « *Περὶ ἁμαρτίας* » (οἱ Ο, Σαμαρειτ., Ταργοὺμ, κώδ. ἑβρ. βλ. Ῥόσσ. τόμ. β. σελ. 22) πρβλ. ε, 15: κθ, 5, 28, 31 κτλ. (ἐν ἀμφοτέροις).

Κεφ. ΚΘ. στίχ. 11. « *Ἐξιλάσασθαι περὶ ὑμῶν – εἰς ὀσμὴν εὐωδίας κάρπωμα τῷ Κυρίῳ* » (οἱ Ο)· λείπουσι ταῦτα ἐκ τοῦ ἑβρ. πρβλ. στχ. 6. καὶ κη, 24, 30. ἐν ἀμφοτέροις.

Κεφ. ΛΑ. ϛχ. 15. « *Ἵνα τί* ἐζωγρήσατε πᾶν θῆλυ; » (οἱ Ο, τὸ Σαμαρ., ὁ Σύρ., ἡ Βουλγ.). Τὸ δ' ἑβρ. « *ἆρα ἐζωγρήσατε* πᾶν θῆλυ; » ἐναντίως πρὸς τὸ *ἵνα τί* (ὡς ἂν εἴπερ ἠρώτα ὁ Μωϋσῆς ἀπορῶν, μῶν ἐζώγρησαν πᾶν θῆλυ, ἢ οὔ; Ἀλλ' αὐτὸς διὰ τοῦτο μάλιστα « *καὶ ὠργίσθη* », ὅτι ἐζώγρησαν τὰ θήλεα). – στχ. 28. « Ἀπὸ τῶν κτηνῶν » (οἱ Ο, τὸ Σαμαρειτ., κώδ. ἑβρ. Ῥόσσ.), ἐκ τοῦ ἑβρ. λείπει.

Κεφ. ΛΒ. ϛχ. 23. « (Ὅταν ὑμᾶς καταλάβῃ) *τὰ κακὰ* » (οἱ Ο)· λείπει. – στχ. 30. « (ἐὰν δὲ μὴ διαβῶσι μεθ' ὑμῶν) *εἰς τὸν πόλεμον ἔναντι Κυρίου, καὶ διαβιβάσετε τὴν ἀποσκευὴν αὐτῶν, καὶ τὰς γυναῖκας αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς γῆν Χαναάν·* καὶ συγκατακληρονομηθήσονται ἐν ὑμῖν ἐν τῇ γῇ Χαναάν » (οἱ Ο). Ἐν τῷ ἑβρ. λείπουσι πάντα τὰ μεταξὺ τοῦ « *μεθ' ὑμῶν*, καὶ τοῦ *συγκατακληρονομηθήσονται* ». Χάσμα τοῦ ἑβραϊκοῦ κειμένου προφανές. Ὁμολογοῦσι τοῦτο καὶ Καχὴν καὶ Ἀβενέσδρας· (βλ. καὶ Οὐ-

βιγάντ.)· ἐξελέγχει δὲ τὴν ἔλλειψιν καὶ τὸ νόημα, καὶ τὰ ἐν στχ. 26, 27 (ἐν ἀμφοτέροις).

Κεφ. ΛΔ. στίχ. 20. « Τῆς φυλῆς Συμεὼν » (οἱ Ο, τὸ Σαμαρειτ., ὁ Σύρος, ἡ Βουλγάτα, ὁ Ἄραψ, Ἰωνάθ., κώδ. ἑβρ. Ῥόσσ.)· τὸ δὲ νῦν ἑβρ. προστίθησι καὶ « *υἱῶν* »· πρβλ. στίχ. 19, καὶ 21, κτλ. ὅπου τὸ « *υἱῶν* » λείπει παρ' ἀμφοτέροις.

Κεφ. ΛΕ. ςχ. 4. *Δισχιλίους* (πήχεις· οἱ Ο)· τὸ δ' ἑβρ. *χιλίους*. Ἀλλὰ τὰ ἐφεξῆς (στίχ. 5) ἐπικυροῦσι τὸ τῶν Ο, *δισχιλίους* (Καχήν). – στίχ. 12. « *Τὸ αἷμα* » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει (πρβλ. στχ. 19). Καὶ στίχ. 20, λείπει τὸ « *πᾶν σκεῦος* » (οἱ Ο, πρβλ. στχ. 22. καὶ Οὐβιγάντ). Καὶ στίχ. 32, λείπει τὸ « *ὁ μέγας* » (οἱ Ο, τὸ Σαμαρειτ. ὁ Σύρος, κώδ. ἑβρ. Ῥόσσ.)· πρβλ. στχ. 25, 28 (παρ' ἀμφοτέροις). – στίχ. 33 « *κατοικεῖτε* » (οἱ Ο, Σαμαρειτ., Σύρος, Χαλδαῖος, Βουλγ. κώδ. ἑβρ. Ῥόσσ.)· πρβλ. καὶ στίχ. 34.

Κεφ. ΛϚ. ςίχ. 1. « Καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως » (οἱ Ο, ὁ Σύρ.)· ἐκ τοῦ ἑβρ. λείπει· πρβλ. κεφ. λα, 12 (Οὐβιγάντ.).

§. ζ. Ἐκ τοῦ Δευτερονομίου.

Κεφ. Α, ςχ. 3. « Καὶ πρὸς *πάντας* υἱοὺς » κτλ. (οἱ Ο, Ἀκύλ. Σύμμ. Θεοδ. κώδ. Ῥόσσ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *πάντας*. πρβλ. ςχ. 1, παρ' ἀμφοτέροις· (Οὕτω καὶ ἀλλαχοῦ πολλαχοῦ, οἷον ἐν Δευτερ. β, 25. δ, 3, 4, 9 κτλ. καὶ ἐν τοῖς προηγηθεῖσιν, οἷον, Ἀριθμ. λ, 8: λα, 12: λε, 11. Λευῖτ. δ, 25, καὶ ἀλλαχοῦ πλειστάκις ἐν τῷ νῦν ἑβρ. κειμένῳ λείπει τὸ πᾶς· καί τοι κείμενον οὐ μόνον παρὰ τοῖς Ο, ἀλλὰ καὶ ἐν ἄλλαις ἀρχαίαις ἑρμηνείαις, καὶ ἐν τῷ Ταργοὺμ, καὶ ἐν κώδηξιν ἑβρ. βλ. Ῥόσσ.). – στχ. 8. λείπει τὸ « *δοῦναι* » (οἱ Ο, Βουλγάτα, Σαμαρ., Ταργοὺμ, κώδ. ἑβρ. Ῥόσσ.). Οὕτω καὶ κεφ. ς, 23 (Ῥόσσ.).

Κεφ. Β. στίχ. 21. « Ἕως τῆς σήμερον ἡμέρας » (οἱ Ο, κώδ. ἑβρ. Ῥόσ.). Λείπουσι καὶ ταῦτα· πρβλ. στίχ. 22, παρ' ἀμφοτέροις.

Κεφ. Γ. ςίχ. 12. (Παρὰ) « *τὸ χεῖλος* » (οἱ Ο, Σύρ. Βουλγ. Σαμαρ. Ὄγκελ. καὶ Ἰωνάθ. καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβρ. λείπει.

Κεφ. Δ, στχ. 28. Λείπει τὸ (Θεοῖς) « *ἑτέροις* » (οἱ Ο, καὶ κώδ.

ἑβρ. Ῥόσσ.). Καὶ ϛχ. 33, λείπει τὸ «ζῶντος» (Θεοῦ)· οἱ Ο, τὸ Σαμαρ. κώδ. ἑβρ. Ῥόσσ. (πρβλ. ε, 26 ἐν ἀμφοτέροις).

Κεφ. Ε, 14. «*ἐν αὐτῇ*» (τῇ ἡμέρᾳ)· οἱ Ο, τὸ Σαμαρ. ἡ Βουλγ. ὁ Σύρ. ἐκ δὲ τοῦ ἑβρ. λείπει. — στίχ. 17. Τὸ ἑβρ. «*Καὶ μὴ*», ἢ «*Μηδὲ* (μοιχεύσῃς)· *Μηδὲ* (κλέψῃς) κτλ. Οἱ δὲ Ο, τὸ Σαμαρ. κώδ. Ταργούμ, πολλοὶ κώδηκ. ἑβραῖοι (Ῥόσσ.) χωρὶς συνδέσμου, διὰ μόνου δὲ τοῦ ἀπαγορευτικοῦ Μὴ ἐκφέρουσι καὶ ὧδε τὰς ἐντολὰς, ὡς καὶ ἐν Ἐξόδ. κ, 13, διὰ τοῦ Οὐ· οὕτω κᾀκεῖ τὸ ἑβρ. (lo)· ἐνταῦθα δὲ ἡ ῥαββινικὴ σοφία ἔκρινεν ἴσως ἀναγκαίαν καὶ τὴν προσθήκην τοῦ συμπλεκτικοῦ (velo = καὶ μὴ, ἢ μηδὲ, λατιν. nec, neque).

Κεφ. Ϛ. ϛχ. 4. «Κύριος ὁ Θεὸς ἡμῶν κύριος εἷς ἐστὶ» (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος, ὁ Χαλδαῖος, ὁ Ἄραψ, ὁ Πέρσης, καὶ ἡ ἰουδαΐζουσα Ἑνετικὴ μετάφρασις. «Ὁ Ὀντωτὴς ὁ θεὸς ὑμῶν, ὁ Ὀντωτὴς, εἷς» (Ὀντωτὴν δὲ ὁ ἰουδαῖος οὗτος ἐξελληνίζει τὸ ἑβρ. Jéhova, ὅπερ οἱ Ο, συνήθως, *ὁ Κύριος*. βλ. ὄπισθ. σελ. 151)· τὴν αὐτὴν τάξιν ἔχουσιν αἱ λέξεις καὶ ἐν τῷ ἑβρ. (Jehova Elohenu Jehova ehad), ὃ πρωτίστη καὶ μεγίστη τῶν Ἰουδαίων εὐχὴ καὶ ὁμολογία. Διαςρέφουσι δὲ τὸ νόημα μετατιθέντες τὰς λέξεις οὕτως· «ὁ Κύριος, ὁ Κύριος *μόνος* (ἀντὶ τοῦ ΕἿΣ) ἐςὶν ὁ θεὸς ἡμῶν», ἀνάγοντες δηλονότι τὸν νοῦν ἐπὶ τοῦ ἑνὸς καὶ μόνου θεοῦ, ἀντιδιεσταλμένως τάχα πρὸς τὴν πολυθεΐαν (ὡς ἂν εἴ περ οὐκ ἂν εἶχεν ὁ προφήτης εἰπεῖν «Εἷς ἐστὶ Θεὸς, μόνος ὁ κύριος ἡμῶν», εἴ γε τοῦτο σημαίνειν ἤθελε!). Κατὰ τοὺς Ἰουδαίους (βλ. τὸν Καχῆνα) ἐκδέχονται τὴν σημασίαν καὶ πολλοὶ τῶν νεωτέρων κριτικῶν. Ἀλλ᾽ ὅ γε Δρούσιος, καὶ ἄλλοι τῶν νεωτέρων (Σημ. αὐτόθ) ὁμολογοῦσι τὸ θειότατον δόγμα τῆς τριαδικῆς ἑνότητος τοῦ Θεοῦ κᾀνταῦθα μυςικῶς παραδηλούμενον, ἀσφαλέστερον ἑπόμενοι τοῖς θείοις Πατράσι. «Μοναδικῶς μὲν (ὁ Κύριος διὰ τοῦ Μωσέως) νομοθετεῖ, αἰνιγματωδῶς δὲ τὴν Τριάδα μηνύει. Τὸ γὰρ Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι, καὶ τὴν μονάδα διδάσκει, καὶ τὴν Τριάδα δηλοῖ». κτλ. (Θεοδώρητ. λόγ. β. περὶ Ἀρχῆς, τόμ. δ. πρβλ. καὶ Σειρὰν εἰς τὴν Ὀκτάτ.). Καὶ

ταῦτα μὲν ἀνήκοντα εἰς τὴν ἐξήγησιν τῆς Γραφῆς κείσθωσαν, ἁπλῶς ὡς δεῖγμα τῆς περὶ τὴν στρέβλωσιν τῶν Γραφῶν κακεντρεχείας τῶν Ἰουδαίων. – στίχ. 12. Λείπει τὸ « *τοῦ θεοῦ σου* » (οἱ Ο, τὸ Σαμαρ., ὁ Σύρος, ὁ Ἄραψ, πλεῖστοι κώδηκ. ἑβραῖοι, ἡ Ἐνετικὴ ἑρμην. βλ. Ῥόσσ. τόμ. β. σελ. 36).–στχ. 13. «Καὶ *πρὸς αὐτὸν κολληθήσῃ*» (οἱ Ο, Ταργοὺμ, Χαλδ., κώδ. ἑβρ. Ῥόσσ. τόμ. β, σελ. 37). Ἐκ τοῦ ἑβρ. λείπει ὅλον τὸ κόμμα· ἀλλ᾽ ἐν κεφ. Ι. 20, κεῖται παρ᾽ ἀμφοτέροις. πρβλ. Ἐξόδ. κ, 10. – Αὐτόθ. τὸ ἑβρ. «Καὶ αὐτῷ λατρεύσεις » (βλ. καὶ Γρότιον καὶ Ῥοδομύλλερ. αὐτόθ.). Ἀλλ᾽ οἱ Ο, ἔχουσι « Καὶ αὐτῷ *μόνῳ* ». Οὕτως ἐξέφερε τὴν ῥῆσιν καὶ ὁ Κύριος ἡμῶν (Ματθ. δ, 10. Λουκ. δ, 8)· πρβλ. α. Βασιλ. ζ, 4.

Κεφ. Ζ. στχ. 5. « *Τῶν θεῶν αὐτῶν* » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. (πρβλ. στίχ. 25 ἐν ἀμφοτέροις). στίχ. 13· Λείπει καὶ τὸ «*κύριος*» (οἱ Ο, τὸ Σαμαρειτ., κώδ. ἑβρ. Ῥόσσ.). – στίχ. 19. Λείπουσι « *τὰ μεγάλα ἐκεῖνα* » (οἱ Ο). – στίχ. 22. « Ἵνα μὴ γένηται ἡ γῆ ἔρημος » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. προφανῶς ἐκπεσόν. πρβλ. Ἐξόδ. κγ, 29 (ἐν ἀμφοτέρ.).

Κεφ. Η. 3. « Ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι » (οἱ Θ. πρβλ. Ματθ. δ, 10 : Λουκ. δ)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *ῥήματι* (ἐλλειπτ.). – στχ. 4. « Τὰ ὑποδήματά σου οὐ κατετρίβη ἀπὸ σοῦ » (οἱ Ο, Βατικ.). ἐκ τοῦ ἑβρ. λείπει· ἀλλ᾽ ἐν κεφ. κθ, 5, κεῖται παρ᾽ ἀμφοτέροις. – στίχ. 7. (γῆν ἀγαθὴν) «*καὶ πολλὴν*» (οἱ Ο, καὶ τὸ Σαμαρ. « *πλατεῖαν* ») λείπει καὶ τοῦτο· – στίχ. 19. « (Διαμαρτύρομαι ὑμῖν) *τόν τε οὐρανὸν καὶ τὴν γῆν* » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπουσι (πρβλ. κεφ. λα, 28 ἐν ἀμφοτέρ.).

Κεφ. Θ. 26. « Ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ » (οἱ Ο, Βατικ.)· λείπουσι ταῦτα ἐκ τοῦ ἑβρ. ἀλλ᾽ ἐν στίχ. 29. τὸ « τῷ βραχίονί σου τῷ ὑψηλῷ » κεῖται παρ᾽ ἀμφοτέροις· λείπει δὲ πάλιν ὧδε ἐκ τοῦ ἑβρ. τὸ « ἐν τῇ χειρί σου τῇ κραταιᾷ »· ὅπερ ἐν στίχ. 26, κεῖται παρ᾽ ἀμφοτέροις. πρβλ. καὶ κεφ. κς, 8.

Κεφ. Ι. 22. «Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβησαν οἱ πα-

τέρες σου εἰς Αἴγυπτον» (οἱ Ο, κώδ. Ἀλεξανδρ., Ἄλδου, κτλ. βλ. ἐκδ. Ὅλμητος). Τὸ δὲ Βατικανὸν (καὶ Ὀκτάτευχ. Θεοτ.) «ψυχαῖς *ἑβδομήκοντα*». Περὶ τούτου εἴπομεν (σελ. 436). Ἀπὸ κώδηκος ὁμοίου πρὸς τὸ καθ' ἡμᾶς Βατικανὸν οὐ μόνον Ἱερώνυμος, ἀλλὰ καὶ Φίλων ἀνέγνω *ἑβδομήκοντα* ἐν τούτῳ τῷ χωρίῳ τοῦ Δευτερονομίου. Καὶ τοῦτο Γράβης προβάλλει μέγιστον ἐπιχείρημα κατὰ τοῦ 75 ἀριθμοῦ. Ἀλλ' ἰδοὺ τοῦ ἀλληγοροῦντος Φίλωνος οἱ λόγοι (τόμ. α. σελ. 467, 468, Μ.). «Νοητὸς μὲν γὰρ καὶ πρεσβύτερος καὶ ἄφθαρτος λόγος ὁ τῶν *ἑβδομήκοντα*· αἰσθητὸς δὲ καὶ νεώτερος ὁ τῶν *πέντε*.—Λέγεται γὰρ «ὅτι ἦσαν πᾶσαι αἱ ψυχαὶ ἐξ Ἰακὼβ *πέντε καὶ ἑβδομήκοντα*» (Ἐξόδ. α, 5: Γεν. μς,27). «Ὅταν δὲ τὸν Θεὸν ὁρᾷν δυνατὸς εἶναι δόξας, Ἰσραὴλ μετονομασθῇ, μόνῳ χρήσεται τῷ *ἑβδομηκοστῷ λόγῳ*, τὴν *πεντάδα* τῶν αἰσθήσεων *ἐκτεμών*. Λέγεται γὰρ ὅτι «ἐν *ἑβδομήκοντα* ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον» (Δευτερ. ι, 22 : Βατικ.). Λέγει λοιπὸν ὁ Φίλων, ὅτι ὁ κύριος καὶ ὁλόκληρος ἀριθμός, ὁ 75, ἐγέγραπτο (ἐν τῷ Δευτερονομίῳ) καὶ 70, *ἐκτετμημένος τὰ πέντε*. Καὶ θαυμαστὸν οὐδέν, εἴ γε καὶ ἐπὶ Φίλωνος μεταξὺ τῶν ὑγιῆ τοῦ 75 τὴν ἀνάγνωσιν κἀν τῷ Δευτερον. σῳζόντων κωδήκων τῶν Ο, (ὁποῖοι περιῆλθον καὶ εἰς ἡμᾶς ὁ Ἀλεξανδρινὸς καὶ οἱ λοιποὶ), ὑπῆρχον καί τινες ἀποκεκομμένοι τὰ *πέντε*, ἐν μόνῳ τῷ Δευτερονομίῳ. Ὁ δὲ Φίλων ἐκ τούτου λαβὼν ἀφορμήν, ἔπλεκε τὰς ἀριθμητικὰς αὐτοῦ ἀλληγορίας (ὡς καὶ Ὠριγένης ὕςερον. Φιλοκαλ. κεφ. α. σελ. 50 : καὶ περὶ Ἀρχῶν, Δ, ς, §. 23) (α). Εἰ δὲ καὶ τοῖς περὶ

(α) Καὶ ἐν τῷ εἰς Ὠριγένην ἐπιγεγραμμένῳ Ἀδαμαντίου διαλόγῳ, ἀναγινώσκομεν· «Καὶ ἐγένοντο υἱοὶ καὶ θυγατέρες Ἰακὼβ ψυχαὶ λγ. Καὶ κατέβη Ἰακὼβ εἰς Αἴγυπτον μετὰ Ο, ψυχῶν» (Ὠριγ. τ. α. σελ. 862 Delar.)· ἀλλ' ἐνταῦθα ὅτι τὸ χωρίον διέφθαρται, πρόδηλον, διότι αἱ λγ, ψυχαὶ ἐγένοντο τῷ Ἰακὼβ ἐκ τῆς Λείας μόνης (Γεν. μς, 15). Οὕτω διεφθάρη καὶ ὁ ΟΕ, ἀριθμὸς εἰς τὸν Ο. Ὁ δὲ Wetstenius (Σημ. αὐτόθι) μάτην ἐπενόησεν, ὅτι «ὁ Ἀδαμάντιος καταλιπὼν τὴν ἑρμηνείαν τῶν Ο, ἠκολούθησε τῷ ἑβραϊκῷ περὶ τὸν 70: ἀριθμόν». Ἐπεμνήσθη τοῦ χωρίου τούτου καὶ ὁ Γράβης, ὡς ἀκεραίου καὶ ἀβλαβοῦς καὶ γνησίου δῆθεν τοῦ Ὠριγένους (καὶ ταῦτα, ὡς ἐκ τῆς Γενέσ. μη, ὅπερ οὐκ ἀληθεύει). Τὰ δὲ περὶ Ἀρχῶν τοῦ Ὠριγένους ἔλαθε τὸν Γράβην!

τὸν Γράβην σκληρὸν ἐδόκει τὸ πρᾶγμα, οὕτως ἀρχαῖον παράπτωμα παρεισφρῆσαι λεληθότως εἴς τινα τῶν Ο, ἀντίγραφα καὶ κατ'αὐτοὺς τοὺς Φίλωνος χρόνους, ἀλλ' εἶχον καὶ ἄλλην σκέψιν ἀμείνονα τοῦ κατ' αὐτοὺς φαντάσματος νοῆσαι. Εἰ μὲν (ὡς οὗτοι θέλουσιν) αὐτὸς ὁ Μωϋσῆς ἔγραψεν ἐν Δευτερονομίῳ μόνον 70, ψυχάς, καὶ ὁ Φίλων ἀπὸ κώδηκος ὑγιοῦς ἀνέγνω τὸν ἀριθμόν, ἕπεται λοιπόν, ὅτι ὁ θεῖος προφήτης, ἀφ' οὗ πρότερον ἔγραψε δὶς ὁλόκληρον καὶ τέλειον τὸν 75, ἀριθμὸν (ἐν Γενέσει καὶ τῇ Ἐξόδῳ, ὡς ἔχουσι πάντες οἱ τῶν Ο κώδηκες), ἔγραψεν ἐν τῷ Δευτερονομίῳ καὶ συντομώτερον, αὐτὸν μόνον σημειώσας τὸν κεφαλαιώδη καὶ στρογγύλον, τὸν 70, τὰς δὲ μονάδας παραλιπών, κατὰ τὸ ἔθος τῆς Γραφῆς (οὕτω καὶ ἐν Ἐξόδῳ ιϐ, 37, ἔγραψεν αὐτὸς ὁ Μωσῆς τὸν κεφαλαιώδη ἀριθμὸν 60000, ὃν ὕστερον ἐξέφερε καὶ πλήρη, 603,550. Ἀριθμ. β, 32). Ταύτην τὴν συγκοπὴν τοῦ ἀριθμοῦ φαίνεται σαφῶς καὶ Φίλων ἐννοῶν διὰ τοῦ « τὴν *πεντάδα* (ἐκ τῶν 75) *ἐκτεμών* ». Κατὰ τὴν συντετμημένην ταύτην ἀπαρίθμησιν ἠρίθμει καὶ Ἰεζεκιῆλος, καὶ Ἰώσηπος ἐκ πινάκων χρονολογικῶν, ὡς προείπομεν (σελ. 436). Ὁ δὲ σοφὸς Γράβης παραλογίζεται τριχῶς. α) Νοθίζει τὴν ἀνάγνωσιν τοῦ 75 ἀριθμοῦ ἐν πᾶσι τοῖς κώδηξι τῶν Ο, καὶ ἐν αὐτοῖς ἐκείνοις, οἵτινες ἐν μόνῳ τῷ Δευτερονομίῳ γράφουσιν 70· ταύτην μόνην ἀποδεχόμενος γνησίαν γραφήν. Ἀλλ' εἴ περ οἱ διασκευασταὶ (καθὼς λέγει) μετέτρεψαν ἐν τῇ Γενέσει καὶ Ἐξόδῳ τὸν 70, εἰς 75, τί μὴ τοῦτο κατέπραξαν καὶ ἐν τῷ Δευτερονομίῳ; ἢ πῶς καὶ αὐτοὶ οἱ ἑλληνισταὶ Ἰουδαῖοι ἔστεργον τὴν ἐν ἐκείνοις διεφθαρμένην γραφὴν τοῦ ἀριθμοῦ, εἴπερ ᾔδεισαν μόνην γνησίαν τὴν ἐν τῷ Δευτερονομίῳ;—2) Ὁ Γράβης τὴν μὲν περὶ τοῦ 70 μαρτυρίαν τοῦ Φίλωνος ἀποδέχεται ὡς πιστὴν καὶ ἀληθινήν, τὴν δὲ περὶ τοῦ 75 παραῤῥίπτει ὡς ἄπιστον καὶ ψευδῆ· καὶ παρίστησι λοιπὸν τὸν Φίλωνα καὶ ψευδόμενον καὶ ἀληθεύοντα κατὰ τὸ αὐτό!—3) Χάριν τῆς κατ' αὐτὸν *ἑβραΐας ἀληθείας* τοῦ μασοραίου κειμένου, ἀποῤῥίπτει καὶ τὴν μαρτυρίαν τῶν θεοπνεύστων ἀποστόλων, τοῦ Λουκᾶ καὶ τοῦ Στεφάνου. Ἐν δὲ τῇ τοῦ Ἀλεξανδρινοῦ κώδηκος ἐκδόσει, ἣν

πολυμαθῶς καὶ κοινωφελῶς ἐξέδωκεν, ἀντιπεριέπεσε καὶ εἰς ἑαυτόν. Ἐν μὲν γὰρ τῇ Ἐξόδῳ (α, 5) καθαρῶς ἔγραψε καὶ ἀκραιφνῶς « ψυχαὶ πέντε καὶ ἑβδομήκοντα ». Ἀλλ' ἐν τῇ Γενέσει (μϛ, 27), Ὠριγενίζων δῆθεν, προσέθηκε πρὸς τῷ *πέντε* ἀριθμῷ καὶ ὀβελόν· ἐν ᾧ τοὺς πέντε ἐγγόνους τοῦ Ἰωσὴφ (μϛ, 20), μεθ' ὧν οἱ 75 συναπαρτίζονται, ἐτύπωσε χωρὶς ὀβελοῦ, ὡς ἀνόθευτον τὸν στίχον ἐκδιδούς. Ἐν δὲ, τέλος, τῷ Δευτερονομίῳ περιέκλεισε τὸ *πέντε* εἰς δύω σημεῖα παρενθέσεως! Ταῦτα πῶς οὐ παράτολμα;

Κεφ. ΙΑ. στίχ. 7 καὶ 22· « *Ἐν ὑμῖν σήμερον* » (οἱ Ο, Σαμαρειτ., Σύρος, Ταργ., κώδ. ἑβρ. Ῥόσσ.)· λείπει ἐκ τοῦ ἑβρ. – στχ. 24 Λείπει τὸ « *τοῦ μεγάλου* » (οἱ Ο, Βουλγ., Ταργ., κώδ. ἑβρ. Ῥόσσ.).

Κεφ. ΙΒ. στίχ. 26. « Ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. (πρβλ. στίχ. 5, 21). – στίχ. 28. Λείπει τὸ « *καὶ ποιήσεις* » (οἱ Ο, τὸ Σαμαρ.).

Κεφ. ΙΓ. στίχ. 6. (παρακαλέσῃ σε) « Ὁ ἀδελφός σου ἐκ πατρός σου, ἢ *ἐκ* μητρός σου» (οἱ Ο, καὶ τὸ Σαμαρ.). Ἐκ τοῦ ἑβρ. λείπει τὸ *ἐκ πατρός σου*, προφανῶς ἐκπεσὸν (Οὐβιγ.). – στίχ. 9. Τὸ ἑβραϊκ. « ἀποκτείνων ἀποκτενεῖς »· ἀλλ' οἱ Ο « Ἀναγγέλλων ἀναγγελλεῖς » (τῷ δικαστηρίῳ· οὐ γὰρ ἐξῆν ἑκάστῳ τινὶ ἀποκτείνειν· βλ. στίχ. 8. 10. πρβλ. Ἰωάν. η, 5, 7). Ὥστε γνησίως ἀνέγνων οἱ Ο (βλ. Οὐβιγάντ. συνομολογεῖ καὶ ὁ Καχὴν, ὀρθότερα Γροτίου συνιδών).

Κεφ. ΙΔ, στχ. 8. « Ὀνυχίζει ὀνυχιστῆρας » (οἱ Ο, τὸ Σαμαρ.)· ἐκ τοῦ ἑβρ. λείπει· πρβλ. Λευϊτ. ια, 7, ἐν ἀμφοτέροις. – στίχ. 13. Τὸ ἑβρ. Daiah (γυπαίετος) λείπει ἐκ τῶν Ο, καὶ τοῦ Σαμαρειτ. Ἀλλ' οὐδ' ἐν τῷ παραλλήλῳ τόπῳ (Λευϊτ. ια, 14) οὔτ' ἐν τῷ ἑβρ. κεῖται, οὔτε παρὰ τοῖς Ο, (Οὐβιγάντης, Καχήν).

Κεφ. ΙΕ, στχ. 4. « *Ὁ Θεός σου* » (οἱ Ο, Σύρος, Βουλγάτ. Ἄραψ, τὸ Σαμαρειτ. κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβρ. λείπει· (οὕτω καὶ κεφ. ις, 15, 16, κτλ.). – στίχ. 10 « Καὶ δάνειον δανειεῖς αὐτῷ, ὅσον ἂν ἐπιδέηταί σου » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· (πρβλ. στίχ. 8, ἐν ἀμφοτέροις). – στίχ. 11. « Ποιεῖν τὸ ῥῆμα τοῦτο » (οἱ Ο)· καὶ τοῦτο λείπει· (πρβλ. στίχ. 15, ἐν ἀμφοτέροις).

Κεφ. ΙϚ, ςίχ. 8. « *Οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον* » (οἱ Ο, τὸ Σαμαρειτ.)· ἐκ τοῦ ἑβρ. λείπουσι τὰ « *ἐν αὐτῇ πᾶν* ». Λείπουσι καὶ τὰ « Πλὴν *ὅσα ποιηθήσεται ψυχῇ* » (οἱ Ο). Ὁ σοφὸς Οὐβιγάντης ἔκρινεν αὐτὰ περιττὰ, « *καὶ πάντῃ ξένα τοῦ Μωσαϊκοῦ ἰδιώματος* »· καὶ ὅμως αὐτὸς ὁ Μωϋσῆς ἔγραψε ταῦτα καὶ ἐν Ἐξόδ. ιϐ, 16, ἔνθα κεῖνται παρ' ἀμφοτέροις τοῖς κειμένοις.

Κεφ. Κ, ςχ. 15 « *Τὴν γῆν αὐτῶν* » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· καὶ στίχ. 17, λείπει τὸ *Γεργεσαῖον* (οἱ Ο, τὸ Σαμαρ.).

Κεφ. ΚΑ, ςχ. 23 « Πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου » (οἱ Ο, καὶ ὁ θεῖος Παῦλος Γαλάτ. γ, 13)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *πᾶς*· (βλ. Ἱερώνυμ. εἰς Γαλάτ. γ).

Κεφ. ΚΒ, στίχ. 1. « Καὶ ἀποδώσεις αὐτῷ » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· πρβλ. Ἐξόδ. κγ, 4.

Κεφ. ΚΓ. 18. « Οὐκ ἔσται τελεσφόρος ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται τελισκόμενος ἀπὸ υἱῶν Ἰσραὴλ » (οἱ Ο, καθ' ὅλους [πλὴν ἑνὸς, ἢ δύω] τοὺς πολυαρίθμους Ὀλμητείους κώδ. καὶ ἡ Ἰτάλα, καὶ ἄλλαι μεταφράσεις)· ἐκ τοῦ ἑβρ. λείπει (ὅθεν παρελείφθη καὶ ἐν τῇ Κομπλουτεία ἐκδόσει· καὶ ὁ Γράβης ἐν τῇ Ἀλεξ. παρέθηκε προχείρως τὸν ἑαυτοῦ ὀβελόν! βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. ια. σελ. 751—756). Ταύτην τὴν παρὰ τοῖς Ο, διασωθεῖσαν ἐντολὴν διαλευκαίνουσι καὶ τὰ τοῦ Μεγάλου Πατρὸς Ἀθανασίου ἐκεῖνα. «Γυναῖκες γοῦν ἐν εἰδώλοις (ἴσ. γρ. *εἰδωλείοις*) τῆς Φοινίκης πάλαι προεκαθέζοντο, ἀπαρχόμεναι τοῖς ἐκεῖ Θεοῖς ἑαυτῶν τὴν τοῦ σώματος αὐτῶν μισθαρνίαν, νομίζουσαι τῇ πορνείᾳ τὴν θεὸν ἑαυτῶν ἱλάσκεσθαι, καὶ εἰς εὐμένειαν ἄγειν αὐτὴν διὰ τούτων (ἴσ. τούτου). Ἄνδρες δὲ τὴν φύσιν ἀρνούμενοι, καὶ μηκέτι εἶναι θέλοντες ἄρρενες, τὴν γυναικῶν πλάττονται φύσιν· ὡς ἐκ τούτων καταθύμια καὶ τιμὴν τῇ μητρὶ τῶν παρ' αὐτοῖς λεγομένων θεῶν ποιοῦντες » (α).

(α) Μ. Ἀθανάσ. Λόγ. κατὰ Ἑλλήν. τ. α. σελ. 21. ἐκδ. Com. πρβλ. καὶ Spencer, De Leg. Hebr. L. 2. c. 22. καὶ Cahen εἰς Δευτερ. κγ. Notes Supplem. pag. 169. Tom. 5. καὶ Amersfood. l. c. — Pezron, L'Antiquit. etc. ch. 6.

Κεφ. ΚΔ, στίχ. 17. « *Καὶ χήρας* » (οἱ Ο, Ταργούμ. κώδ. ἑβρ. Ῥόσσ.)· ἐν τῷ νῦν ἑβρ. λείπει (πρβλ. στίχ. 19 ἐν ἀμφοτέροις). — στίχ. 20. « Καὶ μνησθήσῃ, ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτου· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο » (οἱ Ο)· λείπουσι καὶ ταῦτα (πρβλ. στίχ. 18, καὶ στίχ. 22, ἐν ἀμφοτέροις).

Κεφ. ΚΖ, 26. « Ἐπικατάρατος *πᾶς* ἄνθρωπος, ὃς οὐκ ἐμμένει *ἐν πᾶσι* τοῖς λόγοις τοῦ νόμου » (οἱ Ο, καὶ ὁ θεῖος Παῦλος· Γαλάτ. γ, 10). Ἐκ τοῦ νῦν ἑβρ. λείπει οὐ μόνον τὸ πρῶτον *πᾶς*, ἀλλὰ (μάλιστα καὶ κυριώτατα) καὶ τὸ δεύτερον *ἐν πᾶσιν*· ἀλλ' ἔχει τοῦτο καὶ τὸ Σαμαρ. καὶ τὸ Ταργοὺμ, καὶ κώδ. ἑβρ. (Ῥόσ.)· καὶ Ὠριγένης· μαρτυρεῖ καὶ ὁ Προκόπιος· « Τὸ ἐν *πᾶσι* παρὰ τοῖς Ο, κείμενον, κυροῦται ὑπὸ τοῦ Σαμαρειτικοῦ ἀντιγράφου, ἐν ᾧ τὸ *χόλ*, ὅπερ ἐστὶ, *πᾶσιν*, ἢ *πάντα*, φερόμενον εὕρομεν, οἷς συνᾴδει καὶ ὁ Ἀπόστολος. — Ὅθεν οἱ ἐκ περιτομῆς ἐλέγχονται ὑπὸ κατάραν ὄντες τῷ μὴ *πάντα* ποιεῖν » κτλ. (Σχόλ. εἰς Δευτερον. αὐτόθ.). Διὰ ταῦτα καὶ ἀφεῖλον ἐκ τοῦ ἑβρ. κειμένου τὸ ἐν πᾶσιν οἱ μεταγενέστεροι Ἰουδαῖοι, κατὰ τὴν Ἱερωνύμου μαρτυρίαν (εἰς Γαλάτ. γ, 10) (α).

Κεφ. ΚΗ, 12. «Καὶ ἄρξεις σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. μαρτυρεῖται δὲ ἐκ τοῦ κεφ. ιε, 6 (ἐν ἀμφοτέροις).

Κεφ. Λ, 4. « Ἕως ἄκρου τοῦ οὐρανοῦ » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· κυροῦται δὲ ἐκ τοῦ κεφ. δ, 32 (ἐν ἀμφοτέροις). — στίχ. 10. Λείπει τὸ « *Καὶ τὰς κρίσεις αὐτοῦ* »· καὶ στίχ. 14 τὸ « *Καὶ ἐν ταῖς χερσί σου* » (οἱ Ο· βλ. καὶ Καχῆνα).

Κεφ. ΛΑ. ϛχ. 18. « *Ἀπ' αὐτῶν* » (οἱ Ο, Σαμαρ., Σύρος, Χαλδ. Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ.)· λείπει. — στίχ. 21. « *Τοῖς πατράσιν αὐτῶν* » (οἱ Ο, Σαμαρ., Σύρ., κώδ. ἑβρ. Ῥόσσ., καὶ Οὐβιγάντ.). λείπουσι καὶ ταῦτα· πρβλ. στίχ. 20 (ἐν ἀμφοτέροις).

Κεφ. ΛΒ, 15. Τὸ ἑβρ. « Καὶ ἐλιπάνθη *ὁ Ἰεσσουροὺν*, καὶ ἀπε-

(α) Βλ. καὶ Kennicot. Diss. General. p. 189, καὶ Diss. II, de text. Hebr. p. 45, καὶ Houbigant. not. in h. l.

λάκτισεν· ἐλιπάνθης, ἐπαχύνθης, *ἐσκεπάσθης* (ἄλλ. *ἐστρογγυλώθης*, arrondi. βλ. Καχῆνα, καὶ Μοντάν.). Οἱ δὲ Ο, « *Καὶ ἔφαγεν Ἰακὼβ*, καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν *ὁ ἠγαπημένος*· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη » (Οὕτως ἔχει καὶ τὸ Σαμαρ. βλ. καὶ ὄπισθ. σελ. 390). Τοῦτο δὲ καὶ ἡ ἀναλογία καὶ τὸ κατάλληλον τῆς φράσεως ἀπαιτεῖ· διὸ καὶ Οὐβιγάντης ὀρθῶς ἔκρινε διορθωτέον τὸ ἑβρ. κατὰ τοὺς Ο· ἀλλὰ διὰ τοῦτο *θρασύτατος* ἤκουσε *κριτικός!* (Σχούλζ. ἐν σχολ. αὐτόθ.). Ἦν δ' ἂν μέτριος δήπου καὶ σώφρων, εἴ γε καὶ αὐτὸς ῥαββινίζων ἀπεδέχετο ὡς γνησίαν τὴν κεκολοβωμένην τοῦ Μασοραίου κειμένου φράσιν, ἣν οὐκ ἂν δικαιώσαιεν οὐδὲ σύμπαντες συνελθόντες οἱ κριτικοί!—ςχ. 29. « *Οὐκ* ἐφρόνησαν » (οἱ Ο, τὸ Σαμαρειτ., Ὄγκελ., κώδ. ἑβρ. Ῥόσσ.)· τὸ δὲ νῦν ἑβρ. « *εἴθε* ἐφρόνησαν » (ἐκ ςίξεως ψευδοῦς· ἔγραψαν lu, εἴθε, ἀντὶ lo=οὐκ).—στίχ. 40. « Καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει.—ςχ. 43. « Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ » (οἱ Ο). Ἐκ τοῦ ἑβρ. λείπουσι τὰ κῶλα· ἀλλ' ἐγγυᾶται περὶ τῆς γνησιότητος αὐτῶν ὁ θεῖος Παῦλος, μνημονεύων ἑκατέρων τῶν ῥητῶν (Ῥωμ. ιε, 10: Ἑβρ. α, 6. πρβλ. Ἰουστῖν. π. Τρυφων., Ὠριγέν. π. Εὐχ. §. ιε. κτλ. Ὁ δὲ Γλάσιος πλανᾶται νομίζων τὴν ῥῆσιν τοῦ Ἀπος. ἐκ τοῦ ϟη, ψαλμοῦ)·—Αὐτόθ. « Εὐφράνθητε ἔθνη *μετὰ* τοῦ λαοῦ αὐτοῦ » (οἱ Ο, Σύρου χειρόγρ., κώδ. ἑβρ. Ῥόσσ.). Τὸ δὲ νῦν ἑβρ. « *Αἰνεῖτε* ἔθνη *τὸν λαὸν αὐτοῦ* » (οὕτω καὶ Ὄγκελ., καὶ Σύμμαχ. « *αἰνοποιεῖτε* », καὶ αὐτή, τὸ παραδοξότερον, ἡ Βουλγάτα· Laudate gentes populum ejus). Ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο ἐπικυροῖ ὁ θεῖος Παῦλος (Ῥωμ. ιε, 10), ὅπου πάλιν ἡ Βουλγάτα κατὰ τὸν Ἀπόστολον μεταφράζει (Laetamini gentes cum plebe ejus)· οὕτω πρὸς ἑαυτὴν διαφωνεῖ! Φαίνεται δὲ ἀρχαία ἡ τῆς *μετὰ* προθέσεως ἔκπτωσις ἐκ τοῦ ἑβρ. (α). Ὅσοι δὲ τοῦτο κρατοῦσιν ὀδὰξ, ἀντιλέγουσι καὶ πρὸς τὸν Ἀπό-

---

(α) Βλ. καὶ Starck, David. Carmin. T. I. p. 12. καὶ Kennicot. Diss. General. p. 193.

στολον (α). Ἀλλὰ μᾶλλον ὤφειλον ὑποπτεῦσαι, μήπως οἱ μετὰ Χριστὸν Ἰουδαῖοι διέφθειραν καὶ ὧδε, καὶ παρεξήγησαν ἅμα τὴν ῥῆσιν (οἷα καὶ ἐν ἄλλοις ἱεροσύλησαν), καταστήσαντες τὴν φράσιν κολοβὴν, καὶ συγκαλοῦσαν ἀτόπως τὰ ἔθνη εἰς *αἴνεσιν* (βαβαὶ) τοῦ ἰουδαϊκοῦ λαοῦ! Ὅθεν καί τινες αἰδεσθέντες, ἡρμήνευσαν τετανυσμένως· « *ὦ ἔθνη, οἵτινες ἐστὲ λαὸς αὐτοῦ, αἰνεῖτε* » (καὶ ὑπακούουσι *τὸν Θεόν*! βλ. τὸν Βατάβλην σημ. αὐτόθ.)· Ἄλλοι δὲ τῶν νεωτέρων ἐξηγοῦσιν « *εὐάζετε* (ovate) ἔθνη, *καὶ* ὁ λαὸς αὐτοῦ», προστιθέντες τὸν *Καὶ*, ἵνα μὴ συναναγνῶσι μετὰ τῶν Ο, καὶ τοῦ Ἀποστόλου τὴν *Μετά!* — Αὐτόθ. « Καὶ ἐνισχυσάτωσαν αὐτοὺς πάντες ἄγγελοι Θεοῦ » (οἱ Ο, Ἀλεξάνδ. καὶ ἐκδ. Ὅλμητος). Λείπουσι καὶ ταῦτα ἐκ τοῦ ἑβρ., καὶ τὰ ἐφεξῆς· « Καὶ ἐκδικήσει,—καὶ τοῖς μισοῦσιν ἀνταποδώσει » (οἱ Ο). — στίχ. 44. « Καὶ ἔγραψε Μωσῆς τὴν ᾠδὴν ταύτην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἐδίδαξεν αὐτὴν τοὺς υἱοὺς Ἰσραὴλ» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει τὸ χωρίον ὁλόκληρον· ἀλλὰ μαρτυρεῖται ἐν κεφ. λα, 9, ὅπου κεῖται ἡ φράσις (ἐν ἀμφοτέροις)· οἱ δὲ περὶ τὸν Γλάσσιον μάτην ἀντιλέγουσι.

Κεφ. ΛΓ. στίχ. 6. « Καὶ *Συμεὼν* ἔστω πολὺς ἐν ἀριθμῷ » (οἱ Ο, ἐκδ. Ἀλεξανδρ. Ἄλδου, Κομπλουτ. ὀκτὼ κώδ. Ὅλμητος, ὁ Ἴβηρ, ὁ Σλάβος, ὁ Ἀρμέν. κτλ.). Ἐκ τοῦ ἑβρ. λείπει τὸ *Συμεὼν*, ἐξ ἀβλεψίας τοῦ ἀντιγραφέως πρόπαλαι ἐκπεσόν· (λείπει καὶ ἐν τῷ Βατικανῷ, καὶ Ὀκτατεύχ. Θεοτ. καὶ ἐν ἄλλοις τῶν ἀρχαίων ἀντιγράφων τῶν Ο, ἔλειπε τὸ *Συμεὼν* (πρὸς τὰ τοῦ Ὠριγένους ἴσως Ἑξαπλᾶ καὶ τὸ κατ' *αὐτὸν* ἑβραϊκὸν διορθωθέντων). Ὅτι δὲ ὅμως ἔκειτο πάλιν ἐν ἄλλοις ἀρχαιοτάτοις, ὡς καὶ ἐν τοῖς καθ' ἡμᾶς, ἀπογράφοις, μαρτυρεῖ Ἀπολλινάριος (τῷ 370 μ. Χ.), λέγων· « Τινὰ τῶν ἀντιγράφων οὕτως ἔχει· « Ζήτω Ῥουβὴν, καὶ μὴ ἀποθανέτω· καὶ Συμεὼν ἔστω πολὺς τῷ ἀριθμῷ. Τὰ δ' ἀκριβῆ ἀντίγραφα οὐκ ἔχει μνήμην τοῦ Συμεών »· (ἀκριβῆ δὲ λέγων, ἴσως ἐννοεῖ τὰ ἐκ τῶν *Ἑξαπλῶν*, ἀκριβέστερα νομίζων τῶν ἄλλων, ἐν οἷς

(α) Schulz, Schol. ad h. l.

ὑπῆρχεν *ἡ μνήμη τοῦ Συμεών*). Οἱ δὲ πρόμαχοι τοῦ ἑβραϊκοῦ προβάλλοντες τὴν ἔκ τε τοῦ ἑβρ. κειμένου καὶ ἐκ τῶν μ. Χ. ἑρμηνειῶν ἔλλειψιν τοῦ *Συμεὼν*, θεωροῦσι τὴν λέξιν παρεμπεποιημένην, εἴτε ὑπ' αὐτῶν τῶν Ο, εἴ τε καὶ ὕστερον ὑπό τινος ἄλλου. Ἀλλά, α) ὁ Μωϋσῆς εὐλογῶν τὰς ιϐ, φυλὰς τῶν υἱῶν Ἰσραὴλ, ὤφειλε πάντως, ἵνα μνημονεύσῃ καὶ τῆς τοῦ Συμεών· οὕτω καὶ Ἰακὼϐ ἐν ταῖς εὐλογίαις τῶν υἱῶν αὐτοῦ (πρὸς ἃς παραλληλίζονται καὶ αἱ τοῦ Μωσέως) ἐμνημόνευσε τοῦ Συμεὼν (καί τοι μὴ ἐπ' εὐλογίᾳ).—β) Ἀρχαιότατοι κώδηκες τῶν Ο, περιέχουσι τὴν λέξιν.—γ) Ὁ παλαιὸς Ταργουμιστὴς Ἰωνάθαν μνημονεύει τοῦ Συμεὼν, παραφράζων τὸν 7, στίχον τοῦ παρόντος κεφαλαίου. Καί τις κώδηξ ἑβρ. παρέχει ἴχνη τῆς ἀπεξυσμένης λέξεως τοῦ *Συμεὼν*, ὡς ὑπενόησεν ὁ Ῥόσσις.—δ) Τὸ νῦν ἑβρ. (ὡς ἔκρινεν Οὐϐιγάντης) δείκνυσι τρανῶς τὸ χάσμα τῆς ἐλλείψεως, λέγον· «Ζήτω Ῥουϐὴν, καὶ μὴ ἀποθανέτω, καὶ *ἔστωσαν οἱ ἄνδρες* αὐτοῦ *ἀριθμός*». Ὅπερ ἀντιφάσκει πρὸς ἑαυτὸ (τὸ γὰρ *ἀριθμὸς* μόνον τιθέμενον παρὰ τῇ Γραφῇ, σημαίνει τὸ *εὐάριθμοι*, ὀλίγοι, ὡς ἡρμήνευσε καὶ ἡ Βουλγάτα· καὶ οὕτως ἡ εὐλογία παρομοιάζει κατάρᾳ)· διὸ καὶ πολλὰ πράγματα παρέσχεν ἡ φράσις τοῖς τε ῥαϐϐίνοις καὶ τοῖς νεωτέροις κριτικοῖς, ἄλλοις ἄλλως διορθοῦσιν· εἰσὶ δὲ καὶ ἐν τούτοις οἱ πιθανωτάτην εὑρίσκουσι τὴν ὑπὸ τοῦ Μωσέως μνήμην τοῦ Συμεών (Σχούλζ. πρϐλ. καὶ Καχῆνα). Ὁ δὲ κλεινὸς Οὐϐιγάντης καὶ προσθετέον πάντως ἔκρινε τὸ Συμεὼν εἰς τὸ ἑβρ. ἀναγινώσκων κατὰ τοὺς Ο.

Κεφ. ΛΔ. στίχ. 2. «Καὶ πᾶσαν τὴν *γῆν* Νεφθαλὶ, καὶ *πᾶσαν* τὴν γῆν Ἐφραὶμ» (οἱ Ο, Σύρος, Ἄραψ, Ταργοὺμ, κώδ. ἑβρ. Ῥόσσ.). Ἐν δὲ τῷ νῦν ἑβρ. «Πᾶσαν Νεφθαλὶ, καὶ τὴν γῆν Ἐφραὶμ» (λείπουσι τὸ *γῆν*, καὶ τὸ β, *πᾶσαν*).

Καὶ ταῦτα μὲν ἱκανοῦσιν ἐκ τοῦ Δευτερονομίου, καὶ ἀπὸ πάσης καθόλου τῆς Πεντατεύχου. Ἄλλα δ' οὐκ ὀλίγα παρελείφθησαν.

§. η. Ἐξ Ἰησοῦ τοῦ Ναυῆ.

Κεφ. Α. 2. «Δίδωμι αὐτοῖς» (οἱ Ο)· τὸ δ' ἑβρ. «αὐτοῖς *τοῖς υἱοῖς Ἰσραὴλ*»· (ἐν ἄλλοις δὲ κώδηξιν ἑβρ. λείπει τὸ *αὐτοῖς*· βλ.

Ῥόσ.). Ἀλλ᾽οὐχ ὑπῆρχον πάντως αἱ λέξεις ἐν τοῖς παλαιοῖς ἑβραίοις χειρογράφοις (Οὐδιγάντ.). Προσετέθησαν δὲ ἐν τοῖς Ἑξαπλοῖς ἐκ τοῦ Θεοδοτίωνος, ὀλίγον ἴσως τούτου πρότερον ἐν τῷ ἑβρ. διασκευασθεῖσαι. Ὅθεν καὶ ἐν τῇ Συριακῇ τοῦ ἐν τοῖς Ἑξαπλοῖς Ἰησοῦ ἑρμηνείᾳ, ἣν ἐξέδωκε Μάσιος, ἀναγινώσκονται ὑπ᾽ ἀστερίσκῳ (α). Οὕτω καὶ στίχ. 14. « Ἐν τῇ γῇ, ᾗ ἔδωκεν ὑμῖν » (οἱ Ο)· τὸ δ᾽ ἑβρ. προστίθησι καὶ τά, «*Μωϋσῆς πέραν τοῦ Ἰορδάνου*» (κατὰ περιττὴν ἐπανάληψιν τῶν ἐν στίχ. 15). Ἐκ τοῦ ἑβρ. προσέθηκαν αὐτὸ καὶ οἱ ἐκδόται τῆς Κομπλουτείας· ἐκ δὲ ταύτης καὶ ὁ Γράβης ἐν τῇ ἐκδόσει τοῦ Ἀλεξανδρινοῦ. Ἀλλ᾽ ἐν τῇ Συριακῇ ἑρμηνείᾳ κεῖνται αἱ λέξεις ὑπ᾽ ἀστερίσκῳ, ὡς ἐξ ἑτέρας ἐκδόσεως (ἴσ. τοῦ Θεοδοτίωνος) προστεθεῖσαι καὶ εἰς τὸ κείμενον τῶν Ο (βλ. Μασίου σημ. αὐτόθ.). — στίχ. 15· λείπει ἐκ τοῦ ἑβρ. τὸ « *ὁ Θεὸς ἡμῶν* » (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.).

Κεφ. Β. στίχ. 4. Τὸ ἑβρ. « *Καὶ οὐκ οἶδα πόθεν ἦσαν* » (οὕτω καὶ ὁ Σύρος ὑπ᾽ ἀστερίσκῳ)· ἐκ δὲ τῶν Ο, λείπει τὸ κῶλον· οὐδὲ πρὸς τὴν ἔννοιαν ἀναλογεῖ· οὐδὲν γὰρ οἱ ζητοῦντες τοὺς ἄνδρας ἠρώτησαν τὴν Ῥαὰβ περὶ τῆς πατρίδος αὐτῶν· προσέθηκε δὲ ὅμως καὶ ταῦτα Γράβης ὑπ᾽ ἀστερίσκῳ. — στίχ. 9. (μετὰ τὸ « ὁ φόβος ἡμῶν ἐφ᾽ ὑμᾶς), τὸ ἑβρ. ἔχει καὶ ταῦτα· « Καὶ ὅτι κατέπτησσον πάντες οἱ κατοικοῦντες τὴν γῆν ἀπὸ προσώπου ὑμῶν » (προσθήκη φανερὰ ἐκ τοῦ 24 στίχου, ἣν ἡρμήνευσε καὶ Θεοδοτίων. Οἱ δὲ Ο, οὐκ ἀνέγνων ταῦτα· ἀλλ᾽ οὐδ᾽ ὁ ἱερὸς Θεοδώρητος (Ἀπόρ. εἰς Ἰησ. Ἐρωτ. β). — ςχ. 19. « Τῷ ὅρκῳ σου τούτῳ » (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβραϊκ. πρβλ. ςίχ. 17 (ἐν ἀμφοτέρ.).

Κεφ. Γ. στίχ. 3. « Τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς Λευΐτας » (οἱ Ο)· τὸ δ᾽ ἑβρ. « τοὺς ἱερεῖς τοὺς Λευΐτας ». Ἀλλὰ τὸν ἀναγκαιότατον *Καὶ* ἔχουσι καὶ Σύρος, Ἄραψ, Χαλδ., καὶ κώδ. ἑβρ. (Ῥόσ.).— στίχ. 15· « (θερισμοῦ) *πυρῶν* » (οἱ Ο)· λείπει τὸ *πυρῶν* ἐκ τοῦ ἑβρ. (καί τοι ἀναγκαῖον εἰς προσδιορισμὸν τοῦ εἴδους τοῦ θερι-

(α) Περὶ τῆς Συριακῆς ἑρμηνείας τῶν Ο, κατὰ τὰ Ἑξαπλᾶ βλέπε ὄπισθεν κεφαλ. β. σελ. 93.

σμοῦ· ἔχει τοῦτο καὶ Ὠριγένης κτλ.).–ςίχ. 16 «(ἀφεστηκὸς μακρὰν σφόδρα) *σφοδρῶς, ἕως*» κτλ. (οἱ Ο, Βατικ. καὶ Ἀλεξ. τοῦ Γράβ. βλ. καὶ ἐκδ.Ὅλμητος)· τὸ δ' ἑβρ.«*'Απὸ'Αδὰμ πόλεως*»· προφανὴς παραφθορά. Οἱ γὰρ Ο, ἀνέγνων meod, meod=σφόδρα σφόδρα· τὸ δὲ νῦν ἑβρ. ἔγραψε τὸ β, medam (ἀπὸ Ἀδάμ, *'Αδαμί*). Καὶ πάλιν ἀντὶ τοῦ ad (ἕως), ἔγραψεν Ir (Ἴρ, πόλις)· καὶ οὕτω τὰ *σφοδρῶς* καὶ *ἕως* ἐπιῤῥήματα μετέβαλεν εἰς Ἀδὰμ πόλιν, ἥτις οὐδαμοῦ τῆς Γραφῆς μνημονεύεται (βλ. Σχούλζ. καὶ Καχῆν.). Καὶ ὅμως ὁ Μάσιος κατὰ τοῦτο διορθοῖ *καὶ* τοὺς Ο! Ἐκ τοῦ ἑβρ. καὶ τοῦ Θεοδοτίωνος μετῆλθεν ἡ ἑρμηνεία καὶ εἰς τὸν Σύρον, καὶ εἰς τὴν Ἄλδου, καὶ Κομπλουτείαν ἔκδοσιν· ἐν δὲ τῇ Ὀκτατεύχῳ Θεοτόκ. ἡμαρτημένως, *Δαμμὶ* (ἀντὶ Ἀδαμί).

Κεφ. Δ. στίχ. 3. «*'Εκ τῆς στάσεως τῶν ποδῶν τοῦ ἱερέως*» (τὸ ἑβραϊκ. καὶ ὁ Θεοδοτίων, ὅθεν καὶ τὸ Συριακὸν ὑπ' ἀστερίσκῳ). Τοῦτο ἀγνοοῦσιν οἱ Ο· ἀλλ' οὐδ' ἐν τῷ παραλλήλῳ τόπῳ (ςχ.8) κεῖται οὔτε παρ' αὐτοῖς, οὔτε ἐν τῷ ἑβραϊκῷ. Ἐν τῷ 9 στίχῳ, ἄλλοι λίθοι διορίζονται ἐπὶ τοῦ τόπου, « οὗ εἱστήκεισαν οἱ πόδες τῶν ἱερέων ». Ἐκ δὲ τούτου τοῦ στίχου προσέθηκε τὰς λέξεις καὶ εἰς τὸν 3 στίχ. ὁ Ἰουδαῖος διασκευαστής. – στίχ. 6. « *Κείμενον διὰ παντὸς* » (οἱ Ο, πρβλ. στίχ. 7)· ἐκ τοῦ ἑβρ. λείπει [ὁ δὲ Μάσιος ἐν πᾶσι τοῖς τοιούτοις ἐλλείμμασι τοῦ ἑβρ. ῥᾴστην ἔχει τὴν ἐπίλυσιν, ὅτι « οἱ Ο, *προσέθηκαν ἀφ' ἑαυτῶν!*]. – στίχ. 8. « Ἐν τῇ συντελείᾳ τῆς διαβάσεως τῶν υἱῶν Ἰσραὴλ» (οἱ Ο· πρβλ. στίχ. 1). Τὸ δὲ νῦν ἑβραϊκ. « Κατὰ ἀριθμὸν τῶν φυλῶν τῶν υἱῶν Ἰσραὴλ » (ταῦτα μετεγράφησαν ἐκ τοῦ 4, στίχου, παροραθείσης τῆς κατὰ τοὺς Ο, γνησίας ἀναγνώσεως).–στίχ. 10. Ἀγνοοῦσιν οἱ Ο, τὸ«*Κατὰ πάντα ὅσα ἐνετείλατο τῷ 'Ιησοῦ ἀναγγεῖλαι τῷ λαῷ* » (τὸ ἑβρ. καὶ Θεοδοτ.)· προσθήκη ἄτοπος καὶ παράλογος (οὐδὲν γὰρ περὶ λίθων προσέταξε Μωσῆς τῷ Ἰησοῦ· βλ. Οὐβιγάντην αὐτόθ.)· μετεγράφησαν δὲ ὧδε ἐκ τοῦ 12 στίχου, ὅπου κεῖνται κατὰ λόγον ἐν ἀμφοτέροις τοῖς κειμένοις.

Κεφ. Ε. στίχ. 4. Λείπουσι πολλὰ ἐκ τοῦ ἑβραϊκ. κείμενα παρὰ

τοῖς Ο (βλ. Ὀκτάτευχ. Θεοτόκ., καὶ τὸ Ἀλεξανδρ. τοῦ Γράβου, καὶ τὸ Βατικ. τοῦ Βώσου, καὶ ἔκδ. Ὄλμ.). ἔχει δὲ τὰ πλεῖστα καὶ ὁ Σύρος, λαβὼν αὐτὰ πάντως ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν· πρβλ. καὶ Μάσιον αὐτόθι διαποροῦντα δικαίως περὶ τῆς διαφορᾶς· πλὴν μόνον ὅτι τὴν διαφθορὰν τῶν κωδήκων ἀποδίδωσιν εἰς πάντας ἄλλους, πλὴν τοῦ ἑβραϊκοῦ! Ἡ δὲ Βουλγάτα συμφωνεῖ μᾶλλον πρὸς τοῦτο, ἀλλὰ λείπουσιν ἄλλα πάλιν ἐξ αὐτῆς, κείμενα κἂν τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο· διὸ καὶ καταφέρεται κατ' αὐτῆς ὁ δεινὸς αὐτῆς πολέμιος Ἀμάμας. — στίχ. 14. «Ὁ δὲ εἶπεν *αὐτῷ*» (οἱ Ο)· ἐν δὲ τῷ νῦν ἑβρ. «Ὁ δὲ εἶπεν, *οὐχὶ*» (οὕτω πάλιν ἡ Ἰουδαϊκὴ παχυδερμία συνέχεε τὴν γραφὴν τοῦ ἑβρ. λο=αὐτῷ, καὶ λο=οὐ· καὶ ἀπέδειξε τὸ αὐτὸ ναί, καὶ οὐ! ἐξελέγχεται δὲ τὸ σφάλμα κατὰ πρῶτον ἐκ τῆς ἐννοίας αὐτῆς. Ὁ Ἰησοῦς ἐρωτᾷ τὸν Ἀρχιστράτηγον. «Ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων;»· ὁ δὲ *εἶπεν αὐτῷ*. «Ἐγὼ Ἀρχιστράτηγος» κτλ. (κατὰ τοὺς Ο). Κατὰ δὲ τὸ ἑβρ. «Ὁ δὲ *εἶπεν*, οὐ. ὅτι εἰμὶ Ἀρχιστράτηγος» κτλ. (οὕτω καὶ ἡ Βουλγάτα). Ἀλλὰ πότερον ἀποφάσκει ἡ ἄρνησις, τὸ «*ἡμέτερος*;» ἢ τὸ «*τῶν ὑπεναντίων*;» ἢ καὶ ἀμφότερα; ἀλλὰ ψεύδεται· ὁ γὰρ ἀρχιστράτηγος ἄγγελος ἐπεφάνη, παραθαῤῥύνων τὸν Ἰησοῦν ὡς οἰκεῖος (Ἐξόδ. λγ, 2, 3), ὡς ἔφορος καὶ ἄρχων τῶν Ἰουδαίων (Δαν. ι, 21· πρβλ. Ὠριγένην καὶ Θεοδώρητον). Μετὰ δὲ τὸ *οὐ* παρενέγραψαν ἐν τῷ ἑβραϊκῷ καὶ τὸ αἰτιολογικὸν **ki** (ὅτι, ἢ ἀλλά). Ἀλλὰ τὸ γνήσιον τῶν Ο, βεβαιοῦσιν ὁ Σύρος, τὸ Ταργοὺμ., καὶ πεντήκοντα περίπου κώδηκες ἑβραῖοι (Ῥόσσ. τόμ. β. σελ. 77).

Κεφ. Ϛ. στίχ. 2. «(Τὸν βασιλέα) *τὸν ἐν αὐτῇ*» (οἱ Ο). λείπει ἐκ τοῦ ἑβρ., ἀναγκαῖον ὂν (Οὐβιγ.), — στίχ. 14. Τὸ ἑβρ. «Πλὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ περιῆλθον τὴν πόλιν ἑπτάκις». (Ἐπανάληψις τῶν ἡγουμένων, ἐκ πλάνης τοῦ ἀντιγραφέως. καὶ ὁ Σύρος ἔχει ταῦτα ὑπ' ἀστερίσκῳ). Ἐκ δὲ τῶν Ο ταῦτα λείπουσι (Βατικαν. καὶ Ἀλεξανδρ. ὁ δὲ Γράβης ἐν τούτῳ περιττῶς αὐτὰ προσέθηκε)· λείπουσι δὲ καὶ ἐκ τῆς Βουλγάτας. — στίχ. 20. «Καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν *οἱ ἱερεῖς*· ὡς δὲ ἤκουσεν ὁ λαὸς τῶν σαλπίγκων, ἠλά-

λαξε πᾶς ὁ λαὸς » (οἱ Ο)· τὸ δ' ἑβρ. « *Καὶ ἠλάλαξε πᾶς ὁ λαὸς*, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι· καὶ ἐγένετο, ὡς ἤκουσεν ὁ λαὸς τὴν φωνὴν τῆς σάλπιγκος, καὶ ἠλάλαξεν ὁ λαὸς » κτλ. Ἐν τούτοις βλέπει πᾶς τις προφανῶς καὶ τὴν ἐν ἀρχῇ τοῦ στίχου περιττὴν καὶ ἄτοπον ἐπανάληψιν τοῦ « *καὶ ἠλάλαξε πᾶς ὁ λαὸς* »· βλέπει δὲ καὶ τὴν ἔκπτωσιν τοῦ *ἱερεῖς* ἐκ τοῦ *ἐσάλπισαν ταῖς σάλπιγξι* (μὴ γὰρ ὁ λαὸς ἐσάλπισαν; βλέπε στίχ. 15). Ἔχει δὲ καὶ ὁ Χαλδαῖος τὸ *ἱερεῖς*. Καὶ ἡ Βουλγάτα δὲ (καί τοι πλαγίαν ἐκδοῦσα τὴν φράσιν) φαίνεται τὸ ἑβραϊκὸν ἀποδοκιμάζουσα (βλ. τὸν Οὐβιγάντην). — Αὐτόθ. « Καὶ ἔπεσεν *ἅπαν* τὸ τεῖχος *κύκλῳ* » (οἱ Ο, Βατικ.)· τὸ δ' ἑβρ. καὶ ὁ Σύρος οὐκ ἔχουσι τὸ *ἅπαν*, καὶ ὁ Μάσιος ἐξοβελίζει τὴν λέξιν· « εἰ γὰρ (φησὶν) *ἅπαν* ἔπεσε τὸ τεῖχος, πῶς ἂν ἔμενεν ἡ ἐπὶ τοῦ τείχους οἰκία τῆς Ῥαάβ; ». Ἀλλ' οἱ μὲν Ο, γράφουσιν ὅτι κατήρειπε πᾶς ὁ τοῦ τείχους *περίβολος* («ἅπαν τὸ τεῖχος *κύκλῳ* »). Ἐν δὲ τοῖς τοιούτοις πεσήμασιν ἀπομένουσι πολλάκις ἐν τῷ μεταξὺ καί τινα μεμονωμένα τεμάχια, οἷα βλέπομεν πολλαχοῦ καὶ καθ' ἡμᾶς ἑστηκότα μονήρη μέρη τῶν πρὸ πολλῶν αἰώνων ἠρειπωμένων τειχῶν. Καὶ ἐπὶ τοιούτου λοιπὸν ἀνεστηκότος ἀποῤῥήγματος ἔμενεν ἂν ἡ οἰκία τῆς Ῥαάβ (εἴ γε καὶ ὅλως ὅλη, καὶ μὴ κατὰ μέρος ᾠκοδόμητο ἐπάνω τοῦ τείχους)· ὁ δὲ Ἰώσηπος (Ἀρχ. ε, α, 2) *καὶ πλησίον τοῦ τείχους* λέγει τὸ τῆς Ῥαὰβ *καταγώγιον*, ἤτοι πανδοχεῖον· (πανδοκεύτρια δέ τις ἦν ἅμα καὶ *πόρνη* ἡ Ῥαάβ, κατὰ τὰς τῶν ἀρχαίων *καπηλίδας*). Ἔπειτα καὶ τὸ ἑβρ. ἐν ᾧ λέγει, *ἔπεσε τὸ τεῖχος* (ἐνάρθρως), ἄλλο τι νοεῖ εἰ μὴ τὸ τεῖχος *ἅπαν*; Τελευταῖον διέφυγε τὸν Μάσιον ἡ ἔκδοσις τοῦ Ἀλεξανδρινοῦ, ἐν ᾧ τὸ τεῖχος γέγραπται χωρὶς τοῦ σκανδαλώδους *πᾶν*! — στίχ. 24. « Εἰς θησαυρὸν *οἴκου* κυρίου (τὸ ἑβρ.) παρὰ δὲ τοῖς Ο (καὶ τῷ Σύρῳ, Ἄραβι, Βουλγάτᾳ καὶ κώδ. ἑβρ. Ῥόσ. τόμ. β. σελ. 79) οὐ κεῖται τὸ *οἴκου*. — στίχ. 26. « *Καὶ οὕτως ἐποίησεν ὁ Ἀζὰν κτλ.* μέχρι τοῦ « *ὁ κύριος ἦν μετὰ Ἰησοῦ* »· (πρβλ. Γ. Βασιλ. ις, 30). Ταῦτα ἔχουσι καὶ οἱ Ο, καὶ ὁ Σύρος. Ἐν δὲ τῷ ἑβρ. παντάπασιν οὐ κεῖνται· Ἀλλ' ἀνέγνωσαν τὴν περι-

κοπὴν καὶ Ὠριγένης, καὶ Εὐσέβιος, καὶ ἄλλοι τῶν ἀρχαίων (βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχ. Θεοτ.). Εἰ δ' ὁ Μάσιος νόθα ταῦτα *καὶ τῶν ὑστέρων χρόνων προσθήκην* ὑπονοεῖ, ἀλλ' οὐκ ἂν φθάνοι τὴν αὐτὴν ὑπόνοιαν ἀποτοξεύων καὶ εἰς ἄλλας τοιαύτας νεωτέρας τοῦ Ἰησοῦ παρενθέσεις, ὑπὸ τῶν θείων Προφητῶν καὶ τοῦ Ἔσδρα κανονικῶς προστεθείσας, ἃς ἔχει καὶ τὸ ἑβραϊκὸν κείμενον τοῦ Ἰησοῦ (βλ. καὶ Καχῆν. αὐτόθ.).

Κεφ. Η. στίχ. 6. « Φεύγουσιν, ὃν τρόπον καὶ ἔμπροσθεν » (οἱ Ο, καὶ ὁ Σύρος)· τὸ δὲ νῦν ἑβρ. καὶ ταῦτα προστίθησι· « καὶ φευξόμεθα ἀπὸ προσώπου αὐτῶν » (ταὐτολογία περιττή, μεταγραφεῖσα κατὰ πλάνην προφανῶς ἐκ τοῦ 5 στίχου. Ὅτι δὲ ταῦτα οὐκ ἦσαν οὐδ' ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς, ὕστερον δὲ παρεισέφρησαν ἐν τῷ ἑβρ., μαρτυρεῖ καὶ ἡ περὶ τούτων σιωπὴ τοῦ Συριακοῦ τῶν Ἑξαπλῶν· τοῦτ' αὐτὸ λέγομεν εἰσάπαξ καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων). — στίχ. 12. « Ἀπὸ ἀνατολῶν, καὶ τὰ ἔνεδρα τῆς πόλεως ἀπὸ θαλάσσης » (οἱ Ο, καὶ ὁ Σύρος). Ἀντὶ τούτων ἔχει τὸ ἑβρ. ταῦτα· « Καὶ ἔλαβεν ὡς πέντε χιλιάδας ἀνδρῶν, καὶ ἔθετο αὐτοὺς ἔνεδρα ἀνὰ μέσον τῆς Βαιθὴλ καὶ τῆς Γαὶ, θάλασσαν τῆς Γαί ». Ταῦτα προφανῶς συνετάραξεν ὁ Ἰουδαῖος ἀντιγραφεὺς, συμπιλήσας ἐκ τοῦ 9, στίχου. Καὶ τὸ *πέντε χιλιάδας* ἀντιφάσκει πρὸς τὸν 3, στίχον, ὅπου οἱ ταχθέντες εἰς ἔνεδραν ἀριθμοῦνται 30 χιλιάδες (βλ. τὸν Οὐβιγάντην).

Κεφ. Θ. στίχ. 4. Τὸ ἑβρ. «*Πρεσβείαν ἐπλάσαντο*». Ἀλλ' οἱ Ο, ὁ Σύρος, ἡ Βουλγάτα, ὁ Ἄραψ, Ταργοὺμ, καὶ κώδ. ἑβρ. Ῥόσσ. (τόμ. β, σελ. 84) «*Ἐπεσιτίσαντο*, καὶ ἡτοιμάσαντο »· πρβλ. καὶ στίχ. 11, 12, ὅπου καὶ τὸ ἑβρ. *ἐπισιτισμὸν* καὶ ἐφόδια λέγει (βλ. Οὐβιγάντην καὶ Καχῆν. αὐτόθ. καὶ Καπέλλ. κριτικ. σελ. 329). — στίχ. 5. «Τὰ κοῖλα τῶν ὑποδημάτων αὐτῶν» (οἱ Ο)· λείπει νῦν ἐκ τοῦ ἑβρ. Ἀλλὰ κατὰ τοὺς Ο, διαγράφονται ἀκριβέστερον τὰ ὑποδήματα· τὸ γὰρ *κοῖλα* σημαίνει τὸ ἐπάνω τῶν ὑποδημάτων κεκοιλωμένον σκύτος, ἢ δέρμα, τὸ καλύπτον τὸν κτένα τοῦ ποδὸς, ἀντιδιεσταλμένως πρὸς τὸ ἑπόμενον « *σανδάλια* », τὰ τοῖς ποσὶν

35*

ὑποβαλλόμενα ὁλόκληρα πέλματα, ἢ καττύματα (τὰ συνήθως *ἰχνάρια*, καταχρηστικώτερον), ἀπὸ τῶν *σανδαλίων*, εἴδους ὑποδημάτων καλυπτόντων μόνον τὸ κοῖλον (τὸ ὑποκάτω μέρος) τοῦ ποδός· (πάντη δὲ διάφορα τὰ *κοῖλα* (ἢ βαθέα) *ὑποδήματα*, εἰς μέσην τὴν κνήμην ἀνήκοντα, τὰ καὶ ἁπλῶς *ὑποδήματα* παρ' ἡμῖν λεγόμενα, ὡς καὶ ἐπὶ Πολυδεύκους, Ζ, κα, 6) (α).—στίχ.26.(Καὶ ἐξείλατο αὐτοὺς) *Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ* (οἱ Ο, καὶ ὁ Σύρος)· λείπουσιν ἐκ τοῦ ἑβρ., ἐκπεσόντα ἀβλεψίᾳ τῶν ἀντιγραφέων, διὰ τὴν ἐφεξῆς ἀκολουθοῦσαν τῶν αὐτῶν λέξεων γραφήν· ὡσαύτως λείπουσι καὶ τὰ ἑξῆς, στίχ. 27. « Διὰ τοῦτο ἐγένοντο οἱ κατοικοῦντες Γαβαὼν ξυλοκόποι καὶ ὑδροφόροι τοῦ θυσιαστηρίου τοῦ Θεοῦ, ἕως τῆς σήμερον ἡμέρας » (οἱ Ο, καὶ ὁ Σύρος).

Κεφ. Ι. στίχ. 12. « Ἡνίκα συνέτριψεν αὐτοὺς ἐν Γαβαὼν, καὶ συνετρίβησαν ἀπὸ προσώπου Ἰσραὴλ » (οἱ Ο). Λείπουσι ταῦτα ἐκ τοῦ ἑβρ. κεῖται δὲ μόνον τὸ «*κατὰ πρόσωπον υἱῶν Ἰσραὴλ*». Καὶ τοῦτο πάλιν (μηδὲν δέον) ἐπαναλαμβάνεται μετὰ τὸ « *εἶπεν ὁ*

(α) Ἐκ τοῦ τῶν Ο, *σανδάλια καταπεπελματωμένα* (Ἰησ. αὐτόθ. Βατ. Ἀλεξ.) ὁ Ἡσύχιος ἔχει « *καταπεπελτωμένα*, (*γρ. καταπεπελματωμ.*), *καταπεπιναχωμένα* »· ὅπερ οἱ περὶ τὸν Φίσχερον (Fischer Prolus. p. 122, καὶ Schulz not. εἰς Ἰησ. αὐτόθ.) οὐκ ὀρθῶς διορθοῦσιν εἰς τὸ καταπεπιναρωμένα, ὡς δῆθεν ἐκ τοῦ Σουΐδα « Πεπολτωμένα, καταπεπολτωμένα » (οἷον ἐκ τοῦ πόλτος!) « *καταπεπιναρωμένα* ». Ταῦτα γὰρ μᾶλλον ὤφειλον διορθοῦν εἰς τὸ « *Πεπελματωμένα, καταπεπιναχωμένα* »· παρὰ τὸ *πέλμα*, τὸ κάττυμα, οὐ μόνον ὁλόκληρον τὸ ὑποκάτω τοῦ ὑποδήματος δέρμα (Solea), ἀλλὰ καὶ δέρματος τεμάχιον, δι' οὗ καττύουσι τὰ διεῤῥωγότα ὑποδήματα· ὅθεν καὶ ὁ Σύμμαχος ἡρμήνευσεν « ὑποδήματα ἔχοντα ἐπιβλήματα » (τὰ συνήθως ἐμβαλώματα). Ὥστε τὸ καταπεπελματωμένα σημαίνει οὐχ, ὡς ὑπειλήφασι, τὸ multiplicibus soleis munita, πολλοῖς πέλμασιν ὠχυρωμένα (οἷον ἐκ διπλῶν πελμάτων, ἢ ἰχναρίων συνεστηκότα), ἀλλὰ μᾶλλον τὰ συγκεκαττυμένα, τὰ πλήρη ἐμβαλωμάτων (καὶ χυδαιέστερον, κατεμβαλωμένα). Καὶ τὸ *πεπιναχωμένα* δὲ ἐκ τοῦ πίναξ, πίνακος, τὸ ὑποκάτω τοῦ ὑποδήματος σκύτος, τὸ παρὰ τοῖς Ο, *σανδάλιον* (ὡς καὶ τοῦτο ἐκ τοῦ σανὶς, σανίδος, σανίδαλον, σάνδαλον· κατεσκεύαζον δὲ καὶ ἐκ σανίδων καὶ πινάκων τὸ πέλμα τοῦ ὑποδήματος, οἷα ἦσαν τὰ *τυῤῥηνικὰ*, κτλ. Ἐντεῦθεν καὶ ἡ Βουλγάτα (Ἰησ. αὐτόθ.) μεθηρμήνευσε calceamenta pitacijs consuta (πιτταχίοις συνεῤῥαμένα)· τὸ δὲ πιτάκιον ἐκ τοῦ πίταξ (σκύτος), ὡς καὶ (πίττυξ), πίσυγξ, *πίσυγγος*, ὁ σκυτεύς· καὶ πισύγγιον τὸ σκυτεῖον. Ἡσύχ. βλ. καὶ Riemer ἑλληνογερμ. Λεξικ.

Ἰησοῦς» (αὐτόθ.), ὅπου τοῦτο οὐκ ἀνέγνων οἱ Ο. — ςχ. 13. «*Οὐχὶ τοῦτο γεγραμμένον ἐπὶ βιβλίου τοῦ Εὐθοῦς*;»· τὸ ἑβρ. ἡ Βουλγ. καί τινα τῶν ἀντιγράφων τῶν Ο, (οἷον Ὀξων., Ἄλδου, Ὀκτατεύχ. Θεοτ. κτλ.) (α). Ἀλλ' ἐν τῷ Βατικανῷ καὶ Ἀλεξανδρινῷ καὶ ἄλλοις κώδηξιν ἀρχαίοις ἡ ῥῆσις οὐχ εὑρίσκεται (βλ. ἐκδ. Ὅλμητος· ὁ δὲ Γράβης προσέθηκεν αὐτὴν ὑπ' ἀστερίσκῳ καὶ ἐν τῇ ἐκδόσει τοῦ Ἀλεξανδρινοῦ, ὅθεν ἐτυπώθη καὶ ἐν τῇ τῆς Μόσχας ἐκδόσει). Ὅσοι τὸ βιβλίον τοῦ Ἰησοῦ θέλουσι πολλοὺς ἔπειτα χρόνους μετ' αὐτὸν συγγεγραμμένον, τοῦτο μάλιστα (μετ' ἄλλων τινῶν φράσεων) προβάλλουσιν εἰς ἀπόδειξιν τῆς γνώμης αὐτῶν. Εἰ γὰρ ἔγραψε (φασὶν) αὐτὸς ὁ Ἰησοῦς ὅπερ αὐτὸς ἐποίησε θαῦμα, τίς ἡ χρεία τῆς μαρτυρίας καὶ ἐξ ἄλλου βιβλίου; καὶ τούτου μηδαμοῦ μνημονευομένου κατ' ἐκείνους τοὺς χρόνους, εἰ μὴ μετὰ πολλοὺς αἰῶνας ἐπὶ *Δαβίδ*; (Β. Βασιλ. α, 18). Ἀλλ' (ἀπαντῶμεν) α) τοῦτο τὸ βιβλίον φαίνεταί τις ἐπῶν ἱστορικῶν, ἢ ᾠδῶν καὶ ᾀσμάτων ἀρχαιοτάτη συλλογή· ὡς ὑποδηλοῖ καὶ τὸ «Ἦσεν *Ἰσραὴλ ᾆσμα τὸ ἐπὶ τοῦ φρέατος*» (Ἀριθμ. κα, 17). Οὐδὲν δὲ ξένον, εἴπερ ὁ Ἰησοῦς ὕςερον, ἤδη γέρων, συγγράφων τὰ καθ' ἑαυτὸν, ἐπεμνήσθη καὶ τοῦ τεύχους, τοῦ τὸ θαῦμα ἐξυμνοῦντος. Ἐν τούτῳ τῷ βιβλίῳ τοῦ ***Εὐθοῦς*** ἐγράφη μετέπειτα καὶ τὸ τοῦ Δαβὶδ εἰς τὸν Σαοὺλ καὶ τὸν Ἰωνάθαν Ἐλεγειακόν (β. Βασιλ. α, 18) (β). β) Εἰ δὲ τὸ βιβλίον

(α) Ἔχει τὴν φράσιν καὶ ὁ ἱερὸς Θεοδώρητος (Σειρ. εἰς Ἰησοῦν Ὀκτατ.). Ἐν δὲ τοῖς Ἀπόροις αὐτοῦ γέγραπται «ἐπὶ τὸ βιβλίον τὸ εὑρεθέν». (βλ. Θεοδωρήτ. τόμ. α. σελ. 156. ἐκδ. Εὐγεν.), κατὰ σφάλμα τυπογραφικὸν, ἀντὶ τοῦ Εὐθοῦς. Εὐθοῦς ἔγραψε τὴν λέξιν καὶ ὁ Προκόπιος (Σειρ. εἰς τὴν Ὀκτάτευχ. Θεοτόκ. πρβλ. καὶ Ἀνασκευὴν τῆς τελ. διερμηνευθ. Διαθ. σελ. 220, καὶ 526).

(β) Τὸ βιβλίον τοῦ Εὐθοῦς ἑβραϊστὶ γράφεται σεφὲρ Ἰασσὰρ (Sepher hayaschar)· σημαίνει δὲ τὸ Ἰασσὰρ εὐθὺν, ὀρθὸν, δίκαιον, κτλ. Ἡ δὲ Συριακὴ ἑρμηνεία μεταφράζει βίβλον ὕμνων, ἢ ᾀσμάτων. Ὥστε φαίνεται ὁ Σύρος ἀναγνοὺς ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ σεφὲρ ha—sir (βλ. Lowth, De Sacra poës. p. 470—476. — Schulz, not. in Jos. h. l. — Dupin, Nouv. Bibl. Diss. praelim. T. 1. p. 40. — Janssens, Hermeneut. Sacrée p. 69). Ἀλλὰ καὶ ᾀσμάτων εἴπερ ἦν συλλογὴ τὸ βιβλίον (ἄλλοι τοῦτο νομίζουσι χρονικῶν ἐπιτομὴν), ὀρθοτέρα φαίνεται ἡ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ ὀνομασία (yaschar), ὡς ἀνέγνων καὶ οἱ Ο,

τοῦ *Εὐθοῦς* συνετάχθη μετὰ τὸν Ἰησοῦν, ἡ ῥῆσις λοιπὸν φαίνεται μία τῶν παρενθέσεων, ἃς ὁ θεοφόρος Ἔσδρας, ἤ τινες ἄλλοι τῶν προφητῶν προσέθηκαν ὕστερον, εἰς ἐναργεστέραν διασάφησιν καὶ ἐξακρίβωσιν τῶν συμβεβηκότων. γ) Ἢ, τέλος, τὸ χωρίον γεγραμμένον εἰς τὴν ᾤαν τοῦ ἑβραϊκοῦ κώδηκος ὑπό τινος τῶν μεταγενεστέρων Ἰουδαίων (ὡς μαρτυρία τις εἰλημμένη ἐκ τοῦ τότε σωζομένου βιβλίου τοῦ Εὐθοῦς), εἰσεῤῥύη καὶ εἰς τὸ κείμενον, ἐκ τῆς ᾤας ἀντιγραφὲν ὑπό τινος τῶν μεταγραφέων. Καὶ τοῦτο ἴσως συνέβη μετὰ τοὺς Ο, ὅσον ἔξεστι συμβαλεῖν ἐκ τῶν ἐπισημοτάτων ἀντιγράφων τοῦ τε Ἀλεξανδρινοῦ καὶ τοῦ Βατικανοῦ, ἐν οἷς λείπει τὸ χωρίον. Εἰς δὲ τὰ λοιπὰ τῶν ἀντιγράφων εἰσεχώρησεν ἐκ τῶν τοῦ Θεοδοτίωνος ἀπὸ τῶν Ὠριγένους Ἑξαπλῶν.

Κεφ. ΙΑ. στίχ. 6. «(Παραδίδωμι) *τετροπωμένους*» (οἱ Ο, καὶ Σύμμ.). Τὸ δ' ἑβρ. ἔχει *χαλαλὶμ* (ἐκ τοῦ *χαλὰλ*, ὅπερ ἑρμηνεύουσιν ἀνῃρημένους· οἱ δὲ *τετρωμένους*. τοῦτο καὶ ὁ Γράβης, μηδὲν ὀκνήσας, εἰσήγαγεν εἰς τὸ κείμενον τὸ Ἀλεξανδρ. παραγράψας τὸ *τετροπωμένους*). Τῶν δέ τινες νεωτέρων κρατοῦσι μὲν τὸ *τετροπωμένους*, διορθοῦσι δὲ εἰς τὸ *τετρυπημένους*, καὶ δικαιοῦσι τοῦτο δῆθεν ἐξ ἄλλων χωρίων τῶν Ο· οἷον (Ἰησ. ιγ, 22) «τὸν Βαλαὰμ ἀπέκτειναν ἐν τῇ ῥοπῇ» (Βατικ. καὶ Ἀλεξανδρ.), ὅπου ἄλλοι κώδηκες ἔχουσι *τροπῇ* (ἐκ τοῦ Θεοδοτίωνος)· αὐτοὶ δὲ τοῦτο διορθοῦσιν εἰς τὸ *τρυπῇ*. Καὶ ἄλλην ἐπάγουσι μαρτυρίαν· «Ἐξεπορεύετο τὸ αἷμα *ἐκ τῆς τροπῆς*» (γ. Βασ. κβ, 35 Ἀλεξ. Βατικ.)· ἀνώνυμος δέ τις ἔχει, ἐκ τῆς *τρυπῆς*. Οὕτω τοίνυν φασὶ καὶ τὸ *τετρυπημένους* (α). Ἀλλ' οἱ μὲν Ο οὐδέποτε οὐδαμοῦ

καὶ ἡ Βουλγάτα, *καὶ ἄλλαι ἀρχαῖαι ἑρμηνεῖαι, γράφουσαι* τοῦ εὐθοῦς *(τουτ. τοῦ δικαίου, ἢ* τῶν δικαίων· *βλ.* Cahen ibid. *καὶ* Gesen. Lexic. Hebraic. p. 454. Ὁ *δὲ* Χαλδαῖος *ἐξέλαβε τὸ σύνταγμα τοῦ* εὐθοῦς *ἀντὶ τῆς βίβλου τοῦ* Νόμου· *ἀλλὰ τοῦτο μὲν ἐπίνοια ῥαββινική.* Τὸ *δὲ τεῦχος τοῦ* Εὐθοῦς *ἴδιόν τι φαίνεται καὶ παλαιότατον· διὸ καὶ ὁ ἱερὸς Θεοδώρητος ἀρχαιότερον ἐνόμισε καὶ αὐτῆς τῆς βίβλου τοῦ Ἰησοῦ (ἐν τοῖς Ἀπόρ. εἰς Ἰησ. ιδ).*

(α) Βλ. Schleusn. Thes. v. τροπή. συνεπικυροῖ δὲ καὶ Doederl. in Bibl. Theol. II. p. 31. καὶ Schulz not. ad Josua h. l. καὶ ἄλλοι.

ἔγραψαν *τετρυπημένους* ἀντὶ τοῦ *τετρωμένους* (ἐπὶ τραυμάτων, καὶ τραυματιῶν), ἀείποτε δὲ χρῶνται τῷ τρυπᾷν ἐπὶ τοῦ τιτρᾷν (ἐκ τοῦ τιτράω, τράω, perforo, terebro, ὡς τὸ ἑβρ. nakab)· οἷον, « τρυπῆσαι *τὸ οὖς* ὀπητίῳ, *τὸ χεῖλος, τὸν ἀπόδεσμον*, κτλ. (Ἐξόδ. κα, 6: Δευτερ. ιε, 17: Ἰὼϐ μ, 21: Ἀγγ. α, 6). Ἀλλ' οὐδὲ *τρυπὴν* οἱ Ο, γεγράφασιν οὐδαμοῦ, οὐδ' ἐπιγινώσκει ὅλως τὸ σχῆμα τῆς λέξεως ἡ ἑλληνίς· λέγει δὲ κοινολεκτικτώτερον *τρύπαν* τὴν ὀπὴν (τρυμαλιὰν, τρήμην, κτλ.). Ὥστε τὸ τοῦ ἀνωνύμου καὶ ἀδήλου κώδηκος «*καὶ ἐκ τῆς τρυπῆς*» πρῶτον μὲν βεϐαρϐάρωται, παρατονισθὲν ἀντὶ τοῦ τρύπης (ἢ τρύπας)· ἔπειτα, οὐδ' ἔγραψεν ὅλως αὐτὸ ὁ ἀνώνυμος (ὡς ἂν χυδαιοτέρᾳ τῇ λέξει χρησάμενος ἀντὶ τοῦ ὀπῆς)· ἀλλ' ἔστι σφάλμα τοῦ μεταγραφέως, ἀντὶ τοῦ παρὰ τοῖς Ο ἐκ τῆς *τροπῆς* (ἴσως δὲ, καὶ ἀντὶ τούτου γραπτέον « ἐκ *τῆς ὀπῆς* » = τῆς πληγῆς. Οὕτω καὶ μικρὸν ἀνωτέρω γέγραπται « ἐπέχυνε τὸ αἷμα *ἐκ τῆς πληγῆς*· ταῦτα δὲ λείπουσιν ἐκ τοῦ ἑβρ.). Ἡ δὲ Κομπλουτεία ἔκδοσις (αὐτόθ.) ἔχει «ἐκ τῆς *τροπώσεως*» (ἀντὶ τοῦ τροπῆς)· ἀλλὰ καὶ ἐν αὐτῇ πάντως ἐγέγραπτο *τροπῆς* (« *ἐκ τῆς τροπῆς, ἕως* τοῦ κόλπου » κτλ.). Ταύτας δὲ τὰς δύω γείτονας λέξεις *(τροπῆς ἕως)* ὁ τυπογράφος συμπιλήσας, ἔπλασε τὸ νῦν ἐκδεδομένον *τροπώσεως* (ὅπερ καὶ τοῦτο διορθοῦσιν οἱ κριτικοὶ εἰς τὸ ἀνήκουστον *τρυπώσεως !)*. Ἀλλὰ καὶ Α. Παραλ. Ι, 3, ὅπου οἱ Ο, « *ἐπόνεσεν ἀπὸ τῶν τόξων* » (Ἀλεξ. Βατικ.), τουτ. ἤλγησε τοξευθεὶς, ὠδυνᾶτο, (καὶ τὸ ἑβρ. *ὤδινεν*, ὡς τὸ «ὠδίνειν ὀδύνησι» Ἰλ. ε), ἡ Κομπλουτ. ἔκδοσις ἔχει *ἐτροπώθη* (ἡμαρτημένως, ἀντὶ *ἐτρώθη*· καὶ γὰρ καὶ Β. Παραλ. ιη, 33, ὅπου αἱ λοιπαὶ ἐκδόσεις ἔχουσιν *ἐπόνεσα*, ἡ Κομπλουτ. γράφει *τετραυμάτισμαι)*. Οἱ δὲ κριτικοὶ καὶ τοῦτο τὸ ἡμαρτημένον ἐτροπώθη διορθοῦσιν εἰς τὸ ἀνύπαρκτον *ἐτρυπώθη*. Καὶ ταῦτα μὲν περὶ τῆς *τρυπῆς*, καὶ *τρυπώσεως*, καὶ τοῦ *τρυπωθῆναι*, ἅπερ ἐπενόησαν οἱ ῥᾷστα καὶ προχείρως τοὺς Ο, διορθοῦντες (α). Τὸ δ' ἐν Ἰησοῦ (ιγ, 22) « *ἐν τῇ τροπῇ* » (ὅπερ

(α) Βλ. Schleusner. Thes. v. Τροπόω.

ἰσοδυναμεῖ τῷ παρ' ἄλλοις ἐν τῇ *ῥοπῇ)* φαίνεται καὶ λίαν ὀρθῶς ἔχον. Οὕτω γὰρ ἡρμήνευσαν οἱ Ο τὸ ἑβρ. *χαλαλίμ*· τουτ. ἐν τοῖς *τετροπωμένοις*, τοῖς ἐν τῇ μάχῃ συντετριμμένοις, καὶ τραπεῖσιν εἰς φυγὴν (τὸ ἑβρ. προστίθησι καὶ ἐν *ῥομφαίᾳ*· οὕτως ἔχει καὶ ἡ Κομπλουτεία τῶν Ο, ἀλλ' ἴσως οἱ Ο, οὐκ ἀνέγνωσαν τὸ *ῥομφαίᾳ)*. Ὡσαύτως ἐατέον ὀρθῶς ἔχον (οἶμαι) καὶ τὸ τετροπωμένους (Ἠσ. ια, 6). Τὸ γὰρ ἑβρ. *χαλὰλ* οὐ μόνον τὸ διορύσσειν, καὶ τιτρώσκειν, καὶ ἀποκτείνειν σημαίνει, ἀλλὰ καὶ τὸ λύειν, καὶ παραλύειν, ἀνατρέπειν κτλ. (α)· ὅθεν καὶ τὸ *τροποῦν* (τρέπειν τὸν ἐχθρὸν, κτλ.), ᾧπερ ἐχρήσαντο πολλάκις οἱ Ο. Καὶ ἔστι τὸ *χαλὰλ* ταυτοσήμαντον, καὶ ἴσως συγγενὲς τοῦ ἑλληνικοῦ *χαλᾶν*, ᾧ μάλιστα χρώμεθα καὶ ἐν τῇ συνηθείᾳ κατά τε τὰς ἀρχαίας αὐτοῦ σημασίας, καὶ ἐπὶ τοῦ *τροποῦν* τὸν ἐχθρὸν («ἐχάλασε τὸν ϛρατὸν»), καὶ ἀποκτείνειν, καὶ διακορεῖν, καὶ βεβηλοῦν, καὶ παραβαίνειν (ἐχάλασε τὴν συνθήκην, τὴν νηστείαν), καὶ τ' ἄλλα πάντα σχεδὸν, ὅσα καὶ τὸ ἑβρ. *χαλάλ*.

Κεφ. ΙΓ. 8. «Ἀπὸ τοῦ Ἰορδάνου ἕως τῆς θαλάσσης τῆς μεγάλης κατὰ δυσμὰς ἡλίου δώσεις αὐτήν· ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ· ταῖς δὲ δύω φυλαῖς, καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ» κτλ. (οἱ Ο, καὶ ὁ Σύρος). Ἐν δὲ τῷ ἑβρ. λείπει ὅλος ὁ στίχος ἐξ ἀβλεψίας τοῦ Ἰουδαίου μεταγραφέως, ὅστις ἀπὸ τοῦ 7 στίχου (λήγοντος εἰς τὰς λέξεις τὰς αὐτὰς ἐν αἷς καὶ ὁ 8) μετεπήδησεν εἰς τὸν 9 στίχ. παριδὼν τὰ μεταξὺ ἀναγκαῖα ὄντα [βλ. τὸν Οὐβιγάντ. αὐτόθ. ὁ δὲ Μάσιος, μηδὲ τῷ ἑαυτοῦ Σύρῳ πεισθεὶς, ἔκρινε καὶ ταῦτα, ὡς εἴωθε, προσθήκην ἐν τοῖς Ο, ὑπὸ τούτων αὐτῶν εἰς ἐπεξήγησιν προστεθειμένα].—στίχ. 14. «*Καὶ οὗτος ὁ καταμερισμὸς, ὃν κατεμέρισε*» κτλ. ἕως τέλους τοῦ 14 στίχου· ταῦτα πάντα λείπουσι παντάπασιν ἐκ τοῦ ἑβρ. διαπεπτωκότα. — στίχ. 32. Τὸ ἑβρ. προστίθησι καὶ ἄλλον στίχον, 33, λέγον· «Τῇ δὲ φυλῇ Λευῒ οὐκ ἔδωκε Μωϋσῆς κληρονομίαν. Κύριος ὁ Θεὸς Ἰσραὴλ αὐτὸς κληρονομία αὐτῶν,

---

(α) Gesen. Lexic. Hebr. p. 340.

καθὰ ἐλάλησεν αὐτοῖς ». Ἀλλὰ τοῦτο φανερῶς ἐπανελήφθη ἐκ τοῦ 14 στίχου (πρβλ. καὶ Ἀριθμ. ιη, 20), ὅπου κεῖται καὶ παρὰ τοῖς Ο, καὶ ἐν αὐτῷ τῷ ἑβραϊκῷ, μετά τινος ὅμως λέξεως διεσκευασμένῳ (βλ. Οὐβιγάντ. καὶ Καχῆν. αὐτόθ.).

Κεφ. ΙΕ. στίχ. 60. « Θεκώ, καὶ Ἐφραθὰ *(αὕτη ἐστὶ Βηθλεέμ)*, καὶ Φαγὼρ », κτλ. ἕως τοῦ « *πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν* » (οἱ Ο, ὁ Σύρος, ὁ Ἱερώνυμος). Ἐκ τοῦ νῦν ἑβρ. λείπει ὅλος οὗτος ὁ στίχος, εἴτε πλάνῃ τῶν Ἰουδαίων ἀντιγραφέων ἔκπαλαι διεκπεσὼν (ὡς διατείνονται οἱ θερμότατοι τῶν ἑβραϊστῶν), εἴτε καὶ (τὸ ἀληθέστερον) ἐξεπίτηδες ὑπὸ τῶν *μετὰ Χριστὸν* Ἰουδαίων ἀποξεσθείς, ἵνα μετὰ τῶν ἄλλων χωρῶν συναποξεσθῇ καὶ ἡ πρὸς ἣν ἀπέβλεπον οἱ τοῦ κειμένου λωβητῆρες πατρὶς τοῦ Σωτῆρος *Βηθλεέμ*, ἥτις καί τοι πολλαχοῦ τῆς Γραφῆς μνημονευομένη, πρῶτον ὅμως ἐνταῦθα διορίζεται σαφῶς ὡς δῆμος *Ἰούδα*, ἡ αὐτὴ οὖσα καὶ ἡ ἀρχαία *Ἐφραθὰ* (Γενέσ. λε, 19), καὶ βεβαιοῖ τὴν περὶ τοῦ Μεσσίου προφητείαν τοῦ Μιχαίου (ε, 2). Οὕτως ἔκρινεν ὁ μακάριος Ἱερώνυμος, καὶ ἐκ τῶν νεωτέρων ἄλλοι τε καὶ Κεννικῶτος (α). Ὁ δὲ Γράβης ἐν τῇ κατ' αὐτὸν ἐκδόσει τοῦ Ἀλεξανδρινοῦ παρέθηκε καὶ πρὸς τῷ στίχῳ τούτῳ ὀβελούς! διότι λείπει ἐκ τῆς Κομπλουτείας.

Κεφ. ΙΖ. στίχ. 4. « Διὰ χειρὸς Μωϋσῆ » (οἱ Ο, ὁ Σύρος, ἡ Βουλγάτ. Ταργοὺμ, καὶ πολλοὶ κώδηκες ἑβρ. Ῥόσσ.). Ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *διὰ χειρός*. — στίχ. 5. « Καὶ οἱ σχοινισμοὶ Μανασσῆ » (οἱ Ο)· τὸ δ' ἑβρ. προστίθησι καὶ « *δέκα* ». ἀλλὰ τοῦτο

(α) Βλ. Ἱερών. εἰς Μιχ. ε, 1. (*Ἡ δὲ Βουλγάτα νῦν οὐκ ἔχει τὸν στίχον*), Cappell. Crit. Sacr. p. 294.—Kennicot. Diss. II. cap. 1. p. 56. πρβλ. καὶ Schulz not. ad h. l. θαυμάζει τὴν ἔλλειψιν καὶ ὁ Reland. Palaestin. p. 643, κτλ. Ὁ δὲ Καχὴν *νομίζει μᾶλλον δικαιοτέρους τοὺς κριτικοὺς ἐκείνους, οἵτινες ὑπολαμβάνουσιν, ὅτι τάχα σχόλιόν τι προσγεγραμμένον εἰς τὴν ᾤαν, παρεισέδυ καὶ εἰς τὸ κείμενον τῶν* Ο! (Cahen ad h. l.). *Οὕτως ἀεὶ πέρδιξ παρὰ πέρδικι, καὶ κολοιὸς ποτὶ κολοιὸν ἱζάνει! ἀλλὰ τί μὴ προσέθηκαν οἱ κριτικοὶ οὗτοι καταδείξαντες ἀκριβῶς πότε, καὶ ποῖός τις ἦν ὁ σχολιαστὴς οὗτος; καὶ (τὸ κυριώτατον) πόθεν ἔμαθε ταῦτα τὰ ὀνόματα τῶν ἐπὶ τοῦ Ἰησοῦ χωρῶν τῆς Παλαιστίνης;*

τὸ λεξείδιον ἀντίκειται πρὸς τὸ νόημα· (Οὐβιγάντης, καὶ Καχήν).

Κεφ. ΙΘ. στίχ. 47, 48. Παρὰ τοῖς Ο, οἱ στίχοι οὗτοι περιέχουσι πολλῷ πλείονα τῶν ἐν τῷ νῦν ἑβραϊκῷ κεκολοβωμένων. Ταῦτα ἔχει καὶ ὁ Σύρος· μαρτυροῦνται δὲ τὰ πλεῖστα καὶ ἐκ τῶν Κριτῶν (α, 34, 35)· συμβάλλουσι δὲ καὶ πρὸς ἐξακρίβωσιν τοῦ ἱστορικοῦ νοήματος. Οὐδ' ἂν οἴκοθεν αὐτὰ προσέθηκαν ἐνταῦθα οἱ Ο, ἑρμηνεῖς, εἰ μὴ καὶ ἀνεγίνωσκον ἐν τῷ κατ' αὐτοὺς ἑβραϊκῷ (Οὐβιγάντ.). Ὁ δὲ Γράβης καὶ τούτοις προσέπηξαν ὀβελούς.

Κεφ. Κ. στίχ. 3. « Καὶ οὐκ ἀπαθανεῖται ὁ φονευτής » (οἱ Ο, ὁ Σύρος)· ἐκ τοῦ νῦν ἑβρ. λείπουσι. Λείπει καὶ τὸ « Ἕως ἂν καταστῇ ἐναντίον τῆς συναγωγῆς εἰς κρίσιν » (οἱ Ο, καὶ ὁ Σύρος)· ἔχει ταῦτα καὶ τὸ ἑβρ. ἐφεξῆς (στίχ. 6).

Κεφ. ΚΑ. στίχ. 36, 37. Λείπουσιν ἐκ τοῦ κοινοῦ ἑβρ. οἱ δύω οὗτοι περιθρύλλητοι στίχοι (καί τοι ἐμφερόμενοι καὶ ἐν Α. Παραλειπ. ϛ, 63, 64), οὓς ἐξοβέλισε μὲν ἡ Μάσορα καὶ τὸ νῦν κοινὸν ἑβραϊκὸν, ἀπαιτεῖ δὲ πάντως τὸ κείμενον· ἔχουσι δὲ τούτους οἱ Ο, ὁ Σύρος, ὁ Ἄραψ, ὁ Αἰθίοψ, ὁ Χαλδαῖος, ἡ Βουλγάτα, καὶ 384 κώδ. ἑβραῖοι χειρόγραφοι, καὶ 141 ἐκδιδομένοι (Ῥόσσ. τόμ. β, σελ. 96—106). Ἀλλὰ καὶ πάντες σχεδὸν οἱ διασημότατοι τῶν κριτικῶν συνομολογοῦσιν, ὅτι τοὺς στίχους τούτους οὕτω τὸ κείμενον ἀπαιτεῖ, ὥστε χωρὶς τούτων ἐλλειπές ἐστι καὶ κολοβόν. Οὕτως ἔκρινε καὶ Ῥόσσις, καὶ ὁ Οὐβιγάντης, καὶ Ἰάννης (Εἰσαγωγ.), καὶ ἄλλοι πολλοί, καὶ ὁ περίδοξος Κεννικῶτος (βλέπε ὄπισθεν σελ. 216)· πρβλ. καὶ Σχούλζ. καὶ Καχῆνα εἰς Ἰησ. αὐτόθι). Μάτην ὁ Βρύνσιος ἀντιλέγει, κούφας καὶ ψευδεῖς ἀντιῤῥήσεις προτείνων· (τὸν δὲ Γλάσσιον, Φιλολογ. ἱερ. Α. σελ. 38, καὶ ὧδε καὶ πολλαχοῦ, χάριν τοῦ Μασοραίου κειμένου, τραχηλιῶντα κατὰ τῆς ἀληθείας, παραλείπομεν). Ὁ δὲ Μάσιος, καί τοι χαίνοντας ἐν τούτοις τοῖς στίχοις τοὺς κατ' αὐτὴν ἑβραίους κώδηκας ὁμολογῶν, προστίθησιν ὅμως (ὡς εἴωθε πολλάκις ἀναξίως ἑαυτοῦ) καὶ τὸ φαῦλον ἐκεῖνο ῥημάτιον· « ὅτι καὶ ταῦτ' ἀφ' ἑαυτῶν οἱ Ο, προσέθηκαν ». «Καὶ πόθεν λοιπὸν (ἀπαντᾷ πρὸς αὐτὸν ὁ Ῥόσσις, σελ. 102), πόθεν ἠρύσαντο τοὺς στί-

χους μυρίοι κώδηκες καὶ γραφεῖς Ἑβραῖοι; μή τοι παρὰ τῶν Ο; ἢ μήποτε κακεῖνοι παρομοίως προσέθηκαν ἀφ᾿ ἑαυτῶν;» κτλ. Καὶ ταῦτα μὲν ὁ Ῥόσσις, ῥωμαλαίως πάνυ καὶ ὀρθῶς (ὡς εἴθε τοιοῦτος ἦν καὶ ἐν ἄλλοις). — στίχ. 40. Λείπουσιν ἐκ τοῦ νῦν ἑβρ. πάντα τὰ παρὰ τοῖς Ο διασωθέντα, ἀπὸ τοῦ «Καὶ *συνετέλεσεν ὁ Ἰησοῦς* μεχρὶ τοῦ *Θαμνασαρὰχ*», τρεῖς ὁλόκληροι περίοδοι. Ταύτας οἱ τοῦ Μασοραίου κειμένου προστάται λέγουσιν ὑπ᾿ αὐτῶν τῶν Ο, προστεθείσας ἐκ τοῦ ιθ κεφαλαίου (στίχ. 49, 50) «*τὸ πλεῖστον μέρος*» (βλ. Σχούλζ. αὐτόθ.). Ἀλλὰ *τὸ πλεῖστον μέρος* τούτων πάντως οὐ κεῖται ἐν τῷ ιθ κεφαλαίῳ, κυροῦται δὲ καὶ ὑπὸ τοῦ τελευταίου κεφαλαίου (κδ, 30), ὅπου κἀκεῖ τὸ ἑβραϊκὸν κεκολόβωται. Ἔπειτα καὶ τὸ «*προσέθηκαν ἀφ᾿ ἑαυτῶν*» ἕωλος ἀποβέβηκεν ἤδη καὶ χρόνιος ἐπῳδὴ, μηδὲν ἰσχύουσα πρὸς θεραπείαν τοῦ πεπονηκότος ἰουδαϊκοῦ κειμένου! Οἱ Ο μεθηρμήνευσαν καὶ ὧδε ὅ,τι ἀνέγνων ἐν τῷ κατ᾿ αὐτοὺς ἀκεραίῳ σωζομένῳ ἑβραϊκῷ· ἔχει δὲ ταῦτα καὶ ὁ Σύρος ὁ τοῦ Μασίου. Ἔστι δὲ τὸ χωρίον προφανῶς ἐπίλογος τῶν προγεγενημένων, συνάπτων εἰς ἓν τὰ ἐν κεφαλαίῳ ιθ, 49 καὶ 50, συντομώτερον προῤῥηθέντα, καὶ προστιθεὶς καὶ τὴν ἀπόθεσιν τῶν πετρίνων μαχαιρῶν, αἷς περιέτεμεν Ἰησοῦς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ (Ἰησ. ε, 3 κτλ.).

Κεφ. ΚΒ. στίχ. 12. Τὸ ἑβραϊκὸν ἔχει· «Καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραήλ»· περιττὴ ἐπανάληψις τοῦ 11 στίχου ἐξ ἀβλεψίας τοῦ Ἰουδαίου ἀντιγραφέως. Ἀγνοοῦσι δὲ ταύτην οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος, καὶ κώδ. ἑβρ. Ῥόσσ.—στίχ. 20. Τὸ ἑβρ. «*Καὶ οὗτος εἷς οὐκ ἀπέθανε.*» κτλ. οἱ δὲ Ο πληρέστερον «Καὶ οὗτος εἷς μόνος ἦν, μὴ μόνος οὗτος ἀπέθανε;» κτλ. (Ἀλεξανδρ. Ἀλδ. Κομπλουτ. Ὀξων. Οὕτω καὶ ὁ Σύρος καὶ ἡ Βουλγάτα. βλ. καὶ Καχῆν.). —στίχ. 28. Λείπει ἐκ τοῦ ἑβρ. τὸ «ἀνὰ μέσον τῶν τέκνων ἡμῶν» (οἱ Ο, ὁ Σύρος, πρβλ. στίχ. 27). —στίχ. 32. «Καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ» (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ. καὶ ὧδε καὶ ἐφεξῆς (αὐτόθ.). Καὶ ἐκ τοῦ 34 ςίχ. λείπει τὸ «καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ».— Αὐτόθ. λείπει τὸ «Καὶ ἐλάλησαν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ» (οἱ Ο).—

στίχ. 34. Τὸ ἑβρ. ἔχει « *Κύριος ὁ Θεὸς* » (ἐστί). Οἱ δὲ Ο (ἀκριβέστερον) « *Κύριος ὁ Θεὸς, Θεὸς αὐτῶν ἐστι* » (Ἀλεξανδ. Ἀλδ. Ὀξων. Ὀκτατεύχ. Θεοτόκ. κτλ.)· ἄλλοι δὲ, « Κύριος, αὐτὸς ἐστὶν ὁ Θεός »· (ἡ Βουλγάτα, Σύρος, Χαλδαῖος, Ἄραψ καὶ πολλοὶ κώδηκες ἑβραῖοι) (α).

Κεφ. ΚΓ. στίχ. 5. « *Ἕως ἂν ἀπόλωνται* » καὶ τὰ ἑξῆς, ἕως τοῦ « *καὶ κατακληρονομήσετε* » (οἱ Ο, καὶ ὁ Σύρος)· πάντα ταῦτα λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ. [Ὁ Μάσιος ὑποπτεύεται, μήπως ἄλλοθέν ποθεν εἰσέφρησαν εἰς τὸ κείμενον τῶν Ο· ἀπιστεῖ δὲ καὶ τῷ ἰδίῳ Σύρῳ· καί τοι τοῦτον ἄλλως ὡς ἀψευδῆ πολλαχοῦ προβαλλόμενος. Εἴ τι γὰρ ἄπεστιν ἀπὸ τοῦ Συριακοῦ καὶ τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ, κεῖται δὲ παρὰ τοῖς Ο, τοῦτο πάντως *ἐξοβελιστέον καὶ ἐξαλειπτέον* ἀπηνέστερον ὁ κριτικὸς ἀποφαίνεται· « delendum est! expungendum est! »].

Κεφ. ΚΔ. στίχ. 4. « Καὶ ἐγένοντο ἐκεῖ εἰς ἔθνος μέγα, πολύ τε καὶ κραταιὸν, καὶ ἐκάκωσαν αὐτοὺς οἱ Αἰγύπτιοι » (οἱ Ο, ὁ Σύρος). Ἐκ δὲ τοῦ ἑβρ. λείπουσι ταῦτα. — Αὐτόθ. « Καὶ ἐπάταξε Κύριος τὴν Αἴγυπτον » κτλ. Τὸ δ᾽ ἑβρ. πρὸ τούτου γράφει « *καὶ ἀπέστειλα Μωσῆν καὶ Ἀαρών* ». Ταῦτα δ᾽ οὐκ οἴδασιν οὔτε οἱ Ο, οὔτε ὁ Σύρος. — στίχ. 22. « *Καὶ εἶπον· μάρτυρες* » (τὸ ἑβρ. καὶ ἡ Βουλγάτα). Ἀλλ᾽ ἀγνοοῦσι τοῦτο οἱ Ο· διὸ καὶ ὁ Σύρος κατηστέρισεν (ὡς προσθήκην ἐν τοῖς Ἑξαπλοῖς ἐκ τοῦ Θεοδοτίωνος). Ἀπᾴδει δὲ καὶ πρὸς τὸ νόημα, διακόπτον τὴν συνέχειαν τῶν λόγων τοῦ Ἰησοῦ. — στίχ. 25. Λείπει ἐκ τοῦ ἑβρ. τὸ « ἐνώπιον τῆς σκηνῆς τοῦ Θεοῦ Ἰσραὴλ » (οἱ Ο). — στίχ. 27. Λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ « *σήμερον*, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν » (οἱ Ο, ὁ Σύρος). — ςίχ. 29. « *Καὶ ἐλάτρευσεν Ἰσραὴλ τῷ Κυρίῳ* » κτλ. μέχρι τοῦ « *ἐποίησε τῷ Ἰσραὴλ* » (οἱ Ο, ὁ Σύρος). Ὅλος οὗτος ὁ παράγραφος ἐν τῷ ἑβρ. παρεκτετόπισται ἐν ςχ. 31. — ςχ. 30. « Καὶ ἐκεῖ ἔθηκαν μετ᾽ αὐτοῦ εἰς τὸ μνημεῖον, ἐν ᾧ ἔθαψαν αὐτὸν ἐκεῖ, τὰς μαχαίρας τὰς πε-

(α) Βλ. De-Rossi, Var. Lect. vol. 2. p. 108 καὶ Starck, David. Carm. pag. 111.

τρίνας» κτλ. ἕως τοῦ « τῆς σήμερον ἡμέρας (οἱ Ο, ὁ Σύρος, ὁ Ἄραψ· οὕτω καὶ Κύριλ. ὁ Ἀλεξ. ἐν Σειρ. εἰς τὴν Ὀκτατεύχ. κτλ.)· καὶ ταῦτα πάντα λείπουσιν ἐκ τοῦ ἑβρ. Καὶ στίχ. 33 λείπει τὸ «Καὶ ἐγένετο μετὰ ταῦτα» (οἱ Ο, καὶ ὁ Σύρος), καὶ τὸ *ἱερεὺς* (οἱ Ο, Σύρος, Ἄραψ καὶ κώδ. ἑβρ. Ῥόσσ. τόμ. β, σελ. 109). — Αὐτόθ. λείπουσιν ἐκ τοῦ ἑβρ. καὶ τὰ ἀπὸ τοῦ «*Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ*», καὶ τὰ λοιπὰ μέχρι τέλους τοῦ βιβλίου (οἱ Ο καθ' ὅλους τοὺς κώδηκας· ἔχει ταῦτα καὶ ἡ Συριακὴ μετάφρασις ἐν τῷ τέλει τοῦ τεύχους προσγεγραμμένα). Ὅτι δὲ τὰ λόγια ὑπῆρχον γεγραμμένα καὶ ἐν τῷ ἑβραϊκῷ κειμένῳ ἐξ οὗ μεθηρμήνευσαν οἱ Ο, πρόδηλον· πρὸς τί γὰρ ἂν καὶ προσέθηκαν ἀφ' ἑαυτῶν; (φαίνονται δὲ καὶ ταῦτα ὑπὸ τοῦ Ἔσδρα προσγεγραμμένα, οἷον εἰσαγωγικὰ εἰς τὴν ἑπομένην βίβλον τῶν Κριτῶν β, 13: γ, 6, 11, 12). Παρὰ δὲ τῶν Ἰουδαίων ἀντιγραφέων παρωράθησαν. Πολλάκις γὰρ ἐν ταῖς τῶν χειρογράφων ἀντιγραφαῖς καὶ λέξεις καὶ παράγραφοι ῥᾷον παραλείπονται, ἢ προστίθενται· ὡς ἄριστα περὶ τούτων μάλιστα τῶν παρὰ τοῖς Ο, τοῦ Ἰησοῦ χωρίων ἔκρινεν ὁ σοφὸς Οὐβιγάντης.

Ἱκανούσθω καὶ ταῦτα, ὀλίγα ἐκ πολλῶν τοῦ νῦν καθ' ἑβραίους τεύχους τοῦ Ἰησοῦ πρὸς τὸ τῶν Ο, διαφορῶν. Περὶ δὲ τῶν κυρίων ὀνομάτων, ὅτι μὲν καὶ ἐπὶ Ὠριγένους διέφερον πολλὰ τῶν παρὰ τοῖς Ο, πρὸς τὰ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ, ἐδήλωσεν αὐτὸς ἐκεῖνος ὁ Ἀδαμάντινος (ὅστις καὶ ἐσπούδασεν, ὡς φησὶν, αὐτὰ διορθῶσαι πρὸς τὰς ἐκδόσεις Ἀκύλα καὶ Θεοδοτίωνος καὶ Συμμάχου, εἴ γε καὶ οὗτοι ταῦτα μετέφρασαν ἀπ' ὀρθῆς γραφῆς τοῦ κατ' αὐτοὺς ἑβραϊκοῦ)· προστίθησι δὲ καὶ ὅτι, «Μάλιστα ὑποπτευτέον τοὺς τόπους τῶν Γραφῶν, ἔνθα κατάλογός ἐστιν ἅμα ὀνομάτων πλειόνων, ὡς *ἐν τῷ Ἰησοῦ* τὰ περὶ κληροδοσίας» κτλ. (Ὠριγέν. εἰς Ἰωάν. τόμ. η. σελ. 131). Ἀλλ' ἐν τῷ καθ' ἡμᾶς ἑβραϊκῷ πόση τῶν κυρίων ὀνομάτων ἡ σύγχυσις ἀλλαχοῦ τε καὶ ἐν τῷ τεύχει τοῦ *Ἰησοῦ* ἐπικρατεῖ (καὶ μάλιστα κατὰ τὴν μασορῖτιν γραφὴν αὐτῶν καὶ προφορὰν), ὁμολογοῦσιν οἱ κριτικοί (α).

(α) Βλ. Clerici, Calmet, Houbigant, καὶ Cahen not. ad Jos. c. 19. Πε-

§. θ. Ἐκ τῶν Κριτῶν.

Κεφ. Β. στίχ. 1. (Καὶ ἀνέβη ἄγγελος Κυρίου) « *ἀπὸ Γαλγὰλ ἐπὶ τὸν Κλαυθμῶνα, καὶ ἐπὶ Βαιθὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰσραὴλ* » κτλ. (οἱ Ο)· τὸ δὲ νῦν ἑβραϊκὸν, « *ἀπὸ Γαλγὰλ ἐπὶ τὴν Βοκίμ* » (ὃ ἐςὶ τὸ αὐτὸ καὶ Κλαυθμών. πρβλ. στίχ. 5). Τοσαῦτα μόνον ἐν τῷ ἑβραϊκῷ· τὰ δ' ἄλλα ἐκπεπτώκασι. Καί τινες ἑβραῖοι κώδηκες ἔχουσιν ἐν τούτοις διάστημα κενόν· (βλ. Οὐβιγάντι καὶ Σχούλζ. αὐτόθ.).

Κεφ. Γ. στίχ. 30. Λείπει ἐκ τοῦ ἑβρ. τὸ « Καὶ ἔκρινεν αὐτοὺς Ἀὼδ, ἕως οὗ ἀπέθανεν » (οἱ Ο)· καὶ μάρτυς Ἰώσηπος (Ἀρχ. Ε, δ, 3).

Κεφ. Δ. στίχ. 8. Μετὰ τὸ « *οὐ πορεύσομαι* », οἱ Ο ἔχουσι καὶ τούτους τοὺς πρὸς τὴν Δεβῶῤῥαν λόγους τοῦ Βαράκ· « Ὅτι *οὐκ οἶδα τὴν ἡμέραν*, ἐν ᾗ εὐοδοῖ ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ μετ' ἐμοῦ ». Ἐκ δὲ τοῦ ἑβρ. λείπει τὸ χωρίον· ἀλλ' ἐπικυροῦται ἐκ τοῦ ἐφεξῆς 14 στίχου, ὅπου λέγει πρὸς τὸν Βαρὰκ ἡ Δεβῶῤῥα· « *Αὕτη ἡ ἡμέρα* » κτλ. (βλ. καὶ Οὐβιγάντ.).

Κεφ. ΙΔ. στίχ. 10. (πότον) « *ἡμέρας ἑπτὰ* » (οἱ Ο, ὁ Σύρος, ὁ Ἄραψ) ἐκ τοῦ ἑβρ. λείπουσιν· ἀπαιτοῦνται δὲ ἐκ τοῦ ἀμέσως ἑπομένου κόμματος, « Οὕτω ποιοῦσιν οἱ νεανίσκοι » (τουτ. ἐπὶ *τοσαύτας ἡμέρας* ποιοῦσι τὸν πότον τὸν γαμήλιον)· κυροῦνται δὲ καὶ ἐκ τῶν ἐφεξῆς στίχ. 12 καὶ 17, ὅπου κεῖνται κἀν τῷ ἑβραϊκῷ· συμφωνοῦσι τοῖς Ο καὶ Οὐβιγάντης καὶ Καχήν· (περὶ τοῦ ἑπταημέρου πότου τῶν γάμων πρβλ. καὶ Ἐσθὴρ β, 18. ἐπὶ δὲ τοῦ Τωβίου ἐδιπλασιάσθησαν αἱ ἡμέραι. Τωβὶτ, η, 19).

Κεφ. ΙΕ. στίχ. 6. Τὸ ἑβρ. (ἐνέπρησαν) « Αὐτὴν, καὶ τὸν πατέρα αὐτῆς ». Οἱ δὲ Ο, « Αὐτὴν, καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτῆς » Βατικ. (Οὕτω καὶ ὁ Σύρος, ὁ Ἄραψ, καὶ πολλοὶ κώδηκες ἑβρ. Ῥόσσ.). Τὸ δ' Ἀλεξανδρινὸν (πληρέστερον), « Τὴν οἰκίαν αὐτῆς, καὶ αὐτὴν, καὶ τὸν πατέρα αὐτῆς ». Ἀλλ' ὁποτέρως ἂν τεθῇ, πάντως ἐκ τοῦ ἑβρ. ἐξέπεσε τὸ *τὸν οἶκον τοῦ πατρὸς* αὐτῆς.

ρὶ ἄλλων ἡμαρτημένων ἀναγνώσεων τῶν ἑβραϊκῶν κωδήκων τοῦ τεύχους τοῦ Ἰησοῦ βλ. Kennicot. Diss. I. pag. 421—429.

Κεφ. ΙϚ. 2. « Καὶ *ἀπηγγέλη* τοῖς Γαζαίοις » (οἱ Ο, ὁ Σύρος, ὁ Χαλδ.)· ἐκ τοῦ ἑβρ. λείπει τὸ ῥῆμα (βλ. Οὐβιγάντ.).—ςχ. 13. Μετὰ τὸ « *καὶ ἐγκρούσης πασσάλῳ* », λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ πάντα τὰ ἐφεξῆς. « Εἰς τὸν τοῖχον, καὶ ἔσομαι ἀσθενής, ὡς εἷς τῶν ἀνθρώπων ». — στίχ. 14. Λείπει τὸ « Καὶ ἐκοίμισεν αὐτὸν Δαλιδὰ, καὶ ἐδιάσατο τοὺς ἑπτὰ βοστρύχους τῆς κεφαλῆς αὐτοῦ μετὰ τῆς ἐκτάσεως, καὶ κατέκρουσεν ἐν τοῖς πασσάλοις εἰς τὸν τοῖχον » (οἱ Ο, ὁ Ἄραψ, καὶ ἡ Βουλγάτα μέχρι τοῦ *ἀσθενής*). Τοῦτο τὸ χάσμα τοῦ ἑβραϊκοῦ κειμένου ἀποδείκνυσιν ὁ τρόπος τῆς διηγήσεως, καθ' ὃν ὁμοίως ἐκφράζονται καὶ τὰ τῶν ἄλλων ἀποπειρῶν τῆς Δαλιδᾶς (στίχ. 8, 12)· ὁμολογοῦσι δὲ καὶ ἐκ τῶν νεωτέρων ἄλλοι τε καὶ ὁ Οὐβιγάντης, διορθῶν τὸ ἑβρ. κατὰ τοὺς Ο.—στίχ. 25. « *Ἐξ οἴκου φυλακῆς* » (οἱ Ο, καὶ κώδηκ. ἑβραῖοι Ῥόσσ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει.

Κεφ. ΙΘ. στίχ. 28. « *Ὅτι ἦν νεκρὰ* » (ἄλλ. *ἐτεθνήκει*)· οἱ Ο. Ἐκ δὲ τοῦ ἑβρ. λείπει καὶ τοῦτο διεκπεσόν (Οὐβιγάντ.).

Κεφ. ΚΑ. ςχ. 11. « Τὰς δὲ παρθένους περιποιήσεσθε· καὶ ἐποίησαν οὕτω » (οἱ Ο, Βατικ. Ὀξων. Ὀκτατεύχ. Θεοτόκ· καὶ ἡ Βουλγ.). Ταῦτα λείπουσιν ἐκ τοῦ ἑβρ. κυροῦνται δὲ ἐκ τοῦ Ἀριθμ. λα, 18 (πρβλ. καὶ Καχῆν.). Τοσαῦτα καὶ ἐκ τῶν Κριτῶν (βλ. καὶ Κεννικώτ. Διατρ. Α. σελ. 429, κτλ.).

§. ι. Ἐκ τῆς Ῥούθ.

Κεφ. Α. στίχ. 14. Λείπει ἐκ τοῦ ἑβρ. τὸ ἐφεξῆς ἀναγκαῖον εἰς τὴν ἔννοιαν κόμμα. « *Καὶ ἐπέστρεψεν εἰς τὸν λαὸν αὐτῆς* » (οἱ Ο· καὶ ὁ Σύρος, ὁ Ἄραψ, ἡ Βουλγάτα ἔχουσι τὸ καὶ *ἐπέστρεψε*). Οἱ δὲ τὸ κολόβωμα τοῦτο τοῦ ἑβρ. δικαιοῦντες ὡς ἐλλείψεως σχῆμα, προβάλλουσιν ὅτι τὸ προηγούμενον « *κατεφίλησε* » (τὴν πενθερὰν) ἐμπεριέχει δυνάμει καὶ τὸ *ἐπέστρεψεν*· (οἱ γὰρ ἐπιστρέφοντες καταφιλοῦσι τοὺς ἀφ' ὧν ἀναχωροῦσιν οἰκείους· οὕτω Βουξτόρφιος, Σχούλζης κτλ.). Ἀλλὰ τὸ σχῆμα φαίνεται ἀνύπαρκτον, καὶ τὸ χάσμα τοῦ ἑβραϊκοῦ μαρτυροῦσι καὶ ἄλλα χωρία τῆς Γραφῆς, ἐν οἷς μετὰ τοῦ *καταφιλεῖν* ἀείποτε συνάπτεται καὶ τὸ *ἐπιστρέφειν*, ἢ *ἀπιέναι* κτλ. (οἷον, Γενέσ. λα, 55 (ἑβρ. λβ, 1),

καὶ Β. Βασιλ. ιθ, 39: καὶ Γ. Βασιλ. ιθ, 20. Ἐν δὲ Γενέσ. λα, 28, τὸ *καταφιλήσας* οὐδόλως συνεπάγεται καὶ τὴν ἔννοιαν τῆς ἐπιστροφῆς. βλ. καὶ Γεσενίου Λεξικ. ἑβραϊκ. σελ. 694). Τὴν ἀνάγνωσιν τῶν Ο μαρτυροῦσι καὶ τῶν κριτικῶν ἄλλοι τε, καὶ Καπέλλιος, καὶ Οὐβιγάντης. — στίχ. 15. «Καὶ εἶπε *Νοεμμὶν πρὸς Ῥούθ* » (οἱ Ο, ἡ Βουλγ. κτλ). Τὸ δ᾽ ἑβρ. ἔχει μόνον « *καὶ εἶπε* »· ἀλλ᾽ αὐτὴ τοῦ λόγου ἡ ἀμφιβολία καταδείκνυσι τὴν ἔκπτωσιν τῆς ὀνομαστικῆς (τίς εἶπε;).

Κεφ. Δ. στίχ. 5. « *Καὶ αὐτὴν* κτήσασθαί σε δεῖ » (οἱ Ο, καὶ κώδ. ἑβρ.). ἐκ τοῦ ἑβρ. λείπει τὸ *καὶ αὐτήν* (βλ. Ῥόσσ. Supplem. σελ. 128). — ςχ. 19. Τὸ ἑβρ. γράφει τὰ κύρια *Ῥὰμ* καὶ *Σαλμά*. Οἱ δὲ Ο, *Ἀρὰμ καὶ Σαλμὼν* (πρβλ. καὶ α. Παραλ. β, 10, 11). Οὕτω καὶ οἱ θεῖοι Εὐαγγελισταί (Ματθ. α, 3, 4: Λουκ. γ, 32, 33).

§. ια. Ἐκ τῆς Α. τῶν Βασιλειῶν.

Κεφ. Α. στίχ. 11. Μετὰ τὸ *εὐχὴ* λείπει ἐκ τοῦ ἑβραϊκ. « *τῷ Κυρίῳ* » (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.). Λείπουσιν ὡσαύτως καὶ τά, «Καὶ οἶνον καὶ μέθυσμα οὐ πίεται» (οἱ Ο, καὶ ὁ Φίλων, τόμ. α. σελ. 379)· ἡ δὲ φράσις ἀείποτε σχεδὸν συνήθης ἐν τῇ περιγραφῇ τῶν καθηκόντων τοῦ Ναζιραίου. (Κριτ. ιγ, 14, καὶ ἀλλαχοῦ. βλ. καὶ Οὐβιγάντην αὐτόθ.) — στίχ. 24. «Ἐν μόσχῳ *τριετίζοντι* » (οἱ Ο). Τὸ δ᾽ ἑβρ. « *ἐν μόσχοις τρισί* ». Ἀλλ᾽ ἐξελέγχεται τούτου τὸ σφάλμα εὐθὺς ἐν στίχῳ 25, «καὶ ἔσφαξε τὸν *μόσχον* ». Οὕτως ἔχει καὶ αὐτὸ τὸ ἑβρ. ὥστε καὶ ἀνωτέρω εἶχεν « ἐν μόσχῳ τριῶν *ἐτῶν* » τὸ δ᾽ *ἐτῶν* ἐξέπεσε. (Οὐβιγάντ. καὶ Καχήν).

Κεφ. Β. στίχ. 10. Λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ ἀπὸ τοῦ « *Μὴ καυχάσθω ὁ φρόνιμος* » καὶ τὰ λοιπά, μέχρι τοῦ « *ἐν μέσῳ τῆς γῆς* » (οἱ Ο)· τὰ αὐτὰ σχεδὸν ἀναγινώσκονται καὶ ἐν Ἱερεμ. θ, 23, 24. Οὐδ᾽ ἐκεῖθεν προσεγράφησαν καὶ ὧδε, καθὼς τινες ἐνόμισαν (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 870). Αὐτὴ τῶν νοημάτων ἡ ἀλληλουχία, συμφωνούντων πρὸς τὰ προηγούμενα τῆς Εὐχῆς τῆς Ἄννης (στίχ. 3), μαρτυρεῖ τὰ λόγια πρῶτον ὑπὸ τῆς Προφήτιδος εἰρημένα. Ἀντέγραψε δὲ ταῦτα καὶ ὁ προφήτης Ἱερεμίας ὑπὸ τοῦ

αὐτοῦ πνεύματος ἀγόμενος. Τοιαῦτα καὶ ἄλλα πολλάκις ἀπαντῶμεν ἐν τοῖς τεύχεσι τῶν θείων προφητῶν, παρῳδούμενα ἔκ τε τῶν Μωσαϊκῶν καὶ ἄλλων τευχῶν τῆς θείας Γραφῆς. Αὐτίκα παρ' αὐτῷ τῷ Ἱερεμίᾳ εὐθὺς ἐφεξῆς (κεφ. Ι. ςίχ. 13) ἀναγινώσκομεν τὰ «Ἀνάγων *νεφέλας ἐξ ἐσχάτου τῆς γῆς*», καὶ τὰ λοιπὰ τοῦ Ἱεροψάλτου (Ψαλμ. ρλδ, ἑβρ. 135, 7)· μὴ καὶ ταῦτα προσεγράφησαν εἰς τὸν ψαλμὸν τῶν Ο, ἐκ τῶν Ἱερεμίου;

Κεφ. Γ. στίχ. 21. Λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ «*Καὶ ἐπιστεύθη Σαμουὴλ προφήτης γενέσθαι* τῷ κυρίῳ εἰς πάντα Ἰσραὴλ» καὶ τὰ λοιπὰ, μέχρι τέλους τοῦ κεφαλαίου· (οἱ Ο). Μαρτυροῦνται δὲ ταῦτα ἔκ τε τοῦ προηγουμένου 20, στίχου, καὶ ἐκ τῶν κεφ. β, στίχ. 22, 25. Ἐν δὲ τῷ νῦν ἑβρ. μόλις ἐν ἀρχῇ τοῦ ἐφεξῆς δ, κεφαλαίου ἀναγινώσκεται μικρὸν τῶν ἐκπεπτωκότων λείψανον τοῦτο· «Καὶ ἐγένετο (ἐξῆλθεν) ὁ λόγος Σαμουὴλ εἰς πάντα Ἰσραὴλ».

Κεφ. Δ. στίχ. 1. «Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις» . . ἕως τοῦ «καὶ ἐξῆλθεν» (οἱ Ο, καὶ ἡ Βουλγ.)· λείπει ἐκ τοῦ ἑβραϊκοῦ. — ςχ. 13. (ἐκάθητο) «*παρὰ τὴν πύλην*» (οἱ Ο)· λείπει. πρβλ. στίχ. 18, ὅπου κεῖται παρ' ἀμφοτέροις τοῖς κειμένοις.

Κεφ. Ε. στίχ. 6. «Καὶ μέσον τῆς χώρας αὐτῆς ἀνεφύησαν μύες, καὶ ἐγένετο σύγχυσις θανάτου μεγάλη ἐν τῇ πόλει» (οἱ Ο, ἡ Βουλγ.). Ἐκ τοῦ ἑβρ. ἐξέπεσαν τὰ λόγια (Οὐδιγάντ.). Ταῦτα δὲ καὶ Ἰώσηπος ἀνέγνω (Ἀρχ. ς, α, §. 1)· μαρτυροῦνται δὲ καὶ ἐφεξῆς (ς, 1).

Κεφ. Ϛ. στίχ. 1. «*Καὶ ἐξέζεσεν ἡ γῆ αὐτῶν μύας*» (οἱ Ο)· λείπει καὶ τοῦτο. Ἀλλ' ἐν τοῖς ἑξῆς (στίχ. 4, 5, 11) ἐξαίφνης γίνεται κἀν τῷ ἑβραϊκῷ μνεία τῶν *μυῶν*· καὶ τοῦτο σαφῶς ἐξελέγχει καὶ τὴν ἐκ τοῦ πρώτου στίχου ἔκπτωσιν τοῦ κόμματος, καὶ τὴν προμνημονευθεῖσαν ἀνωτέρω (ε, 6).

Κεφ. Ι. ςχ. 1. Λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ ἑξῆς· «Ἐπὶ Ἰσραὴλ· καὶ σὺ ἄρξεις ἐν λαῷ Κυρίου· καὶ σὺ σώσεις αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ κυκλόθεν· καὶ τοῦτό σοι τὸ σημεῖον, ὅτι ἔχρισέ σε κύριος ἐπὶ κλη-

ρονομίαν αὐτοῦ εἰς ἄρχοντα» (οἱ Ο, καὶ ἡ Βουλγ.)· τὸ δὲ «*Καὶ τοῦτό σοι τὸ σημεῖον*» βεβαιοῦται καὶ ἐν τῷ ἑβρ. ςίχ. 7. (Οὐβιγάντ.).— στίχ. 4. « Δύο ἀπαρχὰς ἄρτων » (οἱ Ο, ὁ Σύρος, ὅστις ἀντὶ τοῦ *ἀπαρχὰς* ἔγραψε πλακοῦντας· ἄλλοι *στρεπτὰ*, κολλύρας)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *ἀπαρχὰς*, ἐκπεσὸν (πρβλ. ςχ. 3)· ἀπαιτεῖ δὲ τοῦτο καὶ ἡ φράσις, ἥτις χωρὶς τούτου ἐν τῷ ἑβρ. σολοικίζει· «*δύω ἄρτου* !» (γενικῇ ἑνικῇ· βλ. Οὐβιγ. ὁ δὲ Γεσέν. Λεξ. ἑβρ., ἐλλείψεως ὑπονοεῖ τοῦτο σχῆμα· ἀλλ᾽ οὐδὲν ἄλλο τοιοῦτον ἔχει παράδειγμα). — στίχ. 12 (καὶ τίς ὁ πατὴρ αὐτοῦ;) «Οὐ Κείς;» (οἱ Ο, Ἀλεξ.). Λείπει τὸ *οὐ Κεὶς* ἐκ τοῦ ἑβρ. προσθετέον δ᾽ ἔκρινεν ὁ Οὐβιγάντης (κατὰ τὸ « Οὐχ οὗτος ὁ υἱὸς Ἰωσήφ; »). — στίχ. 21· « Καὶ προσάγουσι τὴν φυλὴν Ματταρὶ, εἰς ἄνδρας » (οἱ Ο)· ἐν τῷ ἑβρ· λείπει. Ἀλλ᾽ ἡ φράσις κυροῦται ἐκ τῶν Ἰησ. ζ, 16—18. Καὶ οἱ κριτικοὶ κρίνουσιν αὐτὴν γνησίαν (Καπέλλιος, Οὐβιγάντης. πρβλ. καὶ Καχῆνα).— στίχ. 26. « *Υἱοὶ δυνάμενοι*» (οἱ Ο, καὶ ἡ Βουλγ. *μέρος* στρατοῦ)· τὸ δ᾽ ἑβρ. « δύναμις » (στρατιὰ, δυνατοί τινες στρατιῶται), ὅπου φανερῶς ἐξέπεσε τὸ *υἱοί*. (Οὐβιγ.).—ςχ. 27. Μετὰ τὸ «*Οὐκ ἤνεγκαν αὐτῷ δῶρα* », τὸ ἑβρ. προστίθησι καὶ ταῦτα· « *ἐγένετο ὡσεὶ κωφὸς* »· προσθήκη, ἣν οὐκ ἀνέγνων οἱ Ο.

Κεφ. ΙΑ. στίχ. 10 (καὶ εἶπον) « *πρὸς Νάας τὸν Ἀμανίτην* » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει· καὶ αὐτὴ τοῦ λόγου ἡ ἀσάφεια μαρτυρεῖ τὴν ἔκπτωσιν τοῦ *πρὸς τίνα* εἶπον (Οὐβιγάντ.). — στίχ. 12. « Ὅτι Σαοὺλ *ΟΥ βασιλεύσει* » (οἱ Ο, Χαλδαῖος, Σύρος, Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ. βλ. καὶ Οὐβιγ.)· τὸ δ᾽ ἑβρ., *βασιλεύσει !* (χωρὶς ἀρνήσεως).

Κεφ. ΙΒ. στίχ. 3. Τὸ ἑβρ. « Μόσχον (ἄλλ. βοῦν) τίνος εἴληφα· ὄνον τίνος εἴληφα, καὶ τίνα κατέθλιψα, τίνα συνέτριψα, (ἢ συνέθλασα), καὶ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα, *καὶ συνέκλεισα τοὺς ὀφθαλμούς μου ἐπ᾽ αὐτῷ* » [ἑρμην. Μοντάν. Ἡ δὲ Βουλγ. μετὰ τὸ *ἐξίλασμα*, ὅπερ ἑρμηνεύει *δῶρον*, ἀντὶ τοῦ « καὶ συνέκλεισα » κτλ. γράφει « *καὶ κατεφρόνησα τούτου* (τοῦ δώρου) *σήμερον* »· ὥστε ἄλλως εἶχον τότε τὰ τελευταῖα λόγια τοῦ χω-

ρίου ἐν τῷ κατ᾽ αὐτὴν ἑβρ.]. Οἱ δὲ Ο, οὕτω. «Μόσχον τίνος εἴληφα, ἢ ὄνον τίνος εἴληφα, ἢ τίνα κατεδυνάστευσα, ἢ τίνα ἐξεπίασα, ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα, ἢ *ὑπόδημα*; *ἀποκρίθητε κατ᾽ ἐμοῦ* » (α). Ταύτην τὴν ἀνάγνωσιν ἐπικυροῦσι α) ὁ Σειρὰχ, ὅστις καὶ αὐτὸς ἀνέγνω τὸ *ὑπόδημα*. « Ἐπεμαρτύρατο (Σαμουὴλ) χρήματα *καὶ ἕως ὑποδημάτων* οὐκ εἴληφα » (Σ. Σειρ. μς, 19). 2). Ἡ τῇ ἑβραΐδι συνήθης χρῆσις τοῦ *ὑποδήματος* παροιμιωδῶς ἐπὶ τοῦ ἐλαχίστου πράγματος· οἷον, « Ἀπέδοντο πένητα ἕνεκεν *ὑποδημάτων* » (Ἀμὼς β, 6 : καὶ η, 6), τουτ. «ἕνεκεν ἐλαχίστου τιμήματος » (οὕτω καὶ τὸ ἑβρ. *Νααλ*. βλ. καὶ Γεσεν. Λεξικ. ἑβρ. σελ. 673). Τοιοῦτο καὶ Γενέσ. ιδ, 23, τὸ « ἕως *σφαιρωτῆρος ὑποδήματος* » κτλ. Ὥστε οἱ Ο, ἐν τῷ κατ᾽ αὐτοὺς ἑβραϊκῷ ἀνέγνωσαν τὰ ἔσχατα τῶν ἀνωτέρω λόγων τοῦ Σαμουὴλ, καθὼς ἔπειτα καὶ ὁ Σειρὰχ, καὶ πάντες οἱ κατ᾽ αὐτὸν ἑβραῖοι. Τὸ δὲ νῦν ἑβρ. ἄλλως μὲν ἔχει νῦν, ἄλλως δὲ πάλιν εἶχεν ἐπὶ Ἱερωνύμου (ὡς ἡ Βουλγάτα μαρτυρεῖ), τουτέστι, καὶ τότε καὶ νῦν διεφθαρμένως. (Περὶ δὲ τοῦ « ὄνον τίνος εἴληφα »; βλ. ὄπισθ. σελ. 379). — στίχ. 6. « Μάρτυς Κύριος » (οἱ Ο)· ἐκ δὲ τοῦ ἑβρ. λείπει τὸ *μάρτυς*, καὶ ἀποβαίνει ἡ φράσις ἀτελής. — στίχ. 11. « Καὶ ἀπέστειλε *τὸν Βαρὰκ* καὶ τὸν Ἰεφθάε » κτλ. (οἱ Ο, ἡ Βουλγ. κτλ.). τὸ δὲ νῦν ἑβρ. ἀντὶ *Βαρὰκ* γράφει *Βεδὰν*, ἀνήκουστον ὄνομα Κριτοῦ, μηδαμοῦ τῆς βίβλου τῶν Κριτῶν εὑρισκομένου· καὶ τοῦτο οἱ ῥαββῖνοι ἐξηγοῦσιν ὡς τὸ αὐτὸ καὶ Βὲν — Δὰν, τουτ. υἱὸν Δὰν (ἐννοοῦντες τάχα τὸν Σαμψὼν, τὸν ἐκ τῆς φυλῆς τοῦ Δάν)· ἀλλὰ ποῦ ποτε τῆς Γραφῆς ἠκούσθη τις καὶ ἄλλος ἀποκαλούμενος μόνον ἐκ τῆς φυλῆς, χωρὶς καὶ τῆς ἰδίας αὐτοῦ κυριωνυμίας; Κείσθω καὶ τοῦτο πρὸς ἀπόδειξιν τῆς ἐν πᾶσιν ἀκριβοῦς τοῦ Μασοραίου κώδηκος ἀληθείας, πρὸς ἣν πάντως ἀξιοῦσι καὶ τὰς ἄλλας ἑρμηνείας διορθοῦν! (πρβλ. κεφ. ι. στίχ. 27).

(α) Οὕτως οἱ Ο, ἐν Ἀλεξ., Βατικαν., Ὀκτατ. Θεοτ., καὶ ἐν πλείστοις ἄλλοις ἀρχαίοις ἀντιγράφοις καὶ ἐκδόσεσι. Παρὰ δὲ τῷ Θεοδωρήτῳ (Ἀπόρ. εἰς Α. Βασ. ἐρωτ. 16) μετὰ τὸ ὑ π ό δ η μ α, ἀναγινώσκονται ταῦτα « κ α ὶ ἀ π έ κ ρ υ ψ α τ ο ὺ ς ὀ φ θ α λ μ ο ύ ς μ ο υ ἐν αὐτῷ » (ἴσως ἐκ τῆς Συμμάχ. ἢ Θεοδοτ. ἑρμηνείας).

Κεφ. ΙΓ. στίχ. 1. Τὸ ἑβραϊκόν· «Υἱὸς ἔτους ὁ Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ δύω ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ». Οὕτω καὶ ὁ Σύμμαχος· «*Υἱὸς ὡς ἐνιαύσιος*» κτλ., καὶ ἡ Βουλγάτα «Υἱὸς ἔτους ἑνὸς, ὅτε ἤρξατο βασιλεύειν». Ὁ δὲ Σύρος (ἄλλως ἴσως ἀναγνοὺς), «Ὅτε ἐβασίλευσεν ὁ Σαοὺλ ἔτος ἓν, ἢ δύω, ἐν Ἱερουσαλήμ»· καὶ ὁ Ἄραψ ἀτοπώτερον. «Ὅτε ἐβασίλευσεν ἔτος ἓν, ἢ δύω, ἢ τρία»· καὶ τέλος, ὁ Χαλδαῖος παραφράζει καὶ μεταφορικώτερον « Ὡς υἱὸς ἔτους ὁ Σαοὺλ, ἐν ᾧ οὐκ εἰσὶν ἁμαρτίαι »· (οὕτω καὶ ὁ ἱερὸς Θεοδώρητος τὸ τοῦ Συμμάχου *ἐνιαύσιος* ἐξηγῶν, λέγει· « δηλοῖ τοῦτο τὴν ἁπλότητα τῆς ψυχῆς, ἣν εἶχεν ὁ Σαοὺλ ». Ἀπόρ. εἰς Α. Βασιλ. ἐρωτ. κϛ). Ἄλλος δέ τις ὅμως τῶν ἀρχαίων ἑρμηνευτῶν λέγει· « *Υἱὸς τριάκοντα* ἐτῶν ὁ Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτὸν » κτλ. (Ἑξαπλ. Μοντεφαλκ.). Ἀλλ' ἐν τῷ Βατικανῷ καὶ Ἀλεξανδρινῷ καὶ τῷ τῆς Ὀκτατεύχου Θεοτόκ. καὶ τῇ Κομπλουτείᾳ καὶ ἐν ἄλλοις ἀρχαίοις κώδηξι καὶ ἐκδόσεσι λείπει παντάπασιν οὗτος ὁ στίχος (ὁ δὲ Γράβης αὐτὸν κατηστέρισε, προσθεὶς ἐν τῇ ἐκδόσει τοῦ Ἀλεξανδ.). Ἀλλ' οὐδ' ὁ Θεοδώρητος τοῦτον ἀνέγνω παρὰ τοῖς Ο, ὡς μηδόλως αὐτοῦ μνημονεύων. Ὥστε φαίνεται, ὅτι οἱ Ο παντάπασι τὸν στίχον οὔτ' ἔγραψαν, οὔτ' ἀνέγνων· προσετέθη δὲ ὕστερον εἰς τὸ ἑβραϊκὸν χειρόγραφον (πρὸ τῆς Συμμάχου ἐποχῆς). Ἂν δ' ὑποτεθῇ, ὅτι ἐξέπεσεν ἐκ τῶν ἀρχαίων χειρογράφων τῶν Ο, δι' ἀβλεψίαν ἀντιγραφέων (ὅπερ ὅλως ἀπίθανον), οἱ Ο λοιπὸν ἀνέγνων « *Υἱὸς τριάκοντα ἐτῶν* » (ὡς ἐξ αὐτῶν ἴσως ἀντέγραψε καὶ ὁ ἀνώνυμος ἐν τοῖς Ἑξαπλοῖς). Οἱ νεώτεροι πρόμαχοι τοῦ ἑβρ. γράφουσι παντοῖα πρὸς θεραπείαν τῆς παραδόξου ταύτης ἀναγνώσεως, ἄλλα τε προσάγοντες ἀνωφελῆ φάρμακα, καὶ τὸ ἑξῆς· « Ὁ Σαοὺλ ἦν (τότε) *βασιλεὺς ἑνὸς ἔτους* » κτλ. ὃ παραβιάζει προφανῶς τὸ κείμενον τὸ ἑβρ. Τοῦτο γὰρ λέγει τὸν Σαοὺλ οὐ *βασιλέα*, ἀλλ' *υἱὸν* ἑνὸς ἔτους (τουτ. ἐνιαύσιον τὴν ἡλικίαν), ὅτε ἐβασίλευσεν. Ἀλλ' οἱ δικαιότεροι τῶν κριτικῶν ὁμολογοῦσιν ὅτι ἐξέπεσεν ἐκ τοῦ ἑβραϊκοῦ ὁ τοῦ ἔτους ἀριθμός. Οὕτω Σκαλίγηρος,

Οὐβιγάντης, Δεβέττης, καὶ ὁ κλεινὸς Κεννικῶτος (α)· καὶ αὐτὸς ὁ Ἰουδαῖος Καχὴν, ἐξέδωκε τὴν γαλλικὴν ἑρμηνείαν μετὰ χάσματος οὕτως· « Ὁ Σαοὺλ ἦν ἐτῶν . . . ὅτε ἐβασίλευσεν ». Οἱ δὲ περὶ τὸν Βενέμαν καὶ τὸ ὁρισθὲν *τριάκοντα* ἔτρεψαν εἰς τὸ *τεσσαράκοντα*, καὶ τὰ *δύω ἔτη* εἰς τὸ, *εἰκοσιδύω* ἔτη ἐβασίλευσεν ἐν Ἰσραὴλ (β). Ἀλλὰ τὴν ὅλην βασιλείαν τοῦ Σαοὺλ ὁ Ἰώσηπος ὁρίζει *τεσσαρακονταετῆ* (Ἀρχ. ς, ιδ, 9)· καὶ πρὸ πάντων καὶ ἐπὶ πᾶσιν ὁ θεῖος Παῦλος τὸν Σαοὺλ βασιλεῦσαι ἔτη *τεσσαράκοντα* ἀποφαίνεται (Πράξ. ιγ, 21).— στίχ. 15. « Καὶ τὸ κατάλειμμα τοῦ λαοῦ ἀνέβη ὀπίσω Σαοὺλ εἰς ἀπάντησιν ὀπίσω τοῦ λαοῦ τοῦ πολεμιστοῦ· αὐτῶν παραγενομένων ἐκ Γαλγάλων » (οἱ Ο, καὶ ἡ Βουλγάτα). Ταῦτα λείπουσιν ἐκ τοῦ νῦν ἑβραϊκοῦ διαπεπτωκότα (Οὐβιγάντ.).

Κεφ. ΙΔ. ςίχ. 14. « (Ἐπάταξεν ὡς 20 ἄνδρας) *ἐν βολίσι καὶ ἐν πετροβόλοις καὶ ἐν κόχλαξι τοῦ πεδίου* » (οἱ Ο). Τὸ δ' ἑβρ. (ἐπάταξεν) « *ὡς ἐν ἡμίσει πλέθρῳ ἀροσίμου ἀγροῦ* »· ἡ δὲ Βουλγάτα προςτίθησι καὶ ταῦτα· « ἣν (ἀντὶ ὃ) ζεῦγος βοῶν εἴωθεν ἀροτριᾷν ἐν ἡμέρᾳ μιᾷ ». Ἀλλὰ καὶ τὸ νόημα, καὶ ὁ κλεινὸς Κεννικῶτος (γ) ἐξελέγχει τὴν διαφθορὰν τοῦ ἑβραϊκοῦ, καὶ τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν Ο. — στίχ. 22. « Καὶ πᾶς ὁ λαὸς ἦν μετὰ Σαοὺλ, ὡς δέκα χιλιάδες ἀνδρῶν, καὶ ἦν ὁ πόλεμος διεσπαρμένος εἰς ὅλην τὴν πόλιν ἐν τῷ ὄρει Ἐφραὶμ » (οἱ Ο, ὁ Ἰώσηπος, καὶ ἐν μέρει ἡ Βουλγάτα). Ἐκ δὲ τοῦ ἑβραϊκοῦ καὶ ταῦτα διεξέπεσαν. Καὶ στίχ. 24· λείπει τὸ « *Πᾶσα ἡ γῆ ἠρίστα* » (οἱ Ο).

Κεφ. ΙΕ. στίχ. 12. « Καὶ ἦλθε Σαμουὴλ πρὸς Σαοὺλ, καὶ ἰδοὺ αὐτὸς ἀνέφερεν ὁλοκαύτωσιν τῷ Κυρίῳ τὰ πρῶτα τῶν σκύλων, ὧν ἤνεγκεν ἐξ Ἀμαλὴκ » (οἱ Ο, ἡ Βουλγάτα)· ἐκ τοῦ ἑβρ. λείπει.

Κεφ. Ις. στίχ. 7. « (Ὅτι οὐχ ὡς ἐμβλέψεται ἄνθρωπος) *ὄψεται*

(α) Kennicot. Diss. II. pag. 210. Πρβλ. Ἀνασκ. τῆς τελευτ. διερμηνευθ. Διαθ. σελ. 196, 507.

(β) βλ. Schulz, Schol. ad h. l. καὶ Doederlein, Biblioth. Theol. P. 1. pag. 747.—Vossij, Chronolog. c. 5. p. 119.—Drusij καὶ Grot. Anot. in Act. Apostol. 13, 21. Πρβλ. Κλήμ. Στρωματ., Εὐσέβ. Χρονικ. καὶ Σύγκελ. Χρονογρ. σελ. 329—332 ἐκδ. Bon. — (γ) Kennicot. Diss. I. p. 438.

ὁ Θεὸς » (οἱ Ο, καὶ ἡ Βουλγάτα). Ἐκ δὲ τοῦ ἑβρ. λείπει τὸ «*ὄψεται ὁ Θεός* »· καὶ ἡ φράσις ἀποβαίνει πεπηρωμένη καὶ ἀνανταπόδοτος (Οὐβιγάντ.). — στίχ. 20. « (Καὶ ἔλαβεν Ἰεσσαὶ) *γόμορ ἄρτων*, καὶ ἀσκὸν οἴνου, καὶ ἔριφον ἐξ αἰγῶν » (οἱ Ο)· τὸ δ' ἑβρ. «*ὄνον* ἄρτου, καὶ ἀσκὸν οἴνου» κτλ. Ἀλλ' ἔστι καὶ τοῦτο κακὴ στίξις τῶν Μασοριτῶν, οἵτινες ἔγραψαν *χαμοὺρ* (ὄνον), ἀντὶ χομὲρ (ἢ γομὸρ, τὸ μέγιστον τῶν παρ' Ἑβραίοις μέτρων ἐπὶ τῶν ξηρῶν)· εἶτα καὶ τὸ ἐφεξῆς « *ἀσκὸν* οἴνου » μαρτυρεῖ τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν Ο· ἀνάλογον γὰρ τὸ *γομὸρ* ἄρτου πρὸς τὸ *ἀσκὸν* οἴνου· ἄλλως δ' ἂν ὤφειλεν εἰπεῖν, καὶ *ὄνον οἴνου*, καὶ *ὄνον ἐριφίου* (βλ. Οὐβιγάντην). Καὶ ὅμως « *ὄνον ἄρτων πλήρη* » μετέφρασε καὶ ἡ Βουλγάτα *συμπληρώσασα* τὴν φράσιν, ἀφ' οὗ παρέφθειρε καὶ αὕτη τοῦ *χομὲρ* τὴν προφορὰν καὶ πρὸ τῆς στίξεως τῶν Μασοριτῶν. Εἰ δ' οὕτως ἀνεγίνωσκον καὶ οἱ Ο, πολὺ τῆς Βουλγάτας ἂν ἀκριβέστερον ἡρμήνευον τὸ ἑβρ. ἐξελληνίζοντες κατὰ λέξιν « *ὄνον ἄρτων* » (πληθυντ.), ὡς καὶ παρ' Ἕλλησι τῆς φράσεως οὔσης συνήθους, οἷον κἀκεῖνο τὸ τοῦ κωμικοῦ Σωσιβίου· « Ἔσθει γὰρ *ἄρτων τρεῖς ὄνους* κανθηλίους » (τουτ. τριῶν ὄνων φορτίον· οὕτω καὶ ἡ παρ' ἡμῖν συνήθεια πολλάκις ἐκφράζεται). — στίχ. 23· πνεῦμα *πονηρὸν* (οἱ Ο, Χαλδαῖος, Σύρος, Βουλγ., Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ.)· ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ *πονηρὸν*, ἐκπεσόν. Ἔκειτο γὰρ ἡ λέξις καὶ ὧδε ἐν τῷ ἑβρ. ὡς κεῖται καὶ στίχ. 14 καὶ 16 (Οὐβιγάντ.)· ἀπαιτεῖται δὲ καὶ πρὸς διάκρισιν τοῦ *πνεύματος τοῦ Κυρίου* (βλ. στίχ. 14).

Κεφ. Κ. στίχ. 12. « Κύριος ὁ Θεὸς — *οἶδεν*, ὅτι » κτλ. (οἱ Ο). Ἐκ τοῦ ἑβρ. λείπει τὸ κυριώτατον *οἶδεν*, ἔκπαλαι διαπεπτωκός· προστιθέασι δὲ τοῦτο οἱ κριτικοί (Οὐβιγάντ., Σχοῦλζ.)· ἡ δὲ Βουλγάτα στενωθεῖσα ὑπὸ τῆς ἐκπτώσεως τοῦ ῥήματος, μετέπλασε τὴν ὀνομαστικὴν εἰς κλητικὴν, ὡς ἐπιφώνημα (Κύριε ὁ Θεός). — στχ. 28. « Παρήτηται Δαβὶδ παρ' ἐμοῦ ἕως εἰς Βηθλεὲμ *τὴν πόλιν αὐτοῦ πορευθῆναι* » (οἱ Ο). Τὸ δ' ἑβρ. παρήτηται Δαβὶδ παρ' ἐμοῦ ἕως *Βηθλεὲμ* » (καὶ πλέον οὔ). Ἐξελέγχεται δὲ ἡ κολόβωσις ἐκ τοῦ

μικρὸν ἀνωτέρω παραλλήλου τόπου (στίχ. 6), ὅπου κατὰ τοὺς Ο, ἔχει καὶ τὸ ἑβραϊκόν.

Κεφ. ΚΑ. στίχ. 4. Λείπει ἐκ τοῦ ἑβραϊκ. τὸ « *καὶ φάγεται* » (οἱ Ο, πρβλ. καὶ Σχούλζ.). – στίχ. 7. Τὸ ἑβρ. « Δωὴγ *Ἰδουμαῖος*, κράτιστος (ἢ ἄρχων) *τῶν ποιμένων* τοῦ Σαοὺλ ». Οἱ δὲ Ο, « Δωὴκ *ὁ Σύρος, νέμων τὰς ἡμιόνους* Σαοὺλ » (οὕτω καὶ Ἰώσηπος Ἀρχ. ς, ιβ. 4)· καὶ ἀνέγνωσαν ἄρα οἱ Ο, ἐν τῷ τότε κειμένῳ *Αραμι* (Ἀραμαῖος = Σύρος), ἀντὶ τοῦ νῦν ἑβρ. *Αδομι* (Ἰδουμαῖος, κατὰ παραφθορὰν τοῦ ρ, εἰς δ)· καὶ *Φερεδ* (ἡμίονος), ἢ ἄλλο τι συνώνυμον, ἀντὶ τοῦ *κράτιστος* (τῶν νομέων). Ὁ δὲ σοφὸς Μιχαῆλις (α) ἐπιπλήττει τὸν Ἰώσηπον ὡς ἀμελῆ περὶ τὴν ἀνάγνωσιν. Ἀλλ᾿ ἴσως ἂν ἔπραττεν ἀσφαλέστερον, τούτῳ μᾶλλον καὶ τοῖς Ο, πιστεύσας, ἢ τῇ μετὰ τούτους διαφθορᾷ τοῦ ἑβρ. κειμένου, ἧς καὶ Σύμμαχος ἀπώνατο (ἐκ δὲ τούτου καὶ ἡ Βουλγάτα). Καὶ μάρτυς αὐτὸ τὸ ἑβραϊκὸν πολλάκις ἀστατοῦν. Ὃν γὰρ ἐνταῦθα γράφει *νομέων ἄρχοντα* (τὸν Δωὴκ), μετ᾿ ὀλίγον (κεφ. κβ, 9) ἔγραψεν « Ὁ καθεστηκὼς *ἐπὶ τῶν δούλων* (τοῦ Σαοὺλ) ». Οἱ δὲ Ο, κἀκεῖ πάλιν « ὁ καθεστηκὼς *ἐπὶ τὰς ἡμιόνους* »· καὶ πάλιν ὁ Ἰώσηπος· « ὁ τὰς *ἡμιόνους* αὐτοῦ *βόσκων* » (Ἀρχ. ς, ιβ, 4)· δηλονότι ὁ ἀρχιβοσκὸς καὶ προεστὼς ἐπὶ τῶν βασιλικῶν κτηνῶν (βλ. Βοχάρτ. Ἱεροζωϊκ. Α. Βιβλ. Β. κεφ. 44). Ὅτι δὲ παρὰ τοῖς ἀρχαίοις Ἀσιανοῖς βασιλεῦσι πολλή τις ἦν ἡ χρῆσις *τῶν ἡμιόνων*, πρόδηλον· (βλ. Γ. Βασιλ. α, 33, 38: ι, 25: ιη, 5: Β. Βασιλ. ιη, 9 κτλ.).– ςχ. 10. Λείπει ἐκ τοῦ ἑβρ. τὸ « καὶ ἔδωκεν αὐτὴν αὐτῷ » (οἱ Ο, πρβλ. κβ, 10. καὶ Σχούλζ.).

Κεφ. Λ. ςίχ. 11. « Καὶ λαμβάνουσιν αὐτὸν, καὶ *ἄγουσιν* αὐτὸν πρὸς Δαβὶδ » (οἱ Ο, Βουλγ. Σύρος, Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *ἄγουσι*, προφανῶς ἐκπεσόν.–ςχ. 20. *Καὶ τοῖς σκύλοις ἐκείνοις* » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει.

§. ιϐ. Ἐκ τῆς Β. Βασιλειῶν.

Κεφ. Γ. στίχ. 7. « Καὶ εἶπεν *Ἰεβοσθὲ* » (οἱ Ο, Σύρος, Βουλ-

(α) Michael. Orient. Biblioth. 7. Th. p. 198.

γάτα, Ἄραψ, κώδηξ ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ κοινοῦ ἑβραϊκ. λείπει τὸ ὄνομα, καὶ τὸ εἶπε μένει ἀπρόσωπον καὶ ἀόριστον (Οὐβιγάντης· πρβλ. Σχούλζ.).

Κεφ. Ϛ. 6. « (Ἐξέτεινε) *τὴν χεῖρα αὐτοῦ* » (οἱ Ο, Βουλγάτα, Σύρος, Χαλδαῖος, Ἄραψ, αὐτὴ τοῦ νοήματος ἡ συνάφεια)· ἐκ τοῦ ἑβρ. λείπει (βλ. Ῥόσσ. καὶ Κεννικῶτ. Διατριβ. α. σελ. 440).

Κεφ. ΙΓ. στίχ. 21. « Καὶ οὐκ ἐλύπησε τὸ πνεῦμα Ἀμνὼν τοῦ υἱοῦ αὐτοῦ, ὅτι ἠγάπα αὐτὸν, ὅτι πρωτότοκος αὐτοῦ ἦν » (οἱ Ο, Βουλγάτ.). Ἐκ τοῦ ἑβρ. λείπουσιν· ἀνέγνω δὲ ταῦτα ὁ Ἰώσηπος· « Φιλῶν δὲ τὸν Ἀμνῶνα σφόδρα (ὁ Δαβίδ), πρεσβύτατος γὰρ ἦν υἱὸς αὐτῷ, μὴ λυπεῖν αὐτὸν ἠναγκάζετο » (Ζ, η, §. 2). — ςχ. 37. « Καὶ ἐπένθησεν ὁ βασιλεὺς *Δαβίδ* », (οἱ Ο, Βουλγ. Σύρος κτλ.)· ἐκ δὲ τοῦ νῦν ἑβρ. λείπει τὸ « ὁ βασιλεὺς *Δαβὶδ* », καὶ ὁ λόγος ἀποβαίνει κωφὸς (Οὐβιγάντ.).

Κεφ. ΙΔ. στίχ. 4. « Καὶ *εἰσῆλθεν* ἡ γυνὴ . . καὶ εἶπε » (οἱ Ο, Σύρος, Βουλγάτα, Ἄραψ, καὶ πολλοὶ κώδ. ἑβραῖοι Ῥόσσ.)· ἐν δὲ τῷ νῦν ἑβραϊκῷ « Καὶ *εἶπεν* ἡ γυνὴ . . καὶ *εἶπε* »· τὸ ἁμάρτημα τοῦτο φαίνεται εἰσρυὲν εἰς τὸ κείμενον τὸ ἑβρ. ἐν τῷ μεταξὺ τοῦ 1106 καὶ τοῦ 1190 ἔτους· βλ. Ῥόσσ. αὐτόθ.). — στίχ. 16. « Τοῦ ἀνδρὸς *τοῦ ζητοῦντος* ἐξᾶραί με » (οἱ Ο, ἡ Βουλγ. κτλ.)· τὸ δὲ νῦν ἑβραϊκ. οὐκ ἔχει τὸ *τοῦ ζητοῦντος*, καὶ μένει τὸ ἀπαρέμφατον ἐνεξάρτητον καὶ χαῖνον (Οὐβιγάντ.). — στίχ. 30. « Καὶ παραγίνονται οἱ δοῦλοι Ἰωὰβ πρὸς αὐτὸν, διεῤῥηχότες τὰ ἱμάτια αὐτῶν, καὶ εἶπον· ἐνεπύρισαν οἱ δοῦλοι Ἀβεσσαλὼμ τὴν μερίδα ἐν πυρὶ » (οἱ Ο, ἡ Βουλγάτ. πρβλ. Ἰώσηπ. Ζ, η, 1)· ἐκ τοῦ ἑβρ. λείπει τὸ χωρίον.

Κεφ. ΙΕ. στίχ. 17. Τὸ ἑβρ. « *Πᾶς ὁ λαός* ». Ἀλλ᾽ οἱ Ο, (καὶ κώδ. Ῥόσσ.) « *πάντες οἱ παῖδες αὐτοῦ* ». — στίχ. 34. « Διεληλύθασιν οἱ ἀδελφοί σου, καὶ ὁ βασιλεὺς κατόπισθέν μου διελήλυθεν, ὁ πατήρ σου· — ἔασόν με ζῆσαι » (οἱ Ο). Ταῦτα λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ.

Κεφ. ΙΖ. στίχ. 3. « (Καὶ ἐπιστρέψω), ὃν τρόπον ἐπιστρέφει ἡ νύμφη πρὸς τὸν ἄνδρα αὐτῆς· πλὴν ψυχὴν ἀνδρὸς ἑνὸς σὺ ζητεῖς »

(οἱ Ο)· τὸ δ' ἑβρ. συγκέκοπται οὕτω· (Καὶ ἐπιστρέψω..), « ὡς ἐπιστρέφει πᾶς ἀνὴρ, ὃν σὺ ζητεῖς » (Μοντάν.). Ἡ δὲ τοιαύτη τοῦ ἑβραϊκοῦ διαστροφὴ φαίνεταί πως μικροτέρα κατὰ τοὺς χρόνους τῆς ἑρμηνείας τῆς Βουλγάτας, ἥτις ἔχει οὕτως· « ὡς εἴωθεν εἷς ἄνθρωπος ἐπιστρέφειν· *ἕνα γὰρ ἄνδρα σὺ ζητεῖς* »(αὐτὸ τὸ τῶν Ο, *πλὴν ψυχὴν ἑνὸς ἀνδρὸς*, κτλ., ὃ λείπει καὶ τοῦτο ἐκ τοῦ νῦν ἑβραϊκ.). Τὸ γνήσιον τῆς φράσεως τῶν Ο, καὶ τὰ περὶ τὸ ἑβρ. μάταια θεραπεύματα τῶν κριτικῶν ἀνεκήρυξε καὶ Οὐβιγάντης (βλ. καὶ Σχούλζ. καὶ Καχῆν.). — στίχ. 28. Τὸ ἑβρ. « *Κοίτας καὶ λέβητας* »· οἱ δὲ Ο, « *Δέκα* κοίτας ἀμφιτάπους, καὶ λέβητας *δέκα* » (Βατικ. κτλ. τὸ δ' Ἀλεξανδρ. ἔχει πληρέστερον, « δέκα κοίτας, *Καὶ* ἀμφιτάπους, »). Ἀμφίταποι δὲ (καὶ ἀμφιτάπητες) λέγονται οἱ τάπητες οἱ ἀμφίμαλλοι, οἷς αἱ κλίναι ἐστρώννυντο (Παροιμ. ζ, 16. πρβλ. Πολυδεύκ. ϛ, 9: ι, 50: Εὐστάθ. εἰς Ἰλιάδ. π.). Καὶ ὑπεστρώννυντο δὲ ταῖς κλίναις τάπητες ἀλουργεῖς, ὡς ἐπὶ τοῦ Φιλαδέλφου (Ἀθήν. ε, 197.). Ἔμελλον δὲ πάντως κομίσαι τῷ βασιλεῖ καὶ τοῖς περὶ αὐτὸν μετὰ τῶν κοιτῶν, ἢ στρωμάτων, καὶ ἀμφιτάπους πρὸς ἀνάπαυσιν, ἅτε δι' ἡμερῶν ἐν ἐρήμῳ χαμαικοιτούντων. Οἱ δὲ τοῦ ἑβραϊκοῦ τὴν κολόβωσιν θεραπεύοντες, τὸ μὲν ἀμφιτάπους (ὡς ἰσοδύναμον τοῦ κλινῶν ἀτόπως ἐκλαμβάνοντες) μιᾶς λέγουσι καὶ τῆς αὐτῆς ἑβρ. λέξεως δύω διαφόρους ἑρμηνείας ἐκ διαφόρων ἑρμηνευτῶν εἰς ταὐτὸ συμπεσεῖν ἐν τῷ κειμένῳ τῶν Ο (*κοίτας καὶ ἀμφιτάπους*)· τὸ δὲ *δέκα* (λέγουσιν) ἐκτὸς τοῦ πράγματος (praeter rem) προσετέθη. καὶ τοῦτο πόθεν δῆλον; διότι λείπει καὶ τοῦτο ἐκ τοῦ ἑβραϊκοῦ! (βλ. τὸν Σχούλζ.). Ὅτι δὲ καὶ ἡ πολλαχοῦ ἑβραΐζουσα Βουλγάτα γράφει *στρώματα καὶ τάπητας* (stratoria et tapetia), τοῦτο παρεῖδον.

Κεφ. ΚΑ. ϛχ. 5. « Ὃς συνετέλεσεν ἐφ' ἡμᾶς, καὶ *ἐδίωξεν ἡμᾶς*, ὃς παρελογίσατο τοῦ ἐξολοθρεῦσαι ἡμᾶς, *ἀφανίσωμεν αὐτὸν*, τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραὴλ » (οὕτω [πλὴν τοῦ *παρελογίσατο ἡμᾶς*] ἡ Βουλγάτα, ὁ Σύρος, ὁ Ἄραψ). Τὸ δ' ἑβρ. καὶ ὧδε συντέτριπται οὕτως. « Ὃς συνετέλεσε, καὶ ὃς διελογίσατο περὶ

ἡμῶν (ὅπως) ἐξολοθρευθῶμεν τοῦ μὴ ἑστάναι ἐν παντὶ ὁρίῳ Ἰσραὴλ» (Οὐβιγάντ.) — στίχ. 14. «Καὶ τὰ ὀστᾶ Ἰωνάθαν (οἱ Ο, Σύρος, Ἄραψ, Βουλγ. καὶ κώδ. ἑβρ. Ῥόσσ.) ἐν τῷ ἑβραϊκῷ λείπει τὰ *ὀστᾶ*.

Κεφ. ΚΒ. ϛχ. 12. «Καὶ ἔθετο σκότος *ἀποκρυφὴν αὐτοῦ*» (οἱ Ο, Σύρος, Ἄραψ, Βουλγ. καὶ κώδ. ἑβρ. Ῥόσσ.)· οὕτω καὶ ἐν τῷ ψαλτηρίῳ, ὅπου ὁ αὐτὸς ψαλμ. ὁ ιζ, (ἑβρ. 18)· ἐνταῦθα δὲ λείπει τὸ *ἀποκρυφὴν* ἐκ τοῦ ἑβραϊκοῦ. — στίχ. 43. «Ὡς πηλὸν ἐξόδων *ἐλέπτυνα* αὐτοὺς» (οἱ Ο, Σύρ. κώδ. ἑβρ. Ῥόσσ.)· οὕτω καὶ ἐν τῷ ψαλτῆρι, ὁ ιζ. ἐνταῦθα δὲ τὸ ἑβρ. ἔχει τὸ *ἐλέπτυνα* δίς· ὅθεν καὶ Οὐβιγάντης ἐξαλείφει τὸ περιττόν (βλ. καὶ Σχούλζ.).

Κεφ. ΚΓ. στίχ. 1. Λείπει ἐκ τοῦ ἑβρ. τὸ *πιστὸς* (οἱ Ο). Καὶ καθόλου ἐν τοῖς στίχοις 1, 2, 4, πολὺ διαφέρει τὸ νῦν ἑβραϊκὸν τοῦ τῶν Ο, κειμένου, καὶ ὅλον τὸ κεφάλαιον πολλὰ παρέχει πράγματα τοῖς κριτικοῖς. — ϛχ. 4. «Καὶ ἐν φωτὶ Θεοῦ πρωΐας ἀνατείλαι» κτλ. (βλ. ὄπισθ. σελ. 172) (α).

Κεφ. ΚΔ. στίχ. 13. (Λιμὸς) «*τρία ἔτη*» (οἱ Ο)· τὸ δ' ἑβρ. *ἐπὶ ἑπτὰ ἔτη*· βλ. ὄπισθ. σελ. 209 (б). — στίχ. 25. Λείπει ἐκ τοῦ ἑβρ. ἡ ἑξῆς ὁλόκληρος περίοδος· «Καὶ προσέθηκε Σαλομὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ' ἐσχάτῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις» (οἱ Ο)· τὴν ἐπίσημον ταύτην διάπτωσιν ἀνεκήρυξαν καὶ ἄνδρες κριτικοί (Γράβ. ἐκδ. τοῦ Ἀλεξανδρ. τόμ. β. Προλεγόμ. κεφ. α. §. 69).

§. ιγ. Ἐκ τῆς Γ. Βασιλειῶν.

Κεφ. Α. στίχ. 17. «Κύριέ μου *βασιλεῦ*» (οἱ Ο, Ἀλεξ. κτλ. οὕτω καὶ ὁ Σύρος, καὶ κώδ. ἑβρ. Ῥόσσ. τόμ. β, σελ. 199)· ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *βασιλεῦ*· (πρβλ. στίχ. 18, 20, 21, ὅπου κεῖται *καὶ* ἐν τῷ ἑβρ. καὶ παρὰ τοῖς Ο). — στίχ. 18. Λείπει τὸ «*καὶ σὺ*» (οἱ Ο, κώδ. ἑβρ. βλ. καὶ Καχῆνα).

(α) Βλ. Kennicot. Diss. 1. p. 453. sq. — Trendelburg, in verba novissima Davidis etc. Gotting. 1778. — Herder, Lettre sur l' etude de la Theologie T. 1. p. 125.

(б) Βλ. καὶ Bochart. Hierozoic. I. Lib. 2. cap. 38. — Kennicot. Diss. 1. pag. 458 κτλ.

Κεφ. Β. ςχ. 29. «Καὶ ἀπέστειλε Σαλωμὼν ὁ βασιλεὺς πρὸς Ἰωὰβ λέγων· τί γέγονέ σοι ὅτι πέφευγας εἰς τὸ θυσιαστήριον; καὶ εἶπεν Ἰωὰβ· ὅτι ἐφοβήθην ἀπὸ προσώπου σου, καὶ ἔφυγον πρὸς Κύριον» (οἱ Ο). Ταῦτα πάντα λείπουσιν ἐκ τοῦ ἑβρ. καί τοι ἀπαιτούμενα ἐκ τῆς συναφείας (ὁμολογεῖ καὶ Σχούλζης). Λείπει ἐφεξῆς καὶ τὸ «καὶ *θάψον* αὐτὸν» (πρβλ. στίχ. 31, ὅπου κεῖται παρ' ἀμφοτέροις). Καὶ ἄλλως δὲ παρὰ τοῖς Ο, κεῖνται πολλὰ λείποντα ἐκ τοῦ ἑβρ. μεταξὺ τοῦ 35 καὶ 36 στίχ. τοῦ β, κεφαλαίου (ἐκδ. Ἀλεξ. πρβλ. καὶ Βατικ. κεφ. γ, ἐκδ. Βώσου, καὶ Ὀκτατεύχ. Θεοτ. βλ. καὶ τὴν ἔκδοσιν τοῦ Ὅλμητος). — στίχ. 30. «Οὐκ ἐκπορεύομαι» (οἱ Ο, Σύρος, Βουλγάτα, Ταλμοὺδ Βαβυλών., καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβρ. λείπει τὸ ῥῆμα.

Κεφ. Δ. στίχ. 6. «Καὶ Ἐλιὰβ υἱὸς Σαφὰτ ἐπὶ τῆς πατριᾶς» (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβρ.

Κεφ. Ϛ. στίχ. 2. (τὸ πλάτος) «εἴκοσιν ἐν πήχει» (τουτ. πήχεις)· οἱ Ο· (οὕτω καὶ ἡ Βουλγάτα, τὸ Βαβυλων. Ταλμοὺδ, καὶ κώδ. ἑβραῖοι Ῥόσσ.)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *πήχεις*· ἀλλ' εὐθὺς (ἐπὶ τοῦ μήκους καὶ ὕψους) κεῖται ἡ λέξις ἐν ἀμφοτέροις (πρβλ. καὶ ζ, 2).

Κεφ. Ζ. στίχ. 2. «Καὶ *τριῶν* στίχων στύλων» (οἱ Ο)· τὸ δ' ἑβρ. ἔχει *τεσσάρων* στίχων (οὕτω καὶ ἡ Βουλγ.). Ἀλλ' ἐφεξῆς (στίχ. 3, 4) ὁ ἀριθμὸς (ὅλων) τῶν στύλων γέγραπται «τεσσαράκοντα καὶ πέντε, *δέκα καὶ πέντε ὁ στίχος*» (οἱ Ο, καὶ τὸ ἑβρ. καὶ ἡ Βουλγ.). Καὶ ἦσαν ἄρα οἱ στίχοι τρεῖς (βλ. Οὐβιγάντ. καὶ Καχῆν.).

Κεφ. Η. στίχ. 16. «Καὶ ἐξελεξάμην Ἱερουσαλὴμ τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ» (οἱ Ο, Βατικαν., Ὀκτατεύχ. Θεοτόκ. κτλ.). Ταῦτα πάντα λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ (πρὸς ὃ προσηρμόσθη καὶ ἡ Βουλγάτα· λείπει καὶ ἐκ τοῦ Ἀλεξανδρ. τοῦ Γράβου). Ἀλλ' ἀπαιτοῦνται σαφῶς ὑπὸ τῆς ἐννοίας τοῦ λόγου χαίνοντος· ἐπικυροῦνται δὲ καὶ ἐκ τοῦ παραλλήλου χωρίου (β. Παραλ. ς, 6), ὅπου κεῖνται καὶ ἐν τῷ ἑβρ. κἀν τῇ Βουλγάτᾳ, καὶ ἐν πάσαις ταῖς

ἐκδόσεσι τῶν Ο (α). (βλ. ὄπισθ. κεφ. ς, §. γ). – στίχ. 26. Λείπει ἐκ τοῦ ἑβρ. τὸ *Ἰευὼ* (ἢ *Ἰεχοβὰ*), ὅπερ οἱ Ο, διὰ τοῦ *Κύριος* ἑρμηνεύουσι, καὶ γράφουσι « *Κύριε* ὁ Θεὸς τοῦ Ἰσραὴλ ». (Παράπτωσις τοῦ ἀνεκφωνήτου Ὀνόματος ἐπίσημος, ὡς ὁμολογοῦσι καὶ οἱ κριτικοί. βλ. τὸν Σχεΐδιον καὶ τὸν Σχούλζην). – στίχ. 53. « Τότε ἐλάλησε Σαλωμὼν ὑπὲρ τοῦ οἴκου, ὡς συνετέλεσε τοῦ οἰκοδομῆσαι αὐτόν. Ἥλιον ἐγνώρισεν ἐν οὐρανῷ. Κύριος εἶπε τοῦ κατοικεῖν ἐν γνόφῳ· Οἰκοδόμησον οἶκόν μου· οἶκον εὐπρεπῆ σεαυτῷ, τοῦ κατοικεῖν ἐπὶ καινότητος. Οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βίβλῳ τῆς ᾠδῆς; » (οἱ Ο)· πάντα ταῦτα τὰ χρυσᾶ καὶ τοῦ Σολομῶντος ἄξια ῥήματα λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ, πρόπαλαι διαῤῥυέντα, καθὰ καὶ ὁ παλαιὸς σχολιαστὴς ἐσημείωσε λέγων· « Ταῦτα ἐν τῷ Ἑξαπλῷ παρὰ μόνοις φέρεται τοῖς Ο »· (βλ. καὶ Γράβ. ἐκδ. τοῦ Ἀλεξανδρ. τόμ. β. Προλεγόμ. κεφ. α. §. 69).

Κεφ. Ι. στίχ. 26. « Καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων » κτλ. βλ. ὄπισθ. σελ. 217.

Κεφ. ΙΖ. στίχ. 4. « Καὶ τοῖς *κόραξιν* ἐντελοῦμαι διατρέφειν σε ἐκεῖ »· (οἱ Ο). Καὶ τὸ ἑβρ. οὕτως ἔχει, *Ερεβιμ* (πληθ.), ὅπερ *κόρακας* (ἐπὶ τοῦ ζώου) μεθερμηνεύουσιν ὅ,τε Σύρος, καὶ ἡ Βουλγάτα, καὶ Ἰώσηπος, καὶ τὸ Ταργούμιον, καὶ πάντες οἱ ἑρμηνεῖς, Ἰουδαῖοι καὶ Χριστιανοί. Ἀλλ' ἡ νεωτέρα σοφία πάντα τὰ θαυμαστὰ τῆς θεοπνεύστου Γραφῆς φυσικώτερον ἐξηγοῦσα, καὶ πρὸς τὸ πάχος τῆς ὕλης ἐγκατασπῶσα, θέλει καὶ τοὺς κόρακας τούτους τοὺς τῷ προφήτῃ κατὰ θείαν νεῦσιν ὑπηρετήσαντας, ἀνθρώπους τινὰς, οὕτως(Ερεβιμ)καλουμένους, ἢ ἐμπόρους τινὰς μεσίτας, Ἄραβας, ἢ κατοίκους τῆς χώρας *Ὠρὴβ*, ἢ *Χωρήβ*· οὕτω παίζουσιν οἱ σοφοὶ οὗτοι πρὸς πάσας τὰς πρὸς τὸ *Ὀρὲβ* (ὁ κόραξ) ὁμοιοφώνους λέξεις [*Αραβα* (Ἀραβία), *Εραβον* (ἀῤῥαβὼν, μεσιτεία κτλ.). βλ. τὸν Σχούλζην, Ἐζέλιον, καὶ ἄλλους]. Ἀνθρώπους τοίνυν πάντως, οὐ κόρακας, ὑπηρετῆσαι τῷ προφήτῃ Ἠλίᾳ διατείνονται, προβάλλον-

---

(α) Βλ. Cappell. Crit. Sacr. p. 44. καὶ Kennicott; Diss. I. p. 461.

τες προσέτι καὶ τὸ παράδειγμα τῆς Σαραφθίας χήρας! Καὶ λοιπὸν, ἐπειδὴ καὶ ἡ ἀοίδιμος ἐκείνη χήρα (πρὸς ἣν Ἡλίας ὕστερον ἀπεστάλη) πεινῶντα τοῦτον ἔθρεψεν, οὐκ ἂν ἔτρεφον αὐτὸν καὶ κόρακες πρότερον, *ἐντειλαμένου Θεοῦ* (στίχ. 5), τοῦ διδόντος τροφὴν καὶ αὐτοῖς τοῖς τῶν *κοράκων νεοσσοῖς, τοῖς ἐπικαλουμένοις αὐτόν*; (ψαλμ. ρμϛ). Ἀλλὰ καὶ ἀφ᾽ οὗ ἡ Σαραφθία ἔθρεψε τὸν προφήτην, πῶς πάλιν ἐπεφάνη καὶ ἄλλος θαυμαστὸς αὐτοῦ τροφοδότης, ὃς προσήνεγκεν αὐτῷ ἐγκρυφίαν ὀλυρίτην καὶ καψάκην ὕδατος ἐν τῇ ἐρήμῳ, αἴφνης ἐπιστὰς, *ἄγγελος κυρίου*; (ιθ, 5–7). Ἔπειτα καὶ ἄλλως, διὰ τί καὶ τῷ θείῳ προφήτῃ οὐκ ἠδύναντο κόρακες ὑπηρετεῖν, ὡς ὑπηρέτησε καὶ τῷ Νῶε περιστερά; καὶ κόραξ δὲ κἀκείνῳ ὑπηρετεῖν ἔμελλε, πρότερον ἀποσταλεὶς (Γενέσ. η, 7–11). Ἀλλ᾽ ἴσως οἱ σοφοὶ καὶ τὴν περιστερὰν ἐκείνην (ἐὰν μὴ τόν γε Πλούταρχον αἰδεσθῶσιν) (α), ἄνθρωπον εἶναι φήσουσι κολυμβητὴν, *Ἰωνᾶν* τινα καλούμενον (Ἰωνᾶ γὰρ παρὰ τοῖς Ἑβραίοις ὀνομάζεται καὶ ἡ περιστερά). Κἀκεῖνον δὲ τὸν ἐπὶ Νῶε *κόρακα* (τὸν Ὀρὲβ) *Ἄραβά τινα* πάλιν ἐξηγήσουσιν *ἐρεμβὸν*, ἢ ὅτι ἂν ἄλλο κρίνωσιν οἱ καὶ τὸν Νῶε, καὶ τὸν πάγκοσμον κατακλυσμὸν, καὶ πάντα τὰ τῆς ἱερᾶς ἱστορίας ἐκμυθίζοντες, καὶ ἀπαθείζοντες. Ἀλλὰ πρὸς τοιούτους σοφοὺς χαίρειν μακρὰ λέγει, συγνάζων ἐπὶ τῇ τούτων πωρώσει, πᾶς τις τῶν *τρεμόντων τοὺς θείους λόγους*, καὶ τηρούντων ἀσφαλῶς τὸν πάτριον τῆς οὐρανίας ἀληθείας θησαυρόν. — στίχ. 20. «Οἴμοι (Κύριε) ὁ μάρτυς (τῆς χήρας)» (οἱ Ο)· λείπει τοῦτο ἐκ τοῦ ἑβραϊκοῦ.

Κεφ. ΙΗ. ςχ. 41. «Φωνὴ *ποδῶν* τοῦ ὑετοῦ» (οἱ Ο)· τὸ δ᾽ ἑβρ. «φωνὴ θορύβου ὑετοῦ» (ὡς ἐξηγοῦσι τὸ νῦν ἑβρ. *Αμον*, κρότον, ἢ βρόμον, καὶ ἦχον πολλῶν. Ὅθεν ἡ Βουλγάτα, «*ἦχος πολλοῦ* ὑετοῦ»).

(α) Ὡς πολλὰ καὶ ἄλλα τῆς ἱερᾶς ἱστορίας, οὕτω καὶ τὴν ἐπὶ Νῶε κιβωτὸν ἐκ παραδόσεως παρέλαβον ἄλλα τε τῶν ἀρχαίων ἐθνῶν καὶ Ἕλληνες, οἵτινες καὶ τὴν λάρνακα καὶ τὴν περιστερὰν ἐφήρμοσαν εἰς τὸν ἐπὶ Δευκαλίωνος μερικὸν κατὰ τὴν Ἑλλάδα κατακλυσμόν· «Δευκαλίωνι, φασὶ, περιστερὰν ἐκ τῆς λάρνακος ἀφιεμένην δήλωμα γενέσθαι χειμῶνος μὲν, εἴσω πάλιν ἐνδυομένην, εὐδίας δὲ, ἀποπτᾶσαν» (Πλούτ. ἐν τῷ Πότερα τῶν ζώων φρονιμώτερα).

Ἀλλ᾽ οἱ Ο, ἄλλως ἀναγνόντες, ἔγραψαν *ποδῶν* τοῦ ὑετοῦ, ὃ καὶ λίαν ἐμφαντικὸν, καὶ ζωγραφικὸν, κατὰ τὸ « *λαβροπόδης χείμαῤῥος* », καὶ « *ἀκαμαντόποδες βρονταί* »· Πίνδ. (εἰ δὲ τούτων ἐμέμνητο ὁ Σχούλζης, οὐκ ἂν εὕρισκε τοὺς Ο, μεθερμηνεύσαντας ἀτόπως καὶ ἀπροσφυῶς, inepte!).

Κεφ. ΙΘ. στίχ. 6. « Ἐγκρυφίας *ὀλυρίτης* » (οἱ Ο, τουτέστιν ἐξ ὀλύρας, ἑβρ. chussemeth)· ἐκ δὲ τοῦ ἑβραϊκοῦ λείπει τὸ *ὀλυρίτης*· ἔχει γὰρ μόνον, *πλακοῦντα ἀπ᾽ ἀνθράκων* (ugga retsapim), τὸ αὐτὸ καὶ *ἐγκρυφίαν* (ἐλλειπτ. ἄρτον)· οἷον καὶ νῦν ποιοῦσι καθ᾽ ἡμᾶς καὶ τὸ πάλαι καὶ Ἀσιανοὶ καὶ Ἕλληνες, οἵ γε καὶ *ἀπανθρακίδα* τοῦτον καλοῦσι, καὶ *ἐσχαρίτην*, καὶ *σποδίτην*, τὸν αὐτὸν καὶ *ἐγκρυφίαν* (panem subcineritium, καὶ χυδαιέστερον, *στακτόψωμον*, καὶ *στακτοκολλοῦραν*, ἐκ τοῦ στακτὴ, ἢ στάκτη, ἡ σποδὸς, ὡς τὸ *σποδίτης*· ὅθεν καὶ τὸ χάριεν τοῦ Λουκιανοῦ « σποδοῦ πλέως, ὥσπερ ἐγκρυφίας ἄρτος »· βλ. καὶ Ἀθήν. γ. 110). Ὁ δὲ κλεινὸς Βοχάρτος μὴ εὑρίσκων ἐν τῷ νῦν ἑβρ. τὸ *ὀλυρίτην*, ὑπώπτευσε μή ποτε τοῦτο τρεπτέον εἰς τὸ *κολλυρίτην* (Ἱεροζωϊκ. Α. σελ. 327). Ἀλλὰ κολλύραν μὲν καὶ κολλύριον, καὶ κολλυρίδα, καὶ ῥῆμα κολλυρίζω (τὸ χυδ. κολλουριάζω, ποιῶ κολλύραν, ἢ κολλύρας ὅμοιον) λέγουσιν οἱ Ἕλληνες· ἄρτον δὲ *κολλυρίτην* (καὶ τοῦτον ἐγκρυφίαν) Ἕλληνες οὐ λέγουσιν (οὐ γὰρ ἀπὸ τοῦ σχήματος τὰ τοιαῦτα τὰ εἰς ιτης ποιοῦσιν, ἀλλ᾽ ἢ ἀπὸ τῆς ὕλης, ὡς τὰ *πυρίτης*, ἢ αὐτοπυρίτης, *κριμνίτης*, *χονδρίτης*, *πιτυρίτης*, *ἐτνίτης*, *ὀλυρίτης*, *σεμιδαλίτης* κτλ., ἢ ἀπὸ τοῦ τόπου καὶ τοῦ τρόπου, καθ᾽ ὃν ὁ ἄρτος ὀπτᾶται, οἷον *ὀβελίτης*, *ἰπνίτης*, *ἐσχαρίτης*, *σποδίτης*, *κλιβανίτης*· τὸ δὲ *πλακίτης* οὐκ ἀπὸ τοῦ σχήματος μᾶλλον, ἢ ἀπὸ τῆς πεπυρωμένης, ἐφ᾽ ἧς ὀπτᾶται, πλακός)· ἀλλ᾽ οὐδ᾽ αὐτοὶ οἱ Ο, εἶπον τὸ *κολλυρίτην*· τὸ δ᾽ ἐν « Α. Παραλ. ιϛ, 3, *κολλυρίτην* (ὅπερ ἐκ τῆς Κομπλουτείας ἐκδόσεως ὁ Βοχάρτος ἀναφέρει) γραφή τις ἐστὶ πάντως ἡμαρτημένη, ἀντὶ τοῦ *κολλυρίδος*, ἴσως, ἢ καὶ ἀντ᾽ αὐτοῦ τοῦ *ἀμορίτην*, ὡς ἔγραψαν οἱ Ο, αὐτόθι, καθ᾽ ὅλας τὰς ἄλλας ἐκδόσεις (Ἀλεξ. Βατικ. κτλ.).

Κεφ. Κ. στίχ. 16. « Καὶ ἐγένετο ὡς ἤκουσεν Ἀχαὰβ ὅτι τέθνηκε Ναβουθαὶ ὁ Ἰεζραηλίτης, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλετο σάκκον » (οἱ Ο). Ταῦτα λείπουσιν ἐκ τοῦ ἑβρ. (κεφ. κα). Ὅσοι δὲ πρόσθετα νομίζουσιν, ἐπάγουσι τὸν Ἰώσηπον, πιθανώτερα (ὡς λέγουσιν) ἱστοροῦντα ὅτι, « Ὁ Ἄχαβος *ἥσθη* τοῖς γεγενημένοις » κτλ. (η, ιγ, 8). Ἀλλ᾿ ὁ μὲν Ἰώσηπος ἐκφράζει τὰ ἐφεξῆς τῶν Ο, « Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἀνέστη Ἀχαὰβ, καὶ κατέβη εἰς τὸν ἀμπελῶνα » κτλ., ἅπερ ἔχει καὶ τὸ ἑβραϊκὸν (τὸ δὲ *ἥσθη* προσέθηκεν ἀφ᾿ ἑαυτοῦ ὁ Ἰώσηπος εἰκοτολογῶν· οὐδ᾿ ἐν τῷ ἑβραίῳ κεῖται ἡ λέξις). Πρὶν δὲ καταβῇ, διέῤῥηξε τὰ ἱμάτια ὁ παράνομος βασιλεύς· « κοῦφος γὰρ ὁ ἄθλιος ἦν » (Θεοδώρητ.)· διὸ καὶ εὐμετάβολος καὶ *πεπραμένος* (στίχ. 25)· ἴσως δὲ τοῦτο καὶ πλάσμα καὶ ὑπόκρισις ἦν, ὡς φρίξαντος δῆθεν *ἐπὶ τῇ βλασφημίᾳ* τοῦ Ναβουθαὶ (στίχ. 13), ἢ καὶ λυπεῖσθαι ἐπ᾿ αὐτῷ προσποιησαμένου, οἵα καὶ ἡ λύπη γέγονε τοῦ Ἡρώδου (Ματθ. ιδ, 9). Ὕστερον δὲ ὅμως κατενύγη ἀληθῶς, καὶ τὸν χιτῶνα διέῤῥηξεν, ἐλεγχθεὶς ὑπὸ τοῦ προφήτου (βλ. στχ. 27). — στίχ. 19. (Λείξουσιν οἱ κύνες τὸ αἷμά σου) « *καὶ πόρναι λούσονται ἐν τῷ αἵματί σου* » (οἱ Ο)· ἐκ τοῦ ἑβραϊκ. λείπουσι ταῦτα· ἀλλ᾿ ἐπικυροῦνται ἐν τοῖς ἐφεξῆς (κβ, 38), ὅπου ἐξιστορεῖται ἡ πλήρωσις ταύτης τῆς προφητείας· κεῖνται γὰρ ἐκεῖ καὶ παρὰ τοῖς Ο, καὶ παρ᾿ αὐτῷ τῷ ἑβραϊκῷ, καθὼς ἑρμηνεύουσι τοῦτο καὶ οἱ νεώτεροι, ἄλλοι τε καὶ Σχούλζης, καὶ αὐτὸς ὁ Καχήν· [ὁ δὲ Χαλδαῖος, ὡς εὐστομίας ἐραστὴς, καὶ ἡ Βουλγάτα, ἀντὶ τοῦ *πόρναι λούσονται*, γράφουσιν « ἀπέπλυναν *τὰς ἡνίας* » (δηλονότι τοῦ ὀχήματος τοῦ τρωθέντος Ἀχαὰβ, ὡς αἵματι καὶ λύθρῳ πεπαλαγμένας), καὶ ἄλλοι, « τὰ *ὅπλα* »· ἀλλ᾿ ἑκάτεραι αἱ ἑρμηνεῖαι ἐπαρίστεροι!]· Συμμαρτυρεῖ τοῖς Ο, καὶ Ἰώσηπος· « Οἱ μὲν γὰρ κύνες ἀνελιχμήσαντο αὐτοῦ τὸ αἷμα· αἱ δὲ *ἑταιριζόμεναι* καὶ ἐν τῇ κρήνῃ τὸ λοιπὸν λουόμεναι τούτῳ διετέλουν» (Ἀρχ. Η, ιε, 6)· ἢ ὅτι (μετὰ τὸ πλύναι ἐν τῇ κρήνῃ τὸ τοῦ Ἀχαὰβ καθημαγμένον ὄχημα) « ὑπὸ τὴν ἕω (αἱ πόρναι) κατὰ τὸ ἔθος ἐλούσαντο, οὐκ ἐξεπίτηδες εἰς τὸ αἷμα βουλόμεναι λούσα-

σθαι, ἀλλ᾽ εἰς τὸ πηγαῖον, ὡς εἰώθεισαν, ὕδωρ » (Θεοδώρ. Ἄπορ. εἰς Γ. Βασιλ. ἐρωτ. ξη).

Κεφ. ΚΑ. στίχ. 12. « Οἰκοδομήσατε *χάρακα· καὶ ἔθεντο χάρακα ἐπὶ τὴν πόλιν* » (οἱ Ο, Θεοδώρητ. Ἰώσηπ. Ἀρχ. η, ιδ, 2). Τὸ δ᾽ ἑβραϊκὸν « *Θέσθε· καὶ ἔθεντο* ἐπὶ τὴν πόλιν » (τί δὲ *θέσθε*, καὶ τί *ἔθεντο*, λείπει)· διὸ καὶ ἀναπληροῦσι τὸ κεχηνὸς, ὑπονοοῦντες, οἱ μὲν *ἐνέδρας*, οἱ δὲ *ὄργανα* (μηχανὰς), οἱ δὲ καὶ *χάρακας*· ἡ δὲ Βουλγάτα τὴν ἐπιτομωτέραν ἐβάδισε· «*περικυκλώσατε· καὶ περιεκύκλωσαν!*».

Κεφ. ΚΒ. στίχ. 19. (Καὶ εἶπε Μιχαίας) «οὐχ οὕτως, οὐκ ἐγὼ—ἄκουε—οὐχ οὕτως» (οἱ Ο). Ταῦτα λείπουσιν ἐκ τοῦ ἑβρ. (πρβλ. καὶ στίχ. 17).

§. ιδ. Ἐκ τῆς Δ. Βασιλειῶν.

Κεφ. Α. στίχ. 2. « Καὶ ἐπορεύθησαν ἐπερωτῆσαι δι᾽ αὐτοῦ » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει (καί τοι ἀπαιτούμενον ἐκ τῆς συναφείας τῶν νοημάτων· πρβλ. στχ. 3 καὶ 5). — στίχ. 4. Λείπει καὶ τὸ «*εἶπε πρὸς αὐτοὺς* » (οἱ Ο). — στίχ. 9. Λείπει καὶ τὸ « καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν » (οἱ Ο)· κυροῦται δὲ ἐκ τῶν στίχ. 11, 13, ὅπου τὸ *ἐλάλησε πρὸς αὐτὸν* κεῖται παρ᾽ ἀμφοτέροις (βλ. καὶ Ῥόσσ. τόμ. β. σελ. 226). — στίχ. 17. Λείπει ἐκ τοῦ ἑβρ. τὸ « ἀδελφοὶ αὐτοῦ » (οἱ Ο, Βουλγ. Σύρ. βλ. καὶ Ῥόσσ. αὐτ.).

Κεφ. Β. στίχ. 16. (Ἔρριψεν αὐτὸν) « *ἐν τῷ Ἰορδάνῃ* » (οἱ Ο)· τοῦτο λείπει νῦν ἐκ τοῦ ἑβραϊκοῦ ἐκπεσόν· ὁμολογοῦσι δὲ καὶ οἱ κριτικοὶ (Σχούλζ.).

Κεφ. Γ. στίχ. 12. (Ἰωσαφὰτ) « *βασιλεὺς Ἰούδα* » (οἱ Ο, Βουλγάτα, Σύρος, Ἄραψ, κώδ. ἑβρ. Ῥόσ.)· καὶ τοῦτο ἐκ τοῦ ἑβρ. λείπει.

Κεφ. Δ. στίχ. 14. « Καὶ εἶπεν Ἐλισαιὲ πρὸς Γιεζεὶ τὸ παιδάριον» (οἱ Ο)· ἐν δὲ τῷ ἑβραίῳ μόνον τὸ « *Καὶ εἶπε* »· διὸ καὶ ἀναπληροῦσι τὴν ἔλλειψιν (Σχούλζ.).

Κεφ. Ε. στίχ. 26. « Οὐχὶ ἡ καρδία μου ἐπορεύθη *μετὰ σοῦ*; (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει τὸ ἀναγκαιότατον *μετὰ σοῦ* (Οὐβιγάντ.).

Κεφ. Ζ. στίχ. 13. Ἐν τῷ ἑβρ. ἐπαναλαμβάνεται δὶς κατὰ προ-

φανῆ τοῦ μεταγραφέως ἀβλεψίαν τὸ παρὰ τοῖς Ο, ἅπαξ· «ἰδοὺ εἰσὶ πρὸς πᾶν τὸ πλῆθος Ἰσραὴλ τὸ ἐκλεῖπον» (ἅπαξ ἔχουσι τὴν φράσιν καὶ ἡ Βουλγάτα, ὁ Σύρος, τὸ Ταργοὺμ, καὶ πολλοὶ κώδ. ἑβρ. Ῥόσσ.). Ἅπαξ ἀνέγνω καὶ Ἰώσηπος, ἐξηγῶν οὕτω· «προσαριθμήσεις δὲ, φησὶ (τοὺς δύω στελλομένους ἱππεῖς), *τοῖς ὑπὸ τοῦ λοιμοῦ τεθνηκόσι*» (Ἀρχαιολ. Θ, δ, ζ. 5). Ὁ δὲ Οὐβιγάντης μάτην δικαιοῖ τὴν ἐπανάληψιν τοῦ ἑβραϊκοῦ.

Κεφ. Η. στίχ. 13. «Ὁ κύων ὁ τεθνηκὼς» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *τεθνηκώς*· κυροῦται δὲ ἐκ τοῦ Α. Βασιλ. κδ, 15, ὅπου κεῖται παρ' ἀμφοτέροις. — στχ. 24. (Δαβὶδ) «*τοῦ πατρὸς αὐτοῦ*» (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβραϊκ. λείπει. — στίχ. 26. «Υἱὸς εἴκοσι καὶ δύω ἐτῶν Ὀχοζίας» (οἱ Ο, ἡ Βουλγάτα, καὶ τὸ ἑβραϊκόν). *Εἴκοσι* (στρογγύλως), ἀντὶ *εἰκοσιδύω*, γράφουσιν οἱ Ο τὰ ἔτη καὶ ἐν τῷ παραλλήλῳ τόπῳ (Β. Παραλ. κβ, 2. κώδηκ. Ἀλεξανδρ. καὶ Βατικαν. κτλ.). Ἀλλ' ἐκεῖ τὸ ἑβρ. ἔχει «*τεσσαράκοντα καὶ δύω ἐτῶν*» (οὕτω καὶ ἡ Βουλγάτα)· πρὸς δὲ τὴν ἡμαρτημένην ταύτην γραφὴν διέστρεψαν αὐτόθι καὶ τὸ *εἰκοσιδύω* τῶν Ο, οἱ τολμηροὶ τῆς Κομπλουτείας ἐκδόται (βλ. Κλέρικον καὶ Δάθην σημ. αὐτόθ. καὶ Ῥόσσ. τόμ. β).

Κεφ. Ι. στίχ. 15. «Εἰ ἔστιν ἡ καρδία σου μετὰ τῆς καρδίας μου εὐθεῖα, καθὼς ἡ καρδία μου μετὰ τῆς καρδίας σου»; (οἱ Ο). Ἐν δὲ τῷ νῦν ἑβρ. ἐξέπεσε τὸ πρῶτον «*μετὰ τῆς καρδίας μου*» (Κλέρικος, Οὐβιγάντ. βλ. καὶ Ῥόσσ. τόμ. β). — στίχ. 33. «Ἐπὶ τοῦ χείλους τοῦ χειμάῤῥου» (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβρ. λείπει τὸ τοῦ *χείλους*.

Κεφ. ΙΓ. στίχ. 6. (Ἱεροβοὰμ) «*υἱοῦ Ναβὰτ*» (οἱ Ο, Ἀλεξανδ., Σύμμ., Θεοδοτ., ἡ Ε, ἔκδ., ὁ Σύρος, ὁ Ἄραψ, κώδ. ἑβρ. Ῥόσ.)· ἐν τῷ νῦν ἑβρ. λείπει (πρβλ. στίχ. 2, 11).

Κεφ. ΙΗ. στίχ. 17. «Καὶ ἀνέβησαν καὶ ἦλθον εἰς Ἱερουσαλὴμ» (οἱ Ο, Βουλγάτα, Σύρος, Ἄραψ, καὶ κώδ. ἑβρ. Ῥόσσ.). Τὸ δὲ νῦν ἑβρ. «Καὶ ἀνέβησαν καὶ ἦλθον εἰς Ἱερουσαλήμ· *καὶ ἀνέβησαν καὶ ἦλθον*» (παλιλλογία τοῦ μεταγραφέως).

Κεφ. ΙΘ. στίχ. 37. «*Οἱ υἱοὶ αὐτοῦ*» (οἱ Ο, ἡ Βουλγ. τὸ Ταλμοῦδον, καὶ πολλοὶ κώδηκες ἑβραῖοι Ῥόσσ., καὶ πλεῖστοι τῶν νεωτέρων κριτικῶν). Ἐν δὲ τῷ κοινῷ κειμένῳ τῷ ἑβραϊκῷ λείπουσιν αἱ λέξεις· προσγράφονται δὲ μόνον εἰς τὴν ᾤαν (ὡς *κερί!*)· ἐν δὲ τῷ κειμένῳ οὐδεὶς τολμᾷ τὰς λέξεις εἰσαγαγεῖν· ἀλλὰ τηροῦσι τὸ χάσμα δι' εὐλάβειαν τῆς Μασόρας. Οὕτω καὶ ἐφεξῆς (κ, 4) καταλείπουσιν ἐν τῷ κειμένῳ λέξιν ἄλλην ἡμαρτημένην «*τὴν πόλιν*», προσγράφοντες μόνον ὡς ἀναγνωστὸν τὸ *αὐλὴν*, ὅπερ ἔχουσιν οἱ Ο, ὁ Χαλδαῖος, ἡ Βουλγ. μετὰ τῶν λοιπῶν ἀρχαίων ἑρμηνειῶν, καὶ εἴκοσι κώδηκες ἑβραῖοι Ῥόσσ. (βλ. καὶ Οὐδιγάντ. Σχούλζ. Καχῆν.).

Κεφ. Κ. στίχ. 12. *Βερωδὰχ* (τὸ ἑβρ.), ἀντὶ Μερωδὰχ (οἱ Ο, ὁ Σύρος, ὁ Ἄραψ, τὰ Ταλμούδια, καὶ πολλοὶ κώδ. ἑβρ. Ῥόσσ.). Μερωδὰχ, ὁ βαβυλώνιος οὗτος βασιλεύς, γράφεται καὶ ἐν Ἡσαϊ. λθ, 1, παρά τε τοῖς Ο, καὶ ἐν αὐτῷ τῷ ἑβραϊκῷ (νομίζεται δὲ ὁ αὐτὸς καὶ ὁ Μαρδοκέμπαδος τοῦ Πτολεμαίου). Οὕτω καὶ ἄλλα· οἷον, Βαασεὰ καὶ Μαασεὰ, Μενεαμὶν καὶ Βενεαμὶν (βλ. Ῥόσσ. τόμ. δ. σελ. 173, 201 κτλ.). Καὶ φαίνεται ἄρα, ὅτι παρὰ τοῖς ὑστέροις μάλιστα τοῖς χαλδαΐζουσι καὶ ἀραβίζουσιν Ἰουδαίοις ἐγίνετο συχνῶς ἡ τοῦ Μ εἰς τὸ Β, καὶ τ' ἀνάπαλιν μετατροπὴ (διὰ τὴν περὶ τὴν ἐκφώνησιν συγγένειαν τῶν δύω τούτων γραμμάτων). Τοιαύτη γέγονε καὶ ἐν τῷ Ἀμανά, ἀντὶ Ἀβανά (βλ. ὄπισθ. κεφ. ιβ. σελ. 420).

Κεφ. ΚΑ. στίχ. 9. (Τὸ πονηρὸν) «*ἐν ὀφθαλμοῖς κυρίου*» (οἱ Ο, καὶ κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ ἑβραϊκ. λείπει.

Κεφ. ΚΓ. στίχ. 16. «Κατὰ τὸ ῥῆμα κυρίου, ὃ προεῖπεν ὁ ἄνθρωπος τοῦ Θεοῦ, *ὃς προεῖπε τὰ ῥήματα ταῦτα*» (τὸ ἑβρ.). Οἱ δὲ Ο, «Κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ *ἐν τῷ ἑστάναι Ἱεροβοὰμ ἐν τῇ ἑορτῇ ἐπὶ τὸ θυσιαστήριον*». Τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν Ο μαρτυρεῖται ἐκ τοῦ Γ. Βασιλειῶν ιγ, 1—3. τὴν δὲ τοῦ ἑβραϊκοῦ διαφθορὰν κηρύττει καὶ αὐτὴ ἡ βαττολογοῦσα παλιλλογία. — Αὐτόθ. Λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ καὶ τὰ παρεπόμενα ἐφεξῆς· «Καὶ ἐπιστρέψας ἦρε τοὺς ὀφθαλμοὺς

αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ Θεοῦ τοῦ λαλήσαντος τοὺς λόγους τούτους ». Ταῦτα δὲ καὶ αὐτὴ τοῦ νοήματος ἡ συνάφεια πάντως ἀπαιτεῖ. Καὶ φαίνεται ἄρα, ὅτι ἐξεῤῥύησαν ἐκ τοῦ ἑβραϊκοῦ τὰ ἀπὸ τοῦ «*ἐν τῷ ἑστάναι Ἱεροβοὰμ*» μέχρι «*τοῦ λαλήσαντος τοὺς λόγους τούτους*». Ἐντεῦθεν προῆλθε καὶ ἡ προεκτεθεῖσα παλιλλογία· τὸ δὲ τραῦμα παλαιόν· οὕτω γὰρ ἔχει καὶ ἡ Βουλγάτα.

Κεφ. ΚΕ. στίχ. 27. «Ὕψωσε τὴν κεφαλὴν Ἰωακεὶμ ἐξ οἴκου φυλακῆς » (τὸ ἑβρ.). Ἀλλ' οἱ Ο (καὶ Σύρος, Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ. τόμ. β, σελ. 262) «Ὕψωσε τὴν κεφαλὴν Ἰωακεὶμ — *καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἴκου φυλακῆς αὐτοῦ*». Οὕτω καὶ αὐτὸ τὸ ἑβρ. καὶ οἱ Ο, πάλιν ἐν τῷ παραλλήλῳ τόπῳ (Ἱερεμ. νβ, 31).

Τοσαῦτα καὶ ἐκ τῶν Βασιλειῶν (ἵνα μὴ διὰ πλειόνων ἀποκναίωμεν τοὺς ἀναγνώστας). Λέγομεν δέ τινα καὶ ἐκ τῶν Παραλειπομένων, πάνυ ὀλίγα, γεύματος χάριν.

§. ιε. Ἐκ τῆς Α. τῶν Παραλειπομένων.

Κεφ. Α. στίχ. 6. «*Ῥιφὰτ*» (οἱ Ο, Βουλγ. καὶ πολλοὶ κώδηκ. ἑβρ. Ῥόσσ.). Καὶ τὸ νῦν ἑβρ. ἐνταῦθα *Ῥιφὰτ* ἀναγινώσκει. Ἀλλ' ἐν Γενέσ. Ι. 3· οἱ μὲν Ο, κἀκεῖ *Ῥιφὰτ* (καὶ Ἰώσηπος *Ῥιφάτης*), τὸ δ' ἑβρ. *Διφάτ*. Οὕτω καὶ ἐν ἄλλοις συγχέει τὸ Ρ πρὸς τὸ Δ. (βλ. ὄπισθ. σελ. 196, καὶ Βιβλ. Β. κεφ. Ι. σελ. 649). Καὶ ὧδε δὲ πάλιν γράφει *Δοδανὶμ*, ὅπερ ἄλλοι κώδηκες ἑβραῖοι *Ῥοδανὶμ*, καὶ οἱ Ο, γράφουσι *Ῥόδιοι* (ὡς καὶ Γενέσ. Ι, 4, καθ' ὅλας τὰς ἐκδόσεις καὶ τὴν Κομπλουτείαν, ἥτις ὅμως ἐνταῦθα (Α. Παραλειπ.) διέστρεψε τὸ *Ῥόδιοι* πρὸς τὸ ἑβρ. *Δοδανὶμ*). Τὴν *Ῥόδιοι* γραφὴν κρίνουσιν ὡς γνησίαν ἄλλοι τε καὶ Βοχάρτος, ὅστις καὶ τοὺς παρὰ τῷ Ῥοδανῷ Γάλλους σημαίνειν τὴν λέξιν ἐθέλει (οἱ δὲ τὸ *Δοδανὶμ* προτιμῶντες ἐκλαμβάνουσι τὴν *Δωδώνην*). Ἀλλ' ἀξιοπιστότεροι μᾶλλον οἱ Ο, γέροντες, οἵτινες τὴν Ῥόδον (ἑβρ. Rodon) ἐνεῖδον εἰς τὴν λέξιν, καὶ Ῥοδίους ἑλληνικώτερον εἶπον τοὺς *Ῥοδανὶμ* (α). —

(α) Βλ. Bochart. Geograph. Sacr. L. 3. cap. 6 καὶ 4. καὶ τοὺς νεωτέρους κριτικούς.

ςίχ. 36. «Θαμνὰ δὲ ἡ *παλλακὴ Ἐλιφὰζ ἔτεκεν αὐτῷ* τὸν Ἀμαλὴκ» (οἱ Ο, κώδ. Ἀλεξανδρ. Ἄλδ. κτλ. καὶ ὁ Ἄραψ, βλ. ἔκδ. Ὅλμητ.)· ἐν δὲ τῷ νῦν ἑβραϊκῷ κεκολόβωται ἡ φράσις, καὶ καταγράφεται καὶ ἡ *Θαμνὰ*, ὡς υἱὸς τοῦ Ἐλιφάζ· οὕτω καὶ ἐν τῇ Βουλγάτᾳ. Ἀλλ' αὐτὸ τὸ ἑβρ. ἐξελέγχει ταύτην αὐτοῦ τὴν κολόβωσιν ἐν Γενέσ. λς, 11, ὅπου καὶ αὐτὸ γράφει, ὡς οἱ Ο, (βλ. ὄπισθ. κεφ. ς. §. γ. σελ. 216). Τὸ αὐτὸ ποιεῖ καὶ ἡ Βουλγατα· ὁμολογοῦσι ταῦτα καὶ οἱ κριτικοί.

Κεφ. Ϛ. στίχ. 48. Λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ «*Κατ' οἴκους πατριῶν αὐτῶν*». Καὶ στίχ. 57, λείπει τὸ «*Καὶ τὰ περιπόλια αὐτῆς*», ὅπερ ὅμως βεβαιοῦται ἐκ τοῦ παραλλήλου χωρίου Ἰησ. κα, 13, ἔνθα κεῖται καὶ ἐν τῷ ἑβρ. – στίχ. 60. Ἐν τῷ ἑβρ. διορίζονται πόλεις *δεκατρεῖς*, καὶ ἀριθμοῦνται ἐξ ὀνόματος μόνον *ἕνδεκα* (κατ' ἔκπτωσιν τῶν δύω). Ἀλλὰ παρὰ τοῖς Ο (Ἀλεξ.) ἀριθμοῦνται *δεκατρεῖς* ὀνομαστὶ, ὡς καὶ Ἰησοῦ κα, 16, 17, παρά τε τῷ ἑβρ. καὶ παρὰ τοῖς Ο (συνομολογοῦσι καὶ οἱ κριτικοὶ, Οὐβιγάντης, Σχοὺλζ. κτλ,)

Κεφ. Η. στίχ. 29. Λείπουσιν ἐκ τοῦ ἑβρ. κύρια ὀνόματα, οἷον στίχ. 29, τὸ «*Ἰὴλ*» (πατὴρ Γαβαὼν), ὅπερ ἔχουσιν οἱ Ο (Ἀλεξ.), καὶ αὐτὸ τὸ ἑβρ. ἐφεξῆς (θ, 35)· καὶ τὸ Νὴρ, καὶ τὸ Μακελώθ. (βλ. ὄπισθ. σελ. 439). Οὕτω καὶ ἀλλαχοῦ (κε, 3) λείπει ἐκ τοῦ ἑβρ. καὶ τῆς Βουλγάτας τὸ *Σεμεΐ*, ὅπερ ἔχουσιν οἱ Ο (Ἀλεξ.), και ὁ Ἄραψ, καὶ κώδ. ἑβρ. Ῥόσσ., καὶ αὐτὸ τὸ ἑβραϊκὸν ἐφεξῆς (ςχ. 17). Ἀπαιτεῖ δὲ τοῦτο καὶ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰδιθοὺμ, ὡρισμένος ἐπὶ λέξεως *ἕξ*. Ὁμολογοῦσι ταῦτα πάντα καὶ οἱ κριτικοί.

Κεφ. Ις, 40, Λείπει τὸ «Ἐν χειρὶ Μωϋσῆ τοῦ θεράποντος τοῦ Θεοῦ» (οἱ Ο).

Κεφ. ΙΖ. στίχ. 24. Ἐν τῷ ἑβρ. τὸ *Θεὸς Ἰσραὴλ* (Elohi Jsrael) δὶς ἐπαναλαμβάνεται ἐξ ἀβλεψίας ἀντιγραφέων· ἅπαξ δὲ κεῖται παρὰ τοῖς Ο, καὶ τῇ Βουλγάτᾳ, ὡς καὶ ἐν τῷ παραλλήλῳ τόπῳ (Β. Βασιλ. ζ, 27), ὅπου καὶ παρὰ τῷ ἑβραίῳ ἅπαξ (βλ. καὶ Καπελ. Κριτ. σελ. 31).–Οὕτω καὶ κεφ. Ις, στίχ. 42. τὸ ἑβρ. (καὶ ἡ Βουλγ. ἐξ αὐτοῦ) ἔχει «*Καὶ μετ' αὐτοῦ Αἱμὰν καὶ Ἰδιθοὺμ*». Ἀλλὰ τὴν

ἄτοπον ταύτην δισσολογίαν (κατ' ἐπανάληψιν τοῦ προτέρου 41 στίχου) ἀγνοοῦσιν οἱ Ο, ἐκσυρίττουσι δὲ καὶ οἱ κριτικοί (Καπέλλιος, Σχοῦλζ. κτλ. βλ. καὶ ὄπισθ. σελ. 219).

Κεφ. ΚΗ. στίχ. 20. Λείπει τὸ «*Καὶ ἰδοὺ τὸ παράδειγμα τοῦ ναοῦ*» κτλ. (μέχρι τέλους τοῦ παραγράφου), συναρπαγέντος τοῦ Ἰουδαίου μεταγραφέως ἐκ τοῦ 12 στίχου, ὅπου τὸ πρῶτον γέγραπται διηγηματικῶς ἡ αὐτὴ σχεδὸν περίοδος, ἐν δὲ τῷ ἐφεξῆς 13 στίχῳ «*τὰ τῶν ἐφημεριῶν τῶν ἱερέων*» κτλ. Ταῦτα δὲ πάλιν καὶ ἐν τῷ τέλει τοῦ κεφαλαίου (στίχ. 20 καὶ 21) ἐπαναλαμβάνονται ὑπ' αὐτοῦ τοῦ Δαβὶδ (κατὰ τὴν συνήθη ἐπανάληψιν)· ὁ δὲ Ἰουδαῖος μεταγραφεὺς ἔγραψεν ἐν τῷ 21 στίχῳ μόνον τὰ τοῦ 13, παριδὼν τὰ τοῦ 12.

Κεφ. ΚΘ. στίχ. 12. «Κύριε, ὁ ἄρχων πάσης ἀρχῆς» (οἱ Ο). ἐκ τοῦ νῦν ἑβρ. λείπει καὶ τοῦτο τὸ ἐκφαντορικὸν, καὶ τοῦ πνευματεμφόρου στόματος τοῦ Δαβὶδ ἐπάξιον λόγιον.

§. ιϛ. Ἐκ τῆς Β. τῶν Παραλειπομένων.

Κεφ. ΙΑ. στίχ. 18. «Καὶ ἔλαβεν ἑαυτῷ Ῥοβοὰμ γυναῖκα τὴν Μολὰθ, θυγατέρα Ἱεριμοὺθ» (οἱ Ο, καὶ πᾶσαι αἱ ἀρχαῖαι ἑρμηνεῖαι)· τὸ δὲ νῦν ἑβρ. «Καὶ ἔλαβε . . γυναῖκα τὴν Μααλὰθ, ΥΙΟΝ (*Βεν*) Ἱεριμούθ»!! Οὕτως ἔχει τὸ κοινῶς παραδεδεγμένον κείμενον· (βλέπ. ἔκδ. Μοντάν.)· μόνον δὲ πρὸς τῇ ὤᾳ ὡς κρὶ (ἀναγνωστὸν) γράφεται τὸ θυγατέρα (Βαθ)· διὸ καὶ δικαίως θαυμάζει τὴν τοσαύτην ἀτοπίαν ὁ Κεννικῶτος (Διατρ. Α, σελ. 470).

Κεφ. ΙΕ. στίχ. 16. «Καὶ Μααχὰ τὴν μητέρα αὐτοῦ μετέστησε τοῦ μὴ εἶναι τῇ Ἀστάρτῃ λειτουργοῦσαν» (οἱ Ο)· τὸ δ' ἑβρ. διεσκεύασται παραδόξως. «Καὶ Μααχὰ τὴν μητέρα *Ἀσὰ ὁ βασιλεὺς* μετέστησεν αὐτὴν ἀπὸ τῆς ἀρχῆς» (ἡ Βουλγ. ex augusto imperio), «ὅτι ἐποίησεν ἐν ἄλσει *φόβητρον*» (ἡ Βουλγ. ἔχει εἴδωλον *Πριάπου!)*. Οὕτως *ὁ Ἀσὰ* (ὁ βασιλεὺς) τὴν μητέρα *τοῦ Ἀσὰ τοῦ βασιλέως* μετέστησεν ἀπὸ τῆς βασιλείας, ἢ ὑπερτάτης ἀρχῆς· ἀλλὰ μήπως ἡ μήτηρ τοῦ Ἀσὰ συνῆρχεν αὐτῷ καὶ συνεβασίλευεν; Ἄλλην διασκευὴν ἔχει κῶδηξ τις ἑβρ. Ῥόσσ. (τόμ. δ. σελ. 191). πρβλ. καὶ Οὐβιγάντ. σημ. αὐτόθ.

Κεφ. ΚΔ. στίχ. 26. «Ζαβὲδ ὁ τοῦ Σαμαὰθ ὁ Ἀμμανίτης, καὶ Ἰωζαβὲδ ὁ τοῦ Σαμαρὴθ ὁ Μωαβίτης» (οἱ Ο)· τὸ δ' ἑβρ. (ἐξ οὗ καὶ ἡ Βουλγάτα) μετέστρεψε τὰ ἀρσενικὰ εἰς θηλυκά· «Ζαβὰδ ὁ τῆς *Σαμαὰθ* τῆς Ἀμμανίτιδος, καὶ Ἰωζαβὰδ ὁ τῆς *Σιμρὶθ* τῆς Μωαβίτιδος»! Ἀλλ' ἐπιγινώσκουσι τὸ γνήσιον τῆς τῶν Ο, ἑρμηνείας οἱ κριτικοί (Μοντάνος, Δάθης, Σχούλζ.). Καὶ τοῦ 27 στίχου τὸ ἥμισυ πάντῃ διαφόρως ἀνέγνωσαν οἱ Ο, ἢ ὡς ἔχει τὸ νῦν ἑβραϊκόν (βλ. καὶ Οὐβιγάντ. σημ. αὐτόθ.).

Κεφ. ΚΕ. στίχ. 28. «Ἐν πόλει *Δαβὶδ*» (οἱ Ο, Βουλγάτα, Σύρος, Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ. καὶ ὁ τόπος ὁ παράλληλος ἐν Δ. Βασιλ. ιδ, 20)· τὸ δ' ἑβρ., «ἐν πόλει *Ἰούδα*». Ἀλλ' οὐδαμοῦ τῆς Γραφῆς ἡ Ἱερουσαλὴμ ὀνομάζεται πόλις *Ἰούδα* ἁπλῶς, καὶ χωρὶς διορισμοῦ (Οὐβιγάντης, Δάθης, κτλ.).

Κεφ. Λ. στίχ. 22. «Καὶ *συνετέλεσαν* (οἱ ἱερεῖς) τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας» (οἱ Ο)· τὸ δ' ἑβρ. «*Καὶ ἔτρωγον τὴν ἑορτὴν* (τὰ θύματα) ἑπτὰ ἡμέρας» (ὡσαύτως καὶ ἐν τῇ Βουλγ. συντέτριπται ἡ φράσις)· ἀλλ' ἐξελέγχουσι τὴν διαφθορὰν τοῦ ἑβρ. οἱ κριτικοὶ (Οὐβιγάντης, Δάθης, Σχούλζ.).

Κεφ. ΛϚ. στίχ. 2. «Καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἀμιτὰλ, θυγάτηρ Ἱερεμίου ἐκ Λοβνὰ» καὶ τὰ ἑξῆς ἕως τέλους τοῦ στίχου (οἱ Ο). Ταῦτα πάντα λείπουσιν ἐκ τοῦ ἑβρ. κυροῦνται δὲ ἐκ τῶν ἐν Δ. Βασιλ. κγ, 31, 32, ὅπου κεῖνται καὶ ἐν τῷ ἑβραϊκῷ.— στίχ. 4. «Καὶ ἀπέθανεν (ὁ Ἰωάχαζ) ἐκεῖ. Καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκαν τῷ Φαραῷ. Τότε ἤρξατο ἡ γῆ φορολογεῖσθαι, τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόμα Φαραώ· καὶ ἕκαστος κατὰ δύναμιν ἀπήτει τὸ ἀργύριον καὶ τὸ χρυσίον παρὰ τοῦ λαοῦ τῆς γῆς δοῦναι αὐτὸ Φαραῷ Νεχαῷ» (οἱ Ο)· λείπουσι καὶ ταῦτα ἐκ τοῦ ἑβρ. ἀλλ' ἐπικυροῦνται ἐκ τοῦ παραλλήλου τόπου (Δ. Βασιλ. κγ, 35), ὅπου κεῖνται καὶ ἐν τῷ ἑβρ. — στίχ. 9. «Υἱὸς *ὀκτὼ καὶ δέκα* ἐτῶν» (οἱ Ο, Ἀλεξ., ὁ Σύρος, ὁ Ἄραψ, κτλ. καὶ κώδ. ἑβρ. Ῥόσσ. καὶ ἐν Α, Ἔσδρᾳ α, 43: Ἀλεξ. Ἀλδ. προλ. καὶ Δ. Βασ. κδ, 8)· τὸ δ' ἑβρ. (ἐξ οὗ καὶ ἡ Βουλγ.) «Υἱὸς *ὀκτὼ* ἐτῶν» (κατ' ἔκπτωσιν

τοῦ δέκα)· ἀλλ' ἐν Δ. Βασιλ. κδ. καὶ αὐτὸ τὸ ἑβρ. ἔχει 18· βλ. καὶ Καπέλλιον, Οὐβιγάντην, Δάθην, Σχούλζην, Εἰχόρνιον, καὶ τὸν Οὐβάλλην (Wall), ὅστις καὶ *οἴκτου* κρίνει *ἀξίους* τοὺς μὴ διορθοῦντας τὴν ἔλλειψιν ἐκ τοῦ παραλλήλου τόπου, καὶ ἐκ τῶν Ο. Τοσαῦτα καὶ ἐκ τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων. Ἄλλας δὲ πλείστας διαφθορὰς τοῦ ἑβρ. σημειοῦσιν οἱ κριτικοί (α). Ὡσαύτως καὶ ἐν τῷ Ἔσδρᾳ καὶ Νεεμίᾳ. (β).

§. ιζ. Ἐκ τῆς Ἐσθήρ.

Κεφ. Α. 6. στίχ. « Στρωμναὶ διαφανεῖς, ποικίλως διηνθισμέναι, καὶ κύκλῳ ῥόδα πεπασμένα » (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει. — στίχ. 11. Λείπει ἐκ τοῦ ἑβρ. τὸ « *βασιλεύειν* αὐτὴν, καὶ περιθεῖναι αὐτῇ τὸ διάδημα ». — στίχ. 7. Λείπει τὸ « ἀνθράκινον κυλίκιον κείμενον ἀπὸ δυσμυρίων ταλάντων » (οἱ Ο).

Κεφ. Β. στίχ. 7. « Καὶ ὄνομα αὐτῇ Ἐσθὴρ » (οἱ Ο, καὶ Ἰώσηπ. ια, ς, 2)· τὸ ἑβρ. ἔχει καὶ ἄλλο ὄνομα « *Ἀδασσὰ, αὕτη Ἐσθήρ* ». Ἀλλ' ὁ Ἰώσηπος τοῦτο καὶ μόνον οἶδεν, ἐκεῖνο δ' ἀγνοεῖ. — στίχ. 19. « Καὶ ἐν τῷ ἀθροίζεσθαι τὰς παρθένους τὸ δεύτερον » (τὸ ἑβρ.). Ἀλλ' οἱ Ο, ἀγνοοῦσι *τὴν δευτέραν ταύτην ἄθροισιν* τῶν παρθένων, μετὰ τὴν ἐκλογὴν τῆς Ἐσθήρ. Καὶ αὐτὸ τὸ ἑβρ. (ὡς οἱ Ο) ἅπαξ ἱστορεῖ τὸν βασιλέα ἐκδόντα πρόσταγμα πρὸς συνάθροισιν καλῶν κορασίων εἰς βασιλίσσης ἐκλογὴν, καὶ ἅπαξ αὐτὰ εἰς τὰ Σοῦσα συναχθέντα, ἐξ ὧν ἐξελέγη ἡ Ἐσθὴρ (β. 2-18)· Καὶ φαίνεται ἄρα τὸ κόμμα ἀρχαία τις (μετὰ τοὺς Ἰωσήπου χρόνους) προσθήκη εἰς τὸ ἑβραϊκὸν· ὅθεν ἔχει τοῦτο καὶ ἡ Βουλγάτα, καὶ ἡ ὑπὸ Ὑσσερίου ἔκδοσις τῆς Ἐσθὴρ ὑπ' ἀστερίσκῳ, ὡς ἂν δῆθεν ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν (γ). Ἀλλ' ἡ ἱερὰ σελὶς τῆς Ἐσθηρείου

(α) Βλ. Kennicot. Dissert. I. p. 435, 480, ἐν ὅσοις ἐξελέγχει τὸ ἑβραϊκὸν ἐκ τῶν Ο. — (β) Περὶ τοῦ Ἔσδρα καὶ Νεεμίου βλ. καὶ De-Rossi, Var. Lex. V. Test. vol. 4. pag. 151—167.

(γ) Βλ. Usser. in calcem Syntagm. de LXX. interp. pag. 110 sqq. Ταύτην τὴν ἔκδοσιν τῆς Ἐσθὴρ ὁ Ὑσσέριος ἐξέδωκεν ἐκ τῆς Ἀρυνδελλιανῆς βιβλιοθήκης, ἅλις ἀμελῶς ἀντιγράψας. Ἀλλ' εἰ μὲν τοῦ χειρογράφου τὸ πρωτότυπον

ἱστορίας ἀντιλέγει. Καὶ ἐκ τῶν νεωτέρων κριτικῶν ἄλλοι τε καὶ Μιχαῆλις καὶ Δάθης ὁμολογοῦσιν, ὅτι ἀγνοοῦσι τὶ βούλεται λέγειν τοῦτο τὸ κόμμα (βλ. καὶ Σχούλζ.).

Κεφ. Γ. στίχ. 7. (Καὶ ἔβαλε κλήρους) «Ὥστε ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος τοῦ Μαρδοχαίου· καὶ ἔπεσεν ὁ κλῆρος εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς, ὅς ἐστὶν Ἀδάρ» (οἱ Ο). Λείπουσι καὶ ταῦτα ἐκ τοῦ ἑβρ. (καί τοι ἀπαιτούμενα ὑπὸ τῆς συνεπείας εἰς κατάληψιν, τίνος ἕνεκεν ἔβαλον κλήρους ἐνώπιον τοῦ Ἀμάν· πρβλ. στίχ. 13). Τὸ δ' ἑβραϊκὸν ἀντὶ τούτων πάντων ἔχει μόνα τὰ, «μέχρι τοῦ δωδεκάτου μηνὸς, ὅς ἐστὶν Ἀδάρ». Ἀλλὰ κἂν τούτοις εὑρίσκει διαφθοράς τινας ὁ Οὐβιγάντης (αὐτόθ.).

Κεφ. Δ. στίχ. 1. «Αἴρεται ἔθνος μηδὲν ἠδικηκός» (οἱ Ο, καὶ Ἰώσηπος ια, ς. §. 7). ἐκ τοῦ ἑβρ. λείπει.—στίχ. 8. Λείπουσιν ἐκ τοῦ ἑβρ. τὰ «ἀπὸ *τοῦ λαοῦ* αὐτῆς» μέχρι τέλους τοῦ στίχου, ἅπερ ἔχουσιν οἱ Ο, καὶ ὁ Ἰώσηπος (αὐτόθ.). — στίχ. 17. Λείπει ἐκ τοῦ ἑβρ. ἡ προσευχὴ τοῦ Μαρδοχαίου καὶ ἡ τῆς Ἐσθὴρ, ἃς ἔχουσιν οἱ Ο, καὶ ὁ Ἰώσηπος (αὐτόθ. §. 8). Ἔλειπον δ' ἀμφότεραι καὶ ἐπὶ Ὠριγένους (ὡς αὐτὸς ἡμῖν ἐρεῖ ἐν τοῖς ἑξῆς).

Κεφ. Ε. στίχ. 1, καὶ 2. Ὀλιγώτατα ἐν τῷ ἑβραϊκῷ ὑπελείφθησαν (μόλις 8 σειραὶ γραμμάτων) ἐκ τῶν 38 σειρῶν, ὅσας ἔχουσιν οἱ Ο, ἐν τοῖς δυσὶ τούτοις στίχοις. Ἐκφράζει δὲ ταύτας καὶ ὁ Ἰώσηπος (αὐτόθ. §. 9).

Κεφ. Ϛ. στίχ. 1. «Ἐμακρύνθη (ἢ ἀπέστη) ὁ ὕπνος ἀπὸ τοῦ βασιλέως» (τὸ ἑβρ.). Οἱ δὲ Ο, «*Ὁ δὲ Κύριος* ἀπέστησε τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως». Οὕτω καὶ Ἰώσηπος (αὐτόθ. §. 10). — ςίχ. 8.

ἐξ αὐτῶν τῶν Ὠριγένους Ἑξαπλῶν, καὶ εἰ πιστῶς ἀντιγέγραπται, ἄλλος περὶ τούτου λόγος· ὁ δὲ Μοντεφαλκώνιος (Hexapl. praelim. p. 62) διεκήρυξεν, ὅτι ἐκ τοῦ Ἔσδρα καὶ Νεεμέου καὶ τῆς Ἐσθὴρ οὐδὲν τῶν Ὠριγένους Ἑξαπλῶν ἀπολέλειπται. Συνεξέδωκεν ὁ Ὑσσέριος καὶ ἄλλο κείμενον ἐκ παλαιοῦ τινος τῆς αὐτῆς βιβλιοθήκης χειρογράφου, πολυμερῶς καὶ πολυτρόπως συντετριμένου, ὃ καὶ βραχυτέραν ἔκδοσιν ὀνομάζει, ἣν λέγουσι τοῦ Θεοδοτίωνος. βλ. Fabric. Bibl. Graec. vol. 3. p. 742 Harl. Περὶ τῆς Ὠριγενείου ταύτης ἐκδόσεως τῆς Ἐσθὴρ βλ. Grabe, de vitijs LXX. pag. 104, καὶ Fabric. Bibl. Graec. vol. 3. p. 683. Harl.

« Καὶ δοθήτω διάδημα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ » (τὸ ἑβρ.). Ἀλλὰ ταῦτα οὔτε οἱ Ο ἔχουσιν, οὔτε ὁ Ἰώσηπος (οὗτος δὲ μόνον προσέθηκε *στρεπτὸν περιαυχένιον χρυσοῦν*, κατὰ τὸ Γενέσ μα, 42 κτλ.), καὶ αὐτὰ ἐξ ἑαυτῶν ἐξελέγχουσι τὸ ἀπίθανον· εἰ γὰρ καὶ διάδημα βασιλικὸν περιετίθετο τῷ τιμωμένῳ, οὐδὲν λοιπὸν ὑπελείπετο τῷ βασιλεῖ γνώρισμα τῆς βασιλείας ἴδιον, καὶ τοῖς ἄλλοις ἀμετάδοτον· (Ὅθεν ὁ Λακεδαιμόνιος τῷ Πέρσῃ προσέκρουσεν, αἰτήσας φορεῖν τὴν *τιάραν ὀρθὴν*, ὡς εἰώθει μόνος ὁ βασιλεύς. Πλούταρχ. Θεμις.). Καὶ κατ᾽ αὐτὸ δὲ τὸ ἑβρ. ἐν οἷς ἐφεξῆς (στίχ. 10, 11) ὅ,τε βασιλεὺς τὸν Ἀμὰν διατάσσει, καὶ ὁ Ἀμὰν στολίζει τὸν Μαρδοχαῖον, στολὴ φαίνεται μόνον καὶ *ἵππος*, *διάδημα δὲ βασιλικὸν* οὐκέτι μνημονεύεται· « Καὶ ἤνεγκε (φησὶν) ὁ Ἀμὰν τὴν στολὴν, καὶ τὸν ἵππον, καὶ ἐνέδυσε τὸν Μαρδοχαῖον, καὶ ἐπεβίβασεν εἰς τὸν ἵππον ». Καὶ φαίνεται ἄρα ἡ εἰς τὸν 8 στίχ. προσθήκη τοῦ *διαδήματος* γέννημα κορύζης ἰουδαίας, πολλὰ πράγματα τοῖς κριτικοῖς παρασχὸν, ὧν οἱ μὲν τὸ βασιλικὸν διάδημα ἐπιτιθέασιν οὐκ ἐπὶ τῆς Μαρδοχαίου κεφαλῆς, ἀλλ᾽ *εἰς τὸν ἵππον* (κατά τινα γνώμην ἑνὸς ῥαββίνου), στεφανηφόρον αὐτὸν εἰσάγοντες· οἱ δ᾽ ἄλλα κομψεύονται, καλλωπίζοντες ὀνείρου σκιὰν (βλ. Δάθην, Μιχαῆλιν, Σχούλζ.).

Κεφ. Θ. (ἑβρ. η) στίχ. 17. (Καὶ πολλοὶ τῶν ἐθνῶν) « περιετέμνοντο καὶ ἰουδάϊζον » (οἱ Ο, καὶ Ἰώσηπ. αὐτόθ. §. 13)· ἐκ τοῦ ἑβρ. λείπει τὸ « περιετέμνοντο » — « Ὅτι ὁ φόβος τῶν Ἰουδαίων ἐνέπεσεν ἐπ᾽ αὐτοὺς » (τὸ ἑβρ.)· οἱ Ο, καὶ Ἰώσηπος « *διὰ τὸν φόβον τῶν Ἰουδαίων* » (ἡ φράσις ἡ αὐτὴ καὶ Ἰωάν. κ, 19).

Καὶ ταῦτα μὲν, καὶ ὅσα τοιαῦτα, παραλείπομεν (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 566–572 καὶ 767)· ἐρχόμεθα δὲ εἰς ἄλλα ἐπισημότερα.

§. ιη. Τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν κείμενον τῆς Ἐσθὴρ (ὡς καὶ τὸ τῶν Ο) περιέχει δέκα κεφάλαια· καὶ ἄρχεται μὲν παρ᾽ ἑβραίοις τὸ βιβλίον ἐκ τοῦ « Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἀρταξέρξου (ἑβρ. Ἀσουήρου) τοῦ βασιλέως (παρὰ τοῖς Ο, κεφ. α, 1, μετὰ τὸ ἐνύπνιον τοῦ Μαρδοχαίου)· τελευτᾷ δὲ εἰς τὸν 5 (παρὰ δὲ τοῖς Ο, 3) στίχον τοῦ δε-

κάτου κεφαλαίου. Λείπουσι δὲ ὅμως ἐκ τοῦ ἑβραϊκοῦ τὰ ἐφεξῆς μεγάλα χωρία.

Α) Τὸ ἐνύπνιον τοῦ Μαρδοχαίου. Β) Ἡ μετ᾽ αὐτοῦ ἱστορουμένη (ὡς ἐν προλόγῳ κατὰ πρόληψιν) κατὰ τοῦ βασιλέως ἐπιβουλὴ τῶν δύω εὐνούχων (ἀμφότερα ἐν ἀρχῇ τοῦ βιβλ. τῶν Ο). Γ) αἱ δύω προσευχαὶ τοῦ Μαρδοχαίου καὶ τῆς Ἐσθὴρ (κεφ. δ). Δ) Τὰ δύω τοῦ βασιλέως διατάγματα, τὸ μὲν διὰ τοῦ Ἀμὰν εἰς ὄλεθρον τῶν Ἰουδαίων ἐκδοθὲν (κεφ. γ, 13), τὸ δὲ διὰ τῆς Ἐσθὴρ, εἰς σωτηρίαν αὐτῶν (κεφ. η, 13). Ε) Ἡ ἐξιστόρησις τοῦ τρόπου, καθ᾽ ὃν ἡ Ἐσθὴρ εἰσῆλθεν εἰς τὸν βασιλέα, καλέσουσα τοῦτον ἐπὶ τὸν δεῖπνον (κεφ. ε). Ϛ). Τὰ ἀπὸ τοῦ 4 στίχου, μέχρι τέλους τοῦ Ι καὶ τελευταίου κεφαλαίου, ἐν οἷς καὶ ἡ τοῦ Μαρδοχαίου ἐπιστολὴ, ἣν εἰσήνεγκε Δοσίθεος ἐπὶ Πτολεμαίου καὶ Κλεοπάτρας.

§. ιθ. Ταῦτα τὰ χωρία περιεῖχε καὶ ἡ παλαιὰ Λατινὶς Ἰτάλα, ἡ πρώτη (περὶ τὸ τέλος τοῦ α, αἰῶνος) μεταφρασθεῖσα ἐκ τῆς ἑρμηνείας τῶν Ο (α). Ὁ δὲ μακάριος Ἱερώνυμος, ἐπειδὴ ταῦτα οὐχ εὗρεν ἐν τῷ κατ᾽ αὐτὸν ἑβραϊκῷ, τὸ μὲν ὅλον τεῦχος τῆς Ἐσθὴρ ἐξελατίνισε κατὰ τὸν ἑβραϊκόν (β)· τὰ δὲ λείποντα χωρία μεταφράσας ἐκ τῶν Ο, παρεξώθησεν εἰς τὸ τέλος τῆς κατ᾽ αὐτὸν ἑρμηνείας, συῤῥάψας ἐξ αὐτῶν ἐν εἴδει παραρτήματος ἄλλα *ἓξ καὶ ἥμισυ κεφάλαια* (διὸ καὶ ἡ τῆς Βουλγάτας Ἐσθὴρ περιέχει ἤδη οὐχὶ δέκα, ἀλλὰ 16 κεφάλαια) (γ). Παρέῤῥιψε δὲ ταῦτα

(α) Βλ. Sabatier, Biblior. Sacrorum antiquae versionis pag. 791.

(β) Σημειωτέον παροδικῶς, ὅτι ἡ ἑρμηνεία τοῦ Ἱερωνύμου περιέχει καί τινα μὴ κείμενα, ἢ ἄλλως ἀναγινωσκόμενα ἐν τῷ καθ ἡμᾶς ἑβραϊκῷ· οἷον, κεφ. η, 4, «Δι᾽ οὗ τὸ σημεῖον τῆς εὐμενείας ἐδείκνυτο»· ὅπερ οὐ κεῖται ἐν τῷ νῦν ἑβραϊκῷ (οὔτε παρὰ τοῖς Ο)· Καὶ κεφ. ζ, 4, μεθερμηνεύει πάντη διαφόρως, ἢ ὡς ἔχει τὸ νῦν ἑβραϊκ. Ἄλλα παραδείγματα παρέξει σοι Λουδοβῖκος ὁ Καπέλλιος (Comment· in V. Test. pag. 442. Amstelod. 1689).

(γ) Αὐτὸς ὁ Ἱερώνυμος λέγει, ὅτι ταῦτα τὰ ἐλλείποντα ἐκ τοῦ ἑβρ. μεθηρμήνευσεν ἐκ τῶν Ο. Quae sequuntur scripta reperi in editione Vulgata, quae Graecorum linqua et litteris continentur (ἐν ἐπιγραφῇ εἰς τὸ ἐν τῇ Βουλγάτᾳ δέκατον κεφάλ. τῆς Ἐσθήρ). Ὥστε οἱ περὶ τὸν Μιχαῆλιν (Deutsche

παρὰ τὴν πέζαν τῆς ἑρμηνείας, ἐξοβελίσας ὡς νόθα, καὶ οἷον παρεῤῥαμένα πρὸς τῷ κειμένῳ τῶν Ο, ὡς ἂν ἐπιβλήματά τινα καὶ παρενθήκας, ἢ καὶ κράσπεδα, καὶ παρυφὰς, (lacinias), καθὼς ἀποκαλεῖ τὰ χωρία, προστιθεὶς, καὶ ὅτι « παρομοιάζουσι μελέταις σχολαστικῶν μαθητῶν, οἵτινες, θέματος δοθέντος, ἐπινοοῦσι, τίνας ἂν εἴποι λόγους ἀδικούμενός τις, ἢ ἀδικῶν ». Ταῦτα καὶ τοιαῦτα ὁ Δαλμάτης πατήρ (α). Ἀλλ᾿ ὅμως ὁ Ὠριγένης ἄλλως ἔκρινε περὶ τῆς Ἐσθήρ. Καυχᾶται ὁ μακάριος Ἱερώνυμος, ὅτι ἀνέλαβεν ἐκ τῶν ἑβραϊκῶν ἀρχείων τὴν Ἐσθὴρ, ὡς πάντῃ διάφορον τῆς (ὡς λέγει) *ὑπὸ ποικίλων μεταφραστῶν πλημμελοῦς ἀποβάσης ἑρμηνείας τῆς Κοινῆς* (β). Κοινὴν δὲ λέγων, ἴσως ἐννοεῖ τὴν ἀρχαίαν λατινίδα Βουλγάταν (τὴν Ἰτάλαν). Εἰ μὲν οὖν αὕτη πλημμελὴς ἀπέβη, συμφθαρεῖσα μετὰ τῶν ἄλλων, ἴσως, ἑρμηνειῶν (τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν), ἠδύνατο πάλιν ὁ μακάριος ἐξ αὐτῶν αὐτὴν τῶν Ο διορθοῦν, ἐξ ὧν καὶ τὸ κατ᾿ ἀρχὰς ἡρμηνεύθη. Ἀλλ᾿ αὐτὸς καὶ τὴν τῶν Ο, πλημμελῆ παρομοίως ἔκρινε καὶ διεφθαρμένην (γ), καὶ τὴν ἀδιάφθορον βίβλον τῆς Ἐσθὴρ ἐκ τῶν ἑβραϊκῶν ἐξήγαγεν ἀρχείων. Ἀλλὰ πρὶν αὐτὸς προσέλθῃ τοῖς ἀρχείοις τούτοις, εἰσῆλθεν ἄλλος πρὸ αὐτοῦ, δύω που καὶ ἥμισυν ὅλους αἰῶνας πρότερον, ὁ σοφώ-

---

übersetz. des Al. Test. Th. 13), καὶ Ἰάννην (Jahn, Einleit. 2. Bd. pag. 888) οὐκ ὀρθῶς ἐνόμισαν, ὅτι ταῦτα κατεχώρισεν ἐκ τῆς ἀρχαίας λατινίδος Ἰτάλας (βλ. καὶ Herbst, Histor. Krit. Einleitung etc. 2 Th. 3. Abth. p. 264).

(α) S. Hieron. praef. in L. Esther. βλ. καὶ τὴν νέαν ἔκδοσιν τῆς Βουλγάτας. Paris 1842.

(β) « Librum Esther varijs translatoribus constat esse vitiatum· quem ego de Archivis Hebraeis relevans, verbum e verbo expressius transtuli»· jbid.

(γ) Ὁ Μαρτιαναῖος (Martianaei Prolog. in T. 1. Edit. Hieronym.) λέγει, ὅτι ἔν τινι παλαιῷ κατὰ τὴν ἰτάλαν ἑρμηνείαν τῆς Ἐσθὴρ χειρογράφῳ, τῷ καλουμένῳ Γερμανείῳ (ἀπὸ τοῦ τόπου ὅπου εὑρέθη) ἀναγινώσκονται πάμπολλαι προσθῆκαι μηδὲ παρὰ τοῖς Ο κείμεναι ». Ἀλλὰ ποῖον μὲν καὶ πότ᾿ ἐγράφη τοῦτο τὸ χειρόγραφον, καὶ εἴπερ ὅλα τὰ χειρόγραφα τῆς Ἰτάλας εἶχον τὰς αὐτὰς προσθήκας, ἡμεῖς ἀγνοοῦμεν, οὐδὲ μαθεῖν ἐπιθυμοῦμεν· ἓν μόνον ὑπάρχει βέβαιον, ὅτι ὅσα κατεχώρισεν Ἱερώνυμος ἐν τῇ κατ᾿ αὐτὸν Βουλγάτᾳ κράσπεδα τῆς Ἐσθὴρ, οὐδὲν τοιοῦτο περιέχουσιν, οἷα (καθὼς λέγει) τὸ Γερμάνειον, ἀλλὰ μόνον ὅσα ἔχουσι καὶ οἱ Ο· ὥστε ταῦτα ἐπωνόμαζεν ὁ Ἱερώνυμος, μ ε ι ρ α κ ί ω ν μ ε λ έ τ α ς.

τατος Ὠριγένης (ὃν εἶχε καὶ τοῦτον ἀείποτε μετὰ χεῖρας), ὅστις ἀναφέρει ῥητῶς ταύτας δὴ τὰς λεγομένας παρυφὰς τῶν Ο, λέγων ἐπὶ λέξεως ταῦτα «Ἐκ τῆς Ἐσθὴρ οὔτε ἡ τοῦ Μαρδοχαίου εὐχὴ, οὔτε ἡ τῆς Ἐσθὴρ, *οἰκοδομῆσαι δυνάμεναι τὸν ἐντυγχάνοντα*, παῤ ἑβραίοις φέρονται. Ἀλλ᾽ οὐδὲ αἱ ἐπιστολαὶ, οὔτε ἡ τοῦ Ἀμὰν ἐπὶ καθαιρέσει τοῦ τῶν Ἰουδαίων ἔθνους γεγραμμένη, οὔτε ἡ τοῦ Μαρδοχαίου ἐξ ὀνόματος Ἀρταξέρξου, ἀπολύουσα τοῦ θανάτου τὸ ἔθνος» (α).

§. κ. Ἀλλὰ καὶ πρὸ τοῦ Ὠριγένους δύω πρότερον αἰῶνας ἄλλος σοφὸς, καὶ οὗτος Ἰουδαῖος, ὁ Ἰώσηπος, οὐχ ὡς ἔπηλυς προσελθὼν τοῖς ἀρχείοις τῶν Ἰουδαίων, ἀλλ᾽ αὐτὸς αὐτῶν ἐπιστατῶν, ὡς αὐτόχθων ἱερεὺς τοῦ ναοῦ τῶν Ἱεροσολύμων, ἀνέγνω καὶ ἐξέφρασε, καὶ πολλάκις ἀντέγραψε κατὰ λέξιν αὐτὰ δὴ ταῦτα τὰ κατὰ τὸν Ἱερώνυμον κράσπεδα καὶ παρυφάσματα τῆς ἑρμηνείας τῶν Ο. Καὶ αὐτὸς ὁ φερώνυμος Ἱερώνυμος ἀνέγνω ταῦτα πάντως πολλάκις παρὰ τῷ Ἰουδαίῳ Ἀρχαιολόγῳ. «Ἀλλ᾽ οὗτος» (λέγουσιν οἱ τὰ τοῦ Ἱερωνύμου κατὰ τῶν Ο, συχνάκις ἀναμασσῶντες νεώτεροι κριτικοὶ) «οὗτος ἠκολούθησε τοῖς Ο, καθὼς εἴωθε». Συμφάσκομεν τοῖς σοφοῖς. Ἀλλὰ συνομολογήσουσιν (ἐλπίζομεν) καὶ οὗτοι, ὅτι οὐκ ἂν ἠκολούθει τοῖς Ο ὁ Ἰώσηπος, εἴπερ ἔβλεπε τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν πρωτότυπον οὕτω διαφέρον τά τε ἄλλα καὶ κατὰ τὴν Ἐσθὴρ, ὅσον ἤδη καὶ καθ᾽ ἡμᾶς διαφέρει, καὶ πολὺ πρότερον, ἔτι κατὰ τοὺς Ὠριγένους καὶ τοὺς Ἱερωνύμου χρόνους. Ἢ πῶς ἂν ὑπέμενεν ὁ Ἰουδαῖος ἱερεὺς ἐν τῇ βίβλῳ τῆς Ἐσθὴρ (ἣν διὰ μεγίστης ἄγουσι τιμῆς οἱ Ἰουδαῖοι, καὶ κατ᾽ ἔτος ἀναγινώσκουσιν ἐν τῇ μέχρι καὶ τῆς σήμερον παρ᾽ αὐτοῖς τελουμένῃ ἑορ-

---

(α) Ὠριγέν. ἐπιστ. π. Ἀφρικαν. §. γ. σελ. 14 ἔκδ. Delar. Μνημονεύει τοῦ χωρίου καὶ ὁ κλεινὸς Ὑσσέριος, προστιθεὶς καὶ, «ὅτι διὰ τούτων τῶν λόγων ἐδήλωσεν Ὠριγένης ὑ π ὸ τ ῶ ν Ο ταῦτα προστεθέντα τῷ ἑβραϊκῷ κειμένῳ! «Quae textui hebraico a LXX a d d i t a f u i s s e Origenes . . hisce verbis significaverat» (Usser. de LXX interp. syntag. pag. 105). Κρῖνον ἤδη ἀναγνῶστα, εἴπερ Ὠριγένης ἐν τοῖς ἀνωτέρω λόγοις ἐδήλωσεν, ὅ,τι ὠνειρεύθη, καὶ οὐδόλως ὤκνησε διακοινῶσαι ὁ περικλεὴς Ὑσσέριος!

τῇ τῶν *Φρουραὶ*, ἢ *Πουρὶμ)*, πῶς ἂν (λέγομεν) ὑπέμενεν οὕτω διάφορα καὶ ἀνήκουστα καὶ ἀνύπαρκτα παντάπασιν ἱστορεῖν, οὐδὲ τῆς ἱερᾶς βίβλου τὸ πάτριον αἰδούμενος σέβας, οὐδὲ τοὺς κατ᾽ αὐτὸν ὁμογενεῖς;

§. κα. Ἀλλὰ καὶ αὐτοὶ οἱ μεταγενέστεροι Ἰουδαῖοι ἀποδέχονται καὶ φιλοῦσι ταῦτα δὴ τὰ κράσπεδα τῶν Ο! Αὐτίκα ὁ Γοριονίδης Ἰώσηπος (Βὲν Γοριὼν) ἐν τῇ κατ᾽ αὐτὸν ἰουδαϊκῇ ἱστορίᾳ, καὶ τἄλλα καὶ μάλιστα τὰς εὐχὰς ἑρμηνεύει, παραφράζων καὶ τὸ ὄνειρον τοῦ Μαρδοχαίου. Καὶ ἐξ αὐτῶν δὲ πάλιν τῶν νεωτέρων κριτικῶν, ὅσοι τῷ Ἱερωνύμῳ παροπηδοῦντες, ἐκσυρίττουσιν ὡς νόθα καὶ ὑποβολιμαῖα ταῦτα τὰ χωρία τῆς Ἐσθὴρ, εἰσὶν οἵτινες εὑρίσκουσι καί τινα γνήσια καὶ πιθανὰ, οἷον τὰ τοῦ Ἀρταξέρξου διατάγματα (α).

(α) βλ. Schulz, Schol. ad h. l. Ἀλλ᾽ ὁ τῆς νεωτέρας κριτικῆς ἄγαν τεθηγμένος σίδηρος (καὶ μάλιστα τινῶν Ἀναμορφωτῶν) ἐξοβελίζει ἀνιλεῶς καὶ ἐξ αὐτοῦ τοῦ ἑβραϊκοῦ οὐκ ὀλίγα, ὡς ἀπίθανα· οἱ δέ τινες καὶ ὅλον τὸ βιβλίον ἀνεκήρυξαν μὴ κανονικὸν (βλ. Oeder, freye Untersuch. über einig. Bücher des A. Test. p. 116, καὶ Michaelis, Orient. Biblioth. 2 Th. p. 12—38). Ἀλλ᾽ ἀπήντησαν πρὸς αὐτοὺς ἰσχυρῶς ἄλλοι πάλιν κριτικοὶ (βλ. Schmid, Histor. antiq. et vindic. canonis etc. § 69, 70, καὶ Eichhorn, Einleitung §. 510, καὶ Hezel in proleg, novae Biblior. edit. theotiscae κτλ. πρβλ. καὶ Janssens Hermeneut. sacrée. p. 146—150. κτλ.). Ὁ δὲ περικλεὴς Λουδοβ. ὁ Καπέλλιος (ἔτι νέος ἴσως καὶ θερμὸς) ὅλην ἐπαφῆκε τὴν χολὴν κατὰ τῶν λεγομένων προσθηκῶν τῶν Ο, λήρου καὶ μωροῦ τινος Γραικύλου ταύτας ἔργον ἀνακηρύττων (Coment. in V. Test. pag. 443, 445 καὶ 569—573)· Ἀλλ᾽ ἀπήντησε καὶ πρὸς αὐτὸν ὁ σοφὸς Οὐβιγάντης (Prolegom. in Not. crit. vol. 1. p. 226—232. Francof.). Καὶ ἄλλοι δὲ νεώτεροι διέλυσαν τὰς ἐν τοῖς κρασπέδοις δῆθεν τούτοις ἐπινοουμένας δυσχερείας (βλ. Janssens l. c. pag. 151—152). Ὁ Καπέλλιος προστίθησι, καὶ ὅτι ἐν τῇ καθ᾽ ἡμᾶς ἑρμηνείᾳ τῶν Ο περιέχονται οὐκ ὀλίγαι τούτων δὴ τῶν λεγομένων προσθηκῶν τῆς Ἐσθὴρ, αἵτινες ἐν τῇ Βουλγάτᾳ οὐ κεῖνται· καὶ συμπεραίνει, ὅτι δῆθεν ὁ Ἱερώνυμος ἐχρήσατο κώδηκι διαφέροντι τῶν καθ᾽ ἡμᾶς. Ἀλλ᾽ ὅστις παραβάλῃ τὰ τῆς Βουλγάτας πρὸς τὰ τῶν Ο, βλέπει προφανῶς, ὅτι μηδὲν ἄλλο μηδόλως διαφέρουσι τούτων ἐκεῖνα, εἰ μὴ μόνον κατά τινας τοῦ Ἱερωνύμου παρερμηνείας (εἰς ἃς ἐνίοτ᾽ ἐξέπιπτεν ὁ πατὴρ ἐκλατινίζων τὰ ἑλληνικά)· ὡς ὅταν τὸ τῶν Ο (περὶ τοῦ Μαρδοχαίου) « θεραπεύων ἐν τῇ αὐλῇ » μεθερμηνεύῃ εἰς τὸ vir magnus, et inter primos aulae regiae (cap. XI. 3) τουτ. ἀνὴρ μέγας, καὶ ἐν τοῖς πρώτοις τῆς βασιλείου αὐλῆς. Καὶ

§. κϐ. Ὥστε τὰς λεγομένας ταύτας προσθήκας, γνήσια τυγχάνοντα καὶ ἀνόθευτα χωρία τῶν Ο, καὶ ὑπ' αὐτῆς τῆς χειρὸς τοῦ θεοπνεύστου συγγραφέως τοῦ τεύχους τῆς Ἐσθὴρ γεγραμμένα, μαρτυροῦσιν οἱ ἐφεξῆς.

α) Πάντες οἱ ἀρχαῖοι καὶ πολυάριθμοι κώδηκες τῶν Ο, καὶ αἱ ἐξ αὐτῶν ἐκδόσεις, καὶ ἀρχαῖαι μεταφράσεις, ὧν τὰς ἀναγνώσεις ἐξέδωκεν Ὅλμης. — ϐ). Ὁ Ἰώσηπος (συνεπαγόμενος καὶ τὸν νεώτερον Γοριονίδην, ὡς παραστάτην τῆς νεωτέρας Συναγωγῆς, καί τοι συντετριμμένον ἐπὶ τούτου, ἢ συνωψισμένον ἐχούσης ἤδη τὸ τεῦχος τῆς Ἐσθήρ) (α). — γ) Ἡ ἀρχαία λατινὶς Ἰτάλα. — δ) Ἡ λεγομένη τοῦ Θεοδοτίωνος ἑρμηνεία (ταύτης κρίνουσι τὸ τοῦ Ὑσσερίου συντομώτερον χειρόγραφον, ὡς προείπομεν ἀνωτέρω) (ϐ). — ε) Ἡ χαλδαϊκὴ ἑρμηνεία, ἥτις ἔχει καὶ αὐτὴ τὰς προσθήκας τῆς Ἐσθὴρ (καί τοι κατὰ μέρος ἠλλοιωμένας) (γ). — ϛ) Πάντες οἱ ἱεροὶ τῆς Ἐκκλησίας Πατέρες (καὶ ἰδίως οἱ παλαιότεροι τοῦ Ἱερω-

---

πάλιν τὸ «ἡ μικρὰ πηγὴ ἐγένετο ποταμός· καὶ ἦν φῶς καὶ ἥλιος καὶ ὕδωρ πολὺ» (κεφ, Ι. 3) εἰς τὸ Parvus fons, qui crevit in fluvium, et in lucem solemque conversus» etc. cap. X. 6), τουτέστιν «ἡ μικρὰ πηγή, ἥτις ηὔξησεν εἰς ποταμὸν, καὶ εἰς φῶς καὶ ἥλιον μετεστράφη». κτλ.

(α) Οἱ δὲ κατὰ τὸν α, αἰῶνα Ναζωραῖοι (ἰουδαῖοι ἡμιχριστιανοί), τῷ Ἰωσήπῳ σχεδὸν σύγχρονοι, ἀνεγίνωσκον ἑϐραϊστὶ ἀκέραιον ἴσως καὶ ὁλόκληρον (κατὰ τὸ πρωτότυπον τῆς ἑρμηνείας τῶν Ο) καὶ τὸ τεῦχος τῆς Ἐσθὴρ μετὰ τῶν λοιπῶν βιϐλίων τῶν κανονικῶν (βλ. Ἐπιφάνιον Αἱρέσ. κθ. §. 7. τόμ. α. σελ. 122, 123).

(ϐ) Ὁ Ἱερώνυμος λέγει, ὅτι αἱ παρὰ τοῖς Ο, προσθῆκαι (καθὼς αὐτὰς καλεῖ) τῆς Ἐσθὴρ οὔτ' ἐν τῷ ἑϐραϊκῷ κεῖνται, οὔτε παρά τινι τῶν ἄλλων ἑρμηνευτῶν. Nec in Hebraeo, nec apud ullum fertur interpretum (Hier. in Esther). Ἄπορον, πῶς οὐκ ἐμνημόνευσε τὸν Θεοδοτίωνα, οὗτινος τὸ ἕτερον τῶν Ὑσσερίου χειρογράφων ἐκρίθη παρά τισι τῶν κριτικῶν (βλ. ὄπισθεν σελ. 584)· ὁ δὲ Γράϐης οὐκ ὀρθῶς εἶπε τοῦτο τῆς Κοινῆς τῶν Ο. (De vitiis LXX. p. 107). Ἔχει δὲ καὶ τοῦτο τὰς λεγομένας προσθήκας (καί τοι πολλαχοῦ λελωϐημένον). Συνεξέδωκε δὲ τὰ δύω ταῦτα χειρόγραφα ὁ σοφὸς Δεμάγιστρος, ἀντιπαραϐαλὼν καὶ τὴν ἀρχαίαν (τὴν Ἰτάλαν) καὶ τὴν Ἱερωνύμειον λατινικὴν ἑρμηνείαν, καὶ προσέτι τὴν χαλδαϊκὴν, περὶ ἧς λέγομεν εὐθὺς ἀνωτέρω (βλ. Demagist. Δανιὴλ κατὰ τοὺς Ο. p. 434—450).

(γ) Ἀραϐικὴ δὲ τῆς Ἐσθὴρ ἑρμηνεία (ὥς τινες ὑπέλαϐον) οὐχ ὑπάρχει. Συριακὴ δέ τις ἐκ τοῦ ἑϐραϊκοῦ· Περιέχει δὲ τὰ χωρία καὶ ἡ κατὰ τὰς ἀρχὰς ἴσως τοῦ πέμπτου αἰῶνος ἐκ τῶν Ο, μεθηρμηνευμένη Ἀρμενικὴ, καὶ ἡ Σλαϐονικὴ, κτλ. βλ. καὶ Herbst, Einleitung etc. 2 Th. 3. Abth. pag. 276.

νύμου) ὅσοι μνημονεύουσιν εἴτε κατὰ λέξιν, εἴτε κατὰ νόημα ῥήσεις τινὰς ἐκ τούτων δὴ τῶν λεγομένων Ἐσθηρείων κρασπέδων. Οἷον, 1) ὁ Ῥώμης Κλήμης ὁ Ἰσαπόστολος, ὅστις μνημονεύει τὴν προσευχὴν τῆς Ἐσθήρ (α). 2) Κλήμης ὁ Στρωματεὺς, ὅστις μέμνηται καὶ ταύτης, καὶ τοῦ κατὰ τῶν Ἰουδαίων διατάγματος τοῦ Ἀρταξέρξου (β). 3). Ὁ Ὠριγένης πρὸς Ἀφρικανὸν, καὶ ἐν τῷ περὶ Εὐχῆς (σελ. 220, τόμ. α), ὅπου ἐπιφέρει ὡς μαρτυρίαν τῆς θείας Γραφῆς τὴν προσευχὴν τῆς Ἐσθὴρ, καὶ τὴν τοῦ Μαρδοχαίου. 4) Ὁ Μέγας Βασίλειος, ὅστις μετὰ τῆς Ἱερεμίου προφητικῆς ῥήσεως συνάπτει, ὡς ἰσοδύναμον, καὶ ῥῆσιν «*τῆς σοφωτάτης Ἐσθὴρ*», τὸ, « Μὴ παραδῷς Κύριε τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι » (γ). 5) Ὁ ἱερὸς Ἀθανάσιος, ὅστις γράφει πᾶσαν τῆς βίβλου τὴν περιοχὴν, καὶ ἰδίως ἐπὶ λέξεως τὴν ἀρχὴν, ἐν ᾗ καὶ τὸ ἐνύπνιον τοῦ Μαρδοχαίου (δ). 6) Προστεθήτω καὶ Χρυσόστομος (ε). 7) Καὶ Αὐγουστῖνος (ζ). Καὶ 8) (ἵνα παραλίπωμεν τοὺς ἄλλους) ἔνδοξος πατὴρ, καὶ ἐν τοῖς μάλιστα σεβαστός· τίς οὗτος; αὐτὸς ὁ Ἱερώνυμος· ὅστις ἐν τοῖς ὑπομνήμασι τοῖς εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν (ἅπερ προσφωνεῖ πρὸς Παύλαν καὶ Εὐστόχιον, ἐκεῖνα δηλαδὴ τὰ πρόσωπα, πρὸς ἃ καὶ τὸν Πρόλογον τὸν περὶ προσθηκῶν τῆς Ἐσθὴρ προσεφώνησε), μνημονεύει ὡς κανονικὴν ῥῆσιν τῆς θείας Γραφῆς τὸ ἀνωτέρω « Μὴ παραδῷς Κύριε τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι» (η). Τελευταῖον 9) μαρτυροῦσι τὴν γνησιότητα τῶν χωρίων τῆς Ἐσθὴρ καὶ αὐτοὶ οἱ Ἀποστολικοὶ καὶ Συνοδικοὶ κανόνες, ὅσοι ἐν τοῖς καταλόγοις τῶν κανονικῶν βιβλίων τῆς παλαιᾶς θείας Γραφῆς ἀριθμοῦσιν ὁλόκληρον καὶ τὸ βιβλίον τῆς Ἐσθὴρ, οἷον ὑπῆρχε δηλονότι καὶ ἐπὶ τοῦ ἀποστολικοῦ Κλήμεντος, καὶ τοῦ Στρωματέως, καὶ τῶν ἄλλων ἀρχαίων

(α) Α. πρὸς Κορινθ. ἐπιστολ. §. 55. σελ. 177. Tom. 1. Patr. Apost. Cotel.

(β) Στρωμ. Δ. σελ. 380 ἔκδ. Lugd. πρβλ. καὶ σελ. 162.

(γ) Μ. Βασ. κατ. Εὐνομ. λόγ, Β. τόμ. Β. σελ. 57. ἡ δὲ ῥῆσις τῆς Ἐσθὴρ ἐν κεφ. Δ.

(δ) Ἀθανάσ. ἐν Συνόψ. τόμ. Β. σελ. 63, 101. — (ε) Ὁμιλ. γ, πρὸς τοὺς Ἀντιοχεῖς.

(ζ) S. Augustin. de grat. et liber. arbitrio. cap. 31.

(η) S. Hieron. comment. in Epist. ad Galat. c. 1. βλ. Tom. 3. pag. 866 Paris 1609.

Πατέρων, ἀπαράλλακτον, ὡς καὶ τὴν σήμερον, μετὰ τῶν λεγομένων *προσθηκῶν* (α).

Ἀλλὰ καὶ αὐτὴ ἡ Δυτικὴ Ἐκκλησία, καί τοι διαφερόντως τιμῶσα τὴν Ἱερωνύμου Βουλγάταν, τιμᾷ δὲ ὅμως καὶ τὴν ἐκ τῶν Ο, γηραιὰν Ἰτάλαν (ἐν ᾗ καὶ αὐτὸς ὁ Ἱερώνυμος, καὶ ἄλλοι Πατέρες ἅγιοι, φωστῆρες τῆς Δύσεως, ἐτράφησαν καὶ διέλαμψαν μέχρι καιροῦ). Διὸ καὶ κατὰ τοῦτο μεμνημένη τῆς ἀρχαίας καὶ μακαρίας ἐκείνης τῆς πρὸς τὴν πρώην ἀδελφὴν αὐτῆς καὶ μητέρα,

---

(α) Ἀποστόλ. Καν. ΠΕ (πρβλ. τῆς ϛ. Οἰκουμ. Β). Τῆς ἐν Λαοδικ. Συνόδ. καν. νθ, ξ. Τῆς ἐν Καρθαγ. καν. λϐ. Ὡσαύτως καὶ ἐν τοῖς ἰδίως παρὰ τοῖς Πατράσι καταλόγοις· οἷον, Ὠριγένης (παρ' Εὐσεϐ. Ἐκκλησ. ἱστορ. ϛ, 25), Ἐπιφάνιος (περὶ Μέτρ. σελ. 161, 162 τόμ. β). Ἀμφιλόχιος (πρὸς Σέλευκ. ἐν Γρηγορ. Ναζιανζ. τόμ. β. σελ. 194). Ἀθανάσιος (ἐν Συνόψει). Αὐτὸς ὁ Ἱερώνυμος (Prolcg. Galeat.). Ἰωάνν. ὁ Δαμασκηνὸς (περὶ Ὀρθοδ. Πίστ.) κτλ. Ἐν δὲ τῷ τοῦ ἀρχαίου Μελίτωνος καταλόγῳ (παρ' Εὐσεϐ. Ἐκκλ. ἱστορ. Δ. 26) φαίνεται ἐκπεπτωκυῖα ἡ βίϐλος τῆς Ἐσθὴρ δι' ἀϐλεψίαν ἀντιγραφέων (ὡς ἀπέδειξεν ὁ Schmid l. c. p. 151). Ἐν δὲ τῇ λθ, ἑορταστικῇ ἐπιστολῇ ὁ Μ. Ἀθανάσιος οὐκ ἔταξε μὲν τὴν Ἐσθὴρ μετὰ τῶν κανονιζομένων, συνηρίθμησε δὲ ὅμως αὐτὴν μετὰ τῶν *τετυπωμένων ἀναγινώσκεσθαι* πρὸς τοὺς κατηχουμένους. Ἐν δὲ τῇ Συνόψει καὶ ῥητῶς προσέθηκεν, ὅτι τινὲς τῶν παλαιῶν εἰρήκασι *κανονίζεσθαι* παρ' Ἑϐραίοις καὶ τὴν Ἐσθήρ. Ὁ δὲ θεῖος Γρηγόριος ὁ Ναζιανζ. (τόμ. β. σελ. 98) *ἔσχατον* τῶν τῆς παλαιᾶς Διαθήκης βιϐλίων λέγων τὸν Ἔσδραν, φαίνεται συμπεριλαμϐάνων οὐ μόνον τὸν Νεεμίαν, ἀλλὰ καὶ τὴν Ἐσθὴρ (διότι τινὲς τῶν ἀρχαίων εἰς τὸν Ἔσδραν ἀπένεμον τὴν συγγραφὴν τῆς Ἐσθήρ, ἐν οἷς καὶ ὁ ἱερὸς Αὐγουστῖνος. βλ. ὄπισθ. Βιϐλ. Β. σελ. 571). Καὶ θαυμάζειν ἔπεστι, πῶς ἄνδρες ἐπὶ σοφίᾳ περικλεεῖς ἐξέπεσαν εἰς ἀτόπους γνώμας, εἰπόντες, ὅτι δῆθεν διὰ τὰς λεγομένας ταύτας *προσθήκας* ὁ μὲν Μελίτων καὶ ὁ Θεολόγος Γρηγόριος οὐδ' ὠνόμασαν τῆς Ἐσθὴρ ἐν τῷ καταλόγῳ τῶν κανονικῶν βιϐλίων, ὁ δὲ Μ. Ἀθανάσιος συνηρίθμησε καὶ μετὰ τῶν *νόθων* (βλ. Pearson. in PP. Apostol· Tom. 2. p. 275). Ποῦ ποτε ὁ Μ. Ἀθανάσιος ἔταξε τὴν Ἐσθὴρ μετὰ *τῶν νόθων*; (εἰ μή που νόθα κρίνουσι τὰ *τετυπωμένα* ἀναγινώσκεσθαι, καὶ μάλιστα πρὸς τοὺς *κατηχουμένους*!). Ἔπειτα τοσούτων ἄλλων ἀρχαίων Πατέρων ἱερὰς καὶ δὴ καὶ συνοδικὰς μαρτυρίας, δι' ὧν τὸ κανονικὸν *ὅλης τῆς Ἐσθὴρ* δογματίζεται, ταύτας ἁπάσας λογίζονται ἴσα καὶ μηδενί; Καὶ τέλος, ποῦ ποτε ἠκούσθησαν ἐν τῇ Ἐκκλησίᾳ πρὸ τοῦ Ἱερωνύμου τὰ παρὰ τοῖς Ο ταῦτα *κράσπεδα* τῆς Ἐσθήρ, ἅπερ Ὠριγένης ἔκρινε τἀνάπαλιν ἐλλείψεις τοῦ κατ' αὐτὸν ἑϐραϊκοῦ; Πότε δὲ καὶ μετὰ τὸν Ἱερώνυμον ἡ ὀρθόδοξος τοῦ Χριστοῦ Ἐκκλησία, ἤ τίς ἄλλως ἰδίως τῶν θείων Πατέρων ἔσχε τινὰ λόγον τῆς ἀποσχίσεως τούτων δὴ τῶν *κρασπεδωμάτων*, οὕτως ἐπισφαλῶς ὑπὸ τοῦ Δαλμάτου πατρὸς ἐπινοηθέντων, πρὸς δικαίωσιν τοῦ ἐξ οὗ μετέφραζε πεπηρωμένου ἑϐραϊκοῦ;

τὴν Ἀνατολικὴν, ὁμονοίας τε καὶ ἑνότητος, ἀνεκήρυξεν ἅγια καὶ κανονικὰ τὰ λεγόμενα ταῦτα νόθα κράσπεδα τῆς Ἐσθὴρ, καὶ τούτων μέρη δημοσίως ἐν ταῖς τελεταῖς ἀναγινώσκει ὡς θεῖα λόγια τῆς Γραφῆς (α), ἀναθεματίσασα ἐν τῇ κατ' αὐτὴν Τριδεντινῇ Συνόδῳ πάντα τινὰ τῶν εἰς αὐτὴν ἐκκλησιαζομένων, ὅστις οὐκ ἀποδέχεται πάσας τὰς ἱερὰς βίβλους ὁλοκλήρους *μετὰ πάντων τῶν μερῶν αὐτῶν* » (β).

(α) Οἷον τὴν προσευχὴν τῆς Ἐσθὴρ ἀναγινώσκει τῇ Κυριακῇ τῇ μετὰ τὴν Πεντηκοστήν· καὶ πάλιν ἄλλο μέρος τοῦ (κατὰ τὴν Βουλγάτ.) ιγ κεφαλαίου, τῇ τετράδι (feria quarta) μετὰ τὴν β, Κυριακὴν τῆς Τεσσαρακοστῆς. Καὶ τοῦ Μαρδοχαίου δὲ τὴν προσευχὴν ἐν τῇ παρ' αὐτῇ τελουμένῃ καὶ καλουμένῃ λειτουργίᾳ κατὰ τῶν ἀπίστων! (missa contra paganos). βλ. καὶ τὸν Bellarmin. de verb. Dei, L. I. cap. 7.

(β) « Si quis autem libros ipsos integros cum omnibus suis partibus, prout in Ecclesia Catholica legi consueverunt, et in veteri Vulgata Latina (τῇ ἐκ τῶν Ο) editione habentur, pro Sacris et canonicis non susceperit, - anathema sit » (Synod. Trident. Sess. IV). Μέρη δὲ ὁλοκληρωτικὰ τῶν κανονικῶν βίβλων ἐννοεῖ ταῦτα δὴ τὰ τῆς Ἐσθὴρ, καὶ τὰ τοῦ Δανιὴλ (τὴν Σωσάναν κτλ.), καὶ τ' ἄλλα, ὅσα ἀποβάλλουσιν οἱ καινοτομοῦντες (περὶ ὧν ἐν τοῖς ἐφεξῆς). Ἀλλὰ καὶ τῶν νεωτέρων Δυτικῶν κριτικῶν οἱ ἐπισημότεροι ἀποδέχονται ταῦτα τὰ χωρία, ὡς μέρη τῶν κανονικῶν βιβλίων, οἷα κεῖνται παρὰ τοῖς Ο, ψέγοντες δικαίως τὴν περιέργειαν ἑτέρων σοφῶν, καὶ τούτων δυτικῶν (οἷον τοῦ Ἰάννου, καὶ τῶν κατ' αὐτὸν), οἵτινες ἀποδιϊστῶντες (κατὰ τὸν Ἱερωνύμου τρόπον) τὰ χωρία, συναριθμοῦσιν αὐτὰ μετὰ τῶν Δευτεροκανονικῶν παρ' αὐτοῖς λεγομένων βιβλίων τῆς Γραφῆς (οἷον τοῦ Τωβὶτ, τῆς Ἰουδεὶθ, καὶ τῶν ἄλλων τῶν ἐκτὸς τοῦ ἑβραϊκοῦ κανόνος κειμένων, ὑπὸ δὲ τῆς Ἐκκλησίας ὡς ἱερῶν καὶ ἁγίων κανονισθέντων). Οἱ δὲ τοιοῦτοι ἀντιλέγουσι καὶ πρὸς τὸ ψήφισμα τῆς παρ' αὐτοῖς ἱερωτάτης νενομισμένης Τριδεντινῆς Συνόδου. Ἂν δέ τινες ἐξ αὐτῶν ἄτοπον κρίνωσι καὶ λίαν τολμηρὸν τὸ τοῦ ἀναθέματος ἐπιτίμιον, διότι καὶ αὐτὸς ὁ θεῖος Ἱερώνυμος οὐκ ἀπεδέχετο τὰ χωρία ὡς γνήσια μέρη τῆς κατά τε τὴν ἀρχαίαν Βουλγάταν (Ἰτάλαν), καὶ κατὰ τοὺς Ο, Γραφῆς· ἀλλὰ πρῶτον μὲν ἴσως οἱ τῆς ἐν Τριδέντῳ Συνόδου λογάδες ἐθεώρουν τὸν Ἱερώνυμον ὡς μετανοήσαντα διὰ τοῦτο, μηδὲ μέχρι τέλους εἰς τὴν γνώμην ταύτην ἐπιμείναντα (καθὼς ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ). Ἔπειτα (τὸ κυριώτατον), τὸ τοῦ Τριδεντινοῦ ψηφίσματος ἐπιτίμιον οὐκ ἀποβλέπει τοὺς δυτικοὺς τοὺς πρὸ τοῦ ψηφίσματος γενομένους κατ' ἀναχρονισμὸν, ἀλλὰ τοὺς μετὰ τὴν ἔκδοσιν αὐτοῦ παραβάτας τῶν διαγορευομένων. Οἱ δὲ περὶ τὸν Καπέλλιον (ubi supr.) μάτην κοπιῶσι, παρεξηγοῦντες τὸ ψήφισμα. Βλέπε περὶ τούτων τὸν ἄριστον Welte (ἐν Herbst, Einleitung etc. 2. Th. 3. Abth. pag. IV καὶ 265.). πρβλ. καὶ τὸν πολλὰς τοῦ Ἰάννου παραφορὰς κοσμίως σωφρονίσαντα,

Καὶ συμπεραίνομεν λοιπὸν ὅ,τι προείπομεν παροδικώτερον καὶ ἐν τοῖς προηγουμένοις (Βιβλ. Β. σελ. 566), ὅτι τὸ γνήσιον καὶ ἀκέραιον ἑβραϊκὸν πρωτότυπον τῆς θεοπνεύστου βίβλου τῆς Ἐσθὴρ ὑπῆρχεν ἐκεῖνο, ἐξ οὗ μετέφρασαν οἱ Ο· τὸ δὲ κατὰ τοὺς χρόνους τῶν μετὰ Χριστὸν μεταφραστῶν, καὶ ἐφεξῆς ἐπὶ Ὠριγένους καὶ τοῦ Ἱερωνύμου, καὶ μέχρι καὶ εἰς ἡμᾶς ὁπωσδήποτε περιελθὸν ἑβραϊκὸν ὑπάρχει ἄλλη τις ἔκδοσις τοῦ βιβλίου, κατ' ἐπιτομὴν συντεταγμένη (καθὼς καὶ οἱ περὶ τὸν Οὐόσσιον ἔκριναν ὀρθῶς καὶ δικαίως, ἐν τῷ περὶ τῶν Ο. σελ. 61–62.). Ἀλλὰ καὶ Ῥόσσις ὁ σοφώτατος ὁμοίως σχεδὸν ἔκρινεν, ὅτι πρῶτον ὁ Μαρδοχαῖος συνέγραψε τὸ βιβλίον χαλδαϊστὶ, κατὰ πλάτος τὴν ἱστορίαν συνθεὶς, οἵαν ἔχουσιν οἱ Ο. Ἐκ δὲ τῆς χαλδαϊκῆς τοῦ Μαρδοχαίου συγγραφῆς ἡρμηνεύθη συνοπτικῶς ἑβραϊστὶ, καὶ ἐν τοῖς κανονικοῖς βιβλίοις ὑπὸ τοῦ μεγάλου Συνεδρίου κατετάχθη τὸ καὶ εἰς ἡμᾶς περισωθὲν νῦν ἑβραϊκόν· ἐκεῖνο δὲ τὸ πρωτότυπον, ἐξ οὗ μεθηρμήνευσαν οἱ Ο, ἀπώλετο (α). Ἀλλ' εἴπερ ὁ σοφὸς οὗτος ἔλεγεν, ὅτι συνεγράφη τὸ πρῶτον ἑβραϊστὶ, καὶ ἐκανονίσθη κατὰ τὸ πρωτότυπον, ἐξ οὗ μετέφρασαν οἱ Ο, ἔλεγεν ἂν γνώμην μᾶλλον ἀσφαλεστέραν, καὶ κριτικωτέραν, ὅσον τὰ περὶ τὴν διάλεκτον (καθότι πρὸς τὸ ἑβραϊκὸν μᾶλλον, ἢ πρὸς τὸ χαλδαϊκὸν εὑρίσκουσι συμφωνοῦντα τὰ περὶ οὗ ὁ λόγος χωρία τῆς Ἐσθὴρ) (β). Μετέπειτα δὲ (μετὰ

καί τοι λίαν (ὡς οὐκ ἔδει) σύντομον Ἀκκερμάννα (Ackermann, Introduct. in libr. Sacr. Vet. Foeder. p. 334—336). Ὅστις ταῦτα τὰ κατὰ τοὺς Ο χωρία τῆς Ἐσθὴρ τοσοῦτον ἔκρινεν ἐπίκαιρα καὶ ἀναγκαῖα, ὥστε, χωρὶς τούτων, τὸ λοιπὸν τοῦ (καθ' ἑβραίους) τεύχους ἐν πολλοῖς ἀποβαίνει σκοτεινόν. pag. 334.

(α) De-Rossi, Specimen variar. Lection. Sacri Textus etc. Tubing. 1783. pag. 108, 120 etc. Τὴν γνώμην τοῦ Ῥόσσιος ὡς πιθανὴν ἐπαινεῖ καὶ ὁ Welte l. c. ἀναιρῶν τὰς ματαίας ἀντιλογίας τοῦ Βερτόλδου.

(β) Ὁ δὲ Γρότιος, καὶ ὁ Καπέλλιος, καὶ ἄλλοι τῶν νεωτέρων ἑλληνικὴν εὑρίσκουσι τὴν σύνθεσιν τούτων τῶν χωρίων, συγγραφέντων δῆθεν ὑπό τινος ἰουδαΐζοντος Ἕλληνος, ἢ Ἰουδαίου ἑλληνιστοῦ. Ἀλλ' ὅστις ἐπισταμένως ἀνακρίνῃ τὴν βίβλον ἀπ' ἀρχῆς μέχρι τέλους, βλέπει σαφῶς τὴν αὐτὴν ἐπικρατοῦσαν δι' ὅλου τοῦ λόγου φράσιν, ἥτις οὐδέν ἐστιν ἕτερον, εἰ μὴ ἐλευθέρα μὲν, ἀλλὰ πιστὴ μετάφρασις τοῦ ἑβραϊκοῦ.

τοὺς Ο) συνώψισαν τὸ πρωτότυπον εἰς τὸ νῦν ἑβρ. οἱ τῶν Ἰουδαίων ἄρχοντες (ἴσως ἵνα μᾶλλον εὐμεταχείριστον ᾖ πρὸς χρῆσιν κοινὴν, ὡς ὅλον τὸ βιβλίον ἀναγινωσκόμενον κατὰ τὴν ἑορτὴν τῶν *Φρουραί*). Καὶ τοῦτο μὲν ἔμεινε παρ᾽ Ἰουδαίοις ὡς κανονικὸν, τὸ δὲ κύριον ἀπαρχαιωθὲν ἠφανίσθη, καὶ μάλιστα μετὰ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων (α). Εἰ δὲ καὶ τῆς Θεοδοτίωνος ἑρμηνείας ὑπάρχει βεβαίως τὸ Ἀρυνδελλιανὸν χειρόγραφον τοῦ Ὑσσερίου, διεσῴζοντο λοιπὸν καὶ μέχρι τοῦ Θεοδοτίωνος ὀλίγοι τινὲς κώδηκες τοῦ πρωτογόνου κειμένου τῆς Ἐσθήρ.

§. κγ. Ἐκ τοῦ Ἰώβ.

Καὶ ταύτης τῆς ἱερᾶς βίβλου τὸ ἑβραϊκὸν διαφέρει τῆς ἑρμηνείας τῶν Ο, κατὰ πολλὰς ἐλλείψεις, ἢ προσθήκας. Ἀρχαία δὲ καὶ αὕτη ἡ διαφορὰ καὶ παραλλαγή. Αὐτὸς Ὠριγένης διδάσκει περὶ αὐτῆς, λέγων· «Ἀλλὰ καὶ ἀπὸ τοῦ Ἰὼβ τὰ ἀπὸ τοῦ «*Γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι, μεθ᾽ ὧν ὁ κύριος ἀνίστησιν*» ἄχρι τέλους (β), οὐ κεῖται παρ᾽ Ἑβραίοις, διόπερ οὐδὲ παρὰ τῷ Ἀκύλᾳ·

(α) Ὁ δὲ περίφημος Βελλαρμῖνος ἔκρινεν, ὅτι ὁ πρῶτος τῆς Ἐσθηρείας βίβλου συγγραφεὺς ἔγραψε μόνον συνοπτικῶς αὐτὸ τὸ κεφάλαιον τῆς ἱστορίας (οἷόν ἐστ τὸ νῦν ἑβρ.). μετέπειτα δὲ ὑπ᾽ ἄλλου τινὸς τὸ ἱστόρημα συνεγράφη μᾶλλον ἐκτενέστερον, καὶ μετεφράσθη ὑπὸ τοῦ Λυσιμάχου· καὶ τοῦτο τὸ βιβλίον περιέχεται εἰς τὴν ἑρμηνείαν τῶν Ο· τὸ δ᾽ ἑβραϊκὸν πρωτότυπον, ἐξ οὗ τοῦτο μετεφράσθη, οὐ διεσῴθη καὶ εἰς ἡμᾶς. « Potest etiam responderi, priorem Libri hujus auctorem, qui hebraice historiam Esther scribendam suscepit, summam tantum historiae conscripsisse ; deinde alio tempore scriptam fuisse historiam eandem ab aliquo alio copiosius, et translatam in linquam Graecam a Lysimacho. — Porro prioris auctoris librum ipsum Hebraicum; posterioris autem non ipsum librum, sed solum translationem ad nos pervenisse ». (De verb. Dei L. l. c. 7. §. 10). Ἀλλ᾽ οὔτε παντελῶς ἀνώνυμος ὑπάρχει ὁ τῆς βίβλου συγγραφεὺς (κατὰ γὰρ τοὺς πλείστους, πιθανώτατα συνέγραψε τὸ βιβλίον αὐτὸς ὁ Μαρδοχαῖος μετὰ τῆς Ἐσθήρ· βλέπε Ἐσθὴρ θ. 29. πρβλ. καὶ τὰ προειρημένα Βιβλ. Β. σελ. 571), οὔτε τὸ βιβλίον ὅλον, εἰ μὴ μόνην τὴν ἐπιστολὴν τοῦ Μαρδοχαίου μεθηρμηνευμένην ἔφερεν ὁ Λυσίμαχος εἰς τὴν Αἴγυπτον (καθὼς προαπεδείξαμεν· βλ. ὄπισθ. σελ. 570)· καὶ δικαιότερον ἂν ἔκρινεν ὁ σοφὸς Καρδινάλις, εἴπερ ἔγραφε τἀνάπαλιν. Τῷ Βελλαρμίνῳ παρηκολούθησε καὶ Οὐβιγάντης, καὶ Ὑέτιος (Dem. Evang. IV. p. 374).

(β) Ἰὼβ κεφ. ἐσχάτῳ στίχ. 17.

παρὰ δὲ τοῖς Ο, καὶ Θεοδοτίωνι, τὰ ἰσοδυναμοῦντα ἀλλήλοις (α). Καὶ ἄλλα δὲ μυρία εὕρομεν ἐν τῷ Ἰὼϐ, καὶ κατ᾽ ὀλίγον, καὶ ἐπὶ πλέον ἐν τοῖς ἡμετέροις ἀντιγράφοις, ἢ ἐν τοῖς παρ᾽ Ἰουδαίοις· κατ᾽ ὀλίγον μὲν (ὅτε ἀνιστάμενος τὸ πρωῒ προσέφερε περὶ αὐτῶν θυσίας κατὰ τὸν ἀριθμὸν αὐτῶν) τὸ «*μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν*» (ϐ)· καὶ (ὅτε ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ Θεοῦ, καὶ ὁ διάϐολος ἦλθε μετ᾽ αὐτῶν) τὸ «*περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας ἐν αὐτῇ*» (γ). Ἔτι δὲ οὐκ ἦν παρ᾽ Ἑϐραίοις (μετὰ τὸ, «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο») τὸ «*ὡς τῷ Κυρίῳ ἔδοξεν οὕτω καὶ ἐγένετο*» (δ). Πλείονα δὲ ἐν τοῖς ἡμετέροις παρὰ τὰ ἑϐραϊκὰ (ὅτε εἶπε τῷ Ἰὼϐ ἡ γυνὴ αὐτοῦ) τὰ ἀπὸ τοῦ «*Μέχρι τίνος καρτερήσεις, λέγων· ἰδοὺ, ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου*» ἕως τοῦ «*ἵνα ἀναπαύσωμαι τῶν μόχθων μου καὶ τῶν ὀδυνῶν, αἵ με νῦν συνέχουσι*» (ε). Μόνον γὰρ τὰ ῥητὰ τῆς γυναικὸς ἀναγέγραπται, τὸ «*ἀλλ᾽ εἰπόν τι ῥῆμα πρὸς Κύριον καὶ τελεύτα*» (ζ). Πάλιν αὖ πλεῖστά τε ὅσα διὰ μέσου ὅλου τοῦ Ἰὼϐ παρ᾽ Ἑϐραίοις μὲν κεῖται, παρ᾽ ἡμῖν δὲ οὐχί. Καὶ πολλάκις μὲν ἔπη τέσσαρα, ἢ

(α) Οὕτω καὶ Ὀλυμπιόδωρος· «Ἰστέον, ὅτι μέχρι τοῦ πρεσϐύτερος καὶ πλήρης ἡμερῶν Ἀκύλας καὶ Σύμμαχος ἐλθόντες, συνεπέραναν τὸ βιϐλίον, ὡς δὴ τῷ ἑϐραϊκῷ ἀκολουθοῦντες. Ὁ δὲ Θεοδοτίων συμπεραίνει τοῖς Ο»· (Σειρ. εἰς Ἰώϐ. σελ. 611).

(ϐ) Ἰὼϐ, α, 5. Ὁ δὲ σοφὸς Κόδουρκος, ἅτε καθαρὸς (ὡς ἔξεστιν εἰπεῖν) ἡμιῤῥαϐῖνος, «Τοῦτο, λέγει, τὸ χωρίον ὁ Ἕλλην ἑρμηνεὺς (τουτ. οἱ Ο) μετέφρασεν ἑλληνικῇ τῇ πίστει (Graeca fide), ἀμελήσας τῆς ἑϐραίας ἀληθείας» (Codurc. Annot. in h. l.). Βλέπεις ἐκ τούτων, ἀναγνῶστα, πόσον ἄσπιλον καὶ ἀπαθῆ κριτικῆς μανδύαν φοροῦσιν οἱ δυσχάριστοι τῶν Ο, καὶ αὐτῆς τῆς ἀληθείας καταφρονηταί· τὴν Graecam fidem χλευάζουσιν οἱ nullam fidem ἔχοντες!

(γ) Ἰὼϐ, α, 7 καὶ β, 2. Ἀλλὰ τοῦτο κεῖται ἐν τῷ νῦν ἑϐραϊκῷ, ὡς ἔκειτο πιθανώτατα καὶ κατὰ τοὺς Ὠριγένους χρόνους. Λείπει δὲ τὰ νῦν ἐκ τοῦ ἑϐραϊκοῦ τὸ ἐν τῷ αὐτῷ στίχῳ παρὰ τοῖς Ο, πάρειμι· καὶ τοῦτο φαίνεται ὅτι ἐξέπεσεν ἔτι ἐκ τοῦ κειμένου τῆς ἐπιστολῆς. Καὶ ἔγραψεν ἄρα Ὠριγένης «τὸ πάρειμι μετὰ τὸ περιελθὼν τὴν γῆν, κτλ. βλ. καὶ Grabe, de vitiis LXX. pag. 107.

(δ) Ἰὼϐ α, 21. — (ε) Ἰὼϐ β, 9. — (ζ) Ταῦτα μόνα γέγραπται ἐν τῷ νῦν ἑϐραϊκῷ.

τρία· ἔσθ' ὅτε δὲ καὶ *δεκατέσσαρα, καὶ δεκαεννέα*, καὶ δεκαὲξ » (ὁ Ὑσσέριος διορθῶν προτάττει τὸ 16, τοῦ 19, ἀλλ' ἴσ. γρ. καὶ *δεκατρία, καὶ δεκατέσσαρα, καὶ δεκαέξ*· τὸ δὲ 19, Ἑλλην. ιθ, φαίνεται παραφθορὰ τοῦ ιγ· ἢ τί οὐκ ἔγραφεν 20;) κτλ. βλ. Ὠριγέν. ἐπιστολὴν πρὸς Ἀφρικαν. §, γ, δ. σελ. 14. τόμ. α.

Ἐκ τῶν λόγων τούτων τοῦ Ὠριγένους βλέπομεν, ὅτι καὶ κατ' αὐτοὺς αὐτοῦ τοὺς χρόνους ἔλειπον μὲν ἐκ τοῦ ἑβραϊκοῦ κατὰ τόπους καὶ ὀλίγαι (τοῦτο γὰρ ἐστὶ τὸ *κατ' ὀλίγον*), καὶ πλείονες (*ἐπὶ πλέον*) λέξεις καὶ φράσεις, ἃς περιεῖχε τὸ κείμενον τῶν Ο, καὶ τούτων παραδείγματα ἔφερεν ἐκ τοῦ α, κεφαλαίου, καὶ τοῦ ἐσχάτου τὸ τέλος. Καὶ πάλιν διὰ μέσου ὅλου τοῦ Ἰὼϐ *πλεῖστα ὅσα* ἔπη (καὶ 3, καὶ 4, λέξεις, καὶ 14, καὶ 16) ἔλειπον μὲν ἐκ τῶν Ο, ἔκειντο δ' ἐν τῷ ἑβραϊκῷ. Παρομοίας ἐλλείψεις καὶ πλεονασμοὺς βλέπομεν καὶ νῦν ἐν ἀμφοτέροις τοῖς κειμένοις. Καὶ πλείονας ἔτι διαφορὰς τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο, παρ' ὅσας ῥητῶς ἐσημείωσεν Ὠριγένης. Αὐτίκα·

Κεφ. Α. στίχ. 3. Λείπει νῦν ἐκ τοῦ ἑβραϊκοῦ καὶ τῆς Βουλγάτ. τὸ «*Καὶ ἔργα μεγάλα ἦν αὐτῷ*» (οἱ Ο) (α).–στίχ. 13. «*Ἤσθιον*

(α) «Ἔργα δὲ μεγάλα», τὰ κατ' ἀγροὺς καὶ κατ' οἴκους, φυτεῖαι, λειμῶνες, παράδεισοι, συνοικίαι, οἰκοδομήματα» (Ὀλυμπιόδωρ.). Κατὰ τὸν Χρυσόστομον, «τὸ Ὑ π η ρ ε σ ί α π ο λ λ ὴ σ φ ό δ ρ α» ὠβέλιστο (ἐν τοῖς Ὠριγέν. Ἑξαπλοῖς), ὅτι ἐν τῷ ἑβραϊκῷ οὐ κεῖται· ὑπὸ δὲ τῶν Ο, μόνον πρὸς σαφήνειαν ἐτέθη» (Σειρ. εἰς Ἰώϐ). Ἀλλ' ἴσως ὁ ὀβελὸς ἀνῆκεν οὐκ εἰς τὸ ὑπηρεσία, ἀλλ' εἰς τὸ ἐφεξῆς ἀμέσως ἑπόμενον ἔ ρ γ α μ ε γ ά λ α κτλ. (τοῦτο γὰρ οὐ κεῖται νῦν ἐν τῷ ἑβραϊκῷ· ἐν δὲ τοῖς ἐκ τῶν Ἑξαπλῶν ἀντιγράφοις τῶν Ο, πολλαχοῦ παρεσημείουν ἀτόπως τοὺς ὀβελοὺς οἱ μεταγραφεῖς δι' ἀπροσεξίαν). Ὅθεν ὁ Γράβης ἐκ τούτων λαβὼν ἀφορμὴν, ὑπέλαβε τὸ κόμμα τοῦτο οὐ τῶν Ο, ἀλλ' ἑτέρου τινὸς ἑρμηνέως γλώσσημα, παρεισφρῆσαν εἰς τὸ κείμενον τῶν Ο (Grabe, de vitiis LXX. p. 107). Ἀλλ' ἡδέως ἄν τις ἔροιτο τὸν ἔνδοξον Γράβην· μὴ καὶ τὰ λοιπὰ, ὅσα ῥητῶς ἐσημείωσεν Ὠριγένης, ὡς κείμενα μὲν παρὰ τοῖς Ο, λείποντα δ' ἐκ τοῦ ἑβραϊκοῦ (διὸ καὶ ἐν τοῖς Ἑξαπλοῖς ὑπ' αὐτοῦ ὀβελισθέντα), μὴ καὶ ταῦτα γλωσσήματά εἰσιν ἐξ ἄλλων ἑρμηνευτῶν, συμφυρέντα μετὰ τοῦ κειμένου τῶν Ο; Ἔπειτα τοῦτο τοῦ Γράβου τὸ γλώσσημα πολλοῖς αἰῶσι πρότερον πρὸ τῶν μετὰ Χριστὸν ἑρμηνέων ἀνέγνω παρὰ τοῖς Ο, καὶ ὁ τοῦ Πολυΐστορος Ἀριστέας, λέγων ἐπὶ λέξεως ταῦτα· «Εἶχε δὲ (ὁ Ἰὼϐ) καὶ γ ε ω ρ γ ί α ς ἱ κ α ν ὰ ς» (= ἔργα μεγάλα. βλ. ὅλην τὴν ῥῆσιν

καὶ ἔπινον» καὶ ςίχ. 18, *«ἐσθιόντων καὶ πινόντων»* (οἱ Ο, Ἀλεξανδρ. καὶ ἄλλοι κώδ. ἐκδόσ. Ὅλμητ.). Τὸ δ' ἑβρ. καὶ ἡ Βουλγάτα ἑκατέρωθι προστίθησι *καὶ οἶνον* (α). Τοῦτο δὲ τὸ *οἶνον* οὐκ ἔχουσιν οἱ Ο, οὐθ' ὁ Σύρος, οὔθ' ὁ Ἄραψ, ἀλλ' οὐδ' αὐτὸ τὸ ἑβραϊκὸν μικρὸν ἀνωτέρω (στίχ. 4). Καὶ ἀλλαχοῦ δὲ τῆς Γραφῆς πολλαχοῦ τὸ *ἐσθίειν καὶ πίνειν* σύνηθες μόνον (χωρὶς τοῦ οἶνον· οἷον Γενέσ. κδ, 54: κς, 34: Β. Βασιλ. ια, 11: Γ. Βασιλ. α, 25: Ῥοὺθ γ, 7 κτλ. πρβλ. Ματθ. ια, 18, 19, κτλ.) (β). Τὸ δὲ *οἶνον* προστιθέμενον ἐμφαίνει φιλοποσίαν οἰνοφλυγίας· ὅθεν καὶ τῶν νεωτέρων ἐπίσημοι κριτικοὶ ἐξοβελίζουσιν ἐκ τοῦ ἑβραϊκοῦ τὸ *οἶνον* (βλ. τὸν Οὐόγελον, καὶ Σχούλζην, Σχολ. αὐτόθ.). – στίχ. 22. «Οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ» (οἱ Ο, ἡ Βουλγάτ. καὶ κώδηκ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει· ἀλλὰ βεβαιοῦται ἐκ τῶν ἐφεξῆς (β, 10), ὅπου κεῖται ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο.

Κεφ. Β. στίχ. 8. «Ἵνα τὸν *ἰχῶρα* ξύῃ» (οἱ Ο, καὶ ἡ Βουλγ.). Ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *ἰχώρ*.—Αὐτόθ. «*Ἔξω τῆς πόλεως*» (οἱ Ο, καὶ ἡ Βουλγάτα). Ἐκ τοῦ νῦν ἑβρ. λείπει· ἀλλ' ἀπαιτεῖται ὑπὸ τῆς συνεπείας τοῦ λόγου (πρβλ. ςίχ. 12. ὅπου οἱ φίλοι «*ἰδον αὐτὸν πόῤῥωθεν*» (οὕτω καὶ τὸ ἑβρ.), καὶ τὸ «*ἐκάθητο ἐπὶ κοπρίας*» οἱ Ο) (γ). Ὅθεν ἔλεγε· «τήκω *βώλακας* γῆς ἀπὸ ἰχῶρος ξύων»

παρ' Εὐσεβίῳ Εὐαγγελ. Προπαρ. Θ. σελ. 251). Ἀλλὰ καὶ αὐτὸς ὁ θεῖος Χρυσόστομος τὸ μὲν κείμενον τῶν Ο, καθαρὸν καὶ ἀμιγὲς δογματίζων, ἐξελέγχει ψευδῆ τὴν Γράβειον κριτικήν. Περὶ δὲ τοῦ ἑβραϊκοῦ ἁπλούστερον ὁ Πατὴρ ἐξεφράσθη, καὶ κατὰ τὴν ἀπερίεργον συνήθειαν. Μὴ γὰρ ἐφρόνει βεβαίως, ὅτι τὸ ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς ἑβραϊκὸν ὑπῆρχεν ἀπαραλλάκτως τὸ αὐτὸ καὶ τὸ ἐξ οὗ μεθηρμήνευσαν οἱ Ο; ἀλλ' οὐδ' αὐτὸς Ὠριγένης ἐφρόνει τοῦτο (βλ. ἐπιστολ. πρὸς Ἀφρικαν.).

(α) Καὶ τὸ Βατικανὸν καὶ τὸ κείμενον τῆς εἰς τὸν Ἰὼβ Σειρᾶς ἐν τῷ 13 στίχῳ ἔχει μόνον «ἔπινον οἶνον» (χωρὶς τοῦ ἤσθιον), ἀλλ' ἔστι πλάνη παλαιὰ τῶν μεταγραφέων· οὐδὲ πρὸς τὸ ἑβραϊκὸν συμφωνεῖ· κἀκεῖνο γὰρ ἔχει ἤσθιον, καὶ ἔπινον οἶνον.

(β) Περὶ τῆς φράσεως ἐσθίειν (ἢ τρώγειν), καὶ πίνειν βλ. Schleusn. Lexic. Nov. Test. pag. 930. Πρόσθες καὶ τὸ Ὁμηρικόν· «Ἐσθιέμεν, καὶ πινέμεν». Ὀδυσ. β, 305.

(γ) Τὸ ἑβρ. ἔχει Εφερ, ὃ σημαίνει κόνιν καὶ τέφραν, ἢ σποδὸν (ὡς ὁ Σύμμαχ.) ἀλλὰ καὶ τὸ κοπρία σημαίνει κόνιν (Ἡσύχ. καὶ Ἀπολλών. Λεξικ.)

(ζ, 5. οἱ Ο)' « τὰς βώλακας γὰρ λαμβάνων ἐκ τῆς παρὰ τὴν κοπρίαν γῆς, ἐχρῆτο πρὸς ξέσιν, ἀντὶ τοῦ κεράμου » (Χρυσόστ.).—

δηλονότι χοῦν ἀκάθαρτον μετὰ σαρωμάτων. Ἀλλ' ἐνταῦθα τὸ Εφερ, κατὰ τοὺς Ο, σημαίνει τὴν κυρίως κοπρίαν (οἷα ἡ τῶν κτηνῶν· ὅθεν ἡ Βουλγάτα καὶ ὁ Ἱερώνυμος ὀρθῶς ἡρμήνευσαν in sterquilinio· καὶ τοῦτο δηλοῦται ἐν τῷ ἐφεξῆς στίχ. 9 « ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων »), καὶ φαίνεται συνώνυμον τὸ Εφερ τοῦ Ασσεφοθ. Ὁ δὲ Δρούσιος (καὶ ἐξ αὐτοῦ ὁ Ῥοδομύλλερος) ἐκλαμβάνων τὸ Εφερ ἐπὶ σποδοῦ καὶ τέφρας, παραβάλλει τὸ Ὁμηρικόν· «Ἕζετ' ἐπ' ἐσχάρῃ ἐν κονίῃσι» (Ὀδυσ. Η, 153)· ἀλλ' οὐδὲν τοῦτο πρὸς ἔπος· ὁ γὰρ Ὀδυσσεὺς ἐκάθητο ἐπὶ τῆς ἐσχάρας (ἑστίας), κατὰ τὸ ἔθος τῶν προσφύγων ἱκετῶν («καὶ τοῦτο μέγιστον ἱκέτευμα ἦν» Θουκυδ.). Ὁμοιότερον πρὸς τὸ ἐκάθητο ἐπὶ κοπρίας φαίνεται τὸ περὶ τοῦ Πριάμου, ὅστις ἔκλαιε τὸν Ἕκτορα, « κυλινδόμενος κατὰ κόπρον » (Ἰλ. Χ. 414)· μέμνηται τούτου καὶ Δρούσιος (Annot. ad h. l.). Ἀλλ' οὗτος ὁ κριτικὸς ὑποβάλλει τὸ ἔξω τῆς πόλεως, ὡς ἀπίθανον προσθήκην τῶν Ο! « Τίς (φησιν) εἶπεν αὐτοῖς, ὅτι ὁ Ἰὼβ ἐν πόλει κατῴκει, καὶ μὴ μᾶλλον ἐν ἀγρῷ; » - Τίς εἶπεν; αὐτὸς, ὦ σοφώτατε, ὁ μακάριος Ἰὼβ, αὐτότατος, λέγων ταῦτα ἐπὶ λέξεως. « Ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος » κτλ. (κθ, 7, 8, 9)· ἄλλας αὐτοῦ ῥήσεις παραλείπομεν). Ἢ μήπως, οἱ μὲν υἱοὶ αὐτοῦ εἶχον οἴκους (Ἰώβ, α, 13), αὐτὸς δὲ διῆγεν ἄοικος καὶ ἄπολις σκηνίτης; Καὶ ὅτε δ' ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξοικος (ς, 18), ἡ γυνὴ αὐτοῦ πάντως ἐν τῇ πλησίον πόλει πλανῆτις καὶ λάτρις ἤμειβεν οἰκίαν ἐξ οἰκίας (β. 9). Ὑπῆρχον δὲ παρὰ τοῖς πάλαι πολυκτήμοσι κτηνοτρόφοις καὶ ἐκτὸς τῶν πόλεων καὶ οἰκιῶν κόπρου σωρεῖαι, οἷα καὶ πρὸ τῶν θυρῶν τῆς Ὀδυσσέως οἰκίας ἡμιόνων τε βοῶν τε κέχυτο » (βλ. Ὀδυσσείας Ρ. 298)· καὶ βουστάσια ἦσαν ἔξω τῶν πόλεων, πολλὴν ἔχοντα κόπρον (Ἰλ. Σ. 575). Ὁ δὲ Ῥοδομύλλερος « προσέθηκαν (λέγει) οἱ Ο καὶ ἡ Βουλγ. τὸ ἔξω τῆς πόλεως, διότι οἱ λεπροὶ (λέπραν δ' ἐνόσει, καθὰ λέγουσι, καὶ ὁ Ἰὼβ), κατὰ τὸν Μωσέως νόμον ἀπεβάλλοντο ἔξω τῆς παρεμβολῆς, καὶ τῶν πόλεων (Λευϊτ. ιγ, 46: Δ, Βασιλ. ιε, 5). Ἀλλ' (ἀπαντῶμεν) καὶ πρὸ τῶν Ο, καὶ πρὸ τοῦ Μωσέως ἠδύναντο πρὸς τοὺς λεπρῶντας ἀκοινωνήτως ἔχειν οἱ ἄλλοι πολῖται· « Ὡς μηκέτι (φησὶν ὁ Πολυχρόνιος), τῶν πολιτῶν φερόντων τοῦ πάθους τὴν θέαν, ἐξῆλθε τῆς πόλεως » (Σειρ. εἰς Ἰὼβ). Φαίνεται δὲ ὅτι καὶ οἱ πρὸ τοῦ Μωσέως Ἀσιανοὶ ἐθεώρουν τὴν λέπραν ὡς μεταδόσιμον, καθὰ καὶ οἱ πάλαι Πέρσαι (Ἡρόδ. Α, 138), καὶ ἄλλοι (Ἀρετ. Χρον. παθ. Βιβλ. Β. κεφ. ιγ.). «Οὐκ ἐῶνται γὰρ ἐν πόλεσιν ὁμοδίαιτοι τοῖς ἄλλοις οἱ ἐλεφαντιῶντες (Σχόλ. παλαιὸν εἰς Ἰὼβ αὐτόθ. βλ. καὶ Montf. Hexapl.). Ὅθεν καὶ οὕτως ὁ Ἰὼβ «οἰκίας ἐξεβάλλετο πάσης» (Χρυσόστομ.), καὶ πρὶν ὁ Μωϋσῆς τὰ περὶ τῶν λεπρῶν νομοθετήσῃ. Οὕτω καὶ τὸ καθαίρειν καὶ ἁγνίζειν (ὡς ἐκαθάριζεν Ἰὼβ τοὺς υἱοὺς πρὸ τῆς θυσίας), καὶ αὐτὸ τὸ θυσίας προσφέρειν ὑπὲρ αὐτῶν, πολὺ πρὸ τῶν Μωσαϊκῶν προϋπῆρχε παρὰ τοῖς θεοσεβεστάτοις πατριάρχαις, καὶ τοῖς ἀπογόνοις αὐτῶν (Γενέσ. η, 20: ιβ, 8. ιγ, 18: κτλ.). « Ὅτι καὶ ἱερεῖς ἦσαν οἱ τοιοῦτοι, ὥσπερ ὁ Μελχισεδὲκ » (Χρυσόστ.).

στίχ. 9, « Χρόνου δὲ πολλοῦ προβεβηκότος» (οἱ Ο)· λείπει ἐκ τοῦ ἑβραϊκοῦ.— στίχ. 11. «Ἐλιφὰζ ὁ Θαιμανῶν *βασιλεὺς*, Βαλδὰδ ὁ Σαυχέων *τύραννος*, Σωφὰρ Μιναίων *βασιλεὺς*» (οἱ Ο· πρβλ. καὶ Εὐσέβ. π. τόπων). Ἐν δὲ τῷ ἑβραίῳ γράφονται ἁπλῶς ὁ Θαιμανίτης, ὁ Σαυχίτης, κτλ. (χωρὶς τῶν ἐπιθέτων, *βασιλεὺς*, *τύραννος*, *βασιλεύς*)· τοῦτο φαίνεταί τις ἰουδαϊκὴ *ἐξίσωσις*, δι᾽ ἧς εἰσήγαγον οἱ ῥαββῖνοι καὶ ὧδε ἐν τῷ ἑβραϊκῷ τὴν αὐτὴν ἀνάγνωσιν, ἥτις κεῖται καὶ ἐν κεφαλ. μβ, 9, συντετμημένως. Ἀλλ᾽ ἐκεῖ μὲν οὐδ᾽ οἱ Ο ἔχουσι τὰ ἐπίθετα τῶν ἀξιωμάτων, ὡς ἤδη τῶν προσώπων γνωστῶν γενομένων ἐκ τῆς ἐν τῷ β, κεφαλαίῳ χαρακτηριστικῆς αὐτῶν διαγραφῆς. Ἢ πόθεν ᾔδεισαν οἱ Ο, καὶ πῶς ἂν εἶχον καὶ πόθεν προσθεῖναι τὰς προσηγορικὰς ταύτας ἐπωνυμίας τῶν τριῶν φίλων τοῦ Ἰὼβ, εἰ μὴ ταύτας ἀνεγίνωσκον ἐν τῷ κατ᾽ αὐτοὺς ἑβραϊκῷ; ἔχουσι δὲ ταύτας καὶ ἐν τῇ λεγομένῃ προσθήκῃ τοῦ τελευταίου κεφαλαίου.

§. κδ. Ταύτας σημειοῦμεν (καί τινας ἄλλας παραλιπόντες) ἐπισήμους μεταξὺ τῶν Ο καὶ τοῦ νῦν ἑβραϊκοῦ διαφορὰς ἐκ τοῦ α, καὶ β, κεφαλαίου τοῦ Ἰὼβ, ἃς Ὠριγένης ἀμφοτέρων μνημονεύσας τῶν κεφαλαίων, οὐκ ἐσημείωσε. Πότερον, ἆρα παρεῖδεν αὐτὰς, ἐκλεξάμενος μόνον ὅσας ἐμνημόνευσε, παραδείγματος χάριν; ἢ μήπως οὐχ εὗρεν αὐτὰς ἐν τῷ κατ᾽ αὐτὸν ἑβραϊκῷ, συμφωνοῦντι τότε κατά γε τοὺς τόπους τούτους μετὰ τῶν Ο; τοῦτο φαίνεται πιθανώτερον. Καὶ λοιπὸν ἀπὸ τοῦ Ὠριγένους μέχρις Ἱερωνύμου παρήλλαξε τὸ ἑβραϊκὸν καθ᾽ ὅσα τῶν ἀνωτέρω χωρίων ὁ μὲν Ὠριγένης οὐ μνημονεύει ὡς διαφέροντα πρὸς τοὺς Ο, ἡ δὲ τοῦ Ἱερωνύμου Βουλγάτα συμφωνεῖ οὐ μετὰ τῶν Ο, ἀλλὰ πρὸς τὸ νῦν ἑβραϊκὸν (ὡς κεφ. α, 3, 18: β, 9, 11). Καθ᾽ ὅσα δὲ πάλιν ἡ Βουλγάτα συμφωνεῖ πρὸς τοὺς Ο, λείπουσι δὲ ταῦτα, ἢ καὶ ἄλλως διαφέρουσιν ἐν τῷ νῦν ἑβρ. (ὡς α, 21: β, 8: κτλ.), ταῦτα πιθανώτατα ἐξέπεσαν, ἢ παρήλλαξαν μετὰ τὸν Ἱερώνυμον (βλ. καὶ ὄπισθ. σελ. 102) (α).

(α) Ὁ δὲ σοφὸς Ὑσσέριος μάτην ἐμόχθησε, παραβάλλων ἐκ τῆς Κομπλουτείας ἐκδόσεως διαφόρους τινὰς λέξεων ἀναγνώσεις ἐν τῷ α, κεφαλ. τοῦ Ἰὼβ, παραλλαττούσας τῆς ἐν ταῖς λοιπαῖς ἐκδόσεσιν γραφῆς (Usser. de LXX. pag. 82).

§. κε. Ἀλλὰ καὶ διὰ *μέσου ὅλου τοῦ Ἰὼβ* ἀπαντῶσιν ἄλλαι πάλιν διαφοραὶ (ὡς καὶ ἐπὶ τοῦ Ὠριγέν.) τοῦτε νῦν ἑβρ. πρὸς τοὺς Ο, καὶ τῆς Βουλγάτ. πρὸς τὸ νῦν ἑβρ. Καὶ πλεονάζουσι μὲν ἐν τῷ ἑβρ. *πλεῖστα ὅσα* (καθὼς εἶπεν Ὠριγένης), μὴ κείμενα παρὰ τοῖς Ο (α)· ἄλλα δὲ πάλιν κείμενα παρὰ τούτοις, λείπουσιν ἐκ τοῦ ἑβρ. (β). Πολλαχοῦ δὲ διάφοροι σεσημείωνται ἀναγνώσεις, ἄλλως ἀναγνόντων τῶν Ο, ἢ ὡς ἔχει τὸ σημερινὸν ἑβραϊκόν· διὸ καὶ πολλάκις ἀποβαίνει πολὺ παρὰ τὴν ἑρμηνείαν τῶν Ο σκοτεινότερον, ὡς ὁμολογοῦσι καὶ αὐτοὶ οἱ ἐκτόπως ἑβραΐζοντες κριτικοί, ὧν τινες καὶ Οἰδίποδος ἐπεθύμησαν πρὸς ἐπίλυσιν τινῶν χωρίων (γ)· καὶ τὴν ἔν τισι κεφαλαίοις σύγχυσιν αὐτοῦ παρετήρησαν (δ), καὶ

(α) Οἷον ἀλλαχοῦ, καὶ ἐν κεφαλαίοις. ιθ, κ, κϛ, κθ, λϛ, κτλ. (καί τοι τούτων οὐκ ὀλίγα σαφῶς εἰσιν ἐπαναλήψεις τῶν ἀντιγραφέων, πολλὰς πεπονθότος τοῦ ἑβρ. κώδηκος ἀλλοιώσεις). Προσέθηκε δὲ καὶ ταῦτα Ὠριγένης ὑπ' ἀστερίσκοις ἐκ τοῦ Θεοδοτίωνος ἐν τοῖς Ἑξαπλοῖς, οὐχ ὡς ἐλλείψεις καὶ πηρώσεις τῆς ἑρμηνείας τῶν Ο, ἀλλ' ἵνα δείξῃ κατὰ τί διέφερεν αὐτῆς τὸ ἑβραϊκὸν, καὶ « ἵνα (καθὼς αὐτὸς λέγει ῥητῶς) πρὸς Ἰουδαίους διαλεγόμενοι, μὴ προφέρωμεν αὐτοῖς τὰ μὴ κείμενα ἐν τοῖς ἀντιγράφοις αὐτῶν, καὶ ἵνα συγχρησώμεθα τοῖς φερομένοις παρ' ἐκείνων, εἰ καὶ ἐν τοῖς ἡμετέροις οὐ κεῖται βιβλίοις» (Ἐπιστολ. πρὸς Ἀφρικαν.).

(β) Οἷον τὰ ἑξῆς. Κεφ. ε, 26. « Ἐλεύσῃ δὲ ἐν τάφῳ, ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος, ἢ ὥσπερ θημωνία ἅλωνος καθ' ὥραν συγκομισθεῖσα » (οἱ Ο, Κλήμ. ὁ Ῥώμης. ἐν Α. Κορ. §. νϛ, Γρηγ. Ναζ. ἐπιστ. 95, Χρυσόστ. κτλ.) [τὸ δ' ἑβρ. ἔχει μόνον «Εἰσελεύσῃ ἐν ὡριμότητι (ἄλλ. ἐν γήρᾳ) εἰς τὸν τάφον, ὡς ἀναβαίνει θημωνία σίτου κατὰ καιρὸν αὐτῆς»]. — Κεφ. ζ, 2. «Δεδοικὼς τὸν κύριον αὐτοῦ». — Κεφ. I. 13. « Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν »· (τὸ δ' ἑβρ. ἔχει μόνον « Οἶδα ὅτι τοῦτο μετὰ σοῦ »· ἀλλὰ πρβλ. μβ. 2). — Κεφ. ια, 8. « Γῆ δὲ βαθεῖα » (λείπει ἐκ τοῦ ἑβρ. ἀλλὰ βεβαιοῦται Παροιμ. κε, 3. ὅπου καὶ ἐν τῷ ἑβρ.). — Κεφ. ιε, 27. « Αἶνος δὲ αὐτοῦ ὕβρις ». — στίχ. 28· « Λαλῆσαι ῥῆμα ὃ οὐκ ἔδει· τὰ ῥήματά μου πλανᾶται, καὶ οὐκ ἐπὶ καιροῦ ». — Κεφ. λϛ. 28. «Ὥραν ἔθετο κτήνεσι, καὶ οἴδασι κοίτης τάξιν· ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίστατό σου ἡ διάνοια, οὐδὲ διαλλάσσεταί σου ἡ καρδία ἀπὸ τοῦ σώματος. — Κεφ. λη. 1. « Μετὰ δὲ τὸ παύσασθαι Ἐλιοὺν τῆς λέξεως » — στίχ. 2. « Ἐμὲ δὲ οἴεται κρύπτειν » (οὕτω καὶ κεφ. μβ, οἱ Ο). — Κεφ. μβ 16. « Τὰ δὲ πάντα ἃ ἔζησεν ἔτη διακόσια τεσσαράκοντα ὀκτὼ » κτλ. Ἄλλα πολλὰ λείποντα ἐκ τοῦ ἑβραϊκοῦ παραλείπομεν. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 770.

(γ) « Haec commata tam obscura sunt, ut Oedipo opus est, qui ea solvat » Schulz not. in Job. 36, 16—21. πρβλ. καὶ 36, 26, 30 κτλ.

(δ) Kennicot. Diss. General. p. 539.

καθόλου τὸ κείμενον τὸ ἑβραϊκὸν *ὑπὸ πολλῶν τραυμάτων κάμνον* ἀνεκήρυξαν (α). Ἐὰν δὲ προσθῇς καὶ τῶν νεωτέρων μάλιστα μεταφραστῶν (καὶ τούτων ἐπισημοτάτων) τὴν ἐν πολλοῖς χωρίοις διαφωνίαν, ἄλλων ἄλλως ἐξηγούντων τὰς ἑβραΐδας φωνὰς, τῶν δὲ καὶ ἄλλως στιζόντων, καὶ πολλάκις πρὸς τοὺς ψεγομένους Ο, καταφευγόντων, τότε καταφαίνεται σαφέστερον τὸ μέγεθος τῆς ἀξίας τῶν Ο, καὶ βεβαιοῦται, ὅτι τὸ ἑβραϊκὸν, ἐξ οὗ οὗτοι μεθηρμήνευσαν, ὑπῆρχεν ἐν πολλοῖς διάφορον τοῦ παρ᾽ Ἰουδαίοις μεταγενεστέρου κώδηκος. Ἀλλὰ τὸ κατὰ μέρος τὰ περὶ τούτου διευκρινεῖν ἄλλης πραγματείας ἔργον. Ὁ δὲ μακάριος Ἱερώνυμος διαλεγόμενος περὶ τῶν κατ᾽ αὐτὸν ἐλλείψεων τοῦ τῶν Ο Ἰὼβ, παραβαλλομένου πρὸς τὸ ἑβραϊκὸν, ἄγαν ὑπερβολικῶς (ὡς εἴωθεν) ἐξεφράσθη, λέγων· «Ἐὰν ἐξέλῃς ἐκ τοῦ Ἰὼβ τὰ ὑπ᾽ ἀστερίσκοις (ὑπ᾽ Ὠριγένους) προστεθέντα, τὸ *μέγιστον μέρος* τοῦ τεύχους ἐκκεκόψεται». Ἀλλ᾽ ὅσα μὲν προσέθηκεν Ὠριγένης ἐκ τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ, τοῦτον αὐτὸν ἠκούσαμεν πρὸ μικροῦ (σελ. 596), ἐν οἷς διέγραψε καθόλου τὰ μὴ κείμενα παρὰ τοῖς Ο. Βλέπομεν δὲ ταῦτα μόλις δεκάδας τινὰς στίχων συνιστῶντα, ὅταν παραβάλωμεν τὸ νῦν ἑβραϊκὸν, καὶ αὐτὴν τὴν Ἱερωνύμου Βουλγάταν, πρὸς τὴν ἔν τε τοῖς καθ᾽ ἡμᾶς ἀρχαίοις ἀντιγράφοις, καὶ τοῖς ὑπομνήμασι τῶν πατέρων σωζομένην ἑρμηνείαν τῶν Ο, (καθαρεύουσαν τῶν Ὠριγένους προσθηκῶν), καὶ ἐν αὐτῇ τῇ ἐκ τῶν Ἑξαπλῶν περισωθείσῃ Συριακῇ ἑρμηνείᾳ τοῦ Ἰὼβ (β). Ὅτι δὲ πάλιν ἄλλα

(α) Id. ibid. πρβλ. Houbigant. not. in Job (Vol. 2. p. 155—218· ὅστις *καὶ τοῦ Κοδούρκου τὴν ἀλαζονείαν χαριέντως διέπαιξεν. Οὗτος γὰρ ὁ Ἀστυδάμας εὐχαρίστει τὸν πατέρα τῶν φώτων, ὡς ὑπ᾽ αὐτοῦ δῆθεν ἐλλαμφθεὶς εἰς ἐπίλυσιν χωρίου τινὸς, ὑπὸ τῶν ἀρχαίων ἑρμηνέων (ὡς λέγει) σκοτισθέντος! ὅπερ ὅμως πάμφωτον ὂν καθ᾽ ἑαυτὸ, καὶ μάλιστα κατὰ τὴν ἑρμην. τῶν Ο, αὐτὸς παρερμηνεύσας κατεζόφωσε (βλ.* Codurc. *καὶ* Houbigant. not. *εἰς Ἰὼβ, ιζ, 12)· ἄλλους τῶν νεωτέρων παραλείπομεν.*

(β) Βλ. Curae Hexaplares in Jobum, e Codice Syriaco-Hexaplari. Ambrosiano Mediolanens. ὑπὸ Henr. Middeldorpf. Vratisl. 1817. πρβλ. καὶ Pezron, Defense de l' Antiq. des Tems. p. 221—228. ὅπου καταδείκνυσιν ἄλλας φθορὰς τοῦ ἑβραϊκοῦ.

κεῖνται παρὰ τοῖς Ο, οὐκ ὀλίγα, μὴ κείμενα παρ' Ἑβραίοις, εἶπε μὲν Ὠριγένης, ἐσιώπησε δὲ ὅμως ὁ Ἱερώνυμος (αὐτόθ.)· φειδόμενος τάχα, μὴ κολοβωθῇ τὸ κατ' αὐτὸν ἑβραϊκὸν, ὅπερ ἴσως ἐθεώρει ὡς αὐτόγραφον τοῦ μακαρίου Ἰώβ! Τὴν δὲ κατ' αὐτὸν ἀρχαίαν τοῦ Ἰὼβ λατινικὴν ἑρμηνείαν, οὕτω «*κεκολοβωμένην καὶ κατεσπαραγμένην καὶ ῥακώδη*» ἀνεκήρυξεν ὁ πατὴρ, ὥστε (φησὶν) ἔλειπον ἐξ αὐτῆς «πλείονες τῶν 700, ἢ 800 στίχων, οὓς αὐτὸς προσέθηκε μεταφράσας ἐξ ὑπαρχῆς ἐκ τοῦ ἑβραϊκοῦ (α). Καὶ ὅμως αὐτὸ τὸ ἑβραϊκὸν τεῦχος περιέχει σήμερον στίχους τοὺς πάντας 1070: (ὡς ἠρίθμησεν ὁ Καπέλλιος)· ὥστε, κατὰ τοὺς Ἱερωνύμου χρόνους καὶ λόγους, ἡ λατινικὴ λοιπὸν ἑρμηνεία περιεῖχε μόλις 270 στίχους! Ἀλλὰ πρὸς ταῦτα πάντως ὁ πατὴρ οὔτε τὸν ἀντίπαλον αὐτοῦ Ῥουφῖνον, οὔτε τὸν φίλον Αὐγουστῖνον εἶχε συνομολογοῦντας.

Τελευταῖον, ὁ Ὠριγένης βεβαιοῖ, ὅτι καὶ ἐπ' αὐτοῦ ἔλειπον ἐν τῷ ἑβραϊκῷ τὰ ἀπὸ τοῦ «Γέγραπται» καὶ ἐφεξῆς μέχρι τέλους τοῦ ἐσχάτου κεφαλαίου τῶν Ο. Καὶ τοῦτο τραῦμα παλαιὸν τοῦ ἑβραίου κειμένου, ἐξ ὧν ἔπαθε καθόλου μετὰ τοὺς χρόνους τοῦ Θεοδοτίωνος, ὅστις ἔχει ταῦτα τῶν Ο, ἀπό τινος ἔτι κατ' αὐτὸν ἀκεραίου κατὰ ταῦτα σῳζομένου ἑβραίου κώδηκος ἑρμηνεύσας. Καὶ λοιπὸν τούτου τοῦ τῶν Ο χωρίου τὸ γνήσιον (ὅπερ οἱ νεώτεροι ὡς πολὺ μεταγενεστέραν καὶ νόθον σημείωσιν ἀδίκως ἐξέβαλον) βεβαιοῦσι· α) Ὁ τρεῖς περίπου πρὸ τοῦ Θεοδοτίωνος αἰῶνας ἀκμάσας Πολυΐστωρ, καὶ οὗτος ἐκ τοῦ συγχρονίσαντος τοῖς Ο περικλεοῦς Ἀριστέου τὴν ῥῆσιν λαβὼν (β). β) Ὁ Θεοδοτίων. γ) Ὁ

(α) S. Hier. praef. in Job. καὶ Apolog. adv. Rufin. lib. 2· col. 429: πρβλ. Cappell. Crit. Sacr. p. 295.

(β) «Ἄκουε δὲ οἷα καὶ περὶ τοῦ Ἰὼβ ὁ αὐτὸς (Πολυΐστωρ) ἱστορεῖ. «Ἀριστέας δὲ φησὶν ἐν τῷ περὶ Ἰουδαίων, τῶν υἱῶν Ἡσαῦ [υἱὸν] γήμαντα Βοσσόραν ἐν Ἐδὼμ γεννῆσαι Ἰώβ· κατοικεῖν δὲ τοῦτον ἐν τῇ Αὐσίτιδι χώρᾳ ἐπὶ τοῖς ὅροις (ἴσ. ὁρίοις) τῆς Ἰδουμαίας καὶ Ἀραβίας. — Τοῦτον δὲ τὸν Ἰὼβ, πρότερον Ἰωβὰβ ὀναμάζεσθαι — Φαύλως δὲ αὐτοῦ διακειμένου, ἐλθεῖν εἰς ἐπίσκεψιν Ἐλίφαν (ἴσ. Ἐλιφὰζ) τὸν Θαιμανιτῶν βασιλέα, καὶ Βελδὰδ τὸν Σαυχέων τύραννον, καὶ Σωφὰρ τῶν Μινναίων βα-

Ἄραψ, καὶ πᾶσαι αἱ ἐκ τῶν Ο, παλαιαὶ μεταφράσεις. δ) Πάντες οἱ πολυπληθεῖς καὶ παλαιοὶ κώδηκες τῶν Ο, ὧν τὰς συμφώνους ἀναγνώσεις Ὅλμης ἐξέδωκε. ε) Αἱ τῶν Ἀποστόλων Διαταγαὶ (Ε, ζ). ϛ) Ὁ Ὠριγένης, καὶ οἱ λοιποὶ περὶ ὧν προείπομεν (Βιϐλ. Β. σελ. 584–587).

§. κϛ. Ἐκ τῶν Ψαλμῶν.

Ψαλμ. Α. στίχ. 1. (Καὶ ἐπὶ καθέδρᾳ) «*λοιμῶν*» (οἱ Ο, ἡ Βουλγάτα, Βαρνάϐα ἐπιϛολή, Ἰουϛῖν. Ἀπολογ. α. κτλ.)· τὸ δ' ἑβραϊκὸν ἔχει *Λετζιμ*, ὅπερ ὁ Ἀκύλας ἡρμήνευσε *χλευαστῶν*· ὁμοίως καὶ τῶν νεωτέρων οἱ πλεῖστοι. Ἀλλὰ τὴν σημασίαν τῆς ἑβραϊκῆς φωνῆς ὥρισε τελειότερον αὐτὸς ὁ Σολομὼν, καὶ σαφῶς ἐξέφρασαν καὶ ἐπιχαρίτως οἱ Ο (Παροιμ. κα, 24). «Θρασὺς, καὶ αὐθάδης, καὶ ἀλαζὼν *λοιμὸς* καλεῖται» (ὡς αὐθάδης καὶ ὑϐριστὴς, τῶν θείων καὶ ἁγιωτάτων αἴσχιστα καταλαζονευόμενος· διὸ καὶ λωϐητὴρ, καὶ φθοροποιὸς) (α), ὅπου καὶ τὸ ἑϐρ. τὴν αὐτὴν ἔχει λέξιν (ὡσαύτως καὶ Παροιμ. ιθ, 25: κϐ, 10, κτλ. καὶ τὸ ἐν Ὠσηὲ ζ, 5. «Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ μετὰ λοιμῶν», ἀνάλογον πρὸς τὸ «*ἐν καθέδρᾳ λοιμῶν οὐκ ἐκάθησε*»). Καὶ αὐτὸ δὲ τὸ ἑλληνικὸν λοιμὸς, φραστικώτατον (ϐ). — στίχ. 4. «*Οὐχ οὕτως* οἱ ἀσεϐεῖς, *οὐχ οὕτως*»

σιλέα». κτλ. Πολυΐστ. παρ' Εὐσεϐ. Εὐαγγ. Προπ. σελ. 251. Lut. πρϐλ. ὄπισθ. Βιϐλ. Α. σελ. 32. Οὕτω κατὰ λέξιν ὁ τοῦ Πολυΐστορος Ἀριστέας ἀντέγραψεν ἐκ τῶν Ο τὰ ἐν τῷ τέλει τοῦ Ἰὼϐ ἱστορικώτερον.

(α) Οὕτω καὶ τὸ λώϐη, λωϐητὴρ, τὸ αὐτὸ καὶ λυμεὼν, λύμη (ὡς τὸ λοιμὸς), σημαίνει καὶ τὸ χλευαστής (Ἡσύχ. ἐν λέξεσι λώϐη, λωϐώμενος, χλευάζων). Τὸ δὲ λώϐη συγγενὲς τοῦ ἑϐρ. Λααϐ (Laab), ὅπερ πάλιν ἁπλῶς ἑρμηνεύουσι χλευάζειν (καὶ οἱ Ο, μυκτηρίζειν. Β. Παραλ. λϛ, 16). Καὶ αὐτὸ δὲ τὸ Λετζ συγγενὲς ἔοικε τοῦ λάσθη (χλεύη, ὕϐρις, αἰσχύνη, κτλ. ἐκ τοῦ λάζω, λάζομαι)· πρϐλ. Gesen. Lexic. Hebr. pag. 527, 533, 535.

(ϐ) Βλ. Σειρὰν τῶν Πατέρων εἰς τοὺς Ψαλμοὺς τόμ. α. σελ. 9. ἐκδ. Corder. ὅπου καὶ ἡ ἐφεξῆς ἑρμηνεία τοῦ Εὐσεϐίου (εἰς τὰ τρία τοῦ ψαλμοῦ ἐπίθετα τὰ, ἀσεϐῶν, ἁμαρτωλῶν, λοιμῶν). «Πρῶτοί εἰσιν οἱ τὴν ψευδώνυμον ἔχοντες γνῶσιν, μηδὲν ἔχοντες ἑστηκὸς, ἀλλ' ἀνεξετάστοις κινούμενοι λογισμοῖς ἐν οἷς ἂν βουληθῶσιν. Οἱ ἀσεϐεῖς δεύτεροι πάντες οἱ μετὰ γνῶσιν ἀληθείας ἐξαμαρτάνοντες. Οἱ δὲ λοιμοὶ τρίτοι, μὴ μόνον νοσοῦντες, ἀλλὰ καὶ φθοροποιοῦ διδασκαλίας μεταδιδόντες ἢ κατὰ γνῶσιν, ἢ κατὰ πρᾶξιν, ἢ κατ' ἀμφότερα· οἳ καὶ ἐνίδρυνται

(οἱ Ο, ἡ Βουλγ., ὁ Σύρος, ὁ Ἄραψ, κτλ. Βαρνάβα ἐπιστολὴ § 6, Ἰουστῖνος ὁ *μάρτυς* Ἀπολογίᾳ α, § 40)· ἐν δὲ τῷ νῦν ἑβρ. ἅπαξ κεῖται τὸ *οὐχ οὕτως*, ἐκπεσόντος ἔκπαλαι τοῦ διὰ τὴν ἐπανάληψιν ἐμφαντικωτάτου δευτέρου *οὐχ οὕτως* (βλ. Θεοδώρ. Ἑρμην. εἰς Ψαλμ. κἂν ὁ Ῥοδομύλλερος ἀμφιβάλλῃ. Σχόλ. αὐτόθ.). Ὑπῆρχε δὲ καὶ πρὸ τοῦ Ὠριγένους ἐκπεπτωκὸς, ὡς αὐτὸς μαρτυρεῖ· «Οὔτε τὸ ἑβραϊκὸν ἐδίπλωσε τὴν λέξιν, οὔτε τῶν ἑρμηνευτῶν οὐδείς» (Σχολ. αὐτόθ.)· σύνηθες δὲ τὸ τῆς ἀναδιπλώσεως σχῆμα καὶ παρ' Ἑβραίοις, καὶ παρ' αὐτῷ τῷ Προφητάνακτι, οἷον καὶ τὸ « *Μὴ ἡμῖν* Κύριε, *μὴ ἡμῖν*», κτλ.— Αὐτόθ. Λείπει ἐκ τοῦ ἑβρ. καὶ τὸ « ἀπὸ προσώπου τῆς γῆς» (οἱ Ο, Βουλγάτα, Ἰουστῖνος, κτλ.). Ὁ δὲ Σκλευσίνερος [Opusc. Critc.] μάτην ἀπεφήνατο τὸ κόμμα *ἄκρατον προσθήκην*, διότι λείπει ἐκ τοῦ Χαλδαίου καὶ τοῦ Σύρου, συγχωλαινόντων τῷ μ. Χ. ἑβραϊκῷ· Οὐδ' Ἱερώνυμος (φησὶν) ἔχει τοῦτο. — Ἀλλ' Ἱερωνύμου πιστοτέρα πάντως ἡ ἀρχαία Βουλγάτα, ἢ Ἰτάλα, καὶ Ἰουστῖνος, καὶ ἡ τοῦ Βαρνάβα ἐπιστολὴ § 10, ἐν ᾗ ὅλος ὁ α, Ψαλμὸς ἀναγινώσκεται ἀκριβῶς κατὰ τοὺς Ο.

Ψαλμ. Β. στίχ. 6, 7. « Ἐγὼ δὲ *κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ*.. διαγγέλλων τὸ πρόσταγμα *Κυρίου*. Κύριος εἶπε *πρός* με, υἱός μου εἶ σὺ», κτλ. (οἱ Ο, ἡ Βουλγάτ., ὁ Ἄραψ, κτλ. Ἀποστ. Διαταγ. β, 32. Κλήμης ὁ Ῥώμ. α, Κορινθ. § λς. Ἰουςῖν. Ἀπολογ. α. κτλ.)· τὸ δ' ἑβραϊκὸν, « Καὶ ἐγὼ *κατέστησα τὸν βασιλέα μου*.. διηγήσομαι αὐτὸν πρόσταγμα Κυρίου· εἶπε πρός με » (τὸ *Κύριος* λείπει) κτλ. Οὕτως ἠλλοίωσαν οἱ μ. Χ. ῥαββῖνοι τὸν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεάνθρωπον παμβασιλέα σαφῶς ἀφορῶντα τοῦτον Ψαλμὸν (ὡς Πέτρος καὶ Παῦλος ἡμᾶς διδάσκουσι. Πράξ. δ, 25: ιγ, 33. Ἑβρ. α, 5: ε, 5). Καὶ ἐφαρμόζουσιν αὐτὸν ἰουδαϊκῶς οἱ μὲν εἰς τὸν Δαβὶδ, οἱ δὲ πλεῖστοι εἰς τὸν Σολομῶντα (συμφωνούντων καὶ πολλῶν

τῷ κακῷ » κτλ. Ἐν τούτοις διορθωτέον τὰ πρῶτα (παρεκτραπέντα τῆς τάξεως αὐτῶν ὑπὸ τῆς ἀβλεψίας τοῦ μεταγραφέως), καὶ γραπτέον ἴσως οὕτω· « Πρῶτοί εἰσιν οἱ ἀ σ ε β ε ῖ ς, οἱ τὴν ψευδώνυμον ἔχοντες γνῶσιν, μηδὲν ἔχοντες ἑστηκός· ... ἐν οἷς ἂν βουληθῶσι. Δεύτεροι, πάντες οἱ μετὰ τὴν γνῶσιν τῆς ἀληθείας κτλ.

ῥαββινιστῶν κριτικῶν). Καὶ ὁ ῥαββὶς Ἰάρχις ὁμολογεῖ μὲν, ὅτι ὁ Ψαλμὸς ἀναφέρεται εἰς τὸν Μεσσίαν· ἀλλ᾽ ὅμως, λέγει, συμφέρει τοῦτον ἐπὶ τοῦ Δαβὶδ ἐκλαμβάνειν κατὰ γράμμα, ἕνεκα τῶν *Μινίμ* (τῶν αἱρετικῶν, οὕτως ὀνομάζουσι τοὺς Χριστιανούς). Καὶ δικαίως λοιπὸν ὁ Πεζρώνιος (σελ. 178) ἔκρινε καὶ τοῦτο τὸ χωρίον ἑκουσίως ὑπὸ τῶν ῥαββίνων διαφθαρέν. — στίχ. 9. « *Ποιμανεῖς* αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ» (οἱ Ο, Σύρος, Βουλγάτ., Ἄραψ, καί τινες τῶν νεωτέρων κριτικῶν, οἷον ὁ Ἴλγην, κτλ.). *Ποιμανεῖς* ἀνέγνω καὶ αὐτὸς ὁ θεῖος Εὐαγγελιστὴς Ἰωάννης (Ἀποκαλ. β, 27, ιθ, 15). «Καὶ φησὶν (ἡ προφητεία)« Ἐν ῥάβδῳ σιδηρᾷ *ποιμανεῖς αὐτούς*»· ταύτῃ καὶ ὁ Ἀπόστολος κινηθεὶς ἐν τῇ πρὸς Κορινθίους (Β, δ) « τί θέλετε; φησὶν, ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; » (Κλήμ. Παιδαγ. Α, ζ). Τὸ δὲ νῦν ἑβραϊκὸν ἔχει « *συντρίψεις* αὐτοὺς », κτλ. Ἀλλὰ καὶ αὐτὸ ἐν Μιχ. ε, 6. γράφει «*ποιμανεῖς ἐν ῥομφαίᾳ*» (βλ. καὶ ὄπισθ. κεφ. θ. §. ιε, σελ. 313).— ϛχ. 10. «Πάντες οἱ κρίνοντες» (οἱ Ο, Ἰουστῖν. Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ.)· ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ, *πάντες*. — στίχ. 12. « Δράξασθε *παιδείας* » (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 774). — Αὐτόθ. «Ἐξ *ὁδοῦ δικαίας*» (οἱ Ο, Βουλγάτα, Σύρος καὶ ὁ Χαλδαῖος)· ἐκ τοῦ ἑβρ. λείπει τὸ, *δικαίας* (ὁ δὲ Σκλευσίνερ. αὐτόθ. καὶ τοῦτο κατεδίκασεν ἡμῖν, ὡς ἀπό τινος σχολίου εἰσρυέν!) (α). — Ψαλ. Γ. ϛχ. 7. « Ἐπάταξας—ματαίως» κτλ. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 777.

(α) Ὁ β, *οὗτος ψαλμὸς ἔν τισι τῶν ἀντιγράφων καὶ ἐκδόσεων τῆς* Καινῆς Διαθήκης *μνημονεύεται ὡς πρῶτος· «Ὡς καὶ ἐν τῷ πρώτῳ ψαλμῷ γέγραπται· υἱός μου εἶ σὺ » κτλ.* (Πράξ. ιγ, 33· *οὕτω καὶ ἐν τῇ ἐκδόσει τοῦ* Griesbach *καὶ τῇ τοῦ* Ἄλδου, *καὶ τῇ τοῦ Ἐράσμου, κατὰ τὸν* Κανταβριγίας *κώδηκα*). Ἀλλὰ *καὶ* Ἰουστῖνος, Κυπριανὸς, Ἱλάριος, *Ὠριγένης*, Τερτυλλιανὸς, Ἡσύχιος *Ἱεροσολύμων*, Οἰκουμένιος, *ὡς πρῶτον ἀναφέρουσι τὸν ψαλμόν*. Καί *τινες ἑβραῖοι κώδηκες ὡσαύτως* (De-Rossi, Supplem pag. 96.). *Τοιοῦτον εἶχε καὶ Ἱερώνυμος* « Apud Hebraeos (λέγει) et primus et secundus unus est psalmus, quod in Apostolorum Actibus comprobatur. Ἀλλ᾽ *οὐχ ἧττον ἀρχαία φαίνεται ἡ καὶ ὡς δευτέρου αὐτοῦ ἐπιγραφὴ, καθὰ δηλοῦσιν ἄλλοι κώδηκες ἑβραῖοι, καὶ τὸ κοινὸν ἑβραϊκόν*. Καὶ *ἐν πλείστοις δὲ τῶν ἀρχαίων ἀντιγράφων τῆς* Καινῆς Διαθήκης (Πράξ. ιγ. 33) *« ἐν δευτέρῳ ψαλμῷ » γέγραπται (ὡς καὶ συνήθως ἀναγινώσκεται)· λέγει δὲ καὶ Ὠριγένης. « Δυσὶν ἐντυχόντες ἑβραϊκοῖς ἀντιγράφοις, ἐν μὲν τῷ ἑτέρῳ εὕρομεν ἀρχὴν δευτέρου ψαλμοῦ ταῦτα, ἐν δὲ τῷ ἑτέρῳ συνῆπτο τῷ πρώτῳ*. — Τὰ ἐλ-

Ψαλμ. Δ. στίχ. 2. « Υἱοὶ ἀνθρώπων » κτλ. (ὄπισθ. Βιβλ. Β. σελ. 778). - στίχ. 7. « *Ἀπὸ καρποῦ σίτου, οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν* » (οἱ Ο, Ἀκύλας, Σύμμαχ., Θεοδοτ., καὶ ἡ Βουλγάτα)· τὸ δ᾽ ἑβρ. « *Ἀπὸ καιροῦ* ὁ σῖτος καὶ *ὁ οἶνος αὐτῶν ἐπληθύνθη* ». Λείπει τὸ *ἔλαιον* ἐκ τοῦ ἑβρ. διαῤῥυέν. Περὶ δὲ τοῦ *ἀπὸ καιροῦ* λέγει καὶ Ὠριγένης, ὅτι « ἐν τῷ ἑβρ. *ἀπὸ καιροῦ* εἶχε· καὶ οἱ Ο δὲ οὕτω τεθείκασιν· ὡς τῆς ὅλης λέξεως εἶναι τὸν νοῦν τοιοῦτον· ἐν τῷ καιρῷ τῶν θεριζομένων σπερμάτων, σίτου... καὶ τῶν τοιούτων ἁπάντων ἐπληθύνθησαν » (Σειρ. εἰς Ψαλμ.). Κατὰ τὸν Ὠριγέν. ἔγραψε καὶ ὁ Ἱερών., μεταβαλὼν τὸ *ἀπὸ καιροῦ* εἰς τὸ *ἐν καιρῷ* (in tempore)· ὁ δ᾽ Αὐγουστῖνος καὶ ὁ Κασσιόδωρος ἐτήρησαν τὸ *ἀπὸ καιροῦ* (à tempore), καὶ τοῦτο παρεισέφρησεν ἴσως εἴς τινα χειρόγραφα τῆς ἀρχαίας Βουλγάτας, ἢ Ἰτάλας (ἡ δ᾽ ἀποσωθεῖσα καὶ εἰς ἡμᾶς αὐτῆς ἑρμηνεία ἔχει ἀπὸ καρποῦ, à fructu). Καὶ κατὰ τοῦτο λοιπὸν οἱ Ο λέγουσιν, ὅτι *ἐν καιρῷ* τῶν προϊόντων, ἢ *ἀπὸ τοῦ καιροῦ* τούτων (ἔκτοτε καὶ ἐφεξῆς) *ἐπληθύνθησαν* (ηὔξησαν εἰς πλῆθος οἱ ἀπολαύσαντες). Ἀλλὰ τὸ ἑβρ. λέγει τἀνάπαλιν, ὅτι « ὁ σῖτος καὶ ὁ οἶνος αὐτῶν ἐπληθύνθησαν. Καὶ φαίνεται ἄρα ὅτι ὁ μὲν Ὠριγένης (εἴπερ Ὠριγένους, καὶ μὴ μεταγενεστέρα ἡ σημείωσις) ἀνέγνω τὸ ἀπὸ καιροῦ ἔν τισιν ἀντιγράφοις τῶν Ο, μετεῤῥυθμημένοις ἴσως πρὸς τὴν (μετὰ τοὺς Ο πάντως) ἐν τῷ ἑβραϊκῷ μεταλλαγεῖσαν ἀνάγνωσιν τοῦ *ἀπὸ καρποῦ* εἰς τὸ *ἀπὸ καιροῦ*. Ἀλλ᾽ ὅτι τὸ ἑβρ. εἶχεν ἐπὶ τῶν Ο *ἀπὸ καρποῦ*, δῆλον ἐκ

ληνικὰ δὲ (τῶν Ο καὶ τῶν λοιπῶν) ἀντίγραφα δεύτερον εἶναι τοῦτον μηνύει» κτλ. (*παρὰ* Monfauc. Hexapl. vol. 1. p. 475). *Καὶ φαίνεται ἄρα ἡ τοῦ πρώτου ψαλμοῦ διαίρεσις οἷόν τις προλόγου, ἢ προοιμίου διάκρισις ἀπὸ τῶν λοιπῶν κεφαλαίων* (*βλ.* De-Rossi, Var. Lect. V. Test. vol. 4. p. 1). *Συμφωνεῖ δὲ τοῖς Ο, περὶ τοὺς ἀριθμοὺς τὸ νῦν ἑβραϊκὸν καὶ ἐφεξῆς, μέχρι τοῦ θ, ψαλμοῦ. Τοῦτον δὲ τὸ κοινὸν ἑβρ. διαιροῦν εἰς δύω (ἀπὸ τοῦ 21 στίχου «Ἵνα τί κύριε»; κτλ. μέχρι τέλους· ὃ καὶ παρὰ τῷ ἱερῷ Θεοδωρήτῳ σεσημείωται), ἔπειτα προχωρεῖ μιᾷ μονάδι περιττεῦον· καὶ ὁ ι, τῶν Ο, ἀριθμεῖται ὁ ια, παρ᾽ ἑβραίοις, καὶ οὕτως ἐφεξῆς, ἕως τοῦ ρμς τῶν Ο, καὶ ἑβρ. ρμζ, ὅπου συνάπτουσι καὶ τὸν ρμζ τῶν Ο, τὸν «Ἐπαίνει Ἱερουσαλὴμ», καὶ οὕτω συμφωνοῦσι πάλιν ἀμφότερα τὰ κείμενα ἀπὸ τοῦ ρμη, μέχρι τοῦ ἐσχάτου ρν. Ἀλλὰ καὶ αἱ τῶν ψαλμῶν ἐπιγραφαὶ ἐν τῷ νῦν ἑβρ. τὰ μέγιστα καὶ πλεῖστα διαφέρουσιν ὧν ἀνέγνων καὶ ἐπέγραψαν οἱ Ο,*

τῶν ἐφεξῆς· α) Οἱ τρεῖς (Ἀκύλας, Σύμμαχ., Θεοδοτ.) ἡρμήνευσαν *ἀπὸ καρποῦ*· β) Πάντα τὰ καὶ εἰς ἡμᾶς ἀποσωθέντα παλαιὰ καὶ πολυπληθῆ χειρόγραφα τῶν Ο, ἔχουσιν *ἀπὸ καρποῦ* (ὁ δὲ Γράβης καὶ ὧδε προχείρως εἰσήγαγεν εἰς τὸ κείμενον τοῦ Ἀλεξανδρινοῦ κώδηκος τὸ *ἀπὸ καιροῦ*, παραγράψας εἰς τὴν ὤαν τὸ *ἀπὸ καρποῦ*, ὡς εἶχε καὶ τὸ Ἀλεξανδρ. ἐξ ἀρχῆς)· γ) Αὐτὸ τὸ νόημα τοῦ λόγου ἀπαιτεῖ τὸ *ἀπὸ καρποῦ*· τοῦτο γὰρ συμφωνεῖ πρός τε τὰς ἐπομένας γενικὰς, *σίτου* καὶ τῶν λοιπῶν, καὶ πρὸς αὐτὸ τὸ *ἐπληθύνθησαν* τουτ. ἐπλεόνασαν, ἐπερίσσευσαν, εὐθηνήθησαν (οὕτω καὶ τὸ ἐνεργητικὸν « *πληθυνεῖ σε εἰς ἀγαθά* ». Δευτερον. κη, 11, τουτ. εὐθηνεῖν καὶ πλεονάζειν σε ποιήσει, πλουτιεῖ σε)· ἢ καὶ εἰς πλῆθος ἀπώναντο (τῶν καρπῶν τούτων), πολυπληθῶν γενομένων. Οὕτω παραφράζει καὶ ὁ ἱερὸς Ἀστέριος· « Ἀπὸ καρποῦ σίτου, καὶ οἴνου, καὶ ἐλαίου (με) *ἐπλούτισας*, ὡς μὴ μόνον ἐμὲ, ἀλλὰ καὶ τοὺς ὑπ' ἐμὲ ἀπολαῦσαι » κτλ. δ) Πάντες οἱ καθ' ἡμᾶς ἀρχαῖοι Πατέρες (οἵτινες εἶχον καὶ τὰ τοῦ Ὠριγένους πρὸ ὀφθαλμῶν), οἷον Χρυσόστομος, Θεόδωρος ὁ Ἡρακλείας, Κύριλλος, Θεοδώρητος, καὶ οἱ λοιποὶ, *ἀπὸ καρποῦ* ἀνέγνωσαν (βλ. Σειρ. εἰς τοὺς Ψαλμ.). Καὶ ταύτην τὴν ἀνάγνωσιν διατηρεῖ μέχρις ἡμῶν καὶ ἡ χρῆσις τῆς Ἐκκλησίας. Ἀλλὰ καὶ τῶν νεωτέρων κριτικῶν τινες τὸ *ἀπὸ καρποῦ* προτιμῶσι (Κλάριος, Γρότιος, καὶ ἄλλοι· Δρούσιος δὲ παρεκτρέπεται) (α). Ὁ δὲ Σκλευσίνερος (β) τήν τε συμφωνίαν τῶν τριῶν (Α. Σ. Θ.), ὑπὲρ τῆς γνησίας ἀναγνώσεως τοῦ *ἀπὸ καρποῦ* τῶν Ο προβαλὼν, καὶ προσθεὶς, ὅτι οὐδεὶς τῶν ἀρχαίων κωδήκων γνωρίζει τὴν *ἀπὸ καιροῦ* γραφὴν, ἔπειτ', ἀγνοῶ τί ποτε μαθὼν, ἐπενόησεν, ὅτι αὐτοὶ οἱ Ο, μετέτρεψαν τὸ ἑβρ. *ἀπὸ καιροῦ* εἰς τὸ *ἀπὸ καρποῦ*! Ἀλλ' ἡ μὲν ἐπίνοια τοῦ σοφοῦ πάσης ἀπαντήσεως ἥττων· ὡμολόγησε δ' οὖν καὶ αὐτὸς, ὅτι *ἀπὸ καρποῦ* ἔγραψαν οἱ Ο.

Ψαλμ. Ζ. στίχ. 2. « Μὴ ὄντος λυτρουμένου *μηδὲ σῴζοντος* » (οἱ Ο, Βουλγάτα, Σύρος, Ἄραψ). Ἐκ δὲ τοῦ ἑβραϊκοῦ ἐξέπεσε τὸ

(α) Drus. Quaest. Ebr. III. 21.

(β) Schleusn. Thes. V. T. λ. καρπός.

δεύτερον ἀρνητικὸν (μηδέ)· ὅθεν τὸ ἑβρ. ῥῆμα *Φαρακ* (ὃ σημαίνει καὶ τὸ σῴζω, ῥύομαι, καὶ τὸ θραύω, καὶ *σπαράσσω*) οἱ πλεῖστοι τῶν νεωτέρων ἐξηγοῦσι κατὰ τὴν β, σημασίαν (Σχούλζ.)· καὶ δὴ λέγει κατ᾽ αὐτοὺς τὸ ἑβρ. («Μή ποτε ἁρπάσῃ, ὡς λέων τὴν ψυχήν μου) *σπαράσσων*, καὶ μὴ (ἐλλειπ. ὄντος) σῴζοντος»! (ἅλις ἐπαρίστερος καὶ μογιλάλος ἐπεξήγησις!). – στχ. 11. «Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην» (οἱ Ο, καὶ ἡ Βουλγάτα)· βλ. ὄπισθ. σελ. 401. Ὅσοι δὲ μετὰ τῶν ῥαββίνων εἰσάγουσιν *ὀργιζόμενον καθ᾽ ἑκάστην* τὸν μακρόθυμον Θεὸν (κατὰ τὸ νῦν ἑβραϊκὸν), ἔλαθον ἀντιλέγοντες καὶ πρὸς ὅπερ αὐτὸς ὁ Προφητάναξ εἶπε μικρὸν ἀνωτέρω (ψαλμ. β, 12) «*μή ποτε ὀργισθῇ Κύριος*» (ὡς μήπω δηλονότι ὀργισθείς).

Ψαλμ. Θ. στχ. 18. «Ἡ ὑπομονὴ τῶν πενήτων ΟΥΚ ἀπολεῖται» (οἱ Ο, καὶ πᾶσαι τῶν ἀρχαίων αἱ μεταφράσεις, καὶ κώδ. ἑβρ. Ῥόσσ.). Ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ ΟΥΚ· διὸ καὶ τοῦτο προστιθέασιν ἐξ ἀνάγκης. Ὥστε τὸ μὲν κείμενον αὐτῶν λέγει *ναὶ*, αὐτοὶ δὲ, *οὔ*! πειρῶνται δὲ δικαιοῦν τὴν ἔλλειψιν τῆς ἀρνήσεως, ὡς δῆθεν ὑπακουομένης ἀπὸ κοινοῦ ἐκ τοῦ προηγουμένου, «ὅτι *οὐκ εἰς* τέλος ἐπιλησθήσεται ὁ πτωχός». Ἀλλ᾽ ὅτι μὲν ἀπαντῶσιν ἔστιν ὅπου τοιαῦται ἐλλείψεις κἀν τῇ ἑβραϊκῇ, πρόδηλον· ὅτι δὲ καὶ ὧδε, ἐν μεταβολῇ προσώπων καὶ προτάσεων, κρατεῖ τὸ τῆς ἐλλείψεως σχῆμα, credat Judaeus apella!

Ψαλμ. Ι. στίχ. 5. «Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσι» (οἱ Ο, ἡ Βουλγ.). Ἐκ τοῦ ἑβραϊκ. λείπει τὸ *εἰς τὸν πένητα* (ἀλλὰ πρβλ. Ψαλμ. θ, 18, καθ᾽ ἑβρ. ι, 8, ὅπου ἡ φράσις ἡ αὐτή).

Ψαλμ. ΙΒ. (ἑβρ. ιγ) στίχ. 6. «Καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου» (οἱ Ο, ἡ Βουλγάτ.)· ἐκ τοῦ ἑβρ. λείπει, πρόπαλαι ἐκπεσόν· ὅθεν οὐδὲ παρ᾽ Ἀκύλᾳ καὶ τοῖς ἄλλοις ἔκειτο (Μοντεφαλ. Ἑξαπλ.). Ἐπικυροῦται δὲ ὅμως ἐκ τοῦ παραλλήλου τόπου (ψαλμ. ζ, 17), ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ.

Ψαλμ. ΙΓ. (ἑβρ. ιδ) στίχ. 1. «*Οὐκ ἔστιν ἕως ἑνὸς*» (οἱ Ο, ἡ Βουλγάτ.)· ἐκ τοῦ ἑβραϊκοῦ λείπει· κυροῦται δὲ ἐν τῷ ἐφεξῆς τρίτῳ

στίχῳ, ὅπου πάλιν ὁ αὐτὸς ὁλόκληρος ἐπαναλαμβάνεται στίχος ἔν τε τῷ ἑβραϊκῷ καὶ τοῖς Ο. Ἐν δὲ τῷ παραλλήλῳ τόπῳ (Ψαλμ. νβ, 3) εἴρηται συντομώτερον (ὡς καὶ τὰ ἐν στίχ. 6). Ἐκ τοῦ ἀνωτέρω στίχου τούτου, φαίνεται καὶ ὁ θεῖος Παῦλος ἐξενεγκὼν τὸ, « *ἕως ἑνὸς* » (Ῥωμ. γ, 10).–ϛχ. 5. « *Οὗ οὐκ ἦν φόβος* » (οἱ Ο, ἡ Βουλγ. Ἄραψ, κώδ. ἑβρ. Ῥόσσ.). Ἐκ τοῦ ἑβρ. λείπει, παλαιόθεν ἐκπεσὸν (βλ. ὄπισθ. σελ. 199). Ὅθεν οὐδ᾽ οἱ τρεῖς εἶχον τοῦτο, (Μοντεφ. Ἑξαπλ.). Ἀλλ᾽ ἡ ἔκπτωσις τοῦ κόμματος ἀνακηρύττεται λαμπρῶς ἐκ τοῦ παραλλήλου τόπου (Ψαλμ. νβ, 5), ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς τρισὶ (Ἀκύλ. Σύμμαχ. Θεοδοτ.)· πρβλ. Παροιμ. κη, 1.

Ψαλμ. ΙΕ. (ἑβρ. ιϛ) στίχ. 3. « Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ *ἐθαυμάστωσεν* ὁ κύριος· πάντα τὰ θελήματατα αὐτοῦ ἐν αὐτοῖς » (οἱ Ο· ἔν τισιν ἐκδόσεσι καὶ ἐκ τῆς Βουλγάτας λείπει τὸ ὁ *κύριος* ὑπονοούμενον). βλ. ὄπισθ. σελ. 429. – στίχ. 9. « Ἠγαλλιάσατο ἡ *γλῶσσά μου*· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι (οἱ Ο, ἡ Βουλγάτα). Τὸ δὲ νῦν ἑβρ. « Ἠγαλλιάσατο *ἡ δόξα μου*· ἔτι *ἡ σάρξ μου κατοικήσει ἐν ἀσφαλείᾳ* ». Ἀλλὰ τὴν γνησίαν καὶ προφητικὴν ἀνάγνωσιν τῶν Ο καὶ ὁ θεῖος Πέτρος ἐκύρωσεν εἰς αἰῶνας (Πράξ. β, 26)· ἡ δὲ καθ᾽Ἑβραίους ἀνάγνωσις ἀντιβαίνει καὶ εἰς τὴν ἀποστολικὴν ἔννοιαν.–στίχ. 10. « Οὐκ ἐγκαταλείψεις . ., οὐδὲ δώσεις *τὸν ὅσιόν σου* ἰδεῖν διαφθορὰν » (οἱ Ο, Βουλγ. Σύρος, Χαλδ. Ὠριγένης, Ἱερώνυμος, καὶ οἱ θεῖοι Ἀπόστολοι Πέτρος καὶ Παῦλος, Πράξ. β, 31: ιγ, 35). Τὸ δ᾽ ἑβρ., « οὐδὲ δώσεις *τοὺς ὁσίους σου* ἰδεῖν *λάκκον* (τάφον) ». Καὶ τοῦτο μὲν ἐστὶ παρεξήγησις τοῦ ἑβρ. *Σαχαθ*, ὅπερ σημαίνει μὲν καὶ λάκκον, ἢ ὄρυγμα, καὶ τάφον (α), σημαίνει δὲ καὶ ἰδίως *διαφθορὰν*, ἄλλην τε παντοίαν, καὶ τὴν ἐν τάφῳ σῆψιν καὶ διάλυσιν τῶν σωμάτων (ὡς ἐν Ἰὼβ ιζ, 14). Τοῦτο

(α) Οὕτω καὶ αὐτοὶ οἱ Ο πολλαχοῦ ἡρμήνευσαν δ ι α φ θ ο ρ ὰ ν συνεκδοχικῶς ἀντὶ τόπου φθορᾶς· (οἷον Παροιμ. κη, 10. Ψαλμ. θ, 15)· παρομοίαν συνεκδοχὴν ἔχει παρ᾽ Ἕλλησι καὶ τὸ φ θ ό ρ ο ς, = φθορὰ, καὶ τόπος φθορᾶς. « Ὁ δὲ μῶμος, ἵν᾽ ὁ φθόρος, ἔνθα νέοιτο ». (Καλλίμ.). Ὅθεν καὶ Ἀκύλας καὶ Σύμμ. ἐν ψαλμ. ζ, 15, γράφουσι δ ι α φ θ ο ρ ὰ ν, ὅπου οἱ Ο, β ό θ ρ ο ν.

δὲ καὶ πολλοὶ τῶν ἐπισήμων κριτικῶν ὡμολόγησαν (α)· ἄλλοι δὲ τὸ *Σαχαθ* ἐνταῦθα διεφθαρμένον ὑπέλαβον ἀντὶ τοῦ *Σχεχιτα* (Schehitah) ἡ φθορά, ὡς εἶχε πρότερον τὸ ἑβραϊκὸν (Πεζρών. σελ. 210). Τὸ δὲ πάλιν *τοὺς ὁσίους σου* πληθυντικῶς (ἀντὶ τὸν *ὅσιόν σου*) δείκνυται προφανῶς ἐστρεβλωμένη τοῦ ἑβραϊκοῦ κειμένου γραφή· καταδικάζουσι δὲ ταύτην καὶ πάμπολλα τῶν χειρογράφων (ἐν οἷς οὐκ ἔφθη παρεισφρῆσαι καὶ αὕτη ἡ ἀντίχριστος λύμη), γράφοντα *τὸν ὅσιόν σου* (ἑνικῶς)· τοῦτο ἔχουσιν ὡς ἀναγνωστὸν (κερὶ) καί τινες ἐκ τοιούτων χειρογράφων ἐκδόσεις, καὶ αὐτὸ τὸ βαβυλώνιον Ταλμοῦδον· καὶ ἄλλα δέ τινα τῶν Ἰουδαίων παλαιὰ συγγράμματα ἑνικῶς ἀναγινώσκουσι τὴν λέξιν (βλ. Ῥόσσ. Τόμ. δ. σελ. 9–10). Ἀλλὰ τὸ κοινῶς παραδεδεγμένον ἑβραϊκὸν κείμενον φέρει τὴν λώβην ἀθεράπευτον καὶ πεπαῤῥησιασμένην, πληθυντικῶς ἀναγινῶσκον, *τοὺς ὁσίους σου* (βλ. ὄπισθ. σελ. 171). Ταύτην δὲ τὴν ἀνάγνωσιν καί τινες τῶν νεωτέρων κριτικῶν οὐκ ὤκνησαν δικαιῶσαι, λέγοντες, ὅτι τὸ πληθυντικὸν ἐνίοτε ἐκλαμβάνεται παρ᾽ Ἑβραίοις ἀντὶ τοῦ ἑνικοῦ! Ἀντεῖπον δὲ πρὸς αὐτοὺς ἄλλοι πολλῷ πλείονες καὶ σοφώτεροι (βλ. Ῥόσσ. αὐτόθ. καὶ Supp. σελ. 99). Οἱ δὲ περὶ τὸν Πεζρώνιον, καὶ αὐτὸς ὁ ἔνδοξος Κεννικῶτος ἑκουσίαν ἐξεπίτηδες κακουργηθεῖσαν ὑπὸ τῶν Ἰουδαίων καὶ ταύτην τὴν τοῦ κειμένου διαστροφὴν ἀνεκήρυξαν, ὅσον εὐκόλως τοσοῦτον δολερῶς

(α) Βλ. Vatable, καὶ Grotium, καὶ μάλιστα τὸν Schulz not. ad h. l. καὶ τὸν Δρούσιον (Quaest. Hebr. II. c. 45). Ὁ δὲ *κλεινὸς Γεσένιος ἄγαν περιειργασται, διατεινόμενος, ὅτι τὸ ἑβρ. Σαχαθ ὄλεθρον σημαίνει καὶ ἀπώλειαν, ἀλλ᾽ οὐ καὶ τὴν ἐν τάφῳ διάλυσιν, οἵαν (φησὶν) ἐξέλαβεν ὁ ἀπόστολος Λουκᾶς* (Πράξ. β, 27: ιγ, 35), *μνημονεύων τούτου τοῦ χωρίου τῶν Ο» (ἐν τούτῳ γὰρ τὴν θεόσωμον καὶ ἀδιάφθορον ταφὴν τοῦ Σωτῆρος ὁ Δαβὶδ προδιαγράφει, ὡς ὀψόμεθα εὐθύς). Ἀλλ᾽ αὐτὸς οὗτος ὁ σοφὸς ἐμνημόνευσε καὶ τὸ παρὰ τῷ Ἰὼβ* (ιζ, 14), *ὅπου καὶ ἡ Βουλγάτα ἔχει* putredinem, *καὶ οἱ Ο, σαπρίαν. Ἔπειτα, παρὰ τὰς γραμματικὰς ἐξονυχίσεις τῶν ἐν τοῖς ἐσχάτοις τούτοις χρόνοις σοφωτάτων ἑβραϊστῶν (καὶ ταύτας οὐκ ἐπ᾽ ἀγαθῷ, ἀλλ᾽ οὐδὲ πρὸς ἀλήθειαν ἔστιν ὅτε γινομένας), ἀσυγκρίτως ἀξιοπιστότεροι φαίνονται οἱ Ο γέροντες, οἵτινες ἠπίσταντο ποίαν εἶχε καὶ γραφὴν καὶ σημασίαν ἡ λέξις τῆς ἰδίας αὐτῶν γλώσσης· καὶ ταῦτα τὸν θεῖον Λουκᾶν ἔχοντες μάρτυρα, καὶ τὸ δι᾽ αὐτοῦ λαλῆσαν Πνεῦμα τῆς ἀληθείας.* Βλ. Gesenij, Lexic. Hebr. pag. 996. πρβλ. καὶ Rosenmüll. Schol. in Psalm. 16.

ῥᾳδιουργηθεῖσαν, πρὸς ἀντίστασιν κατὰ τῆς ἀποστολικῆς ἑρμηνείας καὶ γνησίας σημασίας τῆς προφητικῆς ῥήσεως (α). Αὕτη γὰρ *ἑνὸς καὶ μόνου* ὁσίου, τοῦ τῶν ἁγίων ἁγίου καὶ θεανθρώπου, τήν τε ἀδιάφθορον τοῦ θεανδρικοῦ σώματος ταφὴν, καὶ τὴν μετὰ ψυχῆς εἰς ᾅδου θεοπρεπῆ καὶ ζωηφόρον κάθοδον, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν τηλαυγῶς διαγράφει (β). Εἰ δέ τινες ἐκ τῆς χοροστασίας τῶν νεωτέρων κριτικῶν συμφωνοῦντες τοῖς ῥαββίνοις, ἀντιφθέγγονται, τεκταίνοντες βεβήλους παρεξηγήσεις καὶ τούτων τῶν θεοπνεύστων τοῦ προφητάνακτος χρησμῶν, πρὸς τοὺς τοιούτους ἐπᾴδομεν καλὴν ἐπῳδὴν τοὺς ἁπλοϊκοὺς λόγους τοῦ μακαρίου Θεοδωρήτου· « Ταῦτα (τοῦ Ψαλμοῦ τὰ λόγια) Πέτρος ὁ θεσπέσιος, ὁ καὶ τὴν παρὰ τοῦ Πατρὸς (Ματθ. ιϛ), καὶ τὴν παρὰ τοῦ Υἱοῦ (ιθ, 19), καὶ τὴν παρὰ τοῦ ἁγίου Πνεύματος (Πράξ. Β, 4–17) ἀποκάλυψιν δεξάμενος, ἡρμήνευσε (Πράξ. Β, 25–31). Ταῦτα καὶ τοῖς παρερμηνεύειν τολμῶσιν ἀναγκαῖον προφέρειν, καὶ μέν τοι καὶ Ἰουδαίοις· προφανῆ γὰρ ἔλεγχον ἔχουσι τῆς Ἰουδαίων ἐμβροτησίας » κτλ. (Σειρ. εἰς Ψαλμ. αὐτόθ.).

Ψαλμ. ΙΖ (ιη) 13. Τὸ ἑβραϊκὸν ἐπαναλαμβάνει περιττῶς τὸ « *χάλαζα καὶ ἄνθρακες πυρός* »· περὶ ταύτης τῆς ἐσφαλμένης ἐπαναλήψεως προείπομεν (ὄπισθ. σελ. 439). ἀγνοοῦσι δ' αὐτὴν οὐ

(α) Βλ. Kennicot. Diss. I. p. 485—487. καὶ Dissert. General. p. 21, 139.

(β) Διὸ μελῳδεῖ μετὰ τοῦ ψαλμῳδοῦ καὶ ἡ Ἐκκλησία· « Ἡ γὰρ σάρξ σου διαφθορὰν οὐκ εἶδε, Δέσποτα, οὐδὲ ἡ ψυχή σου εἰς ᾅδην ξενοπρεπῶς ἐγκαταλέλειπται » (Καν. τοῦ μεγ. Σαββάτ. ᾠδ. ε)· καὶ πάλιν· « Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, ὡς Θεὸς » κτλ. (πρβλ. Α, Πέτρ. γ. 19). Ἐκ δὲ τῶν νεωτέρων ἄλλοι τε παντοῖοι, καὶ ὁ παραχόρδους πολλάκις ἐκ τοῦ παναρμονίου Ψαλτῆρος στίχους ἐντείνας ἰταλὸς Mattei (J Salmi tradotti etc. Tom. 3. pag. 164, 166), καὶ τὸ οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου ἑρμηνεύουσιν οὐκ ἐγκαταλείψεις με ἐν τῷ τάφῳ ». Ἀλλ' ὅτι μὲν τὸ ψυχὴ παρὰ τῇ θείᾳ Γραφῇ οὐ μόνον πρόσωπον ἢ ἄτομον σημαίνει, ἀλλὰ καὶ αὐτὴν μάλιστα τὴν λογικὴν ψυχὴν, περιττὸν ἂν εἴη λέγειν. Ὅτι δὲ τὸ ἑβρ. Σεολ καὶ τάφον ἀλλαχοῦ, καὶ πολλαχοῦ δὲ καταχθόνιον σκότος, καὶ κυρίως τὸν ᾅδην (ὡς ἐνταῦθα) δηλοῖ, μάρτυς αὐτὸς πάλιν ὁ προφητάναξ (ψαλμ. θ, 17, καὶ ἀλλαχοῦ πολλαχοῦ, ὡς καὶ Ἰὼβ, λη, 17: Ἡσαϊ. ε, 14: ιδ, 9, κτλ.)· καὶ πάντες οἱ θεοῤῥήμονες Πατέρες τῆς Ἐκκλησίας οὕτω ταῦτα ἐξηγοῦσι, μηδ' αὐτῶν ἀντιλεγόντων τῶν κριτικῶν.

μόνον οἱ Ο, καὶ ἡ Βουλγ., ἀλλὰ καὶ πέντε κώδηκες ἑβραῖοι (Ῥόσσ.)· ἐξοβελίζουσι δὲ καὶ οἱ κριτικοί. (Ὁ δὲ σοφὸς Γράβης μηδὲν ὀκνήσας, παρεισῆξε καὶ ταύτην τὴν ἐπένθεσιν εἰς τὴν ἔκδοσιν τοῦ Ἀλεξανδρινοῦ).

Ψαλμ. ΙΗ (ιθ) 4. « (Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν) *ὁ φθόγγος αὐτῶν* » (οἱ Ο, ὁ Σύμμ., ὁ Σύρος, ἡ Βουλγ.)· τὸ δ' ἑβρ., « *τὸ σχοινίον* » (ἢ κατ' ἄλλους *ἡ γραμμὴ*, κατὰ δ' Ἀκύλαν, ὁ κανὼν) « *αὐτῶν* »· ὅπερ ἄλλοι ἄλλως πειρῶνται τροπικώτερον ἑρμηνεύειν, ἀνήνυτα μοχθοῦντες. Ἀλλ' οἱ Ο, σαφῶς ἀνέγνων *Κολαμ* (ἦχος, φωνή)· ὁ δ' Ἰουδαῖος ὕστερον ἔγραψε *Καυαμ* (γραμμή, κτλ.)· τῶν Ο, τὴν ἀνάγνωσιν ἐξηγεῖ καὶ ἐπικυροῖ ὁ θεῖος Παῦλος (Ῥωμ. Ι. 18)· πρὸς τοῦτο πολλοὶ διορθοῦσι καὶ τὴν διεφθαρμένην λέξιν τοῦ ἑβραϊκοῦ (Καπέλλιος, Γρότιος, Οὐβιγάντης). Καὶ αὐτὸς ὁ Ἱερώνυμος ἐν ᾧ ἐξελατίνισεν ἐκ τοῦ ἑβραϊκοῦ ψαλτηρίῳ, ἔγραψεν ὁ *ἦχος αὐτῶν* (sonus eorum). Καὶ ἴσως καὶ αὐτὸς ἐν τῷ κατ' αὐτὸν ἑβραίῳ κώδηκι ἀνέγνω *Κολαμ*.

Ψαλμ. ΙΖ (ιη) στίχ. 35. « Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος· καὶ ἡ παιδεία σου αὐτή με διδάξει » (οἱ Ο, ὁ Σύρος, ἡ Βουλγ.). Τὸ δὲ νῦν ἑβρ. ἔχει μόνον « Καὶ ἡ *πρᾳότης σου* (ἄλλ. ἡ παιδεία σου) *ηὔξησέ με* (καὶ ἄλλοι, *ἐπλάτυνέ με*) » (Μοντάν.). Ἔστι δὲ καὶ Σχόλιον (ἐν τῇ Ῥωμ. ἐκδ.) λέγον, ὅτι « Τὸ, *καὶ ἡ παιδεία σου αὐτή με διδάξει*, Θεοδοτίωνός ἐστιν, ἀντὶ τοῦ *καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος*, εἰρημένου τοῖς Ο ». Εἴπομεν περὶ τούτων (Βιβλ. Β. σελ. 864). Εἰσὶ δὲ καί τινα λατινικὰ ψαλτήρια (ὡς τὸ λεγόμενον Ῥωμαϊκὸν, καὶ τὸ Ἁγιογερμανικὸν [Sangermanense], καὶ ταῦτα τῆς Ἱερωνύμου πρὸς τὸ ἑβραϊκὸν διορθώσεως ἀπωνάμενα), ἅπερ ἔχουσι μόνον τὸ « Καὶ ἡ παιδεία σου αὐτή με διδάξει ». Ἐκ δὲ τούτων τῶν ἑρμηνειῶν ὁρμηθεὶς πρὸ μικροῦ καὶ ὁ σοφὸς Πλύσχης (σελ. 41) ἔψευσε καὶ τὸν Σχολιαστὴν, ὡς ἀναστρέψαντα τὰς φράσεις, καὶ ἀποδόντα εἰς τὸν Θεοδοτίωνα τὴν γνησίαν τῶν Ο γραφὴν (τὸ « *καὶ ἡ παιδ. αὐτή με διδάξει* »). Καὶ οὗτος δὲ, καὶ πάντες σχεδὸν οἱ κριτικοὶ, *διττογραφίαν* θέ-

λουσι τὴν κατὰ τοὺς Ο, ἀνάγνωσιν· τουτέστιν ἑνὸς καὶ τοῦ αὐτοῦ κόμματος δύω διαφόρων ἑρμηνειῶν συναλοιφήν. Ἀλλ' ἔπεστι καὶ ὧδε λίαν ἀπορεῖν, πῶς οἱ ἄνδρες οὗτοι τῷ μὲν ἀνωνύμῳ Σχολιαστῇ, καί τοι τοῦτον ἐξελέγχοντες ἄλλως ἠπατημένον, πιςεύουσιν ὅμως· πιστεύουσι δὲ καὶ ταῖς ἄλλων πάλιν ἀνωνύμων λατινικαῖς ἑρμηνείαις· τὴν δὲ γηραιὰν Ἰτάλαν (πολὺ πρὸ τοῦ Θεοδοτίωνος ἑρμηνευθεῖσαν, καὶ ὑπ' αὐτοῦ τοῦ Ἱερωνύμου *μετὰ ταύτης δὴ τῆς διττογραφίας* σχολιασθεῖσαν), καὶ τὴν ἐκ τῶν Ο, ἀρχαίαν Συριακὴν ἑρμηνείαν, καὶ πάντας μονονοὺ τοὺς πολυπληθεῖς τῶν Ο κώδηκας, καὶ τοὺς ἱεροὺς Πατέρας, ὅσοι εἶχον πρὸ ὀφθαλμῶν αὐτὰ τὰ Ἑξαπλᾶ τοῦ Ὠριγένους, ἐν οἷς καὶ ὁ ἱερὸς Θεοδώρητος, (ὅστις καὶ ἀνέγνω καὶ ἡρμήνευσεν ἀμφότερα τὰ κόμματα ὡς γνήσια τῶν Ο, μηδὲν Θεοδοτίωνος ἐπιμνησθεὶς), τούτους λέγω πάντας εἰς οὐδὲν λογίζονται. « Πάντων τῶν μαρτύρων ἐπελάβετο (φησὶν ὁ Πλύσχης) αὕτη ἡ διττογραφία, πλὴν τῶν εἰρημένων τριῶν, ἢ τεσσάρων λατινικῶν ψαλτηρίων » ! Καὶ διὰ τί μὴ τούτων μᾶλλον καὶ ῥᾷον ἐπελάβετο ἡ τοῦ πρώτου μεταγραφέως ἀβλεψία, παραβλέψαντος τὸ ἕτερον τῶν κομμάτων, ὡς παρεῖδε τοῦτο καὶ ὁ παλαιὸς τοῦ ἑβραϊκοῦ ἰουδαῖος ἀντιγραφεύς ; Εἰ δὲ καὶ ἡ ἐπανάληψις θορυβεῖ τοὺς ἄνδρας, ἀλλ' αὐτοὶ μάλιστα γινώσκουσι σύνηθες τὸ σχῆμα παρὰ τῇ ἑβραϊκῇ, καὶ κατ' ἐξοχὴν παρὰ τῷ προφητάνακτι. Τοιοῦτο μετ' ἄλλων καὶ τὸ « Τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς· καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον » (ψαλμ. πθ. 17). Οὕτως ἔχει τὴν ῥῆσιν καὶ τὸ ἑβραϊκόν. Ἀλλ' ὅμως καὶ ὧδε (ψαλμ. πθ. ἑβρ. ϙ) ὁ Οὐβιγάντης ὀξυτέρῳ τοῦ δέοντος ὀβελῷ χρησάμενος, ἐξοβελίζει τὸ δεύτερον κόμμα, διότι (λέγει) παρεῖδε τοῦτο καὶ ὁ Χαλδαῖος, οὐδ' ἐν τῷ Βατικανῷ τῶν Ο κώδηκι κεῖται. Συνεξοβελιζει τὸ κόμμα ἐκ τῶν Ο καὶ ὁ Πλύσχης, (σελ. 61)· οὐδὲ γὰρ ὁ *Σύρος* ἔχει τοῦτο, οὐδ' ὁ Αἰθίοψ, οὐδέ τινα τῶν λατινικῶν ψαλτηρίων. Φέρει δὲ μάρτυρα καὶ τὸν ἱερὸν Αὐγουστῖνον λέγοντα, ὅτι « τὸ δεύτερον κόμμα (τὸ « *καὶ τὸ ἔργον* » κτλ.) τῶν τινες *πεπαιδευμένων* καταστερίζουσιν » (ὡς

ἂν ἐκ τοῦ ἑβρ. ἢ τῶν ἄλλων ἑρμηνευτῶν ὕστερον προστεθὲν καὶ εἰς τὸ κείμενον τῶν Ο). Καὶ τὸ Βατικανὸν χειρόγραφον ἐπαινεῖ ὡς μάλιστα διασῷζον (ἐν τοῖς ψαλμοῖς) τὴν ἐν τῇ Κοινῇ γνησίαν τῶν Ο, γραφήν. Καὶ ὅμως αὐτὸς ὁ Πλύσχης ὁμολογεῖ, ὅτι οὐ μόνον τὸ Ἀλεξανδρινὸν, ἀλλὰ καὶ ἄλλων χειρογράφων *ὅλη ἑκατοντὰς* (plena centuria) κατὰ τὴν Ὀλμητίαν ἔκδοσιν ἀμφότερα τὰ κόμματα περιέχει. Ὡσαύτως καὶ ἐκδόσεις, ἥτε Κομπλουτεία, καὶ ἡ τοῦ Ἄλδου, καὶ ἡ τοῦ Κορδερίου. Καὶ ἡ παλαιὰ δὲ, (ἡ Ἰτάλα), καὶ ἡ τοῦ Ἱερωνύμου Βουλγάτα, καὶ ἀμφότεραι αἱ Ἀραβικαὶ ἑρμηνεῖαι. Ἀμφότερα τὰ κόμματα γράφουσι καὶ οἱ τούτων μνημονεύοντες Πατέρες τῆς Ἐκκλησίας, ἐν οἷς καὶ ὁ ἱερὸς Χρυσόστομος καὶ ὁ Θεοδώρητος. Ἀμφότερα ψάλλει καθ' ἡμέραν καὶ ἡ ὀρθόδοξος Ἐκκλησία· καὶ αὐτὸς οὕτως ἔψαλλεν ὁ ἱερὸς Αὐγουστῖνος (ἐπιστολ. 139). Ἀμφότερα ἐξηγεῖ καὶ αὐτὸς ὁ Ἱερώνυμος (εἰς ψαλμ. πθ), μηδόλως μνημονεύων ἀστερίσκων. Καὶ φαίνεται ἄρα, ὅτι μετὰ τὸν Ὠριγένην ἐκπέπτωκε τὸ κόμμα τὸ τελευταῖον ἔν τισιν ἀντιγράφοις τῶν Ο, ἐξ ὧν φαίνεται καὶ τὸ καθ' ἡμᾶς Βατικανὸν (ἔχει δὲ τοῦτο καὶ ἄλλας ἐλλείψεις). Τοιούτῳ χρώμενος ἀντιγράφῳ καὶ ὁ Ἀπολλινάριος, τὸ πρῶτον μόνον ἐστιχούργησε κόμμα. «*Ἔργα δὲ νωϊτέρων εὐθύνειας παλαμάων*». Ἐκ τοιούτου ἀντιγράφου τῶν Ο μετεῤῥυθμίσθησαν, ὡς ἔοικε, καὶ οἱ παρ' Αὐγουστίνῳ λατινικοί τινες κώδηκες τῆς Ἰτάλας, οἷς οἱ *πεπαιδευμένοι* προσετίθουν τὸν ἀστερίσκον, ὃν αὐτὸς Ὠριγένης ἠγνόει. (βλέπε καὶ ἐφεξῆς ψαλμ. κη).

Ψαλμ. ΚΑ. (κϐ) 1. «Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;» (οἱ Ο, ἡ Βουλγάτα, Ἰουστῖνος, Εὐσέβιος, κτλ.). Ἐν δὲ τῷ ἑβρ. λείπει τὸ *πρόσχες μοι·* καὶ χωρὶς τούτου τὴν ῥῆσιν ἐξεφώνησεν ὁ Κύριος ἐπὶ τοῦ σταυροῦ «*Ἠλὶ Ἠλὶ*» (ἑβρ. Eli Eli «Θεέ μου, Θεέ μου». Ματθ. τὸ αὐτὸ καὶ «ὁ Θεός μου ὁ Θεός μου, Ἐλωῒ, Ἐλωῒ, Μάρκ. κατὰ τύπον Συριακὸν), «Λαμὰ σαβαχθανὶ» (καὶ τὸ *Σαβαχθανὶ* κατὰ τύπον, ὡς λέγουσι, Συριακόν· τὸ δὲ ἑβρ. ἔχει *Ἀζαβθανί.* βλ. καὶ Αὐγους. Συμφ. γ: Ἱερών. περὶ Ὀνομ. ἑβραϊκῶν). Τὸ τοί-

νυν *πρόσχες μοι*, κατὰ τὸν Εὐσέβιον «ὡς μὴ κείμενον ἐν τῷ ἑβραϊκῷ καὶ ὁ Σωτὴρ παραλέλοιπεν» (Εὐαγ. Ἀποδ. ι). Ὁ δὲ Κεννικῶτος ὑπέλαβεν, ὅτι συνῆλθον δύω ἑρμηνεῖαι· τὸ ἕτερον Eli ἐξέλαβόν τινες ὡς σύνθετον ἐκ τῆς Ελ προθέσεως καὶ τῆς ἀντωνυμίας *Λι (=πρός με)*, καὶ τοῦτο εἶπον *πρόσχες μοι*. (Διατρ. Α. σελ. 546). Ἀλλ᾽ ὁ ἀποστολικὸς Ἰουστῖνος ἀνέγνω καὶ τὸ *πρόσχες μοι* καὶ φαίνεται ἄρα τἀνάπαλιν, ὅτι πρὸς τῷ Ἠλὶ Ἠλὶ ἀνέγνων οἱ Ο ἐν τῷ κατ᾽ αὐτοὺς ἑβραϊκῷ καὶ τὴν, ἣν λέγει Κεννικῶτος, προθετόπτωτον ἀντωνυμίαν, ἣν ἐξέφρασαν κατὰ τὸ πλῆρες (πρόσχες μοι), καὶ ἥτις ἐγέγραπτο ἴσως ἐν τῷ ἑβραϊκῷ καὶ ἐπὶ τοῦ Σωτῆρος· ὕστερον δ᾽ ἐξέπεσε (βλ. καὶ ἐφεξῆς ψαλμ. ξθ), πλανηθέντων τῶν ἀντιγραφέων διὰ τὸ ὁμοιόγραφον αὐτῆς πρὸς τὸ Eli (Θεέ μου). Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν συντομώτερον ἐξέφερε τὸ ῥητὸν, ὡς ἔοικε λέγειν ὁ μάρτυς Ἰουστῖνος· «Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; Τοῦτο ἄνωθεν προεῖπεν (ὁ Δαβὶδ), ὅπερ ἐπὶ Χριστοῦ ἔμελλε λέγεσθαι· ϛαυρωθεὶς γὰρ εἶπεν, ὁ Θεὸς ὁ Θεὸς, ἵνα τί ἐγκατέλιπές με; (Διαλ. π. Τρύφ. §. 99. σελ. 205). Οὕτως ὁ Σωτὴρ καὶ τὸ *σαβαχθανὶ*, οὐ κατὰ λέξιν ἐκ τοῦ ἑβρ., ἀλλὰ συριακώτερον εἶπε (κατὰ τὴν τότε συνήθη παρ᾽ Ἰουδαίοις ἀραμαίαν διάλεκτον)· καὶ ἄλλο δὲ ῥητὸν τοῦ ψαλμῳδοῦ συντομώτερον ἐξέφερε, τὸ «Ὁ τρώγων μετ᾽ ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν πτέρναν αὐτοῦ» (Ἰωάν. ιγ, 18), ἐκ τοῦ «Ὁ ἄνθρωπος τῆς εἰρήνης μου . . ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμόν» (Ψαλμ. μ. 9)— ϛχ. 16 «Ὤρυξαν χεῖράς μου» κτλ. (οἱ Ο, ἡ Βουλγ. ὁ Ἄραψ, ὁ Αἰθίοψ, κτλ.)· τὸ δ᾽ ἑβρ. ἀντὶ τοῦ «Ὤρυξαν» (Kaaru), ἔχει «*Ὥσπερ λέων*» (Kaari). Εἴπομεν περὶ τούτου (ἔμπροσθ. σελ. 160), καὶ ὅτι καὶ Ἀκύλας (ἰουδαΐζων καὶ ὧδε) ἀντὶ τοῦ *ὤρυξαν* ἔγραψεν *ᾔσχυναν* (ἵνα συγκρύψῃ τὴν ὑπὸ τοῦ προφητάνακτος λαμπρῶς διαγραφομένην διόρυξιν τῶν καθηλωμένων χειρῶν καὶ ποδῶν τοῦ ἐσταυρωμένου Σωτῆρος). Ἔστι δὲ καὶ τοῦτο μία τῶν ἐν τῷ ἑβραϊκῷ κειμένῳ φθορῶν, ἃς ἑκουσίως ἡ μισοχριστία τῶν ῥαββίνων ἐδολιεύσατο, ὡς ὅ,τε Πεζρὼν, καὶ ἄλλοι, καὶ ὁ Κεννικῶτος ἀπέ-

δειξε. Κατεξελέγχουσι δὲ τὴν ῥᾳδιουργίαν ἄλλοι κώδηκες ἑβραῖοι, διαφυγόντες τὴν μιαρὰν τῶν φθορέων γραφίδα (βλ. Ῥόσσ. τόμ. δ. σελ. 14–20, καὶ ἐν Suppl. σελ. 100) (α). Ἀντὶ δὲ τοῦ « ἐξηρίθμησαν πάντα τὰ ὀςᾶ μου » (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος, κτλ. « οὕτω γὰρ οἱ σταυρωταὶ διέτειναν τὸ σῶμα τοῦ κυρίου προσηλοῦντες, ὥςε ῥᾴδιον εἶναι τῷ βουλομένῳ καὶ τὰ ὀστᾶ αὐτοῦ διαγνῶναι· » Θεοδώρητ.)· τὸ ἑβρ. ἔχει πρωτοπροσώπως· « Ἐξαριθμήσω πάντα τὰ ὀστᾶ μου » (ὃ καὶ τοῦτο τῆς προφητικῆς ἐννοίας ἀπομακρύνεται).

Ψαλμ. ΚΖ, 3 (ἑβρ. κη) « *Μὴ συναπολέσῃς με* » (οἱ Ο, ἡ Βουλγ.). Λείπει ἐκ τοῦ ἑβραϊκ. μαρτυρεῖται δὲ ἐκ τοῦ παραλλήλου χωρίου, ψαλμ. κε, 9 (κς), ὅπου κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ.

Ψαλμ. ΚΗ (κθ) 1. « Ἐνέγκατε τῷ κυρίῳ *υἱοὶ Θεοῦ*· ἐνέγκατε τῷ κυρίῳ *υἱοὺς κριῶν*· ἐνέγκατε τῷ κυρίῳ δόξαν » κτλ. (οἱ Ο, ἡ Βουλγ.)· τὸ δὲ νῦν ἑβρ. (ὡς ἑρμηνεύουσι) « Δότε τῷ κυρίῳ *υἱοὶ θεῶν* » (ἢ *τῶν δυνατῶν*· ἢ κατ᾽ ἄλλην ἀνάγνωσιν, *υἱοὺς κριῶν*) « Δότε τῷ κυρίῳ δόξαν » κτλ. Καὶ λοιπὸν τὸ ἕτερον τῶν παρὰ τοῖς Ο, δύω πρώτων *ἐνέγκατε*, γλώσσημα λέγουσιν ἐξ ἄλλης μεταφράσεως ἀναμιχθέν. Ἀλλὰ περὶ τούτου εἴπομεν καὶ προηγουμένως (Βιβλ. Β. σελ. 864)· ἤδη δὲ προστιθέμεθα, ὅτι καὶ ἐξ ἄλλου παραλλήλου σχεδὸν χωρίου βεβαιοῦται τῶν Ο, ἡ ἀνάγνωσις, ἐκ τοῦ

(α) Ἀλλὰ καὶ οὕτως, εὑρέθησαν ἄνδρες κριτικοὶ καὶ ταύτην τὴν ἐν τῷ ἑβραϊκῷ κειμένῳ ἰουδαϊκὴν κακοῤῥαφίαν ὡς ἀληθινὴν ἀνάγνωσιν βεβαιοῦντες, ἀποῤῥίπτοντες δὲ τὴν τῶν Ο. Ὁ δὲ Παῦλος (Paulus, Memorabilien IV. p. 36) ἐξηγκωνισμένῃ γλώσσῃ διατείνεται, « ὅτι μόνον τὰς χεῖρας τοῦ Σωτῆρος καθήλωσαν ἐπὶ τοῦ σταυροῦ, τοὺς δὲ πόδας ἔδησαν σχοινίοις ». Ἀλλ᾽ ὅτι μὲν καὶ οἱ πόδες τῶν σταυρουμένων προσηλοῦντο, ἀποδείκνυσιν ἱστορικώτερον ἡ περί τινος σταυρωθέντος νέου παλαιὰ ἱστορία, ἐκδεδομένη ὑπὸ τοῦ Kosegarten (in Chrestomath. Arabic. pag. 63. πρβλ. Rosenmüll. ad Psalm. 22). Ἄλλας φιλολογικὰς ἀποδείξεις παρατρέχομεν. Αὐτὸς δὲ ὁ τὸ ὤ ρ υ ξ α ν, καὶ δι᾽ αὐτοῦ καὶ τὴν πληρωθεῖσαν ἐπὶ τῆς ζωοποιοῦ σταυρώσεως προφητείαν, διαστρέφων μεγάσοφος κριτικὸς ἀνέγνω μὲν πάντως, ἀλλ᾽, ὡς ἔοικεν, ἐπελάθετο τὸ « Ἴ δ ε τ ε τ ὰ ς χ ε ῖ ρ ά ς μ ο υ κ α ὶ τ ο ὺ ς π ό δ α ς μ ο υ » (ὅπερ εἶπεν ὁ Σωτὴρ ἡμῶν φανερωθεὶς μετὰ τὴν ἀνάστασιν πρὸς τοὺς ἔτι διστάζοντας μαθητάς)· καὶ τὸ « Ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας » (Λουκ. κδ, 39, 40), καθὸ φέροντας δηλονότι τοὺς τύπους τῶν ἥλων, ὡς ἔδειξεν αὐτοῖς καὶ τὴν λογχευθεῖσαν πλευράν (Ἰωάν. κα, 20).

λε (ἑβρ. λϛ) ψαλμοῦ, ὅπου τὸ μὲν «Ἐνέγκατε τῷ κυρίῳ *αἱ πατριαὶ τῶν ἐθνῶν*» ἀναλογεῖ πρὸς τὸ τοῦ παρόντος ψαλμοῦ «*Ἐνέγκατε τῷ κυρίῳ υἱοὶ Θεοῦ*»· καὶ πάλιν κἀκεῖ καὶ ὧδε, «Ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν»· τὸ δ' ἐκείνου, τέλος, «Ἐνέγκατε τῷ κυρίῳ . . *ἄρατε θυσίας*» κτλ. ἀνάλογον πρὸς τούτου τὸ *Ἐνέγκατε υἱοὺς κριῶν* (οὕτως ἔχει καὶ τὸ ἑβρ. ἐν τῷ εἰρημένῳ ϙϛ ψαλμῷ. πρβλ. καὶ τὸ παράλληλον χωρίον ἐν Α. Παραλ. ιϛ, 28). Λέγει δὲ καὶ ὁ ἀνώνυμος τοῦ κη ψαλμοῦ σχολιαστὴς (τουτ. ὁ Ἡρακλείας Θεόδωρος), ὅτι «Ἰσοδυναμεῖ τούτοις καὶ τὰ ἐν τῷ ϙε, ψαλμῷ περὶ κλήσεως τῶν ἐθνῶν» κτλ. (Σειρ. εἰς τοὺς ψαλμ. τόμ. α. σελ. 489).

Ψαλμ. Λ. (λα) 1. «Ῥῦσαί με *καὶ ἐξελοῦ με*» (οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *ἐξελοῦ με*· (πρβλ. ψαλμ. ρμγ. (ἑβρ. ρμδ) 11, ἐν ἀμφοτέροις).

Ψαλμ. ΛΒ. (λγ) ϛχ. 10. «Καὶ ἀθετεῖ βουλὰς ἀρχόντων» (οἱ Ο, Βουλγ.). ἐκ τοῦ ἑβρ. λείπει (πρβλ. ψαλμ. β. 1, 2).

Ψαλμ. ΛΓ. (λδ) 17. «Ἐκέκραξαν *οἱ δίκαιοι*» (οἱ Ο, ἡ Βουλγ. καὶ πάντες οἱ ἀρχαῖοι ἑρμηνεῖς, καὶ ὁ Χαλδαῖος). Ἐκ δὲ τοῦ νῦν ἑβρ. λείπει τὸ οἱ *δίκαιοι*, προφανῶς ἐκπεσόν (Καπέλ. Οὐβιγ. Σχούλζ.). Ὡς γὰρ ἔχει τὸ κείμενον ἤδη, φαίνεται λέγον, ὅτι «*Ἐκέκραξαν*»· τίνες οὗτοι; οἱ αὐτοὶ καὶ οἱ ἐν τῷ παρακειμένῳ 16 ϛίχῳ (οἱ ποιοῦντες κακά)· καὶ ἕπεται τὸ «Καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν»! Ὅθεν οἱ ἀκράτως ἑβραΐζοντες στενούμενοι, κατάγουσιν ἄνωθεν ἐκ τοῦ 15 στίχου τὸ, οἱ *δίκαιοι*, ὡς δῆθεν ἀπὸ κοινοῦ καὶ εἰς τὸν 17, στίχον ὑπακουόμενον (ἐν ᾧ μεσολαβεῖ καὶ πρόσωπον ἄλλο, καὶ νόημα ἐκ διαμέτρου ἀντικείμενον)· λῆροι πλατεῖς!

Ψαλμ. ΛϚ. (λζ) 28. «Ἄνομοι δὲ *ἐκδιωχθήσονται*» (οἱ Ο, Ἀλεξ. καὶ ἄλλοι κώδ. ἢ «*ἐκδικηθήσονται*»· τὸ Βατικανὸν, καὶ ἡ Βουλγ.). Ἐκ τοῦ νῦν ἑβρ. λείπει. (Ὁ δὲ Βῶσος σημειοῖ, ὅτι «ὅλον τὸ κόμμα οὐδ' Ὠριγένης οὐδ' Αὐγουστῖνος ἀναγνόντες φαίνονται». — Ἀλλ' ὁ Σύμμαχος ὅμως ἀνέγνω (ὅστις γράφει, οἱ δὲ ἄνομοι *ἐξαρθήσονται*. Βῶσος αὐτόθ.)· ἀνέγνω τὸ κόμμα καὶ ἡ Βουλγάτα (καὶ Αὐγουστῖ-

νος ἄρα, εἰ καὶ μὴ ῥητῶς ἐμνημόνευσε, συντομώτερον ἑρμηνεύσας τὸν στίχον). Καὶ ὁ Ἄραψ ἀνέγνω (καί τοι ἐσφαλμένως ἀναγνοὺς *ἄμωμοι*, ἀντὶ *ἄνομοι*, ὡς ἔχει καὶ τὸ Βατικαν.). Ἀνέγνω καὶ ὁ Θεοδώρητος (ὁ καὶ τὸν Ὠριγένην ἔχων πρὸ ὀφθαλμῶν), καὶ πολὺ πρὸ τούτου ὁ Ἀπολλινάριος, εἰς ἔπος καλὸν ἐντείνας τουτί· « Αὐτὰρ ἀθεσμοσύνῃ μεμελημένοι *ἐξελάοιντο* » (ἐκδιωχθήσονται, ὡς ἔχει τὸ Ἀλεξανδ.). Τὴν δ' ἐκ τοῦ ἑβραϊκοῦ παλαιὰν (μετὰ τὸν Ὠριγένην, ἴσως, καὶ τὸν Σύμμαχον) διάπτωσιν τοῦ κόμματος ὁμολογοῦσι καὶ σοφώτατοι κριτικοί (Ῥοδομύλλερ. σημ. αὐτόθ.). Ἐξελέγχει δὲ ταύτην καὶ αὐτὸ τὸ ἑβραϊκ. παρακατιόν (ςίχ. 38), ὅπου σχεδὸν ἡ αὐτὴ γέγραπται τῆς ἐννοίας ἐπανάληψις, ὡς καὶ παρὰ τοῖς Ο. — στίχ. 35. « Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ λιβάνου » (οἱ Ο, καθ' ὅλους τοὺς κώδηκας, ἡ Βουλγάτα, Ἀμβρόσιος, Θεοδώρητος· κτλ.)· τὸ δ' ἑβρ. « Εἶδον τὸν ἀσεβῆ φοβερὸν καὶ πλατυνόμενον, ὡς *χλωρὰν δάφνην* » (Μοντάν.), ἢ (κατὰ τὸν Ἱερώνυμον) « Ῥωμαλέον καὶ ἰσχυρότατον ὡς *αὐτόχθονα χλοάζοντα* ». Ἀλλ' ὅμως (ὅσον πρὸς τὸν *αὐτοχθονισμὸν*) ἀντεῖπεν ὁ Χαλδαῖος, ἑτεροχθονίαν εἰσάγων ἄντικρυς· λέγει γάρ· « Ὡς *δένδρον μεταπεφυτευμένον* καὶ φύλλοις εὐθαλές ». Ἡ δὲ ς, ἔκδοσις (ἐν τοῖς Ἑξαπλοῖς) ἄλλα εἶχε παραδοξότερα· « Εἶδον ἀσεβῆ καὶ ἀναιδῆ ἀντιποιούμενον ἐν σκληρότητι, καὶ λέγοντα· εἰμὶ αὐτόχθων, περιπατῶν ἐν δικαιοσύνῃ ». Καὶ ὅ,τι μὲν οὗτος ἀνέγνω ἐν τῷ τότε κατ' αὐτὸν ἑβραϊκῷ, ἄδηλον· πρόδηλον δὲ ὅμως, ὅτι παλαιόθεν τετραυμάτισται τὸ κείμενον, καὶ μάλιστα περὶ τὰς δύω λέξεις τὰς ἐσχάτας, ὅπου γράφεται καὶ νῦν Εζραχ (αὐτόχθων, αὐθιγενὴς, ἐπὶ ἀνθρώπων καὶ φυτῶν), ἀντὶ *Αρζα* (ἐκ τοῦ *Ερεζ*, ἡ κέδρος)· καὶ *Ρaaναν* (χλοερὸς), ἀντὶ *Λεβανον* (τοῦ Λιβάνου). Ἐντεῦθεν ἀντὶ τῆς ἐκφαντορικῆς καὶ γραφικωτάτης ἑρμηνείας τῶν Ο, προῆλθεν ἡ παράμορφος, καὶ πάντως μήτ' *αὐτόχθων* μήτε γνησία ἀνάγνωσις τοῦ νῦν ἑβραϊκοῦ, ἣν δικαίως Οὐβιγάντης ὠνόμασε *φλοιὸν χωρὶς μυελοῦ!* Καὶ Γρότιος μετ' ἄλλων ὡς ἡμαρτημένην κατεδίκασεν, ὁμολογῶν τὸ γνήσιον τῶν Ο.

Ταύτην τῷ Δαβὶδ μαρτυρεῖ καὶ θεῖος προφήτης ἄλλος, ἐν οἷς προλέγει τῆς Νινευῒ τὸν ἀφανισμόν. « *Διότι κέδρος τὸ ἀνάστημα αὐτῆς* » (Σοφον. β, 14). Τὸ δ' ἑβρ. ἡμάρτηται καὶ ἐφεξῆς, γράφον « *καὶ παρῆλθε* » (τοῦτο δηλαδὴ τὸ ὅ,τι δήποτε αὐθιγενὲς, καὶ αὐτόχθον), ἀντὶ τοῦ πρωτοπροσώπου « *καὶ παρῆλθον* » (ὡς ἔχουσιν οἱ Ο, ἡ Βουλγ., ὁ Σύρος, ὁ Ἄραψ καὶ αὐτὸς ὁ Ἱερών.), ὅπερ καὶ λόγου ὀρθότητα, καὶ ὕψος διανοίας ἐμφαίνει, συντόμως ἐκφράζον τὸ τάχος τῆς ἀπωλείας. « Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον.., καὶ μόλις *παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν* » ! (ὡς τὸ « *εἶπα· ποῦ εἰσί ;* »). — Αὐτόθ. (ϛχ. 36) μετὰ τὸ « *Οὐχ εὑρέθη* »· λείπει ἐκ τοῦ ἑβρ. τὸ « *ὁ τόπος αὐτοῦ* » (οἱ Ο, ἡ Βουλγ.)· ἀλλὰ καὶ τοῦτο κυροῦται ἐκ τοῦ 10 στίχου ὅπου κεῖται παρ' ἀμφοτέροις.

Ψαλμ. ΛΘ. (μ) ϛχ. 7. « Σῶμα δὲ κατηρτίσω μοι » (οἱ Ο, ὁ Σύρος, ὁ θεῖος Παῦλος, Ἑβρ. Ι, 5). Τὸ δὲ νῦν ἑβρ. (καὶ Ἀκύλας, καὶ Ἱερώνυμος) « ὠτία δὲ ἔσκαψάς μοι », καὶ ὁ Σύμμαχ. « ὠτία δὲ κατεσκεύασάς μοι »· ὁ δὲ Θεοδοτ. καὶ ἄλλοι « ὠτία δὲ κατηρτίσω μοι » (Ἑξαπλ. βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ια. σελ. 779). Πρὸς ταύτην τὴν ἀνάγνωσιν καὶ Ἱερώνυμος διώρθωσε τὸ Ῥωμανὸν λεγόμενον λατινικὸν Ψαλτήριον, ἵνα μηδὲν αὐτῷ τῆς ἑβραϊκῆς ἀληθείας ἄμοιρον ᾖ! (Καὶ ὅμως αὐτὸς οὗτος πάλιν ὁ μακάριος διορθῶν τὴν λατινικὴν τῆς καινῆς Διαθήκης ἑρμηνείαν, ἐπὶ τῆς αὐτῆς παρὰ τῷ Παύλῳ ῥήσεως ἔγραψε *σῶμα*, corpus !). Φέρεται δὲ καί τις τοῦ ψαλμοῦ σχολιαστὴς (ἴσως ὁ αὐτὸς καὶ ὁ προσεσημειωμένος ὄπισθ. σελ. 613), ὅςις ἐσημείωσε ταῦτα (ἐκδ. Ῥώμ.)· « Τὸ δὲ *ὠτία κατηρτίσω μοι* ὁ μακάριος Παῦλος εἰς τὸ *σῶμα* μεταβαλὼν εἴρηκεν, οὐκ ἀγνοῶν τὸ ἑβραϊκὸν, ἀλλὰ πρὸς τὸν οἰκεῖον σκοπὸν τούτῳ χρησάμενος ». Ἀλλὰ ταῦτα τὰ τοῦ σχολιογράφου πάντη παράδοξα, καὶ μηδὲ λίαν εὐαγῶς εἰρημένα. Τί λέγεις ὦ μακάριε; μήπως ὁ θεόπνευστος Ἀπόστολος τῆς καινῆς Διαθήκης διέφθειρε τὴν ἑβρ. ἀλήθειαν, βουλόμενος τούς τε ἄλλους παραπείθειν, καὶ *αὐτοὺς δὲ τοὺς Ἑβραίους, πρὸς οὓς ἔγραφε τὴν ἐπιστολήν* ; (Ἡ αὐτὴ σημείωσις εὑρίσκεται πλατυτέρα καὶ ἐν τῇ εἰς τοὺς Ψαλμ. Σειρᾷ

τοῦ Κορδερίου, τόμ. α. σελ. 735, 740, ὅπου καὶ τὸ κείμενον ἐκδέδοται κατὰ τὴν Θεοδοτίωνος ἀνάγνωσιν, «ὠτία δὲ κατηρτίσω μοι», ἣν καὶ Εὐσέβιος μνημονεύσας ἡρμήνευσεν) (α). Ἐκ δὲ τῶν νεωτέρων οἱ μὲν κρατοῦσιν ἀπρὶξ τὸ ἑβραϊκόν· οἱ δέ τινες σπουδάζουσι διαλλάττειν αὐτὸ πρὸς τοὺς Ο. Καὶ νεώτατος μὲν ὁ Ῥοδομύλλερος εἰσάγει τοὺς Ο συνεκδοχικώτερον ἐκλαβόντας τὸ *σῶμα*, ἀντὶ τοῦ *ὦτα* (σφόδρα πλατεῖαν ταύτην ἐπινοήσας, καὶ ἀπαραδειγμάτιστον συνεκδοχήν! Πλὴν εἰ μή τις τὰ ὦτα κατ' ἄλλην πάλιν συνεκδοχὴν καὶ ὡς ὅλην ἐκλάβοι τὴν κεφαλὴν, ἵνα ᾖ κατὰ τὸ Ὁμηρικὸν ἐκεῖνο· «Τοίην κεφαλὴν ποθέω», τουτέστιν, ὅλον τὸν ἄνδρα!). Πρῴην δὲ πάλιν ὁ κλεινὸς Καπέλλιος (Κριτικ. σελ. 318, 540) τὸ «ὠτία μοι ἔσκαψας» (τουτ. ἐτρύπησας) παραβάλλει πρὸς τὸ περὶ τοῦ δούλου νενομοθετημένον ἐκεῖνο «*Καὶ τρυπήσει ὁ κύριος τὸ οὖς* αὐτοῦ τῷ ὀπητίῳ» (Ἐξόδ. κα, 6). Τὸ δὲ *σῶμα* τοῦ Ἀποστόλου ἐκλαμβάνει ἀντὶ τοῦ δούλου! (σημαίνει δὲ καὶ τοῦτο παρ' Ἕλλησι τὸ σῶμα)· καὶ οὕτως εἰσάγει τὸν Ἀπόστολον ἐν ἑτέραις λέξεσι τὴν αὐτὴν τῷ ἑβραϊκῷ ἐκφράζοντα σημασίαν (ὡς ἂν εἰ ἔλεγεν, «ὠτία μοι *ἐτρύπησας*=δοῦλόν με κατέστησας·=σῶμα κατηρτίσω μοι!). Ἀλλ' ἡ ΜΟΙ δοτικὴ προσίσταται· διὸ διορθοῖ καὶ τὴν Ἀποστόλου ῥῆσιν ὁ Καπέλλιος εἰς τὸ «Σῶμα δὲ κατηρτίσω ΜΕ ΣΟΙ»! Ταῦτα πῶς ἄξια Καπελλίου; Ὁ δὲ σοφὸς Κορδέριος (Σειρ. Ψαλμ. αὐτόθ.) παρεισάγει πλαγίως καὶ τὸν Στρωματέα Κλήμεντα, ὡς μικροῦ δεῖν αὐτὸ μεταφράζοντα τὸ ἑβραϊκὸν ἐν τοῖς ἑξῆς· «Ὀφθαλμοὶ δὲ ὑπαληλειμμένοι λόγῳ, καὶ *ὦτα εἰς αἴσθησιν διατετρημένα*, θείων ἀκουστὴν καὶ ἁγίων ἐπόπτην κατασκευάζουσι» (Παιδαγ. β, 12). Ἀλλὰ ταῦτα τοσοῦτον ἀνήκουσιν εἰς τὸ «ὠτία μοι *ἔσκαψας*» (*ἢ ἐτρύπησας*), ὅσον καὶ τὰ μικρῷ πρὸ τούτων παρὰ

(α) Ταύτης τῆς Σειρᾶς τὸ κείμενον ἐν τῷ λζ, ψαλμῷ στίχ. 21 (μετὰ τὸ «κατεδίωκον ἀγαθωσύνην») προστίθησι καὶ ταῦτα. «Καὶ ἀπέῤῥιψάν με τὸν ἀγαπητὸν, ὡς νεκρὸν ἐβδελυγμένον» (τόμ. α, σελ. 699. πρβλ. καὶ Θεοδωρήτ. Ἑρμην. εἰς ψαλμ. λζ). Ἀλλὰ ταύτην τὴν ἀνάγνωσιν οὔτε τὸ ἑβρ. ἔχει, οὔτε τις τῶν τριῶν ἑρμηνευτῶν, οὔτ' ἄλλη τις ἔκδοσις τῶν Ο· βλ. ἐκδ. Ὀλμητ. πρβλ. καὶ Plüschk· Psal. Syr. p. 47.

τῷ πατρὶ γεγραμμένα· « τὰ δὲ *ὦτα αὐταῖς (ταῖς γυναιξὶ)* παρὰ φύσιν *μὴ τιτράσθω* εἰς ἀπάρτησιν ἐλλοβίων »· (ἔστι δὲ ὁ λόγος περὶ κόσμου γυναικῶν). Ἄλλοι δὲ, τέλος, ἔκριναν ὅτι οἱ Ο, ἔγραψαν *ἄκουσμα* (ἀντὶ τοῦ ὠτία), ὅπερ ἐκ τῆς συντομογραφίας συνεκόπη εἰς *σῶμα* (οὕτως ὁ Γρότιος καὶ Οὐβιγάντης). Ὁ δὲ Βῶσος (ἔτι περινούστερον) ἄλλοθεν εἴκασε προελθοῦσαν τὴν ἡμαρτημένην γραφὴν, καὶ δὴ καὶ ἀπέδειξε τὸν τρόπον ἐν διαγράμματι· « Ἡ ἀληθὴς γραφὴ (λέγει) πρότερον ὑπῆρχεν αὕτη, ΗΘΕΛΗΣΑΣΩΤΙΑ· συγχυθέντων δὲ τῶν στοιχείων, προῆλθεν ἡ ψευδὴς, οὕτως· ΗΘΕΛΗΣΑΣ ΣΩΜΑ » (Προλόγῳ ἐκδ. τοῦ Βατικαν.). Θαυμασταὶ πάντως αἱ διορθώσεις. Ἓν δὲ μόνον ὤφειλον ἔτι (νομίζομεν) οἱ διορθωταὶ προσεπιλῦσαι· πότερον, ἡμαρτημένην καὶ ὁ θεῖος Παῦλος ἀνέγνω καὶ ἀντέγραψε τὴν παρὰ τοῖς Ο γραφήν; ἢ μετέπειτα ἡ τῶν ἀντιγραφέων ἀβλεψία διέφθειρεν αὐτὴν συγχρόνως, καὶ οἷον ἐκ συνωμοσίας, ἐν πᾶσι τοῖς ἀντιγράφοις ἔν τε τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, καὶ παρὰ τοῖς Ο; Ἀλλὰ πρὸς ταῦτα καὶ τὰ τοιαῦτα δικαίως ἠγανάκτει, καὶ κατεδίκαζε τὴν τόλμην τῶν κριτικῶν ὁ περικλεὴς Οὐόσσιος, προτιμῶν καὶ ὧδε ὡς γνησίαν τὴν ἀνάγνωσιν τῶν Ο. Ὡσαύτως καὶ Κεννικῶτος. Καὶ αὐτὴν δὲ τὴν ἀντιστοιχοῦσαν ἑβραϊκὴν λέξιν (Osnajim, τουτ. ὦτα) ἀποδεικνύουσιν ἡμαρτημένην, ἀντ' ἄλλης σημαινούσης *σῶμα* (α). Ἀλλ' ὅπως ἂν ὑπερασπίζῃ τὸ νῦν ἑβραϊκὸν ἡ ἀνθρωπίνη σοφία, ἔστω καὶ ὧδε ὁ διὰ Παύλου λαλήσας *Θεὸς ἀληθής, ψεύστης* δὲ πᾶς ἄνθρωπος, ὁ προτιμῶν

(α) Βλ. Vossij, de oracul. Sibyllin. c. 13, καὶ Kennic. Diss. Gener. p. 32. Καὶ οἱ περὶ τὸν Ματθαῖιν οὕτω διορθοῦσι τὸ ἑβραϊκὸν, μεταβάλλοντες καὶ αὐτοὶ εἰς τὸ σῶμα (Mattei, J Salmi T. 3. p. 352). Ὁ δὲ Γρότιος περιττῶς ὑποπτεύει, μήπως ἑβραϊκοί τινες κώδηκες εἶχον Νιδενα, χαλδαϊκώτερον, τὸ σῶμα (Annot. in h. l.). Καὶ αὐτὸ δὲ τὸ Καριτα (ἔσκαψας, ὤρυξας, ἐκ τοῦ Καρα) ὁ Ῥοδομύλλερος (Schol. in h. l.) ἐσημείωσεν, ὅτι σημαίνει παρ' ἑβραίοις καὶ τὸ παρασκευάζειν (ὅθεν καὶ τὸ καταρτίζειν). Ὁ δὲ, τέλος, Γεσένιος καὶ ὅλον τὸ « ὦτα ἔσκαψάς μοι » αὐστηροτέραν φράσιν εὑρίσκει καὶ τολμηρὰν (fortior et audacior), εἰ δ' ἔλεγε καὶ ψευδόγραφον, ἔλεγεν ἂν τὸ πᾶν. Οὐδ' ἀνέφερεν ἄλλην (οὐδὲ γὰρ εὑρίσκεται) παρομοίαν φράσιν τῆς ἑβρ. Γραφῆς (Gesen. Lexic. Hebr. p. 501).

τὴν μετὰ Χριστὸν καὶ μετὰ Παῦλον ἑρμηνείαν καὶ γραφὴν τῆς ἑβραΐδος λέξεως ὡς ἀληθεστέραν τῆς Ἀποστολικῆς ῥήσεως, ἐν ᾗ γέγραπται κατὰ τοὺς Ο, « *σῶμα δὲ κατηρτίσω μοι* » καθ' ὅλα τὰ χειρόγραφα καὶ τὰς ἑρμηνείας τῆς Καινῆς Διαθήκης· ὡσαύτως καὶ ἐν πᾶσι τοῖς ἀντιγράφοις τῶν Ο, (πλὴν δύω μόνων ἀσήμων, καὶ τοῦ κατὰ τοῦτο Θεοδοτιωνίζοντος, ἢ Ἀκυλαΐζοντος κειμένου τῆς προειρημένης τοῦ Κορδερίου Σειρᾶς, ἐφ' ᾧ καὶ μόνῳ πέποιθεν ὁ σοφώτατος Ὑσσέριος) (α). Οὕτως ἀνέγνων ἐκ τῶν Ο καὶ οἱ ἄδυτοι τῆς ἐκκλησίας φωστῆρες, Χρυσόστομος, Κύριλλος, Δίδυμος, Αὐγουστῖνος, Θεοδώρητος, καὶ οἱ λοιποί. Οὐδ' ἄλλως οὐδαμῶς ἐκφράζεται τὸ ὕψος τοῦ μυστηρίου τῆς ζωοποιοῦ καὶ κοσμοσωτηρίου θυσίας τοῦ κυριακοῦ σώματος, ἣν ὁ Ἀπόστολος ὡς ὑπὸ τοῦ Προφητάνακτος προῤῥηθεῖσαν εὐαγγελίζεται, καὶ διατρανοῖ, λέγων· ὅτι «*ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ ΣΩΜΑΤΟΣ τοῦ Ἰησοῦ Χριστοῦ* » (Ἑβρ. Ι, 5–10). Ὅθεν καὶ Ὠριγένης· « Τούτους τοὺς στίχους ἐκ προσώπου τοῦ Σωτῆρος εἰρῆσθαι ἡ πρὸς Ἑβραίους φησὶν ἐπιστολή,—ὃς *ἐτύθη* ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας» κτλ.(Σειρ. Ψαλμ.).

Ψαλμ. ΜΑ. (μϐ) στίχ. 2. (« Ἐδίψησεν ἡ ψυχή μου) *πρὸς τὸν Θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα* » (οἱ Ο, ἡ Βουλγάτα)· τὸ δ' ἑβρ. (ὡς νῦν ἑρμηνεύουσι), « πρὸς τὸν Θεὸν (Elohim), πρὸς τὸν Θεὸν(El), τὸν ζῶντα »(Μοντάν.).Οἱ δὲ περὶ τὸν Ἀγέλλιον ἔκριναν, ὅτι τὸ δεύτερον «*πρὸς τὸν Θεὸν* » ἠμέληται παρὰ τῶν ἀντιγραφέων τῶν Ο· ἔν τισι δ' ἀντιγράφοις ἀντ' αὐτοῦ προσετέθη ἐξ ἄλλης ἑρμηνείας τὸ « τὸν *ἰσχυρόν*» (βλ. καὶ Μοντεφ. Ἑξαπλ.). Ἅλις ἐπαρίστερος κρίσις. Ὤφειλον μᾶλλον εἰπεῖν, ὅτι καὶ ἐκπεσὸν τὸ *ἰσχυρὸς* ἔν τισιν ἀπογράφοις (οἷον ἐν τῷ Βατικανῷ, κτλ.), ὅμως ἐν τοῖς πλείστοις διετηρήθη (ἐκδ. Ἄλδου, Κομπλουτ., τῆς Κορδερείας Σειρᾶς, τοῦ Θεοδωρήτου, κτλ. βλ. ἐκδ. Ὅλμητ.). Οὕτως ἀνέγνω καὶ Ὠριγένης (τ. α. σελ. 276), ὁ Μέγας Ἀθανάσιος, Χρυσόστομος, Θεόδωρος ὁ Ἡρακλείας, κτλ.

(α) Usser. Syntagm. p. 85. Βλ. καὶ Ψαλτηρ. τῆς Ὁλμητείας ἐκδόσεως (Holmes), ὅπου πάντα τὰ πολυάριθμα ἀντίγραφα (πλὴν τριῶν μεταγενεστέρων) « σ ῶ μ α » γράφουσι· πρβλ. Plüschke De Psalter. Syriac. Mediolanens. p. 48.

ὤφειλον πρὸς τούτοις οἱ κριτικοὶ καὶ τὸ παρ' Ἑβραίοις δεύτερον Ἠλ, μὴ *Θεὸν* (ὡς τὸ πρῶτον *Ἐλωΐμ*), ἀλλ' *ἰσχυρὸν* ἑρμηνεύειν, ὡς ἡρμήνευσαν οἱ Ο, διακρίναντες εὐαγῶς τὰς Θεωνυμίας, καὶ κυρίως διατυπώσαντες τὴν εἰς τὴν παναγίαν Τριάδα μυστικὴν θεολογίαν τοῦ Προφητάνακτος. Ἐκ τούτου τοῦ « *Πρὸς τὸν Θεὸν, τὸν Ἰσχυρὸν, τὸν Ζῶντα* », θεοπνεύστου ῥητοῦ, καὶ ἐκ τοῦ *τρισσοῦ* τῆς τῶν Σεραφὶμ δοξολογίας *Ἅγιος* (Ἡσ. ϛ, 3) σύγκειται ὁ θειότατος ἅμα καὶ ἀρχαιότατος *τρισάγιος* ὕμνος· « *Ἅγιος ὁ Θεὸς* (ὁ Πατήρ). *Ἅγιος Ἰσχυρὸς* (ὁ Υἱός). *Ἅγιος Ἀθάνατος* (τὸ Πνεῦμα, τὸ *ζῶν καὶ ζωῆς χορηγόν*. βλ. Δαμασκ. Ὀρθ. πίϛ. πρβλ. καὶ Λέοντος Δοξαϛ. ἐν ἑσπεριν. τῆς Πεντηκοϛ.). Τοῦτο μαρτυρεῖ ὁ Ἡρακλείας Θεόδωρος (τῷ 335 μ. Χ.), λέγων ταῦτα· « Ἐκ τούτου (τοῦ Ψαλμοῦ) καὶ ὁ ἔνθεος ὕμνος εἴληπται, τὸ Ἅγιος ὁ Θεός » (Σειρ. εἰς τοὺς Ψαλμ. τόμ. α. σελ. 777). Μνημονεύει τοῦ τρισαγίου καὶ Καισάριος (τῷ 360 μ. Χ.), ὁ τοῦ Θεολόγου Γρηγορίου ἀδελφὸς (Διαλόγ. α, Ἐρωτ. κθ. Τῶν κεφαλαίων τούτων τὸ γνήσιον μαρτυρεῖ ὁ Φώτιος Ἀναγν. 210). Ἐπὶ δὲ Θεοδοσίου τοῦ νεωτέρου καὶ Πρόκλου τοῦ Πατριάρχου (τῷ 436), καὶ διὰ θαύματος ὁ τρισάγιος ὕμνος ἐβεβαιώθη ἐν Κωνσταντινουπόλει, ὅτε « *διὰ τοὺς βλασφημοῦντας εἰς τὸ τρισάγιον* » (Κωδην. π. Κωνϛ.), παιδίον εἰς ὕψος ἀρθὲν, ἐμυήθη καὶ ὑπ' ἀγγελικῆς διδασκαλίας τὸν ὕμνον (Δαμασκ. π. Ὀρθ. Πίϛ. Βιβλ. Γ, κεφαλ. ι). Ὅθεν καὶ Ἀκάκιος ὁ Κωνσταντινουπόλεως, καὶ Φῆλιξ ὁ Ῥώμης (τῷ 480) « *ἀγγέλων ὑμνῳδίαν*, καὶ Χερουβικὸν τοῦτον ὕμνον, καὶ τρισάγιον *Θεολογίαν* », ἐν ταῖς πρὸς τὸν Κναφέα ἐπιστολαῖς αὐτῶν *ἀποκαλοῦσι* (βλέπε Συνόδ. Συλλογ. τόμ. β. σελίδι 245, 250). Καὶ ἐν τῇ Δ, Οἰκουμενικῇ Συνόδῳ (τῷ 451) ὁ τρισάγιος ὕμνος ὑμνηθῆναι παραδέδοται (Δαμασκ. ἔνθα ἀνωτ.). Καὶ ἡ Ϛ, Σύνοδος (καν. πα), μετὰ τῶν πάλαι καὶ πρὸ αὐτῆς ἁγίων Πατέρων, ἀναθεματίζει τοὺς ἐν τῷ τρισαγίῳ, μετὰ τὸ *Ἀθάνατος*, προστιθέντας τὸ, « *ὁ σταυρωθεὶς δι' ἡμᾶς* » (οἷος ἐγένετο Πέτρος ὁ δυσσεβὴς ἐκεῖνος Κναφεὺς, ὃν ἐζήλωσε καὶ Ἀναστάσιος ὁ αὐτοκράτωρ. Εὐάγρ. Ἐκκλ. Ἱϛορ. γ, 44. Περὶ τοῦ τρισαγίου βλ. καὶ Θεόδωρ.

Ἀναγνώς. Βιβλ. α: Θεοφάν. Χρον. 115: Νικηφ. Ἐκ. ις. ιδ, 46: Βαλσαμ. Σχόλ. εἰς ς, Συνόδ. κανόνα πα: πρβλ. καὶ Φωτ. Ἀναγν. 228: καὶ Δοσιθ. Δωδεκάβ. σελ. 312). Τὸν δ' οὖν τρισάγιον ὕμνον οὕτω ψάλλεσθαι κατὰ πάσας τὰς Ἐκκλησίας τῆς οἰκουμένης διέταξεν ὁ αὐτοκράτωρ Θεοδόσιος. Καὶ μέχρι σήμερον ἡ Δυτικὴ Ἐκκλησία ἅπαξ τοῦ ἐνιαυτοῦ (τῇ μεγάλῃ Παρασκευῇ) τὸν τρισάγιον ὕμνον ἑλληνιστὶ ἐκφωνεῖ· πάντα δὲ τὸν ἄλλον χρόνον καθ' ἑκάστην αὐτὸν ὑμνολογεῖ κατὰ τὴν ἀρχαιοτάτην λατινικὴν μετάφρασιν. Ὡσαύτως καὶ πᾶσαι (πλὴν τινῶν) αἱ λοιπαὶ χριστιανικαὶ Ἐκκλησίαι τὸν ἀγγελικὸν τοῦτον ὕμνον καὶ νῦν ἀναμέλπουσι. Καὶ αὐτοὶ δὲ πάντως οἱ περὶ τὸν Ἀγέλλιον καὶ τὸν Μοντεφαλκώνιον συχνάκις ὑμνολόγησαν· Κἄπειτα τὸ *ἰσχυρὸς* οὐχ εὕρισκον γνήσιον ἐν τῇ ἑρμηνείᾳ τῶν Ο;

Ψαλμ. ΜΔ. (με) 9. « Περιβεβλημένη, πεποικιλμένη » (οἱ Ο, ἡ Βουλγάτα, καὶ οἱ Πατέρες, Κλήμης, Μ. Βασίλειος, κτλ.), ἐκ τοῦ ἑβρ. λείπουσιν ἀμφότερα, πρόπαλαι διαῤῥυέντα (διὸ « καὶ ὠβέλιστο ἐν τοῖς Ἑξαπλοῖς ». Εὐσέβ.). Ἀλλ' ὁ Χρυσόστομος μαρτυρεῖ, ὅτι « καὶ ἄλλος ἀνέγνω, *ἠμφιεσμένη ποικίλα* ».

Ψαλμ. ΞΖ. (ξη) ςχ. 4. Λείπει ἐκ τοῦ ἑβρ. τὸ « Ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ » (οἱ Ο, ἡ Βουλγάτα).

Ψαλμ. ΞΖ. (ξη) 33. Λείπει τὸ « *Ψάλατε τῷ Θεῷ* » (οἱ Ο, ἡ Βουλγάτ.), ἀναγκαῖον δὲ καὶ διὰ τὸ μεσολαβοῦν *διάψαλμα* (ἑβρ. Selah).

Ψαλμ. ΞΘ. (ο) στίχ. 1. « Εἰς τὴν βοήθειάν μου πρόσχες » (οἱ Ο, ἡ Βουλγ.). Ἐκ τοῦ ἑβρ. λείπει τὸ *πρόσχες*, προφανῶς ἐκπεσόν. Ἴδε τὸ παράλληλον χωρίον τοῦ λθ (ἑβρ. 40) Ψαλμ. στίχ. 13, 14, (ὅπου καὶ οἱ Ο ἔχουσι *σπεῦσον* Ἀλεξ.). Οὕτως ἐξέπεσε τὸ *πρόσχες* καὶ ψαλ. ΚΑ. βλ, ὄπισθ. σελ. 615.

Ψαλμ. Ο (οα) ςχ. 8. « Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου » (οἱ Ο, ἡ Βουλγάτα, ὁ Σύρος, ὁ Ἄραψ κτλ.). Τὸ δ' ἑβρ. συντέτριπται εἰς μόνα ταῦτα· « Πληρωθήτω τὸ στόμα μου τῆς αἰνέσεώς σου ὅλην τὴν ἡμέραν τῆς δόξης σου ». Ἀλλ' ἐξελέγχει τὸ τραῦμα ὁ ρμδ (ρμε) Ψαλμὸς (στίχ. 2, 5), ὅπου κἀκεῖ πάλιν

Γενεᾶ καὶ γενεᾶ λαλοῦσι.. « *τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης* »· πρόσθες καὶ τό, στίχ. 12. « τοῦ γνωρίσαι.. τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου ».

Ψαλμ. ΟΑ (οϐ) 17. « Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον — καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς » (οἱ Ο, ἡ Βουλγ.). Ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *εὐλογημένον* (ὡς ἔλειπε καὶ ἐν τοῖς Ἑξαπλοῖς, κατὰ τὸν Σχολ.). Λείπει δὲ ἤδη καὶ τὸ « *πᾶσαι αἱ φυλαὶ τῆς γῆς* » (καὶ μένει τὸ *ἐνευλογηθήσονται* ἀπρόσωπον). πρϐλ. Γενέσ. ιϐ, 3 : κϛ, 4 κτλ.

Ψαλμ. ΟΒ (ογ) 28. Λείπει τὸ « *Ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιὼν* » (οἱ Ο, ἡ Βουλγάτα, ὁ Αἰθίοψ, ὁ Ἄραψ). πρϐλ. ψαλμ. θ, 14 (ἐν ἀμφοτέροις).

Ψαλμ. ΟΘ. (π) 16. « Καὶ *ἐπὶ υἱὸν ἀνθρώπου* ὃν ἐκραταίωσας » κτλ. (οἱ Ο, ἡ Βουλγ., ὁ Σύρος, ὁ Ἄραψ, καὶ 18 κώδ. ἑβραῖοι Ῥόσσ. τόμ. δ. σελ. 56)· ἐκ δὲ τοῦ κοινοῦ ἑβρ. λείπει τὸ σημαντικώτατον *ἀνθρώπου*· κεῖται δὲ μόνον γυμνὸν τὸ « *ἐπὶ υἱὸν* », ὅπερ ἄλλοι ἄλλως θεραπεῦσαι πειρῶνται (α). (Τὸ δὲ Ταργοὺμ τοῦτο τὸ *υἱὸν* παραφράζει « *ἐπὶ τὸν βασιλέα Μεσσίαν* », καὶ ἄκον μαρτυροῦν τῇ ἀληθείᾳ). « Καὶ τίς ἐστιν οὗτος, ἢ *ὁ υἱὸς τοῦ ἀνθρώπου*, ὅς ἐςιν

(α) *Οἱ μέν τινες τῶν νεωτέρων τὸ ἑβρ.* ben (*υἱὸν*) *παρερμηνεύουσι* β λ α σ τ ὸ ν *μεταφορικῶς, ἵνα δῆθεν συμφωνῇ μετὰ τῆς ἀμπέλου* (Vatable)· *οἱ δὲ καὶ ἀθροιστικῶς ἐξέλαβον, ἀντὶ* τ ο ὺ ς υ ἱ ο ὺ ς (*ὑπακούοντες καὶ τοῦ Ἰσραὴλ*), *ἢ καὶ τοῦ* υ ἱ ο ῦ σ ο υ (*ὡς τὸ* « *πρωτότοκος* υ ἱ ό ς μ ο υ *Ἰσραήλ. Ἐξόδ. δ,* 22. *καὶ τὸ* « *ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου* ». Βλ. Ronsenmüll. Schol. ad h. l.). *Ἀλλ' ὅτι καὶ τοῦτο βεϐίασται, πρόδηλον· ἐν γὰρ τούτοις τὸ* υ ἱ ὸ ν *ἔχει καὶ τὴν διορίζουσαν κτητικὴν γενικὴν* (*υἱόν* μ ο υ, *καὶ πάλιν,* υ ἱ ο ὶ Ἰ σ ρ α ὴ λ *κτλ.*)· *τὸ δ' ἐν τῷ ἀνωτέρω ψαλμῷ παρ' ἑβρ.* υ ἱ ὸ ν *κεῖται μοναδικὸν καὶ ἀπηωρημένον* (ἐ π ὶ υ ἱ ό ν!). *Ἄλλοι διορθοῦσι τὸ ἑβραϊκ.* ben *εἰς τὸ* ken, *διὰ τοῦτο* (propterea. Houbigant.). *Οἱ δέ, τέλος, ἐξέλαβον τὸ κόμμα καὶ ὡς παρεισφρῆσαν ἐν τοῖς* Ο *ἐκ τοῦ ἐφεξῆς* 17 *στίχου, ὅπου κεῖται καὶ ἐν τῷ ἑβρ.* (Mattei). *Μάταιαι κριτικῶν ἐπίνοιαι!* Τὸ *ἐφεξῆς στίχ.* 17 ἐ π ὶ υ ἱ ὸ ν ἀ ν θ ρ ώ π ο υ, *ἐπανάληψίς ἐστι τῆς αὐτῆς ὑψηλῆς ἐννοίας, καὶ τόπος παράλληλος* (*κἂν Οὐϐιγάντης ἀμφιβάλλῃ*)· *ὥστε, πᾶν τοὐναντίον, βεϐαιοῖ τρανῶς τὸ παρὰ τοῖς* Ο *προηγούμενον ἐπὶ υἱὸν* ἀ ν θ ρ ώ π ο υ (*στχ.* 15) *ἐξελέγχων τὴν ἐν τούτῳ τῷ στίχῳ φθορὰν τοῦ ἑβραϊκοῦ.* Τὸ *δὲ νόημα τοῦ θείου ῥητοῦ διατρανοῦσιν οἱ ἱεροὶ* Πατέρες, *ὁ* Μ. Ἀθανάσιος, *ὁ* Α. Κύριλλος, Εὐσέϐιος, Ἡσύχιος, Ἱερώνυμος, Θεοδώρητος· *βλ. καὶ Σειρὰν εἰς τοὺς ψαλμούς.*

ἐν δεξιᾷ τοῦ πατρός;» (Μ. Ἀθανάσ. ἐν Σειρ. εἰς ψαλμ.). Συνήθης δὲ ἡ φράσις καὶ ἐν τοῖς θείοις Εὐαγγελίοις. Σημειώσεως δὲ ἄξιον, ὅτι αὐτοὶ μὲν οἱ Εὐαγγελισαὶ οὐδέποτ' αὐτοὶ ἐξ ἑαυτῶν ἐτόλμησαν *υἱὸν ἀνθρώπου* τὸν Κύριον ὀνομάσαι· αὐτὸς δὲ μόνον ὁ Θεάνθρωπος οὕτως ἑαυτὸν ἀποκαλεῖ, πισούμενος τὴν κατ' οὐσίαν οὐ κατὰ φαντασίαν ἐνανθρώπησιν αὐτοῦ· καθ' ἣν «ὁ Θεὸς *Λόγος σὰρξ ἐγένετο, γενόμενος ἐκ γυναικὸς*», τῆς μόνης ἐν *γυναιξὶν εὐλογημένης*, καὶ *κεχαριτωμένης* ἀνθρώπου μητρὸς αὐτοῦ, τῆς ἀειπαρθένου καὶ, καθὸ *Θεὸν τεκούσης* σεσαρκωμένον, *θεοτόκου* Μαρίας. Οὗτός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου, « Ὁ *δεύτερος ἄνθρωπος*, ὁ *Κύριος ἐξ οὐρανοῦ, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ πάλιν ἀνελθὼν, ὅπου ἦν τὸ πρότερον* » (Ἰωάν. ς, 50–62). Τοῦτον μετὰ τὸν θεῖον Δαβὶδ προεῖδε, καὶ θεοπρεπῶς προδιέγραψε, καὶ ὡσαύτως ἀπεκάλεσε καὶ ὁ Δανιὴλ (ζ, 13, 14. οὕτως ἔχει κἀκεῖ τὸ ἑβρ. πρβλ. καὶ Ἰεζεκ. α, 26).

Ψαλμ. ΠΗ. (πθ), 12. Τὸ ἑβραϊκὸν ἐν τῇ Σογκίνου ἐκδόσει, καὶ ἐν κώδ. ἑβραίοις ἔχει πρόσθετον ὅλον στίχον ἐκ τοῦ ψαλμοῦ τοῦ ογ, 16 (ἑβρ. οδ), τὸν « Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ. Σὺ κατηρτίσω φαῦσιν » κτλ. (Ῥόσσ. τόμ. δ. σελ. 58 καὶ Suppl. σελ. 106. πρβλ. καὶ Σχούλζ.)· Ἐν δὲ τῷ κοινῷ ἑβρ. ὁ σίχος οὗτος οὐχ εὑρίσκεται (ὡς οὐδὲ παρὰ τοῖς Ο, οὐδὲ παρ' ἄλλῳ τινὶ τῶν ἀρχαίων ἑρμηνευτῶν). Τί φασὶ πρὸς ταῦτα καὶ τὰ τοιαῦτα διασκευάσματα οἱ τοῖς Ο ἐξισώσεις καὶ προσθήκας ἀγνώστους ἐκείνοις ἐγκαλοῦντες ῥαββινικώτατοι κριτικοί; Ἀλλὰ καὶ ἐν Ψαλμ. ϙγ (ϙδ) στίχ. 23, τὸ «*Ἀφανιεῖ αὐτοὺς*» δὶς πεπαλιλλόγηται (ἐκ δὲ τούτου καὶ ἐν τῇ Βουλγάτᾳ· δὶς δὲ καὶ ὁ Γράβης αὐτὸ, μηδὲν δέον, ἐν τῇ Ἀλεξανδρ. ἐκδόσει προσέθηκεν). Ἀγνοοῦσι δὲ καὶ τοῦτο παντάπασιν οὐ μόνον οἱ Ο, καὶ ὁ Ἄραψ (καὶ πάντες οἱ τοῦ στίχου τοῦ ψαλμοῦ μνημονεύσαντες ἀρχαῖοι Πατέρες), ἀλλὰ καὶ πολλοὶ κώδηκες ἑβραῖοι (Ῥόσσ. τόμ. δ. σελ. 64). Περὶ ἄλλων τοιούτων παρενθηκῶν, ἢ διασκευῶν τοῦ ἑβραϊκοῦ προείπομεν· ἤδη δὲ (πολλὰ καὶ ἄλλα παραλείποντες) προστιθέμεθα τὸ ἐφεξῆς. Ἐν ψαλμ. ρμδ

40*

(ἑβρ. ρμε) μετὰ τὸν 21 στίχ. πολλοὶ κώδηκες ἑβραῖοι καὶ ἡ τοῦ Σογκίνου ἔκδοσις προστίθησι καὶ τὰ ἑξῆς· «Ἡμεῖς δὲ εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος· ἀλληλούϊα». Ταῦτα δὲ οὔτ' ἐν τῷ κοινῷ ἑβραϊκῷ κεῖνται, οὔτε παρὰ τοῖς Ο, καὶ τοῖς ἄλλοις ἑρμηνευταῖς. Καὶ φαίνεται προστεθειμένον τὸ κῶλον εἰς τὸ κείμενον ἔκ τινων βιβλίων τῶν ἰουδαϊκῶν προσευχῶν (βλ. τὸν Ρόσσιν, τόμ. δ. σελ. 88).

Ψαλμ. ΡΑ (ρβ) 25. «Κατ' ἀρχὰς *Σὺ Κύριε* τὴν γῆν ἐθεμελίωσας» (οἱ Ο, καὶ ὁ θεῖος Παῦλος. Ἑβρ. α, 10). Ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ *Σὺ Κύριε*.

Ψαλμ. ΡΒ, ΡΓ, ΡΔ, ΡΕ. Ἐν τῇ Ἄλδου ἐκδόσει πρὸς τῷ τέλει τούτων τῶν ψαλμῶν προσγράφεται «*Δόξα*» [δηλονότι τὸ «*Δόξα πατρὶ*» κτλ. ὡς εἴωθεν ἀνέκαθεν ἡ Ἐκκλησία ἐν τοῖς καθ' ἑκάστην ἀναγνώσμασι τοῦ ψαλτῆρος ἐπιλέγειν τοῦτο τὸ τῆς τριαδικῆς δοξολογίας ἀρχαιότατον ὑμνολόγημα (Κλήμ. ὁ Στρωμ., Μ. Βασίλ. ἐν τῷ π. τ. ἁγ. πνεύμ. κεφ. κζ), οἷον διάψαλμα, εἰς τὸ τέλος ἑκάστου τῶν Κ, *καθισμάτων*, εἰς ἃ διῄρηται τὸ ψαλτήριον· ὡσαύτως καὶ εἰς τὸ τέλος ἑκάστου τῶν τριῶν μερῶν, καθ' ἃ ὑποδιαιρεῖται τὸ κάθισμα]. Τοῦτο τοίνυν τὸ *Δόξα* οἱ κριτικοὶ ἐξέλαβον ὡς ἑρμηνείαν τῶν Ο, δι' ἧς ἐξήγησαν οὗτοι τὸ ἑβρ. Ἀλληλούϊα!! (Hallelu jah, τουτ. αἰνεῖτε τὸν Θεόν). Ὅθεν κατεχώρισαν τὴν λέξιν καὶ Τρόμιος καὶ Σκλευσίνερος ἐν τοῖς κατ' αὐτοὺς τῶν Ο λεξικοῖς (λ. Δόξα). Ἀλλὰ παράδοξον, πῶς οὐκ εἶδον ἐν τοῖς αὐτοῖς ψαλμοῖς καὶ αὐτὸ τὸ Ἀλληλούϊα, χωρὶς ἐπιγεγραμμένον παρά τε τοῖς Ο, καὶ τῇ Βουλγάτᾳ. Ἔχει δὲ τὴν λέξιν καὶ τὸ ἑβραϊκὸν γεγραμμένην οὐκ ἐπὶ τῆς ἀρχῆς, ἀλλ' εἰς τὸ τέλος τούτων τῶν ψαλμῶν (ρδ, ρε, κτλ.).

Ψαλμ. ΡΖ. (ρη) 1. «Ἑτοίμη ἡ καρδία μου ὁ Θεός, *ἑτοίμη ἡ καρδία μου*» (οἱ Ο, ἡ Βουλγ.). Ἐκ τοῦ ἑβρ. ἐξέπεσε τὸ δεύτερον *ἑτοίμη ἡ καρδία μου*. (Οὕτω καὶ ἀλλαχοῦ πολλαχοῦ περὶ τὰς ἐμφαντικὰς ἐπαναλήψεις κεκολόβωται τὸ ἑβραϊκόν. Εἴδομεν ἐν τοῖς προηγηθεῖσι παραδείγματα ὀλίγα ἐκ πολλῶν, κεφ. γ. σελ. 199). Καὶ ἐν αὐτοῖς δὲ τοῖς διαφόροις χειρογράφοις ἰδίως ἀπαντῶνται

τοιαῦται κῆρες. Οὕτως ἐν ψαλμῷ ϙα, (ἑβρ. ϙϐ) 9, ὅπου ἡ καλὴ ἐκείνη ἐπανάληψις, «Ὅτι ἰδοὺ οἱ ἐχθροί σου κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου» (ὡς ἔχουσιν οἱ Ο, καὶ αἱ λοιπαὶ μεταφράσεις, καὶ αὐτὸ τὸ κοινὸν ἑβραϊκὸν) ἐν ἄλλοις ἑβραίοις χειρογράφοις λείπει τὸ πρῶτον κόμμα, ἐκπεσὸν δι' ἀβλεψίαν ἀντιγραφικήν. Καὶ πάλιν ἐν ψαλμ. πη (πθ), ὅλος ὁ τελευταῖος στίχος, κείμενος ἐν τῷ κοινῷ ἑβρ. καὶ παρὰ τοῖς Ο, λείπει ἐξ ἄλλων ἑβρ. κωδήκων (Ῥόσσ. τόμ. δ. σελ. 60, 63, κτλ). Καὶ ψαλμ. ϙε, (ϙϛ) 10, ἐξ οὐκ ὀλίγων χειρογράφων λείπει τὸ «Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσεν» (ὃ κεῖται ἔν τε τῷ κοινῷ ἑβρ. καὶ παρὰ τοῖς Ο, καὶ τοῖς λοιποῖς ἑρμηνευταῖς). Καὶ πάλιν αὐτόθι ςίχ. 13. ἐκ τοῦ «*Ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν*» (οἱ Ο, κτλ. καὶ αὐτὸ τὸ κοινὸν ἑβρ.), λείπει τὸ πρῶτον «*ὅτι ἔρχεται*» ἐν πολλοῖς ἑβραίοις χειρογράφοις, ἑκατὸν περίπου τὸν ἀριθμόν (βλ. Ῥόσσ. τόμ. δ. σελ. 65). Ἄλλα δείγματα πολυπληθῆ παραλείπομεν. Ἱκανὰ δὲ καὶ προείπομεν. Ἴτωσαν οὖν πάλιν καὶ ψεγέτωσαν οἱ δριμεῖς ἑβραϊσταί, ἃς περισαλπίζουσιν ἐν διαφόροις κώδηξι τῶν Ο κολοβώσεις τάχα καὶ ἐλλείψεις, ἐκθειάζοντες ὡς ἄθικτον καὶ ἄχραντον τὸ κείμενον τὸ Μασοριτικόν!

Ψαλμ. ΡΙΓ. (ριδ). «Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ *καὶ ἐν τῇ γῇ*» (οἱ Ο, κτλ.). Ἐκ τοῦ νῦν ἑβρ. λείπει τὸ «*καὶ ἐν τῇ γῇ*», ὡς ἔλειπε καὶ ἐπὶ Ἱερωνύμου· (ὅθεν περιττὸν εὑρίσκει τοῦτο ὁ Πατήρ, καὶ οὐδ' ἐν τῷ ῥωμαϊκῷ ψαλτηρίῳ κατέλιπε· πρὸς δὲ τοῦτο μεθηρμόσθη καὶ ἡ Βουλγάτα). Ἀλλ' ὅμως ἐπ' αὐτοῦ τοῦ Ἱερωνύμου ἀνεγίνωσκον τὸ κόμμα ὁ Χρυσόστομος, καὶ ὁ Θεοδώρητος, καὶ πολὺ δὲ πρότερον ὁ Ἀπολλινάριος ἐν τῷ ἑαυτοῦ ψαλτῆρι. (βλ. καὶ Σειρὰν εἰς τοὺς ψαλμ.). Ἔχει τοῦτο καὶ τὸ ἑβραϊκὸν, καὶ ἡ Βουλγάτα, ἐν τῷ παραλλήλῳ τόπῳ τοῦ ρλδ (ρλε) ψαλμοῦ (στίχῳ 6, πρβλ. καὶ ψαλμ. ριϐ (ριγ), 5). — στίχ. 26. «Οὐχ οἱ νεκροὶ.., ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον» (οἱ Ο, ἡ Βουλγ.). Ἐκ τοῦ ἑβρ. λείπει τὸ *ζῶντες*, οὕτω προφανῶς ἐκ τῆς ἐννοίας ἀπαιτούμενον (πρβλ. καὶ Ἡσ. λη, 18, 19). Οὕτως εἶπε καὶ ὁ Ἀπόςολος «Ἔπειτα (μετὰ τοὺς νεκροὺς) ἡμεῖς οἱ ζῶντες» (Θεσσαλ. δ, 15). Καὶ αὐ-

τὸς ὁ προφήτης λέγει ἐν ἑτέρῳ ψαλμῷ «Αἰνέσω κύριον ἐν τῇ ζωῇ μου» (ρμε, 2), ὡς ὁ ἱερὸς παρέβαλε Θεοδώρητος.

Ψαλμ. ΡΙΖ (ριη) στίχ. 1, 2, 3, 4. «Ὅτι *ἀγαθὸς*» (οἱ Ο). τὸ δ' ἑβρ. μόνον ἐν στίχ. 1. ἔχει τοῦτο τὸ «*Ὅτι ἀγαθὸς*», τὸ κάλλιστον καὶ πρέπον τοῖς στίχοις τούτοις ἐπιφώνημα — ςχ. 28. «Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν» (οἱ Ο, καὶ ἡ Βουλγάτα). Ἐκ τοῦ νῦν ἑβρ. λείπει· ἔλειπε δὲ καὶ ἐν τῷ τετρασελίδῳ (τοῖς Τετραπλοῖς) τοῦ Ὠριγένους, ὡς λέγει ὁ Σχολιαστής, εἴ τῳ πιστός. Οὗτος γὰρ (ἴσως ἀπὸ κώδηκος ἐλλειποῦς ὁρμώμενος) σημειοῖ, ὅτι «Οἱ δύω οὗτοι στίχοι (ὁ 28 καὶ 29) τοῦ παρόντος ψαλμοῦ οὐκ ἔκειντο ἐν τῷ τετρασελίδῳ παρ' οὐδενὶ, οὔτε παρὰ τοῖς Ο» (βλ. Σχόλ. ἐκδ. Ῥώμ.). Ἀλλ' ὁ 29 στίχος κεῖται οὐ μόνον παρὰ τοῖς Ο, κατὰ τοὺς ἡμετέρους κώδηκας, ἀλλὰ καὶ ἐν τῷ ἑβραίῳ· βλέπε καὶ Σειρὰν εἰς τοὺς ψαλμοὺς (αὐτόθ.), ὅπου καὶ αὐτὸς Ὠριγένης εἰς στίχ. 29 φαίνεται μνημονεύων τοῦ ἐν τῷ 28 στίχῳ *ἐγένου μοι εἰς σωτηρίαν*.

Ψαλμ. ΡΛΑ (ρλϐ) 4. «(Εἰ δώσω..) τοῖς βλεφάροις μου νυσταγμὸν, *καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου*» (οἱ Ο, ἡ Βουλγ.). Ἐκ δὲ τοῦ ἑβρ. λείπει τὸ «*καὶ ἀνάπαυσιν*» κτλ. Καὶ ὁ παλαιὸς Σχολιαστὴς σημειοῖ, ὅτι «Ὁ στίχος οὗτος οὐκ ἔκειτο ἐν τῷ τετρασελίδῳ· παρὰ δὲ τῷ Θεοδοτίωνι μόνῳ ἀντὶ τοῦ, *τοῖς βλεφάροις μου*, ἔκειτο, *τοῖς κροτάφοις μου νυσταγμόν*. Ἐν δὲ τῷ ὀκτασελίδῳ (τοῖς Ἑξαπλοῖς καὶ Ὀκταπλοῖς) παρὰ μόνοις τοῖς Ο ἔκειτο ὠβελισμένον» (Σχολ. ἐκδ. Ῥώμ.). Ἐντεῦθεν ὁρμηθέντες οἱ περὶ τὸν Ἀγέλλιον κριτικοὶ καλὴν εὕρηκαν καὶ ὧδε τῆς ἀκρωτηριάσεως τοῦ ἑβρ. θεραπείαν, τὴν συνήθη ἐπῳδὴν, ὅτι ἀνεμίγησαν κἀν τούτῳ τῷ τόπῳ τοῦ κειμένου τῶν Ο, δύω διαφόρων ἑνὸς καὶ τοῦ αὐτοῦ κόμματος ἑρμηνεῖαι· καὶ τὸ μὲν «*καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου*» ὅλον ἐστὶ τοῦ Θεοδοτίωνος· οἱ δ' Ο μόνον ἔγραψαν «τοῖς *βλεφάροις μου* νυσταγμόν». Ἀλλ' ὁ μὲν Σχολιαστὴς (εἴ γε καὶ ὧδε ἐσχολίασεν ἀκριβῶς) λέγει, ὅτι ἀντὶ τοῦ τῶν Ο, *βλεφάροις*, ὁ Θεοδοτίων ἔγραψε *κροτάφοις νυσταγμόν*· καὶ πλέον

οὐ τὸ δ' *ἀνάπαυσιν* πόθεν εἰσεῤῥύη εἰς τὸ κείμενον τῶν Ο; (καὶ ἄλλως δέ πως ἀπίθανον φαίνεται, ὅτι τὸ ἑβρ. *Αφαφιμ* ἡρμήνευσε *κροτάφοις* ὁ Θεοδοτίων, ἀφεὶς τὸ φυσικώτερον *βλεφάροις* (ἀνάλογον τοῦ Παροιμ. ς, 4 « μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις »). Ὁ Σχολιαστὴς προστίθησιν, ὅτι ἐν τοῖς Ἑξαπλοῖς τοῦτο (ποῖον; *τὸ τοῖς κροτάφοις*; ἢ καὶ ὅλον τὸ «*καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου*») παρὰ *μόνοις* τοῖς Ο, ἔκειτο *ὠβελισμένον*». Πῶς λοιπὸν ἔκειτο καὶ παρὰ τῷ Θεοδοτίωνι ἐν τοῖς τετραπλοῖς; εἰ δ' ἔκειτο καὶ παρ' αὐτῷ, πῶς ἀληθεύσει τὸ « *παρὰ μόνοις τοῖς* Ο; Ἀλλ' ὅπως ἂν, καὶ ὅτε, καὶ ὑφ' οὗτινος, εἴτ' αὐτοῦ Ὠριγένους (παραβάλλοντος τὸ κατ' αὐτὸν ἑβραϊκὸν), εἴτε καὶ ὑπό τινων μὴ πάμπαν ἀκριβῶν τοῦ Ὠριγένους ἀντιγραφέων (οἷς ἔοικε περιτυχὼν ὁ Σχολιαστὴς) ὠβέλιστο τὸ « Καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου», τοῦτο πάντως ὡς γνησίαν τῶν Ο, γραφὴν ἀνέγνων οἱ καὶ τὸ τετρασέλιδον καὶ τὸ ὀκτασέλιδον ἔχοντες πρὸ ὀφθαλμῶν, Θεόδωρος ὁ Ἡρακλείας, Ἀπολλινάριος, Χρυσόστομος, Θεοδώρητος, καὶ αὐτὸς ὁ Ἱερώνυμος (ἐν τῷ ψαλτῆρι) (α). Καὶ πρὶν ὀβελισθῇ (εἴ γε καὶ ὠβέλιστο), καὶ αὐτοῦ δὲ πρότερον τοῦ Θεοδοτίωνος, εἶχε τὸ κόμμα καὶ ἡ παλαιὰ Βουλγάτα (ἢ Ἰτάλα)· ὅθεν ἔχει τοῦτο καὶ ἡ καθ' ἡμᾶς. Ἔπειτα καὶ ἄλλως *ἡ τῶν κροτάφων ἀνάπαυσις* διαφέρει *τοῦ νυσταγμοῦ τῶν βλεφάρων*, ἐπικοσμοῦσα τὴν ἐναργεστάτην διαγραφὴν τοῦ πρὸς ἄνεσιν ἀπὸ κόπων καὶ μεριμνῶν ἀναβαίνοντος *ἐπὶ κλίνης στρωμνῆς*. Ὥστε οἱ μὲν Ο, μεθηρμήνευσαν τὰς λέξεις ἀναγνόντες ἐν τῷ κατ' αὐτοὺς ἑβραϊκῷ, διεξέπεσαν δὲ καὶ αὗται μετέπειτα ἐκ

(α) Ὁ Ἱερώνυμος εἰς τὸν στίχον σημειοῖ καὶ τὰ ἐφεξῆς· «Tabernaculum domus, caelestem sedem indicat: in strato vero lecti, in oculorum somno, in dormitatione palpebrarum, vel in temporum requie, aeternam quietem demonstravit. S.Hieron.Oper. T.4. p. 356. Ὥστε προφανῶς ἀνέγνω καὶ τὸ ἀνάπαυσιν (ἐφ' οὗ στηρίζει καὶ τὴν ὅλην τοῦ νοήματος μεταφορὰν), ὡς γνησίαν τῶν Ο (Θεοδοτίωνος δὲ οὐδόλως μνημονεύει). Σημείωσαι δὲ, ὅτι ἐν τῷ προοιμίῳ (αὐτόθ.) λέγει, ὅτι εἶχεν ἀνὰ χεῖρας καὶ τὸ τὰς Ὠριγένους σημειώσεις φέρον Ψαλτήριον. «Proxime cum Origenis Psalterium, quod Enchiridion ille vocabat, strictis et necessariis interpretationibus adnotatum, in commune legerimus» etc.

τοῦ κειμένου. Ὅθεν οὐδ᾽ ὁ Σύρος, οὐδ᾽ ὁ Χαλδαῖος ἡρμήνευσαν, οὐδ᾽ ὁ Ἱερώνυμος ἐν ᾧ μετέφρασεν ἰδίως ἐκ τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ ψαλτηρίῳ.

Ψαλμ. ΡΛΓ. (ρλδ) στίχ. 1. « Ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν » (οἱ Ο, ἡ Βουλγάτα)· ἐκ τοῦ ἑβρ. λείπει· κυροῦται δὲ ἐκ τοῦ Ψαλμοῦ τοῦ ἐφεξῆς ρλδ, (ρλε) 2, ὅπου κεῖται παρ᾽ ἀμφοτέροις τοῖς κειμένοις.

Ψαλμ. ΡΛΖ (ρλη). στίχ. 1. « *Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου* » (οἱ Ο, καθ᾽ ὅλας τὰς ἐκδόσεις, πλὴν τῆς Ἀλεξανδρ. ἔχει δὲ ταῦτα καὶ ἡ Βουλγάτα, Χρυσόστομος, Ἱερώνυμος, Ἱλάριος, Αὐγουστῖνος, κτλ.)· ἐκ δὲ τοῦ ἑβρ. ταῦτα λείπουσι (α).

Ψαλμ. ΡΜΔ. (ρμε) στίχ. 13. « Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ » (οἱ Ο, ἡ Βουλγ. Σύρος, Ἄραψ, Αἰθίοψ, καὶ κώδ. ἑβρ. Ῥόσσ. τόμ. δ. σελ. 88). Λείπει δὲ ἐκ τοῦ ἑβρ. ὁλόκληρος ὁ στίχος. καὶ τὴν ἔκπτωσιν μαρτυρεῖ τρανῶς ἡ διακοπὴ τῆς κατ᾽ ἀλφάβητον ἀκροστιχίδος τοῦ ψαλμοῦ, ὅπου λείπει τὸ Ν (*νουν*). Συνομολογοῦσι δὲ τὴν παράπτωσιν τοῦ στίχου καὶ τῶν νεωτέρων ἐπίσημοι κριτικοὶ (Καπέλλιος, καὶ Γρότιος, καὶ Ῥόσσις, καὶ ἄλλοι· βλ. Σχούλζ.).Μαρτυρεῖ δὲ καὶ τὸ « *Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ* »,κείμενον ἐν τῷ ψαλμῷ τῷ ΡΙ(ρια)7,ἐν τῷ τόπῳ τοῦ Ν (νουν) τοῦ ἑβρ. ἀλφαβήτου (συνήρμοσται δὲ καθ᾽ ὁμοίαν ἀκροστιχίδα κἀκεῖνος ὁ ψαλμός). Εἴπομεν περὶ τούτου καὶ ἐν τοῖς προηγηθεῖσι (κεφ. ς. § γ). Φαίνεται δὲ παλαιά τις ἡ ἔκπτωσις ἐκ τῶν πλείστων γοῦν καὶ συνηθεστέρων ἑβραϊκῶν κωδήκων, οἵοις ὡς ἔοικεν ἐχρήσαντο καὶ οἱ περὶ τὸν Ἀκύλαν (τούτοις δὲ καὶ Ἱερώνυμος παρηκολούθησεν, ὡς εἴωθεν, ἐν ᾧ μετέφρασεν ἐκ τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ Ψαλτηρίῳ). Λέγει δὲ καὶ ὁ Σχολιαστής, ὅτι « ὠβέλιστο ὁ στίχος » (ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς), ὡς καὶ Ὠριγένους τοιούτοις κώδηξι χρησαμένου. Ἐντεῦθεν ὁρμώμενος ὁ κλεινὸς Ῥοδομύλλερος ἀνθίσταται πρὸς τὴν ἔκπτωσιν, λέγων, ὅτι πα-

---

(α) Ἐνόμισάν τινες ὅτι *παρὰ τοῖς* Ο *ἐπανελήφθησαν τὰ λόγια ἐκ τοῦ* 4 *στίχου τοῦ Ψαλμοῦ. Ἀλλ᾽ ἐκεῖ διαφέρουσι τὰ πρόσωπα « Ὅτι (οἱ βασιλεῖς) ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός Σου » (οὕτω καὶ τὸ ἑβρ.).*

ρεισήχθη κατὰ προσθήκην ὁ ϐ, οὗτος στίχος εἰς τοὺς Ο, ἐκ τοῦ ἐφεξῆς 17 (*Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ*). Καὶ πότε μὲν, καὶ ὑπὸ τίνων ἡ προσθήκη γέγονεν, οὐ λέγει· λέγει δὲ ὅμως ἀπίθανα. Πρῶτον μὲν γὰρ πάνυ διαφέρει ὁ *δίκαιος* (ἑϐρ. *Σαδδικ*), καὶ τὸ τοῦ 17 στίχου πιστὸς (*Νεεμαν*). Ὡσαύτως καὶ τὸ (στχ. 13) «*τοῖς λόγοις*» (Δαϐὰρ), πρὸς τὸ (στχ. 17) «*ταῖς ὁδοῖς*»· (Δερεχ). «ὁδοὺς γὰρ τὰς οἰκονομίας ἐκάλεσε». Θεοδώρητ. Εἰ δὲ ταὐτίζονται (κατὰ τὸν κριτικὸν), διὰ τί μὴ μᾶλλον ὁ 17 ςίχος ὑπάρχει ἐπαναδίπλωσις τοῦ προλαϐόντος 13; (εἴωθε δὲ πολλάκις ὁ ψαλμῳδὸς τὰς ἐννοίας ἐπαναδιπλοῦν). «Ἔπειτα (φησὶν) οὔτε Ἱερώνυμος ἀνέγνω τὸν στίχον, οὔτ᾽ Ἀκύλας, οὔτε Θεοδοτίων, οὔτε Χαλδαῖος, οὐθ᾽ οἱ Μασορῖται καὶ οἱ λοιποὶ τῶν Ἰουδαίων ἐξηγητῶν». Ἀλλ᾽ ὅτι μὲν ὁ στίχος ἐξέπεσε πρώϊμος ἐκ τῶν πλείστων ἑϐραίων χειρογράφων, προείπομεν. Ἔπειτα Μασορίταις μὲν καὶ τῷ Χαλδαίῳ καὶ τοῖς περὶ τὸν Ἀκύλαν πιστεύσομεν, τῇ δ᾽ ἀρχαιοτέρᾳ Βουλγάτᾳ, ἢ Ἰτάλᾳ, καὶ τῷ Σύρῳ (ἐκ τοῦ ἑϐραϊκοῦ μεθηρμηνευμένῳ), καὶ τῷ Ἄραϐι (καὶ τούτῳ ἐκ τοῦ ἑϐρ.), καὶ τῷ Αἰθίοπι, καὶ πᾶσι τοῖς καὶ εἰς ἡμᾶς περισωθεῖσι τοσούτοις τῶν Ο χειρογράφοις οὐ πιστεύσομεν; Προτιμήσομεν δὲ καὶ τὴν Ἱερωνύμου ἀνάγνωσιν, καὶ τὸ τοῦ Σχολιαστοῦ ὀϐέλισμα, παρὰ τοὺς Ὠριγένους ἀρχαιοτέρους κώδικας (οἷς προσέγραψε δῆθεν ἐκεῖνος τὸν ὀϐελὸν), καὶ παρὰ τοσούτους Ἱερωνύμου προγενεστέρους καὶ ὁμήλικας καὶ μεταγενεστέρους Πατέρας τῆς Ἐκκλησίας, ὅσοι τὸν στίχον ἀνέγνων ὡς γνησίαν τῶν Ο, γραφήν; (α).

Ψαλμ. ΡΜϚ. (ρμζ) στίχ. 8. «**Καὶ** *χλόην τῇ δουλείᾳ τῶν ἀν-*

(α) Περιεῖχεν ἴσως τὸν στίχον καὶ αὐτὸ τὸ Ὠριγένους Ἐγχειρίδιον Ψαλτήριον· τοῦτο γὰρ Ἱερώνυμος ἀνεγίνωσκε (καθὼς προεῖπεν ἀνωτέρω), ἐν ᾧ ἐξήγει τὸν Ψαλμὸν, ὡς ἔκειτο ἐν τῇ Βουλγάτᾳ· διεσάφησε δὲ καὶ τὸν στίχον τοῦτον ὁ πατὴρ, οὕτω· «Fidelis dominus in omnibus verbis suis. Cum omnia, quae per prophetas locutus est, adimplevit etc.». Κατελθὼν δὲ καὶ εἰς τὸν 17 στίχον Justus Dominus (Δίκαιος Κύριος κτλ.)· «Καὶ ταῦτα, λέγει, ὡς εἴρηται ἀνωτέρω» (ἰσοδυναμοῦσι δηλονότι πρὸς τὰ τοῦ 13 στίχου πιστὸς Κύριος κτλ.). Ἐντεῦθεν ἴσως ὁ Ῥοδομύλλερος συνέλαβε τὴν ἔννοιαν περὶ τοῦ 13 στίχου, ὅτι μετεπλάσθη ἐκ τοῦ 17! (βλ. S. Hieronym. T. IIII. p. 386).

θρώπων» (οἱ Ο)· λείπουσι καὶ ταῦτα ἐκ τοῦ ἑβραϊκοῦ· μαρτυροῦνται δὲ καὶ ἀλλαχόθεν, καὶ ἐκ τοῦ παραλλήλου χωρίου, ψαλμ. ργ, 14 (ρδ). Κεῖνται δὲ καὶ ἐν τῷ Βατικανῷ, καὶ ταῖς λοιπαῖς ἐκδόσεσι (βλ. ἔκδ. Ὅλμητ. λείπουσι δὲ ἐκ τοῦ Ἀλεξανδρινοῦ, ὡς ἔλειπον ἔκ τινων κωδήκων καὶ ἐπὶ Ἱλαρίου). Ἔχουσι ταῦτα καὶ οἱ λοιποὶ (Α. Σ. Θ.), καὶ ἡ Βουλγάτα, καὶ Χρυσόστομος, καὶ Θεοδώρητος, καὶ ἄλλοι Πατέρες τῆς εἰς τοὺς ψαλμοὺς Κορδερείας Σειρᾶς. Ἀλλ' ἱκανοῦσι ταῦτα καὶ ἐκ τῶν ψαλμῶν, ὀλίγα ἐκ πολλῶν προστεθέντα. Περὶ δὲ τῶν ἐν ταῖς ἀντιστοιχούσαις λέξεσι καὶ ταῖς τούτων σημασίαις ἰδίων διαφορῶν, τῶν μεταξὺ τοῦ νῦν ἑβραϊκοῦ καὶ τῶν Ο πολλαχοῦ θεωρουμένων, μελήσει τοῖς ἰδίως περὶ τὴν ἐξήγησιν τῶν θείων ψαλμῶν φιλοθέως ἀσκουμένοις.

§. κζ. Ἐκτὸς τῶν ΡΝ κανονικῶν ψαλμῶν τοῦ Δαβὶδ εὑρίσκεται καὶ ἕτερος ἰδίως, ὁ λεγόμενος *ἰδιόγραφος*. Ἔχει δὲ οὗτος ταύτην ἐπιγραφήν. «Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τοῦ Δαβίδ, καὶ ἔξωθεν τοῦ ἀριθμοῦ (τῶν ρν)· ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ». Τοῦτον τὸν ψαλμὸν περιέχουσιν ἅπαντες οἱ παλαιοὶ τῶν Ο κώδηκες, καὶ αἱ ἐξ αὐτῶν ἐκδόσεις (α)· καὶ φαίνεταί τις οἷον ἐπίλογος τοῦ Ψαλτῆρος. Ἔχουσι τοῦτον καὶ ἡ Ἀραβικὴ καὶ Αἰθιοπικὴ καὶ Ἀρμενικὴ καὶ ἡ Σλαβονικὴ ἑρμηνεία. Ἀνέγνω τοῦτον καὶ ὁ Ἀπολλινάριος, καὶ παρέφρασεν ἐντύνας εἰς ἔπη καλὰ (ὡς καὶ τοὺς κανονικοὺς ψαλμούς). Καὶ ὁ ἱερὸς Ἀθανάσιος αὐτοῦ μνημονεύει ἐν τῇ Συνόψει (τ. β. σελ. 87), καὶ ἄλλοι τῶν Πατέρων. Καὶ ἐν μὲν ταῖς δημοσίαις προσευχαῖς οὐκ ἀναγινώσκει τοῦτον ἡ Ἐκκλησία μετὰ τῶν λοιπῶν ψαλμῶν τοῦ Δαβίδ· ἐν δὲ ταῖς κατ' ἰδίαν οὐδ' αὐτὸς ἀποκλείεται, ψάλλεται δὲ καὶ οὗτος ἐν δέοντι, καθὼς ὁ μέγας φησὶν Ἀθανάσιος· «Ἐὰν μικρὸς ὢν, προκριθῇς εἰς ἀρχήν (ἄλλ. χρείαν) τινα τῶν ἀδελφῶν

(α) Ἐν δὲ τῇ Κομπλουτεία ἐκδόσει παραλέλειπται ὑπὸ τῶν ἐκδοτῶν (ὡς ἔοικεν), ἐπειδὴ οὐδ' ἐν τῷ νῦν ἑβρ. εὑρίσκεται ὁ ψαλμὸς, ὡς οὐδ' ἐν τῇ Βουλγάτα. Κεῖται δὲ ὅμως ἐν τῷ Βερονείῳ (Veronensi) ἐπιλεγομένῳ παλαιῷ Ψαλτηρίῳ, περιέχοντι γράμμασι λατινικοῖς τὸ ἑλληνικὸν κείμενον καὶ τὴν λατινικὴν ἑρμηνείαν, ὅπερ ἐξέδωκεν ὁ Blanchini (Vindic. canon. script.). Ὁ δὲ Jager (ἐκδ. Βατικ. 1840, Paris) ἐξώρισε τὸν ψαλμὸν ἐν τοῖς Ἀποκρύφοις! (σελ. 745).

σου, μὴ ἐπαίρου κατ' αὐτῶν· ἀλλὰ τῷ ἐκλεξαμένῳ κυρίῳ διδοὺς δόξαν, ψάλλε καὶ σὺ τὸν ρνα (ψαλμὸν), *ἴδιον ὄντα τοῦ Δαβίδ*» (α). Λείπει δὲ καὶ οὗτος ὁ ἰδιόγραφος ἐκ τοῦ καθ' ἡμᾶς ἑβραίου κώδηκος· καὶ οἱ περὶ τὸν Βοχάρτον οὐκ ὤκνησαν ἀπ' εὐθείας *εἰς ἀκράτους τινὰς ἀπατεῶνας* ἀποδοῦναι τὴν προσθήκην τούτου τοῦ ψαλμοῦ! (β)· μετριώτερος δὲ καὶ ὧδε ὁ Κεννικῶτος (γ).

§. κη. Πολλὰς καὶ ἄλλας ἀποδείξεις τῆς τοῦ ἑβραϊκοῦ κειμένου διαφθορᾶς ἔχομεν ἐπισυνάψαι καὶ ἐκ τῶν λοιπῶν κανονικῶν βιβλίων τῆς Γραφῆς· λέγομεν δὲ, τῶν τοῦ Σολομῶντος (τῶν Παροιμιῶν, τοῦ Ἐκκλησιαστοῦ, τοῦ Ἄσματος), καὶ τῶν θείων Προφητῶν. ἀλλὰ παραλείπομεν τὴν ἔκθεσιν, μήποτε σφόδρα προσκορεῖς ἀποβῶμεν τοῖς ἀναγνώσταις. Κατετάξαμεν δὲ ἐν τοῖς προλαβοῦσι καί τινας ἐκ τούτων τῶν ἐν τοῖς προφητικοῖς βιβλίοις τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο διαφορῶν. Ἤδη δὲ συμπεραίνομεν τὸ κεφάλαιον ἀναλαμβάνοντες ἐν συνόψει τὰ ἑξῆς.

§. κθ. Ὅτι ἡ κατὰ τοὺς Ο ἀνάγνωσις πολλῶν χωρίων γραφικῶν, καθ' ἃ τὸ νῦν ἑβραϊκὸν διαφέρει, ὑπάρχει ἡ γνησία καὶ ἀληθὴς, μαρτυροῦσιν.

Α) Ἡ Σαμαρειτανὴ Πεντάτευχος, ἥτις συμφωνεῖ τοῖς Ο, πολλάκις ἐν πολλοῖς ἀναγνώσμασιν, ἅτινα ἢ λείπουσι παντάπασιν, ἢ ἄλλως ἔχουσιν ἐν τῷ νῦν ἑβραϊκῷ. Διὸ καὶ σοφοί τινες παραδοξολόγοι, θερμότερον τῶν ῥαββίνων ὑπερασπίζοντες τὸ ἑβραϊκὸν, ὠνειρεύθησαν τὴν ἑρμηνείαν τῶν Ο γενομένην ἐκ τοῦ Σαμαρειτανοῦ!

Β) Τὰ παράλληλα χωρία τῆς Γραφῆς, δι' ὧν ἀποδείκνυται, ὅτι ἐξέπεσαν ἐκ τοῦ ἑβραϊκοῦ κειμένου ὅσα σῴζονται μὲν παρὰ τοῖς Ο, σῴζονται δὲ τὰ αὐτὰ καὶ ἐν τῷ ἑβραϊκῷ, ἐν ἄλλοις τόποις παραλλήλοις, ὅπου γίνεται τῶν αὐτῶν ῥητῶν, ἢ φράσεων ἐπανάληψις.

(α) Ὁ Μ. Ἀθανάσιος ἐν τῇ θαυμαστῇ πρὸς Μαρκελλῖνον ἐπιστολῇ (τ. α, σελ. 755). Ἐν ταύτῃ τῇ ἐπιστολῇ ὁ θεῖος Πατὴρ τὴν ὑπέροχον ἀξίαν, καὶ τὴν κατὰ διαφόρους περιστάσεις χρῆσιν ἑκάστου τῶν ψαλμῶν διαγράφει. Μέμνηται δὲ τῆς ἐπιστολῆς καὶ ἡ Ζ, οἰκουμενικὴ Σύνοδος, προστιθεῖσα καὶ ὅτι αὐτὸς ὁ Μ. Ἀθανάσιος προέταξεν αὐτὴν (ἐν τῇ Βίβλῳ τῆς ἑρμηνείας τῶν ψαλμ.). Βλ. Συνόδ. Συλλογ. Τ. β. σελ. 870.

(β) Hierozoic. P. I. Lib. II. c. 44. p. 460. — (γ) Dissert. Gener. p. 32.

Εἰ δὲ καὶ οἱ πολεμοῦντες τοῖς Ο, παρέπλασαν ἃς προείπομεν διασκευὰς καὶ ἐξισώσεις εἰς τὸ κείμενον τῆς ἑρμηνείας, ἐξεπίτηδες καὶ καθ' ὅλους τοὺς κώδηκας δραματουργηθείσας ὑπ' αὐτῶν τε τῶν Ο, καὶ παρ' ἄλλων δὲ μετ' αὐτοὺς (ἵνα δῆθεν σώζηται πανταχοῦ ἐπ' ἀκριβὲς ἡ αὐτὴ καὶ ἀπαράλλακτος ἔκφρασις τῶν αὐτῶν πραγμάτων καὶ ἐννοιῶν), οἱ τοιοῦτοι κριτικοὶ δεινὸν μὲν ποιοῦσι κατορχούμενοι τῆς ἱερᾶς ἀρχαιότητος, ἐβεβαίωσαν δὲ ὅμως καὶ οὗτοι τὸ σοφὸν ἐκεῖνο γνωμικόν· ὅτι «*Ὁποῖον κ' εἴπησθα ἔπος, τοῖον κ' ἐπακούσαις*». Ὅταν γὰρ αὐτοὶ ἀποδεικνύωσι τὸ γνήσιον ἑβραϊκοῦ τινος χωρίου ἐξ ἄλλου παραλλήλου τόπου (καὶ τοῦτο, κατὰ τοὺς κανόνας τῆς κριτικῆς, ἰσχυροτάτη ἐςὶν ἀπόδειξις), εὐκόλως ἄν τις τῶν μὴ ταχυπειθῶν ἀντείποι πρὸς αὐτοὺς τὸ ἴδιον αὐτῶν ἀπόφθεγμα· «Ὅτι ταῦτα διασκευὴ καὶ παρένθεσις ἐξισωτική»! Καὶ τοῦτο πολὺ δικαιότερον ἐρεῖ καὶ ἀληθέστερον, παρ' ἃς πλάττουσιν αὐτοὶ διασκευὰς καὶ παρενθήκας ἐν τοῖς Ο.

Γ) Πάμπολα καὶ ἀξιόλογα χειρόγραφα ἑβραϊκά, καθ' ὅσα συμφωνοῦσι τοῖς Θ, μαρτυροῦσι τὴν ἐν τούτοις διαφθορὰν τοῦ κοινῶς παραδεδεγμένου ἑβραϊκοῦ κειμένου. Ἀπέδειξε δὲ ταύτην τὴν ἀναντίῤῥητον ἀλήθειαν ἡ πλουσιωτάτη συλλογὴ τῶν ἑβραϊκῶν χειρογράφων, ἅπερ ὅ, τε περικλεὴς Κεννικῶτος, καὶ ὁ τούτου μιμητὴς καὶ διάδοχος Ῥόσσις, φιλοπόνως συνήγαγον καὶ παρέβαλον.

Δ) Περὶ τῶν ἐν τῇ Καινῇ Διαθήκῃ προφητικῶν ῥητῶν, πρὸς ἃ συμφωνοῦσι μὲν οἱ Ο, ἀντιλέγει δὲ τὸ ἑβραϊκόν, λέγομεν ἐν τοῖς ἑξῆς.

Ε) Οὐδ' αὐτοὶ οἱ μετὰ Χριςόν, ἰουδαΐζοντες, ὡς ἐπὶ τὸ πλεῖςον, ἑρμηνεῖς τῆς ἑβραϊκῆς Γραφῆς, Ἀκύλας καὶ Σύμμαχος καὶ Θεοδοτίων καὶ οἱ λοιποὶ τῶν Ἑξαπλῶν, ἀπολείπονται ἐνίοτε τῶν Ο, προφανῶς ἀντιφωνοῦντες πρὸς τὸ νῦν ἑβραϊκόν.

Ϛ) Καὶ αἱ Χαλδαϊκαὶ παραφράσεις (τὰ συνήθως Ταργούμια) μαρτυροῦσι πολλάκις τοῖς Ο, καθὼς εἴδομεν οὐχ ἅπαξ ἐν τοῖς ἐκτεθεῖσι παραδείγμασι. Λέγομεν δὲ περὶ τῶν Ταργουμίων τούτων καὶ ἐν τοῖς ἑξῆς.

Ζ) Ἡ ἐκ τοῦ ἑβραϊκοῦ Συριακὴ μετάφρασις βεβαιοῖ πολλάκις τὴν ἀνάγνωσιν τῶν Ο, καὶ ὁ Ἄραψ, καὶ ὁ Αἰθίοψ, καὶ ὁ Κόπτης· καὶ πρὸ τῶν ἄλλων ἁπασῶν ἡ ἐκ τῶν Ο, παλαιὰ Βουλγάτα, ἢ Ἰτάλα, καὶ ἡ Ἰβηρικὴ, καὶ Ἀρμενικὴ, καὶ ἡ Σλαβονικὴ ἑρμηνεία συμφωνοῦσι τοῖς Ο· καὶ αὐτὸς ἐνίοτε ὁ Ἱερώνυμος τούτους προτιμᾷ τοῦ ἑβραϊκοῦ.

Η) Οἱ Ἀποστολικοὶ Πατέρες τῆς Ἐκκλησίας (ὡς ὁ Ῥώμης Κλήμης, μετὰ τῶν Ἀποστολικῶν Διαταγῶν, καὶ ἡ Βαρνάβα ἐπιστολὴ, καὶ Ἰουστῖνος, καὶ Θεόφιλος, καὶ Εἰρηναῖος κτλ.) μαρτυροῦσι πολλαχοῦ τὴν γνησίαν ἀνάγνωσιν τῶν Ο, καὶ πρὶν Ὠριγένης συντάξῃ τὰ Ἑξαπλᾶ (ἐξ ὧν οἱ κριτικοὶ παριστῶσι συμπεφυρμένον τὸ καθ' ἡμᾶς κείμενον τῶν Ο)· ἀλλὰ καὶ ὁ Ὠριγένης αὐτὸς, καὶ οἱ μετ' αὐτὸν ἱεροὶ Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας. Καὶ ταῦτα μὲν ταύτῃ· ἤδη δὲ προσαποδίδομεν, ὡς *ἐπίμετρον* τοῦ παρόντος κεφαλαίου, καὶ τὸ ἐφεξῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

Περὶ κεφαλαίων ὅλων, καὶ μεγάλων περικοπῶν, ἐν οἷς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν παλαιόθεν ἐν τοῖς κανονικοῖς βιβλίοις ἠκρωτηρίασται.

§. α. Πλὴν τῶν κατὰ λέξεις καὶ φράσεις καὶ περιόδους ὅλας σεσημειωμένων ἐλλείψεων, καὶ τῶν ἄλλων παραλλαγῶν, καθ' ἃς διαφέρει τῶν Ο τὸ καθ' ἡμᾶς ἑβραϊκὸν, ἐλλείπουσιν ἐξ αὐτοῦ καὶ τὰ ἐφεξῆς παχυμερῆ τεμάχια, ἢ κεφάλαια. Α) Ἐκ τῆς Ἐσθὴρ ὅσα προείπομεν. Β) Ἐκ τοῦ Δανιὴλ τρία τινά· α) ἡ ἱστορία τῆς Σωσάννης· β) ἡ τῶν τριῶν παίδων Αἴνεσις· γ) τὸ *Βὴλ καὶ Δράκων* συνημμένον ἱστόρημα. Γ) Ἐκ τοῦ Ἱερεμίου δύω· α) αὐτοῦ τοῦ Ἱερεμίου ἡ ἐπιστολὴ, καὶ β) ἡ προφητεία Βαρούχ. Δ) Ὅλος ὁ Α. Ἔσδρας. Ε) Ἡ *προσευχὴ τοῦ Μανασσῆ.*

§. β. Ταῦτα τὰ προφητικὰ τεμάχια περιέχονται ἐν πᾶσι τοῖς χειρογράφοις τῶν Ο. Λείπουσι δὲ πάλιν ἐξ ὅλων τῶν ἑβραϊκῶν χειρογράφων, ὡς ἔλειπον καὶ ἐπὶ Ἱερωνύμου. Καὶ πολλὰ μὲν εἶπον καὶ μάταια κατὰ τῶν μεγάλων τούτων περιοχῶν οἱ θερμοὶ τοῦ ἑβραίου κειμένου προστάται (προηγήσατο δὲ τούτων ὁ μακά-

ριος Ἱερώνυμος). Ἀλλὰ τὸ κῦρος καὶ τὴν γνησιότητα τούτων τῶν μερῶν τῆς θείας Γραφῆς, ἅπερ οἱ Ο μεθηρμήνευσαν ἐκ τοῦ κατ' αὐτοὺς ὁλοσχεροῦς εἰσέτι τότε καὶ ἀκραιφνοῦς διατηρουμένου ἑβραϊκοῦ κώδηκος, μαρτυροῦσιν αἱ ἀποδείξεις, ἃς ἐπάγομεν εἰς ἕκαστον τῶν εἰρημένων τεμαχίων κατὰ μέρος.

§. γ. Α) Ἐσθήρ. Περὶ ταύτης διελάβομεν τὰ εἰκότα κατὰ πλάτος ἐν τοῖς προηγηθεῖσι (σελ. 583, κτξ.).

§. δ. Β) Σωσάννα. Ἔτι κατὰ τοὺς Ὠριγένους χρόνους ὁ Ἀφρικανὸς ἀμφέβαλλε περὶ τῆς γνησιότητος τοῦ διηγήματος τῆς Σωσάννης, ἄλλας τε προτείνων πρὸς τὸν φίλον Ὠριγένην ἀπορίας, καὶ δύω ταύτας ἐπισημοτάτας· α) ὅτι οὐχ εὑρίσκετο ἐν τῷ κατ' ἐκείνους τοὺς χρόνους ἑβραϊκῷ, καὶ β) ὅτι περιέχει παρωνυμίας ξένας τῆς ἑβραϊκῆς ἐτυμολογίας, καὶ προφανῶς ἑλληνικάς· ὡς τὸ *ἀπὸ τοῦ σχίνου σχίσαι*, καὶ *ἀπὸ τοῦ πρίνου πρίσαι* (α). « Τὰ δὲ τοιαῦτα ὀνόματα (φησὶν) ἐν τῇ ἑβραΐδι τῷ παντὶ διέστηκεν· ἐξ Ἑβραίων δὲ τοῖς Ἕλλησι μετεβλήθη πάνθ' ὅσα τῆς παλαιᾶς Διαθήκης φέρεται ». Διὰ ταῦτα τοίνυν καὶ *κίβδηλον* τοῦτο τὸ μέρος τῆς βίβλου τοῦ Δανιὴλ ὁ Ἀφρικανὸς ὑπωπτεύετο, καὶ *νεωτερικόν*, καὶ *πεπλασμένον*, καίτοι *ἄλλως χάριεν σύγγραμμα* (ὡσαύτως καὶ τὰς ἄλλας δύω, τὰς *Βὴλ καὶ Δράκων* περικοπάς, τὰς ἐν τῷ τέλει τῆς βίβλου τοῦ Δανιήλ). Πρὸς ταῦτα τοῦ Ἀφρικανοῦ γενναίως ἀπήντησεν ὁ ἀδαμάντινος Ὠριγένης, διαλύων τὰς ὑπονοίας ἐκείνου τοῦ κριτικοῦ (καὶ ἐπιπλήττει δὲ τοῦτον, δι' ὅσα εἶπε περὶ τῆς ἱστορίας *ἀσεμνότερον, καὶ οὐκ ἐχόμενος τῆς προσηκούσης εὐλαβείας*). Καὶ τὰς μὲν εἰρημένας ἑλληνικὰς παρωνυμίας (καθ' ἃς παρὰ τὸν *πρῖνον* παρωνυμεῖται τὸ *πρίσαι*, καὶ παρὰ τὸν *σχῖνον* τὸ *σχίσαι*) ἔγρα-

---

(α) « Ἐκάλεσε τὸν ἕνα (τῶν πρεσβυτέρων), καὶ εἶπε πρὸς αὐτὸν — Ὑπὸ τί δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν, ὑπὸ σχῖνον. Εἶπε δὲ Δανιήλ. Ὀρθῶς ἔψευσαι. — ἤδη γὰρ ἄγγελος Θεοῦ.. σχίσει σε μέσον — Καὶ (πρὸς τὸν ἕτερον) εἶπεν — Ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν, ὑπὸ πρίνον. Εἶπε δὲ αὐτῷ Δανιήλ· Ὀρθῶς ἔψευσαι καὶ σὺ . . . μένει γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ πρίσαι σε μέσον ». Σωσάν. 52—59.

ψαν οἱ Ο, ἢ κυρίως ἑρμηνεύσαντες αὐτὰς τὰς ἑβραϊκὰς λέξεις (ὡς καὶ ταύτας τὴν αὐτὴν παρωνυμίαν διατηρούσας ἐν τῷ κατ᾽ αὐτοὺς ἔτι σωζομένῳ ἑβρ.)· ἢ γοῦν ἀντέταξαν ἑλληνικὰς παρωνυμίας ἰσοδυνάμους καὶ ἀναλόγους τῶν ἑβραϊκῶν παρωνύμων, τό,τε νόημα διατηροῦντες, καὶ τοῖς Ἕλλησι ποιοῦντες εὐχερεστέραν τὴν κατάληψιν. Εἰ δὲ (φησὶν) ἡ *ἐν τῷ Δανιὴλ* ἱστορία τῆς Σωσάννης οὐ φέρεται παρ᾽ Ἑβραίοις, οὐδὲν θαυμαστὸν, εἰ καὶ ἀληθῆ ὑπάρχουσαν τὴν ἱστορίαν ταύτην οἱ μὴ μακρὰν ἀπέχοντες τῶν (τὴν Σωσάνναν συκοφαντησάντων) πρεσβυτέρων ἐκείνων (πρεσβύτεροι τῶν Ἰουδαίων) ἐξέκλεψαν, καὶ ὑφεῖλον ἀπὸ τῶν Γραφῶν, καθὼς καὶ ἄλλα ἐκ τῶν περιεχόντων κατηγορίαν πρεσβυτέρων καὶ κριτῶν, *ὅσα δεδύνηνται*, περιεῖλον ἀπὸ τῆς γνώσεως τοῦ λαοῦ» (α). Τοιαῦτα καὶ πάλιν ἐπανέλαβεν Ὠριγένης ἐν τῇ λατινιστὶ σωζομένῃ Α, τῶν εἰς τὸ Λευϊτικὸν ὁμιλίᾳ (β).

§. ε. Ἀλλ᾽ ὁ μακάριος Ἱερώνυμος, ὡς ὅλος προσκείμενος τῇ κατ᾽ αὐτὸν *ἑβραϊκῇ* (τουτέστιν ἰουδαϊκῇ) *ἀληθείᾳ*, οὔτε ταῖς Ὠριγένους ἀποδείξεσιν ἐπείσθη, καὶ πάλιν τὰς Ἀφρικανοῦ περὶ τῶν ἑλληνικῶν παρωνύμων ὑπεκίνησεν ὑπονοίας (ἤκουσε δὲ ταύτας καὶ παρά τινος τῶν Ἰουδαίων διδασκάλων, ὡς φησὶν ἐν τῷ εἰς τὸν Δανιὴλ προλόγῳ)· καὶ «*μύθους*» ἄντικρυς ὠνόμασε τὰς ἐν τῷ τῶν Ο, Δανιὴλ ἐμφερομένας περικοπὰς, τήν τε τῆς Σωσάννης, καὶ τὰς ἑτέρας δύω, ὡσαύτως καὶ τῶν τριῶν παίδων τὴν αἴνεσιν, ὡς μὴ περιεχομένας ἐν τῷ κατ᾽ αὐτὸν ἑβραϊκῷ. Προστίθησι δὲ, καὶ ὅτι παρομοίως καὶ Εὐσέβιος καὶ Ἀπολλινάριος (ὁ νεώτερος) ἀπαντῶντες πρὸς τὸν χριστομάχον Πορφύριον (βλασφημοῦντα εἰς τὴν τοῦ θείου Δανιὴλ προφητείαν, καὶ νόθον αὐτὴν πειρώμενον ἐξελέγχειν ἀλ-

---

(α) Βλ. Ἀφρικανοῦ ἐπιστολὴν, καὶ Ὠριγένους π. Ἀφρικαν. ἐπιστολὴν ἐν Ὠριγέν. τόμ. α. σελ. 10—30. Del.

(β) «Tempus est nos adversus improbos presbyteros uti S. Susannae vocibus· quas illi quidem repudiantes historiam Susannae, de catalogo divinorum voluminum desecarunt. Nos autem et suscipimus, et opportune contra ipsos proferimus». Ὠριγέν. Τ. 2. σελ. 185. Del.

λοις τε σοφίσμασι, καὶ ὡς ἐκ τῶν εἰρημένων ἐν τῇ Σωσάννῃ ἑλληνικῶν παρωνυμιῶν), ἀπεκρίναντο παρομοίως, ὅτι τῆς Σωσάννης καὶ τοῦ Βὴλ καὶ Δράκοντος *οἱ μῦθοι* οὐ περιέχονται ἐν τῷ ἑβραϊκῷ· ὑπάρχουσι δὲ μέρος τῆς προφητείας τοῦ Ἀββακοὺμ, υἱοῦ Ἰησοῦ, ἐκ φυλῆς Λευΐ, καθὼς γέγραπται κατὰ τοὺς Ο, ἐν τῇ ἐπιγραφῇ τοῦ αὐτοῦ μύθου τοῦ Βὴλ (ὅστις ἄρχεται οὕτως) « *Ἄνθρωπός τις ἦν ἱερεὺς, ὀνόματι Δανιὴλ, υἱὸς Ἀβδὰ, συμβιωτὴς τοῦ βασιλέως Βαβυλῶνος* », ἐν ᾧ τόν τε Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας ἐκ φυλῆς Ἰούδα γενέσθαι ἡ θεία γραφὴ μαρτυρεῖ (α). Τοιαῦτα ὁ μακάριος Ἱερώνυμος. Ἀλλ' ὅμως ἔπειτα γνωσιμαχήσας ὡμολόγησεν, ὅτι περὶ τῆς Σωσάννης ἱστορίας καὶ τῶν ἄλλων τῶν ἐν τῷ Δανιὴλ περικοπῶν ἔγραψεν οὐχ ὅ,τι αὐτὸς φρονείη, ἀλλ' ὅσα περὶ τούτων οἱ Ἰουδαῖοι καθ' ἡμῶν εἰώθασι βλασφημεῖν (β).

§. ϛ. Ἀλλὰ περὶ μὲν τῆς εἰρημένης ἐνάρξεως καὶ τῆς ἐπιγραφῆς *τοῦ Βὴλ* λέγομεν παρακατιόντες (§ ιγ). Εἰ δὲ καὶ ὁ Εὐσέβιος μετ' Ἀπολλιναρίου κατέκρινε τὴν τῆς Σωσάννης ἱερὰν ἱστορίαν *ὡς μῦθον* ἐν ταῖς πρὸς τὸν Πορφύριον ἀντιῤῥήσεσιν, αὐτὸς οἶδε πάλιν ὁ μακάριος Ἱερώνυμος (τὰ γὰρ κατὰ τοῦ Πορφυρίου μνημονευόμενα τρία τοῦ Εὐσεβίου βιβλία, καὶ τὸ τοὺς τριάκοντα λόγους περιέχον παχυμερὲς τοῦ Ἀπολλιναρίου βιβλίον, οὐκέτι σῴζονται καθ' ἡμᾶς, τοῦ χρόνου φθονήσαντος). Ἡμεῖς ἓν μόνον ἐπιστάμεθα βεβαίως, ὅτι αὐτὸς οὗτος ὁ Εὐσέβιος γνήσιον μέρος τῆς θείας Γραφῆς ἐφρόνει τὴν Σωσάννης ἱστορίαν, καθὼς καὶ Ὠριγένης, οὗ τοὺς λόγους ἀντιγράφει πρὸς ἔλεγχον τῶν περὶ τῆς εἱμαρμένης ὕθλων τῶν ἐθνικῶν· « Εἰ δὲ δεῖ (φησὶ) καὶ *ἀπὸ τῶν γραφῶν* τοῦτο παραστῆσαι, πλήρεις μέν εἰσιν αἱ προφητεῖαι τοιούτων παραδειγμάτων· καὶ *κατὰ τὴν Σωσάνναν* δὲ, τοῦ Θεοῦ γινώσκοντος τὰ

(α) S. Hieronym. Praefat. καὶ Proemio in Daniel.

(β) « Quod autem referro, quid adversus Susannae historiam et hymnum trium Puerorum et Belis draconis que fabulas, quæ in volumine hebraico non habentur, Hebraei soleant dicere. Non enim quid ipse sentirem, sed quid illi contra nos dicere soleant explicavi ». S Hieron. adv. Rufin. apolog.

πάντα πρὶν γενέσεως αὐτῶν, οὕτω λέγουσαν· « Ὁ *Θεὸς ὁ αἰώνιος, ὁ τῶν κρυπτῶν γνώστης* » κτλ. (α). Ἀλλὰ καὶ αὐτὴν τὴν Ὠριγένους πρὸς Ἀφρικανὸν ἐπιστολὴν ὁ αὐτὸς Εὐσέβιος ἐπαινῶν, ἀνεκήρυξεν, ὅτι τὰς Ἀφρικανοῦ ἀπορίας διέλυσε *πληρέστατα* (β). Ταύτην δὲ καὶ ὁ μακάριος Ἱερώνυμος ἀπεδέξατο, καὶ ἐπῄνεσε, *δεδοκιμασμένην*, ἢ *σοφὴν* ἀποκαλέσας (γ). Καὶ τὸ παράδειγμα δὲ τῆς Σωσάννης ὡς ἐκ τῆς θείας μνημονεύει Γραφῆς (δ).

§. ζ. Ἀλλ' ἐκ τῶν νεωτέρων ὁ τὴν Ὠριγένους πρὸς Ἀφρικανὸν ἐπιστολὴν μετὰ σημειώσεων ἐκδοὺς Βετιστένιος διατείνεται, ὅτι τὴν Σωσάννης ἱστορίαν ὁ Ὠριγένης ἀληθῆ μὲν ἀποδέχεται καὶ ὠφέλιμον, ἀλλ' οὐχὶ καὶ περικοπὴν τοῦ τεύχους τοῦ Δανιὴλ γνησίαν καὶ θεόπνευστον καὶ κανονικήν (ε). Ἀλλ' ἐν τούτοις ὁ σοφὸς οὗτος κριτικὸς μεγάλως ἐσφάλη, μήτ' αὐτὸς ἐπισκεψάμενος, μήτε τὸν νοῦν ἐξακριβώσας τοῦ Ὠριγένους, ὅστις, πᾶν τοὐναντίον, *θεόπνευστον* τὴν Σωσάννης ἱστορίαν, ὡς καὶ τὰς λοιπὰς τὰς ἐν τῷ Δανιὴλ περικοπὰς, καὶ φρονεῖ καὶ ἀποκαλεῖ. Καὶ γὰρ 1) ὁ Ὠριγένης *ἀποκοπὴν*, ἢ *περικοπὴν* τοῦ τεύχους τοῦ Δανιὴλ ὀνομάζει τὴν ἱστορίαν, μηδόλως ἀποχωρίζων τῆς ὅλης βίβλου τοῦ Δανιὴλ (ὡσαύτως δὲ καὶ ὁ Βετιστένιος αὐτὴν ὀνομάζει)· εἰ δὲ ταύτην μὴ γνησίαν Ὠριγένης ὑπελάμβανε, πῶς λοιπὸν ὁ Ἀφρικανὸς γράφων πρὸς αὐτὸν, « Θαυμάζω (λέγει), πῶς *ἔλαθέ σε* τὸ μέρος τοῦ βιβλίου τοῦτο *κίβδηλον ὄν*; ». Ὥστε, κατὰ τὴν Ἀφρικανοῦ μαρτυρίαν, ὁ

(α) Εὐσέβ. Εὐαγγ. Προπ. Ϛ. ια. σελ. 167. πρβλ. Ὠριγέν. Φιλοκαλ. κεφ. κβ σελ. 337. — (β) « Ἐπιστολὴ τούτου (τοῦ Ἀφρικανοῦ) Ὠριγένει γραφεῖσα φέρεται, ἀποροῦντος, ὡς ἂν νόθου καὶ πεπλασμένης οὔσης τῆς ἐν τῷ Δανιὴλ κατὰ Σωσάνναν ἱστορίας, πρὸς ἣν Ὠριγένης ἀντιγράφει πληρέστατα ». Ἐκκλ. ἱστορ. ς, 31.

(γ) S. Hieron. Catal. script. Eccles. s.73. « Doctam epistolam scribit Origenes ». Ὁ δὲ μαθητὴς καὶ φίλος Ἱερωνύμου Σωφρόνιος « δεδοκιμασμένην ἐπιστολὴν » ἐξελληνίζει (αὐτόθ.).

(δ) Epistol. XXII. in Susannam lapsam objurg. T. 4. p. 866.

(ε) Adolph. Wetstenij not. in Ὠριγέν. πρὸς Ἀφρικαν. ἐπιστολ. ἐκδ. 1674. βλ. καὶ Ὠριγένους ἅπαντ. τόμ. α. σελ. 7--9 Delarue. Admonit. in Epistol. African. ad Origen.

Ὠριγένης ἐπίστευε καὶ ἀπεδέχετο τὴν Σωσαννῖτιν ἱστορίαν *γνήσιον* μέρος τοῦ θεοπνεύστου Δανιήλ.—2) Λέγει ὁ Ἀφρικανὸς, ὅτι νόθος φαίνεται ἡ περικοπὴ, ὑπό τινος ἑλληνιστὶ συγγραφεῖσα, καὶ προστεθεῖσα τῷ τεύχει τοῦ Δανιήλ (διότι παρ' Ἑβραίοις οὐχ εὑρίσκεται). « Ἐμοὶ (φησὶ) δοκεῖ *προσκεῖσθαι* ἡ περικοπή ». Ἀπαντᾷ ὁ Ὠριγένης, ὅτι ἀληθῆ τυγχάνουσαν τὴν ἱστορίαν ἐξέκλεψαν (οἱ Ἰουδαῖοι), καὶ ἀφεῖλον *ἀπὸ τῶν γραφῶν*· καὶ « γεγράφθαι μὲν (φησὶ) *προνοίᾳ τοῦ πνεύματος*, ὑπεξῃρεῖσθαι δὲ, ὡς ἂν εἴποι τὸ πνεῦμα, ὑπὸ τῶν ἀρχόντων τῶν Σοδόμων ». Καὶ ταύτην τὴν ἐκ τοῦ ἑβραϊκοῦ κολόβωσιν τῆς ἱστορίας παραβάλλει πρὸς ἄλλας παρομοίας ἐλλείψεις τοῦ ἑβραίου κώδηκος, καὶ πρὸς τοὺς Ο, διαφορὰς, ὅσαι θεωροῦνται καὶ ἐν ἄλλοις ἁγίοις βιβλίοις τῆς θείας Γραφῆς, οἷον τῆς Ἐσθὴρ, τοῦ Ἰὼβ, κτλ. Πῶς ἂν ἄλλως τρανώτερον ἐκήρυττεν Ὠριγένης τὴν Σωσάννης ἱστορίαν *θεόπνευστον* μέρος τῶν Γραφῶν;—3) Λέγει ὁ Ἀφρικανὸς, ὅτι καὶ ὁ χαρακτὴρ τοῦ λόγου διαφέρει (τῆς οἰκείας φράσεως τοῦ Δανιήλ). Ἀποφάσκει ὁ Ὠριγένης, λέγων· ὅτι «*τοῦτο ἐμοὶ οὐ πάνυ τι ἐφάνη*.—4) Προβάλλει ὁ Ἀφρικανὸς, ὅτι «ὁ Δανιὴλ προεφήτευε δι' ὁραμάτων, καὶ ὀνείρων, καὶ δι' ἀγγέλου ἐπιφανείας, ἀλλ' οὐκ ἐπιπνοίᾳ προφητικῇ» (ὅθεν οὐδ' ἐπὶ τῆς Σωσάννης). Ἀπαντᾷ ὁ Ὠριγένης, ὅτι «πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς ἐλάλησε τοῖς πατράσιν ἐν τοῖς προφήταις» (Ἑβρ. α, 1)· καὶ φέρει πρὸς παράδειγμα τὰ περὶ τοῦ Ἰακὼβ γεγραμμένα, ὅςις καὶ ἐκ *θείων ἐνυπνίων* (Γενέσ. λα, 10: λβ, 2), καὶ ἐξ ἐπιπνοίας προεφήτευσε τὰ συμβησόμενα τοῖς υἱοῖς αὐτοῦ (Γενέσ. μθ. 2).—5) Ψέγει ὁ Ἀφρικανὸς ὡς παράδοξον, καὶ τῆς τῶν γραφῶν σεμνότητος ἀπᾴδοντα, τὸν δραματικὸν τρόπον, καθ' ὃν ὁ Δανιὴλ ἐξήλεγξε διαστήσας τοὺς πρεσβυτέρους. Ἀντεπιφέρει ὁ Ὠριγένης τὴν ὑπὸ] τοῦ Σολομῶντος κρίσιν τῶν περὶ τοῦ ζῶντος παιδὸς διαφερομένων δύω ἑταιρῶν (Γ. Βασιλ. γ, 16). Καὶ καθὼς (λέγει) « περὶ τοῦ Σολομῶντος μαρτυρεῖ ἡ Γραφὴ, ὅτι *φρόνησις Θεοῦ ἦν ἐν αὐτῷ*, τοῦτ' ἂν δύναιτο λέγεσθαι καὶ περὶ τοῦ Δανιήλ ».—6) Λέγει ὁ Ἀφρικανὸς, ὅτι μόνον ἑλληνικαῖς φωναῖς συμ-

βαίνουσιν αἱ παρωνυμίαι, «*αἱ ἀπὸ τοῦ πρίνου πρίσαι*, καὶ *ἀπὸ τοῦ σχίνου σχίσαι*». Αὐτὰ ταῦτα, ἀπαντᾷ ὁ Ὠριγένης, ἢ τούτων ἀνάλογα περιεῖχε καὶ τὸ ἐκπεσὸν ἑβραϊκόν.— 7) Λέγει ὁ Ἀφρικανὸς, ὅτι οὐδεὶς προφήτης ἄλλου προφήτου προγενεστέρου ῥήμασι χρῆται (οὐ γὰρ ἐπτώχευεν ὁ λόγος αὐτῷ, ὢν ἀληθής). Ὁ δὲ Δανιὴλ ἐν τῇ Σωσάννῃ ὑπομιμνήσκει καὶ τὰ τοῦ Μωσέως ἐκεῖνα· «ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς» (Ἐξόδ. κγ, 7). «Ἀλλ' ἐθαύμασα (ἀπαντᾷ ὁ Ὠριγένης), πῶς πολλὰς διατριβὰς ἔχων ἐν ταῖς ἐξετάσεσι καὶ μελέταις τῆς Γραφῆς, οὐ τετήρηκας συγχρωμένους προφήτας προφητῶν λόγοις, σχεδὸν αὐταῖς λέξεσι» (καὶ φέρει παραδείγματα πολλά). Οὕτως ὁ Ὠριγένης ἀνακηρύττει τὴν ἱστορίαν τῆς Σωσάννης ἔργον τοῦ προφήτου Δανιὴλ, καὶ θεόπνευστον καὶ κανονικὸν καὶ γνήσιον μέρος τοῦ τεύχους τῶν αὐτοῦ προφητειῶν· ὁ δὲ Βετιστένιος πεπλάνηται. Καὶ εἰς ἄλλον δὲ παραλογισμὸν ἐξωλίσθησε, νομίσας, ὅτι ἐκ τῆς Θεοδοτίωνος ἑρμηνείας εἰσήχθησαν καὶ εἰς τὴν κοινὴν ἔκδοσιν τῶν Ο αἱ τοῦ Δανιὴλ περικοπαί· ἀντεῖπε δὲ πρὸς αὐτὸν ὀρθῶς ὁ κλεινὸς Ὅδιος (Βιβλ. Δ. σελ. 583).

§. η. Καὶ ἄλλοι δὲ τῶν νεωτέρων κριτικῶν, ὡς ὁ Εἰχόρνιος καὶ Βερθόλδης καὶ Ἰάννης, θέλουσιν ὡς πρωτότυπον αὐτὸ τὸ ἑλληνικὸν, στηρίζοντες τὴν γνώμην αὐτῶν εἰς τὰ ἅπαξ διὰ παντὸς ὑπὸ τοῦ Ὠριγένους καταστραφέντα ἐρείπια τῶν ἑλληνικῶν παρωνυμιῶν (*πρῖνος πρίσαι, σχῖνος σχίσαι*)· καὶ ὅτι οὐδ' ἴχνος σῴζεται ἑβραϊκοῦ, ἢ χαλδαϊκοῦ, πρωτοτύπου τῆς Σωσάννης (α). Ἀλλὰ τὰς ἑλληνικὰς παρωνυμίας ἔλυσεν Ὠριγένης πληρέστατα, λέγων, ὅτι ἀντέταξαν ἀντὶ τῶν ἑβραϊκῶν τὰς παρ' Ἕλλησιν ἰσοδυνάμους. Ὅτι δὲ καὶ ἡ ἑβραϊκὴ, καὶ πᾶσαι αἱ Σημικαὶ διάλεκτοι ἔχουσιν ὀνόματα δένδρων, παρώνυμα τοῦ σχίζειν, ἢ ῥήσσειν, ἀπέδειξεν ὁ βέλτιστος Βέλτης (β). Διὰ τί δὲ οὐδ' ἴχνος τῆς Σωσάννης εὑ-

(α) Eichhorn, Einleitung in die apocr. Bücher des A. Test. p. 469. — Bertholdt, Einleitung. IV. p. 1579.— De Wette, Einleit. p. 363. — Jahn, Einleitung. 2. Bd. p. 873.

(β) Οἷον τὸ Τσαρι (μαστίχη, κτλ.) ἀπὸ θέματος Τζαρα, ῥήσσειν, σχίζειν, κτλ.

ρίσκεται παρ' ἑβραίοις, περὶ τούτου ὤφειλον οἱ περὶ τὸν Ἰάννην τοὺς *ἄρχοντας Σοδόμων* ἐρωτᾷν, οὓς Ὠριγένης ἐφώρασεν. Ὅ γε μὴν Εἰχόρνιος ὀρθῶς ποιήσας, μετενόησεν ὕστερον, ὁμολογῶν τὴν Σωσάνναν οὐχ ἑλληνιστὶ τὸ πρῶτον συνταχθεῖσαν, ἀλλ' ἑρμηνευθεῖσαν ἐκ τοῦ ἑβραϊκοῦ (α). Ἀποδεικνύουσι δὲ τὸ πρᾶγμα καὶ πάμπολλοι ἑβραϊσμοὶ τῆς Σωσαννίτιδος ἱστορίας. Αὐτίκα ἡ ἀρχὴ αὐτὴ « *Καὶ ἦν* (ἀνὴρ) » κτλ. ἑβραΐζει σαφέστατα· ἄλλους ἑβραϊσμοὺς ἐσημείωσαν οἱ περὶ τὸν Βέλτην. Ὁ δὲ πάλιν ἄγαν ῥαββινίζων Ἀββᾶς Μαρτιαναῖος παρεξετάθη κράζων, ὅτι τὴν Σωσάνναν ὁ Θεοδοτίων ἡρμήνευσεν ἔκ τινος ἀποκρύφου Χαλδαϊκοῦ. Ἀλλὰ παρεκάλεσεν αὐτὸν ἄλλος συνετώτερος Ἀββᾶς, ὁ Πεζρὼν, ἵνα προσεκτικώτερον ἀναγνῷ τὴν Ἀφρικανοῦ, καὶ τὴν Ὠριγένους περὶ τῆς Σωσάννης ἐπιστολὴν, ὅπου καὶ ὀνομάζεται, καὶ ἀποδείκνυται ἡ *Σωσάννα ἐκ τοῦ ἑβραϊκοῦ* (β). Καὶ τοιαῦτα μὲν οὗτοι κενῶς ἐμελέτησαν.

§. θ. Τὸ δὲ γνήσιον καὶ κανονικὸν τῆς ἱστορίας τῆς Σωσάννης ἀποδεικνύουσι·

α) Πᾶσα ἡ συναγωγὴ τῶν ἑλληνιστῶν Ἰουδαίων, ἥτις πρὸ Χριστοῦ Σωτῆρος, δι' ὅλων τριῶν αἰώνων, πολλαχοῦ τῆς οἰκουμένης ἐχρῆτο τῇ ἑρμηνείᾳ τῶν Ο, ἐν ᾗ περιείχετο καὶ ἡ Σωσάννα· ὅτι δὲ καὶ οἱ ἑλληνισταὶ καὶ οἱ ἑβραϊσταὶ Ἰουδαῖοι ταῖς αὐταῖς ἐχρῶντο κανονικαῖς γραφαῖς, ὑπάρχει πρᾶγμα βέβαιον.

β) Ἡ τοῦ Θεοδοτίωνος ἑρμηνεία τοῦ Δανιὴλ, ἥτις περιεῖχε καὶ ταύτην, καὶ τὰς ἄλλας δύω περικοπάς. Ἄτοπα καὶ μονονοὺ γελοῖα λέγουσιν οἱ λέγοντες, ὅτι δῆθεν ἐκ τῆς τῶν Ο, ἑρμηνείας, ἀλλ' οὐκ ἀπὸ τοῦ ἑβραϊκοῦ μεταφράσας παρέλαβε τὰς περικοπὰς ὁ Θεοδοτίων (γ). Ὁ γὰρ ἔγγιστα Θεοδοτίωνος γενόμενος Ὠριγένης, καὶ

καὶ ἄλλα τοιαῦτα (βλ. Welte in Herbst, Einleit. 2 Th. 3. Abth. p. 248). Οὕτω καὶ ἐκ τοῦ σχίζω, τὸ σχῖνος (τὸ αὐτὸ καὶ τὸ δένδρον τῆς μαστίχης, καὶ κοινῶς μαστιχέα, καὶ μαστιχόδενδρον) κτλ.

(α) Eichhorn, Einleitung ins A. Test. 4. Bd. p. 536.

(β) Βλ. Pezron, Défense de l' Antiquit. des Tems. pag. 255, 444. πρβλ. καὶ Alexandr. Append. ad Eccles. secul. 4. Histor. p. 660.

(γ) « Textus Theodotionis non est quidem alia versio, ab Alexandrino

αὐτὸς ὁ Ἱερώνυμος, ὡς ἀμέσως ἐκ τοῦ ἑβραϊκοῦ γενομένην τὴν ἑρμηνείαν τοῦ Θεοδοτίωνος ἀναφέρουσιν (α). Εἰ δὲ καὶ Ἀκύλας οὐ μετέφρασε τὰς περικοπὰς, οὐδὲν ἕτερον ἐκ τούτου δείκνυται, εἰ μὴ μόνον, ὅτι πλείονες ἦσαν τότε κατ' αὐτὸν καὶ συνηθέστεροι κώδηκες ἑβραῖοι λελωβημένοι ταῦτα τὰ μέρη· ἐσῴζοντο δὲ ὅμως εἰσέτι καί τινες ἀκεραιότεροι, *ἐν ἀποῤῥήτοις κείμενοι* παρὰ τοῖς φιλαληθεστέροις (κατὰ τὸν Ὠριγένην), ἐξ ὧν μετέφρασεν ὁ Θεοδοτίων. Οὕτω καὶ τὰ ἔσχατα τῆς βίβλου τοῦ Ἰὼβ Ἀκύλας μὲν καὶ τὸ νῦν ἑβραϊκὸν οὐκ ἔχουσιν· ἔχει δὲ ὁ Θεοδοτίων, ἐξ ἄλλων κωδήκων συμφωνούντων τοῖς τῶν Ο (β). Καὶ νῦν δὲ πολλὰ τῶν Ἰουδαίων χειρόγραφα περιέχουσι καὶ λέξεις καὶ περιόδους ὅλας, κειμένας μὲν παρὰ τοῖς Ο, λειπούσας δ' ἐκ τοῦ κοινῶς παρ' Ἰουδαίοις κεκρατηκότος ἑβραϊκοῦ. Ἢ διὰ τί ποτε ὁ Θεοδοτίων τἄλλα πάντα κεφάλαια τοῦ Δανιὴλ ἐκ τοῦ ἑβραϊκοῦ μεταφράσας, ἔπειτα μόνας τὰς περὶ ὧν ὁ λόγος περικοπὰς προσέθηκεν ἐκ τῶν Ο; πῶς δ' ἂν ἐτόλμησεν ἐπιβαλεῖν προσθήκας, ἃς οὐκ εἶχε τὸ κατ' αὐτὸν ἑβραϊκόν; Διὰ τί δὲ πάλιν καὶ λαβὼν ἐξ Ὠριγένους, μετεῤῥύθμιζεν; ἢ καὶ πόθεν ἂν εἶχε μεταῤῥυθμίζειν, εἰ μὴ παρῆν αὐτῷ τὸ ἑβραϊκὸν πρωτότυπον;

---

tamen textu in multis dissonat, ac si Theodotio quaepiam emendasset». Ackermann, Introd. in Libr. Sacr. p. 330. πρβλ. καὶ Jahn, Einleitung etc. 2 Bd. p. 876. Τοιαῦτα πολὺ πρότερον καὶ Ὅδιος ἀνέπλαττεν. «Existimo, Theodotionem historiam illam (Susannae), cum Cantico 3. Pueorum, ex voluminibus LXX viralibus dictis deprompsisse, correctius que edidisse». Hod. Lib. IV. p. 583.

(α) «Τὰ δὲ παρ' ἡμῖν ἀντίγραφα, ὧν καὶ τὰς λέξεις ἐξεθέμην, τὸ μὲν ἦν κατὰ τοὺς Ο, τὸ δὲ ἕτερον κατὰ Θεοδοτίωνα. Καὶ παρ' ἀμφοτέροις ἔκειτο τὸ περὶ τὴν Σωσάνναν, ὡς σὺ φὴς, πλάσμα, καὶ αἱ τελευταῖαι ἐν τῷ Δανιὴλ περικοπαί». (Ὠριγέν. ἐπιστ. πρὸς Ἀφρικαν. §. β. βλ. καὶ Ἱερώνυμ. ἔνθ. ἀνωτέρω· ὅστις διετείνετο πολὺς, ὅτι τὸν Δανιὴλ αἱ Ἐκκλησίαι οὐ κατὰ τοὺς Ο, ἀλλ' ἐκ τῆς ἑρμηνείας τοῦ Θεοδοτίωνος ἀναγινώσκουσι· βλ. ὄπισθ. Βιβλ. Β. κεφ. Ι. σελ. 602, 629 κτλ.).

(β) Ὁ Δεμάγιστρος εἰκάζει, ὅτι καὶ Ἀκύλας καὶ Σύμμαχος ἡρμήνευσαν τὰς περικοπὰς, καὶ τοῦτο φρονεῖν οἴεται καὶ τὸν Ἱερώνυμον (βλ. Δανιὴλ κατὰ τοὺς Ο, not. pag. 81. πρβλ. Montfauc. Praelim. in Hexapl. p. 64).

γ) Ἡ καὶ μέχρις Ὠριγένους διαρκοῦσα κοινὴ παράδοσις τῶν Ἰουδαίων, παρ' ὧν (ὡς μὴ ἀθετουμένης δήπου τῆς *κατὰ τὴν Σωσάνναν ἱστορίας*), ἐμάνθανεν Ὠριγένης καὶ τὰ παρὰ τοῖς Ο σεσιγημένα ὀνόματα τῶν συκοφαντῶν αὐτῆς πρεσβυτέρων, Σεδεκίαν καὶ Ἀχαάβ, ὡς ἂν ὄντων τῶν αὐτῶν, καὶ οὓς φησιν ὁ θεῖος Ἱερεμίας (λϛ, καθ' ἑβρ. κθ, 21), ὅτι « *ἀπετηγάνισεν ὁ βασιλεὺς Βαβυλῶνος ἐν πυρί* » (α).

δ) Ὁ σύγχρονος καὶ φίλος Ἡρώδου Νικόλαος ὁ Δαμασκηνὸς συνέγραψε « *τὸ δρᾶμα τῆς Σωσάννιδος* » (β), ἐκ τῆς ἱερᾶς ἱστορίας τῆς Σωσάννης πάντως τὴν ὑπόθεσιν λαβών. Καὶ φαίνεται ἄρα, ὅτι καὶ κατ' αὐτὴν τὴν Σωτήριον ἐποχὴν, καὶ ὕστερον ἐπὶ χρόνον, ἡ τῆς Σωσάννης ἐν τῷ Δανιὴλ περιοχὴ ἀπετέλει καὶ παρ' Ἰουδαίοις μέρος τοῦ κώδηκος τῶν γραφῶν, ἃς ἀναμφιβόλως ἀνέγνω καὶ

(α) Ὠριγέν. πρὸς Ἀφρικαν. §. 6, 7. πρβλ. καὶ Ἱερώνυμ. Comment. in Jerem. c. XXIX. 21. καὶ in Daniel XIII. 60. Ἀλλὰ τῶν Ἰουδαίων ἡ γνώμη, φησὶν ὁ Ἱερώνυμος, « ἀντιφάσκει πρὸς τὴν ἱστορίαν τῆς Σωσάννης, ὅπου ἀναγινώσκεται, ὅτι τοὺς δύω πρεσβυτέρους ἐ λ ι θ ο β ό λ η σ α ν » (Ὑπομν. εἰς Ἱερεμ. αὐτόθ.) Τὸ δὲ πάλιν τοῦ λεγομένου Δ α ν ι ὴ λ κ α τ ὰ τ ο ὺ ς Ο, Κισιανὸν χειρόγραφον· γράφει « Καὶ ἐ φ ί μ ω σ α ν αὐτούς, καὶ ἐξαγαγόντες ἔ ῤ ῥ ι ψ α ν α ὐ τ ο ὺ ς ε ἰ ς φ ά ρ α γ γ α ». Ταῦτα δὲ τὰ φιμώματα καὶ φαραγγώματα, καὶ τὸ δι' ἀ γ γ έ λ ο υ π ῦ ρ, οὐδὲ τὸ λιθοβολῆσαι οὐκ ἐπίσταται ἡ ἐν τῇ Ἐκκλησίᾳ παραδεδεγμένη ἔκδοσις τοῦ Δανιὴλ (ἣν ἐκ τοῦ Θεοδοτίωνός φασι)· λέγει δὲ ἁπλῶς, « κ α ὶ ἀ π έ κ τ ε ι ν α ν αὐτούς» (Σωσάν. στίχ. 62: Οὕτω καὶ ἡ Βουλγ. interfecerunt eos), μὴ διορίζουσα τοῦ θανάτου τὸ εἶδος. Εἰ δὲ καὶ κατέκαυσαν αὐτοὺς (ὡς οἱ Ἰουδαῖοι συμπεραίνουσιν ἐκ τῶν Ἱερεμίου λόγων), οὐδὲν ἀπεικός (πρβλ. Ἰησ. ζ. 15. καὶ Λευϊτ. κ, 14. καὶ πρὸ τοῦ νόμου δὲ τὰς μοιχαλίδας κατέκαιον. Γενέσ. λη, 24: κατὰ δὲ τὸν νόμον οἱ ψευδομάρτυρες κατεδικάζοντο εἰς τὴν ταυτοπάθειαν. Δευτερ. ιθ, 18, 19). Οὕτως ἀναγινώσκομεν καὶ ἐν Ἀποστόλων Διαταγαῖς (β, 51). « Τὴν μὲν Σωσάνναν ὁ Κύριος διὰ τοῦ Δανιὴλ ἐῤῥύσατο, τοὺς δὲ πρεσβυτέρους ἐν πυρὶ κατεδίκασε » (βλ. Cotel. Patr. Apostol. Tom. 1. p. 256). Λέγει δὲ πρὸς τούτοις ὁ Ἱερώνυμος (ἐκ τῶν Ὠριγένους λόγων παραλαβὼν), ὅτι τὸ ἀ π έ κ τ ε ι ν α ν αὐτοὺς σημαίνει τὸ παρέδωκαν τῷ βασιλεῖ θανατῶσαι τούτους, ὡς ἐνόχους θανάτου, κατὰ τὸν νόμον αὐτῶν (εἰς Δανιὴλ ιγ). Εἴθιστο δὲ παρὰ τοῖς Χαλδαίοις ἡ διὰ πυρὸς καταδίκη (Δαν. γ, 6: Ἀμὼς β, 1. πρβλ. καὶ Grot. εἰς Ἱερεμ. καὶ Huet. Dem. Evang. Prop. IV. §. 9. βλ. καὶ αὐτὸν τὸν Ὠριγένην πάλιν ἐν τῇ πρὸς Ἀφρικαν. ἐπιστολῇ, ὅπως διαλύει τὴν τούτου ἀπορίαν, περὶ τοῦ, πῶς ἠδύναντο οἱ Ἰουδαῖοι ἐν αἰχμαλωσίᾳ καταδικάζειν, ἢ κτείνειν.

(β) Εὐστάθ. εἰς Διονύσ. περιηγ. στίχ. 976.

ἐμελέτησεν ὁ Δαμασκηνὸς Ἕλλην Νικόλαος, ὡς αὐτὸς ὁμολογεῖ παρ᾽ Ἰωσήπῳ (Ἀρχ. Α. γ. §. 6).

ε) Πάντα τὰ χειρόγραφα τῶν Ο, περιέχουσι τὴν τῆς Σωσάννης ἱστορίαν (ὡς καὶ τὰς ἄλλας περικοπάς. βλ. ἐκδ. Ὅλμητ.). Καὶ τὰ ἐνδοξότατα, τό τε Ἀλεξανδρινὸν καὶ τὸ Βατικανὸν, προςτιθέασιν αὐτὴν ἐν ἀρχῇ τοῦ τεύχους τοῦ Δανιὴλ (οἷον ὡς προεισοδιῶδες κεφάλαιον, ἢ προοίμιον). Ἐκ τῆς Σωσάννης ἀρχόμενον τὸ τεῦχος τοῦ προφήτου παρέδωκε καὶ Εὐσέβιος (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 638), καὶ Ἀθανάσιος (ἐν Συνόψει). Τοῦτο δὲ καὶ ἄλλοι τῶν νεωτέρων, καὶ ὁ σοφὸς Ὑέτιος ἐσημείωσεν (α). Ἐν ἄλλοις δὲ κεῖται ἡ ἱστορία μετὰ τὸ ιβ, κεφάλαιον τοῦ Δανιὴλ, ὡς ἔταξεν αὐτὴν ὁ Ἱερώνυμος (ἐν τῇ Βουλγάτᾳ) (β). Μόνον ἐκ τῶν νεωτεριστῶν τινες ἐκδόται τῆς κατὰ τοὺς Ο Γραφῆς, ἀθέμιτον (εἰρήσθω γὰρ) ἔργον ποιοῦντες, ἀπέσπασαν τὰς περὶ ὧν ὁ λόγος περικοπὰς ἐκ τοῦ θεοπνεύστου τεύχους τοῦ Δανιὴλ, καὶ ταύτας ἐξέδωκαν ἐν τῷ τέλει τῆς ἱερᾶς βίβλου, μεθ᾽ ὧν λέγουσιν *Ἀποκρύφων* (οὕτως ὁ Βῶσος ἐτύπωσε τῷ 1709 ἐν Φρανεκύρᾳ τὴν ἔκδοσιν τοῦ Βατικανοῦ κώδηκος, καὶ ἄλλοι ἄλλοτε ἄλλας).

ς) Πᾶσαι αἱ ἀρχαῖαι τοῦ Δανιὴλ ἑρμηνεῖαι φέρουσι τὰς ἐν αὐτῷ κατὰ τοὺς Ο περικοπὰς, οἷον ἡ παλαιὰ Ἰτάλα (ᾗ περ ἐχρῆτο Τερτυλλιανὸς, καὶ πάντες οἱ πρὸ τοῦ Ἱερωνύμου τῆς Δυτικῆς Ἐκκλησίας Πατέρες), καὶ ἡ μετὰ ταῦτα τοῦ Ἱερωνύμου Βουλγάτα, καὶ ἡ Συριακὴ (ᾗ περ ἐχρῆτο καὶ ὁ μακάριος Ἐφραίμ), ἡ Ἀραβικὴ, ἡ Ἀρμενικὴ, ἡ Σλαβονικὴ, καὶ ἄλλαι.

ζ) Αἱ τῶν Ἀποστόλων Διαταγαὶ (Β. λζ, μθ, να)· 2) ὁ Θεοφόρος Ἰγνάτιος (ἐπιστολ. πρὸς Μαγνησίους· βλ. ὄπισθ. Βιβλ. Β. σελ. 636)· 3) ὁ Εἰρηναῖος (κ. Αἱρέσ. Δ. 5, 26)· 4) Κλήμης ὁ Στρωματεὺς (δ, 380)· 5) ὁ Τερτυλλιανὸς (περὶ Νηστ. κ, 7)· 6) Κυπριανὸς ὁ ἱερομάρτυς (ἐπιστ. 40, 56)· 7) Ὠριγένης· 8) ὁ ἱερὸς

(α) Demonst. Evang. Prop. IV. T. 1. p. 255.

(β) Οὕτως ἔχει καὶ τὸ κατὰ τοὺς Ο, λεγόμενον Κισιανὸν ἀπόγραφον, τὸ ὑπὸ Δεμαγίστρου τὸ πρῶτον ἐκδοθέν. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 638 κτλ.

Ἱππόλυτος (ἑρμην. εἰς Δανιήλ)· 9) ὁ Εὐσέβιος· 10) Ἐφραὶμ ὁ Σύρος (Παραινέσ. με)· 11) ὁ Μ. Ἀθανάσιος (κατὰ Ἀρειαν. λόγ. Β)· 12) ὁ Μ. Βασίλειος (τόμ. β. σελ. 242)· 13) Γρηγόριος ὁ Θεολόγος (λόγ. ιη)· 14) Γρηγόριος ὁ Νύσσης (λόγ. β), ὁ ἱερὸς Αὐγουστῖνος, ὁ θεῖος Χρυσόστομος, καὶ ἄλλοι ἱεροὶ τῆς Ἐκκλησίας Πατέρες· ὡς τῆς θείας Γραφῆς γνήσια καὶ θεόπνευστα ῥήματα ἀναφέρουσι τὰ τῆς Σωσάννης καὶ τῶν ἄλλων περικοπῶν τοῦ Δανιήλ.

η) Πᾶσα ἡ Καθολικὴ καὶ Ὀρθόδοξος Ἐκκλησία ἔν τε τῷ κανόνι τῶν θείων Γραφῶν διέταξεν ἀπ' ἀρχῆς, καὶ ἀείποτε προσβεύει καὶ διακρατεῖ ταύτας τὰς περικοπὰς ὡς γνήσια μέρη τῆς θεοπνεύστου βίβλου τοῦ Δανιὴλ (βλ. Ἀθανάσ. ἐν Συνόψ.).

θ) Καὶ αὐτὴ δὲ ἡ Δυτικὴ Ἐκκλησία, καὶ μετὰ τὸ μήποτ' ὀφειλόμενον αὐτῆς σχίσμα, τὸ αὐτὸ πρὸς αὐτὰς διετήρησε σέβας· καὶ οἷον θεραπεύουσα τὰς ἀνθρωπίνους ὑπονοίας τοῦ μακαρίου Ἱερωνύμου, διέταξε καὶ τὴν Σωσάνναν, ὡς θείαν Γραφήν, ἐν ταῖς κατ' αὐτὴν ἱεραῖς ἀναγινώσκεσθαι τελεταῖς (α).

§. ι. Γ) Ἡ τῶν τριῶν Παίδων Αἴνεσις.

Καὶ τὴν θαυμαστήν, «καὶ πανταχοῦ τῆς οἰκουμένης *δι' αἰῶνος ᾀσθησομένην*» (ὡς ὁ θεῖος εἶπε Χρυσόστομος), τῶν ἁγίων τριῶν Παίδων ᾠδὴν ἀπέβαλε πρὸ πολλοῦ ζημειωθεὶς ὁ κῶδηξ ὁ ἑβραϊκός. Καὶ τοῦτο διεκήρυξεν Ὠριγένης ἐν τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ. Ὡσαύτως καὶ Ἱερώνυμος ἀλλαχοῦ τε, καὶ ἐν αὐτῇ τῇ κατ' αὐτὸν Βουλγάτᾳ ἐσημείωσεν (εἰς Δανιὴλ κεφ. γ), ὅτι τὴν ᾠδὴν οὐχ εὑρὼν ἐν τῷ ἑβραϊκῷ, ἐξελατίνισεν ἐκ τῶν Ο. Ἀνήκει δὲ τὸ ἔνθεον τοῦτο Ἆσμα μετὰ τῆς προηγουμένης τοῦ Ἀζαρίου προσευχῆς εἰς τὸ γ, κεφάλαιον τοῦ θεοπνεύστου τεύχους τοῦ Δανιὴλ

(α) *Ὁ δὲ σοφὸς Ἀββᾶς ὁ Λαμῦς οὐ συνεστάλη, ἀμφίβολον* (incertum) *εἰπεῖν τὴν ἱστορίαν τῆς Σωσάννης· καὶ προστίθησιν, ὅτι* Videre est ex epistola Africani ad Origenem, et ejusdem Origenis responsione, Susannæ historiam alijs pro vera, alijs pro falsa habitam. (Ber. Lamy, Appar. Biblic. p. 165. Jenae, 1709). *Ἀλλὰ τοιαῦτα κρίνειν τὸν Λαμῦν οὔτε λόγος ὀρθὸς ἐπέτρεπεν, οὔτ' αὐτὴ ἡ παρ' αὐτῷ σεβασμιωτάτη ἐν Τριδέντῳ Σύνοδος. Καὶ ἄλλας δέ τινας ὑπονοίας, κριτικὰς δῆθεν, κατὰ τῶν θείων βιβλίων ὁ Λαμῦς λαμυρώτερον παραῤῥίπτει, καὶ φεύγει!*

(ἀπὸ τοῦ 26, μέχρι τοῦ 91 στίχου), ὅπου γέγραπται καὶ ἐν τοῖς ἀρχαίοις χειρογράφοις τῶν Ο, ὡς λέγομεν εὐθύς.

§. ια. Ἐντεῦθεν καὶ τῶν νεωτέρων οἱ μάλιστα φιλοκαινοτόμοι τήν τε ἀπὸ τοῦ ἑβραϊκοῦ ἔλλειψιν τοῦ ὕμνου ὡς δεῖγμα τῆς τούτου νοθείας περισαλπίζουσιν (ὡσανεὶ τοῦτο μόνον λελώβηται τὸ ἑβραϊκόν!), καὶ τοῦτον ὡς ὑπό τινος ἑλληνιστοῦ Ἰουδαίου, πολλῷ τοῦ Δανιὴλ μεταγενεστέρου, πεπλᾶσθαι διαμυθολογοῦσι· καὶ λίαν ἄτοπον εὑρίσκουσιν, ἀνθρώπους ἐν μέσῃ καμίνῳ κειμένους εἰς παίγνια μέτρων ἐνευκαιρεῖν, καὶ πάντα τὰ στοιχεῖα συγκαλεῖν κατὰ τάξιν εἰς αἴνεσιν τοῦ δημιουργοῦ! Τοῦτο δὲ καί τις τῶν Ἰουδαίων ἔλεγε πρὸς τὸν Ἱερώνυμον (α). Ἀλλ᾽ ὅτι μὲν ἡ φράσις τῆς θεοπρεποῦς ταύτης ᾠδῆς οὐκ ὀλίγα σῴζει δείγματα τῆς ἑβραϊκῆς

(α) « Deinde tantum otii fuisse tribus pueris cavillabatur (Judaeus), ut in camino aestuantis incendij metro luderent, et per ordinem ad laudem Dei omnia clementa provocarent » (S, Hieron. Praef. in Daniel). *Ταῦτα καὶ ὁ κριτικὸς Ἰάννης ἀναφέρων, « Τοῦτο (λέγει) τὸ ἐπιχείρημα φαίνεται ἄλυτον, ἐὰν τεθῇ ὁ ὕμνος ἐν μέσῳ τῆς καιομένης καμίνου συνταχθείς. Λύεται δὲ ὅμως, ἂν ὑποθῶμεν, ὅτι νέος τις Ἰσραηλίτης, πολλῷ τοῦ Δανιὴλ μεταγενέστερος, δεξιὸς περὶ τὰ τοιαῦτα, συνέταξε τὴν ᾠδήν, ἐμβαλὼν αὐτὴν εἰς τὸ στόμα τῶν ἐν τῇ καμίνῳ τριῶν παιδων. Ἐκ δὲ τούτου μετέπειτα ὁ ὕμνος κατεχωρίσθη καὶ εἰς τὸ τεῦχος τοῦ Δανιὴλ »* (Jahn, Einleitung etc. §. 223. pag. 870). *Ἀλλ᾽ ὅτι μὲν οἱ τρεῖς Παῖδες συνάμα σαραβάροις καὶ περικνημῖσι καὶ τιάραις αὐτῶν πεδηθέντες, καὶ ῥιφθέντες εἰς τὴν κάμινον τοῦ πυρὸς, ἐλύθησαν αἴφνης, καὶ περιεπάτουν ἀβλαβεῖς ἐν μέσῃ τῇ καμίνῳ, ὑπὸ πνεύματος δρόσου καταπνεόμενοι, πρὸς τὸν βρόμον τοῦ πυρὸς ἀντισυρίζοντος, τοῦτο μὲν εὔλυτον ὁ σοφὸς ἀνὴρ εὑρίσκει (δηλαδὴ κατὰ τοὺς κανόνας τῆς αὐτοῦ κριτικῆς), καὶ λίαν ἀποδεκτόν. Ὅτι δὲ τοιαύτης χάριτος ἀπολαυόντες οἱ παῖδες ὑπ᾽ ἀγγέλῳ συμπαρόντι, τὸν σῴζοντα Θεὸν ἀνύμνουν ᾠδῇ πρεπούσῃ καὶ καταλλήλῳ, τοῦτο δὲ δύσλυτον ἔκρινε καὶ ἀπίθανον, καὶ δεσμοῦ γορδίου στεγανώτερον! Καὶ πάλιν, νέον ἄγνωστον Ἰσραηλίτην εὑρίσκει περὶ τὴν σύνθεσιν τῆς ᾠδῆς δεξιὸν, οἵους ἂν εἶπον λόγους οἱ Παῖδες ἐν τῇ καμίνῳ, σοφιστικώτερον ἀναπλάσσοντα· αὐτοὺς δὲ τοὺς ἐν Βαβυλῶνι νέους Ἰσραηλίτας, οὓς μετὰ τοῦ Δανιὴλ εὗρεν ὁ Ναβουχοδονόσορ διαπρεπεστάτους ἐν παντὶ ῥήματι σοφίας καὶ ἐπιστήμης (Δανιὴλ α, 20), καὶ αὐτὸν δὲ τὸν Δανιὴλ ἰδίως, ὧπερ καὶ Θεὸς αὐτὸς τὴν πολλὴν σοφίαν ἐμαρτύρησεν (Ἰεζεκ. κη, 3), τούτους λέγομεν ἀπαιδεύτους εὕρηκε καὶ ἀδεξίους περὶ τὴν σύνθεσιν τῆς θεοπρεπεστάτης ᾠδῆς! Ἀλλὰ τοιαῦτα τὰ τῆς ὑψαύχενος κριτικῆς, ὅταν κατορχουμένη τῆς ἱερᾶς ἀρχαιότητος, καθυποβάλλῃ τοὺς θείους λόγους εἰς τὴν στάθμην τῶν ματαίων αὐτῆς λογισμῶν.*

γλώσσης, ὅθεν ἐξελλήνισαν αὐτὴν οἱ Ο, σεσημείωται παρ᾽ ἄλλοις κριτικοῖς· καὶ τ᾽ ἄλλα δὲ τὰ παράλογα τῶν φιλοκαίνων διελύθησαν (α).

§. ιϐ. Ὅτι δὲ καὶ τοῦτο τὸ τεμάχιον προϋπῆρχεν ἐν τῷ ἑϐραϊκῷ, ὡς γνήσιον μέρος τῆς τοῦ Δανιὴλ προφητείας, ἀποδείξεις αἱ ἐφεξῆς.

α) Ἡ τοῦ Θεοδοτίωνος ἑρμηνεία, καθ᾽ ἣν μετέφρασε καὶ οὗτος τὴν ᾠδὴν, ὡς καὶ οἱ Ο, ἐκ τοῦ ἑϐραϊκοῦ πρωτοτύπου. Μάτην δὲ τὸν κόπον καὶ τὸ ἔλαιον τῆς νυκτερινῆς αὐτῶν μελέτης ἀπώλεσαν, ἄχαριν καύσαντες λύχνον, οἱ καὶ τούτου τοῦ ᾄσματος τὴν ἑρμηνείαν ἐκ τῶν Ο παραλαϐεῖν τὸν Θεοδοτίωνα παρεισαγαγόντες. Ἁπλῆ καὶ μόνη ἡ θεωρία τῆς διαφορᾶς, καθ᾽ ἣν ἡ τοῦ Θεοδοτίωνος ἑρμηνεία πολλαχοῦ παραλλάσει καὶ διΐσταται τῆς τῶν Ο, δείκνυσι τὴν διαφορὰν τῶν ἑρμηνευτῶν· ἡ αὐτὴ διαφορὰ ἐπικρατεῖ καὶ δι᾽ ὅλου τοῦ Δανιὴλ μεταξὺ τῆς τῶν Ο, καὶ τῆς Θεοδοτίωνος ἑρμηνείας.

β) Αὐτὴ τοῦ λόγου ἡ συνάφεια, ὡς ἔχει νῦν ἐν τῷ ἑϐραϊκῷ, δείκνυσι τὸ χάσμα, ὅθεν ὁ ὕμνος ἐξέπεσεν. Ὁ γὰρ 23 στίχος ἐν τῷ ἑϐραϊκῷ καταλήγει εἰς τὸ «Καὶ *ἔπεσον* ἐν μέσῳ τῆς καμίνου τῆς καιομένης πεπεδημένοι» (καὶ εὐθὺς ἄρχεται ὁ 24 στίχος) «Τότε Ναϐουχοδονόσορ ὁ βασιλεὺς ἐθαύμασε, καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ ἀπεκρίθη καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ. Οὐχὶ ἄνδρας τρεῖς ἐϐάλομεν ἐν μέσῳ τοῦ πυρὸς πεπεδημένους; ἰδοὺ ἐγὼ βλέπω τέσσαρας λελυμένους» κτλ. Οὕτως αἴφνης ἐν τῷ ἑϐραίῳ οἱ τρεῖς ἄνδρες φαίνονται τέσσαρες, καὶ ὁ Ναϐουχοδονόσορ ἐκπλήττεται· ἐφεξῆς δὲ (στίχ. 28), καὶ τὸν ἄγγελον ὀνομάζει μήπω τοῦτον μηδαμοῦ τῶν προηγουμένων μνημονευθέντα. Παράϐαλε ἤδη καὶ τὰ τῶν Ο, ἀπὸ τοῦ 23 ςίχου μέχρι τοῦ 81, ἐν οἷς καὶ ἡ ἐπιφάνεια τοῦ ἀγγέλου ἱςορεῖται (ςίχ. 49), καὶ τῶν τριῶν Παίδων ὁ ὕμνος ἐκπλήττει τὸν Βασιλέα, καὶ τῶν βασιλικῶν αὐτὸν ἐξανίστησι θρόνων· «Ἤκουσε γὰρ φησὶ (Ναϐουχοδονόσορ) *ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασε, καὶ ἐξανέστη σπουδῇ*» (στίχ. 24).

(α) Βλ. Houbigant Not. Critic. T. 1. p. 299.—Michaelis, Orient. Bibliothek. 4 Bd. p. 18.-Ackermann, Introduct. §. 23. p. 328. - Welte, l. c. p. 240.

γ) Ὅλοι οἱ ἀρχαιότατοι κώδηκες τῶν Ο περιέχουσι τὸν ὕμνον ἐν τῷ γ, κεφαλαίῳ τῆς προφητείας τοῦ Δανιὴλ, τὸ πλεῖστον αὐτοῦ μέρος ἀποτελοῦντα. Οὕτως ἔχει τοῦτον ὁ παρὰ τῷ μακαρίῳ Θεοδωρήτῳ κώδηξ (ἑρμηνείᾳ εἰς τὸν Δανιὴλ), καὶ ᾧπερ ἐχρῆτο Ἀθανάσιος (ὡς φαίνεται ἐν τῇ Συνόψει), καὶ τὸ τῶν Ο, λεγόμενον Κισιανὸν ἀπόγραφον τοῦ Δανιὴλ, καὶ τὸ μετ' αὐτοῦ συνεκδοθὲν ὡς ἀντίγραφον τοῦ Θεοδοτίωνος (παρὰ τῷ Δεμαγίςρῳ), καὶ εἴ τι ἕτερον (α). Ὡσαύτως καὶ τὸ τῆς Ἱερωνύμου Βουλγάτας, καὶ τὸ Συριακὸν, κτλ.

δ) Πᾶσα ἡ Ὀρθόδοξος Ἐκκλησία, ὡς θεῖον τὸν ὕμνον ἀνέκαθεν διακρατεῖ, καὶ κατὰ τὴν μεγάλην τοῦ μεγάλου Σαββάτου ἡμέραν θεοπρεπῶς ὁλόκληρον μελῳδεῖ. Καὶ κατὰ πᾶσαν δὲ τοῦ ἔτους ἡμέραν ἐν πᾶσι τοῖς εἱρμοῖς τῆς ἑβδόμης ᾠδῆς τῶν κανόνων ἁπάντων « *τὸν διαιωνίζοντα τοῦτον ὕμνον* » ὑπόθεσιν ποιεῖται. Καὶ πάντες δὲ κατὰ μέρος οἱ ἱεροὶ καὶ θεόφρονες Πατέρες τῆς Ἐκκλησίας, ὅσοι τῆς ᾠδῆς ἐμνημόνευσαν, ὡς θεόπνευστον αὐτὴν μνημονεύουσι (β). Ψάλλει δὲ τὸν ὕμνον κατὰ καιροὺς ὡρισμένους καὶ ἡ Δυτικὴ Ἐκκλησία.

(α) Ἐν τῷ Ἀλεξανδρινῷ ἀπογράφῳ, κατὰ τὴν ἔκδοσιν τοῦ Grabe, κεῖται ὁ ὕμνος μετὰ τῶν ἄλλων προφητικῶν ᾠδῶν (τοῦ Μανασσῆ, τοῦ Ἀββακοὺμ, τοῦ Ἡσαΐου κτλ.), κατὰ μέρος ἠθρεισμένων (ὡς ψάλλονται ἐν τῇ Ἐκκλησίᾳ), μετὰ τὸ ψαλτήριον τοῦ Δαβίδ. Ἐν δὲ τῷ Βατικανῷ καὶ ὁ θεῖος οὗτος ὕμνος ἐξώρισται ὑπὸ τῶν ἐκδοτῶν ἐκ τοῦ τεύχους τοῦ Δανιὴλ εἰς τὰ ἔσχατα τῆς βίβλου μετὰ τῶν κατ' αὐτοὺς Ἀποκρύφων!

(β) Πόσον ὑψηλῶς ἐκφράζεται ὁ πάγχρυσος τά τε χείλη καὶ τὴν ψυχὴν διδάσκαλος τῆς εὐσεβείας! ἄκουε· «Οἱ τρεῖς (παῖδες ἐν τῇ καμίνῳ) νίκην ἤραντο, τὴν θαυμαστὴν ἐκείνην καὶ παράδοξον ᾄδοντες ᾠδὴν, τ ὴ ν κ α ὶ μ έ χ ρ ι τ ο ῦ ν ῦ ν ἐ ξ ἐ κ ε ί ν ο υ π α ν τ α χ ο ῦ τ ῆ ς ο ἰ κ ο υ μ έ ν η ς ᾀδομένην, καὶ ᾀσθησομένην δὲ καὶ εἰς τὰς μετὰ ταῦτα γενεάς». Χρυσόστομ. τόμ. γ. σελ. 462 Venet. Καὶ ὁ ἱερὸς Θεοδώρητος ὡς μέρος τῆς θεοπνεύστου γραφῆς ἀναφέρει «Τὸν θεῖον ὕμνον, ὃν οἱ μακάριοι τρεῖς παῖδες ἐν τῇ καμίνῳ ὑφαίνοντες, συνεκάλουν καὶ τοὺς ἀ γ γ έ λ ο υ ς κ α ὶ π ά σ α ς τ ὰ ς δ υ ν ά μ ε ι ς Κ υ ρ ί ο υ. Πᾶσα γὰρ (φησὶν) ἡ θεόπνευςος γ ρ α φ ὴ τ ῆ ς δ ε τ ῆ ς δ ι δ α σ κ α λ ί α ς ἀ ν ά π λ ε ω ς» (εἰς τὰ Ἄπορ. Γενέσ. ἐρωτ. β). πρβλ. Ὠριγέν. περὶ εὐχῆς τόμ. α. σελ. 220. καὶ τὸν Ἱππόλυτον (Σχολ. εἰς ςχ. 87 τῆς ᾠδῆς, ἐν τόμῳ γ, (σελ. 951) τῆς Κορδερείου ἐκδόσεως τῶν ψαλμῶν, ὅπου καὶ ἡ προσευχὴ τοῦ Ἀζαρίου καὶ ἡ ᾠδὴ τῶν τριῶν Παίδων μετὰ τῶν ἄλλων ἱερῶν ψαλμῶν σχολιάζεται ὑπὸ τῶν Πατέρων). καὶ Γρηγ. Ναζ. τόμ. α. σελ. 369. καὶ

§. ιγ. Δ) Βὴλ καὶ Δράκων.

Ἐσχάτη περικοπὴ τοῦ τελευταίου κεφαλαίου τοῦ θείου τεύχους τοῦ Δανιὴλ ἐστιν ἡ *Βὴλ καὶ Δράκων* ἐπιγεγραμμένη. Συνίσταται δὲ αὕτη ἐκ δύω ἱστορημάτων, τοῦ μὲν *περὶ τοῦ Βὴλ*, ὅπως ὁ προφήτης ἐξήλεγξε τὴν γοητείαν τῶν ψευδιερέων τοῦ εἰδώλου, καὶ τοῦτο κατέστρεψε· τοῦ δὲ *περὶ τοῦ Δράκοντος*, ὃν λατρευόμενον παρὰ τοῖς Βαβυλωνίοις ὁ θεῖος προφήτης ἀπέκτεινε· διὸ καὶ δεύτερον ἐνεβλήθη εἰς τὸν λάκκον τῶν λεόντων, ἐν ᾧ καὶ τὴν παρὰ τοῦ προφήτου Ἀββακοὺμ παραδόξως κομισθεῖσαν ἐδέξατο τροφήν· καὶ τέλος, ἐῤῥύσθη, ἑβδομαῖος ἐξελθὼν ἀβλαβής. Καὶ ταῦτα τὰ δύω ἱστορήματα ὅ,τε Ἀφρικανὸς καὶ Ὠριγένης ὀνομάζουσι *τὰς ἐπὶ τέλει τοῦ βιβλίου* (τοῦ Δανιὴλ) δύω περικοπὰς, αἵτινες καὶ τότε κατ' αὐτοὺς ἔλειπον ἐκ τοῦ ἑβραϊκοῦ κειμένου.

§. ιδ. Πολλὰ δὲ καὶ περὶ τούτων κατεφλυάρει πρὸς τὸν Ἱερώνυμον ὁ διδάσκαλος αὐτοῦ ῥαββῖνος (α), ἅπερ καί τινες τῶν νεωτέ-

---

τὸν Μ. Ἀθανάσ. τόμ. α. σελ. 341. Καὶ αὐτὸς ὁ Ἀφρικανὸς ὡμολόγει τὸν ὕμνον τῶν τριῶν Παίδων· οὐδὲν γὰρ ἔγραψε περὶ τούτου πρὸς Ὠριγένην.

(α) Ἰδοὺ συνοπτικῶς οἱ πρὸς τὸν Ἱερώνυμον λόγοι τοῦ Ἰουδαίου· « Τὸ μὲν (λέγει) μάζῃ πίσσης τὸν δράκοντα ἀποκτεῖναι, καὶ τὸ τὰς μηχανὰς τῶν τοῦ Βὴλ ἱερέων καταφωράσαι, ταῦτα κατωρθώθησαν φρονήσει νοήμονος ἀνδρὸς μᾶλλον, ἢ πνεύματι προφητικῷ. Περὶ δὲ τοῦ Ἀββακοὺμ, ὅστις ἐκ τῆς Ἰουδαίας εἰς γῆν Χαλδαίων δισκοφόρος ἡρπάγη (τροφὴν κομίζων εἰς τὸν λάκκον καθειργμένῳ τῷ Δανιὴλ), ἐζήτει ὁ ἰουδαῖος, πού ποτε ἄρα τῆς Παλαιᾶς Γραφῆς ἁπάσης ἀναγινώσκομεν καὶ ἄλλον τινὰ τῶν ἁγίων βαρὺν τῷ σώματι πετασθέντα, καὶ ἐν στιγμῇ μιᾶς ὥρας τοσαῦτα γῆς διαστήματα διελθόντα; Ἐπειδὴ δέ τις τῶν παρόντων (φησὶν ὁ Ἱερώνυμος) ἅλις ἕτοιμος πρὸς τὸ λέγειν, ἀνέφερεν εἰς τὸ μέσον τὸν Ἰεζεκιὴλ, εἰπὼν, ὅτι καὶ οὗτος ἐκ γῆς Χαλδαίων εἰς Ἰουδαίαν ἡρπάγη, καταγελάσας τοῦ ἀνθρώπου ὁ Ἰουδαῖος, ἀπεδείκνυεν ἐξ αὐτῆς τῆς βίβλου τοῦ Ἰεζεκιὴλ, ὅτι ἐν πνεύματι καὶ ἐν ὁράματι εἶδεν ὁ προφήτης ἑαυτὸν μετατεθέντα. Τελευταῖον (προστίθησιν ὁ Ἱερώνυμος), καὶ ὁ ἡμέτερος Ἀπόστολος (ὁ Παῦλος), ὁ τὸν νόμον παρ' ἑβραίων παιδευθεὶς, οὐκ ἐτόλμησεν ἀποφήνασθαι, ὅτι ἐν σώματι ἡρπάγη εἰς τὸν παράδεισον· ἀλλ' εἶπεν· «εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδε» (Hieron. praef. in Dan.). Ἀλλ' ὁ μὲν Ἰουδαῖος γελοίως ἐσοφιστεύετο, χωρίζων ἀπὸ τοῦ προφητικοῦ πνεύματος, τὸ πνεῦμα τῆς βουλῆς καὶ συνέσεως (Ἡσ. ια, 2). Καὶ ἦν λοιπὸν καὶ ἐν τῷ Δανιὴλ φρόνησις Θεοῦ, ὡς ἦν καὶ ἐν τῷ θεοσόφῳ Σολομῶντι, ὅστις καὶ αὐτὸς περινούστατος ἀνεφάνη, ὅτε κατεφώ-

ρων κριτικῶν ἀσμένως ἐπανέλαβον, ἐπαυξήσαντες καὶ μετὰ τόκου μάλα δυστήνου, καὶ πρέποντος εἰς τοιαύτας ἀδίκους ἀφορμάς.

ρασε δι' ἀνθρωπίνων μέσων τὸ ψεῦδος τῆς μιᾶς τῶν ἑταιρῶν· οὕτω δὲ καὶ αὐτὸς ὁ Δανιὴλ ἐξήλεγξε τοὺς δύω ψευδομάρτυρας πρεσβυτέρους. Εἰ δὲ καὶ μάζῃ στέατος μετὰ πίσσης χρησάμενος ὁ Δανιὴλ, ἀπέκτεινε τὸν φαγόντα δράκοντα, σῴζων τοὺς αἰχμαλώτους Ἰσραηλίτας ἐκ τοῦ κινδύνου τῆς τῶν Χαλδαίων εἰδωλολατρείας (ἐτίμα δὲ τῶν Χαλδαίων ὁ ὄχλος τὸν ὄφιν, ὡς τύπον τοῦ Ἀρειμανίου θεοῦ, ἤτοι τοῦ τῶν κακῶν ἀρχηγοῦ, παρὰ τῶν Περσῶν τὴν κακοδοξίαν παραλαβόντες), μήπως ἐποίησεν ἔργον προφήτῃ ἀπρεπές; Ἀλλὰ καὶ Ἑλισσαῖος ὁμοίως ἀλεύρῳ ἐχρήσατο πρὸς θεραπείαν τῆς πικρίας τῶν τοῦ λέβητος λαχάνων, σῴζων ἐκ τῆς βλάβης τοὺς γευσαμένους (Δ. Βασιλ. δ, 39). Καὶ Ἠσαΐας ὁ μέγας ἐκ παλάθης σύκων καταπλάσματι τὴν Ἐζεκίου νόσον ἐθεράπευσεν (Ἠσαΐ. λη, 21). Ὁ δὲ πάλιν ἑτοιμολόγος ἐκεῖνος, ὅστις ἀπελογεῖτο ὑπὲρ τοῦ Ἀββακοὺμ πρὸς τὸν Ἰουδαῖον, ἀντὶ τοῦ Ἰεζεκιὴλ, ὤφειλε μᾶλλον ὑπομνῆσαι τὸν ῥαββῖνον οὐ μόνον τὸ τοῦ ἀρχαιγόνου Ἐνὼχ, ἀλλὰ καὶ τοῦ νεωτέρου προφήτου Ἠλιοῦ τὸ παράδειγμα, ὅστις καὶ αὐτὸς μετὰ σώματος ζῶν ὡς εἰς τὸν οὐρανὸν μετετέθη (οὕτω καὶ αὐτοὶ φρονοῦσιν οἱ Ἰουδαῖοι). Καὶ τούτου δὲ τὴν μετάθεσιν προεῖδε καὶ Ἐλισσαῖος, καὶ τοσοῦτοι υἱοὶ τῶν προφητῶν (βλ. ὄπισθ. σελ. 479), καὶ πολὺ δὲ πρότερον προεῖπε πρὸς αὐτὸν τὸν Ἠλίαν ὁ προφήτης Ἀβδιοὺ (Γ. Βασιλ. ιη, 12), ὡς πρᾶγμα δυνατὸν καὶ οὐκ ἀνήκουστον φρονῶν. Καὶ ταῦτα μὲν εἶχεν ἂν ὁ ἑτοιμολόγος ἐκεῖνος εὐκόλως πρὸς τὸν ῥαββῖνον ἀντειπεῖν. Ἐκεῖνο δὲ φαίνεται παράδοξον· πῶς καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος τοῦ μὲν θείου Παύλου ἐπεμνήσθη, ὡς ἀόριστον καταλιπόντος τὴν χωρὶς, ἢ μετὰ σώματος εἰς τὸν παράδεισον ἁρπαγὴν, ἀπεσιώπησε δὲ τὸ παράδειγμα τοῦ ἀποστόλου Φιλίππου, ὃν μετὰ τὸ βαπτίσαι τὸν εὐνοῦχον «πνεῦμα κυρίου ἥρπασεν εἰς Ἄζωτον» (Πράξ. η, 39,40. πρβλ. 26). Καὶ ὅμως ταῦτα τὰ τοῦ Ἱερωνύμου καὶ τοῦ παρ' αὐτῷ ῥαββίνου τὰ λόγια προβάλλουσιν ἄσμενοι κατὰ τῆς τοῦ Βὴλ καὶ Δράκοντος ἱστορίας καί τινες τῶν νεωτέρων κριτικῶν (διὸ καὶ ἠναγκάσθημεν αὐτὰ διαμνημονεῦσαι)· καὶ ὁ κλεινὸς Ἰάννης (l. c. p. 879), ἀλύτους ἔκρινε ταύτας τὰς ἀντιῤῥήσεις, «πρὸς ἅς φησιν οὔθ' ὁ Ὑέτιος, οὔτε ὁ Λαμῦς ἐτόλμησαν ἀντειπεῖν. Διαλύονται δὲ, λέγει, ἂν ληφθῇ τὸ ἱστόρημα παραβολή τις, δι' ἧς ἠθέλησεν ὁ συγγραφεὺς τήν τε τῶν εἰδωλικῶν ψευδιερέων οὐθένειαν, καὶ τὴν δύναμιν τοῦ ἀληθινοῦ Θεοῦ φανερὰν καταστῆσαι· ἀνέμιξε δὲ καί τινα ἀπίθανα φαντασίας πλάσματα»! Ταῦτα ὁ πάντα, μικροῦ δεῖν, τὰ θαυμαστὰ καὶ θειότερα εἰς ἀνθρωπίνους καὶ φυσικὰς ἰδιότητας εὐκόλως μεταστρέφων Ἰάννης, ζηλῶν καὶ οὗτος τοὺς δεινοὺς Δεβέττας καὶ Εἰχορνίους, καὶ εἴ τινες ἄλλοι τοιοῦτοι θιασῶται τῆς ὑψηλῆς λεγομένης κριτικῆς! Ἀλλὰ πρὸς τούτους μὲν ἀπήντησεν ὁ περικλεέστατος Βέλτης (Welte l. c.). Ἡμεῖς δὲ πρὸς τὸν ἱερώτατον Ἱερώνυμον ἐπιστρέφοντες, νομίζομεν, ὅτι καὶ αὐτὸς, εἴπερ ἀκριβέστερον ἐσκέπτετο, προθύμως ἂν ὑπέταττε τὰς περὶ τοῦ κατ' αὐτὸν δισκοφόρου Ἀββακοὺμ παραδόξους αὐτοῦ γνώμας εἰς τὰς τοῦ θεοφάντορος πατρὸς Βασιλείου (καὶ γὰρ «καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται»). Λέγει δὲ ὁ Μ. Βασίλειος ταῦτα· «Εἶχε δὲ

Ἀλλ᾽ ἐξήλεγξαν αὐτῶν τὴν πλάνην, ἄλλοι πάλιν ὀρθότερα φρονοῦντες κριτικοί (α).

§. ιε. Ἡμεῖς δὲ λέγομεν ἤδη περὶ τῆς προειρημένης (§. ε) ἐπὶ τῇ περικοπῇ τοῦ Βὴλ καὶ Δράκοντος ἐπιγραφῆς, ἐξ ἧς ὅ,τε Εὐσέβιος καὶ ὁ Ἀπολλινάριος (κατὰ τὴν Ἱερωνύμου μαρτυρίαν) ἀπεδείκνυον τὴν ἱστορίαν τῆς Σωσάννης ὡς οὐκ οὖσαν τοῦ Δανιήλ. Σῴζεται δὲ καὶ νῦν ἡ ἐπιγραφὴ αὕτη ἐν τῷ *Δανιὴλ κατὰ τοὺς* Ο παρὰ τῷ Δεμαγίστρῳ τὸ πρῶτον ἐκδοθέντι Κισιανῷ κώδηκι, εἰς τὸ ἔσχατον (ιδ) κεφάλαιον τοῦ τεύχους ἐπιγεγραμμένη· ἔχει δὲ οὕτως. «*Ἐκ προφητείας Ἀββακοὺμ, υἱοῦ Ἰησοῦ, ἐκ τῆς φυλῆς Λευΐ*»· καὶ εὐθὺς ἄρχεται τὸ ιδ, κεφάλαιον οὕτω· «*Ἄνθρωπός τις ἦν ἱερεὺς, ᾧ ὄνομα Δανιὴλ, υἱὸς Ἀβὰλ, συμβιωτὴς τοῦ βασιλέως Βαβυλῶνος*». Οὕτως αὐτὴν καὶ Ἱερώνυμος ὡς ἐκ τοῦ Εὐσεβίου ἀναφέρει, καθὼς προείδομεν (πλὴν ὅτι ἀντὶ τοῦ *Ἀβὰλ* γράφει *Ἀβδά*). Ἀλλ᾽ ἐν τῇ καθ᾽ ἡμᾶς θεοπνεύστῳ βίβλῳ τοῦ Δανιὴλ, ἣν ἐξ ἀρχῆς ἀναγινώσκει ἡ Ἐκκλησία, καὶ ἥτις κυρίως οὖσα τῶν Ο, με-

---

καὶ ὁ βαβυλώνιος λάκκος τὸν Ἰσραηλίτην νεανίσκον (τὸν Δανιὴλ) αἰχμάλωτον μὲν τὴν συμφορὰν, ἐλεύθερον δὲ τὴν ψυχὴν καὶ τὸ φρόνημα. Καὶ τί τὰ παρ᾽ ἐκείνων (ἴσ. γρ. ἐ κ ε ί ν ῳ); οἱ μὲν λέοντες παρὰ φύσιν ἐνήστευον, ὁ δὲ τούτου τροφεὺς Ἀββακοὺμ ἐφέρετο δι᾽ ἀέρος, κομίζοντος ἀγγέλου μετὰ τῶν ὄψων τὸν ἄνθρωπον. Καὶ ἵνα μὴ λιμῷ πιεσθῇ δίκαιος, τοσαύτης ὑπερηνέχθη γῆς καὶ θαλάσσης ὁ προφήτης ἐν μικρῷ μορίῳ καιροῦ, ὅσην ἐκ τῆς Ἰουδαίας μέχρι Βαβυλῶνος ἡπλῶσθαι» κτλ. (Μ. Βασίλ. Ὁμιλ. ἐν λιμῷ καὶ αὐχμῷ, τόμ. α. σελ. 415). Εἴπερ τοίνυν τούτων τῶν λόγων τοῦ θεοφόρου πατρὸς καὶ τῶν ἄλλων δὲ τῶν μεγάλων διδασκάλων τῆς Ἐκκλησίας ἐμέμνητο καὶ αὐτὸς ὁ ἀοίδιμος τῆς ὀρθοδοξίας φωστὴρ, οὔτε τοῖς Ἰουδαίοις καὶ τῷ κατ᾽ αὐτὸν ἑβραϊκῷ κειμένῳ προχείρως ἂν ἐπίστευεν, οὔτ᾽ ἂν ἔγραφεν, ὅτι τήν τε τῆς Σωσάννης ἱστορίαν, κ α ὶ τ ὴ ν α ἴ ν ε σ ι ν τ ῶ ν τ ρ ι ῶ ν π α ί δ ω ν, καὶ τοῦ Βὴλ καὶ τοῦ δράκοντος τ ο ὺ ς μ ύ θ ο υ ς (ἅτινα παρ᾽ ἑβραίοις οὐ κεῖνται), ἐπειδὴ ε ἰ ς π ᾶ σ α ν τ ὴ ν ο ἰ κ ο υ μ έ ν η ν δ ι ε σ π ά ρ η σ α ν, ὀβελὸν ἀκυροῦντα (jugulantem) τούτοις προσθέντες, καθυπετάξαμεν (εἰς τὸ τέλος τοῦ τεύχους τοῦ Δανιὴλ), «ἵ ν α μ ὴ δ ό ξ ω μ ε ν τ ο ῖ ς ἀ μ α θ έ σ ι μ έ γ α μ έ ρ ο ς τ ο ῦ τ ε ύ χ ο υ ς ἠ κ ρ ω τ η ρ ι α κ ό τ ε ς!! (Praef. in Daniel)

(α) Βλ. τὸν Houbig. ubi sup. pag. 307 ἀπαντῶντα πρὸς τὰ τοῦ Καπελλίου (πάντῃ τῆς αὐτοῦ σοφίας ἀνάξια πλάττοντος), καὶ Dereser, Commen. in Daniel. — Sandbichler, Erlaüterungen der bibl. Geschichte p. 404. — Ackerman, Introduct. p. 332. — Welte l. c. p. 258 sq.

τωνόμασται ὑπὸ μόνου τοῦ Ἱερωνύμου ἡ *τοῦ Θεοδοτίωνος* ἑρμηνεία, δι᾽ οὓς λόγους εἴπομεν ἐν τοῖς προηγηθεῖσι (βλέπε Βιβλ. Β. σελ. 630, 636)· ἐν ταύτῃ δὴ τῇ βίβλῳ, οὔτε τοῦ *Ἀββακοὺμ* ἐπιγραφὴ εὑρίσκεται ἐπὶ τοῦ ἐσχάτου κεφαλαίου, καὶ ἡ τοῦ Βὴλ καὶ Δράκοντος ἱςορία ἄρχεται οὕτω· «Καὶ ὁ βασιλεὺς Ἀςυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ παρέλαβε Κῦρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ. *Καὶ ἦν Δανιὴλ συμβιωτὴς τοῦ βασιλέως*», κτλ. Ἐν δὲ τούτοις οὔτε *ἱερεὺς*, οὔτε *υἱὸς Ἀβὰλ* ὁ προφήτης ὀνομάζεται. Οὕτως ἔχουσιν ἅπαντες οἱ καθ᾽ ἡμᾶς κώδηκες τῶν Ο, καὶ αὐτὸς Ἱερώνυμος, ἐν τῇ ἑρμηνείᾳ, ἣν μετέφρασεν ἐκ τοῦ Θεοδοτίωνος, ὡς λέγει (ταύτην δὴ τὴν καθ᾽ ἡμᾶς ἔκδοσιν ἐννοῶν). Ἐκαινοτόμησε δὲ μόνον ὁ Ἱερώνυμος, ὅτι καθυπέταξε τὰς τῆς Σωσάννης καὶ τοῦ Βὴλ καὶ Δράκοντος περικοπὰς μετὰ τὸ τέλος τοῦ δωδεκάτου καὶ ἐσχάτου κεφαλαίου τοῦ Δανιὴλ, καταχωρίσας τὴν μὲν Σωσάνναν εἰς τὸ ιγ κεφάλαιον, (ὅπερ παρ᾽ αὐτῷ καταλήγει εἰς τὸ «*Καὶ Ἀστυάγης προσετέθη*», κτλ.), τὰ δὲ περὶ τοῦ Βὴλ εἰς τὸ ιδ, καὶ τελευταῖον (ὅπερ ἄρχεται ἐκ τοῦ « *Καὶ ἦν Δανιὴλ* », κτλ.). Οὕτω διετάχθη καὶ ὁ τοῦ Δανιὴλ κατὰ τοὺς Ο, λεγόμενος Κισιανὸς κώδηξ. Ἀλλ᾽ ὅμως εἰς τ᾽ ἄλλα τὰ ἀρχαῖα ἀντίγραφα τῶν Ο, ἡ μὲν Σωσάννα κεῖται πρὸ τοῦ πρώτου κεφαλαίου τοῦ Δανιὴλ (ὡς προείπομεν), ὁ δὲ Βὴλ καὶ Δράκων συνάπτεται μετὰ τοῦ ιβ καὶ ἐσχάτου κεφαλαίου, ὡς πάρεστιν ἰδεῖν ἔν τε τῷ Ἀλεξανδρινῷ, καὶ τῷ Βατικανῷ, καὶ τοῖς λοιποῖς ἀντιγράφοις (ἡ δὲ Κομπλουτεία ἔκδοσις μετεῤῥυθμίσθη πρὸς τὴν τῆς Βουλγάτας ὑπ᾽ αὐτῶν τῶν ἐκδοτῶν). Ἐκ δὲ τούτων καὶ ἐξ ἄλλων, ὧν ἐποίσομεν, λόγων, ἡ Ἀββακούμειος ἐπιγραφὴ συνάμα μετὰ τῆς ἀρχῆς τοῦ ιδ, κεφαλαίου (κατὰ τὸν Δανιὴλ τοῦ Κισιανοῦ κώδηκος) φαίνεται σαφῶς οὐ μόνον ἀλλοτρία τῶν Ο, ἀλλὰ καὶ τοῦ Ὠριγένους αὐτοῦ μεταγενεστέρα. Καὶ γὰρ, α) Πῶς ἂν ἢ ὁ Ἔσδρας ἔταξεν ἐξ ἀρχῆς, ἢ αὐτοὶ οἱ Ο κατεχώρισαν εἰς τὰς προφητείας τοῦ Δανιὴλ κεφάλαιον ἀνῆκον εἰς τὰς Ἀββακοὺμ προφητείας, ὡς βούλεται ἡ ἐπιγραφή; τί μὴ τοῦτο κατεχωρίσθη, κατὰ τὸ δέον, ἐν τῷ τεύχει τῶν Ἀββακοὺμ προφητειῶν; Εἰ δὲ καὶ ἄλλος τις ἦν

οὗτος ὁ προφήτης Ἀββακοὺμ (καθώς τινες τῶν νεωτέρων οὐκ ὀρθῶς ὑπέλαβον), ἄγνωστος καὶ ἀνωνόμαστος ἐν ἄλλῳ τόπῳ τῆς γραφῆς, πῶς οὐκ ἐδήλωσε καὶ τούτου τὸ κεφάλαιον ὁ πρῶτος καὶ παλαιὸς Ἑβραῖος κανὼν, καθ' ὃν διετάχθησαν ὅλα τὰ κανονικὰ βιβλία τοῦ ἱεροῦ κώδηκος, ἐν οἷς καὶ ἡ προφητεία τοῦ Δανιήλ; Πῶς δὲ πάλιν οἱ Ο τὸν Δανιὴλ ἐν τῷ ἐσχάτῳ κεφαλαίῳ ἡρμήνευον *ἱερέα*, τουτέστιν ἐκ φυλῆς Λευΐ; Ἀλλ' αὐτοὶ οὗτοι οἱ Ο, ἐν ἀρχῇ τοῦ αὐτοῦ τεύχους τοῦ Δανιὴλ ἔγραψαν, ὅτι ὁ Δανιὴλ (μετὰ τῶν τριῶν παίδων) ἐξελέγη «*ἐκ τῶν υἱῶν*» (τουτέστιν ἐκ τῆς φυλῆς) «Ἰούδα»· καὶ ὅτι ἦν (ὡς φαίνεται ἐκ τῆς τοῦ βασιλέως διαταγῆς) «*ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας*», δηλονότι ἐκ γένους βασιλικοῦ (α)· οὕτως ἔχει καὶ τὸ ἑβρακόν· (πρβλ. καὶ Θεοδώρητ. εἰς Δανιήλ, α, 36) (β).— β) ὁ Θεοδοτίων ἀγνοεῖ καὶ τὴν ἐπιγραφὴν καὶ τὴν ἀρχὴν

(α) Οὕτω καὶ Ἰώσηπος (Ἀρχ. l. ι. §. 1). «Ἦσαν δὲ ὁ Δανιὴλ καὶ οἱ τρεῖς παῖδες συγγενεῖς». Συγγενὴς δὲ τοῦ Σεδεκίου ἦν καὶ ὁ Ἰωακεὶμ ὁ εἰς Βαβυλῶνα δέσμιος ἀπαχθεὶς, ἐφ' οὗ καὶ ὁ Δανιὴλ καὶ οἱ τρεῖς παῖδες ἀπήχθησαν, ὡς φαίνεται ἐν Δανιὴλ α, 2—4·

(β) Τοῦτο τὸ ἱ ε ρ ε ὺ ς ὁ Δεμάγιστρος (σελ. 89), καὶ ἄλλοι ἐξέλαβον ἀντὶ τοῦ ἄρχων, μεγιστάν· διότι τὸ ἑβρ. Χ ο χ ε ν (Chohen) ὁ ἱερεὺς, σημαίνει καὶ τοῦτο κἀκεῖνο. Οὕτως ἐν Β. Βασιλ. η, 18, ὅπου τὸ ἑβρ. ἔχει Chohenim, οἱ Ο, ἡρμήνευσαν α ὐ λ ά ρ χ α ι, καὶ ὁ Σύρος, καὶ ὁ Ἄραψ, ἡ γ ε μ ό ν ε ς (ἡ δὲ Βουλγάτα γράφει Sacerdotes, οὐ κατὰ τὴν λατινίδα χρῆσιν, ἀλλ' ἄγαν ἑβραΐζουσα)· καὶ πάλιν ἐν Α, Παραλειπ. ιη, 17 τὴν αὐτὴν φωνὴν ἐξήγησαν οἱ Ο, «π ρ ῶ τ ο ι δ ι ά δ ο χ ο ι τ ο ῦ β α σ ι λ έ ω ς» (τουτ. οἱ τὰς πρώτας μετὰ τὸν βασιλέα ἀρχὰς διαδεδεγμένοι, καὶ τοὺς πρώτους μετ' αὐτὸν ἐπέχοντες τόπους. πρβλ. Β. Παραλ. κς, 11, κη, 7)· οὕτω καὶ Φίλων (σελ. 373) εἶπε τὸν Ἰωσὴφ «τ ο σ α ύ τ η ς (τῆς τοῦ Φαραὼ) ἡ γ ε μ ο ν ί α ς δ ι ά δ ο χ ο ν, ἀρχὴν τὴν μετὰ τὸν βασιλέα ἀναψάμενον». (βλ. Drusij καὶ Cartwrigr. annot. ad Genes. c. 41, 45. in Critic. Sacros. πρβλ. καὶ Gesenij Lexic. Hebraic. pag. 467). Οὕτω τὴν διπλῆν τῆς Χοχεν ἑβραϊκῆς φωνῆς σημασίαν διέκριναν οἱ σοφοί· καὶ ἡμεῖς πειθόμεθα. Ἓν δὲ μόνον παρεῖδον οἱ ἄνδρες, ὅτι οἱ Ο, οὐδέποτε τὸ ἱ ε ρ ε ὺ ς ἔταξαν ἐπὶ τῆς τοῦ κοσμικοῦ ἡγεμόνος σημασίας, ἀλλ' ἀείποτε ἐπὶ τῆς συνήθους καὶ κυρίας καὶ παρ' Ἕλλησι κοινῇ νενομισμένης. Μάτην ὁ Ὑέτιος (Demonst. Evang. Prop. IV. pag. 256) συνῆψε μετὰ τῶν ἀνωτέρω παραδειγμάτων καὶ τὸ Γενέσ. μα, 45 «Π ε τ ε φ ρ ῆ ἱ ε ρ έ ω ς Ἡ λ ι ο υ π ό λ ε ω ς» (ὅπου καὶ τὸ ἑβρ. Chohen)· τοῦτον γὰρ καὶ Φίλων ἱ ε ρ έ α κυρίως ἐξέλαβε, καὶ Ἰώσηπος αὐτός· «Πετεφροῦ τῶν ἐν Ἡλιουπόλει ἱ ε ρ έ ω ν (Ἀρχ. Β. ς. §. 1), καὶ ἡ Βουλγ. Sacerdos ἡρμήνευσε (καὶ Ἀβενέσδρας καὶ ἄλλοι ῥαββεῖς ὁμοίως.

τοῦ κεφαλαίου· οὐδὲ γὰρ ἀνέγνω ταῦτα ἐν τῷ κατ᾿ αὐτὸν ἑβραϊκῷ. — γ) Ὁ Ὠριγένης ἀπονέμει σαφῶς τὴν τοῦ Βὴλ καὶ Δράκοντος περικοπὴν οὐκ εἰς τὸν προφήτην Ἀββακοὺμ, ἀλλ᾿ εἰς *αὐτὸν τὸν Δανιήλ*. Ἀπαντῶν γὰρ πρὸς Ἀφρικανὸν ὑπὲρ τῆς *τοῦ Δανιήλ, τοῦ νεωτέρου προφητεύσαντος* τὰ κατὰ τὴν Σωσάνναν, συγγραφῆς, καὶ δεικνύων, ὅτι τούτου γνησία καὶ ἀκίβδηλός ἐστιν ἡ περικοπὴ, ἐπιφέρει ὡς τοιαύτας οὔσας καὶ τὰς ἄλλας δύω περικοπὰς, « *τὰς ἐπὶ τῷ τέλει τοῦ βιβλίου, περί τε τῶν κατὰ τὸν Βὴλ καὶ τὸν δράκοντα ἀναγεγραμμένας, καὶ οὐδ᾿ αὐτὰς ἐν τῷ Δανιὴλ τῶν ἑβραίων γεγραμμένας* ». Ὡς τοιαύτας αὐτὰς θεωρῶν καὶ ὁ Ἀφρικανὸς, ἠπό-

---

βλ. Critic. Sacr. ubi supr.). *Προστίθησιν ὁ Ὑέτιος καὶ τὸ τῶν Ο,* « ἱερεὺς Μαδιὰμ » (Ἐξόδ. β. 16. *τουτ. τῶν Μαδιανιτῶν*)· *ἀλλὰ καὶ τοῦτο κυρίως καὶ ἑλληνικῶς ἐξέλαβον οἱ αὐτοὶ* (*βλ. καὶ Σειρ. εἰς τὴν* Ὀκτάτευχ.). Ἐπιφέρει, *τέλος* (*τὸ παράδοξον*), *καὶ τὸ ἐν* Β. Βασιλ. *κ*, 26 (*ὅπου ἀριθμουμένων τῶν περὶ τὸν βασιλέα Δαβὶδ ἐπισημοτάτων ἀρχόντων, προστίθενται καὶ τὰ ἑξῆς*) «Καὶ Σαδὼκ καὶ Ἀβιάθαρ *ἱερεῖς· καί γε* Ἰρὰς *ὁ Ἰαρὶν ἦν ἱερεὺς τῷ Δαβίδ* »· *ἀλλὰ καὶ τοῦτο ἐπιφερόμενον μετὰ τοὺς δύω ἀρχιερεῖς* (*Σαδὼκ καὶ* Ἀβιάθαρ) *τί ἄλλο δείκνυσι καὶ τὸν* Ἰρὰς, *εἰ μὴ ἱερέα τινὰ τῶν ἐπισήμων*; Τελευταῖον· *καὶ εἰ παρὰ τοῖς* Ο *ἔκειτο τὸ ἱερεὺς ἐπὶ τοῦ μεγιστᾶνος* (*κατὰ τὸ* Chohen), *ἀλλὰ καὶ οὕτω πάλιν τὸ ἐπὶ τοῦ Δανιὴλ λεγόμενον ἱερεὺς οὐδαμῇ οὐδαμῶς ἐπιδέχεται ταύτην τὴν σημασίαν.* Ἐν *μὲν γὰρ τοῖς ἀνωτέρω παραδείγμασι τὸ ἱερεὺς συνάπτεται πρός τι σχετικὸν* (*ἱερεὺς* Ἡλιουπόλεως, — Μαδιὰμ, — *ἱερεὺς τῷ Δαβὶδ κτλ.*)· *ἡ δὲ ψευδαββακούμειος φράσις τί λέγει*; Ἄνθρωπός τις ἦν ἱερεὺς, ᾧ ὄνομα Δανιὴλ, υἱὸς Ἄβαλ (*συμβιωτὴς τοῦ βασιλέως*) »· *ποῦ χωρεῖ εἰς τοῦτο τὸ ἱερεὺς ἡ τοῦ ἄρχοντος, ἢ ἡγεμόνος σημασία*; *ἐπὶ τίνος πόλεως, ἢ ἔθνους ἦν οὗτος τοιοῦτος*; Τὸ *δὲ τοῦ βασιλέως ἀποδίδοται σαφῶς εἰς τὸ συμβιωτής· καὶ σημαίνει συμβιοῦντα, πάρεδρον, ἢ σύμβουλον τοῦ βασιλέως, ἄρχοντα τῆς αὐλῆς* (*ὡς τὸ αὐλάρχης*), *αὐλικὸν ἀξιωματικὸν ἐπίσημον, παραδυναστεύοντα.* (*βλ*· *Δανιὴλ β.* 48 : *ε*, 29 : *ς*, 3, *κτλ.*). Τοῦτο *τὸ συμβιωτὴς* (*εἰρήσθω δὲ καὶ τοῦτο ἐν παρόδῳ*) *ἡ* Βουλγάτα *ἡρμήνευσε* conviva, *ὡς τὸ* convictor· *ὁ δὲ* Σέξτος *ὁ* Σενήνσιος *ἐξελλήνισε συμπότην* (*ὡς ἂν ἐκ τοῦ λατ.* convivium)! *καὶ οὕτω μετεμόρφωσε τὸν μὲν ἔνδοξον* Κῦρον (*πρα᾿ ᾧ ἦν ὁ* Δανιὴλ) *εἰς ἄλλον* Βαλτάσαρ *πότην, εἰς συμπότην δὲ τούτου συγκωθωνίζοντα τὸν θεῖον προφήτην, τὸν ἐπ᾿ ἐγκρατείᾳ καὶ νηστείᾳ ἐπισημότατον.* (*βλ. Δανιὴλ α*, 1, 3 *κτλ.*)! Ἀλλ᾿ *ἱκανὰ καὶ ταῦτα καὶ πέραν τοῦ μετρίου, χάριν τοῦ πολλὰ πράγματα τοῖς κριτικοῖς παρασχόντος ἐπιθέτου τοῦ Δανιὴλ ἱερέως, ὅπερ κούφη τις κακογραφία παρεισήγαγε μετὰ τῆς ἐπιγραφῆς εἰς τὴν ἀρχὴν τῆς ἐπὶ τῷ τέλει τοῦ Δανιὴλ περικοπῆς, καὶ ταῦτα, ἔν τισιν ὑστέροις* Ὠριγένους *κώδηξιν, ἅπερ οὐδὲ* Θεοδοτίων *οὔτ᾿ ἔγραψεν, οὔτ᾿ ἀνέγνω, καθὼς λέγομεν ἐφεξῆς ἐν τοῖς ἀνωτέρω.*

ρει, εἰ γνήσιαι τοῦ Δανιήλ εἰσιν. Εἰ δ' ἦν τὸ κεφάλαιον καὶ τότε ῥητῶς ἐπιγεγραμμένον « *ἐκ τῶν Ἀββακοὺμ προφητειῶν* »· πῶς ἂν ἀμφέβαλλε περὶ αὐτῶν ὁ Ἀφρικανὸς, ἀναφέρων αὐτὰς εἰς τὸν Δανιήλ; – δ) Οὐδεὶς οὔτε τῶν Εὐσεβίου προγενεστέρων, ὅσοι τὰς τοῦ Βὴλ καὶ δράκοντος περικοπὰς ἐμνημόνευσαν, οὔτε τῶν μεταγενεστέρων (πλὴν Ἀπολλιναρίου, ὡς ἐροῦμεν εὐθὺς), οὐδεὶς ἀνέφερεν αὐτὰς εἰς τὸν Ἀββακοὺμ, ἀλλὰ πάντες εἰς τὸν Δανιήλ (α).– ε) Καὶ αὐτὴ ἡ ἀρχὴ τῆς τοῦ Βὴλ καὶ δράκοντος ἱστορίας, ὡς ἀναγινώσκεται ἐν τῷ τεύχει τοῦ Δανιὴλ, ᾧ κέχρηται ἡ Ἐκκλησία, δείκνυσι τρανῶς, ὅτι καὶ αὕτη ἡ περικοπὴ τοῦ αὐτοῦ συγγραφέως ἐστὶν, οὗ τινος καὶ τὰ προηγούμενα κεφάλαια. Οὕτως ἔχει καὶ ἡ Βουλγάτα (καθὼς προείρηται ἀνωτέρω §. ιδ).

§. ις. Τούτων οὕτως ἐχόντων, ἡ τοῦ Ἀββακοὺμ λοιπὸν *ἐπιγραφὴ*, καὶ ἡ μετ' αὐτὴν ἀρχὴ τῆς περὶ τοῦ Βὴλ καὶ δράκοντος ἱςορίας φαίνονται παρέγγραπτοι, παρεισδῦσαι μετὰ τὸν Ὠριγένην ἔν τισιν ἀντιγράφοις τῶν Ἑξαπλῶν, δι' ἀκρισίαν τῶν ἀντιγραφέων· παρεισέφρησαν δὲ τὸ πρῶτον, ὡς ἔοικεν, ἐκ τῆς ᾤας τινὸς χειρογράφου, ὅπου τις τῶν περιέργων εἶχε σημειώσας ἔκ τινος ῥαββινικῆς περὶ τοῦ Ἀββακοὺμ παραδόσεως ταῦτα δὴ τὰ ῥήματα ἢ θαύματα, ἐννοῶν, ὅτι ταῦτα ἀνήκουσιν εἰς τὴν *προφητείαν*, τουτ. τὸ τεῦχος τῶν προφητειῶν *τοῦ Ἀββακοὺμ* (διότι ὁ αὐτὸς Ἀββακοὺμ μνημονεύεται καὶ ἐν τῇ περικοπῇ), καὶ προστιθεὶς, ὅτι οὗτος ὁ Ἀββακοὺμ, ὁ προφήτης, ἦν *υἱὸς Ἰούδα, ἐκ φυλῆς Λευὶ* (ὅπερ ὅμως αὐτὸς ὁ προφήτης οὐ λέ-

---

(α) Ὁ δὲ κλεινὸς Ὑέτιος πολλὰ καὶ μάτην διαῤῥιπισθεὶς περὶ τῆς Ἀββακουμωνύμου ταύτης ἐπιγραφῆς, καὶ νῦν μὲν ἀποδοὺς αὐτὴν εἰς τὸν ἀρχαῖον ἐκεῖνον δὴ τὸν διεφθαρμένον, καὶ ὑπό τινος ἀμαθοῦς τάχα τῆς Χαλδαϊκῆς μεθηρμηνευμένον, ψευδῶς δὲ τοῖς Ο, ἐπιγεγραμμένον κώδηκα τοῦ Δανιὴλ (ὃν ὁ μακάριος Ἱερώνυμος ὀνειροπολήσας, ἐξεδίωξε μόνος αὐτὸς ἐκ τῆς Ἐκκλησίας, ἀντεισήγαγε δὲ τὴν Θεοδοτίωνος ἑρμηνείαν ἀκραιφνῆ καὶ ὁλόσωμον! βλ. ὄπισθ. Βιβλ. Β. σελ. 632), νῦν δὲ πάλιν ἄλλα παράδοξα γνωματεύσας, τελευταῖον, ἀξίως ἑαυτοῦ ὁ λαμπρὸς Ὑέτιος ἀπεφήνατο, ὅτι « φρόνιμον ποιήσομεν ἔργον, ἐὰν (τὴν Ἀββακούμειον) ἐπιγραφὴν κούφως καὶ μάτην ἐπινοηθεῖσαν συμπεράνωμεν ». Prudenter fecerimus, si titulum leviter et temere excogitatum inducamus ». Huet. Demonst. Evang. Pr. IV. p. 278. πρβλ. p. 255, 256.

γει περὶ ἑαυτοῦ· βλ. Ἀββακ. α, 1)· *καὶ ὅτι ὁ Δανιὴλ ἦν ἱερεὺς, υἱὸς Ἄβαλ!!* Τοῦτο γὰρ ἔλεγεν ἡ ῥαββινικὴ τερθρεία (ὅτι δὲ καὶ ὕστερον οἱ ῥαββῖνοι διετήρουν τὴν παράδοσιν τῆς τοῦ γνωστοῦ προφήτου Ἀββακοὺμ πρὸς τὸν Δανιὴλ ἐπιφανείας, φαίνεται ἔκ τινος ῥαββινικοῦ συντάγματος, περὶ οὗ λέγομεν ἐφεξῆς). Ἐντεῦθεν (ἐὰν μὴ παντάπασιν ἀπατώμεθα) προῆλθε καὶ ἡ διαίρεσις καὶ ἡ ἐπιγραφὴ καὶ ἡ ἀρχὴ τοῦ κεφαλαίου τοῦ Δανιὴλ ἔν τισιν (οὐ πᾶσιν) ἀπογράφοις (α). Τοιούτῳ κώδηκι περιτυχὼν ὁ Εὐσέβιος, καὶ μετ᾽ αὐτὸν ὁ Ἀπολλινάριος, καὶ λαβόντες ἀφορμὴν ἐκ ταύτης τῆς ψευδοῦς ἐπιγραφῆς τῶν *ἐπὶ τῷ τέλει* τοῦ Δανιὴλ γεγραμμένων περικοπῶν, ἀπεδίδουν εἰς τὸν αὐτὸν Ἀββακοὺμ καὶ αὐτὴν τὴν *ἐν ἀρχῇ* τοῦ Δανιὴλ γεγραμμένην ἱστορίαν τῆς Σωσάννης, ἀγωνιστικώτερον μᾶλλον, ἢ ἀκριβέστερον (τοῦτο γοῦν) ἀπαντῶντες πρὸς τὸν κατὰ τοῦ προφήτου Δανιὴλ ἰδίως λαβράζοντα Πορφύριον. Καὶ ταῦτα μὲν εἰκάζομεν ἐξ ὧν περὶ τοῦ Εὐσεβίου καὶ Ἀπολλιναρίου συντόμως ἔγραψεν ὁ Ἱερώνυμος (β). Εἰ δ᾽ ἐσῴζοντο καὶ καθ᾽ ἡμᾶς αὐτὰ

(α) Τὰ *δὲ ἐν τῇ Συνόψει Ἀθανασίου (πρὸς τὸ τέλος) « Ἀββακοὺμ ἀπόκρυφα » οὐ τὴν ἀνωτέρω ψευδεπίγραφον (ὡς ἂν οὖσαν τοῦ Ἀββακοὺμ) ἱστορίαν σημαίνουσιν (ὡς ὁ κλεινὸς Ὑέτιος ὑπέλαβε,* Demonst. Evang. Pr. IV. p. 256)· *ἀλλ᾽ ἕτερά τινα ψευδεπίγραφα ἀπονεμόμενα εἰς τὸν Ἀββακοὺμ, οἷα καὶ εἰς τὸν Ἡσαΐαν καὶ Ἱερεμίαν κτλ, παρὰ τῶν ἀρχαίων πλαστογράφων εἰς μάτην χαλκευθέντα (βλ.* Cotel. Patr. Apost. T. 1. p. 346).

(β) Ἰδοὺ *αἱ λέξεις αὐταὶ τοῦ Ἱερωνύμου.* « Cui (Porphyrio) et Eusebius et Apollinarius pari sententia responderunt, Susannae Belisque ac Draconis fabulas non contineri in hebraico, sed partem esse Prophetiae Habacuc, fili Jesu, de tribu Levi: sicut justa LXX interpretes in titulo ejusdem Beli fabulae ponitur ». (Proem. Com. in Dan.). Ἀλλ᾽ *ὅτι μὲν* Εὐσέβιος *καὶ Ἀπολλινάριος ἔλεγον, ὡς οὐ περιέχονται ἐν τῷ ἑβραϊκῷ ἡ τῆς Σωσάννης καὶ αἱ ἄλλαι δύω περικοπαὶ (καθὼς ἔλεγε καὶ Ὠριγένης), τοῦτο βέβαιον καὶ ἀληθέστατον. δῶμεν καὶ ὅτι οἱ αὐτοὶ ἀπεδίδουν εἰς τὸν Ἀββακοὺμ καὶ τὴν Σωσάνναν (κατὰ τὴν πρόσθετον ἐπιγραφήν).* Ἀλλ᾽ *ὅτι καὶ μύθους* (fabulas) *ὠνόμαζον οὗτοι τὰς περικοπὰς, περὶ τούτου (καὶ ἐξαιτούμεθα μυριάκις παρὰ τοῦ πατρὸς Ἱερωνύμου συγγνώμην) οὐ πάνυ τοι πιστεύομεν· α) διότι αὐτὸς ὁ Ἱερώνυμος ὡμολόγησεν, ὅτι μύθους ὠνόμασε τὰς περικοπὰς οὐχ αὐτὸς, ἀλλ᾽ ὡς λέγουσιν αὐτὰς οἱ Ἰουδαῖοι (βλ. ὄπισθ. σελ.* 640) *Ἀπολλιναρίου δὲ καὶ Εὐσεβίου τότε οὐδόλως ἐμνημόνευσε. β) Διότι πειθόμεθα*

τὰ κατὰ τὸν Πορφύριον βιβλία τοῦ Εὐσεβίου καὶ Ἀπολλιναρίου, ἔβλεπεν ἂν πᾶς τις ἀσφαλέστερον, ὅπως, καὶ διὰ τί, καὶ κατὰ ποίους κώδηκας ἀπένεμον οὗτοι καὶ τὴν Σωσάνναν εἰς τὸν Ἀββακοὺμ (ὅπερ οὐδεὶς ἕτερος τῶν προτέρων ἐκκλησιαστικῶν συγγραφέων ἐποίησε), καὶ τίνος ἕνεκεν οὐκ ἀπελογοῦντο πρὸς τὸν Πορφύριον ὑπὲρ τῆς Σωσάννης, ὅσα καὶ Ὠριγένης πρὸς τὸν Ἀφρικανὸν, διαλύων ἀναντιῤῥήτως τὸ περὶ τῶν ἐν αὐτῇ ἑλληνικῶν παρωνυμιῶν, ὧν καὶ ὁ Πορφύριος ἐπεδράσσετο. Πρὸς τοιούτους κώδηκας ἀφορῶν καὶ ὁ γραφεὺς τοῦ, *Δανιὴλ κατὰ τοὺς* Ο, ἐπιγεγραμμένου Κισιανοῦ ἀπογράφου ἔλαβε τὴν Ἀββακούμειον ἐπιγραφὴν, καὶ τὴν ἀρχὴν τοῦ περὶ τοῦ Βὴλ καὶ δράκοντος κεφαλαίου· τὴν δὲ τάξιν τῶν κεφαλαίων ἐποιήσατο κατὰ τὴν Ἱερωνύμου Βουλγάταν. Ὅτι δὲ καὶ ἄλλως τοῦτο τὸ τεῦχος τοῦ Δανιὴλ οὐ φέρει τὸν φραστικὸν χαρακτῆρα τῶν Ο, προείπομεν (Βιβλ. Β. κεφ. Ι. σελ. 633). Τούτου δεῖγμα προστεθείσθω καὶ ἡ, περὶ ἧς ὁ λόγος, Ἀββακούμειος ἐπιγραφή. Πρὸς τοῦτον δὲ τὸν Κισιανὸν κώδηκα ἡρμήνευται, ἢ παρομοιάζει πολὺ, καὶ ἡ (μετὰ τὸν Ἱερώνυμον πάντως) ἑρμηνευθεῖσα Συριακὴ μετάφρασις τοῦ Δανιὴλ, ἣν ἐξέδωκεν ὁ Βουγάτος (α)· ἔχει γὰρ καὶ αὕτη τὴν Ἀββακοὺμ ἐπιγραφὴν, ἣν αἱ πρὸ αὐτῆς Συριακαὶ ἑρμηνεῖαι οὐκ ἔχουσι. Καὶ ταῦτα μὲν τοιαῦτα.

§. ιζ. Τὴν δὲ τοῦ *Βὴλ καὶ δράκοντος* περικοπὴν ὡς γνησίαν τοῦ Δανιὴλ συγγραφὴν μαρτυροῦσι.

α) Ἡ παρὰ πάσῃ τῇ Συναγωγῇ τῶν ἑλληνιστῶν Ἰουδαίων πρὸ Χριστοῦ Σωτῆρος χρῆσις τῆς ἑρμηνείας τῶν Ο, ἐν ᾗ ἐγέγραπτο

μᾶλλον οἷς αὐτὸς Εὐσέβιος ἔγραψεν ἀλλαχοῦ, τὴν Σωσάνναν ὡς θείαν μνημονεύσας γραφήν (βλ. ὄπισθ. §. ς). Ἀλλ' ἴσως ὁ μακάριος Ἱερώνυμος αὐτὸς ἐξ ἑαυτοῦ προσέθηκε τὴν λέξιν (κατὰ τὴν ἰδίαν, ἢ τὴν Ἰουδαίων δόξαν), συνοπτικῶς καὶ μόνον κατὰ νόημα, ἀλλ' οὐ κατὰ πόδα καὶ ἐπὶ λέξεως ἀναφέρων τοὺς λόγους τοῦ Εὐσεβίου καὶ Ἀπολλιναρίου.

(α) Ἰδοὺ τί λέγει περὶ αὐτῆς αὐτὸς ὁ Βουγάτος· « Solos LXX viros, adque adeo lectiones Codicis Chisiani p r e s s e s e q u i t u r, si pauca excipias » (Daniel, secundum Editionem LXX Jnterpr. ex Tetraplis desumptam, p. 166). Βλ. καὶ τὴν ὑπὸ τοῦ σοφοῦ Ἄννου (Hahn) ἔκδοσιν τοῦ, Δανιὴλ κατὰ τοὺς Ο, Κισιανοῦ κώδηκος· praefat. p. VI. seq. Lipsiae, 1845.

καὶ αὕτη ἡ περικοπὴ (ὡς εἴπομεν καὶ περὶ τῆς Σωσάννης). β) Ὁ Θεοδοτίων. γ) Βιβλίον παλαιὸν ῥαββινικὸν χαλδαϊστὶ συγγεγραμμένον (κατὰ τὸν ζ, ἢ μᾶλλον τὸν ς, αἰῶνα μετὰ Χριστὸν) τὸ ἐπιγραφόμενον *Βερεσσὶθ ῥαββὰ*, ὅπερ ἔχει μέγα μέρος τῆς περικοπῆς (στίχ. 28–42). Ἐν δὲ τούτῳ δῆλος γίνεται τρανῶς ὁ συγγραφεὺς, ὅτι οὔτ' ἐκ τῆς τῶν Ο, οὔτ' ἐκ τῆς Θεοδοτίωνος μετέφρασεν ἑρμηνείας. Καὶ φαίνεται λοιπὸν λίαν πιθανὸν, ὅτι μέχρι καὶ αὐτοῦ ἐσῴζετο ἔν τισι κρύπτραις τῶν Ῥαββίνων ἑβραϊκὸν ἀπόσπασμα χειρογράφου, παρομοίου μὲν τῷ τῶν Ο, καὶ τῷ τοῦ Θεοδοτίωνος, ἀναμίκτου δὲ ὅμως καὶ μετά τινων ῥαββινικῶν τερθρειῶν (α). δ) Ἡ τοῦ Ἱερωνύμου Βουλγάτα μετὰ τῆς Ἰτάλας (ἐξ ἧς ὁ Τερτυλλιανὸς καὶ Κυπριανὸς ἐκφέρουσι τὰς ῥήσεις τοῦ Δανιὴλ), ἡ Συριακὴ, ἡ Ἀραβικὴ, ἡ Αἰθιοπικὴ καὶ αἱ λοιπαὶ ἑρμηνεῖαι. ε) Κλήμης ὁ Στρωματεύς (β). ς) Ὁ Ὠριγένης. ζ) Ὁ Τερτυλλιανὸς (κατὰ Εἰδωλολατρ. κ. 18). η) Εἰρηναῖος, καὶ Κυπριανὸς οἱ ἱερομάρτυρες. θ) Ὁ Εὐσέβιος (Χρονικ.). ι) Ὁ Μ. Βασίλειος (βλ. τὴν μαρτυρίαν ἐν τοῖς προηγουμένοις §. ιδ σημ.). ια) Ὁ Χρυσόστομος. ιβ) Ὁ Ἀθανάσιος (ἐν Συνόψει). ιγ) Ὁ Θεοδώρητος (εἰς Ἱερεμ. να, 42), καὶ (ἵνα μὴ

(α) Βλ. Welte l. c. p. 257.

(β) « Προφητεύουσι δὲ καὶ ἐπὶ Σεδεκίου ἔτι Ἱερεμίας καὶ Ἀμβακούμ· ἔπειτα Δανιὴλ . . . Καὶ διὰ [τὸν] δράκοντα Δανιὴλ εἰς λάκκον λεόντων βληθεὶς, ὑπὸ Ἀμβακοὺμ προνοίᾳ Θεοῦ τραφεὶς, ἑβδομαῖος ἀνασῴζεται » (Στρωμ. α. σελ. 142)· Ὁ αὐτὸς λοιπὸν προφήτης Ἀββακοὺμ, ὅστις συνέγραψε τὸ τεῦχος τῶν ἑαυτοῦ προφητειῶν, ὑπηρέτησε καὶ εἰς τὴν διατροφὴν τοῦ Δανιὴλ (πρεσβύτερος νεωτέρου) κατὰ τὸν ἱερὸν Κλήμεντα, καὶ τὸν Μ. Βασίλειον, καὶ πάντας τοὺς Πατέρας τῆς Ἐκκλησίας. Ὁ δὲ σοφὸς Ὑέτιος (Demonst. Evang.) καὶ ἄλλοι μετ' αὐτὸν, ἕτερον ὑπέλαβον τὸν ὑπηρετήσαντα τῷ Δανιὴλ προφήτην Ἀββακοὺμ, διάφορον τοῦ γράψαντος τὰς προφητείας, ὡς τούτου δῆθεν πολλῷ τοῖς χρόνοις ὄντος προγενεστέρου· καὶ οἱ μὲν εἰς τοὺς Ἐζεκίου χρόνους ἀνάγουσι τὸν προφήτην, ἀπιθανώτατα λέγοντες· οἱ δὲ κατάγουσι καὶ εἰς τοὺς Ἰωσίου χρόνους, ἢ τοῦ Μανασσῆ, ἢ καὶ τοῦ Ἰωακεὶμ (ἐφ' οὗ καὶ Δανιὴλ ἔτι νέος μετὰ τῶν τριῶν παίδων ἀπήχθη εἰς Βαβυλῶνα). Καὶ κατὰ τούτους τοίνυν τοὺς νεωτέρους, ὁ προφήτης Ἀββακοὺμ ἤκμασε σύνεγγυς τῶν χρόνων τῆς μετοικεσίας, πρὸς ὃ συμφωνοῦσι καὶ οἱ Πατέρες. βλ. Demagistr. l. c. p. 88— Schulz, Prolegom. in Chabac. Τὴν δὲ κρίσιν τοῦ Ἱερωνύμου παρατιθέμεθα μετ' ὀλίγον.

τοὺς πάντας ἀπαριθμῶμεν), ιδ) Αὐτὸς ὁ Ἱερώνυμος (α). Ταῦτα περὶ τῶν τοῦ Δανιὴλ περικοπῶν.

§. ιη. Συμπεραίνομεν δὲ τὰ περὶ τούτων, ἐπιφέροντες τὴν μαρτυρίαν τοῦ περικλεοῦς Ὑετίου. Οὗτος γὰρ ἐξετάζων τὴν αἰτίαν, δι' ἣν ἐν τῷ τοῦ Δανιὴλ ἑβραϊκῷ κειμένῳ ἀπαντῶσι καὶ πολλὰ τῆς χαλδαϊκῆς ἀνάμικτα γλώσσης, ἐπιφέρει· ὅτι μετὰ τοσαύτας ὑπερορίας, καὶ πυρκαϊὰς, καὶ κατερειπώσεις, ἃς ὑπέστη τὸ ἔθνος τῶν Ἰουδαίων, διετηρήθη μὲν παρὰ τοῖς ἑλληνισταῖς καὶ τοῖς Ἀλεξανδρινοῖς Ἰουδαίοις ἡ ἑλληνικὴ (κατὰ τοὺς Ο) μετάφρασις τῶν περὶ ὧν ὁ λόγος περικοπῶν τοῦ Δανιὴλ (τῆς τε Σωσάννης καὶ τῆς τοῦ Βὴλ καὶ δράκοντος ἱστορίας, καὶ τῆς τῶν τριῶν Παίδων αἰνέσεως), αὐτὰ δὲ τὰ πρωτόγονα τούτων ἀρχέτυπα ἐξέπεσον ἐκ τοῦ ἑβραϊκοῦ τεύχους τοῦ Δανιήλ· καὶ εἴπου τινὰ τῶν ἀντιγράφων ἐσῴζοντο, καὶ ταῦτα χρόνῳ παραμεληθέντα, παντελῶς ἀπώλοντο, ἢ καὶ ὑπ' αὐτῶν τῶν ἰουδαίων ἐπίτηδες ἐξηλείφθησαν, ὡς ἡ Σωσάννα· τοῦτο δὲ καὶ λίαν εὐφυῶς Ὠριγένης ἐσημείωσε (β). Συνέβαλε δὲ ἴσως πρὸς εὐκολωτέραν ἔκπτωσιν, ἢ μᾶλλον ἐξαίρεσιν τῶν περικοπῶν καὶ αὐτὴ αὐτῶν ἡ τοποθεσία· ὡς τῆς μὲν Σωσάννης ἐν ἀρχῇ τοῦ τεύχους κειμένης (ἅτε πρώτης πράξεως ἔτι νέου τοῦ Δανιὴλ), καὶ μηδὲν δοκούσης ἐκ τῆς ἐλλείψεως παραβλάπτειν τὸ νόημα

(α) Ἰδοὺ τί γράφει ἐν τῷ εἰς τὸν Ἀββακοὺμ προλόγῳ· «Et ut scias eo tempore fuisse Habacuc, quo jam duae tribus, quae vocabantur Judas, ductae erant in captivitatem, D a n i e l t e d o c e r e p o t e r i t, ad quem in lacum leonum Habacuc cum prandio mittitur, quanquam apud Hebraeos haec ipsa non legatur Historia. Igitur sive quis recipit s c r i p t u r a m i l l a m, sive non recipit, utrumque pro nobis est. Aut enim recipit et jam post factam rem (h. e. captivitatem) liber Habacuc texitur, aut non recipit, et quasi propheta scribit quae ventura cogroscit» (S. Hieron. T. III. p. 339). Οὕτως ὁ φερώνυμος Ἱερώνυμος ἐνταῦθα α) τὴν τοῦ Δράκοντος περικοπὴν (ἐν ᾗ μνημονεύεται ὁ Ἀββακοὺμ) ῥητῶς ὀνομάζει τ ο ῦ Δ α ν ι ή λ. β) Τῆς δὲ τοῦ Ἀββακοὺμ ἐπιγραφῆς οὐδόλως μνημονεύει, ὡς ἂν καὶ εἰ μηδόλως ὑπῆρχε. γ) Ἀναφέρων δὲ καὶ ὅτι οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ, καὶ ὅτι εἰσὶν οἱ ἀντιλογοῦντες, οὐκέτι μ ῦ θ ο ν (fabulam) ἀποκαλεῖ τὴν περικοπὴν, ἀλλὰ γ ρ α φ ὴ ν, ἢ σ υ γ γ ρ α φὴν (scripturam). Οὕτως ὁ μακάριος διωρθώσατο τὰ ἀλλαχοῦ τηνάλλως εἰρημένα.

(β) Huet. Demonst. Evangel. Prop. IV. c. 14. §. 7. pag. 257.

τοῦ πρώτου καὶ τῶν ἐφεξῆς κεφαλαίων· τῶν δὲ τοῦ Βὴλ καὶ Δράκοντος ἱστοριῶν ἐν τῷ τέλει κειμένων τοῦ τεύχους τοῦ Δανιὴλ, καὶ μηδόλως πρὸς τὰ προηγούμενα συμπεπλεγμένων. Μόνη δὲ τῆς τῶν τριῶν Παίδων ᾠδῆς ἡ διάπτωσις, ἐκ μέσου τοῦ γ, κεφαλαίου διαῤῥυείσης, δεικνύει τὸ χάσμα τοῦ ἑβραϊκοῦ κειμένου, καθὼς προείπομεν.

§. ιθ. Ε) Προφητεία Βαρούχ.

Ἐξεῤῥύη τοῦ ἑβραίου κώδηκος καὶ ἡ πλήρης ἐξομολογήσεως καὶ προφητικῶν καὶ θεοπρεπεστάτων ἐννοιῶν συγγραφὴ τοῦ Βαρούχ. Παλαιὰ δὲ καὶ ταύτης ἡ διάπτωσις, καὶ ἴσως μετὰ τὸν Ὠριγένην (ὡς ἐροῦμεν ἐφεξῆς). Ὅθεν οὐδ᾽ Ἱερώνυμος ἐν τῇ κατ᾽ αὐτὸν Βουλγάτᾳ μεθηρμήνευσε τὴν τοῦ Βαροὺχ προφητείαν, ὡς μηκέτι τότε κειμένην ἐν τῷ κατ᾽ αὐτὸν ἑβραϊκῷ (α). Εἶχε δὲ ὅμως αὐτὴν ἡ ἀρχαία Ἰτάλα, ἣν ἐξ ἀρχῆς ἀνεγίνωσκεν ἡ Δυτικὴ Ἐκκλησία (β).

§. κ. Ἀνθίστανται δὲ καὶ πρὸς τὸ γνήσιον τοῦ θείου τούτου βιβλίου οἱ τοῦ Μασοραίου κώδηκος ἀντιλήπτορες, καὶ ἄλλοι δὲ τῶν φιλοκαίνων κριτικῶν, προβάλλοντες τὰς ἑξῆς ἀντιῤῥήσεις.

α) Ὅτι τὸ βιβλίον τοῦ Βαροὺχ συνεγράφη ἑλληνιστὶ ὑπό τινος Ἑβραίου ἑλληνιστοῦ. Ταύτην τὴν ἐπίνοιαν, Γροτίου πρώτου κατάρξαντος, καὶ Καπελλίου συμφωνήσαντος, ἐπανέλαβον καὶ ἄλλοι τῶν νεωτέρων, ἐν οἷς μετὰ τοῦ Βερθόλδου καὶ Εἰχόρνιος (γ), διατεινόμενος, ὅτι οἱ ἐν αὐτῷ ἑβραϊσμοὶ οὐκ εἰσὶν ἀπόδειξις τῆς ἐν τῷ ἑβραϊκῷ πρωτοτύπῳ συγγραφῆς (ὡς τῶν ἑλληνιστῶν Ἰουδαίων πολλάκις ἑβραϊζόντων). Ἀληθὲς (ἀπαντῶμεν), ὅτι μόνοι οἱ ἑβραϊσμοὶ οὐκ ἀρκοῦσιν ἀποδεῖξαι τὸ τούτους φέρον βιβλίον, ὅτι μεθηρμήνευται πάντως ἐξ ἑβραϊκοῦ πρωτοτύπου (καθὰ καὶ ἐπὶ

(α) « Librum Baruch, notarij ejus (Hieremiae), qui apud Hebraeos nec legitur nec habetur, praetermisimus » (Hieron. Praef. in Hierem.).

(β) Βλ. Sabatier, Bibliorum Sacror. Latinae versiones antiquae II. 735.

(γ) Eichhorn, Einleit. in die apockr. Bücher etc. p. 388. — Bertholdt, Einleit. 4. Bd. p. 1757.

παντὸς ἄλλου συγγράμματος πάσης ἄλλης γλώσσης ὁ ἰδιωτισμός). Ἀλλ' οὐχ ἧττον ἀληθές ἐστι, καὶ ὅτι οἱ ἑβραϊσμοὶ οὗτοι, ὅταν ἀπαντῶσι συχνάκις, καὶ κατά τινα τρόπον μεταφράσει προσιδιάζοντα, δύνανται λαμπρῶς ἀποδεῖξαι τὸ βιβλίον ἐξ ἑβραϊκοῦ μεθερμηνευθέν. Καὶ τοιοῦτοι ἑβραϊσμοὶ συχνότατα συναντῶσιν ἐν τῷ τεύχει τοῦ Βαροὺχ, τό, τε ἑβραΐζον τῆς γλώσσης ἰδίωμα καὶ τὴν τοῦ λόγου σύνθεσιν, οὕτως εἰπεῖν, δακτυλοδεικτοῦντες, οἷον· « Λαλεῖν *ἐν ὠσί τινος* » (α, 3) « Λαλεῖν *ἐν χειρί τινος* » (β, 20) « *Ὡς ἡ ἡμέρα αὕτη* » (α, 15), καὶ ἄλλα πάμπολλα· καὶ αὐτὴ δὲ τοῦ βιβλίου ἡ ἀρχὴ, ἀρχομένου ἐκ τοῦ συνδέσμου *Καὶ* (α). Καὶ καθόλου πᾶς τις κρίνων ἀπαθῶς, βλέπει καὶ ἐν τῷ Βαροὺχ ἀκέραιον καὶ εὐκρινῆ τὸν χαρακτῆρα τῆς διαλέκτου τῶν Ο ἑρμηνευτῶν πάσης τῆς θείας Γραφῆς. Ὅσα δὲ συγγράμματα κατὰ τοὺς κάτω χρόνους ἑλληνιστὶ συνεγράφησαν ὑπὸ Ἰουδαίων ἑλληνιστῶν, οὕτως ἀπέχουσιν ἀπὸ τοῦ ἀρχαϊκοῦ καὶ ἑβραΐζοντος χαρακτῆρος τοῦ

(α) Βλ. τὸν κλεινὸν Βέλτην πολλοὺς καὶ ἄλλους ἑβραϊσμοὺς σημειοῦντα (Welte l. c. pag. 136 seqq.). Ἐν δὲ τούτοις προστίθησι καὶ τὸ ἑβρ. μάννα, τὸ αὐτὸ καὶ μαναὰ (ἑβρ. minha, ὡς τὰ νῦν προφέρουσι), τουτέστι προσφορὰν, θυσίαν, λοιβὴν (Σουΐδ.)· « τὸ γὰρ μάννα θυσίαν οἱ Ἑβραῖοι καλοῦσι » (Θεοδώρ. εἰς Βαροὺχ αὐτόθ. ὅπου ἴσως γραπτ. « μάννα γὰρ τὴν θυσίαν » κτλ). Κατέλιπον δὲ τὴν ἑβραίαν λέξιν οἱ Ο, καθὸ συνήθη τοῖς κατ' αὐτοὺς ἑλληνίζουσιν ἑβραίοις. Οὕτω καὶ ἐν Δανιὴλ β, 46: Ἱερεμ. μη, (ἑβρ. με) 5: Δ. Βασιλ. η, 9, καὶ ἀλλαχοῦ· (ἡ δὲ παρὰ Δρουσίῳ διόρθωσις τοῦ μάννα εἰς τὸ μαναὰ, περιττή· ἀμφοτέροςς γὰρ τοῖς τύποις ἐχρῶντο· manna γράφει καὶ ἡ Βουλγ. ἐν Δανιὴλ β, 48 βλ. καὶ Schleusn. Thes. V. Test. v. μάννα). Ὁ Βέλτης ἐσημείωσεν ὡς ἕνα τῶν ἑβραϊσμῶν καὶ τὸ « Ψυχὴ ἡ λυπουμένη ἐπὶ τὸ μέγεθος, ὃ βαδίζει κύπτον καὶ ἀσθενοῦν » (β, 18). Ἀλλὰ τοῦτο συμπίπτει καὶ πρὸς τὴν καθ' Ἕλληνας ἐναλλαγὴν καὶ μετάληψιν πρὸς τὸ σημαινόμενον· καὶ τὸ « ὃ βαδίζει κύπτον » ἀναφέρεται πρὸς τὸ πνεῦμα, ὃ καὶ προσέθηκεν ὁ ἱερὸς Θεοδώρητος (ἑρμην. αὐτόθ.), κατὰ τὸ, « Νεφέλη, τὸ μὲν οὔποτ' ἐρωεῖ » (τουτ. τὸ νέφος, Ὀδυσ. μ, 74), καὶ τὸ Θουκυδίδειον (β, 47) « ἡ νόσος.. λεγόμενον » (τουτ. τὸ πάθος, τὸ νόσημα, ἢ τὸ πρᾶγμα. Σουΐδ. λ. νόσος). Οὐδὲν δὲ θαυμαστὸν εἰ καὶ οἱ Ο, ἀνέγνων τὸν Θουκυδίδην· Ὁ δὲ Βαδούελλος (Baduell. Annot. in h. l.) οὐκ ὀρθῶς ἀνέφερεν τὸ οὐδέτερον ἄρθρον εἰς τὸ μέγεθος, ὅπερ καὶ ἀκαταλλήλως ἐξέλαβεν ἀντὶ τοῦ ἀναστήματος τοῦ σώματος, ἐν ᾧ σαφῶς ἀνάγεται εἰς τὸ λυπουμένη, ἀντὶ τοῦ ἐπὶ μέγα, ἢ τὰ μέγιστα.

Βαρούχ· ὥστε δικαίως ἄν τις θαυμάσαι τὴν τόλμην τῶν σοφῶν, ὅσοι νοθίζοντες τὸ βιβλίον τοῦ Βαροὺχ, ἀπονέμουσιν αὐτῷ γενέθλην ἑλληνικήν. Κἀκεῖνο δ' ἄν τις περὶ τούτων εὐλόγως διαπορήσαι καθ' ἑαυτόν· εἰ, τυχὸν, ἐξέπιπτεν ἐκ τοῦ ἑβραϊκοῦ κώδηκος καὶ ἄλλο τι βιβλίον προφητικὸν (οἷον Ἡσαΐου, ἢ Ἱερεμίου, ἢ ἄλλου τινός), ἐσῴζετο δὲ τοῦτο παρὰ μόνοις τοῖς Ο, αὐτοὶ δὲ πάλιν ἔκρινον περὶ τῶν ἐν αὐτῷ ἑβραϊσμῶν οἷα καὶ περὶ τοῦ Βαρούχ· ἆρά γε δικαίως ἂν καὶ τότε καὶ ἀξιοπίστως κατεῖχον τὸν ἐφ' οὗ τὰ θέσφατα μαντεύονται τρίποδα τῆς κριτικῆς;

β) Ἄλλον θέλουσι τὸν παρὰ τῷ θείῳ Ἱερεμίᾳ γραμματεύσαντα καὶ συμβιωτὴν Βαροὺχ, Νηρίου *υἱὸν*, καὶ ἄλλον τὸν συγγραφέα τοῦ τεύχους «Βαροὺχ, *υἱὸν* Νηρίου, υἱοῦ Μαασσαίου, υἱοῦ Σεδεκίου» κτλ. ὡς αὐτὸς ὁ συγγραφεὺς ἐπιγράφεται ἐν τῇ τῆς προφητείας ἀρχῇ (α, 1). Καὶ *Βαροὺχ* μὲν ἕτερον ὡρισμένως Νηρίου *υἱὸν*, οὐκ ἔχουσιν οὐδαμόθεν οὐδαμῇ οὐδαμῶς ἀποδεῖξαι (α). Ἐπιφέρουσι δὲ ὅμως λόγους δύω, καὶ σαθρούς· α) Ὅτι ὁ τοῦ τεύχους συγγραφεὺς, καί τοι μακρὰν ἐκτιθέμενος τὴν καθ' ἑαυτὸν γενεαλογίαν, οὐ μνημονεύει καὶ τῆς πρὸς τὸν Ἱερεμίαν γνωριμίας, πράγματος ἀξιομνημονεύτου· καὶ β) Ὅτι ὁ μὲν Ἱερεμίου γνώριμος Βαροὺχ μετὰ τὴν Ἱεροσολύμων καταστροφὴν μετῴκισεν εἰς Αἴγυπτον (Ἱερεμ. ν, 6)· ὁ δὲ τῆς βίβλου συγγραφεὺς, πέμπτῳ ἤδη ἔτει μετὰ τὴν Ἱεροσολύμων καταστροφὴν, διέτριβεν ἐν Βαβυλῶνι (Βαρ. α, 2). — Πάντως (ἀπαντῶμεν μετὰ τοῦ ἱεροῦ Θεοδωρήτου, ἑρμην. εἰς Βαροὺχ α), πάντως συναπῆρεν ὁ Βαροὺχ μετὰ τῶν εἰς Αἴγυπτον πεφευγότων Ἰουδαίων, καὶ μετ' αὐτοῦ τοῦ Ἱερεμίου· τούτου δὲ τελευτήσαντος, ἀπῆρεν εἰς Βαβυλῶνα, τοὺς ἀσθενεῖς πρὸς τὴν ἀλήθειαν ποδηγετῶν· κἀκεῖ συνέγραψε τὴν προφητείαν, οὐ πενταετίαν ὁλό-

---

(α) Ταύτας τὰς ἀμφιβολίας πολὺ πρότερον ὑπὸ τοῦ Καπελλίου κινηθείσας, καὶ ὑπὸ τοῦ Οὐβιγάντου προρρίζους ἀνατραπείσας (Houbig. Not. Crit. Prolegom. pag. 295), ἀνεκαίνισε πάλιν ὁ φιλόκαινος Ἰάννης (Jahn, Einleit. T. 2. p. 860), καὶ αὐτὸς ὁ τὸν Ἰάννην ἐν πολλοῖς σωφρονέστερον ἀναδείξας Ἀχερμᾶννος (Introd. pag. 324), καί τοι ἄλλως μετριάζων οὗτος, καὶ μάλα πεφυλαγμένως.

κληρον ἐκεῖ διατρίβων (οὐ γὰρ τοῦτο λέγει ὁ Βαροὺχ), ἀλλὰ *τῷ πέμπτῳ ἔτει* μετὰ τὴν Ἱεροσολύμων ἅλωσιν. Ὅτι δὲ καὶ τὴν Ἱερεμίου γνωριμίαν οὐκ ἐμνημόνευσεν ὁ θεῖος Βαροὺχ ἀρχόμενος τῆς συγγραφῆς, τοῦτο καὶ λίαν παράδοξον οἱ ἄνδρες προτείνουσι, καινά τινα καὶ πρόσφατα περὶ τῶν ἐθίμων τῆς ἱερᾶς ἀρχαιότητος οὕτως ὀψέ ποτε καὶ βραδέως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων αὐτοὶ θεσμοθετοῦντες. Τίς καὶ ἄλλος τῶν προφητῶν, ὅσοι τοῦ γένους αὐτῶν ἐμνημόνευσαν ἀρχόμενοι τῶν συγγραφῶν, ἐπισυνεῖρε καὶ τὰ ὀνόματα τῶν φίλων καὶ γνωρίμων, ἢ καὶ ἄλλων, παρὰ τὸν πατέρα, ἢ καὶ τοὺς προπάτορας, συγγενῶν; (α). Ὅσοι δὲ μετριοφρόνως ἀρκοῦνται εἰς τὸν *κοινὸν νοῦν*, μὴ ἐξικνούμενοι τοῦ ὕψους τῆς αἰπυμήτιδος κριτικῆς, πιστεύουσι βεβαίως, ὅτι ὁ τοῦ τεύχους συγγραφεὺς ***Βαροὺχ***, *ὁ τοῦ **Νηρίου**, τοῦ **Μαασαίου***, ὁ αὐτός ἐστι καὶ ὁ ***Βαροὺχ** υἱὸς **Νηρίου**, υἱοῦ **Μαασαίου***, ᾧ ἔδωκεν Ἱερεμίας *τὰ βιβλία* τῆς κτήσεως τοῦ ἀγροῦ (Ἱερεμ. λθ, (ἑβρ. λϐ) 12), καὶ πρὸς ὃν ἐλάλησε Κύριος ὁ θεὸς διὰ τοῦ Ἱερεμίου (να, (ἑβρ. με) 2), καὶ ὃς εἶχεν ἀδελφὸν ἴσως τὸν Σαραίαν υἱὸν Νηρίου, υἱοῦ Μαασαίου, κομιστὴν τῆς πρὸς τοὺς ἐν Βαβυλῶνι Ἰουδαίους ἐπιστολῆς τοῦ Ἱερεμίου (Ἱερεμ. κη (ἑβρ. να) 59), καὶ ὃς παρέμεινε μετὰ τοῦ Ἱερεμίου μῆνας ὀλίγους καὶ μετὰ τὴν καταστροφὴν τῆς Ἱερουσαλὴμ ἐν τῇ Παλαιστίνῃ (Ἱερεμ. ν, (ἑβρ. μγ) 3), καὶ ὅστις, τέλος (αὐτόθ. στίχ. 7) μετὰ τοῦ αὐτοῦ Ἱερεμίου ἀπήχθη εἰς Αἴγυπτον· ἐκεῖθεν δὲ μετῴκησεν εἰς τὴν Βαβυλῶνα· αὐτὸς ἐκεῖνος «ὁ Βαροὺχ, ὁ μαθητὴς Ἱερεμίου, Νηρίου δὲ παῖς, ἐξ ἐπισήμου σφόδρα οἰκίας

(α) Οἷον· «Ὅρασις, ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς» (Ἡσ. α, β). Καὶ, Τὸ ῥῆμα τοῦ Θεοῦ, ὃ ἐγένετο ἐπὶ Ἱερεμίαν τὸν τοῦ Χελκίου, ἐκ τῶν ἱερέων, ὃς κατῴκει ἐν Ἀναθὼθ» (Ἱερεμ. α). πρβλ. καὶ Ἰεζεκ. α, Ἰωὴλ, α. κτλ. Καὶ πάλιν (μετὰ τῶν προγόνων)· «Σοφονίαν τὸν τοῦ Χουσὶ, υἱοῦ Γοδολίου, τοῦ Ἀμορίου, τοῦ Ἐζεκίου» (Σοφ. α, 1)· ὡσαύτως ἔγραψε καὶ ὁ Βαρούχ. Ἔστι δ' ὅτε καὶ μόνον ἐκ τοῦ προφητικοῦ ἐπαγγέλματος ὀνομάζονται· οἷον, «Ἀγγαίου τοῦ προφήτου»· (Ἀγγ. α, 1). «Ἀϐϐακοὺμ» κτλ. ἢ καὶ ἀπὸ μόνης τῆς πατρίδος· οἷον, «Ναοὺμ τοῦ Ἐλκεσαίου» (α, 1). «Ἀμὼς» κτλ. [Οὕτως εἰώθεισαν ἐνίοτε καὶ οἱ Ἕλληνες συγγραφεῖς. οἷον· «Ἡροδότου Ἀλικαρνασσῆος». «Θουκυδίδης ὁ Ἀθηναῖος». «Ὤκελος ὁ Λευκανὸς» κτλ.]

γενόμενος, τῇ πατρῴᾳ γλώττῃ διαφερόντως πεπαιδευμένος» (Ἰώσηπ. Ἀρχ. I. θ, §. 1). Καὶ δικαίως λοιπὸν ἔλεγε πρὸ πολλοῦ ὁ σοφὸς Ὑέτιος, ὅτι οἱ τὸν τοῦ βιβλίου συγγραφέα Βαροὺχ ἀπὸ τοῦ παρ' Ἱερεμίᾳ γραμματεύσαντος διακρίνοντες, ἐξαίσιον ὅσον ἐν φωτὶ προσκόπτουσι (α).

γ) Καὶ ἄλλας δέ τινας οὐ πάνυ τι καλλίονας, εἰ μή που καὶ πολὺ χείρονας τῶν εἰρημένων κατηγορίας ἀναφυσῶσιν οἱ κριτικοὶ κατὰ τῆς γνησιότητος τοῦ Βαρούχ. 1) Ὁ Βερθόλδυς μετ' ἄλλων ἐνόμισεν, ὅτι εὗρηκε τὸ κείμενον ἐκ διαφόρων τεμαχίων τῆς Γραφῆς ἑλληνιστὶ συγκεκατυμμένον, καὶ τοῦ Νεεμίου νεώτερον. *Κέντρων διηνεκὴς* (cento perpetuus) ἔδοξε τοῦτο καὶ τῷ σοφῷ Καπελλίῳ. Ἀλλ' οὕτως οἱ ἄνδρες ἠδύναντο καὶ ἐξ ἄλλων βιβλίων (οἷον τοῦ Δανιὴλ, τοῦ Ἱερεμίου, τοῦ Ἔσδρα, κτλ.) τοιούτους κέντρωνας ἐπ' ἀδείας συῤῥάπτειν· οὐκ ἂν δ' ἡμάρτανον εἰς τοσοῦτον, εἴ γε τῆς Ὠριγένους ἐμέμνηντο συμβουλῆς· « Ὅτι καὶ προφῆται προφητῶν συγχρῶνται λόγοις, σχεδὸν αὐταῖς λέξεσι » (ἐπιστολ. π. Ἀφρικαν. §. ιε)· λέγομεν δὲ ὅμως καὶ περὶ τούτου ἐφεξῆς.— 2) Σωρὸν εὑρίσκουσιν ἀντιφάσεων καὶ σφαλμάτων ἱστορικῶν καὶ γεωγραφικῶν· « Πῶς (λέγουσι) μετὰ πέντε ἔτη ἀπὸ τῆς καταστροφῆς τοῦ ναοῦ καὶ τῆς Ἱερουσαλὴμ (Βαροὺχ α, 2) οἱ ἐν Βαβυλῶνι ἐξόριστοι ἔπεμπον θυσίας καὶ προσφορὰς εἰς *τὸν ναὸν κυρίου*; (α, 7). – Καθὼς καὶ ἄλλοτε (λέγει πρὸς αὐτοὺς ὁ Ἱερεμίας) παρομοίως μετὰ τὴν καταστροφὴν, « ἦλθοσαν ὀγδοήκοντα ἄνδρες ἀπὸ Συχὲμ καὶ ἀπὸ Σαλὴμ καὶ ἀπὸ Σαμαρείας, καὶ *μάννα καὶ λίβανον* ἐν χερσὶν αὐτῶν, τοῦ εἰσενεγκεῖν εἰς *οἶκον κυρίου* » (β). Ἔνθα σημειωτέον,

---

(α) « Qui vero Baruchum Jeremiae amannuensem à Barucho libelli hujus auctore distinguunt, egregie hallucinantur » etc. Demonst. Evang. Pr. IV. pag. 245. πρβλ. Welte l. c. pag. 137.

(β) Ἱερεμ. μη (ἑβρ. μα) 5. Οὕτως ἔχει καὶ τὸ ἑβρ., καὶ ἡ Βουλγ. κτλ. παρ' Ἰωσήπῳ δὲ (διὰ παραφθορὰν ἴσως τοῦ κατ' αὐτὸν κειμένου) ἀναγινώσκομεν, ὅτι « ἦ κ ο ν μ ε τ ὰ δ ώ ρ ω ν » (οὐκ εἰς τὸν οἶκον κυρίου, ἀλλὰ) « π ρ ὸ ς τ ὸ ν Γ ο δ ο λ ί α ν » (τὸν ὑπὸ τοῦ Ναβουχοδονόσορος καταλειφθέντα ἐπιστάτην τῆς Ἰουδαίας) « 80, ἄ ν-

ὅπως καὶ μετὰ μετὰ τὴν καταστροφὴν τὸ δάπεδον τοῦ ναοῦ (ὅπου πάντως ἵσταντο λείψανά τινα τοῦ κατερειπωθέντος ἱεροῦ, καὶ αὐτοῦ τοῦ θυσιαστηρίου) λέγεται πάλιν *οἶκος κυρίου*, καὶ *οἶκος θεοῦ*. Τοῦτο δὲ καὶ ἄλλα χωρία τῆς Γραφῆς μαρτυροῦσι (Ἔσδρ. α, 5: β, 68) (α). Τοῦτον τὸν *οἶκον κυρίου*, καὶ *τοῦτο τὸ θυσιαστήριον* ἐσεβάζοντο καὶ « οἱ καταλειφθέντες ἀπὸ τῆς αἰχμαλωσίας ἐν τῇ χώρᾳ » (Νεεμ. α, 3) πτωχοί τινες Ἰουδαῖοι (ὡς οἱ *γεωργοὶ* καὶ *ἀμπελουργοί*, οὓς κατέλιπε Ναβουζαρδὰν εὐθὺς μετὰ τὴν *καταστροφήν*. Δ. Βασιλ. κε), πενιχρῶς κατοικοῦντες. Ἐν τῷ μεταξὺ τῆς πενταετίας ἐπισυνήχθησαν, ὡς εἰκὸς, καὶ ἄλλοι φιλοχωροῦντες (βλ. Δανιὴλ θ, 7). Ἐν δὲ τούτοις ἦσαν πάντως καί τινες ἱερεῖς, καὶ τούτων ἐξάρχων (ὡς δι᾽ ἀρετὴν ἐπίσημος, ἢ καὶ ἡλικίᾳ, καὶ τῇ τάξει πρωτοϊερεὺς), ὁ Ἰωακεὶμ (δι᾽ οὗ καὶ τὰ σκεύη τὰ ἀργυρᾶ ἐστάλησαν εἰς Ἱερουσαλὴμ, ὡς ἐροῦμεν εὐθύς). Πρὸς τοῦτον τοίνυν καὶ τοὺς ἄλλους, καὶ πρὸς πάντα τὸν λαὸν τοὺς εὑρεθέντας ἐν Ἱερουσαλὴμ, ἔπεμπον οἱ ἐν Βαβυλῶνι ἀργύριον, ὅπως ἀγοράσωσιν ὁλοκαυτώματα, καὶ λίβανον, καὶ ἀνοίσωσιν ἐπὶ τὸ θυσιαστήριον (Βαρ. α, 6–9). Ὥστε τοῦ παντὸς ἐσφάλησαν οἱ τὸν μὲν *οἶκον κυρίου* ἐκλαβόντες ἀντὶ σῴου καὶ ἱσταμένου τοῦ ναοῦ τῶν Ἱεροσολύμων, τὸν δὲ πάλιν Ἰωακεὶμ τὸν *ἱερέα* (ὡς ἁπλῶς ὀνομάζεται) ἀντὶ *ἀρχιερέως*, μηκέτι τότε ἐμπράκτως ὑπάρχοντος (τὸν γὰρ ἐπὶ Σεδεκίου ἔσχατον ἀρχιερέα Σαραίαν, « *τὸν ἱερέα τὸν πρῶτον* », ἐθανάτωσε κατὰ τὴν ἅλωσιν ὁ Ναβουχοδονόσορ· Δ, Βασιλ. κε, 18, 21).— 3) Ἄλλοι πάλιν ἐξέλαβον τὸ « *πέμπτον ἔτος* » (ὅτε ἔγραφε τὸ

δ ρ ε ς τ ῶ ν ἀ π ὸ τ ῆ ς χ ώ ρ α ς » (Ἀρχ. 1, θ, §. 4). Ἀλλ᾽ *ὅτι τὰ δῶρα ἔφερον οἱ ἄνδρες οὗτοι εἰς τὸν ἐρημωθέντα οἶκον κυρίου, μαρτυρεῖ τρανῶς καὶ αὐτὴ αὐτῶν ἡ ἐξωτερικὴ ἕξις καὶ στολή· « ἦλθον γὰρ (λέγει τὸ ἱερὸν κείμενον) ἐξυρημένοι πώγωνας, καὶ διεῤῥηγμένοι τὰ ἱμάτια, καὶ κοπτόμενοι* » (Ἱερεμ. *αὐτόθ.*).

(α) Καὶ *ὀρθῶς εἶπεν ὁ* Γρότιος, *ὅτι οἱ* 80 *ἄνδρες ἔφερον τὰς προσφορὰς* « in area, ubi templum fuerat »· *καὶ προστίθησιν, ὅτι (κατὰ τοὺς νόμους)* « locus in quo aedes sacrae sunt aedificatae, etiam diruto aedifiicio, saccr adhuc manet (Grot. annot. ad Jerem 41). Ὁ δὲ Münsterus *καὶ* Vatablus *τοῦτο μὴ νοήσαντες, ἠπόρησαν ἄπρακτα* (βλ. Critic. Sacros h· l.).

βιβλίον ὁ Βαροὺχ, α, 2) ἐπὶ τοῦ πέμπτου ἔτους τῆς Σεδεκίου βασιλείας (ἐβασίλευσε δὲ οὗτος ἔτη ἕνδεκα)· ὅθεν καὶ ψευδίζουσιν οἱ κριτικοὶ τὸν Βαροὺχ, « διότι (λέγουσιν) ἔπλασε μὲν *ἀρχιερέα* τὸν εἰρημένον Ἰωνάθαν, ἀντὶ τοῦ τότε ἔτι ἀρχιερατεύοντος Σαραίου, συνέχεε δὲ καὶ τὴν ἐσχάτην ἐπὶ Σεδεκίου καὶ παντελῆ καταστροφὴν τῆς Ἱερουσαλὴμ (Βαρ. α, 2) μετὰ τῆς προτέρας, τῆς ἐπὶ Ἰεχονίου, ἁλώσεως μὲν, ἀλλ᾽ οὐχὶ καὶ πυρπολήσεως καὶ καταστροφῆς αὐτῆς (α, 7)· καὶ τὰ ἐπὶ Ἰεχονίου συληθέντα ἱερὰ σκεύη τοῦ ναοῦ ἀποδίδωσιν εἰς τὸν μετὰ τὸν Ἰεχονίαν ἔσχατον βασιλεύσαντα Σεδεκίαν ».—Τοιαύτας καὶ τοσαύτας ἀντιφάσεις τοῦ Βαροὺχ ἐνόμισαν ὅτι ἀνεκάλυψαν ἄλλοι τε τῶν κριτικῶν, καὶ αὐτὸς (τίς ἂν ἤλπιζεν;) ὁ περικλεὴς Εἰχόρνιος (α). Ἐξώλισθον δὲ οἱ ἄνδρες εἰς τούτους τοὺς παραλογισμοὺς, οὐ μόνον διότι βίᾳ καὶ αὐτογνωμόνως ἐξέλαβον τὸ *πέμπτον ἔτος* ἐπὶ τῆς Σεδεκίου βασιλείας (β), ὡς ἄριστα παρετήρησεν ὁ Βέλτης (σελ. 151), ἀλλὰ καὶ διότι (καθὼς νομίζομεν) οὐ κατηκολούθησαν ἀκριβῶς τῷ νοήματι τοῦ πρώτου κεφαλαίου τοῦ Βαροὺχ, συνταράξαντες τοῦ 2, στίχου τὴν ἔννοιαν πρὸς τὴν τοῦ 9, καὶ διαῤῥήξαντες τὸν εἱρμὸν τῆς τούτου πρὸς τὸν προηγούμενον 8, στίχον συναφῆς, ὡς φαίνεται σαφῶς ἐκ τοῦ κειμένου (γ). Ἀλλ᾽ ἴσως

(α) Eichhorn, Einleit. in die apokr. Bücher etc. S. 381—385.

(β) *Τοῦτον τὸν παράδοξον ἀναχρονισμὸν ἔπαθον οὐ μόνον ὁ Γρότιος, ἀλλὰ καὶ ἄλλοι σοφοὶ, καὶ τῆς γνησιότητος τοῦ βιβλίου τοῦ Βαροὺχ ἰσχυροὶ ὑπέρμαχοι, οἷον ὅ,τε Καλμέτης, καὶ ὁ Οὐβιγάντης, κτλ. Ὁ δὲ κλεινὸς Ὑέτιος ὀρθότερον διέκρινε τὴν ἐποχὴν, κἂν ἄλλως ἐστενώθη, διαλύων τὰς ἀντιῤῥήσεις τῶν ἐναντίων. Ἐσφάλη δὲ ὅμως (ἀποδιοπομπούμενος ἴσως καὶ ὧδε τὰς ἀντιῤῥήσεις τῶν αὐτῶν κριτικῶν), ὅτι τὸ προοίμιον τῆς βίβλου τοῦ Βαροὺχ ἄλλου τινὸς ὑπέλαβε (μηδ᾽ αὐτὸς ἔχων εἰπεῖν τίνος)· αὐτοῦ δὲ τὸ σύγγραμμα τοῦ Βαροὺχ ἐνόμισεν ἀρχόμενον ἀπὸ τοῦ 16 στίχου « Κυρίῳ τῷ Θεῷ ἡμῶν » κτλ.* (Huet. Demonst. Evang. Pr. IV. p. 245). *Ὅτι δὲ καὶ τὸ προοίμιον συνήρμοσται φυσικῶς καὶ ὁμοιομόρφως πρὸς τὰ λοιπὰ, πρόδηλον ἐξ αὐτοῦ τοῦ κειμένου.*

(γ) *Ἰδοὺ αἱ λέξεις τοῦ κειμένου αὐταί (στίχ. 1, 2) « Καὶ οὗτοι οἱ λόγοι τοῦ βιβλίου, οὓς ἔγραψε Βαροὺχ — ἐν Βαβυλῶνι, Ἐ ν τ ῷ ἔ τ ε ι τ ῷ π έ μ π τ ῳ, ἑβδόμῃ τοῦ μηνὸς, ἐ ν τ ῷ κ α ι ρ ῷ, ᾧ ἔλαβον οἱ Χαλδαῖοι τὴν Ἱερουσαλὴμ » (τουτ. τῷ πέμπτῳ ἔτει ἀ π ὸ τ ο ῦ κ α ι ρ ο ῦ κ α θ᾽ ὃ ν ἔ λ α β ο ν, ἢ μ ε τ ὰ π έ ν τ ε ἔ τ η [ἀπὸ] τοῦ ἁλῶναι τὴν πόλιν, ὡς ὁ ἱερὸς ἡρμήνευσε Θεοδώρητος). « Κ α ὶ ἐ ν έ π ρ η-*

οὐκ ἂν ἐσφάλησαν εἰς τοσοῦτον οἱ παῖδες τῶν κριτικῶν, εἴγ᾽ ἐνεθυμοῦντο τοῦτο καὶ μόνον· ὅτι οὐδεὶς τῶν Ἰουδαίων οἱοσδήποτε συγ-

---

σαν αὐτὴν ἐν πυρί»· Καὶ πάλιν (ςχ. 7, 8, 9)· «Καὶ ἀπέςειλαν (τὸ ἀργύριον) εἰς Ἱερουσαλὴμ πρὸς Ἰωακεὶμ . . τὸν ἱερέα . . ἐν Ἱερουσαλὴμ, ἐν τῷ λαβεῖν αὐτὸν» (τουτ. μετὰ τὸ λαβεῖν) «τὰ σκεύη οἴκου κυρίου, τὰ ἐξενεχθέντα ἐκ τοῦ ναοῦ, ἀποστρέψαι εἰς γῆν Ἰούδα, τῇ δεκάτῃ τοῦ Σιυὰν, σκεύη ἀργυρᾶ, ἃ ἐποίησε Σεδεκίας . . βασιλεὺς Ἰούδα, μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος τὸν Ἰεχονίαν, καὶ τοὺς ἄρχοντας, . ., καὶ ἤγαγεν αὐτοὺς εἰς Βαβυλῶνα». Τούτων τῶν λόγων τί ἄλλο ἢ σαφέστερον ἢ ἀκριβέστερον; α) Ὁ Βαροὺχ διορίζει τὸν χρόνον καθ᾽ ὃν ἔγραψε τὴν βίβλον «τῷ πέμπτῳ ἔτει ἐν τῷ καιρῷ» κτλ. τουτ. ἀπὸ τοῦ καιροῦ (ἔστι δὲ καὶ ἀλλαχοῦ ἡ ἐν, ἀντὶ τῆς ἐξ, ἢ τῆς ἀπό· οἷον· «λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ»· ψαλμ. ιδ, τουτ. ἀπὸ καρδίας, κτλ.)· τοῦ δ᾽ ὀνειροποληθέντος Σεδεκίου ἐνταῦθα οὐδ᾽ ἴχνος, οὐδὲ σκιά. β) Χαρακτηρίζει τὸν ἱερέα Ἰωακεὶμ (πρὸς ὃν ἀπέστειλαν τὸ ἀργύριον)· ὅτι οὗτος παρέλαβε καὶ τὰ σκεύη τὰ πρῴην ἐξενεχθέντα ἐκ τοῦ ναοῦ ὑπὸ τοῦ Ναβουχοδονόσορος (ὡς ἐροῦμεν εὐθὺς), ὅπως ἀποστρέψῃ ταῦτα εἰς γῆν Ἰούδα (ἡ δὲ φράσις, ἤ, ἀποστρέψαι τὰ σκεύη, συνήθης καὶ παρ᾽ Ἱερεμίᾳ, λη, (ἑβρ. κη) 3, καὶ ἀλλαχοῦ· καὶ ὀρθῶς ὁ Baduellus ἡρμήνευσεν, ἀφ᾽ οὗ παρέλαβεν ὁ ἱερεὺς Ἰωακεὶμ τὰ σκεύη, cum acceperit vasa reducenda). Προσσεσημείωκε δὲ ἡ γραφὴ καὶ τὸν χρόνον (τῇ δεκάτῃ Σινὰν» τοῦ καὶ Sivan, ἴσως τοῦ Μαΐου), καθ᾽ ὃν ἀνεχώρησε μετὰ τῶν σκευῶν ὁ Ἰωακεὶμ (ὁ δὲ Γρότιος καὶ λίαν παραδόξως ἐξέλαβεν οὐ τὸν Ἰωακεὶμ, ἀλλὰ τὸν Βαροὺχ αὐτὸν ὡς ἐπιστρέψαντα εἰς Ἱερουσαλήμ!). γ) Τέλος, διορίζει εὐκρινῶς τὰ σκεύη ταῦτα· «Σκεύη (λέγει) ἀργυρᾶ». ποῖα; ἃ ἐποίησε Σεδεκίας ὁ βασιλεὺς Ἰούδα». πότε; «μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ τὸν Ἰεχονίαν» κτλ. Ἐν γὰρ τῇ προτέρᾳ ἁλώσει τῶν Ἱεροσολύμων ἐσύλησε καὶ τὰ σκεύη οἴκου κυρίου· καὶ αὐτὸν τὸν Ἰωακεὶμ ἀπήγαγεν αἰχμάλωτον εἰς Βαβυλῶνα, ἐβασίλευσε δ᾽ ἀντ᾽ αὐτοῦ τὸν Σεδεκίαν (Δ. Βασιλ. κδ, 14 : Β. Παραλ. λς, 10). Καὶ τοίνυν ὁ Σεδεκίας βασιλεύσας ἐποίησε πάντως καὶ σκεύη πρὸς χρῆσιν τοῦ ναοῦ· μετεκόμισε δὲ καὶ ταῦτα ὁ Ναβουχοδονόσορ εἰς Βαβυλῶνα, «πάντα τὰ σκεύη τὰ μεγάλα καὶ τὰ μικρὰ», κατὰ τὴν ἐσχάτην καταςροφὴν τῆς Ἱερουσαλὴμ (Β. Παραλ. ιη, 18). Ἐκ δὲ τούτων τῶν σκευῶν, ἃ ἐποίησε Σεδεκίας, ὁσαδήποτε σκεύη ἀργυρᾶ λυτρώσαντες οἱ ἐν Βαβυλῶνι Ἰουδαῖοι, ἀπέστειλαν διὰ τοῦ ἱερέως Ἰωακεὶμ εἰς Ἱερουσαλήμ· ὅθεν πάλιν ἀποδείκνυνται οἱ ἐκ τῆς αἰχμαλωσίας καταλειφθέντες, καὶ ὅτι καὶ σπονδάς τινας, καὶ λιτὰς θυμιαμάτων θυσίας ἐτέλουν ἐπὶ τοῦ θυσιαστηρίου, εἴτε σῴου (τὸ πλεῖστον) ἀνευρεθέντος ἐν τοῖς ἐρειπίοις τοῦ πυρποληθέντος ναοῦ, εἴτε καὶ αὐτοσχεδίως καὶ προχείρως ἐκ γῆς καὶ λίθων ἐπὶ τοῦ αὐτοῦ τόπου συσκευασθέντος, κατὰ τὰ Ἐξόδ. κ, 25, 26 (ὡς εἰκάζει ὁ Ὑέτιος, σελ. 247). Ταῦτα λέγει ὁ θαυμάσιος Βαροὺχ, οὐκ ἀντιφάσκων πρὸς ἑαυτὸν, οὐδὲ ψευδῆ λέγων καὶ σκολιὰ καὶ συγκεχυμένα (κατὰ τοὺς κριτικοὺς), ἀλλὰ πάντα ἀληθῆ καὶ εὐθέα τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.

γραφεὺς ἐγένετ᾽ ἂν ἐπὶ τοσοῦτον ἀμαθὴς τῆς τῶν πατρίων ἱστορίας, ὥστε μὴ διακρίνειν τὴν ἐσχάτην καταστροφὴν τῆς ἐμπρησθείσης πόλεως, καὶ τῆς βασιλείας τῶν Ἱεροσολύμων, καὶ τοῦ σύμπαντος ἔθνους τὸν ἐξανδραποδισμὸν, ἀπὸ τῆς προτέρας ἐπὶ τοῦ Ἱεχονίου ἁπλῆς ἁλώσεως τῆς πόλεως. — 4) Λίαν καταγελῶσιν οἱ σοφοὶ τοῦ Βαροὺχ, ὅτι λέγει τοῦ Ναβουχοδονόσορος *υἱὸν τὸν Βαλτάσαρ* (α, 12), ἐν ᾧ διάδοχος υἱὸς τοῦ Ναβουχοδονόσορος ἦν ὁ Εὐϊλμεροδὰχ (Ἱερεμ. νϐ, 31 : Δ. Βασιλ. κε, 27. Οὕτω πως γράφεται καὶ παρὰ τῷ Βηρωσσῷ, καὶ τῷ Πτολεμαίῳ). Ἀλλὰ καὶ τοῦτο μάτην οἱ ἄνδρες διέβαλον. Ἢ γὰρ τὸ *Βαλτάσαρ* ἦν κοινὸν ἐπώνυμον παντὸς βασιλόπαιδος παρὰ Χαλδαίοις, (ὅθεν καὶ αὐτὸν τὸν Δανιὴλ ὁ ἀρχιευνοῦχος τοῦ Ναβουχοδονόσορ ἐπὶ τιμῇ μεγάλῃ *Βαλτάσαρ* μετωνόμασε. Δαν. α, 7) (α), ἢ καὶ διώνυμος ἦν ὁ Εὐϊλμεροδὰχ, ὃ καὶ πιθανώτατον. Ἀπ᾽ αὐτοῦ γὰρ ἴσως ἐκυριωνυμήθη καὶ ὁ υἱὸς καὶ διάδοχος αὐτοῦ Βαλτάσαρ (ὅστις παρὰ τῷ θείῳ Δανιὴλ καὶ *υἱὸς*, τουτ. ἔγγονος τοῦ Ναβουχοδονόσορος ἐπικαλεῖται. Δανιὴλ ε, 2, 11, 13, 18). Ὅτι δὲ καὶ οἱ υἱοὶ, καὶ οἱ ἔγγονοι, καὶ δισέγγονοι παρονομάζονται ἀπὸ τῶν πατέρων παρὰ τῇ θείᾳ Γραφῇ, πρόδηλον (ϐ).

δ) Διέβαλον οἱ κριτικοὶ καὶ τὸν παρὰ τῷ Βαροὺχ ποταμὸν τῆς Βαβυλῶνος Σοὺδ (α, 4), ὃν αὐτοὶ οὐδαμοῦ τῆς γῆς εὑρίσκουσι! — Καὶ ὅμως μαρτυρεῖ τῷ Βαροὺχ αὐτὸς ὁ τὴν Βαβυλῶνα διαῤῥέων καὶ παραῤῥέων μέγας καὶ πολυσχιδὴς καὶ *πολύστομος* Εὐ-

---

(α) **Βελσεζὰρ** *γράφουσιν ἤδη τὸ χαλδαῖον τοῦτο ὄνομα, καὶ ἑρμηνεύουσιν,* **ἐν τῷ Βὴλ** *οἱ θησαυροί, ἢ αἱ βασιλεῖαι.* (βλ. Grot. Annot. ad Daniel V. 1).

(ϐ) « Avos et abavos in S. Scriptura patrum nomine appelari » λέγει καὶ ὁ Γολδάγην (Goldhagen, Introduct. II. 44). *Ὅθεν οἱ περὶ τὸν Σύγκελλον κυρίως υἱὸν τοῦ Ναβουχοδονόσορ ὑπέλαβον τὸν Βαλτάσαρ, καὶ ἀδελφὸν τοῦ πρὸ αὐτοῦ βασιλεύσαντος Ευειλ—Μεροδάχ. — «Οἱ δὲ, γαμβρὸν ἐπ᾽ ἀδελφῇ· ἴσως δὲ καὶ ἄμφω ἀληθῆ» (ὅτι καὶ ταῖς ἀδελφαῖς αὐτῶν Πέρσαι καὶ Ἀσσύριοι συνῴκουν).* Βλ. Συγκ. Χρονογρ. σελ. 437. Bon. πρβλ. καὶ Ἰωσ. Ἀρχ. I, ια, 2, καὶ Petav. Doctr. Temp. 11. p. 168 καὶ Scalig. Animadv. ad Chr. Euseb. p. 90.

φράτης, οὗ τινος μία διώρυξ μέχρι καὶ νῦν ὀνομάζεται Σοὺρ (ἀντὶ τοῦ παλαιτέρου Σοὺδ), ἐξ οὗ παρωνόμασται καὶ πόλις Βαβυλωνίας ἡ τὰ νῦν Σοῦρα (ἢ Σόρα) (α). Ἐπὶ τούτου τοῦ ποταμοῦ Σοὺδ ἤκουον οἱ Ἰουδαῖοι τοὺς λόγους Βαροὺχ, καὶ ἔκλαιον (α, 4), ἐκπληροῦντες τὴν προφητείαν ἐκείνην· «Ἐπὶ τῶν *ποταμῶν Βαβυλῶνος* ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν» (ψαλμ. ρλϛ). «Εἶπε δὲ πληθυντικῶς *ποταμῶν*, ἐπεὶ φασὶν εἰς πολλὰς διώρυγας τὸν Εὐφράτην κατατετμῆσθαι» (β). Καὶ ἄλλως δὲ Σοὺδ (Sud, ἢ Sodi) ὀνομάζεται ὁ Εὐφράτης, διότι καὶ αἱ χῶραι, δι' ὧν διαῤῥέει, οὐ μόνον ἡ περὶ τὴν Κοῦσαν καὶ Βασσόραν (ἢ Βόστραν), ἀλλὰ καὶ πάντες οἱ πάγοι τῆς Βαβυλωνίας ἀραβιστὶ καλοῦνται Sovad (γ). Ταῦτα τὰ λόγου καὶ μνήμης ἄξια ἐκ τῶν ἐπιχειρημάτων, ἃ κατὰ τῆς βίβλου τοῦ Βαροὺχ οἱ κριτικοὶ καὶ παλαιότεροι καὶ νεώτατοι, παρ' ἀλλήλων τὰς ψευδοδοξίας μεταλαμβάνοντες καὶ πληθύνοντες, κατετόξευσαν, διότι οὐχ εὕρηκαν αὐτὴν ἐν τῷ ἑβραϊκῷ! (δ).

§. ιθ. Ἀλλὰ τὴν γνησιότητα καὶ τὸ κῦρος τῆς θεσπεσίας ταύτης βίβλου ἐπικυροῦσι, α) αὐτὸς ὁ προφήτης Δανιὴλ, ὅστις, *ἐν ᾧ συνῆκεν ἐν τοῖς βιβλίοις*, καὶ ῥητῶς ἐν ταῖς Ἱερεμίου προφητείαις (θ, 2), ἀνέγνω πάντως καὶ τὴν μετ' αὐτῶν καὶ τότε ἴσως (ὡς καὶ ὕστερον) συνημμένην προφητείαν τοῦ τῆς Ἱερεμίου χάριτος καὶ θείας ἐπιπνοίας συμμετόχου Βαροὺχ, ὡς μαρτυροῦσι τρανῶς ὁλόκληροι φράσεις, ἃς ἐκ τούτου μετέγραψεν ὁ Δανιὴλ, ὑπὸ τοῦ αὐτοῦ πνεύματος ἀγόμενος, καὶ τὰς αὐτὰς ἀληθείας ἐκφράζων (ὅτι

(α) Βλ. Bochart. Geogr. Sacr. I. 8. p. 34. πρβλ. Πτολεμ. ε, 18. Στράβ. ιϛ. 738, 740.

(β) Θεόδ. Ἡρακλ. εἰς ψαλμ. αὐτόθ. (Σειρ. τόμ. 3. σελ. 660). Καὶ ὁ Τίγρις δὲ πρὸς ὃν ὁ Εὐφράτης συμβάλλει, διὰ τῆς Βαβυλωνίας χώρας διαῤῥεῖ· πολλαχοῦ δὲ τῆς Ἀσσυρίας ἦσαν διεσπαρμένοι οἱ Ἰουδαῖοι.

(γ) Ackermann, Introductio etc. pag. 325.

(δ) Τούτων οἱ ἐπισημότατοί εἰσι. L. Cappelus, Comment. et not. crit. in V. Test. p. 564. - Eichhorn, Einleit. in die Apocr. p. 381. - Bertholdt, Einleitung. 4. Bd. p. 1741—1766. Ἀπήντησε δὲ πρὸς πάντας συντόμως καὶ λαμπρῶς ὁ Welte, l. c. pag. 141—151.

δὲ μετὰ τὸν Βαροὺχ συνέγραψεν ὁ Δανιὴλ, πασίδηλον καὶ ἀναμφισβήτητον) (α)· — β) ὁ Νεεμίας (β)· — γ) πᾶσα ἡ τῶν ἑλληνιστῶν Ἰου-

(α) Οἷον, λέγει ὁ Βαροὺχ, «Τῷ κυρίῳ [τῷ] Θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ ἡ αἰσχύνη τῶν προσώπων . . . καὶ τοῖς βασιλεῦσιν ἡμῶν, καὶ τοῖς ἄρχουσιν ἡμῶν, καὶ τοῖς πατράσιν ἡμῶν, ὧν ἡμάρτομεν ἔναντι κυρίου» (α, 15—17). Αὐτὰ ταῦτα κατὰ λέξιν λέγει προσευχόμενος καὶ ὁ Δανιὴλ (θ, 7—8). Πάλιν ὁ Βαρούχ· «Πάντα τὰ κακὰ ταῦτα ἦλθον ἐφ᾽ ἡμᾶς, καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου» κτλ. (β, 7, 8). Αὐτὰ ταῦτα κατὰ λέξιν καὶ ὁ Δανιὴλ (θ, 13). Λέγει ὁ Βαρούχ· «Καὶ νῦν κύριε ὁ θεὸς Ἰσραὴλ, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου» κτλ. «Ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε» κτλ. (β, 14, 17). Ταῦτα καὶ Δανιὴλ (θ, 17, 18)· ἄλλα κατὰ μέρος παραλείπομεν. Σημειωτέον δὲ, ὅτι ὁ μὲν Βαροὺχ ἔγραψε τοὺς λόγους τοῦ βιβλίου, καὶ ἦλθεν εἰς Βαβυλῶνα πέμπτῳ ἔτει μετὰ τὸν ἐμπρησμὸν τῆς Ἱερουσαλὴμ ἐπὶ Ναβουχοδονόσορος· ὁ δὲ θεῖος Δανιὴλ ἔγραψε τὸ θ, κεφάλαιον μετὰ χρόνον οὐκ ὀλίγον, καταλυθείσης ἤδη τῆς Χαλδαίων βασιλείας, «ἔτει πρώτῳ Δαρείου τοῦ Μήδου, ὃς ἐβασίλευσεν ἐπὶ βασιλείαν Χαλδαίων» (β, 1). Βλ. καὶ Huet. Dem. Evang. Pr. IV. p. 246.

(β) Οἷον θ, 32 «Ὁ μόχθος, ὃς εὗρεν ἡμᾶς, καὶ τοὺς βασιλεῖς ἡμῶν, καὶ τοὺς ἄρχοντας ἡμῶν» κτλ. ὡς καὶ Βαροὺχ (α, 15). Καὶ πάλιν (Νεεμ. θ, 10) «ἐποίησας σεαυτῷ ὄνομα, ὡς ἡ ἡμέρα αὕτη» (ἐκ τοῦ Βαροὺχ β, 11) κτλ. (πρβλ. καὶ Ackermann, Introduct. p. 328). Ὅσοι δὲ τῶν κριτικῶν ἐσπούδασαν ἐκ τούτων τῶν φράσεων ἀποδεῖξαι τὸν Βαροὺχ νεώτερον καὶ τοῦ Νεεμίου, ἐποίησαν τὸ αὐτὸ, ὡς ἂν καὶ εἴπερ ἔλεγον καὶ τοῦ τεύχους τοῦ Δανιὴλ μεταγενέστερον τὸ τοῦ Βαρούχ· καὶ τὸν Ἀβδιοὺ δὲ καὶ αὐτὸν τὸν Ἡσαΐαν (β, 1—4) ἀντιγραφέα τοῦ Μιχαίου (δ, 1—7), καὶ νεώτερον τοῦ Ἱερεμίου! (πρβλ. Ἀβδ. α, καὶ Ἱερεμ. κθ [ἑβρ. μζ], 14—17), καὶ τέλος (ἵνα παραλίπωμεν καὶ ἄλλα ἄλλων προφητῶν ἄλλοις προγενεστέροις προφήταις κοινά), καὶ αὐτὸν τὸν Δαβὶδ καὶ τὸν Σολομῶντα νεωτέρους τοῦ Βαροὺχ καὶ Δανιήλ· κεῖται γὰρ καὶ παρὰ τούτοις τὸ «ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν» (Δαν. θ, 5: Βαροὺχ β, 12, ἐκ τῆς Γ. Βασιλ. η, 47, καὶ Ψαλμ. ρε, 6). Ἀλλὰ ταῦτα μὲν ἄραρε καὶ ἥδρασται, κριτικοῖς μηχανήμασιν ἄσειστα καὶ ἀνάλωτα. Ἐκεῖνο δὲ μᾶλλον ὤφειλον οἱ κριτικοὶ συνιδεῖν, τὴν ἐν πᾶσι τούτοις ὁμοιόμορφον καὶ πολλάκις ταυτολεκτοῦσαν φράσιν τῆς ἑρμηνείας, ὡς ἔργον οὖσαν τῶν αὐτῶν ἑρμηνευτῶν, τῶν Ο γερόντων! Εἰ δὲ τοῦτ᾽ ἀπεδέχετο ὁ Βερθόλδης, οὐκ ἂν ὠνειρεύετο τὸν χειμερινὸν ἐκεῖνον ὄνειρον, ἐν ᾧ κατεῖδε τὸν πρῶτον συγγραφέα τοῦ Βαροὺχ, αὐτόχρημα ἑλληνιστὴν, ἀναγνόντα τὰς ἑλληνιστὶ μεθηρμηνευμένας προφητείας τοῦ Ἱερεμίου, διότι κεῖται καὶ ἐν τῷ Βαροὺχ (α, 9), ὡς καὶ ἐν Ἱερεμίᾳ (κδ, 1: λς, ἑβρ. κθ, 2) ἡ λέξις δεσμώτης, ἐπὶ τῆς αὐτῆς ἰδιοτρόπου σημασίας («τοὺς τεχνίτας καὶ τοὺς δεσμώτας»). Ἀλλ᾽ οἱ αὐτοὶ ἑρμηνεῖς, ὦ κριτικὲ, ἔγραψαν καὶ ἐν τῇ τοῦ μαθητοῦ προφητείᾳ τὴν αὐτὴν λέξιν, ἣν ἔγραψαν καὶ ἐν τῇ τοῦ διδασκάλου προφήτου, μεταφράσαντες τὸ ἑβρ. μασεγὲρ, ὃ κυρίως μὲν κλειστὴν δηλοῖ, καὶ κλειθροποιὸν (claustrarium)· σημαίνει δὲ καὶ καθόλου πάντα χαλκέα, ἢ σιδηρουργὸν τεχνίτην (ὁποῖοι καὶ μετὰ στρατοῦ συστρατεύονται). Ἐπειδὴ δὲ τὸ μασεγὲρ, ἐτυμολογεῖται παρὰ τὸ σαγὰρ (κλείειν, συγκλείειν), εἶπον ἀλλαχοῦ καὶ συγ-

δαίων συναγωγή, ἥτις ἀνεγίνωσκε καὶ πρὸ Χριστοῦ Σωτῆρος τὴν ἑρμηνείαν τῶν Ο, ἐν ᾗ καὶ ὁ Βαρούχ.

δ) Αἱ τῶν Ἀποςόλων Διαταγαὶ (Ε, κεφ. κ) ῥητῶς ὡς θείαν Γραφὴν ἀναφέρουσι τὴν θεόπνευστον ἐκείνην προφητείαν τοῦ μεγαλοφωνοτάτου Χριστοκήρυκος Βαρούχ· « Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. — Καὶ μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ *τοῖς ἀνθρώποις συνανεστράφη* » (γ, 36). Καὶ μαρτυροῦσι πρὸς τούτοις αἱ Διαταγαί, ὅτι οἱ Ἰουδαῖοι « τῇ δεκάτῃ τοῦ Δορπιαίου μηνὸς » (τοῦ Σεπτεμβρίου δηλαδή, κατὰ τὴν μεγάλην ἡμέραν τοῦ ἐξιλασμοῦ. Λευϊτ. ις, 29 κτλ.) « συναθροιζόμενοι, τούς τε θρήνους τοῦ Ἱερεμίου ἀναγινώσκουσι, καὶ τὸν Βαροὺχ-· καὶ ὅταν ἀναγνῶσι, κόπτονται καὶ θρηνοῦσιν, ὡς μὲν αὐτοὶ νομίζουσι, τὴν ἐρημίαν τὴν ὑπὸ τοῦ Ναβουχοδονόσορ γενομένην » κτλ. (α). Ὥστε καὶ ἐκ τούτου γίνεται δῆλον, ὅτι καὶ μετὰ Χριςὸν οἱ ἑλληνισταὶ Ἰουδαῖοι καὶ ἐκτὸς καὶ ἐντὸς τῆς

κλείοντα τοῦτον, κατὰ λέξιν, οἱ Ο (Δ. Βασιλ. κδ, 14, 16) « τὸν τέκτονα καὶ τὸν συγκλείοντα » (ἡ δὲ Κομπλουτ. ἔκδ. συγκλείστην), ὡς ἄλλων τε σκευῶν, ἢ ὀργάνων (οἱ δὲ καὶ τειχῶν προσέθηκαν κυκλοτερῶν), καὶ κλοιῶν δέ, καὶ σιδηρῶν ἁλύσεων, ἢ δεσμῶν τεχνουργόν, καὶ ἀμφιδέτην· ὥστε καὶ τὸ δεσμώτης (ἐνεργητικῶς) τὸ αὐτό ἐστι καὶ δεσμοποιός, τέκτων δεσμῶν παντοίων καὶ συγκλεισμάτων, ἀπαραλλάκτως, ὡς καὶ τὸ ἐξ αὐτοῦ μεταπλασθὲν δεσπότης (π=μ, ὁ δεσμεύων, δεσμοῖς συγγκλείων, καὶ δεσμίων, δούλων κύριος). Ὁ δὲ Σχλευσίνερος (Thes. V. Test. λ. δεσμώτης) περιττῶς ὀξύνει τοῦτο, δεσμωτής. Ἔστι γὰρ καὶ ἄλλα τοιαῦτα ἐνεργητικὰ παροξυτονούμενα, οἷον ἀρότης, βοώτης, (βότης) συβότης, ἀγγελιώτης (ὁ ἀγγελιοφόρος) κτλ.

(α) Ἀλλ' ὁ σοφὸς καὶ πολυμαθέστατος, καὶ πολλάκις (κατὰ δυστυχίαν) ἀρειανίζων Γρότιος, ἐσπούδασεν ἀπαλλάξαι τοὺς Ἰουδαίους τούτου τοῦ πένθους, οὐ μόνον ἀπόκρυφον (ὡς καὶ οἱ λοιποὶ ὁμόφρονες) νομίζων τὸ τεῦχος τοῦ Βαρούχ, ἀλλὰ καὶ τὴν ἀνωτέρω περὶ τοῦ Χριστοῦ Σωτῆρος λαμπρὰν προφητείαν παρέγγραπτον ὀνομάζων, ὑπὸ χριστιανοῦ τινος τάχα διεσκευασμένην. Οὐδ' ὤκλασε τοῦτο γράφων κατέναντι τοσούτων μαρτύρων, καὶ πάντων τῶν ἀρχαίων χειρογράφων καὶ ἐκδόσεων τῶν Ο, καὶ πασῶν τῶν παλαιῶν ἑρμηνειῶν, ὅπου πανταχοῦ διαλάμπει τὸ θεῖον ῥητὸν (ὡσανεὶπερ νοθίζων τοῦτο, συνεξήλειψε λοιπὸν καὶ πάσας τὰς περὶ τοῦ Χριστοῦ προῤῥήσεις τῶν θείων προφητῶν !)· ἀλλ' οὕτω πολλάκις καὶ μεγάλοι κριτικοὶ τοξοβολοῦσιν εἰς τὸν ἥλιον! Ἐπέπληξε δὲ ὅμως τὸν Γρότιον ἄλλος ἐκ γειτόνων αὐτῷ κριτικός, ὁ Βαδύελλος (βλ. Criticor. Sacrorum Tom· V. pag. 7886—89. Londin.), ἀνακηρύξας ἀναμφίβολον τὴν προφητείαν· « Ego non dubito quin Christum filium Dei in carne revelatum intelligat » κτλ. Οὕτω πάτταλοι παττάλοις ἐκρούονται.

Παλαιστίνης ἐκράτουν ὡς κανονικὸν βιβλίον τὸν Βαρούχ· ἄλλον δὲ κανόνα τῶν Γραφῶν οὐκ ἂν ἔπλαττον αὐτοὶ, παραβαίνοντες ὃν παρέλαβον ἐξ ἀρχῆς συνάμα μετὰ τῶν ὁμογενῶν καὶ ὁμοθρήσκων αὐτοῖς ἑβραϊστῶν.

ε) Πάντες οἱ ἀρχαῖοι τῶν Ο, κώδηκες ἔχουσι καὶ τὸν Βαροὺχ, οἱ μέν τινες τεταγμένον μετὰ τοὺς Ἱερεμίου Θρήνους, οἱ δὲ πλεῖστοι καὶ ἀρχαιότατοι, εὐθὺς μετὰ τὰς Ἱερεμίου *προφητείας*, καὶ *πρὸ τῶν Θρήνων*. Οὕτω κεῖται παρά τε τῷ ἱερῷ Θεοδωρήτῳ, κἀν τῷ Ἀλεξανδρινῷ τῶν Ο κώδηκι, καὶ ἐν ἄλλοις χειρογράφοις, καὶ κατ᾽ αὐτὸ τὸ Βατικανὸν [ὅπου πάλιν ὁ ἐκδότης Βῶσος (ὡς καὶ μετ᾽ αὐτὸν ὁ Ῥεϊνέκιος, καὶ εἴ τις ἄλλος ἐν ἄλλαις ἐκδόσεσιν) οὐχ ὁσίαις χερσὶν ἀποῤῥήξας ἐκ τοῦ οἰκείου τόπου τὸν Βαροὺχ, ἐξώθησεν εἰς τὰ τέλη τῆς ἱερᾶς βίβλου κατόπιν τῆς *Σοφίας τοῦ Σειρὰχ*, ὡς ἓν δηλονότι τῶν κατ᾽ αὐτὸν *Ἀποκρύφων*, ἤτοι μὴ κανονικῶν βιβλίων τῆς Γραφῆς! ὡς ἂν εἴπερ ἐξετύπου τὸν ἑλληνικὸν τοῦ Βατικανοῦ κώδηκα χάριν μόνον τῶν ὁμοδόξων αὐτοῦ. Ἀλλὰ καὶ οὕτω πάλιν καὶ τούτους ἠδίκει, καὶ τοὺς ἀρχαίους ἐκείνους γραφεῖς, τοὺς τετηρηκότας τὴν παλαιὰν τῶν θείων βιβλίων σειρὰν, καὶ αὐτοὺς δὲ τοὺς θεσμοὺς τῆς φιλολογίας (α). Ὡσαύτως συνεξώθησε καὶ τὴν Ἱερεμίου ἐπιστολὴν, περὶ ἧς λέγομεν εὐθύς]. Τὴν αὐτὴν τῷ Ἀλεξανδρινῷ ἐπέχει διάταξιν ὁ Βαροὺχ καὶ ἐν τῇ Συριακῇ μεταφράσει τῶν Ἑξαπλῶν (β). Κατὰ τὴν αὐτὴν τάξιν ὀνομάζονται τὰ βιβλία

(α) Οὕτω καὶ ὁ Μύνστερος (Münster) ἐν τῇ τοῦ ἑβραϊκοῦ κειμένου μετὰ παραλλήλου λατινικῆς ἑρμηνείας ἐκδόσει ἐξετόπισε τὸν Δανιὴλ ἀπὸ τῆς χώρας τῶν θείων προφητῶν (ὅπου κεῖται κατὰ πάσας τὰς χριστιανικὰς ἑρμηνείας τῆς Γραφῆς), μεταστήσας εἰς τὸν τόπον τῶν παρ᾽ Ἰουδαίοις λεγομένων Ἁγιογράφων (Ketubim), ὅπου τὸν θεῖον προφήτην ἔταξαν οἱ μεταγενέστεροι Ἰουδαῖοι (ὡς δῆθεν ἧττον θεόπνευστον, καὶ κατώτερον τῶν ἄλλων προφητῶν!) Ὅθεν καὶ ὡς ἄγαν ἰουδαΐζοντα τὸν Μύνστερον καὶ αὐτὸς κατέκρινεν ὁ Σιμώνιος (Hist. Crit. Vet. Test. L. I. c. 9). Ἀλλ᾽ ἐκεῖνος μὲν ἐξέδωκεν οἷον εὕρηκε τὸν Μασοραῖον κώδηκα, καθυποτάξας (καὶ ἄκων ἴσως) εἰς τὴν τούτου διάταξιν καὶ τὴν λατινικὴν ἑρμηνείαν· οἱ δὲ πρῶτοι συνταράξαντες τὴν τάξιν τοῦ κώδηκος τῶν Ο, καὶ τὰ παρ᾽ αὐτοῖς ὡς γνήσια τετυπωμένα μεταστήσαντες εἰς ἃ λέγουσι καὶ ἐπιγράφουσιν ἀπόκρυφα (ὡς μὴ κείμενα παρ᾽ ἑβραίοις), πῶς ἂν ἐπαινεθεῖεν; — (β) Βλ. Eichhorn, Repertorium etc. 3 Bd. p. 168.

καὶ ἐν τοῖς καταλόγοις τῶν κανονικῶν τευχῶν, περὶ ὧν ἐφεξῆς.

ϛ) Καὶ ἡ πανάρχαιος Ἰτάλα περιεῖχε τὸν Βαροὺχ ὡς κανονικὸν βιβλίον συνάμα μετὰ τοῦ Ἱερεμίου (καὶ νῦν ἐν τῇ Βουλγάτᾳ κεῖται κατόπιν τῶν Ἱερεμίου θρήνων, μετὰ τῆς τούτου ἐπιστολῆς). Ὡσαύτως καὶ αἱ λοιπαὶ μεταφράσεις, οἷον ἡ Συριακή, καὶ Ἀραβική, κτλ. (α).

ζ) Ὁ Θεοδοτίων ἡρμήνευσε καὶ τὸν Βαροὺχ μετὰ τῶν ἄλλων τῶν κανονικῶν βιβλίων τῆς ἑβραΐδος γραφῆς· καὶ τοῦτο δείκνυσι λαμπρῶς ὁ διασημότατος Μεδιολάνειος κώδηξ τῆς Συριακῆς τῶν Ἑξαπλῶν ἑρμηνείας, περιέχων τὰ κριτικὰ τοῦ Ὠριγένους σημεῖα (δι' ὧν ἐκεῖνος ὠβέλιζεν, ἢ κατηστέριζε τὰ τῶν Ο), καὶ ἀναφέρων ἐξ ὀνόματος τὴν μετάφρασιν τοῦ Θεοδοτίωνος (β).

η) Ὁ Ὠριγένης ἐν τῷ καταλόγῳ τῶν κβ ἐνδιαθήκων ἑβραϊκῶν Γραφῶν μετὰ τοῦ *Ἱερεμίου* συναριθμεῖ καὶ «*τοὺς Θρήνους καὶ τὴν Ἐπιστολήν, ἐν ἑνὶ* (βιβλίῳ) *Ἱρμιὰ* » (οὕτως ἑβραϊστὶ δηλαδὴ ἐπιγραφομένῳ τὸ αὐτὸ καὶ ἑλλην. Ἱερεμίας) (γ). Διὰ τοῦτο τὸ *μονόβιβλον* τοῦ Ἱερεμίου καὶ ἐν ἄλλοις ἀρχαίοις καταλόγοις, οἷον τῷ τοῦ Μελίτωνος (παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. δ, 26) καὶ ἄλλων, μόνος ὁ Ἱερεμίας ὡς ἐκ τοῦ κυριωτέρου μέρους μνημονεύεται. (Οὕτω καὶ νῦν παρ' Ἑβραίοις ὁ Ἱερεμίας μόνος, τὸ τεῦχος δηλαδὴ τῶν αὐτοῦ προφητειῶν, ἀριθμεῖται· παρασιωπῶνται δὲ οἱ *Θρῆνοι* συνυπονοούμενοι). Ὅτι δὲ μετὰ τοῦ Ἱερεμίου καὶ τῶν Θρήνων συμπεριείχετο καὶ ὁ Βαρούχ, ὡς μέρος τῶν Ἱερεμιάδων προφητειῶν καὶ οὗτος συνάμα μετὰ τῆς Ἱερεμίου Ἐπιστολῆς θεωρούμενος, μαρτυρεῖ τρανῶς ὁ ἱερὸς Αὐγουστῖνος, ὅστις συνάπτει καὶ τὸν Βαροὺχ εἰς μίαν

(α) Καὶ ἑβραϊκὴν δὲ μετάφρασιν περιέχει χειρόγραφον, τετηρημένον ἐν τῇ Ὀππεγχειμερίᾳ (Oppenheimeriana) βιβλιοθήκῃ, ὡς μανθάνομεν παρὰ τοῦ Wolf. Bibl. Hebr. T. 3. p. 163.

(β) « In Baruco autem, quod mirum, adsunt quamvis raro signa, et excitatur versio Theodotionis». Biörnstahl apud Bruns, Von ein. Syrisch=hexaplarischen Ms. in der Ambros. Biblioth. ἐν Eichhorn, Repertor. 3. Bd. p. 170. καὶ Einleit. in d. apokryph. p. 289.

(γ) Ὠριγέν. εἰς Ψαλμ. α. ἐν τόμ. β. σελ. 529 καὶ παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. ϛ, 25.

βίβλον μετὰ τοῦ Ἱερεμίου(α). Οὕτω καὶ ὁ φωστὴρ τῆς Ἀλεξανδρείας Κύριλλος ἁπλῶς ὡς ἐκ τοῦ Ἱερεμίου ἀνέφερε ῥῆσιν τοῦ Βαροὺχ, καίτοι καὶ τοῦτον ἐξ ὀνόματος ἀλλαχοῦ μνημονεύσας (β). Ὡσαύτως καὶ ὁ ἱερὸς Ἀμβρόσιος (γ), καὶ ὁ Χρυσόστομος (δ), καὶ ὁ Ἱλάριος ἐπ' ὀνόματι τοῦ Ἱερεμίου τὴν προφητείαν τοῦ Βαροὺχ ἀναφέρουσι (ε), καὶ πολὺ πρότερον τούτων ὁ Κυπριανός. Ἀλλὰ καὶ ὁ ἱερὸς Ἐπιφάνιος τὰς ἐνδιαθήκους βίβλους ἀριθμῶν, νῦν μὲν τὸν *Ἱερεμίαν* ὀνομάζει μόνον (τόμ. β. σελ. 161)· νῦν δὲ πάλιν ὁ αὐτὸς « τὸν Ἱερεμίαν μετὰ τῶν *Θρήνων* [καὶ] Ἐπιστολῶν, αὐτοῦ τε καὶ τοῦ Βαρούχ » (ζ). Οὕτω μέμνηται καὶ ἀλλαχοῦ « τῶν ὄντων ἐν τῷ *Ἱερεμίᾳ*, φημὶ δὲ *καὶ τῶν θρήνων αὐτοῦ, καὶ τῶν ἐπιστολῶν Βαροὺχ* » (ἴσ. γρ. καὶ τῶν θρήνων, καὶ τῶν ἐπιστολῶν *αὐτοῦ* τε καὶ τοῦ Βαρούχ) (η).

(α) De civit. Dei. L, 18. c. 33. πρβλ. καὶ Ackermann l. c. p. 327. Ὁ δὲ σοφὸς Σχιμίδιος μάτην ὑπέλαβε καὶ ἔγραψε τρὶς, ὅτι «οἱ Hebraei epistolas Hieremiae et Baruchi nunquam receperunt». Μνημονεύων δὲ καὶ τῆς ἐ π ι σ τ ο λ ῆ ς, ἣν Ὠριγένης ἐκ τοῦ ἑβρ. καταλόγου προστίθησι τῷ Ἱερεμίᾳ, « αὕτη (λέγει) προσετέθη κατὰ τὸ ἔθος τῶν Ἑλλήνων χριστιανῶν (De more Graecorum Christianornm addita est)· ἀλλαχοῦ δὲ καὶ τὸν Βαροὺχ καὶ τὴν ἐπιστολὴν νόθους γόνους Ἑλλήνων ὠνόμασε (βλ. Schmid, Historia antiq p. 154, 157). Καὶ ὅμως ὁ Ὠριγένης (αὐτόθι) λέγει τρανῶς ὅτι γράφει τὰς κβ, ἐνδιαθήκους βίβλους « ὡ ς ἑ β ρ α ῖ ο ι π α ρ α δ ε δ ώ κ α σ ι· καὶ εἰσὶ δὲ κ α θ' ἑ β ρ α ί ο υ ς αὗται »· Καὶ πιστευτέος ἄρα μᾶλλον Ὠριγένης, ἢ Σχιμίδιος. Ἔπειτα μήπως καὶ ἐν τῇ Θεοδοτίωνος ἑρμηνείᾳ προσετέθη ἡ ἐπιστολὴ τοῦ Ἱερεμίου de more christianorum Graecorum ; Τὰ Σχιμίδεια ἐπανέλαβον καὶ ἄλλοι, ἀλλ' ἀπήντησε πρὸς τούτους ὁ Welte, σημ. εἰς Herbst, Einleitung etc. 1. Bd. pag. 15.

(β) « Καὶ ὁ προφήτης Ἱερεμίας πρὸς αὐτόν που φησιν « Ὅτι σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα » (ἐκ τοῦ Βαροὺχ γ, 3). Κύριλ. εἰς Ἡσαΐ. λόγ. δ. σελ. 102 τόμ. β. Καὶ πάλιν· « Καὶ μὴν ἔφη που καὶ ὁ Βαροὺχ (γ, 3) « Οὗτος ὁ Θεὸς ἡμῶν » κτλ. κτλ. Κύριλ. Γλαφυρ. σελ 245. πρβλ. καὶ Λόγ. ἑορταστ. δ, καὶ ιδ, σελίδ. 37, 181.

(γ) S. Ambros. de Poenitent. L. 1. et de Fide cap. 2.

(δ) Χρυσόστομ.. εἰς τὴν ἁγ. Τριάδα —(ε) S. Hilar. Exposit. in Psalm. 68, 19.

(ζ) Ἐπιφάν. Αἱρέσ. α. §. 6. τόμ. α. σελ. 18, 19.

(η) Ὁ δὲ Φαβρίκιος (Biblioth. Graec. T. 3. p. 735) τὸ ἀνωτέρω παρ' Ἐπιφανίῳ « τ ῶ ν ἐ π ι σ τ ο λ ῶ ν Βαροὺχ » ὡς ὀρθῶς γεγραμμένον ἐκλαβὼν, ἐνόμισεν, ἢ ὅτι τὸ ἐπιστολαὶ γέγραπται ἑλληνικώτερον, ἀντὶ τοῦ ἑνικοῦ ἐ π ι σ τ ο λ ὴ, (ὡς καὶ α, Μακκαβ. ιβ, 19, κτλ.), ἢ ὅτι δι' αὐτοῦ καὶ τὴν Ἱερεμίου ἐπιστολὴν ὁ Ἐπιφάνιος ἐννοεῖ.

« Εἰ καὶ (προστίθησι) οὐ κεῖνται [αἱ] ἐπιστολαὶ παρ' Ἑβραίοις, ἢ μόνον ἡ τῶν θρήνων [βίβλος], τῷ Ἱερεμίᾳ συναφθεῖσα ». (τόμ. β. σ. λ. 163). Ἀλλ' ὅμως ἐπ' Ὠριγένους ἔκειτο ἐν τῷ ἑβραϊκῷ μετὰ τῶν Θρήνων καὶ ὁ Βαροὺχ, ὃν μετὰ τοῦ Ἱερεμίου συμπεριέλαβεν, ὡς προείπομεν, καταλέξας μόνον *τὴν Ἱερεμίου ἐπιστολὴν* (πλὴν εἰ μή που μετὰ ταύτης συνῆπτε καὶ τὸν Βαρούχ. Ἐν γάρ τισιν ἀρχαίοις χειρογράφοις ὑπῆρχεν, ὡς ἔοικε, συνημμένη μετὰ τοῦ Βαροὺχ, καὶ ἡ τοῦ Ἱερεμίου Ἐπιστολὴ, τὸ ἕκτον καὶ ἔσχατον κεφάλαιον τοῦ Βαροὺχ ἀποτελοῦσα. Οὕτω κεῖται καὶ τὰ νῦν ἐν τῇ Βουλγάτᾳ. Οὐδὲν οὖν ξένον εἰ καὶ Ὠριγένης συμπεριέλαβε μετὰ τῆς τοῦ διδασκάλου καὶ τὴν τοῦ μαθητοῦ Βαροὺχ συγγραφὴν, ὡς ἐπιστολὴν καὶ ταύτην οὖσαν, ἐπισταλεῖσαν ἐκ Βαβυλῶνος τοῖς ἐν Ἱερουσαλήμ. (βλ. Βαρ. α, 10, 14). Ἑρμηνεύει δέ πως τὴν ἔννοιαν Ὠριγένους καὶ ὁ μακάριος Ἱλάριος, ὅστις ἀντέγραψεν αὐτὰ τὰ τοῦ Ὠριγένους, ἀριθμῶν καὶ αὐτὸς « *Ἱερεμίαν καὶ τοὺς Θρήνους καὶ τὴν* Ἐ*πιστολὴν* », ὡς συνεχόμενον δηλονότι μετὰ τοῦ τεύχους τῶν προφητειῶν, ἢ καὶ τῆς ἐπιστολῆς τοῦ Ἱερεμίου, καὶ τὸν Βαροὺχ ἐπιστάμενος, ὃν καὶ αὐτὸς πάντως ἀνεγίνωσκεν, ὡς κανονικὴν βίβλον τοῦ Ἱερεμίου (α). Πρόσθες, ὅτι καὶ τὰ τοῦ Βαροὺχ ὡς ἐκ τοῦ Ἱερεμίου πολλάκις ἀνέφερον οἱ ἀρχαῖοι Πατέρες, ὡς ἐδίδαξεν ἡμᾶς πρὸ μικροῦ αὐτός τε ὁ Ἱλάριος, καὶ Κύριλλος ὁ Ἀλεξανδρείας, διδάξει δ' ἐν τοῖς ἐφεξῆς καὶ Κλήμης ὁ Στρωματεύς. Ἀλλὰ καὶ ἐξ οὗ προείπομεν κώδηκος τῶν Συριακῶν Ἑξαπλῶν δείκνυται, ὅτι ὑπῆρχεν ἐπὶ Θεοδοτίωνος ὁ Βαροὺχ ἐν τῷ ἑβραϊκῷ. Ὑπῆρχε δ' εἰσέτι καὶ ἐπὶ Ὠριγένους, εἰ μὴ καὶ κατὰ πάντας τοὺς κώδηκας, ὡς

Ἀλλ' οὔτε παρὰ τῷ ἱερῷ Ἐπιφανίῳ συνήθης ὁ ἀττικισμὸς οὗτος, καὶ αὐτὸς ἀλλαχοῦ διώρισεν ὀνομαστὶ διῃρημένως, τὴν ἐπιστολὴν Βαροὺχ, καὶ τὴν τοῦ Ἱερεμίου. Καλὸν δὲ νομίζομεν τὰ τοῦ Ἐπιφανίου διὰ τῶν αὐτοῦ τοῦ Ἐπιφανίου ἐξηγεῖν. Ὅτι δὲ κατὰ τὴν ἔκδοσιν τῶν αὐτοῦ συγγραμμάτων πολλαχοῦ σφάλματα καὶ μεταθέσεις εἰσέφρησαν, ἐσημειώσαμεν οὐχ ἅπαξ ἀλλαχοῦ.

(α) « Et Jeremias cum lamentationibus et Epistola »· Hilar. Prolog. in Psalm. n. 15.

κοινὸν ἀνάγνωσμα, ἀλλ᾽ ἔν τισιν οὐκ ὀλίγοις ἴσως, καὶ πάντως ἐν οἷς Ὠριγένης ἐχρῆτο, συμβουλευόμενος καὶ τοῖς τότε σοφωτέροις τῶν Ἰουδαίων (βλ. Μοντεφ. Ἑξαπλ. τόμ. α. σελ. 79)· διὸ καὶ τὸν Βαροὺχ μετὰ τῆς ἐπιστολῆς κατεχώρισεν ἐν τοῖς Ἑξαπλοῖς (α). Ἀλλὰ κἀν τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ ὁ Ὠριγένης τῶν ἄλλων τῶν ἤδη κατ᾽ αὐτὸν ἐξεῤῥυηκότων ἐκ τοῦ ἑβραϊκοῦ (οἷον τῆς Σωσάννης καὶ τῶν λοιπῶν) μνημονεύων, οὐδὲν λέγει περὶ τοῦ Βαροὺχ, ὡς ἂν ἔτι σωζόμενον καὶ παρὰ τοῖς Ἑβραίοις τὸ τεῦχος εἰδώς· (ἢ πῶς ἂν ἄλλως παρεσιώπα τοσαύτην ἔλλειψιν;). Ἔπειτα δὲ καὶ ἐξ ὅλων τῶν ἑβραϊκῶν κωδήκων ἐξηλείφθη τὸ τεῦχος τοῦ Βαρούχ. Ὅθεν καὶ ἐπὶ Ἐπιφανίου, καὶ τοῦ συγχρόνου Ἱερωνυμου (150 περίπου ἐνιαυτοῖς μετὰ τὸν Ὠριγένην) οὐχ εὑρίσκετο· λέγομεν δὲ περὶ τούτου καὶ ἐν τοῖς ἑξῆς.

θ) Οἱ περὶ ὧν προείπομεν ἀρχαιότατοι κατάλογοι τῶν κανονικῶν βιβλίων τῆς Παλαιᾶς Γραφῆς, καὶ ὅσοι τὸν Ἱερεμίαν ὁλοσχερῶς ἀριθμοῦσι, συμπεριλαμβάνουσιν ὡς τούτου μέρη καὶ τὸν Βαροὺχ μετὰ τῆς Ἱερεμίου ἐπιστολῆς, ὡς ἀποδείκνυται ἐξ ἄλλων πάλιν καταλόγων, λεπτομερέστερον διαιρούντων τὸ βιβλίον τοῦ Ἱερεμίου. Οὕτως ὁ Κατάλογος ὁ ἐν τοῖς Κανόσι τῶν Ἁγίων Ἀποστόλων (Καν. πε) « Ἓν (βιβλίον) *Ἱερεμίου* » γράφει (ὡς καὶ, « *Δανιὴλ ἕν* » συνάμα δηλαδὴ μετὰ τῶν περικοπῶν) (β). Ὡσαύτως

(α) Βλ. Welte l. c. p. 138.

(β) Τὸν ἀποστολικὸν κανόνα τοῦτον ὁ σοφὸς Σχιμίδιος (l. c. p. 418) ὑποβολιμαῖον ἔκρινε καὶ νόθον, συνιδὼν βεβαίως (ὥς φησιν) ἐκ τοῦ τέλους. Τελευτᾷ δὲ ὁ κανὼν οὕτω « Ἃς (Διαταγὰς τῶν Ἀποστόλων), οὐ χρὴ δημοσιεύειν ἐπὶ πάντων, διὰ τὰ ἐν αὐταῖς μυστικὰ μυστήρια » (οὕτως ἔγραψεν ὁ Σχιμίδιος ἐκ τῆς ἐκδόσεως Ἰουστέλλου· Justelli, Biblioth. Juris Can. vet. T. 2. p. 601). Ἐκ τούτων τοίνυν ὁ κριτικὸς ἀπεφήνατο βεβαίως, ὅτι « ὁ Κανὼν ἔργον ἐστὶ νεωτέρου γόητος, αὐτοῦ πάντως ἐκείνου, τοῦ καὶ τὰ Κλημέντια παραλοπήσαντος, καὶ ἐκδόντος, ὡς δῆθεν ἀποστολικὰς συγγραφάς »· (ἔστι δὲ καὶ ἐν τοῖς Κλημεντίοις, α, 1, « Τὰς βίβλους μηδενὶ μεταδοῦναι, — ἀλλ᾽ ἐάν τις δοκιμασθεὶς ἄξιος εὑρεθῇ »). Ἀλλὰ Σχιμιδίῳ μὲν, ἀνθρώπῳ τῶν καθ᾽ ἡμᾶς μυστηρίων ἀμυήτῳ καὶ ἀτελέστῳ, ἐξέστω τοιαῦτα ληρεῖν, καὶ γόητος ἔργον τοὺς ἐν τῇ Ἐκκλησίᾳ ἁγιωτάτους κανόνας ἀποκαλεῖν (οὓς καὶ ἐν σελ. 10, πάντας ἐν γένει μετὰ τῶν ἱερῶν παραδόσεων συνδιέ-

καὶ ὁ θεῖος Διονύσιος ὁ Ἀρειοπαγίτης τὸν Ἱερεμίαν μόνον μνημονεύει, ἐν οἷς συντόμως τὰς βίβλους τῆς θείας Γραφῆς ἀριθμεῖ (περὶ Ἱεραρχ.). Ὁλοσχερῶς ἀναφέρεται ὁ Ἱερεμίας καὶ ἐν τῷ καταλόγῳ τῆς ἐν Καρθαγένῃ Συνόδου (τῷ 418 μ. Χ.), καὶ παρὰ τῷ παλαιῷ Μελίτωνι, καὶ τῷ Θεολόγῳ Γρηγορίῳ (ἐν τοῖς ἔπεσι), καὶ παρὰ τῷ Ἀμφιλοχίῳ (πρὸς Σέλευκον), καὶ παρ' ᾧτινι ἄλλῳ τῶν

βαλεν, ὡς γενομένους *αἰσχροῦ κέρδους χάριν*!). Οὕτω καὶ Κέλσος διέβαλλεν ὡς *κρύφια* τὰ μυστήρια τῶν χριστιανῶν· πρὸς ὃν Ὠριγένης ἔλεγε « Τὸ δ' εἶναί τινα οἷον *μετὰ τὰ ἐξωτερικὰ*, οὐ μόνου ἴδιον τοῦ χριστιανῶν λόγου, ἀλλὰ γὰρ καὶ τοῦ φιλοσόφων, παρ' οἷς τινες μὲν ἦσαν *ἐξωτερικοὶ λόγοι*, ἕτεροι δὲ *ἐσωτερικοί*. . καὶ ἦσαν οἱ ἐν ἀπορρήτῳ διδασκόμενοι τὰ μὴ ἄξια φθάνειν εἰς ἀκοὰς βεβήλους καὶ μηδέπω κεκαθαρμένας » κτλ. (κατὰ Κέλσ. α, 7). Περὶ τῶν θείων μυστηρίων, ὡς ἀδημοσιεύτων, εἶπε καὶ Χρυσόστομος « ἃ οἴδασιν οἱ μεμυημένοι » (λόγῳ κδ)· καὶ αἱ Ἀποστολικαὶ δὲ Διαταγαὶ πολλαχοῦ περὶ τούτων διδάσκουσιν, ὡς καὶ οἱ κανόνες αὐτοί. Εἰ δὲ καὶ ὁ τῶν ἀποκρύφων Κλημεντίων παραχαράκτης (ἔστι δὲ τὸ σύγγραμμα τοῦ β, αἰῶνος· βλ. Coteler. PP. Apost. Tom. 1. p. 484, 600) ἔγραψεν « *ὡς οὐ χρὴ καὶ ταῦτα δημοσιεύειν* », τοῦτο μᾶλλον ἀποδείκνυσι τὴν γνησιότητα τῶν διὰ τοῦ γνησίου Κλήμεντος Ἀποστολικ. Διαταγῶν καὶ κανόνων, ἀφ' ὧν μετέγραψε τὴν ἔννοιαν καὶ ὁ τῶν Κλημεντίων συγγραφεύς. Ἀλλὰ ταῦτα μὲν ἐῶμεν. Ἐκεῖνο δ' ἐν τούτοις ὤφειλε συνιδεῖν ὁ κριτικώτατος Σχιμίδιος· ὅτι τὸ *μυστήρια* παρὰ τῷ Ἰουστέλλῳ περιττεύει, κατὰ πλάνην τοῦ μεταγραφέως, παρεισφρήσαν ἴσως τὸ πρῶτον ἐν ᾗ ἐξέδωκεν ὁ Ἰουστέλλος *Ἰωάννου τοῦ πρεσβυτέρου Ἀντιοχείας Συλλογῇ τῶν ἐκκλησιαστικῶν κανόνων*· ὅθεν οὐδ' ἐν τῷ καθ' ἡμᾶς ἱερῷ Πηδαλίῳ, οὐδ' ἐν τῇ Κοτελερείᾳ τῶν ἀποστολικῶν κανόνων ἐκδόσει, οὐδ' ἐν ταῖς εἰς αὐτοὺς σημειώσεσι τοῦ κλεινοῦ Βευερεγίου (πόσων Σχιμιδίων διαφέρει ὁ σεμνότατος Βευερέγιος!), οὐδ' ἐν τῇ Βινίου, καὶ τῇ Ἑνετικῇ ἐκδόσει τῶν κανόνων, οὐδ' ἄλλοθί που (ὅσον ἡμεῖς οἴδαμεν) κεῖται τὸ *μυστήρια*, εἰ μὴ μόνον τὸ « δημοσιεύειν τὸ ἐν αὐταῖς *μυστικὰ* » (ἔστι δὲ καὶ ἐπιεικῶς ἄτοπον τὸ *μυστικὰ* μυστήρια, ὡς ἂν εἴπερ ἦσαν καὶ μυστήρια *φανερά*!). Εἰ δὲ καὶ ὁ Σχιμίδιος οὐκ ἠξίου τὰ τοιαῦτα (ὡς μικρά τινα παρ' αὐτῷ κοσκυλμάτια καὶ σκαριφίσματα νομιζόμενα) προσεκτικώτερον φιλοκρινεῖν, ἀλλ' ἠδύνατο μίαν ὀφθαλμοῦ βολὴν ἐπιβαλεῖν ἐν τῇ παραλλήλῳ κειμένῃ παρ' Ἰουστέλλῳ λατινικῇ ἑρμηνείᾳ τοῦ περὶ οὗ ὁ λόγος ΠΕ, κανόνος τῶν Ἀποστόλων, ὅπου γέγραπται κἀκεῖ μόνον τὸ mystica (*μυστικά*), χωρὶς τοῦ *μυστήρια*. Καὶ Δρέϋς δὲ νεώτατος μετ' ἄλλους ἡμῖν ἐπιφανείς, ᾖσε τὴν αὐτὴν ἐκείνοις λῃρῳδίαν, οὐ μόνον τὸν ΠΕ τοῦτον κανόνα, ἀλλὰ καὶ ὅλον τῶν Ἀποστολικῶν κανόνων τὸ ἄθροισμα νόθον καὶ κίβδηλον φιλοτιμησάμενος ἀποδεῖξαι! Καὶ ἔστι μὲν ἐπιεικῶς θρασυμάχας τις ὁ Δρέϋς! Ὅτι δὲ *μάζαν σαπρὰν παλαμᾶται χερσί*, καὶ πόση τῆς αὐτοῦ θρασυξενίας, ἐν οἷς οὐκ ἔμαθεν, ἡ ὑπερβολή, θεοῦ διδόντος, δεδείξεται. (Βλ. Drey, Neue Untersuchungen über die Constit. und Kanones der Apostel. pag. 370—377).

ἀρχαίων. Ἀλλ᾽ ὅμως ἐν ἄλλοις πάλιν ἀρχαίοις καταλόγοις ἐξηγοῦνται σαφέστερον καὶ τὰ μέρη τὰ συνιστῶντα τὴν μονόβιβλον τοῦ Ἱερεμίου. Αὐτίκα ἡ (τῷ 364 μ. Χ.) ἐν Λαοδικείᾳ Σύνοδος (Κανόν. Ξ), μνημονεύουσα τὸν Ἱερεμίαν, ἐπισυνάπτει καὶ τὰ τούτου μέρη, λέγουσα· « Εἰκοστὸν (βιβλίον τοῦ Κανόνος) Ἱερεμίας, Βαροὺχ, Θρῆνοι, Ἐπιστολή » (α). Ὡσαύτως καὶ ὁ μέγας Ἀθανάσιος· « Εἶτα . . . Ἱερεμίας, καὶ σὺν αὐτῷ Βαροὺχ, Θρῆνοι, καὶ Ἐπιστολή (Ἑορτας. Ἐπιστ. λθ). Οὕτω γέγραπται καὶ ἐν τῇ *Συνόψει*. Μετὰ γὰρ τὸν Ἱερεμίαν εὐθὺς ἐπισυνάπτει· « Βαροὺχ δὲ ἐπι-

---

(α) *Οὕτω γραπτέον οἶμαι ἀντὶ τοῦ προφανῶς ἡμαρτημένου* ἐπισολαὶ *(πληθ.). Λέγει μὲν γὰρ ὁ ἱερὸς* Ἐπιφάνιος Ἐπιστολὰς, *ἀλλὰ καὶ διορίζει ταύτας, « μίαν μὲν αὐτοῦ τοῦ* Ἱερεμίου, *ἑτέραν δὲ τὴν τοῦ* Βαροὺχ, *αὐτὴν τὴν συγγραφὴν (ἐπισολὴν καὶ ταύτην οὖσαν κυρίως, ὡς εἴπομεν ἀνωτέρω σελ.* 677)· *μαρτυρεῖ δὲ τρανῶς καὶ ὁ* Μ. Ἀθανάσιος, *ἐπιστολὴν ἑνικῶς ὀνομάζων (δηλονότι τὴν τοῦ Ἱερεμίου, ἐπειδὴ καὶ πρῶτον ὠνόμασε ῥητῶς τὸν* Βαροὺχ, *ὡς ἐροῦμεν εὐθὺς ἐν τοῖς ἀνωτέρω).* Ἄλλας *ἀποδείξεις προσθεῖναι περιττόν. Διὸ καὶ δικαίως ἠπόρησε περὶ τούτων τῶν ἐπιστολῶν τοῦ κανόνος τῆς ἐν* Λαοδικείᾳ Συνόδου *ὁ ἀοίδιμος* Νικόδημος, *ὁ ἐκ τῆς ἡσυχίας τοῦ ἁγιωνύμου* Ὄρους *πολλὰ καὶ ψυχωφελῆ συγγράμματα πρὸς καταρτισμὸν τῶν ἁπλουστέρων ἀδελφῶν τῇ* Ἐκκλησίᾳ *προσενεγκών· βλέπε τὴν τούτου σημείωσιν τὴν εἰς τὸν* ΠΕ, *κανόνα τῶν ἁγίων* Ἀποστόλων *(ἐν τῷ ὑπ᾽ αὐτοῦ καὶ τοῦ συνεργοῦ* Ἀγαπίου *κοινολεκτικώτερον παραφρασθέντι* Πηδαλίῳ *τῶν ἱερῶν κανόνων), ὅπου ἀποδοκιμάζει τὴν ὑπό τινων ἀλλογενῶν τῆς παλαιᾶς* Γραφῆς *ἐκδοτῶν διάταξιν τῶν βιβλίων, καθ᾽ ἣν διχοτομεῖται μὲν ἡ* Ἐσθὴρ *[ἐννοεῖ δὲ τὰς λεγομένας προσθήκας (βλ. σελ.* 583), *αἵτινες ἔν τισιν ἐκδόσεσιν, ὡς ἐν τῇ τῆς* Χάλης 1763, *τάσσονται μετὰ τῶν* Ἀποκρύφων *ἐν τῇ πέζᾳ τῆς* Βίβλου. *Ὁ δὲ* Βῶσος, *ἐκδ.* Βατιχ., *ἐγκαταλιπὼν τὰς προσθήκας ἐν τοῖς ἰδίοις αὐτῶν κεφαλαίοις, κατέστιξεν ὅμως αὐτὰς, παρασημειώσας ὑποστιγμάς!* Ἡ *δὲ τέλος τῆς* Κανταβριγίας *ἔκδοσις* 1665, *καὶ παντάπασιν ἐξέβαλε τὰς προσθήκας τῆς* Ἐσθήρ! *οὕτως οἱ σοφοὶ ἐκδόται αὐτοσχεδιάζουσι πολλάκις ἐν ταῖς ἡμετέραις* Γραφαῖς, *ὅπως ἂν αὐτοῖς δόξῃ]· διχοτομεῖται δὲ (προστίθησιν ὁ* Νικόδημος) *καὶ ὁ* Βαροὺχ *μετὰ τῆς ἐπιστολῆς, ἀποῤῥαγεὶς ἀπὸ τῆς προφητικῆς τοῦ* Ἱερεμίου *βίβλου, καὶ συνεκδοθεὶς μετὰ τῶν* Ἀποκρύφων *(ὤφειλε δὲ προσθεῖναι καὶ τὸν ὅμοιον διαμελισμὸν τῶν τοῦ* Δανιὴλ *περικοπῶν)· Δικαίως δὲ κακίζει καὶ αὐτὴν τὴν τῶν* Ἀποκρύφων *ὀνομασίαν, τιθεμένην ἐπὶ τῶν ἱερῶν τευχῶν, ἃ κυρίως ἀναγινωσκόμενα ὁ θεῖος* Ἀθανάσιος *ἐπιγράφει, καὶ ὁ κανὼν τῆς* Ἐκκλησίας *ἐπικυροῖ (οἷον τὸν* Τωβίτ, *καὶ τὴν* Ἰουδεὶθ *κτλ.). Εἰ δὲ μετὰ τούτων ὑπέλαβε τακτέον καὶ τὴν* Σωσάνναν, *καὶ τὰς ἄλλας τοῦ* Δανιὴλ *περικοπὰς, καὶ τὸν μετὰ τοῦ* Ἔσδρα *συνημμένον* Νεεμίαν, *ἀλλὰ τά γε τοιαῦτα ἁπλούστερον ἔγραψε μᾶλλον, ἢ ἀκριβέστερον ὁ μακαρίτης* Νικόδημος.

γράφει (ἴσ. γρ. *ἐπιγράφεται*) τὸ βιβλίον, ἐπειδὴ οὗτος γράψας ἀπὸ στόματος Ἱερεμίου τοὺς ἐν τῷ βιβλίῳ λόγους, ἀνέγνω τοῖς ἐν τῇ Βαβυλῶνι» κτλ. Καὶ πάλιν· «Θρῆνοι δὲ ἐπιγράφει (*ἐπιγράφεται*) τὸ βιβλίον». Καὶ, τέλος, «Ἐπιστολὴ Ἱερεμίου καλεῖται» κτλ. Ἐπιφανίου δὲ καὶ Ἱλαρίου καὶ Αὐγουστίνου φθὰς ὁ λόγος ἐμνημόνευσε· προστεθείσθω καὶ Κύριλλος ὁ Ἱεροσολύμων (Κατηχ.), καὶ Νικηφόρος ὁ Πατριάρχης (μετὰ τὸν Ἱερεμίαν τάττων τὸν Βαροὺχ ἐν τῇ Χρονογραφίᾳ), καὶ ὁ θεῖος Δαμασκηνὸς (π. Ὀρθοδ. Πίς.), καὶ εἴ τις ἕτερος τῶν ἁγίων ἡμῶν Πατέρων ἠρίθμησε κατὰ τάξιν τὰ ὑφ' ἓν ὄνομα, τὸ τοῦ Ἱερεμίου, συνυπακουόμενα μέρη τῆς προφητικῆς αὐτοῦ βίβλου. Ὅτι δὲ ἐν πάσαις ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ ὑπῆρχεν ὁ αὐτὸς τῶν προφητικῶν βίβλων κανὼν, καὶ ἡ ἐν Καρθαγένῃ, φέρ' εἰπεῖν, Σύνοδος ἀναφέρουσα τὴν μονόβιβλον τοῦ Ἱερεμίου, συνεπενόει καὶ τὸν Βαροὺχ καὶ τὴν Ἐπιστολὴν, ὡς καὶ ἡ ἐν Λαοδικείᾳ πολὺ πρότερον αὐτῆς σαφέστερον ἡρμήνευσε· καὶ ὅτι πάλιν ὁ Θεολόγος Γρηγόριος (ὅστις καὶ ῥήσεις ἐκ τοῦ Βαροὺχ ἐν τοῖς λόγοις ἀναφέρει), καὶ πολὺ πρὸ τούτων ὁ Ἀποστολικὸς Κανὼν, Ἱερεμίαν λέγοντες μονολεκτικῶς, αὐτὸν ἔλεγον ἐκεῖνον τὸν παρὰ τῷ μεγάλῳ Ἀθανασίῳ καὶ τῷ ἱερῷ Ἐπιφανίῳ μετὰ τῶν ἰδίων αὐτοῦ προφητειῶν καὶ τῶν ἄλλων μερῶν διαγεγραμμένον (ἃ καὶ Ὠριγένης αὐτὸς συμπεριέλαβεν ὑφ' ἓν ὄνομα, τὸ τοῦ Ἱερεμίου, ἢ τὸ τῆς *Ἐπιστολῆς*), τοῦτο, λέγομεν, πασίδηλόν ἐςι, καὶ φανώτερον ἡλίου τοῖς βουλομένοις ὁρᾷν.

ι) Τελευταῖον· οἱ πλεῖστοι τῶν ἐπισημοτάτων Πατέρων τῆς Ἐκκλησίας ἐν τοῖς συγγράμμασιν αὐτῶν ἀναφέρουσι ῥήσεις τοῦ Βαροὺχ ὡς θεοπνεύστους μαρτυρίας τῆς ἁγίας Γραφῆς· οἷον 1) Αἱ Διαταγαὶ τῶν ἁγίων Ἀποστόλων οὐ μόνον ἐν ᾧ προείπομεν χωρίῳ (βλ. ὄπισθ. σελ. 674), ἀλλὰ καὶ ἀλλαχοῦ (βιβλ. ς, 23) μετὰ τοῦ Δαβὶδ συνάπτουσι καὶ ῥῆσιν τοῦ Βαρούχ (τὴν ἐν κεφαλ. δ, 4). 2) Καὶ ὁ ἅγιος Εἰρηναῖος ὡς θείαν βίβλον αὐτὴν ἀναφέρει (κ. Αἱρέσ. ε, 25). 3) Ὁ δὲ Κυπριανὸς ὁ ἱερομάρτυς (Μαρτ. π. Κυρ. Β. 6), καὶ Κλήμης ὁ Στρωματεὺς, καὶ ὡς αὐτοῦ τοῦ προφήτου Ἱερεμίου ῥήσεις

ἐκφέρουσι τοῦ Βαροὺχ, καὶ ἄλλην πάλιν αὐτοῦ περικοπὴν ἁπλῶς ὡς ἐκ τῆς *θείας Γραφῆς* (α). 4) Τούτου καὶ Τερτυλλιανὸς μνημονεύει (Σκορπιακ. κ. 8). 5) καὶ ὁ Εὐσέβιος (Εὐαγγ. Ἀποδείξ. ς, 19), θείας φωνὰς ὀνομάζων τὰς προφητείας τοῦ Βαροὺχ (τὰς ἐν τῷ γ, κεφ. ἀπὸ τοῦ 29 στίχ. μέχρι τέλους τοῦ κεφ.). 6) καὶ ὁ Μ. Ἀθανάσιος, ὡς ἐκ τοῦ Ἱερεμίου καὶ αὐτὸς ἐκφέρων τὴν ῥῆσιν (ϐ). 7) Καὶ ὁ ἱερὸς Ἱππόλυτος (τ. β. κατ. Νοήτ.). 8) Καὶ ὁ Μ. Βασίλειος (περὶ τοῦ ἁγ. Πνεύματος κεφ. ς. σελ. 156. τόμ. β). 9) Καὶ Γρηγόριος ὁ Θεολόγος (λόγ. λς· καὶ ἐπιστολ. β. πρὸς Κληδόν. τόμ. α. σελ. 586, 747). 10) Καὶ ὁ Χρυσόστομος Πατὴρ (περὶ τῆς ἁγ. Τριάδος). 11) Καὶ ὁ ἱερὸς Ἀμϐρόσιος (εἰς ψαλμ. λόγ. 18). 12) Ἀμφότεροι οἱ Κύριλλοι, ὅ,τε Ἱεροσολύμων (Κατηχ. ια, 15), καὶ ὁ Ἀλεξανδρείας (ἔνθ. ἀνωτέρω· καὶ κατὰ Ἰουλιανοῦ βιϐλ. η, καὶ ι, ἐν οἷς καὶ *ἕνα τῶν ἁγίων προφητῶν* τὸν μακάριον Βαροὺχ ὀνομάζει). Καὶ πάλιν ὁ Ἐπιφάνιος ὡς *τῆς θείας Γραφῆς* μαρτυρίας ἐκ τοῦ προφήτου *Βαροὺχ* ἀναγράφει πολλαχοῦ (τόμ. α. σελ. 481, 487, 755 κτλ.), καὶ Θεόδωρος ὁ Ἡρακλεώτης (εἰς ψαλμ. ν, 8: πς, 5 κτλ.), καὶ Αὐγουστῖνος, καὶ Ῥουφῖνος (γ), καὶ ἄλλοι, καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος, ὅστις καί τοι μὴ μεταφράσας τὸν Βαροὺχ, (διότι παρ' Ἑϐραίοις, ὡς εἶπε, nec legitur, nec ha-

---

(α) « Φρόνησις γὰρ καὶ ἡ γνῶσις διὰ τοῦ αὐτοῦ προφήτου (Ἱερεμίου) μηνύεται, λέγοντος· Ἄκουε Ἰσραὴλ ἐντολὰς ζωῆς· ἐνωτίσαθε γνῶναι φρόνησιν» (ἐκ τοῦ Βαροὺχ γ, 10). Καὶ πάλιν· « Παγκάλως γοῦν ἡ θ ε ί α π ο υ λ έ γ ε ι Γ ρ α φ ὴ — ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν, καὶ οἱ κυριεύοντες τῶν θηρίων τῆς γῆς;» κτλ. (ἐκ τοῦ Βαροὺχ γ, 16—19). Κλήμ. Παιδαγ. Α. 10, καὶ Β. 3.

(ϐ) « Καὶ ὁ Ἱερεμίας λέγει· « Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν » κτλ. (Βαροὺχ γ, 36—37), ὁ Μ. Ἀθανάσιος περὶ τῆς ἁγίας Τριάδος Διαλόγ. πρὸς Μακεδόνιον. Καὶ πάλιν ἐν Διαλόγῳ πρὸς Ἀπολλινάριον (ὅπου σημείωσαι, ὅτι καὶ αὐτοὶ οἱ Αἱρετικοὶ ὡς τῆς θείας Γραφῆς ἀπεδέχοντο τὰς ῥήσεις· πρϐλ. Γρηγόρ. Ναζ. τόμ. α. σελ. 586). Τούτους τοὺς Διαλόγους τινὲς τῶν κριτικῶν ἐπιγράφουσιν εἰς τὸν ἱερὸν Θεοδώρητον. Ἀλλὰ καὶ ἐν ταῖς εἰς τὸν Μ. Ἀθανάσιον ἐπιγραφομέναις π ρ ὸ ς Ἀ ν τ ί ο χ ο ν ἐ ρ ω τ ή σ ε σ ι (ἐρωτ. ρλς), ὡς τοῦ Ἱερεμίου ἀναφέρεται ῥῆσις τοῦ Βαροὺχ (ἐκ τοῦ κεφαλ. γ, 35, 37). Βλ. Ἀθανάσ. τόμ. β. σελ. 184, 203, 315.

(γ) Ruffin. Symbol. ad Laurent. episc.

betnr), ἀλλ᾽ ὅμως ἐχρήσατο τοῖς τοῦτον ἐκ τοῦ ἑβραϊκοῦ (ὁπότε et legebatur et habebatur), μεθηρμηνευκόσιν Ο, μνημονεύσας (ἐκ τῆς Ἰτάλας) ῥῆσιν τοῦ Βαρούχ, ὃν καὶ *προφήτην* ἀπολύτως ὀνομάζει (α).

§. κα. ϛ) Ἐπιστολὴ Ἱερεμίου.

Περὶ τῆς Ἰερεμίου ἐπιστολῆς εἴπομεν ἐν τοῖς μικρῷ προηγηθεῖσι· καὶ ὅτι κατ᾽ ἄλλους μὲν κώδηκας κεῖται μετὰ τοὺς Ἰερεμίου Θρήνους συνάμα μετὰ τοῦ Βαρούχ, ὡς ἕκτον τούτου καὶ τελευταῖον κεφάλαιον (οἷον ἀριθμεῖται καὶ ἐν τῇ Βουλγάτᾳ). Ἐν δὲ τῷ Ἀλεξανδρινῷ καὶ πλείστοις ἄλλοις ἀρχαίοις χειρογράφοις ἡ μὲν βίβλος, ἢ ἐπιστολή, τοῦ Βαρούχ ἕπεται μετὰ τὰς Ἱερεμίου προφητείας εὐθύς, ἡ δ᾽ ἐπιστολὴ τοῦ Ἱερεμίου κεῖται μετὰ τοὺς Θρήνους, τὸν ἔσχατον ἐπέχουσα τόπον ἐν τῷ τεύχει τοῦ θείου Ἱερεμίου. Οὕτω τάττεται καὶ ἐν οἷς προείπομεν καταλόγοις τῶν κανονικῶν Γραφῶν· καὶ ἐν τῷ Ἀλεξανδρινῷ κώδηκι μετὰ τὸ τέλος τῆς βίβλου τοῦ Ἱερεμίου σεσημείωται ταῦτα· « Ἱερεμίας ὁ προφήτης, Βαρούχ, Θρῆνοι, Ἐπιστολή » (β). Ὥστε αἱ περὶ τοῦ κύ-

(α) « Propheta ait ad populum. Orate pro vita Navuchodonosor »· etc. (ἐκ τοῦ Βαρούχ α, 11). S. Hieron. Comment. in Job. c. 35. 1 Tom. 4. p. 131. Σημειωτέον δέ, ὅτι τοὺς εἰς τὸν Ἰὼβ καὶ τὰς Παροιμίας ὑπομνηματισμοὺς ἀπονέμουσί τινες εἰς Φίλιππον τὸν πρεσβύτερον, μαθητὴν τοῦ Ἱερωνύμου (τῷ 440), ἐκ τῶν Ἱερωνυμείων πάλιν ὑπομνημάτων ἀπηνθισμένους. Ἀλλ᾽ ὅμως ὁ Φαῦστος (τῷ 430 μ. Χ.) ἐν τῷ περὶ Δημιουργίας ἀναφέρει μαρτυρίαν τοῦ Ἱερωνύμου ἐκ τοῦ ις, κεφ. τῶν εἰς Ἰὼβ ὑπομνηματισμῶν· βλ. Cave, Script. Eccles. Hist. p. 157.

(β) Παρὰ δὲ τῷ Θεοδωρήτῳ οὐχ εὑρίσκεται ἡ ἐπιστολή· λείπει δὲ παρ᾽ αὐτῷ καὶ τὸ ε, καὶ ἔσχατον τῶν Θρήνων κεφάλαιον, μεθ᾽ ὃ παρακολουθεῖ ἡ ἐπιστολή. Καὶ φαίνεται λοιπὸν ὅτι ἐκ τῶν Θεοδωρήτου χειρογράφων συνεξέπεσεν ἡ ἑρμηνεία καὶ τοῦ ε, κεφαλαίου τῶν Θρήνων, καὶ ἡ τῆς ἐπιστολῆς, διὰ πολλὴν ἀβλεψίαν τοῦ πρώτου ἀντιγραφέως· ὅστις ἀντιγράψας τὴν ἐξήγησιν τοῦ δ, κεφαλαίου (τὴν ἔχουσαν ἤδη τὸ τέλος), καὶ εἰς ἄλλο τι ἀσχοληθείς, ἔπειτ᾽ ἀναλαβὼν τὴν ἀντιγραφὴν συνέχεε καὶ παρεῖδε τὰς σελίδας τῆς ἑρμηνείας ἀντιγράψας μόνον τὸ τέλος. Οὐ γὰρ ἂν εἴποιμεν, ὅτι ὁ γραφικώτατος Θεοδώρητος ἐχρῆτο κώδηκι κολοβῷ, καὶ μήτε τοὺς Θρήνους ὁλοκλήρους ἔχοντι, μήτε τὴν ἐπιστολήν. Ἀλλ᾽ οὐδ᾽ οὕτως ἐπιλήσμονα τὸν μακάριον Θεοδώρητον ἐροῦμεν, καὶ μηδ᾽ ἐπισκεψάμενον ὅλως πόσα τῆς Ἱερεμίου

ρους καὶ τῆς γνησιότητος τοῦ Βαροὺχ ἀποδείξεις ἀνήκουσιν οὐχ ἧττον καὶ εἰς αὐτήν.

§. κβ. Φέρει δὲ ὅμως καὶ ἄλλας εἰδικὰς κυριότητος δείξεις ἡ τοῦ Ἱερεμίου ἐπιστολή. Καὶ α) μαρτυρεῖται ἐν τῇ Β. τῶν Μακκαβ. κεφ. β. 2–3· γράφουσι δὲ τοὺς λόγους οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι πρὸς τοὺς κατ' Αἴγυπτον ἀδελφούς (β. Μακκ. α, 1). Καὶ λοιπὸν, β) εἶχον τὴν ἐπιστολὴν ἐπὶ Ἰούδα τοῦ Μακκαβαίου (τῷ 175 π. Χ.) οἵ τε ἐν Ἱεροσολύμοις καὶ οἱ κατ' Αἴγυπτον Ἰουδαῖοι, ἐκεῖνοι μὲν ἑβραϊστὶ πάντως, οὗτοι δὲ κατὰ τὴν ἑρμηνείαν τῶν Ο, ἀναγινώσκοντες τὴν γραφὴν, ὡς γνησίαν ἐν τῇ θεοπνεύστῳ βίβλῳ τοῦ Ἱερεμίου τεταγμένην. γ) Ταύτης μνημονεύουσι καὶ οἱ παλαιοὶ Πατέρες, ὅ, τε Κυπριανὸς ὁ ἱερομάρτυς (ἐν τῷ περὶ τῆς κυριακ. Προσευχῆς), καὶ ὁ Μ. Ἀθανάσιος (Ἐπιστ. ἑορτ. λθ), καὶ Κύριλλος ὁ Ἱεροσολύμων (Κατηχ. δ), καὶ Ἱλάριος (Προλόγ. εἰς τοὺς ψαλμ.) καὶ ἄλλοι. Τούτους ἀντιτάττομεν πρὸς τὸν μακάριον Ἱερώνυμον, ὅςτις (Προοιμ. εἰς Ἱερεμ.) οὐ μεθηρμήνευσε τὴν ἐπιστολὴν, δι' ἕνα καὶ μόνον λόγον, ὅτι τῶν κατ' αὐτὸν ῥαββίνων ὁ κώδηξ ὑπῆρχεν ἀποκεκαρμένος μετὰ τῶν ἄλλων καὶ τὴν ἐπιςολήν· ἀλλὰ καὶ χωρὶς τῆς Ἱερωνυμείας μεταφράσεως ἔχει καὶ νῦν ἐκ τῆς Ἰτάλας ἡ Δυτικὴ Ἐκκλησία καὶ τιμᾷ, καθὰ καὶ τὸ πάλαι, ὡς θείαν γραφὴν καὶ τὴν ἐπιςολὴν Ἱερεμίου.

§. κγ. Ἀλλὰ τοξεύει καὶ κατ' αὐτῆς ἡ κριτικὴ τῶν νεωτέρων δριμύτης δύω τινὰς ἀντιῤῥήσεις, τὰς ἑξῆς· Πρῶτον (λέγουσιν) « Οὐ σῴζει τὸν κατ' ἐκείνους τοὺς χρόνους εἰθισμένον τύπον τῶν ἐπιστολῶν ». Παράδοξος ἀπαίτησις! καὶ ποῖον ὡρισμένον καὶ ἀπαράβατον τύπον ἔχουσιν ἡμῖν ἐπιδεῖξαι, *κοινῶς* παρὰ *πᾶσι* τοῖς ἑβραίοις εἰθισμένον ἐπὶ Ἱερεμίου (τῷ 620 π. Χ.); Εἰ δὲ καί τις ἦν τοιοῦτος ἐπιστολικοῦ χαρακτῆρος ὑπογραμμὸς, ἀλλ' αὐτὸς γοῦν τοῦτον ὁ Ἱερεμίας, ὡς ἔοικεν, οὐκ ἠπίστατο! Παρομοίως γὰρ ἐξέθετο καὶ τὴν προτέραν αὐτοῦ ἐπιςολὴν (Ἱερ. λϛ (ἑβρ. κθ) 15–32),

---

βίβλου κεφάλαια μεταγράψας ἡρμήνευσεν, ὥστε καὶ τὸ τελευταῖον κεφάλαιον τῶν Θρήνων καὶ τὴν Ἐπιστολὴν ἀνερμήνευτα δι' ἀμέλειαν παριδεῖν, ὡς ὑπέλαβεν ὁ Ὑέτιος (Dem. Evang. Pr. IV. p. 248).

ἣν ἐπέστειλε πρὸς τοὺς ἐν Βαβυλῶνι κατὰ τὴν προλαβοῦσαν ἐπ' Ἰεχονίου αἰχμαλωσίαν ἀποικισθέντας Ἰουδαίους. Ταύτην δὲ τὴν δευτέραν ἔγραψεν ἐπὶ τῆς ἐσχάτης αἰχμαλωσίας, τῆς ἐπὶ Σεδεκίου (μετὰ τὴν κατασκαφὴν τῆς Ἱερουσαλὴμ), πρὸς τοὺς εἰς Βαβυλῶνα ἀπαγομένους πολυπλυπληθεῖς δορυαλώτους, ἔτι καθ' ὁδὸν πορευομένους, ἢ καὶ σεσηκασμένους ἔτι ἐν Δεβλαθὰ (ὅπου διέτριβεν ὁ Ναβουχοδονόσορ. Δ. Βασιλ. κε, 20). Καὶ ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ συνεβούλευε τοῖς αἰχμαλώτοις ὁ Προφήτης, φυλάττεσθαι μάλιστ' ἀπὸ τῶν ψευδοπροφητῶν. Ἐν δὲ ταύτῃ, φυλάττεσθαι ἀπὸ τῶν εἰδώλων (ὧν τὴν οὐθένειαν, καὶ τὴν ὕλην, καὶ τὸ εἶδος, καὶ τὴν παρὰ Χαλδαίοις εἰθισμένην κατασκευὴν, καὶ τὸν διάκενον στολισμὸν, καὶ τὰ τῆς Χαλδαϊκῆς εἰδωλολατρείας ἔθιμα λίαν ἐναργῶς καὶ ζωγραφικῶς, καὶ οἷον πρὸ ὀφθαλμῶν παριστᾷ). Τοιαῦτα καὶ πρὸ τῆς αἰχμαλωσίας συνεβούλευε τοῖς ἰδίοις ὁμογενεῖς ὁ προφήτης (κεφ. ι), Ἡσαΐᾳ καὶ Δαβὶδ συμφωνῶν (Ἡσαϊ. μδ, μϛ. καὶ ψαλμ. ριγ, 4). Καὶ ἁπλῶς, ὅλος ὁ τοῦ λόγου χαρακτὴρ φέρει τὸ λῆμμα τὸ προφητικὸν, καὶ τὸν Ἱερεμίᾳ συνήθη τόνον, μετὰ τῶν ἑβραϊσμῶν τῆς διαλέκτου τῶν Ο.—Δεύτερον ἔγκλημα μέγα τῆς Ἱερεμίου ἐπιστολῆς εὕρηκαν οἱ κριτικοὶ, καὶ ὅτι διορίζει τὴν ἐν Βαβυλῶνι αἰχμαλωσίαν τῶν Ἰουδαίων διαρκέσουσαν « *ἕως γενεῶν ἑπτὰ* » (στίχ. 3), ἐν ᾧ αὐτὸς ὁ προφήτης ἐν τῇ προτέρᾳ ἐπιστολῇ προεῖπεν ὅτι διαρκέσει « *ἔτη ἑβδομήκοντα* » (Ἱερεμ. λϛ, 10). Ἀλλὰ τοῦτο πάντως σημαίνουσι καὶ αἱ ἑπτὰ *γενεαί*· οὐδ' ἔχει διορθώσεως χρείαν ἡ λέξις, ὥς τινες ὑπενόησαν, τρέποντες τὸ *γενεῶν* εἰς τὸ *δεκάδων* (α). Ἡ γὰρ γενεὰ παρὰ τοῖς ἀρχαίοις ἐσήμαινε μὲν καὶ γένος, καὶ γένναν (γόνον, ἀπόγονον), ἰδίως δὲ καὶ μέτρον τῆς τῶν γεννωμένων διαδοχῆς, ἢ βιοτῆς ἀνθρωπίνης διάστημα χρονικὸν, ἄλλως ἄλλοτε παρ' ἄλλοις ὁριζόμενον, (ὃ δὴ καὶ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, σελ. 512) « Γενεὰ (φησὶν ὁ Ἡσύχιος), ἐπὶ διαστήματος χρόνου τῶν μὴ κατ' αὐτὸ (ἴσ. γρ. μὴ κατὰ *ταὐτὸ*) βεβιωκότων· τὴν

(α) Grot. καὶ Houbig. not. in h. l.

δὲ γενεὰν ὑφίστανται ἐτῶν οἱ μὲν 20, οἱ δὲ, 25, οἱ δὲ, 30 ». Οὕτω καὶ Ἡρόδοτος (β, 142) τὰ κατὰ τοὺς Αἰγυπτίους ἱστορῶν, ἔγραψεν, ὅτι « γενεαὶ τρεῖς ἀνδρῶν, ἑκατὸν ἔτεά εἰσιν» (Α, 142). Ὁ δ' αὐτὸς πάλιν (α, 7) τὴν εἰς ἔτη 505 διαρκέσασαν ἀρχὴν τῶν Ἡρακλειδῶν ἐψήφιζεν εἰς γενὰς 22 (ἀνὰ 23 ἔτη ὁρίζων τὴν γενεάν). Τῶν δὲ παρὰ Πλουτάρχῳ σοφῶν οἱ μὲν ἐξ ἐτῶν 30 ἐποίουν τὴν γενεὰν, καθ' Ἡράκλειτον· οἱ δὲ *γενεὰν ἀνδρὸς* ἔλεγον *τὸν ἐνιαυτόν* (α). Ἐμέτρων δὲ ὅμως καὶ κατὰ δεκαετίαν· καὶ μάρτυς ὁ Λαέρτιος (Η, α, 20) λέγων, ὅτι « τὸ τοῦ Πυθαγόρου σύστημα (ἢ σχολὴ) διέμεινε μέχρι γενεῶν *δικαεννέα* », τουτέστιν ἔτη 190, ὡς δείκνυται ἐκ τῆς τῶν τελευταίων διαδόχων ἐποχῆς. Οἱ δὲ πάλιν ἰατροὶ τὴν *ἡλικίαν* (ἥτις φαίνεταί πως ἰσοδύναμος τοῦ γενεὰ κατά γε ταύτην τὴν σημασίαν) ἐλογίζοντο πρόπαλαι καθ' ἑπταετίαν (β). Ἀλλὰ καὶ χωρὶς τούτων, πρᾶγμα φαίνεται γελοῖον, εἴ τις οὕτως ἠλίθιον, ἢ μωρόληρον νομίζοι γενέσθαι τὸν Ἰουδαῖον (τὸν δῆθεν πλαστογραφήσαντα τοιαύτην θαυμασίαν ἐπιστολὴν), ὥστε σαφῶς ἀντειπεῖν πρὸς τὴν οὕτως ἀκριβῶς ὑπὸ τῶν προφητῶν διωρισμένην, καὶ πανδήμως ὑπὸ τῶν Ἰουδαίων πεπιστευμένην χρονικὴν διάρκειαν τῆς αἰχμαλωσίας, καινὴν αὐτὸς εἰσάγων καὶ παντάπασι παρ' Ἰουδαίοις ἄγνωστον χρονομετρίαν, καὶ ταῦτα χωρὶς ἀνάγκης. Μὴ γὰρ οὐκ ἠδύνατο γράψαι καὶ ἁπλούστερον, *μέχρις ἐτῶν* Ο; Τοσαῦτα καὶ περὶ τῆς Ἐπιστολῆς.

§. κδ. Ζ) Α. Ἔσδρας.

Λείπει καὶ οὗτος ἐκ τοῦ ἑβραϊκοῦ κώδηκος· κεῖται δὲ μόνος ὁ κατὰ

(α) Πλούτ. περὶ τῶν ἐκλελοιπ. Χρηστ. βλ. καὶ Σχολ. εἰς Ἰλ. Α. 250: Καὶ ὁ ἱερὸς Κλήμης « Εἰς τὰ ἑκατὸν ἔτη τρεῖς ἐγκαταλέγονται γενεαί »· Στρωμ. α, 303: πρβλ. Μ. Ἐτυμ. — Σουΐδ. — Menag. εἰς Λαερτ. Η. 45: καὶ τοὺς κριτικοὺς εἰς Ἡσύχ. λέξ. Πολὺ δὲ νεωτέρα ἡ τῆς γενεᾶς ἐπὶ 100 ἐτῶν ἐκδοχή. Ὅθεν ὁ Καλμέτης ἠπατήθη διορίζων τὸν ἐννενηκοντούτη (Σουΐδ. Ἡσύχ.) Νέστορα (Ἰλ. Α. 250) ἐτῶν 300, καὶ ἐπέκεινα! Diction. T. 2. p. 167.

(β) Βλ. καὶ Schleusner, Nov. Thes. Vet. Test. λ. γενεὰ (ὅπου κατὰ λάθος ἐγράφη δὶς ἡ αὐτὴ μαρτυρία ἔκ τε τῆς ἐπιστολῆς Ἱερεμίου στίχ. 3, καὶ ἐκ τοῦ ς κεφαλαίου τοῦ Βαρούχ, ἐν ᾧ κεῖται πάλιν ἡ αὐτὴ τοῦ Ἱερεμ. ἐπιστολὴ, κατὰ τὴν ἔκδοσιν τῆς Βουλγάτας). Sandbichler, Erläuterung der Bibl. Geschichte p. 390—399 Ackermann, l. c. p. 327. — Janssens, Hérmeneutique sacrée pag. 193.

τοὺς Ο, δεύτερος Ἔσδρας μετὰ τοῦ Νεεμίου· ὅθεν καὶ οὗτος ὁ Ἔσδρας παρ' Ἑβραίοις ἐπιγράφεται πρῶτος, ὁ δὲ Νεεμίας, δεύτερος. Ἔλειπε δὲ καὶ ἐπὶ Ἱερωνύμου ὁ Α. Ἔσδρας ἐκ τοῦ ἑβραϊκοῦ· διὰ ταῦτα καὶ οὗτος τὸν Β, μόνον ἐξελατίνισε, καὶ τὸν Νεεμίαν· καὶ τούτους ἐπέγραψε Α, καὶ Β, Ἔσδραν, κατὰ τοὺς Ἑβραίους (οὕτω καὶ νῦν ἐν τῇ Βουλγάτᾳ κεῖνται)· τὸν δὲ παρὰ τοῖς Ο, καὶ κατὰ τὴν ἀρχαίαν λατινικὴν ἑρμηνείαν σωζόμενον *πρῶτον* Ἔσδραν, τρίτον ἐπωνόμασεν ὁ Ἱερώνυμος (οὕτως αὐτῷ δόξαν), καὶ παρεῖδεν, ὡς ἀπόκρυφον καὶ ἰσότιμον ἄλλῳ τινὶ βιβλίῳ, *τετάρτῳ* παρ' αὐτῷ λεγομένῳ *Ἔσδρᾳ*, ἀποκρύφῳ τῷ ὄντι, οὗτινος οὐδεμία ἑλληνική, μόνον δὲ λατινικὴ σώζεται ἑρμηνεία, καὶ εἴ τις ἄλλη τῶν μεταγενεστέρων(α).

(α) « Nec quemquam moveat quod unus a nobis liber (Esdrae) editus est, nec Apocryphorum tertii et quarti (libri) somniis delectetur, quoniam et apud Hebraeos Esdrae Neemiaeque sermones in unum volumen coarctantur » etc. S. Hieron. praef. in Esdram et Neem. Ταύτην τὴν γνώμην τοῦ Ἱερωνύμου διετήρησε καὶ ἡ ἐν Τριδέντῳ Σύνοδος, τάξασα τὸν Δ. Ἔσδραν ἐν τοῖς Ἀποκρύφοις, ὀρθῶς καὶ δικαίως· Οὐκ ὀρθῶς δὲ ὅμως οὐδ' εὐαγῶς συγκατέταξεν ἐν τοῖς Ἀποκρύφοις καὶ τὸν Γ. (τὸν καθ' ἡμᾶς Α) Ἔσδραν, καὶ τὴν προσευχὴν τοῦ Μανασσῆ, καὶ ταῦτα ὡς ἀπόκρυφα ἀριθμοῦσα (βλ. Lamy, Apparat. Biblic. p. 166). Συνεκδίδουσι δὲ καὶ τὰ τρία ταῦτα μετὰ τῆς Βουλγάτας ἐν ἰδίῳ τόπῳ καταχωρίζοντες, ἢ καὶ ἐν τῷ προμετωπίῳ τῆς βίβλου κατατάσσοντες μετὰ τῶν προλεγομένων, ὡς ἐν τῇ νεωτάτῃ τῆς Βουλγάτας ἐκδόσει (Paris, 1842). Καὶ ταῦτα μὲν ταύτῃ. Τὸ δὲ Δ. βιβλίον τοῦ Ἔσδρα οἱ μέν τινες ἐκ τοῦ ἑβραϊκοῦ, ἢ τοῦ Χαλδαϊκοῦ νομίζουσιν ἑλληνιστὶ καὶ λατινιστὶ μεθηρμηνευμένον, οἱ δὲ πλεῖστοι τὸ λατινικὸν ἐξ ἑλληνικῆς τοῦ ἑβρ. μεταφράσεως, ὑπό τινος ἑλληνιστοῦ Ἰουδαίου γενομένης· ἴχνη δὲ ταύτης ῥητά τινα φαίνονται (ὡς θέλουσί τινες) ἐν τῇ τοῦ Βαρνάβα ἐπιστολῇ, καὶ παρὰ τῷ Στρωματεῖ Κλήμεντι. Καὶ οἱ μέν τινες πρὸ Χριστοῦ θέλουσι τὸ ἀπόκρυφον τοῦτο συγγεγραμμένον· (Morin. Exerc. Bib. L. 11 p. 225. Horne, Introduct. T. 4, p. 240)· ὁ δὲ Σχιμίδιος, καὶ μετὰ τὴν Ἰωάννου Ἀποκάλυψιν ὑπό τινος ἑλληνιστοῦ Ἰουδαίου (Schmid, Hist. antiq. etc. p. 514). Μόνοι οἱ Ἀναβαπτισταὶ συναριθμοῦσι τοῦτο τὸ ἀπόκρυφον μετὰ τῶν προφητικῶν· ἀλλ' ἐξήλεγξε τὴν πλάνην ὁ Müller ἐν Anabaptism. p. 305. Hamb. 1644. Διέλαβε περὶ τούτου καὶ ὁ Φαβρίκιος (Biblioth. Graec. T. 3. p. 744 Harl. καὶ Codex pseudep. V. Test. Tom. 2. p. 173), καὶ Sabatier l. c. κτλ. Σώζεται δὲ τοῦ Δ, Ἔσδρα καὶ Σλαβονικὴ ἐκ τοῦ λατινικοῦ μετάφρασις, τὸν ἔσχατον ἐπέχουσα τόπον παρὰ τὴν πέζαν τοῦ Σλαβονικοῦ κώδηκος (ὡς ἀπόκρυφον ὂν τὸ βιβλίον), καὶ Ἀραβικὴ δὲ φέρεται μετάφρασις, ἥτις ὅμως πάμπολυ τῆς λατινικῆς διαφέρει· καὶ Αἰθιοπική· ἣν ἐκλατινίσας ἐξέδωκε μετ' ἐπισήμων σημειώσεων ὁ Lau-

§. κε. Περιέχει δὲ καὶ ὁ κατὰ τοὺς Ο πρῶτος Ἔσδρας τὴν αὐτὴν ὑπόθεσιν, ἣν καὶ ὁ δεύτερος (δηλονότι τὴν ἐκ Βαβυλῶνος εἰς Ἰουδαίαν ἐπιστροφὴν τῶν Ἰουδαίων), ἀλλ᾽ οὗτος μὲν αὐτὴν ἱστορεῖ συνοπτικώτερον, καὶ οἷον ἐν περιλήψει· ὁ δὲ πρῶτος, μᾶλλον ἐκτενέστερον, καὶ μετά τινων ἰδίων περιστατικῶν πεπλουτισμένην. Καὶ φαίνεται ἄρα δύω τοῦ τεύχους ἐκδόσεις ὁ αὐτὸς ἐκδεδωκὼς συγγραφεὺς, τὴν μὲν πληρεστέραν, τὴν δὲ συνωψισμένην πρὸς χρῆσιν εὐχερεστέραν· ἴσως δὲ τὴν ἐπιτομὴν καὶ αὐτὸ τὸ συνέδριον τῆς Συναγωγῆς ἐποιήσατο. Ὅθεν καὶ ταύτας ἀμφοτέρας ὡς ἱερὰς ἐν τῷ κανόνι διέταξεν ἐξ ἀρχῆς. Καὶ οἱ Ο, μεθηρμήνευσαν ἀμφότερα τὰ τεύχη, κείμενα ἐν τῷ κατ᾽ αὐτοὺς ἑβραίῳ κώδηκι (α).

§. κϛ. Ὅτι δὲ καὶ ὁ πρῶτος Ἔσδρας ὑπῆρχεν ἐξ ἀρχῆς τεταγμένος ἐν ταῖς κανονικαῖς Γραφαῖς, ὡς ἔστι τεταγμένος καὶ ἐν τοῖς Ο, μαρτυροῦσι

α) Ὁ Ἰουδαῖος Ἰώσηπος (Ἀρχ. ΙΑ, γ), ὅστις τὰ ἐν τῷ γ, καὶ δ, κεφαλαίῳ τοῦ Α. Ἔσδρα (μὴ κείμενα δὲ ἐν τῷ Β) κατὰ πλάτος ἱστορεῖ. Ὅτι δὲ ταῦτ᾽ ἀνέγνω καὶ ἐν τῷ κατ᾽ αὐτὸν ἑβραίῳ κώ-

---

rence (ἐν Ὀξων. τῷ 1820). Σημειωτέον δὲ, ὅτι τοῦτο τὸ ἀπόκρυφον ὁ συγγραφεὺς αὐτὸς, ἴσως, ἐπέγραψεν Ἔσδραν Β (ὡς ἂν β, τόμον μετὰ τὸ ἓν βιβλίον, τὸ περιέχον τὰ τεύχη τοῦ α, καὶ β, Ἔσδρα). Εὑρήσεις δὲ καὶ εἰς τοῦτο σημειώσεις τινὰς τοῦ Baduellij, καὶ μάλιστα τοῦ Castailionis ἐν Critic. Sacr. T. 5, pag. 7918. Londin 1640.

(α) Τὸν Α, Ἔσδραν ὡς κανονικὸν, καὶ ὑπὸ τῶν Ο μεθηρμηνευμένον, καὶ ὁ Βίστων βεβαιοῖ, μάτην ἀντιλέγοντος Καρψοβίου (Crit. Sacr. p. 806). Μάτην δὲ καὶ αὐτὸς ὁ Βίστων ὑπενόησε τὸν Β, Ἔσδραν μετὰ τοῦ Νεεμίου ὡς τοῦ Θεοδοτίωνος ἑρμηνείαν (αὐτόθ.). Ὁ δὲ πάλιν Εἰχόρνιος (οὐδ᾽ οὗτος ὀρθῶς) τὸν παρὰ τοῖς Ο πρῶτον Ἔσδραν ἄλλην ὑπέλαβεν ἑρμηνείαν ἑνὸς καὶ τοῦ αὐτοῦ ἑβραϊκοῦ Ἔσδρα, διάφορον μὲν τῆς τῶν Ο, καὶ μᾶλλον ἐλευθέραν, τοῦ δὲ Συμμάχου προγενεστέραν, πρὸς ἣν καὶ τὸ νῦν ἑβραϊκὸν τοῦ Ἔσδρα κείμενον κρίνει διορθωτέον (Eichhorn, Biblioth. der Bibl. Litterat. 1 Bd. p. 178 sq). Ὁ δὲ Βαλκεναῖρος καὶ αὐτὸς ὡς ἄλλην ἑρμηνείαν τοῦ αὐτοῦ ἑβραϊκοῦ τεύχους, πολὺ τῆς πρώτης γλαφυρωτέραν, τὸν Α Ἔσδραν ὑπολαβὼν, καί τισι προσθήκαις ὑπό τινος δῆθεν ἑλληνιστοῦ Ἰουδαίου (τί δ᾽ οὐχὶ μᾶλλον ὑπὸ τοῦ συγγραφέως αὐτοῦ;) προσηυξημένην, ἐπιφέρει τὸ συμπέρασμα μόνον ἀληθές· « ὅτι μάτην καὶ ψευδῶς (perperam) συναριθμοῦσι τὸν Α Ἔσδραν μετὰ τῶν ἀποκρύφων » (Valken. ad Herodot. Lib. IV. p. 368 ed. Wessel.). Ὅσα δὲ οἱ περὶ τὸν Καρψόβιον προφέρουσιν ὡς ἁμαρτήματα, θεοπνεύστου τεύχους ἀνάξια, τὰ μέν εἰσι σοφιστικώτερον πεπλασμένα, τὰ δὲ σφάλματ᾽ ἀντιγραφέων, ὧν καθαρεύει τὸ Ἀλεξανδρινόν. Βλ. ἐκδ. Grabe, Tom. 2. c. 3. § 6. πρβλ. Sabatier l. c.

δηκι ὁ Ἰώσηπος πρόδηλον· (ἢ πῶς ἂν ἄλλως διηγεῖτο πρὸς τοὺς Παλαιστινοὺς καὶ τοὺς ἄλλους ὁμογενεῖς, ὡς ἐκ τῆς βίβλου τοῦ Ἔσδρα, πράγματα τούτοις ἄγνωστα;). Καὶ λίαν ὀρθῶς ἔκριναν καὶ τῶν νεωτέρων ὅσοι τὸν Α, Ἔσδραν ἐκ τοῦ ἑβραϊκοῦ πάντως ἡρμηνευμένον διεκήρυξαν (α).

β) Ἐν πᾶσι τοῖς ἀρχαιοτάτοις χειρογράφοις τῶν Ο κεῖται ὁ Α, Ἔσδρας κατὰ τάξιν πρῶτος, ἔπειτα ὁ Β, Ἔσδρας, καὶ ὑπ᾽ αὐτὸν συνημμένως ὁ Νεεμίας. Οὕτως ἐν τῷ Ἀλεξανδρινῷ (ὅπου καὶ « Ὁ *Ἱερεὺς* » ὁ Α, Ἔσδρας ἐπιγράφεται), ταύτην ἔχουσι τὴν τάξιν τὰ τεύχη· (πρῶτον), « Ὁ ἱερεύς »· (ἔπειτα), « Ἔσδρας Β », (καὶ παρὰ πόδας χωρίς τινος ἄλλου διορισμοῦ παρακολουθεῖ τὸ τοῦ Νεεμίου βιβλίον), « *Λόγοι Νεεμίου* »· καὶ φαίνεταί πως συνημμένον μετὰ τοῦ Β Ἔσδρα, καὶ ἓν τεῦχος ἀποτελοῦν (οἵαν καὶ Ἀθανάσιος ἐν τῇ Συνόψει διαγράφει τὴν τάξιν, ὡς ἐροῦμεν εὐθύς). Ὅθεν οὐδ᾽ ἐν τῷ καταλογικῷ πίνακι τοῦ Ἀλεξανδρινοῦ χειρογράφου καταγράφεται διακεκριμμένως, ὡς ἴδιον βιβλίον ὁ Νεεμίας (ὅπερ ὁ κλεινὸς ἐκδότης, ὁ Γράβης, εἰς τὴν βιβλιογράφου ἀβλεψίαν ἀδίκως ἀπέδωκεν)(β). Τὴν αὐτὴν τάξιν ἐπέχουσι τὰ Ἐσδραῖα ταῦτα τεύχη καὶ ἐν τῇ τοῦ Ἄλδου ἐκδόσει, καὶ ἐν τῇ Ῥωμαίᾳ τοῦ Βατικανοῦ κώδηκος (ὁ δὲ Βῶσος ἐν τῇ κατ᾽ αὐτὸν ἐκδόσει διέκοψε πάλιν τὴν σειρὰν, ἐξορίσας τὸν Α, Ἔσδραν εἰς τὴν χώραν τῶν κατ᾽ αὐτὸν Ἀποκρύφων). Ἐν δὲ τῇ Κομπλουτείᾳ καὶ ταῖς ἐξ αὐτῆς ἐκδόσεσι τὸ μὲν ἑλληνικὸν τοῦ Α Ἔσδρα κείμενον οὐχ εὑρίσκεται, κεῖται δὲ ὅμως ἀντ᾽ αὐτοῦ παλαιὰ λατινικὴ ἑρμηνεία κατὰ τὴν τάξιν τὴν ἀρχαίαν (γ).

(α) Morin. Exercit. Biblic. p. 225: καὶ Leus ἐν τῷ β, τόμ. τῆς ὑπὸ Γράβου ἐκδόσ. τῶν Ο, Προλεγ. c. III. §. 6. Καὶ ὁ Κασταλλίων ὁμολογεῖ, ὅτι τὸ ἑβραϊκὸν (ἐξ οὗ ὁ Α. Ἔσδρας ἐξελληνίσθη) πρωτότυπον ἐκπέπτωκε (Castal. in Critic. Sacror. T. 5). Ὁ δὲ σοφὸς Βαδύελλος οὐκ οἴδαμεν τί λέγει, λέγων, ὅτι « Οὐθ᾽ ἑλληνικὸν, οὔθ᾽ ἑβραῖον κώδηκα τοῦ (καθ᾽ Ἱερώνυμον) τρίτου Ἔσδρα » (τουτ. τοῦ τῶν Ο πρώτου) « οὐδενὶ, ὅσα γ᾽ ἐμὲ εἰδέναι, συμβέβηκεν ἰδεῖν· εὑρίσκεται δὲ μόνη ἡ παλαιὰ (λατινικὴ) ἑρμηνεία » (Baduell. ibid.).

(β) Βλ. Grabe, edit. τῶν LXX. T. I. Prolog. c. I. §. 2.

(γ) Βλ. Scharfenberg not. in Fabric. Biblioth. Graec. T. 3. p. 744. Harl. — Sabatier, vers. ant. III. p. 1041.

γ) Ἐν πᾶσι τοῖς ἀρχαίοις καταλόγοις τῶν κανονικῶν βιβλίων τῆς παλαιᾶς Γραφῆς ἀριθμοῦνται Ἔσδραι δύω· οἷον· « *Ἔσδρας α, καὶ β* » (Ἀποστολ. Καν. πε). Καὶ, « *Ἔσδρας πρῶτος καὶ δεύτερος (ἐν ἑνὶ βιβλίῳ)*, ἑβραϊστὶ Ἐζρὰ, ὅ *ἐστι βοηθός* » (Ὠριγ. παρ' Εὐσεβ.)· ὡσαύτως καὶ ὁ Μ. Ἀθανάσιος « Εἶτα Ἔσδρας πρῶτος καὶ δεύτερος, ὁμοίως *εἰς ἕνα* » (Ἐπιστ. Ἑορταστ. λθ)· καὶ ὁ ἱερὸς Ἐπιφάνιος (Αἱρέσ. α, 6), καὶ ἄλλοι, καὶ ἡ ἐν Λαοδικείᾳ, καὶ ἡ ἐν Καρθαγένῃ Σύνοδος. Ἐν δὲ τῇ Συνόψει τῶν θείων Γραφῶν ὁ Ἀθανάσιος διαγράψας τὴν τοῦ Α, Ἔσδρα περιοχὴν, ὑποσυνάπτει καὶ τὴν τοῦ Β, λέγων· « Ἐν δὲ τῷ β, λόγῳ (ὁ Ἔσδρας) τὰ αὐτὰ μὲν πάλιν λέγει περὶ τῆς ἐπανόδου, χωρὶς τῶν προβλημάτων· τὰ πλείω δὲ ἐξηγεῖται περὶ Νεεμίου » κτλ. Ὥστε καὶ ὁ Ἀθανάσιος διαγράφει τὸν Νεεμίαν μετὰ τοῦ β, Ἔσδρα συνημμένον εἰς ἓν βιβλίον (ὡς καὶ ἐν τῷ Ἀλεξανδρινῷ, καθὰ προείπομεν ἀνωτέρω). Καὶ τούτους τοὺς δύω Ἔσδρας ἀριθμοῦσιν οἱ κατάλογοι, παρασιωπῶντες τὸν ὡς μέρος συνυπονοούμενον Νεεμίαν· τοῦτο δείκνυται σαφῶς καὶ ἐκ τῆς τοῦ πατριάρχου Νικηφόρου στιχομετρίας (α).

δ) Ὥστε καὶ Ὠριγένης τούτους τοὺς Ἔσδρας ἠρίθμει ἐκ τοῦ ἑβρ. κώδηκος εἰς ἓν βιβλίον περιεχομένους, τὸ ἐπιγραφόμενον *Ἐζρά*. Καὶ ὑπῆρχε λοιπὸν εἰσέτι ἐπὶ τοῦ Ὠριγένους καὶ ὁ πρῶτος Ἔσδρας ἔν τισι χειρογράφοις τοῦ ἑβραίου κώδηκος σωζόμενος. Ἐπειδὴ δὲ παντελῶς ἐξέπεσε (παρορώμενος ἴσως ὡς περιττὸς), ἔμεινε δὲ μόνος ὁ κατὰ τοὺς Ο, δεύτερος Ἔσδρας, τοῦτον ἐπέγραψαν *πρῶτον*· διελόντες δ' ἀπ' αὐτοῦ τὸν Νεεμίαν ἐπέγραψαν δεύτερον Ἔσδραν. Τούτοις ἠκολούθησε καὶ Ἱερώνυμος (ὡς προείπομεν). Ἐντεῦθεν ἐπλανήθησαν ὅσοι τῶν νεωτέρων ἐν τοῖς τοῦ Ὠριγένους καὶ τοῖς ἄλλοις τοῖς ἀρχαίοις τῶν Πατέρων καταλόγοις ἀναγινώσκοντες *πρῶτον*, καὶ *δεύτερον* Ἔσδραν, πρῶτον μὲν ἐξέλαβον τὸν

(α) Ὅθεν καὶ ὁ Μελίτων ἔγραψεν, « Ἔσδρας », (κατὰ τὸ ἑβραϊκὸν μονόβιβλον Ἐζρὰ), μὴ διαιρῶν τὰ βιβλία. Ἐκ τοῦ Μελίτωνος καὶ ὁ θεολόγος Γρηγόριος Ἔσδρας ἁπλῶς ἔγραψε· βλ. Fabric. l. c. p. 744.

κατὰ τοὺς Ο δεύτερον, δεύτερον δὲ τὸν Νεεμίαν, ὡς κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ (α).

ε) Πατέρες ἀρχαιότατοι μνημονεύουσι τὸν Α, Ἔσδραν ὡς κανονικὴν καὶ ἐνδιάθηκον γραφὴν, οἷον Κλήμης ὁ Στρωματεὺς, ὁ Τερτυλλιανὸς, ὁ Ὠριγένης, ὁ Εὐσέβιος, ὁ ἱερὸς Ἀμβρόσιος, καὶ ἄλλοι, καὶ ὁ ἱερὸς Αὐγουστῖνος, ὅστις εἰκάζει, ὅτι καὶ εἰς Χριστὸν ὁ Ἔσδρας προεφήτευσε· καθότι ἐν τῷ « *τί τὸ ἰσχυρότατον* » προβλήματι ἠρίςευσεν, ἀποδείξας, ὅτι « ὑπὲρ πάντα νικᾷ ἡ *ἀλήθεια* » (ἐκ τοῦ Α, Ἔσδρ. γ, 10) (β).

ϛ) Τελευταῖον· ἡ ἀρχαία λατινικὴ Βουλγάτα (ᾗ καὶ Τερτυλλιανὸς καὶ Κυπριανὸς ἐχρήσαντο) εἶχεν ἔκπαλαι καὶ τὸν Α, Ἔσδραν τεταγμένον κατὰ τοὺς Ο (γ). Ὡσαύτως καὶ ἡ παλαιὰ Συριακὴ, καὶ ἡ Ἀραβικὴ ἑρμηνεία, καὶ ἄλλαι, καὶ ἡ Σλαβονικὴ, μετὰ τὸν Νεεμίαν.

§. κζ. Η) Προσευχὴ Μανασσῆ.

Οὐχ εὑρίσκεται οὐδ' αὕτη παρ' Ἑβραίοις· κυροῦται δὲ ἐκ τῆς Β, τῶν Παραλειπομένων (λγ, 19), ὅπου ἀναγινώσκομεν ταῦτα. « Καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσῆ, *καὶ ἡ προσευχὴ αὐτοῦ ἡ πρὸς τὸν Θεὸν* . . , καὶ ὡς ἐπήκουσεν αὐτοῦ . . , ἰδοὺ γέγραπται ἐπὶ λόγων τῶν ὁρώντων » (οὕτως ἔχει καὶ τὸ νῦν ἑβραϊκόν). Καὶ κατὰ ταῦτα λοιπὸν ἡ προσευχὴ τοῦ Μανασσῆ ὑπῆρχε γεγραμμένη ἐν τοῖς λόγοις (Χρονικοῖς) τῶν προφητῶν (οὗτοι γάρ εἰσιν οἱ *ὁρῶντες*, καὶ *βλέποντες* ἄλλως λεγόμενοι παρὰ τῇ θείᾳ Γραφῇ) (δ). Ἐκ τῶν προφητικῶν τούτων Χρονικῶν ἠρανίσθησαν καὶ τὰ ἐν τῷ ἐκδεδομένῳ κανόνι βιβλία τῶν Παραλειπομένων. Ἐν δὲ τῷ τέλει τού-

---

(α) Οὕτως ὁ Schmid l. c. p. 157.—(β) S. August. de Civit. Dei. L. 18 c. 5.

(γ) Βλ. Sabatier l. c.

(δ) *Οὕτω καὶ ἡ προσευχὴ τοῦ Ἐζεκίου κεῖται ἐν τοῖς λόγοις Ἡσαΐου τοῦ προφήτου (λη, 9 κτλ.), φέρουσα καὶ ἰδίαν ἐπιγραφὴν « Προσευχὴ Ἐζεκίου βασιλέως τῆς Ἰουδαίας, ἡνίκα ἐμαλακίσθη, καὶ ἀνέστη ἐκ τῆς μαλακίας ». Ἡ αὐτὴ ἐπιγραφὴ κεῖται καὶ τὰ νῦν ἐν τῷ ἑβρ. πλὴν ἀντὶ τοῦ προσευχὴ γράφεται γραφὴ Ἐζεκίου κτλ.*

των ὑπῆρχε προςεθειμένη ἐν τῷ ἑβραϊκῷ κώδηκι καὶ ἡ προσευχὴ, ἐκ τῶν χρονικῶν καὶ αὕτη ἐξαχθεῖσα, καθὼς φανήσεται ἐκ τῶν ἐφεξῆς.— «Ἀλλ᾽ἐκείνη μὲν ἡ ἐν τοῖς Χρονικοῖς τῶν προφητῶν ὑπῆρχεν ἡ γνησία (δογματίζουσιν οἱ κριτικοί)· ἡ δὲ νῦν ἐν τοῖς κώδηξι τῶν Ο, φερομένη, νόθος ἐστὶ καὶ κίβδηλος ». καὶ φέρουσι τὰς ἀρεσκούσας αὐτοῖς ἀποδείξεις, πρὸς ἃς ἀπαντήσομεν ἐφεξῆς, προθέμενοι πρῶτον τὰ δείγματα τῆς γνησιότητος τῆς καθ᾽ ἡμᾶς Μανασσαίας προσευχῆς.

α) Ἡ προσευχὴ αὕτη σῴζεται ὁλόκληρος ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς (Βιβλ. Β. κεφ. κβ).

β) Ταύτην ἀνεγίνωσκε καὶ Κλήμης ὁ Ῥώμης ὁ Ἀποστολικὸς, ὡς φαίνεται σαφῶς ἐκ τῆς φράσεως τῆς « *κάμψαντες τὰ γόνατα τῆς καρδίας ὑμῶν* » (Ἐπιϛ. Α, νζ), ἥτις ἀντεγράφη προφανῶς ἐκ τῆς τοῦ Μανασσῆ προσευχῆς, « *Καὶ νῦν κλίνω γόνυ καρδίας δεόμενος* » κτλ., παρ᾽ οὐδενὶ τῶν ἄλλων τῶν κανονικῶν βιβλίων τῆς γραφῆς κατὰ λέξιν κειμένη (α).

γ) Περιέχεται καὶ ἐν τῇ τοῦ Ἱερωνύμου παλαιᾷ λατινικῇ ἑρμηνείᾳ (β), ὡσαύτως καὶ ἐν τῇ Αἰθιοπικῇ, καὶ τῇ Σλαβονικῇ, κτλ.

δ) Ἀνέγνω τὴν προσευχὴν καὶ Ἀφρικανὸς, ὁ σύγχρονος Ὠριγένους, ὡς ἐκ τῶν παραλλήλων τοῦ ἱεροῦ Δαμασκηνοῦ μαρτυρεῖται (γ).

ε) Καὶ ὁ μέγας Βασίλειος (ἐν εὐχῇ τῆς θείας Μεταλήψεως), παραβάλλων ὅλην περίοδον, τὴν « Παρώργισα γάρ σου τὴν ἀγαθότητα — μὴ ποιήσας τὸ θέλημά σου καὶ μὴ ὑπακούσας τοῖς σοῖς προστάγμασι » (οὕτω καὶ ἡ Προσευχή· « Διότι παρώργισα τὸν θυμόν σου, μὴ ποιήσας » κτλ.)

ϛ) Καὶ ὁ θεῖος Χρυσόστομος ἀνέγνω τὴν προσευχήν· (λόγῳ εἰς τὸν τελώνην καὶ φαρισσαῖον).

(α) Βλ. Coteler. P. Apostol. T. 1. p. 178.

(β) Βλ. Sabatier. Bibl. Sacr. Lat. Vers. T. 3. p. 1038. sq. *Καὶ ἐν τῇ Βουλγάτᾳ καταχωρίζεται ἐν ταῖς προηγουμέναις τῆς* Βίβλου *σελίσιν, ὡς προείπομεν ἀνωτέρω.* — (γ) « *Ἱστορεῖται παρὰ τῷ* Ἀφρικανῷ, *ὅτι ἐν τῷ λέγειν [τὴν] ᾠδὴν τὸν* Μανασσὴν, *τὰ δεσμὰ διεῤῥάγη σιδηρᾶ ὄντα, καὶ ἔφυγε* » (Δαμασκην. Παραλλ. β, 15, *ἐν τόμ. β. σελ.* 462. *πρβλ.* P. Lambec. Commentar. Bibl. caesar. Vind. L. III. p. 39).

ζ) Καὶ ὁ παλαιὸς συγγραφεὺς τοῦ εἰς τὸν Εὐαγγελιστὴν Ματθαῖον ἀτελοῦς σῳζομένου ὑπομνήματος (εἰς Ματθ. α, 10).

η) Ἀναστάσιος πρὸς τούτοις ὁ Σιναΐτης, ὁ γραφικώτατος (Ὁμιλ. εἰς ψαλμ. ϛ. τόμ. γ. σελ. 112, Can.).

θ) Ἀνδρέας ὁ ἱερὸς καὶ μελῳδικώτατος ποιμὴν τῆς Κρήτης (τῷ 635 μ. Χ.), ἐν τῇ ζ, ᾠδῇ τοῦ μεγάλου Κανόνος (καὶ ἄλλοι δὲ τῶν Μελῳδῶν· ὡς καὶ τὸ « Τὴν *ἄβυσσον ὁ κλείσας* » ἐν τῷ κοντακίῳ τοῦ μεγάλου Σαββάτου κτλ. αὐτή ἐστιν ἡ φράσις ἡ ἐν τῇ προσευχῇ).

ι) Ὁ ἱερὸς Θεόδωρος ὁ Στουδίτης (λόγ. Κατηχ. ϙγ).

ια) Ὁ θεῖος Δαμασκηνὸς *ἐν τοῖς Παραλλήλοις*, ἐξ οὗ καὶ ὁ μοναχὸς Ἀντώνιος, ὁ τῆς *Μελίσσης* Ἀπανθιστής.

ιβ) Ὁ ποιμὴν τῆς Ταυρομενίας Θεοφάνης ὁ Κεραμεὺς (Ὁμιλ. β καὶ νϛ).

ιγ) Οἱ χρονογράφοι, Γεώργιος ὁ Σύγκελλος (Χρονογραφ. σελ. 404: Β), Γεώργιος μοναχὸς (ὁ Ἁμαρτωλὸς), Μιχαὴλ ὁ Γλυκᾶς, ὁ Κεδρηνὸς, κτλ. καὶ

ιδ) Ὁ λεξικογράφος Σουΐδας (λ. Μανασσῆς). Ἄλλους παραλείπομεν.

Ἐν δὲ τοῖς καταλόγοις τῶν κανονικῶν βιβλίων συμπεριέλαβον πάντως καὶ αὐτὴν οἱ ἱεροὶ Πατέρες μετὰ τῆς β, τῶν Παραλειπομένων (ὡς καὶ τὸν Βαροὺχ πολλάκις μετὰ τῆς Ἱερεμίου βίβλου, κτλ.). Τελευταῖον, τὸ γνήσιον τῆς προσευχῆς μαρτυρεῖ ἡ κατὰ τὴν Ἐκκλησίαν ἀνέκαθεν κοινὴ καὶ οἰκουμενικὴ χρῆσις αὐτῆς· ἀνεγινώσκετο γὰρ καὶ τὸ πάλαι πανδήμως ἐν ταῖς ἱεραῖς συνάξεσιν, ὡς κύριον καὶ γνήσιον ἀνάγνωσμα τῆς θείας Γραφῆς, καθὰ καὶ παρ' ἡμῖν ἀναγινώσκεται τὰ νῦν, καὶ μέχρι συντελείας ἀναγνωσθήσεται ἐν ταῖς ἀποδείπνοις τῆς τεσσαρακονθημέρου νηστείας προσευχαῖς, συνάμα μετὰ τῶν Δαβιδικῶν ψαλμῶν. «Ὠδὴν» (φησὶν ὁ ἱερώτατος Θεόδωρος ὁ Στουδίτης, ἔνθ. ἀνωτέρω) «Ὠδὴν ᾖσε τῷ Θεῷ (ὁ Μανασσῆς), ἣν ἕως τῆς σήμερον ἡμέρας ᾄδει ἡ τοῦ Θεοῦ Ἐκκλησία» (α).

(α) Καὶ Σύγκελλος (Χρονογρ. σελ. 404 Bon) « Ἐδεήθη τοῦ Θεοῦ, τὴν ᾠδὴν ᾄσας

§. κη. Κεῖται δὲ ἡ Προσευχὴ τοῦ Μανασσῆ ἐν μὲν τῷ Ἀλεξανδρινῷ χειρογράφῳ τῶν Ο, συνάμα μετὰ τῶν Ὠδῶν τῶν ἐκ τοῦ κειμένου τῆς θείας Γραφῆς ἀπηνθισμένων, καὶ ἰδίᾳ (διὰ τὴν εὐκολίαν τῆς χρήσεως) κατακεχωρισμένων κατόπιν τῶν ψαλμῶν τοῦ Δαβίδ (α). Ὡσαύτως καὶ ἐν ἄλλοις παλαιοῖς χειρογράφοις. Ἐν ἄλλοις δὲ πάλιν ἀρχαιοτάτοις κώδηξιν ὑπῆρχε τεταγμένη ἡ προσευχὴ μετὰ τὴν Β, τῶν Παραλειπομένων εὐθύς. Ἀποδείκνυται δὲ τοῦτο·

α) Ἐκ τῆς ἀρχαιοτάτης λατινίδος ἑρμηνείας τῶν Ο, ἐν ᾗ τέτακται ἡ Προσευχὴ ἐν τῷ τέλει τῆς Β, βίβλου τῶν Παραλειπομένων (ὡς φαίνεται σαφῶς ἐν τῇ προῤῥηθήσει τοῦ Σαβατιήρου ἐκδόσει).

β) Ἐν τῷ τέλει τῶν Παραλειπομένων κεῖται καὶ ἐν τῇ Σλαβονικῇ τῆς θείας Γραφῆς ἑρμηνείᾳ.

γ) Ἡ τάξις αὕτη δείκνυται καὶ ἐξ αὐτῶν τῶν Ἀποστολικῶν Διαταγῶν (β, κβ), ὅπου μετὰ τὰ χωρία, τὰ ἐκ τῆς Δ, Βασιλ. (κγ καὶ κδ) καὶ τῆς Β, τῶν Παραλειπ. (λβ καὶ λγ) συμπεπλεγμένα (ἐν οἷς τὰ κατὰ τὸν Μανασσῆν ἱστοροῦνται), ἐπιφέρεται καὶ αὐτὴ ἡ τοῦ Μανασσῆ προσευχή. Καὶ τοιαύτην λοιπὸν ἐπεῖχε τάξιν καὶ ἐν τῷ ἀρχαίῳ κώδηκι, ἐξ οὗ οἱ Ο, μεθηρμήνευσαν. Ἀλλ'

(ὁ Μανασσῆς), ἥτις μέχρι καὶ νῦν θαυμαστή τις ἐστι, καὶ γέμουσα κατανύξεως· ἐφ' ᾗ δυσωπηθεὶς ὁ Θεὸς» (ἴσ. γρ. δυσωπηθέντος τοῦ Θεοῦ) «διεσῴθη» κτλ.

(α) Ἐν ἐκδόσ. Grabe· ὡσαύτως καὶ ἐν τῇ τοῦ Breittinger. Ἐκδέδοται δὲ καὶ ἐν ταῖς Ἀγγλικαναῖς Πολυγλώττοις κτλ. καὶ ὁ Ῥεϊνέκιος (Reinecius) προσέθηκεν αὐτὴν ἐν ᾗ καὶ αὐτὸς ἐξέδωκε Ῥωμαίᾳ ἐκδόσει τοῦ Βατικανοῦ κώδηκος, κατατάξας ἐν τῷ τέλει τῆς βίβλου μετὰ τῶν παρ' αὐτοῖς νενομισμένων Ἀποκρύφων (κατὰ τὰ ἀρέσκοντα τοῖς ὁμόφροσιν αὐτοῦ). Προσέθηκε δὲ καί τινα δι' ἡρῳελεγείων στίχων παράφρασιν τῆς τοῦ Μανασσῆ προσευχῆς, ὑπὸ Γερμανοῦ τινος (Godofr. Herrichen) φιλοπονηθεῖσαν. Καὶ ἔστι μὲν τὸ ῥαψῴδημα ἀπόκρυφον τῷ ὄντι καὶ σκοτεινὸν βεβήλου φαντασίας ἀποκύημα, εἰς ὃ τελευτᾷ ἡ ὑπ' αὐτοῦ ἐκδοθεῖσα «Παλαιὰ Διαθήκη κατὰ τοὺς Ο»! Ὤφειλε δὲ ὅμως ὁ Ῥεϊνέκιος (ὡς νομίζομεν), ἵνα μᾶλλον σεβασθῇ τὴν θείαν Γραφὴν, καὶ αὐτὰ τὰ κατ' αὐτὸν Ἀπόκρυφα, μηδ' ἀναμίξῃ τούτοις ἀνίερον ἔργον ἐπιδείξεως ἀνθρωπίνης, ὅσον καλὸν καὶ γλυκάζον εὕρισκε τὸ πόνημα τοῦ φίλου! Ὁ δὲ κλεινὸς Βῶσος οὐδ' ἐν τοῖς κατ' αὐτὸν Ἀποκρύφοις ἠξίωσε προσθεῖναι τὴν Μανασσῆ προσευχήν· ἀλλ' οὐδὲ μνείαν γοῦν αὐτῆς οὐδόλως ἐποιήσατο!

ἡ προμνημονευθεῖσα Αἰθιοπικὴ παλαιὰ μετάφρασις ἔχει τὴν προσευχὴν τεταγμένην κατόπιν τοῦ ψαλτηρίου τοῦ Δαβὶδ (ὡς καὶ τὸ χειρόγραφον τὸ Ἀλεξανδρινόν)· καὶ φαίνεται ἄρα, ὅτι καὶ ἰδίως ἔν τισιν ἀρχαίοις κώδηξιν ἐγράφοντο κατόπιν τοῦ ἱεροῦ ψαλτῆρος καὶ αἱ προφητικαὶ ᾠδαί, πρὸς χρῆσιν εὐκολωτέραν ἐν ταῖς καθ᾽ ἑκάστην ἑωθιναῖς καὶ ἑσπεριναῖς προσευχαῖς (ὡς προείπομεν), μετ᾽ αὐτῶν δ᾽ ἐγράφετο συνάμα καὶ ἡ τοῦ Μανασσῆ προσευχή· καὶ τοῦτον μόνον ὕστερον τὸν τόπον ἐπέσχεν ἐν πολλοῖς ἀρχαίοις ἀντιγράφοις τῶν Ο (α). Διὰ τοῦτο καί τινες ἰδίως τοῦ ἱεροῦ ψαλτῆρος ἐκδόσεις ἔχουσι παρὰ τὴν πέζαν μετὰ τῶν ἄλλων θείων ᾠδῶν καὶ τὴν προσευχὴν τοῦ Μανασσῆ (β).

§. κθ. Ἀλλ᾽ οἱ πλεῖστοι τῶν νεωτέρων ὑποβολιμαίαν πάντως καὶ νόθον ἐθέλουσι ταύτην τὴν παρὰ τοῖς Ο ἱερωτάτην προσευχήν. Καὶ Φαβρίκιος μὲν ὁ κλεινὸς μηδὲν μελήσας, κατεχώρισεν αὐτὴν ἐν οἷς ἐξέδωκεν *Ἀποκρύφοις*, καὶ *ψευδεπιγράφοις* βιβλίοις, ὡς δῆθεν ἐκ τῆς παλαιᾶς Γραφῆς ἔκπαλαι περιφερομένην (γ). Καὶ ἄλλοι δὲ πολλοὶ τῶν ὁμοδόξων αὐτῷ συνήνεσαν. Ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν Δυτικῶν ὅ, τε Καλμέτης καὶ Οὐβιγάντης, καὶ ἄλλοι νεώτεροι, ἠμέλησαν παντάπασι τῆς Μανασσαίας προσευχῆς ἐν οἷς ἐφιλοπόνησαν εἰς τὰς παρ᾽ αὐτοῖς *Δευτεροκανονικὰς* λεγομένας βίβλους τῆς Γραφῆς σοφοῖς ὑπομνήμασιν· (οὐδὲ γὰρ ἡ Δυτικὴ Ἐκκλησία κέχρηται τὰ νῦν τῇ προσευχῇ τοῦ Μανασσῆ· οὕτως ἀχαρίτως τῆς

(α) *Ἴσως δὲ καὶ ἔν τισιν ἀρχαίοις κώδηξιν ἑβραϊκοῖς ἐγράφοντο καὶ οὕτω κατ᾽ ἰδίαν αἱ προφητικαὶ ᾠδαὶ ὅσας ἔψαλλε καὶ ἡ Συναγωγὴ (βλ. ὄπισθ.* Βιβλ. Β. σελ. 476), *διὰ τὸ πρόχειρον τῆς ὁσημέραι χρήσεως.*

(β) Βλ. Fabric. Bibl. Graec. T. 3. pag. 733. Harl.—Allatij De libr. Eccles. Graecorum p. 62. *ὅστις μνημονεύει καὶ τὴν τοῦ ἡμετέρου Ἰωάννου τοῦ* Γεωμέτρου *διὰ στίχων ἰάμβων παράφρασιν τῆς τοῦ* Μανασσῆ *προσευχῆς, πολὺ μὲν ἴσως κρείττονα τῆς προειρημένης ὑπὸ τοῦ σοφοῦ ἑλληνιστοῦ* Ἡρωελεγείας, *ἀλλ᾽ ὅμως μετριοφρονεστέραν· οὐ γὰρ ἐτάχθη καὶ αὕτη ὡς ἐκείνη ἐν αὐτῇ τῇ θείᾳ* Γραφῇ! Ὁ *Φαβρίκιος (αὐτόθ.) προστίθησιν, ὅτι καὶ ἐν τῷ* Ἑλλήνων Ὡρολογίῳ *φέρεται ἡ προσευχή· νοῶν δηλονότι τὴν ἐν τῷ παρ᾽ ἡμῖν μεγάλῳ* Ἀποδείπνῳ *κατὰ τὸν ἀρχαῖον τύπον καταχώρισιν αὐτῆς.*

(γ) Fabric. Codex Pseudepigr. V. Test. T. 1. p. 1100 seq.

τε παλαιᾶς παρ' αὐτῇ λατινίδος ἑρμηνείας τῆς προσευχῆς, καὶ αὐτοῦ δὲ Κλήμεντος, τοῦ Ἀποστολικοῦ τῆς Ῥώμης ποιμένος, σὺν αὐταῖς ταῖς Ἀποστολικαῖς Διαταγαῖς ἀμνημονήσασα). Ὁ δὲ Βομφρέριος, καὶ (τὸ παραδοξότερον) ὁ Δουπῖνος ἐνόμισαν, ὅτι οὐθ' ἑβραϊστὶ οὐδὲ γοῦν *ἑλληνιστὶ* εὑρίσκεται τὸ κείμενον τῆς προσευχῆς ταύτης, λατινιστὶ δὲ μόνον! (α). Ἀλλ' ὁ σοφὸς Κοτελέριος καὶ λίαν ἐφιλοτιμήθη τὸ νόθον τῆς ἁγίας ταύτης περικοπῆς ἀποδεῖξαι, δείγματα φέρων τὰ ἑξῆς.

α) Ὅτι ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς (β, 23) συνάμα τοῖς πρὸ τῆς προσευχῆς προηγουμένοις χωρίοις τῆς Γραφῆς (περὶ ὧν προείπομεν ἀνωτέρω §. κζ) ἀναμίγνυνται καί τινα ἐξ ἀποκρύφου τινὸς βιβλίου ἑβραϊκοῦ, ἅπερ οὐκ οἶδεν ἡ Γραφή (β). — Ἀλλ' ὅτι μὲν (ἀπαντῶμεν) ἐκφέρονται ταῦτα ἔκ τινος ἀρχαιοτάτης ἐγγράφου διηγήσεως ἑβραϊκῆς, πρόδηλον. Ὅτι δὲ καὶ οὐκ ἦσαν ἀληθινὰ, τετηρημένα μὲν παρὰ τῷ τῶν Ἑβραίων ἔθνει ἐξ ἀρχαίας παραδόσεως, σεσιγημένα δὲ παρὰ τοῖς κανονικοῖς βιβλίοις τῆς Γραφῆς (συντομώτερον τῶν κατὰ τὸν Μανασσῆν ἐκφρασθέντων), τοῦτο πρῶτον ὤφειλεν ὁ Κοτελέριος ἀποδεῖξαι. Καὶ τίς οἶδεν, εἰ καὶ ἐν τοῖς προμνημονευθεῖσι προφητικοῖς Χρονικοῖς *(τοῖς λόγοις τῶν ὁρώντων)* οὐ περιείχοντο καὶ ταῦτα; (γ)· ἐξ ἐκείνων δὲ τῶν Χρονικῶν ἐξεῤῥύη καὶ ἡ παράδοσις. Οὐδὲ παράδοξον, εἰ καὶ ἐν ταῖς Ἀποςολικαῖς Διαταγαῖς ἐγένετο ἀποδεκτὴ ἡ ἁπλουςάτη καὶ ἰςο-

---

(α) « Or ne l'a ni en Grec, ni en Hebreu, mais seulement en latin ». **Dupin, Nouv. Biblioth. etc. Dissert. prelim. pag. 52.** πρβλ. **Bonfrer. Praeloq.** etc. p. 14.

(β) **Εἰσὶ δὲ ταῦτα·** « **Καὶ ἦν Μανασσῆς** *δεδεμένος, καὶ κατασεσιδηρωμένος ὅλος ἐν οἴκῳ φυλακῆς· καὶ ἐδίδοτο αὐτῷ ἐκ πιτύρων ἄρτος ἐν σταθμῷ βραχὺς, καὶ ὕδωρ σὺν ὄξει ὀλίγον ἐν μέτρῳ, ὥστε ζῆν αὐτόν* ». — *καὶ (μετὰ τὴν προσευχὴν)* « **Καὶ** *ἐπήκουσε τῆς φωνῆς αὐτοῦ ὁ κύριος, καὶ ἐγένετο περὶ αὐτὸν φλὸξ πυρὸς, καὶ ἐτάκησαν πάντα τὰ περὶ αὐτὸν σίδηρα, καὶ ἰάσατο* **Κύριος** *τὸν* **Μανασσῆν** *ἐκ τῆς θλίψεως αὐτοῦ* » *κτλ. βλ.* PP. Apostol. Cotel. T. 1. p. 232, 233.

(γ) *Σῴζονται καὶ ἐν τῷ* **Ταργοὺμ** *(εἰς β.* **Παραλ.** *λγ,* **12)** *τοιαῦτά τινα περὶ τῆς ἐν φυλακῇ τοῦ* **Μανασσῆ** *κακοπαθείας, καὶ ὅτι, τῶν σιδηρῶν δεσμῶν διαῤῥαγέντων, ἔφυγε. βλ.* **Fabric. Bibl. Graec. l. c.**

ρικὴ παράδοσις αὕτη, ὅπου γε καὶ ἐν τῇ *Βαρνάβα ἐπιστολῇ*, καὶ παρὰ τῷ Στρωματεῖ Κλήμεντι, καὶ παρ' ἄλλοις πατράσιν ἀρχαίοις σῴζονται τοιαῦταί τινες παραδόσεις ἐκ μὴ κανονικῶν βιβλίων εἰλημμέναι, μηδὲν δὲ μηδόλως τὰ πρὸς εὐσέβειαν παραβλάπτουσαι, ἀλλὰ καὶ μάλιστα ἀρχαιοσέμνως συμφωνοῦσαι μετὰ τῆς ἱερᾶς ἱστορίας. Καὶ αὐτὸς δὲ ὁ θεσπέσιος Ἀπόστολος Ἰούδας ἐν τῇ κατ' αὐτὸν θεοπνεύστῳ ἐπιστολῇ (στίχ. 9 καὶ 14) καθηγίασεν, ὡς κανονικὰ καὶ γνήσια καὶ παναλήθη μνημονεύσας, τά τε ῥήματα τοῦ Ἐνὼχ, καὶ τὰ περὶ τοῦ ἀρχαγγέλου Μιχαὴλ, ἐξ ἀρχαιοτάτων παραδόσεων, καί τινος ἴσως τῶν ἀποκρύφων βιβλίων ἀπηνθισμένα (α). Ταῦτα περὶ τούτου πρὸς τὸν ἔνδοξον Κοτελέριον, ὅστις καὶ αὐτοῦ τοῦ θείου πατρὸς Βασιλείου, τῆς στάθμης τῆς εὐσεβείας, ἠρέμα καθήψατο, ὡς χρησαμένου τοιούτῳ ἀποκρύφῳ βιβλίῳ (οἵῳ καὶ αἱ Ἀποστολικαὶ Διαταγαί)· καὶ ἄλλα δέ τινα παρατράγῳδα καὶ τῆς αὐτοῦ σεμνοπρεπείας ἀνάξια προσεπέθηκε (β).

(α) Τῆς *ἀποκρύφου βίβλου* τοῦ Ἐνὼχ *μνημονεύουσι πάντες μονονοὺ οἱ ἀρχαιότατοι* Πατέρες τῆς Ἐκκλησίας· *οἷον* Ἰουστῖνος, Ἀθηναγόρας, Εἰρηναῖος, Κλήμης ὁ Ἀλεξανδρεὺς, Κυπριανὸς, Τερτυλλιανὸς *κτλ. πρβλ. καὶ* Hieron. Comment. ad I cap. Epist. Tit. etc. *βλ. καὶ ἐκ τῶν νεωτέρων* Schmid Hist. antiq. etc. p. 712 (*ὅπου ἀποδέχεται ὁ Σχιμίδιος καί τινας ἀρχαιοτάτας διηγήσεις, καί τοι μὴ κανονικὰς*), Suicer. Thesaur. Eccles. T. I. p. 1131. Schleusn. Lexic. N. Test. v. Ἐνὼχ, Μιχαήλ.—Τοῦ Ἐνὼχ *μεγάλη περικοπὴ σῴζεται καὶ παρὰ τῷ* Συγκέλλῳ. *Ἤδη δὲ πρό τινων ἐτῶν εὕρηται ἐν* Ἀβυσσηνίᾳ *καὶ ὅλου τοῦ βιβλίου* Αἰθιοπικὴ *ἐκ τοῦ ἑβρ. μετάφρασις, ἣν ὁ* Laurence *Ἀγγλιστὶ μεθερμηνεύσας ἐξέδωκεν, ἐν* Ὀξων. 1821.

(β) *Ἰδοὺ τοῦ* Μ. Βασιλείου *οἱ λόγοι.* « Καὶ *γὰρ* Μανασσῆς *ὁ τετραπρόσωπα εἴδωλα ἐν τῷ ναῷ τοῦ θεοῦ θεὶς, ἵν' ὅθεν ἄν τις εἰσέλθῃ τοῖς εἰδώλοις προσκυνήσῃ, μετανοήσας, ἀνεκλήθη ἐκ τῆς αἰχμαλωσίας*» (*λόγ. περὶ μετανοίας, τόμ. α. σελ.* 614). Ταῦτα *τὰ τετραπρόσωπα εἴδωλα, διεκωμῴδησεν ὁ* Κοτελέριος, *λέγων·* « *Ὡς ἂν εἴπερ ἢ τὸ ἑαυτοῦ εἴδωλον ὁ* Μανασσῆς, *ἢ τὸ τοῦ* Διὸς, *ἢ τὸ τῆς ἀκολάστου δαίμονος, τουτ. τῆς* Ἀφροδίτης, *τέσσαρα, ἢ πέντε πρόσωπα ἔχον, ἔστησεν ἐν τῷ ναῷ* » ! (*σελ.* 232. *τόμ. α.* PP. Apost.). *Ἀλλ' ὅτι μὲν ὁ* Μανασσῆς « *ἔθηκεν ἐν τῷ οἴκῳ τοῦ* Θεοῦ *τὸ γλυπτὸν τοῦ ἄλσους, τὸ χωνευτὸν, εἰκόνα ἣν ἐποίησε* », *τοῦτο λέγει ῥητῶς ἡ* Γραφὴ (Δ. Βασιλ. *κα*, 7 : Β. Παραλ. *κγ*, 7)· *ὁποῖον δὲ, καὶ τίνος ἦν τὸ εἴδωλον, οὐ διορίζει* [*τοῦ* Μολὸχ *τινες ὑπέλαβον, οἱ δὲ τοῦ* Βάαλ, *ἢ τὸ τοῦ* Ζήλου *λεγόμενον* (Ἱερώνυμ.)· *οἱ δὲ καὶ τὸ τῆς ἀκολάστου δαίμονος* (Θεοδώρητ.), *δηλαδὴ τῆς* Ἀστάρτης (Ἀφροδίτης), *εἴδωλον. βλ. καὶ* Selden. de Dijs Syr. II. cap. 10. p. 249, *καὶ* Rosenmüll. *εἰς* Ἰεζεκιὴλ *η*, 3. *ὁ δὲ,* Κοτελέριος *ἀδεσπότως*,

β) Ὡς ἔγκλημα φαίνεται προφέρων ὁ Κοτελέριος, καὶ ὅτι ἡ

καὶ ἐξ ἑαυτοῦ προσέθηκε καὶ «τὸ ἑ α υ τ ο ῦ», δηλαδὴ τοῦ Μανασσῆ]. Πολλὰς δὲ μορφὰς εἰδώλων παρὰ Χαλδαίων, ἢ Ἀσσυρίων, καὶ Χαναναίων, καὶ ἄλλων ἐθνῶν ἔμαθον οἱ Ἰουδαῖοι (βλ. Selden. de Dijs Syr. καὶ Jablonsky Panth. Aegypt.). Ἐν δὲ ταύταις ταῖς παντοδαπαῖς καὶ συμβολικαῖς δαιμόνων μορφαῖς, οὐδὲν ξένον, εἴπερ ἦσαν καί τινα ξόανα τ ε τ ρ α π ρ ό σ ω π α, οἷον ἴσως ἔπλασεν ὁ Μανασσῆς καὶ τ ὸ γ λ υ π τ ὸ ν κ α ὶ χ ω ν ε υ τ ὸ ν τοῦ ἄλσους, καὶ ἀνεστήλωσεν ἐν τῷ ναῷ τοῦ Θεοῦ. Οὕτως ἔστησε πλάσας ὅδ᾽ αὐτὸς ὁ Μανασσῆς καὶ πάσης τ ῆ ς σ ρ α τ ι ᾶ ς τ ο ῦ ο ὐ ρ α ν ο ῦ (ἡλίου καὶ σελήνης καὶ τῶν ἄστρων), εἴδωλον, καὶ ᾠκοδόμησεν αὐτῇ «καὶ θυσιαστήριον ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου» (Δ. Βασιλ. κα, 5). Εἰ δὲ ταῦτα παρέβλεψεν ὁ σοφὸς Κοτελέριος, ἀλλ᾽ ὤφειλε γοῦν ἐνθυμηθῆναι τὸν τ ρ ι κ ά ρ η ν ο ν κ ύ ν α (ὃν καὶ Τ ρ ι κ έ ρ β ε ρ ο ν εἶπεν ὁ Βυζαντινὸς χρονογράφος), καὶ τὴν τ ρ ί μ ο ρ φ ο ν Ἑ κ ά τ η ν, καὶ τὴν εἰς πολλὰς μορφὰς μεταβαλλομένην Ἔ μ π ο υ σ α ν, καὶ αὐτὸν τὸν δ ι π ρ ό σ ω π ο ν Ἰ α ν ὸ ν (οὗ τὴν συμβολικὴν μορφὴν παρὰ τῶν Ἀσσυρίων ἴσως, ἢ καὶ ἄλλων Ἀσιανῶν ἐθνῶν ἐδιδάχθησαν καὶ οἱ παλαιοὶ Ῥωμαῖοι), καὶ αὐτὰ δὲ, τέλος, τὰ ποικίλα ζ ῴ δ ι α κ α ὶ σ τ ο ι χ ε ῖ α, ἢ εἰδώλια (Θ ε ρ α φ ὶ ν), ὧν τινα μικρὰ μορφώματα τετραπρόσωπα σώζονται καὶ μέχρι σήμερον· καὶ τοιαῦτα πιθανῶς ἦσαν καὶ τὰ τοῦ Μανασσῆ, ἅπερ ἀρχαία τις ἑβραίων παράδοσις, ἢ καὶ βίβλος ἀπόκρυφος, μετεβίβασε μέχρι τῶν Μ. Βασιλείου χρόνων· (ἴσως δὲ περὶ τούτων ἔγραφε καὶ Ἀφρικανὸς, περὶ οὗ προείπομεν ἀνωτέρω, καὶ ἐκ τούτου μετέγραψεν, ἴσως, καὶ ὁ Μ. Βασίλειος). Ψέγει, τέλος, καὶ τὸ εἶδος τῆς τοῦ Μανασσῆ φυλακῆς ὁ Κοτελέριος, περὶ οὗ σεσίγηκε μὲν ἡ Γραφὴ, διορίζουσι δὲ οἱ νεώτεροι, οἷον ὁ Σουΐδας, λέγων, «ὅτι ε ἰ ς χ α λ κ ο ῦ ν ἄ γ α λ μ α καθείρχθη», καὶ ὁ ἱερὸς Ἀναστάσιος «ε ἰ ς χ α λ κ ο ῦ ν ζ ῴ δ ι ο ν» κτλ. Ἀλλὰ τοῦτο οὔτε παρὰ τῷ Μ. Βασιλείῳ φέρεται, οὔτε ἐν αὐταῖς ταῖς Ἀποστολικαῖς Διαταγαῖς, εἰ μὴ μόνον, «ὅτι ἦν δεδεμένος καὶ κατασεσιδηρωμένος ἐν οἴκῳ φυλακῆς» (λέγει δὲ καὶ αὐτὸς ἐν τῇ προσευχῇ, ὅτι ἦν «κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου»). Εἰ δὲ καί τι περὶ τοῦ εἴδους ἐγέγραπτο ἐν τῷ ἀποκρύφῳ, ἀλλὰ μήπως ὁ Κοτελέριος ἠπίστατο καὶ πάντα τὰ εἴδη τῶν παρὰ τοῖς Ἀσσυρίοις καὶ ἄλλοις ἀρχαίοις τῆς Ἀσίας ἔθνεσιν εἰθισμένων φυλακῶν, καὶ κατά τε πρόσωπα, καὶ ἐγκλήματα, καί τινας περιστάσεις εἰδικώτερον ὡρισμένων, ἢ παὶ πρὸς τὴν ὀργὴν τοῦ κρατοῦντος ἀλλοκότως αὐτοσχεδιαζομένων; Τὴν δ᾽ οὖν σιδηρᾶν γ α λ ε ά γ ρ α ν, ἠπίστατο πάντως ὁ σοφὸς, εἶδος εἱρκτῆς περιφορήτου καὶ ταύτην οὖσαν, ᾗπερ καὶ ὁ Μ. Ἀλέξανδρος (παρὰ τῶν Ἀσιανῶν ἴσως μαθὼν) οὐ καλῶς ἐχρήσατο, τὸν Ἀριστοτέλους συγγενῆ Καλλισθένην ἐγκλείσας (Πλούταρχ. καὶ Λαέρτ.). Εἰ δέ τις ἔλεγε καὶ γ α λ ε ά γ ρ α ν, καὶ χ λ ω β ὸ ν ἀγαλματοπεποιημένον, οὐκ ἂν ἔλεγεν ἀληθῆ; Παρατείνων δὲ τὴν χλεύην ὁ κλεινὸς ἀνὴρ, παραβάλλει πρὸς τὸ εἶδος τῆς εἱρκτῆς τοῦ Μανασσῆ τ ὸ ν β ο ῦ ν τ ο ῦ Φ α λ ά ρ ι δ ο ς! Καὶ τέλος, ἀγάλλεται, ὅτι τὴν αὐτῷ ἐπελθοῦσαν ἔννοιαν ταύτην ἐβεβαίωσε καί τι χειρόγραφον τῶν λόγων Γρηγορίου τοῦ Ναζιανζηνοῦ, περιελθὸν εἰς χεῖρας αὐτοῦ, παλαιότατον, καὶ λίαν καλλιτέχνως γεγραμμένον κατὰ τοὺς χρόνους τοῦ αὐτοκράτορος Λέοντος (τοῦ σοφοῦ),

προσευχὴ τοῦ Μανασσῆ παρ' ἄλλοις ἄλλοτε καλεῖται καὶ *ᾠδή* (α). Ἀλλ' ὅμως τούτου γε ἕνεκεν (ἀπαντῶμεν) ὁ τῆς Σορβοναίας Σχολῆς ἐπισημότατος θεολόγος οὐκ ἂν εἰς τοσοῦτον ἠγανάκτησεν, εἴπερ ἐμάνθανε παρά τινος, ἐξετάσας, τὴν ἀρχαίαν καὶ διηνεκῆ διάταξιν τῆς Ἀποστολικῆς Ἐκκλησίας τῶν ὀρθοδόξων. Εἰσὶ γὰρ ἡμῖν μετὰ τῶν ἄλλων ὀρθρινῶν προσευχῶν καὶ ὕμνων καὶ *ἐννέα ᾠδαί*, (οὕτως ἐξαιρέτως καλούμεναι· [ὀκτὼ μὲν τῆς παλαιᾶς Διαθήκης.—α) Ἐξόδ. ιε, 1.—β) Δευτερ. λβ, 1 κτλ.—γ) Α. Βασιλ. β, 1 κτλ.—δ) Ἡσαϊ. κϛ, 9 κτλ.—ε) Ἰωνᾶ β. 3 κτλ.—ϛ) Ἀββακ. γ, 2 κτλ.—ζ) Δανιὴλ γ, 26—45.—η) Δαν. γ, 52 κτλ. ἡ δ' ἐννάτη ἐκ τῆς Καινῆς, ἡ *ᾠδὴ τῆς Θεοτόκου*. Λουκ. β]. Ἐκ τούτων τῶν ᾠδῶν συμπλέκονται οἱ καλούμενοι *εἱρμοὶ* πάντων τῶν καθ' ἑκάστην ἡμέραν τοῦ ἔτους ᾀδομένων *κανόνων*. Καὶ ταύτην δὴ ἐλέγομεν ἐν τοῖς ἀνωτέρω συνεχῆ χρῆσιν τῶν ᾠδῶν, ἃς οἱ ἀρχαιότατοι κώδηκες τῶν Ο φέρουσι συνημμένας μετὰ τοῦ Δαβιδικοῦ ψαλτῆρος. Ἐν δὲ ταύταις καὶ προσευχαὶ συναριθμοῦνται, ὡς ἥ τε τοῦ Ἡσαΐου, καὶ τοῦ Ἀββακοὺμ, καὶ αὐτὴ δὲ τοῦ Ἐζεκίου (Ἡσαϊ. λη, 9), πρὸς ᾗ συνῆπται

υἱοῦ Βασιλείου τοῦ Μακεδόνος καὶ τῆς Αὐγούστης Εὐδοκίας (ὧν καὶ τὰς εἰκόνας ἔφερε τὸ χειρόγραφον ἐν ἀρχῇ κεχαραγμένας). Ἐν δὲ τῷ τέλει (λέγει) τοῦ χειρογράφου κατεῖδεν, οὐ χωρὶς χαρᾶς μεγάλης, καὶ τὴν μορφὴν τοῦ βασιλέως Μανασσῆ ἐν χαλκῷ ταύρῳ βεβλημένου » (σελ. 233). Ζηλοῦμεν τὸν Κοτελέριον, ὅτι ἐκτήσατο χειρόγραφον τοιοῦτο, καὶ ὅτι δέδεικται καὶ ἐξ αὐτοῦ πασιδήλως μὴ μάτην αὐτῷ τοξεύσας ὁ νοῦς τὸν Φαλάριδος βοῦν. Καί τοι γε παρομοίως ἠδύνατο φαντασθῆναι καὶ τὸν Ὁμήρου *χάλκεον κέραμον*, (ἐν ᾧ *δέδετο* Ἄρης τρισκαίδεκα μῆνας) εἰς οἱονδήποτε ζῴδιον μεταπεπλασμένον, καὶ εἴ τι ἄλλο τοιοῦτο παρὰ τοῖς ἀρχαίοις εἶχεν ἀνεγνωκὼς ὁ βιβλιακώτατος Κοτελέριος. Ἓν δὲ μόνον ἀσμένως ἄν τις αὐτὸν ἠρώτησεν· εἴπερ καὶ τὸν *καταῤῥάκτην* ἐκεῖνον, εἰς ὃν καθεῖρξεν ὁ Πασχὼρ τὸν προφήτην Ἱερεμίαν (Ἱερεμ. κ. 2 κτλ.) ζωγράφος τις τῶν εὐφυῶν ἔγραφεν ἐν εἴδει ταύρου, ἤ τινος ἄλλου ζώου μεμορφωμένον (σημαίνει δὲ ὁ καταῤῥάκτης καὶ εἶδος ὀρνέου θαλασσίου, ἢ ἀετοῦ), μή ποτε διὰ τοῦτο παρεβλάπτετο ἡ ἀλήθεια τῆς ἐν καταῤῥάκτῃ καθείρξεως τοῦ προφήτου;

(α) Ὠδὴν ταύτην ὀνομάζει Θεόδωρος ὁ Στουδίτης, καὶ ὁ Δαμασκηνὸς ἐν τοῖς Παραλλήλοις (βλ. ὄπισθ. σελ. 693), καὶ Θεοφάνης ὁ Κεραμεὺς, καὶ οἱ περὶ τὸν Σύγκελλον χρονογράφοι, καὶ Σουΐδας αὐτός. ὁ δὲ θεσπέσιος Ἀναστάσιος ὁ Σιναΐτης καὶ « τὴν προσευχὴν τῆς ᾠδῆς ».

καὶ ἡ τοῦ υἱοῦ αὐτοῦ Μανασσῆ. Μὴ γὰρ οὐκ ᾄδονται καὶ αἱ προσευχαί; Αὐτίκα τὴν τῆς Ἄννης προσευχὴν *ᾆσμα τῆς χάριτος* ὁ Φίλων ὠνόμασε (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ζ. σελ. 451), καί τοι γε αὐτὴ ἡ Ἄννα πάντως οὐκ ἐμελῴδησε τὴν προσευχὴν (ὡς οὐδ' ὁ Μανασσῆς τὴν ἑαυτοῦ, οὐδ' ὁ Ἐζεκίας, οὗ γε καὶ αὐτοῦ τὴν προσευχὴν ὁ κώδηξ ὁ Ἀλεξανδρινὸς ἐν τῷ λη, κεφαλαίῳ τοῦ Ἐζεκίου *ᾠδὴν* ἐπιγράφει). Ἔξεστι δὲ δήπου καὶ ταύτας μελίζειν ἐν τοῖς ὕμνοις τοῖς πρὸς Θεὸν, καὶ πάλιν καταλογάδην μετὰ τῶν ἄλλων προσευχῶν ἀναγινώσκειν· οὕτω καὶ αὐτοὺς τοὺς ἐμμέτρους ψαλμοὺς τοῦ Δαβὶδ, καὶ μάλιστα τὸν πρὸς τὴν *ᾠδὴν* τοῦ μετανοοῦντος Μανασσῆ μηδόλως ἀπᾴδοντα ψαλμὸν τῆς μετανοίας τοῦ Δαβὶδ (τὸν Ν), ἀναγινώσκει πολλάκις ἡ Ἐκκλησία παρομοίως, ὡς καὶ τὴν ᾠδὴν τοῦ Μανασσῆ (καθ' ἃς ταύτην ἔταξεν ἡμέρας). Ὅθεν ὁ μέγας Ἀθανάσιος καὶ τὸν ἁπλῶς *ἀναγινώσκοντα* τοὺς ψαλμοὺς τοῦ Δαβὶδ *ψάλλοντα* λέγει (α).

γ) Ἄλλοι τῶν κριτικῶν καὶ ὡς ἐκ τῆς φράσεως ἐξετάζοντες, ἑλληνιστὶ τὸ πρῶτον συγγραφῆναι τὴν Μανασσαίαν προσευχὴν διατείνονται. Ἀλλὰ καὶ ὧδε παραβλέπουσιν οἱ ἄνδρες τὰ κατ' αὐτὴν προφανῶς ἐντετυπωμένα ἴχνη τῶν ἑβραϊκῶν ἰδιωτισμῶν. Ἐπίκεινται δὲ, καὶ ὅτι οὐχ εὕρηται παρ' οὐδενὶ τῶν περισωθέντων ἑβραίων κωδήκων. — Ἀλλὰ τί παράδοξον, εἴ γε καὶ τὸ μικρὸν τοῦτο τεμάχιον ἐξεῤῥύη πρόπαλαι ἐκ τῶν πολυπαθεστάτων ἑβραϊκῶν χειρογράφων, ὅπου γε καὶ ἄλλα (καθὼς εἴδομεν) πολλὰ καὶ μείζονα χωρία, καὶ κεφαλαίων ὅλων περικοπαὶ διεξέπεσαν; Καὶ λίαν ἄρα συνετῶς καὶ ἐπισταμένως ὁ σοφὸς Ὑέτιος ἀπεφήνατο περὶ τῶν τοιούτων περικοπῶν, ὅτι διέφυγον τὴν ἐπιμέλειαν τῶν Ἰουδαίων ἀντιγραφέων, καὶ κατὰ μικρὸν εἰς λήθην κατήντησαν (Εὐαγγ. Ἀποδ. σελ. 248, 257).

(α) «Καί μοι δοκεῖ τῷ ψάλλοντι γίνεσθαι τούτους ὥσπερ εἴσοπτρον, εἰς τὸ κατανοεῖν καὶ αὐτὸν ἐν αὐτοῖς καὶ τὰ τῆς ἑαυτοῦ ψυχῆς κινήματα. — Καὶ γὰρ καὶ ὁ ἀκούων τοῦ ἀναγινώσκοντος, ὡς περὶ ἑαυτοῦ λεγομένην τὴν ᾠδὴν καταδέχεται» (Ἀθανάσ. ἐπιστολ. π. Μαρκελ. σελ. 746) πρβλ. Μ. Βασίλ. καὶ Θεοδώρητ. προοίμ. εἰς τοὺς ψαλμούς.

§. λ. Τοσαῦτα εἴχομεν λέγειν καὶ περὶ τῶν ἐκτεθέντων *κανονικῶν* κεφαλαίων, καὶ μεγαλομερῶν χωρίων τῆς Γραφῆς, ἅπερ εἶχε μὲν ἐξ ἀρχῆς καὶ ὁ κώδηξ ὁ ἑβραῖος ὡς κανονικὰ καὶ θεόπνευςα, μετὰ δὲ τὴν ἐσχάτην αἰχμαλωσίαν ἐλεεινῶς ἀπεκάρη (α). Πρὸς δὲ τοὺς ταῦτα μάτην νοθίζοντας κριτικούς, εἰ καὶ μή τι ἄλλο καταδέχονται τῶν παρ' ἡμῖν σεμνῶν καὶ σεβασμιωτάτων, ἐπιλέγομεν, τέλος, ὅ,τι εἶπέ τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν συνθιασώτης καὶ σοφώτατος ἀνὴρ, ὁ Δρούσιος· ὅστις, ἐν οἷς διέλαβε περὶ τῶν ἐκ τοῦ ἑβραϊκοῦ λειπόντων χωρίων τῆς Ἐσθὴρ, αἰσθανόμενος τὰ μέτρα τῆς ἐν τοῖς τοιούτοις κριτικῆς δυνάμεως, ἐπήγαγε καθόλου τὰ ἐφεξῆς. « Ἐπειδὴ μέγιστον ἐσμὲν ἀφεστηκότες ἀπὸ τοῦ χρόνου, καθ' ὃν τὰ βιβλία ταῦτα συνεγράφησαν, οὐδὲ τῆς ἱςορίας τῶν οὕτω μακρὰν ἀνακεχωρηκότων ἐκείνων αἰώνων ἔχομεν γνῶσιν, εἰ μή που σκοτεινοτάτην, οὐκ ἔξεστιν ἡμῖν *ἄνευ θρασύτητος*, ἕνεκεν ἱστορικῶν τινων καὶ χρονολογικῶν εἰκασιῶν, ἀποῤῥίπτειν, ὅ,τι γινώσκομεν παραδεδεγμένον παρὰ τοῖς πολὺ μᾶλλον, ἢ ἡμεῖς, ἐγγυτέρω τῶν χρόνων ἐκείνων γενομένοις συγγραφεῦσι » (β).

§. λα. Τελευταῖον κεφάλαιον τῆς πρὸς τοὺς Ο, διαφορᾶς τοῦ ἑβρ. κώδηκος (ὅθεν μάλιστα καὶ μέγιστα καταφαίνεται ἡ τούτου διαφθορὰ) ἐπισυνάπτομεν τὸ περὶ τῆς πολυθρυλλήτου χρονολογίας.

(α) Περὶ δὲ τῶν ἄλλων βιβλίων τῶν ἐν μὲν τῷ Ἐσδραίῳ κανόνι μὴ ταχθέντων ἀπ' ἀρχῆς, μηδὲ παρ' Ἰουδαίοις εὑρισκομένων, κειμένων δὲ ὅμως ἐν τῷ ἐκκλησιαστικῷ κανόνι καὶ τῇ καθ' ἡμᾶς ἱερᾷ Βίβλῳ τῆς ἑρμηνείας τῶν Ο (δηλονότι τῆς Σοφίας Σολομῶντος, τοῦ Τωβίτ, τῆς Ἰουδείθ, τοῦ Σειράχ, καὶ τῆς Α καὶ Β τῶν Μακκαβαίων), ἅπερ οἱ Δυτικοὶ Δευτεροκανονικὰ ἐπιγράφουσι, λέγομεν ἐν τῷ Δ, Βιβλίῳ.

(β) »Quum a tempore, quo libri hi scripti sunt, distemus maxime, neque historiae tam remotorum saeculorum notitiam haheamus, nisi obscurissimam, non licet nobis absque temeritate ob historicas aut chonologicas conjecturas illud rejicere, quod ab auctoribus, qui nobis proximiores fuerunt temporibus illis, receptum novimus» (Drus. in Observ. Sacr.)· πρβλ. καὶ C. D. Ilgen, Die Geschichte Tobis. Jena, 1800 (ἐν τῷ προλόγῳ), καὶ Ackermann, l. c. p. 323.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

Περὶ τῆς ἀπὸ κτίσεως κόσμου μέχρι τῆς Χριστοῦ γεννήσεως χρονολογικῆς τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο διαφορᾶς.

§. α. Ἅπασα τοῦ ἀνθρωπίνου γένους ἡ χρονολογικὴ ἱστορία βάσιν ἔχει καὶ θεμέλιον τὴν θείαν Γραφὴν, τὸν ζῶντα τοῦ Θεοῦ λόγον, ὅστις ἐκπορευόμενος ἐκ τοῦ στόματος αὐτοῦ ὡς « *ὀξεῖα ῥομφαία* », πατάσσει πάντα τὰ πολέμια τῆς ἀληθείας πνεύματα τοῦ σκότους, καὶ ἐξουδενοῖ τὰ φάσματα τῆς πλάνης καὶ τῶν ἀρχαίων μυθογράφων καὶ τῶν νεωτέρων κοσμολατρῶν. Ἀλλὰ περὶ τὴν χρονολογίαν ταύτην ἡ ἑβραϊκὴ Γραφὴ διαφωνεῖ πρὸς τὴν ἑρμηνείαν τῶν Ο. Κατὰ τὸ ἑβραϊκὸν κείμενον ἀπὸ κτίσεως κόσμου μέχρι τῆς Σωτηρίου ἐποχῆς, συνάγονται ἔτη 4004· κατὰ δὲ τὴν ἑρμηνείαν τῶν Ο, ἔτη 5508. Πρὸς δὲ ταύτας πάλιν ἑκατέρας τὰς Γραφὰς διαφωνεῖ καὶ τὸ ἀρχαῖον Σαμαρειτανὸν, ἰδίαν ἔχον χρονολογίαν, ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς. Ὑπῆρχε δὲ ἡ διαφωνία τῶν τριῶν τούτων κειμένων καὶ κατὰ τὰ τέλη τοῦ β, καὶ ἐπὶ τοῦ τρίτου αἰῶνος μ. Χ., ὡς βλέπομεν ἐκ τῶν Ἀφρικανοῦ καὶ Εὐσεβίου χρονικῶν (α). Ταύτης οὖν τῆς ἐπισημοτάτης διαφωνίας τὸ θεώρημα οὐ μόνον παρὰ τοῖς ἀρχαίοις σεσημείωται, ἀλλὰ καὶ παρὰ τοῖς νεωτέροις ἀπέβη ζήτημα σπουδαιότατον· ὡς μάλιστα συμβάλλον εἴς τε τὴν ἱερὰν, καὶ τὴν θύραθεν ἱστορίαν, καὶ τῆς χριστιανικῆς ἀληθείας τὴν ἀπόδειξιν, καὶ εἰς τὴν γνησίαν ἑρμηνείαν καὶ κατάληψιν πολλῶν χωρίων τῆς θείας Γραφῆς. Διὸ καὶ ποικίλα συνέγραψαν οἱ νεώτεροι τῆς Δύσεως σοφοὶ, οἱ μὲν πρὸς τὸ ἑβραϊκὸν κείμενον ἀποκλίνοντες, καὶ τούτου ὑπερμαχοῦντες (β), οἱ δὲ τῆς ἑρ-

---

(α) Βλ. Συγκέλ. Χρονογρ. σελ. 153 καὶ Montfauc. Hexapl. T. 1. p. 22.

(β) Πρῶτος τῶν Δυτικῶν φαίνεται ὁ Βέδας (τῷ 701 μ. Χ.) ἀποκλίνας πρὸς τὸ ἑβραϊκὸν, χάριν τῆς Ἱερωνύμου Βουλγάτας (ἥτις σῴζει τὴν αὐτὴν καὶ τὸ ἑβραϊκὸν χρονολογίαν)· ἀλλὰ τούτου μὲν τὰ ὁρμήματα παρῆλθον ἀσθενῆ καὶ μάταια· μνημονεύομεν δ' αὐτοῦ καὶ ἐν τοῖς ἀνωτέρω Κατὰ δὲ τὸ 1600, ἀνεφάνη ὁ περίφημος, καὶ περὶ τὰς τῶν χρόνων ἀναγραφὰς διασημότατος τῶν αὐτῷ συγχρόνων νομισθεὶς, Ἰώσηπος ὁ Σκαλίγηρος, ὅστις μάλιστα καὶ τοὺς μετ' αὐτὸν συμπαρέσυρεν εἰς τὴν πλάνην τοῦ Ἰουδαϊκοῦ παραχρονισμοῦ. Οὗτος τὸ 1606 ἐξέδωκε τό, τε χρονικὸν τοῦ Εὐσεβίου, καὶ

μηνείας τῶν Ο γενναίως ὑπερασπίζοντες μέχρι καὶ τῆς σήμερον (α).

τοὺς ἑαυτοῦ εἰσαγωγικοὺς τῆς χρονολογίας κανόνας (Canones chronolog. isagogicos, καὶ τὸ Emendat. Tempor.). Τούτῳ δ' ἐπηκολούθησαν, ὁ Πετάβιος (Doctrina Temporum cum Chronologia. Paris, 1627), ὁ Ὑσσέριος (Chronologia Sacra, Oxonij 1660), ὁ Ὄρνιος (Dissert. de vera mundi origine Lugdun. 1659), ὁ Ὕλσιος (Hulsius, De authent. absoluta S. text. Hebraei), ὁ Σχοτάνος (Schotanus, Bibl. Hist. S. de prima aetate), ὁ Σιμώνιος (Simon. Hist. Crit. Vet. Test. L. II. c. 4), ὁ Μαρτιαναῖος (Martianay, Défense du texte Hebreu contre l'antiquité des tems. Paris, 1689), ὁ Λεκυῆνος (Le Quien, L'antiquité des tems detruite, Paris, 1693), ὁ Σπαγχέμιος (Spanhemius, Chronologia, Lugduni 1701), ὁ Πασῖνις (Pasini, Dissert. selectae pag. 49-83), ὁ Βιγνόλης (Vignolles, Chronologie de l'Histoire sainte. Berlin, 1738), ὁ Καρψόβιος (Carpzov, Introduct. Biblic. P. I. c. 4. §. 5), ὁ Κλίντων, (Clinton, Fasti Hellenici, Tom. 1. p. 289-329. Oxford, 1834), ὁ Μακφαρλάρης (Macfarlare, A Concise System of Hebrew Chronology, in accordance with the Hebrew Text. Perth, 1835), κτλ.

(α) Πρῶτος ὁ κλεινὸς Οὐόσσιος (τῷ 1661) ἀντέστη ἰσχυρῶς κατὰ τῆς πλάνης τῶν περὶ τὴν χρονολογίαν καινοτομιστῶν ἀποδεικνύων τὸ γνήσιον τῆς κατὰ τοὺς Ο, χρονολογίας (Voss. Chronolog. Sacr. καὶ De aetate mundi, ἐν τῷ περὶ τῶν Ο συγγράμματι De LXX. p. 113 sqq.). Ταύτην εἶχεν ἀνακηρύξας καὶ ὁ Βαρώνιος (Appar. ad Annal.). Τούτοις συνεφώνησαν καὶ ἄλλοι περικλεέστατοι, οἷον ὁ Βάλτων (Walton, Prolegom. IX. 57), ὁ Μορῖνος (Exercit. Biblic. L. 1. Exerc. VIII.), ὁ Ῥαλείγης (Raleigh, History of the World), ὁ Στλιγγιφλῆτος (Stillingfleet, Orig. Sacr. III. 4. 9), ὁ Πεζρὼν (P. Pezron, L'antiquité des tems rétablie, Paris, 1687, καὶ Défense de l'Antiquité des tems, Paris, 1691), ὁ Βίστων (Whiston, Essay towards restoring the text etc. p. 117), ὁ ἀνώνυμος Ἄγγλος, (ὅστις ἐστὶν ὁ Αὔης, ὁ τὴν Ἐκδικίαν τῶν Ο γράψας, ἧς πολλάκις ἐμνημονεύσαμεν Βιβ. Α. σελ. 21 κτλ. οὗτος συνέγραψε καὶ Dissertation of the Chronology of the Septuagint with an Appendix etc. London, 1741), ὁ Ἰάκσων (Jackson, Chronological Antiquities etc. T. 1. London, 1752), ὁ Κεννικῶτος (Kennicot, Dissert. generalis), ὁ Βέρνετος (Vernet, Opuscula selecta. Genev. 1775), ὁ Ἅλης (Hales, Analysis of Chronology, T. 1. London 1800), ὁ Ὁρσολέϋς (Horsley), ὁ Ῥύσσελλος (Russell, Connection of the Sacred and profane History), ὁ σοφώτατος Κυνιγχάμος (Cuninghame, A Synopis of the Chronology, London, 1837, καὶ The Septuagint and Hebrew Chronologies Tried, London, 1838, καὶ The Fulness of the Times. London, 1839, καὶ A Chart of sacred Chronology, London 1842), Ἄλλος ἀνώνυμος (Chronographiae LXX interpretum defensio, τυπωθεῖσα ἐν τῷ τρίτῳ τόμῳ τοῦ Cours Complets d'Ecriture Sainte et de Theologie par M. l'Abbè Migne. Paris, 1841), ὁ Βαλλάκης (Wallace, A Dissertation

§. 6. Ἐπειδὴ δὲ ἡ διαφωνία τῶν τριῶν κειμένων ὑφίσταται κυρίως ἐν τοῖς ἀπὸ Κ. Κ. (Κόσμου κτίσεως) μέχρι τῆς θεόθεν κλήσεως τοῦ Ἀβραὰμ ἐνδιαλαμβανομένοις ἐνιαυτοῖς, διὰ ταῦτα τοῦτο τὸ μέρος τῆς γραφικῆς χρονολογίας συνοπτικῶς πραγματευόμεθα. Διαιρεῖται δὲ ἡ ἀρχικὴ καὶ κεφαλαιώδης αὕτη χρονομετρία εἰς δύω μεγάλας ἐποχάς· μίαν μὲν, ἀπὸ τοῦ γενάρχου Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ (ἣν οἱ νεώτεροι, κατὰ τὴν παρ᾽ αὐτοῖς εἰθισμένην φιλοσυνθεσίαν, καὶ *προκατακλύσμιον* εἶπον, antediluvianam), ἑτέραν δὲ, τὴν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρις Ἀβραὰμ (τὴν, εἰ δεῖ καὶ ταύτην ὁπωσδήποτ᾽ ἐξελληνίσαι, *μετακατακλύσμιον*, ἢ ἀποκατακλύσμιον, postdiluvianam)· καὶ ἀμφότεραι διαγράφονται ὑπὸ τοῦ θεοπνεύστου Μωσέως ἐν τῇ Γενέσει, ἡ μὲν κεφ. Ε, ἡ δὲ κεφ. Ι, καὶ ΙΑ, ἐν οἷς καταλέγονται τὰ ἔτη τῶν τε πρὸ τοῦ κατακλυσμοῦ μέχρι Νῶε καὶ τοῦ Σὴμ, καὶ τῶν μετὰ τὸν κατακλυσμὸν μέχρις Ἀβραὰμ πατριαρχῶν. Αὗται τοίνυν αἱ δύω περίοδοι ἐν τοῖς προειρημένοις τρισὶ κειμένοις, τῷ ἑβραϊκῷ, τῷ Σαμαρειτανῷ, καὶ τῷ κατὰ τοὺς Ο ἑλληνικῷ, διορίζονται διαφόρως. Καὶ ἡ μὲν πρώτη περίοδος, κατὰ μὲν τὸ ἑβραϊκὸν, περιέχει ἔτη 1656, κατὰ δὲ τὸ Σαμαρειτανὸν, 1307, κατὰ δὲ τὸ ἑλληνικὸν, 2262. Ἡ δὲ δευτέρα, κατὰ μὲν τὸ ἑβραϊκὸν, 292, κατὰ δὲ τὸ Σαμαρειτανὸν, 1017, κατὰ δὲ τὸ ἑλληνικὸν, 1075. Ταῦτα τῶν ἐτῶν τὰ κεφάλαια δεικνύουσι σαφῶς οἱ ὑπεστρωμένοι δύω πίνακες, ἐν οἷς καταγράφομεν κατὰ μέρος τὰ ἔτη τῆς ζωῆς ἑκάστου τῶν Πατριαρχῶν· καὶ ταῦτα διαιροῦμεν διχῶς, τὰ μὲν πρὸ τῆς παιδογονίας, τὰ δὲ μετὰ τὴν παιδογονίαν ἑκάστου, παρατιθέντες καὶ τὸ προκύπτον κεφάλαιον. Ὑποσυνάπτομεν δὲ καθ᾽ ἑκάτερον τῶν πινάκων καὶ σημειώσεις ἐν γένει καὶ κατὰ μέρος, πρὸς διασάφησιν τῶν διαφορῶν.

---

of the true Age of the World. London, 1844), ὁ ἀνώνυμος Ῥῶσσος ἐν τοῖς Χριστιανικοῖς ἀναγνώσμασι (περιοδικῷ συγγράμματι, ἐν τῇ θεολογικῇ ἀκαδημίᾳ τῆς Πετρουπόλεως Ῥωσσιστὶ ἐκδιδομένῳ. βλ. ἔτ. 1844 σελ. 112—140), καὶ νεώτατος ὧν ἀνὰ χεῖρας ἔχομεν, ὁ σοφὸς Σεϋφάρθος (Seyffarth, Chronologia Sacra. Leipzig, 1846).

Α. Πίναξ.

Τὰ ὀνόματα τῶν Πατριαρχῶν.	Τὸ ἑβραϊκὸν			Τὸ ἑλληνικὸν			Τὸ Σαμαρειτ.		
	Τὰ πρὸ τῆς παιδογονίας ἔτη.	Τὰ μετὰ τὴν παιδογονίαν ἔτη.	Κεφάλαιον ὅλων τῶν ἐτῶν ἑκάστου.	Τὰ πρὸ τῆς παιδογονίας ἔτη.	Τὰ μετὰ τὴν παιδογονίαν ἔτη.	Κεφάλαιον ὅλων τῶν ἐτῶν ἑκάστου.	Τὰ πρὸ τῆς παιδογονίας ἔτη.	Τὰ μετὰ τὴν παιδογονίαν ἔτη.	Κεφάλαιον ὅλων τῶν ἐτῶν ἑκάστου.
Ἀδὰμ	130	800	930	230	700	930	130	800	930
Σὴθ	105	807	912	205	707	912	105	807	912
Ἐνὼς	90	815	905	190	715	905	90	815	905
Καϊνὰν	70	840	910	170	740	910	70	840	910
Μαλελεὴλ	65	830	895	165	730	895	65	840	895
Ἰάρεδ	162	800	962	162	800	962	62	785	847
Ἐνὼχ	65	300	365	165	200	365	65	300	365
Μαθουσάλας	187	782	969	187	782	969	67	653	720
Λάμεχ	182	595	777	188	565	753	53	600	653
Νῶε	500	350	950	500	350	950	500	350	950
Σὴμ	100	—	100	100	—	100	100	—	100
Κεφάλαιον τῆς χρονικῆς διαρκείας πάσης τῆς περιόδου.	1656			2262			1307		

(α)

Σημειώσεις καθολικαί.

§. γ. Ἐκ τῆς παραθέσεως τῶν τριῶν κειμένων καταφαίνονται τὰ ἑξῆς·

α) Ὅτι πάντα ταῦτα, μάλιστα δὲ τὸ *ἑβραϊκὸν* καὶ *ἑλληνικὸν*,

(α) Τὰς γενεὰς μετροῦσιν οἱ ἀπὸ τῆς τοῦ πατρὸς μέχρι τῆς υἱοῦ γεννήσεως ἀλληλοδιαδόχως μεσολλαβοῦντες ἀριθμοὶ (σελ. 606). Οὗτοι καταγράφονται ἐν τῇ πρώτῃ στήλῃ ἑκάστου τῶν τριῶν κειμένων, ἐφ' ἧς ἐπιγέγραπται τ ὰ π ρ ὸ τ ῆ ς π α ι δ ο γ ο ν ί α ς ἔ τ η, καὶ τούτων τὸ κεφάλαιον ἀποδείκνυσι τὸ ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ χρονικὸν διάστημα· οἷον, Ἑβραϊκ. ὁ Ἀδὰμ ἐτῶν 130, γεννᾷ τὸν Σήθ· οὗτος ἐτῶν 105, τὸν Ἐνώς: 130+105=235, καὶ οὕτως ἐφεξῆς. Πάλιν, Ἑλλην. ὁ Ἀδὰμ ἐτῶν 230, γεννᾷ τὸν Σήθ· οὗτος 205, γεννᾷ τὸν Ἐνώς, 230+205=435, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως μέχρι τέλους τῆς στήλης. Ὁμοίως

συμφωνοῦσι πρὸς ἄλληλα κατά γε *τὰ κεφάλαια* τῶν ἐτῶν τῆς ζωῆς *ἑκάστου* τῶν πατριαρχῶν.

β) Ὅτι τὸ ἑλληνικὸν ἐν τοῖς πρὸ τῆς παιδογονίας ἔτεσιν ἑκάςου τῶν Πατριαρχῶν ἀφίσταται ἐπίσης καὶ τοῦ ἑβραϊκοῦ καὶ τοῦ Σαμαρειτικοῦ· ἐξαιρουμένων γὰρ τοῦ Μαθουσάλα καὶ Λάμεχ καὶ Νῶε, ἐπὶ πάντων τῶν ἄλλων Πατριαρχῶν μόνον τὸ ἑλληνικὸν εἰς τὴν ἑκάστου προπαιδογόνον ἡλικίαν προστίθησιν ἔτη 100, ἀφαιρεῖ δὲ ταῦτα πάλιν ἐκ τῶν μετὰ τὴν παιδογονίαν ἐτῶν.

γ) Ὅτι τὸ Σαμαρειτικὸν ἰδίως προσεγγίζει πρὸς τὸ ἑβραϊκὸν μᾶλλον, ἢ πρὸς τὸ ἑλληνικὸν *κατὰ τὸ κεφάλαιον των ὅλων* ἐτῶν τῆς περιόδου.

δ) Ὅτι τὸ ἑλληνικὸν κατὰ τὸ ὁλικὸν κεφάλαιον ὑπερτερεῖ τοῦ μὲν ἑβραϊκοῦ ἔτη 606, τοῦ δὲ Σαμαρειτικοῦ ἔτη 955.

Ταῦτα ὡς ἐκ τῆς ἐν γένει τῶν τριῶν κειμένων ἀντιπαραθέσεως. Εἰς ἕκαστον δὲ τούτων σημειοῦμεν κατὰ μέρος τὰ ἑξῆς.

Α.

§. δ. Σημειώσεις εἰς τὴν χρονολογίαν τοῦ ἑβραϊκοῦ.

α) Ὁ Ἀδὰμ γενόμενος ἐτῶν 130, γεννᾷ τὸν Σήθ· καὶ ἐπέζησεν ἔτη 800, ἕως τοῦ 56 ἔτους τοῦ Λάμεχ. Καὶ ἴδε λοιπὸν ὁ Ἀδὰμ ὄγδοον τῶν ἑαυτοῦ ἀπογόνων τὸν Λάμεχ.

β) Ὁ Σὴθ γενόμενος ἐτῶν 105, γεννᾷ τὸν Ἐνώς· καὶ ἐπέζησεν ἔτη 807, μέχρι τοῦ 168 ἔτους τοῦ Λάμεχ, ἑβδόμου αὐτοῦ ἀπογόνου.

γ) Ὁ Ἐνὼς ἐτῶν 90, γεννᾷ τὸν Καϊνάν· καὶ ἐπέζησεν ἔτη 815, μέχρι τοῦ 84 ἔτους τοῦ Νῶε, ἕκτου αὐτοῦ ἀπογόνου.

δ) Ὁ Καϊνὰν ἐτῶν 70, γεννᾷ τὸν Μαλελεήλ· καὶ ἐπέζησεν ἔτη 840, μέχρι τοῦ 179 ἔτους τοῦ Νῶε, πέμπτου αὐτοῦ ἀπογόνου.

ε) Ὁ Μαλελεὴλ γενόμενος ἐτῶν 65, γεννᾷ τὸν Ἰάρεδ· καὶ ἐπέζησεν ἔτη 830, μέχρι τοῦ 234 ἔτους τοῦ Νῶε, τετάρτου ἀπογόνου.

καὶ ἐπὶ τοῦ Σαμαρειτ. Οὕτω συμψηφιζόμενα τὰ πρὸ τῆς παιδογονίας ἔτη, ἀπαρτίζουσι τὸ κεφάλαιον τῶν γενεῶν· οὕτως αὐτὰς ἠρίθμει καὶ Ἰώσηπος· «Ἐξεταζέτω δὲ μηδεὶς τὰς τελευτὰς τῶν ἀνδρῶν» (πόσους ἕκαστος ζήσαντες ἐνιαυτούς, ἐτελεύτησαν).. «ἀλλὰ τὰς γενέσεις αὐτῶν μόνον ὁράτω» (Ἀρχ. Α. γ. §. δ

ϛ) Ὁ Ἰάρεδ γενόμενος ἐτῶν 162, γεννᾷ τὸν Ἐνώχ· καὶ ἐπέζησεν ἔτη 800, μέχρι τοῦ 366 ἔτους τοῦ Νῶε, τρίτου τῶν αὐτοῦ ἐπιγόνων.

ζ) Ὁ Ἐνὼχ γενόμενος ἐτῶν 65, γεννᾷ τὸν Μαθουσάλα· καὶ ἐπιβιοὺς ἔτη 300, μετετέθη ἐν ἔτει 131 τοῦ Λάμεχ.

η) Ὁ Μαθουσάλας γεγονὼς ἐτῶν 187, γεννᾷ τὸν Λάμεχ· καὶ ἐπέζησεν ἔτη 782 μέχρι τοῦ κατακλυσμοῦ (γενομένου τῷ 600, ἔτει τῆς ζωῆς τοῦ ἐγγόνου αὐτοῦ Νῶε).

θ) Ὁ Λάμεχ ἐτῶν 182, γεννᾷ τὸν Νῶε· καὶ ἐπέζησεν ἔτη 595, τελευτήσας πρὸ τοῦ πατρὸς αὐτοῦ Μαθουσάλα, τῷ 5 ἔτει πρὸ τοῦ κατακλυσμοῦ.

ι) Ὁ Νῶε ἐτῶν 500, γεννᾷ τὸν Σήμ, καὶ μετὰ ἔτη ἑκατὸν ἐπῆλθεν ὁ κατακλυσμός.

ια) Ὁ Ἰάρεδ παιδοποιεῖ βραδύτερον τοῦ μὲν πατρὸς αὐτοῦ Μαλελεὴλ, κατὰ ἔτη 97, τοῦ δὲ πάππου Καϊνὰν, κατὰ ἔτη 92, τοῦ δὲ προπάππου Ἐνὼς, κατὰ ἔτη 72· βραδύτερον δὲ, τέλος, καὶ τοῦ τριπάππου, ἢ τετάρτου προγόνου αὐτοῦ Σὴθ κατὰ ἔτη 57. Τοῦ δὲ πάλιν Ἰάρεδ ἔτι βραδύτερον ἐτεκνογόνησεν ὁ ἔγγονος αὐτοῦ Μαθουσάλα, ὑστερήσας ἔτεσιν 25· ὡσαύτως καὶ ὁ δισέγγονος Λάμεχ, ἔτεσιν 20. Ὁ δὲ πάλιν Ἐνὼχ παιδοποιεῖ πρωϊαίτερον τοῦ μὲν πατρὸς Ἰάρεδ κατὰ ἔτη 97, τοῦ δὲ υἱοῦ Μαθουσάλα, κατὰ ἔτη 122· ὥστε ἐπὶ τοῦ Λάμεχ καὶ τοῦ Μαθουσάλα ἡ ἡλικία τῆς παιδοποιΐας ὁρίζεται κατὰ 80 σχεδὸν ἔτη ὀψιαιτέρα τῆς τοῦ Σήθ.

ιβ) Τὰ παρὰ τοῖς Δυτικοῖς Ἰουδαίοις (σελ. 116) ἀντίγραφα τῆς Γενέσεως ἀριθμοῦσιν ἀπὸ τῆς δημιουργίας μέχρι τοῦ κατακλυσμοῦ ἔτη 1656 (κατὰ τὸν ἀνωτέρω πίνακα)· τὰ δὲ παρὰ τοῖς Ἀνατολικοῖς, ἔτη 1556, μίαν ὅλην ἑκατονταετηρίδα ἔλασσον (α).

(α) « Summa, seu Periodus, quam a Creatione mundi ad Diluvium ex Hebraico textu suae aetatis, quem in Perside, ubi scripsit (Ismaël Schainschah), centum annis ab illa exceditur, quam nostra nunc exhibent in Occidente exemplaria. Ille tamen non semel testatur non solum se plura evolvisse ejusmodi Hebraica exemplaria, sed etiam Rabbinos et Gentis Doctores adhibuisse, quemadmodum fecit quoque ante illum in suo

ιγ) Τὰ χειρόγραφα ἄρα τῶν Ἀνατολικῶν ἐξ ἀνάγκης διαφέρουσι των Δυτικῶν κατά τινας ἀριθμοὺς τῆς ζωῆς τῶν Πατριαρχῶν, καὶ μάλιστα τοῦ Λάμεχ καὶ Μαθουσάλα. Εἰ δὲ κἀκεῖνα (ὡς τὰ τῶν Δυτικῶν) διορίζουσι τοῦ μὲν Λάμεχ τὰ ἔτη 777, τοῦ δὲ Μαθουσάλα 969, ὁ μὲν πρῶτος λοιπὸν ἐπέζησεν ἔτη 95 μετὰ τὸν κατακλυσμὸν, ὁ δὲ Μαθουσάλας ἔτη 100· ὅπερ ἀτοπώτατον.

ιδ) Κατὰ τὴν Ἱερωνύμου μαρτυρίαν, ἐν τοῖς Ἑβραϊκοῖς τῆς Γραφῆς ἀπογράφοις οἱ ἀριθμοὶ ἐσημειοῦντο οὐχ ὁλόγραφοι κατὰ λέξιν, ἀλλὰ διὰ τῶν στοιχείων τοῦ ἀλφαβήτου, καὶ τούτων λεπτοτάτων, καὶ μόλις ὁρατῶν (βλ. ὄπισθ. σελ. 101 καὶ 207· καὶ Βάλτων. Προλεγ. ζ, 14. θ, 59.).

B.

§. ε. Σημειώσεις εἰς τὴν χρονολογίαν τοῦ Σαμαρειτανοῦ.

α) Κατὰ ταύτην τὴν χρονολογίαν, ὁ Νῶε συνέζησε 180 ἔτη μετὰ τοῦ μετατεθέντος Ἐνὼχ, 223 μετὰ τοῦ Ἀδὰμ, 335 μετὰ τοῦ Σὴθ, 433 μετὰ τοῦ Ἐνὼς, 528 μετὰ τοῦ Καϊνὰν, 583 μετὰ τοῦ Μαλελεὴλ, καὶ 600 μετὰ τοῦ Λάμεχ καὶ τοῦ Ἰάρεδ καὶ τοῦ Μαθουσάλα.

β) Ὁ Ἰάρεδ καὶ Λάμεχ καὶ Μαθουσάλας ἐτελεύτησαν οἱ τρεῖς ἅμα κατὰ τὸ ἔτος τοῦ κατακλυσμοῦ.

γ) Τὸ Σαμαρειτικὸν διαφέρει τοῦ ἑβραϊκοῦ κατὰ τὰ ἔτη τῆς παιδοποιΐας τοῦ Ἰάρεδ. Οὗτος κατ' αὐτὸ ἐγέννησε τὸν Ἐνὼχ ὢν ἐτῶν 62, κατὰ δὲ τὸ ἑβρ. ἐτῶν 162.

δ) Διαφέρει τοῦ ἑβρ. καὶ ἐν τοῖς περὶ τὸν Μαθουσάλα. Οὗτος κατ' αὐτὸ ἐγέννησε τὸν Λάμεχ, ὢν ἐτῶν 67, κατὰ δὲ τὸ ἑβρ., ἐτῶν 187.

ε) Διαφέρει τοῦ ἑβραϊκ. καὶ ἐν τοῖς περὶ τὸν Λάμεχ. Οὗτος κατ' αὐτὸ ἐγέννησε τὸν Νῶε γεγονὼς ἐτῶν 53, κατὰ δὲ τὸ ἑβρ. ἐτῶν 182.

ϛ) Κατὰ τὸ Σαμαρειτανὸν, ὁ Ἰάρεδ ἀπέθανε γενόμενος ἐτῶν 847, ὁ Λάμεχ 653, ὁ Μαθουσάλας 720· κατὰ δὲ τὸ ἑβρ. ὁ μὲν πρῶτος ἐτῶν 962, ὁ δὲ β, 777, ὁ δὲ γ, 969.

Chronico conficiendo Hamadaddinus Ismaël, princeps Hemat. Ex quo plane colligere est, exemplaria, quibus usus est uterque Ismaël, differre ab iis, quae legunt nunc in Europa Judaei » etc. Ab. Ecchelens. Histor. Arabum in Chronic. Orient. pag. 172, 173.

ζ) Μαρτυρεῖ ὁ Ἱερώνυμος, ὅτι κατ' αὐτὸν (ἴσως καὶ ἐπ' Ὠριγένους) Σαμαρειτανά τινα χειρόγραφα ἐποίουν τὸν μὲν Μαθουσάλα ἐτῶν 187, ὅτ' ἐγέννησε τὸν Λάμεχ, τοῦτον δὲ πάλιν 182 ἐτῶν ἐπὶ τῆς τοῦ Νῶε γεννήσεως (α).

η) Ἐὰν οἱ 187 καὶ 182 οὗτοι ἀριθμοὶ ἀντικατασταθῶσιν ἀντὶ τῶν 67 καὶ 53, οὓς ἔχει τὸ νῦν Σαμαρειτανὸν, τότε καὶ κατ' αὐτὸ ἡ ἀπὸ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ περίοδος ἀναβαίνει εἰς ἔτη 1556, ὅσα ἔχουσι καὶ τὰ καθ' ἡμᾶς τῶν Ἀνατολικῶν Ἰουδαίων χειρόγραφα. Ἐπειδὴ δὲ οἱ 187 καὶ 182 ἀριθμοὶ οὗτοι ὑπερτεροῦσι τοὺς 67 καὶ 53 κατὰ ἔτη 249, φαίνεται λοιπὸν ἐναργῶς, ὅτι ταῦτα τὰ ἔτη ἀπέκοψαν οἱ Σαμαρεῖται ἐκ τῆς ἡλικίας τοῦ Μαθουσάλα, ὡς αὕτη χρονολογεῖται κατά τε τὸ ἑβρ. καὶ τὸ ἑλληνικόν.

θ) Κατὰ τὴν Σαμαρειτανὴν χρονολογίαν, ὁ Νῶε συνέζησε μετὰ τοῦ Ἀδὰμ ἔτη περίπου 220. Εἰ γὰρ ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ παρῆλθον (ὡς ψηφίζει) ἔτη 1307, ἐὰν ἀπὸ τούτων ἀφαιρεθῶσι τὰ 930 τῆς ζωῆς τοῦ Ἀδὰμ, μένουσιν ἔτη 377. Ἐπειδὴ δὲ ὁ κατακλυσμὸς συνέβη τῷ 600 τῆς τοῦ Νῶε ζωῆς, ἀπέθανε λοιπὸν ὁ Ἀδὰμ τῷ 223 ἔτει τοῦ Νῶε!. Ταύτην τὴν ἀτοπίαν μὴ φέρων ἐπίσημος καὶ παλαιὸς χρονογράφος Ἄραψ, ἀπεφήνατο πάντως διεφθαρμένον τὸν τῆς περιόδου ἀριθμὸν ἐν πᾶσι τοῖς ἀπογράφοις τῆς Σαμαρειτανῆς Πεντατεύχου (β).

Γ.

§. ς. Σημειώσεις εἰς τὸ ἑλληνικὸν τῶν Ο.

α) Ὅλα τὰ ἀντίγραφα, καὶ αἱ ἐκδόσεις τῶν Ο, καὶ οἱ ἀρχαῖοι χρονολόγοι, καὶ οἱ Πατέρες τῆς Ἐκκλησίας τοὺς ἀπὸ Ἀδὰμ μέχρι τοῦ Μαθουσάλα ἑπτὰ πατριάρχας ἀπαραλλάκτως γενεαλογοῦσι· καὶ τὰ ἔτη τούτων, τά τε πρὸ τῆς παιδοποιΐας καὶ τὰ μετ' αὐτὴν, συμφώνως ἀναγράφουσι καὶ ψηφίζουσι· καὶ φαίνεται λοιπὸν,

---

(α) S. Hieronym. Quaest. in Genes. καὶ παρὰ Montfauc. Hexapl. T. 1. pag. 21, 22.

(β) Ismaël Schahinschah in praeludiis historiae gentium, apud A. Ecchelens, Supplement. Histor. Orient. pag. 172.

ὅτι τούτους ἀκριβῶς τοὺς ἀριθμοὺς ἔγραψαν οἱ Ο κατὰ τὸ παρ᾽ αὐτοῖς ἑβραϊκόν.

β) Κατὰ τὸ Βατικανὸν χειρόγραφον καὶ τὸ τῆς Κομπλουτείας ἐκδόσεως, ὁ Μαθουσάλας ἐγέννησε τὸν Λάμεχ ἐτῶν γενόμενος 167 (τοσούτους γράφει καὶ Εὐσέβιος, καὶ ὁ Σύγκελλος). Ἀλλὰ κατὰ τὸ Ἀλεξανδρινὸν, καὶ τὸ τοῦ Ἄλδου ἀντίγραφον, καὶ ἄλλα (ἐκδ. Ὅλμητ.), ὁ Μαθουσάλας ἐγέννησε τὸν Λάμεχ, ἄγων ἔτη 187 (α). Τοσαῦτα ἐστοιχείωσεν ἐξ ἀρχαίων ἀντιγράφων καὶ ὁ παλαιὸς Ἀφρικανὸς (παρὰ Συγκέλ. Χρονογρ. σελ. 35)· καὶ τὸ Χρονικὸν Πασχάλιον τοσαῦτα ψηφίζει, « *κατὰ τὰ ἀκριβῆ τῆς Γενέσεως βιβλία* », ὡς γράφει κατὰ λέξιν (σελ. 36. τόμ. α). Τοῦτον τὸν ἀριθμὸν ἀνέγνω καὶ ὁ ἱερὸς Αὐγουστῖνος « ἐν χειρογράφοις (ὡς λέγει) βραχυτέροις μὲν, ἀλλ᾽ ὅμως ἀληθεστέροις » (εἰς Γένεσ. Ζητήμ. β). Τοῦτον, τέλος, τὸν ἀριθμὸν ἔγραψε καὶ αὐτὸς ὁ Ἰώσηπος (Ἀρχ. Α. γ. §. 4)· συμφωνοῦσι δὲ καὶ τὸ ἑβραϊκὸν, καὶ τὸ κατὰ τὸν Ἱερώνυμον Σαμαρειτανόν. Καὶ δείκνυται λοιπὸν καὶ ἐκ τούτου, ὅτι τοσαῦτα γνησίως ἔγραψαν τὰ ἔτη οἱ Ο.

γ) Κατὰ τὰς ἐκδόσεις τῶν Ο, ὁ Λάμεχ ἐγέννησε τὸν Νῶε, γενόμενος ἐτῶν 188, κατὰ δὲ τὰ ἀνατολικὰ χειρόγραφα, ὁ Λάμεχ ἐγέννησε τὸν Νῶε τῷ 187, ἔτει τῆς ζωῆς αὐτοῦ (β). Οὗτος ὁ ἀριθμὸς συμφωνεῖ πρός τε τὸ ἑβραϊκὸν, καὶ τὸ κατὰ τὸν Ἱερώνυμον Σαμαρειτανὸν, καὶ πρὸς τὸν Ἰώσηπον (ἔνθα ἀνωτ.). Καὶ κατὰ τοῦτον τὸν ἀριθμὸν, συμψηφιζομένων τῶν προπαιδογονικῶν ἐτῶν τοῦ Μαθουσάλα, ἀποδείκνυται οὗτος τελευτήσας ἀρχομένου τοῦ ἔτους τοῦ κατακλυσμοῦ. Ἐὰν γὰρ πρὸς τοῖς 187 ἔτεσιν, ἅπερ ἦγεν ὁ Μαθουσάλας ὅτε τὸν Λάμεχ ἐγέννησε, προστεθῶσι καὶ τὰ τοῦ Λάμεχ 782, ὅτε γέγονεν ὁ κατακλυσμὸς, συμποσοῦνται τὰ

(α) Καὶ αὐτὸς ὁ Εὐσέβιος λέγει (*Χρονικ. α. καὶ Συγκέλ. σελ.* 35), *ὅτι « εἶδέ τινα τῶν ἀντιγράφων ἔχοντα, ὅτι ἐπέζησε (μετὰ τὸ γεννῆσαι τὸν Λάμεχ)* ὁ Μαθουσάλας *ἔτη* 782» (*οὕτως ἔχουσι καὶ τὸ* Ἀλεξανδρινὸν, *καὶ τὸ τοῦ* Ἄλδου *κτλ.*)· *καὶ κατὰ ταῦτα λοιπὸν ὁ* Μαθουσάλας *ἀποδείκνυται γεννήσας τὸν* Λάμεχ *τῷ* 187. Τοιαῦτα *χειρόγραφα ὑπῆρχον καὶ ἐπὶ* Ἰακώβου τοῦ Ἐδεσσηνοῦ *κατὰ τοῦ ζ, αἰῶνα, καὶ ἄλλα ἐφεξῆς, κατὰ τὴν μαρτυρίαν* Ἀβραὰμ τοῦ Ἐκκελλησίου (Χρονικ.).

(β) Chronic. Orient. p. 2. Paris. 1685. πρβλ. Vossij de aetate mundi p. 253.

πάντα ἔτη 969· καὶ τοσαῦτα ἔζησεν ὁ Μαθουσάλας, τελευτήσας πρὶν ἐπέλθῃ ὁ κατακλυσμός (α).

δ) Ἡ κυρία τῶν ἑβραϊκῶν χειρογράφων πρὸς τοὺς Ο διαφορά, ἐν ταύτῃ τῇ περιόδῳ συνέστηκε περὶ τὴν ἡλικίαν τῶν ἓξ μάλιστα πατριαρχῶν, Ἀδάμ, Σήθ, Ἐνώς, Καϊνάν, Μαλελεὴλ, Ἐνώχ, καὶ ἰδίως περὶ τοὺς χρόνους τῆς παιδογονίας αὐτῶν. Οἱ Ο διορίζουσι τὴν ἑκάστου παιδογονίαν ἑκατὸν ἔτεσι μεταγενεστέραν τῆς ἐν τῷ ἑβραϊκῷ διωρισμένης. ἐκ δὲ τούτου συμβαίνει τὸν παρὰ τοῖς Ἑβραίοις τῆς ὅλης περιόδου ψηφισμὸν ἐλαττοῦσθαι τοῦ παρὰ τοῖς Ο, ἔτεσιν ὅλοις 606.

ε) Πόθεν προῆλθεν ἡ τοσαύτη τῆς ἑβραϊκῆς χρονολογίας ἐλάττωσις, βλέπομεν προϊόντες. Ἤδη δὲ σημειοῦμεν μόνον, ὅτι ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ Ἐνώχ, τοὺς παρὰ τοῖς Ο τῶν γενεῶν ἀριθμοὺς ὁ Ἑβραῖος βραχύνει ἀκριβῶς κατὰ μίαν ἑκατονταετηρίδα, τὰς δὲ πρὸς ταῖς ἑκατοντάσι συνημμένας δεκάδας καὶ μονάδας ἀποδίδωσιν ἴσας καὶ τὰς αὐτὰς τοῖς Ο (οἷον· ὁ Ἀδάμ, κατὰ τοὺς Ο, ἐγέννησε τὸν Σὴθ τῷ 230 ἔτει τῆς ζωῆς αὐτοῦ· ὁ Σὴθ τὸν Ἐνὼς τῷ 205, κτλ. κατὰ δὲ τὸ ἑβρ. ὁ Ἀδάμ, ἔτει 130, ὁ Σὴθ ἔτει

(α) Κατὰ τὴν παρ' Εὐσεβίῳ χρονολογίαν, τὰ πρὸ τῆς παιδογονίας ἔτη τοῦ Μαθουσάλα ψηφίζονται 167· ὅθεν ἀποδείκνυται ὁ Μαθουσάλας ἐπιζήσας καὶ μετὰ τὸν κατακλυσμὸν ἔτη 15, ἢ 14· ὅπερ ἀτοπώτατον (πρβλ. καὶ Συγκελ. Χρονογρ. σελ. 36: 214). Τοῦτο καὶ παρὰ τοῖς ἀρχαίοις διεθρυλλεῖτο (S. Hieron. Quaest. in Genes.), καὶ ὁ σοφὸς Ὑσσέριος ὡς ἁμάρτημα δῆθεν αὐτῆς τῆς ἑρμηνείας τῶν Ο, μέγα καὶ τρανώτατον περιεσάλπιζε (Usser. de LXX. pag. 16. πρβλ. Petavij Animadv. ad Epiphan. p. 5). Καὶ ὅμως αὐτὸς ὁ Εὐσέβιος ἐμνήσθη ἀντιγράφων, ἐν οἷς καὶ κατ' αὐτὸν ἐγέγραπτο ὁ 187 γνήσιος ἀριθμὸς (βλ. ὄπισθ. σελ. 711, σημ. πρβλ. καὶ Clinton, Fasti Hellenic. T. 1. p. 286.—Wallace, A Dissertation etc. p. 24). Διὸ καὶ δικαίως Ἀβραὰμ ὁ Ἐκκελήνσιος καταφέρεται κατὰ τῶν, ὅσοι ψέγουσιν αὐτοὺς τοὺς Ο, διὰ σφάλμα τῶν ἀντιγραφέων. «Τούτου (λέγει) λίαν ἀσμένως δράττονται οἱ πρὸς μὲν τὴν ἑρμηνείαν τῶν Ο δυσμενῶς ἔχοντες, τὸ δ' ἑβραϊκὸν ὑπερασπίσαι σπουδάζοντες καθ' οἵαν ἂν ἀρέσκωνται δίκην, καὶ μετὰ πάσης πεισμονῆς (quo lubet jure, et pertinacia). Διὰ τοῦτο (λέγει) καὶ οἱ μεταγενέστεροι δυτικοὶ χρονογράφοι, παρέντες τοὺς Ο, κατηκολούθησαν τῷ ἑβραϊκῷ. Ἀλλὰ παρὰ τοῖς ἀνατολικοῖς κέκριται παγιωτάτῃ ψήφῳ τὸν Μαθουσάλαν τελευτῆσαι τῷ αὐτῷ ἔτει, καθ' ὃ γέγονεν ὁ κατακλυσμός». Abr. Ecchelens. Histor. Arab. ad calcem Chronic. Oriental. p. 174.

105, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως ἄχρι τοῦ Ἰάρεδ). Ἐπὶ δὲ τοῦ Ἰάρεδ αἴφνης συμφωνεῖ τοῖς Ο, προστιθεὶς καὶ αὐτὸς τὴν ἑκατοντάδα, πρὸ τῆς παιδογονίας· καὶ πάλιν εὐθὺς ἐπὶ τοῦ Ἐνὼχ αὐτὴν ἀφαιρεῖ (γράφων 65 ἀντὶ τοῦ παρὰ τοῖς Ο 165). Ἐπὶ δὲ, τέλος, τοῦ Μαθουσάλα καὶ τοῦ Λάμεχ συμφωνεῖ ἐπ᾽ ἀκριβὲς καὶ τὸ ἑβραϊκὸν μετὰ τῶν Ο. Ταῦτα προφανῶς δεικνύουσι λιπαράν τινα καὶ περιωδευμένην τεχνιτείαν, ἀφορῶσαν ἐκ προνοίας πρὸς ἐλάττωσιν τῶν ἐτῶν τῆς πρώτης περιόδου. Ἀλλ᾽ ἐξελέγχουσι τὴν μαγγανείαν τό, τε περὶ τὰς γενέσεις ἀνώμαλον, καὶ τὸ παντάπασιν ἀνακόλουθον. Εἴπερ γὰρ ὁ Σὴθ καὶ οἱ λοιποὶ τῶν ἀρχαίων προγόνων τοῦ Μαθουσάλα, καὶ αὐτὸς ὁ τούτου πατὴρ Ἐνὼχ, ἐτεκνοποίουν ἀπὸ τοῦ 90 μέχρι καὶ αὐτοῦ τοῦ 65 ἔτους τῆς αὐτῶν βιοτῆς, πῶς ἐξαίφνης ὁ Μαθουσάλας καὶ ὁ Λάμεχ παιδογονοῦσιν ἐν ἡλικίᾳ διπλασίονι καὶ τριπλασίονι τῆς τῶν προγόνων αὐτῶν; (α).

ϛ) Τὴν ἐκ τῆς προπαιδογόνου τῶν πατριαρχῶν ἡλικίας ἀφαιρουμένην ἑκατοντάδα τῶν ἐτῶν μετατίθησι τὸ ἑβραϊκὸν εἰς τὴν μεταπαιδογόνον. Οὕτως ἐπὶ τοῦ Ἀδὰμ ἀντὶ τοῦ 230 (ὡς ἔχουσιν οἱ Ο) γράφει 130· μετὰ δὲ τὴν παιδογονίαν οἱ μὲν Ο γράφουσιν ἔτη τοῦ Ἀδὰμ 700, τὸ δ᾽ ἑβρ. 800, καὶ ἐπὶ τοῦ Σὴθ καὶ τῶν ἄλλως ὡσαύτως τὸν ὅμοιον τρόπον διατηρεῖ· (καὶ οὕτως ἔν γε τοῖς κεφαλαίοις τῶν ἐτῶν ἑκάστου τῶν πατριαρχῶν συμφωνεῖ τοῖς Ο). Ἀλλ᾽ ἐπὶ τοῦ Ἰάρεδ καὶ Λάμεχ καὶ Μαθουσάλα τὸ ἑβραϊκὸν ἐξαίφνης ἀπέστη τῆς τοιαύτης μεταθέσεως τῶν ἐτῶν, καταλιπὸν τὴν ἑκατοντάδα ἐπὶ τῆς προπαιδογονικῆς αὐτῶν ἡλικίας (ὡς ἔχουσι καὶ οἱ Ο). Καὶ τοῦτο φαίνεται δεῖγμα προμεμελετημένης περὶ τὰ ἔτη μεταβολῆς, ἥτις προχωρήσασα μέχρι τινὸς, ἔστη, τέλος, ἐξ ἀνάγ-

(α) Τούτου τοῦ ἑβραϊκοῦ τὸ ἀπίθανον καὶ ὁ Εὐσέβιος ὀρθότατα σεσημείωκε λέγων· «Ἀπὸ γὰρ τοῦ πλείονος χρόνου τῶν περὶ τὸν Ἰάρεδ δῆλος ἂν γένοιτο καὶ ὁ τῶν προαγόντων, συντρέχειν ὀφείλων τῇ τῶν Ο ἐκδόσει. Εἰ γὰρ οἱ νεώτεροι καὶ μεταγενέστεροι τοῖς χρόνοις ταῖς τῶν ἑκατοντάδων προσθήκαις εὕρηνται κατὰ τὴν τοῦ ἑβραϊκοῦ γραφὴν σύμφωνοι τῇ τῶν Ο, ἑρμηνείᾳ, πόσῳ πλέον εἰκὸς ἦν τοὺς ἀρχαιοτέρους καὶ αὐτῶν ἐκείνων προπάτορας μᾶλλον τῶν μετέπειτα πολυχρονιωτέρους γενέσθαι; Εὐσεβ. Χρονικ. καὶ Σύγκελ. Χρονικ. σελ. 158 καὶ 166.

κης, καὶ ἡσύχασε διὰ λόγους διττούς. Εἰ γὰρ μετετίθει τὴν ἑκατοντάδα καὶ ἐπὶ τῶν τριῶν τούτων πατριαρχῶν, προήρχοντ' ἂν ἀτοπήματα μεγάλα καὶ διπλᾶ. α) Τὸ κεφάλαιον τῶν ἐτῶν τῆς ὅλης περιόδου ἀντὶ τῶν 1656, πάντως ἔμελλεν ἀποβήσεσθαι τρισὶν ἑκατοντάσιν ἔλασσον, ἤτοι 1356. Ὅθεν β) οἱ τρεῖς οὗτοι πατριάρχαι ἔμελλον φανήσεσθαι καὶ μετὰ τὸν κατακλυσμὸν ἐπιζήσαντες, ὁ μὲν Ἰάρεδ 66, ὁ δὲ Μαθουσάλα 200, ὁ δὲ Λάμεχ ἔτη 95· ἀλλ' οὗτοι ἐν τῇ κιβωτῷ τοῦ Νῶε πάντως οὐκ ἦσαν! καὶ τὸ πρᾶγμα ἀντιλέγει πρὸς τὴν θείαν Γραφήν. Ἐκ τούτου τοίνυν φαίνεται ἐναργῶς, ὅτι καὶ ἐν τῷ ἑβραϊκῷ τὰ πρὸ τῆς παιδογονίας ἔτη τῶν πατριαρχῶν ὑπῆρχον γεγραμμένα ἐξ ἀρχῆς κατὰ τὸν αὐτὸν καὶ παρὰ τοῖς Ο ἀριθμόν. Ὁ δ' ἑβραῖος ἀφεῖλε τὰς ἑκατοντάδας, ἕως ἐνεχώρει τὸ μέχρι τοῦ κατακλυσμοῦ χρονικὸν διάστημα τῶν γενεῶν.

ζ) Καὶ τοῦτο παρατηρητέον ἐπὶ τῆς χρονολογίας τῶν Ο· ὁ μὲν Ἀδὰμ ἔζησεν, ἕως εἶδε τετραγονίαν, ἢ 4 γενεάν, μέχρι 135 ἔτους τοῦ Μαλελεήλ. Ὁ δὲ Σὴθ καὶ Ἐνὼς καὶ Καϊνὰν καὶ Μαλελεὴλ, εἶδον 5, γενεάν, ἐπιζήσαντες, ὁ μὲν μέχρις 20 ἔτους τοῦ Ἐνώχ· ὁ δὲ, μέχρι 53 ἔτους τοῦ Μαθουσάλα· ὁ δὲ, μέχρι 61 τοῦ Λάμεχ· ὁ δὲ Μαλελεὴλ μέχρι 28 ἔτους τοῦ Νῶε· ὁ δὲ πάλιν Ἰάρεδ εἶδε 4 γενεάν, ἐπιζήσας μέχρι 260 ἔτους τοῦ Νῶε· ὁ δὲ, τέλος, Μαθουσάλας δύω μόνον εἶδε γενεάς, ἐπιζήσας μέχρις ἀρχομένου τοῦ 600 ἔτους τοῦ Νῶε.

η) Ὁ σοφὸς Σελδῆνος (α) ἀπέδειξεν ἔκ τινος χειρογράφου Χρονικοῦ τοῦ Εὐτυχίου, πατριάρχου Ἀλεξανδρείας, ὅτι τὸ Ἀνατολικὸν ἔθνος παρέλαβεν ἀρχαίαν παράδοσιν, ὅτι ὁ μὲν Σὴθ ἀπέθανε τῷ 20 ἔτει τοῦ Ἐνὼχ, ὁ δὲ Ἐνὼς τῷ 53 τοῦ Μαθουσάλα. Ἀμφότεραι αὗται αἱ παραδόσεις συμφωνοῦσι πρὸς τὴν χρονολογίαν τῶν Ο· διαφέρουσι δὲ πάντων τῶν ἑβραίων χειρογράφων.

θ) Τὸ μάλιστα παρ' Ἰουδαίοις τιμώμενον Ταργούμιον τοῦ Ἰωνάθαν (Βὲν Οὐζιὴλ) παραφράζει τὰ ἐν κεφ. δ, 25, τῆς Γενέσεως οὕτως. « Ἔγνω δὲ Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτε-

(α) Selden. De anno civil. vet. Judaeor. p. 44, 45. Londin. 1644.

κε τὸν Σὴθ, ἀφ᾽ οὗ *συνεπληρώθησαν ἔτη* 130 *μετὰ τὸν θάνατον τοῦ Ἄβελ*». Τοῦτ᾽ αὐτὸ ἐπαναλαμβάνουσι καὶ ἄλλα παρ᾽ Ἰουδαίοις ἐπίσημα καὶ αὐθεντικὰ συγγράμματα (α). Καὶ κατὰ ταῦτα ἄρα ὁμολογοῦσιν, ὅτι καὶ πρὸ τῶν 130 ἐτῶν ὁ Ἀδὰμ συνέζησε χρόνους ὁσουσδήποτε μετὰ τῶν προγεγεννημένων αὐτοῦ παίδων, τοῦ Κάϊν καὶ τοῦ Ἄβελ. Ἄλλο παλαιὸν βιβλίον (ἓν τῶν πρὸ Χριστοῦ παρ᾽ Ἰουδαίοις φερομένων ἀποκρύφων), ἡ *λεπτὴ Γένεσις* ἐπιγεγραμμένον, ὡς βλέπομεν ἐν τοῖς παρὰ Συγκέλλῳ περισωθεῖσιν ἀποσπάσμασιν αὐτοῦ, διορίζει τὴν μὲν γέννησιν τοῦ Κάϊν τῷ 70 ἔτει τῆς ζωῆς τοῦ Ἀδὰμ, τὴν δὲ τοῦ Ἄβελ τῷ 77, καὶ τὸν τούτου θάνατον τῷ 99. Ὥστε κατ᾽ ἀμφοτέρας τὰς ἰουδαϊκὰς ταύτας παραδόσεις ἀποδείκνυται βεβαία καὶ ἀληθὴς ἡ κατὰ τοὺς Ο χρονολογία, καθ᾽ ἣν ἀπὸ Ἀδὰμ μέχρι γεννήσεως τοῦ Σὴθ ἀριθμοῦνται ἔτει 230. Ἄλλως δὲ, προκύπτει μέγα τι ἀτόπημα. Εἴ περ γὰρ ὁ Σὴθ ἐγεννήθη ἔτει 130 μετὰ τὸν θάνατον τοῦ Ἄβελ, καὶ εἴπερ ὡσαύτως πάλιν ὁ Σὴθ ἐγεννήθη τῷ 130 ἔτει τοῦ Ἀδὰμ (ὡς ἔχει τὸ νῦν ἑβραϊκὸν), ἕπεται λοιπὸν ἀναγκαίως, ὅτι ὅ,τε Κάϊν καὶ ὁ Ἄβελ ἐγεννήθησαν συγχρόνως τῷ πρώτῳ ἔτει τῆς ζωῆς Ἀδὰμ, ἢ τῆς κτίσεως τοῦ κόσμου· καὶ ὁ Κάϊν ἀπέκτεινε τὸν Ἄβελ, πρὶν ἑκάτεροι γένωνται διετεῖς! Ἀλλὰ τί τούτου μωρότερον, ἢ ἀντιφατικώτερον πρὸς τὴν θείαν Γραφήν;

§. ζ. Ταῦτα σημειοῦμεν περὶ τῶν ἐν τοῖς τρισὶ κειμένοις εἰδικῶν διαφορῶν, καθ᾽ ἃς πρὸς ἄλληλα διαφωνοῦσιν ἐν τῇ πρώτῃ περιόδῳ τῶν χρόνων τῶν ἀπὸ τοῦ Ἀδὰμ ἄχρι τοῦ κατακλυσμοῦ· ἤδη δὲ μεταβαίνομεν εἰς τὴν δευτέραν, τὴν κατὰ τοὺς νεωτέρους *ἀποκατακλύσμιον* περίοδον.

§. η. Αὕτη τοίνυν ἡ δευτέρα χρονικὴ περίοδος παρεκτείνεται ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῆς γεννήσεως καὶ τῆς κλήσεως τοῦ Ἀβραάμ· σύγκειται δὲ ἐκ τῶν ἐτῶν τῶν ἐν τῷ χρόνῳ τούτῳ παρὰ τῇ θείᾳ Γρα-

(α) Τὸ Bereshith Rabba, τὸ More Nevochim, καὶ τὸ Midrash Tanchuma, ὁ Solomon Jarchi, ὁ Elias, καὶ ἄλλοι. Βλ. Hales, Analysis of Chronology vol. I. pag. 80. καὶ A. Ecchelens. Histor. Arab. p. 175.

φῇ ἱστορουμένων πατριαρχῶν (Γενέσ. Ι, 21–25 καὶ ΙΑ, 10–32 καὶ ΙΒ, 4). Κατὰ τὴν χρονολογίαν τῆς περιόδου ταύτης τὸ μὲν ἑβραϊκὸν ἀριθμεῖ ἔτη 367 (α). Τὸ δὲ Σαμαρειτανὸν ἔτη 1017 τὸ δὲ τῶν Ο ἑλληνικὸν ἔτη 1147. Κείσθω δὲ καὶ ταύτης τῆς περιόδου πίναξ ὁ ἐφεξῆς.

Πίναξ Β.

Τὰ κείμ.	Τὸ ἑβραϊκὸν			Τὸ Ἑλλην.			Τὸ Σαμαρειτ.		
Τὰ ὀνόματα τῶν πατριαρχῶν	Τὰ πρὸ τῆς παιδογονίας ἔτη.	Τὰ μετὰ τὴν παιδογονίαν ἔτη.	Κεφάλαιον ὅλων τῶν ἐτῶν ἑκάστου.	Τὰ πρὸ τῆς παιδογονίας ἔτη.	Τὰ μετὰ τὴν παιδογονίαν ἔτη.	Κεφάλαιον ὅλων τῶν ἐτῶν ἑκάστου.	Τὰ πρὸ τῆς παιδογονίας ἔτη.	Τὰ μετὰ τὴν παιδογονίαν ἔτη.	Κεφάλαιον ὅλων τῶν ἐτῶν ἑκάστου.
Σὴμ	2			2			2		
Ἀρφαξὰδ	35	403	(438)	135	403	«	135	303	438
Καϊνὰν	(λείπει)	«	«	130	330	(460)	(λείπει)	«	«
Σαλὰ	30	403	(433)	130	330	(460)	130	303	433
Ἔβερ	34	430	(434)	134	270	(404)	134	270	404
Φαλὲγ	30	209	(239)	130	209	(339)	130	109	239
Ῥαγαῦ	32	207	(239)	132	207	(339)	132	107	239
Σεροὺχ	30	200	(230)	130	200	(330)	130	100	230
Ναχὼρ	29	119	(148)	79	129	(208)	79	69	148
Θάῤῥα	70	(135)	205	70	(135)	205	70	75	145
Ἀβραὰμ ἐπὶ τῆς κλήσεως	75	«	«	75	«	«	75	«	«
Διάρκεια πάσης τῆς περιόδου	367			1147			1017 (β)		

(α) *Οὕτω καὶ ἡ Βουλγάτα ἐξ αὐτοῦ. Κατὰ δὲ τὴν Ὑσσερίου θεωρίαν, τὰ ἔτη ταῦτα ἀριθμοῦνται 427, καὶ ἡ διαφορὰ προέρχεται ἐκ τῆς ὑποθέσεως τοῦ Ὑσσερίου, καθ' ἣν τίθησι τὴν γέννησιν τοῦ Ἀβραὰμ τῷ 130 ἔτει τῆς ζωῆς τοῦ πατρὸς αὐτοῦ Θάῤῥα, οὐχὶ δὲ τῷ 70, (ὡς ἔχουσι τὰ κείμενα)· ἀλλὰ περὶ τούτου ἐν τοῖς ἑξῆς σελ. 728.*

(β) *Εἰς μόνον τὸ Σαμαρειτανὸν κείμενον γράφονται καὶ τὰ κεφάλαια τῶν ἐτῶν*

Α.

§. θ. Σημειώσεις ἐπὶ τῆς β χρονολογικῆς περιόδου εἰς τὸ ἑβραϊκόν.

α) Κατὰ τὸ ἑβραϊκὸν κείμενον, ὁ Σὴμ ἐτῶν γενόμενος 100, γεννᾷ τὸν Ἀρφαξὰδ δευτέρῳ ἔτει μετὰ τὸν κατακλυσμὸν, καὶ ἐπέζησεν ἔτη 500· τὸ δὲ ὅλον τῆς ζωῆς αὐτοῦ κεφαλαιοῦται εἰς ἔτη 600.

β) Πάντα τὰ ἑβραϊκὰ χειρόγραφα γράφουσιν, ὅτι ὁ Ἀρφαξὰδ ἐγέννησε τὸν Σαλὰ, ἄγων ἔτος 35. Ἀλλ' ὁ ἀριθμὸς οὗτος φαίνεται διεφθαρμένος· καὶ δῆλον ἐκ τοῦ ἐφεξῆς. Κατὰ τὸ ἑβραϊκὸν, ὁ Ἀρφαξὰδ, ἀφ' οὗ ἐγέννησε τὸν Σαλὰ, ἔζησεν ἔτη 403· οἱ δ' Ο, καὶ ὁ Ὄγκελος ἀριθμοῦσιν ἔτη 430· ἡ δὲ Βουλγάτα καὶ τὸ Σαμαρειτικὸν, ἔτη μόνα 303.

γ) Κατὰ τὰ χειρόγραφα τῶν Δυτικῶν Ἰουδαίων, ὁ Σαλὰ ἐγέννησε τὸν Ἔβερ ἐτῶν γενόμενος 30, καὶ ἔζησε μετέπειτα ἔτη 403, καὶ τὸ ὅλον ἔτη 433. Κατὰ δὲ τὰ τῶν Ἀνατολικῶν Ἰουδαίων ἀντίγραφα, ὁ Σαλὰ μετὰ τὸ γεννῆσαι τὸν Ἔβερ ἔζησεν ἔτη 430, καὶ τὸ ὅλον ἔτη 460· καὶ τοῦτο φαίνεται ἡ ἀληθὴς ἀνάγνωσις, καθότι συμφωνεῖ καὶ τοῖς Ο καθ' ὅλους αὐτῶν τοὺς κώδηκας.

δ) Πάντα τὰ ἑβραϊκὰ χειρόγραφα συμφωνοῦσιν, ὅτι ὁ Φαλὲγ ἐγέννησε τὸν Ῥαγαῦ ἔτει 30 τῆς ἡλικίας αὐτοῦ, καὶ ὅτι ἔζησεν ὕστερον ἔτη 209· καὶ τὸ ὅλον ἔτη 239. Κατὰ τοῦτο τὸ κεφάλαιον ὁ Ἑβραῖος συμφωνεῖ τοῖς Ο καὶ τῷ Σαμαρειτανῷ. Ἀλλ' ἐκεῖνο φαίνεται παράδοξον. Ὁ μὲν Ἔβερ, ὁ πάππος Ῥαγαῦ, γεννήσας τὸν Φαλὲγ ἔτει 34, ἐπέζησεν ἄλλα 430 ἔτη. Αὐτὸς δὲ ὁ Φαλὲγ τεκνώσας τὸν Ῥαγαῦ κατὰ τὸ αὐτὸ σχεδὸν ἔτος τῆς τοῦ πάππου παιδογονίας, ἐπέζησεν ἔτη μόνα 209 (ὡς ἐν τῷ πίνακι φαίνεται)· καὶ κατὰ ταῦτα λοιπὸν ἡ μεταπαιδογόνος βιοτὴ τοῦ

τῆς ὅλης ζωῆς ἑκάστου τῶν ἀποκαταχλυσμίων Πατριαρχῶν, ὡς φαίνεται ἐν τῷ πίνακι ἀνωτέρω. Ἐν δὲ τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο, μόνα τὰ πρὸ τῆς παιδογονίας καὶ τὰ μετὰ τὴν παιδογονίαν ἔτη καταγράφονται, τὸ δ' ἐκ τούτων συναγόμενον κεφάλαιον τῶν ἐτῶν τῆς ὅλης ἑκάστου ζωῆς οὐ γέγραπται (ὡς ἐν τοῖς προκατακλυσμίοις)· ἀλλὰ σεσιώπηται· διὰ τοῦτο καὶ ἐν ταῖς ἀνωτέρω στήλαις τοῦ πίνακος, ἐν τῷ ἑβρ. καὶ ἑλλην. σεσημείωνται τὰ κεφάλαια ἐν παρενθέσει, καὶ διὰ λεπτοτέρων στοιχείων ἀριθμητικῶν.

Φαλὲγ ἐλαττοῦται τῆς τοῦ πατρὸς αὐτοῦ Ἔβερ ἔτεσιν ὅλοις 216. Αὕτη τῶν ἐτῶν ἡ μεγάλη καὶ παράδοξος ἔκπτωσις παρέχει δικαίας ὑπονοίας διαφθορᾶς, ἐπισυμβάσης ἐν τούτοις τοῖς ἀριθμοῖς τοῦ ἑβραϊκοῦ.

ε) Πάντα τὰ ἑβραϊκὰ χειρόγραφα συμφωνοῦσιν, ὅτι ὁ Ῥαγαῦ ἐγέννησε τὸν Σεροὺχ ἄγων ἔτος 32, καὶ ἐπέζησεν ἔτη 207, τὸ δὲ ὅλον ἔζησεν ἔτη 239. Κατὰ δὲ ταῦτα συμφωνεῖ τὸ ἑβραϊκὸν μετὰ τοῦ Σαμαρειτανοῦ, διαφέρουσι δ' ἀμφότερα τῶν Ο, κατὰ ἔτη 100· κατὰ γὰρ τοὺς Ο, ὁ Ῥαγαῦ ἔζησε τὰ πάντα ἔτη 339.

ς) Πάντα τὰ ἑβραϊκὰ χειρόγραφα συμφωνοῦσιν, ὅτι ὁ Σεροὺχ ἐγέννησε τὸν Ναχὼρ, ἄγων ἔτος 30, ἐπέζησε δὲ 200, καὶ τὸ πᾶν 230· συμφωνεῖ καὶ τὸ Σαμαρειτ. ἀλλ' οἱ Ο ἔχουσι 330 ἔτη.

ζ) Πάντα τὰ ἑβραϊκὰ χειρόγραφα συμφωνοῦσιν ὅτι ὁ Ναχὼρ, ἐγέννησε τὸν Θάρα (ἢ Θάῤῥα), ἔτος ἄγων 29, καὶ μετέπειτ' ἔζησεν ἔτη 119, καὶ τὸ ὅλον 148. Συνᾴδει καὶ τὸ Σαμαρειτανόν· ἀλλ' οἱ Ο ἔχουσι 208 (κατὰ τὸ Ἀλεξανδρινὸν καὶ τὸ τοῦ Ἄλδου χειρόγραφον).

η) Πάντα τὰ ἑβραϊκὰ χειρόγραφα συμφωνοῦσιν, ὅτι ὁ Θάρα ἐγέννησε τὸν Ἀβραὰμ, ἔτος ἄγων 70, καὶ ἐπέζησεν ἔτη 135· τὸ δὲ ὅλον ἔτη 205. Τοῦτον ἔχουσι τὸν ἀριθμὸν καὶ πάντα τὰ τῶν Ο χειρόγραφα· τὸ δὲ Σαμαρειτανὸν κατὰ μὲν τὰ 70 ἔτη τῆς τοῦ Θάρα παιδογονίας συμφωνεῖ· διαφωνεῖ δὲ πάλιν, ὅτι μόνον αὐτὸ γράφει 145 πάντα τὰ ἔτη τῆς τοῦ Θάῤῥα ζωῆς.

θ) Πάντα τὰ ἑβραϊκὰ χειρόγραφα συμφωνοῦσι περὶ τὸν ψηφισμὸν τῶν ἀπὸ κατακλυσμοῦ μέχρις Ἀβραὰμ γεννήσεως ἐτῶν, ϛοιχειοῦντα ἔτη 292. προϛιθεμένων δὲ καὶ τῶν 75 (τοῦ Ἀβραὰμ), ἔτη 367.

ι) Ἐκ τούτων ἁπάντων τῆς ἑβραϊκῆς χρονολογίας πορίζονται τὰ ἑφεξῆς·

1) Ὅτι ὁ πύργος τῆς Βαβυλῶνος ἐκτίσθη περὶ τὸ ἔτος τῆς γεννήσεως τοῦ Φαλέγ.

2) Ὅτι μεταξὺ τοῦ 131 καὶ τοῦ 101 ἔτους μετὰ τὸν κατα-

κλυσμὸν, ἤτοι μεταξὺ τῆς γεννήσεως τοῦ Ῥαγαῦ, καὶ τῆς γεννήσεως τοῦ Φαλὲγ, διενείμαντο τὴν γῆν πρὸς ἀλλήλους εἰς κατοίκησιν οἱ τρεῖς υἱοὶ τοῦ Νῶε μετὰ τῶν ἀπογόνων αὐτῶν.

3) Ὅτι ὁ Νῶε ἐπιζήσας 350 ἔτη μετὰ τὸν κατακλυσμὸν, συνεβίω μετὰ τοῦ Σὴμ, τοῦ Ἀρφαξὰδ, τοῦ Σαλὰ, τοῦ Ἔβερ· καὶ μετὰ τούτων ἁπάντων εἶδεν ὁ Νῶε τὸν πύργον τῆς Βαβυλῶνος, καὶ τὴν σύγχυσιν τῶν γλωσσῶν, καὶ τὴν διασπορὰν τῶν ἐθνῶν. Καὶ ὅτι, καὶ μετὰ τὴν διασπορὰν ἐπέζησεν ὁ μὲν Νῶε ἔτη 219, ὁ δὲ Ἀρφαξὰδ ἔτη 309, ὁ Σαλὰ 339, ὁ δὲ Ῥαγαῦ ἔτη 400.

4) Ὅτι ὁ Νῶε ἔζησε πρὸς τούτοις μέχρι τοῦ 58 ἔτους τοῦ ἑνδεκάτου ἀπογόνου αὐτοῦ Ἀβραάμ· καὶ ἑπομένως ἐπέζησε μετὰ τὸν πέμπτον αὐτοῦ ἀπόγονον Φαλὲγ, καὶ τὸν ἕκτον ἀπόγονον, τὸν Ναχώρ· καὶ ὁ Θάρα ὁ πατὴρ τοῦ Ἀβραὰμ, εἰδωλολάτρει, ζῶντος ἔτι τοῦ Νῶε.

5) Ὅτι ὁ Σὴμ μετὰ τὴν γέννησιν τοῦ Ἀρφαξὰδ ζήσας ἔτη 500 (ἢ 502 μετὰ τὸν κατακλυσμὸν, καὶ 100 πρὸ τοῦ κατακλυσμοῦ, τὰ πάντα ἔτη 602) παρέτεινε τὸν βίον ἄχρι καὶ τοῦ 50 ἔτους τοῦ Ἰακὼβ (α), ἐπιζήσας ὁ προκατακλύσμιος οὗτος πατριάρχης καὶ μετὰ τὸν θάνατον τοῦ Ἀβραὰμ ἔτη πέντε καὶ τριάκοντα!

6) Ὅτι ὁ Ἀρφαξὰδ ἔζησε μέχρι καὶ τοῦ 48 ἔτους τοῦ Ἰσαὰκ, ἐπιζήσας μετὰ τὸν Φαλὲγ, τὸν Ῥαγαῦ, τὸν Σεροὺχ, τὸν Ναχὼρ, τὸν Θάῤῥα, ἤτοι τὸν τρίτον, τέταρτον, πέμπτον, ἕκτον, ἕβδομον ἀπόγονον αὐτοῦ.

7) Ὅτι ὁ Σαλὰ ἐπέζησε μετὰ τὸν Ῥαγαῦ, τὸν Σεροὺχ, τὸν Ναχὼρ, τὸν Θάῤῥα, τὸν Ἀβραὰμ, ἀπογόνους ὅλους ἑπτὰ, παρατείνας τὸν βίον μέχρι τοῦ 17 ἔτους τοῦ Ἰακώβ.

(α) Κατὰ τὸ ἑβραϊκὸν, ὁ Ἀβραὰμ ἐγεννήθη μετὰ τὸν κατακλυσμὸν ἔτη 292 Τούτοις συναφθέντων τῶν 100 ἐτῶν τοῦ Ἀβραὰμ, ὁπότ᾽ ἐγέννησε τὸν Ἰσαὰκ, καὶ τῶν 60 τοῦ Ἰσαὰκ, ὁπότ᾽ ἐγέννησε τὸν Ἰακὼβ, συγκεφαλαιοῦνται τὰ πάντα ἔτη 452· μέχρι δὲ τῆς συμπληρώσεως τῶν ἀπὸ τοῦ κατακλυσμοῦ ἐτῶν τοῦ Σὴμ, συμποσουμένων 502, λείπονται ἔτη 50, καὶ τοσαῦτα ἦγεν ὁ Ἰακὼβ ἐπὶ τῆς τελευτῆς τοῦ δυωκαιδεκάτου προγόνου αὐτοῦ Σήμ! Ὁ δὲ Εὐσέβιος γράφει τὰ ἔτη ταῦτα 55.

8) Ὅτι ὁ Ἔβερ ἔζησε μέχρι τοῦ 79 ἔτους τοῦ Ἰακὼβ, ἐπιζήσας καὶ μετὰ τὸν θάνατον τοῦ Ἀβραὰμ ἔτη 64.

9) Ὅτι ὁ μὲν Ἔβερ ἔζησεν ἔτη 139, ὁ δὲ Σὴμ 110, ὁ Σαλὰ 78, ὁ Ἀρφαξὰδ 48, ὁ Θάρα 35, ὁ δὲ Σεροὺχ, ἓν ἔτος μετὰ τὴν περιτομὴν, καὶ τὴν Διαθήκην, ἣν διέθετο ὁ Κύριος τῷ Ἀβραὰμ (τῷ 99 ἔτει τῆς ἡλικίας αὐτοῦ). Τούτων δ' οὐδὲν ἄρα οὔθ' ὁ Ἔβερ, οὔτε γοῦν αὐτὸς ὁ Σὴμ οὐδόλως ἠπίστατο!

10) Ὅτι, τέλος, ὁ μὲν Σὴμ ἐπαιδοποίησε τῷ 102 ἔτει τῆς ἡλικίας αὐτοῦ, τῶν δὲ μετ' αὐτὸν ἐπιγενομένων ἐξ ἀπογόνων (μέχρι τοῦ Θάρα) Πατριαρχῶν ἕκαστος ἐτεκνογόνησαν ταχύτερον, κατὰ τοὺς ἐφεξῆς ὅρους τῶν ἑκάστου ἐτῶν, 35, 30, 34, 30, 32, 29. Αὐτὸς δὲ πάλιν ὁ Θάρα καὶ οἱ μετ' αὐτὸν ἐπαιδοποίησαν πολλοῖς ἔτεσιν ἐκείνων βραδύτερον. Θάῤῥας μὲν (τὸν Ἀβραὰμ) τῷ 70, Ἀβραὰμ δὲ (τὸν Ἰσμαὴλ) τῷ 86, Ἰσαὰκ δὲ (τὸν Ἰακὼβ) τῷ 60, Ἰακὼβ δὲ (τὸν Ῥουβὴμ) τῷ 84 ἔτει τῆς ἡλικίας αὐτοῦ.

Β.

§. ι. Σημειώσεις εἰς τὴν Σαμαρειτανὴν χρονολογίαν τῆς δευτέρας περιόδου.

α) Ἡ ἀπὸ κατακλυσμοῦ μέχρις Ἀβραὰμ γεννήσεως χρονολογία τοῦ Σαμαρειτανοῦ ὑπερβαίνει τὴν ἑβραϊκὴν ἔτεσιν 650, καὶ ὁ Ἀβραὰμ ἐγεννήθη, κατὰ τὸ Σαμαρειτανὸν, τῷ 942 ἔτει μετὰ τὸν κατακλυσμόν.

β) Ὁ Νῶε ἀπέθανε τῷ 181, ὁ Ἀρφαξὰδ τῷ 71, ὁ δὲ Σὴμ τῷ 29, ἔτει πρὸ τῆς γεννήσεως Φαλὲγ, καὶ τῆς ἐπ' αὐτοῦ συγχύσεως τῶν γλωσσῶν, καὶ τοῦ διαμερισμοῦ τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς.

γ) Πάντες οἱ μεταξὺ τοῦ Νῶε καὶ τοῦ Ἀβραὰμ Πατριάρχαι ἀπέθανον ἕκαστος πρὸ τῶν υἱῶν, τῶν ἀμέσων διαδόχων αὐτῶν, πλὴν τοῦ Σὴμ καὶ Ἔβερ (ὁ γὰρ Σὴμ ζήσας ἔτη 500 μετὰ τὴν γέννησιν τοῦ 438 ζήσαντος Ἀρφαξὰδ, ἐπέζησεν ἔτη 62· καὶ ὁ Ἔβερ μετὰ τὸν Φαλὲγ, ἔτη 31).

δ) Πάντες οἱ ἀπὸ Σεροὺχ ἓξ πατριάρχαι ἐπὶ τῆς παιδογονίας αὐτῶν καταγράφονται μιᾷ ἑκατονταετηρίδι πρεσβύτεροι,

ἢ ὡς διορίζονται ἐν τῷ ἑβραϊκῷ· καὶ κατὰ ταῦτα τὸ Σαμαρειτανὸν συμφωνεῖ τοῖς Ο.

ε) Ὁ Ναχὼρ ἐπὶ τῆς παιδογονίας ὑπῆρχεν ἔτεσι πεντήκοντα πρεσβύτερος τῆς ἐν τῷ ἑβραϊκῷ διωρισμένης ἡλικίας αὐτοῦ· συμφωνεῖ καὶ κατὰ τοῦτο τὸ Σαμαρειτανὸν τοῖς Ο (Ἀλεξανδρ.).

ϛ) Ἡ σχέσις ἡ μεταξὺ τῆς παιδογόνου, καὶ τῆς μεταπαιδογόνου ἡλικίας ὅλων τῶν Πατριαρχῶν, κατὰ τὸ Σαμαρειτανὸν, ὑπάρχει μᾶλλον ἀνάλογος καὶ ὁμαλωτέρα τῆς ἐν τῷ ἑβραϊκῷ. Ὁ Σὴμ, ὁ Ἀρφαξὰδ, ὁ Σαλὰ, ὁ Ἔβερ, ὁ Φαλὲγ, ὁ Ῥαγαῦ, ὁ Σεροὺχ, ὁ Ναχὼρ ἀποθνήσκουσιν ἐν ἡλικίᾳ βαθμηδὸν βραχυνομένῃ ἀπὸ τοῦ μείζονος εἰς τὸ ἔλαττον, κατὰ τοὺς ἑξῆς ὅρους τῆς ἑκάστου ζωῆς, 600, 436, 433, 404, 239, 239, 230, 148.

ζ) Ὁ Θάρα, κατὰ τὸ Σαμαρειτανὸν, ἔζησεν ἔτη τὰ πάντα 145· κατὰ δὲ τὸ ἑβραϊκὸν καὶ τοὺς Ο, ἔτη 205.

η) Ὅλη ἡ συγκεφαλαίωσις τῶν ἐτῶν τῆς περιόδου ταύτης συμφωνεῖ τοῖς Ο ἐπ᾽ ἀκριβὲς, ὅταν προστεθῶσι καὶ τὰ 130 ἔτη τοῦ Καϊνὰν, ὅστις λείπει ἔκ τε τοῦ Σαμαρειτανοῦ καὶ τοῦ ἑβραϊκοῦ (περὶ τούτου ἐφεξῆς).

Γ.

§. ια. Σημειώσεις εἰς τὴν ἐπὶ τῆς β, περιόδου χρονολογίαν τοῦ ἑλληνικοῦ τῶν Ο.

α) Ὅλα τὰ ἀντίγραφα τῶν Ο, συμφώνως καταγράφουσι τὰ ἔτη τῶν Πατριαρχῶν τῆς περιόδου ταύτης (α)· καὶ τούτους τοὺς ἀριθμοὺς ἔγραψαν οἱ Ο πάντως ἐξ οὗ μετέφραζον ἑβραϊκοῦ πρωτοτύπου.

β) Κατὰ ταύτην τὴν χρονολογίαν, οὐδεὶς υἱὸς (πλὴν τοῦ Φαλὲγ)

(α) Μόνον τὸ Βατικανὸν καὶ τὸ τῆς Κομπλουτείας ἔχουσιν ἐπὶ τοῦ Ναχὼρ, ὅτι ἐγέννησε τὸν Θάρα γενόμενος ἐτῶν 179 (κατὰ πλάνην ἀντιγραφικὴν), ἀντὶ τὸν ἁπλῶς 79, ὡς ἔχουσι τὸ Ἀλεξανδρινὸν, τὸ τοῦ Ἄλδου, καὶ ἄλλα πάμπολλα ἀντίγραφα, καὶ ὁ Ἀφρικανὸς, ὁ Εὐσέβιος, ὁ Σύγκελλος, τὸ Χρονικὸν Πασχάλιον, ὁ Κεδρηνὸς κτλ. Καθ᾽ ὁμοίαν πλάνην ἀντιγραφέως ἡ Κομπλουτεία γράφει καὶ περὶ τοῦ Φαλὲγ, ὅτι ἐγέννησε τὸν Ῥαγαῦ ἐτῶν ὢν 134, ἀντὶ 130, ὡς ἔχει τὸ Ἀλεξανδρ. καὶ τὸ Βατικ. καὶ πάντα τὰ λοιπὰ ἀντίγραφα.

ἀπέθανε πρὸ τοῦ πατρὸς, ἀλλὰ πάντες τελευτῶσιν ἄλλος μετ' ἄλλον τακτικῶς, καθὼς ἐγεννήθησαν· πρῶτον ὁ Νῶε, ἔπειτα ὁ Σὴμ, μετὰ τοῦτον Ἀρφαξὰδ, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Καὶ τοῦτο παρατηρήσεως ἄξιον.

γ) Κατὰ ταύτην τὴν ὁμαλῶς προχωροῦσαν σειρὰν τῶν γενεῶν, ὁ μὲν Νῶε ἀπέθανεν ἔτει 179ῳ, ὁ δὲ Σὴμ ἔτει 29ῳ πρὸ τῆς γεννήσεως τοῦ Φαλὲγ, ὅθεν καὶ πολὺ πρὸ τῆς ἐπ' αὐτοῦ συγχύσεως τῶν γλωσσῶν, καὶ τῆς διασπορᾶς τῶν ἀνθρώπων.

δ) Ὁ Θάρα ἐγέννησε τὸν Ἀβραὰμ γενόμενος ἐτῶν 70. Οὕτως ἔχει καὶ τὸ ἑβραϊκὸν, καὶ τὸ Σαμαρειτανόν. Ἀλλὰ τὸν ἀριθμὸν τοῦτον Ὑσσέριος, Οὐόσσιος, Πεζρὼν, καὶ ἄλλοι τῶν νεωτέρων κρίνουσι τρεπτέον εἰς τὸν 130, λόγον ἐπιφέροντες τὸν ἑξῆς. Ὁ Θάρα γεννήσας τὸν Ἀβραὰμ ἑβδομηκοντούτης (Γενέσ. ια, 26), ἀπέθανεν ἐν Χαῤῥὰν τῷ 205 ἔτει τῆς ἡλικίας αὐτοῦ (Γενέσ. ια, 31· οὕτως ἔχει καὶ τὸ ἑβρ.). Ὅτε δὲ ὁ Ἀβραὰμ ἐπὶ τῆς κλήσεως αὐτοῦ ἀνεχώρησεν ἐκ Χαῤῥὰν, ἦγεν ἔτος 75 (Γενέσ. ιβ, 4)· ὥστε κατέλιπε τὸν πατέρα Θάρα ζῶντα, καὶ ἄγοντα ἔτος 145. Ἀλλ' ὁ θεῖος Λουκᾶς λέγει, ὅτι μετῴκισεν ὁ Θεὸς τὸν Ἀβραὰμ (ἐκ Χαῤῥὰν εἰς γῆν Χαναὰν) « *μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ* » (Πράξ. ζ, 4). Ταύτην οἱ κριτικοὶ θεραπεύοντές τὴν διαφωνίαν, τρέπουσι τὸ κατὰ τὴν γέννησιν τοῦ Ἀβραὰμ 70 τοῦ Θάῤῥα ἔτος εἰς 130. Τούτῳ γὰρ τῷ ἀριθμῷ προστεθέντων καὶ τῶν 75 ἐτῶν τοῦ Ἀβραὰμ, ὅτε μετῴκησεν ἐκ Χαῤῥὰν, συγκεφαλαιοῦται ὁ 205 ἀριθμὸς τῆς ὅλης τοῦ Θάῤῥα ζωῆς, καὶ οὕτως ὁ Ἀβραὰμ ἀποδείκνυται μετοικήσας ἐκ Χαῤῥὰν, *μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ*. Ἀλλὰ πρὸς τὴν διόρθωσιν ταύτην ἀντιλέγουσι μιᾷ φωνῇ τὰ τρία κείμενα τῆς Γραφῆς, καὶ πάντα τούτων τὰ χειρόγραφα, καὶ Ἰώσηπος μετὰ τῶν νεωτέρων Ἰουδαίων, καὶ πάντες οἱ ἀρχαῖοι χρονογράφοι, καὶ ἱστορικοὶ, συμφώνως διορίζοντες τὴν *παιδογονίαν* τοῦ Θάῤῥα ἔτει 70 τῆς ἡλικίας αὐτοῦ. Ἄλλοι τῶν νεωτέρων κρίνουσι μεταποιητέον *τὸν ὅλον* τῶν τοῦ Θάρα ἐτῶν *ἀριθμὸν*, τρέποντες τὸν 205 εἰς 145, ὡς ἔχει καὶ τὸ Σαμαρειτανόν. Παράγουσι δὲ καὶ ἐκ τοῦ Χρο-

νικοῦ Πασχαλίου μαρτυρίαν, ὅπου γράφεται (σελ. 92, Β.) ὅτι, « τῷ 75 ἔτει τοῦ Ἀβραὰμ Θάρα ὁ πατὴρ αὐτοῦ ἀπέθανε, ζήσας ἔτη σμε » (ἤτοι 245). Τοῦτον δὲ τὸν ἀριθμὸν ὡς προφανῶς ὑπ᾽ ἀντιγραφέων ἡμαρτημένον, διορθοῦσιν εἰς τὸν ρμε (145). Ἀλλ᾽ οὔτε τοῦ Σαμαρειτανοῦ μόνου ἡ ἀνάγνωσις φαίνεται προκριτοτέρα τῆς τῶν Ο καὶ τοῦ ἑβραϊκοῦ συμφωνίας (παρ᾽ οἷς ἀμφοτέροις γράφεται παγίως 205), καὶ ὁ ἐν τῷ Πασχαλίῳ ἡμαρτημένος ἀριθμὸς σμε (245) ἐπίσης δύναται διορθωθῆναι καὶ εἰς σε (205), ἐξοβελισθέντος τοῦ μ (40) (α). Τελευταῖον, τρίτοι τινὲς τῶν νεωτέρων (ὡς ὁ Αὔης) διορθοῦσι τὸν *διακόσια πέντε* ἀριθμὸν εἰς τὸν δεκαπέντε, λέγοντες, ὅτι ἑβδομηκοντούτης μὲν ἐτέκνωσεν ὁ Θάῤῥα τὸν Ἀβραάμ, διέτριψε δὲ ἔτη 60 ἐν τῇ Χαλδαίων γῇ, καὶ ἔπειτα 15 ἐν Χαῤῥάν, ὅπου καὶ ἀπέθανε, ζήσας ἔτη τὰ πάντα 145 (κατὰ τὸ Σαμαρειτανόν, πρὸς ὃ κρίνουσι διορθωτέον καὶ τὸ 205 τῶν Ο). Καὶ τότε ὁ Ἀβραὰμ 75 ἄγων ἔτος, μετῴκησεν εἰς Παλαιστίνην ἐκ Χαῤῥὰν « *μετὰ τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ* » (κατὰ τὸν Ἀπόστολον). Ἐπιφέρουσι δὲ πρὸς ἀπόδειξιν τῆς γνώμης αὐτῶν καὶ παράδοσιν ἀρχαίαν, καθ᾽ ἣν (φασὶν) ὅ,τε Ὠριγένης τίθησι τὸν Ἀβραὰμ ὡς ζήσαντα 60 ἔτη πρὸ τῆς θεογνωσίας, καὶ ὁ Κεδρηνὸς (σελ. 27) ἔγραψε ῥητῶς, ὅτι ὁ Ἀβραὰμ ἐξῆλθεν ἐκ τῆς Οὒρ (χώρας Χαλδαίων), ἄγων ἔτος 60, καὶ διέτριψεν ἐν Χαῤῥὰν ἔτη 15 (σελ. 30). — Ἀλλ᾽ οὔτε τοῦ Ὠριγένους ἡ ῥῆσις φαίνεται σύμφωνος τῇ τοῦ Κεδρηνοῦ (β), καὶ τὸ χάριν παραδόσεων ἀβεβαίων

(α) *Οὕτω καὶ μικρὸν ἀνωτέρω τὸ αὐτὸ* Πασχάλιον (σελ. 87) *γράφει·* « Θ ά ῤ ῥ α Ο (*ἐτῶν, ἐγέννησε τὸν* Ἀβραάμ)· ἐ π έ ζ η σ ε, σ ε (205)· ὁ μ ο ῦ, σ ο ε (275)». *Ὅπου πάντως γραπτέον,* « ἐ π έ ζ η σ ε ρ λ ε (135)· ὁμοῦ, σε (205)»· *ἐξοβελισθέντος παντελῶς ἐκ τοῦ τελευταίου ἀριθμοῦ τοῦ ο* (70), *ὅπερ εἰσεποίησεν ἡ τοῦ ἀντιγραφέως ἀβλεψία, ὡς τ᾽ ἀνάπαλιν ἐν τῷ προτέρῳ ἀριθμῷ διέστρεψε τὸν ρλε, εἰς τὸν σε.*

(α) *Ἰδοὺ τοῦ Ὠριγένους οἱ λόγοι (καθὼς ἐξέδωκεν αὐτοὺς ὁ* Μοντεφαλκώνιος *ἐν* Ἑξαπλ. *τόμ. α. σελ.* 22 *ἐκ τῶν* Κομπεφησίου *σχεδῶν)* « *Ὥσπερ καὶ ἐπὶ τοῦ Ἀβραὰμ οὐκ ἐλογίσθη εἰς ζωὴν τὰ ἑξήκοντα ἔτη, τὰ πρὸ τῆς θεογνωσίας αὐτοῦ* » *κτλ.* Ἀλλ᾽ *ἐν τούτοις τοῖς Ὠριγένους (εἴ γε τοῦ Ὠριγένους) λόγοις οὔτε ὁ* 15 *τοῦ* Κεδρηνοῦ *ἀριθμὸς γράφεται, καὶ ἄλλο τι φαίνεται λέγων Ὠριγένης* Εἰ γὰρ ἡ Γραφὴ *τὰ* 75

(ὁποῖαι γράφονται καὶ ἄλλαι περὶ τοῦ Ἀβραὰμ) μεταποιεῖν τούς ἐν τε τῷ ἑβραϊκῷ κἀν τοῖς Ο βεβαίως κειμένους ἀριθμοὺς τῆς θείας Γραφῆς, μήποτε θρασύτερον δόξῃ! Καὶ ταῦτα μὲν τὰ τῶν νεωτέρων κριτικῶν. Ἐκ δὲ τῶν ἄλλων τῶν ἡμετέρων, ὁ μὲν Ἱεροσολύμων Ἡσύχιος (περὶ οὗ ἐφεξῆς) συμφωνεῖ τῇ ἀκυρολογίᾳ τοῦ Κεδρηνοῦ. Ὁ δὲ Σύγκελλος διαλλάττων τὴν μεταξὺ τῆς τοῦ Ἀποστόλου ῥήσεως καὶ τῆς τῶν 205 ἐτῶν ἡλικίας τοῦ Θάρα φαινομένην ἐναντίωσιν, τίθησι τὸν Ἀβραὰμ μετοικισθέντα ἐκ Χαῤῥὰν ἔτι ζῶντος αὐτῷ τοῦ πατρὸς, καὶ μετὰ 60 ἔτη ἐν αὐτῇ τῇ Χαῤῥὰν εἰδωλολάτρου ἀποθανόντος, τῷ 205 ἔτει τῆς ἡλικίας αὐτοῦ. Τὸ δὲ «*μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ*» ἐκλαμβάνει ὡς σημαῖνον *θάνατον ψυχικὸν* (κατὰ τὸ Εὐαγγελικὸν «*Ἄφες τοὺς νεκροὺς*» *κτλ.*). Ἀλλ' αὕτη τοῦ Συγκέλλου ἡ μεταφορὰ τοσούτῳ παρώξυνε τὴν Σκαλιγήρου χολὴν, ὥστε καὶ *γελοῖον* ἀπεκάλεσε τὸν χρονογράφον, καὶ τοὺς αὐτοῦ λόγους *ἀκράτους παραφροσύνας*, παρῳδήσας εἰς αὐτὸν καὶ τὸ πρότερον ὑπ' αὐτοῦ τοῦ Συγκέλλου περὶ ἄλλων εἰρημένον «*καλῶς ἐπαπορῆσαι, ἀπόρως δ' ἐπιλῦσαι.*» Αὐτὸς δὲ ὁ σοφώτατος ἀνὴρ περὶ μὲν τῆς ἀπορίας, γελοιάζων καὶ ὧδε κατὰ τὸ σύνηθες, ἐπεῖπεν ἐκεῖνο τὸ ῥαββινικὸν ἀπόφθεγμα. «*Ἠλίας ἐπιλύσει*»! (α). Ὅτι δὲ πρὸ τοῦ θανάτου τοῦ πατρὸς ἔτεσιν 60 μετῴκησεν ὁ Ἀβραὰμ ἐκ τῆς Χαῤῥὰν, συμφωνεῖ μετὰ τοῦ Συγκέλλου. Ἀλλὰ μεταξὺ τῶν τωθασμῶν, δι' ὧν παίζων ἐν σπουδαίοις ὁ Σκαλίγηρος, ἔκρινε γελοῖον τὸν Σύγκελλον, ἐπελάθετο τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον συμφωνοῦντας τῷ

ἔτη τοῦ Ἀβραὰμ *ἐπὶ τῆς θεόθεν κλήσεως αὐτοῦ, ῥητῶς διορίζει* (Γενέσ. ιβ, 4), *ἄλλα λοιπὸν* 60 *τῷ* Ἀβραὰμ *προστίθησιν* Ὠριγένης, *ὡς ἂν σεσιγημένα ἐν τῇ* Γραφῇ, *καὶ μὴ λογισθέντα εἰς ζωὴν αὐτῷ* (*ὡς μήπω τῆς θεογνωσίας ἀξιωθέντι*). Καὶ *τότε φαίνεται ὁ* Ἀβραὰμ 135 *ἔτη ἄγων ἀπὸ γεννήσεως αὐτοῦ, ὅτε ἦλθεν εἰς* Χαῤῥάν. Ὁ *δὲ πατὴρ αὐτοῦ ἔτη* 205· *ταῦτα λέγει ἡ παράδοσις.* Ἀλλ' *εἴπερ* Ὠριγένης *προσετίθει τὰ* 60 *ἔτη μὴ πρὸς τοῖς* 75 *τοῦ* Ἀβραάμ, *ἀλλὰ πρὸς τοῖς* 70 *τοῦ* Θάῤῥα (*ὁπότε τοῦτον ἐγέννησεν*), *ἔλεγεν ἂν σύμφωνα τῇ* Θεοδωρήτου *γνώμῃ* (*βλ. ἐφεξ. σελ.* 729).

(α) Οὕτως οἱ ῥαββῖνοι πιστεύουσιν, ὅτι Ἠλίας ἐλθὼν πρὸ τοῦ Μεσσίου, πάντα μὲν τὰ ἄπορα ἐπιλύσει, πάντα δὲ τὰ στρεβλὰ διορθώσει. Βλ. Scaliger. Animadv. in Cronic. Euseb. p. 72.

Συγκέλλῳ περὶ τοὺς χρόνους τῆς τοῦ Θάῤῥα τελευτῆς καὶ τῆς κλήσεως τοῦ Ἀβραάμ. Αὐτίκα ὁ Φίλων λέγει πρῶτον ταῦτα· «Ὅτι πρότερον μὲν ἐκ τῆς Χαλδαϊκῆς ἀναστὰς γῆς Ἀβραὰμ, ᾤκησεν εἰς Χαῤῥάν· τελευτήσαντος δὲ αὐτῷ τοῦ πατρὸς ἐκεῖθι, κᾀκ ταύτης μετανίσταται» (περὶ Ἀποικ. Ἀβρ. τόμ. α. σελ. 463 Μ.). Ἀλλ' αὐτὸς οὗτος πάλιν ὁ Φίλων εἶπεν ἀλλαχοῦ καὶ ταῦτα ἐπὶ λέξεως· «Παρ' ὃ μοι δοκεῖ καὶ -Ἀβραὰμ *μὴ πολὺν χρόνον* ὑπομεῖναι τῇ Χαῤῥὰν ἐνδιατρίψαι. Λέγεται γὰρ «ὅτι Ἀβραὰμ ἦν ἐτῶν οε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥὰν», καί τοι τοῦ πατρὸς αὐτοῦ Θάῤῥα - μέχρι τελευτῆς ἐν αὐτῇ βιώσαντος» (Περὶ τοῦ θεοπέμπτ. εἶναι τοὺς ὀνείρους. τόμ. α. σελ. 627). Ὥστε ὁ Φίλων ἀντιφάσκει πρὸς ἑαυτὸν, πρῶτον λέγων μεταναστάντα τὸν Ἀβραὰμ ἐκ τῆς Χαῤῥὰν, τελευτήσαντος αὐτῷ τοῦ πατρὸς, κᾄπειτα πάλιν εἰσάγων τὸν Θάῤῥαν *πολὺν χρόνον* καὶ μετὰ τὴν ἀπανάστασιν τοῦ Ἀβραὰμ τῇ Χαῤῥὰν ἐνδιατρίψαντα (μέχρι δηλαδὴ τοῦ 205 ἔτους τῆς τελευτῆς αὐτοῦ). Πάλιν ὁ Ἰώσηπος ἱστορήσας πρῶτον, «ὅτι Θάῤῥος *ἔτει ἑβδομηκοστῷ* ποιεῖται (γεννᾷ) Ἄβραμον», προσθεὶς δὲ καὶ τὴν ἐν Χαῤῥὰν τοῦ Θάρα τελευτὴν, «ἔτη βιώσαντος πέντε καὶ διακόσια» (Ἀρχ. Α. ς. §. 5), ἔπειτα μετὰ μικρὸν ἐπήγαγεν, ὅτι «Ἀβραὰμ *ἑβδομήκοντα καὶ πέντε* γεγονὼς ἔτη, μετῆλθεν εἰς Χαναὰν» (Α. ζ. §. 1), δηλονότι τῷ 145 ἔτει τῆς τοῦ Θάῤῥα ζωῆς, πρὶν οὗτος ἐν Χαῤῥὰν τῷ 205 τελευτήσῃ. Ταύτας τὰς ἀντιφάσεις τῶν δύω μεγάλων σοφῶν τῆς Συναγωγῆς παρεσιώπησεν ὁ Σκαλίγηρος. ἴσως καὶ ταύτας καθ' ἑαυτὸν παραπέμψας εἰς τοὺς μέλλοντας Ἠλίας τῶν ῥαββίνων πρὸς ἐπίλυσιν. Ἡμεῖς δὲ περὶ τούτων ἐροῦμεν τὸ δοκοῦν, προτάξαντες πρῶτον αὐτὴν τὴν θεόπνευστον ῥῆσιν τῆς Γραφῆς. «Καὶ ἐγένοντο αἱ ἡμέραι Θάρα ἐν Χαῤῥὰν διακόσια πέντε ἔτη, καὶ ἀπέθανε Θάρα ἐν Χαῤῥάν» (α). Εἰς τοῦτο τὸ

(α) Οἱ Ο, ἐκδόσ. Ἀλεξανδρ. (ἐν δὲ τῷ Βατικαν. π ᾶ σ α ι αἱ ἡμέραι Θάρα ἐ ν γ ῇ Χαῤῥάν). Τοῦτο τὸ πρῶτον ἐν Χαῤῥὰν (ἢ ἐν γῇ Χαῤῥὰν), ὅπερ ἔχουσι πάντες οἱ τῶν Ο κώδηκες, λείπει ἐκ τοῦ ἑβραϊκοῦ, λέγοντος· «Καὶ ἐγένοντο αἱ ἡμέραι Θάῤῥα πέντε ἔτη, καὶ διακόσια ἔτη, καὶ ἀπέθανε Θάῤῥα ἐν Χαῤῥάν». Λείπει τὸ α, ἐν Χαῤῥὰν κᾂν

κόμμα λήγει τὸ ΙΑ κεφάλαιον τῆς Γενέσεως· ἄρχεται δ' ἐφεξῆς τὸ ΙΒ οὕτω. «Καὶ εἶπε Κύριος τῷ Ἄβραμ· ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ *ἐκ τοῦ οἴκου τοῦ πατρός σου*, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω». Καὶ ἕπεται ἡ μετοίκησις τοῦ πατριάρχου. Ἐπειδὴ γὰρ ἔμελλεν ὁ θεόπτης ἐν τοῖς ἑξῆς κεφαλαίοις τὰ κατὰ τὸν Ἀβραὰμ καὶ τοὺς ἀπογόνους αὐτοῦ συνεχῶς ἱστορεῖν, ἔταξε τὸν περὶ τοῦ Θάρα θανάτου λόγον οὐ κατὰ τὴν ἀκολουθίαν τοῦ χρόνου, ἀλλὰ κατὰ πρόληψιν, ἢ προτέρησιν, οὕτως ἀπαιτούσης τῆς συνεχείας τῶν ἐφεξῆς ἱστορουμένων (ἵνα μὴ πάλιν διακόπτων τὸν λόγον ἐπανέρχηται εἰς Χαῤῥὰν, ὅπως καὶ τὰ λοιπὰ ἔτη τῆς τοῦ Θάρα ζωῆς ἀποδῷ, μηδὲν ἔχοντα μνείας ἄξιον). Τοῦτο τὸ πρωθύστερον σχῆμα τοῦ λόγου τῆς Γραφῆς ὁ μακαρίτης Σύγκελλος παρετήρησε, καὶ πρὸς ἄλλα παρέβαλε παρόμοια παραδείγματα (σελ. 474). Τὸν αὐτὸν τῆς Μωσαϊκῆς ἱστορίας ῥυθμὸν καὶ Φίλων καὶ Ἰώσηπος διετήρησαν, τάσσοντες τὸν θάνατον τοῦ Θάῤῥα μεταξὺ τῆς τοῦ Ἀβραὰμ γεννήσεως καὶ τῆς εἰς Χαναὰν μετοικεσίας αὐτοῦ. Καὶ ᾔδεισαν μὲν πάντως (πῶς γὰρ οὔ;) καὶ ῥητῶς ἔγραψαν, ὅτι τὸν Ἀβραὰμ ἐγέννησεν ὁ Θάῤῥα γενόμενος ἐτῶν 70 (Γενέσ. ια, 32), καὶ πάλιν, ὅτι ὁ Ἀβραὰμ μετῴκησεν, ἄγων ἔτος 75 ἀπὸ γεννήσεως αὐτοῦ (Γενέσ. ιϐ, 4). Ἀλλ' ὅμως ἠκολούθησαν ἁπλῶς καὶ παρὰ πόδας τῇ προειρημένῃ πρωθυστέρῳ τάξει

τῷ Σαμαρειτ. Ὅθεν τινὲς τῶν κριτικῶν διεφθαρμένον ἐνόμισαν ὧδε τὸ κείμενον τῶν Ο, «διότι (λέγουσι) ποιεῖ τὸν Θάῤῥα ζήσαντα ἐν Χαῤῥὰν ὅλα τὰ 205 ἔτη τῆς ζωῆς αὐτοῦ». Ἀλλ' ἠπατήθησαν οἱ ἄνδρες. Μὴ γὰρ λέγει ὁ Γραφὴ «ἐγένοντο αἱ ἡμέραι Θάῤῥα, ἃς ἔζησεν ἐν Χαῤῥάν; οὐδαμῶς· σημαίνει δὲ σαφῶς, ὅτι αὐτοῦ, ἐν Χαῤῥὰν, τοῦ Θάρα κατοικοῦντος (ια, 32), συνετελέσθησαν αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ εἰς ἔτη 205 (ἀπὸ γεννήσεως μέχρι τελευτῆς), καὶ αὐτοῦ ἀπέθανεν, ἐν Χαῤῥάν. Ἢ τί ἄλλο παρὰ τὸν ἀπὸ γεννήσεως μέχρι τελευτῆς χρόνον σημαίνει τὸ τοσάκις εἰθισμένον ἐν τῇ Γραφῇ. «Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι», ἢ «καὶ ἐγένοντο αἱ ἡμέραι» κτλ. (Γενέσ. λα, 28 : μζ, 28). Φαίνεται δὲ λίαν ἐμφαντικῶς τὸ «ἐν Χαῤῥὰν» ὑπὸ τοῦ θείου Μωσέως προτεταγμένον, ἵνα δείξῃ, ὅτι καί τοι ὁρμηθεὶς ἐκ γῆς Χαλδαίων ἐπελθεῖν εἰς γῆν Χαναὰν, ὡς ἦλθεν εἰς Χαῤῥὰν (τῆς Μεσοποταμίας) αὐτοῦ κατέμεινε, καὶ κατεβίωσεν εἰδωλολατρῶν, καὶ ἐν Χαῤῥὰν ἀπέθανε, μὴ καταξιωθεὶς μετασχεῖν τῆς εἰς γῆν Χαναὰν θεοκλήτου μεταναστάσεως τοῦ παιδός.

τῆς Μωσαϊκῆς ἱστορίας, μήτε τὰ ἔτη τῆς γραφῆς διορθοῦντες (τοῦτο γὰρ νεωτέροις ἀπέκειτο κριτικοῖς), μήτε ὅλως ἀναφέροντες τὸν λόγον πρὸς τὴν ἐπὶ τῆς μεταναστάσεως τοῦ Ἀβραὰμ ἡλικίαν τοῦ Θάρα. Παρομοίως ἄν τις ἐκλάβοι καὶ τὴν θεόπνευστον ῥῆσιν τοῦ πρωτομάρτυρος. Ὡς γὰρ ὁ Μωσῆς μετὰ τὸν Θάῤῥα θάνατον ἐπιδιηγεῖται τὴν ἔξοδον τοῦ Ἀβραὰμ, οὕτως εἶπε καὶ ὁ θεῖος Στέφανος· «Κακεῖθεν (ἐκ Χαῤῥὰν) *μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ* μετῴκισεν αὐτὸν (ὁ Θεὸς)» κτλ. Οὐδ᾽ ἀντιβαίνει πρὸς τὴν χρονολογίαν (ὡς οὐδ᾽ ὁ Ἰώσηπος, οὐδ᾽ ὁ Φίλων ἀντεῖπον)· οὐ γὰρ *χρονικῶς*, ἀλλ᾽ *ἀναφορικῶς* πρὸς τὴν Μωσαϊκὴν τάξιν τῆς ἱερᾶς ἱστορίας ποιεῖται τὸν λόγον, σύμφωνα φθεγγόμενος τῷ πρωτάρχῳ τῶν προφητῶν ὁ πρώταθλος τῶν μαρτύρων. Ταῦτ᾽ ἂν, ἴσως, ἔλεγεν ὁ Σύγκελλος πρὸς τὸν Σκαλίγηρον, εἴπερ ἔβλεπεν αὐτὸν ἐπὶ τῇ μεταφορᾷ κεχολωμένον. Ἀλλ᾽ ἔρχεταί τις ἄλλος τῶν ἡμετέρων πολλῷ τοῦ Συγκέλλου παλαιότερος, καὶ μάλα πιθανώτερα καὶ σαφέστερα διδάσκων τοὺς νεωτέρους κριτικοὺς, ὁ ἱερὸς Θεοδώρητος. Οὗτος γὰρ τίθησι τὴν γέννησιν τοῦ Ἀβραὰμ οὐχὶ τῷ 70, ἀλλὰ τῷ 130 ἔτει τῆς τοῦ Θάῤῥα ζωῆς, καὶ οὕτω διαλλάττει τὰ 205 ἔτη τῆς τούτου τελευτῆς πρὸς τὰ 75 ἔτη τῆς τοῦ Ἀβραὰμ μετοικεσίας, μεταναστάντος δηλονότι μετὰ τὸν θάνατον τοῦ πατρὸς, πρὸς ὃ κατὰ λέξιν συμφωνεῖ καὶ ἡ φράσις τοῦ πρωτομάρτυρος. Ἀποδείκνυσι δὲ τὸ πρᾶγμα ὁ Θεοδώρητος ἐκ τῆς ἑξῆς φράσεως τῆς Γραφῆς «Καὶ ἔζησε Θάῤῥα 70 ἔτη, καὶ ἐγέννησε τὸν Ἅβραμ, καὶ τὸν Ναχὼρ, καὶ τὸν Ἀῤῥάν» (Γενέσ. ια, 26). Τούτων δὲ τῶν τριῶν (ὡς πάντως οὐ κατὰ ταὐτὸ συνάμα *τριδύμων* γεννηθέντων) πρωτότοκον τίθησι τὸν Ἀῤῥὰν, καὶ πρὸς τοῦτον ἐφαρμόζει τὰ 70, ἔτη τῆς πρώτης παιδογονίας τοῦ Θάῤῥα. Μέσον δὲ λέγει τὸν Ναχὼρ, *τελεύτατον* δὲ τὸν Ἀβραὰμ, καὶ τῇ τάξει τῆς ἡλικίας νεώτατον, καί τοι τῶν ἄλλων προτεταγμένον, ὡς τιμιώτερον. Οὕτω καὶ ἐπὶ τοῦ Νῶε ἀνέγνωμεν, ὅτι γενόμενος ἐτῶν 500 «ἐγέννησε τρεῖς υἱοὺς, τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ» (Γενέσ. ε, 32)· ἀλλ᾽ ὁ Ἰάφεθ ἦν «μείζων ἀδελφὸς τοῦ Σὴμ», τουτέστι προγενέστερος καὶ πρεσβύτερος, ὡς

αὐτὴ πάλιν ἡ Γραφὴ μαρτυρεῖ (Γενέσ. Ι, 21). Προτέτακται δὲ ὁ Σὴμ, ὡς «*πάντων τῶν υἱῶν τοῦ Ἕβερ*» (δηλαδὴ τοῦ γένους τῶν Ἑβραίων) «πατὴρ» (αὐτόθ.). Τοῦτο θεωρεῖται καὶ ἐπὶ τοῦ Ἀβραάμ. Μαρτυρεῖ δὲ τούτου πρεσβύτερον τὸν Ἀῤῥὰν καὶ ἡ τῆς Σάῤῥας (θυγατρὸς Ἀῤῥὰν) ἡλικία, δέκα μόνον ἔτεσιν οὔσης νεωτέρας τοῦ Ἀβραάμ (Γενέσ. ια, 29: ιζ, 17). Τοιαῦτα ὁ ἱερὸς Θεοδώρητος, πάνυ προσφυῶς συναρμόζων τὰς περὶ τὴν χρονολογίαν ἐναντιοφανείας τῶν θείων Γραφῶν (α). Κατὰ τὴν Θεοδωρήτου ταύτην γνώμην ἐψήφισε καὶ ὁ κλεινὸς Ὑσσέριος, βεβαίαν αὐτὴν ἀποδεχόμενος καὶ ἀληθινὴν (Χρονολ.). Συμφωνεῖ καὶ νεώτατος ὁ Κλίντων (β). Ἀλλ' οὐδέτερος αὐτῶν, οὐδὲ τῶν ἄλλων τῶν ὁμοφρόνων αὐτοῖς χρονολόγων οὐδεὶς ἐμνημόνευσε τὸν Θεοδώρητον (ἐπιλαθόμενοι πάντως). Καὶ κατὰ ταῦτα τοίνυν οὔτε πρὸς τὸ Σαμαρειτανὸν ὕφος ἀνατρέχειν ἔχομεν χρείαν, οὔτε σφάλματα μεταγραφέων ἐπινοεῖν ἐν τοῖς ἀριθμοῖς τῶν ἐν τῇ Γραφῇ τοῦ Θάῤῥα ἐτῶν, καθ' ἃ πρὸς τοὺς Ο συμφωνεῖ καὶ τὸ ἑβραϊκόν. Ἀλλ' ἐν τούτοις ἓν μόνον ἀνώμαλον ὑπολείπεται· τὰ πρὸ τῆς παιδογονίας 70 ἔτη τοῦ Θάῤῥα προσλαβόντα καὶ τὰ 60, ἐπὶ τῆς γεννήσεως τοῦ Ἀβραὰμ, καὶ συμποσωθέντα εἰς 130, ἐπαυξάνουσιν ἐξ ἀνάγκης καὶ τὸ ποσὸν τῆς μεταξὺ τοῦ Θάῤῥα καὶ τοῦ Ἀβραὰμ γενεᾶς. Ὅθεν καὶ τὸ κατὰ τοὺς Ο τῆς ὅλης περιόδου κεφάλαιον ἀντὶ 1147, ἀποβαίνει ἔτη 1207. Ἐκ δὲ τούτου συμμεταβάλλεται καὶ ἡ σειρὰ τῆς ἐφεξῆς χρονολογίας. Διὸ καὶ ὁ Σύγκελλος ἀκροθιγῶς μνημονεύσας τὴν γνώμην ταύτην, οὐκ ἀπεδέξατο (γ). Ἀλλὰ τοῦτο μὲν τὸ δυσχερὲς, εἰ δοκεῖ τοῖς κριτικοῖς, ἐπιλύσει Ὠριγένης· ὅστις τὰ 60 ἔτη

(α) Βλ. *Σειρ. εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ.* 83. *πρβλ. καὶ Ἀνασκευὴν τῆς τελευτ. διερμην. Διαθήκ. σελ.* 626. — (β) Clinton, Fasti Hellenici T. I. p. 289.

(γ) Βλ. *Συγκέλ. Χρονογρ. σελ.* 176: Bon· *Ὁ δὲ σοφὸς Ὑσσέριος διαπεινῶν καὶ σφαδάζων πρὸς αὔξησιν τοῦ κεφαλαίου τῆς περιτετμημένης τοῦ ἰουδαϊκοῦ κειμένου χρονολογίας, ἀσμένως ἥρπασε τὸν* 60 *τῶν ἐτῶν ἀριθμὸν, καὶ τοῦτον τοῖς* 70, *τοῦ Θάρα προσθεὶς, προσηύξησε τὸ ἰουδαϊκὸν κεφάλαιον τῆς β, περιόδου ἀπὸ* 367 *εἰς* 427, *ὡς προσεσημείωται (ὄπισθ. σελ.* 716 *σημ.). Ἀλλ' ὁ Βαλλάκης ἔψεξε τὴν τόλμην. Οὐδὲ θεραπεύεται διὰ τῶν* 60 *ἐτῶν τὸ σμῆνος τῶν ἀτοπημάτων, ὅσα προκύπτουσιν ἐκ τῆς καθ' ἑβραίους συντετμημένης χρονολογίας καὶ τῆς β, ταύτης πε-*

προστιθεὶς οὐκ εἰς τὸν Θάῤῥα, ἀλλ' εἰς αὐτὸν τὸν Ἀβραάμ, ἔλεγεν, ὅτι παρεσιώπησε τὰ ἔτη ταῦτα ἡ Γραφὴ (ὡς προείδομεν ἀνωτέρω σελ. 724 σημ. Τοῦτο δὲ καὶ οἱ ῥαββῖνοι ἐφρόνουν. βλ. Ἱερών. Ζητήμ. ἑβρ. εἰς Γένεσ.). παρεσιώπησε δὲ καὶ ἄλλων γενεῶν ἔτη ἀλλαχοῦ ἡ Γραφὴ διὰ λόγους ὁσίους. Ἀλλ' ὅπως ἂν τεθῇ τὸ πρᾶγμα, οἱ ἐνταῦθα ὡρισμένοι ἀριθμοὶ τοῦ ἱεροῦ κειμένου μένουσιν ἀμετάβλητοι. 70 ἐτῶν ὁ Θάῤῥα ἐπαιδοποίησε τὸν Ἀῤῥὰν (συνάπτει δὲ καὶ τοὺς τρεῖς ἀδελφοὺς ἡ Γραφὴ «Θάῤῥα δὲ ἐγέννησε τὸν Ἄβραμ, καὶ τὸν Ναχὼρ, καὶ τὸν Ἀῤῥάν»)· καὶ 75 ἔτη ἦγεν ἐπὶ τῆς κλήσεως ὁ Ἀβραάμ, γεννηθεὶς τῷ 130 ἔτει τῆς ἡλικίας τοῦ Θάῤῥα· καὶ 205 ἔτη ζήσας οὗτος τὰ πάντα, ἀπέθανεν ἐν Χαῤῥάν· καὶ τότε μετῴκησεν ἐκ Χαῤῥὰν ὁ Ἀβραάμ, «*μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ*».

ε) Ἐν τῇ κατὰ τοὺς Ο χρονολογίᾳ τῆς περιόδου ταύτης βλέπομεν υἱὸν Ἀρφαξὰδ τὸν Καϊνᾶν, ὅστις οὔτε ἐν τῷ ἑβραϊκῷ οὔτε ἐν τῷ Σαμαρειτικῷ κεῖται. Ἐκ δὲ τούτου οὐ μόνον αὔξονται τοῦ Ἀβραὰμ οἱ πρόγονοι καθ' ἕνα πατριάρχην πλεονάζοντα, ἀλλὰ προστίθενται καὶ εἰς τὴν χρονολογίαν ἔτη 130. Διὸ καὶ περὶ τούτου τοῦ Καϊνᾶν πολὺς ὁ λόγος παρὰ τοῖς χρονολογοῦσι σοφοῖς. Λέγομεν δὲ καὶ ἡμεῖς πάντα τὰ περὶ τούτου θεωρούμενα συνοπτικώτερον ἐν τῷ ἐφεξῆς παραγράφῳ.

§. ιϛ. Ὅσοι μετὰ τοῦ Ὑσσερίου νεώτεροι χρονογράφοι ὑπερασπίζονται τὴν ἑβραϊκὴν χρονολογίαν, ἀποφαίνονται βεβαίως, ὅτι Καϊνᾶν ὁ β, οὗτος ὁ Ἀρφαξαδίδης, ὑπάρχει πρόσωπον παρεμπεποιημένον εἰς τὸ κείμενον τῶν Ο ὑπὸ τῶν ἑλληνιστῶν Ἰουδαίων ἐν τῇ κοινῇ ἐκδόσει τῶν Ο, ἔτι πρὸ Χριστοῦ, προστεθὲν ὑπό τινος ἀντιγραφέως· ὅθεν ἔπειτα, πολλαπλασιασθέντων τῶν ἀντιγράφων, προσετέθη καὶ εἰς τὴν χρονολογίαν τοῦ Εὐαγγελιστοῦ Λουκᾶ (δ, 36), ἢ τέλος, καὶ τ' ἀνάπαλιν (ὡς βούλεται Γρότιος σημ. εἰς Λουκᾶν αὐτόθ.), προστεθὲν τὸ πρῶτον ἐξ ἀπροσεξίας εἰς τὸ κείμενον τοῦ

ριόδου. Οὐδὲ μεταβάλλεται ἐκ τούτου ἡ πρὸς τοὺς Ο διαφορὰ τοῦ ἑβραϊκοῦ. Τὰ γὰρ 60 ἔτη προστεθήσονται ὡσαύτως καὶ εἰς τὸ κεφάλαιον τῆς χρονολογίας τῶν Ο.

θείου Λουκᾶ, προσεγράφη ἔπειτα ὑπὸ τῶν χριστιανῶν, καὶ εἰς τὸ κείμενον τῆς Γενέσεως, ἵνα συμφωνῶσιν αἱ Γραφαί. Καὶ περὶ ταύτης τῆς δῆθεν προσθήκης τοῦ Καϊνᾶν φέρουσι δείξεις τὰς ἐφεξῆς.

α) Ὅτι οὔτε τὸ ἑβραϊκὸν, οὔτε τὸ Σαμαρειτικὸν κείμενον γνωρίζει τὸν Β, τοῦτον Καϊνᾶν, ἀλλ᾽ οὐδ᾽ ὁ Χαλδαῖος παραφραστής.

β) Ὅτι οὔτε ἐν τῇ Α. τῶν Παραλειπομένων (α, 24) γέγραπται ὁ Καϊνᾶν οὗτος κατὰ τοὺς ἀρχαίους κώδηκας τῶν Ο (Γρότ.). Ἀλλ᾽ οὐδ᾽ ἐν τῇ Ἀραβικῇ ἑρμηνείᾳ τῶν Παραλειπομένων, οὐδ᾽ ἐν τῇ Ἰλλυρικῇ, ἢ Ῥωσσικῇ (τουτ. Σλαβονικῇ) ἀρχαίᾳ μεταφράσει εὑρίσκεται (φησὶν ὁ Ὑσσέριος *ἐν τῇ περὶ Καϊνᾶν διατριβῇ* σελ. 195).

γ) Ὅτι οὔτε ὁ Ἰώσηπος γενεαλογεῖ τὸν Καϊνᾶν ἐν τῇ κατ᾽ αὐτὸν Ἀρχαιολογίᾳ.

δ) Ὅτι καὶ Θεόφιλος ὁ Ἀντιοχείας (πρὸς Αὐτόλυκ.γ.), καὶ Εὐσέβιος ἐν ταῖς κατ᾽ αὐτοὺς χρονολογίαις, καὶ ὁ Ἰώσηπος (ὁ χριστιανὸς) *ἐν τῷ Ὑπομνηστικῷ* παρέλιπον τὸν Καϊνᾶν. Ἀπεσιώπησε τοῦτον καὶ ὁ ἱερὸς Ἐπιφάνιος (Αἱρέσ. νε. §. 6), καὶ ὁ Ἱερώνυμος (Ζητήμ. ἑβρ. εἰς Γένεσ.).

ε) Ὅτι καὶ ἐκ τῶν ἐκτὸς ἱστορικῶν ἀποδείκνυται παρέγγραπτον τὸ ὄνομα τοῦ Καϊνᾶν. Ὁ Βηρωσσὸς ἀρχαῖος Χαλδαῖος ἱστορικὸς, τίθησι τὸν Ἀβραὰμ *μετὰ τὸν κατακλυσμὸν δεκάτῃ γενεᾷ* (παρ᾽ Ἰωσήπ. Ἀρχ. Α. ζ. §. 2). Ὡσαύτως καὶ Εὐπόλεμος ἐν τῷ *περὶ Ἰουδαίων* (ὡς ὁ Εὐσέβιος ἐκ τοῦ Πολυΐστορος Ἀλεξάνδρου λαβὼν ἔγραψε τὴν ῥῆσιν, Εὐαγ. Προπαρ. θ.22). *Δέκα* τὰς γενεὰς (προστίθησιν ὁ Ὑσσέριος) καὶ αὐτὸς ὁ Ὠριγένης ἠρίθμει λέγων· «Ἀβραὰμ εἰκοστὸς γεγένηται ἀπὸ τοῦ πρωτοπλάστου· δέκα γὰρ γενεαὶ ἀπὸ Ἀδὰμ ἐπὶ Νῶε, καὶ δέκα ἀπὸ Νῶε ἐπὶ Ἀβραὰμ» (Ὠριγέν. εἰς Ἰωάν. τόμ. κ). Ἀλλὰ, προστεθέντος καὶ τοῦ Καϊνᾶν εἰς τοὺς μετὰ τὸν κατακλυσμὸν πατριάρχας, ὁ Ἀβραὰμ ἀποβαίνει ἑνδεκάτῃ γενεᾷ.

§. ιγ. Αὗται τῶν σοφῶν αἱ καταδείξεις, ἃς ἐπάγουσι κατὰ τοῦ Καϊνᾶν, εὐπρόσωποί τινες εἶναι δοκοῦσι καὶ οὐκ ἀγενεῖς. Ἀλλ᾽ ὅμως ἐξελέγχονται ψευδεῖς ἐκ τῶν ἐφεξῆς ἀκριβεστέρων θεωριῶν.

α) Οὔτε τὸ ἑβραϊκὸν, οὔτε τὸ Σαμαρειτικὸν κείμενον ἔχουσιν

οὐδεμίαν ἀξιοπιστίαν, παραλείποντα τὸν Καϊνᾶν. Ἀμφότερα περὶ τὴν χρονολογίαν εἰσὶ διεφθαρμένα, ὡς ἐκ τῶν προεκτεθειμένων σημειώσεων ἅλις ἀναφαίνεται, δειχθήσεται δὲ τρανώτερον καὶ ἐφεξῆς· καὶ ἐξ αὐτῆς αὐτῶν τῆς ἁπλῆς πρὸς τοὺς Ο ἀντιπαραθέσεως ἑκάτερα διακηρύτουσι τὴν ἀλήθειαν τῆς κατὰ τοὺς Ο χρονολογίας. Ὁ δὲ μετὰ Χριστὸν Χαλδαῖος παραφραστὴς Ὄγκελος, ὡς καὶ ὁ πολὺ νεώτερος Ἰωνάθαν, παρηκολούθησαν τῇ λώβῃ τοῦ κατ' αὐτοὺς ἑβραϊκοῦ.

β) Ἐν *μόνῳ τῷ Βατικανῷ* ἀντιγράφῳ, ἐν τῇ Α, τῶν Παραλειπομένων (κεφ. α) λείπει τὸ ὄνομα τοῦ Καϊνᾶν· ἀλλὰ 1) τοῦτο τὸ χωρίον τοῦ ἀντιγράφου ὑπάρχει προφανῶς διεφθαρμένον ὑπὸ χρόνου καὶ τῶν ἀντιγραφέων κατὰ πολλὰ μέρη, καὶ οἱ μεταξὺ τοῦ 17 καὶ 24 στίχου παράγραφοι ἐλλειπεῖς. Ὅθεν καὶ ἐν ἄλλαις κἀν τῇ νεωτάτῃ (ὧν εἴδομεν) ἐκδόσει τούτου προσετέθησαν τὰ λείποντα, ὑποταχθέντα ἐκ τοῦ Ἀλεξανδρινοῦ κώδηκος (α). 2) Αὐτὸ τὸ Βατικανὸν καθ' ὅλας αὐτοῦ τὰς ἐκδόσεις ἐν τῇ Γενέσει (κεφ. ια) γενεαλογεῖ τὸν Καϊνᾶν υἱὸν τοῦ Ἀρφαξάδ, οὐδ' εὕρηται οὐδαμοῦ οὐδέποτε οὐδὲν τῶν Ο ἀντιγράφων, ἐν ᾧ λείπει ἐν τῇ Γενέσει ὁ Καϊνᾶν. 3) Τὸ οὐχ ἧττον τοῦ Βατικανοῦ ἀρχαῖον Ἀλεξανδρινὸν τίθησι τὸν Καϊνᾶν ἔν τε τῇ Γενέσει καὶ ἐν τοῖς Παραλειπομένοις· τούτῳ συνᾴδουσι καὶ πάντα τὰ λοιπὰ πολυάριθμα ἀντίγραφα τῶν Ο (βλ. ἔκδ. Ὅλμητος). Ὅσον δ' ἐκ τῶν παρ' Ὑσσερίῳ μνημονευθεισῶν μεταφράσεων, ἡ μὲν Ἀραβικὴ συνεξωμοιώθη τῷ ἑβραϊκῷ· τὴν δὲ Σλαβονικὴν μετάφρασιν πάντως οὐκ εἶδεν ὁ κλεινὸς Ὑσσέριος, ἠπατήθη δὲ περὶ ταύτης παρ' ἄλλων φιλοψευδῶν. Ἐν γὰρ τῷ πρώτον ἐκδοθέντι (τῷ 1581) Ὀστρογείῳ κώδηκι, τῷ πάντων Σλαβονικῶν κωδήκων ἀρχαιοτάτῳ, καὶ ἔν τε τῇ κατὰ Μόσχαν (τῷ 1762) καὶ ἐν πάσαις ταῖς λοιπαῖς ἐκδόσεσι γέγραπται ὁ Καϊνᾶν ἀπαραλλάκτως, ὡς καὶ παρὰ τοῖς Ο (β).

(α) Ἡ παλαιὰ Διαθήκη κατὰ τοὺς Ο, ἐκδ. I. N. Jager. T. 1. p. 590. Paris, 1839. Βλ. καὶ ἐκδ. Bos.

(β) Ἐκ τοῦ Ὑσσερίου ἴσως ἠπατήθη καὶ Ὅδιος, βεβαιῶν, ὅτι ἐν τῇ Σλαβονικῇ

γ) Ὅτι ὁ Ἰώσηπος εἶχε πρὸ ὀφθαλμῶν μετὰ τοῦ ἑβραϊκοῦ καὶ τὴν ἑρμηνείαν τῶν Ο, καὶ ἀντέγραφε πολλάκις κατὰ λέξιν ἐξ αὐτῆς, ὑπάρχει πρᾶγμα πρόδηλον. Ἀνέγνω λοιπὸν πάντως ἐν αὐτῇ καὶ τὸν Ἀρφαξαδίδην Καϊνᾶν· καὶ ὡς ἀντέγραψε τοὺς ἄλλους μετὰ τὸν κατακλυσμὸν πατριάρχας, καὶ τὰ τούτων ἔτη, συμφώνως τοῖς Ο, ἀντέγραψε καὶ τὰ τοῦ Καϊνᾶν. Ἀλλ᾽ ἐν τοῖς ἀποσωθεῖσιν ἀπογράφοις τῆς κατ᾽ αὐτὸν Ἀρχαιολογίας οὐχ εὑρίσκεται τὸ ὄνομα τοῦ Καϊνᾶν, παροφθὲν ἴσως ὑπὸ τῶν παλαιῶν ἀντιγραφέων. Οὕτω καὶ ἄλλων δύω τῆς ἱερᾶς ἱστορίας προσώπων παραπλήσιος ἔλλειψις ἀπαντᾶται παρ᾽ Ἰωσήπῳ. Καθ᾽ ὅλα τὰ ἑβραϊκὰ καὶ τὰ τῶν Ο χειρόγραφα ὁ Ἰωυὰν ἐγέννησε τέσσαρας υἱούς, Ἐλισὰ, Θαρσὶς, Κήτιοι (ἢ Χετὶμ), Ῥόδιοι (ἢ Ῥοδανὶμ) (Γενέσ. ι, 4). Ἀλλὰ παρ᾽ Ἰωσήπῳ ἀριθμοῦνται μόνον τρεῖς υἱοὶ τοῦ Ἰωυὰν, Ἐλισᾶς Θαρσὸς, Χέτιμος· ὁ δὲ τέταρτος λείπει παντελῶς (Ἀρχ. Α. 5). Πάλιν, ὅλα τὰ ἑβραϊκὰ καὶ τὰ τῶν Ο χειρόγραφα καταλέγουσιν ἐν τοῖς Κριταῖς τοῦ Ἰσραὴλ καὶ τὸν Θωλᾶ, καὶ ὅτι ἔκρινε τὸν Ἰσραὴλ 23 ἔτη (Κριτ. ι, 1). Ἀλλὰ παρ᾽ Ἰωσήπῳ, λείπει καὶ οὗτος (Ἀρχ. Ε, ζ). Ἆρα ἔλειπον καὶ οὗτοι ἐκ τῶν ἑβραϊκῶν καὶ τῶν τῶν Ο χειρογράφων, οἷς αὐτὸς ἐχρῆτο; Ἀλλ᾽ ἐν τῇ συγκεφαλαιώσει τῶν ἐτῶν, τῶν συναγομένων ἐκ τοῦ Ε, βιβλίου τῆς Ἀρχαιολογίας, φαίνονται συμπεριειλημμένα καὶ τὰ 23 τῆς κριταρχίας τοῦ *Θωλᾶ*. Καὶ ἕπεται λοιπὸν, ὅτι ἐξέπεσε τούτου τὸ ὄνομα, ὡς καὶ τὸ Ῥοδανὶμ ἐκ τῶν ἀρχαίων ἀπογράφων τοῦ Ἰωσήπου. Οὕτως ἐξέπεσε καὶ τὸ ὄνομα τοῦ Ἀρφαξαδίδου Καϊνᾶν. Καὶ μαρτυροῦσι καὶ τούτου τὰ 130 ἔτη, μεθ᾽ ὧν συναπαρτίζεται τὸ κεφάλαιον τῶν ἐκ τοῦ Α τῆς Ἀρχαιολογίας βιβλίου συναγομένων ἐτῶν, καθ᾽ ἃ

μεταφράσει οὐχ εὑρίσκεται ὁ Καϊνᾶν· προσεφιλοτιμήθη δὲ καὶ μεταγράψαι (καίτοι μὴ πάμπαν ἀκριβῶς) καὶ αὐτὴν τὴν Σλαβονικὴν φράσιν γράμμασιν ἑλληνικοῖς, οὕτως «ἈρφαξαΔ ροΔη Cκλα, Cκλα ροΔη εβερα» (Hody, de Bibl. Text. origin. L. III. P. I. c. 2. p. 269). Καὶ ὅμως ἡ Σλαβονικὴ Γραφὴ λέγει καὶ γράφει γράμμασιν εὐκρινέσι καὶ στρογγύλοις ταῦτα. «Ἀρφαξὰδ ροδὴ ΚΑΗΝΆΝΑ· ΚΑΗΝᾺΝ ροδὴ Σαλά· Σαλὰ ροδὴ Εβέρα» (Γενέσ. ι, 24. κεῖται καὶ Γενέσ. ια, 12, 13, καὶ ἐν Α. Παραλ. α).

συμφωνεῖ τοῖς Ο. Ὁ δ' Εὐστάθιος ὁ Ἀντιοχείας, καὶ ὁ Ζωναρᾶς, καὶ σὺν αὐτοῖς Οὐόσσιος δεικνύουσι καὶ τὸν τόπον, ὅθεν ἐξέπεσε τὸ Καϊνᾶν, δηλονότι τὸ διάστημα τὸ μεταξὺ τοῦ «*Σάλου 30 ἔτος ἔχοντος καὶ 100*», καὶ τοῦ «*ὃν Ἀρφαξάδας ἐτέκνωσεν*» (αὐτοῦ γὰρ ἴσως μετὰ τὸ καὶ 100, ἔγραψεν Ἰώσηπος «*Σάλον δ' ἐγέννησε Καϊνᾶν, ὃν Ἀρφαξάδας*, κτλ.).

δ) Ὑπῆρχεν ὁ Καϊνᾶν καὶ ἐν τῇ τοῦ ἱεροῦ Θεοφίλου τοῦ Ἀντιοχείας χρονομετρίᾳ (πρὸς Αὐτόλυκ. γ. §. 28). Ὁ Κλίντων ἐνόμισεν, ὅτι ἔλειπε τὸ ὄνομα ἐν τῷ τῶν Ο ἀπογράφῳ, ἐξ οὗ μετέγραφεν ὁ Θεόφιλος. Ἀλλὰ πᾶν τοὐναντίον δείκνυσιν ὁ συμψηφισμὸς τῶν ἀπὸ κατακλυσμοῦ μέχρις Ἰσαὰκ γεννήσεως ἐτῶν, ἃ καὶ οὗτος ὁ πατὴρ συμφώνως μετὰ Κλήμεντος τοῦ Ἀλεξανδρέως συγκεφαλαιοῖ, τὰ πάντα 1150. Ὡσαύτως καὶ ἀπὸ κτίσεως κόσμου μέχρι Χριστοῦ γεννήσεως ἀριθμεῖ ἔτη 5501, ἢ 5507, συνῳδὰ τοῖς Ο (α). Ὥστε πάντως ἀνέγνω καὶ οὗτος παρ' αὐτοῖς τὸν Καϊνᾶν, καὶ τὰ τούτου ἔτη συνηρίθμησεν. Ὅτι δὲ καὶ Εὐσέβιος ἀνέγνω καὶ ἔγραψε τὸν Καϊνᾶν ἐν τῷ Χρονικῷ, μαρτυρεῖ ἡ ὑπὸ Ἱερωνύμου λατινικὴ αὐτοῦ μετάφρασις, ἣν ἐξέδωκε Σκαλίγηρος (σελ. 9). Εἰ δὲ τοῦτο προσθήκην παρεμπεποιημένην ἔκρινεν ὁ Ὑσσέριος, ἀλλ' οὐκ ἔχει πάντας τῇ κρίσει συναινοῦντας. Ἔπειτα ὁ Εὐσέβιος ἐν τοῖς ἐφεξῆς παραλιπὼν τὸν Καϊνᾶν, δικαίως ἐξηλέγχθη ὑπὸ τοῦ Συγκέλλου, καὶ πολὺ δὲ πρότερον ὑπὸ τῶν οὐ μακρὰν μετ' αὐτὸν (τῷ 400 μ. Χ.) γενομένων ἐπισήμων χρονολόγων, τοῦ Ἀννιανοῦ καὶ Πανοδώρου (Σύγκελ. σελ. 64 : 318). Φαίνεται δὲ καὶ αὐτὸς ὁ Εὐσέβιος πρὸς ἑαυτὸν ἀντιμαχόμενος· εἰπὼν γάρ, ὅτι ἐκ τῶν δύω χρονολογιῶν, «τῆς *μὲν πληθούσης*» (κατὰ τοὺς Ο), «*τῆς δ' ἐλλειπούσης*» (κατὰ τὸ ἰουδαϊκὸν) παρακολουθήσει *τῇ ἐλλειπούσῃ*, ἔπειτα τέλος, ἀπέκλινε πρὸς τοὺς Ο. Τὸν δὲ Καϊνᾶν παρέλιπεν ἴσως πρὸς τὸ παράδειγμα τοῦ Ἀφρικανοῦ, ὅστις οὐδ' οὗτος αὐτὸν ἐστοιχείω-

---

(α) I. Voss. Castig. ad Horn. in Diss. de LXX. p. 321. καὶ Galland. Biblioth. Patr. T. 2. Proleg. pag. x. καὶ Kennic. Diss. gener. p. 82.

σε, πειθόμενος (ὡς ἔοικε) τῷ τοῦ Ὠριγένους ὀβελῷ, ὃν πρὸς τῷ Καϊνᾶν ἐκεῖνος προσέγραψε, δεικνὺς, ὅτι ἔλειπε τὸ ὄνομα ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ. Ἀλλὰ τί ἄλλο καὶ τοῦτο διακηρύττει, εἰ μὴ ὅτι καὶ αὐτὸς Ὠριγένης ἔγραψε τὸν Καϊνᾶν ἐν τοῖς Ἑξαπλοῖς; μαρτυρεῖ δὲ καὶ Προκόπιος, λέγων. «Ἐν τῷ ἑβραϊκῷ ἔχει, ὡς Ἀρφαξὰδ τὸνΣαλὰ γεννᾷ, καὶ *τὸ μέσον ῥητὸν ὠβέλισται*» (τὸ, «Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνᾶν»). Ἔπειτα καὶ ὁ Ἀφρικανὸς, καίτοι σιωπήσας τὸν Καϊνᾶν, ἀλλ' ὅμως τὰ 130 τούτου ἔτη συνεψήφισεν, ἀριθμήσας ἀπὸ Κ. Κ. μέχρι Χ. ἔτη 5500. Καὶ ταῦτα μὲν τοιαῦτα. Προβάλλουσι καὶ τὴν Ἱερωνύμου σιωπήν· ἀλλ' οὐδὲν παράδοξον, εἴ γε καὶ κατὰ τοῦτο παρέκλινεν ὁ πατὴρ πρὸς τὴν κατ' αὐτὸν *ἑβραϊκὴν ἀλήθειαν*, καὶ τὸ τοῦ Εὐσεβίου χρονικὸν, αὐτός τε πρὸς ἑαυτὸν ἀντιφάσκων (διότι ἐν τῷ Εὐαγγελίῳ τοῦ θείου Λουκᾶ ὁμολογεῖ τὸν Καϊνᾶν), καὶ ὑπὸ τοῦ συγχρόνου καὶ φίλου διορθούμενος Αὐγουστίνου· ὅστις μετ' ἄλλων τοσούτων ἱερῶν τῆς Ἐκκλησίας Πατέρων καταγράφει τὸν Καϊνᾶν υἱὸν τοῦ Ἀρφαξὰδ (περὶ Πόλεως Θεοῦ, ιζ, καὶ ἀλλαχοῦ). Ὅτι δὲ καὶ ὁ ἱερὸς Ἐπιφάνιος ἐσιώπησε τὸν Καϊνᾶν, τοῦτο καὶ μάλα παράδοξον εἶπον οἱ κριτικοί. Οὗτος γὰρ οὐχ ἅπαξ μόνον, οὐδὲ δὶς, ἀλλὰ *τρὶς*, ἐν ἰδίοις τόποις τρισὶν, ἔγραψεν ἐπὶ λέξεως. «Ἀρφαξὰδ (γεννᾷ) τὸν Κηνᾶ, Κηνᾶ τὸν Σαλά» (Αἱρέσ. α. §. 4· οὕτω καὶ Αἱρ. ξς. §. 84, καὶ τρίτον ἐν Ἀγκυρωτῷ §. 116. ἐν οἷς διόρθου καὶ τὴν ἄγαν ἠμελημένως ὑπὸ τοῦ Πεταυΐου ἐκδεδομένην τοῦ ὀνόματος γραφὴν, τὴν Κη*ννᾶ*, καὶ ἐν τῷ Ἀγκυρωτῷ, Κ*ινᾶ*, ἀντὶ τοῦ τῶν Ο, *Καϊνᾶν*). Ἐν μόνῃ δὲ τῇ νε, αἱρέσει (§. 6) ἀντιλέγων ὁ πατὴρ πρὸς τὴν κακοφροσύνην *τῶν Σαμαρειτῶν*, οἵτινες οὐκ εἶχον τότε ἐν τῷ κατ' αὐτοὺς κειμένῳ τὸν Καϊνᾶν, δικαίως παρέλιπε τὸ ὄνομα· μή ποτε δόξῃ τούτους ἐλέγχων ἐκ τῶν παρ' αὐτοῖς μὴ φερομένων ῥητῶν τῆς θείας Γραφῆς. Τοῦτο δὲ καὶ Ὅδιος ὁ κλεινὸς ὀρθῶς παρετήρησε (σελ. 269).

ε) Τελευταῖον· τίς ἀρνεῖται, ὅτι ὁ Ἀβραὰμ ὑπῆρχεν ἐν δεκάτῃ γενεᾷ μετὰ τὸν κατακλυσμόν; Τοῦτο γὰρ οὐ μόνον ὁ Βηρωσσὸς, καὶ Εὐπόλεμος ἐκ τῶν θύραθεν ἔγραψαν, ἐκ δὲ τῶν ἡμετέρων ὁ Ὠρι-

γένης, καὶ Ἐπιφάνιος, καὶ ἄλλοι, ἀλλὰ καὶ αὐτοὶ οἱ Ἰουδαῖοι, ὅ,τε Φίλων (ἐν τῷ περὶ τῶν τοῦ Κάϊν ἐγγόνων σελ. 259), καὶ ὁ Ἰώσηπος (Ἀρχ. Α. ς. §. 5), οὓς παρέλιπεν ὁ Ὑσσέριος. Ἀλλὰ καὶ τοῦτο μάλιστα δεικνύει τὴν γενεαλογίαν τοῦ Καϊνᾶν ἀναγκαίαν εἰς τὴν χρονολογίαν· χωρὶς δὲ τούτου ὁ Ἀβραὰμ ἔννατος τῶν μετὰ τὸν κατακλυσμὸν πατριαρχῶν ἀποβαίνει. Εἴπομεν ἐν τοῖς προηγουμένοις (σελ. 686, καὶ 706 σημ.), ὅτι ἡ γενεὰ ἐν τῇ γραφικῇ χρονολογίᾳ, διαδοχικῶς κατ᾽ ἀριθμὸν ἐτῶν θεωρουμένη, καταμετρεῖ τὸ μεταξὺ δύω γεννήσεων (ἤτοι τοῦ γεννήσαντος πατρὸς καὶ τοῦ γεννηθέντος υἱοῦ) μεσολαβοῦν ὁσονδήποτε χρονικὸν διάστημα (α). Καὶ κατὰ ταῦτα τοίνυν, ἐπὶ μὲν τῶν προκατακλυσμίων ἡ πρώτη

(α) Οὕτως εἶπεν ὁ κλεινὸς Οὐόσσιος (ad Horn. p. 329), ὅτι ἀριθμοῦνται καὶ παρὰ τῷ Εὐαγγελιστῇ Ματθαίῳ (κεφ. α) αἱ γενεαὶ ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν γενεαλογίας· ἀλλ᾽ οὐκ ἔοικεν ἀληθεύειν ἡ παρατήρησις. Ἄλλως ἐκλαμβάνονται παρὰ τῷ θείῳ Ματθαίῳ αἱ γενεαί, ἁπλούστερον, καὶ οὐ κατὰ διαδοχάς· περὶ τούτου διδάσκουσιν οἱ Πατέρες. Οὐ πάντη δὲ περιττὸν προσθεῖναι ἐνταῦθα καὶ τὴν Εὐσεβίου τοῦ Παμφίλου γνώμην, ἣν ἔγραψεν ἐν τοῖς πρὸς Στέφανον Ζητήμασι καὶ λύσεσι. (τούτων τὴν Ἐκλογήν, ἀνέκδοτον οὖσαν, ὁ σοφὸς ἐξέδωκε Μάϊος ἐν Scriptor. Veter. Vatican. Collect. vol. I. p. 1 sqq. Romae 1825). Ὁ τοίνυν Εὐσέβιος, καί τοι τὴν γενεὰν καὶ αὐτὸς ἀλλαχοῦ διαδοχικῶς ἐπ᾽ ἔτεσι ῥητοῖς, οἷον 30, ἀριθμουμένην εἰδὼς (αὐτ. προλεγ. σελ. 46), ἀλλ᾽ ὅμως ἐπὶ τοῦ Α, κεφαλ. τοῦ Ματθαίου πάντη ἑτεροσήμαντον ἐξέλαβε, λέγων· «Γενεαὶ δεκατέσσαρες, ἀλλ᾽ οὐ διαδοχαὶ δεκατέσσαρες·—γενεὰν γὰρ χρόνον ἀνθρώπου ζωῆς οὐχ οἷόν τέ ἐστιν ὀνομάζειν. Ἐπεὶ συμβαίνει πολλάκις τοὺς μὲν ἐπὶ βραχὺ βιῶναι, καὶ θᾶττον ἀποσβεσθῆναι κατὰ τὴν τοῦ παιδὸς ἡλικίαν· τοὺς δὲ μέχρι τοῦ μειρακίου φθάσαι· τοὺς δὲ ἐπὶ τὸν νεανίαν προελθεῖν· τοὺς δὲ ἐπὶ τὸν ἄνδρα· τοὺς δὲ καὶ ἐπ᾽ ἔσχατον γῆρας παρατεῖναι τὴν ζωήν. Ποίαν οὖν τις ἀριθμήσει γενεάν; εἰ ὁ μὲν φέρει μέχρι δεκάτου ἔτους, ὁ δὲ μέχρις εἰκοστοῦ, ὁ δὲ μέχρι πεντηκοστοῦ, ἄλλος δὲ μέχρις ἑβδομηκοστοῦ, ὁ δὲ καὶ τὰ ἑκατὸν ὑπερβὰς οὐ μόνον ἐπὶ τῶν παλαιῶν, ἀλλὰ καὶ καθ᾽ ἡμᾶς ὁρᾶται· πῶς οὖν οἴονται τὴν ἀνθρώπου ζωὴν γενεὰν ὀνομάζειν; Ἀλλ᾽ οὐδὲ μέχρι τῆς παιδοποιΐας· οἱ μὲν γὰρ πρὸ τῶν εἴκοσιν ἐτῶν γήμαντες πεπαιδοποίηνται· οἱ δὲ, οὐδὲ ὑπὲρ τὰ τριάκοντα γενόμενοι. Καὶ τῶν ἰσηλίκων δὲ ἴδοις ἂν τοὺς μὲν ἐπὶ τοὺς πρώτους υἱοὺς (ἴσ. γρ. τοῖς πρώτοις υἱοῖς) στάντας, τοὺς δὲ ἐπὶ τετραγονίαν ἐλάσαντας.—Πῶς οὖν ἀριθμητέον τὰς γενεάς; πότερον ἐκ τῶν μακροβίων, ἢ ἐκ τῶν ὀλιγοβίων; καὶ ἐκ τῶν ταχὺ πεπαιδοποιημένων, ἢ τῶν βραδίων (γρ. βράδιον); καὶ ἐκ τῶν ἐπὶ πρώτοις (ἴσ. γρ. τοῖς πρώτοις) υἱοῖς σαλευσάντων, ἢ ἐκ τῶν ἐπὶ πλείοσι διαδοχαῖς; Ὧν οὕτως ἐξητασμένων, ὁ θεῖος Εὐαγγελιστὴς οὐ διαδοχὰς προθέμενος εἰπεῖν, γενεὰς δὲ, καθ᾽ οὓς αὐτὸς ἠπίστατο λόγους, ἀπαριθμούμενος, τῆς μὲν ἐν ταῖς ἱστορίαις διαδοχῆς ἧττον πεφρόντικε· τοσούτους ἀναλαμβάνει (ἴσ. δ᾽ ἀναλ.) εἰς τὴν γενεαλογίαν, ὅσοι ἀπήρκουν αὐτῷ εἰς ἐκπλήρωσιν τῶν 14 γενεῶν» κτλ. (σελ. 46).

γενεὰ περιέχει τὸν ἀπὸ τῆς πλάσεως τοῦ προπάτορος Ἀδὰμ ἄχρι τῆς γεννήσεως τοῦ Σὴθ ἐμπεριλαμβανόμενον χρόνον· ἡ δὲ δευτέρα, τὸν ἀπὸ γεννήσεως τοῦ Σὴθ μέχρι τῆς τοῦ Ἐνώς· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ἄχρι τῆς δεκάτης, ἥτις ἀπὸ τῆς τοῦ Νῶε γεννήσεως ἀρχομένη, τελευτᾷ εἰς τὴν τοῦ Σὴμ, Χὰμ, Ἰάφεθ. Πάλιν, *μετὰ τὸν κατακλυσμὸν* ἔτει δευτέρῳ γεννᾶται Ἀρφαξάδ. Αὕτη πρώτη γενεὰ τῶν μετὰ τὸν κατακλυσμὸν τοῦ ἀνθρωπίνου γένους Πατριαρχῶν ἀποδείκνυται, δηλονότι τὸ ἀπὸ τῆς γεννήσεως τοῦ Ἀρφαξὰδ μέχρι τῆς τοῦ Καϊνᾶν μεσολαβοῦν διάστημα. Καὶ ἔστι μὲν ἀληθὲς, ὅτι, κατὰ τὴν εἰρομένην τῆς γενεαλογίας ἀκολουθίαν, πρώτη τῶν ἀποκατακλυσμίων γενεὰ πάντως ὤφειλε μετρεῖσθαι ὁ μεταξὺ τῆς γεννήσεως τοῦ Σὴμ καὶ τῆς τοῦ Ἀρφαξὰδ ἐνδιαλαμβανόμενος χρόνος· ἀλλ᾽ ὅμως ὁ πρῶτος τῶν δύω ὅρων τῶν συνιστώντων ταύτην τὴν γενεὰν, ὁ χρόνος δηλονότι τῆς γεννήσεως τοῦ Σὴμ, ἄπεστιν ἐκ τῆς σειρᾶς τῶν ἀποκατακλυσμίων γενεῶν, ἀποκλεισθεὶς ἐπέκεινα τοῦ κατακλυσμοῦ· προέλαβε γὰρ ὁ Σὴμ τὸν κατακλυσμὸν, ὅλοις ἔτεσιν ἑκατὸν πρότερον γεννηθεὶς, διὸ καὶ μετὰ τῶν προκατακλυσμίων συναριθμεῖται πατριαρχῶν, καὶ συνάμα μετὰ τοῦ πατρὸς αὐτοῦ Νῶε συναπαρτίζει τὴν δεκάτην τῶν πρὸ τοῦ κατακλυσμοῦ γενεάν. Καὶ κατὰ ταῦτα ἄρα πρώτη τῶν ἀποκατακλυσμίων γενεὰ θεωρεῖται πάντως ὁ μεταξὺ τῆς πρώτης ἀπαντώσης γεννήσεως τοῦ Ἀρφαξὰδ καὶ τῆς τοῦ Καϊνᾶν ἐνδιαλαμβανόμενος χρόνος. Δευτέρα δὲ γενεὰ τὸ διάστημα τὸ μεταξὺ τῆς τοῦ Καϊνᾶν γενέθλης καὶ τῆς τοῦ Σαλά· καὶ οὕτως ἐφεξῆς κατιόντες δεκάτην εὑρίσκομεν γενεὰν τὸν ἀπὸ τῆς Θάῤῥα μέχρι τῆς Ἀβραὰμ γεννήσεως χρόνον. Ὁ δὲ Φίλων (περὶ τῶν τοῦ Κάϊν ἐγγόνων), καὶ Ἰώσηπος (ἔνθα ἀνωτέρω), καὶ Ὠριγένης (ὃν Ὑσσέριος ἐμνημόνευσε) δέκατον τὸν Ἀβραὰμ ἀριθμοῦντες οὐχὶ μετὰ τὸν κατακλυσμὸν, ἀλλ᾽ *ἀπὸ τοῦ Νῶε*, φαίνονται συμπεριλαμβάνοντες μετὰ τοῦ Νῶε εἰς μίαν γενεὰν καὶ τὸν προκατακλύσμιον Σήμ. Ἄλλως γὰρ, οὐκ ἀπαρτίζονται αἱ πρὸ τοῦ κατακλυσμοῦ διωρισμέναι δέκα γενεαί. Εἴπερ γὰρ (ὡς ἔφημεν) τὴν πρώτην γενεὰν ἀποτελεῖ τὸ μεταξὺ τῆς πλάσεως Ἀδὰμ

καὶ τῆς τοῦ Σὴθ γεννήσεως διάστημα, ἐννάτη λοιπὸν ἔσται τὸ μεταξὺ τῆς τοῦ Λάμεχ καὶ τῆς τοῦ Νῶε γενέθλης, καὶ οὕτως ὁ Νῶε δείκνυται *ἔννατος* ἀπὸ Ἀδὰμ, ἐὰν μὴ συμπαραληφθῇ καὶ τοῦ Σὴμ ἡ γέννησις, εἰς ὃν κυρίως ἡ δεκάτη γενεὰ καταλήγει. Ὁ Ὠριγένης καὶ ἁπλῶς κατὰ γενέσεις προσώπων ἀλληλοδιαδόχων (οὐ κατὰ γενεὰς) τοὺς πατριάρχας (ὡς καὶ ὁ Φίλων) ἀριθμῶν, τίθησι τὸν Ἀβραὰμ «*εἰκοστὸν ἀπὸ Ἀδὰμ*», διότι (κατὰ τὸν Ὑσσέριον) οὐκ ἠρίθμει τὸν Καϊνᾶν. Ἀλλ' ὁ Ὠριγένης ἀνέγνω τὸν Καϊνᾶν ἐν τοῖς Ο, εἰ καὶ (κατὰ τὸν Προκόπιον) προσέγραψεν ὀβελὸν, δηλοῦντα τὴν τοῦ ὀνόματος ἔλλειψιν ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ. Καὶ ἕπεται λοιπὸν δυοῖν θάτερον, ἢ ὁ Ὠριγένης παρεῖδε τὸν Σὴμ, ὅστις μετὰ τῶν προκατακλυσμίων ἀριθμούμενος, ἀποβαίνει σαφῶς ἑνδέκατος ἀπὸ Ἀδὰμ, καὶ ἑπομένως ὁ Ἀβραὰμ (συναριθμουμένου καὶ τοῦ Καϊνᾶν) ἀναδείκνυται *εἰκοστὸς πρῶτος* (βλ. τοὺς πίνακας ἀμφοτέρους), ἢ ὁ Ὑσσέριος ἠπατήθη μὴ συνιδὼν, ὅτι καὶ ὁ Σὴμ συμπεριλαμβάνεται μετὰ τοῦ Νῶε, καὶ συναποτελεῖ τὴν δεκάτην τῶν προκατακλυσμίων γενεάν. Οὕτω καὶ ὁ ἱερὸς Ἐπιφάνιος δεκάτην γενεὰν ἀπὸ τοῦ Ἀδὰμ τὸν Νῶε τιθεὶς, δέκα μετέπειτα γενεὰς μέχρις Ἀβραὰμ ἀριθμεῖ (α). Ὅτι δὲ καὶ τὸν *Καϊνᾶν* εὐθὺς μετὰ τὸν Ἀρφαξὰδ ἠρίθμει ὁ Ἐπιφάνιος, προείδομεν. Ὁ δὲ τῷ Ἰωσήπῳ ἀείποτε παρακολουθῶν Ζωναρᾶς καὶ διαῤῥήδην *πρῶτον* μετὰ τὸν κατακλυσμὸν τάττει τὸν Ἀρφαξὰδ, *δεύτερον* τὸν Καϊνᾶν, *τρίτον* τὸν Σαλὰ, καὶ *δέκατον* τὸν Ἀβραὰμ (Χρονικ. Α. σελ. 21, 22). Ἀλλὰ καὶ ἡ περὶ ἧς ὁ λόγος μαρτυρία τοῦ Βηρωσσοῦ φαίνεται καὶ κατὰ τοῦτο μάλιστα ἐπισημοτάτη, καθότι οὐκ *ἀπὸ τοῦ Νῶε*, οὐδ' *ἀπὸ κατακλυσμοῦ* (ἀορίστως καὶ ἀμφιῤῥεπῶς), ἀλλ' ὡρισμένως λέγει καὶ ἀκριβῶς, ὅτι « *Μετὰ τὸν κατακλυσμὸν δεκάτῃ γενεᾷ* παρὰ Χαλδαίοις τις ἦν δίκαιος ἀνὴρ (ὁ Ἀβραὰμ) » κτλ. Ὑπάρχει δὲ παρὰ πᾶσιν ὁμολογούμενον, ὅτι ἐπὶ τοῦ διαμερισμοῦ τῆς γῆς, τὴν Χαλδαίαν ἐκληρώσατο Ἀρφαξὰδ, καὶ οὗτος ἐγένετο τοῦ Χαλδαίων ἔθνους πατὴρ, καὶ ἡγεμὼν

(α) Ἐπιφάν. ἐπιστ. πρὸς Ἰωάν. ἐπίσκοπ. Ἱεροσολύμων (ἧς ἡ λατινικὴ ὑπὸ τοῦ Ἱερωνύμου μετάφρασις μόνον σώζεται) τόμ. β. σελ. 316.

τῆς μοναρχίας ταύτης. Ἀπὸ τούτου τοίνυν ὁ Ἀβραὰμ ἔρχεται γενεᾷ δεκάτη, κατὰ τὸν Βηρωσσὸν, ἀριθμουμένου πάντως καὶ τοῦ Καϊνᾶν· χωρὶς δὲ τούτου οὐ συμπληροῦται ἡ δεκὰς τῶν γενεῶν. Ὥστε καὶ Ἰώσηπος, ὁ τοὺς λόγους τοῦ Βηρωσσοῦ καὶ εἰς ἡμᾶς διασώσας, οὕτως ἠρίθμει δέκατον τὸν Ἀβραὰμ μετὰ τὸν κατακλυσμόν (α). Ὡσαύτως καὶ Εὐπόλεμος· ὅστις καὶ ἄλλως χρονολογῶν, ἔδειξε σαφῶς, ὅτι καὶ ἀνέγνω καὶ ἠρίθμει τὰ ἔτη τοῦ Καϊνᾶν, ὡς ὀψόμεθα παρακατιόντες (σελ. 746). Ταῦτα πρὸς ἐπίλυσιν τῶν κατὰ τοῦ Καϊνᾶν ἰσχυροτέρων δῆθεν ἀντιῤῥήσεων τῶν κριτικῶν. Ἄλλας δέ τινας τῶν Δυτικῶν ἀσυστάτους δόξας, ὡς αὐταναιρέτους, παρατρέχομεν (β).

§. ιδ. Καὶ συμπεραίνομεν λοιπὸν, ὅτι καὶ ὁ θεῖος Μωσῆς ἔγρα-

(α) «Cette opiniou (λέγει ὁ σοφὸς Μιχαῆλος) est celle d' Eupoleme, de Berosse, et de Joseph, quoique des Sçavans ayent soûtenus le contraire, mais comment trouveront ils les dix generations que Eupoleme et Berosse compte depuis le deluge, et qui commencent de Arphaxad, et finissent à Abraham, si ils ne admettent le 2, Cainan?» Michel, System Chronologique, p. 13. Toul. 1713.

(β) Εἰσὶ δὲ αὗται δύω τινὲς (καὶ ἀμφότεραι κωφαί)· α) Οἱ μὲν εἶπον, ὅτι ὁ Καϊνᾶν ὁ αὐτός ἐστι καὶ ὁ Σαλὰ (διώνυμον ποιοῦντες). — Καὶ ὅμως ὁ θεῖος Λουκᾶς χαρακτηρίζει τὸν Καϊνᾶν υἱὸν τοῦ Ἀρφαξὰδ, καὶ πατέρα τοῦ Σαλά. β) Οἱ δὲ περὶ τὸν Βομφρέριον, πολὺ πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου εὐλαβέστεροι, λέγουσιν, «ὅτι ὁ Μωϋσῆς ἐξεπίτηδες παρεῖδε τὸν Καϊνᾶν ἐν τῇ τῶν πατριαρχῶν γενεαλογίᾳ, ὅπως διέλῃ τὸ τοῦ χρόνου διάστημα εἰς δύω δεκάδας (γενεῶν), τὴν μὲν ἀπ' Ἀδὰμ ἄχρι τοῦ κατακλυσμοῦ, τὴν δ' ἀπὸ τούτου μέχρις Ἀβραὰμ, διά τινας λόγους μυστηριώδεις. Οἱ δὲ Ο, εἴτε κατὰ θείαν ἔμπνευσιν, εἴτε καὶ ἔκ τινων ἀρχαίων ἱστοριῶν πληροφορηθέντες, προσέθηκαν καὶ τὸν Καϊνᾶν». — Ἀλλ' οὔτε αἱ δύω δεκάδες τῶν γενεῶν συμπληροῦνται χωρὶς τοῦ Καϊνᾶν, καὶ εἴπερ ὁ θεῖος Μωϋσῆς ἐπετήδευέ τι τοιοῦτον, οὐκ ἂν ἀντέλεγον οἱ Ο, πρὸς τὴν μυστηριώδη τοῦ προφήτου διάνοιαν. Πολύ γε πάντως παρὰ τούτους ἀληθέστερον ἔκρινε Τολῆτος, ὁ περίφημος ἰταλὸς (Toletus, Com. ad Luc. 3), ὅστις ὡμολόγησεν, ὅτι «οἱ Ο πάντως ἀνέγνων ἐν τοῖς κατ' αὐτοὺς ἑβραϊκοῖς ἀπογράφοις τὴν γενεὰν τοῦ Καϊνᾶν· καὶ ὅτι οὐ τοῦτο πρῶτον καὶ μόνον, ἀλλὰ καὶ ἄλλα (φησὶν) ἀνέγνων ἐκεῖνοι, λείποντα τανῦν ἐκ τῶν παρ' ἡμῖν ἑβραϊκῶν κωδήκων, διὰ πλάνην ἀντιγραφέων. Τοῦτο (λέγει) ῥητέον καὶ περὶ τῆς Βουλγάτας. Ὀφείλομεν δὲ πιστεύειν τῇ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ μαρτυρίᾳ. Πολλῷ δὲ (φησὶ) μικρότερος ὁ κίνδυνος, ἐὰν εἴπωμεν τὰ παρ' ἡμῖν ἑβραϊκὰ χειρόγραφα ἐν μέρει ἀτελῆ, ἢ πλάνην τινὰ, ἢ ψεῦδος καὶ τὸ ἐλάχιστον, εἰς τὸ θεῖον Εὐαγγέλιον ἀναφέρειν» κτλ. Πρὸς τὴν γνώμην τοῦ Τολήτου ἐπιῤῥέπει καὶ ὁ γεράσμιος Βάλτων, Prol. IX. §. 66.

ψεν ἐν τῇ γενεαλογίᾳ, καθὼς ἡρμήνευσαν οἱ Ο, τὸν ἐκ τοῦ ἑβραϊκοῦ μετέπειτ' ἐκπεσόντα Καϊνᾶν τὸν τοῦ Ἀρφαξὰδ, κατὰ τὰς ἐφεξῆς ἀποδείξεις.

α) Πάντες οἱ τῶν Ο κώδηκες, μηδενὸς ἐξαιρουμένου, γενεαλογοῦσι τὸν Καϊνᾶν (Γενέσ. ι, 24: ια, 13). Καί τι λείψανον τοῦ ἀρχαιοτάτου Κοττονιανοῦ ἐπονομαζομένου κώδηκος τῶν Ο περισωθὲν, ἔχει τὰς εἰκόνας τεσσάρων ἐκ τῶν μετὰ τὸν κατακλυσμὸν πατριαρχῶν, γράμμασι κεφαλαίοις ἑλληνικοῖς ἐπιγεγραμμένας «Σὴμ, Ἀρφαξὰδ υἱὸς Σὴμ, μετὰ τῆς γυναικὸς αὐτοῦ, καὶ τοῦ υἱοῦ Καϊνᾶν» (Γενέσ. ια, 12, 13) (α).

β) Ὁ Βηρωσσὸς, σὺν αὐτῷ δὲ καὶ Εὐπόλεμος, δεκάτην γενεὰν μετὰ τὸν κατακλυσμὸν ἀριθμοῦντες τὸν Ἀβραὰμ, συμπεριλαμβάνουσι πάντως, ὡς εἴδομεν, καὶ τὸν Καϊνᾶν.

γ) Δημήτριος ὁ Φαληρεὺς (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 78) συγγράψας τὴν ἱστορίαν τῶν Ἰουδαίων (τῷ 280 π. Χ.), ἐν τῇ πολυτιμοτάτῃ περικοπῇ, ἣν ἀντέγραψε μὲν Ἀλέξανδρος ὁ Πολυΐστωρ (τῷ 120 π. Χ.), διέσωσε δὲ καὶ εἰς ἡμᾶς ὁ Εὐσέβιος (Προπαρ. θ, 21), ἀριθμεῖ ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῆς εἰς Αἴγυπτον καθόδου τοῦ Ἰακὼβ ἔτη, ατξ (1360), ἢ μᾶλλον, ατξβ (1362), καὶ τοσαῦτα ἀκριβῶς συμποσοῦνται καὶ παρὰ τοῖς Ο, συμψηφιζομένων καὶ τῶν 130 ἐτῶν τοῦ Καϊνᾶν· χωρὶς δὲ τούτων οὐ συναπαρτίζεται ὁ παρὰ τῷ Δημητρίῳ ἀριθμός (τοῦτο συνομολογοῦσι καὶ οἱ περὶ τὸν Ὑσσέριον).

δ) Ὁ Ἰώσηπος, συμφωνῶν ἐν τῇ χρονολογίᾳ μετὰ τῶν Ο (ὡς καὶ ὑπὸ τῶν νεωτέρων ἀποδέδεικται περικλεῶν σοφῶν, τοῦ Οὐοσσίου, τοῦ Πεζρῶνος, τοῦ Αὔου, τοῦ Ἰάκσωνος, τοῦ Κουνιγχάμου, τοῦ Βαλλάκου, τοῦ Σεϋφάρθου, κτλ.), ὁ ἱστορικώτατος Ἰώσηπος ἀνέγνω πάντως παρά τε τοῖς Ο, κἂν τῷ κατ' αὐτὸν ἑβραϊκῷ, καὶ κατέγραψε τὸν ἐκ τῶν πρώτων αὐτοῦ χειρογράφων διαπεπτωκότα Καϊνᾶν (β).

(α) Βλ. τὸ πανομοιότυπον ἐν Collatio Codicis Cottoniani Geneseos, etc. pag. XIII. Londin. 1778. — (β) Ταύτην τὴν ἀλήθειαν ἠγνόησαν ὁ Brinch (Examen Chronol. Joseph.), καὶ ὁ Spittler (De usu vers. Alex. apud Joseph.), κτλ.

ε) Ἑβραϊκὸν χειρόγραφον ἐν Α. Παραλειπ. α, 18, καὶ 24, περιέχει τὸν Καϊνᾶν, ὡς εἰλικρινῶς ὁ Κλίντων ὁμολογεῖ (σελ. 288).

ς) Πάντες οἱ ἀρχαῖοι Πατέρες τῆς Ἐκκλησίας, μηδ' αὐτοῦ τοῦ Ἀντιοχείας Θεοφίλου ἐξαιρουμένου, ἐν ταῖς κατ' αὐτοὺς χρονολογικαῖς ἑρμηνείαις τῆς θείας Γραφῆς ἠρίθμουν καὶ τὰ ἔτη τοῦ Ἀρφαξαδίδου Καϊνᾶν· καὶ αὐτὸς Ὠριγένης ἔγραψεν αὐτὸν ἐν τοῖς Ἑξαπλοῖς (καί τοι παρωβελισμένον, χάριν τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ)· ἀλλὰ καὶ τὰ 130 ἔτη τοῦ Καϊνᾶν συνεψήφισεν, ἀριθμῶν τὰ ἀπὸ Κ. Κ. μέχρι Χ. ἔτη, ὡς ὀψόμεθα κατωτέρω. Χρονολογοῦσι τὸν Καϊνᾶν καὶ οἱ παλαιοὶ χρονογράφοι, καὶ αὐτοῦ τοῦ Εὐσεβίου καὶ ἄκοντος συνομολογοῦντος, καθὰ προείπομεν.

ζ) Τελευταῖον (ἵνα καὶ ἄλλα παραλίπωμεν), τὸ μέγιστον καὶ ἀκρότατον. Οὐχ ἁπλῶς ἱστορικὸς, ἀλλ' αὐτὸς ὁ θεῖος Εὐαγγελιστὴς Λουκᾶς (γ, 36) ἀριθμεῖ τὸν Καϊνᾶν ἕνα τῶν κατὰ σάρκα προγόνων τοῦ θεανθρώπου Κυρίου καὶ Σωτῆρος ἡμῶν. Πάντα τὰ κατὰ τὸν τετραπέρατον κόσμον σωζόμενα ἀρχαῖα τῶν Εὐαγγελίων ἀπόγραφα (πολλὰς συνιστῶντα ἑκατοντάδας), πᾶσαι καὶ παλαιαὶ καὶ νεώτεραι κατὰ διαφόρους γλώσσας μεταφράσεις τῶν ἁγίων Εὐαγγελίων, πάντες οἱ θεῖοι Πατέρες καὶ Ἀνατολικοὶ καὶ Δυτικοὶ, ὅσοι τῆς παρὰ τῷ Λουκᾷ γενεαλογίας τοῦ Σωτῆρος ἐμνημόνευσαν, πᾶσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἀπ' ἀρχῆς, *μέχρις οὗ καταγγέλλεται τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ*, ἐπιγινώσκει καὶ ἀναγινώσκει τοῦ Καϊνᾶν ἕνα τῶν προπατόρων τοῦ Κυρίου. Καὶ αὗται δὲ τῶν προστατῶν τῆς συντετριμμένης ἑβραϊκῆς χρονολογίας αἱ κατὰ τόπους διάφοροι Ἐκκλησίαι μέχρι καὶ τῆς σήμερον ἀναγινώσκουσι τὸν Καϊνᾶν παρὰ τῷ Εὐαγγελιστῇ ἐν τῇ γενεαλογίᾳ τοῦ Σωτῆρος. Οἱ δὲ τοῦτον καὶ ἐκ τῶν θείων Εὐαγγελίων ἐξοβελίζοντες τί προβάλλουσιν; (ἄξιον γὰρ αὐτῶν ἐπακοῦσαι). Ὁ πολλάκις παραδοξολόγος Βέζας παραβλέπων πάντα τὰ μυρία (ἐν οἷς καὶ οὐκ ὀλίγα ἀρχαιότατα) ἀντίγραφα τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, προτιμᾷ ἓν καὶ μόνον, τὸ παρ' αὐτῷ Γραικολατῖνον ἀντίγραφον τῶν Εὐαγγελίων (ἐν Λουγδούνῳ τῆς Γαλλίας εὑρεθὲν), ἐν ᾧ μόνῳ τῶν ἄλλων ἁπάν-

των λείπει ἐκ τῆς τοῦ Λουκᾶ γενεαλογίας ὁ Καϊνᾶν. Ἀλλὰ τοῦτο τὸ μοναδικὸν ἀπόγραφον μεταξὺ τῶν ἄλλων αὐτοῦ διαφθορῶν, καθ' ἃς διαφέρει τοῦ τε κοινῶς παραδεδεγμένου κειμένου, καὶ πάντων (φησὶν Ὑσσέριος) τῶν ἐν ταῖς βιβλιοθήκαις σωζομένων ἀπογράφων τοῦ θείου Εὐαγγελίου, ἔχει μεταβεβλημένα καὶ τὰ παρὰ τῷ θείῳ Λουκᾷ ὀνόματα τῶν γενεαλογουμένων προπατόρων τοῦ Κυρίου. Ἀπὸ γὰρ τοῦ Ἰωσὴφ ἀνιὸν εἰς τὸν Σολομῶντα, ἀντὶ τῶν παρὰ τῷ Λουκᾷ γεγραμμένων ὀνομάτων, ἔχει τὰ παρὰ τῷ Ματθαίῳ (ὃ καὶ ὁ Βέζας ἐσημείωσε), διαλλάττον τάχα τοὺς Εὐαγγελιστάς, ἐναντίον ὅλων τῶν ἀντιγράφων, καὶ τῶν ἱερῶν ἑρμηνευτῶν καὶ συγγραφέων τῆς Ἐκκλησίας· διὸ καὶ πάσης πίστεως ἀνάξιον περὶ τὴν γραφὴν τῆς παρὰ τῷ Λουκᾷ γενεαλογίας ἐλογίσθη, ὡς ἐξεπίτηδες μεταβαλὸν τὰ ὀνόματα τῶν παρὰ τῷ Λουκᾷ προπατόρων, ἵνα συνεκβάλῃ καὶ τὸν Καϊνᾶν, ἅτε δὴ μὴ κείμενον ἐν τῷ παρ' Ἰουδαίοις ἑβραϊκῷ! καὶ καθόλου δὲ μικρᾶς ἀξίας ἐκρίθη παρὰ τοῖς κριτικοῖς τὸ κεκαρμένον τοῦτ' ἀντίγραφον (βλ. Βάλτων. θ, §, 65)· καὶ παρ' αὐτῆς δὲ τῆς τοῦ Βέζα Ἐκκλησίας παρώφθη, μηδένα λόγον ποιησαμένης τῶν ὑπὲρ αὐτοῦ Βεζαίων κομπολογιῶν· καὶ κεῖται τανῦν τὸ χειρόγραφον ἐν τῇ Βιβλιοθήκῃ τῆς ἐν Κανταβριγίᾳ Ἀκαδημίας, ἀντιγραφικῆς παραφθορᾶς ἐπίσημον παράδειγμα. Ὁ δὲ κλεινὸς Ὑσσέριος οὐκ ὤκνησε καὶ τούτου παροδικῶς, καὶ οἷον ὑποστελλόμενος, μνημονεῦσαι, παριδὼν τὸ πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ προκείμενον ἐν τῷ Βρετανικῷ Μουσείῳ περιώνυμον καὶ ἀνεκτίμητον Ἀλεξανδρινὸν ἀπόγραφον, ἐν ᾧ παρά τε τοῖς Ο, καὶ τῷ Εὐαγγελιστῇ Λουκᾷ (περιέχει δὲ τὸ χειρόγραφον ἀμφοτέρας τὰς Διαθήκας) γέγραπται καὶ ὁ Καϊνᾶν *γράμμασι τετραγώνοις* (κεφαλαίοις), ὡς καὶ τὸ λοιπὸν κείμενον τῶν Γραφῶν. Ἐπιπλήττει δικαίως τὸν Γρότιον ὁ Ὑσσέριος, ὑπολαβόντα χριστιανούς τινας προσθέντας τὸ ὄνομα τοῦ Καϊνᾶν πρῶτον εἰς τὸν *Λουκᾶν*, ἐκ δὲ τούτου καὶ εἰς τοὺς Ο! παρὰ τούτοις γὰρ (φησὶν) εὑρίσκετο καὶ πρὸ Χριστοῦ, καθὼς ἀποδείκνυται ἐκ τῆς τοῦ Δημητρίου χρονολογίας (βλ. ὄπισθ. σελ. 739). Ἀλλ' οὐδ' αὐτὸς ὁ Ὑσσέριος ἐφάνη δικαιότερος, τ' ἀντίστροφα κρίνας, ὅτι

τὸ δῆθεν ψευδὲς ὄνομα τοῦ Καϊνᾶν προσέθηκαν καὶ εἰς τὸ κείμενον τοῦ θείου Εὐαγγελιστοῦ ἐκ τῆς ἑρμηνείας τῶν Ο, ὅπου τὸ πρῶτον εἰσεῤῥύη! (σελ. 198). Οὕτως εὐχερῶς οἱ ἄνδρες δημιουργοῦσιν ἐν τούτοις τοὺς πλαςογράφους! (α). Ὁ δὲ σοφὸς Ὑσσέριος ἐξέπεσε καὶ εἰς ἄλλην οὐχ' ὁσίαν παρεκτροπήν. Προβάλλει τὴν θείαν ῥῆσιν τοῦ Εὐαγγελιστοῦ, καθ' ἣν ἡ τοῦ Σωτῆρος ἄρχεται γενεαλογία, ὡς ἐφεξῆς « Ὢν, *ὡς ἐνομίζετο*, υἱὸς Ἰωσήφ, τοῦ Ἡλεὶ, τοῦ Ματθάν » κτλ. ὅπου καὶ τοῖς ἄκρῳ δακτύλῳ μελέτης θείων λόγων γευσαμένοις δῆλον, ὅτι τὸ *ὡς ἐνομίζετο* ἀποδίδοται διωρισμένως καὶ ἀποκληρωτικῶς εἰς μόνον τὸν *Ἰωσήφ*, καθὰ καὶ ἡ φράσις δηλοῖ, καὶ οἱ θεῖοι πατέρες ἡρμήνευσαν, καὶ αὐτοὶ δὲ πάντες τῶν νεωτέρων ἑρμηνευτῶν οἱ ἐπισημότατοι. Ὁ δ' Ὑσσέριος πῶς ἐξέλαβεν; ἄκουε· « Ὁ Εὐαγγελιστὴς Λουκᾶς προθέμενος ἀπαριθμῆσαι *τούς τε κοινῶς νομιζομένους, καὶ τοὺς ἀληθεῖς* προπάτορας τοῦ Σωτῆρος («tam vulgo ita habitos quam veros»!), καὶ τὸ *υἱὸς* ἀνάγων εἰς πάντας ἀπὸ κοινοῦ, — ἠδύνατο καὶ τὸν Καϊνᾶν μετὰ τῶν Χριστοῦ προπατόρων συναριθμῆσαι, οὐχ' ὅτι *τοιοῦτος ὄντως* ὑπῆρχεν, ἀλλ' ὅτι παρά τε τοῖς ἑλληνισταῖς Ἰουδαίοις καὶ τοῖς χριστιανοῖς, μόνῃ τῇ τῶν Ο μεταφράσει χρωμένοις, συνηριθμεῖτο μετὰ τῶν προγόνων

(α) Τὸν Γροτίου παραλογισμὸν ἀνεμάσσησε καὶ Κορνήλιος Ἀλάπιδος ὁ Ἰησουΐτης, εὐσχημότερον εἰπὼν, ὅτι κατὰ πλάνην τῶν ἀντιγραφέων εἰσέφρησε τὸ ὄνομα εἰς τὸ κείμενον τοῦ Εὐαγγελιστοῦ. Καὶ παράδοξον μὲν ὅπως ὁ Ἀποπέτρας (A Lapide) οὗτος σοφὸς ἠπατήθη· πολὺ δὲ παραδοξότερον, ὅτι καὶ αὐτὸς ὁ πολυμαθέστατος Βοχάρτος τούτου τὴν γνώμην ἀσμένως ἠσπάσθη, νομίσας ὅτι δι' αὐτῆς καὶ μόνης διαλλάττεται (καθὼς λέγει) ὁ Λουκᾶς πρὸς τὸν Μωϋσῆν (δηλονότι τὸν Μασοραῖον!). βλ. Bochart. Geogr. Sacr. L. II. c. 13. p. 84. Κατόπιν Ἀλαπίδου, ἢ Γροτίου καὶ Ὑσσερίου, παρηκολούθησαν καὶ πολλοὶ τῶν Δυτικῶν, ἄλλοι τε καὶ Possinus, καὶ αὐτὸς ὁ Πεταύϊος, καὶ αὐτὸς ὁ Καλμέτης, ἐπευφήμισε δὲ καὶ Πασῖνις (Diss. in Pentat. p. 74), καὶ ὁ Φαβρίκυς! (Des Titres etc. T. 2. p. 404). Οὐδὲν τῆς πλάνης ὀλισθηρότερον. Οἷα πέπονθε καὶ Γλάσσιος (Phil. Sac. p. 104), παράθερμον ἀνακράζων περὶ τοῦ Καϊνᾶν· «Πάντως (Certum) ἐπλανήθησαν οἱ Ο. Πάντως (Certum) ἐν τῷ ἑβραίῳ κειμένῳ οὐδεμία πλάνη, ἢ διαφθορά. Πάντως (Certum) οἱ Εὐαγγελισταὶ πολλὰς ῥήσεις ἔλαβον ἐκ τῶν Ο (τῶν πεπλανημένων! ἄρα καὶ αὐτοὶ, ἄπαγε, πεπλάνηνται;). Εὐφήμει ὦ Γλάσσιε! σιώπα, πεφίμωσο.

τοῦ Ἀβραάμ» (Ὑσσέρ. ἐν τῇ περὶ Καϊνᾶν διατριβῇ, σελ. 194). Ἀλλ' ἐπειδὴ καὶ οὐ διέκρινεν ὁ σοφὸς οὓς λέγει (πληθυντικῶς) «*νομιζομένους*» (καὶ τίνας ἂν εἶχε διακρίνειν ἄλλους παρὰ μόνον ἕνα, τὸν μνήστορα Ἰωσήφ;) ἀπὸ τῶν *ἀληθινῶν* προπατόρων τοῦ Κυρίου, φαίνεται λοιπὸν οὐ μόνον πολλούς, ἀλλὰ καὶ ἀορίστους τούτους δὴ τοὺς *νομιζομένους* εἰσάγων· ἐκ δὲ τῆς ἀοριστίας ταύτης ἐμποιεῖ πολλὴν ἀμφιβολίαν καὶ ταραχὴν εἰς τὴν σειρὰν τῆς γενεαλογίας τοῦ Κυρίου· καὶ βουλόμενος ἀνοσίως ἀποκλεῖσαι ὡς νομιζόμενον δῆθεν τὸν Καϊνᾶν, παρέχει νοεῖν ὡς τοιούτους καὶ ἄλλους ἐκ τῶν κατὰ σάρκα γνησίων προπατόρων τοῦ θεανθρώπου, οὓς ἠρίθμησεν ὁ θεῖος Εὐαγγελιστής, ἀνελθὼν μέχρι Θεοῦ (α). Τοιαῦτα ὁ Ἀρμαχάνος Ὑσσέριος, οὔτε τῷ λόγῳ τῆς εὐσεβείας σύμφωνα λέγων, καὶ τῆς ἑαυτοῦ πολυμαθείας ἀνάξια· ἄξια δ' οὖν ὅμως τῆς ἐπιθολούσης αὐτῷ τὸν νοῦν ἀπεχθείας, τῆς πρὸς τὴν ἑρμηνείαν τῶν Ο. Καὶ ἄλλοι δέ τινες Ὑσσερίῳ παρομαρτοῦντες, ὑπέλαβον, ὅτι ὁ θεῖος Λουκᾶς συνέγραψε τὸ Εὐαγγέλιον χάριν τῶν χριστιανῶν ἐκείνων, οἵτινες ἐχρῶντο τῇ τῶν Ο μεταφράσει μᾶλλον, ἢ τῷ ἑβραϊκῷ πρωτοτύπῳ· διὰ τοῦτο προὐτίμησε καὶ τὴν κατὰ τοὺς Ο ἀνάγνωσιν, προσθεὶς εἰς τὴν γενεαλογίαν τοῦ Σὴμ καὶ τ' ὄνομα τοῦ Καϊνᾶν (β). «Ἀλλὰ τοῦτο» (δικαίως ἀνέκραξεν ὁ Βαλλάκης) «τοῦτο καθάπτεται δεινῶς τοῦ θείου Εὐαγγελιστοῦ, εἴγε προσέθηκε νόθον ὄνομα εἰς τὴν γενεαλογίαν τοῦ Σήμ, ὅπως ἀρέσῃ τάχα ποιαῖς τισι προλήψεσι τῶν ἀναγνωστῶν. Ὅταν δὲ θεωρήσωμεν, ὅτι ἡ *λεγομένη προσθήκη* τοῦ ὑπο-

---

(α) «Ἀρξάμενος (ὁ Εὐαγγελιστὴς) ἀπὸ τοῦ νέου Ἀδάμ, ἀνῆλθε γενεαλογῶν ἄχρι τοῦ παλαιοῦ, εἶτα «τοῦ Θεοῦ» φησίν, ἤτοι τοῦ ἐκ τοῦ Θεοῦ· τοῦ Ἀδὰμ γὰρ οὐκ ἔστι πατὴρ ἄνθρωπος, ἀλλ' ὁ Θεὸς ἔπλασεν αὐτόν. Ὅρα δέ, ὅτι ἀπὸ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ἀρξάμενος, εἰς τὴν θεότητα αὐτοῦ τὸν λόγον τῆς γενεαλογίας ἀνήγαγε, δείξας τὸν Χριστὸν ἠργμένον μὲν ὡς ἄνθρωπον, ἄναρχον δὲ ὡς Θεόν». Εὐσέβ. Ἑρμην. εἰς Λουκ. γ. 38. ἐν τῇ ὑπὸ Μαΐου Scriptor. Veter. nova Collect. T. 1. σελ. 108. παράβ. καὶ σελ. 16—20, ὅπου καὶ τὸ ὡς ἐνομίζετο διαφόρως ἐξηγεῖ.

(β) Βλ. τὸν σοφὸν Horne, Introduction etc. vol. 3. p. 561. πρβλ. καὶ Bochart. u. s. ὅστις ὡς οὐδὲν υἱγιὲς κατέκρινε τὴν γνώμην. Ἴδε καὶ Βάλτωνα. Proleg. p. 467.

ϐολιμαίου Καϊνᾶν παρεμπεποίηται κατ᾽ αὐτὴν τοῦ Σωτῆρος Χριστοῦ τὴν γενεαλογίαν, τότε πολὺ δυσφημότερος ὁ κατὰ τοῦ θείου Εὐαγγελιστοῦ ψόγος ἀποϐαίνει. Ὥστε τὸ ἐγχείρημα τῶν χρονολόγων ἐκείνων, οἵτινες ἐπεϐάλοντο συντρίψαι κύριον γράμμα (documentum) καὶ αὐθεντικὸν» (πρόσθες καὶ *Ἀποστολικὸν*), «ἐξοϐελίζοντες ἕνα τῶν κατὰ σάρκα τοῦ Κυρίου προγόνων, ὑπάρχει *μέγιστον ἀδίκημα κατὰ τῆς Χριστιανικῆς ἀληθείας*, καὶ ὁ παραλογώτατος τῶν παραλογισμῶν ἁπάντων, ὅσους χορηγοῦσι τὰ *χρονικὰ τοῦ κριτικισμοῦ*!» (α). Τοιαῦτα ὁ σοφὸς Ἄγγλος, συμφωνοῦντος καὶ Κουνιγχάμου (ϐ), καὶ ἄλλων, ὅσοι σέϐονται τῶν θείων λόγων τὴν ἀλήθειαν. Ἀρκοῦσι ταῦτα περὶ τοῦ Καϊνᾶν, καὶ καθόλου περὶ τῆς ἀπὸ κατακλυσμοῦ μέχρις Ἀϐραὰμ χρονολογικῆς περιόδου. Ὥρα δὲ ἤδη καὶ γενικὰς ἀποδείξεις περὶ τῆς κατὰ τοὺς Ο γνησίας χρονολογίας ἐπαγαγεῖν.

Δ.

§. ιε. Ὅτι ἡ κατὰ τοὺς Ο τῶν δύω καταγεγραμμένων περιόδων χρονολογία, καθὸ μόνη γνησία καὶ ἀληθής, προτιμητέα τῆς ἤδη συντετριμμένης τοῦ παρ᾽ Ἰουδαίοις ἑϐραϊκοῦ.

Πολλαὶ καὶ διάφοροι δείξεις οὐ μόνον *ἐξωτερικῶς*, παρά τε μαρτύρων ἀξιοπίστων καὶ τεκμηρίων σαφεστάτων, ἀλλὰ καὶ *ἐσωτερικῶς*, ἐξ αὐτοῦ τοῦ ἱεροῦ κειμένου λαμϐανόμεναι, βεϐαιοῦσι τὴν ἀλήθειαν τῆς χρονολογίας τῶν Ο· καταγράφομεν δὲ ταύτας ἐφεξῆς.

Α) Ἡ παρὰ πᾶσι τοῖς μὴ φιλοτιμουμένοις πρὸς κέντρα λακτίζειν ἀποδεκτὴ καὶ βεϐαία *ἱστορία* τῆς ἑρμηνείας τῶν Ο, ἐξ ἀκριϐεστάτων ἑϐραϊκῶν χειρογράφων ἡρμηνευμένης, καὶ ὑπὸ τῶν θείων

(α) Wallace, A Disertation etc. p. 34—36. Ἀπορεῖ πρὸς τούτοις ὁ Βαλλάκης δικαίως καὶ ἕνεκα τῆς πρὸς τὸν Εὐαγγελιστὴν Λουκᾶν διαφωνίας τῶν ἤδη παρ᾽ Εὐρωπαίοις ἐν δημοσίᾳ χρήσει μεταφράσεων τῆς παλαιᾶς Γραφῆς (καὶ αὐτῆς τῆς δυτικῆς Βουλγάτας), ἐν αἷς λείπει ὁ Καϊνᾶν. «Θαυμαστὸν, λέγει, πῶς ἐκ τῶν παρ᾽ ἡμῖν κεκυρωμένων ἑρμηνειῶν τῆς παλαιᾶς Διαθήκης ἀπεκλείσθη ἡ γενεὰ τοῦ Καϊνᾶν, διότι γέγραπται ἐν τῇ Καινῇ Διαθήκῃ!».

(ϐ) Cuninghame, Fulness of the Times, p. 200.

Ἀποστόλων κεκυρωμένης, καὶ πάντες δὲ οἱ μέχρι καὶ εἰς ἡμᾶς ἀποσωθέντες αὐτῆς κώδηκες, βεβαιοῦσιν ὁμοφώνως τὸ γνήσιον τῆς χρονολογίας τῶν Ο.

Β) Δημήτριος ὁ ἐθνικὸς φιλόσοφος, ὁ *Φαληρεὺς* (α), ἀριθμεῖ ἀπὸ μὲν Κ. Κ. (κτίσεως κόσμου) μέχρι τῆς εἰς Αἴγυπτον εἰσόδου τοῦ Ἰακὼβ ἔτη 3624, ἀπὸ δὲ τοῦ κατακλυσμοῦ μέχρι τῆς αὐτῆς ἐποχῆς ἔτη 1362, καὶ τέλος, ἀπὸ τῆς μετοικεσίας τοῦ Ἀβραὰμ ἄχρι τῆς αὐτῆς πάλιν ἐποχῆς, ἔτη 215. Τούτων οὖν τῶν 215 ἀπὸ τῶν 1362 ἀφαιρεθέντων, προκύπτει τὸ ὑπόλοιπον ἔτη 1147, δεικνύοντα τὸν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῆς κλήσεως τοῦ Ἀβραὰμ διαδραμόντα χρόνον. Ἂν δὲ καὶ τῶν 1147 ἀφέλωμεν τὰ 75 ἔτη τοῦ Ἀβραάμ, ἅπερ ἦγεν ἐπὶ τῆς κλήσεως, ὑπολείπονται ἔτη 1072, καὶ ταῦτα σημαίνουσι τὸν ἀπὸ κατακλυσμοῦ μέχρις Ἀβραὰμ γεννήσεως χρόνον. Τοῦτ' αὐτὸ τὸ ποσὸν ἀκριβῶς ἐξάγεται καὶ ἐκ τῆς χρονολογίας τῶν Ο. Πάλιν, ἂν ἐκ τῶν προειρημένων 3624 ἐτῶν ἀφαιρεθῶσι τὰ 1362 ἔτη, μένουσιν ὑπόλοιπα ἔτη 2262, καὶ τοσαῦτα ἀριθμεῖ ὁ Δημήτριος ἀπὸ τῆς δημιουργίας μέχρι τοῦ κατακλυσμοῦ· τοσαῦτα παρέχουσι καὶ οἱ Ο, κατὰ τὴν Ἀφρικανοῦ καὶ ἄλλων ἀρχαίων χρονολόγων ἀκριβεστάτην θεωρίαν. Ὥστε καὶ οἱ κατὰ τοὺς χρόνους τοῦ Φαληρέως Ἰουδαῖοι (οἵ τε Ἀλεξανδρινοὶ καὶ οἱ τούτοις ἀδελφὰ φρονοῦντες Παλαιστινοὶ) ἀπὸ τῆς δημιουργίας μέχρι κλήσεως Ἀβραὰμ ἐχρονολόγουν κατὰ τοὺς Ο.

Γ) Μετὰ τὸν Δημήτριον ἔρχεται ὁ Εὐπόλεμος, ἐθνικὸς καὶ οὗτος, Ἕλλην τὸ γένος, οὗ τινος χρονολογικὸν ἀπόσπασμα, διασωθὲν παρὰ τῷ Πολυΐστορι, παρέδωκεν ἡμῖν, πολύτιμον κληροδότημα, Κλήμης ὁ Στρωματεὺς (Α, 243). Οὗτος τοίνυν ὁ Εὐπόλεμος ἀριθμεῖ ἀπὸ Ἀδὰμ ἄχρι τοῦ πέμπτου ἔτους Δημητρίου, Πτολεμαίου τὸ δωδέκατον βασιλεύοντος Αἰγύπτου, ἔτη ͵ερμθ, ἤτοι 5149 (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 89). «Ἀπὸ δὲ τοῦ χρόνου τού-

(α) Παρὰ τῷ Πολυΐστορι. βλ. Εὐσεβ. Εὐαγγ. Προπ. θ, 4.

του (προστίθησιν ὁ Κλήμης) ἄχρι τῶν ἐν Ῥώμῃ ὑπάτων, Γαΐου Δομετιανοῦ καὶ Κασσιανοῦ, συναθροίζεται ἔτη 120 ν· ἡ δὲ τούτων ὑπατεία τίθεται τῷ 80 π. Χ. Ὥστε, ἐὰν πρὸ τοῖς τοῦ Εὐπολέμου 5149 προστεθῶσι καὶ ταῦτα τὰ 200, συνάγονται λοιπὸν κατὰ τὴν Εὐπολέμου χρονολογίαν ἀπὸ Κ. Κ. μέχρι Χριστοῦ ἔτη 5349, ἐλλειπέστερα μὲν τῆς ἀκριβείας ἔτεσι περίπου 160· ἀλλὰ καὶ οὕτω κατεξελέγχοντα τὴν καθ' Ἑβραίους χρονολογίαν, ἥτις ἀπὸ κτίσεως κόσμου μέχρι Χ. ἀριθμοῦσα μόλις 4004 ἐνιαυτοὺς, ἐλλείπεται τῆς κατ' Εὐπόλεμον ἔτεσιν ὅλοις 1345 (α). Τῆς δὲ κατὰ τοὺς Ο χρονολογίας ἀπελείφθη ὁ Εὐπόλεμος μόνον ἔτεσι περίπου 160, καὶ ταῦτα, ἴσως πλανηθεὶς περὶ τὴν θεωρίαν τῆς ἀπὸ τῆς Ἐξόδου μέχρι τοῦ ναοῦ τοῦ Σολομῶντος ἐποχῆς. Ἀλλὰ καὶ κατὰ τοῦτο συνεφώνησεν ὁ Εὐπόλεμος ἀκριβῶς πρὸς τὸν Εὐσέβιον· ὅστις ἐψήφιζεν οὐ μόνον 160 ἔτη τοῦ δέοντος ἔλασσον, ἀλλὰ παραβλέπων καὶ τὰ 130 ἔτη τοῦ ὃν παρέλιπε Καϊνᾶν, ἐπηύξανε τὴν ἔλλειψιν εἰς ἔτη 290, (ὅθεν καὶ ἠρίθμει ἀπὸ Κ. Κ. μέχρι Χ. ἔτη 5210, ἀντὶ τῶν παρ' Ἀφρικανῷ καὶ τοῖς λοιποῖς, 5500). Ὁ γοῦν Εὐπόλεμος, μόνον 160 ἔτη παραλιπὼν, φαίνεται πάντως ἀναγνοὺς καὶ τὸν Καϊνᾶν, οὗ τὰ 130 ἔτη συνεψήφισε (βλ. καὶ ὄπισθ. σελ. 738).

Δ) Ὁ Ἰώσηπος (ὡς ἀπεδείχθη τρανῶς, καθὰ προείρηται, καὶ πρώην καὶ ὑπὸ τῶν καθ' ἡμᾶς ἐνδοξοτάτων σοφῶν, καὶ Κλίντωνος αὐτοῦ συμφωνοῦντος) διατηρεῖ τὴν αὐτὴν ἀκριβῶς χρονολογίαν, ἣν καὶ οἱ Ο. Πρῶτον μὲν γὰρ ἀπὸ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἀριθμεῖ καὶ οὗτος ἔτη 2256, οὕτω καὶ οἱ Ο, ἔτη 2262· (ἡ δὲ τῶν ἓξ ἐτῶν διαφορὰ ἴση καὶ μηδενί· καὶ ἴσως ἔκ τινος μικρᾶς περὶ τοὺς μερικοὺς ἀριθμοὺς πλάνης τῶν ἀντιγραφέων). Ἀπὸ δὲ

(α) Βλ. Morin. Exerc. I, 7, c. 2.—Walton, Prol. IX. §. 61. Κατὰ τὴν ἀνωτέρω πρὸς τοῖς Εὐπολέμου προσθήκην τοῦ Κλήμεντος, φαίνεται ὁ Εὐπόλεμος ζῶν περὶ τὰ 200, π. Χ. ὅθεν καὶ Δημήτριος, ὃν ὀνομάζει, ἦν ὁ Σωτὴρ, Συρίας βασιλεὺς (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 89. πρβλ. καὶ Pezron, L' antiq. de tems ret. p. 68). Ὁ δὲ Ἰάκσων Δημήτριον μὲν ἐννοεῖ τὸν Πολιορκητὴν, Πτολεμαῖον δὲ τὸν Α, τὸν τοῦ Λάγου, τὸν Σωτῆρα. Ὁ δὲ Κλίντων πάλιν, τὸν Εὐεργέτην, Δημήτριον δὲ τὸν β, Μακεδονίας βασιλέα τῷ 235 π. Χ. (Clinton, Fasti Hellenic. vol. I. p. 291).

τοῦ κατακλυσμοῦ μέχρις Ἀβραάμ, κατὰ τοὺς Ο, συνάγονται 1072. Τοσαῦτα καὶ κατὰ τὸν Ἰώσηπον, ὡς διώρθωσεν ὁ Κουνιγχάμος, ἀντὶ τοῦ 993, σφάλματος τῶν ἀντιγραφέων (α). Πάλιν, τὰ πρῶτα ΙΒ βιβλία τῆς Εἰκοσαβίβλου Ἀρχαιολογίας τοῦ Ἰωσήπου περιέχουσιν ἱστορίαν ἐτῶν *πενταχισχιλίων*, ὅσην περιέχουσι καὶ τὰ, ἐξ ὧν τὴν ἑβρ. Ἀρχαιολογίαν συνέλεξε, κανονικὰ βιβλία τῆς θείας Γραφῆς, ἀπὸ Κ. Κ. μέχρις Ἀρταξέρξου, ἢ τῆς Ἐσθὴρ (ἥτις ἐστὶ τὸ ἔσχατον τῶν κανονικῶν τευχῶν τοῦ ἱεροῦ κώδηκος). Ταῦτα αὐτός τε ὁ Ἰώσηπος διαῤῥήδην ὁμολογεῖ, καὶ τὰ πράγματα μαρτυροῦσιν. Ἐν δὲ τοῖς ὑπολοίποις Η, βιβλίοις τῆς Ἀρχαιολογίας συνέγραψεν ὁ Ἰώσηπος τὰ ἀπὸ τοῦ Ἀρταξέρξου μέχρι τῶν αὐτοῦ ἡμερῶν (ἤτοι, ἕως ἔτους 12, τοῦ Νέρωνος, ἢ τῷ 66 μ. Χ.), περιέχοντα ἱστορίαν ἐτῶν περίπου (κατ' αὐτὸν) 530: Ὥστε τὰ 5530, τῆς ὅλης Ἀρχαιολογίας τοῦ Ἰωσήπου μαρτυροῦσι λαμπρῶς τὸ γνήσιον τῆς κατὰ τοὺς Ο, χρονολογίας (β). Τελευταῖον· ὁ Ἰουδαῖος Ἀρχαιολόγος χρονολογῶν τὴν ἑαυτοῦ πατρίδα Ἱερουσαλὴμ (καὶ πρόπαλαι Σαλήμ), λέγει, ὅτι ἀπὸ τῆς ὑπὸ τοῦ *δικαίου βασιλέως* (οὕτως ἐξελληνίζει τὸν Μελχισεδὲκ. βλ. Ἀρχαιολ. Α, ι, §. 2) πρώτης κτίσεως τῆς πόλεως ταύτης, ἕως τῆς ὑπὸ Ῥωμαίων ἐσχάτης ἁλώσεως αὐτῆς καὶ κατασκαφῆς, διῆλθον ἔτη « *δισχίλια ἑκατὸν ἑβδομήκοντα καὶ ἑπτά* » (Ἰουδ. πολ. ς. κεφ. ἐσχάτῳ). Ὁ δ' αὐτὸς Ἰώσηπος, ὡς προείπομεν, ἀριθμεῖ ἀπὸ Κ. Κ. μέχρις Ἀβραὰμ (τοῦ συγχρόνου τῷ Μελχισεδὲκ) ἔτη 3328 (2256 μέχρι κατακλυσμοῦ· κἀντεῦθεν 1072, ἕως Ἀβραάμ). Ἐὰν οὖν πρὸς τοῖς 3328 προστεθῶσι καὶ τὰ 2177, προκύπτει κεφάλαιον ἐτῶν 5505· τούτοις προσεθέντων καὶ τῶν 90 περίπου ἐτῶν, ἅπερ ἦγεν Ἀβραὰμ ὅτε εὐλογήθη ὑπὸ τοῦ Μελχισεδὲκ (Γεν. ιδ, 18. Ταύτην δὲ τὴν ἐποχὴν, ὡς ἔοικεν, ὁ Ἰώσηπος διὰ τὸ ἐπίσημον τίθησιν οἷον γενέθλιον ἡμέραν τῆς *Σαλήμ*, ἧς Μελχισεδὲκ ὁ ἀγενεαλόγητος ἐβασίλευε, τῆς καὶ ἄλλως Ἰα-

---

(α) Cuningh. Fulness, etc. pref. pag. X.

(β) Βλ. Ἰωσήπ. Ἀρχ. Προοιμ. §. γ. καὶ Α, κατὰ Ἀπίων. §. α. πρβλ. Voss. Chron. Sacr. p. 148. sq. Pezron Défense de l' Antic. p. 46.

βούς. Ἰησ. ιη, 28), συγκεφαλαιοῦνται τὰ πάντα ἔτη 5595 ἀπὸ Κ. Κ. μέχρις ἁλώσεως τῶν Ἱεροσολύμων (τῷ 70, μ. Χ.). Ὥστε ἀπὸ τῆς κοινῆς χρονολογίας ἡ παρ' Ἰωσήπῳ αὕτη μόλις διαφέρει ἔτη 17. Οὕτω δὲ χρονολογῶν ὁ Ἀρχαιολόγος, ἴσχυσε συνιδεῖν καὶ τὸν χρόνον, καθ' ὃν ἡ ὑπὸ τοῦ προφήτου Δανιὴλ προκαταγγελθεῖσα ἐρήμωσις τῆς Ἱερουσαλὴμ (μετὰ τὴν συμπλήρωσιν τῶν περιλαλήτων « *ἑβδομήκοντα ἑβδομάδων ἡμερῶν* ». Δανιὴλ θ, 24–27) ἐπληρώθη, ἐπὶ τῆς ἐσχάτης ὑπὸ Τίτου καταστροφῆς τῆς δυστήνου πόλεως. Λέγει δὲ ταῦτα ἐπὶ λέξεως· « Ὅτι Δανιὴλ ὡμίλει τῷ Θεῷ· οὐ γὰρ τὰ μέλλοντα μόνον προφητεύων διετέλει, καθάπερ καὶ οἱ ἄλλοι προφῆται, ἀλλὰ καὶ *καιρὸν ὥριζε*. — καὶ περὶ τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἀνέγραψε, καὶ ὅτι ὑπ' αὐτῶν ἐρημωθήσεται » (Ἀρχ. Ι, ια, §. 7). Ὅτι δὲ ὁ Ἰώσηπος εἶχε πρὸ ὀφθαλμῶν οὐ μόνον τὴν ἑρμηνείαν τῶν Ο, ἀλλὰ καὶ (ὡς ἱερεὺς τῶν Ἱεροσολύμων) ἀκριβέστατον ἀντίγραφον τοῦ ἑβραϊκοῦ κειμένου, οὐδεὶς τῶν ὀρθῶς φρονούντων ἀντερεῖ. Λέγει δὲ καὶ αὐτὸς τὴν ἑαυτοῦ ἀρχαιολογίαν « ἐκ τῶν ἑβραϊκῶν μεθηρμηνευμένην γραμμάτων » (Ἀρχαιολ. προοιμ. καὶ Βιβλ. Ι, ια, 7). Λέγει πρὸς τούτοις (ἐν Βίῳ· βλ. ὄπισθ. σελίδι. 65), καὶ ὅτι μετὰ τὴν ἅλωσιν καὶ καταστροφὴν τῶν Ἱεροσολύμων ἔλαβε παρὰ τοῦ Τίτου δῶρον *τὰς ἱερὰς βίβλους* (καὶ ταύτας ἴσως διασωθείσας ἐκ τῶν ἀρχείων τοῦ ναοῦ). Ὥστε φαίνεται πρᾶγμα βέβαιον, ὅτι καὶ τὰ ἑβραϊκὰ χειρόγραφα ἐπὶ Ἰωσήπου συνεφώνουν καὶ κατὰ τὴν χρονολογίαν μετὰ τῶν Ο. Ἢ πῶς ἄν τις πιστεύσειεν, ὅτι ὁ Ἰουδαῖος ἱερεὺς, εἴπερ εὕρισκε τὴν ἑρμηνείαν τῶν Ο πάντῃ περὶ τοῦτο διαφέρουσαν πρὸς τὸ λίαν ἐπιμελῶς μέχρι τότε τηρούμενον ἑβραϊκὸν πρωτότυπον, ἔμελλε τούτου μᾶλλον προτιμήσειν τοὺς Ο; καὶ ταῦτα ἐναντίον τοῦ φρονήματος τῆς τε πατρῴας αὐτοῦ θρησκείας, καὶ πάντων τῶν αὐτῷ συγχρόνων σοφῶν ὁμογενῶν; Οἱ δὲ θερμῶς ὑπὲρ τῆς τῶν καθ' ἡμᾶς ἰουδαϊκῶν χειρογράφων συντετριμμένης χρονολογίας ὑπερμαχοῦντες ποίαν ἔχουσιν οὕτως ἄρρηκτον καὶ ἰσχυρὰν καὶ πάσης πίστεως ἀξίαν ἀντιτάξαι μαρτυρίαν, ὅτι τὸ ἑβραϊκὸν κείμε-

νον οὐκ εἶχε τὴν αὐτὴν τοῖς Ο χρονολογίαν καὶ κατ᾽ αὐτὸν τὸν πρῶτον ἀπὸ Χριστοῦ Σωτῆρος αἰῶνα;

Ε) Παραδόσεις παρ᾽ Ἰουδαίοις σύμφωνοι πρὸς τὴν χρονολογίαν τῶν Ο, διετηρήθησαν μέχρι καὶ εἰς ἡμᾶς. Εἴπομεν ἐν τοῖς ἔμπροσθεν (σελ. 714) περὶ τῶν τοῦ Εὐτυχίου· ὡσαύτως καὶ περί τινων Ἰουδαϊκῶν συγγραμμάτων (ἐν οἷς τὰ ἔτη τοῦ Ἀδὰμ, ὅτε τὸν Σὴθ ἐγέννησε, συμφωνοῦσι πρὸς τοὺς Ο). Ἤδη προςτιθέμεθα τὸ περίφημον βιβλίον τοῦ Ἐνὼχ (ὅπερ οἱ περὶ τὸν Σκαλίγηρον καὶ ἄλλοι κρίνουσιν Ἑλληνιστῶν Ἰουδαίων πόνημα πρὸ τῶν Ἀποστολικῶν χρόνων συγγεγραμμένον· μνημονεύουσι δὲ τούτου καὶ Ὠριγένης, καὶ Τερτυλλιανὸς, καὶ Αὐγουστῖνος, καὶ ἄλλοι, ὡς προείρηται σελ. 698) (α). Ἐν τούτῳ τοίνυν γέγραπται, ὅτι ὁ Ἐνὼχ μετετέθη τῷ 1448 ἀπὸ κτίσεως κόσμου, γενόμενος ἐτῶν 365. Καὶ κατὰ ταῦτα συμφωνεῖ τὸ βιβλίον τοῦτο τοῖς Ο, καὶ οὐχὶ μετὰ τοῦ ἑβραϊκοῦ. Πάλιν, ἐκ τῆς βίβλου τοῦ Ἐνὼχ, καὶ ἐκ τῆς Λεπτῆς Γενέσεως, ἄλλου συγγράμματος ὁμοίως ἰουδαϊκοῦ καὶ παλαιοῦ, ἔγραψεν ὁ Σύγκελλος (Χρονογρ. σελ. 19) τὰ ἐφεξῆς. Ἐν τούτοις ἀναγινώσκομεν ὅτι «τῷ 1000 ἔτει ἀπὸ κοσμογονίας, τοῦ δὲ Ἰάρεδ ἔτει 40, καὶ τοῦ Σὴθ ἔτει 770, πλανηθέντες ἐκ τοῦ γένους αὐτοῦ 200 *ἐγρήγοροι*, ἔλαβον ἑαυτοῖς γυναῖκας ἐκ τῶν θυγατέρων τῶν ἀνθρώπων, καὶ ἐγέννησαν τοὺς γίγαντας». Οὐδὲν τούτων οὕτως ὡρισμένως καὶ λεπτομερῶς ἀναγινώσκομεν ἐν τῇ θείᾳ Γραφῇ, εἰ μὴ μόνον ἁπλῶς καὶ χωρὶς χρονολογίας, ὅτι, «Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ» (οἱ τοῦ Σὴθ ἀπόγονοι) «τὰς θυγατέρας τῶν ἀνθρώπων» (τῶν τοῦ Κάϊν απογόνων), «ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας» κτλ. (Γενέσ. ς, 2). Ἀλλ᾽ ὅμως, ὅσον περὶ τὴν χρονολογίαν, ὁ παρὰ τῷ Ἐνὼχ διορισμὸς τῶν ἐτῶν συμφωνεῖ πρὸς τὴν κατὰ τοὺς Ο χρονολογίαν τῆς θείας Γραφῆς. Τὸ γὰρ 40 ἔτος τοῦ Ἰάρεδ συμπίπτει πρὸς τὸ 1000 ἀπὸ κοσμογονίας, καὶ τὸ 770 ἔτος τοῦ Σήθ.

(α) Βλ. Scaliger. Animadv. ad Chronic. Euseb. p. 403, 406. — Cumberlands' Phoenician History, pag. 306.

ϛ) Ἰάκωβος ὁ Ἐδεσσηνὸς (περὶ τῷ 700 μ. Χ.) μαρτυρεῖ, ὅτι κατ' αὐτὸν ὑπῆρχον ἑβραϊκά τινα χειρόγραφα, βεβαιοῦντα τὴν κατὰ τοὺς Ο χρονολογίαν· λέγει δέ· « Ἔν τισιν ἄλλοις ἀκριβέσιν ἑβραϊκαῖς ἱστορίαις εὕρομεν γεγραμμένον, ὅτι ὁ Ἀδὰμ ἐγέννησε τὸν Σὴθ γενόμενος ἐτῶν 230. Ἀλλ' οἱ Ἰουδαῖοι βουλόμενοι διαστρέψαι τὸν ψηφισμὸν τῶν ἐτῶν, ὅπως ἀποδείξωσι μήπω τὸν Χριστὸν ἐληλυθότα, ἀπέσπασαν 100 ἐνιαυτοὺς ἐκ τῆς Ἀδὰμ ἡλικίας, πρὶν ἢ γεννήσῃ τὸν Σήθ» (α).

Ζ) Οἱ ἐν Αἰθιοπίᾳ Ἰουδαῖοι μέχρι σήμερον διατηροῦσι χρονολογίαν τὴν αὐτὴν τῇ κατὰ τοὺς Ο (β).

Η) Καὶ ὁ Ἀφρικανὸς μαρτυρεῖ, ὅτι « Ἰουδαῖοι τὸ ἀνέκαθεν γεγονότες ἀπὸ Ἀβραὰμ, ἠρίθμουν 5500 ἔτη ἀπὸ Κ. Κ. μέχρι τῆς θείας ἐπιφανείας »· λέγομεν περὶ τούτου καὶ παρακατιόντες.

Θ) Ἐν τῇ δευτέρᾳ περιόδῳ τῶν μετὰ τὸν κατακλυσμὸν Πατριαρχῶν, τὸ Σαμαρειτανὸν κείμενον συμφωνεῖ μετὰ τῶν Ο, μηδόλως διαφέρον, εἰ μὴ τὰ 130 ἔτη τοῦ λείποντος β, Καϊνᾶν. Διαφέρει δὲ παντάπασι τοῦ ἑβραϊκοῦ. Ὥστε τὸ πιστὸν τῆς μετὰ τὸν *κατακλυσμὸν* χρονολογίας τῶν Ο, μαρτυρούμενον ὑπὸ τοῦ Σαμαρειτανοῦ, γίνεται ἐχέγγυος ἀπόδειξις καὶ τῆς πρὸ τοῦ κατακλυσμοῦ γνησίας καὶ ἀληθινῆς κατὰ τοὺς Ο χρονολογίας. Καὶ πάλιν τοῦτ' αὐτὸ τὸ πιστὸν καὶ γνήσιον τῆς μετὰ τὸν κατακλυσμὸν χρονολογίας τῶν Ο, νόθον ἐξελέγχει καὶ διεφθαρμένην τὴν ἐλάττωσιν τῶν ἐτῶν τῶν πρὸ τοῦ κατακλυσμοῦ Πατριαρχῶν, καθ' ἣν τὸ Σαμαρειτανὸν διαφέρον τῶν Ο, συμφωνεῖ μᾶλλον πρὸς τὸ καὶ καθ' ἑαυτὸ σφαλερὸν ἐξελεγχόμενον ἑβραϊκόν· καὶ ἡ δεῖξις πρόκειται. Εἰ γὰρ οἱ μετὰ τὸν κατακλυσμὸν Πατριάρχαι ζῶντες ἔτη, οἱ μὲν τῶν 500, οἱ δὲ καὶ τῶν 400 ἐλάττονα, ἐτεκνογόνουν τὸν πρωτότοκον τῷ 130 ἐνιαυτῷ τῆς ἡλικίας αὐτῶν (κατά τε τοὺς Ο, καὶ τὸ Σαμαρειτανὸν), πολλῷ μᾶλλον βεβαιότε-

(α) Βλ. Kennicot. Dissertat. general. p. 179.

(β) Seyffarth. Chronol. Sacr. p. 218.

τερον ἐπαιδοποίουν ἔτι πορρωτέρω τῆς ἡλικίας ταύτης οἱ πρὸ τοῦ κατακλυσμοῦ, ὧν ὁ βίος ὅλος παρετείνετο μέχρι τῶν 900 καὶ ἐπέκεινα. Ὥστε περὶ τὴν χρονολογίαν τῆς πρώτης περιόδου σφάλλονται προφανῶς ἀμφότερα τὰ κείμενα, τό,τε Σαμαρειτανὸν καὶ τὸ ἑβρ., διορίζοντα τὴν παιδογονίαν τῶν προκατακλυσμίων πατριαρχῶν ἐν ἡλικίᾳ νεωτέρᾳ τῶν μετὰ τὸν κατακλυσμὸν, καὶ μιᾷ ἑκατοντάδι λειπομένην τῆς τῶν Ο. Διακηρύττει δὲ καὶ τοῦ πρώτου καὶ τοῦ δευτέρου θεωρήματος τὴν ἀλήθειαν καὶ αὐτὸς ὁ Εὐσέβιος, οὗ τὴν περικοπὴν ὑποσημειοῦμεν (α). Τοῦτ' αὐτὸ διομολογεῖ καὶ ἀρχαῖος καὶ ἐπίσημος χρονογράφος Ἄραψ (β).

Ι) Κατὰ τοὺς ὑπηρετοῦντας τῇ τάξει τῆς θείας προνοίας νόμους τῆς φύσεως, οἱ πατέρες καὶ πάπποι καὶ πρόπαπποι καὶ ἐπίπαπποι συνήθως τελευτῶσι πρὸ τῶν ἐγγόνων, δισεγγόνων, τρισεγγό-

---

(α) « Ἐπεὶ τοίνυν φαίνονται κατὰ τὸ παλαιότατον ἑβραϊκὸν, ὃ δὴ παρὰ Σαμαρείταις ἔτι καὶ νῦν σῴζεται, τῇ τῶν Ο ἑρμηνείᾳ συμφώνως, οἱ ἀπὸ τοῦ κατακλυσμοῦ καὶ ἐπὶ Ἀβραὰμ, μετὰ τὰς προσκειμένας τῶν ἐτῶν ἑκατοντάδας καὶ τὸν ἐπὶ τούτοις ἀριθμὸν, παῖδας ποιησάμενοι, ποῖος ἐρεῖ λόγος τοὺς τούτων πρεσβυτέρους, καί περ ἔτεσι πολὺ πλείοσι τῶν μετὰ ταῦτα βεβιωκότας, τάχιστα ἐπὶ τὴν παιδοποιΐαν ἐλθεῖν, καὶ μὴ μᾶλλον κατὰ τοὺς παρὰ τοῖς Ο σεσημειωμένους χρόνους; Τούτων (ἴσ. γρ. τ ο ῦ τ ο) δ' οὖν καὶ ὁ σώφρων λογισμὸς ὑποβάλλει νοεῖν. Ὥστε ἀνάγκη διημαρτῆσθαι ὁμολογεῖν, τὴν μὲν παρ' Ἰουδαίοις γραφὴν ἐν τοῖς ἀπὸ Ἀδὰμ καὶ ἐπὶ Ἀβραὰμ χρόνοις, ἐκτὸς τριῶν [τῶν] περὶ τὸν Ἰάρεδ, τὴν δὲ παρὰ Σαμαρείταις, ἐν τοῖς ἀπὸ Ἀδὰμ καὶ ἐπὶ τὸν κατακλυσμὸν μόνοις. Τὰ γὰρ ἀπὸ τοῦ κατακλυσμοῦ καὶ ἐπὶ τὸν Ἀβραὰμ ἔτη σύμφωνα εὕρηνται τῇ παρὰ τοῖς Ο φερομένῃ τῶν ἐτῶν σημειώσει. Ἄντικρυς δὲ φαίνεται διημαρτημένως ἔχειν τὸ παρ' Ἰουδαίοις ἑβραϊκόν· συνάγει γὰρ κατὰ τὸ αὐτὸ τοῖς χρόνοις τὸν Ἀβραὰμ καὶ τὸν Νῶε, ὅπερ οὐδεμία παρίστησιν ἱστορία. Εἰ γὰρ κατὰ τὴν Ἰουδαίων γραφὴν ἀπὸ τοῦ κατακλυσμοῦ καὶ ἐπὶ Ἀβραὰμ ἔτη τυγχάνει σ η β (292), ἔζησε δὲ ὁ Νῶε, κατὰ τοὺς αὐτοὺς, μετὰ τὸν κατακλυσμὸν ἔτη, τ ν (350), δῆλός ἐστι παρατείνας τὴν ζωὴν μέχρι ν η (58) ἔτους Ἀβραάμ. Ἔςι δὲ καὶ ἄλλως τὴν ἀτοπίαν συνιδεῖν τῶν παρ' Ἰουδαίοις ἀντιγράφων ἀπὸ τοῦ τριακονταέτεις ἀναγράψαι τοὺς ἐκ τοῦ Ἀβραὰμ πεπαιδοποιημένους· ὁπότε οἱ μετὰ τὸν Ἀβραὰμ ἱστοροῦνται πρεσβύτεροι τῶν λ (30) ἐτῶν εἰς παιδοποιΐαν ἐλθεῖν ». Εὐσεβ. Χρον. καὶ ἐν τῇ Ἀρμενικῇ μεταφράσει Mediol. καὶ παρὰ Συγκέλ. Χρονογρ. σελ. 166. Bon.

(β) « Textus autem Hebraici inde patet corruptela, quod à casu Adami ad Diluvium putet annos 1556. A diluvio vero ad nativitatem Abrahae annos 292 » etc. Chronic. Orient. p. 172.

νων, καὶ τῶν ἐφεξῆς ἀλληλοδιαδόχων ἐπιγόνων αὐτῶν. Ἀλλὰ κατὰ τὸν ψηφισμὸν τῆς ἑβραίας χρονολογίας ὁ νόμος οὗτος ἀνέστραπται. Κατὰ τοὺς Ο, ὁ Ἀβραὰμ ἐγεννήθη τῷ 1077 μετὰ τὸν κατακλυσμὸν, κατὰ δὲ τὸ ἑβραϊκὸν τῷ 292. Ὥστε κατὰ τὸ ἑβραϊκὸν, οἱ δύω, οἱ τῶν προκατακλυσμίων ἔσχατοι, πατριάρχαι, ὁ Νῶε καὶ ὁ Σὴμ, συνέζησαν μετὰ πάντων τῶν μετὰ τὸν κατακλυσμὸν μέχρις Ἀβραὰμ γενομένων· καὶ ἀφ' οὗ ὑπῆρξαν μάρτυρες τῆς καταστροφῆς τοῦ παλαιοῦ κόσμου, κατεκρίθησαν ἐπιδεῖν καὶ τὸ κράτος τῆς ἀσεβείας τοῦ γίγαντος Νεβρὼδ, καὶ τὸ θεομάχον σόφισμα τοῦ Βαβυλωνίου πύργου, καὶ τὴν σύγχυσιν τῶν γλωσσῶν, καὶ τὴν διασπορὰν τῶν ἀνθρώπων (ὡς ἐροῦμεν καὶ ἐφεξῆς). Καὶ οὕτως ὁ μὲν Νῶε ἐπέζησε μὲν μετὰ τὸν θάνατον τοῦ Φαλὲγ, ἐναντίον τῆς θείας Γραφῆς, ἥτις ὁρίζει ῥητῶς ὅτι «ἐν ταῖς ἡμέραις» οὐ τοῦ Νῶε, ἀλλ' «αὐτοῦ τοῦ Φαλὲγ διεμερίσθη ἡ γῆ» (Γενέσ. Ι, 25)· ἐπέζησε δὲ καὶ μετὰ τὸν Ναχὼρ ὁ Νῶε, καὶ μέχρι τοῦ 58, ἔτους τοῦ Ἀβραάμ. Ὁ δὲ Σὴμ ἐπέζησε καὶ μετὰ θάνατον ἁπάντων τῶν ἀπὸ τοῦ κατακλυσμοῦ πατριαρχῶν (πλὴν τοῦ Ἔβερ), παρατείνας τὸν βίον καὶ μέχρι τοῦ 55 ἔτους τοῦ Ἰακὼβ (βλ. Εὐσέβ. Σύγκελ.). Καὶ ὁ μὲν Ἀβραὰμ ὑπῆρχεν ἑνδέκατος τῶν ἀπογόνων τοῦ Σήμ. Αὐτὸς δὲ ὁ Σὴμ θάψας καὶ τοῦτον τὸν ἀπώτατον ἀπόγονον, ἐπεῖδε καὶ τρισκαιδέκατον διάδοχον, τὸν Ἰακώβ! Ὁ δὲ πάλιν Ἔβερ παρῆν καὶ εἰς τοὺς γάμους τοῦ Ἰσαὰκ, τοῦ Ἰσμαὴλ, τοῦ Ἠσαῦ, ἐπιδὼν καὶ αὐτὸν τὸν Ἰακὼβ ἐτῶν 79· καὶ μόλις ἐν τούτῳ τῷ ἐνιαυτῷ ἐτελεύτησεν, ἀφ' οὗ ἔθαψε καὶ οὗτος ὅλας ἐννέα γενεὰς τῶν ἀπογόνων αὐτοῦ, γενόμενος μάρτυς τῆς τῶν Σοδόμων καταστροφῆς, καὶ μηδὲ τῆς κλήσεως Ἀβραὰμ, μηδὲ τῆς δοθείσης αὐτῷ διαθήκης καὶ τῆς περιτομῆς μετασχὼν (Γενέσ. ιζ. 10). Καὶ Θάῤῥα μὲν ὁ πατὴρ Ἀβραὰμ, μετὰ τοῦ ἑτέρου υἱοῦ αὐτοῦ τοῦ Ναχὼρ, «ἐλάτρευον θεοῖς ἑτέροις» (Ἰησ. κδ. 2), ζῶντος καὶ ὁρῶντος τοῦ Νῶε, ὅστις ἐγένετο μάρτυς τῆς εἰς τὸν ἀρχαῖον κόσμον θείας καταδίκης, καὶ κῆρυξ τῆς *δικαιοσύνης* (β. Πέτρ. β, 5), ζῶντος δὲ καὶ Σὴμ τοῦ κληρονόμου τῆς πατρικῆς

εὐλογίας καὶ ἑβδόμου προπάππου τοῦ Ναχώρ· ἀλλ᾽ εἰς τοῦτο καὶ πάλιν ἐπανερχόμεθα. Ἤδη δὲ κἀκεῖνο θεωροῦμεν. Ἦγεν ἤδη 85 ἔτος Ἀβραάμ, ὅτε πρὸς αὐτὸν ἐδόθη ἡ ἐπαγγελία ἐκείνη· «Καὶ ἀπελεύσῃ πρὸς *τοὺς πατέρας σου ἐν εἰρήνῃ, τραφεὶς* (ἢ ταφεὶς) *ἐν γήρᾳ καλῷ*» (Γενέσ. ιε, 15). Αὕτη δὲ λίαν ὁριστικῶς καὶ ἐκπεφασμένως καὶ ἐναργῶς ἀποδείκνυσιν, ὅτι πάντες οἱ *πατέρες* ἐκεῖνοι, τουτέστιν οἱ μετὰ τὸν κατακλυσμὸν προπάτορες αὐτοῦ πατριάρχαι, ἦσαν ἤδη κἀκεῖνοι *ἀπεληλυθότες*, καὶ *τεθαμμένοι*. Καὶ ὅμως, κατὰ τὸ Μασοραῖον κείμενον, ὁ προκατακλύσμιος Σὴμ μετ᾽ ἄλλων μὲν ἑπτὰ τῶν ἀποκατακλυσμίων προπάππων τοῦ Ἀβραὰμ συνεβίω μετ᾽ αὐτοῦ, καὶ συνδιήγαγε χρόνον ἱκανόν· ἰδίᾳ δὲ πάλιν ὁ αὐτὸς προκατακλύσμιος Σὴμ μετ᾽ ἄλλων δύω, τοῦ Σαλὰ καὶ τοῦ Ἕβερ, ἐπέζησε μακρῷ καὶ μετὰ θάνατον τοῦ Ἀβραάμ. Πάλιν, ἡ θεία Γραφὴ λέγει, ὅτι (βραχυνθέντος ἤδη τοῦ βίου) ὁ Ἀβραὰμ ἦν «πρεσβύτερος, προβεβηκὼς ἡμερῶν» (Γενέσ. κδ, 1: κε, 8)· τὸ δ᾽ αὐτὸ λέγει καὶ περὶ τοῦ Ἰσαάκ (λε, 29). Εἰ δ᾽ ἔζων τότε καὶ οἱ ἄλλοι καὶ ὁ Σὴμ μετὰ τὸν Ἀβραάμ, πῶς λοιπὸν τῆς τούτου μόνον ἡλικίας τὸ προβεβηκός, ὡς ἐπίσημον κατ᾽ ἐκείνους τοὺς χρόνους, ἐξῇρεν ἡ Γραφή; ἐκείνων δὲ τῶν οὕτω μακροβιωτέρων τοῦ Ἀβραὰμ γενομένων, καὶ μετ᾽ αὐτὸν ἀποθανόντων (τοῦ Σὴμ καὶ τοῦ Ἕβερ) τὸ καλὸν καὶ λιπαρώτατον γῆρας πῶς οὐκ ἐμνημόνευσε; καὶ οὐδὲ τοῦτο γοῦν προσέθηκεν, ὅτι ἔζων καὶ οὗτοι ἐπὶ τοῦ Ἀβραάμ; Ἐν ᾧ δὲ τὸν θάνατον τοῦ Θάῤῥα καὶ τοῦ Ἀβραὰμ καὶ Ἰακὼβ ἱστορεῖ, διὰ τί μεταξὺ τούτων οὐ διέγραψε καὶ τὴν σύγχρονον τελευτὴν τῶν μέχρι τότε ζησάντων προπατόρων αὐτῶν; Ἐπειδὴ δὲ σιωπᾷ περὶ τούτων, τί ἄλλο προφανῶς παρέχει νοεῖν, ἢ ὅτι πάλαι οὗτοι ἀπέθανον; Ἀλλὰ παρὰ τοῖς Ο, οὐδεμία τούτων τῶν ἀντιφατικῶν καὶ παραλόγων ἐννοιῶν ἀπαντᾶται. Πάντες ὁμαλῶς οἱ πατριάρχαι τελευτῶσι καθ᾽ ἣν τάξιν ἐγεννήθησαν. Ὁ Νῶε, πρὸ τῶν υἱῶν αὐτοῦ. Ὁ Ἀρφαξάδ, ὀλίγῳ πρότερον τοῦ υἱοῦ καὶ τῶν ἐγγόνων, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

ΙΑ) Πρὸς πᾶσαν ἀντιβαίνει πιθανότητα καὶ τὸ ἑξῆς τῆς παρ᾽

Ἰουδαίοις χρονολογίας. Οἱ πρῶτοι μετὰ τὸν κατακλυσμὸν Πατριάρχαι, οἵτινες ἔζησαν ἐπέκεινα τῶν 250 καὶ 400 ἐτῶν, ἦλθον εἰς ἀκμὴν τεκνογονίας τῷ 30 ἔτει τῆς ζωῆς αὐτῶν, καὶ εἶδον πολλὰς ἐφεξῆς γενεάς, ὡς χρονολογεῖ τὸ καθ' ἡμᾶς ἑβραϊκόν. Οἱ δ' ἀπὸ τοῦ Ναχὼρ καὶ ἐφεξῆς, οἵτινες, ἤδη τοῦ βίου τῶν ἀνθρώπων βραχυνομένου, οὐδὲ τὸ ἥμισυ τῆς ζωῆς τῶν προγόνων αὐτῶν ἔζησαν, μόλις ἔρχονται εἰς ἀκμὴν τεκνογονίας ἐν ἡλικίᾳ πολὺ πλέον ἢ διπλασίονι τῆς ἡλικίας ἐκείνων. Οὕτως ὁ Ἀβραὰμ ζήσας ἔτη τὰ πάντα 175, ἐτεκνογόνησε μόλις τῷ 87, ὁ Ἰσαὰκ τῷ 60, ὁ Ἰακὼβ τῷ 85 ἔτει τῆς ἡλικίας αὐτῶν (Σύγκελ. Χρονογρ. σελ. 186 κτξ.). Ὥστε, κατὰ τὸ ἑβραϊκόν, ἥ τε τῆς παιδογονίας ἀκμή, καὶ ἡ διάρκεια τοῦ βίου τῶν πατριαρχῶν τούτων, φαίνεται κατὰ λόγον ἀντιπεπονθότα πρὸς τοὺς προγόνους αὐτῶν. Ἐκεῖνοι μὲν γὰρ ὅσῳ πλείονα χρόνον ἔζων, τόσῳ ταχύτερον ἐτεκνογόνουν. Οὗτοι δὲ τἀνάπαλιν, ὅσον ἐβραχύνετο αὐτῶν ἡ ζωή, τοσοῦτον ἐβράδυνον πρὸς τεκνογονίαν· ἀτόπημα προφανέστατον! ὃ καὶ Αὐγουστῖνος ῥητῶς ἐξελέγχει, λέγων· « τοσούτῳ *βραδυτέρα* (τοῖς πατριάρχαις) ἐπῆν *ἡ ἐφηβία, ὅσῳ μείζων ἦν ἡ τῆς ὅλης ζωῆς πολυετία* (α). Ἔλεγον δὲ καὶ οἱ ἀρχαῖοι, ὅτι τῶν σωμάτων « *τὰ πρότερον ἀκμάζοντα καὶ πρότερον γηράσκουσιν* ». Ἀλλὰ τούτων τῶν παραδόξων τοῦ ἑβραϊκοῦ δυσχερειῶν οὐδεμίαν ἀπαντῶμεν παρὰ τοῖς Ο. Κατὰ τούτους, ὁ τοῦ Σὴμ υἱὸς Ἀρφαξὰδ, μακροβιώτατος τῶν μετὰ τὸν κατακλυσμὸν ἁπάντων γενόμενος, ἐτέκνωσε τὸν Καϊνᾶν τῷ 135 ἔτει τῆς ἡλικίας αὐτοῦ. Ὁ δὲ Καϊνᾶν καὶ οἱ πέντε μετ' αὐτὸν πατριάρχαι ἐπαιδοποίησαν τὸ πρῶτον, ἐτῶν γεγονότες 130. Καὶ πάλιν τοῦ βίου κατὰ μικρὸν βραχυνομένου, Ναχὼρ μὲν ζήσας ἔτη τὰ πάντα 208, γεννᾷ τὸν Θάῤῥα, ἄγων ἔτος 79· Θάῤῥα δὲ τὸν Ἀβραάμ, ἔτος ἔχων 70. Αὐτὸς δὲ ὁ Ἀβραὰμ καθ' ὅλην δεκαπταετίαν βραδύτερον τοῦ πατρὸς αὐτοῦ τεκνογονήσας τὸν Ἰσμαὴλ (ἄγων ἔτος 87),

---

(α) « Tanto serior fuit proportione pubertas, quanto vitae totius major annositas » (S. August. de Civit. Dei L. 15. c. 15).

ἔπειτ' ἀκούων παρὰ τῆς θείας ἐπαγγελίας ὅτι γεννήσει τὸν Ἰσαάκ, ἤδη γεγονὼς ἐτῶν 100, εὐλόγως ἠπόρει « Εἰ τῷ ἑκατονταετεῖ γεννήσεται υἱός »; (Γενέσ. ιζ, 17)· Γίνεται δὲ καὶ ἄλλως καταφανὲς τὸ ἀτόπημα τοῦτο τῆς Ἰουδαϊκῆς χρονολογίας, ὅταν θεωρήσωμεν τὴν προπαιδογόνον ἡλικίαν τῶν ἓξ πατριαρχῶν τῆς προκατακλυσμίου περιόδου, τοῦ Σὴθ, τοῦ Ἐνὼς, τοῦ Καϊνᾶν, τοῦ Μαλελεὴλ, τοῦ Ἰάρεδ, τοῦ Λάμεχ· παραλείπομεν τὸν πρὸ τελευτῆς μεταστάντα Ἐνὼχ, καὶ τὸν μακροβιώτατον Μαθουσάλα, καὶ τὸν μόλις τῷ 500 ἔτει τῆς ζωῆς αὐτοῦ παιδογονήσαντα Νῶε· (« Καὶ τοῦτο γὰρ οὐχ ἁπλῶς ἡ θεία Γραφὴ ἐπεσημήνατο, — διδάσκουσα ἡμᾶς τῆς ἐγκρατείας αὐτοῦ τὸ *ὑπεράγαν μέγεθος*· καὶ ὅτι πάντων τῶν τότε ἀνθρώπων πολλὴν τὴν λαγνείαν καὶ λύσσαν καὶ τὴν μανίαν ἐπιδεικνυμένων, ὁ δίκαιος οὗτος ἔμεινε μόνος τὸν τῆς σωφροσύνης ἆθλον μετὰ τῆς ἄλλης ἀρετῆς κατορθῶν, — καὶ μὴ μόνον τῆς παρανόμου μίξεως ἀποσχόμενος, ἀλλὰ καὶ τῆς νενομισμένης » κτλ. Χρυσόστομ. Ὁμιλ. κδ' εἰς Γένεσ.). Ἐὰν τοίνυν θεωρήσωμεν τὴν προπαιδογόνον ἡλικίαν τῶν ἓξ εἰρημένων πατριαρχῶν ἀναλόγως πρὸς τὴν διάρκειαν τῆς ὅλης ζωῆς αὐτῶν, εὑρίσκομεν, ὅτι αὕτη αὐτῶν ἡ ἡλικία κατὰ μὲν τοὺς Ο, ἀποτελεῖ τὸ πέμπτον μέρος, κατὰ δὲ τὸ ἑβραϊκὸν, τὸ ἔννατον περί που μέρος τῆς ὅλης αὐτῶν ζωῆς. Ἐὰν δὲ τὴν ἀναλογίαν ταύτην, χάριν παραδείγματος, μεταφέρωμεν καὶ εἰς τὸν καθ' ἡμᾶς συνήθη ὅρον τῆς ἀνθρωπίνης βιοτῆς (τὸ 70, ἢ 80 ἔτος· πρβλ. Ψαλμ. πθ, 10), εὑρίσκονται ἄνθρωποι παιδογονοῦντες κατὰ μὲν τὸ *πεμπτημόριον* τῶν Ο, τῷ 16, ἢ τῷ 14 ἔτει τῆς ἡλικίας (ὁπότε ἄρχεται ἡ ἐφηβία), κατὰ δὲ τὸ ἑβραϊκὸν *ἐννατημόριον*, τῷ 8, ἢ τῷ 9, ἔτει τῆς ἡλικίας αὐτῶν! Πάλιν, κατὰ τὴν αὐτὴν ἀναλογίαν θεωροῦντες τάς τε προπαιδογόνους ἡλικίας καὶ τὸν ὅλον βίον τῶν ἐν τῇ δευτέρᾳ περιόδῳ μετὰ τὸν κατακλυσμὸν ἓξ πατριαρχῶν (τῶν ἀπὸ τοῦ Ἀρφαξὰδ μέχρι τοῦ Ναχὼρ, ἐν οἷς ὑφίσταται κυρίως ἡ τῶν Ο, πρὸς τὸ ἑβραϊκὸν διαφορὰ), εὑρίσκομεν, ὅτι ἡ προπαιδογόνος ἡλικία ὑπάρχει, κατὰ μὲν τοὺς Ο, τὸ *τεταρτημόριον*, ἢ *τριτημόριον*, κατὰ δὲ τὸ ἑβραϊκὸν,

τὸ *δωδεκατημόριον*, ἢ *ἑνδεκατημόριον* περίπου τῆς ὅλης ζωῆς ἑκάστου (ἴδε τοὺς πίνακας). Γενομένης δὲ καὶ ὧδε τῆς αὐτῆς ἐφαρμογῆς εἰς τὴν συνήθη τῶν ἀνθρώπων ζωὴν, εὑρίσκομεν ἀνθρώπους παιδοποιήσαντας, κατὰ μὲν τὸ *τριτημόριον* τῶν Ο, τῷ 27, ἢ τῷ 23 ἔτει, κατὰ δὲ τὸ ἑβραϊκὸν *ἑνδεκατημόριον*, μόλις τῷ 7 ἔτει τῆς ἡλικίας αὐτῶν. Ἀλλὰ ποῦ ποτε τῆς γῆς εἶδεν ἡ ἱστορία τοιαῦτα συμβεβηκότα παράλογα; Καὶ ὅμως οἱ τοῦ Μασοραίου κειμένου προστάται διϊσχυρίζονται περὶ τῆς τούτου ἀκριβείας, νῦν μὲν πυῤῥωνικώτερον προβάλλοντες τὸ ἀβέβαιον καὶ ἀόριστον τοῦ ζητήματος, ποτέρα τῶν χρονολογιῶν προτιμητέα, νῦν δὲ μάτην ἀντιλέγοντες, ὅτι ἡ προπαιδογόνος ἡλικία οὐ ποιεῖ τὸ γ, μέρος τῆς ὅλης τῶν ἀποκατακλυσμίων ζωῆς· καὶ φέρουσιν ἀποδείξεις πόθεν; Ἐκ τῶν *μετὰ τὸν Ἀβραὰμ* ὑστεροχρόνων πατριαρχῶν, τοῦ Ἰούδα, καὶ τοῦ Φαρὲς, καὶ τῶν λοιπῶν, παρ' οἷς φαίνονται παραδείγματα πρωϊμωτέρας παιδογονίας· τοιαῦτα διατείνεται ὁ Κλίντων, μάτην σοφιζόμενος (α). Ἀλλ' ἐν τοῖς ὀψιχρόνοις τούτοις θεωρήμασιν ὁ σοφὸς ἀνὴρ ὑπερεπήδησε τὰς περὶ τοῦ προκειμένου ζητήματος δυσχερείας, σιγῇ παρελθών· παρεσιώπησε δὲ καὶ αὐτὸ τὸ Σαμαρειτικὸν, ἐξ οὗ βεβαιοῦται τὸ κατὰ τὴν παιδογονίαν μέχρις Ἀβραὰμ τριτημόριον τῆς ὅλης ζωῆς τῶν πατριαρχῶν· ἀλλὰ πρὸς ταύτας τοῦ Κλίντωνος τὰς ὑπεκφυγὰς ἀπήντησαν ὁ Κουνιγχάμος καὶ ὁ Βαλλάκης πληρέστατα.

ΙΒ) Κατὰ τὰς θείας Γραφὰς, ἡ γῆ διεμερίσθη τοῖς υἱοῖς τοῦ Νῶε ἐπὶ τῶν ἡμερῶν τοῦ Φαλὲγ (Γενέσ. Ι, 25)· καὶ ὁ μὲν Ἰώσηπός φησιν, ὅτι συνέβη τοῦτο κατὰ τὸν χρόνον τῆς γεννήσεως τοῦ Φαλέγ. «Ἐκλήθη δὲ Φάλεκος, ἐπειδὴ κατὰ τὸν ἀποδασμὸν τῶν οἰκήσεων τίκτεται» (Ἀρχ. Α. ς. §. 4), κατ' ἄλλους δὲ τῷ ε, ἔτει

(α) Clinton, Fasti Hellenic. T. 1. p. 294. Ἐν τούτοις τοῖς παραδείγμασιν ὁ Κλίντων ἀριθμεῖ καὶ τὸν Λευΐ, ὡς γεννήσαντα καὶ κατ' αὐτὸ τὸ 120 ἔτος τῆς ζωῆς αὐτοῦ τὴν μητέρα τοῦ Μωσέως Ἰωχαβέδ! Ἀλλ' ὅτι αὕτη γέγραπται θυγάτηρ οὐχ ὡς παῖς κυρίως, ἀλλ' ἁπλῶς ὡς ἀπόγονος Λευΐ, προαπεδέδεικται (σελ. 565 καὶ 530).

τῆς τοῦ Φαλὲγ ἡλικίας (Σύγκελ. σελ. 99)· ἡ δὲ τούτου γέννησις τίθεται, κατὰ τὸ ἑβραϊκὸν, τῷ 100 ἔτει ἀπὸ τοῦ κατακλυσμοῦ. Πρὶν ἢ δὲ διαμερισθῇ ἡ γῆ, καὶ διασπαρῶσιν οἱ ἀπόγονοι τοῦ Νῶε, ἐπεχείρησαν ὑπ' ἀρχηγῷ τῷ γίγαντι Νεβρὼδ οἰκοδομῆσαι πόλιν καὶ πύργον, « *οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ* ». Καὶ ὁ πύργος οὗτος ἐκτίζετο δι' ὅλων ἐτῶν 40 (Σύγκελ. αὐτόθ.)· καὶ τέλος, «κατέβη ὁ κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον ὃν ᾠκοδόμησαν (Γενέσ. ια, 5), καὶ συνέχεε τὰς γλώσσας αὐτῶν, καὶ διέσπειρεν αὐτοὺς ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς ». Τοῦτο δὲ γέγονεν ἐπὶ τῆς γεννήσεως τοῦ Φαλὲγ, ὡς προείπομεν, ἔτει 100ῷ ἀπὸ τοῦ κατακλυσμοῦ. Ὥστε τὸν πύργον ἤρξαντο κτίζειν τῷ 60 ἔτει μετὰ τὸν κατακλυσμόν. Ὁ δὲ Νῶε, κατὰ τὸ ἑβραϊκὸν, ἐπέζησεν ἔτη 200 καὶ μετὰ τὴν διασποράν· καὶ ὁ Σὴμ ἔτη 400· καὶ ὁ Ἰάφεθ ἀναλόγως. Ἀλλὰ α) πῶς ἄν τις πιστεύσειεν, ὅτι, ζώντων καὶ βλεπόντων τῶν περὶ τὸν Νῶε τοῦ δευτέρου κόσμου γεναρχῶν, τὰ τούτων τέκνα καὶ οἱ ἔγγονοι κατήντησαν εἰς τοσαύτην ἀσεβείας καὶ ἀπονοίας ὑπερβολὴν, ὥστε κτίζειν πύργον τραχηλιῶντα κατὰ τῆς παντοδυναμίας τοῦ Θεοῦ; οὐδ' ἐκώλυεν αὐτοὺς *ὁ κῆρυξ τῆς δικαιοσύνης* Νῶε; οὐδὲ τὴν κιβωτὸν ἐδείκνυεν αὐτοῖς ἔτι διάβροχον παρεστῶσαν, καὶ μαρτυροῦσαν, ὅτι ἐν *ξύλῳ βραχεῖ καὶ ἀσθενεῖ*, καὶ οὐκ ἐν *πύργοις ἠλιβάτοις* διεσῴθη *ὄγδοος αὐτὸς* (Β. Πέτρ. β, 5. δηλαδὴ μετ' ἄλλων ἑπτὰ ψυχῶν), μικρὸν τοῦ ἀνθρωπίνου γένους ζώπυρον; οὐδὲ διηγεῖτο *τοὺς ἀνοιγέντας καταῤῥάκτας τοῦ οὐρανοῦ*, ὑφ' ὧν καὶ αὐτὸς ὁ μελετώμενος οὐρανομήκης αὐτῶν πύργος, εἴπερ ὑπῆρχε τότε, πάντως ἂν ἔμελλε καταςραφῆναι, γενόμενος ὑποβρύχιος; Οὐδὲ, τέλος, ἐκοινοποίει πρὸς αὐτοὺς ὁ Νῶε τὴν αὐτῷ δοθεῖσαν θείαν ἐπαγγελίαν, ὅτι «*οὐκέτι ἔσται κατακλυσμὸς ὕδατος καταφθεῖραι πᾶσαν τὴν γῆν*»; εἶχε δ' ἂν αὐτοῖς δακτυλοδεικτεῖν καὶ τὸ οὐράνιον σημεῖον ταύτης τῆς ὑποσχέσεως, « *τὸ τόξον τὸ ἐν τῇ νεφέλῃ* ». (Γενέσ. θ, 11, 13). Ἢ μήπως ὁ Νῶε καὶ ὁ Σὴμ καὶ ὁ Ἰάφεθ οὐδὲν ἠπίσταντο περὶ τῆς πυργοποιΐας; ἀπῆσαν δὲ ποῤῥωτάτω τῆς Βαβυλωνίας γῆς, ἄμι-

κτοι παντάπασι καὶ ἄσχετοι πρὸς τὰ ἴδια τέκνα καὶ τοὺς ἐγγόνους, ὡς ἂν εἰς νήσους ἁλιστεφεῖς, καὶ οἷον εἰς ἀντιπόδων ἐξωρισμένοι; Ἀλλ' ἡ θεία Γραφὴ λέγει, ὅτι οἱ πυργοποιοὶ οὗτοι «ἐκίνησαν ἀπὸ ἀνατολῶν», καὶ ἐλθόντες εἰς πεδίον Σενναὰρ (τῆς Βαβυλωνίας) ἐπεχείρησαν τῷ ἔργῳ, «πρὸ τοῦ διασπαρῆναι ἐπὶ προσώπου πάσης τῆς γῆς» (Γενέσ. ια, 4). Λέγει δὲ καὶ Ἰώσηπος (Ἀρχ. Α. δ. §. 1), ὅτι «οἱ Νωέου παῖδες, Σήμας καὶ Ἰαφέθας καὶ Χάμας, 100 ἔτεσιν ἔμπροσθεν τῆς ἐπομβρίας γεγονότες, πρῶτοι κατελθόντες ἀπὸ τῶν ὀρέων εἰς τὰ πεδία, τὴν ἐν τούτοις οἴκησιν ἐποιήσαντο, καὶ τοὺς ἄλλους σφόδρα δεδιότας διὰ τὸν κατακλυσμὸν, ἔπεισαν μιμητὰς αὐτῶν γενέσθαι· καὶ τὸ πεδίον, εἰς ὃ πρῶτον αὐτοὶ κατῴκησαν, καλεῖται Σενναὰρ» (πρβλ. Κεδρην. σελ. 48). Ὥστε παρῆσαν καὶ ἐπὶ τῆς πυργοποιΐας αὐτόπται, ἴσως, καὶ συνεργάται καὶ ὁ Νῶε μετὰ τοῦ Σὴθ καὶ τοῦ Ἰάφεθ, ὡς θέλει τὸ ἑβραϊκόν! Μῶν ὀλίγον τοῦτο ἐξελέγχει τὴν ἀτοπίαν τῆς ἑβρ. χρονολογίας; ϐ) Πῶς ἠδύνατο δι' ἐτῶν μόλις 60, ἢ 65 (ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῆς πυργοποιΐας) εἷς μόνος ἔγγονος τοῦ Χὰμ, ὁ Νεβρὼδ, οὐ μόνον εἰς τὴν τότε ἐφηβίαν ἐλθεῖν, ἀλλὰ καὶ τοσούτων ἄλλων ἀνθρώπων ἀνδρικὸν καὶ μυριάριθμον πλῆθος ἑλκύσαι πρὸς ἑαυτὸν, ὥστε καταφρονήσαντας τῶν σωτηρίων τοῦ Νῶε συμβουλῶν, ὁρμῆσαι πρὸς ἔργον οὕτως ἀντίθεον καὶ ἀνόητον; Καὶ ποῦ γ' ἂν εὕρισκε τότε τοσαύτας μυριάδας ἀνθρώπων, ὅσων ἔχρῃζεν οὐρανομήκους πύργου κατασκευή; Ἢ μήπως ἤρκουν εἰς τοῦτον ὀλιγώτεραι χεῖρες παρὰ τὴν μυριάριθμον ἐκείνην πληθὺν τῶν οἰκοδομησάντων ἐν Αἰγύπτῳ τὰς ὀλίγων ὀργυιῶν ὕψος ἐχούσας πυραμίδας; (Ἡρόδ. β, 124). Ταύτας τὰς δυσχερείας θεραπεύοντες οἱ ῥαββῖνοι, προχείρως ποιοῦσι τοὺς τρεῖς υἱοὺς τοῦ Νῶε παντοίων ἐντόμων, ἢ ἑρπετῶν πολυγονωτέρους· «τὰ τέκνα τούτων (λέγουσιν) ἔτικτον *καθ' ἑκάστην γένναν ἀνὰ ἓξ*, καὶ ἐξεῖρπον πληθυνόμενοι, ὡς εἶδος ἑρπετῶν» (α). Ἀλλὰ πόσον ἀντιβαίνει ἡ συντετριμμένη τοῦ ἑβραϊκοῦ κειμένου χρονολογία

(α) Pirke Eliezer c. 24. πρβλ. Pezron, Défense de l' Antiq. p. 547.

πρὸς τὸν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ Φαλὲγ, καὶ μέχρις Ἀβραὰμ πληθυσμὸν τῶν ἀνθρώπων, ὃν βλέπομεν ἐν τῇ θείᾳ Γραφῇ, λέγομεν ἰδίως ἐφεξῆς (ἄρθρ. ιδ).

ΙΓ) Ἐξελέγχει τὴν συγκεκομμένην χρονολογίαν καὶ ἡ περὶ ἧς ἀνωτέρω παροδικῶς ἐμνημονεύσαμεν εἰδωλολατρεία. Τίς ἂν πιστεύσειεν, ὅτι κατὰ τὸν αὐτὸν χρόνον συνυπῆρχον ἐν τῇ αὐτῇ τοῦ Σὴμ οἰκογενείᾳ ἡ λατρεία τοῦ ἀληθινοῦ Θεοῦ, καὶ ἡ θρησκεία τῶν εἰδώλων; κατὰ γὰρ τὰς ψήφους τοῦ ἑβραϊκοῦ, ὁ Θάῤῥα μετὰ τοῦ υἱοῦ Ναχὼρ εἰδωλολάτρουν, ζῶντος ἔτι καὶ βλέποντος τοῦ ἕκτου προπάτορος αὐτῶν, τοῦ εὐλογημένου Σὴμ, ἐξ οὗ εἷλκον τὴν γενεάν. Ὁ Κλίντων ἀπαντῶν πρὸς ταύτην τὴν δυσχέρειαν, φέρει παραδείγματα ἐκ τῆς Γραφῆς, α) τὸν Ἰακὼβ, « ὅστις (λέγει) ὀλίγην εἶχεν ἰσχὺν εἰς τὸ συστέλλειν τὴν βίαν τῶν ἰδίων αὐτοῦ υἱῶν ». — Καὶ μήπως οἱ υἱοὶ τοῦ Ἰακὼβ *ἐλάτρευσαν εἰδώλοις* ἐνώπιον τοῦ πατρὸς αὐτῶν; Παρεπίκραναν ναὶ τὸν πατέρα, ἀλλ᾽ οὐκ ἠρνήσαντο καὶ *τὸν Θεὸν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ*. « Ἀλλ᾽ (ἐπιφέρει ὁ Κλίντων) καὶ οἱ Ἰσραηλῖται παρόντος τοῦ Μωσέως ἐμοσχολάτρησαν ». — Καὶ μήπως αὕτη αὐτῶν ἡ ἀσέβεια παρώφθη ἀτιμώρητος; Ἔπειτα, τίς ὁμοίωσις ἐκείνης τῆς *πρὸς ὥραν* ἀπονοίας τῶν εἰσέτι νεαροὺς τῆς Αἰγυπτίων ἀσεβείας τοὺς τύπους φερόντων Ἰσραηλιτῶν, πρὸς τὴν διαρκῆ, ζῶντος ἔτι τοῦ Νῶε, ἀπὸ τοῦ θεοῦ ἀποστασίαν τῶν υἱῶν καὶ ἀπογόνων τοῦ Σήμ; — Καὶ τίς οἶδε (προστίθησιν ὁ Κλίντων), ὅτι πάντες οἱ μεταξὺ τοῦ Σημίδου Ἀρφαξὰδ καὶ τοῦ Θάῤῥα πατριάρχαι ὑπῆρχον ἅπαντες θεοσεβεῖς; — Τίς οἶδεν, ὦ βέλτιστε; Αὐτὴ ἡ θεία Γραφὴ, ἥτις οὐ τὸν Ἀρφαξὰδ, οὐδὲ τὸν Σαλὰ, ἢ τὸν Ἔβερ καὶ Φαλὲγ καὶ Ῥαγαῦ καὶ Σεροὺχ, ἀλλὰ διαῤῥήδην καὶ ὀνομαστὶ τὸν Θάῤῥα λέγει· « Πέραν, φησὶ, τοῦ ποταμοῦ παρῴκησαν οἱ πατέρες ὑμῶν τὸ ἀπαρχῆς » (τίνες οὗτοι;) « *Θάῤῥα, ὁ πατὴρ Ἀβραὰμ, καὶ ὁ πατὴρ Ναχὼρ, καὶ ἐλάτρευσαν θεοῖς ἑτέροις* » (Ἰησ. κδ, 2). Ἄλλον δὲ τῶν ἐκ τῆς τοῦ *Σὴμ καὶ Ἔβερ* γενεᾶς προγόνων τῶν Ἑβραίων, πλὴν τοῦ Θάῤῥα, ῥητῶς εἰδωλολάτρην οὐκ ὠνόμασεν ἡ γραφή· εἰ δ᾽ ὑπῆρχεν

ἄλλος πρότερος, ἐκεῖνον ἂν ἔλεγε πρῶτον (α). Πρακτικὴ ἀσέβεια εἰσῆλθεν εἰς τὴν τρίτην γενεὰν τοῦ Χὰμ ἐπὶ τοῦ θεομάχου Νεβρὼδ, ἀκμάσαντος ἔτει 630 μετὰ τὸν κατακλυσμὸν («οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς - κυνηγὸς ἐναντίον τοῦ Θεοῦ» Γενέσ. Ι. 8)· καί τοι γε οὐδ' οὗτος ἱστορεῖται ῥητῶς λατρεύσας εἰδώλοις, ἀλλὰ φαίνεταί τις αὐτολάτρις θεομάχος, καὶ οἷον αὐτείδωλον, ὡς ὁ παρ' Ἕλλησι Σαλμωνεὺς, καὶ οἱ παῖδες Ἀλωέως· ἀλλὰ τὴν οἰκογένειαν τοῦ Σὴμ οὐκ ἐμόλυνεν ἡ ἀσέβεια. Τὸ παράδειγμα τῆς τοῦ Νῶε καὶ αὐτοῦ τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ θεοσεβείας, ἐν ὅσῳ οὗτοι ἔζων, καὶ μετέπειτα μέχρις ἤκμαζεν αὐτῶν ἡ μνήμη, μεγάλην εἶχεν ἰσχὺν εἰς τὸ συγκρατεῖν ἐν τῇ πατρῴᾳ θεοσεβείᾳ τοὺς υἱοὺς αὐτῶν καὶ διαδόχους. Ἀφ' οὗ δὲ καὶ τῆς τοῦ κατακλυσμοῦ καταδίκης, καὶ τῆς τῶν ἀρχαίων πατριαρχῶν εὐσεβείας ἡ ἀνάμνησις κατὰ μικρὸν μαραινομένη ἀπέσβη, τότε κατεκράτησε καὶ ἡ παντελὴς λήθη τοῦ Θεοῦ, καὶ τῆς ὑλομανούσης εἰδωλολατρείας ἡ ἀπόνοια. Ὥστε καὶ ἐκ τούτου, καὶ ἐξ ὅλης τῆς ἱστορίας τῆς β, περιόδου, δείκνυται σαφῶς, ὅτι παρῆλθον οὐκ ὀλίγα ἔτη ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῆς κλήσεως Ἀβραάμ. Καὶ χίλια μὲν ἀπὸ τῆς κατακλύσεως ἔτη μέχρι τοῦ Θάῤῥα διελθόντα (κατὰ τοὺς Ο), ἤρκουν ἐμποιῆσαι λήθην τῆς πατρῴας θεοσεβείας εἰς τοὺς περὶ τὸν Θάῤῥα· διὸ καὶ παρευθὺς ἡ πανάγαθος πρόνοια διασῴζουσα τὴν γενεὰν τῶν δικαίων, ἔτι ζῶντος τοῦ Θάῤῥα, « ἔλαβε τὸν Ἀβραὰμ ἐκ τοῦ πέραν τοῦ ποταμοῦ, καὶ ὡδήγησεν αὐτὸν εἰς τὴν γῆν Χαναάν ». (Ἰησ. κδ, 3). ταῦτα πᾶς τις εὐκόλως κατανοεῖ. Ἀλλὰ τίς ποτε πιστεύει, ὅτι 222 ἐτῶν (κατὰ τὸ ἑβραϊκὸν) ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ Θάῤῥα διελθόντων, οἱ ἔγγονοι τοῦ Νῶε καὶ τοῦ Σὴμ εἰδωλολάτρουν ἐνώπιον τῶν θεοφιλῶν πατέρων αὐτῶν;

ΙΔ) Κατὰ τὸ ἑβραϊκὸν κείμενον, μόλις ἔτη ἑκατὸν διῆλθον ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ Φαλὲγ, ὁπότε διεσπάρησαν τὰ

(α) Ὁ Εὐσέβιος, μετ' ἄλλων, τίθησι τὸν Σεροὺχ ἐκ τῆς φυλῆς Ἰάφεθ, ὡς ἀρχηγὸν τῆς εἰδωλολατρείας· ἀλλὰ περὶ τούτου οὐδὲν λέγει ῥητῶς ἡ Γραφή.

ἔθνη ἐπὶ πρόσωπον τῆς γῆς. Ἀλλ' ἐν τοσούτῳ χρόνου διαστήματι καὶ ἐπὶ τῆς διαρκείας μόνων τριῶν γενεῶν (τοῦ Ἀρφαξάδ, τοῦ Σάλα, τοῦ Ἔβερ), πῶς ἠδύναντο γεννηθῆναι τοσοῦτοι λαοὶ καὶ ἔθνη πολυσπερῆ, ὅσα διεσπάρησαν εἰς πλείστας χώρας τῆς γῆς, καὶ ταύτην ἀνέδειξαν Οἰκουμένην; Οἱ τοῦ μασοραίου κειμένου πρόμαχοι κριτικοὶ γίνονται παντοῖοι, πολλαπλασιάζοντες τοῦτον τὸν πληθυσμὸν εἰς ἄπιστον ἀριθμόν. Καὶ ὅταν μὲν θεωρῶσι κριτικώτερον τὴν ἐν Αἰγύπτῳ τῶν Ἰσραηλιτῶν πολυανθρωπίαν, διαπιστοῦσι, πῶς ἐκ τῶν μετὰ τοῦ Ἰακὼβ εἰσελθόντων, 75 μόνον ψυχῶν, ἐν διαστήματι 215 ἐτῶν, ἐξῆλθον 600 χιλιάδες ἀνδρῶν (βλ. ὄπισθ. σελ. 513). Τῶν δ' ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ Φαλὲγ ἐν μιᾷ ἑκατονταετηρίδι καὶ ἐκ τριῶν γεναρχῶν γενομένων ἀνθρώπων τὸν ἀριθμὸν ἀπόνως καὶ εὐχερῶς, εἰ δὲ βούλει, καὶ συλλογιστικαῖς ἀνάγκαις ἀποδεικνύουσι σμῆνος ἄσπετον, σφόδρα πολυδημῶδες, κἀκείνων τῶν ἐξελθόντων ἐκ τῆς Αἰγύπτου μυριοντάκις πολυπληθέστερον, χάριν τῆς Μασοραίας χρονογραφίας· καὶ δή, καὶ κατὰ τὰς νεωτέρας ἀνθρωπολογικὰς καὶ ἐθνογραφικὰς θεωρίας, εὑρίσκουσιν (ὡς νομίζουσι) τουτωνὶ τῶν μέχρι τοῦ Φαλὲγ ἀποκατακλυσμίων τὸν πλῆθυσμὸν ἀναβαίνοντα εἰς ἱκανὰς ἑκατοντάδας μυριάδων! (α). Καὶ ὅμως ἄλλοι δικαιότεροι ἀνθρωπολογισταὶ ἀπέδειξαν τὴν ἐφαρμογὴν τῶν τοιούτων θεωριῶν ἐσφαλμένην καὶ διάκενον (β). Τοῦ δὲ σοφοῦ Πεταυΐου τὸ *διάγραμμα*, δι' οὗ παρήγαγε πολλὰς μυριάδας ἀνθρώπων, ἀμανιτῶν δίκην, ἀναφυείσας ἐντὸς τῶν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρις Ἀβραὰμ 292 ἐτῶν (κατὰ τὸ ἑβρ.), τοῦτο, λέγω, τὸ κομψὸν διάγραμμα (ἐφ' ᾧ καὶ Βάλτων ἐγέλα), καὶ μνημονεύειν ὅλως περιττὸν (γ).

(α) Βλ. Clinton, Fasti Hellenici. T. 1. p. 282, 295.

(β) Wallace l. c. p. 59. πρβλ. καὶ Vossij Castigat. ad Horn. p. 328 καὶ Auctar. p. 366—368 ἐν τῇ de LXX συγγραφῇ.

(γ) Ὁ Πεταυΐος πολλαπλασιάζει τὸν πληθυσμόν, πλάττων ἀναπόδεικτα. α) Ὑποτίθησι πάντας τοὺς ἀπὸ τοῦ κατακλυσμοῦ γεννηθέντας ἀνθρώπους, ὡς ζήσαντας ἕκαστον ἀνὰ ἔτη 300 (μηδενὸς ἐν τῷ μεταξύ, μηδ' ἐν πολέμοις ἀποθανόντος! βλέπε Γενέσ. ιδ.). β) Ὑποτίθησιν, ὅτι πάντες οὗτοι οἱ γεννηθέντες ἐτεκνογόνησαν (μηδενὸς ἐν αὐτοῖς στείρου καὶ ἀκάρπου διαμείναντος!). γ) Ὅτι πάντες ἐπαιδοποίησαν, ἀρξάμενοι

Πολὺ γ᾽ ἂν ἀσφαλέστερον, καὶ πρὸς τοὺς κανόνας τῆς ἀριθμητικῆς συμφωνότερον ἠρίθμουν οἱ σοφοὶ οὗτοι βιολόγοι, εἴπερ ἐλογίζοντο μετὰ τῶν Ο, 530 ἔτη ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ Φαλὲγ, συναριθμοῦντες μεταξὺ τῶν τούτου προγόνων καὶ τὸν Καϊνᾶν. Τότε γὰρ (καὶ μόνον τότε) γίνεται καταληπτὸν, πῶς ἐπὶ τῆς διασπορᾶς ὑπῆρχον τοσαῦτα πλήθη λαῶν, « ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, καὶ διέσπειρεν υἱοὺς Ἀδάμ » (Δευτερ. λϐ, 8). Ἄλλως δὲ, τὸ σύντομον τῆς ἰουδαϊκῆς χρονολογίας μένει παντάπασιν ἀσυμϐίϐαστον πρὸς τὴν ἱερὰν ἱστορίαν καὶ ἀντιφατικόν. Οὐ μόνον ἔθνη ἰσχυρὰ, ἀλλὰ καὶ βασιλεῖαι μεγάλαι ἤκμαζον ἐπὶ Ἀϐραὰμ, ὡς μανθάνομεν ἐκ τῆς Γραφῆς. Ἡ ἱστορία τοῦ πολέμου τῶν βασιλέων, ὃν ἐπολέμησαν *οἱ τέσσαρες πρὸς τοὺς πέντε* (Γενέσ. ιδ, 1—10), δείκνυσι σαφῶς ἐθνῶν καὶ δυνάμεων καὶ πλούτου πληθυσμὸν πολλῷ πλείονα, παρ᾽ ὅσον συγχωρεῖ τὸ κατὰ τοὺς Ἰουδαίους ἀπὸ κατακλυσμοῦ μέχρις Ἀϐραὰμ βραχὺ τοῦ χρόνου διάστημα. Ἦσαν δὲ οἱ πέντε βασιλεῖς Ἀσσύριοι (Ἰώσηπ. Ἀρχ. Α. θ. §. ι). Ὁ δὲ σοφὸς Ἰσαὰκ ὁ Νεύτων οὐδὲν εἶπε γενναῖον, εἰπὼν, ὅτι μικρὸς πάντως ὑπῆρχεν ὁ τῶν βασιλέων τούτων στρατὸς, διότι ῥαδίως ἐνικήθησαν ὑπὸ τοῦ Ἀϐραὰμ καὶ τῶν μετ᾽ αὐτοῦ 318 οἰκογενῶν. Τοῦτον γὰρ τὸν μικρὸν ἀριθμὸν τῶν μετὰ Ἀϐραὰμ συστρατευσαμένων διὰ τοῦτο προσέθηκεν ἡ μηδὲν τιθεῖσα μάτην θεία Γραφὴ, ἵνα δείξῃ τὴν ἐπισκιάσασαν τὸν πατριάρχην συμμαχίαν τοῦ Θεοῦ. Καὶ τοῦτο Μελχισεδὲκ ἐμαρτύρησεν, ἐν οἷς εὐλογῶν τὸν Ἀϐραὰμ ἐπεφώνει « *Εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι* ». Πάλιν, ἐπὶ τοῦ Νεϐρὼδ « ἀρχὴ τῆς βασιλείας αὐτοῦ ἐγένετο Βα-

---

ἕκαστος ἀπὸ τοῦ 16, ἔτους τῆς ἡλικίας αὐτῶν. Καὶ οὕτως ὁ περικλεὴς χρονογράφος ἐποίησεν ἐκ τριῶν οἰκιῶν ἐξερπύσαι μυρίους ἑσμοὺς λαῶν, μιμούμενος τὴν μέθοδον τῶν ῥαϐϐίνων! (βλ. ὄπισθ σελ. 758). Ἀλλὰ πῶς τοιαῦτα πλάττων ὁ σοφὸς Ἰησουΐτης, οὐ συνεῖδεν, ὅτι ἀντιλέγει καὶ πρὸς αὐτὴν, ἣν ὑπερασπίζεται, τὴν Μασοραίαν γραφήν; Οὐδὲ γὰρ αὕτη τοὺς ἀπὸ τοῦ Ἕϐερ καὶ ἐφεξῆς πατριάρχας ἱστορεῖ 300 ζήσαντας ἔτη, ἀλλὰ πολὺ βραχύτερα. τὸν δὲ Ναχὼρ καὶ τὸν Θάῤῥα, μόλις τὰ ἡμίση. Ἀλλ᾽ οὐδὲ τὴν ἡλικίαν τῆς ἁπάντων τῶν ἀποκατακλυσμίων παιδογονίας ἠδυνήθη κατωτέρω τῶν 30 ἐτῶν καταγαγεῖν! (βλ. καὶ Walton. l. c. p. 463).

βυλών » (Γενέσ. ι, 10)· καὶ περὶ ταύτης μὲν λέγομεν παρακατιόντες. Ἐφεξῆς δὲ τὴν Χαλδαίων βασιλείαν, μυρίανδρον καὶ ἰσχυρὰν διὰ μακροῦ γενομένην, μετὰ δὲ καὶ ὑπὸ Ἀράβων χειρὶ μεγάλῃ κρατηθεῖσαν, τέλος, ἐπὶ Ἀβραὰμ Ἀσσύριοι κατεῖχον. Καὶ αὐτὴ ἡ Χανανανῖτις, εἰς ἣν μετῴκησεν Ἀβραὰμ, εἶχε τὰ ἑπτὰ μεγάλα ἔθνη (Γενέσ. ιε, 19, 20). Ἡ δὲ Αἴγυπτος κατοικηθεῖσα τὸ πρῶτον ὑπὸ τοῦ Μεσραῒμ (μετὰ τὴν διασπορὰν τῶν ἐθνῶν), ἐπὶ τοῦ Ἀβραὰμ καὶ τῶν υἱῶν αὐτοῦ εἶχεν ἤδη τοὺς Φαραῶνας (Γενέσ. ιβ). Κατὰ τὸν Ἰώσηπον (Ἀρχ. Η. ϛ), ὁ πρῶτος τοῦ γένους τῶν Φαραώνων Μιναῖος (ὁ καὶ Μήνας, ἢ Μηνᾶς), « πολλοῖς ἔτεσιν ἔμπροσθεν τοῦ Ἀβραὰμ γενόμενος », ἔκτισε τὴν Μέμφιν ἐν Αἰγύπτῳ περὶ τὸ 1300 ἔτος πρὸ τῆς βασιλείας τοῦ Σολομῶντος. Ὁ δ' αὐτὸς ἀρχαιολόγος ἀριθμεῖ ἀπὸ γεννήσεως Ἀβραὰμ μέχρι τῆς ἐκ τῆς Αἰγύπτου μετὰ τοῦ Μωσέως Ἐξόδου τῶν Ἰσραηλιτῶν ἔτη 505 (ὅσα καὶ οἱ Ο)· ἀπὸ δὲ τῆς Ἐξόδου μέχρι τῆς Σολομῶντος βασιλείας ἔτη 589. Οὗτοι δὲ οἱ δύω ἀριθμοὶ συναφθέντες, ἀποτελοῦσι κεφάλαιον 1094. Ἐὰν οὖν ἀπὸ τῶν ἀνωτέρω τῶν ἐπὶ Μιναίου 1300 ἐτῶν ἀφαιρεθῶσι τὰ 1094, τὸ κατάλοιπον δείκνυσιν, ὅτι ὁ πρῶτος τῶν Φαραώνων ἔκτισε τὴν Μέμφιν ἔτει 206 περίπου πρὸ τῆς γεννήσεως τοῦ Ἀβραάμ. Ἐὰν δὲ καὶ ταῦτα τὰ 206 ἔτη, ἀφαιρεθῶσιν ἐκ τῶν 292 (ὅσα τίθησιν ἡ ἑβραϊκὴ χρονολογία ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῆς γεννήσεως Ἀβραὰμ), καταλείπονται ἔτη 86. Καὶ ἕπεται λοιπὸν ἐξ ἀνάγκης, ὅτι καὶ ἡ Μέμφις ἐκτίσθη, καὶ οἱ Φαραῶνες κατέστησαν ἐν Αἰγύπτῳ ἔτει 86ῳ, μετὰ τὸν κατακλυσμὸν, ἤτοι τῷ 15 ἔτει μετὰ τὴν ἐπὶ Φαλὲγ διασπορὰν τῶν ἐθνῶν. Ἀλλὰ τίς πιστεύει, ὅτι ἐν οὕτως ὀλίγῳ χρόνῳ ηὔξησεν ἡ Αἴγυπτος εἰς τοσοῦτον μέγα δυνάμεως καὶ πλούτου καὶ πληθυσμοῦ, οἷα φαίνεται ἐπὶ Ἀβραάμ; Ἀποβαίνει δὲ τὸ παράλογον ἔτι μᾶλλον καταφανὲς, ὅταν θεωρήσωμεν, ὅτι καὶ τῆς Μέμφεως ἀρχαιοτέρα πόλις ὑπῆρχεν ἄλλη κατὰ τὴν Αἴγυπτον, ἡ Τάνις· καὶ πρὸ ταύτης πάλιν ἑπτὰ ἔτεσι πρότερον ἑτέρα πόλις ᾠκοδόμητο ἐν τῇ Χαναναίᾳ, ἡ Χεβρὼν (Ἀριθμ. ιγ, 23), ὡς αὐτὸς αὖθις ὁ Ἰώσηπος ἱστορεῖ (Ἀρχ. Α. η. §. 3, καὶ Ἰουδ. πολέμ.

Δ. θ. §. 7). Ὥστε, κατὰ τὴν ἑβραίαν χρονολογίαν, ἥ,τε Τάνις ἐν Αἰγύπτῳ, καὶ ἡ Χεβρὼν ἐν τῇ Χαναναίᾳ φαίνονται κτισθεῖσαι πρὸ τῆς ἐπὶ Φαλὲγ διασπορᾶς τῶν ἐθνῶν, ὅπερ ἄτοπον. Ἀλλὰ κατὰ τὴν χρονολογίαν τῶν Ο, τὰ πάντα χωροῦσιν ὁμαλῶς καὶ κατὰ λόγον. Κατ' αὐτοὺς, ἀπὸ τοῦ κατακλυσμοῦ μέχρις Ἀβραὰμ παρῆλθον ἔτη 1072. Ἂν οὖν ἐκ τούτων ἀφαιρεθῶσι τὰ 206 ἔτη, καθ' ἃ προέλαβε τὴν γέννησιν τοῦ Ἀβραὰμ ἡ κτίσις τῆς Μέμφεως, μένουσιν 866. Καὶ πάλιν ἂν ἀφέλωμεν ἐκ τούτων τὰ ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῆς ἐπὶ Φαλὲγ διασπορᾶς τῶν ἐθνῶν διελθόντα 534 ἔτη, μένει κατάλοιπον ἔτη 332· ἱκανὸν τοῦτο χρόνου διάστημα, καθ' ὃ καὶ ἡ Χεβρὼν ἐν γῇ Χαναὰν ἠδύνατο κτισθῆναι, καὶ ἡ Τάνις (ἀρχαιοτάτη καὶ πρώτη καθέδρα τῶν Φαραώνων) ἐν Αἰγύπτῳ, καὶ ἡ Μέμφις ὕστερον. Πάλιν, ἐπὶ τῆς Αἰγύπτου φέρονται παρὰ τοῖς ἱστορικοῖς διάφοροι δυναστεῖαι· καὶ τῶν μὲν ἀρχαίων Αἰγυπτίων αἱ παραδόσεις ὑπάρχουσιν ἀνάμικτοι μετὰ πολλῶν μυθολογιῶν· ἀλλ' ὅμως ἐκ τῆς ἐπιμελοῦς ἐρεύνης, καὶ τῆς κριτικῆς ἀναλύσεως καὶ συγκρίσεως τῶν ἀρχαίων ἱστορικῶν (τοῦ Μανέθωνος, τοῦ Ἡροδότου, τοῦ Διοδώρου, τοῦ Ἀρταπάνου, τοῦ Ἐρατοσθένους, τοῦ Ἰωσήπου, τοῦ Πλινίου, καὶ τῶν περὶ τὸν Σύγκελλον χρονογράφων) ἀποδείκνυται, ὅτι αἱ διάφοροι τῆς Αἰγύπτου δυναστεῖαι (οἷον ἡ τῶν Μεμφιτῶν, τῶν Ἡρακλεοπολιτῶν, τῶν Θηβαίων, τῶν Διοσπολιτῶν, κτλ.) πάντως ὑπῆρξαν οὐ *συνακόλουθοι*, ἀλλὰ *σύστοιχοι* (α). Ἡ δὲ πρώτη καθίδρυσις τοῦ βασιλείου τῆς Αἰγύπτου τίθεται τῷ 2579 ἀπὸ κτίσεως κόσμου, κατὰ δὲ τὸν Σύγκελλον τῷ 2776, ὁπότε συγχρονίζει καὶ ὁ τὴν Αἴγυπον τὸ πρῶτον οἰκήσας Μεσραῒμ (Γενέσ. Ι, 6). Αὕτη δὲ ἡ ἐποχὴ ἀντιστοιχεῖ πρὸς τὸ πέμπτον ἔτος τοῦ Φαλὲγ, ὅτε γέγονεν ἡ διασπορὰ τῶν ἐθνῶν (Σύγκελ. σελ. 164). Ἀλλὰ κατὰ τὴν ἑβραίαν χρονολογίαν τὸ 2776 ἔτος καταβαίνει μέχρι τῆς κριταρχίας τοῦ Γεδεών· καὶ οὕτως ὁ υἱὸς τοῦ Χὰμ, ὁ Μεσραῒμ, ἀναφαίνεται σύγχρονος τοῦ Σαμψών!

(α) Βλ. Annotations géologiques à la Genèse ἐν τῷ τρίτῳ τόμῳ τοῦ Cours complet etc. καὶ Wallace l. c. p. 58.

ΙΕ) Εἴδομεν ἐν τοῖς προηγουμένοις τοὺς ἑβραϊκῆς ἱςορίας ἁψαμένους ἐθνικοὺς Ἕλληνας (λέγω δὲ τὸν Φαληρέα Δημήτριον, καὶ Εὐπόλεμον, καὶ σὺν αὐτοῖς τὸν πολυΐστορα Ἀλέξανδρον), ὅπως συμφωνοῦσι περὶ τὴν χρονολογίαν μετὰ τῶν Ο. Ἤδη δὲ προστιθέμεθα καὶ ἐκ τῆς κοσμικῆς ἱστορίας ἄλλων ἐθνικῶν συγγραφέων μαρτυρίας, οἵτινες ἐπικυροῦσι τὸ γνήσιον τῆς τῶν Ο χρονολογίας, ἐν οἷς διαλαμβάνουσι περί τε τῆς ἱστορικῆς ἀρχῆς τῶν ἀρχαίων Ἀνατολικῶν βασιλείων, καὶ περὶ παμπόλλων ἄλλων εἰδικῶν συμβεβηκότων τῶν παλαιγενῶν τῆς οἰκουμένης ἐθνῶν. Τοιαῦτα παραδείγματα ἀναφέρομεν τὰ ἑξῆς.

α) Καλλισθένης ὁ φιλόσοφος συνανέβη εἰς Ἀσίαν μετὰ τοῦ μεγάλου Ἀλεξάνδρου, στρατεύοντος κατὰ τῶν Περσῶν. Διατρίβων δὲ μετὰ τοῦ βασιλέως ὁ Καλλισθένης ἐν Βαβυλῶνι, ἔπεμψεν εἰς Ἑλλάδα πρὸς τὸν Ἀριστοτέλην αἰτήσαντα θεωρίας ἀστρονομικὰς τῶν Βαβυλωνίων, γενομένας ἐν διαστήματι 1903 ἐτῶν, ὡς ἱστόρησεν ὁ Πορφύριος (α). Ταῦτα δὲ τὰ 1903 ἔτη ἔληγον πάντως εἰς ἐκείνην τὴν ἐποχὴν, καθ' ἣν ὁ Μ. Ἀλέξανδρος ὑπέταξε τὴν Βαβυλῶνα, δηλονότι κατὰ τὸ δεύτερον ἔτος τῆς 112 Ὀλυμπ. (τῷ 330 π. Χ). Τὸ δὲ β, ἔτος τῆς 112 Ὀλυμπ., κατὰ τὴν ἑβραϊκὴν χρονολογίαν, συμπίπτει πρὸς τὸ 3619 ἔτος ἀπὸ τῆς Δημιουργίας (ὡς ψηφίζει ὁ Σκαλίγηρος), ἢ πρὸς τὸ 3653 (κατὰ τὸν Πεταυΐον), ἢ πρὸς τὸ 3674 (κατὰ τὸν Ὑσσέριον) (β). Ταῦτα δὲ παραβαλλόμενα πρὸς τὴν χρονολογίαν τῆς γενέσεως τοῦ ἑβραϊκοῦ κειμένου, δεικνύουσι τὴν ἀρχὴν τῶν Βαβυλωνίων τούτων ἀστρονομημάτων γενομένην περὶ τὸ 60, ἢ τὸ 94, ἢ τὸ 115 ἔτος μετὰ τὸν κατακλυσμόν· τουτέστι (κατὰ τὸν Σκαλίγηρον) περὶ τὸ 40 ἔτος, ἢ (κατὰ τὸν Πετάβιον) περὶ τὸ 7 ἔτος πρὸ τῆς (ἔτει 100ῷ μετὰ τὸν κατακλυσμὸν) διασπορᾶς τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ ἐπο-

---

(α) Πορφύρ. παρὰ τῷ Σιμπλικίῳ ἐν Ὑπομνήμ. εἰς τὸ Ἀριστοτέλ. περὶ Οὐρανοῦ Βιβλ. β. σελ. 123 ἐκδ. Ἀλδ. 1526.

(β) J. Scalig. De emend. Tempor. p. 430. — Petav. Can. Chronol. ad An. P. I. 4383. — Usser. A. M. 3674. in Annal. Vet. Test. p. 167.

μένως, πρὶν ἢ κτισθῇ καὶ κατοικηθῇ παγίως ἡ Βαβυλὼν, καὶ πρὶν ἢ κατασταθῇ ἀρχὴ τῆς βασιλείας τοῦ Νεβρώδ»· ἢ, τέλος, (κατὰ τὸν Ὑσσερίου ψηφισμὸν) ἔτει 13ῳ μετὰ τὴν διασπορὰν, καὶ ἑπομένως ἐπὶ τῶν νεοδμήτων χαλασμάτων ἐκείνου τοῦ ἀτελέστου καὶ μάτην ἐπινοηθέντος οὐρανομήκους πύργου! ἀλλ' ἐκ τούτου τοῦ ἀχανοῦς ἐρειπιῶνος ἀστρονομικὰς παρατηρήσεις οὐκ ἠδύναντο πάντως, ἀλλ' οὐδ' ἠπίσταντο ποιεῖν ἐκεῖνα τὰ τότε νήπια τῆς *θυγατρὸς τῆς Βαβυλῶνος*, ἤτοι τῆς *Συγχύσεως τῶν γλωσσῶν*. Ἀλλὰ κατὰ τὴν χρονολογίαν τῶν Ο, τὸ πρῶτον ἔτος τῶν δι' ὅλων 1903 ἐτῶν συνεχῶς μέχρις Ἀλεξάνδρου (τῷ 330 π. Χ.) γενομένων παρὰ τοῖς Βαβυλωνίοις ἀστρονομικῶν παρατηρήσεων συμπίπτει πρὸς τὸ 1005 ἔτος ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ ἑπομένως τῷ 67, ἢ καὶ ἔτι κατωτέρω πρὸ τῆς Ἀβραὰμ γεννήσεως, ἤτοι τῷ 172 περίπου ἔτει μετὰ τὴν ἐπὶ Φαλὲγ διασπορὰν, καὶ τὴν ἀρχὴν τῆς ἐν Βαβυλῶνι βασιλείας τοῦ Νεβρώδ (α). Τότε καὶ ἡ Βαβυλὼν ὑπῆρχεν «*ἡ πόλις ἡ μεγάλη*»· καὶ ἀστρονομικαὶ παρατηρήσεις πάντως ἠδύναντο γίνεσθαι ἐν αὐτῇ (β).

(α) Βλ. καὶ Vossij de aetate mundi p. 265—368. πρβλ. Walton. Prol. IX §. 63.

(β) *Διέβαλόν τινες ὡς νόθα τὰ περὶ τῶν ἀνωτέρω ἀστρονομικῶν θεωρημάτων τοῦ* Καλλισθένους (βλ. Bible vengée T. I. p. 202). *α*) *Λέγουσιν, ὅτι, «ταῦτα Σιμπλίκιος ἔγραψεν,* 900 *ἔτεσι νεώτερος* Ἀριστοτέλους *γενόμενος» —* Ἀλλ' *ὁ Σιμπλίκιος (ἀπαντῶμεν) λέγει ῥητῶς, ὅτι μετέγραψεν αὐτὰ ἐκ τοῦ* Πορφυρίου· *ὤφειλον λοιπὸν ἀποδεῖξαι πρῶτον τὸν* Πορφύριον *ψεύστην, οὕτως ὡρισμένως καὶ περιστατικῶς ἱστοροῦντα τὸ πρᾶγμα, καὶ παρ' ἄλλων πάντως ἱστορικῶν ἀρχαίων παραλαβόντα τὸ ἱστόρημα.* Ἔπειτα *καὶ αὐτὸν τὸν Σιμπλίκιον διαβάλλειν ὡς μυθογράφον, ἄδικον, καίπως καὶ ἰταμόν. β*) *« Ἀλλ' οὐδ' αὐτὸς (λέγουσιν) ὁ Ἀριστοτέλης ἐν τοῖς περὶ* Οὐρανοῦ, Α, *καὶ* Β, *βιβλίοις οὐδὲν ἔγραψε περὶ τούτου ».— Ἀλλὰ τί ἄλλο παρὰ τοῦτο ἐνόει ὁ Ἀριστοτέλης ἐν οἷς διαλαμβάνων περὶ κινήσεως σελήνης, καὶ ἀστέρων ἔγραψεν; « Ὁμοίως δὲ (λέγει) καὶ περὶ τῶν ἄλλων ἀστέρων λέγουσιν οἱ π ά λ α ι τ ε τ η ρ η κ ό τ ε ς ἐκ π λ ε ί σ τ ω ν ἐ τ ῶ ν* Αἰγύπτιοι *καὶ* Β α β υ λ ώ ν ι ο ι, *παρ' ὧν π ο λ λ ὰ ς π ί σ τ ε ι ς ἔχομεν περὶ ἑκάστου τῶν ἄστρων »* (π. Οὐραν. Β, κεφ. ιβ). Ἠρκέσθη *δὲ καθόλου ἐκφραζόμενος ὁ φιλόσοφος, καὶ μὴ καταλεπτῶς τὰς π ο λ λ ὰ ς π ί σ τ ε ι ς ἱστορῶν (οὐδὲ γὰρ ἱστορίαν ἀστρονομικῶν παρατηρήσεων ἔγραψε), μήτε τὰς παρ'* Αἰγυπτίων, *μήτε τὰς παρὰ τῶν* Βαβυλωνίων, *τῶν ἐ κ π λ ε ί σ τ ω ν*

ϐ) Ὁ Ἡρόδοτος (Α, 44) ἱςορεῖ, ὅτι τὸ ἐν Τύρῳ τῆς Φοινίκης Ἡράκλειον ἱερὸν ἐκτίσθη μετ᾽ αὐτῆς τῆς Τύρου συγχρόνως, ὡς ἔμαθεν αὐτὸς παρὰ τῶν Τυρίων ἱερέων τοῦ Ἡρακλείου, καὶ ὅτι ἀπὸ κτίσεως τῆς Τύρου μέχρι τότε (τῷ 450 π. Χ. ὅτε ἤκμαζεν ὁ Ἡρόδοτος) διῆλθον ἔτη *δισχίλια καὶ τριακόσια*. Ὥστε, κατὰ τὴν ἑβραϊκὴν χρονολογίαν, τὰ γενέθλια τῆς Τύρου προέλαβον τὸν κατακλυσμὸν ἔτη περίπου 400! Ἐὰν γὰρ πρὸς τοῖς 2300 ἔτεσι τῶν

ἐτῶν τετηρηκότων (ἃς ἔλαβε δηλονότι παρὰ τοῦ ἀνεψιοῦ Καλλισθένους). Ἀλλ᾽ ἐξηγεῖτο ταύτας πάντως ἀπὸ στόματος πρὸς τοὺς ἀκροατάς· οὗτοι δ᾽ ἐν ἰδίοις ὑπομνήμασιν ἐσημείουν, ἐξ ὧν ἠρύσαντο καὶ οἱ περὶ τὸν Πορφύριον τὸ ἱστόρημα. Ἢ δειξάτωσαν οἱ τοὺς τούτου λόγους ὡς ψευδεῖς ἀθετοῦντες, πόθεν ἐπληροφορήθησαν, ὅτι ὁ Ἀριστοτέλης οὐκ ἐνόει περὶ τῶν Βαβυλωνίων ὅσα σεσημείωκεν ἐκ τοῦ Πορφυρίου ὁ Σιμπλίκιος; Ἕνα γοῦν περὶ τούτου παραγαγέτωσαν μάρτυρα τῶν ἀρχαίων· ἔστω καὶ Σιμπλικίδιον. Ἀλλ᾽ αὐτοὶ ἠρκέσθησαν παριδόντες, ὡς πολὺ μεταγενέστερον Ἀριστοτέλους, τὸν Σιμπλίκιον. Ἀλλ᾽ εἰ διὰ τοῦτο δοκοῦσιν αὐτοῖς ἄπιστα τὰ τοῦ Σιμπλικίου, πολλῷ μᾶλλον, καὶ δὶς τόσον ἀπιστότερα δόξουσιν αὐτοὶ κρίνοντες, οἵτινες ἀπέχουσιν Ἀριστοτέλους διπλασίονι χρόνῳ, ἢ ὅσον ἀπεῖχεν ὁ Σιμπλίκιος. γ) «Ἀλλὰ καὶ Ἵππαρχος (λέγουσιν), ἀστρονομίας ἐμπειρότατος, 100 ἔτεσι π. Χ. γενόμενος, ἠγνόει παντελῶς τὰς βαβυλωνίους ταύτας θεωρίας».—Ἀλλ᾽ (ἀπαντῶμεν) ἐπειδὴ ἐν τοῖς καθ᾽ ἡμᾶς ἀποσωθεῖσιν ὀλίγοις τοῦ Ἱππάρχου βιβλίοις οὐ γίνεται τούτων μνεία, διὰ τοῦτο ἠγνόει ταύτας ὁ Ἵππαρχος; δ) «Ἀλλὰ (τέλος, ἐπιφέρουσι) καὶ Πλίνιος δύω μόνους ἀναφέρει περὶ τῶν βαβυλωνίων παρατηρήσεων διαλαβόντας. Τούτων ὁ μὲν εἷς, ὁ Ἐπιγένης, ἀνάγει ταύτας εἰς ἔτη 720, μόνον. Ὁ δὲ ἕτερος, ὁ Βηρωσσὸς, καίτοι τὰς Χαλδαίων ἀρχαιότητας ἐξαίρων εἰς ὑπερβολὴν, ἀστρονομικὰς ὅμως θεωρίας εὕρηκεν αὐτὸς, ὡς λέγει, μόνον 490 ἐτῶν» — Ἀλλ᾽ ὁ Πλίνιος (ἀπαντῶμεν) ἀγνοήσας τὸν Καλλισθένην, οὐ ταύτην μίαν καὶ μόνην ἔπαθεν ἄγνοιαν. Εἰ δ᾽ ὁ Ἐπιγένης μόνον 720, ἐτῶν εἶπε τὰς Βαβυλωνίων παρατηρήσεις, τὴν ἰδίαν εἶπε γνώμην, ἐξ ἧς οὐ ψευδίζεται ἡ τοῦ Καλλισθένους. Ὡς οὐδ᾽ αὐτοῦ τοῦ Ἐπιγένους νοθίζεται ὑπὸ τῆς τοῦ Βηρωσσοῦ, μόνα τὰ δύω τρίτα σχεδὸν τοῦ Ἐπιγένους σημειώσαντος ἔτη. Εἰ δὲ καὶ αὐτὸς ὁ Βηρωσσὸς 490 μόνον ἔγραψεν ἔτη, τοῦτ᾽ ἀμφίβολον ποιεῖ αὐτὴ τοῦ Βηρωσσοῦ ἡ περὶ τῆς Χαλδαίων ἀρχαιότητος ἀπέραντος τερατολογία. Ἄλλος δὲ, πλὴν τοῦ Πλινίου, οὐδὲν ἱστόρησε τοιοῦτο περὶ τοῦ Βηρωσσοῦ. Πρόσθες, ὅτι καὶ τῶν τούτου συγγραφῶν σμικρὰ σῴζονται λείψανα. Τελευταῖον· καὶ ἐξ αὐτῶν τούτων τῶν Ἐπιγένους καὶ Βηρωσσοῦ μαρτυριῶν ἀποδείκνυται, ὅτι τοιαύτας παρατηρήσεις ἠδύνατο γράψαι πρὸ τούτων καὶ Καλλισθένης. Οὐδ᾽ ἐψεύσατο Πορφύριος καὶ μετ᾽ αὐτοῦ Σιμπλίκιος, ἀδύνατα μυθοπλαστοῦντες! Καὶ δικαίως λοιπὸν ἄνδρες τῶν νεωτέρων ἐπισημότατοι, οἷον, ἡ δυὰς τῶν Οὐσσερίων, καὶ Πεζρῶν, καὶ Αὔης κτλ. γνησίαν ἀπεδέξαντο καὶ ἀληθινὴν τὴν Σιμπλικίου σημείωσιν. Ἀλλὰ καὶ ὁ κλεινὸς Λιβερμᾶν ὡς γνησίᾳ τῇ μαρτυρίᾳ ἐχρήσατο καὶ πιστῇ, ἀπαν-

Τυρίων συναφθῶσι καὶ τὰ ἀπὸ Ἡροδότου μέχρι Χ. Σωτῆρος 450, συγκεφαλαιοῦνται τὰ πάντα εἰς ἔτη 2750. Τούτων δ' ἀφαιρεθέντων ἐκ τῆς ὁμάδος τῶν 4004 (ὅσα, κατὰ τὸ ἑβραϊκὸν, ἀριθμοῦνται ἀπὸ κτίσεως κόσμου μέχρι τῆς σωτηρίου ἐποχῆς), μένουσιν ὑπόλοιπα ἔτη 1254· ἐὰν δὲ ταῦτα πάλιν ἀφέλωμεν ἀπὸ τῶν 1656 (ὅσα τὸ ἑβραϊκὸν ἀριθμεῖ ἀπὸ Ἀδὰμ ἄχρι τοῦ κατακλυσμοῦ), φαίνεται λοιπὸν ἡ Τύρος κτισθεῖσα, κατὰ τοὺς Μασορίτας, ἔτει 402 πρὸ τοῦ κατακλυσμοῦ! Καὶ ἔχομεν ἄρα καὶ τοὺς Τυρίους, πλὴν τῶν 8, ψυχῶν τῆς οἰκογενείας τοῦ Νῶε, διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ καὶ ἐκτὸς τῆς κιβωτοῦ, ἐν αὐτῇ τῇ Τύρῳ καθημένους, καὶ θύοντας ἐν τῷ Ἡρακλείῳ, *καὶ τρώγοντας καὶ πίνοντας*· οὐδ' ἦρεν αὐτοὺς ὁ κατακλυσμὸς, «ὅστις ἦρεν ἅπαντας» (Ματθ. κδ, 38: πρβλ. Γενέσ. ζ, 21). Τοιαῦτα τῆς ῥαββινικῆς χρονοκοπίας τὰ καρυκεύματα!

γ) Καὶ ἄλλα δὲ τοιαῦτα ἀτοπήματα, πρὸς τὴν θείαν ἀντιφάσκοντα γραφὴν, ἀναφαίνονται, ἐὰν καὶ ἄλλων πόλεων ἀρχαίων ἡ κτίσις, οἷον ἐκ τῶν ἑλληνικῶν, ἡ τῆς Σικυῶνος, καὶ ἡ τοῦ Ἄργους (ἐπὶ Ἰνάχου) παραβληθῇ πρὸς τὸ συντετριμμένον ἑβραϊκὸν κείμενον, ὡς ἔστιν ἰδεῖν παρὰ τοῖς χρονογράφοις. Διέλαβε περὶ τούτων καὶ ὁ Πεζρὼν (σελ. 514–518).

ΙϚ) Μετὰ τῆς χρονολογίας τῶν Ο συμφωνοῦσι καὶ ἄλλων ἀρ-

τῶν πρὸς τοὺς λήρους τῶν, ὅσοι τὰς Χαλδαίων ἀστρονομικὰς παρατηρήσεις ἀνάγουσι καὶ εἰς 472,000 ἔτη, μαρτυρόμενοι τὸν Διόδωρον καὶ αὐτὸν τὸν Βηρωσσόν! Ἔπειτα δ' ἐξαίφνης ἀπέκλινε καὶ πρὸς τὰς ἀνωτέρω παρατηρήσεις τῶν Ἐκδίκων τῆς Βίβλου (Bible vengée). Ἀλλ' οἱ σοφοὶ οὗτοι ἄνδρες οὐκ ἂν ἐπεχείρουν (νομίζομεν) καταψεῦσαι τὰ τοῦ Καλλισθένους, εἰ μὴ προσέκειντο δεινῶς τῇ καθ' Ἑβραίους χρονολογίᾳ (πρὸς ἣν καὶ ὁ Λιβερμᾶν ἐπιῤῥέπει). Νῦν δὲ βλέποντες, ὅτι κατὰ τὸ Μασοραῖον κείμενον ἡ ἀρχὴ τῶν κατὰ Καλλισθένην βαβυλωνικῶν ἀστρονομημάτων συμπίπτει πρὸς τὰς ἀρχὰς τῆς βασιλείας τοῦ κυνηγοῦ καὶ γίγαντος Νεβρὼδ, καὶ συμπεραίνοντες τὸ ἀπίθανον τοῦ πράγματος (ὡς εἴπομεν ἀνωτέρω), ἀντὶ τοῦ διομολογῆσαι τῆς ῥαββινικῆς χρονομετρίας τὸ παράκοπον, ἐπέπεσαν κατὰ τοῦ Σιμπλικίου, τοῦ διασώσαντος καὶ εἰς ἡμᾶς τοῦτο τὸ καλὸν τῆς ἀρχαιότητος ἱστόρημα· καὶ τέλος, ὅπως θᾶττον ἀπαλλαγῶσι πραγμάτων, παρέγραψαν ἐκ τῆς ἀστρονομικῆς ἱστορίας τὸ ὄνομα τοῦ Καλλισθένους! Ἀλλὰ τοσαύτας καὶ ἄλλας τῶν ἔξωθεν μαρτυρίας, καὶ αὐτὴν τὴν ἄνω παρεπομένην τοῦ Ἡροδότου Μοῦσαν, πῶς ἂν παραγράψειαν; (βλ. Libermann, Instit. Theol. T. I. p. 243, καὶ 272. Mogunt. 1836).

χαίων ἐθνῶν αἱ χρονολογίαι, οἷον τῶν Αἰγυπτίων, τῶν Σήρων, ἢ Σινῶν, τῶν Ἰνδῶν, διαφωνοῦσι δὲ αὗται παντάπασι τοῦ ἑβραϊκοῦ. Οἱ προστάται τοῦ Μασοραίου κειμένου, οὐ σμικρὰ φρονοῦντες, ὑπέλαβον, ὅτι καὶ τούτων τῶν ἐθνῶν τὰ χρονικὰ συμφωνοῦσι μετὰ τοῦ νῦν ἑβραϊκοῦ. Προσέθηκαν δὲ, ὅτι καὶ οἱ ἐν Ἰνδίᾳ καὶ ἐν τῇ χώρᾳ τῶν Σινῶν, *ἀπὸ τοῦ γ, ἢ τετάρτου αἰῶνος* πρὸ Χ. μέχρι σήμερον κατοικοῦντες Ἰουδαῖοι, τὴν χρονολογίαν τοῦ ἑβραϊκοῦ κειμένου διατηροῦσιν (α). Ἀλλὰ ταύτης μὲν τῆς γελοίας ὑποθέσεως τὸ ψεῦδος ἐξελέγχει καὶ ἁπλῆ ἡ πεπολιωμένη καὶ τριπέμπελος ἐποχὴ, καθ' ἣν κατοικίζουσι τοὺς Ἰουδαίους ἐν Ἰνδίᾳ καὶ τῇ Σίνᾳ (τῇ συνήθως Κίνᾳ), *τρεῖς καὶ τέσσαρας αἰῶνας πρὸ Χριστοῦ*! Εἰ γὰρ μέχρις Ἰωσήπου οἵ τε ἐν τῇ Παλαιστίνῃ καὶ οἱ κατὰ τὴν ἄνω Ἀσίαν Ἰουδαῖοι τὴν κατὰ τοὺς Ο χρονολογίαν ἐγνώριζον, ὡς προείδομεν, πῶς λοιπὸν πρὸ τεσσάρων αἰώνων ἐχρῶντο τῇ στενῇ καὶ συντετμημένῃ; Πολλῷ τούτων ἀρχαιότεροι, καὶ μᾶλλον, ὅσον κατὰ τοῦτο, ὑπὸ τῶν μετὰ Χ. ῥαββίνων ἀδιάφθοροι πάντως ἂν εἶεν οἱ κάτοικοι τῆς Αἰθιοπίας Ἰουδαῖοι, οἵτινες τὴν κατὰ τὸν Ἰώσηπον ἀρχαίαν χρονολογίαν διατηροῦσιν, ὡς προείπομεν. Καὶ περὶ τὴν τῶν Αἰγυπτίων δὲ καὶ τῶν Σινῶν χρονολογίαν ἠπατήθησαν οἱ σοφοί. Διαλάβωμεν τὰ ἔθνη ταῦτα κατὰ μέρος.

α) Τῶν μὲν οὖν Αἰγυπτίων τὸν τῦφον ἐξήλεγξαν οἱ ἡμέτεροι χρονογράφοι, ὅτι μάτην ἐλήρουν, πλάττοντες ἐπὶ τὸ κομπωδέστερον μυριάδας χρονικῶν περιόδων, καθ' ἃς δῆθεν ἥλιος καὶ θεοί τινες Αἰγύπτου ἐβασίλευον (β). Ἤδη δὲ καὶ καθ' ἡμᾶς ὁ περικλεὴς Χαμπολλιὼν, ὁ Φιγεάκης, ἀπέδειξεν, ὅτι ἐὰν ἐκ τῶν 36,525 ἐτῶν τῆς Αἰγυπτιακῆς χρονολογίας ἐξέλῃς, α) τὰ 30000 τῆς μυθευομένης τοῦ ἡλίου βασιλείας, καὶ β) τὰ 4000 ἔτη τῆς βασιλείας τῶν κατ' αὐτοὺς θεῶν καὶ ἡμιθέων, τὰ ὑπόλοιπα 2525 προσδιο-

(α) Stolberg über die Zeitrechnung der heil. Schrift. p. 279. πρβλ. καὶ Annales de Philosophie Chrétienne. T. XIV. N. 79. Authenticité de Chronologie du texte hebreu.

(β) Βλ. Σύγκελ. Χρονογρ. κτλ. καὶ J. Voss. de aetat. mund. c. 10. p. 269.

ρίζουσι τὴν ἀληθινὴν τῶν ἀρχαίων Αἰγυπτίων ἱστορικὴν περίοδον ἀπ' ἀρχῆς αὐτῆς μέχρις Ἀλεξάνδρου τοῦ Μακεδόνος· καὶ συμφωνοῦσιν ἀκριβῶς μετὰ τῆς χρονολογίας τῶν Ο (ἐὰν γὰρ πρὸς τοῖς 2525 συναφθῶσι καὶ τὰ ἀπὸ τοῦ Μ. Ἀλεξάνδρου μέχρι τῆς σωτηρίου ἐποχῆς 330, παρέξουσι κεφάλαιον ἐτῶν 2855. Τούτων δ' ἀφαιρεθέντων ἐκ τῶν ἀπὸ κτίσεως κόσμου μέχρι Χριστοῦ Σωτῆρος 5508, καταλείπονται ἔτη 2753, καὶ σχεδὸν τοσαῦτα ψηφιζόμενα εἴδομεν ἀνωτέρω (σελ. 764) ἐπὶ τοῦ πρώτου οἰκιστοῦ τῆς Αἰγύπτου Μεσραΐμ). Ὁ δ' αὐτὸς Χαμπολλιὼν ἀπέδειξεν, ὅτι ἐν Αἰγύπτῳ κεῖνται πολλὰ μνημεῖα, ὧν ἡ ἀρχὴ ἀναβαίνει οὔτε πρωϊαίτερον, οὔτε ὀψιαίτερον τῆς ὑπὸ τοῦ Μανέθωνος ις, ἀριθμουμένης ἐν Αἰγύπτῳ βασιλικῆς δυναστείας (α). Ταύτης δὲ τῆς δυναστείας ὁ πρῶτος βασιλεὺς ἦν σύγχρονος τῷ Ἀβραάμ. Οὕτως ἡ ἱστορικὴ ἀρχαιολογία τῆς Αἰγύπτου ἀρχομένη πρὸ τριῶν καὶ εἴκοσι σχεδὸν αἰώνων ἔμπροσθεν τῆς σωτηρίου ἐποχῆς, μένει ἐντὸς τῶν ὁρίων τῆς Μωσαϊκῆς χρονολογίας μόνον κατὰ τὸ κείμενον τῶν Ο· κατὰ δὲ τὸ Ἰουδαϊκὸν, ἐκπίπτει ἐπέκεινα τοῦ κατακλυσμοῦ, καὶ ἀντιφάσκει πρὸς τὴν θεόπνευστον ἱστορίαν (β).

β) Κατὰ δὲ τὴν τῶν Σινῶν χρονολογίαν, τὴν ἐν τῷ Σου-τζιν (Chou-King) ἐπιγραφομένῳ βιβλίῳ τῆς Σινῶν ἱστορίας (γ) (λέγεται δὲ Κομφουκίου τὸ σύγγραμμα, Σινικοῦ φιλοσόφου, ἀκμάσαντος τῷ 500 π. Χ. τοῦ δὲ Κομφουκίου παλαιότερον βιβλίον οὐδὲν ἔχουσιν οἱ Σίναι), πρῶτος βασιλεὺς τῶν Σινῶν λογίζεται ὁ

(α) Βλ. Champollion, Lettres, à M. le Duc de Blacas, relatives au Musée royal égyptien de Turin. Paris, 1824 κτλ.

(β) Βλ. Annal. de Philosoph. Chrét· T· I. 1830. Accord des Sciences avec la Genése. Τὴν πρὸς τοὺς Ο συμφωνίαν τῆς Αἰγυπτίων χρονολογίας διεκήρυξε καὶ νεώτατος ὁ σοφὸς Σεϋφάρθος· προσθεὶς, καὶ ὅτι τὴν ἀρχὴν τῆς μεγάλης ἐποχῆς (τῆς δημιουργίας) ἐτίθουν κατὰ τὴν ἐαρινὴν ἰσημερίαν, ὁπότε τίθησιν ἡ πατριαρχικὴ παράδοσις καὶ τὴν κατὰ τὸν θεόπνευστον Μωϋσῆν δημιουργίαν τοῦ κόσμου. βλ. Seyffarth, Chronol. Sacra p. 158—159. πρβλ. Σύγκελ. Χρονογρ. σελ. 2—4.

(γ) Le Chou-Kin, un des livres Sacrés de Chinois, qui renferme les fondemens de leur ancienne Histoire etc. Revû et corrigé sur le Texte Chinnois par M. De Guignes. Paris, 1770.

Ὑάω (Yao)· ἤρξατο δὲ βασιλεύειν οὗτος τῷ 2,557 ἔτει π. Χ. (α) (κατὰ τὴν χρονολογίαν τῶν Ο). Κατὰ δὲ τὸ ἑβραϊκὸν, ἡ ἐποχὴ αὕτη εὑρίσκεται πρωϊαιτέρα τοῦ κατακλυσμοῦ, καθὼς ὁ τὴν Σινικὴν χρονολογίαν ἄριστα ἐξιχνιάσας σοφὸς Ἰησουΐτης Γαυβῖλος ἐσημείωσε, προσθεὶς, καὶ ὅτι ἡ κατὰ Πετάβιον καὶ Ὑσσέριον συντετμημένη (ἰουδαΐζουσα) χρονολογία πολλοῖς αἰῶσιν ἐκπίπτει τοῦ ὀρθοῦ (β). Ὁ δὲ Οὐόσσιος (σελ. 278) ἀνάγει τὴν ἱστορικὴν τῶν Σινῶν ἀρχὴν εἰς ἔτος π. Χ. 2847. Ἂν δὲ προστεθῶσι καὶ τὰ ἀπὸ Χριστοῦ Σωτῆρος καὶ ἐφεξῆς μέχρι τοῦ παρόντος ἔτους (1846), προκύπτουσιν ἔτη 4693. Ὥστε κατὰ μὲν τὴν χρονολογίαν τῶν Ο, ἡ ἀρχὴ τῶν Σινῶν ἀναβαίνει εἰς τὸ 531 μετὰ τὸν κατακλυσμὸν (δηλαδὴ περὶ τοὺς χρόνους τῆς μετὰ τὴν γέννησιν τοῦ Φαλὲγ διασπορᾶς τῶν ἐθνῶν), κατὰ δὲ τὸ ἑβραϊκὸν, ὑπερπηδᾷ δέκα σχεδὸν αἰῶνας ἐπέκεινα τοῦ κατακλυσμοῦ, καὶ γίνεται ὁ τῶν Σινῶν Ὑάω σύγχρονος τοῦ *Μαθουσάλα*! (γ).

γ) Ἐν τοῖς θρησκευτικοῖς βιβλίοις τῶν Ἰνδῶν ἢ τῶν Βέδων κακαταγωγὴ τίθεται ὑπὸ τῶν Βραχμάνων ἐν τῇ κατ᾽ αὐτοὺς τετάρτῃ ἱστορικῇ περιόδῳ (Kali–juga), ἥτις ἕπεται μετὰ τρεῖς κοσμογονικὰς περιόδους· (Krita–juga, Trita–juga, Diva par juga ταύτας ὀνομάζουσιν). Ἡ δὲ ἱστορικὴ τῶν Ἰνδῶν περίοδος ἄρχεται κατὰ μὲν τὴν χρονολογίαν τῶν Ο, τῷ 600 ἔτει μετὰ τὸν κατα-

(α) Βλ. Wiseman, Discours sur les rapports etc. p. 281.

(β) « Quosnam vere ordiatur scriptura numeros, me penitus latet, et doctoribus recernendum relinquo; et tamen si qui velint detruncare hunc numerum, quem addixi, ita ut etiam 150 annis minor evadat, diluvianam aetatem altius removendam censeo, ita ut quam assignant epocham Usserius et Petavius caeterique strictioris Chronologiae sequaces, plurimis saeculis protergrediatur ». Chronolog. du P. Gaubil par Sylvestre de Sacy. 3. part. pag. 277. βλ. καὶ Pezron. Défense de l'Antiquit. p. 530—536. πρβλ. καὶ Fouguet. Chronolog. Sinens.

(γ) Ὁ Windischmann (Die Philosophie. 1. Th. Bonn, 1827) θεωρεῖ τὴν Σινῶν χρονολογίαν ὡς συμφωνοῦσαν τῷ Σαμαρειτανῷ ἀπὸ Κ. Κ. μέχρι τοῦ Φο-χὶ ὅν τινες ἐθέλουσιν εἶναι τὸν Νῶε. Ἀλλ' ὁ Σεϋφάρθος (Chronol. p. 236) ἀριθμεῖ κατὰ τοὺς Σίνας ἀπὸ Κ. Κ μέχρι Φο-χὶ ἔτη 2424· ἤτοι 162 ἔτη περιττεύοντα τῶν ἀπὸ Κ. Κ. μέχρι τοῦ κατακλυσμοῦ 2262 κατὰ τοὺς Ο.

κλυσμόν, κατὰ δὲ τὴν τοῦ ἑβραϊκοῦ κειμένου, 900 πρὸ τοῦ κατακλυσμοῦ! (α). Ἄλλας ἄλλων ἀρχαίων ἐθνῶν χρονολογίας συμφωνούσας τοῖς Ο, διαφωνοτάτας δὲ πρὸς τὴν καθ' ἑβραίους, ἐσημείωσαν οἱ περὶ τὸν ἀκάματον Πεζρῶνα (β). Ἰδίως δὲ περὶ τῶν Χαλδαίων διέλαβον πληρέστατα ὁ Αὔης, καὶ ὁ Σεϋφάρθος (σελ. 159).

(α) Κατὰ θεωρίας ἄλλων, ἡ Καλλιΐούγα, ἡ ἱστορικὴ περίοδος τῶν Βέδων ἄρχεται ἀπὸ τοῦ 1578 π. Χ. (κατὰ τοὺς Ο), καὶ παρατείνεται μέχρι τοῦ 568 μ. Χ. δι' ὅλων 2146 ἐτῶν· ὥστε καταντᾷ εἰς τὸ 6076, ἀπὸ Κ. Κ. καὶ ἑπομένως 76 περίπου ἐνιαυτοῖς ὑπερβαίνει τὸ τέλος τῆς ἕκτης χιλιετηρίδος ἀπὸ Κ. Κ. ὁπότε (λέγουσιν οἱ Βραχμᾶνες) ἄρξεται νέα ἐποχή· τὴν αὐτὴν ἔννοιαν περιέχει καὶ ἡ Ζενδαβέστα (βλ. Seyffarth, Chronol. p. 106 καὶ 162). Οὐδὲν δὲ παράδοξον, εἰ παρὰ τοῖς Ἰνδοῖς ἐτάχθη ὀψιαίτερον πέντε περίπου ἑκατονταετηρίδας (560 ἔτη) ἢ πρωϊαίτερον ἐπιφανεῖσα ἐποχὴ «Τῆς προσδοκίας τῶν ἐθνῶν». Καὶ ἄλλοι δὲ τῶν νεωτέρων διέλαβον περὶ τῶν Ἰνδῶν. Ὁ Βαϊλλῦς ἀνερευνήσας πᾶσαν τὴν χρονολογίαν τῶν Βραχμάνων, εὗρε περιέχουσαν περίπου αἰῶνας 70 (ἤτοι 7000 ἀπὸ Κ. Κ. μέχρι τοῦ 1700 μ. Χ.). Καὶ ταῦτα συμφωνοῦσι προφανῶς μετὰ τῆς χρονολογίας τῶν Ο. Ὁ δ' αὐτὸς ἀποδείκνυσιν ἐναργῶς, ὅτι τὰ χρονικὰ τῶν Αἰγυπτίων, τῶν Χαλδαίων, τῶν Σινῶν, τῶν Περσῶν, τῶν Ἰνδῶν ἀντιστοιχοῦσι θαυμαστῶς πρὸς τὰς ἐποχὰς τῆς θείας Γραφῆς, κατὰ τὴν χρονολογίαν τῶν Ο (Bailly, Astronomie Ind. Disc. prélim. p. X. p. 126 etc.). Τοῦτ' αὐτὸ καὶ Φρέρετος (Freret) ὁμολογεῖ περὶ τῶν Σινῶν. Συμμαρτυρεῖ τούτοις καὶ ὁ ἔνδοξος Χατωβριάνδης (Chateaubriand, Génie de Christianisme. P. I. Liv, IV. ch. 3. p. 161, 163, 335. Paris, 1830).

(β) Pezron, Défense de l' Antiq. p. 505—536. Οἷον· οἱ Τουρδοῦλοι, «σοφώτατοι τῶν Ἰβήρων» (Ἱσπανῶν), κατὰ τὸν Στράβωνα (ἄποικοι Φοινίκων) ἔλεγον, ὅτι εἶχον συγγράμματα «ἑξακισχιλίων ἐτῶν» (ἐπὶ τοῦ Στράβωνος τῷ 401 π. Χ. βλ. Στράβ. Γ, 136), καὶ φαίνονται ἀριθμοῦντες τότε τρέχουσαν τὴν ἕκτην χιλιετίαν ἀπὸ Κ. Κ. κατὰ τὴν παρὰ τοῖς Ο Μωσαϊκὴν χρονολογίαν, ἣν εἶχον ἐξ ἀρχαίας ἴσως παραδόσεως (ὁ δὲ τῇ ἑβραϊκῇ χρονολογίᾳ προσκείμενος Βοχάρτος εὗρηκε τὸν ἀριθμὸν τῶν ἐτῶν ἄκρατον ψεῦσμα! Geogr. Sacr. L. I. c. 34. p. 601). Καὶ οἱ Τυῤῥηνοὶ (Τοῦσκοι) ἐφρόνουν, ὅτι ὁ Δημιουργὸς ἔκτισε τὸν κόσμον ἐν δώδεκα χιλιάσιν ἐτῶν· καὶ ἐν μὲν ταῖς πρώταις ἓξ χιλιάσιν ἔκτισε πάντα τὰ λοιπὰ κτίσματα· κατὰ δὲ τὴν ς, χιλιάδα, τὸν ἄνθρωπον· καὶ διαμενεῖ τὸ τῶν ἀνθρώπων γένος ἐπὶ ἓξ χιλιάδας· ὡς εἶναι τὸν πάντα χρόνον τῆς συντελείας μέχρι χιλιάδων δώδεκα· (Σουΐδ. λ. Τυῤῥηνία). Τίς οὐ βλέπει καὶ ὧδε τὴν Μωσαϊκὴν χρονολογίαν πεφυλαγμένην ἐκ παραδόσεως, ἢ καὶ ἐκ τῶν Ο, ἀντιγεγραμμένην, κατὰ τροπὴν μόνων τῶν ἓξ τῆς δημιουργίας ἡμερῶν, εἰς χιλιετίας ἕξ; (τὴν δὲ ἐπὶ ἓξ χιλιάδας διάρκειαν τοῦ κόσμου ἐφρόνουν καὶ ἄλλοι, ὡς ἐροῦμεν ἐφεξῆς). Ἄξια περιεργίας, τέλος, καὶ τὰ ἀπ' ἀρχῆς κόσμου πέντε ἀριθμούμενα παρ' Ἡσιόδῳ γένη τῶν ἀνθρώπων (Ἡσ. Ἔργ. 108—175). Περὶ τούτων λέγομεν παρακατιόντες.

ΙΖ) Ἀστρονομικαὶ θεωρίαι βεβαιοῦσι τὴν κατὰ τοὺς Ο χρονολογίαν· περὶ τούτων λέγομεν ἐν τοῖς ἑξῆς, §. ιη.

ΙΗ) Καὶ ὁ περὶ τὴν φυσιολογίαν καὶ τὴν *περὶ γῆς* θεωρίαν, ἢ *γεωλογίαν*, διασημότατος καθ᾽ ἡμᾶς γενόμενος Κουβιῆρος, οὐκ ἀσύμφωνον τοῖς κατ᾽ αὐτὸν γεωλογικοῖς θεωρήμασιν εὑρίσκει τὴν χρονολογίαν τῶν Ο (α). Καὶ ταῦτα μὲν τὰ τῆς ἔξωθεν σοφίας· ἐπάνιμεν δὲ πάλιν εἰς τὰ γραφικώτερα.

ΙΘ) Οἱ Ἰουδαῖοι, κατὰ τὴν παρ᾽ αὐτοῖς ἀρχαίαν παράδοσιν (ὡς ἐροῦμεν πλατύτερον ἐν τοῖς ἑξῆς), περιέμενον τὸν Μεσσίαν κατὰ *τὴν ἕκτην* ἀπὸ Κ. Κ. χιλιετίαν. Οἱ δὲ Ἀπόστολοι διεκήρυττον πανδήμως καὶ πρὸς Ἰουδαίους καὶ πρὸς ἐθνικοὺς καὶ κατ᾽ αὐτὴν τὴν Ἱερουσαλὴμ, ὅτι ἤδη «*ἦλθε τὸ πλήρωμα τοῦ χρόνου*», «*τὸ πλήρωμα τῶν καιρῶν*», καὶ ἦλθεν εἰς τὸν κόσμον ὁ Χριστὸς (Γαλάτ. δ, 4. Ἐφεσ. α, 10), καὶ ἐπληρώθησαν αἱ προῤῥήσεις τῶν προφητῶν «*ἐν ταῖς ἐσχάταις ταύταις ἡμέραις*» (Πράξ. β, 17, 30 : γ, 22, 24). Ὅτι δὲ οἱ Ἀπόστολοι ἐχρῶντο τῇ ἑρμηνείᾳ τῶν Ο, ἡλίου φανώτερον. Εἴπερ οὖν οἱ τότε γραμματεῖς καὶ Φαρισσαῖοι ἀνεγίνωσκον ἐν τῷ ἑβραϊκῷ χρονολογίαν, οἵαν ἔχει καὶ τὰ νῦν, *τετάρτην* ἀριθμοῦντες ἀπὸ Κ. Κ. χιλιετηρίδα (4000), καὶ μὴ τὴν *ἕκτην* διαρκοῦσαν κατὰ τοὺς Ο (5500), πῶς οὐκ ἀνθίσταντο τοῖς Ἀποστόλοις, ἀντιλέγοντες, ὅτι *οὔπω ἦλθε τὸ πλήρωμα τοῦ χρόνου*, ἵνα ἐπιφανῇ ὁ Χριστός ; καὶ ὅτε πάλιν ἠπείλουν αὐτοὺς παραστήσαντες ἐν τῷ μεγάλῳ Συνεδρίῳ, τί οὐ προσετίθουν καὶ τοῦτον τὸν ἔλεγχον ; (Πράξ. δ, 5 κτλ.). Ὅτε ὁ Ἡρώδης ἀκούσας τῶν Μάγων τὴν ἐρώτησιν, ἐταράχθη καὶ αὐτὸς καὶ πᾶσα Ἱεροσόλυ-

(α) G. Cuvier, Discours sur les Revoloutions de la surface du Globe pag. 175. Paris, 1830. *Ὁ δ᾽ αὐτὸς πάλιν ἀλλαχοῦ καὶ ὅσα τῶν νεωτέρων κατὰ τῆς ἱερᾶς Μωσαϊκῆς ἱστορίας ἀσεβῶς ἐπενοήθησαν γεωλογικὰ καὶ φυσιολογικὰ συστήματα κατέκρινεν, ἐκκηρύξας ὡς ψευδῆ, καὶ γελοῖα, καὶ χιμαιρικά. «Ἀλλὰ ταῦτα (λέγει) τὰ ἐναέρια τείχη* (Chateaux aëriens· *οἷαν ᾠκοδόμουν τὴν Νεφελοκοκκυγίαν οἱ τοῦ Ἀριστοφάνους ὄρνιθες) ἐξαφανίζονται, ὡς φάσματα διάκενα» κτλ.* (*βλ.* Liberman u. s. p. 275). *Πολὺ δὲ λαμπρότερα βλέπε παρὰ τῷ* Morison (Religious History of Man, ch. 11, p. 25—46), *καὶ τῷ* Cuninghame (Season of the End, pag. VIII—XIII), *καὶ τῷ* Buckland (La Géolog. et la Miner.).

μα μετ' αὐτοῦ, καὶ συναγαγὼν τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς, ἐπυνθάνετο παρ' αὐτῶν « *ποῦ ὁ Χριστὸς γεννᾶται* » ; τότε οὗτοι μόνον ἀπεκρίναντο τὸ ποῦ· « *ἐν Βηθλεὲμ τῆς Ἰουδαίας* » (Ματθ. β)· ὅτι δὲ *οὔπω καιρὸς τῆς γεννήσεως αὐτοῦ*, οὐ προσέθηκαν (καίτοι τοῦ πράγματος ἀπαιτοῦντος, πρὸς ἡσυχίαν τῆς Ἡρώδου ταραχῆς). Ὥστε καὶ αὐτὸς ὁ Ἡρώδης καὶ οἱ μετ' αὐτοῦ Ἰουδαῖοι ἐθεώρουν τότε τὸν καιρὸν τῆς τοῦ Μεσσίου ἐπιφανείας ἐγγύς· διότι ἀνεγίνωσκον ἐν τῷ ἑβραϊκῷ τὴν αὐτὴν καὶ παρὰ τοῖς Ο χρονολογίαν. Κατ' ἐκεῖνον τὸν καιρὸν ὑπῆρχε καὶ ὁ θεοδόχος Συμεὼν « *προσδεχόμενος παράκλησιν τοῦ Ἰσραὴλ* ». Καὶ ἡ προφῆτις Ἄννα ἐλάλει περὶ τοῦ Σωτῆρος « *πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλὴμ* » (Λουκ. β, 25, 38). Ὥστε οὐ μόνον ὁ πνευματέμφορος Συμεών, καὶ ἡ προορατικὴ προφῆτις, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ἐν Ἱεροσολύμοις, ὡς ἐκ τῆς παραδόσεως, κατ' ἐκεῖνον τὸν καιρὸν προσεδέχοντο τὸν Λυτρωτήν. Ὅτε δὲ πάλιν ὁ Σωτὴρ τοῦ κόσμου ἐλάλει πρὸς τοὺς Ἰουδαίους τὰ ῥήματα τῆς αἰωνίου ζωῆς, καὶ πρότερον, καὶ *τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς*, τοῦ δὲ πλήθους τῶν Ἱεροσολυμιτῶν οἱ μὲν ἔλεγον, ὅτι *οὗτός ἐστιν ὁ Χριστός*, ἄλλοι δὲ διηπόρουν, *εἰ οὗτός ἐστι* (Ἰωάν. ζ, 26–42), τί ἄλλο ἐδείκνυον, εἰ μὴ ὅτι ἐνόμιζον ἤδη τὸν καιρὸν ἐπιδεκτικὸν τῆς προφητευθείσης ἐλεύσεως τοῦ Χριστοῦ; Καὶ αὐτοὶ οἱ Σαμαρεῖται λέγοντες πρὸς τὴν ἑαυτῶν συμπολῖτιν καὶ πρώϊμον τοῦ Χριστοῦ εὐαγγελίστριαν, τὴν Σαμαρεῖτιν, ὅτι « αὐτοὶ *ἀκηκόαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Χριστὸς* » (Ἰωάν. δ, 42), φαίνονται σαφῶς, ὅτι καὶ αὐτοὶ ἐν τῇ παρ' αὐτοῖς ἑβραϊκῇ γραφῇ ἀνεγίνωσκον οὐ τὴν συντετριμμένην τοῦ νῦν Σαμαρειτανοῦ χρονολογίαν, ἀλλὰ τὴν πλήρη καὶ γνησίαν κατὰ τοὺς Ο. Περιέμενον δὲ τότε καὶ αὐτοὶ τὸν Μεσσίαν· « *Οἶδα, ὅτι Μεσσίας ἔρχεται* », ἔλεγε πρὸς τὸν Κύριον ἡ Σαμαρεῖτις· καὶ παρευθὺς ἐπίστευσεν, ὡς ἤκουσε παρ' αὐτοῦ « *Ἐγώ εἰμι, ὁ λαλῶν σοι* » (Ἰωάν. δ, 25, 26). Τότε ἦσαν καὶ οἱ Ἡρωδιανοὶ (Ματθ. κβ: Μάρκ.), οἱ τὸν Ἡρώδην ὡς *Χριστόν*, τὸν προσ-

δοκώμενον Μεσσίαν, φρονοῦντες (α). Ἀλλὰ καὶ κατὰ τὸν β, αἰῶνα μ. Χ. (τῷ 140) διαλεγόμενος πρὸς Τρύφωνα τὸν Ἰουδαῖον ὁ

(α) Ἐπιφάν. Αἱρ. κ.—Θεοφύλακτος,- Εὐθύμ. εἰς Ματθ. κτλ. Οὕτω καὶ Τερτυλλιανὸς (de praescr.), καὶ Ἱερώνυμος (adv. Lucif. c. 8). Ἀλλ' ὁ πατὴρ οὗτος ἀλλαχοῦ (εἰς Ματθ. κβ) καὶ ὡς ὑπηρέτας, ἢ στρατιώτας τοῦ Ἡρώδου ἐξέλαβε τοὺς Ἡρωδιανοὺς, οὐκ ὀρθῶς ἐκλαβών· (οὕτω καὶ ὁ Σύρος ἡρμήνευσεν· Ἡρώδου δοῦλοι). Πρὸς ταύτην τὴν ἐκδοχὴν καὶ πολλοὶ τῶν νεωτέρων ἀπέκλιναν (βλ. Schleusn. Lex. N. T.), ἄλλοι δ' ἄλλα λέγουσι (Calmet, Diction. T. 2. p. 230)· ἀλλ' ὁ Γρότιος, ὁ Δρούσιος, ὁ Πεταύϊος, ὁ Ὑέτιος, καὶ ἄλλοι οὐκ ὀλίγοι ἐξ αὐτῶν, τὴν πρώτην ἐτήρησαν σημασίαν· δηλοῖ δέ πως καὶ ὁ τύπος τοῦ ὀνόματος· ὅθεν καὶ Ζωναρᾶς· «Ἡρωδιανοὶ, οἱ τὰ Ἡρώδου φρονοῦντες» (πρβλ. Huet. Dem. Pr. 7. pag. 363). Παρὰ δὲ τῷ θείῳ Ἰουστίνῳ ἀναγινώσκομεν τὰ ἑξῆς· «Ὅτι οὖν οὐδέποτε ἐν τῷ γένει ὑμῶν (τῶν Ἰουδαίων) ἐπαύσατο οὔτε προφήτης, οὔτε ἄρχων . . μέχρις οὗ οὗτος Ἰησοῦς (γρ. ὁ Ἰησοῦς) Χριστὸς καὶ γέγονε καὶ ἔπαθεν, οὐδ' ἀναισχύντως (ἴσ. γρ. οὐδ' ἀναισχυντοῦντες) τολμήσετε εἰπεῖν — Καὶ γὰρ Ἡρώδην Ἀφ' οὗ ἔπαθεν, Ἀσκαλωνίτην γεγονέναι λέγοντες» (ἀλλόφυλον δηλονότι, καὶ οὐκ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς), «ὅμως ἐν τῷ γένει ὑμῶν ὄντα λέγετε ἀρχιερέα» (τουτ. λέγετε ὅμως ὅτι τότε, ἐπ' αὐτοῦ, ἦν ἐν τῷ γένει ὑμῶν, ὁμογενὴς δηλαδὴ καὶ οὐκ ἀλλόφυλος ἀρχιερεύς). «Ὥστε καὶ τότε ὄντος ὑμῖν» (ἀρχιερέως) «κατὰ τὸν νόμον τοῦ Μωσέως, καὶ προσφορὰς προσφέροντος, καὶ τὰ ἄλλα νόμιμα φυλάσσοντος, καὶ προφητῶν γεγενημένων, - μὴ παύσασθαι ἐξ ὑμῶν προφήτην» κτλ. (κατὰ τὸ «Οὐκ ἐκλείψει ἄρχων», κτλ.). Ταῦτα λέγει ὁ μάρτυς Ἰουστῖνος (Διαλ. π. Τρύφων. §. 52). Ὁ δὲ δεινὸς Σκαλίγηρος (Animadv. ad Euseb. Chron. p. 163) μνημονεύσας τὴν ἄνω τοῦ φιλοσόφου μάρτυρος περικοπὴν ἀπὸ τοῦ «Καὶ γὰρ Ἡρώδην» μέχρι τοῦ «ἀρχιερέα», ἔκρινε τὰ ἑξῆς· «Ἀλλὰ τὴν σήμερον (λέγει) οὐχ οὕτως ἀμαθεῖς τῆς ἀρχαιότητός εἰσιν οἱ Ἰουδαῖοι, ὥστε, ἢ τὸν Ἡρώδην Ἐφ' οὗ ἔπαθεν ὁ Χριστὸς συγχέειν μετὰ τοῦ πατρὸς αὐτοῦ Ἡρώδου τοῦ Ἀσκαλωνίτου· ἢ τὸν Ἡρώδην αὐτὸν (τὸν Ἀσκαλωνίτην) ἀρχιερέα γενέσθαι πιστεύειν, ὅπερ ἄντικρυς ἐστὶ γνώμη ΚΤΗΝΩΔΗΣ» (οὕτως ἑλληνιστὶ γράφει τὴν λέξιν). Ἀλλ' ἐπιστραφήτω τὸ καλὸν ἐπίθετον εἰς τοὺς κόλπους αὐτοῦ τοῦ γράψαντος, ὅστις οὕτω διεστρέβλωσε παρανοήσας τὴν φράσιν τοῦ μάρτυρος. Ὁ Ἰουστῖνος γράφων περὶ Ἡρώδου τοῦ Ἀσκαλωνίτου λέγει, «Ἀφ' οὗ ἔπαθεν ὁ Χριστὸς», τουτ. μεθ' ὃν (σημαίνει γὰρ καὶ τὸ ὕστερον ἢ ἀπὸ, ὡς, «ἀπὸ τῆς παρθενίας αὐτῆς» Λουκ. β, 36. καὶ «ἀπὸ Χριστοῦ» ἀντὶ «μετὰ Χριστὸν» Γρηγ. Ναζ. λόγ. α, σελ. 24· τοιαῦτα καὶ τὰ ἀπὸ λουτροῦ, ἀπὸ δείπνου, κτλ. βλ. καὶ Schleusn. Lex. N T. v. ἀπό). ὁ δὲ Σκαλίγηρος ἔγραψεν Ἐφ' οὗ, καὶ συγχύσας αὐτὸς τὰς προθέσεις, ἔπειτα συκοφαντεῖ τὸν μάρτυρα, ὡς συγχύσαντα τοὺς δύω Ἡρώδας (τὸν Ἀσκαλωνίτην ἐφ' οὗ ἐγεννήθη, καὶ τὸν υἱὸν αὐτοῦ, ἐφ' οὗ ἔπαθεν ὁ Κύριος). Πάλιν ὁ Ἰουστῖνος λέγει, ὅτι «καί τοι λέγοντες (ὦ Ἰουδαῖοι) τὸν βασιλέα ὑμῶν Ἡρώδην, Ἀσκαλωνίτην γεγονέναι (ὅθεν ξένον καὶ ἀλλόφυλον), ἀλλ' ὅμως λέγετε, ὅτι ἦν ὑμῖν ἀρχιερεὺς (τότε

μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος, ἤλεγχε μὲν τοὺς Ἰουδαίους ὡς διαφθείραντας περί τινας τόπους τὸ κείμενον τῆς Γραφῆς, ὅτι δὲ καὶ τὴν χρονολογίαν εἶχον τότε μεταβεβλημένην, οὐ προσέθηκεν ὁ μάρτυς (ἔμελλε δὲ πάντως, εἴπερ ὑπῆρχε τότε καταπεπραγμένον τὸ ῥᾳδιούργημα· βλ. ὄπισθ. σελ. 84). Καὶ πάλιν οὐδ᾽ αὐτοὶ οἱ τότε Ἰουδαῖοι, καί τοι πρὸς τὴν ἑρμηνείαν τῶν Ο δυσμεναίνειν ἤδη ἀρξάμενοι, καὶ λέγοντες « *μὴ καλῶς τινα ἐν αὐτῇ μεθηρμηνευμένα* », περὶ τῆς χρονολογίας ὅμως οὐδὲν ἔλεγον. Πῶς δ᾽ ἂν ἐσιώπησαν περὶ πράγματος οὕτω διαφέροντος αὐτοῖς, εἴπερ ἀνεγίνωσκον ἐν τῷ ἑβραϊκῷ τὴν νῦν χρονολογίαν; πῶς δ᾽ οὐκ ἀντέλεγον πρὸς τὸ περὶ τοῦ ἐπιφανέντος Χριςοῦ κήρυγμα τοῦ μάρτυρος, λέγοντες « *οὔπω καιρός*; » Πᾶν δὲ τοὐναντίον ὡμολόγουν, « ὅτι πᾶν τὸ γένος αὐτῶν τὸν Χριστὸν ἐξεδέχετο· καὶ εἰ ἦλθεν (ἔλεγον), *οὐ γινώσκεται ὅς* ἐςι » (Διαλ. π. Τρύφων. §. 89, καὶ §. 110). Ὥςε φαίνεται δυοῖν θάτερον, ἢ ὅτι τὰ ἑβραϊκὰ χειρόγραφα οὔπω τότε ἦσαν πάντα γοῦν περὶ τὴν χρονολογίαν τῶν πατριαρχῶν διεφθαρμένα· ἢ ὅτι οὐθ᾽ ὁ μάρτυς Ἰουςῖνος εἶχε μαθὼν τὴν ῥᾳδιουργίαν, (ὡς τότε ἴσως νεωςὶ διαπεπραγμένην), οὔτ᾽ αὐτοὶ πάλιν οἱ Ἰουδαῖοι ἐτόλμων διαβαλεῖν τὴν

ἐπὶ τοῦ Ἡρώδου δηλαδὴ) γνήσιος καὶ ὁμογενής· ὅτι δὲ τοῦτο λέγει· κηρύττουσι σαφῶς τὸ « ἐν τῷ γένει ὑμῶν » καὶ τὸ ἐφεξῆς « κατὰ τὸν νόμον Μωσέως » *κτλ.* Ὁ *δὲ Σκαλίγηρος μὴ διακρίνας τὰς αἰτιατικὰς, ἀπέδωκε τὸ ἀρχιερέα εἰς τὸν* Ἡ*ρώδην, καὶ πάλιν ἐσυκοφάντησε τὸν ἔγγιστα τῶν* Ἀπο*στόλων (καὶ ἔτι ζῶντος ἴσως τοῦ θεολόγου* Ἰ*ωάννου γεννηθέντα) μάρτυρα* Ἰουστῖ*νον, ὡς νομίζοντα τὸν* Ἡ*ρώδην ἀρχιερέα!* Καὶ *ἔχομεν ἤδη τὸν* Ἡ*ρώδην, Σκαλιγήρου ἔκητι, οὐ μόνον ψευδομεσσίαν, ἀλλὰ καὶ ψευδαρχιερέα, καὶ τοῦτο κατὰ τὸν* Ἰουστῖνον! Οὕτω *δ᾽ ἑαυτὸν ἀπατήσας ὁ πολύσοφος καὶ ὑβριστὴς Σκαλίγηρος, ἐξηπάτησε καὶ ἄλλους, καὶ τὸν* Καλμέτην· *ὅστις μετὰ τοῦ μάρτυρος* Ἰου*στίνου συμπαρέστησε καὶ* Στράβωνα *τὸν* Γεωγράφον *ὡς καὶ τοῦτον γράψαντα περὶ τοῦ* Ἡ*ρώδου, ὅτι ἦν ἀρχιερεύς* (il pris la souvairene sacrificature. Calmet. l. c. p. 231). Ἀλλ᾽ *ἰδοὺ τί γράφει ὁ τοῦ* Ἡ*ρώδου σύγχρονος Στράβων.* « Τῶν *δ᾽ ἀπὸ γένους τις ὕστερον, ἀνὴρ ἐπιχώριος, παραδὺς εἰς τὴν ἱερωσύνην, τοσοῦτον διήνεγκεν, — ὥστε καὶ βασιλεὺς ἐχρημάτισε* » (*Στράβ.* 765). Ἀλλὰ *διὰ τοῦ παραδὺς εἰς τὴν ἱερωσύνην ὁ* Στράβων *ἔοικεν ἐννοῶν, τὴν, ἣν* Ἡ*ρώδης ἐσφετερίσθη, παράνομον ἐξουσίαν εἰς τὸ κτίζειν καὶ καθαιρεῖν ἀρχιερεῖς, δι᾽ ἧς τὴν ἀρχιερωσύνην « ἀφελόμενος* Ἀνάνηλον *- ἀντιπαρέδωκεν* Ἀ*ριστοβούλῳ τῷ παιδί* » (Ἰώσηπ. Ἀρχ. *ιγ, γ,* § 1).

κατὰ τοὺς Ο χρονολογίαν, ᾗ χθὲς καὶ πρῴην ἐχρῶντο, καὶ ἣν μυρίοι τῶν ἐκτὸς τῆς Παλαιστίνης ὁμογενῶν αὐτῶν ἀνεγίνωσκον, εἰσέτι σῳζομένην ἐν ταῖς Γραφαῖς κατὰ τοὺς Τρύφωνος χρόνους (α). Τὸ δὲ παράδοξον, ὅτι καὶ μετὰ 4, αἰῶνας καὶ ἐπέκεινα διελθόντας κατόπιν τοῦ Ἰουστίνου (περὶ τὸ 600 μ. Χ.) καὶ αὐτοὶ οἱ Ταλμουδικοὶ, ἐν ᾧ διέβαλλον τοὺς Ο, ὡς τάχα παρερμηνεύσαντας ιγ μόνα χωρία τῆς Γραφῆς (βλ. ὄπισθ. σελ. 43), περὶ τῆς χρονολογίας ὅμως οὐδὲν εἶπον κατ' αὐτῶν, οὐδὲ γρύ.

Κ) Τελευταῖον· τὴν κατὰ τοὺς Ο χρονολογίαν πιστοποιεῖ καὶ βεβαιοῖ πᾶσα ἡ ἁγία καὶ ἀποστολικὴ τοῦ Χριστοῦ Ἐκκλησία. Πάντες οἱ τῶν ἱερῶν αὐτῆς διδασκάλων καὶ χρονολόγων ἀρχαιότατοι καὶ σοφώτατοι μίαν ἠπίσταντο βεβαίαν καὶ πρωτότυπον χρονολογίαν, τὴν κατὰ τοὺς Ο, καὶ ἀπ' αὐτῆς διώριζον τὴν ἐποχὴν τῆς τοῦ Χριστοῦ γεννήσεως κατὰ τὴν *ἕκτην χιλιετίαν* ἀπὸ κτίσεως κόσμου· οὐδεὶς δὲ τῶν διδασκάλων τῆς Ἐκκλησίας οὐδαμοῦ οὐδέποτε εἶπεν, ὅτι ὁ Κύριος ἡμῶν ἐγεννήθη τῷ 4000 ἔτει, ὡς ἐξάγεται ἐκ τῆς καθ' ἑβραίους συντετριμένης χρονολογίας. Ἐκτιθέμεθα δὲ κατ' ὄνομα καὶ αὐτῶν τῶν ἱερῶν Πατέρων τοὺς ἀκρέμονας.

Ὁ μὲν οὖν Ἰουστῖνος ὁ μάρτυς καὶ φιλόσοφος (τῷ 140 μ. Χ.) διαλεγόμενος περὶ τῶν προφητῶν τῶν προκηρυξάντων τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν, λέγει· « Προεφητεύθη, πρὶν ἢ φανῆναι αὐτὸν, ἔτεσι ποτὲ μὲν πεντακισχιλίοις, ποτὲ δὲ τρισχιλίοις, ποτὲ δὲ δισχιλίοις, καὶ πάλιν χιλίοις, καὶ ἄλλοτε ὀκτακοσίοις· κατὰ γὰρ τὰς διαδοχὰς τῶν γενῶν ἕτεροι ἐγίνοντο προφῆται» (β). Καὶ πρὸ τοῦ Ἰουστίνου ὁ ἰσαπόστολος Ἰγνάτιος, καὶ

(α) Περὶ τούτου τοῦ ἐπισήμου Ἰουδαίου Τρύφωνος εἴπομεν (σελ. 83). Τοῦτον λέγουσί τινες τὸν αὐτὸν, καὶ ὃν καλοῦσιν οἱ Ἰουδαῖοι Ῥαββὶ Ταρφὸν, καὶ κοινότερον Χοχεν ασιρ, ἤτοι ἱερέα πλούσιον, ἑταῖρον γενόμενον καὶ συστρατιώτην τοῦ ῥαββὶ Ἀκιβᾶ· διὸ καὶ μετὰ τὸν ὄλεθρον τούτου καὶ τοῦ Βαρχοχεβᾶ (βλ. ὄπισθ. σελ. 75), φυγὰς ᾤχετο εἰς τὴν Ἑλλάδα. βλ. Cave, Scrip. Eccl. Hist. p. 28.

(β) Ἰουστῖν. Ἀπολογ. Α, §. 31. Ὀκτακοσίοις ἔτεσι (π. Χ.) προεφητευ-

σὺν αὐτῷ Κλήμης ὁ Ῥώμης, ὁ Ἀπόστολος Βαρνάβας, ὁ Πολύκαρπος, ὁ θεῖος Εἰρηναῖος, Τατιανὸς ὁ Σύρος, ὁ Ἄφρος Τερτυλλιανὸς, καὶ ἄλλοι τῶν Πατέρων, ὅσοι κατὰ τὰς τρεῖς μ. Χ. ἑκατονταετηρίδας διέλαμψαν, ἐφρόνουν τὴν Χριστοῦ γέννησιν γενομένην κατὰ τὴν ἕκτην ἀπὸ κτίσεως κόσμου χιλιετηρίδα. Καὶ οἱ μέν τινες ἀορίστως, οἱ δὲ πλεῖστοι καὶ ὡρισμένως ἐδήλουν τὴν ἐποχὴν (αὐτὸ δηλαδὴ τὸ μέσον τῆς ἕκτης χιλιετίας). Οὕτως ὁ Βαρνάβας, (τῷ 70 μ. Χ.) ἐν τῇ εἰς αὐτὸν ἀπονεμομένῃ ἐπιστολῇ (α) παραβάλλων τὰς ἓξ ἡμέρας τῆς τοῦ κόσμου δημιουργίας πρὸς τὴν *μέχρι συντελείας* διάρκειαν αὐτοῦ, λέγει· «Ἐν ἓξ ἡμέραις (τουτέστιν) *ἐν τοῖς ἑξακισχιλίοις ἔτεσι* συντελεσθήσεται τὰ πάντα» (δηλονότι, εἰς τὸ τέλος τῆς ϛ χιλιετίας ἔσται ἡ συντέλεια τοῦ παντὸς, καὶ ἡ εἰς τὸ κρεῖττον καὶ τελειότερον ἀποκατάστασις) (β). Ὡσαύτως καὶ

σιν Ἡσαΐας· χιλίοις δὲ, ὁ Δαβίδ· δισχιλίοις δὲ, ὁ Μωϋσῆς (τῷ 1730 π. Χ. ἐκφράζει δὲ τοὺς ἀριθμοὺς ὁ μάρτυς κεφαλαιωδῶς, τὰς ἔγγιστα χιλιάδας μόνον ἐκφέρων)· τρισχιλίοις δὲ, ὁ Ἀβραὰμ, καὶ ὁ τοῦ Χριστοῦ τύπος Ἰσαὰκ, καὶ Ἰακὼβ· πενταχισχιλίοις δὲ τίθησι τὸν ἕβδομον ἀπὸ Ἀδὰμ προφητεύσαντα Ἐνὼχ (4378 π. Χ. κατὰ τοὺς Ο. πρβλ. Ἰουδ. Ἐπιστ. § 14). Τὸν Ἐνὼχ οἴεται καὶ ὁ Πεζρών. Ὁ δ' ἀντίπαλος αὐτοῦ Μαρτιαναῖος θέλει τὸν Ἀδὰμ (Martianay, Défense de text. Hebreu. T. 2. ch. 1). Ἀλλὰ τί κοινὸν τοῖς Ἰουστίνου 5000 ἔτεσι καὶ τῷ μόνα τὰ 4004 τοῦ Μασοραίου κειμένου πρεσβεύοντι Μαρτιαναίῳ; Ἀπαντῶσι δὲ πρὸς τοῦτον καὶ οἱ σοφοὶ τοῦ Ἰουστίνου ἐκδόται, μὴ πάνυ τοι πιστεύοντες, ὅτι ὁ μάρτυς Ἰουστῖνος πενταχισχίλια μόνον ἔτη ἀπὸ τοῦ Ἀδὰμ ἠρίθμει μέχρι Χριστοῦ (σημ. αὐτόθ.). καὶ ἴσως συνέβη σφάλμα περὶ τὴν ἀντιγραφὴν τοῦ ἀριθμοῦ, γράψαντος τυχὸν τοῦ πρώτου ἀντιγραφέως ͵ε (πενταχισχίλια) ἀντὶ ͵δ (τετραχισχίλια). Οὕτω καὶ ἐφεξῆς προϊὼν ὁ μάρτυς Ἰουστῖνος (αὐτόθ. §. 42) λέγει τὸν Δαβὶδ γενέσθαι ἔτεσι χιλίοις καὶ πεντακοσίοις π. Χ. Ἀλλ' ὁ Γράβης ὀρθῶς παρετήρησεν, ὅτι περὶ τὸν δεύτερον ἀριθμὸν συνέβη σφάλμα, καὶ ἴσως (ὡς νομίζομεν) ὁ μάρτυς ἔγραψε χιλίοις καὶ πεντήκοντα· ἀπὸ γὰρ τοῦ 4449 (τοῦ τέλους τῆς βασιλείας τοῦ Δαβὶδ) μέχρι τῶν 5508 (τῆς σωτηρίου ἐποχῆς) παρῆλθον ἔτη 1059.

(α) Περὶ τῆς τοῦ Βαρνάβα μὴ κανονικῆς ἐπιστολῆς βλ. Coteler. PP. Apost. T. 1. p. 46. καὶ 44. πρβλ. Le Moyen, Varia Sacr. T. 2. p. 848, καὶ Hefele, Patr. Apostolicor. Oper. p. 21.

(β) Ἀρχαία δόξα τῶν Ἰουδαίων ὑπῆρχεν, ὅτι ὁ κόσμος διαρκέσει ἐν χιλιετίαις ἓξ, ὡς ἐκτίσθη καὶ ἐν ἡμέραις ἓξ (βλ. Kennicot Dissert. general. §. 75). Οὕτως ἐν κεφ. ιδ, 11, 12, τοῦ λεγομένου Δ, Ἔσδρα (ἀποκρύφου βιβλίου, περὶ οὗ

Ὠριγένης· «Μετὰ τὸ πλάσαι τὸν δημιουργὸν τὸν ἄνθρωπον, ἑξακισχιλιοστῷ ἔτει κατῆλθε» (δηλονότι τῇ ἕκτῃ χιλιετίᾳ) (α). Ὅτι

προείπομεν σελ. 688) διορίζεται ἡ τοῦ κόσμου διάρκεια εἰς δώδεκα πενταχοσιετίας (κατὰ τὴν διαίρεσιν τῶν δώδεκα μοιρῶν τοῦ Ζωδιακοῦ), ἤτοι εἰς ἔτη 6000. Κατὰ δὲ τὴν ἐσχάτην χιλιοστὺν, ἔτι διαρκοῦσαν, περιέμενον τὸν Μεσσίαν· μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ, κατὰ τὸ τέλος τῆς ς, χιλιετίας, τὴν συντέλειαν. Αὕτη δὲ ἡ περὶ τῆς συντελείας ἀρχαία δόξα τῶν Ἰουδαίων προῆλθεν ἴσως ἐκ τῆς μὴ κατανοηθείσης φράσεως τῶν θείων προφητῶν, δι' ἧς οὗτοι προκατήγγελλον τὸν χρόνον τῆς ἐλεύσεως τοῦ Μεσσίου. Ὁ Ἡσαΐας λέγει· «Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου» κτλ. (β, 2—3), τὰ αὐτὰ καὶ ὁ Μιχαίας (δ, 1—4), καὶ ὁ Δανιὴλ «ἐπ' ἐσχάτων τῶν ἡμερῶν» (β, 28, 44), κτλ. Οὕτω καὶ οἱ θεῖοι Ἀπόστολοι ἐξέφραζον πολλάκις τὴν σωτήριον ἐποχὴν, καθ' ἣν, «Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου», «τὸ πλήρωμα τῶν καιρῶν» (Γαλάτ. δ: Ἐφεσ. α), ἐφανερώθη ὁ Χριστὸς, ἐπ' ἐσχάτων τῶν χρόνων (Α. Πέτρ. α, 20), «ἐν ταῖς ἐσχάταις ἡμέραις» (Πράξ. β, 17: Ἑβρ. α, 1), «ἐν τῇ συντελείᾳ τῶν αἰώνων» (Ἑβρ. θ, 26). Ἀλλ' αἱ φράσεις αὗται σημαίνουσι τὰ ἔσχατα, τὰ τέλη, τὴν συντέλειαν τῆς νομικῆς σκιώδους λατρείας, καὶ τοῦ κράτους τῆς ἁμαρτίας, ἐπιφανέντος τοῦ σαρκωθέντος Θεοῦ καὶ Σωτῆρος Χριστοῦ· «τέλος γὰρ νόμου, Χριστὸς» (Ῥωμ. Ι, 4)· «δι' οὗ ἡ χάρις καὶ ἡ ἀλήθεια ἐγένετο» (Ἰωάν. α, 17), καὶ «ὃς ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται» (Ἑβρ. θ, 26)· τότε ἐπὶ τῆς θείας Οἰκονομίας «τὰ ἀρχαῖα παρῆλθε, καὶ γέγονε τὰ πάντα καινά» (β. Κορ. ε, 17)· ὅθεν ὁ ἱερὸς Θεοδώρητος· «ἐσχάτας ἡμέρας τὴν δεσποτικὴν ἐπιφάνειαν ὁ Ἡσαΐας λέγει» (εἰς Ἡσ. β. πρβλ. Μ. Βασίλ. αὐτόθ. κτλ.). Σημειωτέον δὲ, ὅτι παρὰ τῇ θείᾳ Γραφῇ κατ' ἄλλας πάλιν ἰδιαζούσας ῥήσεις «ἔσχατος καιρὸς» (Α. Πέτρ. α, 5), καὶ «ἐσχάτη ἡμέρα» (Ἰωάν. ς, 39, κτλ.), καὶ «συντέλεια τοῦ αἰῶνος» λέγεται καὶ τὸ τέλος τοῦ κόσμου (Ματθ. ιγ, 39: κδ, 3)· ὅπου ὅμως διακρίνεται ἡ ἔννοια. Ἀλλὰ τὰ περὶ τούτων τῶν θεολέκτων φωνῶν ἐξηγοῦσιν οἱ ἱεροὶ Πατέρες, οἱ πιστοὶ τῶν Γραφῶν ἑρμηνεῖς, ἐξελέγχοντες καὶ τὴν ἐπιγενομένην πλάνην τῶν χιλιαστῶν· ὅτι δὲ πολλοὶ καὶ τῶν παλαιῶν Χριστιανῶν μετὰ τὴν ἐν τῷ μέσῳ τῆς ἕκτης χιλιετηρίδος πρώτην θεοφάνειαν τοῦ Σωτῆρος, ὑπελάμβανον ὡς ἐγγίζουσαν καὶ τὴν ἐπὶ τῆς δευτέρας τοῦ Κυρίου παρουσίας συντέλειαν τοῦ κόσμου, μαρτυροῦσιν ἄλλοι τε καὶ οἱ Θεσσαλονικεῖς, οὓς ὁ θεῖος Παῦλος παραινεῖ «μὴ θροεῖσθαι» διδάσκων αὐτοὺς τὰ πρόσφορα καὶ βέβαια τῆς θείας ἀληθείας ῥητά» (Β. Θεσσαλ. β. 2. καὶ Θεοδώρ. ἑρμην. αὐτόθ.).

(α) Ὠριγέν. π. τῆς εἰς Θεὸν ὀρθ. πίστεως τμ. β. τόμ. α. σελ. 823. ὅπου ὀρθῶς ὁ Wetstein ἐσημείωσεν, ὅτι «Numerum ut vocant rotundum expressit, alias computus Graecorum ad Christum natum tantum habet annos 5508. Ἀλλαχοῦ δὲ πάλιν ὁ Ὠριγένης (τ. γ. σελ. 859), τίθησι τὴν Χ. γέννησιν τῷ 4830, ἀπὸ

δὲ τὸ μέσον τῆς ϛ χιλιοστύος ἐνόουν, δείκνυται μάλιστα ἐκ τῶν εἰς τὸν μάρτυρα καὶ φιλόσοφον Ἰουστῖνον ἐπιγεγραμμένων « *Ἀποκρίσεων πρὸς τοὺς ὀρθοδόξους* ». Ἐν γὰρ τῇ οα ἐρωτήσει, τῇ « *εἰ ὁ κόσμος ἑξακισχίλια μόνα ἔτη συστήσεται* »; ἐπάγεται ἀπόκρισις αὕτη. « Ἔνεστι διὰ πολλῶν γραφικῶν φωνῶν τεκμήρασθαι ἀληθεύειν τοὺς λέγοντας 6000 ἔτη εἶναι τὸν χρόνον τῆς παρούσης τοῦ κόσμου συστάσεως· ποτὲ μὲν λέγουσα (ἴσ. γρ. *λέγουσιν*) « *ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων* »· ποτὲ δὲ, « εἰς οὓς *τὰ τέλη τῶν αἰώνων* κατήντησε . . πᾶσαι δὲ αἱ τοιαῦται φωναὶ ἐν τῇ *ἕκτῃ ἐῤῥήθησαν χιλιάδι* ». Ὥστε ὁ τῶν Ἀποκρίσεων τούτων συγγραφεὺς, ζῶν μεταξὺ τῆς σωτηρίου ἐποχῆς καὶ τῆς *μήπω πάντως* κατ' αὐτὸν συμπληρωθείσης ἑξακισχιλιετίας, ἐθεώρει τὰς ἀποστολικὰς ῥήσεις γεγραμμένας ἐν τῷ μέσῳ τῆς ἕκτης χιλιάδος· καὶ ἑπομένως ἐτίθει τὴν Χριστοῦ γέννησιν περὶ τὸ 5500 ἀπὸ Κ. Κ. (α). Ἄλλας περὶ τούτου παρομοίας μαρτυρίας ἐπισυνάπτομεν παρακατιόντες. Ἐκ δὲ τῆς ἀορίστου ταύτης φράσεως καὶ τῆς ἐπιτεταμένης ἀπαριθμήσεως τῶν ἐτῶν τῆς γενεᾶς τοῦ Φαλὲγ (βλ. τὴν ὑποσημείωσιν) ὁρμηθέντες τινὲς ἴσως, ἐτίθουν καὶ κατ' αὐτὸ τὸ τέλος τῆς ἕκτης χιλιετίας τὴν γέννησιν τοῦ Σωτῆρος (β). Ἀλλ' ἡ γνώμη αὕτη οὔτε πρὸς τὸν Κλήμεντα, καὶ Θεό-

---

Κ. Κ. συμπεριλαμβάνων ἐν τούτῳ τῷ κεφαλαίῳ καὶ τὰ 130 ἔτη τοῦ Καϊνᾶν (βλ. Jackon, Chronol. Antiq. T. 1. p. 78). Ἴσως δὲ καὶ τὸ κεφάλαιον ἔγραψε μεῖζον. (βλ. Pezron, Défense etc. p. 43). Τὸ χωρίον φαίνεται διεφθορός· ἑλληνιστὶ οὐ σῴζεται.

(α) Τοῦτο τὸ εἰς τὸν Ἰουστῖνον ἐπιγεγραμμένον πολύτιμον πόνημα νομίζουσί τινες συγγραφὲν περὶ τὸ 410 μ. Χ. (βλ. Du-Pin, Nouv. Biblioth. etc. T. 1. p. 58 καὶ Admonit. in Quaest. Iustin. p. 466 ἐν τῇ ἐκδ. Ἰουστίν. Venet. 1747)· ἀλλ' ὀρθότερον ἔκρινεν ὁ Labbaeus (Script. Eccles. pag. 669) γνήσιον μὲν τοῦ μάρτυρος Ἰουστίνου τὸ σύγγραμμα, προσηυξημένον δ' ἔπειτα διὰ σημειώσεων (αἵτινες εἰσεῤῥύησαν καὶ εἰς τὸ κείμενον) ὑπ' ἄλλου τινὸς νεωτέρου. πρβλ. καὶ Cave, Script. Eccles. Hist. p. 28, ὅστις νομίζει, ὅτι τοῦτο τὸ βιβλίον τοῦ Ἰουστίνου ἐνόει ὁ Φώτιος ὑπὸ τὸ ὄνομα « Ἀποριῶν κατὰ τῆς εὐσεβείας κεφαλαιώδεις ἐπιλύσεις » (Ἀναγν. ρκε).

(β) Οὕτως Ἡσύχιος, ὁ πρεσβύτερος Ἱεροσολύμων, ἐν τῷ εἰς αὐτὸν ἐπιγεγραμμένῳ ἀποσπάσματι τῶν εἰς τὴν Γένεσιν ὑπομνηματισμῶν, λέγει, ὅτι « ἐγεννήθη ὁ Κύριος ἡμῶν τὸ κατὰ σάρκα ἔτους, κατὰ Ἀντιοχεῖς, ἀπὸ κτίσεως κόσμου ͵ϛ (6000)· ἅτινα (προστίθησι) καὶ Κλήμης, καὶ Θεόφιλος, καὶ Τιμόθεος οἱ χρονογράφοι ἐξέθεντο, ὁμοφρονήσαντες, ὅτι τῇ ͵ϛ χιλιάδι τῶν ἐνιαυτῶν ἐφάνη ὁ Κύριος. Ἕτεροι δὲ

φιλον, οὔτε πρὸς ἄλλους ἀρχαίους καὶ ἀκριβεῖς συγγραφεῖς συμφωνεῖ.

φασὶν, ὅτι τῷ ,εφ (5500) ἔτει, ἀλλ' οὐ πολλοὶ συμφωνοῦσιν εἰς τοῦτο, «ἐν δὲ τῷ ,ς ἔτει πάντες οἱ ἀκριβεῖς συγγραφεῖς» (βλ. τὸ Σχόλιον ἐν Προλεγ. τοῦ Χρονικ. Πασχαλ. σελ. 116. Bon.). Τὸ ἀπόσπασμα τοῦτο τοῦ Ἡσυχίου ἄλις διεσπασμένον κατεχώρισεν ὁ Δουκάγγιος ἐν τῷ προλόγῳ τοῦ ὑπ' αὐτοῦ ἐκδεδομένου Πασχαλίου Χρονικοῦ. Ἀλλ' εἴπερ ὀρθῶς (ὡς ἔοικεν) ἀποδέδοται εἰς Ἡσύχιον τὸν Ἱεροσολύμων πρεσβύτερον (οὗτος ἤκμαζε τῷ 410, μ. Χ. Βλ. Θεοφάν. Χρονογρ. σελ. 71. τούτου δὲ καὶ ὁ Φώτιος μνημονεύει, ἀναγν. σξθ.), εἴπερ ὀρθῶς εἰς τοῦτον τὸν Ἡσύχιον ἀποδέδοται ἡ ἐν Βονωνίᾳ ἐκδοθεῖσα ἀνώνυμος Ἱ ε ρ ὰ ἱ σ τ ο ρ ί α (Anonymi Script. Histor. Sacra etc. ed. Bianconi, Bonon. 1779), ὁ Ἡσύχιος ὁ Ἱεροσολυμίτης οὗτος ἀριθμεῖ ῥητῶς «ἀπὸ Ἀδὰμ ἕως τῆς παρουσίας Χριστοῦ ἔτη 5500» (βλ. σελ. 68)· ὥστε ἄλλου τινὸς φαίνεται ἡ παρὰ τῷ Δουκαγγίῳ περὶ ἧς ὁ λόγος περικοπὴ τοῦ Ἡσυχίου. Ἔπειτα καὶ ὁ παρ' αὐτῷ ψηφισμὸς τῶν ἐτῶν φαίνεται διάφωνος. Ἀπὸ Ἀδὰμ (λέγει) ἕως Φαλὲγ ἔτη 3000 (ἐν ᾧ λογίζονται τὰ ἔτη 2901. Εὐσέβ. Σύγγελ.). καὶ πάλιν, «Ἀπὸ Ἀδὰμ ἕως τοῦ μβ τοῦ καίσαρος Αὐγούστου (τῆς σωτηρίου ἐποχῆς) ἔτη 5967» (καὶ 33 τῆς ἐπὶ γῆς πολιτείας τοῦ Σωτῆρος = 6000· οὕτω καὶ παρὰ Σουΐδ. λ. Φαλέγ). Ἀλλ' οὐδεὶς τῶν ἀρχαίων Πατέρων τοιαύτην παρατεταμένην χρονολογίαν οὔτε Κλήμης, (ὡς λέγομεν ἀνωτέρω), οὔτε Τιμόθεος (τίς δὲ καὶ οὗτος; ἄδηλον· ὑπέλαβόν τινες τὸν ἐθνικὸν χρονογράφον, οὗ χωρίον διέσωσεν ὁ Εὐσέβιος. Χρον. σελ. 4)· ἀλλὰ καὶ αὐτὸς πάλιν ὁ Σουΐδας (ἐν λέξ. Ἀδὰμ) ἀριθμεῖ ἀπὸ Ἀδὰμ ἕως Χριστοῦ ἔτη 5500. Τὸ δὲ πάντων παραδοξότερον, ὅτι ἡ περικοπὴ αὕτη τοῦ Ἱεροσολύμων Ἡσυχίου εἰσάγει καὶ τοὺς Ἀ ν τ ι ο χ ε ῖ ς τῷ 6000 ἔτει ἀκριβῶς τιθέντας τὴν Χριστοῦ γέννησιν, ἐν ᾧ ὁ Ἀντιοχείας Θεόφιλος ἀριθμεῖ 5507· ὡσαύτως καὶ οἱ δύω Ἀναστάσιοι οἱ Ἀντιοχείας, 5500 (ὡς λέγομεν ἀνωτέρω). Ἐκ δὲ ταύτης τῆς παρ' Ἡσυχίῳ φράσεως, τῆς «κ α τ' Ἀ ν τ ι ο χ ε ῖ ς», ὁ περικλεὴς καὶ οἷον ἀ σ τ ὴ ρ τ ο ῦ π ρ ώ τ ο υ μ ε γ έ θ ο υ ς ἐν τῇ θεωρίᾳ τῆς κατὰ τοὺς Ο χρονολογίας διαλάμψας Πεζρὼν (ὡς δικαίως ἐπωνομάσθη ὑπὸ τοῦ Σεϋφάρθου) ὑπέλαβεν, ὅτι τῶν Ἀντιοχέων ἡ Ἐκκλησία ἐψήφιζε τὴν σωτήριον ἐποχὴν τῷ ἑξακισχιλίῳ ἔτει ἀκριβῶς ἀπὸ Κ. Κ. Διὸ καὶ αὐτὸς ἐν τῇ κατ' αὐτὸν χρονολογίᾳ ταύτην ἔταξε τὴν ἐποχὴν, ψηφίσας τὴν κτίσιν τοῦ κόσμου ἔτει 5971 π. Χ. (βλ. Défense de l' Antiq. des Tems p. 14 καὶ 565). Οὕτω καὶ αὐτὸς ὁ Σεϋφάρθος ὁ σοφὸς ἔταξε τὴν Κ. Κ. ἔτει 5871. π. Χ. ψηφίζοντες, ὁ μὲν 463 : ὁ δὲ 363 ἔτη περισσότερα τῆς ἀκριβείας, ἣν ἡ καθ' ἡμᾶς Ἐκκλησία θεσπίζει (5508), καὶ πρὸς ἣν ἐπισήμως καὶ ὁ περικλεέστατος Κουνιγχάμος μετὰ τοῦ σοφοῦ Βαλλάκη πλησιάζουσι μάλιστα, μόνον ἔτεσι 30 ἀπολειπόμενοι· ψηφίζουσι γὰρ ἀπὸ Κ. Κ. μέχρι Χ. ἔτη 5478 τὰ δὲ 5508 τιθέασιν ἐπὶ τοῦ βαπτίσματος τοῦ θεανθρώπου. Ἀλλὰ καὶ τούτων τὴν μικρὰν, κἀκείνων τὴν μείζονα διαφορὰν ἴσα καὶ μηδενὶ θεωροῦμεν, ὡς πρὸς τὴν παρασάγγας ὅλους ἀπέχουσαν τῆς ἀληθείας χρονομετρίαν τοῦ Μασοραίου κειμένου. Αἱ προειρημέναι τῶν σοφῶν ἀνδρῶν διαφοραὶ, προσκείμεναι πρὸς τὴν παρ' αὐτοῖς ἑ β δ ο μ η κ ο ν τ α γ ε ν ῆ χρονολογίαν, φαίνονται ὡς ἂν μικραί τινες ἀκροχορδόνες, ἢ ἐλαῖαι καλοῦ σώματος, μηδὲν παραβλάπτουσαι τὴν διαλάμπουσαν εὐμορφίαν.

Αὐτίκα, αὐτὸς ὁ μετὰ τοὺς Ἀποςόλους ἕκτος ποιμὴν τῆς Ἀντιοχείας Θεόφιλος (τῷ 167–180 μ.Χ.) ἐν τῷ γ, τῶν πρὸς Αὐτόλυκον (§. 24, 26), διορίζει ῥητῶς, ὅτι « Ἀπὸ κτίσεως κόσμου ἕως κατακλυσμοῦ ἐγένοντο ἔτη 2242 » (βλ. ὄπισθ. σελ. 711), καὶ ἐφεξῆς μέχρι τῆς Χριστοῦ γεννήσεως προϊὼν, συνάγει τὰ πάντα ἀπὸ Κ. Κ. ἔτη 5507 (α). Κλήμης ὁ Ἀλεξανδρεὺς (τῷ 190 μ. Χ.) ἐν τοῖς ἀποσωθεῖσι συγγράμμασι (Στρωμ. Α. σελ. 242) φαίνεται ψηφίζων ἔτη 5472 (ϐ). Ὁ δὲ ἱερὸς Ἱππόλυτος (τῷ 200 μ. Χ.) λέγει ταῦτα· « Ἡ πρώτη παρουσία τοῦ Κυρίου ἡμῶν ἡ ἔνσαρκος ἐν Βηθλεὲμ ἐπὶ Αὐγούστου γεγένηται πεντακισχιλιοστῷ καὶ πεντακοσιοστῷ ἔτει» (γ). Τὸν δ᾽αὐτὸν καὶ «τὴν τοῦ ἀντιχρίστου παρουσίαν *πεντακοσίοις ἔτεσιν* ἀπὸ Χριστοῦ ὑπαχθέντα περιγράψασθαι, ὡσανεὶ τῶν ἀπὸ πρώτης τοῦ κόσμου καταϐολῆς ἑξακισχιλίων ἐτῶν συντελουμένων» ἐδήλωσε Φώτιος (Ἀναγν. σϐ). Καὶ Ἰούλιος ὁ Ἀφρικανὸς ὁ θαυμάσιος (τῷ 220 μ. Χ.), ὁ τὴν ἱερὰν χρονολογίαν πρὸς τὴν κοσμικὴν ἱςορίαν παρεξετάσας (ἐξ ὧν ἔλαϐε παρ᾽Ἑλλήνων συγγραφέων, καὶ μάλιστα παρὰ τοῦ Κυρηναίου Ἐρατοσθένους ἐθνογραφικῶν θεωριῶν), καὶ πρῶτος ἐκθέμενος συγκριτικὴν τῶν χρόνων ἀναγραφὴν (ἐξ ἧς καὶ Εὐσέϐιος, καὶ Σύγκελλος, καὶ τὸ χρονικὸν Πασχάλιον, καὶ ὁ Μαλαλᾶς, καὶ εἴ τις ἄλλος ὕςερον τὰ πλεῖςα μετέγραψαν) (δ), ὁ ἔνδοξος Ἀφρικανὸς ἐψήφισε τὴν Χριςοῦ γέννησιν τῷ 5500 μ. Χ. Ὁ δ᾽ αὐτὸς (παρὰ Συγκέλ. σελ. 31) προστίθησιν, ὅτι « Καὶ οἱ Ἰουδαῖοι τὸ ἀνέκαθεν διὰ τοῦ Μωσέως πνεύματος διδαχθέντες, ἔκ τε τῶν λοιπῶν ἑϐραϊκῶν ἱςοριῶν, ἀριθμὸν ἐτῶν πεντακισχιλίων πεντακοσίων εἰς τὴν ἐπιφάνειαν τοῦ Σωτηρίου λόγου, τὴν ἐπὶ τῆς μοναρχίας τῶν Καισάρων κηρυσσομένην, παραδεδώκασι» (βλ. ὄπισθ. σελ. 750). Ὁ δὲ Κυπριανὸς ὁ ἱερομάρτυς (τῷ 250 μ. Χ.) «Οὔπω (φησὶν) *ἑξακισχίλια* συνε-

(α) Βλ. καὶ Kennicot. Disser. gener. p. 182.

(ϐ) Βλ. Wallace l. c. p. 62.

(γ) Βλ. Routh, Reliq. Patr. T. 2. p. 349.

(δ) «Τὸν ἱστοριογράφον Ἀφρικανὸν μνημονεύει καὶ ὁ Μ. Βασίλειος (π. τοῦ ἁγ. Πνεύματ. κεφ. 29), καὶ ὁ Φώτιος μετ᾽ ἐπαίνων (Ἀναγν. λδ), κτλ. βλ. καὶ Lumper, Histor. etc. T. 7. p. 76.

πληρώθησαν ἔτη, ἐξ ὅτου ὁ διάβολος πολεμεῖ τῷ ἀνθρώπῳ» (α)· ἠρίθμει λοιπὸν πιθανώτατα καὶ οὗτος ὡς ὁ Ἀφρικανὸς (5500). Ὡσαύτως καὶ Λακτάντιος (τῷ 306 μ. Χ.) «Ἴστωσαν (φησὶν) οἱ φιλόσοφοι, οἱ ἀπὸ γενέσεως κόσμου χιλιάδας αἰώνων ἀριθμοῦντες, ὅτι οὔπω συνεπληρώθη ἕκτη χιλιὰς ἐτῶν» κτλ. (β). Ὁ Εὐσέβιος (315 μ. Χ.) χρονολογεῖ κατὰ τοὺς Ο, καίτοι μὴ πάντη ἀκριβῶς διατηρήσας τὸ κεφάλαιον τῶν ἐτῶν· περὶ τούτου λέγομεν ἐφεξῆς. Ὁ τοῦ Εὐσεβίου σύγχρονος Εὐστάθιος ὁ Ἀντιοχείας (Ὑπομνήμ. εἰς Ἑξαήμ. σελ. 55) «ἔτη πεντακισχίλια καὶ πεντακόσια τριάκοντα ἓν» (ἴσ. γρ. *ἐννέα*) ἀπὸ Κ. Κ. μέχρι τῆς τοῦ Σωτῆρος ἀναστάσεως ἀριθμεῖ (τουτ. 5507 μέχρι τῆς γεννήσεως αὐτοῦ) (γ). Ὁ ἅγιος Ἐπιφάνιος (369 μ. Χ.) ἀπὸ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἔτη 2262 (κατὰ τοὺς Ο) ἀριθμεῖ (τόμ. α. σελ. 5), καὶ πάλιν (Αἱρέσ. ξϛ. τόμ. α. σελ. 663) τὸ τριακοστὸν ἔτος τῆς Χριστοῦ παρουσίας «κατήντα (φησὶν) εἰς τὸ *πεντακισχιλιοστὸν πεντακοσιοστὸν ἔννατον ἔτος* τῆς κοσμοποιΐας» (ἀλλ' ἴσως ἔγραψεν ὁ Ἐπιφάνιος τὸ ͵εφλθ, ἤτοι 5539). Ὁ δὲ μακάριος Ἐφραὶμ ὁ Σύρος (τῷ 378) μετὰ τὰ 5500 ἀπὸ Κ. Κ. τίθησι τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος (δηλονότι τῷ 5507) (δ). Τοῦτο νοεῖ κεφαλαιωδῶς ἐκφραζόμενος καὶ ὁ θεῖος Χρυσόστομος (τῷ 398). «Μετὰ πεντακισχίλια καὶ *πλείονα* ἔτη τοῦ γένους ἧκε προνοήσων τοῦ ἡμετέρου ὁ Χριστὸς» (τόμ. ε. σελ. 377). Καὶ ὁ τούτῳ σύγχρονος ἱερὸς Αὐγουστῖνος (π. πόλ. Θεοῦ ιη, 22) «Ἀπὸ τοῦ πρώτου (φησὶν) ἀνθρώπου ἓξ χιλιάδες ἐτῶν οὔπω συνετελέσθησαν» (ἐπ' αὐτοῦ δηλαδὴ, τῷ 400 μ. Χ.). Καὶ Σεβῆρος ὁ Ἀντιοχεὺς (ἴσ. ὁ Γαβάλων. τῷ 400 μ. Χ.) «Μετὰ τὸ πληρωθῆναι (φησὶ) τὰ 5500 ἔτη ἀπὸ Κ. Κ. ἐπεδήμησεν ὁ Κύριος ἡμῶν» (ε). Οὕτω καὶ Ἡσύχιος, ὁ ἀνώνυμος τῆς ἱερᾶς Ἱστο-

(α) Cyprian. Ad Fortun. de exhortatione martyr. praef. §. 2. T. 2. p. 190. ed. Goldhorn·

(β) Lactant. Instit. VII, 13 πρβλ. καὶ 25. — (γ) Βλ. Pezron, Défens. etc. p. 22. — (δ) Βλ. Kennicot. Diss. gener. §. 83. p. 183.

(ε) Βλ. Maij, Script. Veter. Nov. Collect. e Vatic. T. 1. p. 222. καὶ Chronic. Paschal. proleg. p. 112 Bon.

ρίας συγγραφεὺς (περὶ οὗ προείπομεν ὄπισθ. σημ. σελ. 780). Ὁ δὲ Σουλπίκιος ὁ Σεβῆρος (τῷ 400) διορίζει τὴν σωτήριον ἐποχὴν τῷ 5469 (μικρῷ τοῦ δέοντος ὀψιαίτερον, εἴπερ οἱ μεταγραφεῖς ἔγραψαν ὀρθῶς τοὺς ἀριθμούς). Περὶ δὲ τὸ 420, Πανόδωρος καὶ Ἀννιανὸς, οἱ ἐξ Αἰγύπτου θεοφιλέστατοι μοναχοὶ, πολλὰ καὶ χρήσιμα περὶ τὴν χρονολογίαν πεπονηκότες, ὁ μὲν Πανόδωρος ἠρίθμει 5493 ἀπὸ Κ. Κ. μέχρι Χριστοῦ. Ὁ δὲ Ἀννιανὸς συμφώνως τῷ Ἀφρικανῷ, καὶ μᾶλλον πρὸς τὰς πατρικὰς παραδόσεις πλησιέστερον, ἀπεδείκνυε τὴν θείαν σάρκωσιν τῷ 5500 πληρουμένῳ, καὶ ἀρξαμένῳ τῷ 5501 (βλ. Σύγγελ. σελ. 62). Οὕτω καὶ Κύριλλος ὁ Σκυθουπολίτης (τῷ 555 μ. Χ.) ἱστορεῖ τὴν τελευτὴν τοῦ ἁγίου Εὐθυμίου γενομένην, « ἀπὸ μὲν Κ. Κ. ἀφ᾽ οὗ περ χρόνος ἤρξατο τῇ τοῦ ἡλίου φορᾷ μετρεῖσθαι, ἔτους 5965, ἀπὸ δὲ τῆς τοῦ θεοῦ λόγου ἐκ παρθένου ἐνανθρωπήσεως ἔτους 465, κατὰ τοὺς συγγραφέντας χρόνους ὑπὸ τῶν ἁγίων Πατέρων Ἱππολύτου τοῦ παλαιοῦ καὶ γνωρίμου τῶν Ἀποστόλων, καὶ Ἐπιφανίου τοῦ Κυπριώτου, καὶ Ἥρωνος τοῦ φιλοσόφου καὶ ὁμολογητοῦ » (α) (ἐὰν οὖν τὰ 465 ἀφαιρεθῶσι τῶν 5965 καταλείπονται 5500 ἀπὸ Κ. Κ. ἕως Χ.) (β). Ὡσαύτως καὶ ὁ ἱερὸς Ἀναστάσιος, ὁ Σιναΐτης (ἐν τῇ Ἑξαημέρῳ), ὁ καὶ πατριάρχης Ἀντιοχείας (τῷ 561 μ. Χ.), καὶ περὶ τὰ θεῖα μάλιστα λόγιος (Εὐάγρ.)· καὶ ὁ τούτου διάδοχος, καὶ οὗτος Ἀναστάσιος, καὶ Σιναΐτης, ἅμα δὲ καὶ Ἱερομάρτυς (βλ. ὄπισθεν σελ. 65), σύγχρονος τοῦ Πάπα Γρηγορίου τοῦ Διαλόγου (τῷ 599)· καὶ Μάξιμος ὁ ὁμολογητὴς (τῷ 645)· καὶ Γεώργιος ὁ Σύγκελλος (τῷ 792)· καὶ ὁ τοῦτον συνεχίσας Θεοφάνης· καὶ Νικηφόρος, ὁ Κωνσταντινουπόλεως πατριάρχης (τῷ 806), καὶ Εὐτύχιος (τῷ 937) καὶ Μαλαλᾶς, καὶ Κεδρηνὸς, καὶ Σουΐδας (λ. Ἀδάμ)· καὶ πάντες σχεδὸν οἱ ἀρχαῖοι, καὶ οἱ Βυζαντινοὶ χρονογράφοι καὶ ἱστορικοὶ 5500, ἢ 5501 ἠρίθμουν ἔτη, « *κατὰ τὰς ἀνέκαθεν* ΠΑΣΑΙΣ ΤΑΙΣ ΕΚΚΛΗΣΙΑΙΣ *ἐπικρατησάσας παραδόσεις* » (Νικηφ. ὁ πα-

(α) Περὶ τοῦ Ἥρωνος βλ. Εὐσεβ. Ἐκκλ. ἱστορ. κγ, κε.

(β) Ἐν βίῳ τοῦ ἁγ. Εὐθυμίου, ἐκδεδομένῳ ἐν Coteler. Monument. T. 3. p. 230.

τριάρχ. Χρονογρ.). Ὁ δ' αὐτὸς ἀριθμὸς συμφωνεῖ καὶ πρὸς τὴν παρ' Ἰωσήπῳ χρονολογίαν, περὶ ἧς προείπομεν (σελ. 746). Τοῦτον τὸν ἀριθμὸν βλέπομεν γεγραμμένον καὶ ἐν *τοῖς πρακτικοῖς* τῆς Ζ, Οἰκουμενικῆς Συνόδου (πράξ. ς), τῆς ἐν ἔτει 783 συγκροτηθείσης ἐπὶ Ταρασίου τοῦ Πατριάρχου (παρ' ᾧ σύγκελλος ἦν ὁ χρονογράφος Γεώργιος ὁ Σύγκελλος) (α). Τὸ δὲ Χρονικὸν Πασχάλιον ἔτι πρότερον (ἐπὶ Μαυρικίου, τῷ 586) προσετίθη καὶ μονάδας ἑπτὰ (5507), ὅσας καὶ Θεόφιλος ὁ Ἀντιοχείας (ὡς προείρηται). Ἀλλ' ἡ Ϛ. Οἰκουμενικὴ (ἐν Τρούλλῳ) Σύνοδος (τῷ 691 μ. Χ.) ὥρισε τὸν χρόνον τῆς Χριστοῦ γεννήσεως 5508 (Κανόν. γ). Καὶ τοῦτον κυρίως τὸν *κανονισθέντα* ψηφισμὸν κατέχει καὶ νῦν ἡ πολλαχοῦ τῆς Οἰκουμένης, πρὸς ἀνατολάς, καὶ δυσμάς, καὶ νότον, καὶ βοῤῥᾶν ἐφηπλωμένη Ὀρθόδοξος Ἐκκλησία (β). Τούτῳ τῷ ἔτει ἐχρῶντο καὶ οἱ τῆς Κωνσταντινουπόλεως αὐτοκράτορες (ὅθεν ὠνομάσθη καὶ *Κωνσταντινουπολῖτις*, καὶ *Ῥωμαϊκὴ ἐποχὴ*, καὶ *πολιτικὸν ἔτος τῶν Γραικῶν*). Τούτῳ καὶ οἱ Πατριάρχαι (ἕως συνειθίσθη τὸ τῆς Σωτηρίου ἐποχῆς). Τοῦτο γέγραπται τὸ ἔτος κἀν τῷ Ὅρῳ τῆς ἐν Φλωρεντίᾳ διαβεβοημένης Συνόδου (γ). Οὕτως ἀπὸ τῶν Ἀποστολικῶν χρόνων καὶ ἐφεξῆς διὰ χρόνου μακροῦ πᾶσαι αἱ ὑπ' οὐρανὸν Ἐκκλησίαι τοῦ Χριστοῦ ἐχρονολόγουν τὴν ἐπὶ γῆς αὐτοῦ θεοφάνειαν γενομένην ἐπὶ τῆς ἕκτης χιλιετηρίδος, καὶ ταύτης ὡρισμένως μεσούσης, περὶ τὸ 5500 ἀπὸ Κ. Κ. αἱ δὲ μικραὶ

(α) Βλ. Συνόδ. Συλλογ. τόμ. β. σελ. 829. ἐκδ. Ἐνετ. Ἔστι δὲ ἡ φράσις αὕτη. « Ἐν γὰρ τῷ πρώτῳ καὶ πεντακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει Χριστὸς ὁ Θεὸς ἡμῶν εἰς ἀνθρώπους ἐλθὼν » κτλ.

(β) Βλ. καὶ τὴν καλλίστην χρονολογίαν, ἣν μετ' ἄλλων πολλῶν, καὶ σοφῶν, καὶ γνώσεως καὶ εὐσεβείας ἐμπλέων συγγραφῶν ῥωσσιστὶ συνέγραψεν ὁ πανεύφημος ἅγιος Δημήτριος, ὁ Ῥοστοβίας μητροπολίτης (1690—1705 μ. Χ.), ἐκ πολλῶν ἀπανθισάμενος συγγραφέων, καὶ πρὸς τὴν ἑβραϊκὴν καὶ λατινικὴν συγκριτικῶς παραβαλών· κεῖται δὲ ἐν τῷ Δ, τόμῳ τῶν αὐτοῦ συγγραμμάτων, ἐκδ. Μόσχ. 1840.

(γ) « Ἐδόθη (ὁ Ὅρος) ἐν τῇ ἐν Φλωρεντίᾳ δημοσίῳ Συνελεύσει, ἑορτασίμως ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ τελειωθείσῃ, ἔτει ἀπὸ τῆς τοῦ Κυρίου σαρκώσεως 1439, Ἰουλίου ς, ἡμέρα β, Ἰνδικτιῶνος β· ἀπὸ δὲ Κτίσεως, 6947· τῆς ἀρχιερατείας ἡμῶν 9 ». (δηλαδὴ τοῦ Πάπα Εὐγενίου τοῦ Δ).

περί τινας μονάδας τῶν ἐτῶν διαφοραὶ ἐθεωροῦντο ἀδιάφοροι (α) (λέγομεν δὲ περὶ τούτου καὶ ἐν τῷ ἑπομένῳ παραγράφῳ). Οὐδεμία δὲ τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν οὐδαμοῦ τῆς Οἰκουμένης ἀπεδέξατο τὴν κατ' Ἰουδαίους χρονολογίαν.

§. ις. Ἀλλὰ πῶς μετὰ τὴν παγκόσμιον ταύτην τῆς Ἐκκλησίας συμφωνίαν παρεισήχθη κατὰ τὴν δυτικωτέραν Εὐρώπην ἡ χρῆσις τῆς καθ' Ἑβραίους συντετμημένης χρονολογίας; ἐροῦμεν εὐθύς. Εἴπομεν ἐν τοῖς ἔμπροσθεν, ὅτι ὁ Εὐσέβιος (365 μ. Χ.), καίτοι τοῦ συντετμημένου ἑβραϊκοῦ τὰς ἀτοπίας θεωρήσας, ἐπαινέσας δὲ καὶ τὰ τοῦ Ἀφρικανοῦ « *περὶ χρονογραφιῶν σπουδάσματα ὡς ἐπ' ἀκριβὲς πεπονημένα* » (Ἐκκλ. Ἱστορ. ϛ, λα), καὶ τούτοις τὸ πλεῖστον παρακολουθήσας, καὶ τὴν κατὰ τοὺς Ο χρονολογίαν ἐν γένει διατηρήσας, ἀπέκλινεν ὅμως κατὰ μέρος καὶ εἰς τὴν ἐπιτομωτέραν, τὴν καθ' Ἑβραίους· διὸ καὶ τῆς ἀκριβείας ἐκπέπτωκεν ἐν τῷ κατ' αὐτὸν χρονικῷ, μήτε τὰ 130 ἔτη τοῦ Β. Καϊνᾶν στοιχειώσας, καὶ ἄλλα δέ τινα παραλιπὼν ἔτη τῆς τῶν Κριτῶν ἐποχῆς, καὶ τῆς ἐφεξῆς βασιλείας τοῦ Ἰσραήλ. Ὅθεν καὶ ἀντὶ τῶν 5500 τοῦ Ἀφρικανοῦ, ἐψήφισε 5210 ἀπὸ Κ. Κ. μέχρι τῆς σωτηρίου ἐποχῆς, ἀπολειφθεὶς ἔτεσι 290 (β). Τὴν Εὐσεβίου χρονολογίαν ἀπεδέξατο διατηρήσας σχεδὸν κατὰ γράμμα καὶ ὁ τούτου τὸ χρονικὸν ἐκλατινίσας καὶ προσαυξήσας Ἱερώνυμος (τῷ 380 μ. Χ.). Τούτῳ δ' ἐπηκολούθησαν καί τινες ὀλίγοι τῶν κατὰ μέρος δυτικῶν σοφῶν (γ). Καὶ ἔστι μὲν οὐ σμι-

---

(α) Τρεῖς ἐπίσημοι καὶ μικρὸν ἀπ' ἀλλήλων διαφέρουσαι φέρονται ἐποχαί. ἡ κατὰ Πανόδωρον, 5493· καὶ ἡ κατ' Ἀννιανὸν, ἡ Ἀφρικανὸν, 5500, ἡ 5501, καὶ τέλος, ἡ κυρία τῶν 5508 (ἃ κακῶς τινες ἔγραψαν 5509). Βλ. τὸν Goar, not. in Theophan. p. 546. πρβλ. Ersch und Gruber, Allgemein. Encyclopädie der Wischenschaft. und Künst. 2. Th. p. 70. Leipz. 1819.

(β) Ἀντὶ γὰρ τῶν 5816 ἀπὸ Κ. Κ. μέχρι τῆς εἰκοσαετηρίδος τοῦ Μ. Κωνσταντίνου, ὁ Εὐσέβιος συνῆξεν ἔτη 5526 (Χρονικ. α). Ἐκ τούτων ἀφαιρεθέντων τῶν ἀπὸ Χρ. μέχρι τῆς εἰκοσαετηρίδος Κωνσταντίνου 316, λείπονται ἀπὸ Κ. Κ. ἕως Χ. 5210. (βλ. Σύγκελ. Χρονογρ. σελ. 64), ἡ κατ' ἄλλον ὑπολογισμὸν, 5199, ὡς ἔγραψεν ὁ Ἱερώνυμος.

(γ) Οἷον Παῦλος Ὀρόσιος (418 μ. Χ.), ὁ Προσπέριος (τῷ 450 μ. Χ.), καὶ ἄλλοι

κρὸν τὸ διάφορον, ἔλλειψις 300 ἐτῶν, κατά γε τὴν ἀκρίβειαν τῆς τῶν χρόνων ἀναγραφῆς. Ἀλλ' ὅμως ἐν οὕτω μακρᾷ καὶ δυσχερεῖ παλαιῶν καὶ πολυελίκτων χρόνων θεωρίᾳ γίνεταί πως τὸ σφάλμα συγγνωστὸν καὶ οἰστόν. Αὐτὸς ὁ μακάριος καὶ σοφώτατος φωστὴρ τῆς Ἀντιοχείας Θεόφιλος, ὑποπτεύων ὁπωσδήποτε τὴν ἣν ἀκριβῶς, ὅσον οἷόν τε, διεξήτασε χρονικὴν διάταξιν, ἔλεγε μετριοφρονῶν· «Καὶ τῶν χρόνων τὸν πάντα ἀριθμὸν, κατὰ τὸ δυνατὸν, οἶμαι τανῦν ἀκριβῶς εἰρῆσθαι. Εἰ γὰρ καὶ ἔλαθεν ἡμῶν (γρ. ἡμᾶς) χρόνος, εἰ τύχοι εἰπεῖν ἔτη 50, ἢ 100, ἢ καὶ 200, οὐ *μέντοι χιλιάδες* ἐτῶν». Αἰτιολογῶν δὲ καὶ τὴν ἴσως ἂν συμβᾶσαν τῆς ἐντελεστάτης ἀκριβείας ἀποτυχίαν, προσέθηκε καὶ ταῦτα· «ὅπερ (ἴσ. γρ. *καίπερ*) ἡμεῖς, τὸ ἀκριβὲς, ἴσως ἀγνοοῦμεν τῶν ἐτῶν τὸν ἀριθμὸν, διὰ τὸ μὴ ἀναγεγράφθαι ἐν ταῖς ἱεραῖς βίβλοις τοὺς ἐπιτρέχοντας μῆνας, καὶ ἡμέρας» (α). Ἀλλὰ κατὰ τὰς ἀρχὰς τοῦ Η, αἰῶνος (τῷ 720 μ. Χ.) ἀνεφάνη *Βέδας* ὁ λεγόμενος *Σεβαστὸς* (Βενεράβιλις), ἐπίσημος ἐν τοῖς κατ' αὐτὸν ἐπὶ παιδείᾳ γενόμενος. Οὗτος πρῶτος καταλιπὼν τὴν κατὰ τοὺς Ο, καὶ αὐτὴν τὴν κατ' Εὐσέβιον καὶ Ἱερώνυμον χρονολογίαν, προείλετο τὴν ἑβραϊκὴν (χάριν τῆς Βουλγάτας), καὶ ἐγνωμάτευσεν, ὅτι τοῦ Σωτῆρος ἡ γέννησις ἐγένετο πολὺ πρότερον, καὶ οὐ κατὰ τὴν ϛ, χιλιονταετηρίδα, πρᾶγμα λέγων ἀντιφατικὸν πρὸς πάντας τοὺς Πατέρας καὶ διδασκάλους τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας· διὸ καὶ ὡς ἔνοχος αἱρέσεως ἐδυσφημήθη (ϵ). Ὁ δὲ τῆς ἐν Γαλλίᾳ

τινὲς, ἀποκλίνοντες πρὸς τὸ καθ' Ἱερώνυμον χρονικόν. βλ. Pezron, Défense de l' Antiq. de Tems p. 31.

(α) Θεόφιλ. π. Αὐτόλυκ. γ. §. 58. σελ. 427.—Οὐ πάντῃ δ' ἴσως περιττὸν προσθεῖναι καὶ τὴν Διονυσίου τοῦ Ἁλικαρνασσέως περὶ τῆς κατὰ τὴν χρονολογίαν ἀκριβείας κρίσιν· «Ὀλίγοις μὲν οὖν ἔτεσι διαμαρτεῖν τὸν χρόνον δοίη τις ἂν ἱστορικοῖς ἀνδράσιν, ἀρχαίας καὶ πολυετῆς (γρ. πολυετοῦς) συνταττομένης πραγματείας· γενεαῖς δὲ δυσὶ καὶ τρισὶν ὅλαις ἀποπλανηθῆναι τῆς ἀληθείας οὐκ ἂν ἐπιτρέψειεν». Διον. Ἁλικαρν. Ῥωμ. Ἀρχαιολ. Ζ. σελ. 418. Lips. 1691.

(ϵ) Βλ. Usser. Chronol. Sacr. p. 12. ed. Brem. Ταύτην τὴν κατὰ τοῦ Βέδα διαθρυλληθεῖσαν κακοφημίαν ὁ κλεινὸς Ὑσσέριος μετριάζων, λέγει ὅτι ὁ Βέδας «ὑπὸ τραγώντων χωρικῶν μεταξὺ κυλίκων καὶ κωθώνων ὡς αἱρετικὸς ἐστι-

Βιέννης ἀρχιεπίσκοπος Ἄδων (τῷ 859) ἐν τῷ κατ᾽ αὐτὸν Χρονικῷ *σύμμικτον* ἐπετήδευσεν *εἶδος*, συνάπτων πρὸς τῇ τῶν Ο χρονολογίᾳ καὶ τὴν ἑβραϊκήν. Τοὺς δὲ κατόπιν τούτων ἀναφανέντας παρὰ τοῖς Δυτικοῖς ἀσήμους τινὰς χρονογράφους, παραλείπομεν, μηδὲν ἕτερον ὄντας, ἢ πτωχοὺς καὶ πένητας τῶν προτερησάντων ἀντιγραφεῖς.

Μετὰ δὲ τὰς ἀρχὰς τοῦ ιϛ, αἰῶνος (τῷ 1530), ἤδη τῆς πρὸς τὸν Ῥώμης Πάπαν καυστειρᾶς διαφορᾶς τῶν Διαμαρτυρουμένων ἀναῤῥαγείσης, οὗτοι μὲν ἀποβαλόντες τὴν Βουλγάταν, ἠσπάσθησαν τὸ κείμενον τῆς ἑβραϊκῆς Γραφῆς, συνάμα δὲ καὶ τὴν κατ᾽ αὐτὴν χρονολογίαν. Οἱ δὲ πάλιν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, κατὰ τὴν ἐν Τριδέντῳ Σύνοδον (τῷ 1545) τὸ κῦρος καὶ τὴν αὐθεντίαν τῆς Βουλγάτας ἀνακηρύξαντες (α), οὐκ εἶχον ὅπως μὴ συνεπικυρώσωσι καὶ τὴν ἑβραΐζουσαν αὐτῆς χρονολογίαν, οὐ καθὸ ἑβραϊκὴν, ἀλλὰ καθὸ τῆς Βουλγάτας. Ἀλλ᾽ ὅμως ἑτέρωθεν ἡ Ῥωμαϊκὴ Ἐκκλησία κατέλιπεν ἄθικτον τὴν ἐν τῷ κατ᾽ αὐτὴν παλαιῷ Μαρτυρολογίῳ διαλαλιὰν, ἣν καὶ μέχρι σήμερον ἀναγινώσκουσιν ἐπ᾽ Ἐκκλησίας κατ᾽ ἔτος τῇ 25 Δεκεμβρίου (τῇ ἑορτῇ τῆς Χριστοῦ γεννήσεως). Ἐν δὲ τούτῳ τῷ ἐκκλησιαστικῷ κηρύγματι γέγραπται, ὅτι «Τῷ 5199 ἔτει ἀπὸ Κ. Κ. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ 2957, ἀπὸ δὲ γεννήσεως τοῦ Ἀβραὰμ 2015, ἀπὸ δὲ Μωσέως καὶ τῆς Ἐξόδου τῶν Ἰσραηλιτῶν 1510, ἀπὸ δὲ τῆς χρίσεως Δαβὶδ τοῦ βασιλέως 1032, τῇ 65 ἑβδομάδι τοῦ Δανιὴλ, τῇ 194 Ὀλυμπιάδι, ἀπὸ δὲ κτίσεως Ῥώμης ἔτει 752, τῆς δὲ Καίσαρος Ὀκταβίου βασιλείας ἔτει 42, *κατὰ τὴν ἕκτην ἡλικίαν* (χιλιετίαν) τοῦ κόσμου, ὁ Ἰησοῦς Χριστὸς, ὁ τοῦ ἀϊδίου Θεοῦ καὶ Πατρὸς συναΐ-

---

γματίζετον. Ἀλλ᾽ οὕτω μᾶλλον δείκνυσιν ὁ Ὑσσέριος, ὅτι καὶ τότε τοσοῦτον ὑπῆρχε γνωστὴ καὶ πανομολόγητος ἡ χρονολογία τῶν Ο, ὥστε καὶ αὐτοὶ οἱ χωρικοὶ καὶ κωθωνίζοντες, κατέκρινον τοῦ Βέδα τὸ παράτολμον.

(α) Βλ. Τῆς ἐν Τριδέντῳ Συνόδου Πραξ. Δ — Ταύτης οἱ Κανόνες καὶ τὰ δόγματα καὶ ἑλληνιστὶ μεταφρασθέντα ἐξεδόθησαν, ὑπὸ Ματθαίου τοῦ Δεβαρῆ ἐν Ῥώμῃ τῷ 1583.

διος υἱὸς καὶ Θεὸς, σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, ἐγεννήθη ἐν Βηθλεὲμ τῆς Ἰουδαίας» κτλ. (α). Καὶ τοιαύτη μὲν ἡ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας διαλαλιά. Τὸ δὲ περιέχον αὐτὴν Μαρτυρολόγιον ἐδημοσιεύθη συγχρόνως μετὰ τῶν Τριδεντινῶν *κανόνων* ὑπὸ τοῦ Πάπα Γρηγορίου τοῦ ΙΓ (τῷ 1582), καὶ πάλιν ὑπὸ Οὐρβανοῦ τοῦ Η (τῷ 1640) (β). Ὥστε, κατὰ ταῦτα, ἡ Δυτικὴ Ἐκκλησία ὁμολογεῖ πιστὴν καὶ γνησίαν τὴν κατὰ τοὺς Ο χρονολογίαν, (ὡς ἐγέγραπτο παρ' Ἱερωνύμῳ), καταδικάζουσα καὶ σιωπηλῶς τὴν ἐν τῷ ἑβραϊκῷ καὶ τῇ Βουλγάτα συγκεκομμένην. Τῶν δὲ μετὰ τὴν Τριδεντινὴν Σύνοδον Δυτικῶν πολλοὶ μὲν ἀπέκλιναν πρὸς τὴν ἑβραΐζουσαν τῆς Βουλγάτας χρονογραφίαν, ἀριθμοῦντες 4000, ἢ 4004 ἀπὸ Κ. Κ. μέχρι Χ., ἐν οἷς καὶ ὁ Ἰησουΐτης Πετάβιος, καὶ ὁ Βενεδεκτῖνος Αὐγουστῖνος ὁ Καλμέτης· ἀλλ' ὅμως ἄλλοι πάλιν τῶν Δυτικῶν μηδένα λόγον τῆς Βουλγάτας, κατά γε τοῦτο, ποιούμενοι, προείλοντο τὴν κατὰ τοὺς Ο, καθὸ γνησίαν καὶ κεκυρωμένην ὑπὸ τῆς Ἐκκλησίας. «Ἀνέκαθεν» (ἀνακράζει ὁ περικλεὴς ἱστοριογράφος καὶ καρδινάλις Βαρόνιος) «Ἀνέκαθεν εἴωθεν ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία τοὺς ἀπὸ Κ. Κ. ἐνιαυτοὺς οὐ καθ' Ἑβραίους ἀριθμεῖν, ἀλλὰ κατὰ τοὺς Ο» (γ). Καὶ πολλοὺς ἀρχαίους παράγει συγγραφεῖς ὁ Βαρόνιος, τὸν κατὰ τοὺς Ο τηροῦντας ἀριθμόν· «Τὸ δ' ἀληθέστερον (προστίθησι χαριέντως ὁ Βάλτων), ἠδύνατο καὶ πάν-

(α) Κατὰ τοὺς Ο, καὶ τὴν Ὀρθόδοξον Ἐκκλησίαν, ἡ κατὰ σάρκα γέννησις τοῦ κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐγένετο τῷ 5508 ἀπὸ Κ. Κ. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ τῷ 3246· ἀπὸ δὲ τῆς γεννήσεως τοῦ Ἀβραὰμ τῷ 2171· ἀπὸ δὲ τῆς Ἐξόδου τῶν Ἰσραηλιτῶν τῷ 1637· ἀπὸ δὲ τῆς χρίσεως Δαβὶδ τοῦ βασιλέως τῷ 1068 τῇ 65, ἑβδομάδι τῆς προφητείας τοῦ Δανιήλ· τῇ 193 Ὀλυμπιάδι (τὸ 4)· ἀπὸ δὲ κτίσεως Ῥώμης ἔτει 751· καὶ τῷ 42, τῆς Ὀκταβίου Αὐγούστου Καίσαρος αὐτοκρατορίας.

(β) Βλ. Strauchij Breviar. Chronolog. p. 382. πρὸς τὸ τῆς Ῥώμης μαρτυρολόγιον ἀκριβῶς συμφωνοῦσιν ἐν τούτῳ καὶ τὰ μαρτυρολόγια ἄλλων δυτικῶν οἷον τοῦ Οὐσουάρδου, τοῦ Ῥαβανοῦ, τοῦ Ἄδωνος, καὶ ἄλλων. βλ. Walton, Proleg. IX. §. 62.

(γ) C. Baronij, Apparat. ad Annales Ecclesiasticos, in Ann. Ecclesiast. T. 1. p. 28. Venetijs 1601.

τας τοὺς ἀρχαίους εἰς μαρτυρίαν παραγαγεῖν, ἐξῃρημένου μόνου τοῦ Ἱερωνύμου» (καί τοι καὶ αὐτοῦ τούτου τῷ Εὐσεβίῳ συνομολογήσαντος ἐν τῷ Χρονικῷ). Ἀλλὰ καὶ ὁ θερμὸς τοῦ ἑβραϊκοῦ προστάτης Γάλλος Δεσπηΐρος ὡμολόγησεν, ὅτι «Καὶ ἡ Γραικικὴ Ἐκκλησία ἐπίσης καὶ ἡ Λατίνα, καὶ ἡ Ἀνατολικὴ καὶ ἡ Δυτικὴ ἀείποτε ἐχρήσαντο τῇ Ἑλληνικῇ (τῶν Ο) διαριθμήσει περὶ τὸν ψηφισμὸν τῶν ἀπὸ Κ. Κ. μέχρι Χριστοῦ γεννήσεως ἐτῶν» (α). Καὶ τὰ μὲν τῆς Δυτικῆς Ἐκκλησίας τοιαῦτα. Ὅτι δὲ καὶ αἱ λοιπαὶ Ἐκκλησίαι πάντων τῶν κατὰ τὴν ἑσπερίαν Εὐρώπην χριστιανικῶν ἐθνῶν, πρὸ τῆς Διαμαρτυρήσεως καὶ τῆς ἐν Τριδέντῳ Συνόδου, συνεφώνουν μετὰ τῆς Δυτικῆς περὶ τὴν χρονολογίαν τῶν Ο, περιττὸν ἂν εἴη λέγειν. Αὐτὸς ὁ δεινὸς Σκαλίγηρος ὡμολόγησε καὶ οὐκ ἠρνήσατο, ὅτι «πάντες, *ἑνὶ στόματι*, ἀπὸ Ἀδὰμ ἕως Χριστοῦ 5500 ἔτη ἠρίθμουν» (β). Ἀλλὰ καὶ τῶν κατὰ τὴν Ἀσίαν ἀρχαίων χριστιανῶν ἐθνῶν αἱ ἑτερόδοξοι Ἐκκλησίαι διατηροῦσι καὶ μέχρι σήμερον τὴν κατὰ τοὺς Ο χρονολογίαν. Τὸ ἔθνος τῶν Ἀρμενίων, οἵτινες συνετισθέντες ἐκ τῆς διδασκαλίας τοῦ θείου Χρυσοστόμου (ἐν Κακουσῷ τῆς Ἀρμενίας ἐξορίστου διατρίβοντος. βλ. βίον τοῦ Χρυσοστόμ.), ἐπεχείρησαν Ἀρμενιστὶ μεθερμηνεῦσαι τὴν κατὰ τοὺς Ο ἑλληνικὴν ἔκδοσιν τῶν θείων Γραφῶν, καὶ ταύτην τὴν ἀρμενικὴν μετάφρασιν διὰ τῶν ἐπισήμων καὶ ὁμογενῶν αὐτοῖς διδασκάλων, Μωϋσέως τοῦ γραμματικοῦ καὶ Δαβὶδ τοῦ φι-

---

(α) J. D' Espeires, de vers. LXX. Tract. 2. Diss. 2. Dub. 5. *Καὶ ὅμως μετ' ὀλίγον ὁ Δεσπηΐρος χρυσφύγετον ἀπολογίας ζητῶν, «τὴν χρῆσιν, λέγει, ταύτης τῆς ἀριθμήσεως, οὐ τὰς πλάνας ἐκύρωσεν ἡ ἐκκλησία, ἀλλ' ὅσον ἅλις ἔχει ἀπὸ βεβαίου καὶ σταθεροῦ σημείου ἐξαρτᾶσθαι». Τοιαῦτα καὶ Πεταΰϊος καὶ ἄλλοι διεθρύλλησαν. Ἀλλ' εἴπερ ἡ ἀρίθμησίς ἐστι ψευδής, ἡ ταύτῃ χρησαμένη ἐκκλησία πάντως καὶ τὰς πλάνας αὐτῆς μετὰ τῆς χρήσεως συνεπεκύρωσεν· οὐδ' ἂν λέγοιτο βέβαιον σημεῖον καὶ σταθερὸν τὸ χιλίοις καὶ πεντακοσίοις ὅλοις ἔτεσιν ἀπέχον ἀπὸ τοῦ δῆθεν ἀληθοῦς σημείου τῆς ἑβραϊκῆς χρονολογίας. Ἔπειτα, διὰ τί μὴ καὶ αὕτη βέβαιον σημεῖον ἐγένετο; μῶν οὐχ ὡς ἄστατος παροφθεῖσα καὶ ψευδής; Τέλος· πῶς ἂν τοιαῦτα λέγοιεν οἱ διατεινόμενοι τὴν Ῥωμάναν Ἐκκλησίαν ἄπτωτον ἐν πᾶσιν εἶναι καὶ ἀπλανῆ; κτλ.* (*βλ. καὶ* Walton Proleg. IX. §. 62).

(β) J. Scaliger. Proleg. in Chron. Euseb.

λοσόφου, ἐξηκρίβωσαν (α), ἀριθμοῦσι καὶ νῦν 5500 ἔτη ἀπὸ Κ. Κ. μέχρι τῆς σωτηρίου θεοφανείας. Τοσαῦτα καὶ οἱ Κόπται, καὶ οἱ Αἰθίοπες, ἢ Ἀβυσσηνοὶ (ϐ), καὶ οἱ Ἰακωβῖται (γ), καὶ οἱ Σύροι Μαρωνῖται.

Καὶ αὐτῶν δὲ τῶν Ἀράβων ἀρχαῖοι ἱστορικοὶ τὴν αὐτὴν κρατοῦσιν ἀπὸ Κ. Κ. χρονολογίαν, ἀγνοοῦντες διόλου τὴν ἰουδαϊκὴν (δ).

(α) Ἀντίγραφον ἑλληνικὸν τῶν κατὰ τοὺς Ο, Γραφῶν παρέλαβον οἱ Ἀρμένιοι ἐκ τῆς ἐν Ἐφέσῳ Γ, Οἰκουμενικῆς Συνόδου μετὰ καὶ τῶν Πρακτικῶν αὐτῆς. Τότε (τῷ 431) ἐπεχείρησαν τῇ Ἀρμενικῇ τῶν Γραφῶν μεταφράσει, καταλιπόντες τὴν Συριακὴν, ᾗ πρότερον ἐχρῶντο. Ταῦτα κατὰ πλάτος ἱστορεῖ Μωσῆς αὐτὸς ὁ Χωρενήσιος, λογιώτατος Ἀρμένιος, ἐν Ἀλεξανδρείᾳ τὴν ἑλληνικὴν παιδείαν μετ' ἄλλων Ἀρμενίων ἐκπαιδευθεὶς, ἐν τῇ Ἀρμενιστὶ ὑπ' αὐτοῦ συγγραφείσῃ ἱστορίᾳ (βλ. Mosis Chorenensis Histor. Armen. L. III, etc. Londin. 1736). Ἐν ταύτῃ (Βιβλ. Α. σελ. 12) ὁ σοφὸς Μωσῆς οὗτος διαλαμβάνει καὶ περὶ τοῦ Καϊνᾶν (ὄπισθ. σελ. 739), ὅτι οὐ μόνον ἐγέγραπτο ἐν τῷ παρ' αὐτῷ ἑλληνικῷ χειρογράφῳ τῆς Παλαιᾶς Διαθήκης, ἀλλὰ καὶ ὅτι πάντες οἱ χρονογράφοι συμφωνοῦσιν, ὅτι ὁ Καϊνᾶν ἦν τέταρτος ἀπὸ τοῦ Νῶε. Καθόλου δὲ ἡ Ἀρμενικὴ μετάφρασις παρακολουθεῖ τοῖς Ο. (βλ. Thesaur. Epistol. Lacroz. T. III. p. 201)· πλὴν τινων μεταβολῶν, ἃς ὕστερον ἔπαθε, προσβιασθεῖσα κατά τινα μέρη πρὸς τὴν Βουλγάταν (ἴσως ἀφ' οὗ ἐλατινοφρόνησεν ὁ βασιλεὺς τῶν Ἀρμενίων Χαϊθὼ, ἢ Χεθοὺμ περὶ τὸ 1224—1269, ἐπὶ τῶν πανωλέθρων καὶ κάκιστ' ἀπολομένων Σταυροφόρων· βλ. Lacroz. ib. p. 4). Τούτων τῶν μεταβολῶν μία τις ἐστὶ καὶ ἡ ἐκ τοῦ σημερινοῦ κώδηκος τῶν Ἀρμενίων ἔλλειψις τοῦ Καϊνᾶν (βλ. Iackson, Chronol. Antiq. T. I. p. 79 πρβλ. καὶ Herbst, Einleit. I. Th. p. 221 sq.). Τὴν δὲ χρονολογίαν διατηροῦσι κατὰ τοὺς Ο. βλ. Pezron, Défense de l' Antiq. p. 25. — Gebelin, Monde primitif, considéré dans l' Histoire civile, relig. et allég. du Calendrier. p. 141. Paris, 1776. Ἴδε καὶ Simon. Disquisit. Crit. p. 177.

(ϐ) Scaliger. De emendat. Tempor. p 689.— J. Ludolf. Comm. in Histor. Aethiopic. p. 385. — Walton, Proleg. XV. § 5. Καὶ ταύτην τὴν ἐποχὴν ὀνομάζουσιν οἱ Ἀβυσσηνοὶ « τὴν ἀπὸ πτώσεως Ἀδάμ ».

(γ) « Ab initio mundi usque ad Messiam . . . . secundum computum legis ex versione LXX, quae in manibus Graecorum est et reliquarum sectarum Christianorum, anni sunt 5586 ». Ταῦτα γράφει Γεώργιος Ἀβουλφαράγης, Ἰακωβίτης ἱστορικὸς τοῦ ιγ αἰῶνος, ἐν Histor. Dynast. 7. p. 72.

(δ) Κατὰ τὸν χρονικὸν ψηφισμὸν τοῦ Ἄραβος Ἀβουλ - Ζαφέρου (παρὰ τῷ Ἐλμακίνῳ, Ἄραβι ἱστορικῷ, τὰ Σαρακηνῶν ἱστοροῦντι, Histor. Saracen. L. I. p. 12 καὶ 13). Τὸ ια ἔτος τῆς παρὰ τοῖς Μωαμεθανοῖς ἐπισημοτάτης ἐποχῆς Ἐγίρας (φυγῆς) ἀντιστοιχεῖ πρὸς τὸ ἀπὸ Κ. Κ. 6123 ἔτος καὶ μῆνας 9, ἡμέρ. 14. τὸ δὲ α, ἔτος τῆς Ἐγίρας ἤρξατο τῷ 622 μ. Χ. (ἐπὶ Ἡρακλείτου)· ὥστε ἀφαιρεθέντων τῶν 622 + 11, = 633 ἀπὸ τῶν 6123 (ἢ 6124), μένουσιν ἀπὸ Κ. Κ. ἔτη 5491. Τοσαῦτα σχεδὸν ἠρίθμει καὶ Πανόδωρος ὁ Αἰγύπτιος (βλ. ὄπισθ. σελ. 786. σημ.).

§. ιζ. Ἀλλὰ πρὸς ταύτην τὴν ὑπὸ πάντων τῶν ἐθνῶν καὶ ὑπ᾽ αὐτῶν τῶν πρὸ Χριστοῦ ἑβραίων παμμαρτύρητον ἀλήθειαν, οἱ τὴν ὕστερον περικοπεῖσαν ἰουδαϊκὴν χρονολογίαν ὑπερασπίζοντες, προβάλλουσι καὶ ἄλλας ἰδίας ἀντιῤῥήσεις. Καὶ α) αὐτὸ τὸ ἑβραῖον κείμενον, ὃ πρεσβεύουσιν ἀκήρατον καὶ ἄχραντον, προστιθέντες καὶ τὴν συμφωνίαν τῶν μέχρι σήμερον εὑρεθέντων ἑβραϊκῶν χειρογράφων ἁπάντων, καὶ, τέλος, τὴν Ἱερωνύμου Βουλγάταν, καὶ τὴν ἀρχαιοτέραν χαλδαϊκὴν παράφρασιν τοῦ Ὀγκέλου, συναδούσας ἀμφοτέρας πρὸς τὴν χρονολογίαν τοῦ νῦν ἑβραϊκοῦ. — Ἀλλὰ πρὸς ταῦτα σύντομος ἡ ἀπάντησις. Τὸ μὲν ἀκήρατον τοῦ Μασοραίου κειμένου, ὁποῖόν ἐστι, μαρτυρεῖ μὲν αὐτὴ ἡ Μάσορα, καταδεικνύουσι δὲ καὶ πᾶσαι αἱ προλαβοῦσαι σελίδες· ὡσαύτως εἴδομεν καὶ πόθεν προῆλθεν ἡ συμφωνία τῶν ἑβραϊκῶν χειρογράφων (σελ. 172). Ἔπειτα, τὸ προβάλλειν αὐτὸ τὸ ζητούμενον ὡς ἀπόδειξιν, τοῦτ᾽ ἐστι τὸ σόφισμα τὸ παρὰ τὸ *ἐν ἀρχῇ αἰτεῖσθαι.* Πρῶτον οἱ ἄνδρες ὤφειλον ἀποδεῖξαι λόγοις ἀφύκτοις καὶ ἀναγκαίοις ἀναμφίβολον τὴν γνησιότητα τῆς νῦν καθ᾽ ἑβραίους χρονολογίας· ἀλλὰ τοῦτο πόθεν ἔχουσιν ἀποδεῖξαι, τοσούτων καὶ τοιούτων ἱστορικῶν πραγμάτων ἀνθισταμένων; ἀλλ᾽ οὐδ᾽ ἡ τῆς Βουλγάτας καὶ ἡ τοῦ Χαλδαίου μαρτυρία οὐδ᾽ ὁπωσοῦν ὠφελεῖ. Ὅτι γὰρ καὶ ἐπὶ Ἱερωνύμου καὶ ἐπὶ τοῦ Ὀγκέλου τὸ ἑβραϊκὸν κείμενον ὑπῆρχε συντετριμμένον ἄλλα τε πολλά, καὶ τὴν περὶ ἧς ὁ λόγος χρονολογίαν, μαρτυρεῖ πᾶσα ἡ μέχρι Χριστοῦ Σωτῆρος ἑβραϊκὴ Συναγωγή, πρώτιστα καὶ μάλιστα διὰ στόματος τοῦ σοφωτάτου τῶν αὐτῆς ἱερέων καὶ διδασκάλων καὶ ἱστορικῶν, τοῦ φιλαλήθους Ἰωσήπου· ὕστερον δέ, μετὰ τοῦτον, περὶ τὰς ἀρχὰς τοῦ β, αἰῶνος συνέτεμεν ἡ ἰουδαϊκὴ κακεντρέχεια τὰ ἔτη τῶν πατριαρχῶν, ὡς ὀψόμεθα μετ᾽ ὀλίγον.

β) Προβάλλουσιν οἱ ἑβραΐζοντες τὸ Σαμαρειτικὸν κείμενον, συμφωνοῦν ὡς ἔγγιστα πρὸς τὸ ἑβραϊκὸν κατὰ τὴν πρώτην μάλιστα περίοδον. Ἧπου γε θαυμαστὴν προσέγγισιν λέγουσιν, ἐν ᾧ τὸ κεφάλαιον τῆς α, περιόδου κατὰ τὸ Σαμαρειτανόν, διαφέρει

τοῦ κατ᾿ Ἰουδαίους τρεῖς ἐτῶν ἑκατοντάδας ὅλας καὶ ἡμίσειαν! Ἔπειτα τοῦτ᾿ αὐτὸ πάλιν τὸ Σαμαρειτικὸν ἐν τῇ δευτέρᾳ περιόδῳ συμφωνοῦν ἐπ᾿ ἀκριβὲς μετὰ τῶν Ο (βλ. ὄπισθ. σελ 750), κατεξελέγχει τρανώτατα τὴν παρ᾿ Ἰουδαίοις παρακοπὴν τῶν ἀπὸ κατακλυσμοῦ μέχρις Ἀβραὰμ ἐνιαυτῶν. Ἐκ δὲ τούτου καταφαίνεται λοιπὸν εὐλόγως κἂν τῇ πρώτῃ περιόδῳ τοῦ ἰουδαϊκοῦ κειμένου παρομοία κακουργηθεῖσα παρακοπὴ, ἣν ἐμιμήθη μέχρι τινὸς καὶ τὸ Σαμαρειτανόν. Ὁ σοφὸς Ὑσσέριος ἀποφαίνεται (κατὰ τὸν αὐτῷ συνήθη τρόπον) ὅτι «ὁ *κατὰ τοὺς χρόνους τῶν Ἀποστόλων γενόμενος* Σαμαρείτης Δοσίθεος (περὶ οὗ προείπομεν, κεφ. ια. §. η) διεσκεύασε τὸ Σαμαρειτανὸν κείμενον ἐκ τῶν Ο, κατὰ τὴν ἀπὸ κατακλυσμοῦ μέχρις Ἀβραὰμ περίοδον τῶν χρόνων» (Διατρ. περὶ τοῦ Καϊνᾶν, σελ. 192). Ἀλλ᾿ ἐν τούτοις ὁ Ὑσσέριος μίαν καὶ μόνην λεληθότως εἶπεν ἀλήθειαν, ὅτι τὸ τῶν Ο κείμενον οὕτως εἶχε καὶ κατὰ τοὺς χρόνους τῶν Ἀποστόλων, καὶ οὕτως αὐτὸ ἀνεγίνωσκον οἱ Ἀπόστολοι, πάντα δὲ τ᾿ ἄλλα λαμπρῶς παραφθέγγεται. Τὸ Σαμαρειτανὸν κείμενον ἐπὶ *τῆς β, περιόδου* τ᾿ ἄλλα μὲν διέμεινεν ὑγιὲς, μίαν δὲ μόνον ὑπέστη φθορὰν, ὅτι ἀφῃρέθη ἐξ αὐτοῦ ἡ παρὰ τοῖς Ο διαλάμπουσα γενεὰ τοῦ Καϊνᾶν, ἣν ἀνέγνω ὁ Ἀπόστολος Λουκᾶς. Ὁ δὲ ταύτην ἀποσυλήσας εἴτε Δοσίθεος ἦν (ὡς ἀρέσκει τῷ Ὑσσερίῳ), εἴτε Σύμμαχος, εἴτε τις ἄλλος μισόχριστος Σαμαρείτης ψευδοκριτικὸς, πάντως μετὰ τοὺς Ἰωσήπου χρόνους ἐξέφυ, περὶ τὰ μέσα τοῦ β, μετὰ Χ. αἰῶνος γεγονὼς, ὁπότε τὸ ἑβραϊκὸν κείμενον ὑπῆρχεν ἤδη διεφθαρμένον· πρὸς τούτου τὸ παράδειγμα βεβαίως ἀφορῶν, οὐ μόνον τὴν γενεὰν τοῦ Καϊνᾶν ἐκ τῆς δευτέρας ἐξέκλεψε περιόδου, ἀλλὰ καὶ κατὰ τὴν πρώτην περίοδον τὰ πρὸ τῆς παιδογονίας τῶν πατριαρχῶν ἔτη συνεκολόβωσε μέχρι τινὸς κατὰ τὸ μέτρον τὸ ἑβραϊκόν· ἵνα δὲ κρύψῃ τὸ δύστηνον κλέμμα, καὶ μὴ φανῇ συγχρώμενος Ἰουδαίοις ὁ Σαμαρείτης, δι᾿ ἄλλης ἦλθεν ὁδοῦ, παρεκκλίνας ἐπίσης ἀπό τε τοῦ ἑβραϊκοῦ καὶ τοῦ τῶν Ο· καὶ τοῦτο πεποίηκεν οὐ χωρὶς δολίας κλέπτου τέχνης, καί τοι ἄλλως παχυλῆς· ποίας; μετέβαλε τὰ ἔτη τριῶν τῶν

πρὸ τοῦ κατακλυσμοῦ πατριαρχῶν, τοῦ Ἰάρεδ, τοῦ Μαθουσάλα, τοῦ Λάμεχ. Ὁ Ἰάρεδ, κατά τε τὸ ἑβραϊκὸν καὶ τὸ τῶν Ο κείμενον, ἔζησε πρὸ μὲν τῆς παιδογονίας ἔτη 162, καὶ μετέπειτα ἔτη 800, τὰ δὲ πάντα 962. Ὁ δὲ Σαμαρείτης τὰ μὲν πρῶτα ἔγραψε 62 μόνον, ἐκκόψας τὴν ἑκατοντάδα, κατὰ τὸ σύνηθες (βλ. ὄπισθ. σελ. 707,713)· λογισάμενος δὲ πόσα ἔτη μένουσι μέχρι τοῦ κατακλυσμοῦ, καὶ συνιδών, ὅτι λείπονται μόνον 785, τοσαῦτα τῷ Ἰάρεδ ἀπένειμε μετὰ τὴν παιδογονίαν, καὶ συνεκεφαλαίωσε τὰ πάντα εἰς ἔτη 847. Πάλιν, ἐπὶ τοῦ Μαθουσάλα τὸ μὲν ἑβραϊκὸν καὶ τὸ ἑλληνικὸν ἀριθμοῦσι τὰ πρὸ τῆς παιδογονίας ἔτη 187, καὶ τὰ μετὰ ταῦτα 782, τὰ δὲ πάντα 969. Ὁ δὲ Σαμαρείτης συνέκοψε τὰ πρῶτα εἰς 67 (καὶ τοῦτο ἴσως, ἀπιδὼν εἴς τινα τῶν Ο ἐλλειπῆ ἀντίγραφα, ὅπου γράφονται 167, ἀντὶ 187 [βλ. ὄπισθεν σελ. 712]· ὅθεν αὐτὸς πάλιν ὑφελὼν τὴν ἑκατοντάδα, ἔγραψε μόνα τὰ 67)· ψηφίσας δὲ καὶ ὧδε τὰ μέχρι τοῦ κατακλυσμοῦ λειπόμενα 653 ἔτη, συνεπόσωσε τὴν ὁμάδα τῶν ἐτῶν τοῦ Μαθουσάλα εἰς ἔτη 720· καὶ οὕτω τὸν ἁπάντων τῶν ἐπὶ γῆς γενομένων μακροβιώτατον ὁμολογούμενον Μαθουσάλαν παρέστησεν ἐξ ἀνάγκης ὀλιγοχρονιώτερον οὐ μόνον τοῦ πάππου αὐτοῦ Ἰάρεδ, ἀλλὰ καὶ πάντων τῶν ἀνωτέρω μέχρις Ἀδὰμ προλαβόντων αὐτοῦ προγόνων. Τὴν αὐτὴν τέχνην ἐπετήδευσε καὶ ἐπὶ τοῦ Λάμεχ (βλ. τὸν Α, Πίνακα)· καὶ οὕτως ἐποίησε τόν τε Λάμεχ, καὶ τὸν τούτου πατέρα Μαθουσάλα, καὶ τὸν πρόπαππον Ἰάρεδ, συναποθανόντας συγχρόνως καὶ τοὺς τρεῖς κατὰ τὸ 600 ἔτος τοῦ Νῶε, ὁπότε γέγονεν ὁ κατακλυσμός. Ἑτέρωθεν δὲ πάλιν ἐσμίκρυνε καὶ τὸ κεφάλαιον ὅλων τῶν ἐτῶν τῆς πρώτης περιόδου, τρεῖς καὶ ἥμισυν αἰῶνας βραχύτερον τοῦ ἑβραϊκοῦ, ψευδέστερον τὸ ψεῦδος δημιουργῶν. Αὗται δὲ αἱ τεχνιτεῖαι καὶ τῆς Σαμαρειτικῆς καὶ τῆς Ἰουδαϊκῆς ῥᾳδιουργίας τοσοῦτόν εἰσι παχυλαὶ καὶ ψηλαφηταί, ὥστε καθορῶνται δι' ἁπλῆς εἰς τοὺς πίνακας ἐπιβολῆς ὀρθὰ βλεπόντων ὀφθαλμῶν (α).

(α) Βλ. καὶ Jackson, Chronol. Antiq. T. 1. p. 58 καὶ ἄλλως πολλαχῶς ἐξελέγχοντα τὴν διαστροφὴν τοῦ Σαμαρειτανοῦ.

γ) Καὶ ἄλλο προτείνουσιν οἱ ἑβραϊσταί. Αὐτὴ λέγουσιν ἡ παρὰ τοῖς Ο σύμμετρος τῶν πρὸ τῆς παιδογονίας ἐτῶν πρὸς τὸ κεφάλαιον τῆς ὅλης ζωῆς τῶν πατριαρχῶν ἀναλογία λίαν ὕποπτος δοκεῖ καὶ τετεχνευμένη. Καὶ φαίνεται, ὅτι ἢ αὐτοὶ οἱ ἑρμηνεῖς, ἢ μεταγενέστεροί τινες ἀντιγραφεῖς προσετίθουν ἀνὰ μίαν ἑκατοντάδα εἰς τὰ ἔτη τῆς προπαιδογόνου ἡλικίας ἑκάστου, τηροῦντες τὰς ἐν τῷ ἑβραϊκῷ δεκάδας καὶ μονάδας (α).—Ἀλλὰ κἀν ταύτῃ τῇ ἀντιῤῥήσει φαίνονται οἱ ἄνδρες τὰ μέγιστ' ἠπατημένοι. Οὔθ' οἱ Ο, οὔτε τούτων οἱ μεταγραφεῖς προσετίθουν, ἀλλ' οἱ πάντολμοι ῥαββῖνοι τἀνάπαλιν ἀπέκοπτον τὴν ἑκατοντάδα ἐκ τῆς παιδογονικῆς τῶν πατριαρχῶν ἡλικίας· καὶ ταύτην τὴν κακοτεχνίαν διακηρύττει καὶ αὐτὸ τὸ Σαμαρειτανὸν, τηρῆσαν ἀκριβῶς μετὰ τῶν Ο τὴν ἑκατοντάδα τῶν ἐτῶν ἐπὶ τῆς δευτέρας περιόδου, καθὼς προείδομεν (σελ. 716). Ἔπειτα, εἴπερ ὕποπτος δοκεῖ καὶ ἐπιτετηδευμένη ἡ τῶν ἐτῶν ἀναλογία, καί τοι καὶ φυσιολογικοῖς θεωρήμασι προσμαρτυρουμένη, ποία τις λοιπὸν ἔσται ἡ παράλογος καὶ ἀνώμαλος καὶ πρός τε τὴν ἱερὰν ἱστορίαν, καὶ πρὸς αὐτοὺς τοὺς ὅρους τῆς ἀρχαιγόνου φύσεως ἀντιβαίνουσα συγκοπὴ τῆς καθ' ἑβραίους παιδογονικῆς ἡλικίας τῶν πατριαρχῶν; Ἀλλ' (εἰ χρὴ πρὸς τοιαύτην *ἄλογον* ἀντίῤῥησιν *ἀναλόγως* ἀπαντᾷν, ἀφροσύνης πρὸς ἀφροσύνην, κατὰ τὸν σοφὸν, ἀποκρινομένης. Παροιμ. κϛ, 5) τοῦτ' ἂν εἴη τὸ αὐτὸ, καὶ ἄν τις ἐπαινῇ ὡς ἀνύποπτον καὶ φυσικὸν τὸ κολοβόκερκον τῆς Αἰσωπείας ἀλώπεκος, ἥτις ἔπειθε καὶ τὰς ἄλλας τὰς ὁμοφύλους ἀφελεῖν τὸ βάρος τὸ οὐραῖον, ὡς ἄτοπον προσθήκην καὶ περιττήν.

δ) Καὶ αὐτὴν δὲ πάλιν τὴν ἀναλογίαν ἰδίως ἔψεξαν οὐ μόνον ὡς ὑπερβαίνουσαν τὰ ὅρια τοῦ πιθανοῦ, ἀλλὰ καὶ προσέτι ὡς μαχομένην καὶ πρὸς αὐτὸ τὸ κείμενον τῆς ἱερᾶς Γραφῆς. — Αὐτίκα (λέγουσιν), οἱ πλησιέστατοι προπάτορες τοῦ Ἀβραὰμ, κατὰ τοὺς Ο, γεννῶσι τοὺς ἑαυτῶν πρωτοτόκους, ἔτος ἄγοντες 130, ἐν ᾧ αὐτὸς

(α) La Bible vengée, Dissert. sur les deux premier. ages.

ὁ Ἀβραὰμ ἀπορεῖ « *εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱός*; » (Γενέσ. ιζ, 17) (α). — Ἀλλὰ καὶ τοῦτο παράλογον λέγουσιν οἱ ἄνδρες καὶ οὐκ ἀληθές. Ἐπειδὴ, πρῶτον μὲν ὁ Θάῤῥα, ὁ πατὴρ αὐτοῦ τοῦ Ἀβραὰμ, ἐτεκνοποίησεν ἑβδομηκοντούτης, ὡσαύτως καὶ ὁ πάππος ὁ Ναχὼρ, ἐτῶν 79· ἡ δὲ τῶν 130 ἐτῶν παιδογονία γέγραπται ἐπὶ τοῦ Σεροὺχ, προππάπου τοῦ Ἀβραὰμ, καὶ ἐπὶ τῶν ἄλλων τῶν παλαιῶν αὐτοῦ προγόνων. Ἔπειτα καὶ ἄλλως, ὅτι ὁ βίος ἐβραχύνετο κατὰ γενεὰς, ἀπὸ τοῦ κατακλυσμοῦ καὶ ἐφεξῆς, ἠπίστατο πάντως ὁ Ἀβραὰμ, καὶ ὅτι οἱ προπάτορες αὐτοῦ κατέβησαν κατὰ μικρὸν ἀπὸ τῶν τετρακοσίων ἐτῶν εἰς τὰ 200. Αὐτὸν εἶδε τὸν πάππον αὐτοῦ τοῦ Ναχὼρ ζήσαντα μόλις ἔτη 208, καὶ τὸν ἑαυτοῦ γεννήτορα, τον Θάῤῥα, τελευτήσαντα ἐπὶ τῆς αὐτῆς ἡλικίας (ἔτει 205), καὶ αὕτη ἡ ἡλικία ἐλογίζετο τότε γῆρας μακρόν. Ὅθεν καὶ ἰδίως ὁ θεῖος Μωϋσῆς καὶ αὐτὴν τὴν ἔτεσι 30 βραχυτέραν ἡλικίαν, καθ᾽ ἣν ὁ Ἀβραὰμ ἐτελεύτησεν (ἐτῶν 175), ὀνομάζει « *γῆρας καλὸν* », καὶ « *πλῆρες ἡμερῶν* ». Ἀλλὰ καὶ ζῶντα τὸν πατριάρχην, καὶ μόλις ἤδη ἑκατοντούτη, προσαγορεύει « *πρεσβύτην* », καὶ « *προβεβηκότα ἡμερῶν* » (Γενέσ. ιη, 11: κα, 2). Ἑτέρωθεν δὲ πάλιν ὁ πατριάρχης ἔβλεπε καὶ τὴν Σάῤῥαν « *στεῖραν καὶ προβεβηκυῖαν* ἡμερῶν »· καὶ αὐτὴ ἡ Σάῤῥα ἔλεγεν « *Ἐγὼ δὲ γεγήρακα* » (Γενέσ. ις, 1: ιζ, 17: ιη, 13). Ὥστε λίαν σύμφωνον τῷ ἱερῷ κειμένῳ γράφουσιν οἱ Ο τὴν παιδογόνον ἡλικίαν τῶν προπατόρων τοῦ Ἀβραάμ· πρὸς τοῦτο δὲ καὶ αὐτοὶ οἱ ἑβραΐζοντες οὐκ ἀντεροῦσιν, ἐὰν θέλωσιν ὁπωσοῦν εἶναι δίκαιοι. Ἄγε νῦν λεγέτωσαν καὶ αὐτοὶ, πῶς τοῦτο δὴ τὸ « *εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱὸς* » συμφωνήσει πρὸς τὰ τοῦ ἑβραϊκοῦ κειμένου παραδοξότατα; Πῶς ἠδύνατο καὶ Ἀβραὰμ καὶ αὐτὴ ἡ Σάῤῥα περὶ τῆς παιδογονίας ἀπιστεῖν, ὡς ἤδη γεγηρακότες, ἐν ᾧ ἔβλεπον πρὸ ὀφθαλμῶν τοὺς πάππους καὶ προπάππους ἔτι ζῶντας κατ᾽ αὐτοὺς, καὶ παιδοποιοῦντας; ἔζη τότε (κατὰ τὸ ἑβραϊκὸν) ὁ Ἔβερ, ὁ *πεντάπαππος*

(α) La Bible vengée ibid.

τοῦ Ἀβραάμ· καὶ *ὀκτάππαπος* ἔζη, ὁ Ἀρφαξὰδ, ὅστις ἴσως ἔτι καὶ κατ᾽ αὐτὸν τὸν Ἀβραὰμ ἐτεκνογόνει, ἄγων ἔτος τότε περίπου 300· ἔζη, τέλος, καὶ αὐτὸς ὁ *δεκάππαπος* αὐτοῦ Νῶε, μεθ᾽ οὗ καὶ συνεβίωσεν ἐπὶ πλέον ἡμισείας ἑκατονταετηρίδος (ἔτη 58). Ὁ δὲ Σὴμ καὶ ἄλλοι τῶν αὐτοῦ προγόνων ἐπέζησαν καὶ μετὰ θάνατον αὐτοῦ δὴ τούτου, τοῦ *τελευτήσαντος ἐν γήρᾳ καλῷ* πατριάρχου. Ταῦτα καὶ τὰ τοιαῦτα ἄλλο τι εἰσὶν, εἰμὴ λαμπραὶ καὶ παραλογώτατοι ἀντιφάσεις πρὸς τὸ θεῖον κείμενον τῆς Γραφῆς; καὶ ὅμως ἄλλοι τε πολλοὶ καὶ σοφοὶ, καὶ αὐτὸς ὁ πολλὰ τοῦ Μασοραίου κειμένου σφάλματα κατεξελέγξας Οὐβιγάντης, κατέκρινε μὲν τὴν χρονολογίαν τῶν Ο ὡς μυθώδη, προείλετο δὲ τῆς ἑβραϊκῆς τὴν Σαμαρειτανὴν, μηδένα λόγον ποιησάμενος τῶν ἀτοπημάτων, ὅσα προκύπτουσι καὶ ἐξ αὐτῆς (α). Ἀλλὰ περὶ τούτων προείπομεν (σελ. 710, 751).

ε) Ἔρχονται καὶ οἱ περὶ τὸν Σπαγχέμιον, ἄλλο τι σοφώτερον

(α) Βλ. Houbig. not. in Genes. V, 32. Ἀλλ᾽ ἐν ταῖς εἰς τὸ 1, 10, τῆς Γενέσεως σημειώσεσι τἀνάπαλιν προτιμᾷ τῆς Σαμαρειτικῆς τὴν καθ᾽ ἑβραίους χρονολογίαν, ὡς πιθανωτέραν ἐν τῇ μετὰ τὸν κατακλυσμὸν περιόδῳ· οὕτως ἐκ τῆς αὐτῆς αὐτῷ πηγῆς ἀναβλύζει τὸ γλυκὺ καὶ τὸ πικρὸν, ἡ ἀλήθεια καὶ τὸ ψεῦδος! Εὑρίσκει δὲ τὸ πιθανώτερον ἐν τῇ περιόδῳ ταύτῃ, διότι, λέγει, τὸ Σαμαρειτανὸν προστίθησιν ἑκατὸν ἔτη εἰς τὴν προπαιδογόνον ἡλικίαν τῶν ἀποκατακλυσμίων πατριαρχῶν» (ὅσα δηλαδὴ ἀπέκοψαν οἱ Ἰουδαῖοι ἐκ τοῦ ἑβραϊκοῦ). Τὸ δ᾽ αὐτὸ (προστίθησιν) ἀτόπημα κεῖται καὶ ἐν τῇ ἑλληνικῇ (τῶν Ο) χρονολογίᾳ, καὶ τοῦτο πολὺ μεῖζον· τὰς γὰρ (φησὶν) ἑκατοντάδας τῶν ἐτῶν ὅσας προστίθησιν εἰς τὴν προπαιδογόνον ἡλικίαν, ταύτας, ὡς ἐπὶ τὸ πλεῖστον, οὐκ ἀφαιρεῖ ἐκ τῆς μετὰ τὴν παιδογονίαν ἡλικίας (ὅπως δηλαδὴ συμφωνήσῃ τῇ ἑβραϊκῇ ἀληθείᾳ!). Διὰ ταῦτα (λέγει), ἀποῤῥιπτέα πάντως ἡ ἑλληνικὴ χρονολογία (omnino rejicienda), καὶ προσέτι, διότι ὁ κώδηξ ὁ Ἀλεξανδρινὸς εἰς τὸ ἀπὸ τοῦ κατακλυσμοῦ μέχρις Ἀβραὰμ χρονικὸν διάστημα προστίθησιν ἔτη 230 (παπαί!) πλέον, ἢ ὅσα ἔχει τὸ Βατικανὸν ἀντίγραφον» (βλ. ὄπισθ. σελ. 721. σημ.). Ταῦτα ὁ κλεινὸς Οὐβιγάντης, καὶ ἄλλα τοιαῦτα, μηδὲν δὲ καινότερον ὧν εἶπον οἱ πρὸ αὐτοῦ μάτην προστατεύσαντες τῆς ἑβραϊκῆς χρονοκοπίας, ἅπερ ἐξητάσαμεν ἐν τοῖς προλαβοῦσιν. Ἀλλὰ τῷ μὲν Οὐβιγάντῃ ἀφείσθω παρὰ τῶν Ο τὰ ἡμαρτημένα, ἕνεκα τῶν ὑπὲρ αὐτῶν κατωρθωμένων. Ὁ δὲ σοφὸς Φαβρίκυς (Des titres etc. T. 2. p. 399-405) διώκει τὸν ἄνδρα ἀνιλεῶς, ὑπερμαχῶν καὶ τῆς προκατακλυσμίας Μασοραίας χρονολογίας, ὡς ὑπὲρ πατρῴας ἑςίας (pro aris et focis!). καὶ τὴν κατὰ Σαμαρείτας παραπέμπει εἰς ἄβατον ἐρημίαν· ἐκεῖ

προβάλλοντες. «Οἱ Ἀλεξανδρινοὶ (λέγουσιν) ἑρμηνεῖς (τουτ. οἱ Ο) ἐξώγκωσαν ἐν τῷ κατ᾽ αὐτοὺς ἑλληνικῷ κειμένῳ τῶν πατριαρχικῶν ἐτῶν τὸν ἀριθμὸν (καὶ μάλιστα τῶν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρις Ἀβραὰμ), ὅπως προσπελάσωσι τὴν κατ᾽ αὐτοὺς χρονολογίαν πρὸς τὴν τῶν Αἰγυπτίων, μηδ᾽ ἐξελέγξωσι τούτους ὡς τερατευομένους περὶ ἧς ἀντεποιοῦντο μακροτάτης ἀρχαιότητος» (α). Ἀλλὰ καὶ τούτων ἡ γνώμη παράλογος. Τίς ποτε πιστεύει, ὅτι Ἰουδαῖοι σοφοὶ καὶ πιστοὶ διέφθειρον καταχραίνοντες τὰς παρ᾽ αὐτοῖς νενομισμένας θείας Γραφὰς, ἢ ὡς πιστοτέραν νομίζοντες τὴν κατ᾽ Αἰγυπτίους χρονομυθίαν, ἢ γοῦν καὶ ἐπίτηδες εὐαρεστοῦντες τοῖς ἐθνικοῖς; Τοῦτο φαίνεται παρόμοιον πρὸς ἐκεῖνο τὸ πλάσμα τὸ περὶ τῆς Δηλώσεως καὶ τῆς *Ἀληθείας*, ἣν ἔγραψαν δῆθεν οἱ Ο, χάριν φέροντες τοῖς Αἰγυπτίοις! (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 173)· ἢ καὶ πρὸς ἐκεῖνον τῶν ῥαββίνων τὸν χαριεντισμὸν, οἵτινες με-

---

συνεξορίζει καὶ τὴν τῶν Ο, μηδὲν μηδ᾽ αὐτὸς οἴκοθεν, πλὴν τῶν εἰς κενὸν προτεθρυλλημένων, προσθεὶς, μηδὲ τὰς ἀλογιστίας τοῦ μασοραίου κειμένου διαλύσας, μηδὲ γοῦν τῆς κατ᾽ αὐτὸν Ἐκκλησίας τὴν ἀρχαίαν Διαλαλιὰν αἰδεσθεὶς, μηδὲ μνημονεύσας ὅλως, ἣν καὶ αὐτὸς, ὡς καὶ Οὐβιγάντης, διελάλουν κατ᾽ ἔτος ἐπ᾽ Ἐκκλησίας, ὡς κληρικοί. Ἔστι δὲ λίαν ἡδὺς ὁ σοφὸς Φαβρίκυς ἐν οἷς διαλαμβάνει περὶ τοῦ β, Καϊνᾶν· τί λέγων; ἄκουε· «Εὑρίσκεται παρὰ τοῖς Ο, καί τις Καϊνᾶν (un certain Cainan!) ὃν σοφοί τινες (quelques Sçavans) πιστεύουσιν, ὅτι γέγονεν εἷς τῶν προγόνων τοῦ Ἀβραὰμ, περὶ οὗ γίνεται μνεία (il est fait mention) καὶ ἐν τῷ Εὐαγγελίῳ τοῦ Λουκᾶ» κτλ. Ταῦτα κατὰ λέξιν, καὶ μετὰ τοσαύτης ὑπεροψίας ἐχάραξεν ὁ σοφὸς Ἀββᾶς, ὁ ἐκ τῆς φρατορίας τοῦ τάγματος τῶν Κηρύκων! καὶ τέλος συμπεραίνει· «φαίνεται (φησὶν) ἐκ λόγων ἰσχυρῶν, ὅτι τὸ ὄνομα τούτου τοῦ Καϊνᾶν οὐχ ὑπῆρχεν ἐξ ἀρχῆς οὔτε παρὰ τοῖς Ο, οὔτε παρὰ τῷ Εὐαγγελιστῇ Λουκᾷ». Τὸν δὲ βουλόμενον τοὺς λόγους τούτους μαθεῖν παραπέμπει εἰς τὸν Βοχάρτον, εἰς τὸν Ὑσσέριον, εἰς τὸν Σπαγχέμιον, καὶ τῶν ἄλλων ὁμοφρόνων τὸν θίασον (βλ. ὄπισθ. σελ. 742. σημ.). Αὐγουστίνου δὲ, καὶ Ἱλαρίου, καὶ τῶν ἄλλων τῶν ἱερῶν τῆς Δυτικῆς Ἐκκλησίας πατέρων, τῶν συμφώνως τοῖς Ἀνατολικοῖς καὶ τῷ θείῳ Λουκᾷ γενεαλογούντων τὸν Καϊνᾶν, οὐδεὶς λόγος παρὰ τῷ φράτορι! Ἀλλὰ καὶ ταῦτα, καὶ τὰς ἄλλας τῶν ὑπερμάχων τῆς καθ᾽ Ἑβραίους, πολεμίων δὲ τῆς κατὰ τοὺς Ο, χρονολογίας παραφορὰς, δοτέον καὶ τῷ χρόνῳ. Οὔπω γὰρ ἦσαν τότε Βαρονίῳ καὶ Μορίνῳ καὶ Οὐοσσίῳ καὶ Πεζρῶνι συμμαχοῦντες Κουνιγχάμοι καὶ Βαλλάκαι καὶ Σεϋφάρθαι, οἵτινες τὰ ῥάκη τοῦ προσώπου τῆς περὶ τὴν χρονολογίαν παλαιᾶς καὶ νωδῆς καὶ κωφῆς πλάνης τῶν Μασοριτῶν τηλεφανῶς ἐξήλεγξαν.

(α) Spanchem. Chronol. Sacr. P. II. pag. 149.

ταξὺ τῶν μόνων ιγ λέξεων, ἐν αἷς εὕρισκον τοὺς Ο διφθείραντας δῆθεν τὸ ἑβραϊον κείμενον, ἠρίθμουν καὶ τὴν *δασύπους*, ἣν ἔγραψαν οἱ Ο κατ' ἀνθρωποπαρέσκειαν, μή ποτε γράψαντες *λαγὼν*, δυσαρεστήσωσι τῷ Πτολεμαίῳ, οὗ περ ἡ βασίλισσα ὠνομάζετο Λαγώς! (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 559). Ἀλλ' (ἵνα παραλίπωμεν τὰ παρὰ τοῖς κριτικοῖς διακενῆς κατὰ τῶν Ο φωνασκηθέντα τοιαῦτα κομψεύματα), ἀπαντῶμεν πρὸς τοὺς περὶ τὸν Σπαγχέμιον, ὅτι λίαν ἀπιθάνως ἐφαντάσθησαν ἀνθρώπους λογικοὺς, ἐπιχέοντας μίαν ὕδατος ῥανίδα, (ἢ καὶ στίλην τοῦ γραμματικοῦ Παλαίμονος) (α), πρὸς αὔξησιν τοῦ πελάγους! Παμπληθεῖς χρόνων περιόδους, ἐκ πολλῶν χιλιετηρίδων συνεστηκυίας, ἠρίθμουν ἀπὸ τῆς κοσμογονίας οἱ Αἰγύπτιοι, καὶ μακρὰς ἐτῶν ἐκόμπαζον μυριάδας, ἐξ ὧν ἔπλεκον τὴν ἑαυτῶν ἀρχαιογονίαν ὁμοίαν τῆς ἐξ οὐρανόθεν εἰς γῆν καθικνουμένης Ὁμηρικῆς ἐκείνης χρυσείας σειρᾶς· καὶ θεῶν δὲ καὶ ἡμιθέων, καὶ παρὰ τούτους νεκύων καὶ θνητῶν ἑτέρων βασιλέων πολλὴν καὶ φλύαρον ἐξύφαινον μυθολογίαν, ἀπέραντα γενεαλογοῦντες (βλ. Εὐσέβ. Σύγκελ.). Ὁ Χαλδαῖος Βηρωσσὸς ἀνεβίβαζε τοὺς πρώτους βασιλεῖς τῶν Χαλδαίων εἰς ὕψος ἀρχαιότητος οὐκ ἔλασσον τῶν 470,000 ἐτῶν. Ὁ δὲ πάλιν Μανεθὼς χάριν τῶν ἀρχαίων τῆς Αἰγύπτου βασιλέων ἀπῄτει σειρὰν 36,525 ἐτῶν (ὡς φαίνεται παρὰ τῷ Συγκέλλῳ). Πρὸς ταύτην οὖν τὴν παρ' Αἰγυπτίοις πρεσβευομένην ἀπερίληπτον ἔκτασιν τῶν χιλιοστύων, τί ποτ' ἂν ὠφέλησαν, ἢ πῶς ἂν καὶ προσήγγιζον οἱ Ο, προστιθέντες ἓν *ἡμιόλιον* χιλιετηρίδος εἰς τὴν κατ' αὐτοὺς χρονολογίαν τῶν θείων Γραφῶν; καὶ ὅλης δὲ τῆς κατὰ τοὺς Ο χρονολογίας αἱ 55 περίπου ἑκατονταετηρίδες πηλίκη φαίνονται ποσότης ὡς πρὸς τὰς ἀτεκμάρτους τῶν Αἰγυπτίων καὶ Χαλδαίων μυριετίας; Ἦπου πολὺ

(α) Παλαίμων, γραμματικὸς ἐν Ῥώμῃ κατὰ τὸν α, αἰῶνα μ. Χ. ἐρωτηθεὶς τί διαφέρει στίλη ῥανίδος; εἶπεν· ἡ ῥ α ν ὶ ς σ τ ή κ ε ι, ἡ σ τ ί λ η π ί π τ ε ι: Gutta stat, stilla cadit. (Ἱερώνυμ. Χρον. Ὀλυμπ. 206). Σ τ ά λ α ν λέγει νῦν ἡ συνήθεια τὴν ἐπ' Ἀριστοφάνους σ τ ί λ η ν.

πρὸς αὐτὰς (οὐχ ὁρᾷς;) ἐγγυτέρα, καὶ παρ' ὀλίγον ἰσοστάσιος καὶ πάρισος (Ἀνταῖός τις πρὸς Ἡρακλῆν) ἐφαίνετ' ἂν ἡ βραχυλὴ τῶν 4000 ἐτῶν χρονολογία, πλεῖν ἢ σπιθαμῇ καὶ δακτύλῳ τανυμηκεστέρα γενομένη, δι' ὧν αὐτῇ προσέθηκαν 1500 ἐτῶν οἱ Ο! Λίαν ἄτοπα φαίνονται ταῦτα καὶ λαμπρὰ ὀνείρατα σοφῶν κεφαλῶν. Ἀλλὰ τῆς μὲν *πολιᾶς Αἰγύπτου* τοὺς λήρους ἐξήλεγξαν ὡς προείπομεν (σελ. 769) οἱ ἡμέτεροι χρονογράφοι, καὶ ἰδίως οἱ μοναχοὶ, Ἀννιανὸς καὶ Πανόδωρος (Αἰγύπτιοι καὶ οὗτοι), μηνῶν καὶ ἑβδομάδων καὶ ἡμερῶν, οὐκ ἐτῶν περιόδους οὔσας. Καὶ τῶν νεωτέρων δὲ σοφώτατοι ἄνδρες πρεσεκύρωσαν τὴν ἀλήθειαν (βλ. ὄπισθ. σελ. 770). Ὥστε συμβαίνει πᾶν τοὐναντίον, ἥπερ ἐνόμιζεν ὁ Σπαγχέμιος· ἡ τῶν Αἰγυπτίων εἰλικρινὴς χρονολογία, καθαρισθεῖσα τῶν μυθολογημάτων, κατὰ τὰς ἀνακαλυφθείσας ἱστορικὰς ἀρχαιότητας, συμφωνεῖ θαυμαστῶς πρὸς τὴν ἱερὰν χρονολογίαν τῶν Ο, καὶ τὸ γνήσιον καὶ βέβαιον αὐτῆς μαρτυρεῖ, καί τοι καὶ καθ' ἑαυτὴν αὐταρκούσης πρὸς ἀπόδειξιν, μηδὲ χρῃζούσης ἀλλοτρίων δοξασιῶν εἰς ἰδίαν πίστωσιν, εἰ μή που πρὸς ἔλεγχον τῆς φιλοκαινοτόμου μοχθηρίας.

ϛ) Τελευταῖον· ἐνόμισάν τινες καὶ ὅτι δῆθεν οἱ Ο, ἢ παλαιοί τινες τῶν αὐτογράφων τῆς ἑρμηνείας ἀντιγραφεῖς, ἐξέλαβον τὰ ἔτη τῶν πατριαρχῶν ὡς μηνιαῖα, ἢ καὶ δέκα ἔτη ὡς ἰσοδύναμα ἑνὸς ἡλιακοῦ ἐνιαυτοῦ· ὅθεν καὶ ἐπηύξησαν αὐτῶν τὸν ἀριθμόν.—Ἀλλ' αὕτη ἡ ὀνείρωξις φαίνεται πάσης ἀπαντήσεως ἀναξία. Πῶς ἄν τις σῶας ἔχων τὰς φρένας, ἠδύνατο τὰς ἡλικίας ἀριθμεῖν κατὰ ἔτη μηνιαῖα; Κατὰ τοῦτον τὸν ψηφισμὸν, κἂν καὶ εἰς αὐτὴν τῶν Ο τὴν μακροτέραν χρονολογίαν ἐφαρμοσθῇ, προκύπτουσιν ἀλογίαι προφανέσταται. Πρῶτον μὲν γὰρ, αὐτὸς ὁ θεόπνευστος συγγραφεὺς ὁρίζει τὸ ἔτος συγκείμενον ἐκ δώδεκα μηνῶν ἐν αὐτῇ τῇ τοῦ κατακλυσμοῦ ἱστορίᾳ, διακρίνων καὶ τὰς 30 ἡμέρας τοῦ μηνὸς (Γενέσ. ζ, 11: η, 3—14). Ὅτι δὲ τοὺς αὐτοὺς ἐνιαυτοὺς ὁ αὐτὸς θεόπνευστος συγγραφεὺς ἔγραφε καὶ πρὸ τοῦ κατακλυσμοῦ καὶ μετέπειτα ἔν τε τῇ Γενέσει καὶ δι' ὅλης τῆς Πεντατεύχου, πρό-

δῆλον· καὶ μόνοις τοῖς παράφροσιν ἔξεστιν ἀμφιβάλλειν (α). Ἔπειτα, κατὰ τὸν γελοῖον ψηφισμὸν τῶν μηνιαίων ἐνιαυτῶν, ὁ μὲν Ἀβραὰμ καὶ ἄλλοι φαίνονται ὅτι μόλις ἔζησαν 14, ἢ καὶ 12, ἔτη ἡλιακά· ὁ δὲ πάλιν Ἰσαὰκ καὶ Ἰακὼβ ἐτεκνογόνησαν *ἑπταετεῖς*, ἢ *ἑξαετεῖς* τὴν ἡλικίαν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Ἐὰν δὲ καὶ ἐπὶ τῆς ἑβραϊκῆς χρονολογίας ὑποτεθῶσι τὰ ἔτη μηνιαῖα, πολὺ μείζων ἐξέρχεται ἡ ἀλογιστία· οἷον ἐπ' αὐτῶν τῶν προκατακλυσμίων πατριαρχῶν, ὁ Καϊνᾶν, ὁ Μαλελεὴλ, ὁ Ἐνὼχ, ὧν ἡ προπαιδογόνος ἡλικία διορίζεται ἐτῶν 70, 60, 65, ἐτεκνογόνουν ἄρα καὶ οὗτοι ἑξαετεῖς, ἢ πενταετεῖς· καὶ τὰ λοιπὰ τῆς ἀλογίας παραλείπομεν.

§. ιη. Ἐκ πάντων τοίνυν τῶν προειρημένων ἀποδείκνυται μὲν τὸ γνήσιον τῆς κατὰ τοὺς Ο χρονολογίας, ἐξελέγχεται δὲ τὸ παράκοπον τῆς τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ. Μαρτυροῦσι τὴν ἀλήθειαν καὶ Ἰώσηπος μετὰ τῶν παλαιῶν Ἰουδαίων, καὶ τὸ παρὰ Σαμαρείταις ἑβραϊκὸν (κατὰ τὴν Β. περίοδον), καὶ πάντες οἱ θεῖοι πατέρες τῆς Ἐκκλησίας, καὶ πάντες οἱ χρονολόγοι τῆς ἐκκλησιαστικῆς τῶν χρόνων ἀναγραφῆς, καὶ αὐτῶν τῶν νεωτέρων οἱ εὐκλεέστατοι. Συμμαρτυροῦσι καὶ οἱ περὶ τὸν Φαληρέα Δημήτριον ἐθνικοὶ ἱστορικοὶ, καὶ πάντα τὰ ἀρχαίγονα ἔθνη, *γαίας Ἀσιάδος πολιὰ τέκνα*, διασῴζοντα πολλῶν πατριαρχικῶν παραδόσεων τὸν θησαυρὸν, ἐγκεκρυμμένον ἐντὸς τοῦ σαθροῦ κελύφους τῶν παρ' αὐτοῖς μυθολογιῶν. Ἀλλὰ καὶ εἰ μηδεμία τις ἄλλη δεῖξις τῆς ἀληθείας ταύτης ὑπῆρχεν, ἀλλ' ἤρκει καὶ μόνη ἡ πάγκοινος τῆς Ἐκκλησίας παράδοσις ἀσυγκρίτως οὖσα προτιμοτέρα παρὰ πᾶσαν ἄλλην ἀπόδειξιν, καὶ πάσης πίστεως ἀξιωτέρα, μηδὲ πτοουμένη μηδ' ὁπω-

---

(α) Ὁ γάλλος Βαϊλλῦς διαβεβαιοῖ, ὅτι καὶ τοῖς πρὸ τοῦ Νῶε πατριάρχαις ὑπῆρχε γνωστὸς ὁ ἡλιακὸς ἐνιαυτὸς, συγκείμενος ἐκ 365 ἡμερῶν, 5 ὡρῶν, καὶ λεπτῶν 51, 36 ». (Bailly. Histoir. de l' Astronom. ancien. πρβλ. Chateaubriand, Genie du Christianism. L. VI. ch. 3. p. 161). Ὁ δὲ Σκαλίγηρος μόνον ἐκ 365 ἡμερῶν (De emend. Tempor. p. 221). Ἄλλοι ἐκ μόνων 360 (Gebelin l. c. p. 120). βλ. καὶ Cappel. not. in Genes.

σοῦν τὰς τῶν νεωτέρων ἐπισήμων χρονολόγων στιλπνὰς ἀντιφάσεις, καὶ τοὺς ἐνδόξους παραλογισμούς. Περὶ τούτων δικαίως ἀγανακτῶν ἔλεγε καὶ ὁ φρόνιμος Σποντανὸς (ᾐνίττετο δὲ μάλιστα τὸν θερμὸν καὶ ταύτης τῆς πλάνης πρωτοστάτην Σκαλίγηρον). « Πάντα (λέγει) πρὸς τὸ δοκοῦν ἀναστρέφουσι, συστέλλουσιν, ἐπεκτείνουσιν, ὅπως σύμφωνα ποιήσωσι πρὸς τοὺς κατ᾽ αὐτοὺς ψηφισμοὺς καὶ τὰς τῶν χρόνων ἐποχὰς, καί τινας ἀβεβαίους ἀστερισμοὺς, καὶ τῶν παλαιῶν αἰώνων τὰς νουμηνίας, τοὺς ἐμβολισμοὺς, τὰς ἐκλείψεις, καὶ τ᾽ ἄλλα ὅσα πρὸς τὸ σφίσιν ἀρέσκον ἀναμετροῦσι, πόνῳ πνιγηρῷ δειλαίως βασανιζόμενοι» (α). Συναινεῖ δὲ τούτοις καὶ ὁ κλεινὸς Βάλτων (β). Θαυμαζέτω δὲ μηδεὶς τοὺς λόγους ὡς ὑπερβολικούς. Εἰσχωρεῖ πολλάκις πλάνη καὶ περὶ τοὺς ἀστρονομικοὺς τῶν χρονικῶν περιόδων ὑπολογισμούς· καὶ τὸ παράδειγμα παρὰ πόδας. Δι᾽ ἀστρονομικῶν καὶ χρονολογικῶν θεωριῶν ὁ σοφὸς Σκαλίγηρος ἀπεδείκνυεν ἀληθινὰ καὶ βέβαια τὰ καθ᾽ ἑβραίους ἀπὸ Κ. Κ. μέχρι Χ. 4000, ἢ 4004 ἔτη, ψευδῆ δὲ τὰ κατὰ τοὺς Ο, 5500, ἢ 5508. Καὶ πάλιν διὰ τῶν αὐτῶν χρονολογικῶν καὶ ἀστρονομικῶν θεωρημάτων ἄλλοι τούτου νεώτεροι, καὶ καθ᾽ ἡμᾶς οἱ εὐκλεεῖς Κουνιγχάμος καὶ Σεϋφάρθος, ἀπέδειξαν πολὺ βεβαιότερον ἐψευσμένην μὲν καὶ νόθον τὴν καθ᾽ ἑβραίους, ἀληθινὴν δὲ καὶ γνησίαν τὴν κατὰ τοὺς Ο χρονολογίαν, ἀριθμοῦντες ἀπὸ Κ. Κ. μέχρι Χριστοῦ Σωτῆρος τοσαύτας χιλιάδας ἐτῶν (πλὴν μικρῶν τινῶν διαφορῶν), ὅσας καὶ οἱ καθ᾽ ἡμᾶς ἀρχαῖοι χρονολόγοι, οἷον ὁ πολὺς Ἀφρικανὸς, καὶ οἱ Αἰγύπτιοι μοναχοὶ, Ἀννιανὸς καὶ Πανόδωρος, καὶ ὕστερον Διονύσιος ὁ μικρός· οἵτινες οὐδ᾽ οὗτοι χωρὶς ἀστρονομικῶν καὶ μαθηματικῶν θεωριῶν, κύκλων, καὶ συνόδων, καὶ ἀστερισμῶν, καὶ κανονίων, καὶ πινάκων, ἔτι δὲ καὶ παραδόσεων ἱερῶν καὶ ἀρχαιοτάτων, ἀπέδειξαν τὴν ἀληθῆ χρονολογίαν, συνεπικυρούσης τῆς Ἐκκλησίας « *Ἐποίησε μὲν γὰρ* ὁ Θεὸς σελήνην εἰς *καιροὺς*», καὶ «ἔθετο φωστῆρας ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ,

---

(α) Spontan. adfinem Appar. Baron. — (β) Walton Prol. IX. §. 62.

τοῦ *εἶναι εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτοὺς*» (Γενέσ. α). «Δίδωσι δὲ τοῖς ἀνθρώποις γνῶσιν τῶν ὄντων, εἰδέναι σύστασιν κόσμου, καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, ἐνιαυτῶν κύκλους, καὶ ἀστέρων θέσεις» κτλ. (Σοφ. Σολ. ζ, 17–21). Ἀλλ' οἱ μὲν ἀστέρες καὶ οἱ φωστῆρες πορεύονται τὴν κατὰ φύσιν πορείαν, ἣν ἐχάραξεν αὐτοῖς ὁ δάκτυλος τοῦ Δημιουργοῦ· ὁ δὲ θεωρὸς ἄνθρωπος πλανᾶται πολλάκις περὶ τὴν θεωρίαν, οὐδ' ἀκολουθεῖ κατὰ πόδας «ἀστέρων δρόμον, καὶ κύκλους ἡλίου»· ὅθεν καὶ οὐδ' ἀληθεῖς τὰς περιόδους τῶν ἐνιαυτῶν ὁ κάλαμος αὐτοῦ καταγράφει, ὅταν ἀπὸ ψευδῶν ἀρχῶν ὁρμηθῇ, ἢ καὶ περὶ τοὺς συνδυασμοὺς τῶν ἱστορικῶν συμβεβηκότων ἀπατηθῇ. Καὶ τοιαῦται φαίνονται αἱ χρονολογικαὶ τῶν περὶ τὸν Σκαλίγηρον θεωρίαι, σκοπὸν ἔχουσαι τὸ παρακεκομμένον σύστημα τῆς Μασοραίας χρονολογίας. Τῶν δὲ καθ' ἡμᾶς ἀρχαίων χρονογράφων αἱ ἀστρονομικαὶ παρατηρήσεις, πείρᾳ τε μακρᾷ καὶ τοῖς τῶν παλαιῶν κανόσιν ἐξηρτυμέναι, τὸ δὲ μέγιστον καὶ πρώτιστον, ἀπευθυνόμεναι πρὸς τὴν γνησίαν τοῦ ἱεροῦ κειμένου χρονολογίαν, καὶ ταύτην παρεξετάζουσαι πρὸς τὰς ἀντιστοιχούσας τῶν ἄστρων φορὰς, ἀπέδειξαν τὴν ἀλήθειαν τῶν κατὰ τοὺς Ο χρονικῶν διαστημάτων οὕτως ἀπλανῶς, ὥστε καὶ μετὰ τοσούτους αἰῶνας αἱ τῶν νεωτάτων σοφῶν παρατηρήσεις συμφώνως ἐκείνας ἐπικυροῦσι (α). Καὶ ταῦτα μὲν τοιαῦτα. Ὥρα δὲ λέγειν ἤδη καὶ ὅπως

(α) Ὁ κλεινὸς Σεϋφάρθος θαυμάζων καὶ τιμῶν ἀξίως καὶ δικαίως τὴν ἀλήθειαν τῆς χρονολογίας τῶν Ο, ὑπέλαβεν ὅμως πλάνην ἀντιγραφικὴν συμβᾶσαν περὶ τὰ ἔτη τῆς γενεᾶς τοῦ Μαθουσάλα, γραφέντος ἀριθμοῦ 167, ἀντὶ 187. Ὅθεν, λέγει, προῆλθε καὶ τὸ κεφάλαιον τῆς προκατακλυσμίας περιόδου 2242, κατὰ τοὺς Ο, καὶ ὁ Μαθουσάλας φαίνεται καὶ μετὰ τὸν κατακλυσμὸν ἐπιζήσας· ὅπερ, ἄτοπον. Ἐκ δὲ τούτου λαβὼν ἀφορμὴν ὁ σοφὸς χρονογράφος, προστίθησι πρὸς τοῖς 167, καὶ ἄλλα 182, ἀναβιβάζων τὰ ἔτη τῆς τοῦ Μαθουσάλα γενεᾶς εἰς 349, καὶ συνάγων τὸ κεφάλαιον τῆς προκατακλυσμίας περιόδου εἰς ἔτη 2424· καὶ ταῦτα νομίζει βεβαιούμενα καὶ διὰ τῶν ἀστερισμῶν (Seyffarth, l. c. p. 233—236). Ἀλλ' ὅτι μὲν οἱ Ο γεγράφασιν οὐχ 167, ἀλλ' 187, τὰ ἔτη τοῦ Μαθουσάλα, τοῦτο καὶ πίστεις ἀρχαίων κωδήκων βεβαιοῦσι, καὶ μαρτυρίαι πατέρων ἄλλων τε πολλῶν, καὶ Ἀφρικανοῦ, καὶ Ἐπιφανίου, καὶ Αὐγουστίνου, καὶ αὐτοῦ τοῦ Εὐσεβίου, καθὰ προείπομεν

καὶ ὅθεν προῆλθεν ἡ τοσαύτη πρὸς τὴν χρονολογίαν τοῦ νῦν ἑβραϊκοῦ πρὸς τοὺς Ο διαφωνίαν.

E.

§. ιθ. Ὅτι οἱ μετὰ Χριστὸν Ἰουδαῖοι διέφθειραν τὴν χρονολογίαν ἐν τῷ κειμένῳ τῷ ἑβραϊκῷ.

Ὁ Κλίντων φαίνεται ψέγων τοὺς περὶ τὸν Ἰάκσωνα καὶ Ἄλην, ὡς ἐπιῤῥίπτοντας ἐπὶ τῶν ἑβραϊκῶν ἀντιγράφων μεγάλας μεταβολάς, γενομένας ὑπὸ τῶν Ἰουδαίων τῆς Β. ἑκατονταετηρίδος. Ἀλλ' ὀρθότερον ἂν ἔκρινεν ὁ σοφὸς οὗτος, εἰ τὸν Ἄλην καὶ τὸν Ἰάκσωνα παραλιπὼν, ἔλεγεν, ὅτι Ἰουστῖνος ὁ μάρτυς, ὁ θεῖος Εἰρηναῖος, ὁ Ὠριγένης, Εὐσέβιος ὁ Παμφίλου, ὁ τούτου μαθητὴς Εὐσέβιος ὁ Ἐμεσσηνὸς, Ἐφραὶμ ὁ Σύρος, Ἰάκωβος ὁ Ἐδεσσηνὸς, ὁ Αὐγουστῖνος, ὁ Τολήτου Ἰουλιανὸς, ὁ Σύγκελλος, καὶ ἄλλοι, καὶ ὁ χρονογράφος Ἀβουλφεράγιος, κατηγόρησαν τοῦ παρ' Ἰουδαίοις ἑβραϊκοῦ κειμένου τοιαύτας μεταβολάς· καί τινες τῶν ἀρχαίων τούτων συγγραφέων διεκήρυξαν τοὺς Ἰουδαίους καὶ ὡς ἐνόχους τῆς περὶ τὴν Γραφικὴν χρονολογίαν ἑκουσίας διαφθορᾶς. Εἴδομεν πρὸ μικροῦ (σελ. 713 καὶ 751) δύω τοῦ Εὐσεβίου περικοπὰς, δι' ὧν ἀνακηρύττει τὸ διημαρτημένον τῆς ἑβραϊκῆς χρονολογίας. Ὁ δ' αὐτὸς προστίθησι καὶ ταῦτα. «Ὁρῶν δὲ ἐν τῇ συγκεφαλαιώσει τῆς ἑκάστου ἀνδρὸς ζωῆς τὸν αὐτὸν (τῶν ἐτῶν) ἀριθμὸν κατά τε τὴν Ἑβραίων ἀνάγνωσιν καὶ κατὰ τὴν τῶν Ο ἑρμηνείαν, μόνα δὲ τὰ πρὸ τῆς τεκνογονίας ἔτη παρὰ τῶν Ἰουδαϊκῶν ἀντιγράφων συνεσταλμένα, κινοῦμαι, μή ποτε Ἰουδαίων ἔργον *ἦν τοῦτο, τολμησάντων συστεῖλαι καὶ ἐπιτραχῦναι* (ἴσ. γρ. ἐπιταχῦναι) *τοὺς πρὸ τῆς παιδοποιΐας χρόνους, ἐπιτροπῇ* (ἴσ. γρ. ἐπὶ προτροπῇ)

(σελ. 711). Ὅθεν καὶ οὐδ' ἐπέζησεν ὁ Μαθουσάλας μετὰ τὸν κατακλυσμὸν, ὥς καὶ πρότερόν τινες πολέμιοι τῶν Ο, διεθρύλλησαν, «ἄκρατον πάσχοντες συκοφαντίας κνησμὸν» ὁ Βάλτων φησί (Προλεγ. θ, 57). Καὶ κείσθω λοιπὸν ἄχραντος καὶ ἱερὸς ὁ 2262, ἀριθμὸς τοῦ κεφαλαίου τῆς κατὰ τοὺς Ο προκατακλυσμίας περιόδου, ὡς τῇ τε ἱερᾷ ἱστορίᾳ συμφυὴς, καὶ πρὸς τὰς ἐθνικὰς χρονολογίας σύμφωνος, καὶ ὑπὸ τῆς Ἐκκλησίας τοῦ Θεοῦ κεκυρωμένος· πρὸς δὲ ταῖς θεωρίαις τῶν ἀστερισμῶν παροικεῖ πολλάκις καὶ πλάνη, «γείτων πονηρὰ, καλλίστοις βασκαίνουσα πόνοις».

ταχυγαμίας· τῶν γὰρ παλαιοτάτων ἀνδρῶν μακροβίων ὄντων καὶ πολυχρονίων, οὕτω δὲ κατὰ τούτους θᾶττον ἐπὶ γάμους καὶ παιδοποιΐας ἐλθόντων, ὡς ἡ παρ᾿ αὐτοῖς ἀνάγνωσις δηλοῖ, τὶς οὐκ ἂν αὐτῶν τὸν ὅμοιον τῆς ταχυγαμίας τρόπον ἐζήλωσεν;» (α). Ἀλλ' ὅπερ ὁ Εὐσέβιος ἀπέδωκεν ὡς αἴτιον τῆς ὑπὸ τῶν Ἰουδαίων ἑκουσίας τῶν ἐτῶν συγκοπῆς, τοῦτο πολὺ πιθανώτερον καὶ σαφέστερον ἐξέφρασεν ὁ μακάριος καὶ πανεύφημος Ἐφραὶμ ὁ Σύρος, λέγων ἐπὶ λέξεως ταῦτα· « Ὑπεξεῖλον οἱ Ἰουδαῖοι ἐκ τῆς Ἀδὰμ καὶ τῆς τοῦ Σὴθ καὶ τῆς τῶν λοιπῶν ἡλικίας ἔτη 600» (μέχρι τοῦ κατακλυσμοῦ) «ἵνα συγκρύψωσι τὸν Μεσσίαν· μηδ᾿ἐξελέγχωσιν αὐτοὺς αἱ βίβλοι αὐτῶν περὶ τοῦ Χριστοῦ, ὃς ἔμελλεν ἐπιφανήσεσθαι μετὰ τὸ 5500 (Κ. Κ.), ἵνα σώσῃ τὸν ἄνθρωπον» (β). Ἀλλὰ καὶ ὁ ἱερὸς Αὐγουστῖνος, καί τοι περὶ τὴν κρίσιν τῆς ἑβραϊκῆς χρονολογίας συγκαταβατικώτερος ἐνίοτε φανείς, ἀλλ' ὅμως περὶ τῆς τῶν ἑκατὸν ἐνιαυτῶν ἐξ ἑκάστης γενεᾶς τῶν πατριαρχῶν σταθερᾶς ἀφαιρέσεως καὶ ἀποκοπῆς (βλ. σελ. 707), ἀνεκήρυξε λαμπρῶς, ὅτι « *τῆς πλάνης ταύτης ἡ σταθερότης οὐ τυχαίου συμπτώματος, ἀλλ᾿ ἐντρεχείας ὄζει*» (γ). Ταύτην τὴν Ἰουδαίων ῥᾳδιουργίαν βεβαιοῦσι καὶ ἄλλων ἐπισήμων ἀρχαίων καὶ νεωτέρων μαρτυρίαι, ἃς παραθήσομεν ἐν τοῖς ἐφεξῆς. Καὶ μάτην ἄρα διηπόρησεν ὁ Κλίντων, τίνος χάριν ἔμελλον συγκόψαι τὰς γενεὰς οἱ Ἰουδαῖοι· καὶ πολὺ δὲ ματαιότερον ἐπειράθη καὶ αὐτὸς διαβαλεῖν τοὺς Ο, ὡς ἐπαυξήσαντας τὰ ἔτη τῶν γενεῶν, ὅπως προσομοιωθῶσι πρὸς τοὺς Χαλδαίους καὶ Αἰγυπτίους, μυρίας ἀρχαιότητος ἀντιποιουμένους, καὶ χρόνων Ὠγυγίων ἀρχαιοτέρας (δ). Πρὸς ταύτην τὴν φαντασιοπληγίαν ἀπηντήσαμεν τὰ εἰκότα· τὸ δὲ μάττειν μάζαν μεμαγμένην, καὶ δὶς τὴν αὐτὴν κράμβην ἑψεῖν, παρείσθω τοῖς ἀργοφάγοις. Ἀλλὰ καὶ αὐτὸς ὁ σοφὸς ἐπίσταται Κλίντων,

---

(α) Εὐσέβ. Χρονικ. Α. κεφ. ις. σελ. 57-58 ἐκδ. Mediol. καὶ παρὰ Συγκέλ. σελ. 158.

(β) Ἐφραὶμ Σύρ. Σειρ. εἰς Πεντ. χειρόγ. παρὰ Kennicot. Dissert. general. pag. 183.

(γ) «Constantia erroris—nec casum redolet, sed industriam» S. Agust. de Civit. Dei L. XV. c. 15. —(δ) Clinton, Fasti Hellenic. T. 1. p. 297.

ὡς «*Οὐδεὶς κακύνεται μάτην*» (nemo gratis malus fit). Οὐδεμία οὔτε βία, οὔτε κέρδους ἐλπὶς ἐνῆγε τοὺς Ο διαφθεῖραι τὰς θείας Γραφὰς, ἃς μετὰ κλέους ἡρμήνευον, τρεῖς αἰῶνας πρὸ Χ. εἰς χρῆσιν δημοσίαν τοῦ ἔθνους αὐτῶν· οὐδ' ἂν ἐθελοκακοῦντες ἐπέβαλλον εἰς τὰς θείας ῥήσεις ἱερόσυλον χεῖρα, μεταβάλλοντες τοσάκις τοὺς ἀριθμούς· οὐδ' ἂν ἔλαθον, τέλος, ἐπιβαλόντες. Κλέπται καὶ φθορεῖς τοῦ ἱεροῦ κειμένου ὑπῆρξαν οἱ μετὰ Χριστὸν ῥαββῖνοι τῶν Ἰουδαίων, τέκτονες κακῶν, ἁπτόμενοι τῶν ἀχράντων, καὶ σκευωροῦντες «*γενέθλια πήματα κόσμου*», οἵτινες, ἀφ' οὗ ἐγένοντο «*προδόται καὶ φονεῖς τοῦ Δικαίου*», καὶ τοὺς *μάρτυρας τῆς ἀναστάσεως* αὐτοῦ κατεδίωξαν καὶ ἀπέκτειναν, ἐπειδὴ ἔβλεπον καὶ οὕτως αὐξάνον καθ' ἡμέραν τὸ πλῆθος τῶν πιστευόντων εἰς τὸν ἐν σαρκὶ φανερωθέντα Θεὸν, τὸν πρὸ αἰώνων προσδοκώμενον Μεσσίαν, ἠβουλήθησαν καὶ τὴν ἔλευσιν αὐτοῦ συκοφαντῆσαι. Διὸ καὶ τὴν χρονολογίαν περιέκοψαν, διαβουκολοῦντες καὶ πλανῶντες τοὺς λαοὺς αὐτῶν, ὅτι οὔπω ἦλθεν ὁ καιρὸς τῆς ἐλεύσεως τοῦ Μεσσίου.

§. κ. Ὁ δὲ καιρὸς οὗτος ὑπῆρχεν (ὡς προείπομεν) ἡ ἕκτη ἀπὸ Κ. Κ. χιλιετία, καθ' ἣν ἔμελλεν ἐλεύσεσθαι ὁ Χριστὸς, ὡς ἐπρέσβευεν ἀρχαία δόξα, χωροῦσα διὰ παντὸς τοῦ ἔθνους τῶν Ἰουδαίων. Καὶ τὸν καιρὸν τοῦτον ἔβλεπον ἤδη παρόντα. Μάρτυς Ἰουδαῖος γνήσιος καὶ ἀξιόπιστος, καὶ σύγχρονος δὲ τοῦ καιροῦ ἐκείνου, ὁ φιλαλήθης Ἰώσηπος. Οὗτος ἱστορῶν τὰ κατὰ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων, λέγει ταῦτα· «Τὸ δὲ ἐπᾶραν αὐτοὺς (τοὺς Ἰουδαίους) μάλιστα πρὸς τὸν (κατὰ Ῥωμαίων) πόλεμον ἦν χρησμὸς ἀμφίβολος . . . ἐν τοῖς ἱεροῖς εὑρημένος γράμμασιν, «*ὡς κατὰ τὸν καιρὸν ἐκεῖνον ἀπὸ τῆς χώρας τις αὐτῶν ἄρξει τῆς οἰκουμένης*». Τοῦτο οἱ μὲν ὡς οἰκεῖον ἐξέλαβον, καὶ πολλοὶ τῶν σοφῶν ἐπλανήθησαν περὶ τὴν κρίσιν· ἐδήλου δὲ ἌΜΑ τὴν περὶ τοῦ Οὐεσπεσιανοῦ τὸ λόγιον ἡγεμονίαν, ἀποδειχθέντος ἐπὶ Ἰουδαίας αὐτοκράτορος» (α). Καὶ ὁ μὲν χρησμὸς οὗτος ἐκ θεοχρήστων τῷ

(α) Ἰώσηπ. Ἰουδ. πολ. ς, ε, §. 4. Τὸ δ' ἀμφίβολον τοῦ χρησμοῦ φαίνεται σαλεῦον εἰς τὸ τ ὶ ς, καὶ τὸ α ὐ τ ῶ ν· πότερον ἀπὸ τῆς χ ώ ρ α ς (δηλονότι ἐγχώ-

ὄντι προφητειῶν ἔχων τὴν ἀρχὴν (ὡς λέγομεν εὐθὺς), ἐσήμαινεν ὃν ἔλεγον οἱ Μάγοι «*βασιλέα τῶν Ἰουδαίων*», οὗ τὸν ἀστέρα προεῖδον ἐν τῇ Ἀνατολῇ, καὶ περὶ οὗ ἐῤῥέθη τὸ «*Δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς*» (α). Ὁ δὲ Ἰουδαῖος ἱςορικὸς ἐξελάμβανε μὲν τὸν χρησμὸν ἐπὶ τοῦ Οὐεσπασιανοῦ, κολακεύων τὸν δεσπότην καὶ νικητὴν (βλ. καὶ Ἰουδ. πολ. Γ. η. §. 3), ἀλλ' ἑτέρωθεν ὅμως φαίνεται πλαγίως συμφωνῶν καὶ μετὰ τῶν ἄλλων ὁμογενῶν, τῶν *οἰκεῖόν* τινα τὸν προφητευόμενον ἐκλαβόντων· τοῦτο γὰρ σημαίνει τὸ «*ἐδήλου δὲ ἅμα*», μάλα δεξιῶς καὶ ἠρέμα προσκολληθέντος τοῦ μικροῦ καὶ φραστικοῦ λεξειδίου, τοῦ *ἅμα*, κτλ, Ταύτῃ τῇ φήμῃ τῆς κατ' ἐκεῖνον τὸν καιρὸν προσδοκωμένης ἐλεύσεως τοῦ Μεσσίου, μαρτυροῦσι καὶ ἄλλοι τότε ἀλλεπάλληλοι ἐκραγέντες καὶ διαῤῥαγέντες *ψευδόχριστοι* καὶ *ψευδομεσσίαι*· οἷος ἦν ὁ κατὰ τοὺς Ἀποστόλων χρόνους Θευδᾶς (β), καὶ Ἰούδας, καὶ Σίμων, καὶ Δοσίθεος, καὶ εἴ τις ἄλλος ὄλεθρος, καὶ ἔπειτ' ἐπὶ Ἀδριανοῦ ὁ Βαρχοχεβᾶς, εἰς ὃν ἐφήρμοζεν ὁ Ἀκιβᾶς τὸ «*ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ*» (γ). Ὥστε μαρτυροῦσι καὶ οὗτοι, κατ' ἐκεῖνο τὸ *Πύθωνος πνεῦμα* τὸ τῆς παιδίσκης (Πράξ. ις, 16), ὅτι παρῆν ἤδη τότε ὁ καιρὸς τῆς ἐπιφανείας τοῦ Μεσσίου.

§. κα. Οὐ μόνον δὲ παρ' Ἰουδαίοις ἡ φήμη τῆς ἐγγιζούσης τότε παρουσίας τοῦ Μεσσίου διεθρυλλεῖτο, ἀλλὰ καὶ παρ' ἄλλοις ἀρχαίοις ἔθνεσι τῆς Οἰκουμένης. Διελάβομεν προηγουμένως περὶ

ριος καὶ ὁμογενὴς) *αὐτῶν* (*τῶν Ἰουδαίων*) ΤΙΣ, *ἢ* (*ξένος ἄλλος*) ΤΙΣ *ἀπὸ τῆς χώρας αὐτῶν τῶν Ἰουδαίων* (*ὁρμήσας*) *ἄρξει τῆς Οἰκουμένης*. βλ. καὶ Huet. Demonst. Evang. Prol. VII. §. 32. T. 1. p. 362. πρβλ. Reland. not. εἰς Ἰώσηπ. αὐτόθ.

(α) Εὐσέβ. Ἐκκλ. ἱστορ. γ, 8. πρβλ. Ζωναρ. Χρονικ. καὶ Νικηφ. ἱστορ. γ. 4.

(β) Πράξ. ε, 34, 36. — Ὠριγ. κατὰ Κέλσ. I. §. 57. — Εὐσέβ. Ἐκκλ. ἱστ. β. ια, πρβλ. Ἰώσηπ. Ἀρχ. Κ. ε. §. 1. Εἰσί δέ τινες, οἳ καὶ δύω νομίζουσι Θευδᾶς ὁμωνύμους ψευδομεσσίας, τὸν μὲν ἀρχαιότερον, τὸν δὲ μετ' οὐ πολὺ φαντασιωθέντα.

(γ) Ἄλλους πολλοὺς ἐφεξῆς παρ' Ἰουδαίοις ἀναφανέντας ψευδομεσσίας (ἐν οἷς καὶ ὁ Δαβὶδ Ἐλ-Δαβίδ, ὁ πρὸς τὸν βασιλέα τῆς Περσίας δριμὺν πόλεμον ἀναλαβὼν) ἀριθμεῖ ὁ Μαϊμονίδης (ἐπιστολῇ πρὸς τοὺς ἐν Μασσαλίᾳ ῥαββίνους). βλ. καὶ Huet Dem. Pr. VII. p. 363. καὶ Μελετ. Ἐκκλ. ἱστορ. τ. γ. σελ. 470.

τῆς εἰς ἓξ χιλιετίας διαρκείας τοῦ κόσμου, ἣν καὶ ὁ τοῦ Δ Ἔσδρα συγγραφεὺς ἰουδαῖος ἐξέφρασε (σελ. 779). Διώριζον δὲ τὰς ἓξ χιλιετίας ἀναλόγως πρὸς τὰς ἓξ ἡμέρας τῆς δημιουργίας τοῦ κόσμου. Ὡς γὰρ μετὰ τὴν ἕκτην ἡμέραν ἐπῆλθεν ἡ ἑβδόμη τῆς καταπαύσεως, οὕτως (ἔλεγον) καὶ μετὰ τὸ τέλος τῆς ἕκτης χιλιετίας (ἐν ᾗ περιεμένετο ὁ Μεσσίας) ἐπηκολούθει ἑβδόμη χιλιετία, μυστικός τις σαββατισμὸς, πλήρης πάσης εὐδαιμονίας πνευματικῆς, βασιλεύοντος τοῦ Μεσσίου. Ταύτην τὴν ἔννοιαν ἐξηγεῖ ἡ τοῦ Βαρνάβα ἐπιστολὴ, περὶ ἧς προείπομεν. Ἐκ ταύτης, καὶ ἐκ τοῦ Παπία, ἀντέγραψε τὴν γνώμην καὶ ὁ μακάριος Εἰρηναῖος (οὐκ αὐτὸς αὐτὴν εἰπὼν πρῶτος, ὥς τινες ἐνόμισαν) (α). Ἀλλὰ τὰ περὶ τούτων ἄλλης πραγματείας. Τὰς δὲ τῆς τοῦ κόσμου διαρκείας ἓξ ἡλικίας ἐπρέσβευον καὶ οἱ Χαλδαῖοι, οἱ Αἰγύπτιοι, οἱ Ἰνδοὶ, οἱ Φοίνικες, οἱ Τυῤῥηνοὶ, οἱ Ῥωμαῖοι, καὶ ἄλλα τῶν ἀρχαίων ἐθνῶν· εὑρίσκοντο καὶ εἰς τὰς Σιβυλλαίας προῤῥήσεις, καὶ ἐν ταῖς Ὑστάσπου τοῦ Μήδου, καὶ ταῖς Ἑρμοῦ τοῦ Τρισμεγίστου συγγραφαῖς, κατὰ τὸν Λακτάντιον (ζ, 14. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 149). Καὶ αὐτοὶ οἱ Ἕλληνες ἐκ τῆς μεταλλείας τοῦ ὄρους Σιὼν παραλαβόντες, μετέφερον τὸν ἄπεφθον χρυσὸν τῶν πατριαρχικῶν καὶ Μωσαϊκῶν παραδόσεων εἰς τὰ ὄρη τοῦ Ὀλύμπου καὶ τοῦ Ἑλικῶνος τῆς ποιήσεως αὐτῶν, καίτοι μίξαντες τὸ καθαρὸν καὶ ἀκήρατον τῆς ἱερᾶς ἱστορίας μετὰ τῆς σκωρίας καὶ τοῦ κέρχνου τῆς κατ' αὐτοὺς μυθολογίας. Πάντας τοὺς νοήμονας ἀναγνώστας ἐκπλήττουσι τὰ περὶ ὧν προείπομεν *γένη* τοῦ Ἡσιόδου, ἐν οἷς διαγράφονται αἱ ἀπὸ Κ. Κ. μέχρις αὐτοῦ (τῷ 900, ἢ 859 π. Χ.) ἡλικίαι τοῦ κόσμου (β).

(α) Βλ. Wallace l. c. p 173. καὶ ἄλλοι δὲ πρὸ τούτου πολλὰ καθήψαντο τοῦ θείου πατρός· ἀπήντησε δὲ πρὸς ταῦτα ὁ Fevardentius ἐν ἐκδ. Εἰρηναίου. Oxon. 1702.

(β) Εἰς πέντε ἀλληλοδιάδοχα ἀνθρώπων γένη διαιρεῖ τὸν κόσμον ὁ Ἡσίοδος (Ἔργ. καὶ Ἡμέρ. στίχ. 108—208), δι' ὧν σκιαγραφοῦνται αἱ πέντε ἡλικίαι τοῦ κόσμου. Καὶ ἔστιν ἡ διαγραφὴ παράδοξος ἀνάμιξις τῶν τε πατριαρχικῶν τῆς ἱερᾶς ἱστορίας παραδόσεων (αἵ τινες διατηροῦνται ἐν τοῖς ἀρχαίοις διηγήμασιν ὅλων σχεδὸν τῶν παλαιῶν ἐθνῶν, οἷον Χαλδαίων, Ἰνδῶν, Αἰγυπτίων, κτλ.), καὶ τῶν τῆς πολυθέου μυθολογίας πλασμάτων, καλλωπιζομένων καὶ ὑπὸ τῆς ζωηρᾶς

Περιᾴδεται παρὰ πολλοῖς κἀκεῖνος, ὃν ὁ Πλάτων χαριέστατα πα-

φαντασίας καὶ μεγαληγορίας τοῦ ποιητοῦ (οἷος μάλιστα Ἡσίοδος μεθ' Ὅμηρον). Πρῶτον μὲν οὖν καταγράφει ὁ Ἡσίοδος τὸ Χρυσοῦν γένος (στίχ. 108—126)· τοῦτο δὲ σαφῶς ἀντιστοιχεῖ πρὸς τὴν προκατακλύσμιον ἡλικίαν, καὶ σκιωδῶς ὑποτυποῖ τήν τε κατ' εἰκόνα Θεοῦ δημιουργίαν τοῦ ἀνθρώπου, καὶ τὴν ἐν τῷ παραδείσῳ μακαριότητα τῶν πρωτοπλάστων, καὶ ἐφεξῆς τὴν ἀπὸ τοῦ Σὴθ ἄχρι τοῦ Νῶε γενεὰν τῶν δικαίων καὶ θεοφιλῶν, οὓς καὶ ἡ θεία Γραφὴ υἱοὺς Θεοῦ ὀνομάζει (Γεν. ς, 2). Μετὰ τῆς χρυσῆς καὶ πρωτογόνου ταύτης γενεᾶς φαίνεται συμπεπλεγμένη καὶ ἡ ἔννοια τῶν ἀγγέλων (στίχ. 122—125). Δεύτερον γένος τάσσει τὸ ἀργυροῦν (στίχ. 127—142), ἐν ᾧ σκιαγραφοῦνται ἰδίως οἱ ἀπὸ τοῦ Κάϊν μέχρι τοῦ κατακλυσμοῦ, ἀργυροῖ μὲν τὸ γένος, ὡς ἐκ τῆς ῥίζης τοῦ πρωτοπλάστου, καὶ πόλεων οἰκισταί, ἀτάσθαλοι δὲ ὅμως τοὺς τρόπους, καὶ ὑπερόπται Θεοῦ· διὸ καὶ τούτους « Ζεὺς (φησὶ) Κρονίδης ἔκρυψε χολούμενος» ἔνθα διαραίνεται ὁ ὄλεθρος τοῦ κατακλυσμοῦ. Τὸ δὲ πάντων μάλιστα παράδοξον, διαγράφει καὶ τὸ πρὸ τῆς ἥβης μῆκος τῆς προπαιδογόνου ἡλικίας τῶν τε προκατακλυσμίων, καὶ τῶν ἀπὸ τοῦ κατακλυσμοῦ πατριαρχῶν. Ἀλλὰ (φησὶν) «Ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ Ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος ᾧ ἐνὶ οἴκῳ» κτλ. Καὶ τοῦτο συμφωνεῖ πρός τε τοὺς Ο, καὶ τὸ Σαμαρειτικὸν (ἐν τῇ β, περιόδῳ), καὶ τὸν Ἰώσηπον, παρ' οἷς ἀριθμοῦνται τὰ πρὸ τῆς παιδογονίας ἑκατὸν ἔτη τῶν πατριαρχῶν, ἅπερ ἀπέκοψεν ὁ Ἰουδαῖος ἐν τῷ ἑβραϊκῷ (βλ. ὄπισθ. σελ. 712). Ἐντεῦθεν ὁ Ἰώσηπος (Ἀρχ Α. γ, §. 9) συνάπτει καὶ τὸν Ἡσίοδον μετὰ τῶν ἄλλων Ἑλλήνων καὶ Χαλδαίων καὶ Αἰγυπτίων, οὓς ἀνέφερεν ὡς ἱστορήσαντας τοὺς ἀρχαίους, χίλια ζήσαντας ἔτη. Ὁ δὲ ποιητής, μετὰ τὴν ἥβην τῆς β, κατ' αὐτὸν ἡλικίας, προλαβὼν ὑποτυποῖ καὶ τὴν ἀπὸ τοῦ κατακλυσμοῦ καὶ ἐφεξῆς ἐλάττωσιν τῆς ἀνθρωπίνης βιοτῆς, κατὰ τὴν ἱστορίαν τῆς θείας Γραφῆς. Ἐκφράζει δέ, ἴσως, καὶ τὴν εἰς τοὺς προκατακλυσμίους ἐκφωνηθεῖσαν ψῆφον τοῦ Θεοῦ· «ἔσονται αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη» (Γεν. ς, 3, μέχρις οὗ δηλονότι ἐπέλθῃ ὁ κατακλυσμός). Καὶ οὕτως εἰς τὸ τέλος τῶν δύω παρ' Ἡσιόδῳ γενῶν, καταλήγουσιν ἀπὸ Κ. Κ. μέχρι τοῦ κατακλυσμοῦ δύω περίπου χιλιετίαι (2262). Τὸ τρίτον παρ' Ἡσιόδῳ γένος διαγράφεται χαλκοῦν (στίχ. 143—155), ἀντιστοιχοῦν πρὸς τὴν ἀποκατακλύσμιον ἡλικίαν, παρατεινομένην καὶ μέχρι τῆς Ἐξόδου τῶν Ἰσραηλιτῶν. Ἐν ταύτῃ τῇ χαλκίνῃ ἡλικίᾳ διατυποῦνται τὰ βίαια ἔργα τῶν δορυμάχων καὶ χαλκοχιτώνων ἐκείνων ἀνθρώπων, καὶ οἱ γιγάντειοι καὶ κυνηγοὶ Νεβρῶδαι μετὰ τῶν πυργοποιῶν· πρὸς οὓς πάλιν παρεπλάσθησαν οἱ τῆς μυθολογίας γίγαντες καὶ Τιτᾶνες, καὶ Ὦτος καὶ Ἐφιάλτης, «Ὄσσαν ἐπ' Ὀλύμπῳ, καὶ Πήλιον ἐπ' Ὄσσῃ τιθέντες, ἵν' οὐρανὸς ἀμβατὸς εἴη» (Ὀδυσ. λ. 314), τουτ. ἐπιχειροῦντες κτίσαι πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως οὐρανοῦ (Γεν. ια, 4). Καὶ καθόλου εἰκονογραφεῖται ὁ μετὰ τὴν διασπορὰν τῶν ἐθνῶν βίαιος χαρακτὴρ τῶν ἀλληλομαχούντων, ἔργα τε στονόεντα, καὶ ὕβριες», οἷα βλέπομεν καὶ κατὰ τὰς ἡμέρας τοῦ Ἀβραάμ, λέγω δὲ τὴν μάχην τῶν 4, βασιλέων τὴν πρὸς τοὺς 5, καὶ τὸν φόνον τῶν γιγάντων καὶ τῶν ἰσχυρῶν ἐθνῶν, καὶ τὰς αἰχμαλωσίας (οἷον τὴν τοῦ Λώτ), καὶ τέλος, τὴν καταστροφὴν τῆς Πενταπόλεως

ρωδήσας, καὶ διασώσας ἐπεκύρωσεν, ὁ στίχος τοῦ Ὀρφέως·

(Γεν. ιδ, ιθ), καθ' ἣν οἱ πονηροὶ, ἀνώνυμοι καὶ ἀκλεεῖς, «βῆσαν εἰς εὐρώεντα δόμον, τὸ χάος, ὅθεν ἐξῆλθεν ἡ Ἀσφαλτῖτις λίμνη. Ἡ περιγραφὴ τῆς τρίτης παρ' Ἡσιόδῳ ἡλικίας ἀνήκει καὶ εἰς τοὺς Αἰγύπτου Φαραῶνας, καὶ τοὺς Ἀσσυρίους (παρ' οἷς ὁ φιλοπόλεμος Νῖνος ἦρξε πάσης Ἀσίας), καὶ εἰς ἄλλας βασιλείας, οἷον τῶν Φοινίκων καὶ ἄλλων ἀρχαίων ἐθνῶν, ἐξ ὧν ἐγένοντο καὶ αἱ εἰς τὴν Ἑλλάδα μετοικεσίαι καὶ βασιλεῖαι, ὡς ἡ τῆς Σικυῶνος, καὶ ἡ τοῦ Ἄργους, καὶ ἡ τῆς Ἀττικῆς (ἐπὶ Ὠγύγου)· περὶ δὲ τὸ τέλος τῆς τρίτης ποιητικῆς ἡλικίας ὑποσημαίνεται, ἴσως, καὶ ὁ τοῦ Ὠγύγου κατακλυσμὸς (200 ἐνιαυτοῖς πρὸ τοῦ κατὰ Δευκαλίωνα γεγονώς). Τέταρτον γένος ἔταξεν ὁ Ἡσίοδος τὸ ἡρωϊκὸν «θεῖον γένος, πολλῷ δικαιότερον καὶ ἄρειον» (στίχ. 157—173)· καὶ τούτων τοὺς μὲν ἀποστέλλει εἰς τὰς μακάρων νήσους, «τοῖσι μελιηδέα καρπὸν τρὶς ἔτεος φέρει ζείδωρος ἄρουρα» (στίχ. 171). Ἐν τούτοις ὑπογράφει τὴν εἰς τὴν γάλα καὶ μέλι ῥέουσαν γῆν τῆς ἐπαγγελίας μετοίκισιν τῶν Ἰσραηλιτῶν, καὶ τὰς κατὰ τῶν ἑπτὰ τῆς Χαναναίας ἐθνῶν ἡρωϊκὰς αὐτῶν πράξεις, καὶ τὰς ἐφεξῆς τῶν Κριτῶν. Τοὺς ἄλλους δὲ τῶν Ἡρώων παρίστησιν ἐπὶ τῆς Ἑλλάδος κατορθοῦντας (ἅπτεται δὲ ἤδη σαφέστερον τῆς τότε διαφαίνειν ἀρξαμένης ἑλληνικῆς ἱστορίας), οἷον τοὺς ἐπὶ Θήβαις, καὶ τοὺς ἐπὶ Τροίας στρατευσαμένους, καὶ θανόντας· καὶ ὧδε καταπαύει τὸ τέταρτον γένος τὸ ἡρωϊκὸν, περὶ τὴν τετάρτην καὶ ἔτι πρὸς, ἀπὸ Κ. Κ. χιλιετίαν (περὶ τὸ 4330 ἀπὸ Κ. Κ. μέχρις ἁλώσεως τῆς Τροίας). Ἐντεῦθεν ἔρχεται εἰς τὸ πέμπτον γένος, τὸ σιδηροῦν (στίχ. 174—201), τὴν πέμπτην ἀπὸ Κ. ἡλικίαν τοῦ κόσμου, εἰς ἣν ἀνῆκε καὶ αὐτὸς, προχωρούσης αὐτῆς ἐπελθών. Πόσον λαμπρῶς διαγράφει τοῦ σιδηροῦ τούτου γένους τὴν κακοήθειαν! καὶ πόσην ὁμοιότητα ἔχουσιν αἱ παρ' αὐτῷ τῆς κακίας εἰκόνες πρὸς ἃς διέγραψε διακοσίοις ἔτεσι πρότερον ὁ Σολομών! (Παροιμ. α, 11—19: δ, 16, 17; ε, 3—14: ς, 16—19: θ, 13—18: κγ, 27—35: κδ, 1, 2, 15—22: λ, 11—23: πρβλ. καὶ Ψαλμ. ιδ, κτλ.). Ὥστε φαίνονται τὰ Ἡσιόδεια ταῦτα ἄντικρυς μιμήματα τῆς Σολομοντείου σοφίας. (βλ. Wallace l. c. p. 215). Ἕκτην δὲ ἡλικίαν ὁ Ἡσίοδος ἰδίως καὶ ῥητῶς οὐ διέγραψεν, ἀλλὰ δῆλός ἐστιν αὐτὴν περιμένων, κατ' αὐτὴν τὴν πρὸ αὐτοῦ ἀρξαμένην χιλιετίαν (ἐν ᾗ διέλαμπον οἱ Προφῆται. Ὁ δὲ ποιητὴς μόνον τὴν ἀπὸ τοῦ κρείττονος κατὰ μικρὸν ἐπὶ τὸ χεῖρον μεταβολὴν εἰκονίζει, κατὰ τὴν ἀξίαν τῶν, οἷς παρέβαλε τὰς ἀλληλοδιαδόχους ἡλικίας, μετάλλων, τοῦ χρυσοῦ, τοῦ ἀργύρου, τοῦ χαλκοῦ, τοῦ σιδήρου). Ὅτι δὲ περιέμενε καὶ τὴν ἕκτην ἡλικίαν ὁ Ἀσκραῖος ποιητὴς, αὐτὸς ὡμολόγησε διαῤῥήδην. Εἰπὼν γὰρ τὸ «Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι Ἀνδράσιν», εὐθὺς ἐπιφέρει· «Ἀλλ' εἰ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι» (στίχ. 175), καὶ προσέθηκεν ὅτι «Ζεὺς ὀλέσει καὶ τοῦτο (τὸ, ε) γένος ἀνθρώπων» (στίχ. 180)· ἐφεξῆς δὲ καὶ τὴν ὕστερον (κατὰ τὴν ἕκτην γενεὰν) ἐσομένην εὐδαιμονίαν καί τοι παχυλώτερον, ἀλλ' ὅμως διαγράφει (στίχ. 225—237). Καὶ ταῦτα μὲν περὶ τῶν Ἡσιόδου γενῶν, ἢ ἡλικιῶν. Πολλὰ δὲ περὶ τούτων διέλαβον καὶ ἄλλοι, καὶ οἱ σοφώτατοι Ἄγγλοι, Hales, Russell, Wallace, (καὶ

« Ἕκτῃ δ' ἐν γενεᾷ καταπαύσατε κόσμον ἀοιδῆς » (α).

Καὶ τίς μὲν, καὶ πρὸς τίνας ἀπεύθυνε τοῦτο τὸ ἔπος ἐν αὐτῇ τῇ μυστηριώδει ποιήσει τοῦ Ὀρφέως, ὅσον ἐκ τοῦ μνημονεύοντος Πλάτωνος, ἄδηλον· ἐκλαμβάνεται δὲ ὅμως ὁ στίχος παρὰ πολλοῖς καὶ τῶν νεωτέρων σοφῶν ἐπὶ τῆς κατὰ τὴν ἕκτην ἡλικίαν συντελείας τοῦ κόσμου, καθ' ἣν οὗτος, παυσαμένης τῆς προτέρας ἁρμονίας καὶ συστάσεως αὐτοῦ, εἰς κρείττονα μεταστήσεται τάξιν, καὶ τὴν προσδοκωμένην ἀποκατάστασιν. Καὶ Πρόκλος δὲ τὰ γένη διέγραψεν ἓξ (εἰς Πλάτωνος Κρατύλ. §. 138). Ὁ δὲ Μάρων Οὐΐργίλιος 40 π. Χ.) ἔψαλλε τὴν ἤδη κατ' αὐτὸν ἐφεστῶσαν *ἐσχάτην* ἡλικίαν τοῦ Κυμαίου ἔπους (δηλονότι τῶν τότε περιφερομένων ὡς τῆς Κυμαίας Σιβύλλης ποιημάτων), λέγων·

τοι κατά τινα μέρη διαφόρως ἐφαρμόζοντες εἰς τὰς ἐποχὰς τῆς ἱερᾶς ἱστορίας τὰ Ἡσιόδεια γένη, ἢ ὡς ἐφηρμόσαμεν ἡμεῖς ἀνωτέρω, πάντες δὲ ὅμως συμφώνως αὐτὰ θεωροῦντες ὡς εἰκόνας τῶν ἀπὸ τῶν πατριαρχικῶν παραδόσεων καὶ εἰς τοὺς ἀρχαίους Ἐθνικοὺς διαφημισθεισῶν ἐξ χιλιετηρίδων μέχρι τῆς προσδοκίας τῶν ἐθνῶν. Ἐμνημόνευσε τὰ Ἡσιόδεια καὶ ἡ γερμανικὴ μοῦσα τοῦ Σεϋφάρθου (l. c. p. 104 καὶ 154)· *ἐκλαμβάνει δὲ καὶ οὗτος τὸν Ἡσίοδον ὡς τιθέντα τὸν κατακλυσμὸν ἐν τῷ τέλει τοῦ β, γένους (ὡς καὶ ἡμεῖς ἀνωτέρω). Καὶ πολὺ δὲ πρότερον ὁ κλεινότατος Νεύτων ἐφήρμοσε εἰς τὴν χρονολογίαν τῆς ἱερᾶς ἱστορίας τὰ τοῦ Ἡσιόδου γένη· ἀλλὰ θεωρῶν αὐτὰ κατὰ τὴν συντετμημένην, ἣν ἠγάπα, τοῦ ἑβραϊκοῦ χρονολογίαν, συνέχεε τὸ τοῦ Ἡσιόδου γένος* (aetatem, *ἡλικίαν*) *πρὸς τὴν ἰδιάζουσαν τῆς γενεᾶς σημασίαν (περὶ ἧς προείπομεν σελ.* 735), *διέστρεψε δὲ καὶ τοὺς περὶ τῆς πληθύος τῶν ἐν Αἰγύπτῳ Ἰσραηλιτῶν λόγους τοῦ Φαραὼ (Ἐξόδ. α, 9), ὅπως ἀποδείξῃ ψευδομένην δῆθεν τὴν μακροτέραν (κατὰ τοὺς Ο) χρονολογίαν· καὶ ὅλως κατεσπάραξε τὸ σύστημα τῶν ἐποχῶν τῆς ἀρχαίας χρονογραφίας· ἀλλ' ἀπήντησε πληρέστατα πρὸς τὸν ἔνδοξον Ἀστρονόμον ὁ* Hales (Analysis etc. p. 35-38) καὶ ὁ Wallace (p. 195). — (α) Πλάτ. Φιλήβ. σελ. 321. T. 4. Bip. πρβλ. Πλουτάρχ. περὶ τοῦ ΕΙ τ. ε. Δελφ. §. ιε. Τοῦτον τὸν στίχον οὐκ ὀρθῶς ἔγραψαν ἄλλοι τε καὶ Λεμοῦνος, οὑτωσί. «Ἕκτῃ δ' ἐν γενεᾷ καταΚαύσετΑΙ κόσμος ΑΕΙΔΗΣ » (Le Moyen. Var. Sacr. T. 2. p. 855), ἐκλαμβάνων δηλονότι τὸ ἔπος ἐπὶ τῆς ἐσχάτης τοῦ κόσμου ἐκπυρώσεως, ἣν ἔψαλλε καὶ Οὐΐδιος -«Tunc mare, tunc tellus, correptaque regia cœli Ardeat, et mundi moles operosa laboret. Ἀλλ' οὕτω διαφθείρεται καὶ τὸ μέτρον καὶ τὸ νόημα τοῦ Ὀρφικοῦ στίχου. Ἐκ τοῦ Λεμούνου ἴσως ἀντέγραψε τὸν στίχον ὡσαύτως καὶ Rüssell, Connection p. 77. καὶ Wallace p. 179· ὅπου προσετέθη καὶ ἄλλο σφάλμα τυπογραφικὸν, τὸ Ἑπτὰ ἀντὶ Ἕκτῃ ἐν γενεᾷ.

« Σικελίδες Μοῦσαι, μεγάλην φάτιν ὑμνήσωμεν.
Ἤλυθε Κυμαίου μαντεύματος *εἰς τέλος* ὀμφή·
Οὗτος ἄρ' αἰώνων ἱερὸς στίχος ὄρνυται ὑμῖν » κτλ. (α),

Καὶ ὁ Συετώνιος ἐσημείωσεν, ὅτι « τὴν ἐξουσίαν τῆς ἀνατολῆς, καὶ ὀνομαστὶ, τὴν Ἱεροσολύμων βασιλείαν (ὡς ἂν ὑπὸ χρησμοῦ τεθεσπισμένον, ἴδιον αὐτὴν βασιλέα ἕξειν) ὑπισχνοῦντο τινὲς τῷ Νέρωνι, ἂν καθαιρεθῇ τῆς ῥωμαϊκῆς αὐτοκρατορίας ». Λέγει πρὸς τούτοις καὶ ὅτι « Διετεθρύλλητο καθ' ὅλην τὴν ἀνατολὴν ἀρχαία καὶ μόνιμος δόξα, ὅτι ἄρα γέγραπται ἐν χρησμοῖς, τοὺς κατ' ἐκεῖνον τὸν χρόνον εἰς Ἰουδαίαν ἀφικομένους καθέξειν τὴν ἐξουσίαν· ταύτην δὲ (προστίθησι) τὴν πρόῤῥησιν, εἰς τὸν Ῥωμαίων αὐτοκράτορα εἰρημένην (ὡς ἡ ἔκϐασις ἀπέδειξε), πρὸς ἑαυτοὺς μεθέλκοντες οἱ Ἰουδαῖοι, ἐπανέστησαν» (ϐ). Τοιαῦτα καὶ ὁ Τάκιτος (Ἱστ. Ε. 13). Πολὺ δὲ καὶ πρὸ τούτων ὁ 500 ὅλοις ἐνιαυτοῖς προλαϐὼν τὴν σωτήριον ἐποχὴν Σωκράτης τῶν Ἰνδῶν, ὁ Κομφούκιος, περιέμενε τὸν προσδοκώ-

---

(α) Ἰδοὺ τὰ ἔπη τοῦ Μάρωνος·

Sicelides Musae paulo majora canemus.
U l t i m a Cumaei jam venit carminis aetas.
Magnus ab integrae saeculorum j m nascitur ordo, etc.

(Virgil. Ecclog. IV. 1, sq. πρβλ. Ruaei argum. ib.). Τούτων τῶν ἐπῶν μετάφρασις κεῖται παρ' Εὐσεβίῳ (ἐν Λόγῳ τοῦ βασιλ. Κωνσταντ. κεφ. ιθ, κ), ἐξ ἧς καὶ οἱ ἀνωτέρω στίχοι· ὅπου σημειωτέον, ὅτι τὸ u l t i m a a e t a s (ἐσχάτη ἡλικία) μετεφράσθη στενώτερον διὰ τοῦ ε ἰ ς τ έ λ ο ς κτλ. Τῶν ἐπῶν τούτων τοῦ Μάρωνος, ὡς τὴν ἐπιφάνειαν Χριστοῦ Σωτῆρος αἰνιττομένων, μνημονεύει καὶ ὁ ἱερὸς Αὐγουστῖνος (Epist. ad Volusian. et epist. 155). Ὁ δὲ Πεζρὼν (Défense etc. p. 510) νομίζει, ὅτι τὰ Σιϐύλλεια ταῦτα ἔπη συνέγραψαν οἱ κατὰ τὴν Κύμην τῆς Ἀσίας ἑλληνισταὶ Ἰουδαῖοι, ἐκ τῶν προφητῶν καὶ ἰδίως τοῦ Ἡσαΐου. Ὅθεν μετηνέχθησαν καὶ εἰς τὴν Ῥώμην τῷ 76 π. Χ. Ὁ δὲ Μάρων μεθήρμοσεν αὐτὰ εἰς τὸν νεογνὸν παῖδα τοῦ Πολλίωνος. Οἱ ἀρχαῖοι διῄρουν καὶ εἰς 10 τὰς ἡλικίας ἀνὰ 600 ἐνιαυτοὺς ἑκάστην περιέχουσαν, ἤτοι τὸν παρ' Ἀστρονόμοις μέγαν ἐνιαυτὸν « δι' ἑξακοσίων γὰρ ἐνιαυτῶν ὁ μέγας ἐνιαυτὸς πληροῦται » ('Ιώσηπ. Ἀρχ. Α. γ. §. 9). Ὥστε ἡ τοῦ Μάρωνος Σιϐύλλα τῶν 10 μεγάλων ἐνιαυτῶν, ἤτοι τῶν 6000 ἐτῶν, τὴν ἐσχάτην δεκάδα περὶ τὸ τέλος ἐγγίζουσαν θεωρεῖ ὡς ἐποχὴν τοῦ προσδοκωμένου βασιλέως.

(ϐ) Sueton. Neron. c. 40. Vespas. c. 4.

μενον « *ἅγιον βασιλέα* » (α). Οὕτω πᾶσα ἡ ἀνθρωπότης μετέωρος προσεδόκα κατὰ τὴν ς χιλιετηρίδα τὸν λυτρωτὴν, « *τὴν προσδοκίαν τῶν ἐθνῶν* ».

§. κϐ. Ὅτι δὲ ἡ φήμη αὕτη ἐπεκράτησεν ἔκπαλαι καὶ παρ' ἐθνικοῖς καὶ παρ' Ἰουδαίοις ἐκ τῶν πατριαρχικῶν καὶ προφητικῶν θείων χρησμῶν πρόδηλον. Αὐτοὶ οἱ Ἰουδαῖοι συχνάκις ἀνεγίνωσκον καὶ διεκήρυττον τὴν *Ἰακὼϐ* προφητείαν ἐκείνην « Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα — *ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται* » (Γενέσ. μθ, 10). δηλονότι (ὡς ἐπανέλαβεν ἄλλος προφήτης) « Ἕως οὗ ἔλθῃ ᾧ *καθήκει, καὶ παραδώσω αὐτῷ τὸν στέφανον* » (Ἰεζεκ. κα, 27). Αὐτὸς ἐκεῖνος ὃς ἔμελλεν « *ἐκ Βηθλεὲμ τῆς Ἰουδαίας ἐξελεύσεσθαι ἡγούμενος* », καὶ ποιμὴν, ὁ Χριστὸς (Μιχ. ε, 2), καὶ ὃς ἔμελλεν ἐλεύσεσθαι, *ἑστῶτος ἤδη τοῦ δευτέρου ναοῦ*, καθὰ προεῖπε πάλιν ὁ ἐπὶ τούτου κτιζομένου προφητεύσας Μαλαχίας (γ, ι). « Ἰδοὺ (φησὶν) ἐγὼ ἐξαποστέλλω τὸν ἄγγελόν μου. — καὶ ἐξαίφνης *ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ Κύριος* », δηλονότι κατὰ τὴν ἕκτην χιλιετίαν, καθ' ἣν ἐκτίσθη τε καὶ κατεστράφη ὁ Β. οὗτος ναὸς (διαρκέσας ἔτη 490), καὶ καθ' ἣν συνεπληρώθησαν αἱ ὑπὸ τοῦ Δανιὴλ προφητευθεῖσαι *ἑϐδομήκοντα ἑϐδομάδες* (ἐτῶν), αἵτινες ὁρίζουσι ῥητῶς τὴν προθεσμίαν τῆς ἐπιφανείας τοῦ Μεσσίου (ϐ).

(α) « Cum Sanctus ille expectatus advenerit, idem tum virtuti ejus, ac dum regnaret, honos habeatur » παρ' Huet. Dem. Evang. Pr. VII. p. 361.

(ϐ) Ὁ κλεινὸς Σεϋφάρθος νομίζει, ὅτι ἡ φήμη τῆς κατὰ τὴν ἕκτην χιλιετίαν ἐπιφανείας τοῦ Μεσσίου ἐξηπλώθη καὶ παρ' Ἰουδαίοις καὶ παρὰ τοῖς ἐθνικοῖς ἐκ τῆς Ἀϐϐακοὺμ προφητείας (γ, 2), ἥτις ἐν τῷ ἑϐραϊκῷ τανῦν ἔχει οὕτω « Κύριε τὸ ἔργον σου ἐν μέσῳ ἐτῶν ζώωσον αὐτὸ, ἐν μέσῳ ἐτῶν γνωστὸν ποίησον » (ἑρμην. Μοντάν.), ὅπερ ἄλλοι τῶν σχολιαστῶν (καὶ ῥαϐϐῖνοι καὶ ἑϐραϊσταὶ) ἄλλως ἐξηγοῦσιν, ὁμολογοῦντες καὶ τὸ σκοτεινὸν τῆς ῥήσεως (ὁ δὲ Δρούσιος προσέθηκε καὶ ὅτι λείπει τι ἐκ τοῦ δευτέρου κόμματος. βλ. Critic. Sacros καὶ Rosenmüll. Schol. ad h. l.). Ὁ δὲ Σεϋφάρθος τὸ ἐν μέσῳ ἐτῶν ἐκλαμϐάνει ἐν μέσῳ τῶν δώδεκα χιλιετηρίδων (κατὰ τὰς δώδεκα μοίρας τοῦ ζωδιακοῦ διαιρουμένου τοῦ χρόνου), τουτέστιν ἐν τῷ τέλει τῆς ς χιλιετίας (βλ. Seyffarth l. c. p. 104). Ἀλλ' οὔτε τὴν προφητικὴν ῥῆσιν νομίζομεν ἀφορῶσαν ὅλως πρὸς χιλιετηρίδας, καὶ ἡ ἑρμηνεία τῶν Ο πάντῃ διαφέρει τοῦ νῦν ἑϐρ. ἔχουσα οὕτως. « Ἐν μέσῳ δύω ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι

§. κγ. Ἐντεῦθεν καταφαίνεται σαφῶς ὁ λόγος τῆς ὑπὸ τῶν Ἰουδαίων ἐπινοηθείσης διαφθορᾶς τῶν πατριαρχικῶν γενεῶν τῆς θείας Γραφῆς. Οἱ μετὰ τὴν καταστροφὴν τῶν Ἱεροσολύμων ῥαββῖνοι τῶν Ἰουδαίων βλέποντες τὸν πληθυσμὸν τῶν χριστιανῶν, καὶ ὅτι καὶ ἐκ τῶν αὐτοῖς ὁμογενῶν ὅλαι χιλιάδες ἐπίστευον εἰς τὸν ἐπιφανέντα θεάνθρωπον Μεσσίαν, *οὗ φονεῖς αὐτοὶ γεγόνασι καὶ προδόται·* μίαν εὕρηκαν καταφυγὴν τῆς σκληροτραχήλου πωρώσεως αὐτῶν καὶ ἀπιστίας, ἐὰν βραδύνωσι τὴν ἐποχὴν τῆς ἔκπαλαι προσδοκωμένης ἐλεύσεως τοῦ Μεσσίου, συντεμόντες τὰς γενεὰς τῶν ἀπὸ Κ. Κ. μέχρις Ἀβραὰμ πατριαρχῶν διὰ τῆς τῶν ἐτῶν συγκοπῆς, καὶ ἀναβαλόντες, ὅσον ἐνῆν πορρωτάτω, τὴν ἕκτην χιλιετίαν. Ὅθεν καὶ διέφθειραν τοὺς ἀριθμοὺς, ἀποκόψαντες ἐκ τῆς τῶν θείων Γραφῶν πηγαζούσης χρονολογίας ἔτη 1500. Οὕτω γὰρ καὶ τὴν δόξαν τῆς Μεσσιάδος χιλιετίας ἐκράτυνον παρὰ τοῖς ὁμογενέσι, διαπαιδαγωγοῦντες αὐτῶν τὰς ἐλπίδας, καὶ πρὸς τὸ κήρυγμα τῆς εἰς τὸν ἐπιφανέντα Σωτῆρα πίστεως ἀνθίσταντο δεξιώτερον, πείθοντες «*τὸν μὴ γινώσκοντα τὸν νόμον ἐπικατάρατον ὄχλον*» (ὡς ἐπευφήμουν τοὺς ἑαυτῶν ὁμοφύλους καὶ ὁμοπίστους. Ἰωάν. ζ, 49), ἔτι *οὔπω καιρὸς* τῆς ἐλεύσεως τοῦ Χριστοῦ. Ὑπῆρχε δὲ μάλα πρόσφορος πρὸς ταύτην τὴν ἐπὶ τῶν θείων Γραφῶν τολμηθεῖσαν ἱεροσυλίαν ἡ μετὰ τὴν ἐσχάτην καταστροφὴν τῆς Ἰουδαϊκῆς πολιτείας ἀνέκφραστος αὐτῶν ἀθλιότης, τελευτῶντος ἤδη τοῦ πρώτου αἰῶνος, καὶ εἰσιόντος τοῦ δευτέρου μ. Χ. ὁπότε καὶ τὰ κατὰ τὴς Παλαιστίνην ἑβραϊκὰ χειρόγραφα, τὰ πλεῖστα, ἠφανίσθησαν, καὶ διεφθάρησαν (βλ. ὄπισθ. σελ. 67). Καὶ λίαν ὀρθῶς ἔκριναν οἱ περὶ τὸν Μορῖνον, καὶ Οὐόσσιον καὶ Ἰάκ-

---

τὸν καιρὸν ἀναδειχθείσῃ». Καὶ αὕτη φαίνεται ἡ γνησία καὶ τελεία τῆς προφητικῆς ῥήσεως ἀνάγνωσις, καὶ οὕτως ἡ προφητεία ἐκφράζει τὸν καιρὸν τῆς ἐλεύσεως τοῦ Μεσσίου, κατὰ τὰς ἀποστολικὰς φράσεις, τὰς, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, τὸ πλήρωμα τῶν καιρῶν τῆς θείας ἐπιφανείας. Ἀντὶ δὲ τοῦ δύω ζώων ὁ Εὐσέβιος ἀνέγνω δύο ζωῶν (βλ. ὄπισθ. σελ. 270), καὶ ὁ Θεοδώρητος ἑρμηνεύει ἐν μέσῳ τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς, ὧν μόνος ὁ δίκαιος κριτὴς ἀναφαίνεται.

σωνα, καὶ Ῥύσσελλον, ὅτι κατὰ τὴν δευτέραν μ. Χ. ἑκατονταετηρίδα παρεισέφρησεν εἰς τὸ ἑβραϊκὸν κείμενον ἄλλη τε παντοία λώβη, καὶ μάλιστα ἡ περὶ τὴν χρονολογίαν· καὶ ὁ Ῥύσσελλος τάσσει ταύτης τὴν διαφθορὰν περὶ τὸ 130. μ. Χ. ὁπότε συνέταξαν καὶ τὸ παρ᾽ αὐτοῖς μέγα λεγόμενον χρονικὸν (Σεδερ Ὀλαμ Ραββα) (α). Ὁ δὲ σοφὸς Πεζρὼν ὠνόμασε καὶ ὁριστικώτερον ἀρχέκακον τῆς χρονολογίας φθορέα, τὸν ἐπὶ μισοχριστίᾳ διαβόητον Ἀκιβᾶν. Ἀλλ᾽ οὗτος ἀνευφήμησε τὸν Βαρχοχεβᾶν, ὡς Μεσσίαν· ἔλεγε δὲ, καὶ ὅτι « ὁ Μεσσίας ἔμελλεν ἐλθεῖν ἔτι *τοῦ ναοῦ ἱσταμένου* (πρὸ τῆς ἐπὶ Τίτου καταστροφῆς), ὡς γέγραπται ἐν τῷ Μαλαχίᾳ (γ, 1), καὶ ταύτην αὐτοῦ τὴν γνώμην ἔγραψεν (εἴ τῳ πιστὸς) ὁ ῥαββὶς Σολομὼν ὁ Ἰάρχις (β). Πῶς λοιπὸν ὁ Ἀκιβᾶς ἐνόθευε τὴν χρονολογίαν ἀντιφάσκων πρὸς ἑαυτὸν, καὶ ἀναβάλλων ἣν αὐτὸς ἐκήρυξεν ἔλευσιν τοῦ Μεσσίου; Διὰ τοῦτό τινες ἔκριναν πιθανώτερον, ἐὰν ἀποδοθῇ τὸ κακούργημα εἰς τοὺς κατὰ τὸν δεύτερον αἰῶνα ῥαββίνους τῆς Τιβεριάδος σχολῆς (γ). Ἀλλ᾽, ὡς ἔοικεν, ἀληθεύουσιν ἀμφότεραι αἱ γνῶμαι, τοῦ μὲν Ἀκιβᾶ πρώτου συλλαβόντος τὸ σκέμμα, καὶ εἰσηγησαμένου τοῖς περὶ αὐτὸν ἐπόπταις καὶ μυστιπόλοις (μεθ᾽ ὧν πάντως κατὰ τῶν χριστιανῶν ἐσκευώρει, βουλὰς βουλεύων ἐν ἀποκρύφοις)· τῶν δὲ μαθητῶν κατὰ μικρὸν ἐνεργησάντων καὶ τοῦτο τὸ *μυστήριον τῆς ἀνομίας* (ὡς καὶ ἄλλα πολλὰ ἐῤῥᾳδιούργησαν περὶ τὴν Γραφήν). Ὅτι δὲ μετὰ τὰ μέσα τῆς β, ἑκατονταετηρίδος ὑπῆρχεν ἡ ἑβραϊκὴ χρονολογία διεφθαρμένη, ὑπάρχει πρᾶγμα βέβαιον. Εἴπομεν περὶ τούτων καὶ ἐν τοῖς ἔμπροσθεν (σελ. 84).

(α) Russel, Connection etc. p. 82. Ὁ δὲ *κλεινὸς Κουνιγχάμος ἔτι πρωϊαιτέραν νομίζει ῥᾳδιουργηθεῖσαν ὑπὸ τῶν Ἰουδαίων τὴν διανόθευσιν τῆς χρονολογίας, κατὰ τὸν χρόνον τὸν μεταξὺ τῆς Σταυρώσεως τοῦ Κυρίου, καὶ τῆς ἀρχῆς τοῦ (ἐπὶ Τίτου) ἰουδαϊκοῦ πολέμου* (Cuninghame Synopsis of Chronol. p. VII). *Ἀλλ᾽ ἀντιλέγει (νομίζομεν) πρὸς τοῦτο βαρὺς μάρτυς, ὁ Ἰώσηπος, ὅστις ἤκμασεν ἐν τούτῳ τῷ διαστήματι, καὶ ἀνεγίνωσκεν ἐν τῷ ἑβραϊκῷ τὴν αὐτὴν καὶ παρὰ τοῖς* O, *χρονολογίαν*. — (β) H. Grot. de verit. relig. Christ. V. §. 14. not.

(γ) Seyffarth, Chronog. Sacr. p. 218.

§. κδ. Οὕτω δὲ τῆς χρονολογίας κακουργηθείσης, καὶ κατὰ μικρὸν εἰς τὰ χειρόγραφα διασκευασθείσης (ἐπιμελείᾳ πάντως τοῦ Συνεδρίου. βλ. ὄπισθ. σελ. 74, 100), ἐχάλκευσαν ὕϛερον καὶ ἕτερον πλάσμα. Ἐν τῷ Βαβυλωνίῳ Ταλμούδῳ (ὄπισθ. σελ. 104) ἀναγινώσκεται ἡ ἑξῆς περικοπή· «Παράδοσις τῆς οἰκίας (Σχολῆς) τοῦ Ἠλία. Ἐπὶ ἓξ χιλιάδας ἐτῶν διαρκέσει ὁ κόσμος. Δύω χιλιάδας, *κενόν* (tohu). Δύω χιλιάδας, ὁ νόμος (thora). Δύω χιλιάδας, αἱ ἡμέραι τοῦ Μεσσίου. Ἀλλὰ διὰ τὸ πληθυνθῆναι τὰς ἁμαρτίας ἡμῶν, παρῆλθον ὅσοι ἤδη παρῆλθον ἐνιαυτοί» (α). Τίς δ' οὗτος ὁ Ἠλίας, ὁ πατὴρ τῆς παραδόσεως, ἄδηλον· οἱ μὲν γὰρ Ἠλίαν λέγουσι τὸν Θεσβίτην προφήτην (θαυμαστὰ καὶ πρέποντα προφητεύοντα!), οἱ δ' αἰσχυντηλότεροι προβάλλουσιν ἄλλον τινὰ νεώτερον Ἠλίαν ῥαββίν· πόθεν δὲ καὶ οὗτος, καὶ πότε ἤκμασεν, οὐκ ἔχουσιν εἰπεῖν, ἀλλ' ὅμως περικροτοῦσι τὴν Ἠλία παράδοσιν πάντες καὶ ῥαββῖνοι καὶ ῥαββινισταὶ, οἱ πάτρωνες τῆς μασοραίας χρονολογίας (καθ' ἣν ἡ Χ. γέννησις τίθεται τῷ 4004 ἀπὸ Κ. Κ. καὶ τοῦτο τάχα βεβαιοῖ ἡ τοῦ Ἠλία παράδοσις, ὡς ἐντεῦθεν ἀρχομένης τῆς δισχιλιετίας τοῦ Μεσσίου!). Καὶ πρόδηλον μὲν, ὅτι ἡ ψευδὴς αὕτη παράδοσις οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ τῆς παλαιᾶς παραδόσεως, (τῆς, ὅτι ὁ *κόσμος ἐπ' ἑξακισχιλίοις ἔτεσι διαρκέσει*), νεωτέρα διαίρεσις καὶ κατατομὴ εἰς τρεῖς ἰσαρίθμους χιλιετηρίδων συζυγίας, ἀφορῶσα τάχα πρὸς ἐπεξήγησιν τοῦ νοήματος. Ἔστι δὲ ὅμως καὶ αὕτη ἡ διαίρεσις πλήρης ῥαββινικῆς πανουργίας, καὶ ψεύδους παχυδέρμου. Πρῶτον μὲν γὰρ τὴν πρώτην ζυγὴν τῶν δισχιλίων ἐτῶν ὀνομάζει ἀπολύτως *Κενὸν*, ὡς μηδενὸς ὑπάρχοντος τότε *νόμου* μήτε γραπτοῦ, μηδὲ γοῦν τοῦ ἀγράφου καὶ φυσικοῦ, μηδὲ διακρίσεως φαινομένης μηδεμιᾶς μεταξὺ κακοῦ καὶ ἀγαθοῦ, ἀλλ' οἷον ὑπῆρχε τὸ *πρωτόγονον χάος*, ὁπότε ἡ γῆ ἦν «ἀόρατος καὶ ἀκατασκεύαστος», ἢ κατὰ τὸ ἑβραϊκὸν, *κένωμα καὶ οὐθὲν* (tohu va bochu),

---

(α) Talmud· Gemar. in tract. Avoda Zarad, καὶ Tract. Sanhedrin. c. IX. fol. 97.

ὅθεν ἔλαβον καὶ τὴν λέξιν, τὸ *κενὸν* (tohu). Ὅτι δὲ τοῦτο βλάσφημον, καὶ ἀντικείμενον εἰς τὰς θεοπνεύστους ῥήσεις τῆς Γραφῆς, γίνεται καταφανὲς ἐκ πρώτης προσβολῆς· εἴγε ἐν τούτῳ τῷ *κενῷ καὶ ἀνόμῳ* τοῦ χρόνου διαστήματι, οἴχονται ἀφανεῖς ἥ τε πρὸ τῆς παραβάσεως δοθεῖσα τῷ Ἀδὰμ *ἐντολὴ*, καὶ ἡ τοῦ Ἄβελ *δικαιοσύνη*, καὶ οἱ τῷ Θεῷ *εὐαρεστήσαντες* Ἐνὼχ, καὶ Νῶε ὁ τέλειος, καὶ Σὴμ ὁ *εὐλογημένος*, καὶ οἱ ἐξ αὐτοῦ, καὶ ἡ τοῦ Ἰὼβ *ἄμεμπτος θεοσέβεια καὶ ἀπὸ παντὸς κακοῦ ἀποχὴ*, καὶ (ἵνα μὴ τὰ καθ' ἕκαστον λέγωμεν) πᾶσα τῶν *δικαίων* ἡ γενεὰ (μηδ' αὐτοῦ τοῦ Ἀβραὰμ ἐξαιρουμένου), τῶν γενομένων ἀπὸ Κ. Κ. μέχρι Μωσέως, « *δι' οὗ ὁ νόμος ἐδόθη* ». Ψεύδονται οἱ Ἠλιάδαι οὗτοι καὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς· αὐτοὶ γὰρ περισαλπίζουσιν ἃς πρὸ τοῦ Νόμου λέγουσιν *ἑπτὰ τῶν υἱῶν τοῦ Νῶε ἐντολὰς*, οἷον σύνοψιν τοῦ φυσικοῦ νόμου τῶν ἐθνῶν ὁρίζοντες αὐτάς· καὶ τοὺς ἄλλους λήρους τῶν Ταλμουδικῶν παραλείπομεν (βλ. Ὀττιγγήρου Θησαυρ. σελ. 544). Δεύτερον· κατὰ τὸ Μασορίτειον κείμενον, ὁ νόμος ἐδόθη ἐν τῷ Σινᾷ τῷ 2513, ἀπὸ Κ. Κ. Ὥστε αἱ *δύω τοῦ Κενοῦ χιλιετίαι*, προσαφαιροῦσι πλεονεκτικῶς καὶ ὑπεραρίθμως καὶ ἄλλα 500 ἔτη ἐκ τῆς ἑπομένης *δισχιλιετίας τοῦ Νόμου*, καὶ γίνεται αὕτη καθ' ὅλον τεταρτημόριον ἐλάσσων τοῦ θεσπισθέντος ἀριθμοῦ! Τίς ἂν γένοιτο λαμπροτέρα δεῖξις τοῦ ψεύδους τῆς Ἠλιάδος παραδόσεως; Οἱ ῥαββῖνοι βουλόμενοι τὸν ἔλεγχον τοῦτον διαφυγεῖν, ἐξηγοῦσι τὰ δισχίλια τοῦ νόμου ἔτη ὡς δῆθεν ἀρχόμενα ἀπὸ τῆς τῷ Ἀβραὰμ δοθείσης Διαθήκης τῆς περιτομῆς τῷ 2083 ἀπὸ Κ. Κ. κατὰ τὸ ἑβραϊκόν· ἀλλ' οὕτω παραχρῶνται τῇ σημασίᾳ τῆς λέξεως τοῦ νόμου. Ἡ Ἠλιὰς παράδοσις λέγει *Τορὰ (Νόμον)*. Τοῦτο δὲ, ὅταν λέγηται καθ' ἑαυτὸ καὶ ἀπολύτως, σημαίνει μόνον τὸν *Μωσαϊκὸν νόμον*. Ἡ δὲ διάταξις τῆς περιτομῆς, ἣν διέθετο *Κύριος* τῷ Ἀβραὰμ, οὔτ' ἐν τῇ ἑβραϊκῇ Γραφῇ γέγραπται *Τορὰ*, οὔτε παρὰ τοῖς Ο, *Νόμος*. Ἀλλ' οὐδ' εὑρίσκεται ὅλως ἐν τῇ Γενέσει τὸ *τορὰ* ἐπὶ τοῦ Μωσαϊκοῦ νόμου, ὡς μήπω τότε δοθέντος. Τούτοις προστεθείσθω καὶ ὅτι τὸ παρ' Ἰουδαίοις *μέγα Χρονικὸν* ἀριθμεῖ ἀπὸ

Κ. Κ. μέχρι Χ. ἔτη 3763. Ἐὰν οὖν ἐκ τούτων ἀφαιρεθῶσι τὰ δισχίλια τοῦ *Κενοῦ*, μένουσιν, ἔτη μόνα 1300, ἕνεκα τῆς διαρκείας τοῦ *Νόμου*· καὶ οὕτως ἀναιρεῖ τὴν Ἡλιακὴν παράδοσιν, ἡ *Ῥαββανικὴ* τῶν χρόνων ἀναγραφή. Τὴν δὲ πάλιν δισχιλιετίαν τῆς τοῦ Μεσσίου βασιλείας ἀναιρεῖ ὁ ἀριθμὸς τῶν ἀπὸ Κ. Κ. μέχρι τοῦ νόμου παρελθόντων ὡς (προείπομεν) 2513 ἐτῶν· ἐὰν γὰρ ταῦτα ἀφαιρεθῶσιν ἀπὸ τῶν 4000 ἐτῶν (κατὰ τὴν κοινῶς παρ᾽ Ἑβραίοις ἀπὸ Κ. Κ. ἀριθμουμένην μέχρι Χ. περίοδον), μένουσι τὰ παρ᾽ αὐτοῖς Μεσσιακὰ ἔτη μόνον 1500. Ὥστε καὶ κατ᾽ αὐτὸν τὸν ὑπολογισμὸν αὐτῶν τὰ ἔτη ταῦτα παρῆλθον ἤδη, καὶ πρὸς τούτοις 346 ἐπέκεινα μέχρι σήμερον (συνομολογοῦσι γὰρ καὶ αὐτοὶ τὴν ἀπὸ Χριστοῦ Σωτῆρος καὶ ἐφεξῆς Χριστιανικὴν χρονολογίαν)· καὶ ὁ Μεσσίας αὐτῶν οὔπω ἐφάνη. Κατὰ δὲ τὴν ἀληθῆ χρονολογίαν, ἀπὸ τῆς θεοφανείας τοῦ Μεσσίου διέδραμον ἤδη ἔτη ὅλα 1846, καὶ ἡ δύστηνος Συναγωγὴ περιμένει εἰσέτι τὸν λυτρωτήν· ἐκ δὲ τῆς μὴ ἐκβάσεως τῆς μεσσιακῆς ἐπιφανείας καθ᾽ ὃν διώρισαν χρόνον, ἐξελέγχεται καὶ τὸ ψεῦδος τῆς κατ᾽ αὐτοὺς χρονολογίας, καθ᾽ ἣν ψηφίζουσιν ἐποχήν. Καὶ δικαίως ἄρα ὁ ταλαίπωρος ῥαββὶς Σαμουὴλ, ἔτι κατὰ τὸ 1000 σωτήριον ἔτος, ἐθρήνει, ὅτι « ἀπὸ τοῦ 4036 ἔτους ἀπὸ Κ. Κ. » (ὁπότε τίθησι τὴν σταύρωσιν τοῦ Χριστοῦ, κατὰ τὸ ἑβραϊκὸν) « παρῆλθον (λέγει) *χίλια ἔτη* » (ἤγουν τὸ ἥμισυ καὶ ἐπέκεινα τῆς ἐν τῇ Ἡλιακῇ παραδόσει τεθείσης ἐποχῆς τοῦ Μεσσίου) « καὶ ὁ Μεσσίας οὐκ ἐφάνη » (α).

§. κε. Ἐπὶ τέλους, ἡ περίφημος παράδοσις τοῦ Ἠλία, μετὰ τὴν διαίρεσιν τῶν ἑξακισχιλίων ἐτῶν, προστίθησι καὶ ὅτι, « διὰ τὸ πληθυνθῆναι τὰς ἁμαρτίας αὐτῶν *παρῆλθον ἤδη ὅσα παρῆλθον*

(α) Βλ. Πόνημα Χρυσοῦν Σαμουὴλ Ῥαββί. *σελ.* 37. Λειψίᾳ 1769, *τοῦτο ὁ ἀοίδιμος* Νικηφόρος *ὁ Θεοτόκης ἐξέδωκεν ἑρμηνεύσας ἐκ τοῦ λατινικοῦ, καθ᾽ ὃ τὸ πρῶτον μετεφράσθη τὸ Ἀραβιστὶ συγγεγραμμένον χρυσοῦν τὸ ὄντι τοῦτο πόνημα, ὡς ἐπέγραψεν αὐτὸ ὁ πρῶτος λατῖνος μεταφραστής* (Opus aureum). *Ἔστι δὲ ἐπιστολὴ ἐξ κζ, κεφαλαίων συγκειμένη, ἣν ἀπέστειλεν ὁ ῥαββὶς Σαμουὴλ πρὸς ἄλλον ῥαββῖνον Ἰσαὰκ, κατοικοῦντα κἀκεῖνον, ὡς καὶ αὐτὸς, ἐν Ἀφρικῇ ἐν τῷ βασιλείῳ τοῦ* Μαρόκου (*βλ.* Πρόλογ. *αὐτ. καὶ σελ.* 163).

ἔτη» (δηλαδὴ ἀπὸ τῆς κατὰ τὸ 4000 ἀρχομένης δισχιλιετίας τοῦ Μεσσίου). Ὥστε ἐκ τούτου φαίνεται σαφῶς, ὅτι ἡ παράδοσις αὕτη ἐγράφη πολλοῖς ἔτεσιν ὕστερον μετὰ τὴν ὡρισθεῖσαν παρ' αὐτοῖς Μεσσιακὴν ἐποχήν· (εἰ γὰρ ἦσαν ὀλίγα παρῳχηκότα, οὐδ' ἂν ἐμνημόνευεν ὅλως αὐτῶν). Καὶ ὀρθῶς λοιπὸν εἴκασεν ὁ Πεζρών, ὅτι τὴν ψευδηλιάδα ταύτην παράδοσιν ἔπλασαν αὐτοὶ οἱ συῤῥάπται τῆς Γεμάρας τοῦ βαβυλωνικοῦ Ταλμουδίου (α). Τίθησι δὲ ταύτης τὴν συγγραφὴν περὶ τὸ 686 μ. Χ. (βλ. ὄπισθ. σελ. 104, 109), καὶ φέρει περὶ τούτου δεῖξιν ἰσχυράν, τὴν ἐφεξῆς. Ἐν Τολήτῳ τῆς Ἱσπανίας ἦσαν παλαιόθεν Ἰουδαῖοι πολυπληθεῖς, μεγάλως ἰσχύσαντες, καὶ πολλῶν πολιτικῶν ἀρχῶν ἀξιωθέντες. Ὁ δὲ κατὰ τὸ 680 ἀκμάσας θαυμάσιος Ἰουλιανὸς ὁ Πομήριος, ὁ καὶ Τολήτου ἀρχιεπίσκοπος, πολλὰ καὶ μάτην πρὸς διδασκαλίαν τῶν Ἰουδαίων πονήσας, μαρτυρεῖ περὶ αὐτῶν, « Ὅτι ληροῦσι λήρους λοιμώδεις, ψηφίζοντες κατὰ τὸ ἑβραϊὸν κείμενον πέμπτην ἤδη χιλιετίαν ἀπὸ Κ. Κ. καὶ λέγουσιν, ὅτι οὔπω ἐλήλυθεν ὁ Μεσσίας, περιμένουσι δὲ τοῦτον κατὰ τὴν ἕκτην χιλιοστύν» (β). Ὥστε τότε ἐπὶ τοῦ Ἰουλιανοῦ, οἱ ἐν Ἱσπανίᾳ οὐδεμίαν εἶχον γνῶσιν τῆς τῶν Ἠλιαδῶν παραδόσεως, καὶ τῆς διπλῆς τοῦ Μεσσίου χιλιετίας, ἣν κατεσκεύαζον οἱ ἐν Βαβυλῶνι Γεμαρισταί. Διεδόθη δὲ μετέπειτα καὶ εἰς τοὺς Ἱσπανούς, καὶ εἰς ἄλλους Ἰουδαίους ἡ δόξα, μετὰ τὴν κοινοτέραν διάδοσιν τοῦ Ταλμούδου, καὶ τὴν κατὰ τὸ 731 εἰσβολὴν τῶν Σαρακηνῶν εἰς τὴν Ἱσπανίαν. Εἰ δ' ἐπὶ τοῦ Ἰουλιανοῦ ἠγνόουν τὴν παράδοσιν, πολλῷ μᾶλλον οὐκ ᾔδεισαν] αὐτὴν ἐπὶ τοῦ μακαρίου Ἱερωνύμου, ὅτε μηδὲ Γεμάραν εἶχον, μηδὲ Μισνὰν κεχαλκευμένην. Γράφει δὲ περὶ τῶν κατ' αὐτὸν Ἰουδαίων ὁ Ἱερώνυμος, ὅτι περιέμενον τὸν λυτρωτὴν αὐτῶν, ἀφ' οὗ παρέλθωσι 430, ἔτη ἀπὸ τῆς ὑπὸ τῶν Ῥωμαίων (τῷ 70, μ. Χ. ἐπὶ Τίτου) γενομένης αἰχμαλωσίας αὐτῶν. Διὰ τοσούτων γὰρ

(α) Pezron, Défense etc. p. 83—94. — (β) Βλ. Jul. Toletan. Praef. in Lib. aduers. Jud. Ἔγραψε δὲ ἀποδείξεις τῆς ἕκτης χιλιετίας, ἢ κατὰ Ἰουδαίων, βιβλία, γ. βλ. Cave, l. c. p. 329.

ἐτῶν, ἔλεγον, ὅτι διήρκεσε καὶ ἡ ἀπὸ Ἀβραὰμ ἄχρι τῆς Ἐξόδου κάκωσις τῶν Πατέρων αὐτῶν (α). Καὶ ταῦτα μὲν ἐκεῖνοι.

§. κϛ. Τὴν δ' εἰς τρεῖς ἰσάκις ἴσας δισχιλιετίας διαίρεσιν καὶ κατατομὴν τῶν ἑξακισχιλίων ἐτῶν ἐσκευώρησεν ἡ ῥαββινικὴ πανουργία διὰ λόγους διττούς. Πρῶτον μὲν ἀπέβλεπον εἰς ἐπικύρωσιν τῆς παρακεκομμένης χρονολογίας τοῦ παρ' αὐτοῖς ἑβραϊκοῦ (οὐ γὰρ μικρὸς παρίστατο μάρτυς, ὁ μέγας Ἠλίας, εἴτε ὁ πυρίπνους ἐκεῖνος ἁρματηλάτης, εἴτ' ἄλλος τις παμπάλαιος καὶ προφητικὸς ῥαββὶς, συνώνυμος ἐκείνου!). Ἔπειτα δὲ καὶ πρὸς εὐκολωτέραν ἀποπλάνησιν τῶν, οὓς τυφλοὶ τυφλοὺς ὡδήγουν, ἰδίων ὁμογενῶν. Ἡ γὰρ τῆς ἐποχῆς τοῦ Μεσσίου εἰς δύω χιλιάδας διαίρεσις παρεῖχεν αὐτοῖς χρόνου παράτασιν, συνεργὸν πρὸς τοὺς σκοπούς· ἔνθεν μὲν γὰρ ἠδύναντο, καιροῦ καλοῦντος, ἐν τῷ μεταξὺ τῆς δισχιλιετίας ἐξεγεῖραι πάλιν ἄλλον Βαρκοχεβᾶν, ἢ ἕτερον ψευδόχριστον, ὁντιναοῦν φθόρον καὶ λοιμόν· ἑτέρωθεν δὲ πάλιν εἶχον ὅπως ἐπελπίζωσι καὶ τοὺς ὁμογενεῖς, ὡς ἥξει ταχέως ὁ προσδοκώμενος, καὶ πρὶν ἢ συντελεσθῇ, ἢ ἡ πρώτη, ἢ ἡ δευτέρα χιλιετία· ἀόριστος γὰρ ὁ χρόνος τῆς ἐπιφανείας αὐτοῦ! Ὅτι δὲ ταῦτα οὐ λόγος, μαρτυροῦσιν αὐτοὶ πάλιν οἱ ῥαββεῖς. Κατὰ γὰρ τὸ 1413, συνελεύσεως πολυπληθοῦς γενομένης ἐν Γιρόνῃ τῆς Ἱσπανίας εἰς ἀκρόασιν τῆς μεταξὺ τῶν χριστιανῶν καὶ Ἰουδαίων συνδιαλέξεως, εἶπον οἱ Ἱσπανοὶ θεολόγοι πρὸς τοὺς Ἰουδαίους, ὅτι κατὰ τὴν Ἠλιάδα παράδοσιν ἦλθεν ὁ Μεσσίας ἤδη πρὸ πολλοῦ. Ἀπὸ γὰρ τῶν δύο χιλιετηρίδων, εἰς ἃς ἡ παράδοσις διορίζει τὴν βασιλείαν τοῦ Μεσσίου, παρῆλθε μὲν ἡ πρώτη, μεσάζει δὲ ἡ δευτέρα (ἠρίθμουν δὲ τότε οἱ Ἰουδαῖοι ἀπὸ Κ. Κ. 4000, + 1413, ἀπὸ Χ. = 5413). «Ἀλλ' (ἀπήντησεν ὁ τῶν Ἰουδαίων προϊστάμενος Ῥαββὶ Ζεραχίας), ἀλλ' εἰ καὶ κατ' αὐτὸ τὸ τέλος τῆς ϛ. χιλιετηρίδος ἔλθοι ὁ Μεσσίας, πάλιν ἐκπληροῦται ἡ προφητεία» (τοῦ Ἠλία δηλονότι ἡ παράδοσις). «Ἐν ταύτῃ γὰρ οὐ γέγραπται ὡρισμένως οὔτε ὅτι ἀρχομένης, οὔτε ὅτι

(α) S. Hieron. Com. in Joel. c. 3. p. 13.

μεσαζούσης, οὔτε ὅτι τελευτώσης τῆς δισχιλιετίας ἐλεύσεται ὁ Μεσσίας» (α). Καὶ ταῦτα μὲν ἀρχαιότερα.

§. κζ. Κατὰ δὲ τὸ 1812 μ. Χ. ὁ Ῥαββῖνος Ἰωσὴφ ὁ Κροῦλος, διδάσκαλος ἐν τῷ πανεπιστημίῳ τῆς Κανταβριγίας, ἐξέδωκεν Ἀγγλιστὶ βιβλίον ἐπιγεγραμμένον «Ἡ *ἀποκατάστασις τοῦ Ἰσραὴλ* (β)». Ἐντούτῳ τῷ συγγράμματι ὁ Ῥαββὶς ἀναμετρῶν ἑβδομήκοντα Ἰουβιλαίους (πεντηκονταετηρίδας), εὗρηκεν, ὅτι πρὸ εἴκοσιν ἐνιαυτῶν ἤρξατο ὁ Ἰουβιλαῖος τῆς τοῦ Ἰσραὴλ ἀποκαταστάσεως (τουτέστιν εὐθὺς ὅτε τὸ πρῶτον ἔσχεν ἀρχὴν ἡ ἐπανάστασις τῶν Γάλλων), καὶ ὅτι, πρὶν ἢ τελευτήσωσιν ἔτη 36, ἀποκαταστήσεται ὁ Ἰσραὴλ, καὶ ὁ Μεσσίας καθέξει τὸ βασίλειον αὐτοῦ (σελ. 59, 60). Ὁ δὲ χρόνος οὗτος συμπίπτει τῷ 1848 μ. Χ. δηλονότι τῷ 5852 ἀπὸ Κ. Κ. κατὰ τὴν κοινοτέραν τοῦ Ἰουδαϊκοῦ κειμένου χρονολογίαν (4004 ἀπὸ Κ. Κ. ἕως Χριστοῦ). Σαλεύει λοιπὸν ἡ ἐλπὶς αὐτῶν ἐπὶ δυσὶν ἀπὸ τοῦ νῦν *ἐνιαυτοῖς*! Καὶ γένοιτο μὲν αὐτοῖς τότε γοῦν ἀνοῖξαι τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐπιγνῶναι τὸν ἤδη πρὸ αἰώνων ἐννεακαίδεκα ἐπιφανέντα «καὶ *βασιλεύοντα ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ*», τὴν Ἐκκλησίαν, Χριστὸν Μεσσίαν, καὶ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, πιστεύσαντες εἰς αὐτὸν, καὶ θεατρίσαντες τὴν ἐπὶ διαφθορᾷ τῆς ἱερᾶς Χρονολογίας κακοτεχνίαν τῶν παλαιῶν αὐτῶν πατέρων. Ἀλλ᾽ ὅσον πρὸς τὸ παρὸν, ὁ κατ᾽ αὐτοὺς Ἰουβιλαῖος τῆς τοῦ Ἰσραὴλ ἀποκαταστάσεως ἤδη φαίνεται τετελευτηκὼς, καὶ ὁ Μεσσίας αὐτῶν, ὃν καραδοκῶσι *μετὰ δύω ἔτη καθέξοντα τὴν βασιλείαν*, οὐδέπω ἐγεννήθη!

Ἄλλου Ἰουδαίου σύγγραμμα ἐκδοθὲν τῷ 1794, οὗ ἡ ἐπιγραφὴ, Ἡ *διασάφησις τῶν χρόνων* (γ), τίθησι τὴν ἔλευσιν τοῦ Μεσσίου

(α) Βλ. Pezron, Défense p. 87, 93. Ταύτην δὲ τῶν Ἰουδαίων τὴν ἐξήγησιν ἠγνόει ἄρα ὁ τοῦ Πεζρῶνος ἀντίπαλος Μαρτιαναῖος, ὅστις ἐποιεῖτο περὶ πολλοῦ τὴν Ἠλιάδα παράδοσιν! Ὑπὲρ ταύτης καὶ Καρψόβιος πρὸς Βίστωνα συνεπλάκη, κενολογῶν ἀνήνυτα, καὶ προσέτι τὸν Οὐόσσιον καὶ τὸν Πεζρῶνα τυφλοὺς τοῦ Βίστωνος ὁδηγοὺς εὐφήμως ἀποκαλῶν! Carpzov. Critic. Sacr. p. 974.

(β) J. Krool, The Restoration of Israel. — (γ) Explanation of the times, παρὰ Cuninghame, Chronology of Israel p. 69.

τελευτῶντος τοῦ 112 Ἰουβιλαίου ἀπὸ Κ. Κ. Καὶ οὗτος δὲ ὁ ψηφισμὸς, κατὰ τὴν χρονολογίαν τοῦ μεγάλου Χρονικοῦ παραμετρούμενος, δίδωσι κεφάλαιον ἐτῶν 5640, ἀντιστοιχοῦν πρὸς τὰ 1840 μ. Χ.! καὶ πάλιν ὁ Μεσσίας αὐτοῖς οὐκ ἐπεφάνη. Ὁ δὲ κλεινὸς Κουνιγχάμος ἐσημείωσεν, ὅτι τὸν Ἰουβιλαῖον ψηφίζουσιν ἐσφαλμένως, ἐκλαμβάνοντες ὡς ἰσοδύναμον ἐτῶν 50, ἀντὶ 49. Κατὰ τοῦτον δὲ τὸν ψηφισμὸν εὑρίσκονται πολλῷ πλείονα ἔτη παρελθόντα τὸν ὅρον τῆς ἐλεύσεως τοῦ Μεσσίου. Ἐπειδὴ δὲ ὁ λόγος περὶ Ἰουβιλαίων, ἄγαν ἀκριβῶς ὁ σοφὸς παρετήρησε Κουνιγχάμος, ὅτι ἡ περὶ τὴν συγκοπὴν τῆς ἀληθοῦς χρονολογίας ῥᾳδιουργία τῶν Ἰουδαίων ἐξελέγχεται καὶ ἐκ τῆς σειρᾶς τῶν ἀπὸ τοῦ Ἐνὼς μέχρι τῆς εἰς Μεσοποταμίαν τοῦ Ἰακὼβ ἀναχωρήσεως μεσολαβούντων Ἰουβιλαίων· εὑρίσκονται δὲ οὗτοι ἀκριβῶς 64, ἀποτελοῦντες ἔτη 3136, ὅσα καὶ κατὰ τοὺς Ο ἀριθμοῦνται ἀπὸ τοῦ Ἐνὼς μέχρι τῆς εἰρημένης ἐποχῆς· κατὰ δὲ τὸ Ἑβρ. καὶ τὸν Ὑσσέριον, τὰ ἔτη ταῦτα ἀριθμοῦνται 2009, ἤτοι Ἰουβιλαῖοι 41 ἐπ' ἀκριβὲς, ὥστε λείπουσιν ἐκ τῆς σειρᾶς Ἰουβιλαῖοι 23 ἀποτελοῦντες ἔτη 1127, ὅσα τὸ ἑβραϊκὸν ὑστερεῖ τῶν κατὰ τοὺς Ο 3136 (α).

Τούτοις ἐπισύναψον, ἀναγνῶστα, καὶ τὰ ἑξῆς. Κατὰ τὴν χρονολογίαν τῶν Ἀνατολικῶν Ἰουδαίων, οἵτινες ἀπὸ Κ. Κ. μέχρι τοῦ κατακλυσμοῦ ἀριθμοῦσιν ἔτη ἑκατὸν ἔλασσον τῶν Δυτικῶν (βλ. ὄπισθ. σελ 708), ἡ ἕκτη ἀπὸ Κ. Κ. χιλιετηρὶς ἐτελεύτησε τῷ 1810 μ. Χ. καὶ ἄγουσιν ἤδη τὴν ἑβδόμην χιλιετίαν τὸ μέγα σαββατικὸν ἔτος, ἐν ᾧ Μεσσίαν οὐδένα οὐκέτι περιμένουσι. Διὰ ταῦτα οἱ καθ' ὅλην τὴν Ἰνδίαν καὶ Περσίαν καὶ ἄλλας χώρας τῆς Ἀσίας Ἰουδαῖοι πρὸ 36 περίπου ἐτῶν ἐπίστευον, ὅτι κατ' ἐκεῖνον τὸν χρόνον γεννηθήσεται ὁ Μεσσίας. Ἐπειδὴ δὲ παρῆλθεν ἡ ἕκτη χιλιοστὺς, κατὰ τὴν αὐτῶν χρονολογίαν, ὁ δὲ Μεσσίας οὐκ ἐφάνη, ἐταράχθη πᾶν τὸ ἰουδαϊκὸν ἐκεῖνο φῦλον, καὶ

(α) Βλ. Cuninghame, Fulness of the Times p. 138; 139.

ἐψηφίσαντο διερευνῆσαι, τὶς ἦν ἄρα ὁ Μεσσίας, ὅστις πάντως ἦλθεν εἰς τὸν κόσμον κατὰ τὴν ὡρισμένην ἐποχήν. Τοῦτον δὲ τὸν θόρυβον μόλις ἴσχυσαν οἱ ῥαββῖνοι κατευνάσαι, διαμαρτυρόμενοι καὶ ἐπομνύντες, ὅτι οὔπω παρῆλθεν ἡ ἕκτη χιλιετία! Ταῦτα ἱστορεῖ μάρτυς αὐτόπτης καὶ σοφὸς, ὁ ἀποστολάριος (*μισσιονάριος*) Φειλδιστέδης (Fjeldstedt) παρὰ τῷ Σεϋφάρθῳ (σελ. 219—220).

§. κη. Οὕτω πανταχόθεν ἐξελέγχεται ψευδὴς ἡ χρονολογία τοῦ παρ᾽ Ἰουδαίοις ἑβραϊκοῦ, καὶ ὅτι ταύτην συνέτεμον οἱ ῥαββῖνοι βραδύνοντες τὸν χρόνον τῆς ἐλεύσεως τοῦ Μεσσίου. Παρομοίως συνέτεμον καὶ τὰ ἔτη τῆς βασιλείας τῶν Περσῶν, ἵνα καταψεύσωσι τὴν ἐπὶ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἔκβασιν τῶν *ἑβδομήκοντα* ἑβδομάδων τῆς προφητείας τοῦ Δανιήλ. Ὅλοι σχεδὸν οἱ κατ᾽ αὐτοὺς χρονολόγοι ψηφίζουσι τὴν Περσῶν βασιλείαν ὡς διαρκέσασαν ἀπὸ Κύρου μέχρις Ἀλεξάνδρου ἔτη μόνα 52. Συστέλλουσι δ᾽ ἑτέρωθεν καὶ τὴν διάρκειαν τοῦ β, ναοῦ εἰς ἔτη 420. ὅπως ὁ τῶν ἑβδομήκοντα ἑβδομάδων ψηφισμὸς μὴ συμπίπτῃ πρὸς τὸν χρόνον μήτε τῆς γεννήσεως, μήτε τῆς σταυρώσεως τοῦ Σωτῆρος (α). Ὅ, γε μὴν Ἰώσηπος ὡμολόγησε τὰς Ο, ἑβδομάδας τοῦ Δανιὴλ πληρωθείσας ἐπὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, ὡς προείπομεν (σελ. 748), καί τοι μέρος τούτων κατὰ πλάνην ἐφαρμόσας καὶ εἰς τὴν ἐπ᾽ Ἀντιόχου τοῦ Ἐπιφανοῦς βεβήλωσιν τοῦ ναοῦ (Ἀρχ. Ι, ια, §. 7, καὶ ΙΒ, ζ, §. 6). Καὶ ἄλλη δέ τις φαίνεται μαρτυρία τῶν Ἰουδαίων. Οἱ παλαιοὶ ῥαββεῖς αὐτῶν ἀπηγόρευσαν ἰσχυρῶς, μηδεμίαν ἔρευναν ποιεῖσθαι περὶ τοῦ χρόνου τῆς ἐλεύσεως τοῦ Μεσσίου » Κἂν βραδύνῃ (παρήγγελλον), ἀπεκδεχέσθω (ὁ Ἰουδαῖος)· μηδὲ καιρὸν αὐτῷ διοριζέτω· *μηδὲ τὸ κείμενον τῶν Γραφῶν οὕτως ἐξηγείτω, ὥστε συνάγειν ἐξ αὐτῶν τὸν χρόνον τῆς ἐλεύσεως τοῦ Μεσσίου*. Ἀπόλοιτο ἡ ψυχὴ *τῶν ψηφιζόντων περιόδους*

(α) Βλ. Pezron, Défens. p. 481. πρβλ. Voss. de LXX. ad Lector. καὶ Morin. L. II. Exercit. I. p. 223. sq. ὅπου ἐξελέγχεται λαμπρῶς ἡ περὶ τὴν ἱστορίαν παράδοξος ἀμάθεια καὶ ψευδοκοπία τῶν Ἰουδαίων.

χρονικάς » (α). Τί ἄλλο ταῦτα δηλοῦσιν, ἢ τὸν φόβον αὐτῶν, μήπως ἐκ τῆς ἐρεύνης τῶν Γραφῶν ἀναφανῇ ἡ ἀληθὴς τοῦ Μεσσίου ἐποχὴ, καὶ ἐξελεγχθῇ διεστρεβλωμένη καὶ ψευδὴς ἡ τοῦ κατ' αὐτοὺς κειμένου χρονολογία;

§. κθ. Τελευταῖον· οἱ Ἰουδαῖοι περιμένοντες τὴν ἔλευσιν τοῦ Μεσσίου τελευτώσης τῆς ἕκτης χιλιετίας, φρονοῦσιν, ὅτι βασιλεύσει ἐπὶ γῆς ἐν Ἱερουσαλὴμ ἐπίγειον καὶ σωματικὴν βασιλείαν δι' ὅλης τῆς ἑβδόμης *χιλιετίας*, καὶ οὗτός ἐστι παρ' αὐτοῖς ὁ μέγας *σαββατισμός*· (ὅθεν προῆλθε καὶ τὸ φρόνημα τῶν *Χιλιαστῶν*). Αὕτη δὲ ἡ δόξα ἐκράτει παρ' Ἰουδαίοις καὶ πρὸ Χριστοῦ Σωτῆρος, ὡς φαίνεται ἐν τῷ Δ. Ἔσδρᾳ (κεφ. δ, 35, ς, 18). Ἐκ δὲ τούτων διεδόθη καὶ εἴς τινας τῶν χριστιανῶν τοῦ α καὶ β αἰῶνος, καὶ μάλιστα τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας, οἵ τινες ἔτι τότε περιέμενον ὡς ἐγγίζουσαν τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν ἐπὶ γῆς χιλιετῆ βασιλείαν αὐτοῦ (β). Καὶ φαίνεται λοιπὸν ἐντεῦθεν σαφῶς, ὅτι τότε καὶ Ἰουδαῖοι καὶ οἱ χριστιανοὶ ἔτρεχον πρὸς τὸ τέλος τῆς ἕκτης χιλιετίας, ἐν ᾗ γέγονεν ἡ πρώτη ἔλευσις τοῦ Σωτῆρος. Εἰ δὲ καὶ τότε ἠρίθμουν τὰ ἔτη κατὰ τὴν συντετμημένην τοῦ ἑβραϊκοῦ χρονολογίαν, ὤφειλον πάντως οἱ χριστιανοὶ λογίζεσθαι τὴν δευτέραν παρουσίαν ὡς ἐσομένην μετὰ 1500 ἔτη κατόπιν τοῦ κατ' αὐτοὺς αἰῶνος· καθὼς καὶ

(α) Maimonid. in Explic. c. 10. Tract. Sanhedr. πρβλ. Pezron, Défense etc. p. 480.

(β) Οὕτως ὁ Παπίας (τῷ 100—110 μ. Χ.) « *ἀνὴρ ὅτι μάλιστα λογιώτατος καὶ τῆς Γραφῆς εἰδήμων, ἔγραψε καί τινα μυθικώτερα, ἐν οἷς καὶ χιλιάδα τινά φησιν ἐτῶν ἔσεσθαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, σωματικῶς τῆς τοῦ Χριστοῦ βασιλείας ἐπὶ ταυτησὶ τῆς γῆς ὑποστησομένης» ἃ καὶ ἡγοῦμαι τὰς ἀποστολικὰς παρεκδεξάμενον διηγήσεις ὑπολαβεῖν, τὰ ἐν ὑποδείγμασι μυστικῶς πρὸς αὐτῶν εἰρημένα μὴ συνεωρακότα. Πλὴν καὶ τοῖς μετ' αὐτοῦ τῆς ὁμοίας αὐτῷ δόξης παραίτιος γέγονε, τὴν ἀρχαιότητα τοῦ ἀνδρὸς προβεβλημένοις, ὥσπερουν Εἰρηναίῳ, καὶ εἴ τις ἄλλος τὰ ὅμοια φρονῶν ἀναπέφηνε* ». Εὐσέβ. Ἐκκλ. ἱστορ. γ, 36 39. πρβλ. Ἰουστίν. π. Τρύφων. §. 80 (καὶ Praef. p. 51. ed Venet.) κτλ. βλ. καὶ Εὐσέβ. Ἐκκλ. ἱστορ. γ, 28. ὅπου ἱστορεῖται καὶ ὁ βέβηλος χιλιασμὸς τοῦ αἱρεσιάρχου Κηρίνθου, συγχρόνου τοῖς Ἀποστόλοις.

οἱ Ἰουδαῖοι μετὰ τὴν διαφθορὰν τῆς κατ' αὐτοὺς χρονολογίας ἀριθμοῦντες, περιμένουσι μέχρι σήμερον τὸ τέλος τῆς ϛ, χιλιετίας. Ὥστε δείκνυται καὶ ἐκ τούτου, ὅτι οὐχ οἱ Ο, ἢ οἱ Χριστιανοὶ, ἀλλ' οἱ μετὰ Χριστὸν ῥαββῖνοι διέφθειραν τὴν Γραφικὴν χρονολογίαν, ἐκκόψαντες ἔτη 1500. Τοῦτο δὲ καὶ ὁ κοινὸς νοῦς εὐκόλως κατανοεῖ· ῥᾷον ἐν Παλαιστίνῃ, ἢ ἐν Ἀλεξανδρείᾳ, καὶ εὐλογώτερον εὐθὺς μετὰ Χριστὸν, ἢ 300, ἔτεσι πρὸ Χριστοῦ, καὶ συμφερώτερον τοῖς μισοχρίστοις Ἰουδαίοις, ἢ τοῖς πιστοῖς Χριστιανοῖς ἠδύνατο καὶ ἔμελλε διαφθαρῆναι ἡ χρονολογία τῆς Γραφῆς.

§. λ. Συμπεραίνομεν τὸν περὶ τῆς χρονολογίας λόγον, προστιθέντες τὰ ἑξῆς. Οὐκ ὀλίγοι τῶν ὑπερμάχων τῆς Μασοραίας χρονογραφίας, ὅταν ἴδωσι τὰς φαρέτρας αὐτῶν κενωθείσας πρὸς τὸν ἄῤῥηκτον τῶν Ο, θυρεὸν, ἑτέραν τρέπονται ὁδὸν, λέγοντες, μηδὲν ὄφελος εἶναι ἐκ τῆς τοιαύτης ἐρεύνης. Λέγει δὲ (φασὶ) καὶ Ἱερώνυμος, ὅτι « τὸ τοιούτοις ζητήμασι προσκολλᾶσθαι οὐ σπουδάζοντος μᾶλλον, ἢ ἀργοῦ τινος ἴδιόν ἐστι» (α). Ὁ δ' αὐτὸς (φασὶ) προσέθηκε καὶ ταῦτα· « τί μοι κέρδος εἰδέναι πόσα ἔτη ἔζησε Μαθουσάλας;» (β). — Ἀλλὰ ταῦτα (ἀπαντῶμεν), ἔκτοπα, καὶ «*οὐδὲν πρὸς ἔπος*». Ὁ φερώνυμος πατὴρ ἐξηγούμενος τὸ τοῦ θείου Παύλου πρὸς τὸν Τίτον ῥητὸν, τὸ, «Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας» κτλ. (Τίτ. γ, 3), οὐδὲν περὶ *τῆς ἱερᾶς χρονολογίας* λέγει· διαγράφει δὲ πάνυ ἐναργῶς τὴν τότε τῶν Ἰουδαίων μανίαν, μεθ' ἧς ἐπὶ τοῖς ἰδίοις προγόνοις αὐχοῦντες, ἅμα δὲ καὶ πολυμάθειαν ἐν τοῖς τοιούτοις ἐπιδεικνύμενοι, συνήθως ἐφιλοτιμοῦντο τὰς ἀπ' Ἀδὰμ ἄχρι τοῦ Ζοροβάβελ γενεὰς προφέρειν ἀπὸ μνήμης. Καὶ ἄλλας δὲ πάλιν *γενεαλογίας ἀπεράντους καὶ μύθους* ἐξέφερον ἐκ τῶν παρ' αὐτοῖς *Δευτερώσεων* (γ), ζητήματα περὶ τούτων κινοῦντες πρὸς τοὺς χριστιανούς· καὶ τῶν ἐξ Ἀβραὰμ καὶ Δαβὶδ γενεαλογουμένων κατάλο-

---

(α) S. Hieron. Epist. ad Vitalem. — (β) Id. in Cap. III. Epist. ad Titum. πρβλ. Liebermann, Inst. Theol. T. 1. p. 272.

(γ) S. August. Contr. advers. Legis, L. I. 13.

γον ἐξέφερον, ἐρευνῶντες δῆθεν, εἰ ἐκ τούτων ἀληθῶς ὁ Κύριος τὸ κατὰ σάρκα γεγέννηται· καὶ ζητήματα παρέπλεκον νομικὰ, οἷα οἱ τότε Φαρισαῖοι συνήθως ἀνετάραττον, ἔριδας ἐξάπτοντες καὶ λογομαχίας ἀκερδεῖς. Ταῦτα παρήγγειλε πρὸς τὸν μακάριον Τίτον ὁ Ἀπόστολος διαφεύγειν. «Μωρὰς δὲ ζητήσεις (φησὶ) καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο» (Τίτ. γ, 9). Ταὐτὰ καὶ πρὸς Τιμόθεον ἔγραψε· «Μηδὲ προσέχειν μύθοις καὶ *γενεαλογίαις* ἀπεράντοις» (Α. Τιμ. α, 4). Ὅπου καὶ ὁ ἱερὸς Θεοδώρητος παρομοίως σχεδὸν, ὡς ὁ Ἱερώνυμος, ἑρμηνεύει τῶν Ἀποστολικῶν ῥημάτων τὸν νοῦν. Οὗτος δὲ προσέθηκεν ἰδίως καὶ τὸ *περὶ τῶν ἐτῶν τοῦ Μαθουσάλα* κεκινημένον τότε ζήτημα (ὡς μανθάνομεν καὶ ἐκ τοῦ ἱεροῦ Αὐγουστίνου), ἐξ αἰτίας τινῶν κωδήκων, ἐν οἷς ἀντὶ 187 ἐγράφοντο ἡμαρτημένως 167 τὰ πρὸ τῆς παιδογονίας ἔτη τοῦ Μαθουσάλα (βλ. ὄπισθ. σελ. 712)· ὅθεν οὗτος ἐφαίνετο καὶ μετὰ τὸν κατακλυσμὸν ἐπιζήσας (α). Ὅτι δὲ καὶ παρὰ τοῖς Σαμαρείταις τὰ ἔτη τοῦ Μαθουσάλα γράφονται βραχύτερα τῶν ἔν τε τῷ ἑβρ. καὶ παρὰ τοῖς Ο, εἴδομεν ἐν τοῖς προηγηθεῖσι (σελ. 706). Ἀλλὰ πάντα ταῦτα τί κοινὸν ἔχουσι πρὸς τὴν θεωρίαν τῆς μεταξὺ τοῦ ἑβραϊκοῦ καὶ τῶν Ο καιριωτάτης περὶ τὴν καθόλου χρονολογίαν διαφορᾶς; Εἰ δὲ ταύτης ἀμελεῖν ὁ μακάριος Ἱερώνυμος (ὡς θέλουσι) παραινεῖ, αὐτὸς λοιπὸν πρῶτος παρέβη τὴν ἑαυτοῦ παραίνεσιν, τοσαῦτα πονήσας εἰς τὴν μετάφρασιν καὶ ἐπαύξησιν τῶν Εὐσεβίου κατὰ τοὺς Ο Χρονικῶν. Ἀλλ᾿ εἴπερ καὶ οὕτω πάλιν ἀξιοῦσιν οἱ σοφοὶ, μηδὲν μηδόλως φιλοκρινεῖν περὶ τῶν τοῦ Μασοραίου κειμένου πρὸς τοὺς Ο χρονολογικῶν ἐναντιωμάτων, ἐᾷν δὲ ταῦτα καθεύδειν, *πάνθ᾿ ὑπὸ μίαν*

(α) «Quaeri solet, quomodo Mathusalam secundum annorum computationem, vivere post diluvium potuerit;» etc. S. August. in Genes. c. 2. πρβλ. καὶ αὐτὸν τὸν Ἱερών. Quaest. in Genes. ὅστις λέγει τὸ περὶ τοῦ Μαθουσάλα ζήτημα περιφημότατον· καὶ οὐδ᾿ ἀνωφελὲς καὶ ἀκερδὲς (ὡς εἶπεν ἀνωτέρω), ἀλλὰ σπουδαιότατον ἔκρινεν ἔργον τὴν περὶ τούτου λύσιν, θεωρῶν τὸ σφάλμα περὶ τὸν ἀριθμὸν (167, ἀντὶ 187).

Μύκονον, ὥρα λοιπὸν αὐτοῖς μὴ μέλλειν, μηδ' ἀναβάλλεσθαι τὸν καιρὸν, ἀλλ' ἐξ αὐτῆς ἀραμένους ἀμφοτέραις ὠλέναις τὰ ἱερὰ Χρονικὰ καταῤῥίπτειν (τὸ τοῦ λόγου) *ἀπὸ γεφύρας*, ὡς ἄχρηστα καὶ ἀνωφελῆ. Ματαίως δὲ ἄρα καὶ τῶν θείων Πατέρων οἱ λογάδες ἐπόνησαν περὶ τὴν μετὰ τῆς ἱερᾶς ἱστορίας ἀχωρίστως συνημμένην χρονολογίαν τῆς Γραφῆς, ἄλλας τε πολλὰς ἀληθείας τῆς εὐσεβείας ἀποδεικνύντες, καὶ αὐτὴν τὴν ἔκβασιν τῶν 70 ἑβδομάδων τοῦ προφήτου Δανιήλ. Ἀλλ' ἄτοπον, οἶμαι, ταῦτα λέγειν καὶ φρονεῖν, οὐδ' ἀκίνδυνον πρὸς εὐσέβειαν. Εἰ γὰρ ἐν ταῖς ἀνθρωπίναις ἱστορίαις τὸ *πότε* καὶ ποῦ διερευνῶμεν, πολλῷ μᾶλλον ὀφείλομεν ἐκ τῶν θείων πληροφορεῖσθαι Γραφῶν περὶ τῆς αἰωνίου σωτηρίας ἡμῶν, « Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ » (Α. Πέτρ. α, 10, 11).

Καὶ ἄλλο δέ τι προβάλλουσιν οἱ τὴν ἀδιαφορίαν εἰσάγοντες περὶ τὴν χρονολογίαν τῶν Γραφῶν. Συνέταξάν τινες κατάλογον τῶν διαφόρων χρονολογικῶν συστημάτων, ῥαββίνων ἀνάμιγδα καὶ χριστιανῶν, μερικῶν καὶ δημοσίων δοξασιῶν, ἀρχαίων καὶ νεωτέρων ἐκκλησιαστικῶν, πάντα καὶ ψευδῆ καὶ ἀληθῆ κατὰ σειρὰν ἐκθέντες ἀλλεπάλληλα καὶ συσσωρευτά· εἶπες ἂν, ἰδὼν τὸν κατάλογον, ὅτι ὁμοιάζει ὁπωσοῦν πρὸς ἐκεῖνο τὸ τεῖχος τῶν Ἀθηνῶν, ὅπερ ᾠκοδόμουν ἐπὶ Θεμιστοκλέους καὶ ἄνδρες καὶ γυναῖκες καὶ παῖδες, παντοίους λίθους συμφοροῦντες, καὶ ἀργοὺς, καὶ εἰργασμένους, *καὶ στήλας ἀπὸ μνημείων* (Θουκυδ. Α. 90, 93). Ἀλλ' ὁ μὲν τοιοῦτος πολυμιγὴς ὁρμαθὸς, ἢ παμποίκιλος κέντρων τῶν διαφόρων χρονολογιῶν γίνεταί πως ἀνεκτὸς, ὡς παριστάνων ὑπὸ μίαν βολὴν ὀφθαλμοῦ καὶ συνοπτικῶς τὴν μεταξὺ τούτων εἰδικὴν διαφοράν (α). Οἱ

(α) Οὕτως ὁ σοφὸς Φαβρίκιος (Bibliog. antiq. p. 256) ἀριθμεῖ 180 περίπου χρονολογικὰ συστήματα, ἀρχόμενος ἀπὸ τοῦ 3488 ἔτους ἀπὸ Κ. Κ. μ. Χ., ὡς ἀριθμεῖ τὸ μικρὸν τῶν Ἰουδαίων Χρονικὸν, ἢ 3660, ὡς ὁ ῥαββὶς Ἀβαρβανὴλ, ἢ 3740 ὡς ὁ ῥαββὶς Νααςσὼν, ἢ 3754 ὡς ὁ ῥαββὶς Γερσὼν, ἢ 3758,

δέ τινες τῶν σοφῶν ἐκ ταύτης τῆς διαφορᾶς ὁρμηθέντες, ἐπιχειροῦσι μάταιον ἀποφαίνειν τὸ διατρίβειν περὶ ζήτημα πλῆρες τοσούτων διαφωνιῶν καὶ δυσχερειῶν. Διὰ ταῦτα, λέγουσι, καὶ ἡ Ῥωμαϊκὴ Ἐκκλησία οὐ τῶν σπουδαιοτάτων, οὐδὲ μεγάλην ῥοπὴν ἔχον ἔκρινε τὸ περὶ τὴν γραφικὴν χρονολογίαν θεώρημα. Καί τοι γὰρ αὐθεντικὴν καὶ κυρίαν ἀνεκήρυξε τὴν τῇ καθ᾿ Ἑβραίους χρονολογίᾳ παρακαλουθοῦσαν Βουλγάταν, ἀλλ᾿ ὅμως αὐτὴ ἐν τῷ Μαρτυρολογίῳ διετήρησε τὴν κατὰ τοὺς Ο (α). — Ὀρθῶς γε πάντως (ἀπαντῶμεν) ἡ τῆς Ῥώμης Ἐκκλησία διεπρέσβευσε τὴν τῶν Ο (καί τοι κατ᾿ Εὐσέβιον καὶ Ἱερώνυμον) χρονολογίαν. Καὶ ὁ καρδινάλις Βαρόνιος ἀνεκήρυξεν, ὡς εἴδομεν, ὅτι ἡ Ἐκκλησία εἴωθεν ἀνέκαθεν ἀριθμεῖν τοὺς ἀπὸ Κ. Κ. ἐνιαυτοὺς οὐ κατὰ *τὴν ἑβραϊκὴν ἔκδοσιν*, ἀλλὰ κατὰ τοὺς ΟΒ ἑρμηνευτάς (β). Ὥστε ἡ Ῥωμαϊκὴ Ἐκκλησία προτιμήσασα δημοσίως τὴν κατὰ τοὺς Ο, ἀπεδοκίμασε λοιπὸν ὡς ἄκυρον καὶ διεφθαρμένην τὴν καθ᾿ Ἑβραίους χρονολογίαν, καί τοι περιεχομένην ἐν τῇ Βουλγάτᾳ. Τὸ δὲ διὰ τὰς πολλὰς τῶν ποικίλων συστημάτων διαφορὰς περιττὴν νομίζειν τὴν περὶ τῆς ἀληθοῦς χρονολογίας ἔρευναν, οὐδόλως ἐῤῥῶσθαι δοκεῖ. Τοῦτο γὰρ ἂν εἴη τὸ αὐτὸ, ὡς καὶ εἴ τις κρίνοι περιττὸν τὸ μεταξὺ πολλῶν κιβδήλων νομισμάτων ἐκλέγειν τὸ γνήσιον καὶ χρυσοῦν, ἢ καὶ μεταξὺ πολλῶν ὀθνείων καὶ ξένων προσώπων ἀνευρίσκειν τὸν οἰκεῖον καὶ συγγενῆ. Ἔστι δὲ δήπου μεταξὺ τῶν τοσούτων ἐποχῶν μία τις ἀληθινή. Οὐδὲ δυσχερὲς αὐτὴν διαγνῶναι, διεκήρυξε γὰρ αὐτὴν ἡ Ἐκκλησία (συνομολογούν-

---

ὡς οἱ Ἰουδαῖοι ἐν τῷ μ ε γ ά λ ῳ Χ ρ ο ν ι κ ῷ (Σεδερ Ολαμ Ραββα), καὶ οὕτως ἐφεξῆς προϊὼν, καὶ καταλήγων τέλος εἰς τὸ 6484, τὸ ἀκρότατον τῶν μέχρι σήμερον ἐπινοηθέντων συστημάτων. Ὥστε ἡ μεταξὺ τοῦ ἐλαχίστου καὶ τοῦ μεγίστου ὅρου διαφορὰ προκύπτει ἐτῶν 3244!. Ἐν δὲ τούτοις τοῖς συστήμασι βλέπεις φύρδην καὶ μίγδην συγκεχυμένα παντοῖα ὀνόματα χρονογράφων ἐπισήμων καὶ ἀσήμων, ῥαββίνων καὶ Πατέρων, Ἰουδαίων καὶ χριστιανῶν, καὶ τούτων διαφόρων, Ἀνατολικῶν, Δυτικῶν, Διαμαρτυρουμένων, ἄλλων παντοίων δοξῶν. Τοῦτον τὸν κατάλογον ο ὕ τ ω ς ἔ χ ο ν τ α ἀντέγραψεν ἐν μέρει δι᾿ ἁπλότητα καὶ ὁ μακαρίτης Γεώργιος Βενδότης ἐν τῇ ὑπ᾿ αὐτοῦ ἐκδοθείσῃ Ἐκκλ. ἱστορ. τοῦ Μελετίου τόμ. α. σελ. 83.

(α) Liebermann, l. c. p. 272. — (β) Baron. l. c. καὶ adnot. ad Martyrolog.

των πολλῶν καὶ ἀγαθῶν καὶ ἐξ αὐτῶν τῶν κατὰ κόσμον σοφῶν). Διακρίνει δὲ πάντως ἡ ἡμέρα τῆς κατὰ Χριστὸν γνώσεως καὶ εὐσεβείας τὴν ἐπὶ τῶν ἀχράντων καὶ θείων γραφῶν ἐπῳκοδομημένην βέβηλον ὕλην, «*ξύλα καὶ καλάμην καὶ χόρτον*», ἐκλέγουσα *τὸν χρυσὸν καὶ ἄργυρον καὶ τοὺς τιμίους λίθους* τῆς θεοπνεύστου διδασκαλίας. Τῶν δὲ μάτην πειραθέντων διαλλάξαι τὴν ἑβραϊκὴν πρὸς τὴν τῶν Ο χρονολογίαν τὸν ἄχαριν κόπον καὶ μνημονεύειν ἴσως περιττόν (α).

(α) Οὕτως ὁ Ἰησουΐτης Νικκολάϊς (A. Niccolai, Dissertationi e lecioni di S. Scrittura etc. T. 1. p. 126—130 Venet. 1781), *καὶ πρὸ τούτου ὁ ἀνώνυμος* (*ἐν* Memoires de Trevoux, Avril. 1743. art. 30 *καὶ* Juin. art. 43) *ἐνόμισαν ὅτι διαλλάττονται αἱ χρονολογίαι, καὶ ἀμφότεραι ἀληθεύουσι· πῶς;* Τὸ *ἑβραϊκὸν (λέγουσι) καταγράφει τὰ ἔτη τ ῶ ν γ ε ν ε ῶ ν.* Οἱ *δὲ* Ο, *τὰ ἔτη τ ῶ ν γ ε ν ν η τ ό ρ ω ν, ἀφ' οὗ ἤρξαντο μέχρις ἐπαύσαντο τῆς παιδοποιΐας.* Οὕτω, *φέρ' εἰπεῖν, ἐπὶ τοῦ* Ἀδὰμ *τὸ ἑβρ. γράφει ἔτη* 130, *ὅσα ἦγεν ὅτε ἐγέννησε τὸν Σήθ· ἐπὶ δὲ τοῦ Σήθ,* 105, *καὶ καθεξῆς ἀριθμεῖ τὰ ἔτη ἀλληλοδιαδόχως, ὥστε τὴν μίαν γενεὰν μὴ ἐμπεριέχεσθαι ἐν τῇ ἑτέρᾳ· οὕτω δὲ προϊὸν μέχρι τοῦ κατακλυσμοῦ συνάγει τὰ ἔτη ταῦτα* 1656 : *τὸ δ' αὐτὸ ποιεῖ καὶ ἐν τῇ β, περιόδῳ (βλ. τοὺς πίνακας).* Οἱ *δὲ* Ο, *προσθέντες μίαν ἑκατοντάδα πρὸ τῆς ἑκάστου παιδογονίας, ἐσήμαναν τὸν χρόνον καθ' ὃν ἕκαστος τῶν πατριαρχῶν ἐγέννησεν, οὐ μόνον τὸν πρωτότοκον, ἀλλὰ καὶ πάντα τὰ ἐξ αὐτοῦ τέκνα, καὶ οὕτω συνήγαγον τὸ κεφάλαιον τῶν ἐτῶν τούτων* 2262· *ὡσαύτως καὶ ἐπὶ τῆς β, περιόδου.* Τοῦτο *δὲ ἐποίησαν, σκοπὸν ἔχοντες ἀποδεῖξαι τοῖς πολλὴν ἀρχαιότητα κομπάζουσιν* Αἰγυπτίοις, *ὅτι ἐκ τοῦ* Ἀδὰμ *ἔχουσι πάντες οἱ ἄνθρωποι τὴν καταγωγὴν, καὶ οἱ πατριάρχαι ἠδύναντο διὰ μακροῦ χρόνου παιδοποιοῦντες, πληρῶσαι κατοίκων τὴν γῆν.* Ὥστε *τὸ μὲν ἑβρ. παρίστησι τὴν χρονολογίαν τοῦ κόσμου, οἱ δὲ* Ο, *τὴν χρονικὴν διάρκειαν τῆς ἑκάστου τῶν πατριαρχῶν παιδοποιΐας* ». Καὶ *ἀποδείκνυσιν ὁ* Νικκολάϊς *(ὡς λέγει) τὸ πρᾶγμα ἐξ αὐτῆς τῆς γραφῆς.* Ἐν *γὰρ (φησὶ)* Γενέσ. ε,1, *οἱ* Ο, *γράφουσιν*, «Αὕτη *ἡ βίβλος γενέσεως ἀ ν θ ρ ώ π ω ν, ἀντὶ τοῦ ἑβρ.* « Αὕτη *ἡ βίβλος γενέσεως* Ἀ δ ά μ » *(ὡς ἂν εἰ ὑπῆρχεν ἐνταῦθα κύριον τὸ* Ἀδάμ!) *κτλ.* Ἐπαινοῦμεν *τὴν εἰρηναίαν καὶ φιλήμονα διάθεσιν τῶν σοφῶν τούτων, ἀλλ' ἀμφιβάλλομεν εἴπερ, ἐν ᾧ τοιαῦτα ἔγραφον, ἐνέκυπτον καὶ εἰς τὸ κείμενον τῶν* Ο. Οὗτοι *γράφοντες ὡρισμένως τὸ ἔτος ἐν ᾧ ἐγέννησεν ὁ* Ἀδὰμ, *φέρ' εἰπεῖν, τὸν Σήθ, ἐπάγουσιν* « Ἐγένοντο *δὲ πᾶσαι αἱ ἡμέραι* Ἀδὰμ, *μ ε τ ὰ τ ὸ γ ε ν ν ῆ σ α ι α ὐ τ ὸ ν τ ὸ ν Σ ή θ, ἔτη ἑπτακόσια, καὶ ἐ γ έ ν η σ ε ν υ ἱ ο ὺ ς κ α ὶ θ υ γ α τ έ ρ α ς » κτλ. καὶ ἐπὶ τοῦ Σήθ.* «Καὶ *ἔζησε Σὴθ μετὰ τὸ γεννῆσαι α ὐ τ ὸ ν τ ὸ ν* Ἐ ν ὼ ς, 7, *ἔτη καὶ* 700, *κ α ὶ ἐ γ έ ν ν η σ ε ν υ ἱ ο ὺ ς κ α ὶ θ υ γ α τ έ ρ α ς » κτλ. καὶ ἐπὶ πάντων τῶν ἄλλων ὡσαύτως.* Οἱ *δὲ* Νικκολάεις *αἴροντες τοὺς υἱοὺς καὶ τὰς θυγατέρας ἑκάστου ἐκ τῆς μετὰ τὴν πρώτην παιδογονίαν ἡλικίας, παρεμβύουσιν εἰς τὴν προστεθειμένην (ὥς φασι) τῶν προπαιδογόνων ἐτῶν*

§. λα. Καὶ ἀποῤῥιπτέον ἄρα τὴν Μασοραίαν χρονολογίαν, καθόλου μὲν καὶ πρώτιστα ὡς ῥαββινικῆς ἐπινοίας ἀνοσιώτατον ἔργον, ἐξεπίτηδες *κατὰ Χριστοῦ* σκευωρηθέν· ἔπειτα δὲ καὶ κατὰ μέρος διὰ τὰ ἐφεξῆς.

α) Διότι ἀντιφάσκει πρὸς τὴν ἀλήθειαν τῆς παλαιᾶς Γραφῆς, ἀπίθανα πράγματα παριστῶσα, καὶ ἀντιφατικὰ πρὸς τὴν ἱερὰν ἱστορίαν, καὶ κατ' αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκόν.

β) Διότι ἀντιτάσσεται πρὸς τὴν Καινὴν Διαθήκην, συγκόπτουσα μὲν τὴν γενεαλογίαν τοῦ Κυρίου διὰ τῆς ἀποβολῆς τοῦ Β. Καϊνᾶν, ἀντιβαίνουσα δὲ καὶ ἄλλως, πολλαχοῦ τῆς Εὐαγγελικῆς ἱστορίας, πρὸς τὴν ἀναλογοῦσαν τῶν χρόνων ἐφαρμογὴν, καὶ εἰς αὐτὸ δὲ τὸ ὑπὸ τῶν προφητῶν προκηρυχθὲν *πλήρωμα τοῦ χρόνου* τῆς θείας ἐπιφανείας, καθὼς τοῦτο ἐθεώρουν οἱ θεῖοι Ἀπόστολοι. Οὗτοι γὰρ τῇ τῶν Ο χρώμενοι Γραφῇ, διετήρουν πάντως καὶ τὴν κατ' αὐτοὺς χρονολογίαν.

γ) Διότι ἀνοίγει θύρας καὶ θυρίδας εἰς τὴν μεγάλα βλασφημοῦσαν εἰς ὕψος πάρδαλιν τῆς ἀσεβείας. Ἓν τῶν κωφῶν ἐπιχειρημάτων, ὅσα τοξεύουσι κατὰ τῆς θείας Γραφῆς πολλοὶ τῶν ψευδοσόφων, τῆς Ἐπικούρων καὶ Σαδδουκαίων καὶ Μανιχαίων εὐρωτιώσης σαπρίας ἄζηλα τέκνα, ὑπάρχει καὶ ἡ τοῦ κόσμου ἡλικία. Σφόδρα νέαν εὑρίσκουσιν οὗτοι τὴν κατὰ Μωσέα γένεσιν τοῦ κόσμου. Ὅθεν προτιμῶσι τὰς ἀπὸ Κ. Κ. 36,525 χιλιετίας τῶν Αἰγυπτίων, ἢ καὶ τὰς 472,000 τοῦ Βηρωσσοῦ καὶ τῶν Χαλδαίων, καθ' ὧν καὶ αὐτὸς ὁ ἐθνικὸς Κικέρων ἠγανάκτει, δικαίως καταφρονῶν τῆς μωρίας, ἢ ματαιοφροσύνης, ἢ ἀναιδείας τῶν ψευδομένων (α). Καὶ αὗται μὲν αἱ ψευδεῖς

ἑκατοντάδα. Διορίζουσι δὲ καὶ τὴν χρονικὴν διάρκειαν τῆς ἑκάστου παιδοποιΐας ἔτη μόνον 100! σοφώτερα λέγοντες τῆς Γραφῆς. Ἐπεισάγουσιν ἡμῖν, τέλος, καὶ τοὺς Αἰγυπτίους, ὅπως ἂν φανῶσι τέλειοι εἰρηνάρχαι, διαλλάττοντες μετὰ τῶν Γραφικῶν χρονολογιῶν καὶ τὰ ὄνειρα τῶν Αἰγυπτιαστῶν. Ἄλλας παχυμερεῖς τῆς δόξης ταύτης ἀτοπίας παραλείπομεν.

(α) «Condemnemus etiam Babylonios . . . Condemnemus, inquam, hos aut stultiae, aut vanitatis, aut impudentiae· qui CCCCLXX millia anno-

χιλιετίαι, καὶ τῶν Σάρων καὶ Νήρων καὶ Σώσσων αἱ μυρίαι περίοδοι (α), εἰς ἀμήχανον πλῆθος ἐνιαυτῶν ἀναβαίνουσαι, προφανῶς ἐξελέγχονται χιμαιρίδες μυθώδεις, καὶ, τέλος, ὑπείκουσι τῷ λόγῳ, καθαιρόμεναι τῶν ἐπιτρεχόντων πλασμάτων· ἐκεῖνοι γὰρ καὶ τὰς

---

rum, ut ipsi dicunt, monumentis comprehensa continent» etc. Cicero de Divinat. L. I. 1. §. 19. Ἐκ τούτου τοῦ χωρίου τοῦ Κικέρωνος διορθοῦνται καὶ τὰ προμνημονευθέντα (σελ. 667) ἐκ τοῦ Πλινίου περὶ τοῦ Ἐπιγένους ὡς 700, καὶ τοῦ Βηρωσσοῦ, ὡς 480 μόνον ἐτῶν ἀστρονομικὰς θεωρίας ἀριθμοῦντος. Ἰδοὺ ἡ τοῦ Πλινίου περικοπή· «E diverso Epigenes apud Babylonios DCCXX annorum observationes siderum coctilibus laterculis inscriptas docet, gravis auctor in primis. Qui minimum, Berosus et Critodemus, CCCCLXXX annorum. Ex quo adparet aeternus literarum usus. etc. Ἀλλ' ἐν τούτοις τοῖς ἀριθμοῖς ὁ κλεινὸς Οὐόσσιος ἄγαν ὀρθῶς ἔκρινεν, ὅτι ἐξέπεσεν ἐκ τῶν παρὰ Πλινίῳ ἀριθμητικῶν στοιχείων τὸ γράμμα M (millia, χίλια), παροραθὲν ὑπὸ τῶν ἀντιγραφέων. Ὁ δὲ Πλίνιος ἔγραψεν ἐπὶ μὲν τῶν Ἐπιγένους DCCXX. M. (700. χ. ἤτοι χιλιάδες), ἐπὶ δὲ τῶν τοῦ Βηρωσσοῦ CCCCLXXX. M. (480. χ. χιλιάδες). Τοσαῦτα καὶ Κικέρων ἔγραψε, καὶ Διόδωρος». — Ταῦτα ὁ γηραιὸς ἐκεῖνος ἀπήντησε πρὸς τὸν Σχοτανὸν, σπουδάζοντα κἀκεῖνον παρομοίως (ὡς οἱ τῆς Βίβλου Ἔκδικοι) καταψεῦσαι τὴν Καλλισθένους μαρτυρίαν, ὡς νεωτέραν (Βλ. J. Vossij Epist. ad C. Schotan. p. 132 in Append. ad libr. de LXX). Τὴν περικοπὴν τοῦ Κικέρωνος καὶ ὁ Liebermann (ὃν ἀσμένως ἂν ἐξελληνίσαιμεν Ἔραστον) ἐμνημόνευσε (l. c. p. 243), καὶ ἀποροῦμεν, ὅπως ἔλαθε τὸν ἄνδρα τὸν σοφὸν ἡ ἐξ αὐτῆς βεβαίωσις μὲν τῆς παρὰ Σιμπλικίῳ μαρτυρίας τοῦ Καλλισθένους, ἐξέλεγξις δὲ τῆς ἐσφαλμένης γραφῆς τῶν παρὰ τῷ Πλινίῳ ἀριθμῶν. Τὴν Σιμπλικίου γνώμην βεβαιοῖ καὶ ὁ Σαβίλιος (Savil. in praelim. ad Euclidem), προστιθεὶς καὶ ὅτι ἐν τῷ παρ' αὐτῷ χειρογράφῳ τοῦ Σιμπλικίου μείζων ἐγέγραπτο ὁ ἀριθμὸς (Voss. ibid.). Ἐπειδὴ δ' ἐπανήλθομεν εἰς τὸν Καλλισθένην, προστεθείσθω πρὸς τοῖς ἀποδεχομένοις ὡς γνησίαν τὴν περὶ αὐτοῦ μαρτυρίαν τοῦ Σιμπλικίου, καὶ ὁ περικλεὴς Ἰδελῆρος (πῶς ἂν ἔπειτ' ἔγωγε λαθοίμην ἐκείνου τοῦ καλοῦ τῆς ἐν Βερολίνῳ Ἀκαδημίας ἀστέρος;), ὅστις μνημονεύων τὴν Ἀριστοτέλους χρῆσιν, ἣν καὶ ἡμεῖς ἐγράψαμεν ἐν τοῖς ἔμπροσθεν (σελ. 766) ἀποδέχεται (καὶ ὀρθῶς οἶμαι) τὴν ὑπὸ Βυτμάννου διόρθωσιν τοῦ πίστεις, εἰς τὸ π ύ σ τ ε ι ς (ἀκοὰς, εἰδήσεις ἐξ ἀκοῆς). βλ. Ideler, Memoire sur les connoissences Astronom. des Chaldéens dans le 4 Tome du Ptolemée de M. Halma. p. 169. Paris, 1820.

(α) Ὁ *σάρος περιεῖχε χρόνον ἐτῶν* 3600, *ὁ δὲ νῆρος ἐτῶν* 600, *ὁ δὲ σῶσσος* 60. *Διὰ τούτων τῶν ἀριθμῶν ὁ Βηρωσσὸς συνῆγε* 120 *σάρους διὰ βασιλέων δέκα, ἤτοι χρόνον ἐτῶν* 432000. *βλ. Σύγκελ. σελ.* 30, 57, 74: *Σουΐδ. λ. Σάρος· πρβλ. καὶ* (Hayes) Dissert. of the Chronol. of the Septuag. Append. p. 5, sq. *ὅστις ἀνάγει τοὺς* 120; *σάρους εἰς δωδεκάμηνα ἔτη* 2165.

ἡμέρας, καὶ τὰς ἑβδομάδας, καὶ τοὺς μῆνας εἰς ἐτῶν ἐτίθεσαν ἀριθμὸν (βλ. Συγκέλλ. σελ. 30, 74) «καὶ παρ' Αἰγυπτίοις μηνιαῖος ἦν ὁ ἐνιαυτὸς, εἶτα τετράμηνος, ὥς φασι» (Πλούτ. Νουμ. §. ιη), «καὶ τὸν μῆνα ἐνιαυτὸν ἐκάλουν» (Πρόκλ. εἰς Τίμαιον Πλάτ.). Ἀλλὰ καὶ οὕτω τῶν παρ' ἐθνικοῖς μεμυθευμένων χρονικῶν πρὸς τὸ ἱςορικώτερον σωφρονισθέντων, ὅσον ἐκ τῆς συντετμημένης τοῦ ἑβραϊκοῦ χρονολογίας, ἔχουσι πάλιν λαβὰς πρὸς ἐρεσχελίαν οἱ πολέμιοι τῆς θείας Γραφῆς. Εἴδομεν τὰ περὶ τῶν Τυρίων καὶ Βαβυλωνίων καὶ Σινῶν (σελ. 770–772). Γνωστὴ δὲ τοῖς φιλολογοῦσι καὶ ἡ αἵρεσις τῶν *Προαδαμιτῶν*, ἄλλους ἀνθρώπους ὀνειροπολησάντων προϋπάρξαντας δῆθεν πρὸ τοῦ πρωτοπλάστου Ἀδάμ· διότι τὴν ἀπὸ Κ. Κ. μέχρις Ἀβραὰμ χρονικὴν περίοδον, μόλις δισχιλίων ἐτῶν περιεκτικὴν (κατὰ τὸ ἑβρ.) ἔβλεπον ὀλίγην, καὶ σφόδρα στενωτέραν, ἢ ὥστε χωρῆσαι τοσούτων ἐθνῶν πληθυσμὸν, ὅσα βλέπομεν ἐν τῇ θείᾳ Γραφῇ (βλ. ὄπισθ. σελ. 761). Οἱ δὲ ζηλωταὶ τῆς ἀσεβείας καὶ καινοτέρας ἔψαλλον ἐπινικίους ᾠδὰς ἐπὶ τῶν ἐν ἔτει 1800 εὑρεθέντων ἐν Αἰγύπτῳ δύω παλαιῶν Ζωδιακῶν, τοῦ μὲν ἐν τῷ ναῷ τῆς Τεντυρίδος (Dendera) πόλεως, τοῦ δ' ἐν Λατοπόλει (Esneh). Τούτων δὲ τὸν μὲν πρῶτον ἀνῆγον εἰς ἐξαίσιον καὶ τερατῶδες ἀρχαιότητος ὕψος, μέχρι καὶ τῶν 7,000 ἐτῶν πρὸ Χ.· τὸν δὲ τῆς Λατοπόλεως, εἰς 4000, ἢ 3562 π. Χ. μόλις δέ τινες κατέβαινον ὀλίγας ἑκατονταετηρίδας. Οἱ δὲ μετριώτεροι στυγήσαντες τὴν φλεγμένουσαν ταύτην παραφροσύνην, ἀνέφερον τὸν μὲν τῆς Τεντυρίδος εἰς 2000, ἢ καὶ 1322, τὸν δὲ Λατοπολίτην εἰς 2800, ἢ 2500, π.Χ. (α). Ἐκ δὲ τῆς ἡλικίας ταύτης τῶν Ζωδιακῶν ἀπεδείκνυον ψηλαφητῶς τοὺς Αἰγυπτίους μὴ μόνον ὑφεςῶτας καὶ πολιτευο-

---

(α) Οὕτως ὁ Burkhardt παρὰ Grobert (Description des Pyramides etc. p. 117), ὁ Dupuis (Observat. sur le Zodiaque de Dendera dans la Revue Philosophique et Litter. 1806, καὶ Origine des Cultes T. 3. p. 267), ὁ Volney (Recherches nouvell. 3. part. Paris 1814), ὁ Drummond (Memoire sur l' antiquité des Zodiaques etc. Londr. 1821), ὁ Fourier παρὰ Guigniant, Religion de l' antiquite de Creuzer p. 912.

μένους, ἀλλὰ καὶ περὶ τὴν σπουδὴν τῆς ἀςρονομίας ἀσχολουμένους πολὺ πρότερον καὶ τοῦ κατακλυσμοῦ, καὶ πρὸ τῆς Μωσαϊκῆς κοσμογονίας, εἴγε τὰ 2500, ἢ 2800, ἔτη ὑπερεκπίπτουσι τῆς ἐποχῆς τοῦ κατακλυσμοῦ, κατὰ τὸ ἑβραϊκὸν κείμενον, ἔτεσι περίπου 500· πόσων δ' ἐτῶν ἐδέησε πρότερον, ἕως ἂν ἀφίκωνται οἱ Αἰγύπτιοι εἰς τοσαύτην ἀστρονομικῆς παιδείας ἀκμήν; Ἐπειδὴ δὲ παρετήρουν οἱ σοφοὶ καὶ σχέσιν τινὰ μεταξὺ τῶν δύω τούτων Ζωδιακῶν, συνάπτοντες ἀμφοτέρους τοὺς ἀριθμοὺς τῶν ἐπικαθημένων αὐτοῖς ἐτῶν, ἀνῆγον τὸ κεφάλαιον εἰς ἔτη 4800, π. Χ. καὶ οὕτως ἡ ἐποχὴ τῶν Ζωδιακῶν ὑπερεῖχε τὴν Μωσαϊκὴν καθ' ἑβραίους κοσμογονίαν (τῷ 4000, π. Χ.) πολλὰς ἑκατοντάδας ἐτῶν. Ὥστε παρ' αὐτοῖς ᾤχετο ψευδὴς ἐξελεγχθεῖσα ἡ κατὰ τὸν θεῖον Μωϋσῆν ἱστορία καὶ χρονολογία τῆς γενέσεως τοῦ κόσμου. Καὶ πρὸς τοῦτον μὲν τὸν λῆρον ἀπήντησαν ἄνδρες σοφοί, κατεξελέγξαντες ἀμφοτέρους τοὺς Ζωδιακοὺς τῷ α, ἔτει μετὰ τὴν Σωτήριον ἐποχὴν κατεσκευασμένους, ἐπὶ Ῥωμαίων τῆς Αἰγύπτου κρατούντων, καὶ τούτους οὐδ' ἀστρονομικοὺς ὄντας, ἀλλὰ μᾶλλον ἀστρολογικοὺς (ὡς ὁ σοφὸς ἀπέδειξε Λετρὼν), κατὰ τὴν γενεθλιακὴν ἀστρολογίαν, ἥτις ἐν Αἰγύπτῳ γεννηθεῖσα τὸ πρῶτον, καὶ περιοδεύσασα τὴν Ἑλλάδα καὶ τὴν Ῥώμην, ἐπανῆλθε πάλιν εἰς τὸ πάτριον αὐτῆς ἔδαφος εὐγενεστέρα, καὶ καθωσιωμένη ὑπὸ τὴν προστασίαν τῶν Καισάρων! Μεγάλη χάρις τοῖς ὑπὲρ τῶν θείων Γραφῶν ἀγωνισαμένοις σοφοῖς (α). Ἀλλ' εἴπερ, ἐξ ὑποθέσεως, οὐχ εὑρίσκοντο τρανὰ σημεῖα τῆς νοθείας τούτων τῶν Ζωδιακῶν,

(α) Οὗτοί εισιν οἱ Ἰταλοὶ Visconti (dans l' Herodote de Larcher T. II. p. 567), καὶ ὁ Ἀββᾶς Testa (Sopra due Zodiaci novellamente scoperte etc. Roma, 1802). Οἱ Γάλλοι, Champollion (Lettre à M. Letronne etc. p. 3), καὶ ὁ μάλιστα θριαμβεύσας περὶ τὰς ἀποδείξεις Letronne (Observations critiques et archéologiques sur l' objet des représentations Zodiacales etc. Paris, 1824), καὶ Cuvier (Discours sur les révulations etc. p. 250 sq.). Ὁ Ἄγγλος Bentley (ἐν British Critic. Avril, 1826. p. 137) κτλ. πρβλ. καὶ Bible Vangée T. 1, p. 172.— Liebermann l. c. p. 273. — Wiseman, Discours sur les raports. etc. p. 310—319. Ἴδε καὶ τὰ Αἰγυπτιακὰ τοῦ σοφοῦ τῆς Κωνσταντινουπόλεως Πατριάρχου Κ. Κωνσταντίου, σελ. 93, καὶ 176. Κωνσταντ. 1841.

ὅσον ἐκ τῆς Μασοραίας χρονολογίας τῶν Γραφῶν, ἐκόκκυζεν ἂν ἐπὶ πολὺν ἔτι χρόνον, ὡς νικηφόρος, ἡ τῆς ἀσεβείας φωνὴ, βλασφημουμένης τῆς θεοπνεύστου Μωσαϊκῆς ἱστορίας. Ἀπέσβεστο δ' ἂν τῶν ματαιοσόφων τὸ θράσος ὑπὸ μόνων τῶν Ο· εἴ γε, κατὰ τὴν παρ' αὐτοῖς ἀλήθειαν τῆς γραφικῆς χρονολογίας, οὐ μόνον ἀποδείκνυται 1500 ἔτεσι νεωτέρα ἡ περιθρυλληθεῖσα τῶν Ζωδιακῶν ἡλικία, ἀλλὰ καὶ ὅλη ἡ ἱστορικὴ καὶ ἀληθὴς τῶν ἀρχαίων Αἰγυπτίων περίοδος ἐξητασμένως προσδιορίζεται, ὡς προείρηται (σελ. 770) (α).

δ) Διότι ἡ ἑβραϊκὴ χρονολογία ἀντιλέγει πρὸς ὅλα τὰ συγγράμματα τῶν θείων ἡμῶν Πατέρων, ὅσοι περὶ τῶν χρόνων τῆς ἱερᾶς ἱστορίας διέλαβον, πρὸς δύω Οἰκουμενικὰς ἁγίας Συνόδους, πρὸς ὅλην τὴν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν τοῦ Χριστοῦ ἐκκλησίαν, ἥτις οὐδέποτε ἀπεδέξατο τὴν καθ' ἑβραίους χρονολογίαν. Κατὰ τὴν χρονολογίαν τῶν Ο συνετέθησαν (ἔτι ἀπὸ τοῦ δευτέρου αἰῶνος μ. Χ. καὶ ἐφεξῆς) αἱ Ἀποδείξεις τῶν χρόνων τοῦ πάσχα, ἢ τῶν πασχαλίων οἱ κανόνες, ἐξ ὧν ἀποδείκνυται, ὅτι ὁ Κύριος ἡμῶν ἐτέλεσε τὸν Δεῖπνον τὸν μυστικὸν, τῇ ιγ τῆς Σελήνης (τῇ πέμπτῃ ἑσπέρας), δηλονότι μιᾷ πρότερον ἡμέρᾳ πρὸ τοῦ νομικοῦ πάσχα, ἢ τῆς *ἑορτῆς τῶν ἀζύμων* (τῇ ιδ, τῆς σελήνης ἑορταζομένης, καὶ τυχούσης τότε τῇ παρασκευῇ ἑσπέρας), καὶ ἑπομένως ἡ παράδοσις τοῦ ζωοποιοῦ μυστηρίου τῆς θείας Εὐχαριστίας ἱερουργήθη δι' ἄρτου *ἐνζύμου* ἀλλ' οὐκ *ἀζύμου*, καθὰ καὶ ἐκ τῶν θείων Εὐαγγελιστῶν ἀποδείκνυται, καὶ ἐκ τῶν ἁγίων ἡμῶν Πατέρων (β).

(α) Διὰ τοῦτο καὶ οἱ τῆς ἑβραϊκῆς ἀντεχόμενοι χρονολογίας ἐν ταῖς τοιαύταις παρὰ τῶν ἀσεβῶν ἀντιστάσεσι προστρέχουσι καὶ εἰς τὴν τῶν Ο. Οὕτως ὁ Λιβερμάν. «Εἴ τῳ (φησὶ) μὴ ἀρκέσει ὁ ἀπὸ κατακλυσμοῦ μέχρι τῆς (ἐπὶ Φαλὲγ) διασπορᾶς τῶν ἐθνῶν κατὰ τὴν ἑβραϊκὴν χρονολογίαν μεσολαβήσας χρόνος, ἐξέσται τούτῳ (liberum illi erit) τὴν κατὰ τοὺς Ο ἀσπάσασθαι χρονολογίαν, ἢ καὶ τὸν Καϊνᾶν μεταξὺ τοῦ Ἀρφαξὰδ καὶ τοῦ Σαλὰ προσαριθμεῖν, καὶ οὕτω μεῖζον τὸ διάστημα τῶν χρόνων ποιεῖν πρὸς τὸ δοκοῦν! (Liebermann, l. c. p. 253). Ἀλλὰ τοῦτο τὸ ἐξέσται, καὶ τοῦτο τὸ δοκοῦν οὐ πάνυ τι κατὰ κόσμον εἴρηται (καθ' ἡμᾶς)· εἴη γὰρ ἂν τὸ αὐτὸ, ὡς καὶ εἴ τις λέγοι, ἐξέσω τινὶ ἀληθεύειν, ἐὰν αὐτῷ δοκῇ!

(β) Βλ. τούτους παρὰ τῷ ἀοιδίμῳ Εὐστρατίῳ τῷ Ἀργέντῃ ἐν τῷ κατὰ Ἀζύ-

Ἐπισφραγίζομεν τὸ κεφάλαιον προστιθέντες τοὺς Εὐσεβίου λόγους· ὅστις, ἀφ' οὗ ἐξήλεγξε τῆς ἑβραϊκῆς χρονολογίας τὰς ἀτοπίας, παραβαλλομένας πρὸς τὴν ἀκρίβειαν τῆς τῶν Ο, ἐπεφώνησε πλήρης σεβασμοῦ τάδε. « Πανταχόθεν τοιγαροῦν τῆς τῶν Ο ἑρμηνείας, *ἐκ παλαιᾶς, ὡς ἔοικε, καὶ ἀδιαστρόφου* [*τῶν*] *ἑβραίων γραφῆς* μεταβεβλῆσθαι *συνισταμένης*, εἰκότως ταύτῃ [καὶ] ἡμεῖς κεχρήμεθα κατὰ τὴν παροῦσαν χρονογραφίαν, ὅτε μάλιστα καὶ ἡ καθ' ὅλης τῆς Οἰκουμένης ἡπλωμένη Χριστοῦ Ἐκκλησία ταύτῃ μόνῃ προσέχει, τῶν τοῦ Σωτῆρος ἡμῶν ἀποστόλων τε καὶ μαθητῶν ἀρχῆθεν ταύτῃ χρῆσθαι παραδεδωκότων» (Εὐσεβ. Χρονικ. α, ιϛ, σελ. 67. πρβλ. καὶ Συγκέλ. χρονογρ. σελ. 167).

ΚΕΦΑΛΑΙΟΝ Ιϛ.

Περὶ τῶν τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου πρὸς τοὺς θείους Εὐαγγελιστὰς καὶ Ἀποστόλους ἐπισήμων διαφορῶν.

§. α. Πολλὰς προφητικὰς ῥήσεις ἐκ τῆς παλαιᾶς Διαθήκης ἐξήνεγκαν οἱ θεῖοι Ἀπόστολοι ἐν ταῖς θεοπνεύστοις αὐτῶν συγγρα-

---

μων σελ. 34 *κτλ. Λειψ.* 1760. *Πρόσθες καὶ τὴν Ἰωάννου τοῦ Φιλοπόνου ἀρχαίαν Ἀπόδειξιν « περὶ τοῦ ὅτι τῇ τρισκαιδεκάτῃ τῆς σελήνης, πρὸ μιᾶς τοῦ νομικοῦ πάσχα ἡμέρας, τὸ μυστικὸν τοῦ Κυρίου γέγονε δεῖπνον » (ἐν τῷ περὶ Κοσμοποιΐας σελ.* 283. Vienn. 1630). *Πρόσθες καὶ τὴν Κλήμεντος τοῦ Ἀλεξανδρέως (τῷ* 180 *μ. Χ.) ἐκ τῶν περὶ τοῦ Πάσχα ἀποσωθεῖσαν περικοπὴν (ἐν προοιμ. Χρον. Πασχαλ.), καὶ τὸν περὶ τοῦ Πάσχα λόγον τοῦ ἱερομάρτυρος Πέτρου τοῦ Ἀλεξανδρείας (τῷ* 301 *μ. Χ.). ὅστις λέγει καὶ ταῦτα· « Ὅτι μὲν οὖν οὐ μέχρι τοῦ Κυριακοῦ πάθους, ἀλλὰ καὶ ἐπὶ τῆς ὑστάτης ἁλώσεως τῆς γενομένης ἐπὶ Οὐεσπασιανοῦ βασιλέως Ῥωμαίων, ἀπλανῶς τάττων τὴν ιδ τοῦ πρώτου μηνὸς τῆς σελήνης ὁ Ἰσραηλίτης λαὸς, τὸ νομικὸν ἑώρταζε πάσχα, διὰ τούτων συντόμως ἀποδέδεικται » (τοῦτον τὸν λόγον ἐξέδωκε Πεταύϊος, ἐν τῷ κατ' αὐτὸν Οὐρανολογίῳ· κεῖνται δὲ τοῦ λόγου τεμάχια καὶ ἐν προοιμίῳ τοῦ Χρονικοῦ Πασχαλίου). Προστεθείσθω καὶ Ἀπολλινάριος ὁ Ἱεραπόλεως (ἐν προοιμ. τοῦ Πασχαλ. καὶ Σειρᾷ εἰς Ἰωάνν. ιη,* 21), *Βίκτωρ ὁ Ἀντιοχείας (Σειρ. εἰς Μάρκ. ιδ,* 1)*· Οἱ παρὰ τῷ ἱερῷ Φωτίῳ (Ἀναγν. ριε, ριϛ). Εὐθύμιος ὁ Ζιγαβηνὸς κτλ. Ταύτην δὲ τὴν ἀλήθειαν καὶ ἐξ αὐτῶν τινες τῶν νεωτέρων Δυτικῶν ἰσχυρῶς ἀπέδειξαν, ἄλλοι τε, καὶ Καλμέτης ἐν τῇ καὶ ἑλληνιστὶ μεταφρασθείσῃ καὶ ἐκδοθείσῃ (τῷ* 1844 *ἐν Κωνσταντιν.) Διατριβῇ Περὶ τοῦ τελευταίου Πάσχα τοῦ Κυρίου.*

φαῖς, πρὸς ἀπόδειξιν καὶ μαρτυρίαν τοῦ κηρύγματος τῆς πίστεως. Εἷς γὰρ καὶ ὁ αὐτός ἐστιν ὁ ὕψιστος Νομοθέτης ἀμφοτέρων τῶν Διαθηκῶν. Ἓν καὶ τὸ αὐτὸ Πνεῦμα τῆς ἀληθείας ἐλάλησε διὰ στόματος τῶν ἀπ᾽ αἰῶνος προφητῶν καὶ τῶν ἁγίων Ἀποστόλων. Καὶ αὐτὸς ὁ Κύριος ἡμῶν « Ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ » (Λουκ. κδ, 27).

§. β. Τούτων τοίνυν τῶν ἐν τῇ Καινῇ Διαθήκῃ προφητικῶν ῥήσεων οὐκ ὀλίγαι παραβαλλόμεναι πρὸς τὰς ἐν τῷ καθ᾽ ἡμᾶς ἑβραϊκῷ κειμένῳ ἀντιστοιχούσας, διαφωνοῦσι λαμπρῶς, καὶ γίνονται τρανώταται ἀποδείξεις τῆς τοῦ ἑβραϊκοῦ διαφθορᾶς. Ἰδοὺ ὀλίγα ἐκ πολλῶν παραδείγματα.

§. γ. Πάντα τὰ κύρια ὀνόματα τῆς Παλαιᾶς Γραφῆς, ὅσα ἐμνημόνευσαν οἱ Ἀπόστολοι ἐν τοῖς θεοπνεύστοις βιβλίοις τῆς Καινῆς Διαθήκης, ἅπαντες αὐτὰ γεγράφασιν ἀκριβῶς, ὡς κεῖνται παρὰ τοῖς Ο. Ἐν δὲ τῷ Μασοραίῳ κειμένῳ διαφέρει πολλῶν τούτων ἡ γραφὴ καὶ προφορά· οἷον, Ῥὰμ ἀντὶ Ἀρὰμ, Σαλμὰ ἀντὶ Σαλμὼν, κτλ. (βλ. ὄπισθ. σελ. 389 καὶ 560), καὶ ἄλλα πολυάριθμα· καὶ αὐτὰ τὰ *Ἄβελ*, *Βαραχίας*, *Ζαχαρίας*, ὡς ὁ Κύριος ἡμῶν ἀπήγγειλε (Ματθ. κγ), γράφονται νῦν παρ᾽ ἑβραίοις *Εβελ*, *Ζεχαρια*, *Βερεχια*, καὶ τὸ Ἰεσσαι, *Ισαΐ*!

Εἶπεν ὁ Κύριος ἡμῶν. «Καὶ αὐτῷ *μόνῳ* λατρεύσεις» (Ματθ. δ, 10. Λουκ. δ, 8), καὶ οἱ Ο (Δευτερ. ς, 13. οὕτω καὶ ὁ Σύρος, ὁ Ἄραψ, ἡ Βουλγ.). Ἐκ τοῦ ἑβραϊκοῦ λείπει τὸ *μόνῳ* (βλ. ὄπισθ. σελ. 534).

Εἶπεν ὁ Κύριος. «Καὶ ἔσονται *οἱ δύω* εἰς σάρκα μίαν» (Ματθ. ιθ, 5. Μαρκ. ι. 8) ἐκ τοῦ Γενέσ. β. 24 (οὕτω καὶ οἱ Ο, κτλ.)· ἐκ τοῦ ἑβραϊκοῦ λείπει τὸ *δύω* (βλ. ὄπισθ. σελ. 469).

Εἶπεν ὁ Κύριος. «*Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων*(Ματθ. ιε, 9. ἐκ τοῦ Ἡσαΐου κθ, 13, κατὰ τοὺς Ο). Οὐδὲν τούτων ἀκραιφνὲς εὑρήσεις ἐν τῷ ἑβραϊκῷ, μῖγμα δέ τι παράδοξον, τὸ ἑξῆς « Καὶ ἐγένετο ὁ φόβος αὐτῶν *ἐμὲ*

(τάχα, ὁ *πρὸς ἐμὲ*) ἔνταλμα ἀνθρώπων δεδιδαγμένων» (ἡ Βουλγ, «καὶ ἐφοβήθησάν με, ἐντάλματι ἀνθρώπων καὶ διδασκαλίαις»· οἱ δὲ νεώτεροι σχολιασταὶ διαπληκτίζονται, πῶς θεραπεύσουσι τὴν λώβην τοῦ Μασοραίου κειμένου, παρορῶντες τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου!)

Ἀνέγνω ὁ Κύριος ἐκ τοῦ Ἡσαΐου (ξα, ι)· «Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι . . . ., καὶ *τυφλοῖς ἀνάβλεψιν*» (Λουκ. δ, 18, καὶ οἱ Ο). Τὸ δὲ νῦν ἑβραϊκὸν κατὰ λέξιν οὑτωσί. «Πνεῦμα Κυρίου *τοῦ Θεοῦ* (adoni Jehova) ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με *Κύριος* εὐαγγελίσασθαι *πραέσιν*· ἀπέσταλκέ με δεσμεῦσαι ἐπιδέσμῳ τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι . . . καὶ δεσμίοις *ἄνοιξιν εἱρκτῆς*. [Ἐνταῦθα προσέθηκαν τὸ *Κύριος* καὶ τὸ Ἰεχωβὰ, ἅπερ πάντως ὁ Κύριος οὐκ ἀνέγνω ἐν τῷ ἑβραϊκῷ, καὶ τὰς ἄλλας δὲ λέξεις, καὶ τὴν στίξιν μετέβαλον].

Εἶπεν ὁ Κύριος (Ματθ. δ, 4)· «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ *ῥήματι ἐκπορευομένῳ διὰ στόματος* Θεοῦ» (Δευτερον. η, 3, καὶ οἱ Ο). Τὸ δ' ἑβρ. «Οὐκ ἐπ' ἄρτῳ . . . ἀλλ' ἐπὶ *πάσῃ ἐξαγωγῇ* (ἢ ἐξελεύσει, ἀντὶ ἐπὶ *παντὶ τῷ ἐξερχομένῳ*) ἐκ στόματος Θεοῦ»· λείπει τὸ «*ῥήματι*» (dabar). πρβ. Ἱερεμ. να, 17.

Ματθ. ια, 10. καὶ Μάρκ. α, 2. «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου *πρὸ προσώπου σου*, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν Σου» (Μαλαχ. γ, 1, καὶ οἱ Ο). Τὸ δὲ νῦν ἑβρ. «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου, καὶ προετοιμάσει ὁδοὺς πρὸ προσώπου *Μου*» (λείπει τὸ προηγούμενον *πρὸ προσώπου σου*· καὶ ἡ ἀντων. ἐκ τοῦ ὁδόν· καὶ ἡ τελευταία, Σου, μετέστραπται εἰς τὴν πρωτοπρόσωπον Μου. Ἐκ δὲ τῆς ἀναγνώσεως ταύτης γίνεται ἀμφίβολος ἡ ἔννοια· διὸ καὶ παρ' Ἰουδαίοις ἄλλως ἐκλαμβάνεται ἡ περὶ Ἰωάν. τοῦ Προδρόμου σαφῶς ῥηθεῖσα προφητεία, ἐν ᾗ ὁ Πατὴρ «εἰσάγων τὸν *πρωτότοκον εἰς τὴν οἰκουμένην*», λέγει πρὸς αὐτὸν, ὅτι ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ καὶ προφήτην, τὸν *Πρόδρομον*, προπορευσόμενον ἔμπροσθεν αὐτοῦ τοῦ Σωτῆρος. Οὕτως ἐξήγησε τὴν ῥῆσιν αὐτὸς ὁ Κύριος ἡμῶν διὰ τῶν Εὐαγγελιστῶν. «*Οὗτος* (ὁ Ἰωάννης) *ἐστὶ*, περὶ οὗ γέγραπται» κτλ.

Ματθ. ιγ, 14. « Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν » (Ἡσ. ς, 10. οἱ Ο)· Τὸ δ' ἑβρ. « Ἀκούσατε ἀκούοντες, καὶ οὐ μὴ συνῆτε, καὶ βλέπετε βλέποντες, καὶ οὐκ ἐπιγνώσεσθε. Πάχυνον (ἡ Βουλγ. *τύφλωσον*) τὴν καρδίαν τούτου τοῦ λαοῦ, καὶ τὰ ὦτα αὐτῶν βάρυνον, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐπίχρισον (ἢ κλεῖσον) ».

Ματθ. κα, 16. « Ἐκ στόματος νηπίων κ. θ. *κατηρτίσω αἶνον* » (ψαλμ. η, 2. οἱ Ο). Τὸ δ' ἑβραϊκ. « Ἐκ στόματος νηπίων . . *ἐθεμελίωσας ἰσχύν!* » [Ταύτην τὴν ῥῆσιν τοῦ ψαλμοῦ εἶπεν ὁ Κύριος πρὸς τοὺς Φαρισαίους καὶ Γραμματεῖς, ἀγανακτοῦντας ἐν τῷ ἱερῷ διὰ τοὺς παῖδας τοὺς *ἀνευφημοῦντας*, καὶ βοῶντας τὸ *Ὡσαννά*. Καὶ οἱ Φαρισσαῖοι οὐδὲν ἀντεῖπον· διότι κἀκεῖνοι ἀνεγίνωσκον ἐν τῷ ἑβραϊκῷ « *κατηρτίσω αἶνον* », ὡς οἱ Ο. Ὥστε τὸ νῦν ἑβραϊκὸν « *ἐθεμελίωσας ἰσχύν* », φαίνεται σαφῶς ὑστερόχρονον ἰουδαϊκὸν ἀνάγνωσμα, ἀντιβαῖνον ἀπ' εὐθείας εἰς τὴν θεόλεκτον τοῦ Σωτῆρος ἑρμηνείαν, δι' ἧς ἀπέδειξε τὴν προφητείαν πληρωθεῖσαν ἐπὶ τῆς εὐφημίας τῶν αἰνούντων παίδων. « Οὐδέ ποτε (εἶπεν) ἀνέγνωτε, ὅτι Ἐκ στόματος νηπίων . . . *κατηρτίσω αἶνον*; »].

Ματθ. κα, 42 : Λουκᾶς κ, 17. « Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, *οὗτος* ἐγενήθη εἰς κεφαλὴν γωνίας » (ψαλμ. ριζ, 22. οἱ Ο). Ἐν δὲ τῷ ἑβρ. « Λίθον ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, ἐγενήθη εἰς κεφαλὴν γωνίας (ὅπου λείπει τὸ ἐμφαντικὸν *οὗτος*).

Ματθ. κδ, 15. Εἶπεν ὁ Κύριος· « Ὅταν ἴδητε *τὸ βδέλυγμα τῆς ἐρημώσεως* ἑστὼς ἐν τόπῳ ἁγίῳ » (τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου. « Καὶ ἐπὶ *τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων* ». Δαν. θ, 27. οἱ Ο, κώδ. Ἀλεξανδρ. Βατικαν. καὶ πάντες σχεδὸν οἱ κώδηκες Ὅλμητος· οὕτω καὶ Κλήμης ὁ Στρωματεύς, Ἱππόλυτος, Θεοδώρητ. κτλ.). Τὸ δ' ἑβρ. « Καὶ ἐπὶ τὸ πτερὸν (ἢ πτερύγιον) τῶν βδελυγμάτων τὸ ἐκπληκτικὸν (stupefaciens, ἄλλ. ἀφανιστικόν!).

Λουκ. γ, 4, 5, 6. « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν

ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ *πληρωθήσεται* . . . καὶ ὄψεται *πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ* » (Ἡσαΐας μ, 3. οἱ Ο). Τὸ δ' ἑβρ. « Φωνὴ βοῶντος ἐν ἐρήμῳ· ὁμαλύνατε τὴν ὁδὸν Κυρίου, εὐθεῖαν ποιεῖτε *ἐν ἀβάτῳ* τὴν ὁδὸν τοῦ Θεοῦ ἡμῶν· πᾶσα φάραγξ *ὑψωθήσεται* . . . *καὶ ὄψεται πᾶσα σὰρξ ἐπίσης* (pariter) ». Λείπει τὸ κυριώτατον, « *τὸ σωτήριον τοῦ Θεοῦ* », ἡ διὰ τοῦ ἐφεστῶτος Σωτῆρος λύτρωσις, ἣν προεῖπε μὲν Ἡσαΐας, ἐκήρυττε δὲ κατὰ λέξιν ἡ *πρόδρομος τοῦ Λόγου φωνή*, ἐξέφερε δὲ τὸ Πνεῦμα διὰ τοῦ Εὐαγγελιστοῦ, κατὰ τὴν γνησίαν καὶ πιστὴν ἑρμηνείαν τῶν Ο.

Λουκ. γ, 36 : « τοῦ Σαλὰ, τοῦ Καϊνᾶν, τοῦ Ἀρφαξάδ. » (Γενέσ. ι, 24 : ια, 12 : Α. Παραλ. α, 18). Λείπει ἐκ τοῦ ἑβραϊκοῦ ἡ γενεὰ τοῦ Καϊνᾶν (βλ. ὄπισθ. σελ. 740).

Πράξ. ζ, 3. « Καὶ *δεῦρο* εἰς γῆν ἣν ἄν σοι δείξω » (Γενέσ. ιβ, 1)· ἐκ τοῦ ἑβρ. λείπει τὸ δεῦρο.

Πράξ. ζ, 14 « Ψυχαὶ ἑβδομήκοντα πέντε » (Γενέσ. μϚ, 27 : Ἐξόδ. α: Δευτερ. ι)· τὸ ἑβραϊκ. ἑβδομήκοντα. (βλέπε ὄπισθ. σελ. 429, 534).

Πράξ. η, 32, 33. « Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ *ἤρθη*· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται ; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ » (Ἡσ. νγ, 7, 8, οἱ Ο). Τὸ δ' ἑβρ. « Ὡς *ἀμνὸς* εἰς φόνον (occisionem) ἀχθήσεται, καὶ ὡς πρόβατον ἐναντίον τῶν κειρόντων ἐσίγησε, καὶ οὐκ ἀνοίξει τὸ στόμα αὐτοῦ· ἐκ τῆς καθείρξεως » (clausura· ἄλλοι, coarctatione. ἄλλοι, angustia), « καὶ τῆς κρίσεως ὑφηρέθη (sublatu sest), καὶ τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται ; ὅτι ἀπετμήθη ἐκ γῆς ζώντων ». [Οὕτως ἀναγινώσκοντες οἱ ῥαββῖνοι καὶ ῥαββινισταὶ, ἐφαρμόζουσιν εἰς τὸν λαὸν τοῦ Ἰσραὴλ τὴν ῥῆσιν ταύτην τοῦ προφήτου ! ταύτην τὴν ῥῆσιν ! τὴν θεοπρεπῆ καὶ πανύμνητον, ἣν ὁ δυνάστης Κανδάκης τῆς βασιλίσσης, εἴθ' ἑβραϊστὶ (συμφωνοῦντος τότε τοῦ ἑβρ. πρὸς τὸ τῶν Ο κείμενον), εἴτε καὶ (κατὰ τὴν

Ἐράσμου κρίσιν) ἑλληνιστὶ ἐξ αὐτῶν τῶν Ο ἀναγινώσκων, ἴδε τὸ φῶς τῆς εἰς Χριστὸν πίστεως, εὐαγγελισθεὶς *τὸν Ἰησοῦν* παρὰ Φιλίππου τοῦ Ἀποστόλου, καὶ μαθὼν, τίς ἐστιν οὗτος ὁ *ἀμνὸς*, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ ὅπως *ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη*», κτλ. Φανερὰ δὲ τὰ μέρη ἐν οἷς γέγονεν ἡ μεταβολὴ εἰς τὸ ἑβραϊκόν· ὄζει δὲ καὶ περιεργείας ῥαββινικῆς, δι' ἧς μετέθηκαν καὶ τὰς λέξεις *πρόβατον*, καὶ *ἀμνὸς*, μετατάξαντες τὸ πρόβατον πλησίον τοῦ *κείροντος*, ὡς ἂν δῆθεν τοῦ ἀμνοῦ, ἢ ἀρνίου, μὴ κειρομένου! Ἀλλ' ὁ θεῖος Λουκᾶς καὶ Φίλιππος ὁ Ἀπόστολος ἠγνόουν ταῦτα μετὰ τῶν Ο, καὶ αὐτοῦ τοῦ Ἡσαΐου. Ὁ δὲ προφήτης Ἱερεμίας (ια, 19) ἐξέφρασε τὴν αὐτὴν προφητείαν διὰ μιᾶς λέξεως, «*ὡς ἀρνίον ἄκακον* ἀγόμενον τοῦ θύεσθαι»· οὕτως ἔχει αὐτόθι καὶ τὸ ἑβρ.].

Α. Πέτρ. β, 6: καὶ Ῥωμ. θ, 33. «Καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ» (Ἡσ. κη, 16. οἱ Ο). Τὸ δ' ἑβρ. «Ὁ πιϛεύων οὐ σπεύσει»! [Πόσον διάφορον τὸ νόημα! καὶ πόσον σκοτίζει τὴν Ἀποστολικὴν ἀπόδειξιν, ἥστις στηρίζεται εἰς τὸ «ὁ πιστεύων *ἐπ' αὐτῷ*» (δηλονότι «τῷ λίθῳ τῷ ζῶντι, τῷ ἀκρογωνιαίῳ) *οὐ καταισχυνθήσεται*»· ὅθεν ἐπάγει, «Ὑμῖν οὖν *ἡ τιμὴ* τοῖς πιϛεύουσι»].

Πράξ. ιε, 17. «Ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων Κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου» κτλ. (Ἀμὼς, θ, 12, οἱ Ο). Τὸ δ' ἑβρ. «Ὅπως ἂν *κτήσωνται* τὸ κατάλοιπον Ἐδὼμ (τῶν Ἰδουμαίων), καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου» κτλ. (λείπει τὸ *Κύριον*, καὶ τὸ *ἐκζητήσωσι* μεταποιοῦσιν εἰς τὸ κτήσωνται, καὶ τὸ *Ἐδὼμ* εἰσάγουσι! καὶ διαφθείρουσι τὸ νόημα τοῦ Ἀποστόλου).

Ῥωμ. δ. 3. «Ἐπίστευσε δὲ *Ἀβραὰμ* τῷ Θεῷ» (Γενέσ. ιε, 6 οἱ Ο)· ἐκ τοῦ ἑβραϊκ. λείπει τὸ *Ἀβραάμ*.

Ῥωμ. Ι. 16. «*Κύριε*, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;» κτλ. (Ἡσ. νγ, 1, οἱ Ο)· ἐκ τοῦ ἑβρ. λείπει τὸ *Κύριε* (λείπει καὶ ἐκ τῆς Βουλγ. καὶ ὁ Ἱερώνυμος οὐχ εὑρὼν τὴν λέξιν ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ, ἐνόμισεν (ὡς εἶπε) περιττήν! ἀλλ' ὁ μάρτυς Ἰουστῖνος πολλάκις

τῆς προφητικῆς ταύτης ῥήσεως μετὰ τοῦ *Κύριε* μνημονεύσας, οὐκ ἐνόμισε τὴν λέξιν περιττήν· οὐμενουν! οὐδ᾽ ἄλλος τῶν πατέρων οὐδείς, ὡς οὐδ᾽ ὁ γράψας αὐτὴν θεόπνευστος Ἀπόστολος.

Ῥωμ. Ι. 18. «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν *ὁ φθόγγος αὐτῶν*» (ψαλ. ιη, 4, οἱ Ο). Τὸ ἑβρ. «*ἡ γραμμὴ αὐτῶν*»(βλ. ὄπισθ. σελ. 613).

Ῥωμ. ΙΑ. 34: Α. Κορ. β, 16. «Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο, ὃς συμβιβάσει αὐτόν;» (Ἡσαΐ. μ, 13. οἱ Ο). Τὸ δ᾽ ἑβρ. Τίς *κατεσκεύασε* πνεῦμα Κυρίου; καὶ ἀνὴρ βουλὴν αὐτοῦ εἰδέναι ἐποίησεν αὐτόν; [ἄλλαι λέξεις, ἄλλος νοῦς, καὶ τὸ «*συμβιβάσει αὐτὸν*» λείπει].

Ῥωμ. ΙΕ. 12. «Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· *ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι*» (Ἡσ. ια, 10 οἱ Ο). Τὸ δ᾽ ἑβρ. «Καὶ ἔσται (ἐν τῇ ἡμέρᾳ ἐκείνῃ) ἡ ῥίζα τοῦ Ἰσαΐ, ἥτις στήσεται *εἰς σημεῖον* λαῶν· ἐκείνην ἔθνη ἐκζητήσουσι!» [Πόση διαφορὰ τοῦ ἑβραϊκοῦ! (ὅπου καὶ τὸ *ἐν τῇ ἡμέρᾳ ἐκείνῃ* προστέθειται ἐκ τοῦ 11, στίχ. ἔνθα κεῖται παρὰ τοῖς Ο, καὶ ἐν τῷ ἑβρ.), καὶ πόση διαφωνία πρὸς τὸ νόημα τοῦ Ἀποστόλου! ὅστις εἰπὼν τὸ «*ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν*», ἐπάγει· «Ὁ δὲ Θεὸς *τῆς ἐλπίδος* πληρώσαι ἡμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς *ἐν τῇ ἐλπίδι*» κτλ.].

Ἑβρ. Α. 6. «Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ» (Δευτερ. λβ, 43)· λείπει ἐκ τοῦ ἑβρ. (βλ. ὄπισθ. σελ. 540).

Ἑβρ. Α. 10. «Καὶ σὺ κατ᾽ ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας» (ψαλμ. ρα, 25)· ἐκ τοῦ ἑβρ. λείπει τὸ «*Σὺ Κύριε*.»

Ἑβρ. Β. 9. «Ἠλάττωσας αὐτὸν βραχύ τι *παρ᾽ ἀγγέλους*» (ψαλμ. η, 5. οἱ Ο)· τὸ δ᾽ ἑβρ. «Ἠλάττωσας (ἄλλ. ἐλαττώσεις) αὐτὸν βραχύ τι *παρὰ τὸν Θεόν*» (Elohim).

Ἑβρ. Ι. 5. «Σῶμα δὲ κατηρτίσω μοι» (ψαλμ. λθ, 7). Τὸ ἑβραϊκ. «*ὠτία μοι ἐτρύπησας*»· (βλ. ὄπισθ. σελ. 620).

Ἑβρ. ΙΑ. 21. «Καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον *τῆς ῥάβδου αὐτοῦ*» (Γενέσ. μζ, 31 οἱ Ο). Τὸ δ᾽ ἑβρ. «ἐπὶ τὸ ἄκρον *τῆς κλίνης*» καὶ τὸ *αὐτοῦ* λείπει (βλ. ὄπισθ. σελ. 498).

Ἀποκάλ. Β, 27 : ΙΘ, 15: « *Ποιμανεῖς αὐτοὺς* » (ψαλμ. β, 9). Τὸ δ' ἑβρ. *Συντρίψεις αὐτοὺς* (βλ. ὄπισθ. σελ. 606).

§. δ. Ἱκανοῦσι ταῦτα, ὀλίγα ἐκ πολλῶν παραδείγματα, πρὸς ἀπόδειξιν, ὅτι οἱ θεῖοι Εὐαγγελισταὶ καὶ Ἀπόστολοι ἐλάμβανον τὰς προφητικὰς ῥήσεις ἐκ τῆς ἑρμηνείας τῶν Ο, καὶ ὅτε *κατὰ πόδα* καὶ ἐπὶ λέξεως ἀντέγραφον τὰς ῥήσεις ὁλοκλήρους, καὶ ὅτε ταύτας ἐξέφερον *συντομώτερον*, ἢ καὶ συνημμένας μετ' ἄλλων χωρίων προφητικῶν, καὶ ὅτε κατὰ *διάνοιαν* μόνον, δι' ἄλλων λέξεων ἀπαγγέλλοντες (α). Ἐπανερχόμεθα δὲ καὶ ἐν τοῖς ἑξῆς εἰς θεωρίαν χωρίων τινῶν προφητικῶν, ὅσα δοκοῦσιν ἐπίτηδες καὶ ἐκ προνοίας ὑπὸ τῶν φθορέων ῥαββίνων ἐστρεβλωμένα. Καθόλου δὲ συμπεραίνομεν, ὅτι τὸ Μασοραῖον κείμενον ἐξελέγχεται ἐσφαλμένον ὑπ' αὐτῆς τῆς εὐαγγελικῆς ἀληθείας· ἐπισφραγίζεται δὲ τὸ κῦρος καὶ ἡ ἀξία τῆς ἑρμηνείας τῶν Ο ὑπὸ τῶν ταύτῃ, ὡς θεοπνεύστῳ Γραφῇ, χρησαμένων θεοκηρύκων Ἀποστόλων. Καὶ καυχᾶται λοιπὸν ἐν Κυρίῳ ἡ Ὀρθόδοξος Ἐκκλησία, ὡς ἀναγινώσκουσα καὶ κατέχουσα τὰς δύω τοῦ Θεοῦ Διαθήκας, ὁμόγραφα καὶ ὁμόφωνα *τὰ ῥήματα τῆς αἰωνίου ζωῆς* φθεγγομένας, καὶ (καθὼς εἶπεν ὁ Ἀπόστολος Ἰάκωβος), *τοὺς λόγους τῶν προφητῶν συμφωνοῦντας τῷ Πέτρῳ*, καὶ τοῖς λοιποῖς Ἀποστόλοις καὶ Εὐαγγελισταῖς (Πράξ. ιε, 15).

§. ε. Καὶ ἐνταῦθα πάρεστιν ἀπορεῖν, πῶς οἱ τὸ κείμενον τὸ ἑβραϊκὸν προτιμῶντες, στέγουσι τὴν τούτου πρὸς τὸ θεῖον Εὐαγγέλιον διαφοράν. Καὶ λέγουσι μὲν, ὅτι συγκαταβατικώτερον οἱ Ἀπόστολοι ἐχρήσαντο τῇ φράσει τῶν Ο, ὡς τῆς τούτων ἑρμηνείας μόνης οὔσης ἐν χρήσει τότε παρὰ τοῖς ἑλληνισταῖς Ἰουδαίοις, καὶ τοῖς ἐθνικοῖς Ἕλλησιν, ἀγνώστου δὲ λανθανούσης τῆς ἑβραΐδος Γραφῆς! Ἀλλὰ τοῦτο μὲν ἴσως οὐδ' αὐτοὶ πιστεύουσιν οἱ λέγοντες, ἄλλως δὲ προβάλλουσι τὰ λογάρια, καὶ μόνον ὅσον ἀφοσιώσασθαι τὴν ἀπολογίαν, « *ὀνόμασι περιπέττοντες* τὴν ἀτοπίαν ». Οἴδασι γὰρ

(α) Περὶ τούτων ἐροῦμεν ἰδίως ἐν τῷ ἐφεξῆς Δ Βιβλίῳ, καὶ εἴ τινα ῥητὰ παρὰ τοῖς Ἀποστόλοις συμφωνοῦσι μᾶλλον πρὸς τὸ ἑβραϊκόν.

πάντως καὶ αὐτοὶ (πῶς δ' οὐχί;), ὅτι ὁ λόγος οὗτος ἀντιφάσκει πρὸς τὰς θείας ῥήσεις, καὶ βλάσφημος ἀποβαίνει καὶ ἀνόσιος, ὡς καιρίως καθαπτόμενος τῶν θεοπνεύστων Ἀποστόλων. Πῶς; οἱ Ἀπόστολοι, οἱ *ὀρθοτομοῦντες τὸν λόγον τῆς ἀληθείας*, ἐχρῶντο *συγκαταβάσει*, στηρίζοντες τὰ δόγματα τῆς πίστεως ἐπὶ μαρτυριῶν ψευδῶν; καὶ συγκαταβατικῶς *ἤρεσκον ἀνθρώποις μᾶλλον*, ἢ τῷ Θεῷ, προκρίνοντες, ὡς ἤδη συνειθισμένα, τὰ λεγόμενα σφάλματα καὶ ψεύδη τῶν Ο, παρὰ τὴν λεγομένην *ἑβραϊκὴν ἀλήθειαν*; οἱ θεῖοι Ἀπόστολοι; « Οἱ μὴ περιπατοῦντες ἐν πανουργίᾳ, *μηδὲ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ*, ἀλλὰ τῇ φανερώσει *τῆς ἀληθείας* συνιστῶντες ἑαυτοὺς *πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων* ἐνώπιον τοῦ Θεοῦ; (Β, Κορινθ. δ, 2). Ἀλλὰ τὰ περὶ τῶν τοιούτων ἀπολογιῶν θεωρήσομεν ἐκτενέστερον ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ἤδη δὲ παραβάλλομεν, χάριν γεύματος, ὀλίγας τινὰς ἐκ τῶν πολλῶν διαφωνιῶν, καθ' ἃς ἀντιλέγουσι πρὸς τὰς ῥήσεις τὰς εὐαγγελικὰς αἱ προφητικαὶ γραφαὶ παρὰ πᾶσι τοῖς ἔχουσιν αὐτὰς ἐκ τοῦ ἑβραϊκοῦ μεθηρμηνευμένας, μηδ' αὐτῆς τῆς Βουλγάτας ἐξαιρουμένης. Τὴν δὲ Καινὴν διαθήκην πάντες ἔχουσι μεθηρμηνευμένην ἐκ τοῦ θείου Ἀρχετύπου τοῦ Ἑλληνικοῦ, καὶ ἀπαραλλάκτως ἀναγινώσκουσιν. Ἰδοὺ δὲ τῶν διαφωνούντων ῥητῶν παραδείγματα.

Ἐν μὲν τῇ Γενέσει (ι, 23, 24 : ια, 21) γράφουσιν· « *Ἀρφαξὰδ ἐγέννησε τὸν Σαλά. Σαλὰ δὲ ἐγέννησε τὸν Ἕβερ* ». Οὕτως ἡ Βουλγ. καὶ πᾶσαι τῶν νεωτέρων αἱ κατὰ διαφόρους γλώσσας ἐκ τοῦ ἑβρ. μεταφράσεις, ἡ Γερμανική, ἡ Γαλλική, ἡ Ἰταλική, ἡ Ἀγγλική, κτλ. Ἐν δὲ τῷ θείῳ Λουκᾷ (γ, 36) γέγραπται, « *τοῦ Ἕβερ, τοῦ Σαλά, τοῦ* ΚΑΪΝΑΝ, *τοῦ Ἀρφαξάδ* » (βλ. ὄπισθ. σελ. 740).

Γενέσ. μϛ, 27 γράφουσι « Πᾶσαι αἱ ψυχαὶ οἴκου Ἰακὼβ αἱ εἰσελθοῦσαι εἰς Αἴγυπτον (ἦσαν) *ἑβδομήκοντα* ». Καὶ Ἐξόδ. α, 5· « Καὶ ἦσαν πᾶσαι αἱ ψυχαὶ τῶν ἐξελθόντων ἐκ μηροῦ Ἰακὼβ *ἑβδομήκοντα* ». Καὶ Δευτερ. Ι. 22. « Ἐν ἑβδομήκοντα ψυχαῖς *κατέβησαν* οἱ πατέρες σου εἰς τὴν Αἴγυπτον » (Οὕτω καὶ ἡ Βουλγ. καὶ αἱ λοι-

παί). Ἀλλ' ἐν Πράξ. ζ, 14 ἀναγινώσκουσιν· « Ἀποστείλας δὲ Ἰωσὴφ μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακὼβ, καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ, ἐν ψυχαῖς *ἑβδομήκοντα* ΠΕΝΤΕ » (α).

Γενέσ. ΜΖ, 31, ἀναγινώσκουσι· « Προσεκύνησεν ἐπὶ τὸ ἄκρον *τῆς κλίνης* » (ἡ Βουλγ. καὶ αἱ λοιπαί). Ἀλλ' ἐν τῇ πρὸς Ἑβρ. ια, 21, « Ἐπὶ τὸ ἄκρον *τῆς ῥάβδου αὐτοῦ* ».

Δευτερ. ΛΒ, 43, ἀναγινώσκουσιν· « *Αἰνεῖτε ἔθνη τὸν λαὸν αὐτοῦ* » (ἡ Βουλγ. κτλ.). Ἐν δὲ τῇ πρὸς Ῥωμαίους τοῦ θείου Παύλου ἐπιστολῇ (ιε, 10) « *Εὐφράνθητε* ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ » (β).

Ἐν Ἑβρ. α, 6, γράφει ὁ θεῖος Παῦλος « *Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ* ». Ταῦτα δὲ κεῖνται μόνον παρὰ τοῖς Ο (Δευτερ. λβ, 43)· λείπουσι δ' ἐκ τῆς Βουλγάτας καὶ πασῶν τῶν ἐκ τοῦ ἑβρ. ἑρμηνειῶν (γ).

Ἐν Ψαλμ. η, 3, ἀναγινώσκουσιν· « Ἐκ στόματος νηπίων καὶ θηλ.

(α) Οἷον ἡ Γερμ. Alle Seelen des Hauses Jacobs, die in Egypten kamen, waren siebenzig. Genes. XLVI. 27. (ἑρμην. Λουθήρ.). — Ἰταλ. Tutte le persone degla famiglia di Jacob, che vennero in Egitto, furono settante (ἑρμην. Diodat.) κτλ. Ἀλλ' ἐν Act. VII. 14. Und alle seine ganze Freundschaft, f ü n f u n d s i e b e n z i g Selen. — E tutto 'l suo parentado, ch' era di s e t t a n t a c i n q u e anime. Οὕτω καὶ ἡ Γαλλικὴ, κτλ.

(β) Sclamate d' allegrezza, o nazioni, o suo popolo. Deut. XXXII. 43 (Diodat.). — Γερμ. Jauchzet alle, die ihr sein Volk seyd (Λουθηρ.). Ἀλλ' ἐν Rom. XV. 10. Rallegratevi, o Genti, col suo popolo. — Freuet euch, ihr Heiden, mit seinem Volk.

(γ) *Κατὰ τὴν ἔννοιαν τοῦ θείου Μωσέως εἶπε καὶ ὁ προφήτης Δαβὶδ « προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ » (ψαλμ. ϟϛ, 7), ὅπερ κεῖται καὶ ἐν τῷ ἑβραϊκῷ κἂν τῇ Βουλγάτᾳ κτλ. Ἀλλ' ὅτι ὁ θεῖος Παῦλος ἔλαβε τὴν ῥῆσιν ἐκ τοῦ Δευτερ. λβ, 43 μαρτυρεῖ λαμπρῶς ἡ φράσις αὐτή. Εἰ γὰρ ἦν ἐκ τοῦ ψαλμοῦ, ἔγραφεν ἂν αὐτὴν ἀπαραλλάκτως καὶ ὁ Ἀπόστολος κατὰ β, πρόσωπον « π ρ ο σ κ υ ν ή σ α τ ε » κτλ. οὐδὲν γὰρ ἐκώλυε πρὸς τὴν ὑφὴν τοῦ λόγου. Κηρύττει δὲ τὸ πρᾶγμα καὶ αὐτὸς ὁ Κ α ὶ προσκείμενος ἐν τῷ κόμματι, ὡς ἔχει καὶ ἐν τῷ Δευτερονομίῳ « Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, ΚΑΙ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ » Ὥστε προσλαβὼν ὁ Ἀπόστολος τὸν συμπλεκτικὸν ΚΑΙ, ἀνέγνω λοιπὸν καὶ ἐκύρωσε καὶ τὸ προηγούμενον κόμμα, τὸ « Ε ὐ φ ρ ά ν θ η τ ε ο ὐ ρ α ν ο ὶ » κτλ. ὅπερ καὶ αὐτὸ λείπει ἐκ τοῦ ἑβραϊκοῦ.*

ἐθεμελίωσας ἰσχύν». Ἀλλ' ἐν Ματθ. κα, 16, «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων *κατηρτίσω αἶνον*» (α).

Ἐν Ψαλμ. ιε, (ἑβρ. ις) 9, ἀναγινώσκουσιν· «Ηγαλλιάσατο *ἡ δόξα μου*· ἔτι ἡ σάρξ μου κατοικήσει *ἐν ἀσφαλείᾳ*». Ἀλλ' ἐν Πράξ. β, 26, ἀναγινώσκουσιν· «Ηγαλλιάσατο *ἡ γλῶσσά μου*, ἔτι δὲ καὶ ἡ σάρξ μου *κατασκηνώσει ἐπ' ἐλπίδι*» (β).

Ψαλμ. αὐτόθ. στίχ. 10 γράφουσιν· «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου *ἐν τάφῳ*, οὐδὲ δώσεις *τοὺς ὁσίους σου ἰδεῖν λάκκον*» (τὸ ἑβρ.). Ἀλλ' ἐν Πράξ. β, 31 : καὶ ιγ, 35, ἀναγινώσκουσιν· «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ *δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν*» (γ).

Ψαλμ. ιη, 5, γράφουσιν· «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν *ὁ κανὼν αὐτῶν*» (ἄλλ. *ἡ γραμμὴ* αὐτῶν). Ἀλλ' ἐν Ρωμ. I, 18, ἔχουσιν· «ἐξῆλθεν *ὁ φθόγγος αὐτῶν*» (δ).

(α) Ex ore parvulorum et sugentium fundasti fortitudinem. (ἄλλ. robur) Psalm. VIII, 3. (Mont.).—Ἰταλ. Per la bocca de' piccoli fanciulli e di quelli che poppano, tu hai fondata la tua gloria (Diodat).—Ἀγγλ. Out of the mouth of babes und sucklings hast thou ordained strength.—Γερμ. Aus dem munde der junge Kirder und Säuglinge hast du eine macht zugerichtet (Λούθηρ.) κτλ. Ἀλλ' ἐν Ματθ. κα, 16. ἡ Βουλγ. « Perfecisti laudem.—Dalla bocca de' fanciulli, e di que' che poppano, tu hai stabilita la tua laude. — Out of the mouth of babes and Sucklings thou hast perfected praise. — Aus dem Munde der unmündigen und Säuglingen hast du lob zugerichtet.

(β) Πᾶσαι πλὴν τῆς Βουλγάτας αἱ λατινικαὶ ἐκ τοῦ ἑβρ. μεταφράσεις ἔχουσι caro mea habitabit in securitate. — Ἰταλ. La mia carne abitera in sicurta (Diodat.). — Γερμ. Auch mein fleisch wird sicher liegen (Λούθηρ.) κτλ. Ἀλλ' ἐν Act. II. 26. Caro mea requiescet in spe. — La mia carne abitera in isperanza. — Mein fleisch wird ruhen in der Hoffnung.

(γ) Πολλαί, πλὴν τῆς Βουλγάτας, λατινικαὶ μεταφράσεις ἔχουσι Non relinques animam meam in sepulchro: non dabis misericordem tuum (ἑνικῶς) videre foveam. Psalm. XVI. 10. (Mont.). — Ἰταλ. Non lascerai l' anima mia nel sepolcro, e non persuatterai, ch' il tuo santo (ἑνικῶς) senta la corruzion della fossa (Diodat.). κτλ. 'Ἀλλ' ἐν Act. II. 31. καὶ XIII. 35. Necanimam meam in orco reliquendam, nec es passurus, ut pius tuus corruptionem patiatur.—Ἰταλ. L' anima sua non è stata lasciata ne' luoghi sottera, tu non permetterai che 'l tuo Santo vegga corruzione.

(δ) «Quorum regula (ἢ linea) . . ad omnes terras. Psalm. XIX. 4.—Ἰταλ. Ma

Ψαλμ. λθ (ἑβρ. μ) 6, ἀναγινώσκουσιν· « Ὠτία δέ μοι ἐτρύπησας ». Ἐν δὲ τῇ πρὸς Ἑβραίους Ι, 5, ἀναγινώσκουσι· « Σῶμα δὲ κατηρτίσω μοι » (α).

Ἐν Ἡσαΐ. κθ, 13. γράφουσι· « Καὶ ἐφοβήθησάν με ἐντολῇ ἀνθρώπων καὶ διδασκαλίαις » (ἡ Βουλγ.)· καὶ ἄλλοι ἐξηγητικώτερον, « Ὁ πρός με φόβος (ἄλλ. ἡ θρησκεία, religio) αὐτῶν ἐν ἐντολαῖς ἀνθρωπίνης διδασκαλίας ». Ἐν δὲ Ματθ. ιε, 9. καὶ Μαρκ. ζ, 7. ἀναγινώσκουσι. « Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων » (β).

Ἡσαΐ. μ. 5, γράφουσι· « Καὶ ὄψεται πᾶσα σὰρξ ὁμοίως » (ἢ ἐπίσης). Ἀλλ' ἐν Λουκ. γ, 6, ἀναγινώσκουσιν· « Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ » (γ).

Ἡσαΐ. ξα, 1. « Καὶ κεκλεισμένοις ἄνοιξιν » (συντομώτερον, ἢ ὡς ἔχει τὸ νῦν ἑβρ. « δεσμίοις ἄνοιξιν εἱρκτῆς »). Ἀλλ' ἐν Λουκᾷ δ, 18 ἀναγινώσκουσι, « τυφλοῖς ἀνάβλεψιν » (δ).

---

la lor linea esce fuori per tutta la terra (Diod.).—Ἀγγλ. Their line is gone out through all the earth. — Γερμ. Ihre Schnur gehet aus in alle lande. Ἀλλ' ἐν Rom. X, 18, « Sonus eorum.—Il lor suono.—Their Sound.—Ihr Schall κτλ.

(α) « Aures perfecisti (ἄλλ. perforasti) mihi ». Psalm. XL. 6. (Βουλγ.)—Ἰταλ. Tu m' hai forate l' orecchie (Diodat.). Ἀγγλ. Mine ears hast thou oppened. Γερμ. Die ohren hast du mir aufgethan (Λούθηρ.). Ἐν δὲ Hebr. X. 5. γράφουσι Corpus autem aptasti mihi (Βουλγ.). — Ἰταλ. Tu m' hai apparecchiato un corpo.—A body hast thou prepared me» (Ἀγγλ.). Οὕτω καὶ τὸ Γερμανικὸν κτλ.

(β) Est ejus erga me religio humanae doctrinae disciplina. Esaj. XXIX. 13. — Ἰταλ. E' l timore del quale egli mi teme, è un comandamento degli uomini, che è stato loro insegnato (Diodat.). — Γερμ. Und mich fürchten nach menschen gebot. Ἀλλ' ἐν Matth. XV. 9. καὶ Marc. VII. 7. Frustra me venerantur, humanorum praeceptorum doctrinam docentes. — Ma invano m' onorano, insequando dottrine, che son comandamenti d' uomini. — Aber vergeblich dienen sie mir, dieweil sie lehren solche Lehre, die nichts denn Menschen gebote sind (Λούθηρ.).

(γ) Videbit omnis caro pariter. Esai XL. 5. (Vulg.).—Ἰταλ. E ogni carne la vedrà (Diodat.).—Γερμ. Und alles fleisch mit einander wird sehen (Λούθηρ.). Ἀλλ' ἐν Luc. III. 6. Videbit. Salutare Dei.—La salute di Dio. — Alles fleisch wird den heiland Gotts sehen.

(δ) Clausis appertionem. Esaj. LXI. 1. (Vulg.).—Ἰταλ. Apritura di carcere à prigioni (Diod.).—Γερμ. Den gebundenen eine œffnung (Λούθηρ.). Ἀλλ' ἐν

Ἀμὼς ε, 26. γράφουσι «Καὶ ἐφέρετε Σικκοὺθ τὸν βασιλέα ὑμῶν, καὶ Κιοὺν τῶν εἰκόνων ὑμῶν, τὸ ἄστρον τῶν θεῶν ὑμῶν, οὓς ἐποιήσατε ὑμῖν» (α). Ἐν δὲ Πράξ. ζ, 43, ἀναγινώσκουσι, «Καὶ ἀνελάβετε τὴν σκηνὴν Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς» (β).

Δανιὴλ. θ, 27. ἀναγινώσκουσιν· «Ἐπὶ τοῦ πτεροῦ (super alam, ἄλλος «ἐπὶ τῆς ἐκπετάσεως, expansione) τοῦ βδελύγματος τὸ ἐκπληκτικόν». (γ). Ἀλλ' ἐν Ματθ. κδ, 15, ἀναγινώσκουσι· «Τὸ *βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ*» (ἐκ τῶν Ο, «Καὶ *ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων*»). πρβλ. καὶ Α, Μακ. α, 54. ἐκ τοῦ Δανιὴλ, θ, 27..

Ἡσαΐας μ. 6: 7. 8, ἀναγινώσκουσι· «Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα εὐσέβεια» (pietas, ὡς ἔχει τὸ νῦν ἑβραϊκὸν, chased. ἡ δὲ Βουλγ. ἀνέγνω ἐκ τῶν Ο, *δόξα*, gloria) «αὐτοῦ, ὡς ἄνθος ἀγροῦ. Ἐξη-

---

Luc. IV. 18. coecis visum. — Raquiesto della vista à cieci. — Den blinden das gesicht.

(α) «Et portastis Zicchuth regem vestrum, et Saturnum (ἄλλ. Ciun) imaginum vestrarum, stellam Deorum vestrornm, quos fecistis vobis (Amos. V. 26. Montan). — Anzi voi portaste il tabernacolo del vostro Melec, e l' effigie delle vostre imagini: la stella de' vostre dij, che voi v' avevate fatti (Diod.). — Γερμ. Ihr truget den Sichutt, euren König, und Chiun, euer bild: den stern eurer Götter, welche ihr euch selbst gemacht hattet. (Λούθηρ.).

(β) «Et suscepistis tabernaculum Moloch, et sidus Dei vestri Ramhan, figuras quas fecistis adorare eas». — Anzi voi portaste il tabernacolo di Moloc, e la stella del vostro Dio Remfan, le figure, le quali voi avevate fatte per adorarle. — Und ihr nahmet die hütte Moloch an, und das gestirn eures gottes Remphan, die bilde, die ihr gemacht hattet, sie anzubeten.

(γ) «Et super alam abominationis stupefaciens». Dan. IX. 27. Montan. ἡ δὲ Βουλγ. καταλιποῦσα τὸ ἑβρ. ἠκολούθησε τοὺς Ο. Et erit in templo abominatio desolationis· φέρεται δὲ καὶ παλαιά τις ἐλλειπὴς ἀνάγνωσις ἐκ τοῦ ἑβρ. «καὶ ἕως πτερυγίου ἀπὸ ἀφανισμοῦ» (βλ. ἐκδ. Bos. εἰς Δαν. αὐτ.). Ἐν δὲ Ματθ. XXIV, 15· τὸ Ἰταλικὸν, Poi verrà il disertatore sopra l' ale abominevoli (ἔπειτα ἐλεύσεται ὁ ἐρημωτὴς ἐπὶ τῶν πτερύγων τῶν βδελυκτῶν). Ἡ δὲ γερμανικὴ τοῦ Λουθήρου· «ἐπὶ τῶν πτερύγων στήσονται βδελύγματα ἐρημώσεως» (bey den flügeln werden stehen Greuel der Verwüstung). Ἐν δὲ Ματθ. κδ. «(cum videtis) abominationem desolationis in loco sancto.»

ράνθη ὁ χόρτος, ἐξέπεσε τὸ ἄνθος, ὅτι πνεῦμα Κυρίου ἐνεφύσησεν αὐτῷ. Ἀληθῶς χόρτος ὁ λαός. Ἐξηράνθη ὁ χόρτος ἐξέπεσε τὸ ἄνθος. Καὶ τὸ ῥῆμα τοῦ Θεοῦ στήσεται εἰς αἰῶνα» (α). Ἐν δὲ Α. Πέτρ. α, 24, 25, ἀναγινώσκουσιν· «Πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα» (οὕτω καὶ οἱ Ο. Τὰ δ' ἐν τῷ νῦν ἑβραϊκῷ περιττεύοντα, παλαιὸν ὑπάρχουσι παρεμπεποιημένον γλώσσημα ῥαββίνων, εἰσφρήσαν ἔτι ἐπὶ τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν. βλ. ὄπισθ. σελ. 442).

§. ϛ. Οὕτως ἐν ταῖς ἐκ τοῦ νῦν ἑβραϊκοῦ μεθηρμηνευμέναις Γραφαῖς φαίνονται οἱ προφῆται ἀντιφωνοῦντες τοῖς Ἀποστόλοις! καὶ ἄλλως μὲν γεγράφασι τὰ θεόπνευστα ῥήματα οἱ κήρυκες *τοῦ Λόγου τῆς ἀληθείας*, ἄλλως δὲ ταῦτα νῦν ἀναγινώσκονται ἐν τοῖς αὐτοῖς, ἐξ ὧν ἐλήφθησαν, προφητικοῖς χωρίοις τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ, διαφέροντα μὲν κατὰ λέξεις (οὐ λέγομεν τὰς συνωνύμους καὶ ταυτοσήμους, τοῦτο γὰρ ἰδίωμα γλωσσῶν· ἀλλὰ τὰς πάντῃ ἑτεροίαν σημασίαν ἀποδιδούσας), διαφέροντα δὲ πολλάκις καὶ κατὰ τὸ θειότατον νόημα, ἐφ' οὗ τάττουσιν αὐτὰς οἱ θεόπνευστοι χριστοκήρυκες, ὡς εἴδομεν ἐν τοῖς προεκτεθεῖσι παραδείγμασι. Πολλὰ δὲ καὶ ἄλλα τῶν προφητικῶν ῥητῶν, εἴτε κατὰ λέξιν, εἴτε καὶ μόνον κατὰ νόημα γεγραμμένων παρὰ τοῖς Ἀποστόλοις, διαφέ-

(α) « Omnis caro foenum, et omnis gloria ejus quasi flos agri. Exsiccatum est foenum, et cecidit flos, quia spiritus Domini sufflavit in eo. Foenum est populus. Exsiccatum est foenum, et cecidit flos· verbum autem Domini manet in aeternum (Vulg. βλ. καὶ Ἱερών. Com. εἰς Ἡσαϊ. αὐτ.). Καὶ τὸ Ἰταλικόν. « Ogni carne è fieno, e che tutto l' bene ch' ella fà è come un fiore della campagna. Il fien si secca, il fior s' appassa, quando lo spirito del Signore vi soffia contra: in verita il popolo non è altro che fieno. Il fien si secca, il fior s' appassa : ma la parola di Dio dimora in eterno ». (Diodat.),—Γερμ. Alles fleis ist heu, und alle seine güte ist wie eine blume auf dem felde. Das heu verdorret, die blume verwelket. denn des Herrn geist bläst drein. Ja das volk ist das heu. Das heu verdorret,, die blume verwelket; aber das wort unseres Gottes bleibet ewiglich. (ἑρμην. Λουθήρου).

ρουσι τοῦ νῦν ἑβραϊκοῦ. Καὶ δείκνυται λοιπὸν καὶ ἐκ τούτου τόσον ἐναργῶς καὶ τηλεφανῶς ἡ τοῦ μασοραίου κειμένου διαφθορά, ὅσον ὑπάρχει βέβαιον, ὅτι « *Πνεύματι θεοῦ φερόμενοι ἐλάλησαν οἱ ἅγιοι τοῦ θεοῦ ἄνθρωποι* », οἵτε Προφῆται οἱ *ἀπ' αἰῶνος* (καθὼς αὐτοὺς αὐτοί τε ἀνεγίνωσκον, καὶ ἡμῖν ἀναγινώσκειν παρέδωκαν οἱ Ἀπόστολοι), καὶ αὐτοὶ οἱ Μαθηταὶ τοῦ *Λόγου τῆς ζωῆς, οἱ τὸ καλὸν τοῦ θεοῦ ῥῆμα, τὸν Λόγον τῆς ἡμῶν σωτηρίας* κηρύξαντες καὶ γράψαντες *ἐν τῷ εὐαγγελίῳ τῆς βασιλείας τοῦ Θεοῦ, εἰς ὃ πεπιστεύκαμεν*, δι' οὗ καὶ σωζόμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ.

Περὶ Ἰωσήπου καὶ τοῦ Φίλωνος, ὅτι καὶ ἐκ τούτων ἀποδείκνυται ἡ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ διαφθορά.

§. α. Ὅτι τὸ ἑβραῖον κείμενον ἔπαθε πολλὴν ἀλλοίωσιν καὶ διαστροφήν, πικρῶς ἀπονάμενον τῆς ἐσχάτης κατὰ τῶν Ἰουδαίων θεομηνίας, πρὸς ταῖς ἄλλαις ἀποδείξεσι, κηρύττουσι τρανῶς καὶ δύω μεγάλοι καὶ σοφοὶ τῆς νομικῆς λατρείας θεραπευταί, ὁ Φίλων καὶ Ἰώσηπος· καὶ περὶ μὲν τοῦ Πλατωνικοῦ τῆς Συναγωγῆς φιλοσόφου, τοῦ Ἀλεξανδρέως Φίλωνος, λέγομεν ὕστερον. Ἤδη δὲ θεωροῦμεν τὸν διάδοχον τῆς Ἀαρωνίτιδος ἱερωσύνης, καὶ τοῦ τε ναοῦ καὶ τῆς πόλεως τῶν Ἱεροσολύμων εὐκλεᾶ διδάσκαλον καὶ στρατηγόν, τὸν Ματθίου παῖδα, Ἰώσηπον τὸν Φλάβιον.

§. β. Ὅτι τοίνυν ὁ σοφὸς οὗτος ἑλληνιστὴς καὶ ἱστορικὸς ὡς μίαν καὶ τὴν αὐτὴν ἐτίμα γραφὴν τήν τε πάτριον, τὴν ἑβραϊκήν, καὶ τὴν ἑρμηνείαν τῶν Ο, ἐκεῖνοι μόνον ἠρνήσαντο καὶ ἀμφέβαλον, ὅσοι εἴτε τῷ κάλλει τῆς Μασοραίας σοφίας ἑαλωκότες, εἴτε καὶ ἄλλως δύσκολοί τινες τοὺς τρόπους τυγχάνοντες, καὶ προσέτι κριτικῆς ἐπιδεικνύμενοι δριμύτητος κέντρον, νῦν μὲν ὡς ψεύστην αὐτὸν διέβαλον, τὸν ἐν τοῖς μάλιστα καιριωτάτοις φιλαληθέστατον, νῦν δ' (ἂν θέλῃς) καὶ ὡς ὅλως ἀδαῆ τῆς γλώσσης τῆς ἑβραϊκῆς! Ἄλλοι δὲ ὅμως τῶν παρὰ τοῖς νεωτέροις ἐνδόξων κριτικῶν, πολὺ δικαιότεροι, τὰς μὲν τοιαύτας εἰκαιολογίας ἀπεσκυβάλισαν, τι-

μῶσι δ' ἀξίως καὶ προσηκόντως τὴν Ἰωσήπου σοφίαν, καὶ τοῦτον ὁμολογοῦσιν ὡς μίαν τῶν ἐξαιρέτων πηγῶν, ἐξ ὧν ὀφείλουσιν ἀρύεσθαι πολλάκις τὰ συντελοῦντα πρός τε κατανόησιν τοῦ Μασοραίου κειμένου (α), καὶ πρὸς κριτικὴν αὐτοῦ διόρθωσιν (ϐ). Ἀλλὰ τὰς μὲν ἀνωφελεῖς περὶ τῶν τοιούτων ἔριδας παρεῶμεν ἀνδράσι κριτικοῖς, τοῖς πάντα μὲν βουλομένοις τῷ μέτρῳ τῆς κατ' αὐτοὺς ἐπιστήμης ὑποζυγοῦν, μηδέποτε δὲ πρὸς ἀλλήλους ὁμοφωνοῦσιν (γ). Ἐν γὰρ ταῖς περὶ τῶν θείων Γραφῶν κριτικωτέραις ἐρεύναις βούλονται *κηρύττειν ἑαυτοὺς μᾶλλον, ἢ τὰ τοῦ Χριστοῦ.*

§. γ. Ὁ δ' οὖν Ἰώσηπος οὐχ ἁπλῶς, οὐδ' ἐν παρόδῳ καὶ σπανιάκις, ἀλλ' ἀπ' ἀρχῆς μέχρι κορωνίδος τῶν αὐτοῦ συγγραφῶν (καὶ μάλιστα τῆς Ἀρχαιολογίας) παρέχει λαμπρότατα δείγματα τῆς μετ' αὐτὸν γενομένης διαφθορᾶς τῆς ἑϐραΐδος γραφῆς. Ὅσα

(α) Βλ. Michael. Orient. und Exeg. Bibliothek. Th. 7. πρϐλ. Spittler, de usu version. Alex. apud Joseph. Gotting. 1779. καὶ J. G. Scharfenberg, Prolusio de Josephi et version. Alexandr. consensu. Lipsiae, 1780.

(ϐ) *Ὁ κλεινὸς Σχαρφεμϐέργης ἀποδέχεται μὲν τὰς Ἰωσήπου συγγραφὰς ὡς χρησίμους πρὸς ἐξήγησιν τῆς ἑϐραϊκῆς Γραφῆς· ἀλλ' ὅμως ὅσον περὶ τὴν κριτικὴν διόρθωσιν τῶν ἑϐρ. λέξεων ἄγαν δυσχερῶς συγκατανεύει « Διότι (λέγει) ἠπίστατο μὲν ὁ Ἰώσηπος τὰ ἑϐραϊκὰ (καί τοι μὴ καθὼς ὁ καθ' ἡμᾶς χρόνος ἐκλαμϐάνει τῶν ἑϐραϊκῶν γραμμάτων τὴν ἐπιστήμην!) καὶ ταῖς ἑϐραϊκαῖς ἐχρῆτο γραφαῖς· ἀλλ' ὅμως φυλακτέον μήποτε, θεωροῦντες τὰς ἀναγνώσεις καθ' ἃς τοῦτο διαφέρει τῶν παρ' Ἰωσήπῳ, καὶ μάλιστα ἐν οἷς ἐκεῖνος ἠκολούθει τοῖς Ο, καταχρησόμεθα τῇ τοῦ Ἰωσήπου αὐθεντίᾳ πρὸς διόρθωσιν τοῦ ἑϐραϊκοῦ* (Scharfenberg, l. c. p. 3, 4). *Ταῦτα ὁ κριτικός· ἀγαθὰ μὲν πρὸς ἀποφυγὴν τῶν περὶ τὰς διορθώσεις καταχρήσεων, ἀλλ' ὅμως ἄγαν ἑϐραΐζοντα. Λαλεῖ περὶ τοῦ Μασοραίου κειμένου, ὡς ἂν εἴπερ διελέγετο περὶ τῶν προφητικῶν αὐτογράφων αὐτῶν· καὶ τὸ τοῦ Ἰωσήπου κῦρος ἀκροσφαλὲς νομίζει, καὶ μὴ πάνυ πίστεως ἄξιον· διατί; διότι παρηκολούθει (λέγει) τοῖς Ο! Ἀλλὰ μήπως αἱ τῶν Ο ἀναγνώσεις οὐδὲν ὄφελος παρέχονται πρὸς διόρθωσιν τῆς Μασοραίας γραφῆς; Ἢ μήπως οἱ Ο, καὶ αὐτὸς ὁ Ἰώσηπος, οὐκ ἠπίςαντο τὰ ἑϐραϊκά, ὅσον καὶ οἱ Μασορῖται καὶ οἱ μεταγενέστεροι ῥαϐϐεῖς, ὧν τοὺς γραμματικοὺς καὶ κριτικοὺς κανόνας ἔσχε προπορευομένους ὡς λαμπουδούχους ἡ περὶ τὴν μάθησιν τῆς ἑϐραϊκῆς ἐπὶ πλεῖστον προκόψασα φιλολογία τῶν νεωτέρων; Καὶ μέν τοι, ὅσον αὕτη προέκοψεν, αἰσθάνεται ὅμως καὶ ὁμολογεῖ πολλάκις τὴν ἐν πολλοῖς ἀτέλειαν αὐτῆς καὶ ἀκαταληψίαν, καὶ μίαν εὑρίσκει καταφυγήν, τὸν Ἰώσηπον καὶ τοὺς Ο!*

(γ) Βλ. Alb. Schultens, De defectibus hodiernis ling. Hebraicae.

γὰρ οὗτος μετὰ τῶν Ο συμφωνεῖ (καὶ συμφωνεῖ σχεδὸν ἀείποτε), καθ᾽ ὅλα ταῦτα τούτοις συνεφώνει καὶ τὸ κατ᾽ αὐτὸν ἑβραϊκόν. Οὐδ᾽ ἂν εἴποι τις, ὀρθὰ καὶ δίκαια φρονῶν, ὅτι ὁ Ἰουδαῖος ἱερεὺς προέκρινε τὴν ἑρμηνείαν τῶν Ο, ὡς ἀληθεστέραν καὶ τελειοτέραν τῆς πρωτοτύπου γραφῆς, ἣν αὐτός τε ἀνεγίνωσκεν ἐν τῷ ναῷ, καὶ πρὸς τοὺς ὁμοφύλους ἡρμήνευε. Λέγει δὲ καὶ αὐτὸς, ὅτι τὴν Ἀρχαιολογίαν *ἡρμήνευσεν ἐκ τῶν ἑβραϊκῶν γραμμάτων*, δηλονότι τῶν ἁγίων Γραφῶν (α). Καὶ συνέγραψε λοιπὸν τὴν ἱστορίαν ὁ Ἰώσηπος ἀναγινώσκων συνάμα τό, τε κείμενον τὸ ἑβραϊκὸν, καὶ τὴν τούτῳ τότε συνᾴδουσαν ἑρμηνείαν τῶν Ο, ἐξ ἧς καὶ λέξεις πολλάκις ἐδανείζετο, καὶ φράσεις ὁλοκλήρους· ἐθεώρει γὰρ αὐτὴν ὡς ἰσότιμον τῷ πρωτοτύπῳ, καὶ ἐπίσης ἱερὰν καὶ πιςὴν, οἵαν δημοσίως ἀνωμόλογησε καὶ ἐν οἷς ἱστόρησε τὰ περὶ τῆς θαυμαστῆς αὐτῆς ἑρμηνείας, ὅπως ἐγένετο, Ἀριστέᾳ καὶ τῇ ἀληθείᾳ κατὰ πάντα συμφωνῶν (β). Συνέγραφε δὲ τὴν ἀρχαιολογίαν καὶ τὰ λοιπὰ τῶν βιβλίων οὐ μᾶλλον διὰ τοὺς Ἕλληνας καὶ τοὺς ἑλληνίζοντας Ῥωμαίους, ἢ διὰ τὰ πλήθη τῶν ἑλληνιστῶν Ἰουδαίων,

---

(α) Ἰώσηπ. Ἀρχαιολ. Α. προοίμ. § β. Ὁ δὲ κλεινὸς Εἰχόρνιος (Einleit. in das A. Test. 2 Th. p. 443) ἀστεΐζεται πάντως ἐν οἷς ἀμφιταλαντεύεται καὶ διαπορεῖ περὶ τουτωνὶ τῶν παρ᾽ Ἰωσήπῳ *ἑβραϊκῶν γραμμάτων*. «Μῶν (φησὶν) οὐ δύναται τοῦτο σημαίνειν καὶ ἄλλα τινὰ παρὰ τὰς κανονικὰς γραφὰς ἑβραϊκὰ βιβλία;— Οὐ δύναται, ὦ σοφώτατε! Αὐτὸς γὰρ ὁ Ἰώσηπος μικρὸν ὑποκαταβὰς (§ γ) παραβάλλει τὴν ἐκ τῶν ἑβραϊκῶν γραμμάτων ἑλληνικὴν μετάφρασιν τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας, πρὸς τὴν ἐπὶ τοῦ Φιλαδέλφου καὶ τοῦ ἀρχιερέως Ἐλεαζάρου γενομένην ὑπὸ τῶν Ο ἑρμηνείαν τῶν Γραφῶν· καὶ προστίθησιν, ὅτι «μυρία ἐστὶ τὰ δηλούμενα διὰ *τῶν ἱερῶν γραμμάτων*, πεντακισχιλίων ἐτῶν ἱστορίαν περιεχόντων»· καὶ πάλιν ἐν τῷ τέλει τῆς Ἀρχαιολογίας ἐπανέλαβεν, ὅτι ταύτην συνέταξεν «*ὡς αἱ ἱεραὶ βίβλοι περὶ πάντων ἔχουσι τὴν ἀναγραφήν*». Καὶ αὖθις ἐν προοιμίῳ τῶν κατὰ Ἀπίωνος (§ α) λαμπρότατα διεκήρυξεν, ὅτι τὴν Ἀρχαιολογίαν «πεντακισχιλίων ἐτῶν ἱστορίαν περιέχουσαν ἐκ τῶν παρ᾽ ἡμῖν *ἱερῶν βιβλίων διὰ τῆς ἑλληνικῆς φωνῆς συνεγραψάμην*».

(β) Ἀγανακτοῦντι ἔοικε καὶ διὰ τοῦτο ὁ σοφὸς Εἰχόρνιος· «Οὐδεὶς (φησὶν) Ἰουδαῖος ὑπῆρξεν οὕτω προκατειλημμένος ὑπὸ τῶν Ο, οὐδ᾽ ἐφρόνησεν οὕτως ὑψηλὰ καὶ μεγάλα περὶ αὐτῶν, οἷα καὶ ὅσα Ἰώσηπος, ὅστις καὶ τὸν *μῦθον* τῆς αὐτῶν θεοπνευστίας ἐπανέλαβεν ἐγκαρδίῳ τόνῳ».—Ἀλλὰ πῶς ἄλλως, ὦ βέλτιστε, εἰ μὴ ἀπὸ καρδίας ὤφειλε φθέγγεσθαι περὶ τῆς ἀξίας τῶν Ο καὶ Ἰώσηπος, *περὶ κῆρι*

ἐξ ὧν ἦσαν καὶ πολλοὶ τῆς ἑβραΐδος ἐγκρατεῖς οὐ μόνον κατ' Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν Παλαιστίνην, οἵ τινες τάχιστ' ἂν ἐξήλεγχον τὰς ἐκ τοῦ ἑβραϊκοῦ παρεκτροπὰς αὐτοῦ καὶ ἀλλοιώσεις, δι' ὧν ἂν διέφθειρε τὰς Γραφάς (καὶ μάλιστα οἱ τούτῳ φθονοῦντες· ὧν εἷς ἦν καὶ Ἰοῦστος. βλ. Ἀρχαιολ. περὶ τὸ τέλος, καὶ ἐν Βίῳ αὐτοῦ, καὶ Ἰουδ. Πολ. προοιμ. §. ς). Ὥστε τὸ νεώτερον Μασοραῖον κείμενον ἐν οἷς διαφωνεῖ πρός τε τὸν Ἰώσηπον καὶ τοὺς Ο (δηλονότι πρός τε τὸ παλαιὸν ἑβραϊκὸν, ἐξ οὗ μετέφρασαν οἱ Ο, καὶ πρὸς τὸ κατ' Ἰώσηπον, ἐξ οὗ καὶ οὗτος, ἔτι τοῖς Ο συμφωνοῦντος, συνέγραφε τὴν ἱστορίαν), ἐν τούτοις πᾶσι τὸ Μασοραῖον ἐξελέγχεται μεταβεβλημένον καὶ διαστραφὲν μετὰ τοὺς Ἰωσήπου χρόνους. Δείγματα δὲ τρανώτατα καὶ μεγαλομερῆ κείσθωσαν ταῦτα.

Α) Ἡ χρονολογία, καθ' ἣν ὁ Ἰώσηπος συμφωνεῖ τοῖς Ο· περὶ ταύτης εἴπομεν μακρά (κεφ. ιε).

Β) Ὅλα τὰ ἑβραϊκὰ ὀνόματα γράφει καὶ Ἰώσηπος, ὡς οἱ Ο, διότι κατὰ τὸν αὐτὸν σχεδὸν φθόγγον (πλὴν τοῦ παρ' Ἑβραίοις συρισμοῦ καὶ τοῦ βαθέως πνευματισμοῦ) ἐγράφοντο ἐν τῷ ἑβραϊκῷ κειμένῳ καὶ κατ' αὐτόν. Οὐδ' ἠδύνατο ἐνώπιον τῶν αὐτοῦ ὁμογενῶν γράφειν τὴν Εὔαν, Εὐέαν (καὶ κατ' ἄλλους κώδηκας *Εὔαν*), καὶ Ἄβελον (τὸν Ἄβελ), καὶ Σήμαν (τὸν Σήμ), καὶ Σαλὰν, καὶ τὰ λοιπὰ, καὶ αὐτὸν τὸν ἐπισημότατον τῶν ἑαυτοῦ προγόνων Ἰάκωβον (Ἰακὼβ), εἴπερ ἐγράφοντο ταῦτα καὶ ἀπηγγέλλοντο καὶ τότε ὡς γράφονται καὶ στίζονται τανῦν, πάντῃ (περὶ τὰ φωνήεντα μάλιστα) διαφόρως, κατὰ τὴν μασορῖτιν γραφὴν, *Ανα* (Hava), καὶ *Εβελ* (Hebel), καὶ *Σεμ* (Schem), καὶ *Σελα* (Selah), καὶ *Iahaκὼβ* (Jahacob) κτλ. Λέγει δὲ καὶ αὐτὸς, ὅτι τὰ ὀνόματα περὶ

σ ε β α ζ ό μ ε ν ο ς αὐτοὺς, καθὰ καὶ Φίλων, καὶ πᾶσα ἡ ἀρχαία Συναγωγὴ καὶ τῶν ἑλληνιστῶν, καὶ τῶν βαθέως ἑβραϊζόντων (ὧν εἷς ἦν καὶ αὐτὸς ὁ Ἰώσηπος); Καὶ συγγνώμη τοῖς ἀρχαίοις ἐκείνοις ἀνδράσιν, ὡς ἁπλουστέροις καὶ ἀμυήτοις τῆς νεωτέρας σοφίας τῶν Ὀρθολογιστῶν! οἵ γε σφόδρα διαβατικῶς καὶ ἐπισταμένως ἠρνήσαντο μή τοι γε μόνων τῶν Ο ἑρμηνευτῶν τὴν ἐπίπνοιαν, ἀλλὰ καὶ αὐτῶν τῶν θείων προφητῶν, καὶ αὐτῶν τῶν Ἀποστόλων τὸ πνευματέμφορον καὶ θεόπνευστον!

τὴν κατάληξιν ἐξελλήνισεν· « Οὐ γὰρ ἐπιχώριος ἡμῖν ὁ τοιοῦτος αὐτῶν τύπος, *ἀλλ' ἕν τι αὐτῶν σχῆμα, καὶ τελευτὴ μία*· Νώεος γέ τοι *Νῶε* καλεῖται (τὸ νῦν ἑβρ. Noach), καὶ τοῦτον τὸν τύπον ἐπὶ παντὸς τηρεῖ σχήματος » (Ἀρχ. Α. ς. §. 1).

Γ) Μεταξὺ τῶν ἱερῶν καὶ κανονικῶν βιβλίων τῆς Γραφῆς ἐξ ὧν συνέγραψε τὴν Ἀρχαιολογίαν, τάσσει καὶ τὰς λεγομένας ἀποκρύφους *προσθήκας* τῆς Ἐσθὴρ (βλ. ὄπισθ. σελ. 583), καὶ τὸν Α, Ἔσδραν (σελ. 687), πάντα σχεδὸν τὰ τούτοις ἐμπεριεχόμενα συνοψίζων ἐν τῇ κατ' αὐτὸν συγγραφῇ. Καὶ φαίνεται λοιπὸν τηλαυγῶς, ὅτι ὁ κώδηξ ὁ Ἑβραϊκὸς περιεῖχε καὶ ταῦτα τὰ κεφάλαια τῆς ἱερᾶς ἱστορίας, ὡς ἔχουσιν αὐτὰ καὶ οἱ Ο· κεκολόβωται δὲ τούτων μετὰ τὴν τοῦ ἔθνους καταστροφὴν, ὁπότε οἱ ῥαββῖνοι συλλέγοντες τὸ ἑβραϊκὸν κείμενον ἐκ παντοίων διεφθαρμένων κωδήκων, κατέστησαν αὐτὸ γυμνὸν καὶ τῶν εἰρημένων τεμαχίων, καὶ τῆς Σωσάννης, καὶ τῶν ἄλλων προειρημένων περικοπῶν (α). Τότε καὶ τὸν Δανιὴλ ἐξελόντες ἐκ τῆς τάξεως τῶν προφητῶν, κατεχώρισαν (ὡς ἐλάσσονα τὴν ἀξίαν) μεθ' ὧν εἶπον *Ἁγιογράφων*, (διότι οὐκ ἠδυνήθησαν, ἴσως, παντελῶς ἀφαντῶσαι τὸ τεῦχος!)· ἀλλὰ τὸν Δανιὴλ ὁ Ἰώσηπος ἀνεγίνωσκε καὶ ἐν τῷ ἑβραϊκῷ τεταγμένον μετὰ τῶν μεγάλων προφητῶν, ὡς κεῖται καὶ νῦν ἐν τοῖς Ο, καὶ λίαν ἐτίμα *τὸν ἄνδρα τῶν ἐπιθυμιῶν*, « ὡς ὁμιλοῦντα θεῷ, καὶ μὴ μόνον τὰ μέλλοντα προφητεύοντα, καθάπερ καὶ οἱ ἄλλοι προφῆται, ἀλλὰ καὶ καιρὸν ὁρίζοντα, εἰς ὃν ταῦτα ἀποβήσεται » (Ἀρχ. Ι, ια. §. 7). Ὥστε, εἰμὴ ἦσαν οὕτως ἐγκοτοῦντες κατὰ τῶν Ο οἱ περὶ τὸν Ἐϊχόρνιον κριτικοὶ, μηδὲ διεύθυνον τὰς κρίσεις αὐτῶν, ὡς

(α) Βλ. ὄπισθ. σελ. 638 κτλ. Πρὸς τοῖς ἐκεῖ (σελ. 648) μνημονευθεῖσιν ἱεροῖς Πατράσι, τοῖς ὡς κανονικῆς γραφῆς μνημονεύουσι τῆς Σωσάννης, προστεθήτωσαν καὶ Δίδυμος (π. τ. ἁγ. Πνεύμ. βιβλ. γ), καὶ Ἱλάριος (εἰς ψαλμ. νβ), καὶ Ἀμβρόσιος (De Spir. S. lib. 3, c. 3), καὶ Φυλγέντιος (De fide Petri), κτλ. Καὶ ἐν ἀρχαίοις δὲ μνημείοις (οἷον θήκαις, ἢ σαρκοφάγοις, καὶ στήλαις μνημάτων) εὕρηται γεγλυμμένη ἡ Σωσάννα προσευχομένη μεταξὺ τῶν ἐφεστώτων συκοφαντῶν αὐτῆς πρεσβυτέρων. (Βλ. Buonarruoti, Osservat. Sopra alcuni framment. di vetri antichi Tav. I. fig. 1: καὶ Bos. Roma Supter. L. II. c. 8).

εἰς *πολικὸν ἀστέρα*, πρὸς τὴν πλανῆτιν Μασορίτιδα γραφὴν, οὐκ ἂν ἔψεγον τὸν Ἰουδαῖον τὸν σοφὸν, « *καὶ τὴν τῶν θείων γραμμάτων δύναμιν ἑρμηνεῦσαι δυνάμενον* » (οἵους αὐτοὺς ὁρίζει τοὺς ἀληθινοὺς σοφοὺς ἐν τῷ τέλει τῆς Ἀρχαιολογίας), ὅτι «ἀνέμιξε μετὰ τῶν ἱστοριῶν τῆς ἱερᾶς βίβλου καὶ *ἀπόκρυφα τεμάχια*, οἷον τῆς Ἐσθὴρ καὶ τοῦ Ἔσδρα, ὡς ἂν εἴπερ εἶχον καὶ ταῦτα ἴσην ἀξίαν καὶ τιμήν ! » (Εἰχόρν. ἔνθα ἀνωτ. σελ. 442). Πόθεν ἐπληροφορήθησαν οἱ ἄνδρες ὅτι ταῦτα τὰ *τεμάχια* ἦσαν ἀπόκρυφα ; ἢ μήπως οἱ πολὺ κατόπιν Ἰωσήπου ἐπελθόντες, καὶ κάκιστα τὸ κείμενον τὸ ἑβραϊκὸν διαθέντες ταλάντατοι Τιβεριαδεῖς καὶ Μασορῖται (ἄλλον γὰρ παλαιότερον τούτων μάρτυρα οὐκ ἔχουσι), φαίνονται μᾶλλον ἀξιοπιστότεροι περὶ τὴν θεωρίαν τῆς ὁλοκληρίας τοῦ ἑβραϊκοῦ κώδηκος, παρὰ τοὺς πρὸ τῆς καταστροφῆς τοῦ ἔθνους παιδευθέντας ἐπισημοτάτους Ἑβραίους, καὶ τοὺς ἔτι τῶν Ἰουδαϊκῶν πραγμάτων ἀνθούντων ἀκμάσαντας Ο; Πρόσθες καὶ τὰς τούτοις δι᾽ ὅλων αἰώνων χρωμένας πανταχοῦ τῆς Οἰκουμένης μυριοπληθεῖς τῶν ἑλληνιστῶν Συναγωγὰς,, καὶ αὐτοὺς δὲ, τέλος, τοὺς παρὰ τῶν θείων Ἀποστόλων ἀκέραιον τὸν κώδηκα τῶν Ο παραλαβόντας πατέρας καὶ λαοὺς τῶν πρώτων αἰώνων τῆς Ἐκκλησίας.

Δ) Ἄλλα τοῦ ὕφους (τοῦ κειμένου) χωρία κείμενα οὐκ ἐν τῷ ἑβρ., παρὰ δὲ τοῖς Ο, ἐν διαφόροις τεύχεσι τῆς Γραφῆς, κεῖνται τὰ αὐτὰ καὶ παρ᾽ Ἰωσήπῳ· ἐκ δὲ τούτου δείκνυται τρανῶς κἀν τούτοις ἡ κολόβωσις τοῦ Μασοραίου κώδηκος· τοῦτο δὲ καὶ Οὐβιγάντης καὶ ἄλλοι τῶν κριτικῶν, καὶ αὐτὸς ὁ Σχαρφεμβέργης ὡμολόγησεν (α).

(α) « Exponendum est de Josephi cum versione Alexandrina consensu in iis, q u a e n u n c c e r t e n o n e x t a n t in libris Hebraicis, sive in h i s o l i m l e c t a i n j u r i a t e m p o r u m n e g l e c t a e t d e p e r d i t a s u n t, sive in versionem Alexandrinam aliunde illata » (Scharfenberg l. c. p. 12 sqq.). Ἐννοεῖς, ὦ φίλε ἀναγνῶστα, ὅτι τὸ δεύτερον sive (ἢ) προσετέθη χάριν εὐπροσωπίας, μήποτε ἡ πρότασις ὁλοσχερῶς καὶ ἀποφαντικῶς ἐξενεχθεῖσα (ὅτι ταῦτα τὰ χωρία ἀμεληθέντα ἐκπεπτώκασιν ἐκ τοῦ ἑβραϊκοῦ), βαρεῖα προσπέσῃ καὶ ὀχληρὰ ταῖς ἀκοαῖς τῶν ἀκέραιον καὶ ἀκραιφνὲς (sartum tectum) ἐ ξ ὅ λ η ς κ α ρ δ ί α ς πρεσβευόντων τὸ Μασοραῖον κείμενον. Ἐμφιδία δὲ πάντως καὶ αὐτὸς ὁ σοφὸς κριτικὸς, ἐν ᾧ ἔγραφε τὸν δεύτερον διαζευκτικὸν « ἢ

Αὐτίκα· λέγει ὁ Ἰώσηπος (περὶ τῆς ἐν τῇ ἐρήμῳ σκηνώσεως καὶ ἀποσκηνώσεως τῆς παρεμβολῆς τῶν Ἰσραηλιτῶν)· «Τρίτον δὲ σημάναντος, τὸ κατὰ λίβα τετραμμένον τῶν ἐσκηνωκότων μέρος ἐκινεῖτο· καὶ τέταρτον, τὸ κατὰ βοῤῥᾶν» (Ἀρχ. Γ. ιϐ. §. 6). Γέγραπται καὶ παρὰ τοῖς Ο. «Καὶ σαλπιεῖτε σημασίαν τρίτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι παρὰ θάλασσαν· καὶ σαλπιεῖτε σημασίαν τετάρτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι πρὸς βοῤῥᾶν» (Ἀριθμ. Ι. 6). Ἐν δὲ τῷ νῦν ἑβραϊκῷ μάτην ταῦτα ζητήσεις (βλ. ὄπισθ. σελ. 525). Ἐσημείωσε τὸ χάσμα τοῦτο τοῦ ἑβραϊκοῦ καὶ ὁ κλεινὸς Βερνάρδος (Σημ. εἰς Ἰώσηπ. αὐτόθ.).

Ἀρχ. Ϛ. δ. 5. «Ταύτης δὲ (τῆς Βενιαμὶν φυλῆς) κληρωθείσης, ἔλαχεν ὁ Κίσου βασιλεύειν παῖς Σάουλος». Οὕτω γέγραγραπται καὶ παρὰ τοῖς Ο· «*Καὶ προσάγουσι τὴν φυλὴν Ματταρὶ εἰς ἄνδρας*» (Α. Βασιλ. Ι, 21). Οὐδὲν τούτων εὑρήσεις ἐν τῷ ἑβραϊκῷ (βλ. ὄπισθ. σελ. 562).

Ἀρχαιολ. Ϛ, α, 1. «Τὰ δ' *ἐπὶ τῆς χώρας μυῶν πλῆθος, ἀνελθὸν ἀπὸ τῆς γῆς*, κατέβλαψε, μήτε φυτῶν, μήτε καρπῶν ἀποσχόμενον». Καὶ οἱ Ο, «Καὶ μέσον τῆς χώρας αὐτῶν ἀνεφύησαν μύες» (Α. Βασιλ. ε, 6). Οὐδὲ ταῦτα κεῖνται ἐν τῷ ἑβραϊκῷ. (βλ. καὶ ὄπισθ. σελ. 561).

Ἀρχαιολ. Ϛ, ς, 3 (ὁ Σάουλος) γενομένων ἤδη ὡς *μυρίων τῶν ἑβραίων*» (ἐδίωκε τοὺς πολεμίους). Καὶ οἱ Ο. «Καὶ πᾶς ὁ λαὸς ἦν μετὰ Σαοὺλ ὡς δέκα χιλιάδες ἀνδρῶν» (Α. Βασιλ. ιδ, 22). Καὶ ταῦτα λείπουσιν ἐκ τοῦ ἑβρ. (βλ. ὄπισθ. σελ. 565).

Ἀρχαιολ. Ζ, η, 2. (ὁ Δαυΐδης) «φιλῶν τὸν Ἀμνῶνα σφόδρα,

ἀλλαχόθεν τὰ χωρία εἰς τὴν Ἀλεξανδρινὴν (τῶν Ο) ἑρμηνείαν ἐπηνέχθησαν» ! Εἶπεν ἓν ἀόριστον Ἀλλαχόθεν, μηδ' αὐτὸς ἔχων εἰπεῖν πόθεν, Ἰωσήπου μαρτυροῦντος τὸ γνήσιον τῶν χωρίων! » Ἐφεξῆς δὲ ὅμως (σελ. 13) παῤῥησιαστικώτερον ἐξεφράσθη, ὅτι οὐκ οἴεται ἀποῤῥιπτέαν τὴν γνώμην τῶν κεκρικότων ἐκπεπτωκότα τὰ χωρία ταῦτα ἐκ τοῦ ἑβραίου κώδηκος. Καίτοι πάλιν μετ' ὀλίγον (ἵνα μὴ φίλης ἐπιλάθηται τέχνης) ἀμφιβάλλει περί τινα· τὰ δὲ καὶ ὡς διεσκευασμένα εἴ τε ὑπ' αὐτῶν τῶν Ο, εἴ τε καὶ ὑπό τινων ἄλλων διασκευαστῶν ἄντικρυς ἀποφαίνεται· καὶ ταῦτα Ἰωσήπου παρόντος! Σημειοῦμεν τὰ περὶ τούτων ὑθὺς ἐν τοῖς ἀνωτέρω.

πρεσβύτατος γὰρ ἦν υἱὸς αὐτῷ, μὴ λυπεῖν αὐτὸν ἠναγκάζετο». Καὶ οἱ Ο' «Καὶ οὐκ ἐλύπησε τὸ πνεῦμα Ἀμνὼν τοῦ υἱοῦ αὐτοῦ, ὅτι ἠγάπα αὐτὸν, ὅτι πρωτότοκος αὐτοῦ ἦν» (Β. Βασιλ. ιγ, 21). Καὶ ταῦτα τοῦ ἑβραϊκοῦ ἐκπεπτώκασι.

Ἄλλα τοιαῦτα παραδείγματα παραλείπομεν, προστιθέμεθα δὲ μόνον ὅσα οἱ περὶ τὸν Σχαρφεμβέργην νομίζουσιν ἐν τοῖς Ο διεσκευασμένα.

Ἀρχ. Α. ια, 5. γράφει ὁ Ἰώσηπος, ὅτι (ἔτεκεν ἡ μὲν πρεσβυτέρα τῶν θυγατέρων τοῦ Λὼτ υἱὸν) «Μώαβον· εἴποι δ' ἄν τις *ἀπὸ πατρὸς*», καὶ (ἡ ἑτέρα) «Ἄμμανον· *γένους υἱὸν* ὑποσημαίνει τὸ ὄνομα». Ταῦτα δὲ φανερῶς ἀναγινώσκονται καὶ παρὰ τοῖς Ο (ἐκάλεσε Μωὰβ), «λέγουσα· *ἐκ τοῦ πατρός μου*». Καὶ (ἐκάλεσεν Ἀμμὰν) «λέγουσα· *υἱὸς γένους μου*» (Γενέσ. ιθ, 37, 38). Ἀλλ' ἀμφότεραι αἱ παρωνυμίαι λείπουσιν ἐκ τοῦ ἑβρ. (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 912).

Καὶ ἐν Ἰησ. ς, 5, γέγραπται παρὰ τοῖς Ο (πεσεῖται τὰ τείχη) «*αὐτόματα*». λείπει ἡ λέξις ἐν τῷ ἑβρ. ἀνέγνω δὲ ταύτην καὶ ἔγραψεν ὁ Ἰώσηπος· «*αὐτομάτως* καὶ δίχα πόνου» κτλ. (Ἀρχ. Ε. α. 5).

Ἀρχ. Ϛ, θ, 4. «Ἐρωτήσαντος τοῦ Γολιάθου, μὴ αὐτὸν ἀντὶ ἀνθρώπου κύνα εἶναι δοκεῖ;» ἀπεκρίνατο ὁ Δαβίδ· «οὐχὶ τοιοῦτον, ἀλλὰ καὶ χείρω κυνὸς αὐτὸν νομίζειν». Ὡσαύτως καὶ οἱ Ο. «Καὶ *εἶπε Δαβίδ· οὐχὶ, ἀλλ' ἢ χείρων κυνός*». (Α. Βασιλ. ιζ, 43). Ἐν δὲ τῷ ἑβρ. τὸ μὲν ἐρώτημα τοῦ Γολιάθου γέγραπται· ὁ δὲ Δαβὶδ σιωπᾷ! Δυσαρεστεῖται ὁ κριτικὸς ἐπὶ τῇ παρ' Ἰωσήπῳ καὶ τοῖς Ο ἀποκρίσει τοῦ προβατονόμου Δαβὶδ (ὡς ἀγροικοτέρᾳ δηλονότι, καὶ μὴ λίαν συνετῇ· «nescio quam scite»)· ἀλλ' ὤφειλε μᾶλλον θαυμάσαι, διὰ τί πρὸς τὸν ἐρωτήσαντα Γολιὰθ ὁ παρὰ τῷ ἑβραίῳ Δαβὶδ οὐδὲν ἀπεκρίνατο· καὶ ὑπονοῆσαι δὲ δικαίως, μήποτε τὸ χωρίον ἐξεῖλεν ἐκ τοῦ ἑβρ. ὡς κακέμφατον ἡ μάλιστα τῆς εὐστομίας πεφροντικυῖα ῥαββινικὴ σεμνοπρέπεια! (βλ. ὄπισθ. σελ. 239).

Ἐν Β. Βασιλ. ς, 20, ἔχουσιν οἱ Ο «Καὶ εὐλόγησεν αὐτὸν» (ἡ Μελχὸλ τὸν Δαβίδ). Τοῦτο τὸ *εὐλόγησεν* ἀνέγνω καὶ περι-

φραστικώτερον ἐξήγησε καὶ Ἰώσηπος (Ἀρχ. Ζ. δ. 3). Λείπει δὲ τὸ ῥῆμα ἐκ τοῦ ἑβραϊκοῦ, καὶ ὁ κριτικὸς ὑποπτεύει καὶ τοῦτο παρεμπεποιημένον παρὰ τοῖς Ο!

Λέγει ὁ Ἰώσηπος (Ἀρχ. ς, δ, 2), ὅτι (ὁ Σαμούηλος χρίσας τὸν Σάουλον), εἶπεν· «ἴσθι βασιλεὺς ὑπὸ τοῦ θεοῦ κεχειροτονημένος ἐπὶ Παλαιστίνους τε καὶ τὴν Ἑβραίων ἄμυναν· τούτων δ᾽ ἔςαι σοι σημεῖον», καὶ τὰ ἑξῆς, παραφράζων τὰ παρὰ τοῖς Ο ταῦτα. «Καὶ σὺ ἄρξεις ἐν λαῷ κυρίου, καὶ σὺ σώσεις αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ· καὶ τοῦτό σοι τὸ σημεῖον ὅτι ἔχρισέ σε Κύριος» κτλ. (βλ. ὄπισθ. σελ. 561). Οὐδὲν τούτων ἐν τῷ ἑβραϊκῷ!

Ἐν Ἰησοῦ ς, 26, γέγραπται παρὰ τοῖς Ο, κατ᾽ἀναχρονισμὸν, ὅπως ἐπληρώθη ἡ ἀρὰ τοῦ Ἰησοῦ (καὶ φαίνεται ἡ περικοπὴ ὑπὸ τοῦ Σαμουὴλ, ἤ τινος ἄλλου τῶν προφητικῶν ἀνδρῶν, ἢ καὶ ὑπ᾽αὐτοῦ τοῦ Ἔσδρα κανονικῶς προστεθειμένη, ἐκ τοῦ Γ, Βασιλ. ις, 30. βλ. ὄπισθεν σελ. 546). Ταύτην τὴν ῥῆσιν ἀνέγνω καὶ Ἰώσηπος, ὡς φαίνεται σαφῶς ἐξ ὧν λέγει· «Τῆς δὲ ἀρᾶς τὸ θεῖον οὐκ ἠμέλησε» (Ἀρχ. Ε. α, 8). Ἐν δὲ τῷ ἑβρ. λείπει τὸ χωρίον. Καὶ ὁ κριτικὸς ὑπομιμνήσκει τὸν Ἰώσηπον, ὅτι ταῦτα ἐλήφθησαν ἐκ τῆς Γ. Βασιλ. ις, 34! Ὁ δὲ τάλας Ἰώσηπος ἠγνόει ἄρα τὸ πρᾶγμα!

Ἀρχ. Ζ. ε. 5. λέγει· (Δαυΐδης ἀνέθηκε τῷ θεῷ τὰς χρυσᾶς πανοπλίας), «ἃς ὕστερον ὁ τῶν Αἰγυπτίων Βασιλεὺς Σούσακος, στρατεύσας ἐπὶ τὸν υἱωνὸν αὐτοῦ Ῥοβόαμον, ἔλαβε». Ταῦτα δὲ κατὰ λέξιν σχεδὸν εὑρίσκεις καὶ παρὰ τοῖς Ο (Β. Βασιλ. η, 7). Τὸ δ᾽ ἑβραϊκὸν οὐδὲν τούτων ἔσωσε. Καὶ ὁ κριτικὸς διατείνεται, ὅτι ταῦτα διεσκευάσθησαν ἐν τούτῳ τῷ χωρίῳ τῶν Ο, ἐκ τῶν Γ. Βασιλ. ιδ, 25, 26 (ὅπου κατὰ τὴν σειρὰν τῆς ἱστορίας γέγραπται τὸ αὐτὸ περιστατικὸν, προσεσημειωμένον, ὡς ἐπίσημον, καὶ ὑπὸ τοῦ ἱεροῦ συγγραφέως τῆς Β, τῶν Βασιλειῶν). Ὁ δ᾽ Ἰώσηπος ἐπιμειδιῶν ἐπὶ ταῖς τοιαύταις *κριτικαῖς διασκευαῖς*, δακτυλοδεικτεῖ καὶ τοῦτο τὸ παλαιὸν τοῦ ἑβραϊκοῦ χάσμα.

Ἀρχ. Ε, β. 8. Ἱστορῶν ὁ Ἀρχαιολόγος, ὅτι ὁ Λευΐτης διαμελίσας εἰς δώδεκα μέρη τὸ πτῶμα τῆς καταισχυνθείσης αὐτοῦ

γυναικός, προστίθησιν· «Ἐντειλάμενος τοῖς κομίζουσι λέγειν τοὺς αἰτίους τῆς τελευτῆς τῇ γυναικὶ, καὶ τὴν βίαν, ταῖς φυλαῖς». Καὶ ταῦτα παρὰ τοῖς Ο. «Καὶ ἐνετείλατο τοῖς ἀνδράσιν οἷς ἐξαπέστειλε, λέγων· τάδε ἐρεῖτε πρὸς πάντα ἄνδρα Ἰσραήλ· εἰ γέγονε κατὰ τὸ ῥῆμα τοῦτο ἀπὸ τῆς ἡμέρας τῆς ἀναβάσεως υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου, ἕως τῆς ἡμέρας ταύτης»(Κριτ. ιθ, 30. κώδ. Ἀλεξ. Ὀξον. Ἀλδ. βλ. Ὀλμ.)· ἐκ δὲ τοῦ ἑβραϊκοῦ λείπουσι τὰ λόγια. Καὶ ὁ κριτικὸς νομίζει τὸ χωρίον παρὰ τοῖς Ο διεσκευασμένον ἔκ τινων ὁμοίων δῆθεν φράσεων, οἷον τῶν ἐν Γεν. λϐ. 5, καὶ Α. Βασιλ. ια, 7. (μηδὲν κοινὸν πρὸς τοῦτο τὸ ῥητὸν ἐχουσῶν)· ἀθωοῖ δὲ ὅμως τοὺς Ο, ὑπό τινων ἄλλων προστεθῆναι λέγων *ταῦτα τὰ ῥάκη* (οἵτινες, ὡς ἔοικε, φυλλομετροῦντες ὅλα τὰ τεύχη τῆς γραφῆς, ὡς αὐτὸς ὁ κριτικὸς ἐματαιοσχόλησεν, ἐζήτουν ποῦ καὶ ἄλλοθι γέγραπται τοιοῦτό τι, ἔστω καὶ μικρῷ παρεμφερὲς, ἵνα τοῦτο προσθῶσι καὶ ὧδε χωρὶς ἀνάγκης!). Ἀλλ' ὅστις θεωρήσῃ τὴν δοκοῦσαν παλιλλογίαν, πόσον συμϐάλλει πρὸς ἐξακρίϐωσιν τοῦ νοήματος τοῦ χωρίου τούτου τῶν Κριτῶν (πρϐλ. κεφ. κ, 7), ἐνθυμηθῇ δὲ καὶ ὅτι τὰς λεγομένας ταύτας προσραφὰς ἀνεγίνωσκε καὶ Ἰώσηπος, καὶ πᾶσαι αἱ μὴ μόνον ἐν Ἀλεξανδρείᾳ καὶ ἀλλαχοῦ, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν Ἱερουσαλὴμ αἱ *τῶν Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων* καὶ τοσούτων ἄλλων ἑλληνιττῶν συναγωγαὶ, καὶ προσέτι τοσούτων τότε χριστιανῶν αἱ νεοπαγεῖς Ἐκκλησίαι, ἀπορήσει πάντως ἐπὶ τῷ θράσει τῶν τοιούτων κριτικῶν, εἰς οἷα καταντῶσι, βουλόμενοι συγκρύψαι τὰ λελωϐημένα χωρία τοῦ Μασοραίου κώδηκος.

Ε) Ὁ Ἰώσηπος ἐξελέγχει καὶ ἄλλας ἀναγνώσεις τοῦ ἑβραϊκοῦ μεταϐεϐλημένας, καὶ ἄλλως ἤδη γραφομένας, ἢ ὡς ἀνέγνων καὶ μετέφρασαν οἱ Ο, καὶ αὐτὸς, ὁ Ἀρχαιολόγος, τούτοις συμφωνῶν. Ἰδοὺ καὶ τούτων δείγματα (α).

Ἀρχ. Α. ιϐ. 3. γράφει (ὅτι ἡ Ἄγαρ ἔρριψε τὸ παιδίον) «*ὑπ'*

(α) Πρϐλ. Scharfenberg l. c. p. 10.

ἐλάτῃ τινί». Καὶ οἱ Ο «ὑποκάτω μιᾶς *ἐλάτης* (Γενέσ. κα, 15). Τὸ δὲ νῦν ἑβρ. «ὑποκάτω ἑνὸς τῶν *θάμνων*» (καὶ ἀνεγίνωσκεν ἄρα καὶ ὁ Ἰώσηπος ἐν τῷ ἑβρ. οὐχ᾽ ὡς ἔχει τανῦν ἀορίστως *θάμνον* (schiach), ἀλλ᾽ ὡρισμένον ὄνομα δένδρου, ὡς οἱ Ο *ἐλάτην* (ἴσ. τὸ birosch).

Ἀρχ. Ε. 2. 8. (ἔλεγεν ὁ Λευΐτης) «*πρὸς αὐτὸν ἀπιέναι*», καὶ οἱ Ο «Εἰς τὸν οἶκον μου ἐγὼ πορεύομαι» (Κριτ. ιθ, 18)· τὸ δ᾽ ἑβρ. «*Εἰς τὸν οἶκον τοῦ Θεοῦ*» (φράσις διόλου ξένη τῆς ἐννοίας τοῦ χωρίου).

Α. Βασιλ. ιδ, 18, οἱ Ο ἔχουσι· «*Προσάγαγε τὸ ἐφοὺδ* (ὅτι ἦν *ἡ κιβωτὸς τοῦ Θεοῦ* ἐν ταῖς ἡμέραις ἐκείναις ἐνώπιον Ἰσραήλ». Ἀλεξ. Ἀλδ. Κομπλ. πρβλ. Α. Βασιλ. λ, 7). Οὕτως ἀνέγνω καὶ Ἰώσηπος (Ἀρχ. ς, ς. 3) «*λαβεῖν τὴν ἀρχιερατικὴν στολήν*» (τουτ. τὸ *ἐφούδ*. πρβλ. Ἀρχ. ς, ιδ, 6). Τὸ δὲ νῦν ἑβρ. «προσάγαγε *τὴν κιβωτὸν τοῦ θεοῦ*»· (οὕτως ὁ Ἰουδαῖος ἀντιγραφεὺς, ἢ διασκευαστὴς, παριδὼν τὸ *ἐφοὺδ*, ἐπανέλαβε δὶς τὸ ἑπόμενον, «τὴν κιβωτὸν τοῦ Θεοῦ»).

Ἀρχ. ς. ια, 9 (ὁ Σαοὺλ τὸν υἱὸν Ἰωνάθαν) «*ἐξ αὐτομόλων* γεγεννημένον, καὶ πολέμιον ἀπεκάλει, καὶ *κοινωνὸν* τοῦ Δαυΐδου». Καὶ οἱ Ο «Υἱὲ κορασίων *αὐτομολούντων*· οὐ γὰρ οἶδα, ὅτι *μέτοχος* εἶ σὺ τῷ υἱῷ Ἰεσσαί; (Α. Βασιλ. κ, 30). Τὸ δὲ νῦν ἑβρ. «Υἱὲ *διεστραμμένης* ἀποστασίας· μὴ οὐκ οἶδα ὅτι *ἐξελέξω* τὸν υἱὸν Ἰσαΐ;» κτλ. (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 757).

Ἀρχ. ς, ιγ, 6 «Ἦν δὲ Νάβαλος σκληρὸς καὶ πονηρὸς τοῖς ἐπιτηδεύμασιν, ἐκ *κυνικῆς* ἀσκήσεως πεποιημένος τὸν βίον». Οὕτω καὶ οἱ Ο· «Καὶ ὁ ἄνθρωπος σκληρὸς καὶ πονηρὸς ἐν ἐπιτηδεύμασι, *καὶ ὁ ἄνθρωπος κυνικὸς*» (Α. Βασιλ. κε, 3). Τὸ δ᾽ ἑβραϊκόν. «Καὶ ὁ ἄνθρωπος σκληρ. . . καὶ αὐτὸς ἦν Χαλεβίτης» (ἐκ τῆς γενεᾶς τοῦ Χάλεβ)· οὕτως ἐξηγοῦσιν ὡς *πατρωνυμικὸν* τὸ ἑβραϊκὸν (calebi) (α). Ἀλλ᾽ ὁ Νάβαλ οὐδαμοῦ τῆς Γραφῆς

(α) Ἑρμην. Μοντάν. Οὕτω καὶ ἡ Βουλγάτα· ὅθεν καὶ ὁ Clericus, Comment. ad I. Sam. 25, 3. καὶ Michael. Orient. Biblioth. Th. 7. p. 202.

ἐγενεαλογήθη ὡς τοῦ Χάλεϐ ἀπόγονος. Ἔπειτα καὶ αὐτὸ τὸ κύριον Χάλεϐ, τὸ αὐτό ἐστι καὶ τὸ *χελεϐ* (celeb, ὁ κύων, οἷα καὶ τὰ κύρια ἑλληνικὰ Κύνης, Κυνίδης, Κυνίσκος, Κυναίγειρος, Σκύλλα, Σκύλαξ, καὶ Λατιν. Catulus, Caninius, Canidius κτλ.). Ἐνταῦθα δὲ τὸ calebi (ἐκ τοῦ celeb) *προσηγορικὸν*, σημαῖνον τὸν *κύνα* καὶ κυνικὸν (ὡς τὰ ἑλλην. *κυνώπης*, κυνόφρων, *κύνειον* ἦτορ ἔχων, *κύντερος* κτλ. σύνηθες δὲ καὶ τῇ ἑϐραΐδι καὶ ταῖς ἄλλαις ἀνατολικαῖς διαλέκτοις τὸ *κύων* ἐπὶ τοῦ ὠμοῦ καὶ λυσσώδους καὶ ἰταμοῦ καὶ δηκτικοῦ καὶ ἀκαθάρτου, ὡς καὶ πολλαχοῦ τῆς θείας Γραφῆς). Ὅθεν καὶ τὸ ἀνωτέρω *κυνικὸς* (calebi) ὀρθῶς ἡρμήνευσαν ὁ μὲν Σύρος, «*ὡς κύων λυσσώδης*», ὁ δὲ Ἄραψ, «*κυνὸς ὅμοιος* ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ» (α). Ὥστε οὐχ οἱ Ο, καὶ ὁ Ἰώσηπος μετεποίησαν τὸν ἔκγονον τοῦ Χάλεϐ εἰς *κυνικὸν*, (ὡς ἀστεΐζεται ὁ κριτικὸς), ἀλλὰ τἀνάπαλιν οἱ μὴ πειθόμενοι τοῖς Ο, καὶ τῷ Ἰωσήπῳ παρέστησαν τὸν *κυνικὸν* ὡς Χαλέϐου παῖδα, γενεαλογοῦντες τὸν *κυνώπην* Νάϐαλον (ϐ).

(α) Βλ. τὸν Bochart. Hierozoic. P. I. Lib. II. p. 663. ὅστις καὶ τὸ Ἀσκληπιὸς, λατ. Aesculapius, Φοινίκων θεὸς (Δαμάσκ. παρὰ Φωτ. ἀναγν. σμϐ. σελ. 1073), ἐτυμολογεῖ ἐκ τοῦ Ισ-καλιϐι (is-calibi) = ἀνὴρ κυνικός.

(ϐ) Scharfenberg l. c. p. 8. *Προστίθησι δὲ καὶ ἄλλα σφάλματα δῆθεν τῶν* Ο *καὶ τοῦ* Ἰωσήπου, *ὡς ἑρμηνευόντων τὰ κύρια ὡς προσηγορικά· Οἷον ἐν* Α. Βασιλ. *ιδ*, 2. *οἱ* Ο *ἔχουσιν* «*ἐπ' ἄκρου τοῦ* *β ο υ ν ο ῦ*», *καὶ πάλιν* «*ἐ ν τ ῷ β ο υ ν ῷ*» (Α. Βασιλ. κϐ. 6). Οὕτω καὶ Ἰώσηπος «*ἐ π ὶ β ο υ ν ο ῦ ὑψηλοῦ*» (ϛ, ϛ, 2) «*καὶ ἐπὶ τ ὸ ν β ο υ ν ό ν*» (ϛ, ιϐ, 4). Τὸ *δ' ἑϐρ. ἔχει* «*ἐπ' ἄκρου τῆς* Γιϐεὰ» (*πόλεως τῆς* Βενιαμίτιδος *φυλῆς, ἐπὶ λόφου κειμένης*)· *σημαίνει δὲ τὸ* Γιϐεὰ *καὶ β ο υ ν ὸ ν, λόφον*. (*ὅθεν οἱ* Ο, *καὶ* Ἰώσηπος *συνέχεον τὰς λέξεις*! ·(Ἀλλὰ *μάτην ἐπὶ τούτῳ δυσανασχετεῖ ἡ φιλεϐραία κριτική*. Καὶ *γὰρ αὐτοί τε οἱ* Ο, *καὶ* Ἰώσηπος *εἶπον καὶ τὸ κύριον ὄνομα τῆς πόλεως* Γαϐαὰ (Α. Βασιλ. *ιδ*, 16. *ἐν αὐτῷ δὴ τῷ κεφαλαίῳ, ὅπου ὁ κριτικὸς εἶδε μόνον τ ὸ ν β ο υ ν ὸ ν, καὶ ἀλλαχοῦ πολλαχοῦ, ὡς* «Γαϐαὰ *Βενιαμίν*». Α. Βασιλ. *ιγ*, 2. *ιε*, 34 *κτλ*). Οὕτω *καὶ* Ἰώσηπος (ϛ, ϛ, 1, 2 *κτλ*.). Ἀδίκως *οὖν ἔψεξεν ὁ κριτικὸς τοὺς* Ο *γέροντας καὶ τὸν γνήσιον αὐτῶν παῖδα, τὸν* Ἰώσηπον, *ὡς πολλάκις μὴ διακρίνοντας τὸ κύριον ἀπὸ τοῦ προσηγορικοῦ*! Ὤφειλε *δὲ μᾶλλον ὁμολογῆσαι τὸ καλὸν ἰδίωμα τῆς ἑρμηνείας τῶν* Ο, *ὃ συνεῖδε καὶ ἐζήλωσε καὶ* Ἰώσηπος. Λέγουσι *μὲν γὰρ καὶ τὸ κύριον, ἀποδιδοῦσι δὲ πρὸς σαφήνειαν καὶ τὴν τούτου ἑλληνικὴν σημασίαν, οὐ μᾶλλον προσηγορικῶς ἢ κυριωνυμικῶς καὶ ταύτην τιθέντες*. Αὐτίκα *ἐν αὐτῇ τῇ* Α»

Ἀρχ. Ζ. β, ι. (Οἱ φονεῖς τοῦ Ἰεβόσθου [καὶ παρὰ τοῖς Ο, Ἰεβοσθὲ] εἰσελθόντες εἰς τὸν οἶκον αὐτοῦ) «καὶ *μήτε τὴν θυρωρὸν* (εὑρόντες) *ἐγρηγορυῖαν*, ἀλλὰ καὶ αὐτὴν *ὑπό τε τοῦ κόπου καὶ τῆς ἐργασίας, ἣν μετεχειρίζετο, εἰς ὕπνον καταπεσοῦσαν*, παρελθόντες εἰς τὸ δωμάτιον» κτλ. Ὡσαύτως καὶ οἱ Ο. «*Καὶ ἰδοὺ ἡ θυρωρὸς τοῦ οἴκου ἐκάθαιρε πυροὺς, καὶ ἐνύσταξε, καὶ ἐκάθευδε*· καὶ Ῥηχὰβ καὶ Βαανὰ οἱ ἀδελφοὶ διέλαθον, καὶ εἰσῆλθον εἰς τὸν οἶκον, καὶ Ἰεβοσθὲ ἐκάθευδε» κτλ. (Β. Βασιλ. δ, 6). Τὸ δὲ νῦν ἑβραϊκὸν πῶς; «*Καὶ ἰδοὺ εἰσῆλθον ἕως εἰς μέσον τοῦ οἴκου λαμβανόντων* (ἄλλ. προσλαμβάνοντες, assumentes) *σῖτον, καὶ ἔπαισαν αὐτὸν εἰς τὴν πέμπτην πλευράν*· καὶ Ῥηχὰβ, καὶ Βαανὰ ὁ ἀδελφὸς αὐτοῦ διῆλθον (ἢ διεσώθησαν, evaserunt), καὶ εἰσῆλθον εἰς τὸν οἶκον· καὶ αὐτὸς» (δηλαδὴ ὁ *Ἰεβοσὲθ*, ὡς γράφουσι τὸ Ἰεβοσθὲ) ἐκάθευδε» κτλ. Τίνες οἱ λαμβάνοντες, ἢ παραλαμβάνοντες σῖτον; μῶν αὐτοὶ οἱ δολοφόνοι; (οἳ ἦσαν καὶ συστρεμμάτων ἀρχηγοὶ, ἢ ταξίαρχοι τοῦ Ἰεβοσθέ. αὐτόθι δ. 2)· καὶ τίνα ἔπαισαν εἰς τὴν πέμπτην πλευράν; (οὐδεὶς γὰρ ἕτερος ἱστορεῖται φονευθεὶς, πλὴν μόνος ὁ Ἰεβοσθέ)· πῶς δὲ παίσαντες, ὃν ἔπαισαν, εἰς τὴν πέμπτην πλευρὰν, ἔπειτα τέλος, εἰσῆλθον εἰς τὸν οἶκον ἐν ᾧ ἐκάθευδεν Ἰεβοσθὲ ἐπὶ τῆς κλίνης, καὶ τότε ἐθανάτωσαν αὐτόν; Ἐρώτα ἀναγνῶστα τοὺς Μασορίτας! Rabbinos interroga (φησὶν Ἱερώνυμος)· οἱ δ' ἀποκρινοῦνται λήρους. Ὁ δ' Ἰώσηπος κηρύττει καὶ ὧδε τὴν μετ' αὐτὸν τοῦ ἑβραϊκοῦ κειμένου φθοράν (α).

τῶν Βασιλ. εἰπόντες ἐν Γ α β α ᾷ τοῦ Βενιαμὶν (ιγ, 2), μετ' ὀλίγον (στίχ. 3) εἶπον καὶ ἐν τῷ β ο υ ν ῷ (σύνηθες δὲ τὸ Βουνὸς ὄνομα ἐπὶ πάσης πόλεως, ἢ κώμης ἐπὶ λόφου κειμένης). Οὕτως εἶπον καὶ Β α ι θ ὴ λ, καὶ Ο ἶ κ ο ς Θ ε ο ῦ, κτλ. (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 901).

(α) Ταύτης ἀπώνατο καὶ ἡ Βουλγάτα καὶ ἀλλαχοῦ πολλαχοῦ καὶ ἐν τῷ ἀνωτέρῳ χωρίῳ, ἐν ᾧ ἔχει τρίτην τινὰ φράσιν σύμμικτον· γράφει γὰρ καὶ τὴν θυρωρὸν, συνάπτει καὶ τοὺς λαμβάνοντας οὐ σῖτα, ἀλλὰ σ τ ά χ ε ι ς π υ ρ ο ῦ κτλ. «Et ostiaria domus purgans triticum obdormivit. Ingressi sunt autem domum latenter assumentes s p i c a s t r i t i c i, et percusserunt eum in inquine et fugerunt. Cum autem furent ingressi domo, κτλ.

§. δ. Ὅτι δὲ ὁ Ἀρχαιολόγος ἐχρῆτο οὐ μᾶλλον τοῖς Ο, ἢ τῷ κατ᾽ αὐτὸν ἑβραϊκῷ (καθὰ προείπομεν), δείγματα τρανώτατα μαρτυροῦσιν. Ὡς μὲν γὰρ ἑλληνιστὶ συγγράφων, προσέκειτο τοῖς Ο πρεσβυτέροις καὶ διδασκάλοις, μὴ μόνον τὴν ἀκρίβειαν τῶν γραφικῶν ἐννοιῶν πληροφορούμενος ὑπ᾽ αὐτῶν, ἀλλὰ καὶ τὰς χαριεστέρας λέξεις ἐκλέγων (α). Ἔστι δ᾽ ὅμως ὅπου καὶ πρὸς τὸ κατ᾽ αὐτὸν ἀπέκλινεν ἑβραϊκὸν, ὅπερ εἶχεν ἐπ᾽ αὐτοῦ μικράς τινας περὶ λέξεις παραλλαγὰς, ἢ ἀναγνώσεις διαφερούσας ὧν ἀνέγνων καὶ ἡρμήνευσαν οἱ Ο· οἷον ὅταν γράφῃ «*Οὐρὴν* πόλιν Χαλδαίων» (Α. ς, 5), ἣν οἱ Ο «*χώραν* Χαλδαίων» ἔγραψαν (Γενέσ. ια, 31) (β), καὶ *Μώριον ὄρος* (Ἀρχ. Α, ιγ, 1), τὸ ἑβραϊκ. α γῆ

(α) Οἷον ὅταν τὸ ἑβρ. gan (κῆπον) ἑρμηνεύῃ μεγαλοπρεπῶς καὶ κυρίως ὡς οἱ Ο, παράδεισον (Ἀρχ. Α, α, 3. ἐκ τοῦ Γενέσ. β), καὶ ἐπωμίδα (τὸ ἑβρ. ἐφοὺδ, ἢ ἐφὸδ), καὶ λόγιον, ἢ λογεῖον (τὸ νῦν ἑβρ. hoschen, ἢ Ἐσσῆνα, ὡς αὐτὸς ἀπήγγειλε καὶ ἔγραψε), καὶ πανοπλίαν (Β. Βασιλ. β, 21. Ἀρχ. Γ. ζ. 5) τὸ ἑβρ. chalitsa (ςολὴν ἱματίων, καὶ ὅπλων, ἢ σκύλα καὶ ἐκδύματα, exuviae), καὶ μητρόπολιν τὸ ἑβρ. em, μήτηρ, καὶ ἐπὶ πόλεως (Β. Βασιλ. κ, 21. Ἀρχ. Ζ. ια, 8) ὡς καὶ παρὰ Καλλιμάχ. Λείψ. 112, τὸ μήτηρ, ἐπὶ πόλεως). καὶ τὸ ἑβρ. schimema (μεμονωμένη, ἐρημάζουσα, desolata) εἶπεν ἑλληνικώτατα καὶ λίαν φραστικῶς «χηρεύουσα» (ἐπὶ τῆς διακορηθείσης καὶ μεμονωμένης Θάμαρ. Β. Βασιλ. ιγ, 20. Ἀρχ. Ζ. ια. 1. τοιοῦτο καὶ τὸ τοῦ Σοφοκλέους «μέλεος μελέῳ ποδὶ χηρεύων, τουτ. ἐρημάζων)· πρόσθες καὶ τὸ στρατοκῆρυξ (Γ. Βασιλ. κβ, 36. Ἀρχ. Η. ια, 6) συγκεκριμμένως, ἀντὶ τοῦ κατὰ τὸ ἑβραϊκὸν ἀφῃρημένου κήρυξις ἐν τῷ στρατῷ κτλ. Καὶ τὴν ἐν πολλαῖς δὲ λέξεσιν ἀκρίβειαν τῶν Ο ἐζήλωσεν· οἷον ἐν Γενέσ. α. 1 εἶπον οἱ Ο τὴν γῆν ἀόρατον καὶ ἀκατασκεύαστον (τὸ ἑβρ· tohu vabohu), εἶπε καὶ αὐτὸς «τὴν γῆν εἰς ὄψιν μὴ ἐρχομένην» (Α. α, 1). Καὶ τὸ Sittim (ὅπερ εἰδικῶς κέδρον τὴν ἀρίστην, ἢ τὴν λεγομένην ἀκακίαν ἑρμηνεύουσιν) ὁ Ἰώσηπος ἡρμήνευσε (Γ. ς, 1, 5) «ξύλα μὴ δυνάμενα σῆψιν παθεῖν», τουτέστιν ἄσηπτα, ὡς εἶπον οἱ Ο (Ἐξόδ. κε, 5), ἅτε τὸ ἄσηπτον ἐν γένει σημαινούσης τῆς ἑβραΐδος φωνῆς. Ἄλλα τοιαῦτα τοῦ Ἰωσήπου βλ. παρὰ Scharfenberg l. c. p. 5.

(β) *Καὶ τὸ χώρα τοῦτο τῶν Ο ὁ Οὐόσσιος θεωρεῖ ἐκ τοῦ Οὐρ ἢ Ὧρ μετὰ τοῦ δασέως πνεύματος Χῶρ, Χώρα (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 652). Δυσαρεστεῖται ὁ Σχαρφεμβέργης ἐπὶ τῇ ἐτυμολογίᾳ, ἀλλ᾽ οὐ κρίνει κινητέαν τῶν Ο τὴν γραφήν. Ὀρθῶς γε δήπου. Εἰ μὴ γὰρ τὸ χώρα παρὰ τὸ χὼρ, ἄλλως λοιπὸν γεγραμμένην τὴν λέξιν ἀνέγνων οἱ Ο, ἐπὶ τῇ σημασίᾳ τῆς χώρας, συνωνυμούσης πολ-*

Μορια (*ἐκ τοῦ ῥaah = ἰδεῖν*)· ὅπερ οἱ Ο ἐξελλήνισαν « Τὴν *γῆν τὴν ὑψηλὴν* » (Γενέσ. κϐ, 2. τουτ. ὑψιφανῆ, οἷον *Ἴδην*· (ὁ Ἀκ. καταφανῆ, ὁ Θ. ὁράσεως)· πρϐλ. Γενέσ. κϐ, 14), καὶ εἴ τινα ἄλλα τοιαῦτα, ὀλίγα μὲν τὸν ἀριθμὸν (α), ἀποδεικνύντα δὲ ὅμως, ὅτι ὁ Ἰώσηπος συνέγραφε τὴν ἱστορίαν, ὡς εἶπεν, ἐκ *τῶν γραμμάτων τῶν ἑϐραϊκῶν*, συμφωνούντων ἄλλως τοῖς Ο.

§. ε. Ὁ κλεινὸς Εἰχόρνιος ἀποφαίνεται, ὅτι ἡ τοῦ Ἰωσήπου πρὸς τὸ ἑϐραϊκὸν κείμενον σχέσις καὶ ἀναφορὰ οὔπω διακέκριται ἐξηκριϐωμένως· μείζονα δὲ περὶ τούτου παρεγγυᾶται τὴν ἐξακρίϐωσιν ἡ συνέχεια τῶν ἐφεξῆς ἐρευνῶν τῆς κριτικῆς ἐπιστήμης. — Ἀλλ' ἐφ' ὅσον ἡ κριτικὴ στάθμη χρῆται καὶ κανόνι τῷ καθ' ἡμᾶς Μασοραίῳ κειμένῳ πρὸς ἀνεύρεσιν τῶν πηγῶν, ὅθεν ἠρύσατο τὰς συγγραφὰς ὁ Ἰώσηπος, οὐδέποτε (νομίζομεν) ἥξει πρὸς τὸ τέρμα τῶν καλῶν αὐτῆς ἀγώνων. Μόνος ἀσφαλὴς πρὸς τὸν

λάκις καὶ πρὸς τὸ π ό λ ι ς, ἄ σ τ υ (βλ. ὄπισθ. Βιϐλ. Α. σελ. 99). Καὶ μάρτυς ὁ Εὐπόλεμος « Ἐν πόλει (φησὶ) τῆς Βαϐυλωνίας Κ α μ α ρ ί ν ῃ, ἥν τινας λέγειν πόλιν Οὐρίην, εἶναι δὲ μεθηρμηνευμένην Χαλδαίων π ό λ ι ν (παρὰ Πολυΐστ. ἐν Εὐσεϐ. Προπαρ. θ. σελ. 245). « Πόλιν δὲ καὶ τὴν χώραν καλοῦσι » (Στραϐ. η, 356). Χώραν ἔχουσι καὶ πάντα τὰ ἀντίγραφα τῶν Ο· χ ώ ρ α ν Χ α λ δ α ί ω ν ἀνέγνω καὶ Φίλων, καὶ ὁ θεῖος Λουκᾶς, ἀντιτάξας ὡς ἰσοδύναμον τὸ γῆ (χθὼν, τ ό π ο ς, ἐπικράτεια), « ἐκ γῆς Χαλδαίων » (Πράξ. ζ). Ὥστε τὸ Ο ὐ ρ ὴ φαίνεται νεωτέρα μετὰ τοὺς Ο ἀνάγνωσις (βλ. Schleusn. Thes. v. χώρα. καὶ Gesen. Lexic. Hebr. p. 29).

(α) Οἷον· ἐν Γενέσ. κς, 20 οἱ Ο (τὸ ὄνομα τοῦ φρέατος) ἔγραψεν Ἀ δ ι κ ί α, ὁ δὲ Ἰώσηπος ἔγραψε Μ ά χ η ν. Καὶ ἀντὶ τοῦ παρὰ τοῖς Ο, « τὸν λαὸν κατεδουλώσατο αὐτῷ εἰς παῖδας » (Γενέσ. μζ, 21), ὁ Ἰώσηπος ἔχει « μ ε τ ῳ κ ί σ θ η σ α ν ἄ λ λ ο ι ἀ λ λ α χ ο ῦ ». (τὸ δὲ νῦν ἑϐρ. ἔχει μ ε τ ε τ ό π ι σ ε ν αὐτοὺς ε ἰ ς π ό λ ε ι ς » ὅπερ οὐδὲ πρὸς τὸν Ἰώσηπον συμφωνεῖ· καὶ τῶν Ο, ἡ ἀνάγνωσις ὑπάρχει ἡ ἀληθεστέρα· βλ. ὄπισθ. σελ. 498). Καὶ ἄλλους δὲ πέντε ἢ ἓξ τόπους διαφέροντας ἀριθμεῖ μετὰ στόμφου ὁ Σχαρφεμϐέργης, ὅπως ἀποδείξῃ τοὺς Ο ἄγαν περὶ τὴν ἀ ν ά γ ν ω σ ι ν π ε π λ α ν η μ έ ν ο υ ς (ὡς λέγει)! Ὡς ἂν εἴπερ ἦν ἀδύνατον ἐν 300 ὅλοις ἔτεσι μετὰ τοὺς Ο εἰσχωρῆσαι καί τινας διαφόρους ἀναγνώσεις (καί τοι ἄλλως ἀϐλαϐεῖς) εἰς τὸν ἐπὶ τοῦ Ἰωσήπου κώδηκα τῶν ἑϐραϊκῶν Γραφῶν! Ἀλλ' εἴπερ ἀπὸ τῶν παρ' Ἰωσήπῳ τούτων τῶν ὀλίγων ὁρμώμενοι διαφορῶν, ἐπιπίπτουσι ῥαγδαῖοι κατὰ τῶν καθόλου πρὸς αὐτὸν συμφωνούντων Ο, τί οὐκ ἂν ἔπραττον, εἴγε διέφερε τῶν Ο, ὁ Ἰώσηπος, ὅσον ἀπέχει τοῦ Μασοραίου κώδηκος;

σκοπὸν ὁδηγὸς ὑπάρχει τὸ ἀρχαῖον καὶ γνήσιον ἐκεῖνο κείμενον τῆς ἑβραΐδος Γραφῆς, ἐξ οὗ μεθηρμήνευσαν οἱ Ο, μεθ' ὧν ὁ Ἰώσηπος συνᾴδει κατὰ πάντα, διότι καὶ ἐπ' αὐτοῦ διετηρεῖτο σῶον ἔτι καὶ ἀρτιμελὲς τὸ κείμενον τὸ ἑβραϊκόν. Ταύτης δὲ τῆς ἀληθείας κείσθω δεῖγμα λαμπρότατον ἡ πολλῶν μικρῷ προγενεστέρων κριτικῶν μακροσκελὴς πλάνη, οἵτινες ἀτενῶς πρὸς τὸ Μασοραῖον κείμενον, ὡς μόνον ἀληθογνωσίας δείκτην, ἀφορῶντες, διετείνοντο παντὶ σθένει, ὅτι καὶ Ἰώσηπος τὴν καθ' ἑβραίους χρονολογίαν ἐτήρησε. καὶ τούτου βεβαίαν ἀπόδειξιν παρεῖχον τὴν ἀριθμῶν τινων ἔν τισι τοῦ Ἰωσήπου χωρίοις ἐσφαλμένην γραφήν (α). Ἐπειδὴ δὲ πάλιν ἐν ἄλλοις καιριωτάτοις τόποις ἀπήντων παρ' Ἰωσήπῳ βεβαίως καὶ ἀναντιῤῥήτως γεγραμμένους τοὺς αὐτοὺς καὶ παρὰ τοῖς Ο ἀριθμοὺς (οἷον ἐπὶ τῶν ἐτῶν τῶν Πατριαρχῶν, καὶ ἄλλων χρονικῶν διαστημάτων), ἑτοίμως ἀπεδίδουν τὸν περὶ τούτου λόγον, φάσκοντες, ὅτι τοῖς Ἕλλησι πάντως, ὧν χάριν ἔγραφε τὴν ἱστορίαν, ἀρέσκων ὁ Ἰώσηπος, μετέπιπτε καὶ ἀπὸ τῆς συντετμημένης ἑβραϊκῆς εἰς τὴν μακροτέραν τῶν Ο χρονολογίαν· οἱ δὲ καὶ διπλᾶς τῆς Ἀρχαιολογίας ἐκδόσεις ὠνειρεύοντο τὸν Ἰώσηπον ἐκδεδωκότα, τὴν μὲν καθ' ἑβραίους χρονολογοῦσαν, τὴν δὲ κατὰ τοὺς Ο, ἐκ δὲ τούτου τάχα συνεχύθησαν ἐν τοῖς ἀντιγράφοις οἱ ἀριθμοί! (β). Ἀλλ' ἤδη καθ' ἡμᾶς οὐδεὶς τῶν ἐπισήμων κριτικῶν (οὐδ' αὐτῶν τῶν εἰς τὰ μάλιστα τιμώντων τὸ Μασοραῖον κείμενον, ἐν οἷς καὶ ἄλλοι, καὶ Κλίντων), οὐδεὶς ἠρνήσατο, ὅτι ὁ Ἰώσηπος ἔγραψε τὴν αὐτὴν χρονολογίαν, ἣν ἔχουσι καὶ οἱ Ο (ὅπερ καὶ οἱ περὶ τὸν Οὐόσσιον καὶ Μορῖνον εἶχον πάλαι προαποδείξαντες)· τὴν δ' αὐτὴν εἶχε πάντως χρονογραφίαν ἐπὶ τοῦ Ἰωσήπου καὶ τὸ κείμενον τὸ ἑβραϊκόν. Οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἐννοιῶν καὶ φράσεων παραβαλλομένου τοῦ

(α) Ὅτι περὶ τοὺς ἀριθμοὺς ὑπάρχουσιν ἱκανὰ παρ' Ἰωσήπῳ σφάλματα δι' ἀβλεψίαν ἀντιγραφέων, προείπομεν· ἐσημείωσαν δὲ καὶ ἄλλοι. βλ. Jahn, Einleitung etc. 1. Bd. p. 444.

(β) Τοιαῦτα ἐφαντάσθησαν ὁ Βιγότιος, ὁ Ὑέτιος, καὶ ὁ Spittler (de usu version. etc. p. 10. Βλ. καὶ Fabric. Bibl. Graec. T. 5. p. 12).

Ἰουδαίου ἀρχαιολόγου πρὸς τοὺς Ο, διατρανοῦται σαφῶς ἡ μετ' αὐτὸν γενομένη διαφθορὰ τῆς μηκέτι μήτε πρὸς αὐτὸν μήτε πρὸς τοὺς Ο, συμφωνούσης Μασοραίας Γραφῆς· (ἡ δὲ τοῦ περικλεοῦς Ἐρνέστου ἁβρὰ καὶ πορφυρᾶ καὶ συκοφάντρια πολυμάθεια, πολλὰ παραγαγοῦσα τοῦ Ἰωσήπου χωρία ὡς διεσκευασμένα ὑπό τε βιβλιογράφων, καὶ ὑπ' αὐτῶν δὴ τῶν *ἀρχαίων τῆς Ἐκκλησίας Πατέρων*, μεγάλα ληρεῖ, καὶ χαιρέτω μακρά (α). Ὑπάρχουσι δὲ παρ'

(α) Βλ. J. A. Ernesti, Exercit. Flavian. I. Corol. de Stilo Josephi, ad scripta Josephi intelligenda et emend. profuturo. καὶ De fontib. Archaeol. (ibid.). Εἰς τοσαύτην ἀναίδειαν προὐχώρησεν ἡ μ α ψ ι γ ό ρ ο ς Ἐρνέστου Μ ο ῦ σ α, ὥστε καὶ αὐτὰ τὰ παρ' Ἰωσήπῳ (Ἀρχ. Α. δ, 3) περὶ τῆς πυργοποιΐας ἔπη τῆς Σιβύλλης ἔκρινεν ὡς διασκευὴν τῶν ἀρχαίων Πατέρων τῆς Ἐκκλησίας. Πολλὰ δὲ καὶ ἄλλα συνῆψε παρατράγῳδα, καθοδηγῶν (ὡς καυχᾶται) π ρ ὸ ς κ α τ α ν ό η σ ι ν κ α ὶ δ ι ό ρ θ ω σ ι ν τῶν Ἰωσήπου συγγραμμάτων! Μεταξὺ δὲ τῶν ἀποδείξεων τῆς τοῦ Ἰωσηπείου κειμένου διασκευῆς ἐπιφέρει καὶ τὴν δῆθεν ἐκοντὶ διαφθορὰν τῶν ἀριθμῶν, καὶ πολλὰς ἑβραϊκὰς τῶν Ο φράσεις, ἃς οὐκ ἂν ἔγραψεν ὁ μάλιστα τῆς τοῦ λόγου καθαρότητος πεφροντικὼς Ἰώσηπος. Τὸν αὐτὸν ἀνεκίνησε Σισύφειον λίθον καὶ ὁ Σχαρφεμβέργης (παραινῶν τοῖς νέοις, ὡς φησὶν, ἵνα μὴ νομίζωσι τὸν Ἰώσηπον οἴκοθεν καὶ γνησίως τοῖς Ο συμφωνοῦντα!), καὶ φέρει καὶ οὗτος τῶν παρεμπεποιημένων ἑβραϊσμῶν παραδείγματα μεταξὺ τινῶν ἄλλων καὶ ταῦτα· « Τὴν πτέρυγα », καὶ « τ ὸ π τ ε ρ ύ γ ι ο ν τῆς διπλοΐδος » (οἱ Ο, Α. Βασιλ. κδ, 5, καὶ Ἰώσηπ. Ἀρχ. ϛ, ιγ, 4, ἐκ τοῦ ἑβρ. Kenach, π τ ε ρ ὸ ν, ἐπὶ ἱματίου). Ἀλλ' ὁ Εὐριπίδης πάντως οὐχ ἑβραΐζων εἶπε « πτέρυγα πέπλων » (Ἰων. 1143)· οὐδ' ὁ Ξενοφῶν, « θώρακος πτερὰ » (Ἀναβάσ. Δ, ζ, 15). Ἦσαν δὲ καὶ παλαιὰ « θ ε τ τ α λ ι κ ὰ π τ ε ρ ὰ τὰ τῶν θετταλικῶν χλαμύδων· καὶ μαρτυρεῖ Πολυδεύκης· (Ζ, ιγ, 32). καὶ πάλιν· « πτέρυγες καὶ πτερύγιον τὸ ἥμισυ τοῦ χιτωνίσκου » (Ζ, ιδ, 17. πρβλ. καὶ Σουΐδ. καὶ Ἡσύχ. λ. Θετταλ.). Συνεῖδε τὸ πρᾶγμα καὶ αὐτὸς ὁ Σχαρφεμβέργης, μαθὼν (ὡς ὑπεσημείωσεν) ἐκ τοῦ Μόρου, ὅτι καὶ ὁ Σαλμάσιος (ad Tertullian. de pallio p. 111) ἀπέδειξε τὸ π τ έ ρ υ ξ καὶ π τ ε ρ ὸ ν σύνηθες καὶ παρ' Ἕλλησιν ἐπὶ ἱματίου· ἀλλὰ καὶ οὕτω πάλιν « τ ὰ κ ρ ε ί τ τ ω β λ έ π ω ν, τ ὰ χ ε ί ρ ω π ρ ο ε ί λ ε τ ο », καὶ παρέλιπεν ἐν τῷ κειμένῳ ὡς ἑβραϊσμοὺς τὰ ἀνωτέρω παραδείγματα (ἴσως θεωρῶν τ ὸ γ ο ῦ ν π τ ε ρ ύ γ ι ο ν ὡς ἑβραϊσμόν!) Ἄλλον ἑβραϊσμὸν φέρει τὸ « εἰς τὰς τοῦ Θεοῦ χεῖρας ἐμπεσεῖν, ἢ τὰς τῶν πολεμίων ». Καὶ, « ἐμπεσοῦμαι εἰς χεῖρας Κυρίου » (Β. Βασιλ. κδ, 14. Ἀρχαιολ. Ζ. ιγ, 2). Ἀλλὰ καὶ ὧδε ἐπελάθετο ὁ κριτικὸς τὸ « Ε ἰ ς χ ε ῖ ρ α ς μητρὸς π ε σ ε ῖ ν » (Εὐριπ. Ἑκ. 50), καὶ τὰ Ὁμηρ. « Δηΐων ὑπὸ χεῖρας ἀλύξας », καὶ, « Σὰς φεύξεσθαι χεῖρας » καὶ « Ἐπεὶ ἵκεο χεῖρας ἐς ἁμάς » (Ἰλιάδ. κ, 443 : ν, 395 : φ, 93). Ὡς ἑβραΐζον ἐπιφέρει καὶ τὸ « ἐ κ τ ο ῦ σ π έ ρ μ α τ ο ς τῆς βασιλείας — ἐκ σ π ε ρ μ ά τ ω ν βασιλικῶν — σ π έ ρ μ α τῆς Ἀχαὰβ γενεᾶς » κτλ. (Γ. Βασιλ. ια, 14. Ἀρχ. Η, ζ, 6 : Θ, ϛ, 1). Ἀλλ' εἶπε καὶ Εὐρι-

Ἰωσήπῳ καί τινα διηγήματα, ἐν οἷς *οὔτε πρὸς τοὺς Ο, οὔτε πρὸς τὸ νῦν ἑβραϊκὸν* συμφωνεῖ· προσέθηκε δὲ τὰ τοιαῦτα ἔκ τινων ἴσως ἀρχαίων ὑπομνημάτων παραλαβών, ἐν τοῖς τοῦ ναοῦ ἀρχείοις τηρουμένων, ἐκτὸς τῶν κανονικῶν καὶ θεοπνεύστων Γραφῶν (α). Ἀλλὰ τὰ τοιαῦτα οὐδὲν ἔχουσι κοινὸν πρὸς τὸν προκείμενον σκοπόν.

πίδης «τὸ μαντικὸν»—«τὸ Σισύφειον»—«τὸ Ταντάλειον σπέρμα» (Ἰφιγ. Αὐλ. 520—523. Ἰφιγ. Ταύρ. 988), καὶ «σπέρμα Καδμείων» (Βάκχ. 35), καὶ «κηρύκων», καὶ «σπέρμα δύστηνον βροτῶν» (Λείψ 140 καὶ 221). Ἑβραϊσμὸν λέγει καὶ τὸ «ἐκδικῆσαι τὰ αἵματα τῶν προφητῶν» (Δ. Βασιλ. θ, 7: Αρχ. Θ, ς, 1). Ἀλλ' ἔστι τοῦτ' αὐτὸ καὶ Ἀττικισμός· «Αἵματος τινύμεναι δίκαν» (Εὐριπ. Ὀρέστ. 322 καὶ 400)· «Αἵματος τιμωρία» (τουτ. φόνου). Ἑβραϊσμὸς κατ' αὐτόν, καὶ τὸ «τοὺς δούλους τοῦ Βάαλ» (τουτ. τοὺς λάτρεις, τοὺς ἱερεῖς, Δ. Βασιλ. ι, 19: Ἀρχαιολ. Θ, ς, 6)· ἀλλὰ καὶ ἑλληνισμός. Ὁ Ἴων (θεράπων τοῦ ἐν Δελφοῖς ναοῦ, ἔλεγε) «τοῦ Θεοῦ καλοῦμαι δοῦλος» (Εὐριπ. Ἴων. 309) κτλ. Ἀλλὰ καὶ εἴπερ ἦσαν καὶ ταῦτα, καὶ ἄλλα πολλῷ πλείονα ἄκρατοι παρ' Ἰωσήπῳ καὶ βαθεῖς ἑβραϊσμοί, πῶς ἠδύνατο ὁ ἑβραῖος ἀρχαιολόγος, καίτοι ἀκριβῶς ἑλληνίζων, ἀπαλλαγῆναι παντάπασι τῆς πατρίου γλώσσης τῶν ἰδιωτισμῶν, ἐν ᾧ μάλιστα διέγραφε καὶ ἤθη καὶ ἔθιμα καὶ νόμους ἑβραϊκούς; Ἐκφέρων δὲ ταῦτα καθὼς οἱ Ο μετέφρασαν, τί ἄλλο δεικνύει, εἰ μὴ ὅτι εὕρισκε τὰς φράσεις ἀκριβῶς καὶ πιστῶς ἑρμηνευούσας τῆς πατρῴας αὐτοῦ γλώσσης καὶ θρησκείας τὰ νομιμώτατα; Ἄλλας τοῦ Σχαρφεμβέργου ματαιολογίας παραλείπομεν, οἷον καὶ τὸ Ἀρχιεταῖρος (Β. Βασιλ. ιε, 32: ις, 16), περὶ οὗ πρὸς αὐτὸν ἀπήντησε προλαβὼν ὁ Schleusn. Thes. v. Test. λ. Ἀρχιεταῖρος (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 759).

(α) Οἷον ἡ τοῦ Μωσέως κατὰ τῶν Αἰθιόπων ἐκ τῆς Αἰγύπτου στρατεία (Ἀρχ. Β. 1) καὶ εἴ τινα ἄλλα τοιαῦτα γέγραφεν ἀρεστὰ τοῖς ὁμογενέσι. Ἔστι δ' ἅτινα καὶ παρεσιώπησεν ἐκ τῆς ἱερᾶς ἱστορίας, οἷον τὴν μοσχολατρείαν τῶν Ἰουδαίων κτλ. βλ. Spittler de usu vers. Alexandr. pag. 8.—I. B. Ottij Animadv. in Fl. Joseph. §. 2. (βλέπε καὶ ὄπισθεν Βιβλ. Β. σελ. 645)· πρβλ. καὶ τὸν ἄγαν δηκτικὸν καὶ ἄκριτον P. Brinch, Examen historiae Flavian. Josephi. καὶ πρὸ πάντων τὸν σοφὸν Καρψόβιον (Crit. Sacr. p. 945—957)· ὅστις ἐπεχείρησεν ἀποδεῖξαι τὸν Ἰώσηπον ἢ ἀμελῆ, ἢ ἀμαθῆ καὶ ἄπειρον (imperitum) τῆς ἑβραϊκῆς (ὁ Καρψόβιος τὸν Ἰώσηπον!), διότι εἶπεν, ὅτι τὸ μάννα παράγεται ἐκ τοῦ μάν, ὃ δηλοῖ, τί (τοῦτο ἐστι;), καθὼς δηλονότι ἐτυμολογεῖ τὴν λέξιν αὐτὸς ὁ θεῖος Μωσῆς (Ἐξόδ. ις, 15, 31. πρβλ. Gesen. Lex. Hebr. p. 583)· καὶ διότι τὸν ἀρχισωματοφύλακα, ἡρμήνευσεν ἀρχιμάγειρον (ὡς οἱ Ο. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 735)· καὶ διότι τὸ Γάλγαλα ἡρμήνευσεν ἐλευθέριον! διὰ τὴν ἐκ τῆς Αἰγύπτου καὶ τοῦ τῆς δουλείας ὀνείδους ἐλευθερίαν (ὡς λέγει πάλιν Μωϋσῆς· «Ἀφεῖλον τὸν ὀνειδισμόν· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Γάλγαλα»

§. ς. Καὶ παρίσταται λοιπὸν ὁ Ἰώσηπος ἀναντίῤῥητος μάρτυς τῆς τε τοῦ Μασοραίου κειμένου διαφθορᾶς, καὶ τῆς γνησιότητος τοῦ, πρὸς ὃ συνᾴδει, τῶν Ο. Καὶ δικαίως ἄρα ὁ μὲν Εὐσέβιος ἀπεθαύμαζε τὸν Ἰώσηπον «*ὡς ταῖς θείαις συναληθεύοντα γραφαῖς*» (Ἐκκλ. ἱστορ. Β. ι. §. 5), ὁ δὲ Βασίλειος ὁ Μέγας *σπουδαιότατον* ἐπωνόμασε συγγραφέα (τ. α. σελ. 358). Ὡσαύτως καὶ ὁ θεῖος Χρυσόστομος μάρτυρα παρῆγε πιστὸν, «*ὡς τὴν παλαιὰν διαθήκην παραφράσαντα πᾶσαν*» (κατὰ Ἰουδ. λόγ. γ), καὶ, ἵνα παραλίπωμεν ἄλλους ἐπαινέτας, αὐτὸς ὁ Ἱερώνυμος τὸν Ἰώσηπον καὶ τὸν Φίλωνα *σοφωτάτους τῶν Ἰουδαίων* ἀνωμολόγησεν (α),

---

Ἠσ. ε, 9). Ἄπορον δὲ, πῶς παρεῖδεν ὁ Καρψόβιος ἃ περὶ τούτου ἐσημείωσεν ἀγανακτῶν καὶ ὁ πολὺς Βερνάρδος· «Ἐλευθερίαν, λέγει, σημαίνει τ' ὄνομα, διαφυγὴν, ἢ ἀποκατάστασιν, καὶ εἰς τὸ κρεῖττον ἐξείλησιν. Ὥστε οὐδένα (λέγει) λόγον ἔχουσιν οἱ νέοι θεολόγοι, ὅσοι περὶ τοῦ τῆς λέξεως ἐτύμου κατά τε τοῦ Ματθιάδου (Ἰωσήπου), καὶ Θεοδωρήτου δὲ (τοῦ Σύρου), καὶ Προκοπίου τοῦ Γαζαίου, καὶ τοῦ Ζωναρᾶ ὀγκολογοῦσι» (Bern. not. εἰς Ἰωσ. Ἀρχ. Ε, ια). Ὁ Καρψόβιος καθάπτεται τοῦ Ἰωσήπου, καὶ ὡς προστιθέντος τινὰ μὴ περιεχόμενα ἐν τῇ Γραφῇ (ἔκ τινων παρ' Ἰουδαίοις ἀρχαίων ὑπομνημάτων. βλ. ἀνωτέρω). Καὶ περὶ τὴν χρονολογίαν δὲ ἀσύμφωνον αὐτὸν εὑρίσκει πρός τε τοὺς Ο (!), καὶ τὸ Σαμαρειτανὸν (ὡς ἂν εἰ συνεφώνει πρὸς τὸ ἑβραϊκόν !). Ἐπάγεται δὲ καὶ ἄλλους κατηγόρους τοῦ Ἰωσήπου, ἀντιγράψας αὐτοὺς ἐκ τοῦ κλεινοῦ Ἰττιγίου· ὅστις ὅμως ὡς ἀχαρίστων τούτων ἐπιμνησθεὶς, ὡμολόγησε τὸ κῦρος καὶ τὴν αὐθεντίαν τοῦ Ἰωσήπου, καὶ ὅτι τά τε βιβλία τῆς παλαιᾶς Διαθήκης τὰ ἱστορικὰ θαυμαστῶς διαφωτίζει, καὶ τὴν ἀπὸ τοῦ ἐσχάτου βιβλίου τῆς Παλαιᾶς μέχρις τῆς Ἰουδ. ἁλώσεως συνέχειαν τῆς Γραφικῆς ἱστορίας ἐπισυνῆψε· εἰ δὲ καὶ ὡς ἄνθρωπος καὶ ὡς Ἰουδαῖος περιέπεσεν εἴς τινα παραπτώματα· ἀλλὰ τί ταῦτα τὰ σμικρὰ πρὸς τὴν ἔξοχον καὶ μεγίστην ἀξίαν τῶν αὐτοῦ συγγραφῶν; (βλ. Ittig. proleg. εἰς Ἰωσ. τ. β. σελ. 92. sq). Τὸ ἀξίωμα τοῦ Ἰωσήπου ἐτίμησαν καὶ τῆς πολυμαθείας οἱ θιασάρχαι, Κασσωβῶν, Γρότιος, Οὐόσσιος, Σαλμάσιος, Βοχάρτος, Μονταχούτιος, καὶ ἄλλοι, καί τις δύσκολος ἀνὴρ, ὃς ἂν καὶ ἀναίτιον ᾐτιάσατο, ὁ δεινὸς Σκαλίγηρος, λέγων· «Ἐπιμελέστατος καὶ φιλαληθέστατος συγγραφέων ἁπάντων Ἰώσηπος, περὶ οὗ τολμηρότερον λέγομεν, ὡς οὐ μόνον ἐν τοῖς Ἰουδαϊκοῖς πράγμασιν, ἀλλὰ καὶ περὶ τῶν ἐκτὸς ἀσφαλέστερον αὐτῷ πιστεύειν, ἢ πᾶσιν Ἕλλησι καὶ Λατίνοις» (Scalig. proleg. de Emend. Temp.). «Καὶ ἡ κρίσις αὕτη (προστίθησιν Οὐόσσιος) οὕτως ἀληθεύει, ὥστε μηδ' αὐτῷ τῷ Σκαλιγήρῳ προὐχώρησε τὸ πρᾶγμα, ἔν τισι τόποις ἐπιχειρήσαντι πρὸς Ἰώσηπον ἀντειπεῖν» (J. Voss. Chronol. Sac. c. 10. p. 137).

(α) S. Hieron. Epist. ad Marcel. καὶ Catal. Script. Eccles. T. 1. p. 275. πρβλ. Εὐσεβ. Ἐκκλ. Ἱστ. Γ, ι: Φώτ. Ἀναγν. μζ, μη, ος: καὶ ὄπισθ. Βιβλ. Β. κεφ. β. σελ. 68.

Ἰουστίνου τοῦ μάρτυρος προκηρύξαντος (Λόγῳ πρὸς τοὺς Ἕλληνας, σελ. 17).

§. ζ. Περὶ δὲ τοῦ Φίλωνος αὐτοῦ, οὐ πολλῶν δεησόμεθα λόγων. Τὸν ἐκ γένους ἱερατικοῦ, καὶ λευΐτην αὐτὸν, ἴσως, τὸ δὲ δόγμα Φαρισαῖον, καὶ τῶν Ἱεροσολύμων καὶ τοῦ ναοῦ καὶ παντὸς τοῦ Ἰουδαϊκοῦ ὑπέρμαχον ζηλωτὴν, καὶ τῶν πατρίων νομίμων πολυμαθέστατον καὶ σπουδαιότατον ἐξηγητὴν Φίλωνα, ἀμαθῆ παντάπασι καὶ ἀδαῆ τῆς ἑβραΐδος γλώσσης ἀνεκήρυξε πρῶτος ὁ Σκαλίγηρος, καὶ ἄλλους οὐκ ἀσήμους σχὼν τοὺς ὀπαδούς (α). Ἄλλοι δὲ φιλανθρωπότεροι ἀπένειμον τῷ Φίλωνι μετρίαν τινὰ μοῖραν παιδείας ἑβραϊκῆς (ϐ). Ὁ δὲ γενναῖος Λοίσνερος καὶ πάνυ ἐγκρατῆ τῆς γλώσσης τοῦ Μωσέως καὶ τῶν προφητῶν ἀπέφηνε τὸν ἄνδρα (γ), συναινοῦντος αὐτῷ καὶ τοῦ Φαϐρικίου (Ἑλληνικ. Βιϐλιοθήκ. τόμ. δ. σελ. 724). Ἀλλὰ δὴ καὶ ἄλλως, τοῦτο γοῦν οὐκ ἂν ἀρνηθεῖεν οὐδ᾽ αὐτοὶ οἱ τὸν περιφανέστατον Φίλωνα περὶ τὴν ἱερὰν καὶ πάτριον αὐτῷ γλῶσσαν πάμπαν ἐκϐαρϐαρίζοντες, ὅτι πάντως ὁ ἀνὴρ ἠπίστατο, εἰ καὶ μὴ ἐξ ἑαυτοῦ (!), ἀλλὰ παρ᾽ ἄλλων γοῦν μαθὼν ὁμοφύλων ἑβραϊστῶν, ὅτι τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν ἀκριϐῶς συνεφώνει μεθ᾽ ἧς αὐτὸς νύκτωρ καὶ μεθ᾽ ἡμέραν συνῆν ἑρμηνείας τῶν Ο. Καὶ τὸ πρᾶγμα εἶχεν οὕτως. Πρῶτον μὲν γὰρ ὁ κατ᾽ αὐτὸν ἑβραϊκὸς

(α) Scalig. Animadv. in Chronic. Euseb. p. 7 et in Epist. L. I. p. 13-D. Huetius in Origen.—Eichhorn, Einleit. 2 Bd. p. 440· καὶ αὐτὸς ὁ σοφὸς ἐκδότης τῶν τοῦ Φίλωνος συγγραμμάτων Mangey, praef. p. 16· «Οἱ γὰρ (φησὶν) ἐν Ἀλεξανδρείᾳ διάγοντες Ἰουδαῖοι μόνον τὴν ἕλληνα λόγον ἐξήσκουν, ὡς Ἀριστέας ἱστόρησεν. Εἰ γὰρ ἦσαν καὶ τῆς ἑβραΐδος ἐγκρατεῖς, οὐκ ἂν ἐκ τῆς Ἰουδαίας ὁ Φιλάδελφος μετεκάλει τοὺς ἑρμηνεύσοντας τὰς Γραφάς». Ἀλλ᾽ ἄπορον, πῶς ὁ πολλὰ καὶ καλὰ περὶ τὴν ἔκδοσιν τοῦ Φίλωνος πονήσας περιώνυμος Ἄγγλος ἐπελάθετο, ὅτι καὶ τῆς ἑβραΐδος ἐγκρατεῖς τοὺς ἐν Αἰγύπτῳ λογιωτάτους τῶν ἀρχιερέων ἡ τοῦ Ἀριστέου παρίστησι συγγραφὴ, καὶ ὅτι πρὸ τῆς ἑρμηνείας τῶν Ο οἱ ἐν Ἀλεξανδρείᾳ Ἰουδαῖοι ἑβραϊστὶ πάντως (ἢ πῶς ἂν εἶχον ἄλλως;) ἀνεγίνωσκον τὰς Γραφὰς ἐν ταῖς Συναγωγαῖς αὐτῶν·

(ϐ) Hody de Bibl. text. p. 228.—Michael. De Chronologia Mosis post diluvium p. 164.—Hornemann, Specim. Exercit. in LXX. ex Philone p. 24.

(γ) Loesner, Lectionum Philoniarum specimen p. 116. Lipsiae 1758.

κώδηξ ὑπῆρχε βεβαίως ὁ αὐτὸς καὶ ἀπαράλλακτος πρὸς ὃν ἀνεγίνωσκεν ὁ Ἰώσηπος, ἔτι ζῶντος καὶ ἀκμάζοντος τοῦ Φίλωνος γεννηθεὶς (τῷ 37 μ. Χ.), καὶ λίαν εὐφήμως αὐτοῦ μνημονεύσας (α). Ἔπειτα, τοὺς εἰς τὸν θεῖον νόμον ὑπομνηματισμοὺς ὁ Φίλων κατὰ τοὺς Ο συντιθεὶς, ἐδημοσίευεν εἰς πάντας τοὺς ὁμογενεῖς· κἀκεῖνοι προθύμως αὐτοὺς ἀπεδέχοντο, μηδὲν ἀντιλέγοντες· ἀντέλεγον δ' ἄν, εἴπερ ἔβλεπον τὰς παρ' αὐτῷ τοῦ ἱεροῦ κειμένου ῥήσεις οὕτω καὶ τότε διαφερούσας, ὅσον ἤδη διαφέρουσι τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ (β). Οἱ δὲ καὶ λίαν εὐγνωμόνως τὴν σοφίαν ἐθαύμαζον τοῦ ἀνδρὸς, οὐ μόνον οἱ ἑλληνισταὶ, ἀλλὰ καὶ αὐτοὶ *οἱ βαθεῖς ἑβραῖοι*, ὡς μαρτυροῦσι περὶ τούτου οἱ μεταγενέστεροι ῥαββεῖς (γ). Τρίτον· ὁ Φίλων τὴν ἱστορίαν τῆς ὑπὸ τῶν Ο μεταφράσεως τοῦ Νόμου συμφώνως Ἀριστέᾳ καὶ Ἰωσήπῳ ἐκδιδοὺς, ἀνεκήρυξε διαπρύσιον, ὅτι· «Ἐάν τε Χαλδαῖοι» (οὕτω δὲ καλεῖ τοὺς κυρίως ἑβραίους, ὡς ἐκ τοῦ Ἀβραάμ· βλ. ὄπισθ. Βιβλ. Α. σελ. 635)· «Ἐάν τε Χαλδαῖοι τὴν Ἑλληνικὴν γλῶσσαν, ἐάν τε Ἕλληνες τῶν Χαλδαίων ἀναδιδαχθῶσι, καὶ ἀμφοτέραις ταῖς Γραφαῖς ἐντύχωσι, τῇ τε Χαλδαϊκῇ» (τῇ ἑβραϊκῇ), «καὶ τῇ διερμηνευθείσῃ» (τῶν Ο),

---

(α) «Πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος (κατὰ τῶν Ἰουδαίων πρὸς τὸν Καίσαρα Γάϊον) εἰρηκότος — Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα ἔνδοξος, Ἀλεξάνδρου δὲ τοῦ Ἀλαβάρχου ἀδελφὸς ὢν, καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπὶ ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων. Διακλείει δὲ αὐτὸν Γάϊος, κελεύσας ἐκποδὼν ἀπελθεῖν. — Ὁ δὲ Φίλων ἔξεισι περιϋβρισμένος, καί φησι πρὸς τοὺς Ἰουδαίους, οἱ περὶ αὐτὸν ἦσαν· ὡς χρὴ θαῤῥεῖν, Γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν Θεὸν ἀντιπαρεξάγοντος». Ἀρχ. ΙΗ. η. §. 1.

(β) Οἷον, τὸ ψυχαὶ 75» (ἀντὶ τῶν ἐν τῷ ἑβρ. 70), καὶ τὸ «τῇ ἡμέρᾳ τῇ ὀγδόῃ» (Γενέσ. ιζ, 14), ὃ λείπει ἐκ τοῦ ἑβρ. (βλέπε ὄπισθ. σελ. 436, 484) καὶ τὸ «ἀνατολὴ ὄνομα αὐτῷ» (Ζαχαρ. ς, 22, ἀνθ' οὗ τὸ ἑβραϊκὸν ἔχει βλαστὸν), καὶ ἄλλα πάμπολλα, ὧν παραλείπομεν τὴν παραβολὴν, ἵνα μὴ συνεχῶς ἀποκναίωμεν τὸν ἀναγνώστην. Τοιαῦτα περὶ τοῦ Φίλωνος διέλαβε καὶ Hornemann, Specimen Exercitat. in LXX. ex Philone.

(γ) Οἷον, ἐν βιβλίῳ Juchasin γράφουσι· «Τεσσαράκοντα ἔτη μετὰ τοῦτο, ἔζησεν Ἰουδαῖος σοφώτατος, ὀνόματι Φίλων, ἰουδαῖος ἱερεὺς, ὃς ἑλληνιστὶ συνέγραψε βιβλίον πανέξοχον (peregregium)». Τοιαῦτα καὶ ἄλλοι παρὰ Bartoloc. Biblioth. Rabbinic. L. IV. in voce Philo p. 345.

καθάπερ ἀδελφὰς, μᾶλλον δὲ ὡς μίαν καὶ τὴν αὐτὴν ἔν τε *τοῖς πράγμασι καὶ τοῖς ὀνόμασι* τεθήπασι καὶ προσκυνοῦσι» κτλ. (α). Οὕτως ἐκφαντορικῶς καὶ πεποιθότως ἀνεκήρυττε τὴν πρὸς τοὺς Ο, ὁμόγνιον ἀδελφότητα καὶ ὁμοφωνίαν τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ. Καὶ ὀρθῶς λοιπὸν ἔκρινεν ὁ περικλεὴς, καὶ παρ' ἡμῖν μάλιστα τίμιος Ὅρνος, ἀποφηνάμενος, ὅτι « τὰ συγγράμματα τοῦ Φίλωνος παρέχουσι διάφορα χωρία τῆς Παλαιᾶς Διαθήκης, ὅπως εἶχεν ἐπ' αὐτοῦ τὸ κείμενον τὸ ἑβραϊκόν» (β). Εἰ δ' ἔβλεπέ ποθεν ὁ Φίλων τὴν καθ' ἡμᾶς ἑβραΐδα γραφὴν, οἵαν αὐτὴν οἱ ἔκφυλοι Χαλδαίων παῖδες Μασορῖται ἐξέδωκαν, εὐθὺς ἂν ἐξεβόησεν· « Οὐαὶ τοῖς γράψασι πονηρίαν ἐν νόμῳ Κυρίου ».

§. η. Ταῦτα περὶ τῶν δύω τούτων σοφωτάτων ἑβραίων, ὧν τὰς συγγραφὰς ἡ θεία πρόνοια διατήρησεν « *εἰς κλέος τῆς παρ' ἡμῖν ἀληθείας* » (γ). Τό, τε γὰρ γνήσιον τῆς ἑρμηνείας τῶν Ο, πανταχόθεν μαρτυροῦντες, ἐξελέγχουσι τὴν μετὰ τὸν θάνατον αὐτῶν πολλαχοῦ λωβηθεῖσαν Μασορῖτιν γραφὴν, καὶ προσέτι, καίπερ αὐτοὶ μὴ πιστεύσαντες εἰς Χριστὸν (« Οὐ γὰρ ἠβουλήθησαν συνιέναι »· ὡς ὄντες ἐκ τῆς μερίδος ἐκείνων, περὶ ὧν ἐρρέθη τὸ « *ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε* »), κατέλιπον ὅμως πάγκαλα μαρτύρια τῆς τότε πᾶσαν τὴν οἰκουμένην καὶ αὐτοὺς τοὺς μυωπάζοντας αὐτῶν ὀφθαλμοὺς περιχυθείσης αἴγλης τοῦ σωτηρίου λόγου. Ὁ μὲν γὰρ Ἰώσηπος ἔγραψε τὴν περὶ τοῦ Ἰησοῦ Χριστοῦ θαυμαστὴν (ὅσον γε ἐξ ἰουδαίου πεπωρωμένου) καὶ λαμπρὰν περιοχὴν (δ), καὶ τοῦ Προ-

(α) Περὶ Μωσέως Βιβλ. Β σελ. 140.

(β) Horne, An Introduction etc. vol. 2. part. 1. p. 419.

(γ) Ἰωάν. Δαμασκην. Προλογ. Παραλλὴλ. σελ. 280.

(δ) Ἀρχαιολ. ΙΗ, γ, 3 Ταύτης τὴν ἐν πᾶσι τοῖς Ἰωσήπου χειρογράφοις εὑρισκομένης περικοπῆς ἐμνημόνευσαν Εὐσέβιος, Μακάριος, Ἰσίδωρος ὁ Πηλουσιώτης, Ἡγήσιππος, Ἱερώνυμος, Σωζόμενος, Κεδρηνὸς, Σουΐδας, Ζωναρᾶς, Νικηφόρος, καὶ ἄλλοι. Πολὺν δὲ κατ' αὐτῆς ἐκίνησαν θόρυβον οἱ δυσπιστότεροι τῶν νεωτέρων κριτικῶν, νόθον αὐτὴν πειραθέντες ἐξελέγχειν, ὑπὸ Χριστιανῶν προστεθειμένην, ἢ γοῦν ἐν μέρει διεσκευασμένην. Ἀντεῖπον δὲ ἄλλοι γενναίως, τὸ γνήσιον τοῦ χωρίου διεκδικοῦντες. Ἐκ τῶν πρώτων εἰσὶ Ῥούπερτος, καὶ Φάβρος (Tan. Faber), καὶ Βλονδέλλιος, καὶ Βόσιος, καὶ ἄλλοι τῶν δῆθεν μὴ ταχυπειθῶν (βλ. Ittig. prol. αὐτός δὲ ὁ Ἰττι-

δρόμου καὶ Βαπτιστοῦ μνημονεύσας, καὶ Ἰακώβου τοῦ θεαδέλφου (α)· προσέθηκε δὲ καὶ τὴν ἐπὶ τῆς Ἱεροσολύμων καταστροφῆς ἐκπληρωθεῖσαν προφητείαν τοῦ Δανιὴλ (βλ. ὄπισθ. σελ. 823), καὶ αὐτὸν τὸν εἰς τὸν τότε προσδοκώμενον Μεσσίαν θέσφατον χρησμόν· ὃν ἐκ τῶν θείων ἀναλεξάμενος λογίων, διέστρεψεν ἔπειτα, κολακεύων αἴσχιστα τὸν Οὐεσπεσιανὸν (βλ. ὄπισθ. σελ. 806)· εἰς τοῦτον ἐφήρμοζε καὶ τὴν ἐν τοῖς προφήταις προκεκηρυγμένην *Ἀνατολὴν* τοῦ δικαίου βασιλέως, λέγων· «τάχιον δ᾽ ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν *ἐπὶ τῆς ἀνατολῆς αὐτοκράτορα*» (β). Ὁ δὲ πάλιν ἕτερος, ὁ Φίλων, τὸν *ἐνυπόστατον* τοῦ *Θεοῦ Λόγον*, καὶ τὸ *θεῖον Πνεῦμα*,

---

γιος ἀμφιῤῥοπεῖ). Ἐν δὲ τοῖς δευτέροις διαλάμπουσι Βαρόνιος, Οὐαλέσιος, Ὑέτιος, Οὐόσσιος, Δαύβυζος, Ἐστράγγιος, Βέρνετος, Βρυάντιος, Μαρτῖνος, Κολωνίας, καὶ ἄλλοι, καὶ Ὅρνος ὁ κλεινός. Βλ. Horne, An Introduction etc. vol. 1. p. 172, 517—520. βλ. καὶ Fabr. Bibl. Gr. Tom. 5. p. 19.

(α) Ἀρχ, ΙΗ, ε, 2: Κ.

(β) Οὕτως ἀνεγίνωσκε καὶ ἡρμήνευεν ὁ Ἰώσηπος τὸ «Ἀναστήσω τῷ Δαβὶδ Ἀ ν α τ ο λ ὴ ν δ ι κ α ί α ν» (Ἱερεμ. κγ, 5· καὶ μ (ἑβρ. λγ) 15, κώδ. Θεοδωρήτ. καὶ ἐκδ. Grabe), καὶ τὸ «Ἰδοὺ ἀνὴρ, Ἀ ν α τ ο λ ὴ ὄ ν ο μ α α ὐ τ ῷ» κτλ (Ζαχαρ. ς, 12, πρβλ. γ, 9). Ἐν δὲ τούτοις τοῖς θείοις χρησμοῖς ὁ Μεσσίας Χριστὸς προφανέστατα προφητεύεται (μηδ᾽ αὐτῶν τῶν νεωτέρων κριτικῶν ἀρνουμένων. βλ. Schulz Schol. εἰς Ἱερεμ. καὶ Ζαχαρ., καὶ ἄλλους, καὶ τὸν Gesen. Lexic. Hebr. p. 867). Ἐν δὲ τῷ ἑβρ. ἀντὶ τοῦ ἀ ν α τ ο λ ὴ ἐν ἀμφοτέροις τοῖς προφήταις γέγραπται β λ α σ τ ὸ ς (Τσεμὰχ, ἢ Zemach), ὡς τοῦτο μεταφράζουσι (καὶ μεταφορ. ἔ κ γ ο ν ο ς). Ἀλλ᾽ ἡ ἑβραῒς λέξις εἶχε καὶ τὴν σημασίαν τῆς ἀνατολῆς (ὡς καὶ τὸ ῥῆμα τὸ τ ζ α μ ὰ χ, ἀνέτειλε. βλ. Ἡσ. μγ, 19, νη, 8. καὶ Gesen. Lexic. Hebr. p. 867. οὕτω καὶ τὸ λατ. Oriens ἐκ τοῦ oriri. Ὥστε ἐν τοῖς ἀνωτέρω χωρίοις τὸ ἀ ν α τ ο λ ὴ τίθεται κυρίως ἐπὶ τῆς τοῦ φωτὸς ἀνατολῆς· καὶ μαρτυρεῖ μάλιστα τὸ τοῦ Ζαχαρίου «Ἀ ν α τ ο λ ὴ ὄ ν ο μ α α ὐ τ ῷ» (οὕτω καὶ ἡ Βουλγάτα, Oriens nomen ej. Τὸ δ᾽ ἑβρ. πάνυ ταπεινὸν καὶ ἀνοικειότατον· β λ α σ τ ὸ ς ὄ ν ο μ α αὐτῷ! germen!). Ἐπικυροῖ δὲ, τέλος, τὴν σημασίαν ὁ θεόπνευστος Λουκᾶς, καὶ ἡ προφητικὴ ᾠδὴ τοῦ Ζαχαρίου· «Ἐπεσκέψατο ἡμᾶς ἀ ν α τ ο λ ὴ ἐ ξ ὕ ψ ο υ ς» (Λουκ. α, 78), αὐτὸς δηλαδὴ ὁ Ἥ λ ι ο ς τ ῆ ς δ ι κ α ι ο σ ύ ν η ς (βλ. Θεοφύλ. εἰς Λουκ. αὐτ.). Ἀ ν α τ ο λ ὴ ν καὶ Φίλων ἀνέγνω, καὶ ἐπὶ τοῦ Λόγου ἐξέλαβε. (Τ. Β, σελ. 414). Ἐκ ταύτης τῆς προφητικῆς ῥήσεως καὶ ὁ Μεσσίας περιεμένετο ἐξ ἀ ν α τ ο λ ῶ ν. Ὅθεν καὶ ὁ Τάκιτος περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου διαλαμβάνων, λέγει. «Pluribus persuasio inerat, antiquis sacerdotum literis contineri, eo ipso tempore fore, ut valesceret Oriens, profectique Judaea rerum potirentur» (Hist. V. c. 13). Ἀλλὰ περὶ τούτων ἱκανὰ προείπομεν (βλ. ὄπισθ. σελ. 812). βλ. καὶ Ottij, Annot. in Joseph. p. 310. τ. β. Ἰωσήπ. Hav.

καὶ ὅλον τὸ μυστήριον τῆς *βασιλικωτάτης Τριάδος* ἐκ μόνης τῆς μελέτης τῶν προφητικῶν Γραφῶν ἀμυδρῶς διοπτεύσας, καὶ τὰ ὄμματα καμμύσας, ὅμως ἐξύμνησε (α). Καὶ ταῦτα μὲν εἰρήσθωσαν παρεκβατικώτερον εἰς ἔπαινον τῆς εὐκλεοῦς συνωρίδος τῶν δύω τούτων καὶ μόνων σοφῶν Ἰουδαίων τῆς μ. Χ. Συναγωγῆς. Οἵτινες ἔτι σώαν καὶ ἁγνὴν ἀναγινώσκοντες τὴν εὐθὺς μετὰ τὴν τελευτὴν αὐτῶν κατατρωθεῖσαν ἀκεραιότητα τοῦ ἑβραίου κώδηκος, καὶ τοὺς Ο μάλιστα διδασκάλους ἔχοντες καὶ χειραγωγοὺς εἰς τὴν ἀμφιλαφῆ μελέτην τῶν τότε πρὸς ἀλλήλας *ἀδελφῶν* κατὰ πάντα θείων Γραφῶν, ἤλασαν εἰς ἱκανὸν ἀνθρωπίνης συνέσεως μέτρον περὶ τὴν θεωρίαν τῆς ἀληθείας· ὅθεν καὶ παρὰ τοῖς ἱεροῖς Πατράσι μνημονεύονται μετ' ἐπαίνων, καὶ μεταξὺ τῶν ἐκκλησιαστικῶν συγγραφέων τοῦ α, αἰῶνος παρὰ τοῖς φιλολογοῦσιν ἐγκαταλέγονται. Ἡμεῖς δ' ἐπάνιμεν πάλιν εἰς τὸν σκοπόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Περὶ τῶν Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος καὶ τῶν τῆς πέμπτης καὶ ἕκτης ἐκδόσεως διαφόρων ἀναγνωσμάτων, ἢ παραλλαγῶν, ὅσαι διαφωνοῦσι πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκόν.

§· α. Τίνες μὲν Ἀκύλας, καὶ Σύμμαχος, καὶ Θεοδοτίων, καὶ

(α) Ὅθεν δικαίως ὁ ἱερὸς Ἰσίδωρος ὁ Πηλουσιώτης τὸν Φίλωνα ἐπαινεῖ, λέγων « Ὡς καὶ Φίλωνα, καί τοι Ἰουδαῖον ὄντα καὶ ζηλωτὴν, δι' ὧν ἀπολέλοιπε συγγραμμάτων ἀπομαχέσασθαι τῇ οἰκείᾳ θρησκείᾳ. — Ἠναγκάσθη ὑπὸ τῆς ἀληθείας καὶ ἐξεβιάσθη τὸν τοῦ Θεοῦ Λόγον θεολογῆσαι. Τί γὰρ, εἰ καὶ δεύτερον τὸν συναΐδιον τῷ πατρὶ καλεῖ, τῆς ἀκριβείας μὴ ἐφικνούμενος; ὅμως ἔννοιαν ἔσχε καὶ ἑτέρου προσώπου. — Ἀλλὰ καὶ τὸ Θεὸς καὶ κύριος, ἑρμηνεῦσαι πειρώμενος, τῆς βασιλικωτάτης Τριάδος (ἔννοιαν ἔσχε). — Μὴ γὰρ δὴ τὴν ἀκρίβειαν ζήτει παρὰ τοῦ δυνηθέντος ὅλως διὰ σύνεσιν εἰλικρινῆ καὶ κατοπτεῦσαι τὴν ἀλήθειαν, καὶ τῇ οἰκείᾳ θρησκείᾳ ἀπομαχέσασθαι· ἀλλ' ἐκεῖνο ἐννόει, ὅτι εἰς ἓν πρόσωπον οὐ συνέκλεισε τὴν θεολογίαν » κτλ. Ἰσίδωρ. Πηλουσ. Ἐπιστολ. Βιβλ. Β. ἐπιστ. 143. βλ. καὶ Σουΐδ. λ. Θεός. πρβλ. καὶ τὰ τοῦ Φίλωνος χωρία ἅπερ ὁ σοφὸς Μαγγεὺς ἐκλεξάμενος (Praef. p. 11—15), καὶ τοῦ παρὰ τῷ Πλάτωνι λόγου διάφορα ἀποδείξας, ἡρμήνευσε κάλλιστα, παραβαλὼν πρὸς τὰς προφητικὰς ῥήσεις, ὧν, ἴσως, καὶ Πλάτωνα ἀραιά τις ἀμφέχυτ' ὀμφή. Περὶ τοῦ παρὰ τῷ Φίλωνι Λόγου βλ. καὶ Bryant, The sentimens of Philo Judaeus concerning the Λόγος etc. London, 1776.

ποῖαί τινες ἡ πέμπτη καὶ ἕκτη ἔκδοσις, ἃς Ὠριγένης κατεχώρισεν ἐν τοῖς Ἑξαπλοῖς, εἴπομεν ἐν τοῖς προηγηθεῖσι· καὶ ὅτι σμικρὰ τούτων καὶ εἰς ἡμᾶς διεσώθησαν λείψανα (κεφαλαίῳ β. §. κδ—κε). Ἀλλὰ καὶ ταῦτα παραβαλλόμενα πρὸς τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν, ἀποδεικνύουσιν ἐν πολλοῖς αὐτὸ διαφέρον τῶν κωδήκων, οὓς ἀνέγνων οἱ περὶ τὸν Ἀκύλαν. Τούτων γὰρ αἱ ἀναγνώσεις ἔστι μὲν ὅπου συμφωνοῦσι πρὸς τὸ νῦν ἑβραϊκὸν, διαφέρουσαι τοῦ τῶν Ο· ἔστι δ᾽ ὅπου πάλιν διαφέρουσι τοῦ νῦν ἑβραϊκοῦ, συμφωνοῦσαι τοῖς Ο· πολλαχοῦ δὲ, τέλος, οὔτε πρὸς τοὺς Ο συμφωνοῦσιν, οὔτε πρὸς τὸ νῦν ἑβραϊκόν· ὅθεν φαίνεται σαφῶς ἡ κατὰ καιροὺς ἐπὶ μᾶλλον καὶ μᾶλλον ἐπινεμηθεῖσα τὸ ἑβρ. κείμενον ποικίλη διαφθορὰ, ἀπὸ τῆς ἐσχάτης τῶν Ἰουδαίων δουλείας καὶ εἰς τοὺς ἐφεξῆς χρόνους (βλ. ὄπισθ. σελ. 99,171).

§. 6. Τούτων οὖν τῶν ἐν ταῖς εἰρημέναις ἐκδόσεσι διαφόρων πρὸς τὸ νῦν ἑβραϊκὸν παραλλαγῶν πλείστας ὅσας ἐσημείωσεν ὁ Καπέλλιος (α). Ἡμεῖς δὲ καταγράφομεν ἐνταῦθα μικράς τινας μόνον ἐκ τῶν κυριωτέρων, δείγματος χάριν. Ἐσημειώσαμεν δὲ καὶ ἐν τοῖς προλαβοῦσιν οὐκ ὀλίγας ἐκ τῶν ὁμοφώνων μὲν τοῖς Ο, διαφωνουσῶν δὲ πρὸς τὸ Μασοραῖον κείμενον (βλ. κεφ. ιϐ, καὶ ιγ. σελ. 455—613).

Ὅλα σχεδὸν τὰ κύρια ὀνόματα, ἀνθρώπων, πόλεων, ποταμῶν, ὅσα σῴζονται ἐν τοῖς ἀποσπάσμασι τῶν περὶ τὸν Ἀκύλαν, συμφωνοῦσι τοῖς Ο, διαφέρουσι δὲ τοῦ νῦν ἑβραϊκοῦ (οἷον Εὔα, Ἄϐελ, Σὴθ, Ἠσαῦ, Φαραὼ κτλ. τὸ δὲ Πεντεφρῆ γράφουσι Φουτιφὰρ, ὡς ἔχει καὶ τὸ ἑβρ. καὶ εἴτινα ἄλλα ὀλίγα). βλ. ὄπισθ. σελ. 307.

Γενέσ. ιδ, 3. Τὸ ἑβρ. « Ἐν τῇ κοιλάδι *Σιδδὶμ* » (ὡς κύριον ὄνομα τόπου)· τοῦτο ὁ Ἀκύλας ἐξήγησε, « *τῇ κοιλάδι τῶν περιπεδίνων* »· ὁ Θεοδοτίων καὶ ὁ Σύμμαχος, « *τῶν ἀλσῶν* », ἡ Βουλγ. *τῇ ἀλσώδει* (sylvestri). Οὗτοι λοιπὸν ἀνέγνων ἐν τῷ ἑβρ. sadim (ἀγρὸς), οἱ δὲ charaschim (ἄλση). Ἀλλ᾽ οἱ Ο γράφουσι « *πρὸς τὴν φάραγγα τὴν ἀλυ-*

(α) Cappel. Crit. Sacr. L. V. c. 4, 5, 6, 7. πρβλ. καὶ Montfauc. Hexapl. ἐν τοῖς σημειουμένοις τόποις.

κὴν» (ἐκ τοῦ ἅλες, ἅλς ἁλός)· καὶ τοῦτ᾽ ἐςὶν ἡ ἀληθὴς ἀνάγνωσις, ὡς μαρτυρεῖ τὸ ἐφεξῆς εὐθὺς ἐπιφερόμενον «*αὕτη ἡ θάλασσα τῶν ἁλῶν*»· οὕτως ἔχει αὐτόθ. καὶ τὸ ἑβραϊκ. Καὶ πάλιν ἐφεξῆς ςχ. 8, 10, οἱ Ο, «*ἡ κοιλὰς ἡ ἁλυκὴ, φρέατα ἀσφάλτου*». [Οὕτω καὶ τὸ ἑβρ. «Καὶ ἡ κοιλὰς Σιδδὶμ φρέατα, *φρέατα ἀσφάλτου*» (τουτ. πλήρης φρεάτων ἀσφάλτου). Εἰ δὲ καὶ τοιαύτη κοιλὰς ἁλυκὴ καὶ ἀσφαλτώδης γίνεται *ἀλσώδης καὶ σύδδενδρος*, καὶ εἴπερ ἐν ἀλσώδει καὶ δενδροφύτῳ κοιλάδι γίνεται *πολέμου παράταξις* (στίχ. 8), σκοπείτωσαν οἱ κριτικοί!] (α).

Ἰὼβ, ιβ, 2. Τὸ ἑβρ. «ἀποθανεῖται σοφία». Ὁ δ᾽ Ἀκύλας «*τελειώματα* σοφίας».—Αὐτ. λη, 32. Τὸ ἑβρ. «Ἢ ἐξήγαγες *μαζουρὼθ* ἐν καιρῷ αὐτοῦ;» ὁ δὲ Σύμμ. «Ἢ ἀναφύσεις τὰ *σκορπισθέντα* κατὰ καιρὸν αὐτοῦ ἕκαςον;» (Μαζουρὼθ δὲ, τὰ συςήματα τῶν ἀςέρων, ἃ ἐν τῇ συνηθείᾳ ζῴδια καλοῦνται» Χρυσ.).—Αὐτ. μα, 6: Ἑβρ. *Ὑπερηφάνεια, ἡ ἰσχὺς τῶν θυρεῶν* αὐτοῦ» (τουτ. ὑπερήφανον πρᾶγμα, οἱ ἰσχυροὶ θυρεοὶ αὐτοῦ). Ὁ Ἀκύλας· «*Σῶμα αὐτοῦ* ὑπερεκχύσεις θυρεῶν»· ὁ δὲ Συμ. «Ὑπερφρονεῖ προερχόμενος ἐν θυρεοῖς» [οἱ Ο, «τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χαλκαῖ (β)]—Αὐτόθ. στίχ. 21. Τὸ ἑβρ. ἀκίδες (acumina)

(α) Ὁ σοφὸς Κρεϋσσίγης (Kreüssig) διορθοῖ τὸ τῶν Ο, ἁ λ υ κ ὴ εἰς τὸ ἁ λ σ ι κ ή (!) ἀντὶ ἁ λ σ ώ δ η ς, ὅπως διαλλάξῃ τοὺς Ο μετὰ τοῦ Συμμάχου καὶ Θεοδοτίωνος. Ἀλλ᾽ ἡ μὲν τῶν Ο ἀνάγνωσις κεῖται ἐν ἀσφαλεῖ (ταύτην ἐγκρίνει καὶ Schleusn. Thes. V. T, v. ἁλυκός)· καὶ τὸ ἁ λ σ ι κ ὴ (παρὰ τὸ ἄλσος) οὐχ ἧττον φαίνεται γελοῖον, ἢ ἐάν τις λέγῃ καὶ ἐκ τοῦ ἅλς ἁλὸς (ἡ θάλασσα, καὶ οἱ ἅ λ ε ς) ἁ λ σ ι κ ὴ (ἀντὶ ἁλικὴ, τὸ αὐτὸ καὶ ἁ λ υ κ ὴ), καὶ ἐκ τοῦ τ έ λ σ ο ς, τελσικὴ, καὶ ἐκ τοῦ θάρσος, καὶ φάρσος, θ α ρ σ ι κ ὴ, καὶ φ α ρ σ ι κ ή! κτλ. πιθανώτερα δ᾽ ἂν ἔλεγεν (οἶμαί γε) ὁ κριτικὸς, εἴπερ ὑπενόει, μήποτε καὶ Σύμμαχος καὶ Θεοδοτίων ἔγραψαν κ ο ι λ ά δ ι τ ῶ ν ἁ λ ῶ ν (= τῇ ἁλυκῇ)· ὅπερ ὑπὸ τῶν ἀντιγραφέων μεταποιηθὲν εἰς τὸ ἀλσῶν, ἐγέννησε τὸ τῆς Βουλγάτας sylvestris. πρβλ. Schleus. λ. ἄλσος.

(β) Τὸ ἔ γ κ α τ α τοῦτο διορθοῦσί τινες τῶν νεωτέρων, εἰς τὸ τὰ ἐ γ κ υ τ ὶ α ὐ τ ο ῦ» (τὸ δὲ ἐγκυτὶ = ἐν κύτει, ἐν χρῷ, τῇ ἐπιφανείᾳ τοῦ δέρματος) ἵνα ᾖ τὸ νόημα, ὅτι τὰ ἐ ν κ ύ τ ε ι, τὰ ἐν χρῷ τοῦ Λευιθὰν (τοῦ κήτους τοῦ μεγάλου) λέπη εἰσὶν ὡς ἀσπίδες χαλκαὶ (βλ. Terent. καὶ Jun. ἐν Σειρᾷ εἰς Ἰώβ. σελ. 587 καὶ Schleusn. Thes. v. Ἔγκατον). Ἀλλὰ μηδὲν κινητέον. Τὰ ἔ γ κ α τ α, ἐκ τοῦ κ ᾶ ς, κ ῶ ς, κ ῶ α ς (τὸ κώδιον, τὸ δέρμα)· καὶ τοῦτο συγγενὲς τοῦ κ ύ τ ο ς. Ὅθεν

ὀστράκιναι» καὶ Ἀκύλ. «*ὀξυντῆρες ὀστράκων*»· ὁ δὲ Θεοδοτ. «*σιδήρια τέκτονος*»· καὶ ὁ Ἱερών. (Βουλγ.) «*ἀκτῖνες ἡλίου*!» [ἀλλ' οἱ Ο, «ὀβελίσκοι ὀξεῖς»].

Ψαλμ. ις, 11. Τὸ Ἑβρ. «*Χορτασμὸς* εὐφροσυνῶν», ὁ δὲ Θεοδ. «*Ἑπτὰ* εὐφροσύναι». — Ψαλμ. ιη, 37. Τὸ Ἑβρ. «Ἡ πρᾳότης σου ἐπλήθυνέ με»· Ὁ δὲ Σύμμ. «τὸ ὑπακούειν με αὐξήσει με» (βλ. ὄπισθ. σελ. 613).-Ψαλμ. ρλθ, 19, 20. Τὸ Ἑβρ. «Ἐὰν ἀποκτείνῃς ὁ θεὸς τὸν ἀσεβῆ καὶ ἄνδρας αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ. Οἵ εἶπόν σε εἰς *ἀθέμιτα*· ἔλαβον *εἰς κενὸν* οἱ ἐχθροί σου» (Μοντάν.). Ὁ δ' Ἀκύλας, «Ὅτι ἀντιλέξουσί σοι εἰς ἀπόνοιαν· *ἦραν* εἰς εἰκῇ οἱ ἀντίζηλοί σου». Ὁ Σύμμ. «Οἵτινες ἀντελάλησάν σοι διαλογισμῷ· *ἐπήρθησαν* ματαίως οἱ ἐναντίοι σου». Ὁ Θεοδ. «Ὅτι ἐρίσουσί σοι εἰς διαλογισμὸν» κτλ. Ἡ Ε, ἔκδ. «Ὅτι προσεπίκρανάν σε ἐν κακοβουλίᾳ». [Ἄκουε καὶ τοὺς Ο. «Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ θεός, ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ· ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς. Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου». Οὕτω καὶ ἡ Βουλγ. ὁ Ἄραψ, κτλ.].

Ψαλμ. λ. (κθ) 8. Τὸ Ἑβρ. «Κύριε ἐν τῷ θελήματί σου ἔστησας *ἐν τῷ ὄρει μου* ἰσχύν». Ὁ δὲ Σύμμ. «Ἐν τῇ εὐδοκίᾳ Σου ἔστησας τῷ *προπάτορί μου* τὸ κράτος». [Πόσον καθαρῶς οἱ Ο! «Κύριε ἐν τῷ θελ. παρέσχου *τῷ κάλλει μου* δύναμιν!] — Ψαλμ. ρδ (ργ) 16. Ἑβρ. «Χορτασθήσονται τὰ ξύλα τοῦ *Κυρίου*». Ἀκύλ. δὲ καὶ Θεοδ. «τὰ ξύλα τοῦ *πεδίου κυρίου*». [οἱ Ο, «τὰ ξύλα τοῦ *πεδίου*].

Παροιμ. ε. 16. Ἑβρ. «Διασκορπιζέσθωσαν αἱ πηγαί σου ἔξω». Ὁ δ' Ἀκύλας «Μὴ διασκορπιζέσθωσαν» κτλ. (καὶ οἱ Ο. Μὴ ὑπερεκχείσθω σοι ὕδατα ἐκ τῆς σῆς πηγῆς» πρβ. στίχ. 15. — Οὕτως ἐξέπεσεν ἐκ τοῦ ἑβραϊκοῦ τὸ Μὴ καὶ ἐν Παροιμιῶν ιδ, 33.

οἱ Λάκωνες ἀντὶ ἔγκατα ἔλεγον ἔγκυτα· ὥστε τὸ ἔγκατα, σημαῖνον συνήθως τὰ ἐντόσθια, τὰ σπλάγχνα, ἐτέθη καταχρηστικώτερον παρὰ τοῖς Ο, καὶ ἀντὶ τοῦ χρωτός, τῆς ἐν κύτει ἐπιδερμίδος· τοῦτο σημαίνει καὶ τὸ τοῦ Ἀκύλα σῶμα = χρὼς (ἀνέγνω δὲ καὶ οὗτος ὡς οἱ Ο, gevah). Ἔγκατα ἔχουσι καὶ πάντες οἱ τῶν Ο, κώδηκες. Οὕτως ἀνέγνων καὶ Νεῖλος, Ὀλυμπιόδωρος, κτλ·

« Ἐν δὲ καρδίᾳ ἀφρόνων (ἡ σοφία) γνωσθήσεται ». Ἀκύλ. δὲ καὶ Θεοδ. *οὐ γνωσθήσεται* (Καπέλ.). καὶ οἱ Ο, « οὐ διαγινώσκεται ».– Παροιμ. ζ, 18. Τὸ ἑβρ. « Μεθυσθῶμεν ἐρώτων » (dodim). Ὁ δ' Ἀκ. Σύμ. Θεοδ. « Μεθυσθῶμεν τίτθων » (daddim).

Ἠσαΐ. γ, 12. Τὸ ἑβρ. « Τοῦ λαοῦ μου οἱ πράκτορες αὐτοῦ, παιδίον, καὶ *γυναῖκες* κατακυριεύουσιν αὐτοῦ ». Οὕτω καὶ Σύμμ. καὶ ἡ Βουλγ. ὁ δὲ Θεοδ. ἀντὶ τοῦ *γυναῖκες* (νασὶμ, ἐκ τοῦ ἰσσὰ) ἔχει « *δανεισταὶ* » (νεσὶμ, ἐκ τοῦ νασσα)· καὶ οἱ Ο, « Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ *ἀπαιτοῦντες* κυριεύουσιν ὑμῶν].– Αὐτ. με, 9. Τὸ Ἑβρ. « *κέραμοι πρὸς κεράμους γῆς* »· ὁ δὲ Θεοδ. « ὁ *ἀροτριῶν τοὺς ἀροτριῶντας τὴν γῆν* » [οἱ Ο « *μὴ* ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν *ὅλην τὴν ἡμέραν*; . . . *μὴ ἀποκριθήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό;* » Ἐκ τοῦ ἑβραϊ- λείπει ὅλον τοῦτο τὸ « *μὴ ἀποκριθήσεται* » κτλ.].

Ἠσαΐ. κε, 7. Τὸ ἑβρ. « Καὶ καταβροχθίσει » (ἢ ἀποῤῥοφήσει, deglutiet, ἄλλ. absorbebit) « ἐν τῷ ὄρει τούτῳ πρόσωπον καλύμματος ἐπικαλύπτοντος ἐπὶ πάντας τοὺς λαοὺς, καὶ καλύπτραν περισκεπῆ ἐπὶ πάντα τὰ ἔθνη ». Ὁ δὲ Σύμμ. « Καταποντιεῖ ἐν τῷ ὄρει τούτῳ πρόσωπον τοῦ ἐξουσιαστοῦ, τοῦ ἐξουσιάζοντος πάντων τῶν ἐθνῶν· καὶ ἡ κρίσις ἡ κεκριμένη κατὰ πάντων τῶν ἐθνῶν ». Ἡ δὲ Βουλγ. « Καὶ κατακρημνήσει ἐν τῷ ὄρει τούτῳ πρόσωπον δεσμοῦ συνδεδεμένου ἐπὶ πάντας τοὺς λαοὺς, καὶ τὸ πηνίον ὃ ἐδιάσατο ἐπὶ πάντα τὰ ἔθνη ». [οἱ Ο « Ἐπὶ τὸ ὄρος τοῦτο πίονται εὐφροσύνην· πίονται οἶνον· χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ· παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη »].

Ἱερεμ. κγ, 6. Ἑβρ. (Καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ καλέσουσιν αὐτὸν) « Κύριος *δικαιοσύνη ἡμῶν* ». Ὁ Σύμμ. « Κύριε *δικαίωσον* ἡμᾶς »· Οἱ δὲ Ο, « Καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν Κύριος, *Ἰωσεδὲκ*, ἐν τοῖς προφήταις ». Τὸ δὲ *Ἰωσεδὲκ* σύνθετον ἐκ τοῦ *Ἰαὼ* (Ἰεχωβὰ) καὶ *σεδεκ* (δίκαιος), καὶ ἐν τῷ ἑβρ. Jehovah Sadekinu (Κύριος δικαιοσύνη ἡμῶν). Ὥστε οἱ Ο τὸ τετραγράμ-

ματον ἀνέγνων *Ἰαὼ* (καὶ τοῦτο φαίνεται ἡ ἀρχαία τοῦ Ὀνόματος προφορά)· ἐν δὲ τῇ συνθέσει γέγραπται συντομώτερον, *Ἰωσεδὲκ* (α)· καὶ τὸ μὲν *ἡμῶν* οὐκ ἔχουσιν οἱ Ο, ἔχουσι δὲ τὸ *Κύριος* πρὸ τοῦ *Ἰωσεδὲκ*, καὶ τὸ *ἐν τοῖς προφήταις*, ἃ λείπουσιν ἐκ τοῦ ἑβρ.]. — Αὐτόθ. λε, (οἱ Ο λη) 22. Τὸ Ἑβρ. « Ὅτι ἔκτισε κύριος *καινὸν ἐν τῇ γῇ*· γυνὴ κυκλώσει (ἢ περιελεύσεται) ἄνδρα » (καὶ ἡ Βουλγ.) Ὁ δὲ Θεοδ., « ὅτι ἔκτισε Κύριος *σωτηρίαν* καινὴν » κτλ. [οἱ Ο, « ὅτι ἔκτισε Κύριος σωτηρίαν εἰς καταφύτευσιν καινήν· ἐν σωτηρίᾳ *περιελεύσονται ἄνθρωποι* »].

§. γ. Καὶ ταῦτα μὲν ὀλίγα ἐκ πολλῶν παραδείγματα τῆς περὶ τὰς λέξεις πρὸς τὸ Μασοραῖον κείμενον διαφορᾶς τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν ἐκδόσεων. Ὅτι δὲ καὶ περὶ τὴν στίξιν καὶ διαίρεσιν τῶν κομμάτων, ἢ κώλων, καὶ περιόδων πολλάκις διαφόρως παρὰ τοὺς περὶ τὸν Ἀκύλαν ἔστιξαν τὸ ἑβραῖον κείμενον οἱ Μασορῖται (ὅθεν καὶ τὸ νόημα μεταβάλλεται), ἀπέδειξεν ἐκ πολλῶν παραδειγμάτων ὁ Καπέλλιος (σελ. 341, 342).

ΚΕΦΑΛΑΙΟΝ ΙΘ.

Περὶ τῶν πρὸς τὸ Μασοραῖον κείμενον διαφερόντων ἀναγνωσμάτων τῶν τε Χαλδαίων παραφραστῶν, καὶ ἄλλων ἀρχαίων βιβλίων ῥαββινικῶν.

§. α. Δέκα φέρονται Χαλδαϊκαὶ παραφράσεις (τὰ παρ' Ἰουδαίοις *Ταργούμια*) διαφόρων τευχῶν τῆς ἑβραϊκῆς Γραφῆς (β), πᾶσαι μετὰ τὴν καταστροφὴν τοῦ ναοῦ συντεταγμέναι. Εἰσὶ δὲ αἱ ἑξῆς.

Α) Ἡ παράφρασις τῆς Πεντατεύχου, λίαν ἐπίσημος, ἣν εἰς

(α) Οὕτω καὶ τὸ Ἰ ω ά ν ν η ς σύνθετον ἐκ τοῦ τετραγραμμάτου Ἰ α ῶ, καὶ τοῦ Ἄ ν ν α (χάρις), ὡς ἂν εἴποις ἑλληνίζων, Θεοῦ χάρις, ἢ Θ ε ό χ α ρ ι ς.

(β) B. Walton, Prolegom. XII. §. 8—15. — Morin. Exercit. Bibl. L. II. p. 318. — Hottinger. Thes. philol. p. 257 — Cappel. Crit. Sacr. L. V. c. 2. — Pfeifferi, Critic. Sacr. p. 225. — Wolf. Bibl. Hebr. T. 2. p. 1135. — Carpzov. Crit. Sacr. p. 430. — Kennic. Diss. 11. p. 161 sq. — Fabricy des Titres etc. T. I. p. 96. sq. — Jahn, Einleit. 1. Bd. p. 188. — Eichhorn, Einleit. 2. Bd. p. 1—123. — Herbst, Einleit. 1. Bd. p. 173—187. — Horne, Introduction etc. 2 vol. part. 1. pag. 198.

Ὄγκελον ἐπιγράφουσι. Τοῦτον δὲ τὸν Ὄγκελον τὸ Βαβυλώνιον Ταλμοῦδον εἰς τοὺς χρόνους τῶν Ἀποστόλων ἀνάγει, μαθητεύσαντα δῆθεν παρὰ τῷ ἐν ἐνδόξῳ Γαμαλιήλ. Ἄλλοι δ' ἄλλα τερατεύονται, οἷς συμφάσκουσι καὶ οἱ σφόδρα ῥαββινίζοντες (ὡς οἱ περὶ τὸν Ὀττιγγῆρον καὶ Πείπφερον καὶ Καρψόβιον καὶ Φαβρίκυν). Τὸ δὲ πιθανώτατον καὶ τοῦ βεβαίου ἐγγὺς, ὁ Ὄγκελος φαίνεται βαβυλώνιος (ὡς ἔκρινεν Εἰχόρνιος καὶ Βερθόλδης), καὶ νομίζεται προσήλυτος εἰς τὸν Ἰουδαϊσμὸν, ἀκμάσας εἰ καὶ μὴ κατὰ τὸν ε, καὶ δ, αἰῶνα μ. Χ. ἀλλὰ πάντως κατὰ τὸν γ, τελευτῶντος τοῦ β, καὶ μετὰ τὸν Ἀκύλαν ἐπελθὼν (βλ. ὄπισθ. σελ. 78). Φαίνεται δὲ τὸ πρᾶγμα καὶ ἐξ αὐτοῦ τοῦ παραφραζομένου ἑβραϊκοῦ κειμένου, μακρῷ μὲν τοῦ κατὰ τοὺς Ο, καὶ τὸν Ἰώσηπον διαφέροντος, πλησιάζοντος δὲ μάλιστα πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκόν. Ἡ δὲ Χαλδαϊκὴ διάλεκτος αὐτοῦ κρίνεται καθαρεύουσα περὶ τὰ καθόλου, καὶ μὴ συμπεφυρμένη μετὰ τοσούτων ξενικῶν λέξεων, ὅσων βρύουσιν αἱ νεώτεραι χαλδαϊκαὶ παραφράσεις· ἔχει δὲ καί τινας λέξεις ἑλληνικάς. Παρακολουθεῖ δὲ τῷ ἑβραϊκῷ κειμένῳ κατὰ πόδα, καὶ ὡς ἐπὶ τὸ πλεῖστον μεταφράζει μᾶλλον, ἢ παραφράζει· ἀπέχεται δὲ καὶ τῶν μακρῶν παρεκβάσεων καὶ μύθων (εἰ μή που τύχοι σπανιάκις, οἵους ἀπέδειξεν ὁ Μορῖνος)· σπουδάζει δὲ μάλιστα πρὸς ἀποφυγὴν τῶν ἐπὶ θεοῦ λεγομένων *ἀνθρωποπαθειῶν* (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 845). Μετεφράσθη δὲ καὶ λατινιστὶ ἡ τοῦ Ὀγκέλου παράφρασις ὑπὸ τοῦ Φαγίου καὶ ἄλλων (α). Σημειωτέον δὲ ὅτι οὔτε Ἰώσηπος, οὔτε Ὠριγένης, οὔτε Ἱερώνυμος, οὔτε Ἐπιφάνιος, μνημονεύουσι τὸν Ὄγκελον (ὡς οὐδ' ἄλλην τῶν χαλδαϊκῶν παραφράσεων), καὶ τοῦτο φέρουσι πρὸς ἀπόδειξιν οἱ καὶ τοῦ Ἱερωνύμου, νεώτερον τὸν Ὄγκελον θέλοντες, ὡς οἱ περὶ τὸν Μορῖνον καὶ τὸν Εἰχόρνιον. Ἀλλ' ἐπὶ μὲν Ὠριγένους (ἀντιλέγουσιν ἄλλοι), ἴσως συνεγράφετο τοῦτο τὸ Ταργούμιον·

(α) Βλ. Winer, De Onkeloso ejus que Paraphrasi Chaldaica Dissert. Lipsiae 1820. S. D. Luzzato, Philoxenus, sive de Onkelosi Chaldaica Pentateuchi versione dissertatio etc. Viennae, 1830.

ἐπὶ δὲ τοῦ Ἱερωνύμου ὑπῆρχεν ἄγνωστον ἐν Παλαιστίνῃ, λανθάνον εἰσέτι κατὰ τὴν Βαβυλῶνα.

Β) Χαλδαϊκὴ παράφρασις φέρεται ἡ τοῦ Ἰωνάθαν υἱοῦ Οὐζιὴλ, παραφράζουσα πάντας τοὺς προφήτας (πλὴν τοῦ Δανιὴλ), καὶ τὰ τεύχη τοῦ Ἰησοῦ, τῶν Κριτῶν, καὶ τῶν Δ. Βασιλειῶν. Καὶ περὶ τοῦ Ἰωνάθαν τούτου πολλὰ παρὰ τοῖς Ταλμουδοῖς μεμυθολόγηνται. Λέγουσι καὶ τοῦτον ἀρχαῖον Ἑλλήλου μαθητὴν, καὶ συσπουδαστὴν τοῦ Συμεὼν (τοῦ Θεοδόχου)! ἐπὶ Ἡρώδου ἀκμάσαντα. ἐφοίτα δὲ λέγουσι παρ' αὐτῷ καὶ *Σαμέας*, Ἑλλήλου ἀντίζηλος. Ἀλλὰ Σαμέου μὲν ὁ Ἰώσηπος μνημονεύει (Ἀρχ. τ. α. σελ. 740), Ἰωνάθαν δὲ « *οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ*»· ἀλλ' οὐδ' ἐν τῇ Γεμάρᾳ τοῦ Ἱεροσολυμικοῦ Ταλμουδίου μνημονεύεται, καί τοι τὰς παραφράσεις ἐν Παλαιστίνῃ (καθὰ λέγουσιν) ἐκδούς. Μνημονεύεται δὲ μόλις ἐν τῇ μεταγενεστέρᾳ Γεμάρᾳ τοῦ Βαβυλωνίου Ταλμουδίου. Ὥστε φαίνεται ὁ Οὐζιηλίδης οὗτος συντάξας τὰς παραφράσεις αὐτοῦ κατὰ τὸν ε, αἰῶνα μ. Χ. Ἔστι δὲ ἡ τούτου διάλεκτος ἧττον μὲν τῆς τοῦ Ὀγκέλου καθαρὰ, κρείττων δὲ τῆς τῶν λοιπῶν βαρβαροφώνων παραφράσεων· πολλαχοῦ δὲ καὶ παραλλάσει, οὐδὲ μένει ἡ αὐτὴ ἐν πᾶσι τοῖς παραφρασθεῖσι βιβλίοις τῶν προφητῶν. Ὄζει δὲ καὶ τοῦ τῶν Ταλμουδῶν καὶ τῶν μεταγενεστέρων ῥαββίνων ὕφους· ὅθεν φαίνεται τὸ βιβλίον συμπίλημα διαφόρων χαλδαίων ἐξηγήσεων τῆς Γραφῆς.

Γ) Ἄλλη φέρεται παράφρασις τῆς Πεντατεύχου, ἡ λεγομένη τοῦ Ψευδοϊωνάθαν, ὡς ψευδῶς εἰς τὸν προειρημένον Ἰωνάθαν ἐπιγεγραμμένη· γέμει δὲ αὕτη πολλῶν διαλόγων, μύθων, μωρολογιῶν, παρερμηνειῶν, ἐξ ὧν ἀποδείκνυται καὶ ἡ παχεῖα περὶ τὴν ἑβραϊκὴν ἀμάθεια τοῦ παραφραστοῦ. Εὑρίσκεις ἐν τῇ παραφράσει ταύτῃ καὶ τὰ ὀνόματα *Κωνσταντινούπολις*, *Λομβαρδία*, καὶ ἄλλα τῆς μέσης ἡλικίας, ἐξ ὧν ἐξελέγχεται τὸ σύγγραμμα τοῦ η, ἢ καὶ τοῦ θ, αἰῶνος ἐξ ἀρχαιοτέρων ἴσως ἑρμηνειῶν συμπληθέν (α).

(α) Βλ. J. H. Petermann, De duabus Pentateuchi paraphrasibus Chal-

Δ) Καὶ τρίτη τῆς Πεντατεύχου χαλδαία παράφρασις φέρεται, ἡ λεγομένη Ἱεροσολυμῖτις (Ταργοὺμ ἱεροσολυμικόν)· ἔστι δ' οὐχ' ὁλόκληρος, ἀλλ' ἐν τῷ μεταξὺ πεπηρωμένη καὶ ἀτελής· φέρει δὲ καὶ τῆς τοῦ ψευδιωνάθαν τοὺς χαρακτῆρας, ᾗ καὶ σύγχρονος, κατὰ δέ τινας καὶ νεωτέρα δοκεῖ· βρύει δὲ καὶ αὕτη λέξεων ἑλληνικῶν, λατινικῶν, περσικῶν· περιέχει δὲ καὶ γνώμας πολλὰς ἐκ τῆς Καινῆς Διαθήκης.

Ε) Μένουσιν ἐκ τῶν χαλδαϊκῶν παραφράσεων ὑπόλοιποι ἕξ, οὔτε παλαιότεραι οὔτε καλλιώτεραι τῶν προειρημένων. Εἰσὶ δὲ αὗται — 1). Τὸ Ταργούμιον τῶν παρ' Ἰουδαίοις *Ἁγιογράφων* λεγομένων (τῶν Ψαλμῶν, τοῦ Ἰὼβ, τῶν Παροιμιῶν), ὅπερ ἀπονέμουσιν οἱ Ἰουδαῖοι εἰς Ἰώσηπον τὸν στραβὸν, ἢ τυφλὸν, ὃν χρονοθετοῦσι κατὰ τὴν γ, ἑκατονταετηρίδα. Ἀλλ' ἔστι καὶ τοῦτο τὸ βάρβαρον συνταγμάτιον συμπίλημα παρὰ πολὺ νεώτερον. — 2) Τὸ Ταργούμιον τῶν πέντε λεγομένων *Εἰλησαρίων* (Μεγιλλώθ)· εἰσὶ δὲ ταῦτα, Ῥοὺθ, Ἐσθὴρ, Θρῆνοι, Ἆσμα, Ἐκκλησιαστής.— 3, 4, 5). Τρία Ταργούμια, ἢ παραφράσεις τῆς Ἐσθὴρ, (κατὰ τὸ κείμενον τὸ ἑβραϊκὸν), αἷς προστίθεται ὡς ἐπίμετρον καὶ τετάρτη παράφρασις τῶν λεγομένων *προσθηκῶν* τῆς Ἐσθήρ.— 6), τέλος, Ταργούμιον τὸ τῶν Παραλειπομένων. Καὶ οὕτω συμπληροῦται τῶν χαλδαίων Ταργουμίων ἡ δεκάς (α). Τοῦ δὲ Ἔσδρα καὶ Νεεμίου καὶ τοῦ Δανιὴλ παραφράσεις οὐχ εὑρίσκονται παρ' Ἰουδαίοις, διότι (λέγουσι) τούτων τῶν ἱερῶν τευχῶν ἡ διάλεκτος, ἐν πολλοῖς χαλδαΐζει· (ἀλλ' ἡ τοῦ Νεεμίου οὐχί· ἔπειτα καὶ τὸν θεῖον Δανιὴλ οὐδὲ προφήτην ἀποδέχονται ὅλως! τάττουσι δ' αὐτὸν μόλις μετὰ τῶν παρ' αὐτοῖς *Ἁγιογράφων*, σελ. 853). Καὶ ταῦτα

---

daicis. Particula I. De indole paraphraseos, quae Jonathanis esse dicitur. Berolini, 1829.

(α) Περὶ τῆς ἀρχῆς τῶν Ταργουμίων τούτων, καὶ τῆς ἐν τοῖς διαφόροις αὐτῶν ἀπογράφοις συγχύσεως καὶ διαφθορᾶς, καὶ τῶν ποικίλων παραλλαγῶν διέλαβον καὶ ῥαββῖνοι (ὡς Ἠλίας ὁ Λευΐτης, καὶ ὁ Μαϊμονίδης), καὶ ἄλλοι, ὡς Βουξτόρφιος, Βάλτων, Βοήτιος, Λεΰσδηνος, Φρ. Ῥαφελέγγιος, ὧν τὰς μαρτυρίας ἀθρόας βλέπε παρὰ τῷ Κεννικώτῳ (Diss. II. c. 2. p. 163, sqq.).

μὲν ὡς ἐπίπαν περὶ τῶν Χαλδαίων παραφραστῶν, καί τοι μὴ πάνυ συμβάλλοντα πρὸς τὸν σκοπὸν, εἰ μὴ μόνον ὅσον ἱστορικώτερον τὴν φύσιν αὐτῶν ὑποδεῖξαι, καὶ τὴν πρὸς τὸ Μασοραῖον κείμενον σχετικὴν ἀναφοράν.

§. β. Αὗται τοίνυν αἱ Χαλδαϊκαὶ παραφράσεις δεικνύουσιν, ὅτι τούτων οἱ συγγραφεῖς ἐχρῶντο κώδηκι τῶν ἑβραϊκῶν Γραφῶν, μακρῷ μὲν τοῦ τῶν Ο διαφέροντι, λίαν δὲ παρεμφερεῖ πρὸς τὸ καθ' ἡμᾶς Μασοραῖον κείμενον. (Καὶ ἐκ τούτου μάλιστα βεβαιοῦται, ὡς προείπομεν [σελ. 878], ὅτι ὁ Ὄγκελος καὶ Ἰωνάθαν ἐγένοντο μετὰ τοὺς Ἰωσήπου χρόνους, καὶ τὴν ἀπὸ τοῦ β, αἰῶνος καὶ ἐφεξῆς ἀψαμένην τοῦ ἑβραίου κώδηκος λύμην). Ἀλλ' ἡ ὁμοιότης αὕτη (καὶ μάλιστα τῶν τύποις ἐκδεδομένων παραφράσεων πρὸς τοὺς τετυπωμένους ἑβραίους κώδηκας) οὐκ ἀπήλλακται καί τινος ἰδίας νοθείας καὶ διαφθορᾶς. Ταύτην τὴν ὁμοίωσιν ὁ κλεινὸς Καπέλλιος ἀποδίδωσι κατὰ πρῶτον εἰς τοὺς τῶν στιγμῶν εὑρέτας Μασορίτας, οἵτινες μισοῦντες τὴν παρὰ τοῖς χριςιανοῖς ἑρμηνείαν τῶν Ο, ἔςιξαν ἀναμφιβόλως τὰς λέξεις ἀπαραλλάκτως, ὡς αὐτὰς ἀνέγνων (καὶ πολλάκις κακοὶ κακῶς) οἱ Χαλδαῖοι παραφρασταὶ, ἵνα διαφέρωσι τῆς κατὰ τοὺς Ο ἀναγνώσεως (α). Ὅτι δὲ καὶ ὕστερον αἱ χεῖρες τῶν μεταγενεστέρων Ἰουδαίων διασκευαστῶν οὐκ ὤκνησαν, ἐν ὅσοις ἠδυνήθησαν, μεταποιῆσαι καὶ τὰς ἄλλας χαλδαϊκὰς παραφράσεις καὶ αὐτὴν τὴν τοῦ Ὀγκέλου πρὸς τὸ προδιεφθαρμένον Μασοραῖον κείμενον κατὰ λέξεις, ἀπέδειξε λαμπρῶς ὁ κλεινὸς Κεννικῶτος (β). Κακεῖνο δὲ σημειωτέον· ὅτι

(α) « Massorethae iniquiores . . erga translationem τῶν LXX facti, quod viderent Christianos ea adversus Judaeos uti, maluerunt procul dubio Paraphrastarum quam LXX Interpr. lectionem sequi, eamque punctatione sua representare ». Cappel. Crit. Sacr. V. c. 2.

(β) « Chaldaicam Paraphrasim — quibusdam in locis destinato consilio, in majorem cum Hebraeo textu conformitatem, qui in illis ipsis jam ante corruptus fuerat, esse immutatam ». Kennicot. Dissert. II. c. 2. p. 162, 179. sq. Καὶ φέρει πολλὰ παραδείγματα τῆς τοιαύτης ἑκουσίας διαφθορᾶς.

τὰ Χαλδαῖα ταῦτα Ταργούμια ἄστικτα ἐτήρουν οἱ Ἰουδαῖοι μέχρι τοῦ ιε, αἰῶνος, ὁπότε τὸ πρῶτον ἐπετέθησαν τὰ στίγματα διαταχθέντα, ὡς εἰς ἀρχέτυπον παράδειγμα, πρὸς τὸ κείμενον τὸ Μασοραῖον, καὶ ταῦτα ὑπ̓ ἀνθρώπων ἀμαθῶν.

§. γ. Πλὴν ἀλλὰ καὶ οὕτως αἱ τῶν Χαλδαίων τούτων ἐξηγήσεις, ἐν οἷς εἴτε παραφράζουσιν, εἴτε καὶ κατὰ λέξιν ἐκχαλδαΐζουσι χωρίοις τῆς Γραφῆς, διαφέρουσι πολλάκις τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ. Καὶ τὰ μὲν συμφωνοῦσι τοῖς Ο (εἴδομεν δὲ τούτων παραδείγματα ἐν τοῖς ἔμπροσθεν, Κεφ. ιϐ, καὶ ιγ), τὰ δὲ μήτε πρὸς ἐκείνους μήτε πρὸς τὸ νῦν ἑϐραϊκόν. Ἐκ δὲ τούτων ἑκατέρων ἀποδείκνυται πάλιν ἡ κατὰ καιροὺς ἐνσκήψασα τῷ Μασοραίῳ κειμένῳ διαφθορά. Καθ' ὅσα μὲν γὰρ οἱ Ταργουμισταὶ συμφωνοῦσι τοῖς Ο, ταῦτα καὶ ἐπ' αὐτῶν ὑγιῶς εἶχεν ὁ κώδηξ ὁ ἑϐραϊκὸς, διέφθαρται δὲ μετὰ ταῦτα. Καθ' ὅσα δὲ πάλιν οἱ Χαλδαῖοι διαφέρουσι τῶν Ο, καὶ μηδὲ πρὸς τὸ ἑϐραϊκὸν συμφωνοῦσι, παραδειγματίζουσι μὲν τὴν ἔτι κατ' αὐτοὺς κατασχοῦσαν τὸν ἑβραῖον κώδηκα λώϐην, ἐξελέγχουσι δὲ ἅμα καὶ τὸ καθ' ἡμᾶς ἑϐραϊκὸν, ὡς ἄλλας νεωτέρας παθὸν διαφθορὰς, ἐν ὅσοις χωρίοις μηδὲ πρὸς αὐτοὺς τοὺς ἀρχαίους παραφραστὰς ὁμοφωνεῖ. Τούτων τῶν διαφορῶν ὀλίγα παραδείγματα φέρομεν, δείγματος χάριν, τὰ ἐφεξῆς, ἔκ τε τῶν Καπελλίου θεωριῶν ἀπανθίσαντες, καὶ ἐκ τῶν νεωτάτων, ὅσων εἴδομεν, κριτικῶν περὶ τῆς Ὀγκέλου παραφράσεως παρατηρήσεων τοῦ σοφοῦ Βινέρου (α).

Γενέσ. γ, 16. Ὁ Ὄγκελος « (πρὸς τὸν ἄνδρα σου) ἡ *ἀποστροφή σου* » (ὡς καὶ οἱ Ο). Τὸ δὲ νῦν ἑϐρ. « πρὸς τὸν ἄνδρα σου ἡ *ἐπιθυμία σου* ». — Αὐτ. ιδ, 14. Ὁ Ὄγκελος ἔχει (ὡς ὁ Βίνερος διορθοῖ) « *ἠρίθμησε* » (οὕτω καὶ οἱ Ο). Τὸ δὲ νῦν ἑϐρ. « *ἐξώ-*

(α) Βλ. Cappel. Critic. Sacr. L. V. c. 2. p. 325—332 καὶ Winer, De Onkeloso ejus que Paraphrasi etc. Ὁ σοφὸς Βίνερος κούφας τινὰς νομίζει τὰς ὑπὸ τῶν Ἰουδαίων εἰς τὸν Ὄγκελον πρὸς τὸ Μασοραῖον κείμενον γενομένας παρισώσεις καὶ διαλλαγάς· ὀλίγας δὲ καὶ τὰς διασκευάς· πολλὰς δὲ παρετήρησεν ἐν τοῖς ἀπογράφοις τοῦ Ὀγκέλου τῶν συνωνύμων λέξεων ἀντικαταστάσεις κτλ. (βλ. σελ. 17 κτλ.).

πλισε».—Αὐτ. μ. 13. Ὁ Ὄγκελ. «Καὶ *μνησθήσεται* Φαραὼ τῆς ἀρχῆς σου» (καὶ οἱ Ο)· τὸ δ' ἑβρ. «Ὑψώσει Φαραὼ τὴν κεφαλήν σου» (Μοντάν.)—Αὐτ. μα, 40. Ὁ Ὄγκελ. «(ἐπὶ τοῦ στόματός του) *κυβερνηθήσεται* πᾶς ὁ λαός». Τὸ δ' ἑβρ. —*καταφιλήσει* πᾶς ὁ λαὸς» (οἱ Ο, «Καὶ ἐπὶ τῷ στόματί σου ὑπακούσεται πᾶς ὁ λαός»).— Αὐτ. μθ. 10. Ὁ Ὄγκελ. «Ἕως οὗ ἔλθῃ ὁ Μεσσίας, *οὗ ἡ ἐξουσία*» (ὡς τὸ τῶν Ο «*ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται*» βλ. ὄπισθ. σελ. 500), (τὸ δὲ «*ὁ Μεσσίας*» ἐπεξήγησίς ἐστι τοῦ παραφραστοῦ)· τὸ δ' ἑβρ. «ἕως οὗ ἔλθῃ ὁ Σιλώ».

Ἐξόδ. Ι. 18. Ὁ Ὄγκελος, καὶ οἱ Ο. «Ἐξῆλθε Μωϋσῆς». Ἐκ δὲ τοῦ ἑβρ. λείπει τὸ Μωϋσῆς (βλ. ὄπισθ. σελ. 570, καὶ Κεννικ. Διατρ. Β. σελ. 181)— Αὐτ. κγ. 5. Ὁ Ὄγκελ. «(ἐὰν ἴδῃς τὸν ὄνον τοῦ ἐχθροῦ σου πεπτωκότα ὑπὸ τὸ φορτίον) *οὐ καταλείψεις αὐτὸν* [ἀπολιπὼν ἀπολείψεις ὅ,τι ἐν καρδίᾳ στρέφεις κατ' αὐτοῦ], *καὶ βοηθήσεις αὐτῷ* (τῷ ὄνῳ), *μετ' αὐτοῦ*». Οὕτω παρέφρασε τὸ κατὰ τοὺς Ο, «(ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ)· *οὐ παρελεύσῃ* αὐτό, *ἀλλὰ συναρεῖς αὐτὸ μετ' αὐτοῦ*» (τὸ δέ, *ἀπολιπὼν ἀπολείψεις* κτλ. μέχρι τοῦ καὶ *βοηθήσεις*, ἐπεξηγηματικῶς προσέθηκεν ὁ παραφραστής). Τὸ δὲ νῦν ἑβρ. «Ἐὰν ἴδῃς τὸν ὄνον τοῦ ἐχθρ. πεπτ. ὑπὸ τὸ φορτίον, καὶ *παύσεις* ἀπὸ τοῦ καταλείπειν αὐτῷ· καταλιπὼν καταλείψεις σὺν αὐτῷ» (α). (Τοιαῦτα Μασορῖτις Σφὶγξ αἰνιγματίζει! πολλὰ δὲ πράγματα τὸ χωρίον παρέχει τοῖς ἑβραΐζουσι κριτικοῖς, ἀνήνυτα μοχθοῦσιν· οἵ γε τὴν μὲν ὀρθὴν ἐξήγησιν τῶν Ο στέργουσι θαυμαστῶς, καὶ δι' αὐτῆς πειρῶνται καὶ τὸ ἑβραϊκὸν ὁπωσδήποτε συγκαττύειν, καὶ τὸν Ὄγκελον ἐξηγεῖν· λέγουσι δὲ ὅμως, ὅτι οἱ Ο *μικρῷ τῶν λέξεων φροντίσαντες*, ἐξέφρασαν μόνον τὸν νοῦν. Ὡς ἂν εἰ καὶ οἱ Ο ἀνέγνων ἐν τῷ κατ' αὐτοὺς ἁγνῷ κειμένῳ τὰς αὐτὰς καὶ τὰς τοῦ Μασοραίου φωνάς! βλ. τὸν Ροδομύλλερ. Σχόλ. εἰς Ἔξοδ. αὐτόθ.].

Λευϊτ. α, 16. Ὄγκελος· «(καὶ ἀφελεῖ ὁ ἱερεὺς ἐκ τοῦ πτηνοῦ)

(α) «Et cessabis à deserendo ei· deserendo desereres cum eo» (Mont.).

« τὸν πρόλοβον *μετὰ τῆς τροφῆς αὐτοῦ*»· οὕτω καὶ τὸ Σαμαρ. καὶ ὁ Σύρος, καὶ ὁ Πέρσης· ἐπιδοκιμάζει μετ᾽ ἄλλων καὶ Γεσένιος. Ἀλλ᾽ ἀνανεύουσιν οἱ Ο, οἵτινες ἔχουσιν, ὡς ἔχει καὶ τὸ νῦν ἑβρ. « *σὺν τοῖς πτεροῖς αὐτοῦ* ». Οὕτω καὶ ὁ Θεοδοτ. « *σὺν τοῖς πτίλοις αὐτοῦ* ». Ὁ δ᾽ οὖν Ὄγκελος μαρτυρεῖ, ὅτι ἦσαν κατ᾽ αὐτὸν κώδηκες ἑβραῖοι καὶ κατὰ τοῦτο παρεφθαρμένοι. Δείκνυσι δὲ καὶ Ἀκύλας (ὃν ἀνέγνω ἴσως Ὄγκελος), γράφων « τὴν φύσαν (= πρόλοβον) *τὴν σιτίζουσαν* » (ἀντὶ *σιτοδόχον*, ἥτις, λοβοῦ δίκην, εἰσδέχεται τὰ σπέρματα καὶ *σιτία*, δι᾽ ὧν τρέφεται τὸ πτηνόν. βλ. Θεοδώρητ. Κύριλλ. Προκόπ. εἰς Λευῒτ. α, 16).—Αὐτόθ. ζ, 25. Ὄγκελος. « Αὕτη ἡ χρίσις Ἀαρὼν » (καὶ οἱ Ο, τὸ Σαμαρ. ἡ Βουλγ. ὁ Σύρος)· τὸ δ᾽ ἑβρ. (ζ, 35) « *Τοῦτο τοῦ χρίσματος Ἀαρὼν* (ἀναπληροῦσιν ἔξωθεν τὸ δικαίωμα. Οἱ δὲ καὶ οὐδὲ *χρίσμα* ἑρμηνεύουσιν, ἀλλ᾽ *ἡ μερίς*).

Ἀριθμ. ια, 8. Ὄγκελ. « Καὶ ἡ γεῦσις (τοῦ μάννα) *ὡς πλακουντίου ἐλαιηροῦ* » (καὶ οἱ Ο, « ὡσεὶ . . . *ἐγκρὶς ἐξ ἐλαίου* »· οὕτω καὶ ὁ Σύρος, ἡ Βουλγ.). Τὸ δὲ νῦν ἑβρ. « ὡσεὶ γεῦμα *χυμοῦ ἐλαίου* » ! — Αὐτόθ. ιδ, 34. Ὄγκελ. « γνώσεσθε τί ἐστι τὸ κατ᾽ ἐμοῦ ἐπανίστασθαι » (ἄλλ. γογγύζειν). Τὸ δ᾽ ἑβρ. « γνώσεσθε τὴν ἐξαπάτησίν μου· (ἄλλοι, τὴν *ἀναχώρησίν μου*· ἄλλοι, *τὴν λύσιν τῆς ὑποσχέσεώς μου* ! »)· οἱ δὲ Ο λίαν ἁπλῶς καὶ καθαρῶς· « γνώσεσθε *τὸν θυμὸν τῆς ὀργῆς μου* » (καὶ ἡ Βουλγ. τὴν ἐκδίκησίν μου). — Αὐτ. κα, 14. Ὄγκελ. « Διὰ τοῦτο λέγεται ἐν βίβλῳ πολέμων, ὧν ἐποίησεν ὁ Κύριος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ τῶν ἀνδραγαθημάτων τῶν ἐν χειμάρρῳ Ἀρνών ». Τὸ δ᾽ ἑβρ. Διὰ τοῦτο λέγεται ἐν βίβλῳ πολέμων Κυρίου· « Βαὲβ ἐν θυέλλῃ » (turbine· ἄλλοι, Βαὲβ ἡ ἐν Σοφᾷ) « καὶ χείμαρροι Ἀρνὼν » (σφόδρα καὶ τοῦτο τὸ αἴνιγμα βασανίζει τοὺς κριτικούς)· οἱ Ο, « Διὰ τοῦτο λέγεται ἐν βιβλίῳ· Πόλεμος Κυρίου τὴν Ζοὸβ ἐφλόγισε, καὶ τοὺς χειμάρρους Ἀρνών ». — Αὐτόθ. στίχ. 30. Ὄγκελ. « *Βασιλεία ἐξέλιπεν* ἀφ᾽ Ἑσβῶν, ἤρθη ἐξουσία ἀπὸ Διβῶν· καὶ ἠρήμωσαν ἕως εἰς Νοφάχ, ἥ ἐστιν ἐκ γειτόνων Μεδεβαί ». Τὸ δ᾽

ἑβρ. «Καὶ ὁ *ζυγὸς αὐτῶν ἀπώλετο*, Ἐσβὼν ἕως εἰς Διβών· καὶ κατηρημώσαμεν ἕως εἰς Νοφὰ» κτλ. (οἱ Ο, «Καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται. Ἐσεβὼν ἕως Δαιβών· καὶ αἱ γυναῖκες αὐτῶν ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ»).

Δευτερ. κ, 19. Ὄγκελ. «*Οὐ γάρ ἐστι τὸ ξύλον τοῦ ἀγροῦ* ὡς ὁ ἄνθρωπος, ἵνα ἔλθῃ κατὰ σοῦ εἰς χαράκωσιν»· οὕτω καὶ τὸ Σαμαρ. καὶ ἡ Βουλγ. καὶ οἱ Ο, «Μὴ ἄνθρωπος τὸ ξύλον τὸ ἐν ἀγρῷ, εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς τὸν χάρακα;» Τὸ δ' ἑβρ. «Ὅτι *ἄνθρωπος* (ἐστὶ) *τὸ ξύλον τοῦ ἀγροῦ*, πρὸς τὸ ἐλθεῖν ἀπὸ προσώπου σου εἰς χαράκωσιν» (Μοντάν.). Οὕτως ἡ ἀποβολὴ μιᾶς ἀρνήσεως ἐκ τοῦ ἑβραϊκοῦ, ἣν οἱ Ο διὰ τοῦ ἐρωτηματικοῦ σαφῶς ἐξέφρασαν, ἐνέβαλε τοὺς νεωτέρους σχολιαστὰς τοῦ Μασοραίου κειμένου εἰς ἀγῶνας, οὔτε στεφανίτας, οὔτε ζηλωτούς!). — Αὐτ. κϛ. 5. Ὄγκελ. «Λάβαν ὁ Σύρος ἐσπούδασεν ἀπολέσαι τὸν πατέρα (μου)»· δηλαδὴ τὸν Ἰακώβ· τὸ δὲ Λάβαν ἴσως προσέθηκεν εἰς ἐπεξήγησιν. Οὕτω πως καὶ οἱ Ο «Συρίαν ἀπέβαλεν ὁ πατήρ μου« (τουτ. ἀπέλιπε· «*καὶ κατέβη εἰς Αἴγυπτον*»)· τὸ δ' ἑβρ. «*Σύρος ἦν ὁ πατήρ μου ἀπολωλὼς*» (ἄλλ. πλανώμενος). — Αὐτ. λϐ, 10. Ὄγκελ. «Παρέσχεν αὐτοῖς τὰ ἀναγκαῖα» (ἐν τῇ ἐρήμῳ)· καὶ οἱ Ο, «*Αὐτάρκησεν* αὐτὸν ἐν τῇ ἐρήμῳ». Τὸ δ' ἑβρ. «*εὗρεν αὐτὸν* ἐν γῇ ἐρήμῳ» — Αὐτ. «*ἐπαίδευσεν* αὐτὸν» (οἱ Ο, καὶ Ὄγκελος)· τὸ δ' ἑβρ. οὐκ οἶδε τὸ *ἐπαίδευσεν*, ἔχει δὲ μόνον, «*περιήγαγεν* αὐτὸν» (ὅπερ ἔχουσι καὶ οἱ Ο, «*ἐκύκλωσεν* αὐτόν»).

Καὶ ταῦτα μὲν ἰδίως ὀλίγα ἐκ πολλῶν τῶν τοῦ Ὀγκέλου· προστεθείσθωσαν δὲ καὶ ἄλλα τινὰ ἀφ' ὧν καθόλου ἐκ τῶν Ταργουμιστῶν ἐσημείωσεν ὁ Καπέλλιος.

Γενέσ. ιδ, 5. Τὸ Ταργ. (Ὀγκέλ.) «ἔθνη ἰσχυρὰ» (καὶ οἱ Ο)· τὸ δ' ἑβρ. Ζουζὶμ (βλ. Βιϐλ. Β. σελ. 729). — Αὐτ. μθ, 5. Ταργ. (Ὀγκέλ.) «Συμεὼν καὶ Λευῒ ἀδελφοί, *ἄνδρες ἰσχυροὶ ἐν γῇ κατοικήσεως αὐτῶν*». Τὸ δ' ἑβρ. «Συμεὼν καὶ Λευῒ ἀδελφοί, *ὅπλα* (ἄλλ. σκεύη) *ἀδικίας μάχαιρα αὐτῶν*» (πρβλ. τὸ γνήσιον τῶν

Ο· « Συμεὼν καὶ Λευῒ ἀδελφοὶ, *συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν* ». Συνᾴδει καὶ τὸ Σαμαρειτ.). – Αὐτόθ. ν, 19. Τὸ Ταργ. « Μὴ φοβεῖσθε » (εἶπεν ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς) « *Ὅτι φοβοῦμαι* ἐγὼ τὸν Κύριον »· τὸ δ' ἑβρ. « *Μὴ φοβεῖσθε· μήπως εἰς τόπον Θεοῦ εἰμι* ἐγώ ; (Ἀλλὰ πόσον ἁπλῶς καὶ φυσικῶς οἱ Ο. « Μὴ φοβεῖσθε· τοῦ γὰρ Θεοῦ εἰμι ἐγώ ».).

Ἰησ. θ. 4. Τὸ Ταργ. καὶ οἱ Ο « καὶ ἐπεσιτίσαντο »· τὸ δ' ἑβρ. « ἐπλάσαντο εἶναι πρέσβεις ».

Α. Βασιλ. ϛ, 18. Τὸ Ταργ. καὶ οἱ Ο « ἕως λίθου τοῦ μεγάλου »· τὸ δ' ἑβρ. « ἕως Ἄβελ τοῦ μεγάλου » – Αὐτ. κδ. 8. Τὸ Ταργ. καὶ οἱ Ο « Καὶ *ἔπεισε* (Δαβὶδ) τοὺς ἄνδρας αὐτοῦ λόγοις ». Τὸ δ' ἑβρ. « καὶ *ἐκώλυσε* τοὺς ἄνδρας » κτλ.

Ψαλμ. ξϛ (ξε), 12. Τὸ Ταργοὺμ καὶ οἱ Ο, « Καὶ ἐξήγαγες ἡμᾶς εἰς *ἀναψυχήν* ». Τὸ δ' ἑβρ. « *εἰς ἀρδευομένην* » (ἢ κατάῤῥυτον, **irriguam**, ἐλλειπτ. γῆν !). Ἀλλὰ μετὰ τὸ διελθεῖν διὰ πυρὸς καὶ *ὕδατος*, πῶς ἂν ἁρμόσειε πάλιν *ὑδατόῤῥυτος* γῆ ;

Παροιμ. ιε, 20. Τὸ Ταργοὺμ καὶ οἱ Ο, « Υἱὸς σοφὸς εὐφραίνει πατέρα, *υἱὸς* δὲ ἄφρων μυκτηρίζει μητέρα αὐτοῦ » (οὕτω καὶ ὁ Σύρος). Τὸ δὲ νῦν ἑβρ. « Υἱὸς σοφὸς ἱλαρύνει πατέρα· *ἄνθρωπος* δὲ ἄφρων καταφρονεῖ μητρὸς αὐτοῦ » (βλ. Κεννικώτ. Διατρ. Β. σελ. 181). – Αὐτ. ιη, 22. Τὸ Ταργ. (ἐν χειρογράφοις), καὶ οἱ Ο, « Ὃς εὗρε *γυναῖκα ἀγαθὴν*, εὗρε χάριτας » (οὕτω καὶ Σύρος, Βουλγ. Ἄραψ). Τὸ δὲ νῦν ἑβρ. « Εὗρε γυναῖκα, εὗρεν ἀγαθόν » λείπει τὸ *ἀγαθήν*· καὶ οὕτως ἡ γνώμη τοῦ σοφοῦ μακαρίζει πάντα τινὰ τὸν εὑρόντα οἱανδήποτε γυναῖκα, ὅπερ ἄτοπον. Σημείωσαι δὲ, ὅτι ἐν ταῖς ἐκδόσεσι τοῦ Ταργοὺμ οὐ κεῖται τὸ ἀγαθὴν, ἀποξεσθὲν ἐξεπίτηδες, ἵνα συμφωνήσῃ ἡ ῥῆσις πρὸς τὸ κεκολοβωμένον ἑβραϊκόν· (βλ. Κεννικ. αὐτόθ. σελ. 182, 184, καὶ ὄπισθεν σελ. 415,).

Ἠσαΐας γ. 17. Τὸ Ταργ. « Καὶ ὑποδουλώσει (Κύριος) τὴν δόξαν τῶν θυγατέρων Σιὼν » (καὶ οἱ Ο, « Καὶ ταπεινώσει ἀρχούσας θυγατέρας Σιών)· τὸ δ' ἑβρ. « Καὶ *ψωριάσαι ποιήσει τὴν*

κορυφὴν τῶν θυγατέρων Σιών ».—Αὐτ. ια, 15. Τὸ Ταργ. « Καὶ *ξηρανεῖ* (καὶ οἱ Ο, « *ἐρημώσει* Κύριος τὴν θάλασσαν Αἰγύπτου »). Τὸ δ' ἑβρ. « Καὶ *ἐξαλείψει ἀναθέματι* κύριος *τὴν γλῶσσαν* τῆς θαλάσσης Αἰγύπτου ». — Αὐτ. ξδ. 7. Τὸ Ταργ. « Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἁμαρτιῶν ἡμῶν » (καὶ ὁ Σύρος, καὶ οἱ Ο· « καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν »). Τὸ δ' ἑβρ. « Καὶ *τακῆναι ἐποίησας ἡμᾶς*, διὰ τὰς ἁμαρτίας ἡμῶν ». κτλ.

Ἱερεμ. να (οἱ Ο, κη), 59. Τὸ Ταργοὺμ καὶ οἱ Ο, « ἄρχων *δώρων* » (ὁ ἐπὶ τῶν δώρων, τῶν πεμπομένων εἰς Βαβυλῶνα παρὰ τοῦ Σεδεκίου)· τὸ δὲ νῦν ἑβραϊκὸν « ἄρχων *ἀναπαύσεως* » (οἷον, κατακοιμιστής, κοιτωνάρχης. Οὕτω τὸ mincha δῶρον, ὁ ἑβραῖός παρέτρεψεν εἰς menucha, ἀνάπαυσιν. βλ. Σκλευσίν. λ. Δῶρον).

Ὠσηὲ, ς, 6. Τὸ Ταργ. καὶ οἱ Ο « Καὶ τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται ». Τὸ δ' ἑβρ. « Καὶ τὰ κρίματά σου, ὡς τὸ φῶς τὸ ἐξερχόμενον » (Μοντ.). κτλ. Τὰ δὲ παρὰ τῷ Ταργουμ. Ἰωνάθαν περὶ τῶν ἐτῶν τοῦ Ἀδάμ, βλ. ὄπισθ. σελ. 714.

§. δ. Ἐκ τῶν ἐκτεθέντων ἀναγνωσμάτων τῶν χαλδαϊκῶν παραφράσεων ἀποδείκνυται τοῦ Μασοραίου κειμένου ἡ διαφθορὰ, καὶ μάλιστα ἐν οἷς αἱ παραφράσεις συμφωνοῦσι τοῖς Ο, τὴν ἀρχαίαν διασῴζουσαι γραφὴν τῶν λέξεων καὶ προφοράν· ὥστε καὶ αὗται μαρτυροῦσι κατὰ μέρος τῇ τῶν Ο γνησιότητι, καὶ τοῦτο τὸ χρήσιμον (εἴ τινα, φασὶ, καὶ ἄλλα) παρέχουσαι τοῖς μετὰ κρίσεως αὐτὰς μετερχομένοις (α). Καὶ μάτην ἄρα ἡ ἄγαν ἑβραϊ-

(α) *Οἷον ἐν τῷ τοῦ Ὀγκέλου καὶ Ἰωνάθαν κἀν τῷ Ἱεροσολυμικῷ* Ταργουμίῳ *εὑρίσκονται φράσεις ὁμολογοῦσαι τῆς* Χριστιανικῆς *πίστεως τὴν ἀλήθειαν, αἵτινες συμβάλλουσι πρὸς ἐπιστόμισιν τῶν Ἰουδαίων. Οὕτω φέρεται πολλάκις ὁ λόγος τοῦ θεοῦ* (Χαλδ. memra) *ὡς ἐνυπόστατος* Λόγος τοῦ Θεοῦ· *οἷον τὸ ἐν* Γενέσ. *γ*, 22, « Ἰδοὺ Ἀδὰμ *γέγονεν ὡς εἷς ἐξ ἡμῶν* », *ὁ Ἰωνάθαν ἐν τῷ* Ταργουμίῳ *παραφράζει οὑτωσί·* « Εἶπεν *ὁ λόγος τοῦ* Ἀδωναΐ (τοῦ Κυρίου) Ἰδοὺ Ἀδὰμ *ὃν ἔκτισα, μονογενής ἐστιν ἐν τῷ κόσμῳ, ὡς ἐγὼ μονογενής εἰμι ἐν τοῖς οὐρανοῖς* ». Καὶ, « Ὁ Λόγος τοῦ Θεοῦ *ἐδημιούργησε τὸν ἄνθρωπον* » (Ταργ. *ἱεροσολ.* Γενέσ. *α*, 27), *καὶ ἄλλα πολλὰ εἰς τὸ* Μεσσίαν *ἀναφερόμενα* (*βλ.* Kennicot. Diss. II. *καὶ* Calmet, Diction. v. Memra)· Καὶ *ὅσοι μὲν ἀτόπως ἐξαρχαΐζουσι τὰ* Ταργούμια (*πιστεύοντες τοῖς* Ἰουδαίοις) *περὶ πολλοῦ ποιοῦνται τὰς ἐν τοῖς* Ταργουμίοις *ταύτας φράσεις.* (*ὧν οὐ χρῄζειν ἡ εὐσέβεια*)· *οἱ δὲ μάλιστα ἑβραΐζοντες καὶ εἰς τοῦτο θράσους ἤλασαν καὶ*

ζουσα κριτικὴ προβάλλεται τὰ Ταργούμια ὡς σαφεστάτην ἀπόδειξιν τῆς γνησιότητος τοῦ νῦν ἑβραϊκοῦ. Ὅπου γε καὶ καθ' ὅσα αἱ παραφράσεις συμφωνοῦσιν ἀκριβῶς πρὸς τὸ νῦν ἑβραϊκὸν, διαφέρουσαι τῶν Ο, οὐδεμίαν οὐδ' ἐν τούτοις φέρουσιν ἀπόδειξιν ἐχέγγυον τῆς γνησιότητος τοῦ ἑβραϊκοῦ, διὰ τὴν πάντολμον κακεντρέχειαν τῶν ῥαββίνων, οἵ τινες τὴν Μασορίτειον στίξιν καὶ γραφὴν ἐκανόνιζον πρὸς τὰς χαλδαϊκὰς παραφράσεις, καὶ ταύτας πάλιν ἔπειτα πρὸς τὰς Μασοριτείους παραναγνώσεις, παραφθείροντες τὴν ἀκεραιότητα ἑκατέρων. Καὶ ὀρθῶς ἄρα ἔλεγεν ὁ σοφὸς Κεννικῶτος, ὅτι ἡ τῶν *καθ' ἡμᾶς* Χαλδαίων παραφράσεων πρὸς τὸ *καθ' ἡμᾶς* ἑβραϊκὸν κείμενον συμφωνία οὐδετέρου τὴν ἀκεραιότητα δύναται ἀποδεῖξαι (α). Καὶ ταῦτα μὲν ἰδίως περὶ τῶν Ταργουμίων.

§. ε. Πλὴν τῶν παραφράσεων τούτων φέρονται παρ' Ἰουδαίοις καὶ ἄλλα τῶν ἀρχαίων ῥαββίνων συγγράμματα. Τούτων δὲ τὸ πάντων ἐπισημότατόν ἐστι τὸ Ταλμοῦδον, περὶ οὗ προείπομεν (σελ. 104). Ἔχουσι δὲ καὶ τὰ λεγόμενα *Μιδρασχὶμ*, ἤτοι ὑπο-

---

κακοφροσύνης, ὥστε οὐκ ὤκνησαν εἰπεῖν, ὅτι καὶ οἱ Ἀπόστολοι ἐκ τοῦ Ταργοὺμ ἠρύοντό τινας γνωμολογίας, καὶ αὐτὸς ὁ Κύριος ἡμῶν εἶπεν ἐπὶ τοῦ σταυροῦ τὸ Χαλδ. **σαβαχθανὶ** (ἀντὶ τοῦ ἀζαβθανί. βλ. ὄπισθ. σελ. 615) ἔκ τινος Ταργουμίου! (ὡς ἂν εἴπερ ἦσαν τότε γεγραμμέναι αἱ Χαλδαϊκαὶ παραφράσεις! ἢ ὡσανεὶ ἡ λέξις οὐκ ἠδύνατο συνήθης εἶναι ἐν τῇ τότε λαλουμένῃ Συροχαλδαϊκῇ διαλέκτῳ τῶν Ἰουδαίων (βλ. ὄπισθ. σελ. 58. καὶ Walt. Prol. XII, §. 14 καὶ XIII, §. 5). Ἀλλὰ τὰ τοιαῦτα καταλείποντες **Σχικκάρδοις**, **καὶ Μεϋέροις**, **καὶ Λιχθοφώτοις**, περὶ ὧν προείπομεν (σελ. 146), βλέπομεν καὶ ὧδε ὅτι οἱ τρεῖς περίπου αἰῶνας μ. Χριστὸν τὸ πρῶτον ἀναφανέντες Χαλδαῖοι (ὡς ὁ Ὄγκελος), καὶ οἱ τούτου ἐφεξῆς παραφρασταὶ, τὰς τοιαύτας ἐκφράσεις ἐλάμβανον ἔκ τε τῆς Σοφίας τοῦ Σολομῶντος (ιη, 15. πρβλ. καὶ ζ, 25. καὶ Παροιμ. η), καὶ ἐκ τῶν τοῦ Φίλωνος, καὶ ἐξ αὐτῶν τῶν θεοπνεύστων Εὐαγγελίων, ὑποκλέπτοντες τὰς φράσεις τῶν, οἷς ἠπίστουν, θείων δογμάτων (οἷα καὶ οἱ Νεωπλατωνικοί. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 167), καὶ ταύτας ἐφαρμόζοντες πρὸς τὸν σκοπὸν τῆς ἀπιστίας αὐτῶν. Ταύτην τῶν Ἰουδαίων τὴν δολιότητα ὀρθῶς συνεῖδεν ὁ Σιμώνιος (Hist. Crit. V. T. L. 2. c. 18). Ὁ δὲ πάλιν Γρότιος καὶ ὁ Κλέρικος (εἰς Ἰωάν. α, 1) μάτην καὶ τὰ τοῦ Φίλωνος πρὸς τὰ τῶν Ταργουμιστῶν παρεξηγοῦσι.

(α) «Hodiernae hujus paraphraseos cum hodierno textu hebraico convenientiam neutrius integritatem probare posse». Kennicot. Diss. II. p. 162.

μνήματα (ἐκ τοῦ Μιδρας, ὑπόμνημα, τόμος ἐξηγητικός)· εἰσὶ δὲ ταῦτα μυστικαί τινες καὶ ἀλληγορικαὶ, καὶ ἀναγωγικαὶ (μᾶλλον δὲ μύθων καὶ λήρων καὶ βλασφημιῶν πλήρεις) ἐξηγήσεις εἰς τὴν Πεντάτευχον, καὶ εἰς τὰ πέντε Μεγιλλώθ (α). Ἐν δὲ τούτοις περιέχονται α) ἡ *Μεχίλτα*, εἰς τὴν Ἔξοδον· ἣν ἀρχαιοτάτην τῶν ἄλλων ὑπομνημάτων αὐχοῦσιν οἱ Ἰουδαῖοι, ἔστι δὲ νεωτέρα καὶ τοῦ Ταλμούδου (τοῦ θ, καὶ τοῦ ιϐ, αἰῶνος μ. Χ. (ϐ)). καὶ ϐ) καθολικώτερον τὰ *Ῥαϐϐὸθ*, ἤτοι τὰ *μεγάλα* (ὑπομνήματα), πολὺ παρ' Ἰουδαίοις ἔχοντα κῦρος, καὶ εἰς τὸ 300 μ. Χ. ἔτος ἀναγόμενα, τῇ δὲ ἀληθείᾳ καὶ ταῦτα τοῦ ἐν αὐτοῖς πολλάκις μνημονευομένου Ταλμούδου νεώτερα. Πλὴν δὲ τούτων τῶν ἀρχαίων ὑπομνημάτων τιμῶσι μεγάλως καὶ ἕτερα δύω βιϐλία τὸ Ζοχὰρ (Zohar, ὅ ἐστι λαμπρὸς, ἢ *λάμψις*), καὶ τὸ Βαχὶρ (Bahir, *φέγγος*), ἀμφότερα παρ' αὐτοῖς πιστευόμενα πολιᾶς κρονίας ἀρχαιότητος τέκνα, ὧν τὰ γενέθλια, ὡς πολὺ καὶ τοῦ β, αἰῶνος παλαιότερα, καὶ αὐτὸς ἐπανηγύρισεν ὁ σοφὸς Καρψόϐιος (γ). Ὑπάρχουσι δὲ καὶ ταῦτα ἑρμηνευτικὰ τῆς Γραφῆς, ἀλλὰ καϐϐαλιστικῷ τῷ τρόπῳ. Οὕτως ἐν τῷ Ζοχὰρ μετατίθενται τὰ γράμματα, στίζονται ἄνωθεν καὶ κάτωθεν, νέαι ἐξ αὐτῶν συντίθενται λέξεις, καὶ τ' ἄλλα τὰ τῆς Καϐϐάλας τελέσματα δραματοποιοῦνται πρὸς ἀνακάλυψιν *τῶν μυστηρίων τοῦ νόμου* (βλ. ὄπισθ. σελ. 149). Ὅτι δὲ καὶ ταῦτα μακρῷ τοῦ Ταλμούδου νεώτερα, διὰ πολλῶν ἀπέδειξεν ὁ Μορῖνος. Ἄλλο δέ τι φέρεται πανάρχαιον σύγγραμμα, τὸ ἐπιγραφόμενον *σεφὲρ Ἰετζιρά* (βίϐλος τῆς Δημιουργίας)· πόσον νομίζεις ἀρχαῖον; τετρακισχιλίων ἐτῶν, καὶ αὐτῆς τῆς Γενέσεως καὶ ὅλης τῆς Πεντατεύχου τοῦ Μωσέως πολλοῖς αἰῶσιν ἀρχαιότερον! Τίνος ἔργον; τοῦ Ἀϐραὰμ, ἀναγνῶστα, αὐ-

(α) Βλ. περὶ τούτων Morin. Lib. II. Exercit. IX. c. 1. pag. 347—374. *ὅπου τὰ βιϐλία ταῦτα καὶ τοῦ Ταλμούδου μεταγενέστερα διὰ πολλῶν παραδειγμάτων ὁ κλεινὸς Μορῖνος ἐξελέγχει.* — (ϐ) De-Rossi, Dizionario stor. degli autori Ebrei etc. T. 2. p. 44. Parma, 1802.

(γ) Βλ. Carpzov. Crit. Sacr. p. 314. ὅπου προστίθησιν ὡς ἀρχαῖα καὶ τὰ Tikkunim, καὶ Maarehet Haëlahuth, δύω βιϐλία ῥαϐϐινικά.

τοῦ ἐκείνου τοῦ Πατριάρχου μακάριον πόνημα, ὅπερ καὶ Ἱερεμίας ὁ προφήτης ἀνέγνω! Ταῦτα οὐ μόνον Ἰουδαῖοι, ἀλλὰ καὶ αὐτὸς, (τίς ἂν ἤλπισεν;) ὁ σοφὸς Ῥαϋχλῖνος, ἢ *Καπνίων*, ἀπεδέξατο καὶ ἐπρέσβευσε· καί τοι καὶ αὐτῶν τινες τῶν Ἰουδαίων αἰσχυνθέντες, κατεβίβασαν τὸ σύγγραμμα εἰς τὸν β, μετὰ Χριστὸν αἰῶνα. Ὀλίγας τὸ Ἀβραμιαῖον τοῦτο βιβλίον περιέχει σελίδας, πλὴν ἀλλὰ σαπρὰς, καὶ πλήρεις διαφόρων ἐν διαφόροις κώδηξι παραλλαγῶν, ὅσας ἐν ὀλίγοις χειρογράφοις ἄν τις ἴδοι, φησὶν ὁ Σιμώνιος. Οἱ δὲ περὶ τὸν Μορῖνον ἀπέδειξαν τετραγωνικῶς, ὅτι τοῦτο τὸ βιβλίον ἐχαλκεύθη περὶ τοὺς χρόνους τῶν πρώτων Μασοριτῶν (α). Ἄλλα τῶν ῥαββίνων ψευδάρχαια συῤῥάματα, γοήτων ἀνθρώπων ἔργα, (ἐν οἷς ἀναγκάζεται καὶ ἄκουσα συγχρωτίζεσθαι μετὰ τῶν ψευδοκόπων ἡ τὴν ἀκεραιότητα τοῦ νῦν ἑβραϊκοῦ πανταχόθεν ὑποστηρίξαι σπουδάζουσα κριτικὴ), παραλείπομεν, σπεύδοντες πρὸς τὸν σκοπόν (β).

§. ϛ. Ἐν πᾶσι τοίνυν τοῖς ἀρχαίοις τούτοις τοῖς πρὸ τοῦ ιβ, αἰῶνος ῥαββινικοῖς ὑπομνήμασι περιέχονται πολλαὶ ῥήσεις τῆς ἑβραϊκῆς γραφῆς, αἵτινες, ἐὰν παραβληθῶσι πρὸς τὸ καθ' ἡμᾶς Μασοραῖον κείμενον, παρέξουσι πολλὰς ἀναγνώσεων διαφοράς· ἐκ δὲ τούτων ἀποδείκνυται ὅ,τι εἴδομεν καὶ ἀλλαχοῦ ἐπικυρούμενον (σελ. 109), ὅτι καὶ μετὰ τοὺς Ταλμουδικοὺς χρόνους εἰσῆλθον εἰς τὸ ἑβραϊκὸν κείμενον νεώτεραι διαφθοραὶ, καθὼς ὁ Καπέλλιος παρετήρησεν (γ). Οὗτος δὲ τ' ἄλλα πάντα τὰ ἀρχαῖα ῥαββινικὰ συγγράμματα παρεὶς, ἠρκέσθη κριτικῶς παραβαλὼν μόνην τὴν *μεγάλην* πρὸς τὴν *μικρὰν* Μάσοραν (βλ. ὄπισθ. σελ. 122), ἐν αἷς ἐξήλεγξε πολλὰς ἀντιφάσεις τῆς τε μεγάλης πρὸς τὴν μικρὰν, καὶ ταύτης πρὸς ἐκείνην, καὶ πάλιν ἑκατέρας πρὸς ἑαυ-

---

(α) Βλ. Morin. l. c, cap. VIII.

(β) Οἷον τὰ Κεφάλαια (capitula) τῶν Πατέρων· τὰ Κεφάλαια τοῦ Ἐλιέζερ, κτλ. (βλ. Morin. l. c. p. 375 — 382. καὶ Simon. Hist. Crit. Vet. Test. Catal. author. Judaeor. p. 144. sq.). Περὶ δὲ τῆς Χαλαχᾶς καὶ Χαγαδᾶς εἴδομεν προηγουμένως μεγαληγοροῦντα τὸν ἀρχιῤῥαβῖνον Φράγκελον (Βιβλ. Β. σελ. 854).

(γ) Cappel. Crit. Sacr. L. V. c. 12.

τὴν, καὶ ἀμφοτέρων πρὸς αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκόν. Προσέθηκε δὲ καὶ μαρτυρίας ἐξ αὐτῶν τῶν μεταγενεστέρων ἐπισήμων ῥαββίνων, τῶν ἤδη πεφραγμένῳ καὶ ταῖς στιγμαῖς ἐξησφαλισμένῳ χρησαμένων τῷ Μασοραίῳ κειμένῳ (οἷος ἦν ὁ περιθρύλλητος Ἀβενέσδρας, καὶ Ἰάρχις, καὶ Κιμχῆς, καὶ εἴ τις ἕτερος)· τούτων οὖν ἄλλος ἄλλως τὰς αὐτὰς λέξεις ἀνέγνω καὶ ἡρμήνευσε, διαφόρως κατά τε τὴν στίξιν καὶ τὰ γράμματα ἐν διαφόροις κώδηξι γεγραμμένας (α). Καὶ τὰ μὲν ἐκ τῶν Χαλδαίων Ταργουμίων, καὶ Μιδρασχῶν, καὶ τῶν ἄλλων παλαιῶν ῥαββινικῶν συγγραμμάτων μαρτύρια περὶ τῆς τοῦ Μασοραίου κειμένου διαφθορᾶς τοιαῦτα· καὶ πάνυ γε πιστὰ καὶ ἀναντίῤῥητα, καθότι καὶ ἐξ οἰκείων. Ἴδωμεν δὲ καὶ ἀλλαχόθεν ἄλλα.

ΚΕΦΑΛΑΙΟΝ Κ.

Περὶ τῆς Πεσχίτας λεγομένης Συριακῆς ἑρμηνείας.

§. α. Ἡ ἀρχαιοτάτη τῶν πολλῶν τῆς παλαιᾶς Γραφῆς Συριακῶν ἑρμηνειῶν κοινῶς πρεσβεύεται ἡ λεγομένη *Πεσχίτα* (Peschito), τουτέστιν *Ἁπλῆ* (ἰσοδύναμον, ὡς λέγουσι, τοῦ *Κοινὴ*, Βουλγάτα, ἢ κατὰ γράμμα), ἐκ τοῦ ἑβραϊκοῦ μεθηρμηνευμένη κειμένου. Ἔχουσι δὲ καὶ ἄλλην ἀρχαίαν οἱ Σύροι ἑρμηνείαν ὁμολογουμένως ἐκ τῶν Ο γενομένην, περὶ ἧς λέγομεν παρακατιόντες. Πρεσβυτέραν δὲ ταύτης φημίζουσι τὴν Πεσχίταν· καὶ οὕτω παλαιὰν, ὥστε οἱ μέν τινες τῶν Σύρων τὴν ἐποχὴν τῆς ἑρμηνείας ταύτης ἀναφέρουσιν εἰς τοὺς Σολομῶντος χρόνους, γενομένην κατ᾽ αἴτησιν Χιρὰμ τοῦ φίλου Σολομῶντος, βασιλέως δὲ Τυρίων, γνωστοῦ καὶ ἐκ τῶν θείων Γραφῶν (Β. Βασιλ. ε, 1, κτλ.). Τὰ δ᾽ ἀπὸ τοῦ Σολομῶντος καὶ

(α) Ὁ Μ. Βριξιανὸς (praefat. in Arca Noe) δικαιολογεῖ τὰς τοιαύτας τῶν ῥαββίνων Δοκτόρων περὶ τὰς ἀναγνώσεις διαφωνίας, ὡς μνημονικὰ ἁμαρτήματα, ἄλλως ἀπὸ μνήμης σφαλλομένης γραψάντων τὰ χωρία τῆς Γραφῆς, ἢ ὡς ἔχουσιν ἐν τῷ κειμένῳ. Ἀλλ᾽ ὁ Καπέλλιος ἀποδείκνυσιν, ὅτι ὅσα αὐτὸς ἐκφέρει παραδείγματα (καὶ ἄλλα ἴσως πάμπολλα ὅσα ἐσιώπησεν) ἀποκλείονται βεβαίως καὶ ῥοφανῶς ἐκ ταύτης τῆς ἀπολογίας (Cappel. Crit. Sacr. p: 332).

ἐφεξῆς συγγεγραμμένα προφητικὰ τεύχη μετέφρασε (λέγουσιν) ὕστερον ὁ Ἀπόστολος Θαδδαῖος ἐπὶ Αὐγάρου τοῦ βασιλέως, εἰς Ἔδεσσαν τῆς Συρίας ἐλθών. Οἱ δέ τινες καὶ πάντα τὰ τεύχη τῆς θείας Γραφῆς σπουδῇ καὶ φροντίδι αὐτοῦ τε Θαδδαίου καὶ ἄλλων Ἀποστόλων Συριστὶ μεταφρασθέντα δοξάζουσιν. Ὁ δὲ ταῦτα ἱστορῶν Γαβριὴλ ὁ τοὐπίκλην Σιωνίτης, Σύρος ἀνὴρ, Μαρωνίτης, τὴν πρώτην ἀποδέχεται δόξαν, « *Αἰτίζων οὐκ ἀκόλους*, (τὸ τοῦ ποιητοῦ), *ἀλλ' ἄορας καὶ λέβητας, καὶ 'Αρκαδίης μέγα χρῆμα* »! Ἀλλὰ ταῦτα μὲν δοτέον ὑπερβολῇ φιλοτιμίας, ὑπερπηδώσης πολλάκις παρασάγγαις ὅλοις τὰ ἐσκαμμένα. Ὅ,τι δὲ κοινῶς ὡμολόγηται καὶ λογικῶς, ἡ Πεσχίτα πάντως ἡρμήνευται μετὰ Χ. καὶ οὔτ' ἐπὶ Χιράμου βασιλεύοντος (τὸ γελοῖον), οὔτ' ἐπὶ Αὐγάρου καὶ ὑπὸ τῶν Ἀποστόλων, ἀλλὰ πολὺ κατόπιν καὶ τῆς τῶν Ἱεροσολύμων καταστροφῆς, καὶ ὑπ' ἀνθρώπων ἀγνώστων καὶ ἀνωνύμων. Ἐπὶ τίνος δὲ διωρισμένως αἰῶνος, περὶ τούτου διαφιλονεικοῦσιν οἱ κριτικοί.

§. ϐ. Οἱ μὲν οὖν περὶ τὸν Οὐόσσιον κατήγαγον τὰ γενέθλια τῆς Πεσχίτας μέχρι καὶ τῆς δεκάτης ἀπὸ Χριστοῦ Σωτῆρος ἑκατονταετηρίδος, δύω φέροντες ἀποδείξεις· πρῶτον, ὅτι περιέχει πολλὰς λέξεις ἐξωτικὰς, καὶ μάλιστα ἑλληνικάς (α)· καὶ δεύτερον, ὅτι ὅσα χωρία μνημονεύουσιν οἱ Πατέρες (Εὐσέβιος, Χρυσόστομος, Θεοδώρητος) ὡς ἐκ τῆς Συριακῆς γραφῆς, ταῦτα νῦν παραϐαλλόμενα πρὸς τοὺς τόπους τῆς Πεσχίτας, οὐχ εὑρίσκονται » (τὰ δὲ χωρία, περὶ ὧν προείπομεν σελ. 371, ἀνήκουσιν εἰς τὴν ἐκ τῶν Ο, Συριακήν). Ἀλλ' ὁ Βάλτων, ὁ Καρψόϐιος, ὁ Λωῦθος, ὁ Κεννικῶτος χρονοθετοῦσι τὴν ἐκ τοῦ ἑβραϊκοῦ *Πεσχίταν* κατὰ τὸν β, αἰῶνα

(α) Οἷον τὰς ἑξῆς· κατὰ γένος, περίζωμα, χιτῶνα, ἐχαράκωσε, κιϐωτὸς, κιθάρα, καρχηδόνιος, ἐν τῷ μαρσίππῳ σου, κασσία καὶ στακτὴ, ἐπὶ λιμένα, καὶ τὸ ἄσημον (Γεν. ιγ, 2), ἀντὶ ἀργύριον (ἐκ τῆς κοινῆς τῶν Ἑλλήνων διαλέκτου, ἥτις ἐκ τοῦ ἄσημον ἀργύριον, τὸ μὴ κοπὲν εἰς νόμισμα, εἶπε συντομώτερον καὶ ἀσήμιον ἁπλῶς τὸν ἄργυρον, τὸ μέταλλον τὸ ἀργυροῦν). Vossij, De LXX. p. 89.

μ. Χ. Ὁ δὲ Μιχαῆλις, τελευτῶντος τοῦ α, καὶ ἀρχομένου τοῦ β, (τοῦτο καὶ Ὅρνος νομίζει πιθανόν). Ἰάννης δὲ καὶ Ἔρψης, κατὰ τὴν β, ἑκατονταετηρίδα. Οἱ δὲ περὶ τὸν Βαύερον, κατὰ τὴν β, ἢ καὶ τὴν τρίτην. Ἐκ δὲ τῆς διαφωνίας ταύτης φαίνεται σαφῶς, ὅτι οἱ κριτικοὶ οὗτοι συμπεραίνοντες ἐξ εἰκότων καὶ σημείων, τὸ μὲν βέβαιον τοῦ χρόνου διορίσαι οὐκ ἴσχυσαν, συμφωνοῦσι δὲ ὅμως οἱ πλεῖστοι κατὰ τὴν δευτέραν ἑκατονταετηρίδα, καὶ τοῦτο κείσθω πιθανώτερον.

§. γ. Ἀλλ' ὅτι μὲν ἡ Ἐκκλησία τῶν Σύρων ὑπάρχει παλαιὰ καὶ Ἀποστολική, δῆλον ἐκ τῆς ἱερᾶς ἱστορίας. Ἀντιόχεια ἡ τῆς Συρίας μητρόπολις, ἑλληνικὴ πόλις (ὑπὸ τοῦ Μακεδόνος Σελεύκου τοῦ Νικάτορος πρὸς Ὀρόντην κτισθεῖσα), ἔσχε τὴν ἀρίζηλον δόξαν, ὅτι πρῶτον ἐν αὐτῇ οἱ τοῦ Χριστοῦ μαθηταὶ (πάντες οἱ εἰς Χριστὸν πιστεύοντες) ὠνομάσθησαν τὸ μέγα καὶ θεσπέσιον ὄνομα, ΧΡΙΣΤΙΑΝΟΙ (Πράξ. ιη, 26). Φανερὸν λοιπὸν, ὅτι οὐ μόνον ἡ κατὰ τὴν θεούπολιν Ἀντιόχειαν Ἐκκλησία, ἀλλὰ καὶ αἱ κατὰ τὰς ἄλλας ἑλληνιζούσας τότε πόλεις τῆς Συρίας (τὴν Βέροιαν, καὶ τὴν Σελεύκειαν, καὶ ἄλλας, καὶ κατ' αὐτὴν τὴν Ἔδεσσαν), τὴν ἑρμηνείαν τῶν Ο ἀνεγίνωσκον, ταύτην ὡς θείαν Γραφὴν παραλαβοῦσαι παρὰ τῶν Ἀποστόλων. Καὶ ἕπεται ἄρα, ὅτι ἐκ τῶν Ο γέγονε καὶ ἡ πρώτη Συριακὴ τῆς παλαιᾶς Γραφῆς ἑρμηνεία, χάριν τῶν Συριστὶ κατὰ τόπους λαλούντων χριστιανῶν (α). Ἐκ δὲ ταύτης κάτεισι καὶ ἡ προειρημένη Συριακὴ (ϛ. α), περὶ ἧς λέγομεν σαφέστερον ἐν τοῖς ἑξῆς.

§. δ. Τὴν δ' ἐκ τοῦ ἑβραϊκοῦ Πεσχίταν οὐχ ἑνὸς ἀλλὰ διαφόρων

(α) « Probabilius est ex Graeco τῶν 70 (τὴν πρώτην Συριακὴν ἑρμηνείαν γενέσθαι)· quandoquidem Ecclesia Christiana cum ejusmodi versione quodammodo nata sit· ac certum sit Syros in suam linquam editionem 70 transtulisse qualem Eusebius in Hexaplis Origenianis descripserat » (ὅπου δηλαδὴ ὁ Εὐσέβιος καὶ ἄλλοι ἐν τοῖς Ἑξαπλοῖς μνημονεύουσιν ἔστιν ὅπου καί τινας ἀναγνώσεις τῆς Συριακῆς, διὰ τοῦ ὁ Σύρος). Simon. Hist. Crit. V. T. L. 11. c. 15. p. 75.

Σύρων ἔργον ἔκριναν οἱ περὶ τὸν Εἴχόρνιον καὶ τὸν Ἰάννην· (καὶ πάντως ἄλλων Σύρων ἐστὶν ἔργον ἡ ἑρμηνεία τῆς Καινῆς Διαθήκης, ἥτις μετὰ τῆς Παλαιᾶς ἀπαρτίζει τὸν κώδηκα τῆς Πεσχίτας)· τὴν δὲ Παλαιὰν οἱ μὲν λέγουσιν ὑπὸ Ἰουδαίου, ἢ Ἰουδαίων Σύρων ἡρμηνευμένην (οὐκ ἀπίθανα λέγοντες· ὁ γὰρ β, αἰὼν πολλῶν ἐκ τῆς ἑβραΐδος ἑρμηνειῶν ἐγένετο φορὸς, σπουδῇ μάλιστα τῶν Ἰουδαίων, οἵας ἔχομεν καὶ τὰς τοῦ Ἀκύλα καὶ τῶν ἄλλων). Οἱ δὲ (Δάθης καὶ Μιχαῆλις) ἐξ Ἰουδαίων, ἢ ἁπλῶς χριστιανοὺς λέγουσι τοὺς ἑρμηνεῖς (κρίνοντες ἀπό τινων λέξεων, οἷον ἐκ τοῦ *παρθένος ἁγνή*, ἐπὶ τοῦ «Ἰδοὺ ἡ παρθένος», καὶ ἄλλων, οἵας οὐκ ἂν ἔγραψεν Ἰουδαῖος· καί τοι γε καὶ ταύτας, εἴπερ ἄλλως εἶχον, ἠδύναντο ὕστερον οἱ χριστιανοὶ μεταῤῥυθμίσαι πρὸς τὸ ὀρθότερον). Ἀκολουθεῖ δὲ κατὰ πόδα (φασὶν) ἡ Πεσχίτα τῷ ἑβραϊκῷ. Ἀλλ' ὅμως ἐν τῷ μεταξὺ ἀπαντᾷ πολύ τι πλῆθος καὶ λέξεων καὶ φράσεων, αἵτινες ἀνήκουσι προφανῶς εἰς τοὺς Ο. Ὅθεν οἱ μὲν ἔκριναν, ὅτι ὁ ταύτης ἑρμηνεὺς, ἢ οἱ ἑρμηνεῖς, εἶχον πρὸ ὀφθαλμῶν καὶ τὸ τῶν Ο, κείμενον, ὑφ' οὗ καθωδηγοῦντο, καὶ ἐξ οὗ μετέγραφον πολλά. Οἱ δὲ πάλιν, ὅτι ὕστερον ἡ ἑρμηνεία διεσκευάσθη ὑπὸ τῶν Σύρων ἐν πολλοῖς, ἐκ τῶν μάλιστα παρὰ τοῖς ἀρχαίοις τιμωμένων Ο, ἔστι δ' ὅπου καὶ ἐκ τῶν Χαλδαϊκῶν παραφράσεων. Πολλὴ δὲ καὶ ποικίλη παρὰ τοῖς κριτικοῖς ἡ περὶ τούτου διένεξις· καὶ μάλιστα, διά τι ὁ θεῖος Ἐφραὶμ ὁ Σύρος (τῷ 378, μ. Χ.), παρ' ᾧ πρώτῳ φαίνεται (λέγουσιν) ἡ χρῆσις τῆς Πεσχίτας, πολλαχοῦ τῶν εἰς τὴν Γραφὴν αὐτοῦ ὑπομνημάτων ἀνάμικτον ἔχει τὸ κείμενον, νῦν μὲν συμφωνοῦν πρὸς τὸ ἑβραϊκὸν, νῦν δὲ πρὸς τοὺς Ο· διὸ καί τινες ὑπέλαβον καὶ αὐτὸ τὸ κείμενον τοῦ ἱεροῦ Ἐφραὶμ ἐκ τῶν Ο διεσκευασμένον. Τοιαῦτα, ὡς ἐπίπαν, τὰ τῶν κριτικῶν (α).

(α) Βλ. G. Spohn, De ratione Textus Biblici in Ephraemi Syri Commentarijs etc. Lips. 1786. καὶ Collatio versionis Syriacae (Peschito) cum Fragm. in Comment. Ephraemi etc. Specimen I. et II. Lips. 1785-1794.— G. Wahl, in Magazin für alte besonders morgenländische Litteratur. Cassel. 1787. — G. Storrij, Observat. super N. T. vers. Syr. 1772. — Michaelis Or. Bibl. P. IV. p. 194, 195. — G. Kirsch, in Praef. et Append. edi-

§. ε. Ἀλλ' ὅτι μὲν ὁ θεῖος Ἐφραὶμ ἐχρήσατο τῇ Πεσχίτᾳ, καὶ ταύτην ἔν τε τῇ Ἐκκλησίᾳ, κἀν ταῖς ἱεραῖς αὐτοῦ μελέταις ἀνεγίνωσκε καὶ ὑπεμνημάτιζε, τοῦτο μάτην ὑπέλαβον οἱ κριτικοί. Πρῶτον μὲν γὰρ αὐτοὶ οἱ Σύροι (παρ' ὧν καὶ τὴν Πεσχίταν καὶ τὰς ἄλλας τὰς παρ' αὐτοῖς ἑρμηνείας ἔμαθον οἱ νεώτεροι) λέγουσι τἀναντία. Ἀβραὰμ ὁ Ἐκκελλήσιος, πολυμαθὴς Σύρος, Μαρωνίτης, ἀποδείκνυσιν ἐξ αὐτῶν τῶν εἰς τὴν θείαν Γραφὴν ὑπομνημάτων τοῦ τε Ἰακώβου τοῦ Νισίβεως ἐπισκόπου (τοῦ *Σοφοῦ* κατ' ἐξοχὴν ἐπωνομασμένου, ὃς καὶ ἐν τῇ Α, Οἰκουμενικῇ Συνόδῳ παρῆν, « *τῶν ὀρθῶν ὑπερμαχήσας δογμάτων, οἷά τις ἀριστεὺς καὶ πρόμαχος ἁπάσης τῆς φάλαγγος*) » (α), καὶ αὐτοῦ τοῦ Χρυσοστόμου τῶν Σύρων Ἐφραὶμ, ὅτι ὑπῆρχεν ἀρχαία Συριακὴ τῶν Ο, μετάφρασις· καὶ ταύτην λοιπὸν ὑπεμνημάτιζον οἱ φωστῆρες οὗτοι τῆς Ἐκκλησίας (β). Ἔπειτα, τίς ἂν πιστεύσειεν εὐλόγως, ὅτι οἱ ἱεροὶ τῆς εὐσεβείας οὗτοι διδάσκαλοι καταλιπόντες τὴν ὑπὸ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδεδομένην ἑρμηνείαν τῶν Ο, καὶ τὴν ἐξ αὐτῆς πάντως γενομένην τὸ πρῶτον Συριακὴν μετάφρασιν, μετεχειρίζοντο καὶ ἐσέβοντο ὡς κανονικὴν ἄλλην ὑπ' ἄλλων ἀγνώστων (εἰ μή γε καὶ παρ' Ἰουδαίων τὸ πρῶτον) ἐκ τοῦ ἑβραϊκοῦ μεθηρμηνευμένην Σύραν Γραφὴν, λέγω δὲ τὴν Πεσχίταν; Ἢ μήπως καὶ οἱ μακάριοι Πατέρες ἐκεῖνοι ἐπρέσβευον τὸν πολλοῖς αἰῶσι μετ' αὐτοὺς πλαστουργηθέντα μῦθον τῆς ἐπὶ τοῦ Σολομῶντος, ἢ καὶ

---

tionis Pentat. Syr. Hofae, 1787.—Eichhorn, Einleit. in das A. T· 2. Bd. p. 123 sq. — L. Hirzel, De Pentateuchi Vers. Syriacae quam Peschito vocant indole. Lips. 1825. — C. Credner, De Prophet. minor. vers. Syr. Gotting. 1827. — Caesar. à Lengerke, Comment. Crit. de Ephraemo Syro, Halis, 1828. — Herbst, Einleit. 1. Bd. p. 192. — Horne, An Introduction etc. 2. Tom. part. 1. pag. 220.

(α) Θεοδώρ. Φιλοθ. ἱστορ. Α. Τοῦ μακαρίου τούτου Ἰακώβου σῴζονται πολλὰ συγγράμματα Ἐκκλησιαστικὰ Συριστὶ συγγεγραμμένα, ἐν οἷς καὶ Χρονικόν. (βλ. Cave, Scrip. Eccles. Histor. p. 100). Τούτου μαθητὴς λέγεται ὁ θεῖος Ἐφραίμ· καὶ ὅτι συνῆλθε τῷ διδασκάλῳ εἰς τὴν Α. Σύνοδον (βλ· Asseman. Bibl. Or. T. I. p. 17, 31).

(β) Abr. Ecchellens. in Notis ad Catalogum Hebed Jesu. c. 66. p. 88.

ἐπὶ τοῦ Θαδδαίου μεταφράσεως τῆς Πεσχίτας; ἀλλ' αὐτὸς ὁ μακάριος Ἐφραὶμ μνημονεύων τὴν εἰς Ἔδεσσαν πρὸς Αὔγαρον ἄφιξιν τῶν Ἀποστόλων (ἐν τῇ αὑτοῦ Διαθήκῃ. τ. 3. σελ. 260), οὐδὲν περὶ ἑρμηνείας λέγει. Μαρτυρεῖ δὲ καὶ Σύρος ἄλλος, τοῦ Ἐκκελλησίου παλαιότερος, Γεώργιος ὁ Βαρεβραῖος καὶ Ἀβουλφεράγιος ὁ αὐτὸς ἐπωνυμούμενος, λέγων, ὅτι « Ἐκείνην τῶν Ο τὴν ἑρμηνείαν ὡς *αὐθεντικὴν* κρατοῦσιν οἱ ἡμέτεροι διδάσκαλοι (οἱ Σύροι), ἣν καὶ οἱ Γραικοὶ μεταχειρίζονται, καὶ ἄλλα χριστιανῶν ἔθνη, πλὴν τῶν Σύρων τῶν πρὸς ἀνατολὰς (τῶν ἐν Ἀσσυρίᾳ δηλαδὴ καὶ τῇ Χαλδαίᾳ), ὧν ἡ *Ἁπλῆ* (Πεσχίτα) λεγομένη μετάφρασις τῆς Γραφῆς συμφωνεῖ τῷ κειμένῳ τῶν Ἰουδαίων. Οἱ δὲ δυσμικώτεροι (Σύροι) ἔχουσιν ἀμφοτέρας τὰς ἑρμηνείας, τήν τε *Ἁπλῆν*, καὶ τὴν ἐκ τῶν Ο » (α). Ταύτης τῆς ἀρχαίας ἐκ

(α) G. Abulpher. *παρ' Α. Ἐκκελλ. αὐτόθ. σελ.* 75. *Ἔχει τὰ χωρία καὶ ὁ* Καρψόβιος (Crit. Sacr. p. 639). *Ὁ Βαρεβραῖος προστίθησι καὶ ὅτι « ἡ μὲν* Ἁ π λ ῆ *μετεφράσθη Συριστὶ ἐκ τοῦ ἑβραϊκοῦ, ἤ, ὡς λέγουσιν, ἐπὶ Σολομῶντος, ἢ ἐπὶ Θαδδαίου τοῦ Ἀποστόλου· ἡ δ' ἐκ τοῦ ἑλληνικοῦ τῶν* Ο, *μετεφράσθη εἰς τὸ Συριακὸν πολλῷ χρόνῳ μετὰ τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος » (αὐτόθ.). Ἐντεῦθεν λαβὼν ἀφορμὴν ὁ* Καρψόβιος *(αὐτόθ.) «* Πρὸς ταῦτα *(φησὶν) οὐκ οἶδα πῶς ἂν συμφωνήσειεν ἡ γνώμη τοῦ Σιμωνίου, ὅστις λέγει, ὅτι ἡ Συριακὴ Ἐκκλησία ἐγεννήθη μετὰ τῆς τῶν* Ο *μεταφράσεως· καὶ τὴν ἐξ αὐτῆς Συριακὴν ἑρμηνείαν ἀνάγει εἰς αὐτὰς τὰς ἀρχὰς τῆς τῶν Σύρων Ἐκκλησίας » (βλ. τὰ τοῦ Σιμωνίου ὄπισθ. σελ.* 893). *Ἀλλ' ὅτι μὲν καὶ πᾶσαι αἱ ὑπ' οὐρανὸν Ἐκκλησίαι, καὶ ἰδίως ἡ τῶν Σύρων ἐ γ ε ν ν ή θ η μετὰ τῆς ἑρμηνείας τῶν* Ο, *μαρτυροῦσιν οἱ* Ἀπόστολοι. *Τὸν δὲ* Βαρεβραῖον *εὐκόλως ἂν διήλλαττε πρὸς τὸν Σιμώνιον ὁ κριτικός, εἰ διέβλεπεν ἀτενέστερον, ὅτι π ο λ λ ῷ χ ρ ό ν ῳ μ.* Χ. *ἑρμηνευθεῖσαν τὴν ἐκ τῶν* Ο *Σύραν γραφὴν εἶπεν ὁ Σύρος οὗτος σχετικῶς, ὡς πρὸς τὴν ἐπὶ Σολομῶντος, ἢ ἐπὶ Θαδδαίου* (τῷ 33, ἢ 35, *μ.* Χ.) *μυθευομένην μετάφρασιν τῆς* Πεσχίτας. *Καὶ τοῦτο μαρτυρεῖ αὐτὸς ὁ Ἐκκελλήσιος, ὅστις ἐπὶ τοῦ Ἐφραὶμ* (365, 370 *μ.* Χ.), *καὶ ἐπὶ τοῦ Ἰακώβου* (310, 325, *μ.* Χ.) *παρίστησιν ὑπάρχουσαν ἤδη ἐν τῇ τῶν Σύρων Ἐκκλησίᾳ τὴν ἐκ τῶν* Ο, *μετάφρασιν, ἣν καὶ αὐτὸς ὁ* Βαρεβραῖος *μόνην α ὐ θ ε ν τ ι κ ὴ ν παρὰ τοῖς Σύροις ἀνεκήρυξεν. Ὥστε λέγων π ο λ λ ῷ χ ρ ό ν ῳ μ.* Χ. *αὐτὴν ἑρμηνευθῆναι, ἴσως ἐτίθει δύω ἑκατονταετηρίδας (περὶ τὸ* 200, *μ.* Χ.), *καὶ μικρῷ μετὰ τὴν ἀληθινὴν ἐποχὴν τῆς ἑρμηνείας τῆς* Πεσχίτας *(καὶ τίς οἶδεν, εἰ μὴ καὶ ἐπὶ τῶν δύω σοφῶν Σύρων καὶ ἑλληνιστῶν τοῦ* Τατιανοῦ *καὶ τοῦ* Βαρδισάνη *[τῷ* 172—180, *μ.* Χ.] *ὑπῆρχεν ἡ ἐκ τοῦ ἑλληνικοῦ Συριακὴ ἑρμηνεία:).* Ὁ *δ' οὖν Καρψόβιος, ἀδιάλλακτον πρὸς τὸν Βαρεβραῖον ἢ Ἀβουλφεράγιον καταλι-*

τῶν Ο, ἑρμηνείας (ᾗ καὶ ὁ μακάριος Ἐφραὶμ ἐχρῆτο) φαίνονται καὶ τὰ μέρη τῶν ἱερῶν τευχῶν, ἅπερ ἰδὼν ὁ φιλεβραῖος Ἀρίας ὁ Μοντάνος ἀπηλπίσθη, λέγων· «ὅτι οὐ χρὴ λίαν διαπονεῖσθαι περὶ τὴν Συριακὴν ἑρμηνείαν, διότι ταῦτα τὰ μέρη εἰσὶν οὐκ ἀπὸ τῆς ἀρχετύπου ἑβραίας Γραφῆς, ἀλλ' ἐκ τῆς Ἑλληνικῆς, τῆς ὑπ' Ὠριγένους συγκεχυμένης, εἰς τὸ Συριακὸν μεθηρμηνευμένα» (α). Ταύτην τὴν ἑρμηνείαν καὶ οἱ περὶ τὸν Σακῦν νεώτεροι κριτικοὶ κρίνουσι κατὰ τὸν γ, ἢ γοῦν τὸν δ, αἰῶνα μ. Χ. ἡρμηνευμένην, ἣν ὕστερον (λέγουσι) καὶ Ἰάκωβος ὁ Ἐδεσσηνὸς (708 μ. Χ.) ἐξέδωκε, παραβαλὼν πρός τε τὴν ἐκ τῶν Ἑξαπλῶν Συριακὴν ἑρμηνείαν, (γενομένην περὶ τὸ 600, μ. Χ.), καὶ πρὸς τὸ κείμενον τὸ ἑβραϊκόν (β). Ταῦτα ἐκεῖνοι· πιστότεροι δὲ πάντως οἱ περὶ τὸν Σύρον Ἐκκελλήσιον (σελ. 895). Ταύτην, τέλος, τὴν Σύραν ἑρμηνείαν καὶ οἱ περὶ τὸν Εἰχόρνιον εἶπον ὀρθῶς *Προεξαπλαίαν* (ὡς πρὸ τῆς ἐκ τῶν Ἑξαπλῶν γενομένην)· μέχρι δέ τινος ὠνόμαζον αὐτὴν οἱ νεώτεροι ψευδωνύμως καὶ *Ἔμμορφον*, ἢ *Ἐσχηματισμένην* (Figuratam), ἀπατηθέντες ἔκ τινος παραναγνώσεως τοῦ Ποκοκκίου (γ).

πῶν τὸν Σιμώνιον, ἐσπούδασεν ὅμως διαλλάξαι μετὰ τοῦ Ἀβουλφεραγίου τὸν κεφιλημένον Ὀττιγγῆρον· ὅστις, ἐν ᾧ ὁ Ἀβουλφεράγιος λέγει, ὅτι οἱ πρὸς δυσμὰς Σύροι χρῶνται ἀμφοτέραις ταῖς ἑρμηνείαις (τῇ Ἁπλῇ καὶ τῇ ἐκ τῶν Ο), αὐτὸς ὁ Ὀττιγγῆρος ἀποφαίνεται, ὅτι «Οἱ Σύροι οὐδαμοῦ χρῶνται τῇ ἐκ τῶν Ο ἑρμηνείᾳ ἐν ταῖς ἱεραῖς τελεταῖς, ἀλλὰ μόνῃ τῇ ἐκ τοῦ ἑβραϊκοῦ (Πεσχίτᾳ), καὶ οὐ μόνον οἱ Μαρωνῖται, ἀλλὰ καὶ Νεστοριανοί, καὶ Ἰακωβῖται καὶ πᾶσαι αἱ πολλαχοῦ τῶν Σύρων αἱρέσεις». Καὶ περὶ τούτου φέρει μάρτυρα τίνα; τὸν Ἀβουλφεράγιον! Hotting. Thes. p. 266).

(α) Ar. Montan. apud Hotting. l. c. — Περὶ τούτων τῶν ἀποσπασμάτων λέγει τινά, μηδὲν ἀποδεικνὺς καὶ ὁ Lengerke, l. c. p. 15.

(β) Βλ. Ackermann, Introduct. in Lib. Sacr. p. 56.

(γ) Ὁ Ποκόκκιος (Pocockij specim. hist. Arab. p. 184) ἑρμηνεύων ἐκ τοῦ Ἀραβικοῦ τὴν ἀνωτέρω τοῦ Ἐκκελλησίου περικοπήν, ὅτι οἱ Σύροι ἔχουσι δύω μεταφράσεις, τὴν μὲν Ἁπλῆν (Πεσχίταν), τὴν δὲ τῶν Ο, λεγομένην (dictam), ἀντὶ τούτου ὁ Ποκόκκιος ἔγραψε Figuratam. Ἤλεγξε δὲ τὸ παράπτωμα πρὸ πολλοῦ ὁ Renaudot (praef. ad Litturg. Orient. T. 1), καὶ ὕστερον πάλιν ὁ Σακῦς, ἀναγνοὺς αὐτὸ τὸ Ἀραβικόν, καὶ ἄλλοι (βλ. Eichhorn, Einleit. l. c. — Ackermann, l. c. — Herbst, Einl. l. c.). Καὶ λίαν ἀποροῦμεν πῶς ἐκ νέου πάλιν παρὰ τῷ Λεγκέρκᾳ (p. 15. κτλ.) περιφέρεται σοβοῦσα, καὶ φαντάζουσα αὕτη ἡ Figurata ψευδωνυμία!

§. ϛ. Φαίνεται δὲ, ὅτι οἱ Σύροι ἑρμηνεῖς τῆς ἀρχαίας ταύτης ἐκ τῶν Ο, μεταφράσεως ἀπέκλιναν κατά τινας λέξεις καὶ πρὸς τὸ τότε (κατὰ τὸν β, αἰῶνα) κείμενον τὸ ἑβραϊκὸν, ἔχοντες πρὸ ὀφθαλμῶν καὶ τὴν ἑτέραν, τὴν ἐκ τοῦ ἑβραϊκοῦ Πεσχίταν. Ἐντεῦθεν καὶ παρὰ τῷ μακαρίῳ Ἐφραὶμ ἀπαντῶνταί τινες φράσεις συμφωνοῦσαι τῷ ἑβραϊκῷ, διαφέρουσαι δέ πως τῶν Ο· καὶ τοῦτο βεβαιοῦται παρὰ τῶν τοῦ Ἐφραὶμ προγενεστέρων καὶ συγχρόνων πατέρων, οἵτινες ἐν τοῖς συγγράμμασιν αὐτῶν (βλ. καὶ Ὠριγ. Ἑξαπλ. πρβλ. καὶ ὄπισθ. σελ. 371) σημειοῦσι πολλάκις, ὅτι « *ὁ Σύρος καὶ ὁ Ἑβραῖος* »· (ὡς ἄμφω συμφωνοῦντες) οὕτως, ἢ οὕτως ἀνέγνων » (διαφόρως, ἢ κατὰ τοὺς Ο). Ταύτην δὲ τὴν ἔν τισι χωρίοις σύγχυσιν τῆς ἐκ τῶν Ο, πρὸς τὴν Πεσχίταν Συριακῆς Γραφῆς παρετήρησεν ὕστερον κατά τινας κώδηκας (ὡς λέγει), καὶ ὁ Ἐκκελλήσιος (α). Ἀλλ' αἱ διάφοροι αὗται ἀναγνώσεις οὐδὲν παραβλάπτουσι τὴν ἀλήθειαν, ὅτι τῇ κατὰ τοὺς Ο ἑρμηνείᾳ ἐχρῆτο καὶ πρότερον καὶ ἐπὶ τοῦ Ἐφραὶμ ἡ Συριακὴ Ἐκκλησία. Καὶ κηρύττουσι τρανῶς, ἔνθεν μὲν οἱ εἰς τὴν Γραφὴν *συριακοὶ* αὐτοῦ ὑπομνηματισμοὶ, ὅπου μνημονεύονται αἱ γραφικαὶ ῥήσεις συχνότατα κατὰ τοὺς Ο (διὸ καὶ οἱ διατεινόμενοι τῇ Πεσχίτᾳ χρήσασθαι τὸν Ἐφραὶμ, ἀποροῦσι, καὶ κρίνουσιν ὕστερον διεσκευασμένα κατὰ τοὺς Ο τὰ ὑπομνήματα τοῦ Πατρός) (β). Ἑτέρωθεν δὲ πάλιν, ἡ πολλῶν τοῦ θείου Ἐφραὶμ συγγραμμάτων εἰς τὸ ἑλληνικὸν ἑρμηνεία, ἔτι ζῶντος αὐτοῦ ἀρξαμένη γίνεσθαι, ὡς ὁ σύγχρονος αὐτοῦ Ἱερώνυμος μαρτυρεῖ, θαυμαστῶς ἐπαινῶν ὃν ἑλληνιστὶ μεθηρμηνευμένον ἀνέγνω λόγον αὐτοῦ (γ). Ἐν τούτοις οὖν τοῖς ἐξελληνισθεῖσι συγγράμμασι τοῦ Ἐφραὶμ (ὧν πολλὰ καὶ εἰς ἡμᾶς διεσώθησαν), αἱ ῥήσεις τῆς γρα-

---

(α) « Καί τοι (φησὶν) ἐνίοτε ἀπαντῶσι κώδηκες εἴτ' ἀπὸ σπουδῆς, εἴτε καὶ διὰ ῥαστώνην τῶν βιβλιογράφων ἐξ ἀμφοτέρας τῆς ἑρμηνείας (τῆς Ἁπλῆς καὶ τῆς τῶν Ο) συνυφασμένοι καὶ διεσκευασμένοι » (A. Ecchel. not. ad Catalog. Hebed — Jesu, pag. 88. καὶ παρὰ Καρψοβ. l. c. p. 639).

(β) Βλ. τὸν Lengerke, l. c. p. 15. ὅστις φέρει πολλὰ παραδείγματα.

(γ) S. Hieron. Catalog· Script. Eccles. c. 115.

φῆς ἐκφέρονται κατὰ τοὺς Ο, (α). Οὐδ' ἂν εἴποιεν οἱ τὸν μακάριον Ἐφραὶμ τῇ Πεσχίτα προσκολλῶντες, ὅτι τὰς ῥήσεις αὐτοὶ οἱ

(α) Τῶν ἐξελληνισμένων συγγραμμάτων τοῦ μακαρίου Ἐφραὶμ μέμνηται Σωζόμενος ὁ ἱστορικὸς «Ὡς ἔτι περιόντος αὐτοῦ, καὶ εἰσέτι νῦν (φησὶ) πρὸς τὴν ἑλληνίδα φωνὴν ἑρμηνευομένων» (Ἐκκλ. ἱστορ. Γ. 15). Πολλὰ δὲ συντάγματα τοῦ Ἐφραὶμ «πρὸς τὴν Ἑλλάδα φωνὴν μεταβληθέντα» καὶ Φώτιος μνημονεύει, καὶ ἰδίως μθ, λόγων αὐτοῦ συνοψίζει τὰς ὑποθέσεις (Ἀναγν. ρϟϛ). Ἐκ τῶν εἰς ἡμᾶς περισωθέντων συγγραμμάτων τούτων ἐξέδωκε Γ. Οὐόσσιος τόμους τρεῖς λατινιστὶ (Romae 1593, καὶ Antw. 1619). Ἐξεδόθη καὶ ἑλληνιστὶ τόμος εἷς (Ὀξων. 1709). Ἄλλα δὲ πολλὰ λανθάνουσιν ἴσως ἐν ταῖς βιβλιοθήκαις. Συριστὶ δὲ σῴζονται πάμπολλα· οἷον, ὑπομνήματα εἰς πᾶσαν τὴν θείαν Γραφήν, λόγοι διάφοροι, περὶ Πίστεως, κατὰ Μανιχαίων καὶ ἄλλων αἱρέσεων, Ἔμμετρα μέλη, καὶ εὐχαί, καὶ ὕμνοι, κτλ. (συνέγραψε δὲ περὶ τὰς 300 μυριάδας ἐπῶν. Σωζόμ., Φώτ.). Πολλοὶ τῶν Εὐρωπαίων σοφῶν ηὔξαντο καὶ ταῦτα τὰ συγγράμματα τοῦ μακαρίου Ἐφραὶμ ἐξελληνισθῆναι (Cave, Du-Pin, καὶ ἄλλοι)· πόσῳ δ' ἂν μᾶλλον εὔξαιτο Ἕλλην! (Εἰς τὸν μακαριώτατον Πατριάρχην τῆς Θεουπόλεως Ἀντιοχείας ἀπόκειται μάλιστα ἡ φροντίς, Θεοῦ κἀν τούτῳ καὶ ἐν ἄλλοις πολλοῖς συνεφαπτομένου, «οὗ ἡ δύναμις τελειοῦται ἐν ἀσθενείᾳ». Πολλαὶ γὰρ καὶ ἐξ αὐτῶν προσγενήσονται γνώσεις περὶ τὴν Γραφικὴν ἑρμηνείαν, ἐπιμαρτυροῦσαι καὶ τὸ κῦρος τῶν Ο, συμβάλλουσαι δὲ καὶ πρὸς πᾶσαν διδασκαλίαν τῆς εὐσεβείας, καὶ τὴν Ἐκκλησιαστικὴν ἱστορίαν, καὶ δὴ καὶ πρὸς ἀπόδειξιν τῶν ἀποστολικῶν παραδόσεων καὶ ἐθίμων καὶ διατάξεων τῆς Ὀρθοδόξου Ἐκκλησίας). Αὐτὸς δὲ ὁ μακάριος Ἐφραὶμ οὐδὲν ἔγραφεν ἑλληνιστί. Ὥστε καὶ πολλοί τινες τῶν κριτικῶν ὑπέλαβον αὐτὸν ἀμαθῆ παντάπασι τῆς ἑλληνικῆς, ἐκλαμβάνοντες κατὰ γράμμα τὸ τοῦ Σωζομένου «ἑλληνικῆς παιδείας ἄμοιρος» (Σωζόμενος αὐτόθι, λαβὼν ἐκ τοῦ Θεοδωρήτου, «ἑλληνικῆς οὐ γεγευμένος παιδείας» Ἐκκλησ. Ἱστ. δ, 29). Ἀλλ' ἴσως ὁ ἱστορικὸς ἐνόει τὴν εἰς τὴν ἑλληνικὴν πολυμάθειαν μὴ βαθεῖαν ἐκπαίδευσιν τοῦ πατρός. Ὅτι δὲ τὴν ἑλληνίδα γλῶσσαν ἠπίστατο, μαρτυρεῖ πάλιν αὐτὸς ὁ Σωζόμενος, εἰπὼν ὅτι «καὶ Βασίλειος ὁ μέγας ἠγάσθη τὸν ἄνδρα, καὶ τῆς παιδεύσεως ἐθαύμασε» (αὐτόθ.). Συριστὶ δὲ λαλεῖν ὁ Μ. Βασίλειος οὐκ ἠπίστατο. Μαρτυρεῖ δὲ καὶ αὐτὸς ὁ Οὐρανοφάντωρ, ὅτι ἤκουσε «λόγον Σύρου ἀνδρὸς» (τὸν Ἐφραὶμ ἐννοῶν)» σοφίας κοσμικῆς τοσοῦτον ἀφεστηκότος» (ὡς μὴ ἐκδότου εἰς αὐτήν), «ὅσον ἐγγὺς ἦν τῆς τῶν ἀληθινῶν ἐπιστήμης» (εἰς τὴν Ἑξαήμ. Ὁμιλ. β. σελ. 24. τ. α), καὶ εἰς ταύτην ἴσως τὴν μαρτυρίαν τοῦ Μ. Βασιλείου ἀναφέρεται καὶ ὁ Σωζόμενος. Ἀλλὰ καὶ Γρηγόριος ὁ Νύσσης, ὁ θεσπέσιος, καὶ σύγχρονος Ἐφραίμ, ἐν τῷ εἰς αὐτὸν βιογραφικῷ ἐγκωμίῳ λέγει, ὅτι «οὐ μόνον τῆς θεοπνεύστου σοφίας ὅλον ἐκπέπωκε τὸν κρατῆρα, ἀλλὰ καὶ τῆς ἔξω, τῆς κοσμικῆς», κτλ. (Γρηγ. τ. γ. σελ. 60). Καὶ αὐτὸς δέ, τέλος, ὁ Ἐφραὶμ ἐν τοῖς ὑπομνήμασιν, ἐν ᾧ περί τινων ἀναγνώσεων κατὰ τὸ ἑβραϊκὸν διαλέγεται, προστίθησι πολλάκις καὶ τὸν ἕλληνα (τὴν κατὰ τοὺς Ο, ἑλληνικὴν ἀνάγνωσιν. βλ. Lengerke p. 19· πρβλ. καὶ p. 6). Ὥστε οὐδὲ τῆς ἑλλήνων φωνῆς ὑπῆρχεν ἀμαθὴς ὁ μακάριος Ἐφραίμ· καί τοι γε, καὶ εἴπερ ἦν, οὐδὲν ἂν παρὰ τοῦτο πρὸς τὴν γνῶσιν τῆς ἀληθινῆς σοφίας ἐκεκώλυτο. Ὅτι δ' οὖν ὑπῆρχεν ἐπ' αὐτοῦ κατὰ τὴν Ἔδεσσαν (ἐν ᾗ

ἕλληνες ἑρμηνεῖς μετέγραψαν ἐκ τῶν Ο, ἄλλως παρὰ τῷ Ἐφραὶμ ἐχούσας, καὶ τῷ ἑβραϊκῷ συμφωνούσας. Οὔτε γὰρ ἂν ἐτόλμων τὰ τοῦ μακαρίου πατρὸς συγγράμματα διαφθείρειν, μάλιστα τιμώμενα παρὰ τοῖς εὐσεβέσιν (ὥστε παρά τισι τῶν Ἐκκλησιῶν καὶ μετὰ τὰς θείας Γραφὰς ἀνεγινώσκοντο, καθὼς ὁ Ἱερώνυμος μαρτυρεῖ)· καὶ αὐτὸς ὁ μάλιστα τοῦ ἑβραϊκοῦ πρόμαχος Ἱερώνυμος οὐκ ἂν ἐσιώπησεν, ἀλλ᾽ ἐξήλεγχε τὸ πρᾶγμα, παραλαμβάνων σύμμαχον καὶ τὸν θεῖον Ἐφραὶμ εἰς ἃς αὐτὸς ἠγάπα ἑβραϊκωτέρας ἑρμηνείας πολλῶν τόπων τῆς Γραφῆς. Ἀλλ᾽ εἰ καὶ ἦσαν (ὡς προείπομεν) καί τινες ἐκ τοῦ ἑβραϊκοῦ ἀναγνώσεις ἐν τῇ Συριακῇ μεταφράσει, ᾗπερ ὁ Χρυσοῤῥόας τῶν Σύρων ἐχρῆτο, οὐκ ἂν ἦσαν πολλαὶ καὶ μεγάλαι, ἀλλ᾽ οἵας οἱ περὶ τὸν Εὐσέβιον καὶ τὸν Θεοδώρητον, καὶ ἄλλοι πατέρες ἐσημείωσαν, ἀπὸ τοῦ δ, αἰῶνος καὶ ἐφεξῆς. Ταύτας δὲ τὰς παρὰ τοῖς πατράσι σημειώσεις πολλοί τινες ἐνόμισαν ἐκ τῆς Συριακῆς ἑρμηνείας τῆς ἀμέσως ἐκ τοῦ ἑβραϊκοῦ μεθηρμηνευμένης (Πεσχίτας), ὡς εἴπομεν καὶ ἐν τοῖς προλαβοῦσιν (α). Ἀλλ᾽ ὁ παρὰ τοῖς πατράσι Σύρος, τουτέστιν ἡ Συριακὴ ἐκείνη μετάφρασις ὑπῆρχε πάντως ἐκ τῆς τῶν Ο, καθὰ καὶ Σιμώνιος μετ᾽ ἄλλων ἔκρινεν ὀρθῶς (β). Καὶ ταῦτα μὲν περὶ τοῦ κειμένου τῆς Γραφῆς τοῦ παρὰ τῷ θείῳ Ἐφραίμ. Πρόσθες

διῆγεν ὁ Πατὴρ) διδασκαλεῖον παιδείας ἑλληνικῆς, μαρτυρεῖ ὁ σύγχρονος αὐτοῦ Ἐμεσσηνὸς Εὐσέβιος (τῷ 340, μ. Χ.), ὅστις « ἐκ νέου κατὰ τὸ πάτριον ἔθος (Συριστὶ) τὰ ἱερὰ μαθὼν γράμματα, μετὰ ταῦτα καὶ τὰ παρ᾽ ἕλλησιν ἐξεδιδάχθη παιδεύματα, διδασκάλοις τοῖς ἐνθάδε (ἐν Ἐδέσσῃ) τότε οὖσι φοιτήσας· ὕστερον δὲ ἐξηγηταῖς Εὐσεβίῳ τῷ Παμφίλῳ καὶ Πατροφίλῳ τὰς θείας βίβλους ἠκρίβωσε» (οὐ κατὰ τὴν Πεσχίταν πάντως προπαιδευθείς). Σωζόμ. Ἐκκλ. ἱστ. Β. ϛ. καὶ Σωκράτ. Β. θ.

(α) Βλ. ὄπισθ. σελ. 371. πρβλ. Montfauc. Hexapl. praelim. p. 19, καὶ Andr. Mulleri, Dissert. De Syriacis Sacr. Libror. versionib. etc. Berolin. 1671.

(β) Βλέπ. ὄπισθ. σελ. 893 Σημ. Ὁ δ᾽ αὐτὸς Σιμώνιος προστίθησι καὶ ταῦτα· « Ἐὰν (λέγει) τῶν ἑλληνικῶν συγγραμμάτων τοῦ μακαρίου Ἐφραὶμ ἡ ὑπὸ Γ. Οὐοσσίου λατινικὴ μετάφρασις ὑπάρχῃ πιστή, χωρὶς ἀμφιβολίας οἱ κατ᾽ ἐκεῖνον τὸν χρόνον (ἐπὶ τοῦ Ἐφραὶμ) Σύροι, μετεχειρίζοντο ἑρμηνείαν τῶν Γραφῶν ἐκ τῶν Ο, Συριστὶ μεθηρμηνευμένην » (Simon. Hist. Cr. V. Test. L. II. c. 15. p. 79). Ταῦτα ὁ κλεινὸς Σιμώνιος, ἀναγινώσκων τὸν Ἐφραὶμ ἐν τῇ λατινικῇ ἑρμηνείᾳ. Εἰ δὲ καὶ αὐτὸ τὸ ἑλληνικὸν κείμενον ἔβλεπεν ἐπληροφορεῖτο μᾶλλον ἣν συνεῖδεν ἀλήθειαν.

ὅτι τὸ κείμενον ἐκεῖνο περιεῖχε καὶ πάντα τὰ παρ' ἑβραίοις ἤδη λείποντα τεμάχια τῶν κανονικῶν τευχῶν (τὴν Σωσάνναν, τὸν Βὴλ καὶ δράκοντα, τὴν προσευχὴν τοῦ Μανασσῆ, καὶ τἄλλα περὶ ὧν προείπομεν σελ. 638), ὡς φαίνεται λαμπρῶς ἐκ τῶν ἐξελληνισθέντων τοῦ Ἐφραὶμ, ἐν οἷς φέρονται ῥήσεις ἀπὸ τούτων τῶν τεμαχίων (ὡσαύτως καὶ ἐκ τῆς Σοφίας Σολομῶντος, τοῦ Σειρὰχ, τοῦ Τωβὶτ, τῆς Α, καὶ Β, τῶν Μακκαβ.). Καὶ ὑπῆρχεν ἄρα ἐπὶ τοῦ Ἐφραὶμ ἡ Συριακὴ μετάφρασις ἡ αὐτὴ τῇ τῶν Ο. Περὶ δὲ τῶν ἄλλων τῶν εἴς τε τὴν Συριακὴν καὶ εἰς ἄλλας γλώσσας ἐκ τῶν Ο μεταφράσεων τῆς θείας Γραφῆς ἐροῦμεν ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ἐπάνιμεν δὲ ἐπὶ τὴν Πεσχίταν, ἣν πολλοί τινες προβάλλουσιν ὡς ἀπόδειξιν τῆς ἀκεραίου γνησιότητος τοῦ νῦν ἑβραϊκοῦ, ἐν οἷς καὶ ὁ περίθερμος Φαβρίκυς, διατεινόμενος, ὅτι τὴν Πεσχίταν *ἀείποτε* οἱ Σύροι μετεχειρίζοντο ἐν ταῖς ἱεραῖς αὐτῶν τελεταῖς! (α). Καί τοι τοῦτο τὸ *Ἀείποτε* ἀγνοεῖ τῶν Σύρων ἡ ἀρχαία Ἐκκλησία. Ὁ δὲ Σέμλερος (ἂν θέλῃς) εὕρηκε τὴν Πεσχίταν νεωτέραν οὐ μόνον τῆς ἐπὶ τοῦ Ἐφραὶμ, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν τῶν ἐκ τῶν Ο Συριακῶν ἐκδόσεων τῆς Γραφῆς (β).

§. ζ. Πολλὰς καὶ πολυελίκτους ἀτραποὺς διῆλθεν ἡ σοφία τῶν νεωτέρων κριτικῶν, ζητοῦσα πανταχοῦ τὰς αἰτίας τῆς ἐν πολλοῖς μετὰ τῶν Ο συγγενείας (ἢ *ἀναμίξεως*, καθὼς λέγουσι) τοῦ κειμένου τῆς ἄλλως ἑβραϊζούσης Πεσχίτας· καὶ διασκευὰς ἐφαντάσθησαν, καὶ φθορὰς, καὶ λώβας παντοίας, ἐξ ἀμελείας ἀντιγραφέων, ἐξ ἐπιβουλῆς αἱρετικῶν, ἐκ προνοίας τῶν προτιμώντων πανταχοῦ τοὺς Ο προελθούσας. Καὶ ἔχει μὲν τὸ κείμενον τῆς Πεσχίτας πολλὰ σφάλματα προφανῶς ἐξελεγχόμενα ἐκ τῆς πρός τε τὸ ἑβραῖον καὶ τὸ Σαμαρειτανὸν, καὶ πρὸς τοὺς Ο παραβολῆς πολλῶν αὐτοῦ χωρίων, ὡς οἱ κριτικοὶ παρετήρησαν (γ).

(α) Fabricy des Titres etc. T. 1. p. 355. sqq.

(β) Semler, Vorbereit. zur theolog. Hermen. p 382.

(γ) Βλ. Carpzov. Crit. Sacr. p. 623.sq. — Walton, Prol. XIII. §. 8, 15, sq Μία τῶν ἐν τῇ Πεσχίτᾳ μεταγενεστέρων μεταβολῶν ὑπάρχουσι καὶ αἱ ἐπιγραφαὶ,

Ἀλλ' ὅμως ὤφειλον πρὸς ταῖς τοσαύταις αὐτῶν περὶ τὴν Πεσχίταν ἐρεύναις μηδ' ἐκείνην τὴν ὁδὸν παριδεῖν, ἧς ὁ σοφὸς Ὀττιγῆρος ἀκροθιγῶς ἥψατο, καί τοι μηδὲν ἀπωνάμενος. Ὡμολόγησεν οὗτος, ὅτι « Ὁ κώδηξ ὁ ἑβραϊκὸς ἐξ οὗ μετέφρασεν ὁ Σύρος ἑρμηνεὺς διέφερε παρὰ τὸ καθ' ἡμᾶς ἑβραϊκὸν, ἄλλοτε μὲν μετὰ τῶν Ο συμφωνῶν, ἔστι δ' ὅπου καὶ μετὰ τοῦ Σαμαρειτανοῦ » (α). Τοῦτο δὲ βούλεται λέγειν, σαφέστερον ἐκφραζόμενον,

---

ἄλλαι τε, καὶ αἱ τῶν ψαλμῶν τοῦ Δαβὶδ, πάντη πάντως διαφέρουσαι τῶν τε καθ' ἑβραίους καὶ τῶν κατὰ τοὺς Ο, καὶ πολλάκις προσηρμοσμέναι πρὸς τὴν Εὐαγγελικὴν ἱστορίαν. Ἐπίσημος δὲ καὶ ὁ 17 στίχος τοῦ ξζ (ἑβρ. ξη) ψαλμοῦ, ὅπου ἀντὶ τοῦ « ἔλαβε δόματα » (ὡς ἔχει τὸ ἑβρ. καὶ οἱ Ο, καὶ ἡ Βουλγ.), ὁ Σύρος γράφει « ἔδωκε δόματα » (ὡς ἔγραψεν ὁ θεῖος Παῦλος Ἐφεσ. δ, 8)· ἐκ δὲ τούτου διώρθωται καὶ τὸ Συριακὸν ψαλτήριον· (τὴν ἀνάγνωσιν ταύτην ἔχει ἐκ τοῦ Ἀποστόλου καὶ ὁ Ἀπολλινάριος ἐν τῷ στιχήρει ψαλτηρίῳ, καὶ Ἰουστῖνος, κτλ). Ὁ δὲ Σιωνίτης ὁ Σύρος ὑπερμαχῶν ὑπὲρ τῆς ἀπὸ τῶν χρόνων Χιρὰμ καὶ Σολομῶντος καταγωγῆς τῆς Πεσχίτας, τοῦτο προβάλλει πρὸς ἀπόδειξιν, ὅτι καὶ ὁ θεῖος Παῦλος ἐκ τῆς Πεσχίτας ἔλαβε τὸ « ἔδωκε δόματα » κτλ! Πρωτογενὴς δὲ τῆς Πεσχίτας ἔκδοσίς ἐστιν ἡ ἐν τῇ Παρισινῇ Πολυγλώττῳ ἐξ ἀτελῶν κωδήκων γενομένη, ὧν τὰ χάσματα ὅδ' αὐτὸς ὁ Γαβριὴλ, ὁ Σιωνίτης καὶ Μαρωνίτης, ἐσφαλμένως πολλάκις ἀνεπλήρωσεν, ἐκ τῆς Βουλγάτας μεταφράσας εἰς τὸ Συριακόν. Τελειοτέραν δὲ ταύτην ἐξέδωκεν ὁ Βάλτων ἐν τῇ Λονδινῇ Πολυγλώττῳ· προσθεὶς ἐξ ἄλλων Συριακῶν κωδήκων τὰ ἐλλείποντα, ἐν οἷς καὶ τὰ τῆς Ἐσθὴρ, τὴν Σωσάνναν, τὸν Βὴλ καὶ δράκοντα, τὴν Ἐπιστολὴν Ἱερεμίου, τὴν ᾠδὴν τῶν τριῶν Παίδων ἐπισυνῆψε δὲ καὶ τὸν Τωβὶτ, τὴν Ἰουδεὶθ, τὴν β, καὶ γ, τῶν Μακκαβαίων. Καὶ ἔχει νῦν ταῦτα καὶ ἡ Πεσχίτα. Σημειωτέον, δὲ ὅτι παρ' ἄλλοις ἔθνεσι τῶν Σύρων ὑπάρχουσιν ἄλλαι ταύτης ἐκδόσεις, οἷον ἡ λεγομένη Ἡράκλειος, καὶ ἡ Καρκουφησία (ὀρεινὴ), ᾗ χρῶνται οἱ ὀρεῖται Νεςοριανοὶ (Carpzov. l. c. p. 626. πρβλ. καὶ Eichhorn, l. c. p. 148, 154, καὶ Ackermann l. c. p. 56.). Οἱ δὲ Μαρωνῖται (οἱ ἐν Ἀντιοχείᾳ καὶ ἐν τῷ Λιβάνῳ (παππίζουσι δὲ οὗτοι) χρῶνται τῇ κοινοτέρᾳ ἐκδόσει τῆς Πεσχίτας, ἥτις πάλιν ὁπωσδήποτε διαφέρει παρὰ τοῖς Ἰακωβίταις (Εὐτυχιανοῖς), καὶ τοῖς ἐν Αἰγύπτῳ Κόπταις, καὶ τοῖς ἐν Ἰνδίᾳ Θωμαΐταις (ὡς ἀπὸ τοῦ ἀποστόλου Θωμᾶ· εἰσὶ δὲ Νεστοριανοὶ, οὓς καὶ τούτους οἱ Λυσιτανοὶ (Πορτογάλοι) τῇ Ῥώμῃ καθυπεζύγωσαν). Οὕτω διάγουσι διῃρημένα περὶ τὸ δόγμα τὰ πολλαχοῦ τῆς ἄνω καὶ κάτω Ἀσίας κατοικοῦντα φῦλα τῶν ἀρχαιγόνων Σύρων, ἀφ' οὗ διεσπάσθησαν ἔτι κατὰ τὸν ε, καὶ ς, αἰῶνα ἀπὸ τῆς Ἀποστολικῆς αὐτῶν μητρὸς, τῆς καθολικῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων! ἕως ἂν πάλιν ὁ ΕΙΣ Ποιμὴν τῆς ΜΙΑΣ Ἐκκλησίας ἐπαναγάγῃ τὰ πεπλανημένα εἰς τὴν παναγίαν αὐλὴν αὐτοῦ.

(α) Βλ. Walton l. c. §. 8 καὶ 18, ὅστις καὶ αὐτὸς ὁμολογεῖ, ὅτι οἱ Ἑβραῖοι

ὅτι ὁ κώδηξ ὁ ἑβραϊκὸς, ἐξ οὗ μετέφρασαν οἱ Σύροι τὴν Πεσχίταν, ἔφερε τοὺς χαρακτῆρας τῆς κατὰ τὸν β, αἰῶνα κατασχούσης αὐτὸν λώβης, ἐν οἷς χωρίοις ἡ Πεσχίτα συμφωνοῦσα πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν, ἀντιφέρεται πρὸς τὴν ἑρμηνείαν τῶν Ο, συμμαρτυρούσης αὐτῇ πολλάκις καὶ τοῦ Σαμαρειτανοῦ· (ἐκ τοιούτου κώδηκος ἡρμήνευσαν καὶ οἱ περὶ τὸν Ἀκύλαν). Καθ' ὅσα δὲ πάλιν χωρία τὸ Πεσχιταῖον κείμενον διαφέρει μὲν τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ, συμφωνεῖ δὲ πολλαχοῦ μετὰ τῶν Ο, κατὰ πόδα παρακολουθοῦν, ἄλλοτε δὲ καὶ μετὰ τοῦ Σαμαρειτανοῦ (ἐν οἷς καὶ τοῦτο συνᾴδει τοῖς Ο), ἀποδείκνυσιν, ὅτι ἐν πᾶσι τοῖς τόποις τούτοις ὁ ἑβραῖος ἐκεῖνος κώδηξ, ἐξ οὗ μεθηρμήνευται ἡ Πεσχίτα, ὑπῆρχεν εἰσέτι τότε ἀδιάφθορος, καὶ σῴζων τὴν ἐπὶ τοῦ Φίλωνος καὶ Ἰωσήπου γνησιότητα. Καὶ μαρτυρεῖ λοιπὸν καὶ αὕτη ἡ ἀρχαία Συριακὴ μετάφρασις τὴν τοῦ καθ' ἡμᾶς Μασοραίου κειμένου διαφθοράν. Πολλὰ δὲ τὰ περὶ τούτου μαρτύρια, ἐξ ὧν σημειοῦμεν ὀλίγα, τὰ ἑξῆς.

Γενέσ. β. 2. Ἡ Πεσχίτα καὶ οἱ Ο « Τῇ ἡμέρᾳ *τῇ ἕκτῃ* »· τὸ δ' ἑβρ. «*τῇ ἑβδόμῃ*» – Αὐτ. β, 24. Ἡ Πεσχιτ. καὶ οἱ Ο « ἔσονται *οἱ δύο* » (βλέπε ὄπισθ. σελ. 457). – Αὐτ. δ. 8. Ἡ Πεσχίτ. καὶ οἱ Ο, «Διέλθωμεν εἰς τὸ πεδίον»· ἐκ τοῦ ἑβρ. λείπει. (ἐκ τῆς Πεσχίτας ἀναφέρουσι τὸ ῥητὸν καὶ Καρψόβιος καὶ ἄλλοι· ὁ δὲ Ἄγγλος Βυχανὰν εὗρεν ἔν τινι τῶν κατ' Ἰνδίαν Σύρων Ἐκκλησιῶν χειρόγραφον τοῦ ζ, αἰῶνος, ἐν ᾧ κεῖται τὸ «Διέλθωμεν.» κτλ. βλ. Ὅρνον ἔνθ. ἀνωτ. σελ. 223). – Αὐτ. δ. 15. Ἡ Πεσχίτ. « *Οὐχ οὕτω*» (καὶ οἱ Ο, ἡ Βουλγ.)· τὸ δ' ἑβρ. « Διὰ τοῦτο » ! – Αὐτ. ϛ, 3. Ἡ Πεσχίτ. καὶ οἱ Ο, « *Οὐ μὴ καταμείνῃ* τὸ πνεῦμά μου». τὸ δ' ἑβρ. « *Οὐκ ἐρίσει* τὸ πνεῦμά μου ». – Αὐτ. η. 7. Ἡ Πεσχίτ. καὶ οἱ Ο « Καὶ ἐξελθὼν (ὁ κόραξ) οὐκ *ἀνέστρεψε* » (βλ. ὄπισθ. σελ. 482)· τὸ δ' ἑβρ. « *ἀνέστρεψε* ». [Ἀλλ' ἐκ τῶν ἀρχαίων ὁ Διόδωρος ἐσημειώ-

---

κώδηκες οὕτως εἶχον ὅτε οἱ Ο, μεθηρμήνευσαν, καὶ ὅτε οἱ Σύροι τὴν Πεσχίταν, ἐν οἷς αὕτη τοῖς Ο, συμφωνεῖ, κτλ. (*αὐτ. σελ.* 628).

σεν, ὅτι « ὁ Σύρος οὐχ ὁμοίως τῇ ἑλληνικῇ· λέγει γὰρ ὑπέστρεψε, καὶ ὁ Ἑβραῖος»· βλ. Μοντεφ. Ἑξαπλ. τόμ. α. σελ. 20. Καὶ ἔοικεν ὁ Διόδωρος ἐξ ἡμαρτημένου κώδηκος ἀντιγράψας τὴν ἀνάγνωσιν. Οὐ γὰρ μόνον ὁ θεῖος Ἐφραὶμ ἐν τῷ κειμένῳ τῆς κατ' αὐτὸν (ἐκ τῶν Ο)ἑρμηνείας *οὐκ ἀνέστρεψεν* ἀνέγνω· ἀλλὰ καὶ τῆς Πεσχίτ. αὐτῆς ἤδη πάντα τὰ ἀντίγραφα οὕτως ἔχουσιν, ὡς σημειοῦσι Βάλτων, Σιμώνιος, Καρψόβιος καὶ ἄλλοι] (α). — Αὐτ. λε, 27. Ἡ Πεσχίτ. καὶ οἱ Ο, «(αὕτη ἐστὶ Χεβρὼν) *ἐν γῇ Χαναάν*»· τοῦτο ἐκ τοῦ ἑβρ. λείπει. — Αὐτ. μζ, 31. Ἡ Πεσχίτ. «ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ»· τὸ ἑβρ. «*τῆς κλίνης*» (βλ. ὄπισθ. σελ. 598). — Αὐτ. μη, 14. Ἡ Πεσχίτ. καὶ οἱ Ο (ὁ Ἰακὼβ εὐλογῶν τὸν Ἐφραὶμ καὶ Μανασσῆ ἐπέβαλλεν) « ἐναλλὰξ (ἄλλ. ἐναλλάξας) τὰς χεῖρας »· τὸ δ' ἑβρ. *ἐννοῆσαι ἐποίησε* τὰς χεῖρας αὐτοῦ! (intelligere fecit! Ὡραίαν προσωποποιΐαν λέγει ταύτην τὴν Μασοραίαν σύνεσιν τῶν χειρῶν ὁ Ῥοδομύλλερος, Σχόλ. αὐτόθ. ἐπεξηγοῦσι δὲ, « ἑκουσίως διεύθυνε τὰς χεῖρας αὐτοῦ »! κτλ. (β).

(α) Simon. Hist. Crit. Vet. Test. L. II. cap. 15. p. 77. — Carpzov Crit. Sacr. p. 635.

(β) Ἐν Γενέσ. ιδ, 7. Ἡ Πεσχίτα ἔχει, « τοὺς κατοικοῦντας ἐ ν π η γ ῇ Γ ὸ δ (Ἐγγαδί). Ὡσαύτως καὶ ὁ Ὄγκελος. Ἀλλ' ἐν τῷ ἑβραϊκῷ ὁ τόπος γέγραπται » ἐν Α ζ α ζ ο ν Θ α μ α ρ (καὶ οἱ Ο, Ἀ σ α σ ο ν θ α μ ά ρ). Ἐντεῦθεν (καὶ ἐξ ἄλλων τοιούτων) εἶπον οἱ κριτικοί, ὅτι ἡ Πεσχίτα διεσκεύασται καὶ ἐκ τῶν Χαλδαίων παραφράσεων. Ἀλλὰ τὸ Ἐ γ γ α δ ὶ ὑπάρχει νεωτέρα ὀνομασία τοῦ Ἀ σ α σ ο ν-θ α μ ὰ ρ (Β. Παραλ. κ, 2. οὕτω καὶ τὸ ἑβρ. καὶ οἱ Ο, αὐτόθι)· ὅθεν ὁ κώδηξ ὁ ἑβραῖος, ἐξ οὗ ἡ Πεσχίτα, φαίνεται ὅτι εἶχε ταύτην τὴν ἀνάγνωσιν εἰσρυεῖσαν καὶ εἰς τὸ ιδ, τῆς Γενέσεως ἐκ τοῦ κ, τῆς Β, τῶν Παραλειπ. καὶ ταύτην ἔγραψεν ἐξηγήσας καὶ ὁ Σύρος. Ἐκ δὲ τοῦ Σύρου καὶ Ὄγκελος. (Ὅτι γὰρ τὰ τοῦ Ὀγκέλου καὶ τὰ τοῦ Ἰωνάθαν Ταργούμια ὑπάρχουσι νεώτερα τοῦ β, αἰῶνος, καθ' ὃν ἡ Πεσχίτα μεθηρμηνεύθη, προείπομεν). Ὥστε μάτην οἱ κριτικοὶ ἀπονέμουσιν εἰς τὴν Πεσχίταν Χαλδαϊκὰς διασκευάς· τοὐναντίον αἱ χαλδαϊκαὶ παραφράσεις προσηρμόσθησαν πολλαχοῦ καὶ πρὸς τὴν Πεσχίταν Σύραν· καὶ μαρτυρεῖ ὁ Βαύερος. «Τὸ Ταργοὺμ (λέγει) τῶν Παροιμιῶν ἐγένετο ἐκ τῆς Συριακῆς μεταφράσεως» (Bauer Einleit. p. 186). Εἰ δὲ τούτοις οὐκ ἀγαπῶσιν οἱ πολλαχοῦ ἐκχαλδαΐζοντες τὴν Ἁπλῆν, ἀλλ' ἐκεῖνο γοῦν οὐκ ἂν ἀρνηθεῖεν· ὅτι ὁ Ἑβραῖος κώδηξ ἐξ οὗ ἡ Πεσχίτα, εἶχε καί τινας ἀναγνώσεις ὁμοίας τῷ τῶν Χαλδαίων παραφραστῶν (βλ. Walton l. c. §. 10). Καὶ ἄλλως δὲ πάντῃ φαίνεται ἀπίθανον, ὅτι οἱ τῇ Πεσχίτᾳ

Ἐξόδ. Β. 22. Ἡ Πεσχίτα « Τὸ δὲ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν Ἐλιέζερ, λέγων. Ὁ γὰρ θεὸς τοῦ Πατρός μου βοηθός μου, καὶ ἐῤῥύσατό με ἐκ χειρὸς Φαραὼ » (καὶ οἱ Ο, ἡ Βουλγ. ὁ Ἄραψ, κτλ. βλ. ὄπισθ. σελ. 503)· ἐκ τοῦ ἑβρ. λείπει· (κεῖται δὲ μόνον ἐν κεφ. ιη, 4. ὅπου κἀκεῖ πάλιν παρά τε τοῖς Ο, καὶ τοῖς ἄλλοις, κατὰ τὴν ἐν τῇ Γραφῇ συνήθη ἐπανάληψιν.) — Αὐτ. ιϐ, 27. Τὸ ἑβρ. ἔχει, (ὁ κύριος) «*Παρέδραμε* τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ ». Ἡ δὲ Πεσχίτα « *Ἠλέησε* τοὺς οἴκους » κτλ. Οὕτω καὶ οἱ Ο « *ἐσκέπασε* τοὺς οἴκους » κτλ. ὁμοίως καὶ Ὄγκελος· « ἐφείσατο τῶν οἴκων »· (τὸ νόημα τὸ αὐτὸ παρὰ τούτοις, καὶ τὰ ῥήματα συνωνυμοῦσιν). — Αὐτ. ιϐ, 40. Ἡ Πεσχίτα, οἱ Ο, τὸ Σαμαρ. « Ἡ δὲ κατοίκησις τῶν υἱῶν . . . *ἐν γῇ Χαναὰν* » κτλ. (βλ. ὄπισθ. σελ. 509)· ἐκ τοῦ ἑβρ. λείπει.

Λευϊτ. Ι. 6. Ἡ Πεσχίτα καὶ οἱ Ο (τοὺς υἱοὺς αὐτοῦ) « *τοὺς καταλελειμμένους* ». Τοῦτο λείπει ἐκ τοῦ ἑβραϊκοῦ.

Δευτερ. κζ. 26. Ἡ Πεσχ. καὶ οἱ Ο· « Ἐπικατάρατος *πᾶς* ἄνθρωπος ὃς οὐκ ἐμμένει » κτλ. (βλ. ὄπισθ. σελ. 539)· ἐκ τοῦ ἑβρ. λείπει τὸ σημειῶδες *πᾶς*.

Ψαλμ. ρθ, (ἑβρ. ρι) 3. Ἡ Πεσχ. οἱ Ο· « (πρὸ ἑωσφόρου) *ἐγέννησά σε* ». Τὸ δ᾽ ἑβρ. «*δρόσος τῆς νεότητός σου*»· βλ. ὄπισθ. σελ. 402. Ταῦτα ὀλιγώτατα ἐκ τῶν πολλῶν χωρίων, ἐν οἷς ἡ Πεσχίτα συμφωνεῖ τοῖς Ο, ἐναντίον τοῦ ἑβραϊκοῦ. Ἄλλα πολλὰ δείγματα ἐσημειώσαμεν ἐν τοῖς προλαβοῦσι (Κεφ. ιϐ καὶ ιγ. βλ. καὶ σελ. 884, 886). Ἴδε καὶ τὰ σεσημειωμένα παρὰ τῷ Βάλτωνι (Προλεγ. ιγ. §. 8). Καὶ ὁλόκληρα δὲ τεύχη τῆς Πεσχίτας, ὡς τὸ τοῦ Ἰεζεκιὴλ καὶ αἱ Παροιμίαι τοῦ Σολομῶντος, πολλὴν ἔχουσι συγγένειαν πρὸς τοὺς Ο, ὡς μαρτυρεῖ Μιχαῆλις (ἐν προλόγῳ Συριακῆς Χρηστομαθείας §. 5). Ὁ δὲ Τρενδελεμβοῦργος καὶ ὅλην τὴν Α, τῶν Μακκαβαίων τῆς Πεσχίτας ἀπέδειξεν ἡρμηνευμένην ἐκ τοῦ

χρώμενοι χριστιανοὶ (ἢ περ᾿ ἐχρῶντο, καθὼς θέλουσιν οἱ κριτικοί, καὶ αὐτοὶ οἱ πατέρες τῆς Σύρας Ἐκκλησίας!) ἀνεμίγνυον τὸ κείμενον τῆς ἁγίας Γραφῆς μετὰ τῶν Ἰουδαϊκῶν παραφράσεων τῶν χριστιανοῖς ἐχθίστων Χαλδαίων Ταργουμιστῶν.

Ἑλληνικοῦ τῶν Ο (α). Τούτοις προστεθείσθω καὶ ἡ περὶ τὴν χρονολογίαν μαρτυρία τοῦ μακαρίου Ἐφραὶμ, ὅστις ἐξήλεγξε τὴν ὑπὸ τῶν Ἰουδαίων ἑκουσίαν κολόβωσιν τῶν ἐτῶν τῆς πρώτης χρονολογικῆς περιόδου τῆς Γραφῆς (βλ. ὄπισθ. σελ. 805)· ἐπειδὴ δὲ εἰς μόνους τοὺς Ἰουδαίους ἀπένειμεν ὁ πατὴρ τὸ κακούργημα, φανερὸν, ὅτι οὔτε ἡ Συριακὴ μετάφρασις, ᾗ κατὰ τοὺς χρόνους τοῦ Ἐφραὶμ ἐχρῆτο ἡ τῶν Σύρων Ἐκκλησία, οὔτε ἡ παλαιὰ Πεσχίτα εἶχε τὴν κατὰ τὸ ἰουδαϊκὸν κείμενον χρονολογίαν. Τοῦτο συνάγεται καὶ ἐκ τῆς μαρτυρίας τοῦ Ἐκκελλησίου (β). Ὅτι δὲ ἡ Ἀντιόχεια καὶ μετ' αὐτῆς ἡ Συρία πᾶσα ἀπὸ τῶν Ἀποστολικῶν χρόνων καὶ ἐφεξῆς ἐχρονολόγει κατὰ τοὺς Ο, μαρτυρεῖ, ὁ σύνεγγυς τῶν Ἀποστόλων γενόμενος Θεόφιλος, ὁ Ἀντιοχεὺς καὶ Ἀντιοχείας ποιμενάρχης. Ὁ δὲ Ἰάκωβος ὁ Ἐδεσσηνὸς (τῷ 700. μ. Χ.) προςίθησιν, ὅτι καὶ ἑβραϊκά τινα χειρόγραφα ἐπ' αὐτοῦ τὴν κατὰ τοὺς Ο, χρονολογίαν ἐπεκύρουν (γ). Περὶ δὲ τῆς τῶν Σύρων γραφῆς, ὡς δῆθεν καθ' ἑβραίους χρονολογούσης, οὐδ' αὐτὸς ὁ Σύρος Ἰάκωβος οὐδὲν προσέθηκε. Καὶ αὐτὰ δὲ τὰ καθ' ἡμᾶς πολυσχιδῆ τῶν Σύρων ἔθνη, τὰ χρώμενα τῇ Πεσχίτᾳ, τὴν κατὰ τοὺς Ο χρονολογίαν κρατοῦσιν. Ἀλλ' ἐν τῇ φερομένῃ τοῦ Ἐμεσσηνοῦ Εὐσεβίου (τῷ 360, μ. Χ.) πιρικοπῇ ἀναγινώσκομεν ταῦτα· « Ὁ Ἑβραῖος, καὶ ὁ *Σύρος*, καὶ ὁ Σύμμαχος παρὰ ρ, ἔτη ἀεὶ γενεαλογεῖ, καὶ ὑποδείγματος ἕνεκεν· ἐπ' αὐτοῦ τοῦ Ἀδὰμ γέγραπται σλ, γεννᾷν (ἴσ. γεννᾷ) τὸν Σὴθ· ὁ Ἑβραῖος, ρλ, προστίθησι δὲ αὐτὰ εἰς [τὸ] ὑπόλοιπον [τῆς] ζωῆς τοῦ Ἀδὰμ» (παρὰ Μοντεφ. Ἑξαπλ. τ. α. σελ. 22). Ἀλλὰ τοῦτο τὸ Σύρος τοῦ Ἐμεσσηνοῦ φαίνεται προσθήκη τῶν ἀντιγραφέων· εἴγε προφανῶς ἀντιλέγει πρὸς τὰ τοῦ Ἐδεσσηνοῦ, καὶ τὰ τοῦ Ἐφραίμ. Οἱ Σύροι ἔχουσι καὶ Σύνοψιν ἀρχαίαν τοῦ Εὐσεβίου χρονικοῦ κατὰ τὴν χρονολογίαν τῶν Ο (δ)· καὶ ταῦτα μὲν οὕτως.

(α) Eichhorn, Repertorium etc. 15. Bd. pag. 58.

(β) Βλ. ὄπισθ. 895 καὶ Kennicot. Dissert. Gener. §. 93.

(γ) Kennic. ibid. § 81.

(δ) Τοῦτο τὸ χρονικὸν ἐξεγερμάνισεν ὁ Bruns. βλ. Eichhorn, Repert. 11. Bd. p. 271. sq.

§. η. Ὁ δὲ προειρημένος Βαρεβραῖος, ἢ Ἀβουλφεράγιος, ὀλίγον τὴν Πεσχίταν ἐτίμα, «*ἀσθενὲς, ἢ εὔσειστον θεμέλιον*, καὶ *ἀγροῖκον*» αὐτὴν ὀνομάζων, καὶ πολὺ παρ' αὐτὴν ἀκριβεστέραν ἀνακηρύττων τὴν τῶν Ο. «Ἐκείνη δὲ (φησὶν) ἡ Ἀπλῆ (Πεσχίτα) τὸ μὲν, σφάλματα προφανῆ περιέχει, τὸ δὲ καὶ τὰς ῥήσεις, ἃς ὁ Κύριος ἡμῶν καὶ οἱ ἅγιοι αὐτοῦ Ἀπόστολοι ἐξέφερον ἐν τῇ Καινῇ Διαθήκῃ ἄλλως αὐτὴ γράφει, καὶ οὐχ οὕτως ὁμαλῶς καὶ συμφώνως, ὡς οἱ Ο πρεσβύτεροι» κτλ (α). Ἐκτίθησι δὲ τὸ χωρίον ὁλόκληρον ὁ Ἀσσεμᾶνος (Σύρος καὶ αὐτὸς Μαρωνίτης), ἀλλὰ κοῦφα ταῦτα τὰ σφάλματα τῆς Πεσχίτας ἐσπούδασε παραστῆσαι, «ἵνα μὴ (φησὶ) νομίσῃ τις τὴν Πεσχίταν ἐλάσσονος τιμῆς ἀξίαν, ἢ ὅσον αὐτὴν ἐτίμων μετ' ἐπαίνων οἱ ἀρχαιότατοι Πατέρες, Ἐφραὶμ, Βασίλειος ὁ Μ., Χρυσόστομος, Θεοδώρητος» κτλ. (β). Ἀλλ' οὐ ταύτην οἱ Πατέρες ἐτίμων, τὴν δ' ἐκ τῶν Ο Συριακὴν, ἥπερ ἐπ' αὐτῶν ἡ Ἐκκλησία τῶν Σύρων ἐχρῆτο, καθὰ προείπομεν (τῆς δὲ Πεσχίτας ἡ χρῆσις εἰσήχθη παρὰ τοῖς Σύροις ὕστερον, ὡς ἔοικε, κατὰ μικρὸν, καὶ κατὰ τόπους, μετὰ τὴν εἰς πολλὰς αἱρέσεις διαίρεσιν αὐτῶν, ὁπότε πρὸς ὑποδοχὴν αὐτῆς ἐπλάσθη καὶ τῆς Σολομωντείου, καὶ τῆς Ἀποστολικῆς ἐκ τοῦ Θαδδαίου γενέθλης αὐτῆς ὁ μῦθος) (γ). Αὐτὴ δὲ ἡ Πεσχίτα σφαλμάτων μὲν οὐκ ἀπήλλακται· μία δὲ τῶν αὐτῆς ἀρετῶν ἐστι καὶ ἡ μετὰ τῶν Ο συμφωνία, πρὸς οὓς πολλάκις ἀποκλίνει μᾶλλον, ἢ πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν (ὡς ὀρθῶς ὁ Καρψόβιος ἔκρινε, σελ. 626). Καὶ

(α) G. Barhebraei praef. in Horrei mysteriorum. Ἔστι δὲ ὑπόμνημα εἰς τὴν Γραφήν.

(β) Asseman. Bibl. Orient. T. 2. p. 280, 282.

(γ) *Οὕτω κατά τινας ἀπῳκισμένους ἴσως τόπους τῆς Συρίας, καὶ ἴσως κατ' ἰδίαν,* «*Ἐν τοῖς ἀρχαίοις χρόνοις (ἴσως τὸν γ αἰῶνα) τὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης ἀνεγινώσκοντο τῇ ἑβραΐδι διαλέκτῳ, ἕως ὁ ἅγιος Ἐφραὶμ ἀπηγόρευσε τοῦτο*». *Ταῦτά φησιν ὁ Ἄραψ Τεκρίτης (εἴ τῳ πιστὸς) παρὰ* Pocockio praef. in Joel, p. 4. *Ἐκ δὲ ταύτης τῆς μαρτυρίας κἀκεῖνο βεβαιοῦται, ὅτι ὁ θεῖος Ἐφραὶμ οὐκ ἐθεώρει ὡς ἀδιάφθορον τὸ κείμενον τὸ ἑβραϊκὸν, οὐδὲ τὴν ἐξ αὐτοῦ λοιπὸν Πεσχίταν μετεχειρίζετο ὡς κανονικὴν, ἀλλὰ τὴν ἐκ τῶν Ο.*

αὕτη ἡ συμφωνία προῆλθεν οὔτ' ἀπὸ μεταγενεστέρων ἑκουσίων πρὸς τοὺς Ο μεταῤῥυθμίσεων καὶ διασκευῶν τοῦ κειμένου τῆς Ἁπλῆς, οὔτ' ἀπὸ τυχαίων ἀντιγραφικῶν παροραμάτων, ἀλλὰ πηγάζει τὸ πλεῖστον, ὡς μὲν εἶπεν ὁ Εἰχόρνιος ἐξ αὐτοῦ τοῦ μεταφραστοῦ, συνάπτοντος καὶ οἷον διαλλάττοντος τοὺς Ο, πρὸς τὸ ἑβραϊκὸν (α), πράγματι δὲ καὶ ἀληθείᾳ, ἐξ αὐτοῦ τοῦ ἑβραϊκοῦ, ἐξ οὗ μεθηρμήνευεν ὁ Σύρος, συνᾴδοντος ἔτι τότε πολλαχοῦ μετὰ τῶν Ο. Καὶ λίαν ὀρθῶς ὁ περίφημος Δάθης ἐθεώρησε τὴν Πεσχίταν « οἷον σημεῖον ὑψιπαγὲς, ἢ σημαίαν σταθερὰν, δεικνύουσαν τὴν ἐπὶ τῆς β, ἑκατονταετηρίδος κατάστασιν τοῦ ἑβραϊκοῦ κειμένου » (β). Ὥστε, καθ' ὅσα ἡ Πεσχίτα μετὰ τῶν Ο συμφωνεῖ, συνεφώνει καὶ τὸ τότε κατ' αὐτὴν ἑβραϊκόν. Τοιοῦτο δέ τι καὶ Μιχαῆλις πολὺ πρότερον εἶπε, καίτοι φειδωλοτέρᾳ τῇ φράσει χρησάμενος· « πρὸς ἕνα γάρ τινα (λέγει) τῶν κωδήκων τῆς ἑρμηνείας τῶν Ο μεγάλην ὑπάρξαι τὴν συγγένειαν καὶ συμφωνίαν τῆς Σύρας Ἁπλῆς » (γ)· (ποῖος δέ τις ἦν ἄρα, καὶ ποῦ πότ' ἐμόναζεν ὁ φοῖνιξ οὗτος τῶν Ο;). Οἱ δὲ περὶ τὸν Βάλην καὶ τὸν Στόῤῥον καὶ ἄλλας πολλὰς πρὸς τοὺς Ο συμφωνίας τῆς Πεσχίτας πρότερον ὑφεστώσας οὐκ ἀπιθάνως ὑπέλαβον, αἵτινες ἐξέπεσαν ἤδη ἐκ τοῦ Συριακοῦ κειμένου, μεταῤῥυθμισθέντος ἐπὶ μᾶλλον πρὸς τὸ ἑβραϊκόν) (δ). Καὶ ἴσως τὴν γνώμην τούτων τῶν κριτικῶν ἐπικυρώσει τὸ πρὸ μικροῦ ἐν τοῖς κατὰ τὴν Αἴγυπτον μοναστηρίοις μετ' ἄλλων πολυτίμων χειρογράφων Συριακῶν εὑρεθὲν ἀρχαιότατον ἀντίγραφον τῆς Πεσχιταίας Πεντατεύχου, γεγραμμένον τῷ 464 μ. Χ. (καὶ ἑπομένως ἁπάντων τῶν μέχρι τοῦ νῦν ἐγνωσμένων Συριακῶν τὸ παλαιότατον), ὡς ἡ *Τεταρταία Ἐπιθεώρησις* (Ἀγγλικὴ ἐφημερὶς, πολυμαθείας πλήρης, τετράκις τοῦ

(α) Eichhorn, Einleit. 2. Bd. p. 148.

(β) Dathe, Opuscul. ad crisin et interpret. V. Test. pag. 171.

(γ) Michael. Orient. Bibl. P. 4. p. 195.

(δ) Wahl, l. c. p. 83. Storr, l. c.

ἔτους ἐκδιδομένη) διεκήρυξεν (α). Ὅτι δὲ καὶ ὁ σοφὸς Ὀττιγγῆρος διάφορον τοῦ νῦν ἑβραϊκοῦ κειμένου ὡμολόγησε τὸν ἑβραῖον κώδηκα, ἐξ οὗ ἡ Πεσχίτα μετεφράσθη, εἴδομεν ἀνωτέρω (σελ. 902). Ὥστε καὶ ἡ Σύρα αὕτη, ἡ Ἁπλῆ καὶ γηραιὰ ἑρμηνεία πάρεστι μετὰ τοῦ τότε κατ' αὐτὴν ἀρχαίου κώδηκος (οὐχ ἑνός τινος, ἀλλὰ πολλῶν, εἰ μὴ τῶν πάντων) τῆς ἑβραϊκῆς Γραφῆς μάρτυς ἀψευδὴς τῆς τε γνησιότητος τῶν Ο, ἐν οἷς πρὸς τούτους συμφωνεῖ, καὶ τῆς ὕστερον διαφθορᾶς τοῦ καθ' ἡμᾶς Μασοραίου κειμένου, ἐν οἷς πρὸς αὐτὸ διαφωνεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ.

Περὶ τῆς Ἱερωνύμου Βουλγάτας, ὅτι καὶ αὕτη δείκνυσι τὴν εἰς τὸ ἑβραϊκὸν μετὰ τοὺς Ἱερωνύμου χρόνους ἐπισυμβᾶσαν διαφθοράν.

§. α. Περὶ τῆς εὐκλεεστάτης τοῦ πατρὸς Ἱερωνύμου Βουλγάτας εἴπομεν ἐν τοῖς ἔμπροσθεν (σελίδ. 96). Ὅτι δὲ καὶ μετὰ τὴν ἑρμηνείαν αὐτῆς εἰσέφρησαν εἰς τὸν ἑβραϊκὸν κώδηκα νεώτεραι παραλλαγαὶ, ἢ μᾶλλον διαφθοραὶ περὶ τὰς, ἀναγνώσεις ἀπέδειξε διὰ μακρῶν ὁ Καπέλλιος (Βιβλ. Ε. κεφαλαίῳ 7), συνεπικυροῦντος καὶ Κεννικώτου (Διατριβ. Β. σελ. 422). Ὁ δὲ Σχαρφεμβέργης (ἐν τῇ περὶ Ἰωσήπου προμνημονευθείσῃ Διατριβῇ, σελ. 10) μάτην τοῦ Καπελλίου καθήψατο, λέγων, ὅτι τῆς Βουλγάτας αἱ πρὸς τὸ ἑβραϊκὸν διαφοραὶ προῆλθον ἐκ τῆς Ἱερωνύμου συνηθείας, ὅστις ἀπέκλινεν ἐν τῷ μεταφράζειν πρός τε τοὺς Ο, καὶ τὰς ἄλλας ἑλληνικὰς μεταφράσεις (τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν)· οὐ δὲ συνεῖδεν ὁ κλεινὸς ἀνὴρ, ὅτι δι' αὐτῶν τούτων, δι' ὧν ἐσπούδαζεν ἀπαλλάξαι τὸ Μασοραῖον κείμενον ἀπὸ τῶν προ-

---

(α) Quaterly Review. N. CIIII. December. pag. 63. London. 1845. Τῶν ἐν τῷ Βρετανιτῷ Μουσείῳ θησαυρισθέντων ἀντιγράφων τούτων εἰσὶ 1) ἡ ἀνωτέρω Πεντάτευχος. 2) ἡ Ἔξοδος γεγραμμμένη τῷ 697 μ. Χ. 3)· οἱ Ἀριθμοί, ὁ Ἰησοῦς, καὶ ἡ Δ. Βασιλειῶν ἀντιγεγραμμένα τὸν αὐτὸν χρόνον κατὰ τὴν Ἑξαπλαίαν ἔκδοσιν, κτλ.

σϐολῶν ἑνὸς, τοῦ Ἱερωνύμου, ἐξήλεγχεν αὐτὸ ὑπεύθυνον παμπόλλων παραλλαγῶν, καθ' ὅσας διαφέρει πρός τε τοὺς Ο, καὶ τοὺς περὶ τὸν Ἀκύλαν, εἰς οὓς αὐτὸς ἀναφέρει τὰς ἀναγνώσεις τοῦ Ἱερωνύμου. Ἀλλ' ὅτι μὲν τὰ ἐκ τῶν ἑλληνικῶν ἑρμηνειῶν παρ' Ἱερωνύμῳ χωρία (ἃ πολὺ πρότερον αὐτὸς διέστειλεν ὁ Καπέλλιος, σελ. 371) διακρίνονται σαφῶς ἀπὸ πολλῶν ἄλλων, ἅπερ ὁ μὲν Πατὴρ ἡρμήνευσεν ἐκ τοῦ κατ' αὐτὸν ἑϐραϊκοῦ, ἄλλως δ' ἔχουσι τανῦν ἐν τῷ Μασοραίῳ κειμένῳ, τοῦτο πάντως ἠπίςατο καὶ αὐτὸς ὁ κριτικός· εἶπε δ' ὅσα εἶπεν « *ἔπεα μόνον* », ἐπιλέγων ἴσως καὶ αὐτὸς καθ' ἑαυτὸν τὸ τοῦ Πλάτωνος· « Ταῦτά μοι δοκῶ ἄλλως λέγειν ».

§. ϐ. Ἡ δὲ μετὰ τὸν Ἱερώνυμον ἐν πολλοῖς χωρίοις ἐπισυμϐᾶσα λώϐη τοῦ ἑϐραϊκοῦ γίνεται πολλαχόθεν καταφανής. Ἰδοὺ ὀλίγα καὶ τούτου παραδείγματα.

Γενέσ. γ, 17. Ἡ Βουλγάτα· « (Ἐπικατάρατος ἡ γῆ) *ἐν τῷ ἔργῳ σου* » (καὶ οἱ Ο, « *ἐν τοῖς ἔργοις σου* »)· τὸ δ' ἑϐρ. « *Διὰ σὲ* » (σαφὴς ῥαϐϐινικὴ διόρθωσις!) — Αὐτ. η, 7. Βουλγάτ. « Ὁ κόραξ *ἐξήρχετο* καὶ ΟΥΚ *ἐπανήρχετο* » (egrediebatur et non revertebatur. βλ. καὶ Ζητήμ. Ἑϐρ.), καὶ οἱ Ο· « Ἐξελθὼν οὐκ ἀνέστρεψεν »· τὸ δὲ νῦν ἑϐρ. « *ἐξερχόμενος καὶ ἐπανερχόμενος* » (χωρὶς τῆς ἀρνήσεως). Ἐκ δὲ τῶν παρατατικῶν τούτων χρόνων, οὓς ἐτήρησε καὶ Ἱερώνυμος, φαίνεται σαφῶς, ὅτι ἡρμήνευσεν ἐξ ἑϐραίου κώδηκος, σῴζοντος εἰσέτι τὴν ἄρνησιν, ἥτις ἐκ πολλῶν ἄλλων χειρογράφων καὶ πρότερον αὐτοῦ ἐξεῤῥύη). — Αὐτ. μθ, 24. Βουλγ. « Διελύθησαν τὰ δεσμὰ τῶν βραχιόνων καὶ τῶν χειρῶν *αὐτοῦ* » (καὶ οἱ Ο· « Ἐξελύθησαν τὰ νεῦρα βραχιόνων χειρῶν *αὐτῶν* »)· τὸ δὲ νῦν ἑϐρ. « Ἐκραταιώθησαν οἱ βραχίονες τῶν χειρῶν *αὐτοῦ* ».

Ἐξοδ. γ, 18. Βουλγ. « Κύριος ὁ Θεὸς τῶν ἑϐραίων *προσκέκληται* ἡμᾶς » (καὶ οἱ Ο). Τὸ δὲ νῦν ἑϐρ. « Κύριος ὁ Θεὸς τῶν ἑϐραίων συνήντησεν ἡμῖν » (οἱ Ο, οὐκ ἀνέγνων τὸ Κύριος [Jehovah] ἔχει δὲ τὸ Ὄνομα τὸ νῦν ἑϐρ. ὡς εἶχεν αὐτὸ καὶ ἐπὶ Ἱερωνύμου. Καὶ ἐκ τοῦ ἑϐρ. λοιπὸν ἡρμήνευσεν ὁ Ἱερώνυμος καὶ τὸ

προσκέκληται, κείμενον τότε, ὡς ἐγέγραπτο καὶ ἐπὶ τῶν Ο, ἀνθ' οὗ οἱ Μασορῖται, διὰ μόνην ἑνὸς γράμματος μεταβολὴν, ἔγραψαν *συνήντησε)*.

Β. Βασιλ. ιδ, 15. Ἡ Βουλγ. καὶ οἱ Ο· «Ὅτι ὄψεταί με ὁ λαός»· τὸ δ' ἑβρ. «Ὅτι κατεφόβισέ με (exterruit) ὁ λαός». — Αὐτ. ιζ, 11. Ἡ Βουλγ. «Σὺ ἔσῃ *ἐν μέσῳ αὐτῶν*» (καὶ οἱ Ο «τὸ πρόσωπόν σου πορευόμενον *ἐν μέσῳ αὐτῶν*». Οὕτω καὶ τὸ Ταργ. «*Σὺ ἐπὶ κεφαλῆς* (ἀρχηγὸς) πάντων ἡμῶν»). Τὸ δ' ἑβρ. «Τὸ πρόσωπόν σου πορεύσεται εἰς πόλεμον».

Ψαλμ. λϐ (ἑβρ. λγ) 7. Ἡ Βουλγ. «(Συνάγων) ὡσεὶ *ἀσκὸν* ὕδατα»· (οὕτω καὶ οἱ Ο, τὸ Ταργοὺμ, ὁ Ἄραψ)· τὸ δ' ἑβραϊκ. «*ὡσεὶ σωρόν*» (βλ. ὄπισθ. σελ. 393).

Ἐκκλησιαστ. η, 10. «Ἡ Βουλγ. καὶ οἱ Ο· «Καὶ *ἐπῃνέθησαν* ἐν τῇ πόλει»· τὸ δὲ νῦν ἑβρ. «*ἐπελήσθησαν* ἐν τῇ πόλει».

Ἆσμα Ἀσμ. α, 1. Ἡ Βουλγ. καὶ οἱ Ο· «Οἱ *μαστοί* σου»· τὸ δ' ἑβρ. «οἱ ἔρωτές σου». (Ὁ Ἱερώνυμος πανταχοῦ τοῦ Ἄσματος ἀνέγνω τὴν ἑβρ. λέξιν daddecha, ὡς καὶ οἱ Ο· οἱ δὲ Μασορῖται ἐτόνισαν dodecha). — Αὐτ. δ. 8. Ἡ Βουλγ. καὶ οἱ Ο. «*Δεῦρο* ἀπὸ Λιβάνου νύμφη, *δεῦρο* ἀπὸ Λιβάνου» τὸ δ' ἑβρ. «*Μετ' ἐμοῦ* ἀπὸ Λιβάνου νύμφη, *μετ' ἐμοῦ* ἀπὸ Λιβάνου.»

Ἡσαϊ. μθ, 17. «Ἦλθον οἱ οἰκοδόμοι σου» (καὶ οἱ Ο· «ταχὺ ᾠκοδομήθης»)· τὸ δ' ἑβρ. «Ἔσπευσαν *οἱ υἱοί σου*». — Αὐτ. ξδ. 1. Ἡ Βουλγ· «Ὡς ἔκκαυσις πυρὸς τακήσονται· ὕδατα ζέσουσι πυρὶ» (καὶ τὸ ἑβρ. «Ὡς καίει τὸ πῦρ τὸ χωνεῦον, ὕδατα καχλάσαι ποιήσει πῦρ». (Ἀλλ' ἐν τοῖς εἰς τὸν Ἡσαΐαν ὑπομνήμασιν (αὐτόθ.) ὁ Ἱερώνυμος λέγει, ὅτι οἱ Ἑβραῖοι ἐκφέρουσι τὸ χωρίον οὕτω· «Κατακαύσει πῦρ τοὺς ὑπεναντίους, ὡς ὕδατα ζέουσιν ἐν ἐκκαύσει πυρός». Καὶ οἱ Ο. «ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, κατακαύσει πῦρ τοὺς ὑπεναντίους»).

Ἰεζ. λδ, 16. Ἡ Βουλγ. καὶ οἱ Ο. «Τὸ ἀπολωλὸς ζητήσω, καὶ τὸ πλανώμενον ἐπιστρέψω, καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ ἐκλεῖπον ἐνισχύσω, καὶ τὸ ἰσχυρὸν» (ἄλλη ἔκδ. καὶ ἡ Βουλγ.

προστίθησι, *καὶ πῖον*) « *φυλάξω*, καὶ βοσκήσω αὐτὰ μετὰ κρίματος ». Τὸ δ' ἑβρ. « Τὸ ἀπολωλὸς ζητήσω, καὶ τὸ ἐκβεβλημένον ἐπιστρέψω, καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ πῖον καὶ ἰσχυρὸν *διολέσω*· βοσκήσω *αὐτὸ* ἐν κρίσει ». [Οὕτως ἡ Μασορῖτις χεὶρ, μετὰ τὸν Ἱερώνυμον πάντως, ἓν καὶ μόνον γράμμα τελικὸν μεταβαλοῦσα, καὶ γράψασα *Σαμαδ*, ὀλλύειν, ἀντὶ *Σαμὰρ*, φυλάττειν), μετέβαλε τὸ ΦΥΛΑΞΩ, εἰς τὸ ΔΙΟΛΕΣΩ. Καὶ ἡ μὲν καλλίστη τοῦ προφητικοῦ χωρίου διαγραφὴ ἐκφράζει τὴν σειρὰν τῶν εἰς τὰς διαφόρους τῶν προβάτων καταστάσεις, ἀναλόγως πρὸς τὰς χρείας, ἐκχεομένων εὐεργεσιῶν τοῦ ὑψίστου ποιμένος, ὁ δὲ Μασορίτης τ' ἄλλα πάντα στέργων, *ἀπολλύει* μόνα τὰ πίονα καὶ ἰσχυρά! (ὡς ἂν εἴπερ οὐκ ὤφειλον εὑρίσκεσθαι καὶ τοιαῦτα ἐν τῷ ποιμνίῳ!). Καὶ τὸ ἔτι ἀλογώτερον, μετὰ τὸ *διολέσαι τὸ ἰσχυρὸν* βόσκει τοῦτο πάλιν· « βοσκήσει (φησὶν) *αὐτὸ* » (οὕτω γὰρ ἔγραψεν, ἑνικῶς, ἀντὶ *αὐτὰ*) « ἐν κρίσει »! Καὶ ὅμως ταύτην τοῦ ἑβραϊκοῦ, τὴν ἀνάγνωσιν εὕρηκεν ὁ Ῥοδομύλλερος θαυμαστὴν, καὶ κυρίαν *δικαιώματος τοῦ κρατίστου* (jure optimo. Σχολ. αὐτόθ. συμμαρτυρεῖ καὶ Βοχάρτος, Ἱεροζ. Ι. 525). Ἀλλὰ κατὰ τοὺς Ο καὶ τὴν Βουλγ. ἔχει καὶ ὁ Σύρος. Οὕτως ἔγραψε καὶ Δάθης, καὶ ἄλλοι τῶν νεωτέρων, καὶ ὁ Λούθηρος.

Ὠσηὲ ζ, 5. Ἡ Βουλγ. καὶ οἱ Ο' « *Ἤρξαντο* οἱ ἄρχοντες *θυμοῦσθαι* ἐξ οἴνου ». Τὸ δ' ἑβρ. « *Ἠῤῥώστησαν* οἱ ἄρχοντες *ἀσκῷ* (ἄλλ. φλογώσει) οἴνου ». Ἄλλας πλείστας διαφορὰς τοῦ νῦν ἑβραϊκοῦ πρὸς ὃ μετέφραζεν ὁ Ἱερώνυμος ἐσημειώσαμεν ἐν τοῖς ἔμπροσθεν (κεφ. ιϐ. καὶ ιγ.). Ὅτι δὲ καὶ περίοδοι ὅλαι κείμεναι παρὰ τοῖς Ο, καὶ τῇ Βουλγάτᾳ, λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ (οἷον Ἰησ. κα, 36: καὶ Α, Βασιλ. θ. 24), ἐσημειώσαμεν ἐν τοῖς προλαβοῦσι. Προστεθείσθωσαν ἤδη καὶ τὰ ἑξῆς.

Θρήν. Ἱερεμ. κεφ. α, 1. Ἡ Βουλγ. καὶ οἱ Ο' « Καὶ ἐγένετο μετὰ τὸ αἰχμαλωτισθῆναι τὸν Ἰσραὴλ, καὶ Ἱερουσαλὴμ ἐρημωθῆναι, ἐκάθισεν Ἱερεμίας κλαίων, καὶ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ Ἱερουσαλὴμ, καὶ εἶπε ». Λείπει ὁ παράγραφος ἐκ τοῦ ἑβραϊκοῦ.

Παροιμ. ιϐ, 11. «Ἡ Βουλγ. καὶ οἱ Ο· «Ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριϐαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι, καταλείψει ἀτιμίαν». Ἐκ τοῦ ἑϐρ. λείπει. — Αὐτ. ιζ, 16. Ἡ Βουλγ. καὶ οἱ Ο. «Ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριϐήν· ὁ δὲ σκολιάζων τοῦ μαθεῖν ἐμπεσεῖται εἰς κακά». Καὶ ταῦτα λείπουσιν ἐκ τοῦ ἑϐρ.— Αὐτ. κε, 20. Ἡ Βουλγ. καὶ οἱ Ο, «Ὥς περ σὴς ἱματίῳ, καὶ σκώληξ ξύλῳ, οὕτω λύπη ἀνδρὸς βλάπτει καρδίαν». Λείπουσιν ἐκ τοῦ ἑβρ. καὶ ταῦτα, καὶ ἄλλα.

§. γ. Ἀλλὰ καὶ καθ᾽ ὅσα τό, τε νῦν ἑϐραϊκὸν καὶ ἡ Βουλγάτα διαφέρουσι πρὸς τοὺς Ο, κἀν τούτοις πολλάκις ἡ Βουλγάτα διαφωνεῖ πρὸς τὸ ἑϐραϊκόν. Αὐτίκα· Ψαλμ. ρθ (ἑϐρ. ρι), 3. Τὸ ἑϐρ. «Ἐκ γαστρὸς *ἠοῦς σοι δρόσος* νεότητός σου». Ὁ δὲ Ἱερών. ἐν τῷ ψαλτῆρι «*Ὥσπερ* ἐκ μήτρας *ἀνατελεῖ σοι* ἡ δρόσος τῆς νεότητός σου» (βλ. ὄπισθ. σελ. 402).

Ὡσηὲ Ι, 14. Ἡ Βουλγ. «Καὶ πάντα τὰ ὀχυρώματά σου (munitiones) πορθηθήσεται, ὡς *ἐπορθήθη* Σαλμανὰ ἐκ τοῦ οἴκου αὐτοῦ, ὃς *ἔκρινε* (judicavit) *τὸν Βάαλ* ἐν ἡμέρᾳ πολέμου». Τὸ δὲ νῦν ἑϐρ. «Καὶ πάντα τὰ ὀχυρώματά σου πορθηθήσονται, ὡς *ἐπόρθησε* Σαλμὰν τὸν *οἶκον Ἀρϐὴλ* (ἄλλ. τὴν Βαιθαρϐὴλ, ἄλλ. Βαιθ-Ἀδϐὴλ, Ῥόσ.) ἐν ἡμέρᾳ πολέμου». Οὕτως ἡ καθ᾽ ἡμᾶς Μασορίτειος ἀνάγνωσις τοῦ χωρίου διαφέρει τῆς ἀρχαιοτέρας τοῦ καθ᾽ Ἱερώνυμον ἑϐραίου κώδηκος. Καὶ αὕτη πάλιν τῆς τῶν Ο, ἐχούσης οὕτω. «Καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται, *ὡς ἄρχων Σαλαμὰν ἐκ τοῦ οἴκου τοῦ Ἱεροϐοὰμ* (ἄλλ. Ἱεροϐάαλ), ἐν ἡμέραις πολέμου». Πολλὴ δὲ καὶ περὶ τούτου τοῦ ἑϐραϊκοῦ χωρίου ἡ διένεξις μεταξὺ Χαλδαίων, καὶ Ῥαϐϐίνων, καὶ τῶν κριτικῶν, ἄλλων ἄλλως θεραπευόντων τὴν διαφωνίαν τοῦ νῦν πρὸς τὸ καθ᾽ Ἱερώνυμον ἑϐραϊκὸν, καὶ μάλιστα περὶ τὰ ἐνεργητικὰ ἢ παθητικὰ (*ἐπόρθησεν*, ἢ *ἐπορθήθη*), καὶ τὰ ὀνόματα Σαλμὰν, ἢ Σαλμανὰ, καὶ Ἀρϐὴλ, ἢ Βάαλ (βλ. Ῥοδομύλλ. Σχόλ. αὐτόθ.). Ἄλλα πολυάριθμα παραλείπομεν.

§. δ. Συμπεραίνομεν τὸ κεφάλαιον, ἐπιφέροντες τὴν κρίσιν τοῦ

σοφοῦ Γράβου. «Ὁστισδήποτε (φησὶ) καὶ μόνου τοῦ Ἱερωνύμου τὰ εἰς τὴν Γένεσιν Ζητήματα μετ' ἐπιμελείας διεξετάσῃ, ῥᾳδίως ἐπιγνώσεται, πόσαι καὶ ὁποῖαι πλάναι, ἢ παραλλαγαὶ, ἐν τῇ ἑβραΐδι γλώσσῃ ἔκ τε τῶν σημείων τῆς στίξεως καὶ τῆς τῶν γραμμάτων ὁμοιότητος ἀναφύονται· καὶ πολλάκις δὲ θεωρεῖ *λείπουσαν ἤδη ἐκ τοῦ ἑβραϊκοῦ τὴν ἀνάγνωσιν ἐκείνην, ἣν ὁ Ἱερώνυμος ὡς ὑφεστῶσαν τότε κατ' αὐτὸν ἀποφαίνεται*» (α). Ταύτην τοῦ Γράβου τὴν μαρτυρίαν ὡμολόγησαν καὶ ἄλλοι τῶν νεωτέρων (β).

ΚΕΦΑΛΑΙΟΝ ΚΒ.

Ὅτι καὶ ἐκ τῶν νεωτέρων μεταφράσεων, καὶ τῶν περὶ τὰς ἀναγνώσεις ἀδιαλλάκτων παρὰ τοῖς κριτικοῖς διαφορῶν ἐξελέγχεται πολλαχοῦ ἡ τοῦ ἑβραϊκοῦ κειμένου κατὰ τόπους διαφθορά.

§. α. Οὐ μόνον ἐκ τῶν ἀρχαίων ἑλληνικῶν ἑρμηνειῶν, καὶ τῆς Σύρας Πεσχίτας, καὶ ἐξ αὐτῶν τῶν Χαλδαίων παραφράσεων καὶ ῥαββινικῶν συγγραφῶν ἐξελέγχονται πολλὰ τοῦ Μασοραίου κειμένου χωρία λελωβημένα, ἀλλὰ καὶ αἱ κατὰ διαφόρους διαλέκτους νεώτεραι αὐτοῦ μεταφράσεις καὶ ἐκδόσεις, καὶ αἱ ποικίλαι παρὰ τοῖς ἐπισήμοις τῶν κριτικῶν ἀναγνώσεις μαρτυροῦσι τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ τὴν διαφθορὰν, ἐν οἷς μάλιστα χωρίοις μήτε πρὸς τοὺς Ο, μήτε πρὸς ἄλλας τούτοις συνᾳδούσας ἑρμηνείας συμφωνεῖ.

§. β. Αἱ μὲν οὖν ἐν ταῖς νεωτέραις ἑρμηνείαις ἁπαντῶσαι πολλαχοῦ περὶ τὰς ἀναγνώσεις διαφοραὶ προκύπτουσι κυρίως καὶ ἐξαιρέτως ἐκ τῶν διαφορῶν τῶν κατὰ τὰς παντοίας τοῦ

(α) Grabe ἐν ἐκδ. τῶν Ο· vol. 2. Prol. I. §. 24.

(β) «Si Vulgata ab hodieris fontibus (Hebraeis) discordat, saepissime non Vulgatae error est, sed fontium, qui tam puri, ut olim, non fluunt, sed in multis à Judaeis et Haereticis corrupti sunt.». Liebermann, Instit. Theol. T. 2. p. 411.

ἑβραϊκοῦ κειμένου ἐκδόσεις, ἐξ ὧν ἕκαστος ταύτην, ἢ ἐκείνην ἐκλεξάμενος, ἥδρασεν ἐπ' αὐτῆς τὴν καθ' ἑαυτὸν ἑρμηνείαν. Συμβάλλει δὲ ὅμως πρὸς τὰς ἐν ταῖς μεταφράσεσι διαφορὰς καὶ ἡ ἕξις, καὶ τὸ ἦθος, ἢ τὸ φρόνημα, καὶ ὁ τρόπος τῆς ἑρμηνείας, ἢ ὁ χαρακτὴρ τοῦ λόγου τῶν μεταφραστῶν. Καὶ περὶ μὲν τῶν ἐπισημοτάτων ἐκδόσεων τοῦ ἑβραϊκοῦ κειμένου προείπομεν (σελ. 174–193). Ἤδη δὲ λέγομεν καὶ τὰς ἐν ποικίλαις γλώσσαις νεωτέρας μεταφράσεις τῆς ἑβραΐδος γραφῆς, καταλέγοντες τὰς ἐπισημοτέρας· ἀπανθίζομεν δὲ καί τινα σημειώσεως ἄξια, ἐξ ὧν περὶ αὐτῶν διέλαβον οἱ κριτικοί (α).

§. γ. Εἰς δύω γένη τὸ πρῶτον οὗτοι διαιροῦσι τὰς μεταφράσεις ταύτας, τὸ μὲν Ἰουδαϊκὸν, τὸ δὲ Χριστιανικόν. Καὶ ἐκ μὲν τοῦ Ἰουδαϊκοῦ καταλέγουσιν ὅσας οἱ ἐν Ἀσίᾳ καὶ ἐν Εὐρώπῃ κατάτε τὴν Ἱσπανίαν καὶ Ἰταλίαν καὶ Γαλλίαν καὶ Γερμανίαν καὶ ἀλλαχοῦ κατοικοῦντες Ἰουδαῖοι ἐξέδωκαν μεταφράσεις, ἢ καὶ παραφράσεις τῆς Πεντατεύχου, καὶ ἄλλων, ἢ καὶ ὅλων τῶν τευχῶν τῆς ἑβραΐδος Γραφῆς, μεθερμηνεύσαντες εἰς τὰς ἐγχωρίους διαλέκτους, Ἀραβιστὶ, Περσιστὶ, Ἱσπανιστὶ, Ἰταλιστὶ, Γαλλιστὶ, Γερμανιστὶ, καὶ εἰς τὴν χυδαίαν ἑλληνικήν· φέρουσι δὲ πᾶσαι χαρακτῆρα λόγου βάρβαρον καὶ βάναυσον, ἐπαξίως τῶν ἀγλώσσων υἱῶν τῆς Συναγωγῆς. Καὶ τὰ προφητεύοντα τὸν Ἰησοῦν Χριστὸν χωρία τῆς Γραφῆς πειρῶνται διαστρέφειν, ὡς αἱ μάλιστα Ἰουδαΐζουσαι γερμανικαὶ μεταφράσεις τοῦ Ἀθία (βλ. ὄπισθ. σελ. 181) καὶ Οὐρίου, ὧν ἀνάλυσιν ἐξέδωκεν ἰδίως ὁ σοφὸς Καρψόβιος. Περὶ δὲ τῆς ὑπὸ Καχῆνος νεωστὶ ἐκδοθείσης Γαλλικῆς μεταφράσεως προείπομεν (σελ. 142). Ἴδωμεν ἤδη καὶ τὸ β, γένος τῶν ἑρμηνειῶν.

§. δ. Τὸ μέγα σχίσμα, τὸ μεταξὺ τῆς Παπικῆς Ἐκκλησίας

(α) Huetius, De claris Interpretib. Lib. II. c. 3. — Simon. Hist. Crit. V. Test. L. II. c. 19. seqq. — Carpzov. Crit. Sacr. P. II c. 7, 8. — Pfeiffer, Crit. Sacr. p. 354 — 375. — Rosenmüller, Handbuch für die Literatur der biblischen Kritik und Exegese. 4. Bd. p. 167 sqq. — Horne, An Introduction etc. vol. 2 part. 2 pag. 62.

καὶ τῶν περὶ τὸν Λούθηρον διαμαρτυρουμένων ἐκραγὲν, ἐγένετο καὶ νεωτέρων ἐκ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ μεταφράσεων πρόξενον καὶ φορὸν, εἴς τε τὴν λατινικὴν, καὶ τὰς ἐγχωρίους τῶν Εὐρωπαίων διαλέκτους κατὰ καιροὺς μεταβαλλομένων. Ἐφ' ὅσον μὲν γὰρ ἡ Δυτικὴ Ἐκκλησία ἐχρῆτο τῇ ἐκ τῶν Ο μεθηρμηνευμένῃ πρεσβίστῃ Ἰτάλᾳ (ἣν ἐκ τῶν ἐπισυμβάντων ἀντιγραφικῶν σφαλμάτων ἐξεκάθηρεν ὁ μακάριος Ἱερώνυμος, πρὸς τοὺς Ο πάλιν παραβαλὼν), οὐδεὶς τῶν Δυτικῶν ἐνεθυμήθη νέαν ἑρμηνείαν ἐκ τοῦ μετὰ Χριστὸν ἑβραϊκοῦ. Ἀφ' οὗ δ' ἀντὶ τῆς πατρῴας Ἰτάλας ἀντεισήχθη καὶ ἐκράτησεν εἰς τὴν Δυτικὴν Ἐκκλησίαν ἡ ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασις τοῦ μακαρίου Ἱερωνύμου, ἔκτοτε προετμήθη πλατεῖα λεωφόρος, ἥτις, τέλος, ἤγαγε καὶ ἄλλους πολλοὺς ὕστερον εἰς νεωτέρας καὶ παντοδαπὰς ἑρμηνείας τοῦ μηκέτι ἁπλῶς ἑβραϊκοῦ (οἷον ἦν ἐπὶ τοῦ Ἱερωνύμου), ἀλλ' ἀκράτως ἤδη ἰουδαϊκοῦ, καὶ καταστίκτου Μασοραίου κειμένου. Ἤδη γὰρ τοῦ Λουθήρου πρὸς τὸν Πάπαν ἀντιβίην μαχομένου, καὶ μέλλοντος, ὡς ἐδόκει, μεταξὺ τῶν ἄλλων τῶν πολλῶν πρὸς τὴν Παπικὴν Ἐκκλησίαν διατειχισμάτων, καὶ νέαν ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασιν ἐκπονήσειν, τὴν δὲ Βουλγάταν, ὡς ἐν πολλοῖς ἡμαρτημένην, περιφρονοῦντος, κατέλαβε καὶ τοὺς Παπιστὰς ἵμερος καὶ ζῆλος νεωτέρας ἐκ τοῦ ἑβραϊκοῦ μεταφράσεως (ἵνα μηδὲν τῶν ἀντιπάλων ἐλαττονῶνται). Καὶ δὴ πρῶτος Σάγκτης ὁ Παγνίνης (μοναχὸς τοῦ τάγματος τῶν Δομινικανῶν) ἔσπευσεν ἐπὶ τὸ ἔργον, « *μή τις κῦδος ἄροιτο προλαβὼν, ὁ δὲ δεύτερος ἔλθοι* »! καὶ καταδείξας τὴν Βουλγάταν ἐν πολλοῖς ἡμαρτημένην, καὶ μηκέτι μηδὲ τοῦ Ἱερωνύμου οὖσαν ἔργον, ὡς ἔχει τανῦν, ἐπεχείρησεν ἐκ νέου λατινικὴν ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν ὅλης τῆς Γραφῆς, καὶ αὐτοῦ τοῦ Πάπα Λέοντος τοῦ Ι, ἀσμένως ἐπινεύοντος, καὶ δαπάναις ἁδραῖς ἐπιῤῥωνύντος· ἥτις, τέλος, καὶ ἐξεδόθη ἐν Λουγδούνῳ τῷ 1528, ἀδείᾳ τε καὶ εὐλογίᾳ τῶν μετὰ τὸν Λέοντα παπῶν, Ἀδριανοῦ τοῦ Ε, καὶ Κλήμεντος τοῦ Ζ. ἀμφοτέρων τούτων τὰ τὴν ἔκδοσιν ἐφιέντα δόγματα, ἢ *διπλώματα*, φέρει λαμπρῶς ἡ Βίβλος ἐν τῷ προμετωπίῳ. Ἀλλὰ ταύτας

τῶν Παπῶν τὰς ψήφους τὰς ἀναμαρτήτους (οἷα δογματίζονται παρὰ τοῖς Δυτικοῖς πάντα τὰ περὶ τῶν θείων καὶ τῆς πίστεως παπικὰ θεσπίσματα), οὕτως ἀπολύτως τὸ γνήσιον καὶ ὀρθὸν τῆς ὑπὸ Παγνίνου νέας μεταφράσεως τῶν θείων γραφῶν ἐπικυρούσας, κατήργησεν ὡς ἐφαμάρτους, ὀλίγων παρελθόντων ἐτῶν (τῷ 1545), ἡ ἐν Τριδέντῳ Σύνοδος, ἥτις πάλιν τὴν Βουλγάταν μόνην *κυρίαν καὶ αὐθεντικὴν Γραφὴν* δογματικῶς ἐψηφίσατο, « μηδένα δὲ ταύτην οἱῳδήποτε προσχήματι τολμᾷν ἀθετεῖν καὶ ἀπαυθαδίζεσθαι ». Καὶ ταῦτα μὲν οὕτως. Ἡ δὲ Παγνίνειος ἑρμηνεία κέκριται παρὰ πᾶσι μονονοὺ τοῖς νεωτέροις κριτικοῖς οὕτω κατὰ γράμμα προσφυὴς πρὸς τὸ κείμενον τὸ Μασοραῖον, ὥστε μᾶλλον ἀριθμεῖ τὰς λέξεις, ἢ μεταφράζει· διὸ καὶ ἄτοπος ἐν πολλοῖς εὑρίσκεται καὶ παιδαριώδης. Καταφρονῶν δὲ τῆς Βουλγάτας καὶ τῶν ἄλλων ἀρχαίων ἑρμηνειῶν ὁ Παγνίνης (α), ἀπέκλινε μᾶλλον πρὸς τοὺς ῥαββίνους, δανειζόμενος πολλαχοῦ τὰς στρεβλὰς αὐτῶν ἐξηγήσεις· ἀλλὰ καὶ ὁ λατινισμὸς αὐτοῦ βάρβαρος καὶ σόλοικος καὶ ἀσαφής· ἔστι δ' ὅπου καὶ τὸ νόημα διαστρέφει (β), καὶ τὰ κύρια ὀνόματα μέχρι φρίκης μεταποιεῖ, Χαυβὰ (Chauva) γράφων τὴν Εὔαν· καὶ Ἰεχασιασὶμ (Iehasiasim), Ἱρμιχιαχὰ (Irmihiaha), Ἰεχεσεχὲλ (Iechesechel), τὰ Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιήλ. Ὁ δ' Ἰησουΐτης Μαριάνας ἐξεφώρασε καὶ παραδείγματα, ἐν οἷς καὶ

(α) Περὶ τῶν Ο ἰδοὺ τί ἔκρινεν οὗτος ὁ Δομινικανός. « Ἡμεῖς μετ' ἄκρας σπουδῆς, φροντίδος, ἐπιμελείας » (Summo studio, cura, et diligentia) ἀντιπαρεβάλομεν πρὸς τὸ ἑβραϊκὸν τὴν τῶν Ο ἑρμηνείαν» (ἣν ἴσως οὐδ' ἀναγινώσκειν ἀπταίστως ἠπίστατο!), « καὶ τοσαῦτα (φησὶν) εὑρήκαμεν πρόσθετα, ἐλλειπῆ, διεφθαρμένα, μεταβεβλημένα, καὶ παντάπασιν ἀλλότρια τοῦ ἑβραϊκοῦ κειμένου, ὥστε πείθειν ἐμαυτὸν οὐ δύναμαι ταύτην τὴν ἑρμηνείαν εἶναι τῶν Ο» (Isagog. c. 9). Καὶ ταύτην τοῦ Παγνίνου τὴν κρίσιν ἄλλος τούτου ὅμοιος δοῦλος τῆς Μασόρας, ὁ σοφὸς Γλάσσιος εὕρηκεν ἀληθεστάτην! (Glass. Philol. Sacr. L. I. p. 29). Ἀλλὰ καὶ ὁ σοφώτατος Ὑσσέριος ταύτης τοῦ Παγνίνου τῆς συνετῆς ἀμφιβολίας (εἰ τῶν Ο ἡ ἑρμηνεία) περιχαρὴς δραξάμενος, ἔπλασε τὸ ὄνειρον τῆς περὶ τούτου γελοιώδους αὐτοῦ δόξης· καὶ δὴ καὶ κατέγραψεν εἰς τὴν ἀρχὴν τοῦ περὶ τῶν Ο, Συντάγματος, ὡς θέσπισμα Φοίβου, τὸ ἐγγαστρίμυθον μάντευμα τοῦ Παγνίνου.

(β) Βλέπε τούτων πάντων παραδείγματα παρὰ Simon. καὶ Carpzov. l, c.

αὐτὰ τῆς Χριστιανικῆς πίστεως τὰ μυστήρια ἀνατρέπει (α). Καὶ τοιαύτη μὲν ἡ τοῦ Παγνίνου μετάφρασις.

Μετὰ πεντηκονταετίαν περίπου (τῷ 1572) Ἀρίας ὁ Μοντάνος ἀκριβῶς βασανίσας, ἐπιδιώρθωσε ταύτην τοῦ Παγνίνου τὴν ἑρμηνείαν. «Ἀλλ' ὅσαι διορθώσεις, τόσαι διαστρεβλώσεις», φησὶν ὁ Σιμώνιος. Ἑπτὰ ἁδρομερῶν ἁμαρτημάτων εἴδη εὕρηκεν ἐν αὐτῇ ὁ Καρψόβιος, ἐν οἷς καὶ τὰ πρὸς τὸν Παγνίνην ἀντιφατικὰ (οἷον ἐν Ἀριθμ. κδ, 3, ὁ μὲν Παγνίνης, « ἀνὴρ ἀνεῳγότα ἔχων τὸν ὀφθαλμὸν », ὁ δ' Ἀρίας, « ἀνὴρ κεκλεισμένος τῷ ὀφθαλμῷ)· καὶ ἄλλοι δὲ πολλοὶ κατέκριναν τὴν Μοντάνειον ἔκδοσιν. Ἐκρίθη δὲ ὅμως δι' ἄλλα πάλιν καὶ συντελής, καὶ μάλιστα πρὸς εὐχερεστέραν κατανόησιν τοῦ ἑβραϊκοῦ, ὅπερ κατὰ λέξιν ἐξηγεῖ· διὸ καὶ ἐν πολλαῖς ἐκδόσεσιν ἡ ἑρμηνεία, διάστιχος (interlinearis), ἢ διαστιχηδὸν ἐξεδόθη (δηλονότι μεταξὺ τῶν στίχων, ἢ σειρῶν τοῦ ἑβραϊκοῦ διέρχονται καὶ αἱ τῆς ἑρμηνείας οὕτως, ὥστε πρὸς πᾶσαν λέξιν ἑβραϊκὴν ἐπιγεγράφθαι τὴν ἀντιστοιχοῦσαν λατινικήν· οἷα καὶ πολλὰ τῶν παρ' ἡμῖν μαθητιώντων χειρόγραφα φέρουσι τὸ κείμενον τὸ ἑλληνικὸν ἐξηγημένον διὰ κοινοτέρων λέξεων, λεπτότερον ἐπιγεγραμμένων, κατὰ τὴν λεγομένην *ψιλαγωγίαν*).

Ἄλλος μετὰ ταῦτα τοῦ Κασσίνου ὄρους Ἀββᾶς καὶ ἐπίσκοπος Φυλγίνας, Ἰσίδωρος ὁ Κλάριος, ἐξέδωκεν ἑρμηνείαν μᾶλλον πλησιάζουσαν πρὸς τὴν ὑπὸ τῶν ἄλλων περιφρονηθεῖσαν Βουλγάταν, ἢ μᾶλλον τὴν Βουλγάταν αὐτὴν, ἐπιδιορθῶν ἐκ τοῦ ἑβραϊκοῦ (εὗρε δ' ἐν αὐτῇ, φασὶν, 8000 σφάλματα). Ἀλλὰ προφάσει τῆς διορθώσεως πολλὰς ἐξήλειψε λέξεις, ἄλλας ἀντικαταστήσας, μᾶλλον τῷ κειμένῳ (ὡς ἔδοξεν αὐτῷ!) καταλλήλους καὶ ὀρθοτέρας, ὧν αἱ πλεῖσται πᾶν τοὐναντίον ἀναφαίνονται· (διὸ καὶ ὑπὸ

(α) Οἷον τὸ (περὶ τῆς ἐσχάτης τῶν νεκρῶν ἐξαναστάσεως) ἐν Ἰὼβ ιθ, 26. Ὅπου ἡ Βουλγάτα, « rursum circumdabor pelle mea » (πάλιν περιβαλοῦμαι τὸ δέρμα μου)· τὸ δὲ νῦν ἑβρ. et postquam pellem meam contriverint hanc· ὁ δὲ Παγνίνης καὶ ἄλλα προσθεὶς, ἔγραψε « Καὶ ἀφ' οὗ τὸ δέρμα μου τὸ συντριβὲν σκώληκες συνέτριψαν, τοῦτο τὸ σῶμα ». Ταῦτα καὶ ἄλλα τοιαῦτα ὁ Μαριάνας (Pro Vulgat. c. 25). Βλ. καὶ Simon. l. c. pag. 111.

Πίου τοῦ Δ, τῷ 1564, ἀπηγόρευται, « μηδένα νομίζειν κείμενον τῆς Βουλγάτας τὸ κείμενον τῆς ἐκδόσεως τοῦ Κλαρίου»). Προσέθηκε δὲ καὶ σημειώσεις, ἀντιγράψας ἀνωνύμως ἐκ τῶν τοῦ Μυνστέρου (ὡς πάρεστιν ἰδεῖν ἐν τοῖς Λονδινείοις *ἱεροῖς κριτικοῖς*).

Τῷ δὲ 1650, ἄλλος πάλιν Δομινικανὸς, ὁ ἱσπανὸς Μαλβέδας ἐξέδωκεν ἐν Λουγδούνῳ λατινικὴν τοῦ πλείστου μέρους τῆς ἑβραΐδος γραφῆς ἑρμηνείαν· οὐχ ἑρμηνείαν, ἀλλ' ἄκρατον καὶ ξηρὰν γραμματικὴν, καὶ λεξικὸν ἑβραϊκόν! διὸ καὶ ὡς οὐδενόσωρος παντάπασιν ἐπελήσθη ἡ Μαλβεδαία αὕτη λεξιθηρία.

Ἔτι δὲ πρὸ τούτου Καϊετανὸς ὁ Καρδινάλις (τῷ 1639) ἐξέδωκεν ἄλλην κατὰ λέξιν ἑρμηνείαν ὅλης τῆς ἑβραϊκῆς Γραφῆς. Ἐν δὲ τῷ προλόγῳ διαμαρτύρεται καὶ ὁμολογεῖ, ὅτι « Καί τοι τῆς ἑβραϊκῆς γλώσσης ὑπάρχων ἀμαθὴς, τὰς βίβλους ὅμως τὰς ἑβραϊκὰς μετέφρασε τὸ πλεῖστον μέρος κατὰ λέξιν! Ἐχρήσατο δὲ πρὸς τοῦτο δυσὶν ἀνδράσιν εἰδημονεστάτοις τῆς ἑβραϊκῆς, τῷ μὲν Ἰουδαίῳ, τῷ δὲ Χριστιανῷ, παραγγείλας τούτοις, ἀκράτως κατὰ λέξιν καὶ κατὰ γραμματικὴν τὰς ἑβραϊκὰς φωνὰς ἑρμηνεύειν, κἂν ἡ ἑρμηνεία δοκῇ μηδὲν νόημα σημαίνειν ». Καὶ προστίθησιν. « Εἴθε τοιαύτη ἐγένετο καὶ ἡ παρὰ τῶν ἀρχαίων πατέρων ἀνάπηρος μετάφρασις. Οὕτω γὰρ ἂν εἴχομεν ἤδη ἐξηγημένον αὐτὸ τὸ κείμενον τῆς ἁγίας Γραφῆς, καὶ οὐχὶ κείμενον κατεσκευασμένον πρὸς τὴν αὐτογνωμοσύνην τῶν ἑρμηνευτῶν »! Τοιαῦτα ὁ πορφυρωτὸς Καϊετανός· πρέπουσα δὲ τοῖς φρονήμασιν αὐτοῦ καὶ ἡ μετάφρασις· καί τοι ἐλευθέρα πολλῶν περὶ τὴν φράσιν βαρβαρισμῶν.

Τελευταῖον, ὁ κλεινὸς Οὐβιγάντης τῷ 1753 συνεξέδωκεν ἐν Παρισίοις μετὰ τοῦ ἑβραϊκοῦ κειμένου καὶ λατινικὴν μετάφρασιν· οὐκ αὐτόχρημα ὡς ἔχει τὸ κοινῶς παραδεδεγμένον Μασοραῖον κείμενον ἑρμηνεύσας, ἀλλ' οἷον ἂν γένοιτο διορθωθὲν καὶ ἐξ ἄλλων ἑβραϊκῶν χειρογράφων, καὶ πολλῶν ἀρχαίων μεταφράσεων, καὶ ἐκδόσεων, καὶ κριτικῶν εἰκασιῶν (βλ. ὄπισθ. σελ. 183). Καὶ ἔςι μὲν ἄγαν ἐπαινετὸς ὁ περικλεὴς Οὐβιγάντης, ὅτι πολλὰ τῶν

διεφθορότων μερῶν τοῦ Μοσοραίου κειμένου λαμπρῶς ἐξήλεγξε (κἂν ὁ Φαβρίκυς ἀγανακτῇ)· καὶ τὸ ὕφος δὲ τοῦ κατ᾽ αὐτὸν λατινισμοῦ θαυμάζεται διὰ τὴν γλαφυρότητα καὶ δύναμιν. Ἀλλ᾽ ἔχει καὶ αὕτη ἡ ἑρμηνεία τὰς μεγάλας αὐτῆς κῆρας, δι᾽ ἃς ἤκουσε κακῶς πρὸς οὐκ ὀλίγων κριτικῶν. Καὶ ταῦτα μὲν περὶ τῶν ἐπισημοτέρων παρὰ τοῖς Παπικοῖς ἐκ τοῦ ἑβραϊκοῦ λατινικῶν ἑρμηνειῶν. Λέγομεν δὲ ἤδη καὶ περὶ τῶν ἐκπεπονημένων λατινιστὶ παρὰ τοῖς Διαμαρτυρουμένοις.

§. ε. Σεβαστιανὸς ὁ Μύνςερος ἐξέδωκεν ἐν Βασιλείᾳ τὸ πρῶτον τῷ 1534 λατινικὴν μετάφρασιν ὅλου τοῦ ἑβραίου κώδηκος· ἔδοξε δὲ αὕτη τοῖς κριτικοῖς τῆς μὲν Παγνινείας καὶ Μοντανικῆς ἐλευθερωτέρα, καὶ σαφεστέρα, καὶ πιστὴ περὶ τὴν ἑρμηνείαν τῶν μασοραίων φωνῶν, ἀλλὰ σφόδρα ῥαββινίζει· τοῦτο δὲ καὶ Μύνςερος αὐτὸς διαῤῥήδην ἀνακηρύττει ἐν τοῖς προλεγομένοις τῆς γ, κατ᾽ αὐτὸν ἐκδόσεως (1546) λέγων, ὅτι πρόσκειται τοῖς ῥαββίνοις, τοὺς ὑπομνηματισμοὺς αὐτῶν διεξελθών. Αὐτὸς δ᾽ ἀφ᾽ ἑαυτοῦ μηδὲν εἰσενεγκεῖν ὁμολογεῖ. Εἰ δέ που, φησὶν, ἐσφάλη, εἰς οὓς μετέγραψεν Ἰουδαίους ἀλλὰ μὴ εἰς αὐτὸν ἀνοιστέον τὸ σφάλμα. Αὐτὸς δ᾽ ἐφυλάξατο ἰσχυρῶς ἐκείνων μόνων ποιήσασθαι ἐκλογὴν, ὅσα συμφωνοῦσι τῇ ἀληθείᾳ. Καὶ κατὰ τοῦτο, φησὶν, ἐμιμήθη τὸν Ἱερώνυμον, ὃς ἑκάστοτε τοῖς Ἰουδαίοις ὡς χρηστηρίοις προσήει, καὶ εἰς τούτους τὸ πλεῖστον μέρος τῆς κατ᾽ αὐτὸν ἑρμηνείας ἀναφέρει! Καὶ τοιαῦτα μὲν αὐτός. Πολλοὶ δ᾽ ἔψεξαν τὴν ἑρμηνείαν καὶ περὶ τὴν φράσιν, ὡς μάλα δύσηχον καὶ φρικτὴν λατινικαῖς ἀκοαῖς, ἄλλως τε καὶ διὰ τὰ ὀνόματα· γράφει δὲ καὶ οὗτος τὸν Ἐζεκίαν Ιεχιζκιαχου (Iechizkiahu), καὶ τ᾽ ἄλλα τὰ ὀρθότριχα καὶ ὠταλγικὰ κτυπήματα τῶν ἐμβροντήτων Μασοριτῶν.

Λέων Ἰούδας, οὐκ Ἰουδαῖος, τὸ δόγμα Ζβιγγλιανὸς, ἐξελατίνισε μέγα μέρος τοῦ Μασοραίου κώδηκος. Τούτου θανόντος, προσέθηκε καὶ τὰ λοιπὰ Θεόδωρος ὁ Βιβλίανδρος. Ἡ ἑρμηνεία αὕτη ἐξεδόθη τῷ 1543 ἐν Τιγύρῳ. Φέρεται δὲ συνήθως ἐπ᾽ ὀνόματι

τοῦ Βατάβλου· κρίνεται σαφὴς, καὶ μέση βαρβαρισμοῦ καὶ καλλιεπείας· πολλαχοῦ δ' ἀστατεῖ, καὶ ἢ σφόδρα συνοψίζει, ἢ σφόδρα πλατύνει τὸ κείμενον· ἔστι δ' οὗ καὶ ἰουδαΐζει, ὡς ὅτε τὸ « *ὤρυξαν* χεῖράς μου » κτλ. ἑρμηνεύει « ὡς *λέων* χεῖράς μου » (βλ. ὄπισθ. σελ. 144 καὶ 616).

Σεβαστιανὸς ὁ Κασταλίων, ἢ Καστελλίων, Καλβίνου φίλος ὀπαδὸς, εἶτα δὲ πολέμιος, διδάσκαλος τῆς ἑλληνικῆς γλώσσης ἐν Βασιλείᾳ, ἐξέδωκε τὴν Γραφὴν τῷ 1554. Σαφὴς ἡ μετάφρασις· ἀλλ' ἄγαν ἐλευθέρα, καὶ κομμωτικῶς ἐπιτετηδευμένη· φεύγων τοὺς ἑβραϊσμοὺς, ἐσπούδασε περιβαλεῖν τὸν ἁπλοῦν καὶ σεμνότατον τῶν Γραφῶν χαρακτῆρα φράσεις Κικερωνείους. Ἔστι δ' ὅπου (ὡς εἰς τὸ Ἆσμα) παρεχρήσατο βεβήλως καὶ λεξείδια ὑποκοριστικὰ, καὶ φωνὰς ἀτόπους καὶ ἐκτεθηλυμένας. Διὰ ταῦτα κατακρίνεται δικαίως. Ὁ δὲ Γενεβράρδος καὶ δριμύτερον αὐτὴν ἔκρινεν « ὡς πομπώδη μᾶλλον ἢ πραγματικὴν, καὶ μᾶλλον φῦκος ἔχουσαν ἢ χυμὸν, μᾶλλον καπνὸν ἢ πῦρ, μᾶλλον ἀνθρωπίνους ἢ θείας ἐννοίας ». Ἔχει δὲ καὶ χρήσιμα, ἐν οἷς καὶ τὸ ἑξῆς. Τὰς γὰρ κολοβώσεις τοῦ ἑβραϊκοῦ προσέθηκεν ἐν τῷ μεταξὺ τοῦ κειμένου, μεθερμηνεύσας ἐκ τῶν Ο, ἢ τῆς Βουλγάτας, πρὸ δὲ τῶν προσθηκῶν, ἵνα διακρίνωνται, προσέγραψεν ἐν παρενθέσει τὸ Γ. (Γραικὸς), ἢ Λ. (Λατῖνος), καθότι ἔκρινε τὰ τοιαῦτα ὡς ἐκπεσόντα ἐκ τοῦ νῦν ἑβραϊκοῦ.

Τρεμέλλιος καὶ Ἰούνιος, πενθερὸς καὶ γαμβρὸς, τῷ 1590 ἐξέδωκαν ἐν Γενεύῃ λατινικὴν ἑρμηνείαν τῆς Γραφῆς. Ἤρεσεν αὕτη σφόδρα τοῖς Διαμαρτυρουμένοις, ὡς πιστὴ καὶ σαφής· ἀλλ' ὁ Δρούσιος καὶ ἄλλοι οὐκ ὀλίγοι καὶ Σιμώνιος ἔκριναν τὸ ἔργον ἐν πολλοῖς ἡμαρτημένον, καὶ συχνάκις τῆς ἐννοίας ἀποχωροῦν· ὄζει δέ τι καὶ τοῦ ἤθους τοῦ ἐξ Ἰουδαίων Τρεμελλίου. Εἰς τοῦτο ἀνάγεται καὶ ἡ ῥαββινίζουσα μετάφρασις τοῦ « ἕως οὗ ἔλθῃ *ὁ υἱὸς αὐτοῦ* » (ἀντὶ τοῦ « *ᾧ ἀπόκειται* » βλ. ὄπισθ. σελ. 500), καὶ αἱ Μασορόστικτοι βαρβαρωνυμίαι, ἐν αἷς καὶ τὸ Ἱεροσόλυμα (ἀντὶ τοῦ Ἱεροσολυμῖται) μετέφρασαν '*Ἱερουσχαλαϊμανοί* (Ierushalaimani).

Σεβαστιανὸς Σχιμίδιος, τὸ δόγμα Λουθηρανὸς, θεωρήσας ὥς φησιν, ὅτι τοῦ Παγνίνου καὶ τοῦ Κασταλίωνος αἱ μεταφράσεις εἶχον μεγάλην ῥοπὴν εἰς τὰς κατ᾽ αὐτοὺς Ἐκκλησίας, ἔγνω καὶ αὐτὸς, χάριν τῶν οἰκείων, ἐκδοῦναι νεωτέραν λατινικὴν ἑρμηνείαν τῆς ἑβραΐδος Γραφῆς, ἣν καὶ ἐξέδωκε τῷ 1696 ἐν Ἀργεντοράτῳ· Πιστὴν ταύτην ἔκριναν καὶ εὐφραδῆ, ἀλλὰ καὶ πολλαχοῦ σκοτεινὴν, καὶ προστιθεῖσαν ἐν παρενθέσει λέξεις ἐπεξηγηματικῶς χωρὶς ἀνάγκης· οἷον Γενέσ. γ, 22, γράφει· «Εἶπε κύριος ὁ θεὸς (*πρὸς ἑαυτόν*). Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν» (*τῶν θείων προσώπων*), «τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν (*καὶ ὅμως ἥμαρτε*)»· καὶ ἄλλα τοιαῦτα, ἐν οἷς σχολιάζει μᾶλλον, ἢ μεταφράζει.

Καὶ Δάθης ἐξέδωκεν ἄλλην τῷ 1773—89 ἐν Ἅλῃ. Ἀρέσκει τοῖς ἑβραϊσταῖς ὡς πιστὴ καὶ γλαφυρά· κακίζεται δὲ καὶ αὕτη κατὰ μέρη. εἴδη δὲ τῶν κακιῶν αὐτῆς ἀριθμοῦνται ἄλλα τε, καὶ ἡ μεταβολὴ τῶν προσώπων τοῦ κειμένου, καὶ ὅτι, χάριν δῆθεν εὐστομίας, μεταποιεῖ τὰς ἁπλουστέρας φράσεις τῆς Γραφῆς εἰς *εὐγενεστέρας*! Οἷον τὸ «Ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπ᾽ ὄπισθεν τοῦ Κυρίου» (Ὠσηὲ α, 2, τὸ ἑβρ. καὶ οἱ Ο), ὁ Δάθης μεταφράζει, «Ὁ λαὸς οὗτος, ἀντὶ τοῦ ἁγνοῦ ἔρωτός μου, ἄλλοις θεοῖς ἀνάγνῳ ἔρωτι παρακολουθεῖ» (ἆρά γε τοῦτο οὐχ ὑπερβαίνει καὶ τῶν ῥαββίνων τὴν εὐστομίαν; βλ. ὄπισθ. σελ. 239).

Καὶ Σχόττος, τέλος, μετὰ Βινζέρου ἐξέδωκαν τῷ 1816 ἐν Λειψίᾳ λατινικὴν μετάφρασιν τοῦ Μασοραίου κειμένου. Ἐφάνη δὲ ὁ πρῶτος τόμος περιέχων τὴν Πεντάτευχον.

§. ς. Αὗταί εἰσιν αἱ διασημότεραι τῶν νεωτέρων λατινικῶν ἑρμηνειῶν τοῦ καθ᾽ ἡμᾶς ἑβραϊκοῦ. Ἤδη δὲ λέγομεν καὶ περὶ τῶν εἰς τὰς ἐγχωρίους γλώσσας ποικίλων αὐτοῦ μεταφράσεων, ὅσαι συνετάχθησαν παρὰ τοῖς Διαμαρτυρουμένοις.

§. ζ. Ὑπῆρχον καὶ πρὸ τοῦ Λουθήρου εἰς τὴν Γερμανικὴν καὶ εἰς ἄλλας Εὐρωπαίων ἐγχωρίους γλώσσας ἑρμηνεῖαι τῆς παλαιᾶς Γραφῆς, ἀλλ᾽ ἐκ τῆς *Λατινικῆς Βουλγάτας*. Ἔτι κατὰ τὸ 1462 καὶ ἐφεξῆς ἐξεδόθησαν γερμανικαὶ μεταφράσεις· καὶ οἱ αἱρετικοὶ

Ἀλϐιγαῖοι, καὶ Βαλδικοὶ (ἀπὸ Βάλδου τοῦ αἱρεσιάρχου), καὶ Βικλεφῖται εἶχον τοιαύτας ἐξηγήσεις εἰς τὰς γλώσσας αὐτῶν. Καὶ ἰταλική τις λέγεται μετάφρασις ὑπὸ Ἰακώϐου Γενούης ἐπισκόπου. Καὶ Γαλλικὴν δὲ γενομένην τῷ 1290, δεικνύουσιν ἐν χειρογράφοις οἱ Γενευαῖοι. Ἀλλὰ ταῦτα πάντα τὰ ἐγχώρια μεταφράσματα ἢ ὅλης ἢ μερῶν τινων τῆς Γραφῆς ἦσαν, ὡς εἴπομεν, μεθηρμηνευμένα ἐκ τῆς Βουλγάτας (καὶ νεώτεραι δὲ φέρονται τοιαῦται μεταφράσεις παρὰ τοῖς Παπικοῖς). Πρῶτος ὁ Λούθηρος τῷ 1523 ἐξέδωκεν ἐκ τοῦ ἑβραϊκοῦ κειμένου Γερμανιστὶ μεταφράσας, πρῶτον τὴν Πεντάτευχον, εἶτα δὲ καὶ τὰ λοιπὰ, καὶ τέλος ὅλην τὴν Βίϐλον τῷ 1530. Ἡ μετάφρασις τιμᾶται μεγάλως παρὰ τοῖς Διαμαρτυρουμένοις καὶ μάλιστα τοῖς Λουθηρανοῖς, καὶ θεωρεῖται κοινῶς ὡς σαφὴς καὶ καθαρὰ, ἀλλ' ἔχει καὶ αὕτη τὰς ἰδίας ἐλλείψεις. Πολλὰ κατ' αὐτῆς ἔγραψαν οἱ Παπικοί. Καὶ ἡ Δοριδράκαινα (Dordracena) λεγομένη Σύνοδος τοῦ Καλϐίνου ἀποδοκιμάσασα τὴν τοῦ Λουθήρου μετάφρασιν, διέταξε νέαν, κατὰ τὴν διάλεκτον τῶν Βέλγων. Καὶ οἱ Ζϐιγγλιανοὶ δὲ ἰδίαν ἔχειν ἠθέλησαν, ἀφέντες τὴν Λουθήρειον. Ἀλλ' ἐκ τῆς τοῦ Λουθήρου μετεφράσθησαν ἄλλαι πολλαὶ παρὰ τοῖς βοῤῥειοτέροις Λουθηρανοῖς, ἡ Σαξωνικὴ, ἡ Πομερανικὴ, ἡ Δανικὴ, ἡ Σουϊδικὴ, ἡ Ὁλλανδικὴ, ἡ Φιννικὴ, ἡ Λεττικὴ, ἡ Σοραϐικὴ, ἡ Λιθουανική. Ἐν δὲ τῷ Ζουρίχῳ τῷ 1525 ἐξέδωκε νέαν ἄλλην γερμανικὴν μετάφρασιν Λέων ὁ Ἰούδας, ἣν καὶ ὕστερον οἱ Ζουρίχειοι πολλαχῶς μεταποιήσαντες ἐξέδωκαν τὸ πρῶτον τῷ 1667· διαφέρει δὲ αὕτη πάμπολυ τῆς τοῦ Λουθήρου· καὶ αὗται μὲν αἱ Γερμανικαί.

Κατὰ δὲ τὴν Ἀγγλίαν πρῶτος ἐκ τοῦ ἑβραϊκοῦ μετέφρασεν ὁ Τυνδάλης τὴν Πεντάτευχον τῷ 1530 (α). Ἐφεξῆς δὲ μετὰ τὴν

(α) Ἀγγλικαὶ τῆς παλαιᾶς Γραφῆς ὑπῆρχον καὶ πρότερον, οἷον ἡ ἀρχαία ὑπ' ἀγνώστου γενομένη τῷ 1290 μ. Χ. Καὶ ὕστερον ἡ τοῦ Τρεϐίσου. Τούτῳ σύγχρονος ἦν καὶ Βίκλεφος, ὅστις καὶ αὐτὸς μετέφρασε τὴν βίϐλον ἐκ τῆς Βουλγάτας τῷ 1378. Κατὰ δὲ τὸ 1406 ἀπηγορεύθη ἐν Ὀξωνίῳ Συνοδικῶς ἡ ἀνάγνωσις τῆς Βίϐλου ταύτης· βλ. A. Johnson, An histor. Account of the several En-

ἐξέλασιν τῆς Παποκρατίας, ἐγένοντο καὶ ἄλλαι ἐν Ἀγγλίᾳ μεταφράσεις ἐκ τοῦ ἑβραϊκοῦ· καὶ τέλος, τῷ 1604, κατὰ διαταγὴν τοῦ Βασιλέως Ἰακώβου, συναχθέντες 54 ἄνδρες σοφοὶ ἐφιλοπόνησαν Ἀγγλιστὶ τὴν ἐπίσημον ἑρμηνείαν τῆς ἑβραϊκῆς Γραφῆς, ἥτις καὶ ἐξεδόθη τῷ 1611, καὶ ταύτῃ χρῆται καὶ τανῦν ἡ Ἀγγλικὴ Ἐκκλησία.

Κατὰ δὲ τὴν Γαλλίαν πρῶτος Ῥοβέρτος ὁ Ὀλιβετανὸς, Ἑλβετὸς τὸ γένος, Καλβίνου συγγενὴς, ἡρμήνευσε Γαλλιστὶ τὴν ἑβραϊκὴν Γραφὴν, καὶ ἐξέδωκε τῷ 1535. Ταύτην δὲ καὶ Καλβῖνος αὐτὸς ὕστερον ἐν πολλοῖς μετεῤῥύθμισε. Κατὰ δὲ τὸ 1588 ὁ Σύλλογος τῶν Καλβινικῶν ποιμένων καὶ καθηγητῶν τῆς ἐν Γενεύῃ Ἐκκλησίας πολλαχῶς αὐτὴν ἐπιδιώρθωσε, καὶ ἔκτοτε ἡ μετάφρασις ἐπικαλεῖται, ἡ *Γενευαία*· ἐπιδιορθωθεῖσα δὲ καὶ πάλιν ὑπὸ τοῦ Συλλόγου, ἐξεδόθη ἐν Γενεύῃ τῷ 1805. Ἤδη δὲ καὶ πρότερον εἶχεν ἐπιδιορθώσας αὐτὴν Δαυῒδ ὁ Μαρτῖνος, τῷ 1707, καὶ τούτου ἡ ἔκδοσις μετετυπώθη τῷ 1837 ἐν Παρισίοις.

Ἔχουσι δὲ καὶ οἱ Ἱσπανοὶ δύω μεταφράσεις ἐκ τοῦ ἑβραϊκοῦ γενομένας ὑπὸ Διαμαρτυρητῶν, τὴν μὲν ὑπὸ Κασσιοδώρου τοῦ Δερεΰνα (De Reyna) τῷ 1569, τὴν δὲ νεωτέραν τοῦ Δεβαλέρα (De Valera) τῷ 1602. Καὶ ἄλλη δ' ἐκ τῆς Βουλγάτας μεταῤῥυθμηθεῖσα ἐξεδόθη ὑπὸ Λουκήνα τῷ 1838.

Ἰταλικὴν δὲ τοῦ ἑβραϊκοῦ κώδηκος ἑρμηνείαν ἐξέδωκεν ὁ Διοδάτης, ἐπόπτης Καλβῖνος ἐν Γενεύῃ, τῷ 1607· μετεφράσθη καὶ Γαλλιστί. Ταύτην ἐπαινεῖ Σιμώνιος ὡς πασῶν τῶν ἄλλων καλλιωτέραν. Μετετυπώθη καὶ τῷ 1836 ὑπὸ τῆς Ἱερογραφικῆς Ἑταιρείας. Ἄλλας ἄλλων Διαμαρτυρουμένων ἑρμηνείας ἐν ἄλλαις γλώσσαις παραλείπομεν.

Ὑπὸ δὲ τῶν Ἱερογραφικῶν ἑταιρειῶν ἀπὸ τοῦ 1802 καὶ ἐφεξῆς ἐξεδόθησαν τὰ βιβλία τῆς παλαιᾶς Γραφῆς ἅπαντα, τὰ δὲ καὶ μερικῶς κατὰ τεύχη, πρὸς τὸ νῦν ἑβραϊκὸν μεθηρμηνευμένα εἰς 157 λαλουμένας γλώσσας καὶ διαλέκτους διαφόρων τῆς οἰκουμένης

---

glisch Translations of the Bible etc. in Rich. Watson, A Collection of theological Tracts. Vol. 3. p. 60—100. Cambridge, 1785. —Horne l. c. p. 67.

ἐθνῶν. Ταῦτα περὶ τῶν ἐκ τοῦ ἑβραϊκοῦ εἴς τε τὴν λατινικὴν καὶ τὰς ἐγχωρίους γλώσσας νεωτέρων ἑρμηνειῶν.

§. η. Ὁ μὲν οὖν Λούθηρος ἐκεῖνος τοὺς κατ' αὐτὸν ἑβραΐζοντας οὐ περὶ πολλοῦ ποιούμενος (καί τοι καὶ αὐτὸς ἑβραϊστής), καὶ τοὺς ῥαββίνους μισῶν, καὶ αὐτῆς δὲ τῆς ἑβραϊκῆς γλώσσης τὴν ἀνάστασιν ἀδύνατον εἶναι νομίζων, εἰώθει λέγειν καὶ ταῦτα. «Ὅτι οἱ νεώτεροι ῥαββινικοὶ τῶν Γραφῶν μεταφρασταὶ φαίνονται τῷ Σολομῶντι παραπλήσιοι, ὅστις ἤλπιζε τὰς εἰς Θαρσεὶς σταλείσας αὐτοῦ νῆας, χρυσὸν αὐτῷ κομίσειν καὶ λίθους τιμίους, αἱ δὲ μετέφερον πιθήκους καὶ ψιττακούς» (α). Ἀλλὰ ταῦτα μὲν ὁ Λούθηρος ὑπερβολῇ χρησάμενος ἔλεγεν· οὐ γὰρ πιθήκους μόνον καὶ ψιττακοὺς (ἢ ταῶνας, κατὰ τοὺς Ο) ἦγον κατὰ τριετίαν αἱ νῆες ἐκεῖναι τῷ Σολομῶντι, ἀλλὰ καὶ χρυσὸν καὶ ἄργυρον καὶ ὀδόντας ἐλεφαντίνους (Γ. Βασιλ. ι. 22. Β. Παραλ. θ, 21). Ἡμεῖς δὲ μήτε τῷ θεοσόφῳ Σολομῶντι τοὺς νεωτέρους ῥαββινιστὰς τῶν Γραφῶν ἑρμηνεῖς παρεικάζοντες, καὶ τιμῶντες ἄλλως, καθὰ δεῖ, τοὺς ἀτρύτους αὐτῶν κόπους, αὐτὰς μὲν τὰς εἰς διαφόρους γλώσσας ἑρμηνείας πιθήκους μόνον φερούσας καὶ ψιττακοὺς (τουτέστι μόνον ἀλλοκότους ἐννοίας καὶ σφαλεράς) οὐδέποτ' ἐροῦμεν, οὐδὲ φρονήσομεν, ἄπαγε! οὐδ' ἄλλος τις, οἶμαι, τῶν φίλων τῆς ἀληθείας οὐδείς. Τὰ γὰρ πλεῖστα τῶν θείων λογίων ἀκριβῶς ἐκφράζουσι, καὶ γνησίως, καθ' ὅσα δηλονότι μετὰ τῆς Ἀποστολικῆς τῶν Ο Γραφῆς ἀκριβῶς συμφωνοῦσιν. Εἰ δὲ καὶ πολλαχοῦ τῆς ἀληθείας ἀποπλανῶνται, καὶ πολλάκις ῥαββινίζουσιν, οὐ τῶν μεταφραστῶν ἡ αἰτία, αὐτοῦ δὲ τοῦ Μασοραίου κειμένου, ὅπερ ὡς ἂν ἄχραντον ἐν πᾶσι καὶ γνήσιον καὶ ἀκριβές, ὡς οὐκ ὤφειλον, ἀπεδέξαντο· διὸ καὶ πρὸς τὰς τούτου παντοίας κατὰ τόπους φθορὰς παντοδαπῶς προσέκρουσαν, συνεργούσης καὶ τῆς φυσικῆς ἀσαφείας πολλῶν τῆς ἑβραΐδος γλώσσης φωνῶν, καὶ αὐτῆς δὲ τῆς γραμματικῆς καὶ τῶν ἀρχετύπων λεξικῶν τῆς

(α) Mathesius in vit. Lutheri. βλ. καὶ Simon. Hist. Crit. V. Tert. L. II. c. 23.

ῥαββινικῆς θεσμοθεσίας, καθ' ἣν τὴν ἑβραΐδα διάλεκτον ἐκμανθάνουσι. Διὸ καὶ πολλάκις ἀντιλέγουσι πρὸς ἀλλήλους καὶ αὐτοὶ οἱ διασημότατοι τῶν νεωτέρων ἑρμηνευτῶν τοῦ Μασοραίου κειμένου. Γίνεται δὲ τὸ πρᾶγμα καταφανὲς καὶ ἐκ πρώτης προσβολῆς, ὅταν τις αὐτὰς καὶ μόνον τὰς ὑπ' ἄλλων ἄλλοτε ἄλλας λατινικὰς μεταφράσεις ἀναλογισθῇ. Φανερὸν γάρ, ὅτι οἱ μετέπειτα ἐπελθόντες ἑρμηνεῖς οὐχ ἠρέσκοντο τοῖς προλαβοῦσιν, οὐχ ὅτι περί τινα κατὰ λέξεις, ἢ φράσεις, ἢ ἐννοίας ἀπεβουκολήθησαν ἐκεῖνοι (ταῦτα γὰρ ἠδύναντο διορθώσασθαι, παραβαλόντες πρὸς τὸ παραδεδεγμένον παρ' αὐτοῖς κείμενον τὸ Μασοραῖον, καὶ δευτέραν, καὶ ὁποστηνοῦν ἔκδοσιν ποιήσασθαι τῆς αὐτῆς ἑρμηνείας), ἀλλ' ὡς ἐν πολλοῖς ἀνιάτως ἔχειν κεκριμένων τῶν προλαβουσῶν ἑρμηνειῶν. Ὅθεν οἱ μετέπειτα κατὰ καιροὺς καὶ τόπους καὶ ἐν βραχέσι χρόνου διαστήμασιν ἐπιόντες, νέας ἐξ ὑπαρχῆς ἐφιλοπόνουν μεταφράσεις, οὐ μόνον περὶ τὰς ἐκφράσεις καὶ τὸν χαρακτῆρα τοῦ λόγου τῶν προτέρων διαφερούσας, ἀλλὰ καὶ κατ' αὐτὴν πολλάκις τὴν ἔννοιαν, ἄλλως ἄλλου τὰ αὐτὰ χωρία τῆς Γραφῆς ἐξηγοῦντος, καὶ ἑκάστου ἀξιοῦντος μόνην εἶναι γνησίαν καὶ ἀληθῆ τὴν κατ' αὐτὸν ἐκδοχήν. Φέρομεν δὲ καί τινα, ὀλίγα ἐκ μυρίων, παραδείγματα τῆς τοιαύτης διαφωνίας.

Γενέσ. β, 18, 20. Ὁ Λούθηρος (ἐν ᾗ διώρθωσε Βουλγάτᾳ) (α). « *Ποιήσω αὐτῷ βοήθημα* » (adjutorium), ὅπερ ἂν εἴη κατέμπροσθεν αὐτοῦ (quod coram eo sit) (β)· αὐτὴ δὲ ἡ Βουλγάτα ἔχει

(α) Περὶ ταύτης τῆς διορθώσεως βλ. Carpzov. Crit. Sac. p. 711.

(β) Οὕτω καὶ Ἀκύλας ἡρμήνευσε, «ποιήσωμεν (πληθυντικῶς) αὐτῷ β ο η θ ὸ ν (οὐχὶ β ο ή θ η μ α) κ α τ έ ν α ν τ ι α ὐ τ ο ῦ». Τοῦτο δὲ τὸ κατέναντι αὐτοῦ ὁ ἱερὸς Ἀναστάσιος ἐξέλαβεν ἀντὶ τοῦ ἀ ν τ ί δ ι κ ο ν κ α ὶ π ο λ έ μ ι ο ν· διὸ καὶ ἐπέπληξε τὸν Ἀκύλαν (εἰς Ἑξαήμ. λόγ. θ)· ἀλλὰ τὸ κ α τ έ ν α ν τ ι σημαίνει καὶ τὸ κατενώπιον, ἀντικρὺ, ἐπὶ συγκριτικῆς ἀντιπαραθέσεως καὶ ὁμοιώσεως (ὡς ἡ ἀντὶ ἐν τοῖς, ἀντάξιος, κτλ.). Ὅθεν οἱ Ο ταύτην τὴν σημασίαν κυρίως ἐξέφερον καὶ ἀκριβῶς διὰ τοῦ « κατ' αὐτὸν», τῆς προθέσεως τὸ ὅμοιον δηλούσης, κατὰ τὸ « ὁμοιωθήμεναι ἄντην». (Ὅμ.), καὶ τὸ «κατέναντι προσώπου ὁμοίωμα προσώπου» Σ. Σειρ. λδ,3. οὕτω καὶ Γεν. β,20, «βοηθὸς ὅ μ ο ι ο ς αὐτῷ» (καὶ ἡ Βουλγ. similis). Ταύτης τῆς κατὰ τοὺς Ο σημασίας τὸ κύριον ὁμολογεῖ καὶ ὁ ἑβραϊκώτατος Γεσένιος (Lexic. Hebr. p. 644), καὶ ἀντὶ δὲ τοῦ

«*ποιήσωμεν αὐτῷ βοήθημα ὅμοιον αὐτῷ*». Ὁ Παγνίνης καὶ ὁ Μοντάνος, «ποιήσω αὐτῷ βοήθημα *ὡσπερεὶ ἐνώπιον* αὐτοῦ (tanquam coram eo). Ὁ Κλάριος, «ποιήσω αὐτῷ βοήθημα *εὔκαιρον* αὐτῷ» (oppurtunum). Ὁ Κασταλίων, «ποιήσω αὐτῷ βοήθημα ἁρμόδιον αὐτῷ» (accomodatum), καὶ πάλιν ὁ Λούθηρος ἐν τῇ γερμανικῇ μεταφράσει· «ποιήσω αὐτῷ βοηθὸν (θηλυκ.), ἥτις ἔςαι περὶ αὐτὸν» (eine Gehülfin, die um ihm sey)· ἡ δὲ Γαλλικὴ (τοῦ Μαρτίνου) «βοηθὸν ὅμοιον αὐτῷ» (une aide semblable à lui), καὶ τὸ Ἀγγλικὸν (κατὰ λέξιν) «ποιήσω αὐτῷ βοηθὸν ἁρμόδιον αὐτῷ». Ὥστε ἐν τούτῳ τῷ χωρίῳ τὸ μὲν *ποιήσω* (ἑνικῶς) ὑπάρχει μασοραία φθορά, ἀντὶ τοῦ *ποιήσωμεν*, ὡς ἀνέγνων οἱ Ο, ὁ Φίλων, ὁ Ἀκύλας, ὁ Σύρος, ἡ Ἰτάλα, ὁ Ἱερώνυμος, καὶ ὡς αὐτὸ τὸ ἱερὸν κείμενον ἀπαιτεῖ, κατὰ τὸ «*ποιήσωμεν ἄνθρωπον*» (α, 26)· οἱ δὲ νεώτεροι περὶ τῶν ἄλλων δύω λέξεων διαφωνοῦντες πρὸς ἀλλήλους, ἐξελέγχουσι τὴν περὶ τὰ ἑβραϊκὰ συνώνυμα πολλάκις σφαλλομένην αὐτῶν διάνοιαν, ὀρθοφρονοῦσι δὲ μᾶλλον οἱ παρεπόμενοι μὴ τοῖς ῥαββίνοις, ἀλλὰ τοῖς Ο γνησίοις ἑβραίοις. — Αὐτ. γ, 24. «Τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην» οἱ Ο, καὶ ἡ Βουλγάτα (οὕτω καὶ ὁ Κλάριος). Ὁ δὲ Μοντάνος καὶ ὁ Βατάβλης «*Αἰχμὴν* ξίφους στρεπτὴν» (ὁ δὲ Καρψόβιος

β ο ή θ η μ α (*ὅπερ ἡ* Βουγ. *πρώτη παρήγαγεν εἰς τὸ μέσον*) *β ο η θ ὸ ν ὁ* Γεσένιος *ἐν τῷ χωρίῳ τούτῳ τῆς* Γενέσεως *γράφει, κατὰ τοὺς* Ο (*αὐτόθ. σελ.* 753). Ὁ *δὲ θεῖος* Ἀναστάσιος *μικρὰν, ἴσως, ἂν ἔκρινε τὴν* Ἀκύλα *δυσφημίαν, εἴ περ ἔβλεπε τοὺς νεωτέρους κριτικοὺς πῶς ἐξηγοῦσι τὸ κατέναντι, προσλαβόντες καὶ τὸ β ο ή θ η μ α* (*ὅπερ γοῦν οὐκ ἔγραψεν ὁ* Ἀκύλας) *ἀντὶ τοῦ βοηθόν*. Αἰδὼς *καὶ γράφειν καὶ λέγειν καὶ νοεῖν, πῶς ὁ* Σχουλτήνσιος, *καὶ ἄλλοι, καὶ αὐτὸς ὁ* Ῥοδομύλλερος *ἐκλαμβάνουσι τοῦτο τὸ βοήθημα καὶ τοῦτο τὸ κατέμπροσθεν* (*ἢ, ὡς ἐπεξηγοῦσι, τὰ ἔ μ π ρ ο σ θ ε ν αὐτοῦ*), *ἀκολουθοῦτες τῷ καταπτύστῳ* Ταργουμιστῇ Ἰωνάθαν, *καὶ βεβηλοῦντες αἴσχιστα, καὶ διαφθείροντες τὴν ἔννοιαν τῶν θείων φωνῶν τοῦ* Δημιουργοῦ! Οὐδὲ *γοῦν τὸν ἐθνικὸν ᾐδέσθησαν* Κικέρωνα, *ὅστις μετὰ τοῦ* Ξενοφῶντος *τῷ λόγῳ τῷ ὀρθῷ παρακολουθῶν, οὐ μόνον εἰς τεκνογονίαν, ἀλλὰ καὶ εἰς πᾶσαν περίθαλψιν καὶ παραμυθίαν διέγραψε θαυμαστῶς τὴν δι' ὅλου τοῦ βίου ἀμοιβαίαν* βοήθειαν τῶν συζύγων (Cicer. in Oeconom. Xenoph. βλ. καὶ Γρότιον Adn. in Genes. h. l.).

διορθοῖ, «*λεπίδα* (α) φλογίνην ξίφους δονουμένην»)· καὶ ὁ Χαλδαῖος, « ὀξὺ ξίφος ἄμφηκες, ἢ στρεπτὸν (versatile). Ὁ Καστελλίων, «φλόγινον ξίφος δονούμενον» (vibrantem). Ὁ Λούθηρος, «*γυμνὸν* στρεφόμενον ξίφος ». Ὁ Γάλλος (Μαρτῖνος) «*λεπίδα* (ἁπλῶς χωρὶς τοῦ φλογίνη) ξίφους στρεφομένην τῇ δε κἀκεῖσε». Ὁ Καχὴν, «τὴν λεπίδα τὴν φλογίζουσαν τοῦ ξίφους τοῦ στρεφομένου· [τὸ νῦν ἑβρ. ἔχει μόνον «μαχαίρας *φλόγα* (lahath)» τουτέστιν, αὐτὸ κυρίως τὸ τῶν Ο, φλογίνην ῥομφαίαν. Οἱ δὲ νεώτεροι τὸ *λαχὰθ* (χωρὶς ἄλλου τῆς γραφῆς παραδείγματος) ἐκλαμβάνουσιν ὡς σημαῖνον ἅμα φλογίνην *λεπίδα* (ferrum flamans), καὶ προστιθέασι καὶ τὸ ξίφος· παραβάλλουσι δὲ τοῦτο πρὸς τὸ «*γλῶσσαι πυρὸς*» (Πράξ. β, 3), ὅπερ οὔτε ξίφος δηλοῖ, καὶ ἄλλως τοσούτῳ διαφέρει, ὅσῳ καὶ ἡ γλῶσσα, τῆς λεπίδος τοῦ ξίφους). — Αὐτόθ. δ, 7. Ὁ Λούθηρος « Ἐὰν καλῶς ποιήσῃς, *ἔσται προσφορά*· ἐὰν δὲ κακῶς ποιήσῃς, τὸ *ἁμάρτημα ἡσυχάζει*, *ἕως ἂν ἀποκαλυφθῇ* ». Ὁ Μοντάν. « Οὐκ ἐὰν καλῶς ποιῇς ὑψῶσαι; ἐὰν δὲ μὴ καλῶς ποιῇς, πρὸς τῇ θύρᾳ τὸ ἁμάρτημα ἀνάκειται» (cubat). Ὁ Μαρτῖνος, «Ἐὰν καλῶς ποιῇς, μὴ οὐκ ἔσται ἀποδεκτόν; ἐὰν δὲ μὴ καλῶς ποιῇς, τὸ ἁμάρτημά ἐστι παρὰ τῇ θύρᾳ» (ὁ Καχὴν « *πολιορκεῖ σε* ἐν τῇ θύρᾳ)· καὶ ὁ Καστελλίων, «πάντως εἰ μὲν καλὰ ποιοίης, σπείσεις » (litabis· ἐπὶ σπονδῆς θυσιῶν), « ἢν δὲ μὴ καλὰ ποιῇς, ἡ ἁμαρτία πρὸ τῶν θυρῶν ἀνάκειται» (cubat). Ἡ δὲ Βουλγάτα, « Οὐκ ἐὰν καλῶς ποιῇς, *ἀπολήψῃ;* (recipies· ὁ δὲ Ἱερώνυμος ἰδίως ἑρμηνεύει τοῦτο «ἀφεθήσεταί σοι πᾶν τὸ ἁμάρτημά σου)· «ἐὰν δὲ μὴ καλῶς ποιῇς, αὐτίκα ἐν θύραις τὸ ἁμάρτημα παρέσται». Ὁ δὲ Συμμ. «Ἀλλ' ἐὰν ἀγαθύνῃς, *ἀφήσω*· ἐὰν δὲ μὴ ἀγαθύνῃς, παρὰ θύραν ἁμαρτία ἔγκειται». Καὶ ὁ Θεοδοτ. « Οὐκ ἂν ἀγαθῶς ποιῇς, *δεκτόν* ;» κτλ. Οὕτως ὁ Ἱερώνυμος διαφέρει πρὸς τὴν καθ' ἡμᾶς Βουλγάταν, ἡ Βουλγ. πρὸς τὸν Σύμμαχον καὶ τὸν Θεοδοτίωνα, οἱ δὲ νεώτεροι ἑρ-

---

(α) Οὕτως ἡ συνήθεια καλεῖ τὸ π λ α τ ὺ τοῦ ξίφους (Πλουτ. τὸ Λατ. Lamina) ἐκ τοῦ λ ε π ὶ ς πᾶν λέπος, καὶ τὸ λεπτὸν ἔλασμα (οἷα τὰ ἐκ τοῦ σφυροκοπουμένου χαλκοῦ καὶ σιδήρου ἀποπαλλόμενα), τὸ καὶ συνθέτως λεπιδόχαλκος (λεπὶς χαλκοῦ).

μηνεῖς πρὸς ἀλλήλους· φαίνεται δὲ πρὸ τοῦ Συμμάχου ἡ φθορὰ τοῦ ἑβραϊκοῦ· οἱ δὲ Ο ἀνέγνων ὑγιῶς, καὶ ἡρμήνευσαν σαφῶς. « Οὐκ ἐὰν ὀρθῶς προσενέγκης, ὀρθῶς δὲ μὴ διέλης, ἥμαρτες; ἡσύχασον». (βλ. ὄπισθ. σελ. 473).

Ἀββακ. β, 4. « Καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ » (οἱ Ο, καὶ Παῦλ. Ἑβρ. Ι. 38). Ἡ δὲ Βουλγ. « Ἰδοὺ ὅς ἐστιν ἄπιστος, οὐκ ἔστιν ἡ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ». Ὁ Μοντάνος, « Ἰδοὺ ἐπήρθη, οὐκ ὀρθὴ ἡ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ». Ὁ Κασταλίων. « Ἐπειδὴ ὁ σκληροτράχηλος (pertinax) οὐκ ὀρθὴν ἔχει διάνοιαν ». Ὁ Λούθηρος, « Ἰδοὺ ὅς ἐστιν ὑψαύχην, οὗτος οὐχ ἕξει ἀνάπαυσιν ἐν τῇ καρδίᾳ αὐτοῦ ». Ὁ Γάλλος, « Ἰδοὺ ἡ ψυχὴ ἡ ἐπαιρομένη (ἔν τινι) οὐκ ἔστιν ὀρθὴ ἐν αὐτῷ »· καὶ ὁ Ἰταλὸς, ὡς ὁ Μοντάνος.

Ἠσαΐας γ, 7. Καὶ ἀποκριθεὶς ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· οὐκ ἔσομαί σοι *ἀρχηγὸς* (οἱ Ο, ὁ Σύμμ. ἡ δὲ Βουλγ. « Καὶ ἀποκριθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων, οὐκ εἰμὶ *ἰατρός*). Ὁ Μοντάν. « Καὶ *ἐπαρεῖ* ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· οὐκ ἔσομαί σοι ἐπιδεσμεύων » (α)· ὁ Γάλλος (Μαρτῖνος), « Καὶ ἐπαρεῖ (τὴν χεῖρα) ἐν

(α) Δηλονότι ἐπιδέσμῳ θεραπεύων, ὡς ἰατρός. Οὕτως ἔγραψεν ὁ Θεοδοτίων (ὅθεν καὶ ὁ Ἱερώνυμος, ἰατρός)· τοῦτο δηλοῖ καὶ τὸ νῦν ἑβρ. chobes (μετοχή)· ἀλλ' οἱ Ο ἀνέγνων ἄλλην λέξιν, ἀντίστοιχον τοῦ ἀρχηγὸς (ὡς ἔχει καὶ τὸ ἑβρ. στίχ. 6 καὶ 8)· ἡ δὲ μεταφορὰ τοῦ ἐπιδεσμεύων ἀλλοτρία τῆς ἐννοίας. Ἔχει δὲ τὸ νῦν ἑβρ. καὶ ἄλλην προηγουμένην λέξιν πάντῃ διάφορον ἧς ἀνέγνων οἱ Ο· ἰδοὺ τὸ κείμενον τούτων. «(στίχ. 6, 7). « Ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. Καὶ ἀποκριθεὶς . . . ἐρεῖ· οὐκ ἔσομαί σοι ἀρχηγὸς, οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον· οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου » (ὅπου πρὸς τὸ « ἱμάτιον ἔχεις ,, ἀντιστοιχεῖ τὸ « οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ἱμάτιον, τὸ δὲ οὐδὲ ἄρτος, πρὸς τὸ « τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω », τουτ. ὑπὸ τὴν φροντίδα σου τὸ σιτομέτριόν μου. βλ. Μ. Βασιλ. εἰς Ἡσ. γ.). Τὸ δὲ νῦν ἑβρ. πῶς; « Ἱμάτιόν σοι (ἐστὶ), ἀρχηγὸς ἔσῃ ἡμῖν, καὶ τὸ ἐρείπιον τοῦτο (ruina), ὑπὸ τὴν χεῖρά σου (ἔστω). Ἐπαρεῖ (Assumet· ὅπου ὑπονοοῦσι τὴν χεῖρα· καὶ οἱ μὲν ἐπ' ἀνανεύσεως, οἱ δὲ ἐπὶ ὅρκου, ὅθεν ἐξηγοῦσι καὶ ὀμόσει, οἱ δὲ τέλος ἐπὶ φωνῆς, ὅθεν ἐπιγινώσκουσι καὶ τὸ τῶν Ο, ἀποκριθήσεται) ,, λέγων· οὐκ ἔσομαι ἐπιδεσμεύων, καὶ ἐν τῷ οἴκῳ μου οὐκ ἔστιν ἄρτος, οὐδὲ ἱμάτιον· μή με καταστήσητε ἀρχηγὸν τοῦ λαοῦ». Οὕτως ἡ τῆς ἑβραΐδος λέξεως,

ἐκείνῃ τῇ ἡμέρᾳ λέγων· οὐ δυνήσομαι ἰατρεῦσαι τοῦτο (ὁ δὲ Καχὴν, «ἀποκριθήσεται, οὐ βούλομαι ἰατρεῦσαι (ταύτην τὴν πληγήν). Ὁ ἰταλὸς (Διοδάτης), «Ὀμόσει λέγων· οὐκ ἔσομαι κύριος». Ὁ Λούθηρος, «Οὗτος δ' *ὀμόσει*, καὶ ἐρεῖ· οὐκ εἰμὶ *ἰατρός*. — Αὐτ. νγ, 7. «*Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι*» (οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ» οἱ Ο). Ἡ Βουλγ. «προσηνέχθη, ὅτι αὐτὸς ἠθέλησε» (ὁ δὲ Σύμμ. «προσηνέχθη, καὶ αὐτὸς ὑπήκουσε»). Ὁ Μοντάν· «κατεπιέσθη, καὶ αὐτὸς ἐθλίβη». Ὁ Μύνστερος, «Βίαν πέπονθε, καὶ ἀδίκως αὐτῷ ἐχρήσαντο». Ὁ Ἰούνιος καὶ Τρεμέλ. «ἀπαιτεῖται ποινὴ, καὶ αὐτὸς θλίβεται». Ὁ Βατάβλης καὶ Κασταλίων, «ἐζημιώθη καὶ ἐθλίβη». Ἄλλος, «προσήγγισε, καὶ ἐταπείνωσεν ἑαυτόν». Ὁ Χαλδαῖος «ἐδεήθη, καὶ αὐτὸς εἰσηκούσθη». Ὁ Ῥαβ. Κιμχῆς, «ἀπαιτεῖται παρ' αὐτοῦ ἀργύριον, καὶ θλίβεται ἐν τῷ σώματι». Ὁ Ἰάρχις, «ἀπαιτεῖται, δηλονότι παρὰ τῶν πρακτόρων, καὶ τῶν θλιβόντων». Ὁ Λούθηρος, «ὅτι αὐτὸς ἐπαιδεύθη καὶ ἐβασανίσθη»· ὁ Γάλλος Μαρτῖνος «(Ἕκαστος) αὐτὸν ζητεῖ, διὸ καὶ αὐτὸς ἐθλίβη»· ὁ Ἰταλὸς, ὡς ὁ Μοντάνος. Ἄλλα παραλείπομεν.

§. θ. Οὕτω διαφωνοῦσι πρὸς ἀλλήλους πολλάκις οἱ ἑρμηνεῖς, ἄλλως ἄλλοι τὴν αὐτὴν λέξιν καὶ φράσιν ἐξηγοῦντες, ὡς ἂν ἕκαστος ἀρέσκηται· πολλάκις δὲ καὶ ποικίλαις ἀναγνώσεων παραλλαγαῖς ἀκολουθοῦσι, καὶ μοχθοῦσιν εἰς κενόν. «Μάτην ζητοῦμεν τὴν ἀληθινὴν ἑρμηνείαν, ὅπου περὶ τῆς ἀληθινῆς ἀναγνώσεως ἀμφιβάλλομεν», ὁ Κεννικῶτος φησί (Γενικ. Διατρ. §. 10).

τῆς σημαινούσης β ρ ῶ μ α μεταποίησις εἰς τὴν δηλοῦσαν ἐ ρ ε ί π ι ο ν, ἐπέφερε καὶ τὴν διαστροφὴν τοῦ ἀ ρ χ η γ ὸ ς εἰς τὸ ἐ π ι δ ε σ μ ε ύ ω ν, καὶ τὴν φράσιν ὅλην συνετάραξε, καὶ τὴν ἀντιστοιχίαν τῶν μερῶν τῆς ἀπαντήσεως πρὸς τὰ τῆς προτάσεως διέῤῥηξεν· ἢ ποίαν σχέσιν ἔχει τὸ ἄρτος πρὸς τὸ ἐρείπιον; ὁποῖον δὲ καὶ τὸ «τὸ ἐ ρ ε ί π ι ο ν τοῦτο ἔστω ὑ π ὸ τ ὴ ν χ ε ῖ ρ ά σ ο υ (ἢ ὑπὸ σέ)! Ὁ Κλέρικος καὶ Σχαρφεμβέργης ἔκριναν διορθωτέον τὸ τῶν Ο, β ρ ῶ μ α εἰς τὸ π τ ῶ μ α, ἵνα συμφωνῇ πρὸς τὸ ἑβραϊκόν! ἀλλ' ὀρθότερον ἂν ἐποίουν ἐπιδεσμεύοντες καὶ διορθοῦντες τὸ ἐ ρ ε ί π ι ο ν τοῦ ἑβραϊκοῦ καθ' ἣν ἀνάγνωσιν συμφωνοῦσαν τοῖς Ο ἔκρινεν ὁ Καπέλλιος. Ὁ δὲ Βιτρίγγας, καὶ ὅλην τὴν ὑφὴν τοῦ 6, στίχου διέλυσεν ἐν τῷ ἑβραϊκῷ, μεταβαλὼν τὴν μασορίτειον στίξιν, ὅπως ἔδοξεν αὐτῷ, πιθανωτέραν τὴν ἀνάγνωσιν ποιῶν! (βλ. καὶ Rosenmul, Sch. h. l.).

Ἔστι δ' ὅπου καὶ τὸ ἄτοπον τῆς ἐν τῷ κοινῷ ἑβραϊκῷ ἡμαρτημένης δοκούσης ἀναγνώσεως θεραπεύοντες, παντοίας κριτικὰς (καὶ ταύτας διαφώνους πρὸς ἀλλήλας) ἐπάγουσι πρὸς διόρθωσιν εἰκασίας, ὧν γέμουσι τὰ σχόλια καὶ ὑπομνήματα τῶν νεωτέρων ἑρμηνευτῶν. Διὰ δὲ τούτων τί ἄλλο ποιοῦσιν, εἰμὴ τὴν κατὰ τόπους λώβην τοῦ Μασοραίου κώδηκος καθομολογοῦσιν; Ὅτι δὲ πολλάκις καὶ τῶν περιόδων τὴν στίξιν, καὶ αὐτὰ τὰ φωνήεντα στίγματα μετατρέπουσι πρὸς ἣν ἂν αὐτογνωμόνως κρίνωσι σημασίαν (καὶ μάλιστα, ὅταν κατασκευάζωσι τὰς *ὀρθολογικὰς* αὐτῶν ἐξηγήσεις), πρόδηλον τοῖς μετερχομένοις τὰς σοφὰς αὐτῶν συγγραφὰς, εἴδομεν δὲ καί τινα παραδείγματα ἐν τοῖς προλαβοῦσι (Βιβ. Β. σελ. 771, 776). Καὶ δικαίως ἔλεγεν Οὐόσσιος, ὅτι ἡ ἑβραϊκὴ διάλεκτος μετὰ τὴν νέκρωσιν αὐτῆς οὕτως ἔσχεν ἀθλίως, ὥστε ἀπέβη οἷον ἐκμαγεῖον, κηροῦ μαλακώτερον, εἰς ὃ ἀποτυποῦσιν ἕκαστος οἱανδήποτ' ἂν σημασίαν τῶν φωνῶν βουληθῇ. Ἔπειτα, πρὸς ἄλλας μὲν ἁπάσας ἀναγνώσεις καὶ ἐξηγήσεις ὑπείξει τῶν προφητῶν ἡ γλῶσσα, καὶ δεδέξεται τὰ ἀρέσκοντα ῥαββίνοις, Μασορίταις, κριτικοῖς, παντοίοις ἑρμηνευταῖς, μόνας δ' ἀποβαλεῖ τὰς ἀναγνώσεις καὶ σημασίας, ὅσας ἔστησε μὲν ἡ αὐθεντία τῶν ἔτι ζῶσαν αὐτὴν ἐκμαθόντων Ο, ἐπεσφράγισε δὲ τὸ θεῖον κῦρος τῶν Ἀποστόλων;

§. ι. Πολὺ προέκοψε πάντως ἐπὶ τὸ κρεῖττον ἀπὸ τοῦ ιζ, αἰῶνος μέχρι καὶ καθ' ἡμᾶς ἡ διδασκαλία καὶ μάθησις τῆς ἑβραϊκῆς. Καὶ τῶν συγγενῶν τῇ ἑβραΐδι διαλέκτων ἡ παρεξέτασις καὶ βοήθεια (καὶ μάλιστα τῆς πολυπλούτου Ἀραβικῆς, τῆς Χαλδαϊκῆς, τῆς Συριακῆς, τῆς Αἰθιοπικῆς ἢ Ἀβησσινίδος, τῆς νεωτέρας Σαμαρειτανῆς, εἰ δὲ θέλεις, καὶ τῆς ἐν ὀλίγοις λειψάνοις ἐπιγραφῶν καὶ νομισμάτων σωζομένης ἀρχαίας Φοινικικῆς, καὶ τῆς ἰδίως Παλμυρικῆς, πρόσθες καὶ τῆς τερατώδους Ταλμουδικῆς), καὶ τῶν λεξικῶν ἡ ἐπὶ τὸ βέλτιον μεταῤῥύθμισις, καὶ τῆς ἐτυμολογίας ἡ σώφρων σπουδὴ, καὶ τῶν διαφόρων χειρογράφων ὁ πλοῦτος, καὶ τῶν ἀρχαίων ἑρμηνειῶν ἡ σύμφωνος μαρτυρία,

πάντα ταῦτα πολὺ συνέβαλον εἰς μεθοδικὴν τῆς ἑβραΐδος γλώσσης σπουδήν· ἀλλὰ καὶ οὕτω πολλαχοῦ τῶν σιγηρῶν λέξεων πυκνὴ παντελοῦς ἀγνοίας ἐπικάθηται λόχμη, ἣν οὐ διαπερᾷ τῆς διανοίας ἡ ἀκτὶς, πολλαχοῦ δὲ πάλιν συναντᾷ τῆς ἀμφιβολίας ὁμίχλη, καὶ πυκνὰ καὶ δύσπορα κωλύματα προσίστανται τῷ σπουδάζοντι γενέσθαι τῆς γλώσσης ἐγκρατεῖ· πῶς δ' οὐκ ἔμελλον; Μία καὶ μόνη σῴζεται Βίβλος τῆς ἀρχαίας ἑβραϊκῆς, αὐτὸς ὁ κώδηξ τῶν Γραφῶν. Ἐν δὲ ταύτῃ μόλις τὰ δύω τρίτα, φασὶ (τί δ' οὐχὶ τὸ ἥμισυ;) τῆς γλώσσης περιέχονται· πλεῖσται δὲ λέξεις, καὶ λέξεων σημασίαι, καὶ φράσεις (ὅθεν ἄν τις ἐπεγένετο βοήθεια πρὸς κατάληψιν τῶν γεγραμμένων) ἀπώλοντο. Οὐδ' ἔστιν ἄλλος ἑβραῖος ἀκμαζούσης ἔτι τῆς γλώσσης συγγραφεὺς (ἔστω καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ κανόνος τῶν θείων Γραφῶν), οὐχ' ἱστορικὸς, οὐ λεξικογράφος, οὐ γραμματικὸς, οὐ σχολιαστής. Πολλὴ δὲ καὶ τῶν σωζομένων ἑβραϊκῶν φωνῶν ἡ συνωνυμία, καὶ τούτων πάλιν οὐκ ὀλίγαι *ἅπαξ* μόνον εὑρίσκονται *λεγόμεναι* ἐν ὅλῳ τῷ κειμένῳ· καὶ ἄλλαι σπανιάκις ἀπαντῶσι, καὶ κατ' ἄλλην ἄλλοτε σημασίαν. Πρόσθες καὶ τὸ σύντονον τῆς φράσεως καὶ ἰσχυρὸν, καὶ οἷον σφυρήλατον, καὶ συνεστραμμένον καὶ ἐν ὀλίγοις πολλῶν περιεκτικὸν (διὸ καὶ πολλάκις ἀσαφὲς ἀποβαίνει τὸ ὕφος καὶ σκοτεινόν). Μηδὲ τὰ τῆς λέξεως καὶ διανοίας σχήματα παραλίπῃς, τρόπους, μεταφορὰς, ἀλληγορίας, αἰνίγματα, καταχρήσεις, μεταλήψεις, μετωνυμίας, συνεκδοχὰς, περιφράσεις, ἐπίθετα, ὑπερβατὰ, πλεονασμοὺς, ὑπερβολὰς, ἐλλείψεις, μεταθέσεις, ἀντονομασίας· καὶ πρὸ πάντων καὶ ἐπὶ πάντων, τὸ ὑψηλὸν καὶ διαβεβηκὸς καὶ μόνῃ κεκαθαρμένῃ διανοίᾳ καταληπτὸν τῶν θείων ἐννοιῶν. Ἐν πᾶσι δὲ τούτοις αἱ ἀδελφαὶ τῆς ἑβραΐδος διάλεκτοι πολλάκις σιωπῶσι, μηδὲν ἔχουσαι βοήθημα παρασχεῖν. Ἔστι δ' ὅτε κἂν αὐταῖς ταῖς συγγενέσι καὶ ταυτοφώνοις λέξεσι περιέχουσι σημασίας ὅλως ἐναντίας πρὸς τὴν ἀπαιτουμένην ἑβραϊκὴν, καὶ οὔτε κατὰ φύσιν, οὔτε μεταφορικῶς διαλλαττομένας. Ἔπειτα καὶ ἄλλως αἱ διάλεκτοι ἔχουσιν ἑκάστη

τοὺς ἑαυτῆς ἰδιωτισμοὺς, καθ' οὓς διαστέλλεται τῆς ἑτέρας. Αἱ δὲ πάλιν γραμματικαὶ καὶ τὰ λεξικὰ τῶν νεωτέρων βάσιν ἔχουσι τὰ πρῶτα ῥαββινικὰ συντάγματα· καὶ αὐτοὶ οἱ καθ' ἡμᾶς κριτικοὶ λεξικογράφοι ἐξηγοῦσι τὴν σημασίαν τῶν ἑβραϊκῶν φωνῶν ἐξ ἀνάγκης κατὰ τὴν μασοραίαν γραφὴν αὐτῶν καὶ προφορὰν, ἥτις ἀναμφιβόλως διέφερε τῆς ἀρχαίας καὶ γνησίας, ὡς ἄλλα τε πολλὰ καὶ τὰ κύρια ὀνόματα τρανῶς ἀποδεικνύουσι. Τῶν δὲ ῥαββίνων αἱ διασαφήσεις καὶ ἐξηγήσεις ληροῦσι τὰ πλεῖστα, καὶ τοῖς χρωμένοις ἀποβαίνουσι τυφλότεραι τυφλῶν ὁδηγῶν. Καὶ αὐταὶ δὲ, τέλος, αἱ μετὰ Χριστὸν ἑρμηνεῖαι πολλάκις οὐκ ἀξιόπιστον παρέχονται μαρτυρίαν τῆς βεβαίας τῶν λέξεων σημασίας, διά τε τὴν διαφθορὰν τῶν κωδήκων, ἐξ ὧν ἡρμηνεύθησαν, καὶ διὰ τὴν ἑκάστου τῶν ἑρμηνέων ἰδιάζουσαν ἕξιν· διὸ καὶ μηδὲ πρὸς ἀλλήλας ἀείποτε συμφωνοῦσιν. Ὅτι δὲ καὶ αὗται χρόνῳ τε μακρῷ καὶ πλάναις ἀντιγραφικαῖς πολλαχοῦ φαίνονται πεπονηκυῖαι καὶ σαθραὶ, τοῦτο παραλείπομεν. Ὅσον δὲ περὶ τοῦ πλούτου τῶν ἑβραϊκῶν χειρογράφων, ὧν οὐδὲν οὐδαμοῦ διέφυγε τὸν Μασοριτικὸν ξυστῆρα, καὶ περὶ τῶν διαφόρων ἀναγνώσεων τοῦ ἑβραϊκοῦ κειμένου, τί χρὴ πολλάκις παλλιλογεῖν; Ταῦτα μετὰ πληροφορίας οἴδασι καὶ ὁμολογοῦσιν ἄνδρες ἐπίσημοι καὶ τῶν προγενεστέρων καὶ τῶν νεωτέρων ἑβραϊστῶν καὶ κριτικῶν (α), καὶ ἡμεῖς αὐτῶν τὰς γνώμας συχνάκις προεμνημονεύσαμεν· οὐ τὴν μάθησιν τῆς ἑβραΐδος (ἐφ' ὅσον ἐστὶ μαθητὴ) κρίνοντες πάντῃ περιττὴν καὶ ἀνωφελῆ πρὸς τὴν γραφικὴν φιλολογίαν (ἐν ὅσῳ καὶ αὕτη σωφρονεῖ, γνωρίζουσα τὰ μέτρα τῆς δυνάμεως αὐτῆς), ἀλλ' ἀπαντῶντες πρὸς τὴν ῥαββινικὴν ὀφρὺν τῶν νεωτέρων κριτικῶν, οἵτινες ἐξαθερίζοντες τὴν ἑρμηνείαν τῶν Ο, ὡς πάντῃ διεφθαρμένην, ἐν οἷς πρὸς τὰς δόξας αὐτῶν ἀντιλέγει, φέρουσιν ὑπ' ἀγκάλαις, ἐν τῷ στήθει, ἐπὶ κεφαλῆς τὸ Μασοραῖον κείμενον, ὡς ἀρχέτυπον, πρὸς ὃ χαίνουσι πολλάκις δι' ἀκαταληψίαν, καὶ οὗ τὰς διαφθορὰς αὐταὶ

(α) Βλ. Cleric. Art. critic. P. 1. cap. 4. sect. 3. — Simonij, Hist. Crit. Vet T. L. I. c. 30, 31. καὶ L. III. cap. 2. 3.- Ackermann, Introduct. etc. §. 70.

πάλιν αὐτῶν μαρτυροῦσιν αἱ νεώτεραι μεταφράσεις. Διωρθώθησαν πολλάκις, πολλάκις μεταῤῥυθμήθησαν, καὶ ὅμως ἀείποτε πρὸς ἀλλήλας διαφωνοῦσι, καὶ ἐκ τῶν κριτικῶν εἰκασιῶν ὀλίγον ὠφελοῦνται.

§. ιχ. Ἔλεγεν ὁ περιώνυμος Βελλαρμῖνος, ὅτι « οἱ περὶ τὸν Λούθηρον μισοῦντες τὴν ἔκδοσιν τῆς Βουλγάτας, ἀπένειμαν εἰς τὴν ἑβραΐδα Γραφὴν αὐθεντίας ὑπερβολήν. — Πάντα (λέγει) θέλουσι διορθοῦν πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν, ὃ καὶ *πηγὴν καθαρωτάτην* οὐχ ἅπαξ ἐπωνόμασαν, ἀλλ' ἡ γνώμη αὕτη *ψεύδεται προφανέστατα* » (α). Ψεύδεται πάντως ἡ γνώμη, καὶ ταύτης τῆς πηγαίας μεταφορᾶς (ἣν ἄλλως ἔγραψε πρῶτος ὁ μακάριος Αὐγουστῖνος, ὡς ἐροῦμεν ἐφεξῆς) ἡ πυκνὴ κατάχρησις ἀπέβη παρὰ τοῖς σφοδροῖς Ἑβραϊσταῖς καὶ αὐτῆς τῆς ἐν τῇ πηγῇ θολερίας ἀηδεστέρα. Ἀλλ' ὅμως, πρὶν ἢ ἐκδοθῇ ἡ ἐκ τοῦ ἑβρ. εἰς τὸ γερμανικὸν Λουθήρειος μετάφρασις ὅλης τῆς Γραφῆς, καὶ πρὶν ἢ ἐπιγνωσθῇ ἡ λατινίζουσα τοῦ Μυνστέρου, ἀνεφάνη ἐν μέσῃ τῇ Ῥώμῃ ἡ νέα λατινικὴ ἑρμηνεία τοῦ μοναχοῦ Παγνίνου, ἀντιπρόσωπος σοβοῦσα, καὶ οὐκ ἐπὶ σμικροῖς οὐδ' ἐν ὀλίγοις ἀντιλέγουσα πρὸς τὴν ἐν ὅλῃ τῇ Δύσει ὡς ἱερὰν καὶ αὐθεντικὴν ἐπ' Ἐκκλησίας ἀναγινωσκομένην Βουλγάταν· καὶ περιήρχετο ἡ Παγνίνειος μετάφρασις καὶ σχολὰς καὶ οἰκίας καὶ τὰς εὐρείας αἰθούσας τοῦ Βατικανοῦ παλατίου, *κεκαλλωπισμένη*, *περικεκοσμημένη*, *ὡς ὁμοίωμα ναοῦ*, καὶ φέρουσα ἐπὶ κεφαλῆς τριῶν Παπῶν τὴν εὐλογίαν! Ἀλλὰ ταῦτα μὲν ἐχέτωσαν ὅπως καὶ ἔσχον· ὁ δ' οὖν σοφὸς Βελλαρμῖνος διεκήρυξε τὸ μασοραῖον κείμενον, οὐ καθαρὰν καὶ ἰλύος ἄκρατον, οὐδ' ἄχραντον ζῶντος ὕδατος πηγήν. Συνομολογεῖ δὲ καὶ ὁ τὰ Βελλαρμίνου πάντα πρεσβεύων ἰταλὸς Πασῖνις, « Ὅτι οὐ χρὴ τὴν Βουλγάταν ἐν πάσαις ταῖς πρὸς τὸ ἑβραϊκὸν διαφοραῖς αὐτῆς ἐσφαλμένην ἡγεῖσθαι, οὐδὲ πρὸς τοῦτο τὸ κείμενον ἀείποτε διορθοῦν. Οὐδὲ γὰρ πάντῃ καθαρὰ καὶ ἀμόλυντα τυγχάνουσι τὰ ἀντίγραφα τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ.

(α) Bellarmin. De verbo Dei. L. II. ç. 2.

ἔχουσι καὶ ταῦτα τὰς ἐν αὑτοῖς ἁμαρτάδας. Πρόσθες καὶ τῶν ἀρχαίων χειρογράφων τὰς διαφοράς. Πρόσθες τὰς διφορουμένας καὶ ἀμφιῤῥόπους σημασίας τῶν Γραφῶν. Πρόσθες, τέλος, τὴν ποικίλην τῶν ἑβραϊκῶν φωνῶν σημασίαν » κτλ. (α). Ἀλλὰ τὸ μὲν μὴ καθαρὸν τῆς μασοραίας πηγῆς μαρτυρήσουσι καὶ ἄλλοι ἐφεξῆς.

§. ιϐ. Αἱ δὲ νεώτεραι μεταφράσεις πολλαχῶς πρὸς ἀλλήλας διαφωνοῦσαι (κατὰ τὰς διαφόρους τοῦ ἑβραίου κώδηκος ἀναγνώσεις, ἐξ ὧν ἑκάτη κατεσκευάσθη), οὐ μόνον μαρτυροῦσι τὰς τούτου ποικίλας διαφθοράς, ἀλλ' ἔστιν ὅπου καὶ πρὸς νέας ὁδοποιοῦσιν, ὁσάκις οἱ μεταφρασταὶ πτωχίζουσιν, ἢ ἄλλως παραποιοῦσι τὴν σημασίαν τῶν φωνῶν πρὸς τὰς ἰδίας ἕκαστος δοξασίας. Οὕτως ὁ σφόδρα ῥαϐϐινίζων Μύνστερος, μετ' αὐτοῦ δὲ καὶ Βατάϐλης, τὸ παρὰ τοῖς Ο στερέωμα (ὡς καὶ ἡ Βουλγάτα, καὶ Λούθηρος ἡρμήνευσε, Veste) μετέφρασαν *ἔκτασιν*, ἢ *ἐκτατὸν* (expansum), διότι λέγουσι τὸ ἑβραϊκὸν ὄνομα, *Ρακια*, τοῦτο κατὰ τοὺς ῥαϐϐίνους ἐνταῦθα σημαίνει! (ἐκ τοῦ *Ρακα*, τὸ κροτῶ, κρούω, ὅθεν καὶ [κρούων] *ἐκτείνω)*· ἀλλὰ τὸ ῥῆμα δηλοῖ καὶ τὸ κρούων στηρίζω, καὶ *συγκροτῶ*, στερεῶ, (ὅπερ καὶ παρὰ Σύροις ἡ λέξις σημαίνει)· τοῦτο δ' ἡ πτωχεία τῶν ῥαϐϐίνων ἠγνόει, ἠπίσταντο δὲ ὅμως ἐκεῖνοι, οἱ καλῶς εἰδότες καὶ τὸ ἄθροισμα τῶν σημαινομένων τῆς φωνῆς, καὶ ποῦ τακτέον ἕκαστον τούτων· αὐτοὶ γὰρ οὗτοι καὶ *στερεῶ* μεθηρμήνευσαν (Ψαλ. ρλε, 6: Ἡσαΐου μϐ, 5: μδ, 24), καὶ πάλιν ἐν οἷς ἔδει μετέφρασαν τὸ ῥῆμα καὶ *ἐκτείνω* (ψαλμ. ργ, 2.)— Ἄλλο· Τὸ « *Ἐν ἀρχῇ ἐποίησε*» (Γενέσ. α, 1) ἄλλοι τε καὶ Γρότιος (Σιμωνίου συναινοῦντος) ἐξήγησαν (κατὰ γράμμα, λέγουσι, καὶ κατὰ γραμματικὴν *ἀκρίβειαν!*) « *Ἐν ἀρχῇ τοῦ ποιῆσαι* » ἀντὶ τοῦ ἀρχαιότερον = πρὸ τοῦ ποιῆσαι, πρὶν ἢ (antequam) *ποιήσῃ ὁ θεὸς* τὸν οὐρανὸν καὶ τὴν γῆν, ἡ γῆ ἦν (!) ἀόρατος»· (εὐπρόσωπος τῆς ὕλης διαιωνισμός!). — Πάλιν ἀντὶ τοῦ (« οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου) *εἰς ᾅδου*», μεταφράζουσιν «*εἰς τάφον*» ὅσοι μὴ δέχονται τὴν μετὰ ψυχῆς τοῦ

(ϐ) Pasini, De praecip. Sac. Bibliorum Linquis et version. p. 63.

θεοῦ καὶ Σωτῆρος *εἰς ᾅδου κατάβασιν*, οὕτω καὶ Παγνίνης καὶ Ἀρίας ἡρμήνευσαν (βλ. καὶ ὄπισθ. σελ. 610 καὶ 845). Ἄλλα τοιαῦτα πάμπολλα παραδείγματα παραλείπομεν. Καὶ αὐταὶ δὲ, ἃς ἐπάγουσιν οἱ κριτικοὶ, αἱ εἰκασίαι πρὸς διόρθωσιν πολλῶν προφανῶς διεφθαρμένων χωρίων τοῦ ἑβραϊκοῦ, ἐν ᾧ πρὸς ἀλλήλας πολλάκις ἀντιμάχονται καὶ διαφωνοῦσι, φέρουσι καὶ τὴν βαφὴν τοῦ φρονήματος ἑκάστου. Παραλείπομεν τὴν μέθοδον τῆς *ἑρμηνευτικῆς*, ἢ *ἐξηγητικῆς* τέχνης τῶν νεωτέρων κριτικῶν, ἣν ἐπιτηδεύουσιν οὐ μόνον οἱ ψευδίζοντες τὰς θείας Γραφὰς, ἢ γοῦν ὡς *μύθους ἠθικοὺς* αὐτὰς θεωροῦντες (παρομοίους τοῖς ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς), εἰς *ἤθους διδασκαλίαν* πεποιημένους (ὡς ἔκρινε Κάντιος ὁ φιλόσοφος), ἀλλὰ καὶ αὐτοὶ οἱ ἀπὸ τῆς τούτων προσβολῆς ὑπερασπίζοντες δῆθεν τὴν θειότητα τῶν Γραφῶν. Καὶ οὗτοι γὰρ, ὁσάκις ἐγχωρεῖ, τὰ θαυμαστὰ καὶ ὑπερφυῆ τῆς ἱερᾶς ἱστορίας ἐξανθρωπίζουσι, τῇ μὲν διδόντες τὸ πραγματικὸν, τῇ δὲ κλέπτοντες τὸ θεῖον· πρὸς δὲ τοῦτον τὸν σκοπὸν διαφθείρουσι προφανῶς καὶ τὰς ῥήσεις τῆς γραφῆς (α)· καὶ αὐτὰς δὲ τὰς τὸν θεάνθρωπον Μεσίαν προκα-

---

(α) Οὕτω, φέρ' εἰπεῖν, τὴν ἐπὶ τοῦ Ἰησοῦ διάῤῥηξιν τοῦ Ἰορδάνου ἐξηγοῦσιν ὡς ἀποτέλεσμα συμβάντος τότε σεισμοῦ, δι' ὃν χάσματος ῥαγέντος, ἐγκατέδυ τὸ ῥεῦμα τοῦ ποταμοῦ (συμβαίνουσι δὲ καὶ ποταμῶν ἐκλείψεις διὰ σεισμοὺς), καὶ πάλιν ἄλλοθί που ἀνατεῖλαν, ἐφέρετο συνήθως εἰς τὴν νεκρὰν θάλασσαν, ὅπου ποιεῖται τὰς ἐκβολάς· οὕτω δὲ τῆς κοίτης ξηρανθείσης, διῆλθεν ὁ ἰσραηλίτης λαός. Τὸ δὲ θαῦμα (λέγουσιν) ὑφίσταται οὐκ εἰς τοῦ ποταμοῦ τὴν ἀποξήρανσιν, ἀλλ' ἐν τῇ προῤῥήσει τοῦ Ἰησοῦ, προειπόντος τὴν διάβασιν (γ, 5). Ταῦτα διεσάλπισαν ἄλλοι τε καὶ Σχοῦλζης (Shol. in Ἰησ. αὐτ.), ἀντέγραψε δὲ καὶ Ἰάννης (Iahn, Einleit. 2. Bd. p. 172). Ὅτι δὲ (λέγουσι, Σχοῦλζ.) γέγονε τότε σεισμὸς, δείκνυται χωρὶς πάσης ἀμφιβολίας ἐκ τοῦ ριγ (ἑβρ. ριδ) ψαλμοῦ (στίχ. 3, 7) »! Ταῦτα σεμνῶς διατείνονται, ἐξ αὐτῶν τῶν Γραφῶν ἐπεχειροῦντες, τουτέστι συντρίβοντες τὴν Γραφὴν δι' αὐτῆς τῆς Γραφῆς. Ἀλλ' ἴδωμεν τί λέγει τὸ θεῖον κείμενον·

α) Διὰ σεισμὸν λέγουσι χανούσης τῆς γῆς ἐγκατεβυθίσθη ὁ ῥοῦς τοῦ ποταμοῦ. Ἀλλ' ἴδε τί γέγραπται ἐν τῷ Ἰησοῦ (γ, 16). «Καὶ ΕΣΤΗ τὰ ὕδατα τὰ καταβαίνοντα ἄνωθεν, ΕΣΤΗ πῆγμα ἓν (ἄλλ. σωρὸς εἷς) ἀφεστηκὸς μακρὰν σφόδρα· — τὸ δὲ καταβαῖνον «(δηλονότι τὸ ῥεῦμα τὸ ἀποκοπὲν)» κατέβη εἰς τὴν θάλασσαν, ἕως εἰς τὸ τέλος ἐξέλιπε . . . καὶ διέβησαν διὰ ξηρᾶς». Τοῦτον τὸν σωρὸν, ἢ τὸ πῆγμα τῶν ὑδάτων, καὶ τὸ ΕΣΤΗ, δὶς ἐν τῷ ἱερῷ κειμένῳ γεγραμμένον, πῶς οὐκ εἶδον οἱ τὸν ποταμὸν εἰς σεισμογενῆ χάσματα

ταγγελλούσας προφητείας ἀνάγουσιν, ὡς ἐπὶ τὸ πλεῖστον, εἰς ἄλλας ἱστορικὰς ὑποθέσεις κατὰ τὴν ἑρμηνείαν τῶν ῥαββίνων. Ἀλλὰ

καταχωννύντες, καὶ μεταφέροντες εἰς τὴν Παλαιστίνην ἀντὶ τοῦ Ἰορδάνου τὸν Ἐρασῖνον ποταμὸν τῆς Πελοποννήσου; β) Τὸ θεῖον κείμενον λέγει. «Καὶ ἐγένετο ὡς ἐξέβησαν» (οἱ διαβάντες), «καὶ ἔθηκαν τοὺς πόδας ἐπὶ τῆς γῆς, ὥρμησε τὸ ὕδωρ τοῦ Ἰορδάνου κατὰ χώραν, καὶ ἐπορεύετο, καθὰ χθὲς καὶ τρίτην ἡμέραν, δι' ὅλης τῆς κρηπῖδος» (Ἰησ. δ, 18). Ποῦ τὸ χάσμα; — γ). Τὸ θεῖον κείμενον κηρύττει διαῤῥήδην τὸ θαῦμα γεγονὸς ἐν τῇ ξηρᾷ διαβάσει τοῦ ποταμοῦ· «Ἀναγγείλατε τοῖς υἱοῖς ὑμῶν, ὅτι ἐπὶ ξηρᾶς διέβη Ἰσραὴλ τὸν Ἰορδάνην τοῦτον, ἀποξηράναντος Κυρίου τοῦ θεοῦ τὸ ὕδωρ . . . μέχρις οὗ διέβησαν, καθάπερ ἐποίησε Κύριος ὁ θεὸς ἡμῶν τὴν ἐρυθρὰν θάλασσαν, ἣν ἀπεξήρανε Κύριος, — ἕως παρήλθομεν· ὅπως ἂν γνῶσι πάντα τὰ ἔθνη τῆς γῆς, ὅτι ἡ δύναμις τοῦ Κυρίου ἰσχυρά ἐστιν» (δ, 22—24). Ἀλλ' εἰ μὲν οἱ ἄπιστοι τὴν δύναμιν τοῦ Κυρίου οὐκ ἔγνων, αὐτοὶ ὄψονται. Τὸ δὲ τοὺς τὰς θείας Γραφὰς, ᾗ τοιαύτας, ἑρμηνεύοντας καὶ διασαφοῦντας, ἀναφέρειν εἰς σεισμοὺς καὶ φυσικὰς αἰτίας τὸ ῥητῶς καὶ κατὰ λέξιν ὡρισμένως ἱστορούμενον ὡς ἄμεσον τῆς θείας δυνάμεως ἔργον, τοῦτο πῶς οὐ δεινὸν καὶ πέραν δεινοῦ; δ) Ὅτι γέγονε σεισμὸς ἐν τῇ διαβάσει τοῦ Ἰορδάνου, φέρουσι μάρτυρα τὸν ριγ ψαλμὸν (στίχ. 3, 7). Ἀλλ' ἰδοὺ τί λέγει ὁ ψαλμός. «Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. — Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ». Λέγει λοιπὸν ὁ ψαλμὸς (κατ' αὐτοὺς), ὅτι ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, διότι ἐσαλεύθη ἡ γῆ. Καὶ ὅτι μὲν ἐν προοιμίοις τοῦτο τὸ ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω ἐξελέγχει ψευδομένους τοὺς εἰς βάραθρον αὐτὸν καταχωννύντας, τοῦτο πάντως οὐδ' ἂν αὐτοὶ ἀρνηθεῖεν. Ἐκεῖνο δὲ μόνον ἡμεῖς σημειοῦμεν, ὅτι βαρέως οἱ ἄνδρες ἐσφάλησαν, καὶ περιέπεσαν ἐν ἀμφιβλήστρῳ τῆς ἑαυτῶν ἐπινοίας, παρεξηγοῦντες τὸν ψαλμῳδόν. Οὗτος λέγει (καθὼς αὐτοὶ θέλουσιν), ὅτι ἡ θάλασσα (ἡ ἐρυθρὰ) εἶδε καὶ ἔφυγε (διασχισθεῖσα ἐπὶ τῆς Ἐξόδου), καὶ εὐθὺς ἐπισυνάπτει, «ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω», ἔπειτα ἐπάγει τὸ «τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ ἐσαλεύθη ἡ γῆ», φανερὸν λοιπὸν, ὅτι τόν τε σάλον τῆς γῆς καὶ τὸ σκίρτημα τῶν ὀρέων ἀναφέρεται ἀπὸ κοινοῦ εἴς τε τὴν φυγὴν τῆς θαλάσσης καὶ τὴν εἰς τὰ ὀπίσω τοῦ Ἰορδάνου στροφήν· διὰ τί λοιπὸν οἱ σοφοὶ μόνην τὴν στροφὴν τοῦ Ἰορδάνου ἀπονέμουσιν εἰς τὸν σεισμὸν, τὴν δὲ φυγὴν τῆς θαλάσσης σιωπῶσι; διὰ τί ἄλλο; ἢ ἵνα διαφύγωσι τὸν ἐκ τούτου παρεπόμενον ἔλεγχον τοῦ σοφίσματος· ὡς γὰρ ἡ ἐρυθρὰ θάλασσα οὐκ ἀπὸ σεισμοῦ, διὰ δὲ τῆς Μωσέως ῥάβδου διετμήθη («Ἔπαρον τὴν ῥάβδον σου . . . ἐπὶ τὴν θάλασσαν, καὶ ῥῆξον αὐτήν». Ἐξόδ. ιδ, 16), οὐδ' ὁ Ἰορδάνης λοιπὸν ἐστράφη εἰς τὰ ὀπίσω, διότι ἐσαλεύθη ἡ γῆ, ὡς οὐδὲ διὰ τὸν σάλον γῆς ἀνέῤῥηξεν ὑδάτων πηγὰς καὶ λίμνας ἡ πέτρα· λέγει γὰρ ὁ προφήτης εὐθύς. «Ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ. — τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων». Εἰς ἄλλον ὁ προφητάναξ χρόνον ἀναφέρει καὶ τὸν σάλον τῆς γῆς, καὶ τὸ σκίρτημα τῶν ὀρέων· ποῖον; αὐτὸς ἡμῖν εἰπάτω. «Γῆ ἐσείσθη,

τὰ μὲν ἰδίως τὴν ἑρμηνευτικὴν τῶν καινοτόμων κριτικῶν ἀφορῶντα ἐκτός ἐστι τῆς προθέσεως.

ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ Σινά» (ψαλμ. ξζ, 8), καὶ μαρτυρεῖ Μωσῆς (Ἐξόδ. κ, 18), καὶ ἡ προφῆτις Δεβῶρα. «Κύριε ἐν τῇ ἐξόδῳ σου ἐν Σηεὶρ γῆ ἐσείσθη» κτλ. (Κριτ. ε, 4, 5. καὶ ψαλμ. ξζ, 7. πρβλ. Ἀββακ. γ, 6). Ἑρμηνεύουσι δὲ καὶ οἱ θεοφόροι πατέρες ἡμῶν· «Οἱ βουνοὶ καὶ τὰ ὄρη ἐκινήθη, ἅτε δὴ τῶν οὐρανῶν τὸν δεσπότην δεξάμενα· λέγει δὲ τὸ Σινὰ ὄρος καὶ τὸ Χωρήβ· (Θεοδώρητος ἑρμηνείᾳ εἰς ψαλμὸν ριγ. Ταύτην τὴν ἑρμηνείαν ἀντέγραψαν καὶ οἱ πλεῖστοι τῶν νεωτέρων κριτικῶν, Γρότιος, Δρούσιος, καὶ ἄλλοι, καὶ Ῥοδομύλλερος, Σχολ. εἰς τὸν ψαλμ. αὐτόθ.). Δείκνυσι δὲ τὸ πρᾶγμα καὶ αὐτὴ ἡ ἀκολουθία τῶν λόγων τοῦ ψαλμοῦ. Ἐν τούτῳ γὰρ ὁ ἱεροψάλτης διεξέρχεται τὰ μέγιστα τῶν κατὰ τὴν ἔξοδον τοῦ Ἰσραὴλ θαυμασίων τοῦ θεοῦ· 1) τὴν τεράστιον διάβασιν τῆς ἐρυθρᾶς καὶ τοῦ Ἰορδάνου (στίχ. 3). 2) τὴν (ἐπὶ τοῦ Σινὰ) ἐπιφάνειαν τοῦ ὑψίστου νομοθέτου (στίχ. 4, 6, 7)· 3) τὴν ἐκ τῆς ἀκροτόμου πέτρας ἀναῤῥαγεῖσαν τῶν ὑδάτων πηγὴν (στίχ. 8). Συνάπτει δὲ ταῦτα ἀθρόα καὶ συντόνως διὰ τῆς καλλίστης, καὶ θείων ἐννοιῶν μεστῆς προσωποποιΐας, καὶ οὕτω διὰ τῶν κεφαλαίων τῆς τυπικῆς ἱστορίας τῆς ἐξόδου τῶν Ἰσραηλιτῶν προδιαγράφει τὴν χάριν καὶ τὴν ἀλήθειαν τῶν κατὰ τὸν νέον Ἰσραὴλ θαυμασίων τοῦ ἐν σαρκὶ ἐπιφανέντος θεοῦ, καὶ αὐτοῦ δὲ τοῦ Ἰορδάνου τὴν δόξαν τὴν πολυΰμνητον (βλ. Ἡσαΐ. λε, 2). Ἴσασι ταῦτα οἱ μεμυημένοι!—Πάλιν ἐν αὐτῷ τῷ θεοπνεύστῳ τεύχει τοῦ Ἰησοῦ οἱ κριτικοὶ τὸ Στήτω ὁ ἥλιος (κεφ. Ι, 12—13) ἄτοπον εὑρίσκουσι καὶ ἀδύνατον, εἴ τις κατὰ γράμμα τοῦτο λαμβάνοι. Εἰ γὰρ ἵστατο (φησὶν) ὁ ἥλιος, πάντες ἂν οἱ φωστῆρες καὶ πλανῆται τοῦ ἡλιακοῦ συστήματος αὐθωρὸν ἀνετρέποντο. Ἔκφρασιν λοιπὸν φαντασιώδη καὶ ποιητικὴν ὀνομάζουσι τὴν διήγησιν, ἣν πρῶτος (φασὶν) ἔγραψεν ὁ ποιητὴς τοῦ Βιβλίου τοῦ Εὐθοῦς, (Ἰησ. 1, 13), μέγεθος περιτιθεὶς εἰς τὴν ἐπὶ πολὺ κατὰ τῶν πολεμίων διαρκέσασαν μάχην τοῦ Ἰησοῦ, ἐκεῖθεν δὲ καὶ εἰς τὴν Ἰησοῦ βίβλον μετεγράφη. Τοιαῦται δὲ ποιητικαὶ διαγραφαὶ καὶ ἀλλαχοῦ τῶν θείων βιβλίων ἀπαντῶσιν, ἄλλαι τε καὶ ἡ Ἀββακοὺμ (γ, 11). Τοιαῦτα ὁ κλεινὸς Ἰάννης, καὶ πολὺ πρότερον αὐτοῦ οἱ Βολιγγοβρῶκαι καὶ Βολταῖροι, καὶ ἄλλοι βαθεῖς τῆς φύσεως τῶν ὄντων ἱεροφάνται, τοὺς μὲν τῆς φύσεως νόμους εἰδότες, τὴν δὲ παντοδυναμίαν τοῦ τούτους θέντος δημιουργοῦ μὴ εἰδότες, ὡς ἔοικε (βλ. Φωτ. Ἀναγν. σκβ.) Ἀλλὰ καταλείποντες αὐτοὺς τυφλώττοντας ἑκουσίως, θεωροῦμεν τὴν ἱστορίαν αὐτήν. α) Ποῖον τὸ Βιβλίον τοῦτο τοῦ Εὐθοῦς, προείπομεν (σελ. 549). Τὸ δ' ἐκ τούτου μεταγράφειν τὸ θαῦμα κἂν τῷ τεύχει τοῦ Ἰησοῦ, τοῦτ' ἔστιν ὅπερ ἐλέγομεν, διαφθείρειν τὴν Γραφὴν διὰ τῆς Γραφῆς. β) Αὐτὸς (ὃν μνημονεύουσιν) ὁ προφήτης Ἀββακοὺμ ἀνακηρύττει τὸ Στήτω ὁ ἥλιος καὶ ἡ σελήνη· λέγων «Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς» (ὅτι δὲ δι' ὅλης τῆς ᾠδῆς ταύτης ὁ θεῖος προφήτης λαμπρῶς τὴν ἐπιφάνειαν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν προκαταγγέλλει, καὶ τοῦτο ἴσασιν οἱ μεμυημένοι· μάτην δὲ πονοῦσιν οἱ μόνον κατὰ γράμμα τὴν ᾠδὴν ἀγωνιῶντες κατὰ τοὺς ῥαββίνους ἐξηγεῖν). Ὥστε βαρὺν καθ' ἑαυτῶν ἐπήγαγον μάρτυρα τὸν προφήτην. γ) Οὐδεμία οὔτε μετα-

§. ιγ. Περὶ δὲ τῆς πολλῆς πολλαχοῦ τῶν νεωτέρων ἐκ τοῦ Μασοραίου κειμένου μεταφράσεων ἐπικρατούσης διαφωνίας, (ἥτις

φορὰ, οὔτε τρόπος, ἢ ἄλλο σχῆμα ποιητικὸν ἔγκειται ἐν τῇ ἱστορίᾳ, ἀλλ' ἁπλοϊκῶς καὶ ἐναργῶς ἱστορεῖται τὸ θαῦμα. « Καὶ ἔστη, φησὶν, ὁ ἥλιος καὶ ἡ σελήνη ἐν στάσει, καὶ ἔστη ὁ ἥλιος κατὰ μέσον τοῦ οὐρανοῦ. οὐ προεπορεύετο εἰς δυσμὰς, εἰς τέλος ἡμέρας μιᾶς· καὶ οὐκ ἐγένετο ἡμέρα τοιαύτη οὐδὲ τὸ πρότερον οὐδὲ τὸ ἔσχατον». δ) Ἀδύνατον ὑπῆρχε πλασθῆναι τοιοῦτο ψεῦδος κατέναντι τοσούτων μυριάδων λαοῦ, τῶν ἐν διπλῶς σταθερᾷ μεσημβρίᾳ ἰδόντων τὸ θαῦμα, καὶ παραδόντων τοῖς ἐπιγενομένοις Καὶ αὐτὸ δὲ τὸ βιβλίον τοῦ Ἰησοῦ μετὰ τὴν Πεντάτευχον ὡς θεόπνευστον ἐσέβοντο καὶ ἀνεγίνωσκον ἔτι καὶ ἐπὶ τῶν Κριτῶν (ὡς δείκνυται τρανῶς ἐκ πολλῶν χωρίων τοῦ Ἰησοῦ πρὸς τὰ τῶν Κριτῶν παραβαλλομένων)· μαρτυρεῖ δὲ καὶ ὁ προφήτης Δαβὶδ, ὅστις μνημονεύει τὸ θαῦμα τοῦ Ἰορδάνου (καθὼς προείπομεν), ἐκ τοῦ Ἰησοῦ πάντως λαβών ε) Ὁ Σειρὰχ, ἀπώτατος ἀπόγονος τῶν ἰδόντων τὸ θαῦμα, καὶ πολλάκις ἀναγνοὺς τὴν τούτου ἱστορίαν ἐν τῷ κατ' αὐτὴν τὴν Συναγωγὴν, ὡς θείῳ καὶ κανονικῷ, τιμωμένῳ τεύχει τοῦ Ἰησοῦ (οὐχὶ πάντως ἐν τῷ ποιήματι τοῦ Εὐθοῦς!) μετὰ πάσης βεβαιότητος ἐρωτᾷ· « Οὐχὶ ἐν χειρὶ αὐτοῦ (τοῦ Ἰησοῦ) ἀνεπόδισεν ὁ ἥλιος καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο;» (Σ Σειρ. μς, 4). ς) Τελευταῖον, ἐπειδὴ καὶ Γαβαωνῖται « ἐδούλευον ὡς ξυλοκόποι καὶ ὑδροφόροι τοῦ θυσιαστηρίου τοῦ θεοῦ » (Ἰησ. θ, 27), παρίστασαν καὶ μάρτυρες ἐκ τῶν ἀρχαίων ἐθνῶν, ὅσα παραλαβόντα τὴν τοῦ θαύματος φήμην, ἔπλαττον ἐξ αὐτῆς καὶ παρ' ἑαυτοῖς τοιαῦτα παράδοξα. Οὕτως ἐν τοῖς Σινῶν χρονικοῖς ἱστορεῖται, ὅτι ἐπὶ τοῦ Ὑάω (ἑβδόμου βασιλέως) ὁ ἥλιος ἔστη ἑπτὰ κατὰ σειρὰν ἡμέρας ἐπὶ τοῦ ὁρίζοντος (Martin Martini, hist. de la Chine. L. 1. p. 135). Ὁ δὲ περιβόητος Βολταῖρος προσέθηκε καὶ τὸν Διόνυσον παρ' Ἕλλησι μυθευόμενον, ὅτι ἔστησε τὸν ἥλιον καὶ τὴν σελήνην· ἠγνόει δὲ ἄρα ὁ λῆρος οὗτος πόσον νεώτερα τῶν Ἰησοῦ χρόνων εἰσὶ τὰ κατὰ Διόνυσον. Κἀκεῖνος μὲν ἠρνεῖτο παῤῥησίᾳ τὴν ἀλήθειαν τῶν θείων Γραφῶν. Ἀλλ' οὐχ ἧττόν εἰσι πολέμιοι καὶ ὅσοι, καθ' οὓς εἴπομεν τρόπους, ὑπερασπίζονται δῆθεν τὰς Γραφὰς ἐβδελυγμένῳ λάρυγγι. Μῦθον ἐν γένει ὀνομάζουσι πᾶσαν ὑπόθεσιν τῆς ἱερᾶς ἱστορίας (καθὼς ὁ Ἀριστοτέλης ὀνομάζει μῦθον τὴν ὑπόθεσιν, ἢ πρᾶξιν τοῦ δράματος, τουτέστι διήγησιν ἐκ τῆς σκοτεινῆς ἱστορίας τῶν ἀρχαίων αἰώνων κατερχομένην, καὶ περιβεβλημένην ὄγκον πλασμάτων ποιητικῶν)· « Εἴπερ (λέγει ὁ Παρὼς) ὁ κατακλυσμὸς τοῦ Δευκαλίωνος ὑπῆρξε πραγματικῶς μετὰ πλασμάτων ἐπηυξημένος, τί μὴ τοιοῦτος ἦν καὶ ὁ τοῦ Νῶε; Ἀλληγορεῖται τῶν Ὁμηρικῶν θεῶν ἡ μάχη· παρομοία τις ἀλληγορία καὶ ἡ πάλη τοῦ Ἰακὼβ, ἣν ἐπάλαισε μετὰ θεοῦ (Γεν. λβ, 24). Ἡ πετρωθεῖσα Νιόβη παρεμφερὴς πρὸς τὴν εἰς στήλην ἅλὸς μεταμορφωθεῖσαν γυναῖκα τοῦ Λώτ. Ἡ λαλιὰ τῆς ὄνου Βαλαάμ, πρὸς τὴν τοῦ ἵππου τοῦ Ἀχιλέως (Ἰλ. Τ. 404). Ἡ δὲ πυξὶς τῆς Πανδώρας πρὸς τὴν πολυπραγμοσύνην τῆς Εὔας » (Pareau, Instit· interpr. V. Test. pag. 260). Τοιαῦτα οἱ κλεψίσοφοι! παρόμοια ποιοῦντες, ὡς καὶ εἴτις φορτικάς τινας ζωγραφίας παραβάλλοι ὡς ἰσοτίμους πρὸς αὐτὰ τὰ ζῶντα πρόσωπα, ὧν ἐγένοντο μιμήσεις ἀφυεῖς.

ἔμελλε παρέψεσθαι πάντως διὰ τὴν φθορὰν μάλιστα αὐτοῦ τοῦ ἑβραϊκοῦ), ἀλγεῖ πᾶς τις τῶν θεοφιλῶν καὶ λυπεῖται, βλέπων οὕτω παρὰ τοῖς χριστιανοῖς διεῤῥηγμένον τὸν χιτῶνα τοῦ θείου λόγου. Ψέγουσιν οἱ Δυτικοί, ἄλλοι τε πολλοὶ καὶ ὁ σοφὸς Πεζρώνιος, τοὺς περὶ τὸν Παγνίνην, ὡς ἀντιστρατευσαμένους ἐναντίον τῆς γερασμίας Βουλγάτας (περὶ ἧς οὐδ᾽ αὐτὸν τὸν μακάριον Ἱερώνυμον ἐπῄνεσαν πονούμενον οἱ περὶ τὸν ἱερὸν Αὐγουστῖνον καὶ Ῥουφῖνον). Ψέγουσι δὲ καὶ τὰς νεωτέρας τῶν Διαμαρτυρουμένων μεταφράσεις, παραβάλλοντες πρὸς στάθμην κριτικήν. Πρὸς ὁμοίαν στάθμην παρεξετάζοντες καὶ τὴν παρὰ τοῖς Δυτικοῖς αὐθεντικὴν Βουλγάταν, καὶ τὰς ἄλλας τὰς νεωτέρας παρ᾽ αὐτοῖς ἑρμηνείας, ἀντιψέγουσιν οἱ Διαμαρτυρούμενοι. Καὶ τούτων δὲ πάλιν αἱ πολυσχιδεῖς ἑρμηνεῖαι διαφέρουσι πρὸς ἀλλήλας, καὶ μηδὲ πρὸς αὐτῶν ἀκούουσι καλῶς. «Ἐὰν (ἔλεγεν ὁ Λούθηρος πρὸς τὸν καινοτομώτερον

Τί δὲ πλέον; καὶ εἰς ὄνειρα μεταβάλλουσι τὴν θεόπνευστον ἱστορίαν. Οὕτως ὁ Ἰάννης *ἐπιφέρων μάρτυρα καὶ Καϊετανὸν τὸν Καρδινάλιν, (ἐπελάθετο δὲ τοῦ πρωτοδιδασκάλου ῥαββὶ Ἀβαρβανήλου), διέγραψεν ἡμῖν τὸ τῆς Εὔας ἐνύπνιον, ὅπερ εἶδεν ἐναργῶς κοιμωμένη πλησίον τοῦ ἀπηγορευμένου ξύλου τῆς γνώσεως, ὅτι δῆθεν διελέγετο πρὸς αὐτὴν ὄφις ἀπὸ τοῦ δένδρου τὰ ἱστορούμενα.* (Γεν. γ. 1—16). *Διϊπνυσθεῖσα δὲ ὑπὸ κρότου ὄφεως κατὰ τύχην ἀνέρποντος ἐπὶ τοῦ δένδρου, ἐξέλαβεν ὡς ἀληθινὴν τὴν ἔναγχος ἐν τῇ ψυχῇ προσμαχθεῖσαν τύπωσιν τοῦ ἐνυπνίου, καὶ λαβοῦσα ἔφαγεν ἀπὸ τοῦ καρποῦ!* (Iahn, Einleit. 2. Bd. p. 117, καὶ Criticor. Sacror. vol. IX. p. 2612). *Καὶ καθ᾽ ὕπνον λοιπὸν ἡ ἀπειρόκακος Εὔα ἐφαντάσθη πάντας τοὺς δολεροὺς τοῦ ὄφεως λόγους, καὶ μάλιστα τὰ ἐν στίχῳ* 5 (*ὅτι, φαγόντων τοῦ συζύγου καὶ αὐτῆς ἀπὸ τοῦ καρποῦ, «διανοιχθήσονται αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἔσονται ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν»!*). *Ἀλλὰ πρὸς ταῦτα οὐδ᾽ αὐτὸς ὁ Σχούλζης ὑπέμεινε, μυσαχθεὶς ὡς ἀποτρόπαιον τὸ λήρημα* (Schulz, Schol. in Genes. l. c.). Ταῦτα, *φίλη τῶν ὁμογενῶν νεολαία, χάριν ὑμῶν γράφομεν, παρατείναντες τὴν σημείωσιν, ὅπως, ἐάν ποτε τυχόν, ἢ αὐτοὶ εἰς τοιαύτας ἐμπέσητε βίβλους, ἢ καὶ ἄλλους ἀκούσητε ψιττακίζοντας τοιαύτας κακοδιδασκαλίας, μὴ θροῆσθε· «Μένετε δ᾽ ἐν οἷς ἐμάθετε καὶ ἐπιστώθητε»· τοῦτο βεβαίως εἰδότες, ὅτι πάντα τὰ κατὰ τῶν θείων Γραφῶν τοξευόμενα σοφίσματα καταθλᾷ καὶ συντρίβει «ἡ μάχαιρα τοῦ* Πνεύματος» *αὐτὸ τὸ ῥῆμα τοῦ θεοῦ, ἡ παγκρατὴς ἀλήθεια τῆς Γραφῆς, ὡς ἴδετε καὶ ἐπὶ τῶν ἐκτεθέντων παραδειγμάτων.* "*Ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια*". "*Καὶ οἱ* Πατέρες *ἡμῶν ἀνήγγειλαν ἡμῖν*".

Ζβίγγλιον) « Ἐὰν ἐπὶ μακρότερον διαρκέσῃ οὗτος ὁ κόσμος, ἔσται πάλιν ἀναγκαῖον, ἵνα, διὰ τὰς διαφόρους ἑρμηνείας τῆς Γραφῆς (ὅσαι τανῦν ὑπάρχουσιν), εἰ μέλλομεν διατηρήσειν τὴν ἑνότητα τῆς πίστεως, μεταφέρωμεν ψηφίσματα Συνόδων, καὶ καταφύγωμεν πρὸς αὐτάς ». Πόσαι δὲ καὶ πόσῳ διάφοροι μετ᾽ ἐκείνους ἄλλαι πάλιν ἀνεφύησαν! Καὶ Δυτικοὶ καὶ Διαμαρτυρούμενοι ἐν ταῖς κατ᾽ αὐτοὺς Ἐκκλησίαις καὶ τελεταῖς ἄλλως ἀναγινώσκουσι τὰς ῥήσεις τῶν προφητῶν κατὰ τὴν παρ᾽ αὐτοῖς ἑβραΐζουσαν μετάφρασιν, καὶ ἄλλως ἐν τῇ καινῇ Διαθήκῃ· ἐκεῖ, καθὼς ἔγραψαν οἱ ῥαββῖνοι καὶ Μασορῖται· ὧδε, καθὼς ἔγραψαν αὐτὰς οἱ Ἀπόστολοι. Ἡ δὲ πάντολμος Κριτικὴ (περὶ ἧς καὶ αὐτοὶ τῶν κριτικῶν οἱ ἐπισημότατοι, ὅταν διὰ φιλόκαινον κενοδοξίαν ὑπερβαίνῃ τοὺς ὅρους τῆς μετριοφροσύνης, ἀγανακτοῦσι) (α), *σοφίας ἐπ᾽ ἄκροις πατοῦσα*, καὶ τὰς θείας βίβλους ὡς ἀνθρωπίνους μεταχειριζομένη, νῦν μὲν τιταίνει τὰ κατ᾽ αὐτὴν θεμιστοῦχα ζυγὰ, σταθμίζουσα καὶ διορθοῦσα πάσας τὰς μεταφράσεις πρὸς τὸ μασοραῖον κείμενον, ὡς ἀρχέτυπον, ἢ καὶ τοῦτο πρὸς ἐκείνας· νῦν δὲ πάλιν καὶ τοῦτο κἀκείνας ἐξουθενεῖ! Καὶ ὅλως ἡ σπουδὴ καὶ μελέτη τῶν Διαθηκῶν τοῦ ὑψίστου *Βασιλέως τῆς εἰρήνης*, ἀπέβη σύγχυσις γλωσσῶν πυργοποιούσης Βαβυλῶνος! Μόνη ἡ Ὀρθόδοξος Ἐκκλησία βεβηκυῖα ἐφ᾽ ἧς ᾠκοδόμηται πέτρας, καὶ κρατοῦσα στεῤῥῶς τὰς Γραφὰς, ἃς παρέλαβε, καὶ ὡς παρέλαβε παρὰ τῶν Ἀποστόλων τῆς αἰωνίου Ἀληθείας, καὶ ταύτας ὡσαύτως μεταδοῦσα καὶ πάσαις ταῖς ὑπ᾽ οὐρανὸν Ἐκκλησίαις, διάγει γαλήνιος καὶ εἰρηναία, τρέφουσα μὲν τὰ ἴδια τέκνα τῷ ἀδόλῳ γάλακτι τῶν ψυχοτρόφων μαζῶν τῶν δύω Διαθηκῶν τοῦ Θεοῦ, βλέπουσα δὲ κάτω που στροβούμενον τὸν κονίσαλον τῆς Μασόρας, καὶ κυμαίνοντα τὸν σάλον τῶν τε παντοδαπῶς διαφωνουσῶν μεταφράσεων τῶν Γραφῶν, καὶ τῶν ἐκ τούτου πικρῶς ἀναφυομένων περὶ τὰ θρησκευτικὰ φρονήματα διχονοιῶν. Καὶ

(α) Βλ. Ἰοδόκου Ἡρίγγα (Iodoc. Heringa) **Disputatio de usu et abusu Criticae Sacrae**, in Hagan. Societatis operibus, edit. an. 1793. πρβλ. Amersfoordt, Diss. phil. de var. Lect. pag. 37.

οὐ διαλείπει νυκτὸς καὶ ἡμέρας εὐχομένη πρὸς τὸν *Σωτῆρα πάντων ἀνθρώπων καὶ μάλιστα πιστῶν*, καὶ παρ᾽ αὐτοῦ, τοῦ *ποιήσαντος τὰ ἀμφότερα ἓν, αἰτουμένη τὴν ἑνότητα τῆς πίστεως* καὶ τὴν *κοινωνίαν τοῦ ἁγίου πνεύματος* μετὰ πάντων τῶν ὀνομαζόντων τὸ ὄνομα Κυρίου, καὶ πιστευόντων εἰς Χριστὸν, *κατὰ τὰς Γραφάς*. Καὶ ταῦτα μὲν οὕτως. Ἡμεῖς δ᾽ ἀποδόντες τὸν περὶ τῶν νεωτέρων μεταφράσεων λόγον, ὅτι καὶ ἐξ αὐτῶν ἀποδείκνυται τὸ διεφθορὸς τοῦ Μασοραίου κειμένου, μεταβαίνομεν εἰς τὸ ἐφεξῆς κεφάλαιον, ἐπιφέροντες περὶ τούτου καὶ μάρτυρας ἀξιοπίστους ἀρχαίους καὶ νεωτέρους.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ.

Μαρτυρίαι παλαιῶν καὶ νεωτέρων περὶ τῆς κατὰ τόπους ἀκουσίας τε καὶ ἑκουσίας διαφθορᾶς τοῦ μετὰ Χριστὸν ἑβραϊκοῦ κειμένου· καὶ εἴποτε ἐκύρωσε τοῦτο ἡ Ἐκκλησία.

§. α. Μεγάλην πρὸς ἀπόδειξιν παντὸς πράγματος ἔχουσιν ἰσχὺν καὶ αἱ μαρτυρίαι. Ὅθεν καὶ ἡμεῖς τελευταῖον ἔλεγχον τῆς τοῦ καθ᾽ ἡμᾶς ἑβραϊκοῦ φθορᾶς ἐπιφέρομεν μάρτυρας τοὺς πιστοτάτους, ὃ καὶ Μορῖνος καὶ Πεζρώνιος καὶ Κεννικῶτος ἐποίησαν (α).

§. β. Διαιροῦμεν δὲ τοὺς μάρτυρας τούτους εἰς δύω τάξεις· α) Ἰουδαίους, καὶ β) Χριστιανούς· καὶ τούτων ἑκατέρους ἐκτιθέμεθα κατὰ χρονολογίαν, ἀπὸ τοῦ πρώτου μετὰ Χριστὸν αἰῶνος μέχρι τῶν ἡμετέρων ἡμερῶν.

Α. Μαρτυρίαι Ἰουδαίων.

§. γ. Φίλων καὶ Ἰώσηπος (τῷ 40–95 μ. Χ.). Ἀμφότεροι οὗτοι διεβεβαίουν ἐνώπιον ἁπάντων τῶν αὐτοῖς συγχρόνων Ἰουδαίων καὶ τῆς κατ᾽ αὐτοὺς Συναγωγῆς, ὅτι αἱ ἑβραϊκαὶ Γραφαὶ ὑπῆρ-

(α) Morin. Exercit. Bibl. L. I. Exerc. I.— Pezron, Defense de l'Antiquit. pag. 131. — Kennicot. Diss. II. p. 215—283. καὶ Dissert. Gener. p. 15—278.

χον σύμφωνοι κατὰ πάντα μετὰ τῆς ἑρμηνείας τῶν Ο. Ὁ πρῶτος εἶπεν « *ἀμφοτέρας τὰς Γραφὰς ὡς ἀδελφὰς, μᾶλλον δὲ ὡς μίαν καὶ τὴν αὐτὴν προσκυνουμένας* ». Ὁ δ᾽ Ἰώσηπος ἱστορῶν τὴν ὑπὸ τῶν Ο μετάφρασιν τῆς θείας Γραφῆς, παρίστησι τοὺς ἐπισημοτάτους μετὰ παντὸς τοῦ πλήθους τῶν Ἀλεξανδρινῶν Ἰουδαίων ἀνακηρύττοντας τὴν πρὸς τὸ πρωτότυπον συμφωνίαν τῆς ἑρμηνείας « *Ἠξίωσάν τε πάντες, . . . ἐπεὶ καλῶς τὰ τῆς ἑρμηνείας ἀπήρτισται, καὶ διαμεῖναι ταῦτα ὡς ἔχει, καὶ μὴ μετακινεῖν αὐτά* ». Ταῦτα πανδήμως οὗτοι οἱ ἐνδοξότατοι τῶν κατ᾽ αὐτοὺς λογίων Ἰουδαίων διεκήρυξαν· ἀντεῖπε δ᾽ αὐτοῖς οὐδείς. Οἱ δ᾽ αὐτοὶ ἰδίως καὶ τὸ κείμενον τὸ ἑβραϊκὸν μέχρι κατ᾽ αὐτοὺς ἀκέραιον καὶ ἄχραντον διαμένον ὡμολόγησαν (βλ. ὄπισθ. σελ. 62). Ἐπειδὴ δὲ τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν διαφέρει ἐν πολλοῖς τῆς ἑρμηνείας τῶν Ο, ἕπεται πάντως, ὅτι ἡ διαφορὰ συνέβη μετὰ τοὺς Ἰωσήπου χρόνους, καὶ τὰ διαφέροντα χωρία διεφθάρησαν οὐκ ἐν τῇ τῶν Ο ἑρμηνείᾳ, ἀλλ᾽ ἐν αὐτῷ τῷ ἑβραϊκῷ. Δεῖξις· α) Ἡ χρονολογία τῶν Ο, ἡ αὐτὴ γέγραπται καὶ παρ᾽ Ἰωσήπῳ, τὸ δὲ νῦν ἑβραϊκὸν κεκολόβωται 1500, ἐνιαυτοῖς (βλ. κεφ. ιε.)· β) Τὰ κύρια ὀνόματα, καὶ πλῆθος πολὺ λέξεων καὶ φράσεων καὶ ἐννοιῶν γράφει καὶ Ἰώσηπος, μετ᾽ αὐτοῦ δὲ καὶ ὁ Φίλων, ὡς ἔχουσι τανῦν οἱ Ο, τὸ δὲ νῦν ἑβραϊκὸν διαφέρει, ἢ ἐλλείπει, κατὰ τὰς ἀντιστοιχούσας λέξεις καὶ φράσεις, καὶ διανοίας. γ) Κατὰ τοὺς Ἰωσήπου καὶ Φίλωνος χρόνους πολλαὶ λέξεις εἶχον πάντως, ὡς γράφουσιν αὐτὰς καὶ οἱ τούτοις συγχρονίσαντες θεῖοι Ἀπόστολοι (οἷον τὸ « ἔσονται *οἱ δύω* », ὃ λείπει ἐκ τοῦ νῦν ἑβραϊκοῦ, καὶ ἄλλα, περὶ ὧν ἐφεξῆς ἐν τῷ οἰκείῳ τόπῳ)· δ) Ὁ Ἰώσηπος ἀριθμεῖ εἰκοσιδύω τὰ τεύχη τοῦ ἑβραίου κώδηκος, καὶ τὸν Δανιὴλ συντάσσει μετὰ τῶν ἄλλων προφητῶν, ὡς μέγιστον προφήτην (βλ. ὄπισθ. σελ. 853). Οἱ δὲ μεταγενέστεροι Ἰουδαῖοι τὸν μὲν κώδηκα διεῖλον εἰς 24 τεύχη, τὸν δὲ θεῖον Δανιὴλ ἀπεχώρισαν ἀπὸ τῶν ἄλλων βιβλίων τῶν προφητικῶν, μετατάξαντες εἰς ἃ καλοῦσιν Ἁγιόγραφα.

§. δ. Τρύφων, Ἰουδαῖος σοφὸς, διαλεγόμενος μετὰ τοῦ μάρτυρος Ἰουστίνου περὶ τὰ μέσα τοῦ β, αἰῶνος, ὡμολόγει τὰς ὑπὸ τοῦ μάρτυρος ἐκφερομένας πολυαρίθμους ῥήσεις τῶν Προφητῶν, πάσας ὡς γνησίας ἀποδεχόμενος. Πρὸς δὲ ταύτας διαφέρει πολλαχῶς τὸ νῦν ἑβραϊκόν. Καὶ φαίνεται ἄρα, ὅτι ἐπὶ Τρύφωνος οὔπω πάντες ἦσαν οἱ ἑβραῖοι κώδηκες διεφθαρμένοι (βλ. ὄπισθ. σελ. 776).

§. ε. Κατὰ τὸν αὐτὸν αἰῶνα γεγόνασιν αἱ τρεῖς ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνεῖαι Ἀκύλα, Συμμάχου, καὶ Θεοδοτίωνος. Ὅτι δὲ κἀν τοῖς ἀποσωθεῖσι τούτων λειψάνοις περιέχονται οὐκ ὀλίγα διαφέροντα τοῦ νῦν ἑβραϊκοῦ, εἴδομεν ἐν τοῖς προλαβοῦσι.

§. ϛ. Περὶ τὰ τέλη τοῦ β, αἰῶνος τίθεται καὶ ἡ ἐκ τοῦ ἑβραϊκοῦ εἴτε ὑπὸ Ἰουδαίων, εἴτε καὶ ὑπό τινων ἐξ Ἰουδαίων χριστιανῶν ἐκπονηθεῖσα ἑρμηνεία τῆς Συριακῆς Πεσχίτας. Πολλὰ καὶ αὕτη περιέχει διαφέροντα τοῦ νῦν ἑβραϊκοῦ (βλ. ὄπισθ. σελ. 903).

§. ζ. Σύγχρονος νομίζεται καὶ Ὄγκελος συνεπαγόμενος κατόπιν καὶ τοὺς ἄλλους Χαλδαίους παραφραστάς. Καὶ αὗται τοίνυν αἱ παραφράσεις μαρτυροῦσι διχῶς τὴν φθορὰν τοῦ Μασοραίου κώδηκος. α) ἐν οἷς διαφέρουσαι πρὸς τοῦτον, συμφωνοῦσι μετὰ τῶν Ο. — β) ἐν οἷς διεστράφησαν ὑπὸ τῶν μεταγενεστέρων Ἰουδαίων πρὸς σφάλματα προφανῆ τοῦ Μασοραίου κειμένου, ὡς ἀπέδειξαν τρανῶς οἱ περὶ τὸν Κεννικῶτον (Διατρ. Β. σελ. 161 κτξ.).

§. η. Τελευτῶντος τοῦ γ, καὶ ἀρχομένου τοῦ δ, αἰῶνος (τῷ 390—407, μ. Χ.) ἡρμήνευσεν ὁ ἀοίδιμος Ἱερώνυμος ἐκ τοῦ ἑβραϊκοῦ τὴν κατ᾽ αὐτὸν Βουλγάταν, ἥτις καὶ αὐτὴ μαρτυρεῖ τὴν ἐν πολλοῖς διαφθορὰν τοῦ νῦν ἑβρ. (σελ. 96 καὶ 909)· περὶ τούτου λέγομεν καὶ ἐν τοῖς ἑξῆς.

§. θ. Κατὰ τὸν ϛ αἰῶνα (500—600 μ. Χ.) τίθεται ἡ συμπλήρωσις τοῦ Ταλμούδου, ἐν ᾧ περιέχονται καὶ πολλὰ ῥητὰ τῆς Γραφῆς. Μαρτυρεῖ τοίνυν ὁ περίφημος ῥαββὶς Χαϊμίδης (Βεν-Χαΐμ), ὅτι « τὸ Ταλμοῦδον ἐν πολλοῖς χωρίοις Γραφικοῖς ἀντιφάσκει πρὸς τὴν Μάσοραν »· καὶ τὸ πρᾶγμα πρόκειται πρὸ ὀφθαλμῶν. Αἱ τῶν ἐν τῷ Ταλμούδῳ ῥήσεων πρὸς τὰς ἐν τῷ κοινῷ

παραδεδεγμένῳ Μασοραίῳ κειμένῳ διαφωνίαι ἀριθμοῦνται περίπου *χίλιαι* (Κεννικ. Γενικ. Διατρ. σελ. 68).

§. ι. Ἀπὸ τοῦ 500 μέχρι τοῦ 1000 μ. Χ. ἀνεφάνησαν οἱ τοὺς Ταλμουδικοὺς διαδεξάμενοι πολύκροτοι συντάκται τῆς Μασόρας, καὶ ἡ τῶν ἀναγνωστῶν καὶ γραπτῶν (Κερίων, καὶ Κετιβίων) ἀόριστος συλλογὴ, καὶ ἡ τῶν Ἀνατολικῶν καὶ Δυτικῶν Ἰουδαίων περὶ 216 λέξεων διαφωνία (α). Διελάβομεν καὶ περὶ τούτων ἐν τῇ τοῦ κειμένου ἱστορίᾳ (σελ. 119). Εἰς ταύτην τὴν χρονικὴν περιοχὴν ἀνάγονται καὶ τὰ παρ' Ἰουδαίοις ὡς ὑπέρτιμα καὶ πανάρχαια θρυλλούμενα τρία βιβλία, καὶ πρῶτον αἱ *Μιδράσχαι*, ἢ τὰ *Ῥαββὼθ* (βλ. ὄπισθ. σελ. 889), οὔτε τῷ 95, οὔτε τῷ 300, ἀλλὰ περὶ τὸ 700 μ.Χ. συγγραφέντα. Ἐν τούτῳ τῷ βιβλίῳ συναντῶσι πολλὰ χωρία τοῦ ἑβρ. κειμένου, ἐν οἷς λέξεις τινὲς ἄλλως ἔχουσιν, ἢ ὡς ἀναγινώσκονται ἐν αὐτῷ τῷ κειμένῳ· ἱστορεῖται δὲ καὶ ὅτι ὁ μέγας ῥαββὶς Σολομὼν οὐ μόνον οὐκ ἐνόμιζεν ἀκραιφνὲς τὸ κείμενον τῆς Γραφῆς, ἀλλ' ἐπεχείρησε καί τινος χωρίου τὴν διόρθωσιν· καὶ τοῦτο βεβαιοῖ προσωποιΐα τις τοῦ ἰῶτα (καθ' ἣν ὁ ἰουδαῖος ἐμιμήθη τὸν Λουκιανὸν, εἰ καὶ μὴ αὐτὸς, ἴσως, ἀναγνοὺς, ἀλλ' ὅμως παρά τινος Ἕλληνος μαθὼν τὴν χαριεστάτην *Δίκην τῶν φωνηέντων* τοῦ Λουκιανοῦ)· « Ἀνέβη (λέγει) τὸ στοιχεῖον Ἰὼδ (ἰῶτα), καὶ προσπεσὸν ἱκετικῶς ἐνώπιον τοῦ θεοῦ, εἶπεν· Ὦ δέσποτα κόσμου· οὐ σὺ διέταξας, ἵνα μηδὲ ἓν γράμμα ἀπόληται ἐκ τοῦ νόμου εἰς τὸν αἰῶνα; Ἀλλ' ἰδοὺ ὁ Ῥαβ. Σολομὼν ἐπεχείρησεν ἐξαλεῖψαί με. Καὶ ἴσως σήμερον ἀθετήσει ἓν γράμμα, καὶ αὔριον ἄλλο, ἕως ἂν ὅλος ὁ νόμος ἀφανισθῇ » (παρὰ Βολφίῳ Βιβλιοθ. Ἑβραϊκ. Τόμ. β. σελ. 488). Ἀλλ' εἰ καὶ μὴ ἠφανίσθη ὁ νόμος, οἱ ῥαββεῖς ὅμως καὶ τότε, καὶ πολὺ πρότερον, καὶ ὕστερον

(α) Μία τούτων ἐστὶ καὶ ἡ ἐν Θρήν. ε, 21 γραφὴ τοῦ ἀῤῥήτου ὀνόματος (τοῦ τετραγραμμάτου), ἣν κρατοῦσιν οἱ Δυτικοὶ, οἱ δ' Ἀνατολικοὶ γράφουσιν Ἀδωναΐ· Ἀλλ' εἴπερ ἐπὶ τῆς τοῦ θειοτάτου ὀνόματος γραφῆς ἐπικρατεῖ τοσαύτη ἀμφιβολία, πόση λοιπὸν ἀβεβαιότης ἐν τῇ γραφῇ τῶν ἄλλων λέξεων ἕξει χώραν βλ. Walton. Proleg. VIII. §. 15.

ἀφεῖλον ἐκ τοῦ κειμένου καὶ ἓν γράμμα καὶ πολλά. — Τὸ δεύτερον τῶν προμνημονευθέντων τριῶν ἰουδαϊκῶν βιβλίων ἐστὶ τὸ λεγόμενον *Πιρκε Ελιεζερ* (Κεφάλαια Ἐλεαζάρου τῷ 800 μ. Χ.), ὅπερ ἀναφέρει καὶ αὐτὸ τόπους γραφικούς, οἵτινες διαφέρουσιν ἐν τῷ νῦν ἑβραϊκῷ. — Τρίτον, τέλος, ἐστὶ τὸ θαυμαστὸν *Κοζρι* (Διάλογος βασιλέως ἐθνικοῦ πρὸς Ἰουδαῖον, ὑποτιθέμενος πρὸ τῶν 750 μ. Χ. καίτοι τὸ βιβλίον συνεγράφη ὑπὸ τοῦ Λευΐτου Ἰούδα ἔτεσι περίπου 300 μετὰ τὸν διάλογον). Ἐν τούτῳ, λόγου συμπεσόντος περὶ τοῦ στοματικοῦ νόμου (ἐν ᾧ καὶ ἡ Μάσορα), ὅτι διετηρήθη κατὰ συνεχῆ καὶ βεβαίαν παράδοσιν, ἐρωτᾷ ὁ Ἰουδαῖος· « Τί δὲ λέγεις, ἐάν ποτε εὑρεθῇ παραλλαγὴ (ἀναγνώσεως) ἐν ἑνί τινι, ἢ δυσίν, ἢ τρισὶ χειρογράφοις; Ἀπαντᾷ ὁ βασιλεύς. Προσεχέτωσαν τοῖς πλείοσι χειρογράφοις· ἐν γὰρ τοῖς πολλοῖς οὐ ῥᾳδίως εἰσέρπει ψεῦδος· καὶ καταλιμπανέτωσαν τὰ ὀλιγώτερα χειρόγραφα » (βλ. ὄπισθ. σελ. 160). « Καὶ ὁ Ἰουδαῖος· τί δὲ λέγεις περί τινων γραμμάτων ἄλλως γεγραμμένων ἐν τοῖς βιβλίοις, ἢ κατὰ τὴν ἡμετέραν κρίσιν καὶ ἀναλογίαν, οἷον τὰ ἐν Θρήν. δ, 18: Ψαλμ. λδ, η, καὶ *ἄλλα τοιαῦτα πλεῖστα καὶ ἀναρίθμητα;* » — Δέχου ἀναγνῶστα τὸν μάρτυρα τῶν καὶ τότε πλείστων καὶ πολυαρίθμων σφαλμάτων τοῦ μασοραίου κειμένου, καὶ μή σοι μελέτω τὶ ἀπεκρίθη ὁ βασιλεὺς Κοζὰρ τοῦ *Κοζρί!*

Περὶ τὸ τέλος τῆς περιόδου ταύτης τῷ 900 μ. Χ. ἤκμασεν ὁ Σααδίας Γαών. Οὗτος πρῶτος ἔγραψε γραμματικὴν ἑβραϊκήν, καὶ ἡρμήνευσεν ἀραβιστὶ τὴν ἐκδοθεῖσαν Πεντάτευχον (ὄπισθ. σελ. 153). Περὶ τούτου μαρτυρεῖ ὁ Χαϊμίδης, ὅτι ὥρισεν *ἐν ἀναγνωστόν*, ὅπερ (φησὶν) οὐχ εὑρίσκεται καθ᾽ ἡμᾶς ἐν τῇ Μασόρᾳ· καὶ θαυμαστόν, πῶς ἔλαθεν ἡ Μάσορα τὸν ἄνδρα. Ὅμως (λέγει) ὁμολογῶ, ὅτι ἐκεῖνος ἐν πάσαις ταῖς τοιαύταις λέξεσιν ὑπῆρχε μᾶλλον γεγυμνασμένος· ἡμεῖς δὲ πρὸς ἐκεῖνον ἐσμέν, ὡς *τυφλοὶ* (καθήμενοι) *παρὰ τὴν θυρίδα!* Πολλὰ δὲ καὶ ἄλλα ῥητὰ τοῦ ἑβραϊκοῦ κειμένου διαφόρως ἔχοντα ἐν ἄλλῳ βιβλίῳ τοῦ Σααδία παρετήρησαν οἱ περὶ τὸν Κεννικῶτον. Καὶ ἐν τῇ Ἀραβικῇ ἑρμηνείᾳ οὐκ ὀλίγα

χωρία συμφωνοῦσι τοῖς Ο, τῷ Σύρῳ, τῇ Βουλγάτᾳ, διαφέροντα τοῦ νῦν ἑβραϊκοῦ (α).

Ὀλίγῳ μετὰ τὸν Σααδίαν ἤκμαζε καὶ ὁ ῥαββὶς Ἀΐς (περὶ τὰ 1000, ἢ 1100 μ. Χ.). Οὗτος μετεχειρίζετο κώδηκας τῆς Γραφῆς ἐπὶ τοσοῦτον διεφθαρμένους, ὥστε ἔλειπον ἐξ αὐτῶν οἱ δύω περίφημοι στίχοι τοῦ κα κεφαλ. τοῦ Ἰησοῦ (ὄπισθ. σελ. 158), καθὼς ὁ Κιμχῆς μαρτυρεῖ, προστιθεὶς, ὅτι « οὐδ᾽ αὐτὸς εὕρηκε τοὺς στίχους τούτους ἐν οὐδενὶ τῶν *δοκίμων* καὶ καλῶς *διωρθωμένων* ἀρχαίων χειρογράφων ». Καὶ ἄλλος δὲ νεώτερος ῥαββῖνος ἐπίσημος, Ἠλίας ὁ Λευΐτης, μαρτυρεῖ τὰς ἐπὶ τῶν Μασοριτῶν πολυπληθεῖς καὶ ποικίλας τῶν ἑβραϊκῶν κωδήκων διαφορὰς, ἐκ παλαιοτέρων χρόνων ὁσημέραι ἐπὶ μέγαν σωρὸν συναγομένας· γράφομεν τούτου τὴν μαρτυρίαν ἐφεξῆς.

§. ια. Ἀπὸ τοῦ 1000 μέχρι τοῦ 1450 μ. Χ. χρονολογοῦνται τὰ διάφορα καὶ παμπληθῆ χειρόγραφα, περὶ ὧν διέλαβον ὁ Κεννικῶτος καὶ ὁ Ῥόσσις. Ὁ πάντων ἀρχαιότατος νομιζόμενος *Λαυδιανὸς* κώδηξ (μεταξὺ τοῦ 1000 καὶ 1100) περιέχει 14 χιλιάδας παραλλαγῶν, αἵτινες διαφέρουσι τοῦ κειμένου τῆς ἐκδόσεως τοῦ Βανδερχούχθου (ὄπισθ. σελ. 172). Ἄλλων ἄλλας ποικίλας καὶ παμπληθεῖς παραλλαγὰς ἐσημείωσαν οἱ περὶ τὸν Κεννικῶτον. Ἐκ δὲ τούτου δῆλον, ὅτι καὶ μετὰ τὴν πολυθρύλλητον Μάσοραν, εἰσεῤῥύησαν πρὸς ταῖς προϋπαρχούσαις καὶ νέαι διαφθοραί. Καὶ αὐτοὶ δὲ τῶν ῥαββίνων οἱ τότε ἐπισημότατοι ὁμολογοῦσι τὴν πολλὴν τῶν κωδήκων διαφωνίαν. Ὁ Μεῒρ Ἀλλεβῆς, υἱὸς Τό-

---

(α) Οἷον ἐν τῷ ρμδ ἀλφαβητικῷ ψαλμῷ πᾶσαι καὶ αἱ Δ, ἑρμηνεῖαι ἔχουσι τὸν 13 στίχον, ὅστις λείπει ἐκ τοῦ ἑβρ. — Γενέσ. μδ, 24 πᾶσαι καὶ αἱ Δ, ἑρμην. (καὶ τὸ Σαμαρειτικὸν) ἔχουσιν ὁ πατὴρ ἡμῶν, ἀντὶ τοῦ ἑβρ. ὁ πατήρ μου. — Γενέσ. ν, 25 (πρβλ. Ἐξόδ. ιγ, 19) πᾶσαι (καὶ τὸ Σαμαρ.), καὶ κώδηκ. ἑβραῖοι ἔχουσι τὸ μεθ᾽ ὑμῶν, ὅπερ λείπει ἐκ τοῦ νῦν ἑβρ. — Β. Βασιλ. ιδ, 4, πᾶσαι καὶ αἱ Δ, ἑρμηνεῖαι καὶ 30, κώδ. ἑβρ. ἔχουσι, καὶ ἦλθε· ὅπου τὸ νῦν ἑβρ. καὶ εἶπε. — Καὶ ἐν Ζαχαρ. ιγ, 7. Πατάξω τὸν ποιμένα ἔχει καὶ ὁ Ἄραψ, ὡς οἱ Ο. (καὶ Ματθ. κς, 31 : Μάρκ. ιδ, 27), οὕτω καὶ ἡ ἰουδαϊκὴ ἐν Ἑνετίᾳ μετάφρασις)· τὸ δὲ νῦν ἑβρ. πάταξον τοὺς ποιμένας, κτλ.

60*

δρου, Ἱσπανὸς ἐκ Τολήτου (τῷ 1240) ἀποκλαίεται περὶ τούτου, λέγων· ὅτι « Τοσαῦται ἦσαν καὶ αὐτῶν τῶν διωρθωμένων χειρογράφων αἱ διαφοραὶ, ὥστε (λέγει) μόλις δύναταί τις ἐν αὐτοῖς *εὑρεῖν τὰς ἰδίας αὐτοῦ χεῖρας καὶ τοὺς πόδας* (ἵνα διεξέλθῃ)». Καὶ καθόλου δὲ ἐκ τῶν λόγων τοῦ ῥαββίνου τούτου συνήγαγε συνοπτικῶς ὁ Βρύνσιος (εἰς Κεννικώτ. Γενικ. Διατρ. §. 57), τὰ ἑξῆς. « Ὅτι α) τὰ χειρόγραφα περιεῖχον ὅτι πλείστας διαφορὰς πρὸς ἑαυτὰ καὶ πρὸς τὰς Μασόρας, ὃ καὶ τὴν σήμερον ὑπάρχει. 2) Ὅτι καὶ αὗται αἱ Μάσοραι διέφερον πρὸς ἀλλήλας. 3) Ὅτι κατὰ τὸν ιγ αἰῶνα (ἐπὶ τοῦ Ἀλλεβῆ) πολλῷ πλείους ἦσαν ἐν τοῖς νεωτέροις, ἢ ἐν τοῖς ἀρχαιοτέροις χειρογράφοις διαφοραί. Ὥστε κατὰ τὸν ιγ, αἰῶνα οἱ τῶν Ἰουδαίων κώδηκες ἐγράφοντο ἠμελημένως. Τῶν δὲ καθ' ἡμᾶς ὑφεστώτων κωδήκων τὸ μέγιστον μέρος (φησὶν ὁ Βρύνσιος) ὑπάρχουσι γεγραμμένοι περὶ τὰ τέλη τοῦ ιγ αἰῶνος », καὶ ἑπομένως ἔχουσι τὰς τῶν ἠμελημένων διαφθοράς.

Κατὰ ταύτην τὴν χρονικὴν περιοχὴν ἤκμαζον καὶ οἱ 4 ἐπίσημοι παρ' Ἰουδαίοις ῥαββῖνοι, Ἀβενέσδρας καὶ Ἰάρχης καὶ Μαϊμονίδης καὶ Κιμχὴς (ἀπὸ τοῦ 1150 ἕως τοῦ 1240)· ὁμολογοῦσι δὲ καὶ οὗτοι τὴν μεγάλην διαφωνίαν τῶν κατ' αὐτοὺς κωδήκων. Ὁ πρῶτος λέγει, ὅτι οἱ Μασορῖται διεχώρισαν τὸ ἅγιον ἀπὸ πάσης συμμιγῆς, καὶ ὅτι αὐτὸς εὗρεν ἐν χειρογράφοις Τιβεριαδέων ῥαββίνων λέξεις, ἄλλως γεγραμμένας ἐν τοῖς Ἱσπανικοῖς καὶ Γαλλικοῖς. Ὁ δὲ Ἰάρχης διακηρύττει, ὅτι εὗρεν ἀναγνώσματα ἐν τῇ Μασόρᾳ (καθ' ἣν γέγραπται καὶ τὸ νῦν ἑβραϊκὸν) ἡμαρτημένα, καὶ ἄλλα πάλιν λείποντα ἐν αὐτῇ· καὶ ὁ Τύξην ἀπέδειξε τρανῶς, ὅτι οἱ παρὰ τῷ Ἰάρχῃ ἑβραῖοι κώδηκες πολλάκις διέφερον τοῦ κοινῶς παραδεδεγμένου. Ὁ δὲ Κιμχὴς ἐν τῷ *περὶ Ῥιζῶν* αὐτοῦ συντάγματι ἐσημείωσέ τινα ἀναγνώσματα, ἢ μηδόλως κείμενα, ἢ ἄλλως ἔχοντα ἐν τοῖς κοινοῖς ἑβραϊκοῖς Βιβλίοις. Ταύτας δὲ τοῦ Κιμχῆ τὰς ἀναγνώσεις ἀφεῖλον ἐκ τῶν τυπωθέντων αὐτοῦ χειρογράφων οἱ Ἰουδαῖοι, ὡς ὁμολογεῖ ἄλλος ῥαββῖς, ὁ Σαμουήλ. Μαρτυρεῖ δὲ καὶ ὁ κλεινὸς Καπελλάνιος, ὅτι παρέ-

βαλε χειρόγραφον τοῦ συγγράμματος τοῦ Κιμχῆ πρὸς τὰ τύποις ἐκδεδομένα, καὶ τῷ ὄντι λείπουσιν ἐν ταῖς ἐκδόσεσιν αἱ ἀναγνώσεις. «Διὰ τί δὲ (λέγει) ταύτας ἐξεῖλον οἱ Ἰουδαῖοι, εἰ μὴ διὰ τοὺς χριστιανούς; ἵνα μὴ ἔχωσιν οὗτοι προφανῶς ἐξ αὐτῶν ἐξελέγχειν τὰς γενομένας μεταβολὰς καὶ διαφθορὰς τῶν ἰουδαϊκῶν κωδήκων. Καὶ τοῦτο μάλιστα φυλάττονται οἱ Ἰουδαῖοι, κατά γε τὸ δυνατὸν, μεταβάλλοντες, ἢ κολοβοῦντες πρὸς τὸ δοκοῦν τὰ συντάγματα τῶν κατ' αὐτοὺς συγγραφέων. Ποῦ εἰσὶν οἱ περιθρυλλοῦντες τὴν πίστιν, τὴν ἀκεραιότητα, τὴν θρησκευτικὴν εὐλάβειαν, τὴν ἐπιμέλειαν τῶν Ἰουδαίων; Ἰδοὺ τούτους ἐπ' αὐτοφώρῳ συνελάβομεν ὁμολογοῦντας τὰς κλοπάς». Ταῦτα ὁ Καπελλάνιος. Τελευταῖον, καὶ ὁ Μαϊμονίδης οὐχ ἅπαξ ὡμολόγησε τὴν ἐν πολλοῖς διαφορὰν τῶν κατ' αὐτὸν ἑβραϊκῶν χειρογράφων. Ἀλλὰ περὶ τούτων προείπομεν καὶ ἐν τοῖς ἔμπροσθεν (σελ. 154).

§. ιβ. Ἀπὸ τοῦ 1450 μέχρι τῶν καθ' ἡμᾶς χρόνων οὐ διέλειπον Ἰουδαῖοι μαρτυροῦντες τὰς ἐν τῷ ἑβραϊκῷ κειμένῳ ἐμπεφυκυίας λώβας. Ὁ κατὰ τὰς ἀρχὰς τοῦ ις, αἰῶνος ἀκμάσας Ἠλίας ὁ Λευΐτης λίαν εὐκρινῶς διαγράφει τὴν πρὸ τῆς Μασόρας κατάστασιν τῶν ἑβραϊκῶν κωδήκων. «Βέβαιόν ἐστι (φησὶν), ὅτι οἱ Μασορῖται ἀποκατέστησαν τὸν νόμον καὶ τ' ἄλλα τεύχη τῆς Γραφῆς ἐπὶ τῆς καθέδρας αὐτῶν. Οὐδ' ἔξεστιν ἀμφιβάλλειν, ὅτι, εἰ μὴ οὗτοι ἐπήρχοντο, ἦν ἂν ἤδη τὸ *πλακούντιον ἐδηδομένον* (consumta placenta), καὶ ὁ νόμος ἂν διῄρητο εἰς δύω νόμους· ὥστε μηδὲ δύω γοῦν εὑρίσκεσθαι χειρόγραφα ἐν ἅπασι τοῖς τεύχεσι τῆς Βίβλου πρὸς ἄλληλα συμφωνοῦντα». Τοιαῦτα ὁ πλακουντοφίλας Ἠλίας. Καὶ ὅμως τὸ παροιμιακὸν αὐτοῦ *πλακούντιον ὑπῆρχεν ἐδηδομένον* ἤδη πολλῷ πρότερον τῶν Μασοριτῶν. Καὶ ὁ νόμος καὶ ὅλος ὁ κώδηξ τῶν Γραφῶν, ἅμα τῷ ναῷ εἰς τὸ διηνεκὲς καταστραφέντι, διεμερίσθη εἰς δύω· τὸν μὲν, ἀκέραιον καὶ γνήσιον, ὃς ἔμεινεν ἡρμηνευμένος παρὰ μόνοις τοῖς Ο, τὸν δὲ, ῥαββινικὸν καὶ πολλαχῶς διεσπασμένον, ὃν διώρθωσαν, ὡς διώρθωσαν, οἱ Μασορῖται ἐπελθόντες. Ὁ τοῦ Λευΐτου σχεδὸν

σύγχρονος, καὶ οὐχ ἧττον λάτρις τῆς Μασόρας Χαϊμίδης ἐν τῷ προλόγῳ τῆς ὑπ' αὐτοῦ φιλοπονηθείσης ἐκδόσεως τοῦ ἑβραίου κώδηκος (ὄπισθ. σελ. 177) ὁμολογεῖ, ὅτι α) τὰ χειρόγραφα τοῦ κειμένου ἦσαν ἐπ' αὐτοῦ διάφωνα καὶ διεφθαρμένα, καὶ πρὸς τὸ Ταλμοῦδον ἀντιφάσκοντα· β) Ὅτι καὶ ἡ Μάσορα οὐ μόνον ὑπὸ πολλῶν ῥαββίνων ἠμέλητο καὶ κατεφρονεῖτο, ἀλλὰ καὶ διέφθαρτο, καὶ ἦν (καὶ ἔστι) συγκεχυμένη· γ) Ὅτι καὶ ἡ Μάσορα πρὸς τὸ Ταλμοῦδον ἀντιλέγει, καὶ τοῦτο πρὸς ἐκείνην· καὶ τἄλλα ὅσα φαίνονται ἐν τῷ περιφήμῳ προλόγῳ, ὃν πρῶτος διεκοίνωσεν ἐκλατινίσας ὁ σοφὸς Κεννικῶτος (Διατριβ. Β. σελ. 223 κτλ.). Καὶ Ἰούδας ὁ Μυσκάτος, καὶ ὁ Ἐφοδαῖος, καὶ ἄλλοι τῶν Ἰουδαίων τοῦ ις΄ αἰῶνος ὁμολογοῦσι τὴν ἐν τοῖς κώδηξι διαφωνίαν. Ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς χειρογράφοις τῆς Βίβλου εὕρηνται τοιαῦται σημειώσεις, πρὸς τῷ περισελίδῳ, ὑπ' αὐτῶν τῶν Ἰουδαίων προσγεγραμμέναι, οἷα ἡ ἑξῆς· ὅτι « *χιλίαις διαφθοραῖς* ἐμολύνθησαν οἱ κώδηκες ὑπὸ τῶν ἀντιγραφέων ». Ἀλλ' ἐὰν (φησὶν ὁ Καπελλάνιος) ἐγκύψωμεν εἰς ὁλόκληρον τὸ κείμενον, ἀπ' ἀρχῆς μέχρι τέλους διεξελθόντες, πολλῷ φορώτερον διαφθορῶν ὑπολανθάνον λήϊον προκύψει εἰς θερισμόν.

Περὶ τῶν ὑπὸ τῶν Ἰουδαίων γενομένων κατὰ καιροὺς ἐκδόσεων τοῦ ἑβραίου κώδηκος προείπομεν (σελ. 176, 178, 180). Τούτων ὁ Ἀθίας ἐν τῷ προλόγῳ τῆς πρώτης ἐκδόσεως ὁμολογεῖ τὴν ἐν τοῖς χειρογράφοις τῶν σφαλμάτων πληθύν. Ὁ δὲ τὸ *Φῶς τοῦ Νόμου* συγγράψας Λονζάνος (βλ. ὄπισθ. σελ. 183) ἀγανακτῶν κατὰ τοῦ σμήνους τῶν ἐν ταῖς ἑβραϊκαῖς φωναῖς προσῳδιῶν, λέγει. « Ἀπολέγομαι τὴν ψυχὴν διὰ τὸ πλῆθος τῶν περιττωμάτων τούτων, ἅπερ οἱ γραφεῖς εἰσήγαγον εἰς τὰ βιβλία, καλέσαντες αὐτὰ *χαλινὸν* (Μετέγ). Ἐγὼ δὲ ταῦτα *χαλινὸν ὄνων* ἀποκαλῶ. Ἀπηύδησα ὑπὸ τὸν ζυγὸν τῆς διορθώσεως τούτων· ὅτι ἐπληθύνθησαν ὑπὲρ ἀκρίδας. Ἤδη δὲ καταλείπω τὴν διόρθωσιν, εὖ εἰδώς, ὅτι οὐδεὶς θνητὸς ἱκανὸς εὑρεθήσεται τοσαύτην ὀχληρίαν καταφαγεῖν (ὑποστῆναι ἕως τέλους), ὥστε διορθῶσαι τὸ κατ' αὐτὸν ἀπόγρα-

φον » κτλ. Ἄλλος Ἰουδαῖος ἐν τῷ κώδηκι τῶν Ἁγιογράφων, τῷ τυπωθέντι ἐν Νεαπόλει (ἔτει 1487) ἐσημείωσεν, ὅτι « Ἐὰν εὑρεθῶσιν ἐν αὐτῷ σφάλματα *περὶ τὴν στίξιν*, τοῦτο προῆλθεν ἐκ δύω αἰτιῶν· πρῶτον, ὅτι εἰς τοῦτο τὸ ἔργον (τῆς στίξεως) εἰσέτι, λέγει, νεάζομεν, καὶ οὐδ' οἱ πατέρες ἡμῶν ἦσαν ἔμπειροι τοῦ τεχνεύματος· ἔπειτα καὶ σπουδάσαντες, οὐκ *ἠδυνήθημεν εὑρεῖν βίβλους διωρθωμένας*, ὅσῳ γοῦν ἦν ἀναγκαῖον » (α). Τρανωτάτη δὲ καὶ τοῦ περιφήμου Μανασσῆ Βεν-Ἰσραὴλ ἡ ἐξομολόγησις. « Ἀπώλετο βουλή! Σεσάπρωται ἡμῶν ἡ σοφία! Λήθῃ παραδέδονται οἱ νόμοι. Πολλαὶ φθοραὶ καὶ πλάναι ἐμπεπτώκασιν εἰς τὸν Νόμον ἡμῶν τὸν ἅγιον » (προλ. τῆς ἐν ἔτει 1751 ἐκδ. τῆς Γραφῆς). Τελευταῖον· ὁ διάσημος Νόρζης ἐν τῷ προλόγῳ τῆς ἐν ἔτει 1742 καὶ 1744 ἐκδόσεως τῆς ἑβραϊκῆς Βίβλου μακρὰν ἔγραψε θρηνῳδίαν περὶ τῶν πολλῶν καὶ ἀνιάτων τοῦ κώδηκος διαφθορῶν. « Οὐκ ἔστιν ἔτι (φησὶ) προφήτης. Ἀπελπίζεται πᾶς εὐσεβής, καὶ καταπίπτει, ὅταν ἐννοήσῃ, ὅτι ἐπιλέλοιπε χεὶρ (ἰατροῦ)· καὶ τὰ σφάλματα ἐπολλαπλασιάσθησαν, οὐδ' ἔστιν ὁ ἀναλαμβάνων φροντίδα καὶ καρδίαν, ἵνα τάχιον ἐπιφέρῃ φάρμακα. Τίς ἀποκαταστήσει τὸ κάλλος; » (*Οὐδείς!*). « Τίς σπεύσας ἀνιχνεύσει στίβους κεκρυμμένας, καὶ ὑποδείξει ἡμῖν ὁδὸν ἐν ᾗ πορευσόμεθα; Τίς ἡμῖν ἐπιστήσει σημεῖα, (στίγματα ὀρθὰ) ἐπὶ τῶν γραμμάτων; Τίς ἐκριζώσει τὰς *ῥαφάνους καὶ τὰς ἀκάνθας*; Τίς δώσει, ἵνα γράφωνται καὶ στίζωνται αἱ φωναὶ κατὰ τὴν φύσιν καὶ ὀρθότητα αὐτῶν ἐν τοῖς βιβλίοις τοῖς τελείοις; — Ἐξέστη ἡ καρδία μου, φρίκη με κατέλαβεν, ὡς εἶδον τὸ πλῆθος τῶν ἐν τοῖς βιβλίοις ἐμπεπτωκυιῶν παραλλαγῶν. Πάντες ὡσεὶ πρόβατα ἐπλανήθημεν. Τὸ κακὸν πολλαπλασιάζεται, καὶ οἱ ἐκδόται ἐσκοτίσθησαν, οὐδ' ἔστι φῶς ἐν αὐτοῖς, οὐδ' ἔστιν ὁ ἐρευνῶν, οὐδ' ἔστιν ὁ ἐκζητῶν », καὶ τὰ λοιπὰ τῆς μονῳδίας ἐξέφρασεν ὁ κλεινὸς Κεννικῶτος (Γενικ. Διατρ. §. 62), μετέγραψε καὶ ὁ Ῥόσσις. Εἴπομεν δέ τινα περὶ τούτου καὶ προλαβόντως (σελ. 183).

(α) Βλ. τὴν σημείωσιν ἐν Kennicot. Diss. Gener. p. 441.

Τελευταῖον, καὶ Καχὴν, ὁ νεώτατος ὧν εἴδομεν κριτικῶν σχολιαστῶν καὶ ἐκδοτῶν τοῦ κώδηκος Ἰουδαίων (1831 – 1838) πολλαχοῦ τῶν σχολίων ἐπιγινώσκει σφάλματα τοῦ κώδηκος, καὶ πολλάκις τὰς τῶν Ο, καὶ ἄλλων παλαιῶν ἑρμηνευτῶν ἀναγνώσεις προτιμᾷ. Καὶ Κλαύδιος δὲ, τέλος, ὁ Ἰουδαῖος (ὥς τινες ὑπέλαβον) ἀνεκήρυξε πρὸ μικροῦ (τῷ 1841. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 24), ὅτι τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν κείμενον πάντως οὐ διέμεινεν ἀμετάβλητον· ὅθεν οὐδ᾽ ἂν γένοιτο (καθ᾽ ἑαυτὸ) γνώμων καὶ διαιτητὴς τῶν ἐκ τῆς ποικίλης τῶν χειρογράφων διαφορᾶς προκυπτουσῶν ἀμφιβολιῶν. Διαπαίζει δὲ καὶ τοὺς ὑπερμάχους τῆς νῦν *ἑβραϊκῆς ἀληθείας*, λέγοντας πρὸς ἀπολογίαν, ὅτι «ἐν τῷ λόγῳ τοῦ Θεοῦ μὴ τὰς λέξεις, ἀλλὰ τὰ πράγματα θεωρητέον»!

§. ιγ. Καὶ αὗται μὲν καὶ τοιαῦται αἱ τῶν κριτικῶν Ἰουδαίων περὶ τοῦ Μασοραίου κειμένου μαρτυρίαι. Ποῦ μένει λοιπὸν ἡ ἀξίωσις τῶν ὑπερασπιστῶν τῆς ἀκεραιότητος αὐτοῦ καὶ ἀφθορίας; Ἴδωμεν δὲ ἤδη καὶ τὰς τῶν χριστιανῶν.

Β. Μαρτυρίαι Χριστιανῶν.

§. ιδ. Πρώτους εὐφημοῦμεν τοὺς πρώτους χριστοκήρυκας καὶ στύλους τῆς Ἐκκλησίας, τὰ θεόπνευστα στόματα τοῦ *Λόγου τῆς ζωῆς*, τοὺς ἁγίους Ἀποστόλους. Οὗτοι πρῶτοι καὶ μόνοι, χωρὶς ἄλλων ἀποδείξεων καὶ συλλογισμῶν, ἀντὶ πάντων μαρτύρων, ἀντὶ πάντων κριτικῶν, θείᾳ κρίσει, θείᾳ ψήφῳ, γλώσσαις πυρὸς βεβαιοῦσι τὴν διαφθορὰν τοῦ Μασοραίου κώδηκος, ἐν οἷς οὗτος ἀντιλέγει τοῖς θεοφθόγγοις ῥήμασιν αὐτῶν. Εἴδομεν ἐν τῷ προλαβόντι Ις, κεφαλαίῳ τρανὰ παραδείγματα τῆς ἀντιλογίας· μακρότερα περὶ τούτου πραγματευσόμεθα κἂν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Μάτην σκανδαλίζονται πρὸς ταύτην τὴν φανώτερον ἡλίου φρυκτωροῦσαν ἀλήθειαν οἱ θερμοὶ τῆς ψυχρᾶς Μασόρας προστάται! Τίς ποτ᾽ ἂν πιστεύσειεν, ὅτι οἱ θεόπνευστοι Ἀπόστολοι εὑρίσκοντο *ψευδομάρτυρες ἐνώπιον* τοῦ θεοῦ, προφέροντες ὡς ῥήσεις τοῦ Μωϋσέως, φέρ᾽ εἰπεῖν, ἢ τοῦ Ἡσαΐου, ὅ,τι οὐκ ἔγραψεν ὁ Μωϋσῆς

καὶ ὁ Ἡσαΐας; (α). Ἔπειτα, οἱ θεῖοι Ἀπόστολοι διαλεγόμενοι πρὸς τοὺς Ἰουδαίους, *ἐκ τῶν Γραφῶν* ἀπεδείκνυον «*τὸν Ἰησοῦν εἶναι τὸν Χριστόν*». Πῶς οὖν ἠδύναντο προφέρειν ῥήσεις προφητικάς, ἃς οὐκ ἀνεγίνωσκον οἱ τότε Ἰουδαῖοι ἐν ταῖς κατ' αὐτοὺς Γραφαῖς; Ἐν μέσοις Ἱεροσολύμοις, πληθούσης συνελεύσεως ἐκ μυριαρίθμου πλήθους συγκροτουμένης, ἀπεδείκνυε πρὸς τοὺς *Ἰσραηλίτας* ὁ Πέτρος, ὅτι «*ὁ θεὸς ἀνέστησεν Ἰησοῦν*· καθότι οὐκ ἦν δυνατὸν αὐτὸν κρατεῖσθαι ὑπὸ τοῦ θανάτου, καθὼς προεφήτευσε Δαβίδ· οὐδὲ δώσεις ΤΟΝ ΟΣΙΟΝ ΣΟΥ ἰδεῖν διαφθοράν» (Πράξ. β). Τοῦτο καὶ ὁ θεῖος Παῦλος ὕστερον ἐπανέλαβεν ἐν τῇ Συναγωγῇ τῶν Ἀντιοχέων (Πράξ. ιγ). Ἀλλ' εἴπερ οἱ Ἰουδαῖοι ἀνεγίνωσκον καὶ τότε ΤΟΥΣ ΟΣΙΟΥΣ ΣΟΥ, ὡς ἔχει τὸ ἑβραϊκόν, ματαία λοιπὸν ὑπῆρχεν ἡ ἐκ τούτου δεῖξις τοῦ ἀποστολικοῦ κηρύγματος, οὐδ' ἂν ἔμενεν οὐδεὶς τῶν Ἰουδαίων, ὃς ἂν οὐκ ἀντεῖπε τότε τοῖς Ἀποστόλοις. Πάλιν πρὸς Ἑβραίους (κεφ. I,) ἔγραφεν ὁ Παῦλος ἐκ τοῦ ψαλμοῦ τὸ «*Σῶμα δὲ κατηρτίσω μοι*»· Εἰ δ' ἀνεγίνωσκον ἐκεῖνοι ἐν τῷ ψαλμῳδῷ «*Ὠτία μοι ἐτρύπησας*», ὡς ἔχει τὸ νῦν ἑβραϊκόν, πῶς ἂν ἐξέφερε πρὸς τοὺς ἰδίους αὐτοῦ ὁμογενεῖς ξένην καὶ ἀνήκουστον ῥῆσιν ὁ Ἀπόστολος; Αὐτὸς ὁ Κύριος ἡμῶν (οὗ τὰς αὐτολέκτους ῥήσεις ἔγραψαν οἱ Εὐαγγελισταί), τὸ «ἔσονται *οἱ δύο* εἰς σάρκα μίαν» ἀνέφερεν ὡς λόγους αὐτοῦ τοῦ ὑψίστου Νομοθέτου καὶ δημιουργοῦ, λέγων· «Ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, ΚΑΙ ΕΙΠΕΝ· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα . . . καὶ ἔσονται οἱ δύο» κτλ. Καὶ ὅμως τοῦτο τὸ *οἱ δύο* λείπει ἐκ τοῦ νῦν παρ' Ἰουδαίοις πρωτοτύπου Νόμου τοῦ Νομοθέτου. Ταῦτα δὲ καὶ ἄλλα πάμπολλα μαρτύρια τί ἄλλο δεικνύουσιν, εἰμὴ ὅτι τὸ

(α) «Nemo tamen, cui curae cordique est Scriptorum θεοπνεύστων auctoritas, facile concedet illos (Apostolos) ex Mose aut Isaia citasse quod non scripserat Moses aut Isaias», λέγει καὶ ὁ κριτικώτατος Κεννικῶτος Dissert. Gener. §. 63. πρβλ. καὶ Dissert. IIª p. 103, 108, ἐν οἷς ἐξελέγχει τὴν δυσσέβειαν τοῦ Κολλίνου.

νῦν παρ' Ἰουδαίοις ἑβραϊκὸν ὑπάρχει πολλαχοῦ παρηλλαγμένον καὶ διάφορον τοῦ κατὰ τοὺς χρόνους τῶν θείων Ἀποστόλων; Ἀκέραιον ἔτι καὶ γνήσιον ἀνεγίνωσκον τότε πάντες Ἰουδαῖοι καὶ αὐτοὶ οἱ Ἀπόστολοι τὸ κείμενον τὸ ἑβραϊκόν, καὶ κατὰ πάντα τοῖς Ο συμφωνοῦν, καθὼς προαποδέδεικται. Ἡ δὲ τούτου διαφωνία καὶ κολόβωσις γέγονε συνέμπορος καὶ μέγιστον μέρος τῆς ἐπὶ τῆς ἀπίστου Συναγωγῆς ἐπιπεσούσης θεηλάτου ποινῆς.

§. ιε. Καὶ ἐνταῦθα πάρεστιν ἐξετάσαι, εἰ πρὸς τῇ ἀκουσίᾳ διὰ τὰς συμφορὰς λώβῃ καὶ διαφθορᾷ τοῦ ἑβραίου κώδηκος προσετέθη καὶ δολιότης καὶ μεμελετημένη ῥᾳδιουργία τῶν Ἰουδαίων, διαφθείρασα πολλαχοῦ τὸ κείμενον ἑκοντί. Οἱ πλεῖστοι τῶν νεωτέρων κριτικῶν ὑπεραπίζονται τῆς περὶ τοῦτο (καθὼς λέγουσιν) ἀθῳότητος τῶν Ἰουδαίων, ἀπονέμοντες τὰ σφάλματα τοῦ κειμένου εἰς τοὺς ἀντιγραφεῖς καὶ τὰς καταλαβούσας τὸ ἔθνος συμφοράς. Καὶ ὅμως εἰς μάτην οἱ ἄνδρες φιλανθρωπεύονται· τὸ πρᾶγμα δείκνυται βέβαιον. Οἱ Ἰουδαῖοι μετὰ τὴν χριστοκτονίαν ἐβεβήλωσαν καὶ διέφθειραν ἑκοντὶ τὸ θεῖον κείμενον, πράξαντες καὶ τοῦτο τὸ *χεῖρον τῆς μοσχολατρείας* ἀσέβημα (ὡς ἔλεγεν ὁ μάρτυς Ἰουστῖνος πρὸς τὸν Ἰουδαῖον Τρύφωνα, ἀποτροπιαζόμενον τὸ ἔργον καὶ αὐτόν, ὡς μήπω τότε προχωρήσαντος τοῦ κακοῦ). Μαρτυροῦσι δὲ τρανῶς τὸ πρᾶγμα οὐ μόνον οἱ πάλαι πατέρες τῆς Ἐκκλησίας (ὡς ὀψόμεθα παρακατιόντες), ἀλλὰ καὶ αὐτοὶ τῶν νεωτέρων κριτικῶν οἱ ἐπισημότατοι. Ὁ λαμπρὸς Κεννικῶτος ἐφρόνει πρότερον, ὅτι μηδεμίαν μεταβολὴν ἐπέφερον εἰς τὸ κείμενον ἑκουσίως οἱ Ἰουδαῖοι (Διατριβ. Α. σελ. 275). Ἀλλὰ μετὰ πεῖραν καὶ μελέτην εἰκοσιπενταετῆ, ἐπληροφορήθη, τέλος, ὅτι κατὰ τὸν β, αἰῶνα οἱ Ἰουδαῖοι διὰ τὸ θηριῶδες πρὸς τοὺς χριστιανοὺς μῖσος διέφθειραν κακοβούλως χωρία τινὰ τῆς Γραφῆς, μεταποιοῦντες εἰς ἄλλην ἔννοιαν, καὶ μάλιστα τὰς περὶ τοῦ θεανθρώπου Χριστοῦ προφητικὰς μαρτυρίας. Ταῦτα διαῤῥήδην ὡμολόγησεν αὐτὸς πάλιν ὁ εὐκλεὴς Κεννικῶτος (Γενικ. Διατριβ. §. 67)· καὶ φέρει περὶ τούτου παραδείγματα καὶ οὗτος, ὡς καὶ ἄλλοι ἄλλα πρὸ αὐτοῦ, οἷον ὁ Πεζ-

ρώνιος, ὁ Βίστων, ὁ Στάρκιος, ὁ Ὄββην (α), καὶ εἴτις ἕτερος· καταγράφομεν δὲ καὶ ἡμεῖς συντόμως τὰ παραδείγματα.

Τὸ πρώτιστον καὶ μέγιστον καὶ ἀναντίῤῥητον ῥᾳδιούργημα, τὸ περὶ τὴν ΧΡΟΝΟΛΟΓΙΑΝ τολμηθὲν, ὅπερ οἱ καθ' ἡμᾶς μάλιστα κριτικοὶ διετράνωσαν (βλ. ὄπισθ. κεφ. ιε). — Ψαλμ. β, 6, 7. Τὸ «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ» κτλ. διέστρεψαν τὸ «Ἐγὼ δὲ κατέστησα τὸν βασιλέα μου» κτλ. (βλ. ὄπισθ. σελ. 605). — Ψαλμ. η. 2. Ἀντὶ τοῦ «*Κατηρτίσω αἶνον*», ἔγραψαν «*ἐθεμελίωσας ἰσχύν*» (ὄπισθ. σελ. 845). — Ψαλμ. ιη, 4. Ἀντὶ τοῦ «*Ὁ φθόγγος αὐτῶν*» ἔγραψαν «*ἡ γραμμὴ αὐτῶν*» (ὄπισθ. σελ. 423, 613) (β). — Ψαλμ. ιζ, 10. Τὸ «*τὸν ὅσιόν σου*» διέστρεψαν εἰς τὸ *τοὺς ὁσίους σου*. — Ψαλμ. κα, 16. Τὸ «*Ὤρυξαν χεῖράς μου*» διέστρεψαν εἰς τὸ «*ὥσπερ λέων χεῖράς μου*» (ὄπισθ. σελ. 616) (γ). — Ψαλμ. λθ, 7. Τὸ, «*Σῶμα κατηρτίσω μοι*», εἰς

(α) Pezron, Défense de l'antiquité p. 213. sq. — Owen, Enquiry into the present state of the 70. version, pag. 60. — Starck, David Carm. p. 10—17.

(β) Οὐκ ἂν δυναίμην σιγῇ παρελθεῖν καὶ τὴν περὶ τούτου διαφορὰν τῶν ἐκ τοῦ ἑβραϊκοῦ νέων μεταφράσεων. Γράφουσιν οἱ Ο. «Οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν» (οὕτω καὶ ἡ Βουλγ.). Μεταφράζουσι καὶ νῦν ἐκ τοῦ ἑβρ. «Οὐ λόγος καὶ οὐ ῥήματα (non sermo et non verba), ὥστε μὴ ἀκουσθῆναι τὴν φωνὴν αὐτῶν (δηλ. τῶν οὐρανῶν)· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ἡ γραμμὴ αὐτῶν, καὶ εἰς τὸ ἔσχατον τῆς γῆς τὰ ῥήματα αὐτῶν» (Μοντάν.). Ὁ δὲ Λέων Ἰούδας· «Οὐκ' ἔστιν (ἐκείνοις) λόγος, οὐ ῥήματα, οὐδ' ἀκούεται ἡ φωνὴ αὐτῶν. «Εἰς πᾶσαν (ὅμως) τὴν γῆν ἐξῆλθεν ὁ κανὼν (regula) αὐτῶν» κτλ. Ὁ δὲ Τρεμέλλιος καὶ Ἰούνιος, «Οὐκ ἔστι λόγος, οὐδὲ ῥήματα αὐτοῖς, καὶ χωρὶς τούτων κατανοεῖται ἡ φωνὴ αὐτῶν. Εἰς πᾶσαν τὴν γῆν προερχομένης τῆς διαγραφῆς (prodeunte delineatione) αὐτῶν, ἐξῆλθον εἰς τὸ ἄκρον τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Καὶ ὁ Λούθηρος ἀντὶ γραμμῆς ἔγραψε σειράδιον (Schnur)· ὁ δὲ Γάλλος, «ὁ γῦρος αὐτῶν (contour) καλύπτει πᾶσαν τὴν γῆν»· ὥστε, ὅσον ἐκ τῶν γύρων τούτων καὶ διαγραμμισμῶν, σεσίγηται ὁ ἀσίγητος φθόγγος τῶν Ἀποστόλων, εἰς οὓς ὁ θεόπνευστος Παῦλος ἡλληγόρησε τὸ ῥητὸν, κατὰ τὴν πνευματικὴν αὐτοῦ σημασίαν κτλ.

(γ) Ὅτε ὁ τυπογράφος Βομβέργιος ἐδαπάνα εἰς τὴν ὑπὸ τοῦ Χαϊμίδου ἔκδοσιν τῶν ἑβρ. Γραφῶν, ἠθέλησεν ἵνα τυπωθῇ εἰς τὸ κείμενον «Ὤρυξαν (caru, ὡς ἔχουσι καί τινα ἑβρ. ἀντίγραφα, καὶ ἡ μεγάλη Μάσορα)· ἀλλ' οἱ ἐπιστατοῦντες τῇ ἐκδόσει Ἰουδαῖοι οὕτως ἰσχυρῶς ἀντέστησαν, ὥστε ἀνήγγειλαν τῷ Βομβεργίῳ, ὅτι, ἐὰν μὴ τυπωθῇ εἰς τὸ κείμενον «ὥσπερ λέων (caari, ὡς ἔχει τὸ κοινὸν

τὸ «*ὠτία μοι ἐτρύπησας*». — Ψαλμ. ρθ, 3. Ἀντὶ τοῦ «*Μετὰ σοῦ ἡ ἀρχὴ* ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε» ἔγραψαν· «Ὁ λαός μου *εὐλαβειῶν*» (*ἄλλ. ἑτοιμοτήτων*, τουτ. εὐλαβέστατος, ἢ ἑτοιμότατος· ἄλλοι δ' ἄλλως τοῦτο ἐξηγοῦσιν) «ἐν ἡμέρᾳ ἰσχύος σου, ἐν ταῖς εὐπρεπείαις τῆς ἁγιότητος· ἀπὸ μήτρας ἠοῦς σοι δρόσος νεότητός σου» (ὄπισθ. σελ. 402). — Αὐτόθ. στίχ. 4. «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, *κατὰ τὴν τάξιν Μελχισεδὲκ*» (οὕτω καὶ ὁ θεῖος Παῦλος Ῥωμ. ζ). Τοῦτο οἱ ῥαββῖνοι διεστρέβλωσαν οὕτω· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα *κατὰ τὸ ῥῆμά μου*, ὦ Μελχισεδὲκ»!

Ἱερεμ. ια, 19. «Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων· ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν, λέγοντες· δεῦτε καὶ ἐμβάλωμεν *ξύλον εἰς τὸν ἄρτον αὐτοῦ*, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων». Τοῦτο μετέστρεψαν οὕτω· «Κἀγὼ ἤμην ὡς ἀρνίον, (καὶ ὡς) *βοῦς* ἀγόμενος εἰς σφαγήν· καὶ οὐκ ἔγνων ὅτι κατ' ἐμοῦ ἐλογίσαντο λογισμόν. *Διαφθείρωμεν φαρμάκῳ τὴν τροφὴν αὐτοῦ* (ἄλλ. «*τὸ ξύλον* ἐν τῷ ἄρτῳ αὐτοῦ») καὶ ἐκκόψωμεν αὐτὸν» κτλ. (Παγνίν. Μοντάν.). Τοῦτο δὲ καὶ παντελῶς ἐξέκοψαν ἔκ τινων χειρογράφων οἱ Ἰουδαῖοι, ὡς Ἰουστῖνος μαρτυρεῖ (πρὸς Τρύφ. §. 72).

Ζαχαρ. θ, 9. «Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ *σῴζων*, αὐτὸς πραῢς» κτλ. (οἱ Ο, καὶ ἡ Βουλγ. ὁ Σύρος, ὁ Χαλδ. — καὶ ὁ θεῖος Ματθ. κα, 5, ἐπιτομώτερον «Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς»)· καὶ ὧδε τὸ *σῴζων* (ἑβρ. josea, ἢ josua, ὅθεν καὶ τὸ Ἰησοῦς) διέστρεψαν εἰς τὸ *σεσωσμένος* (nosche). — Αὐτόθ. στίχ. 11. «Καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου» κτλ. (οἱ Ο, ἡ Βουλγ.)· τὸ δὲ νῦν ἑβρ. «Καὶ σὺ (Ath, ἐπὶ θηλυκοῦ γένους) ἐν αἵματι διαθήκης σου. Ἐξαπέστειλα τοὺς δεσμίους σου ἐκ

παρ' Ἰουδαίοις κείμενον), οὐδὲν τῶν ἀντιτύπων πωληθήσεται· Τοῦτο τὸ ἀνέκδοτον (ὅπερ ἱκανῶς χαρακτηρίζει τὴν περὶ τὴν διαφθορὰν τῶν εἰς Χριστὸν ἀναφερομένων ἐπισημοτάτων ῥήσεων ἰουδαϊκὴν ἐπιμονὴν) ἱστορεῖ Ἀμάμας ἐκ τοῦ Δρουσίου μαθὼν (Antibarbar. pag. 7. 16. πρβλ. Pezron l. c. p. 192).

λάκκου » κτλ. (ὁ δὲ Παγνίνης πρὸς πλείονα σαφήνειαν τῆς ἰουδαϊκῆς ἐκδοχῆς, γράφει· « Καὶ σὺ *Ἱερουσαλὴμ χαῖρε*, ἐν τῷ αἵματι τῆς διαθήκης σου. » κτλ. καὶ ὁ Τρεμέλλιος. « Σὺ δὲ *βεβαμμένη* τῷ αἵματι τῆς διαθήκης σου » κτλ. Οὕτως ἰουδαΐζουσι καὶ ἄλλαι τῶν νεωτέρων ἑρμηνειῶν. Ἡ δὲ προφητεία ἀνήκει εἰς τὸν Ἰησοῦν. « Καὶ σὺ (φησὶν) *ἐν τῷ αἵματι τῆς διαθήκης σου* (τοῦ ζωηφόρου πάθους σου) ἐξήγαγες ἐξ ᾅδου τοὺς δεσμίους ». Ἱερών. καὶ Κύριλ. Ἀλεξ. ὑπομν. αὐτ.). Οἱ δὲ Ἰουδαῖοι διέστρεψαν τὸ *ἐξαπέστειλας* (sillahtha) εἰς τὸ *ἐξαπέστειλα* (sillahthi), καὶ τὴν φράσιν ἔστρεψαν εἰς γένος θηλυκόν. Ἐφ᾿ ᾧ καὶ Ῥιβέρας ὁ Ἰησουΐτης (ὑπόμν. εἰς Ζαχ. 9), ἄλλως εὔνους Ἰουδαίοις, ἀγανακτεῖ καὶ σφαδάζει κατὰ ταύτης τῆς ῥαδιουργίας αὐτῶν.

Ἀμὼς θ, 12. « Ὅπως *ἐκζητήσωσιν* οἱ κατάλοιποι *τῶν ἀνθρώπων* τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη » κτλ. (οἱ Ο, καὶ Ἰάκωβος ἐν Πράξ. ιε, 17)· τοῦτο μετέστρεψαν οἱ Ἰουδαῖοι οὑτωσί. « Ὅπως *κτήσωνται* τὸ κατάλοιπον *Ἐδὼμ* (τῶν Ἰδουμαίων), καὶ πάντα τὰ ἔθνη » κτλ. (Μοντάν.). Καὶ ἡ προφητεία καὶ ὁ θεόπνευστος Ἰάκωβος λαλοῦσι περὶ τῆς τῶν ἐθνῶν κλήσεως καὶ ἐπιστροφῆς εἰς τὸν Σωτῆρα Κύριον. Περὶ δὲ τῶν Ἰδουμαίων οὐδεὶς λόγος ἐν ὅλῳ τῷ κεφαλαίῳ τῆς προφητείας. Οἱ δὲ τὴν εἰς τὸν Χριστὸν κλῆσιν τῶν ἐθνῶν φρίσσοντες Ἰουδαῖοι (βλ. Πράξ. κϐ, 22, ὅπου « ἀκούσαντες τοῦ Παύλου μέχρι τούτου τοῦ λόγου, *εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε*, ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες· αἶρε ἀπὸ γῆς τοῦτον), διέστρεψαν τὴν προφητείαν εἰς ἣν ὠνειροπόλουν κοσμοκρατορίαν, ὅτι αὐτοὶ *κτήσονται πάντα τὰ ἔθνη* (βλ. Σταρκ. καὶ Κεννικ.).

Ἡσαΐ. λε, 2. (Καὶ ἀγαλλιάσεται) « Τὰ ἔρημα *τοῦ Ἰορδάνου* » (οἱ Ο, Ἰουστῖν. κτλ.) Ἐξέκοψαν τὰς λέξεις πρὸ τοῦ Ἱερωνύμου (διὰ τὸν ἐν Ἰορδάνῃ βαπτισθέντα). — Αὐτ. νγ. 8 (« τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;). Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον » (οἱ Ο, Κλήμ. ὁ Ῥώμης, Ἰουστῖνος, Ὠριγέν. Τερτυλλ. κτλ.). Οἱ δὲ Ἰουδαῖοι (ἔτι ἐπὶ Συμ-

μάχου) διέστρεψαν εἰς τὸ «Ὅτι ἀπεκόπη ἐκ γῆς ζώντων· διὰ τὴν παράβασιν τοῦ λαοῦ μου *πληγὴ αὐτοῖς*». Οὕτως ἀντὶ τοῦ nahug lamoth, *ἤχθη εἰς θάνατον*, ἔγραψαν nega lamo, *πληγὴ αὐτοῖς*, ἤτοι *ἐπλήγησαν* αὐτοὶ *οἱ Ἰουδαῖοι*, ἢ αὐτὸς *ὁ λαός*. «Περὶ ὅλου τοῦ λαοῦ ταῦτα» (ἔλεγεν ὁ σοφὸς Ἰουδαῖος πρὸς Ὠριγένην), «γενομένου ἐν τῇ διασπορᾷ, καὶ *πληγέντος*, ἵνα πολλοὶ προσήλυτοι γένωνται»· ὃν ἐπεστόμισεν Ὠριγένης, ἐξελέγξας τὴν φθορὰν ὡς ἐκ τοῦ προσώπου τῆς προτάσεως· «Εἰ γὰρ (εἶπεν) ὁ *λαός εἰσιν* οἱ προφητευόμενοι, πῶς ἀπὸ τῶν ἀνομιῶν *τοῦ λαοῦ* τοῦ θεοῦ *ἤχθη εἰς θάνατον*, εἰμὴ ἕτερος ὢν παρὰ τὸν λαὸν τοῦ θεοῦ; τίς δ' οὗτος εἰ μὴ Ἰησοῦς Χριστός;» κτλ. (Κατὰ Κέλσ. Α. §. 55). Σημειωτέον δὲ καὶ ὅτι ὁ Ἰουδαῖος λέγει μὲν τὸ *πληγέντος*, πρὸς δὲ τὸ τοῦ Ὠριγένους *ἤχθη εἰς θάνατον* σιωπᾷ. Καὶ φαίνεται ὅτι ἦσαν ἔτι τότε κώδηκες ἰουδαϊκοὶ ἔχοντες τὸ *ἤχθη εἰς θάνατον* (βλ. καὶ Κεννικ. Γενικ. Διατρ. §. 68) (α).

Γεν. ιζ, 14. «Καὶ ἀπερίτμητος ἄρσην, ὃς οὐ περιτμηθήσεται... τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, *ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη* ἐκ τοῦ γένους αὐτῆς» κτλ. (οἱ Ο, ἡ Βουλγ. ὁ ἰουδαῖος Τρύφων

(α) Ὁ Ἡσαΐας συνεχίζει· στίχ. 9. «Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ» («πλουσίους δὲ τοὺς γραμματεῖς καὶ Φαρισαίους καὶ τοὺς ἀρχιερεῖς ἐκάλεσεν· ὡσαύτως καὶ πονηρούς.» Θεοδώρ.). «Ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ» (οὕτω καὶ Α. Πέτρ. β, 20) κτλ. Τὸ δὲ νῦν ἑβρ. «Καὶ ἔδωκε μετὰ τῶν ἀσεβῶν (impiis) τὴν ταφὴν αὐτοῦ, καὶ μετὰ πλουσίου ἐν τοῖς τεθνεῶσιν αὐτοῦ· ὅτι οὐκ ἀδικίαν ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ» (Μοντάν). Ἄλλοι τῶν νεωτέρων ἄλλως ἑρμηνεύουσι καὶ τοῦτο καὶ τὰ ἑξῆς τοῦ στίχου, ἀναπληροῦντες ἔξωθεν ἕκαστος τὰ δοκοῦντα· καὶ οἱ σχολιασταὶ διαπονοῦνται· (πρβλ. καὶ Κεννικώτ. Διατρ. Β. σελ. 360). Καὶ ὁ μὲν Καχὴν ἔπραξε καὶ ὧδε τὸ ἰουδαϊκόν· τὸ γὰρ «τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται» (ὡς ἔχει καὶ τὸ ἑβρ. καὶ Πράξ. η, 33) ἡρμήνευσεν. «Ἐν δὲ τοῖς συγχρόνοις αὐτοῦ τίς λαλεῖ περὶ αὐτοῦ; (et parmis ces contemporains qui est ce qui en parle?)· ἀλλὰ προὔλαβον αὐτὸν ἄλλοι χριστιανοὶ κριτικοὶ (βλ. Rosenmul. Sch. in h. l.) παρομοίως ἐξηγοῦντες, καὶ οὐχ ἧττον ἰουδαϊκῶς ἀπαρνούμενοι τὴν ἐν τούτῳ τῷ ῥητῷ θεολογουμένην ἄρρητον καὶ προαιώνιον γέννησιν τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Πατρὸς (βλ. Ἰουστιν. π. Τρύφων. — Εὐσεβ. Εὐαγ. Ἀποδ. Δ, γ).

ἐν Διαλόγῳ Ἰουστ. Ὠριγέν. καὶ ἄλλοι, καὶ ὁ Φίλων, λέγων· «τὸ δὲ ὀκτὼ ἡμερῶν μετὰ γέννησιν βρέφος τί ἥμαρτεν ὡς καὶ θανάτου τιμωρίαν ὑπομένειν»; βλ. ὄπισθ. σελ. 484). Ἐν τῷ νῦν ἑβρ. ἀφεῖλον οἱ ῥαββῖνοι τὸ «*τῇ ἡμέρᾳ τῇ ὀγδόῃ*, διαφεύγοντες τὴν ποινήν. Ἡ ἐντολὴ διατάσσεται καὶ Λευϊτικ. ιϐ, 3, «Καὶ *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ* περιτεμεῖ τὴν σάρκα τῆς ἀκροϐυστίας αὐτοῦ». Ἀλλ' ὧδε ἡ ποινὴ σεσιώπηται, ὡς ἐν τῇ Γενέσει προνομοθετηθεῖσα. Ὅθεν οἱ Ῥαϐϐῖνοι ἀφεῖλον ἐκεῖ τὸ *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ*, ἵνα μένῃ τοῦ θανάτου ἡ ποινὴ ἁπλῶς ἐπὶ τῶν ὅλως μὴ περιτμηθέντων, μηδ' ὑπάρχῃ ταύτης ἔνοχος, εἴ τις, τυχὸν, μὴ περιτμηθείη ἐν αὐτῇ *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ*. Ἐντεῦθεν πολλὰ περὶ τούτου ληροῦσιν οἱ Ταλμουδικοί. Ἐν δὲ τοῖς, καὶ τὸ ἑξῆς· «Ἐν ἡμέραις συννεφέσι, καὶ εὔρου πνέοντος, *οὔτε περιτέμνομεν*, οὔτε φλέϐα σχάζομεν» (Πεζρών.).—Αὐτ. μθ. 10. ἡ ῥᾳδιουργία τοῦ *Σιλὼ* (ὄπισθ. σελ. 500).

Ἰησ. ιε, 60. Ἐξέκοψαν τὰς ια, κώμας, ἐν αἷς καὶ ἡ Βηθλεὲμ (ὄπισθ. σελ. 553). Ὁ Ἱερώνυμος (Ὑπόμν. εἰς Μιχ. ε) σημειοῖ, ὅτι «ταῦτα εἴτ' ἀπὸ τῶν παλαιῶν βίϐλων ἀπεξέσθησαν ὑπὸ τῆς Ἰουδαίων πονηρίας, *μὴ φανῇ ὁ Χριστὸς ἐκ τῆς φυλῆς Ἰούδα* γεννηθεὶς» (εἰς ἣν ἀνήκουσιν αἱ ἀποξεσθεῖσαι πόλεις) «εἴτε ὑπὸ τῶν Ο προσετέθησαν, — οὐδὲν βέϐαιον ἔγνωμεν». Ἀλλ' ὅτι μὲν οὐ προσετέθησαν ὑπὸ τῶν Ο, μαρτυρεῖ Κιμχὴς ὁ Ἰουδαῖος, ὁμολογῶν, ὅτι «αἱ πόλεις ἀνεγινώσκοντο ἔτι κατ' αὐτὸν ἔν τισι χειρογράφοις» (παρὰ Πεζρωνίῳ). Καὶ εὑρίσκεται μὲν ἐν τῷ προφήτῃ Μιχαίᾳ (ε, 3) ἡ τὴν ἐν Βηθλεὲμ γέννησιν τοῦ Σωτῆρος διακηρύττουσα προφητεία· ἀλλ' οἱ Ἰουδαῖοι μετὰ Χριστὸν συνέκρυπτον, ὅσον ἠδύναντο, τὴν ἀνάμνησιν τῆς Ἰούδα πόλεως Βηθλεὲμ, καὶ μάλιστα τὴν ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ ἀρχαιοτάτην. Ἀκουστέον Ὠριγένους· «Ἐγὼ δ' οἶμαι, ὅτι πρὸ μὲν τῆς Χριστοῦ ἐπιδημίας οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τοῦ λαοῦ διὰ τὸ σαφὲς καὶ ἐναργὲς τῆς προφητείας (Μιχ. ε, 2) ἐδίδασκον, ὅτι ὁ Χριστὸς ἐν Βηθλεὲμ γεννηθήσεται (Ματθ. ϐ, 5: Ἰωάν. ζ, 42). — Μετὰ δὲ τὴν Χριστοῦ ἐπιδημίαν *οἱ πραγματευόμενοι καθελεῖν τὴν περὶ αὐτοῦ ὑπόλη-*

ψιν, ὡς προφητευθέντος ἄνωθεν τοῦ περὶ (ἴσ. γρ. *τοῦ τόπου*) τῆς γενέσεως, τὴν τοιαύτην διδασκαλίαν περιεῖλον ἀπὸ τοῦ λαοῦ» (κ. Κέλσ. Α. §. 51).

Ἐκκλησιαστής. Ὅλον τὸ βιβλίον τοῦ Ἐκκλησιαστοῦ ἤθελον οἱ Ἰουδαῖοι ἀποκρύψαι, συναφαντώσαντες μετὰ τῶν ἄλλων τῶν ἔκπαλαι ἀπαρχαιωθέντων συγγραμμάτων τοῦ Σολομῶντος, ὡς αὐτὸς ὁ Ἱερώνυμος μαρτυρεῖ (Ὑπόμν. εἰς Ἐκκλ. ιϐ). Ὁμολογεῖ δὲ ταύτην αὐτῶν τὴν βουλὴν καὶ αὐτὸ τὸ Ταλμοῦδον, ἐν τῇ *περὶ σαββάτου* πραγματείᾳ (Πεζρών. καὶ Σιμών.).

Σωσάννα. Ὅτι ταύτην τὴν ἱστορίαν ἐξέκοψαν ἐκ τῆς Γραφῆς οἱ Ἰουδαῖοι, διεκήρυξεν Ὠριγένης περίτρανα (βλ. ὄπισθ. σελ. 638).

Καὶ περὶ μὲν τῆς τῶν Ἰουδαίων ἑκουσίας ῥᾳδιουργίας τοσαῦτα. Ὅτι δὲ καὶ Ἀκύλας ὁ τοῦ Ἀκιϐᾶ μαθητής, καὶ Σύμμαχος ὁ Σαμαρείτης ἐτόλμησάν τινας ἐν αὐτῷ τῷ ἰουδαϊκῷ κειμένῳ διαστροφάς, οὐκ ἀπίθανον, ὡς ὀψόμεθα ἐν τοῖς ἑξῆς.

§. ις. Εἴπομεν ἀνωτέρω, ὅτι οἱ πλεῖστοι τῶν νεωτέρων ἀθῳοῦσι τοὺς Ἰουδαίους. Διὰ τί (λέγουσιν) οὐκ ἐξεῖλον καὶ τοσαῦτα ἄλλα προφητεύοντα τὸν Μεσσίαν χωρία; — Ἀλλ' ἐὰν ὁ κλέπτης μὴ κλέψῃ πάντα τὰ ἐν τῇ οἰκίᾳ, διὰ τοῦτο οὐκ ἔκλεψεν οὐδέν; ἐξεῖλον, ἢ διέστρεψαν ὅσα ἠδυνήθησαν, καὶ μάλιστα ὅσα συνεφώνουν πρὸς τὴν Εὐαγγελικὴν ἱστορίαν (ἠκούσαμεν τὴν ἀνωτέρω τοῦ Ὠριγένους μαρτυρίαν). Ἔπειτα καὶ αὐτοὶ περιμένουσι τὸν Μεσσίαν (οἷον αὐτὸν ζωγραφοῦσι). Καὶ τέλος, ἡ πανάγαθος πρόνοια διέσωσεν ἐκ τῆς αὐτῶν ἐπιϐουλῆς τὰ προσήκοντα χωρία *εἰς μαρτύριον αὐτοῖς*. Τελευταῖον, καὶ αὐτῶν τῶν θερμῶν τῆς Ἰουδαϊκῆς ἀθῳότητος προστατῶν ἄνδρες ἐπίσημοι διομολογοῦσι καί τινας ἑκουσίας διαστροφάς. Ὁ κλεινὸς Ἰάννης ᾐτιάσατο τοὺς Ἰουδαίους αὐτοὺς (δέον τοὺς Σαμαρείτας), ὡς διαστρέψαντας τὸ *Γαριζεὶμ* εἰς τὸ *Γαιϐὰλ*, καὶ τἀνάπαλιν (βλ. ὄπισθ. σελ. 19, 34)· ἐφεξῆς προστίθησι καὶ τὸ «*τοὺς ὁσίους σου*» (ψαλμ. ις, 10), καὶ τὸ «*ὥσπερ λέων*» (Κααρί. ψαλμ. κϐ, 17), καὶ τὸ *Σιλὼ* (Γενέσ. μθ, 10), εἰς τοὺς βιϐλιογράφους, καὶ τοὺς διορθωτάς, καὶ τοὺς κτήτορας τῶν

χειρογράφων, ἀποῤῥίπτων τὴν κακουργίαν. Ἀλλ' ὁποῖοι ποτ' ἂν ἦσαν οἱ φθορεῖς οὗτοι υἱοὶ τῆς Συναγωγῆς, Ἰουδαίους αὐτοὺς πάντως καὶ αὐτὸς ὁ κριτικὸς ὁμολογεῖ, καὶ τούτους οὕτω κατισχύσαντας, ὥστε τὰς διαφθορὰς καὶ εἰς τὸ κοινὸν κείμενον εἰσενεγκεῖν. Καὶ ὁ κλεινὸς Εἰχόρνιος (Εἰσαγωγ. Τόμ. α. σελ. 307) ὡμολόγησε τὸ « *ὥσπερ λέων* », ἀνέφερε δὲ καὶ τὸ ἐν Ἡσαΐ. ιθ, 18, τῆς ἐν Αἰγύπτῳ πόλεως ὄνομα *Ἀσεδὲκ* (ὡς ἔχουσιν οἱ Ο), ὃ μετέστρεψαν οἱ Ἰουδαῖοι εἰς τὸ πόλις *Χερὲς* (Heres τουτ. καταστροφῆς), ὡς ἔχει τὸ νῦν ἑβραϊκὸν (κατ' ἄλλην δὲ γραφὴν τὸ ὄνομα σημαίνει καὶ πόλιν Ἡλίου), ἐπὶ καταφρονήσει τῆς Λεοντοπόλεως (τοῦ Ἡλιουπολίτου νομοῦ), εἰς ἣν ἐκτίσθη τὸ Ὀνίειον ἱερὸν (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 29). Πόσα δὲ καὶ ἄλλα ἐνοχοποιοῦσι τοὺς Ἰουδαίους! τῶν Χαλδαϊκῶν Ταργουμίων (καὶ μάλιστα τοῦ Ὀγκέλου) τὸ κῦρος ἐτίμων ἶσα καὶ τῷ κειμένῳ τῆς θείας Γραφῆς (Βάλτ. προλεγ. ιβ, §. 16)· καὶ ὅμως ἐν αὐτοῖς διέστρεψαν τὰς λέξεις, ὅπως συμφωνῶσι πρὸς τὰ σφάλματα τοῦ Μασοραίου κειμένου. Ἐκ τῶν συγγραφῶν τοῦ Κιμχῆ ἐξέκλεψαν τὰς διαφόρους τῆς Γραφῆς ἀναγνώσεις (σελ. 949). Αὐτὸ τὸ ἱερὸν κείμενον ἄλλως μετεποίουν, ἵνα συγκρύπτωσι τὰς ἐπὶ θεοῦ ἀνθρωποπαθείας (βλ. ὄπισθ. σελ. 315)· Ἰουδαῖοι, τέλος, ἦσαν καὶ οἱ περὶ τὸν ψευδαρχιερέα Μανασσῆν, οἵτινες μετὰ τῶν Σαμαρειτῶν ἐῤῥᾳδιούργουν τὰ περὶ τὸ Γαιβὰλ καὶ Γαριζεὶμ (ὄπισθ. σελ. 36)· καὶ ταῦτα μὲν ταύτῃ.

§. ιζ. Κατὰ τὸν α, αἰῶνα γέγραπται καὶ ἡ τοῦ Βαρνάβα ἐπιστολὴ συμφωνοῦσα τοῖς Ο, κατὰ τοῦ νῦν ἑβραϊκοῦ (βλ. ὄπισθ. σελ. 462).

§. ιη. Περὶ δὲ τὰ τέλη τοῦ α, ἢ τὰς ἀρχὰς τοῦ β, αἰῶνος τίθεται ἡ ἐκ τῶν Ο παλαιὰ Ἰτάλα (περὶ ἧς λέγομεν ἐν τῷ ἐφεξῆς βιβλίῳ), ἥτις τά τε ἄλλα ἀντιλέγει τῷ Μασοραίῳ κειμένῳ, καὶ περὶ τὴν χρονολογίαν. Ἐκ ταύτης μάλιστα τῆς Ἰτάλας παρέμεινε καὶ εἰς τὴν Δυτικὴν Ἐκκλησίαν ἡ κατὰ τοὺς Ο χρονολογία, ἣν ἐν τῷ κατ' αὐτὴν *μαρτυρολογίῳ* διατηρεῖ καὶ μέχρι σήμερον (Κεννικ. Γεν. Διατρ. §. 76). Καὶ πάντως ἀνέκαθεν ταύτην τὴν χρονολο-

γίαν ἡ Ῥώμη ἐτήρει, ὡς τῇ Ἰτάλᾳ χρωμένη· πολὺ δὲ μᾶλλον ἐξ ὅτου καὶ Ἱερώνυμος ἡρμήνευσε τὰ κατ᾽ Εὐσέβιον χρονικὰ (βλ. ὄπισθ. σελ. 789).

ιθ. Ἰουστῖνος ὁ Μάρτυς (τῷ 150 μ.Χ.) πρὸς Τρύφωνα τὸν Ἰουδαίων ἄρχοντα διαλεγόμενος, ἐκτίθησι λαμπρῶς τὴν κατὰ τῶν Χριστιανῶν μανίαν τῶν Ἰουδαίων (ἥτις μαρτυρεῖται τρανῶς καὶ ἐν τῇ Καινῇ Διαθήκῃ· βλ. Πράξ. η, 1—3. ια, 1, 2. ιγ, 45. Α. Θεσσαλ. β, 15 κτλ.) «Ὅτι (φησὶ) Χριστιανοῖς ἐν ταῖς συναγωγαῖς κατηρῶντο· καὶ τὸ ὄνομα τοῦ Ἰησοῦ ἐβεβήλουν· ἔλεγον δέ, καὶ ὅτι μὴ καλῶς ἔνια ὑπὸ τῶν Ο ἐξηγήθησαν·» Εἶπε πρὸς τούτοις, ὅτι ἐξέκοψαν οἱ Ἰουδαῖοι καί τινα τῶν ἐν ταῖς Γραφαῖς (ὡς τὸ ἀνωτέρω ῥητὸν τοῦ Ἱερεμίου). Προσετίθη δὲ ὁ μάρτυς πρὸς τὸν Τρύφωνα, καὶ ὅτι τὴν περὶ Χριστοῦ ἀπόδειξιν ἐποιήσατο, «ἀπὸ τῶν ὁμολογουμένων μέχρι νῦν καὶ ὑφ᾽ ὑμῶν· ἃ εἰ *ἐνενοήκεισαν οἱ διδάσκαλοι ὑμῶν, εὖ ἴστε, ὅτι ἀφανῆ ἐπεποιήκεισαν*» (§. 120). Τοῦτ᾽ αὐτὸ καὶ Εἰρηναῖος ἐβεβαίωσε (τῷ 200 μ. Χ.). «Εἴπερ ᾔδεισαν (φησὶν) οἱ Ἰουδαῖοι χρησομένους ἡμᾶς (τοὺς Χριστιανοὺς) ταῖς ἐν ταῖς Γραφαῖς μαρτυρίας, οὐκ ἂν ὤκνησαν αὐτοὶ τὰς ἑαυτῶν κατακαῦσαι Γραφάς» (σελ. 253). Ταύτην τὴν Ἰουδαϊκὴν ἀπόνοιαν, ὡς πρᾶγμα οὐκ ἀπεικός, ἐμαρτύρησε καὶ Εὐσέβιος (Εὐαγ. Ἀποδειξ. βιβλ. ς. προοίμ.), καὶ Ἰώβιος (παρὰ Φωτίῳ Ἀναγν. σκβ. σελ. 628). Ὁ θεῖος Εἰρηναῖος ἐξελέγχει καὶ τὸν Ἀκύλαν καὶ τὸν Θεοδοτίωνα ὡς διαστρέψαντας εἰς τὸ ἰδοὺ *ἡ νεᾶνις* τὸ προφητικὸν «*Ἰδοὺ ἡ παρθένος*» (Ἡσ. ζ, 14), περὶ οὗ καὶ Ἰουστῖνος αὐτὸς τοὺς ἐπὶ Τρύφωνος Ἰουδαίους ἐξήλεγχε. Καὶ τοιαῦτα μὲν οἱ τρεῖς οὗτοι ἑρμηνεῖς (Ἀκύλ. Σύμμ. Θεοδοτ.) ἐῤῥᾳδιούργουν ἐν ταῖς κατ᾽ αὐτοὺς ἑλληνικαῖς ἑρμηνείαις (ἀπὸ τοῦ 128 μέχρι τοῦ 200 μ. Χ.). Ὅτι δὲ καὶ εἰς αὐτὸ τὸ ἑβραϊκὸν ἐπαφῆκάν τινας διαφθορὰς ἀρεστὰς τοῖς Ἰουδαίοις, οὐκ ἀπίθανον ποιοῦσι τὰ ἐφεξῆς. Τὸ ἀνωτέρω δηλωθὲν χωρίον τοῦ Ἡσαΐου «*πληγὴ αὐτοῖς*» (ὡς ἡρμήνευσεν ὁ Σύμμαχος, ἢ «*ἥψατο αὐτῶν*», ὡς ὁ Θεοδοτίων) οὗτοι πρῶτοι, ἴσως, ἔγραψαν ὡς ἔχει καὶ ἐν τῷ νῦν ἑβραϊκῷ, καὶ τὸ μίασμα εἰσέδυ εἰς τὸ κείμενον με-

ταξὺ τοῦ 170 καὶ 200 ἔτους μ. Χ. Οὕτω καὶ ἐν Ὠσηὲ ιγ, 14 ἀντὶ τοῦ *ποῦ*; (ὡς ἔχουσιν οἱ Ο, καὶ ὁ Ἀκύλας), ὁ Σύμμαχος ἔγραψεν «*ἔσομαι*», ψευδίζων τὴν ἐν Α. Κορινθ. ιε, 55, ῥῆσιν τοῦ Ἀποςόλου. Καὶ πάλιν ὁ Ἀκύλας ἐν Γενέσ. δ, 15, ἔγραψε «*διὰ τοῦτο*», ὡς ἔχει καὶ νῦν τὸ ἑβρ., ἀντὶ τοῦ « *οὐχ οὕτω* », ὅπερ ἐξ ἄλλων ἴσως μήπω τῆς Ἀκύλα διαστροφῆς πειραθέντων κωδήκων ἔγραψεν ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων (ὡς ἔχουσι καὶ οἱ Ο, ὁ Σύρος, ἡ Βουλγ.). Ταύτην δὲ τὴν εἰκασίαν μαρτυρεῖ σχόλιον ἀρχαῖον ἐν τῷ ἀνεκδότῳ Βαροκκιανῷ κώδηκι γεγραμμένον, ἐξ οὗ ὁ Κεννικῶτος μετέγραψε μέρος, ἐν ᾧ καὶ ταῦτα. « Ὅτι (ὁ Ἀκύλας) τὸν χριστιανισμὸν ἀναθεματίσας — ἐγένετο ἰουδαῖος· καὶ ἐμπόνως μαθὼν τὴν δύναμιν τῶν ἑβραϊκῶν στοιχείων τῷ 40 ἔτει τῆς ζωῆς αὐτοῦ, καὶ τὴν ἑβραϊκὴν γλῶσσαν ἀκρότατα παιδευθεὶς, ἔκδοσιν ἑαυτῷ (γρ. *ἑαυτοῦ*) δευτέραν (δηλαδὴ μετὰ τὴν τῶν Ο) ἡρμήνευσε, θέλων τὰς περὶ Χριστοῦ μαρτυρίας καλύψαι. Ὅταν οὖν εὕρῃς εἴτε ἐν τῷ ἑβραϊκῷ, **ΚΑΙ ΓΑΡ ΚΑΙ ΕΚΕΙ ΗΦΑΝΙΣΕΝ**, εἴτε ἐν τῷ ἑλληνικῷ, ἐπικεκαλυμμένας τὰς περὶ Χριστοῦ μαρτυρίας, γίνωσκε ὅτι Ἀκύλα ἐςιν ἡ ἐπιβουλή » (α). Ταῦτα ὁ Σχολιαστὴς, οὐκ ἀπεικότα λέγων περὶ τοῦ φίλου μαθητοῦ τοῦ Ἀκκιβᾶ· τοῦτον δὲ πιθανῶς καὶ διὰ τὴν γλῶσσαν, ὡς ἐκ γένους ἑλληνίζοντα, καθὰ καὶ τὸν Θεοδοτίωνα (καὶ τὸν Σύμμαχον αὐτὸν ὡς εὐδόκιμον ἑλληνιστὴν) ἄσμενοι μετεχειρίζοντο συμμάχους οἱ κατὰ Χριστοῦ μανέντες Ἰουδαῖοι.

§. κ. Περὶ τὰ τέλη τοῦ Β, αἰῶνος ἤκμαζεν ὁ Τερτυλλιανὸς (τῷ 180). Οὗτος μνημονεύων τῆς βίβλου τοῦ Ἐνὼχ, λέγει, ὅτι « παρὰ τοῖς Ἰουδαίοις αὕτη φαίνοιτ' ἂν ἀδόκιμος ἤδη, καθὰ καὶ

(α) Kennicot. Dissert. Gener. §. 69. Ὅλον δὲ τὸ Σχόλιον ἀντιγράψας ἐκ τοῦ κώδηκος, ἐξέδωκεν ὁ Βρύνσιος (αὐτόθ.). Μεταγράφομεν δὲ καὶ ἡμεῖς ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ὁ Βρύνσιος προστίθησιν, ὅτι ἀνδρικῶς (ἢ ἀῤῥενικῶς, mascule) ὁ Εἰχόρνιος ὑπερασπίζει τὸν Ἀκύλαν (ἐν Einleit. 1. Bd. p. 342). Καὶ ὅμως, ὅσον ἀῤῥενωπῶς ἀντέστη ὁ νεαρὸς κάλαμος τοῦ Εἰχορνίου, οὐκ ἴσχυσεν ἀποπλῦναι τὸν Ἀκύλαν ἐξ ὧν ἔγραψαν περὶ αὐτοῦ οἱ σύνεγγυς τοῖς χρόνοις γενόμενοι Εἰρηναῖος, καὶ Ἐπιφάνιος, καὶ ἄλλοι τῶν ἀρχαίων.

πάντα σχεδὸν τὰ περὶ Χριστοῦ φθεγγόμενα. Καὶ οὐ θαυμαστὸν εἴ γε καὶ γραφάς τινας οὐκ ἀπεδέξαντο περὶ αὐτοῦ φθεγγομένας, οἳ οὐδ' αὐτὸν ἐδέξαντο παῤῥησίᾳ λαλοῦντα » (σελ. 151, ἐκδ. Παρισ. 1675).

§. κα. Πολὺ τρανώτερα περὶ τῆς τοῦ ἑβραϊκοῦ κειμένου φθορᾶς ἐμαρτύρησεν Ὠριγένης. Διαλεγόμενος περὶ τῆς ἐν Ψαλμ. γ, 8, ἀναγνώσεως τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ (ἣν ἔχει καὶ τανῦν) λέγει, ὅτι « τὰ ἀρχαῖα ἑβραϊκὰ ἀντίγραφα ἑτέρως εἶχον » (βλ. ὄπισθ. σελ. 88). Ἐσημείωσε καὶ ὅτι τὸ « διέλθωμεν εἰς τὸ πεδίον » (Γενέσ. δ. 8.) « *ἐν τῷ ἑβραϊκῷ οὐ γέγραπται* ». Καὶ πρὸ τοῦ « *πιστὸς Κύριος* » (Ψαλμ. ρμδ, 13) προσέγραψεν ὀβελὸν, σημαίνων τὴν τούτου ἔλλειψιν ἐκ τοῦ ἑβραϊκοῦ· ὡσαύτως παρεσήμανε καὶ τοὺς 2, στίχους τοῦ κα, κεφαλ. τοῦ Ἰησοῦ, καὶ ἄλλας προφανεῖς ἐλλείψεις τοῦ κατ' αὐτὸν ἤδη πεπηρωμένου κειμένου. Καὶ περὶ τοῦ « *εἶδεν ὁ Θεὸς ὅτι καλὸν* », λείποντος καὶ τότε ἐκ τοῦ ἑβραϊκοῦ (Γεν. α, 8. βλ. καὶ ὄπισθ. σελ. 451) ἔλεγεν, ὅτι τούτων τῶν λόγων ἡ ἔλλειψις ὑπῆρχε « *πρόβλημα οὐ τὸ τυχὸν* » παρὰ τοῖς Ἰουδαίοις (τόμ. α, σελ. 16). Ὅτι δ' εὐκρινῶς διετράνωσε καὶ τὴν ἐν Ἡσαΐου νγ, 8, κακοήθη τῶν Ἰουδαίων ῥαδιουργίαν, καὶ τὴν ὑπ' αὐτῶν κακουργηθεῖσαν ἐκκοπὴν ὁλοκλήρων τῶν κανονικῶν μερῶν τοῦ Δανιὴλ (τῆς Σωσάννης, καὶ τοῦ Βὴλ καὶ δράκοντος), εἴδομεν ἀνωτέρω. Καὶ περὶ ἄλλου δὲ βιβλίου μὴ κανονικοῦ τὸν λόγον ποιούμενος λέγει, ὅτι « καὶ τοῦτο ὑπὸ Ἰουδαίων ῥεραδιούργηται, λέξεις τινὰς μὴ πρεπούσας παρεμβεβληκότων τῇ γραφῇ »· καὶ πάλιν, « τοὺς νομιζομένους σοφοὺς καὶ ἄρχοντας καὶ πρεσβυτέρους τοῦ λαοῦ ὑπεξελεῖν τὰ τοιαῦτα, ὅσα περιεῖχεν ἑαυτῶν κατηγορίαν ἐν τῷ λαῷ » (Ἐπιςτ. π. Ἀφρικ.). Εἶπε δὲ καὶ ἀλλαχοῦ (τόμ. 3. σελ. 234) ὅτι οἱ Ἰουδαῖοι κιβδηλεύσαντές τινα τῶν ἀντιγράφων, καὶ ἐν Ἱερεμ. ιζ, 1, ἀντὶ τοῦ « ἁμαρτία *Ἰούδα* », ἔγραψαν « ἁμαρτία *αὐτῶν* » (οὕτως Ἱερώνυμος ἐξελατίνισε τὸ χωρίον). Ὅτι δὲ ἐπὶ τοῦ Ὠριγένους τὰ ἑβραϊκὰ ἀντίγραφα διέφερον μὲν τῶν καθ' ἡμᾶς, διέφερον δὲ καὶ πρὸς ἄλληλα, μαρτυρεῖ πρὸς τοῖς

ἄλλοις καὶ τὸ ἐφεξῆς. Ἀποδεικνύων γὰρ ὅτι καὶ παρ᾽ ἑβραίοις ἐν Ἡσαΐᾳ ζ, 14, ἡ πρὸς τὸ *παρθένος* ἀντιστοιχοῦσα ἑβραϊκὴ λέξις, ἡ Ἀλμὰ (καὶ μετὰ τοῦ οἷον ἄρθρου, Ἀαλμὰ) οὐ *νεάνιδα* (ὡς ἡρμήνευσεν Ἀκύλας καὶ Σύμ. καὶ Θεοδ.), ἀλλὰ κυρίως *παρθένον* σημαίνει, ἐπάγει ματυρίαν λαμπρὰν ἐκ τοῦ Δευτερονομίου (κϐ, 23), ὅπου, λέγει, κἀκεῖ ἡ αὐτὴ λέξις (Αλμα) *παρθένον* ἀναντιῤῥήτως σημαίνει (ὡς ἡρμήνευσαν καὶ οἱ Ο. βλ. Ὠριγέν. Α. κ. Κέλσ. §. 34). Ἀλλὰ τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν ἐν Δευτερονομίῳ (κϐ, 23) γράφει οὐκ *Αλμα*, ἀλλ᾽ ἑτέραν ἑβραΐδα λέξιν, *Βεθουλα*, ὃ καὶ τοῦτο παρθένον σημαίνει. Οἱ δὲ περὶ τὸν Ὕέτιον, ἀντὶ τοῦ συνιδεῖν ἐντεῦθεν τὴν πολλαχοῦ, καὶ μάλιστα μετὰ τοὺς Ὠριγένους χρόνους, μεταϐολὴν τοῦ ἑβραϊκοῦ, οἱ δὲ τὸν Ὠριγένην *ἀμαθῆ τῆς ἑβραϊκῆς* ἀποδεικνύειν ἐπειρῶντο, ὡς ἄλλην ἀντ᾽ ἄλλης λέξιν μνημονεύσαντα ἐκ τοῦ Δευτερονομίου (α).

(α) Ὁ δὲ σοφὸς Γεσένιος (Lexic. Hebr. p. 771) διατεινάμενος, ὅτι μόνον τὸ Βεθουλα σημαίνει κυρίως παρθένον ἄφθορον καὶ ἀπείρανδρον, τὸ δὲ Αλμα δηλοῖ κυρίως νέαν (γάμου ὥριμον, ὡς ἐπεξηγεῖ), καὶ ἁπλῶς νεάνιδα, ὡς ἡρμήνευσαν Ἀκύλας καὶ Σύμμ. καὶ Θεοδοτίων ἐν Ἡσαΐᾳ ζ, 14, προστίθησι καὶ ὅτι, κακῶς ἡρμήνευσαν αὐτόθι οἱ Ο, ἰδοὺ ἡ παρθένος (!); Ἀλλ᾽ ἔπειτα ὁ αὐτὸς ἑρμηνεύων καὶ τὸ Βεθουλα (σελ. 185), ἐξηγεῖ καὶ τοῦτο οὐχ ἁπλῶς νεάνιδα, ἀλλὰ καὶ νεόνυμφον, ἢ νεόγαμον, ὡς εὑρίσκεται τῷ ὄντι ἐν Ἰωὴλ α, 8, ὅπου καὶ οἱ Ο γράφουσι νύμφην. Ἀλλ᾽ ὅτι μὲν τὸ Αλμα σημαίνει κυρίως παρθένον, καὶ ταύτην οὐχ ἁπλῶς, ἀλλὰ μετ᾽ ἐπιτάσεως, παρθένον κεκρυμμένην, ἢ ἀπόκρυφον (θαλαμευομένην, κατάκλειστον, Β, Μακκ. γ, 19), ἐδίδαξε σαφῶς ὁ Ἱερώνυμος, προστιθεὶς καὶ ὅτι τοῦτο σημαίνει ἡ λέξις καὶ κατὰ τὴν γλῶσσαν τῶν Φοινίκων (Punicam). Ὅθεν καὶ Ἀκύλας αὐτὸς τὴν Ῥεϐέκκαν (Γενέσ. κδ, 43) ἀπόκρυφον ἡρμήνευσε » (ὅπου πάλιν οἱ Ο, παρθένον) κτλ. (Hieron. Com. in Esaj. 7, 14, καὶ advers. Jovian. T. 4. p. 173. πρϐλ. καὶ ὄπισθ. Βιϐ. Β. σελ. 713). Καὶ αὐτὴ δὲ ἡ Γραφὴ τίθησι τὸ Αλμα καὶ ὡς ἀκριβῶς ἰσοδύναμον τῷ Βεθουλα· αὐτίκα, Γενέσ. κδ, 16, λέγει περὶ τῆς Ῥεϐέκκας, ὅτι « παρθένος ἦν (ἑϐρ. Βεθουλα) - ἀνὴρ οὐκ ἔγνω αὐτήν »· καὶ μετ᾽ ὀλίγον (στίχ. 43) τὴν αὐτὴν Ῥεϐέκκαν ὀνομάζει Αλμα, καὶ πάλιν οἱ Ο, παρθένον. Ἔπειτα καὶ αὐτοὶ οἱ Ο, ἡρμήνευσαν τὸ Αλμα καὶ νεᾶνις, (ὡς ἐν ψαλμ. ξζ, 25: Ἐξοδ. ϐ, 8), ἀλλὰ καὶ ὧδε τὴν λέξιν ἔταξαν ἐπὶ παρθένου νέας, κόρης ἀγάμου· (ὅθεν καὶ ὁ Ζωναρᾶς Λεξ. « Νεᾶνις, ἡ παρθένος· καὶ τὸ τῆς νεανιότητος ὄνομα ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ Γραφὴ τιθέναι »). Ἐπειδὴ δὲ τὸ νεᾶνις ἁπλῶς ὡς ἐκ τῆς ἡλι-

§. κϐ. Ὁ Καισαρείας Εὐσέϐιος, ὁ Παμφίλου (τῷ 320) πλειστάκις ἐμνημόνευσε ῥήσεις τῆς Γραφῆς ἐκ τῶν Ο, ἐχούσας καὶ κατ' αὐτὸν ὡς κἂν τοῖς καθ' ἡμᾶς ἀπογράφοις, πρὸς ἃς διαφέρει τὸ καθ' ἡμᾶς ἑϐραϊκόν. Ἔχει καὶ αὐτὸς τὸ « *Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν* ». Ἀλλὰ καὶ τὸ « *τὰ ἔρημα τοῦ Ἰορδάνου* » (Ἡσ. λε, 2, οἱ Ο, καὶ ὁ Σύρος Ἑξαπλ.) ὁ Εὐσέϐιος μνημονεύει (Εὐαγ. Ἀποδ. σελ. 432). Τούτους δὲ τοὺς Ἡσαΐου λόγους καὶ Ἰουστῖνος πολὺ πρότερον ἐξήνεγκε πρὸς Τρύφωνα τὸν Ἰουδαῖον (Διαλ. §. 69), ὡς προκαταγγέλλοντας Χριστὸν, τὸν ἐν Ἰορδάνῃ βαπτισθέντα. Καὶ ὁ Τρύφων οὐκ ἀντεῖπε πρὸς τὴν ῥῆσιν, ὡς οὐ γέγραπται παρὰ τῷ Ἡσαΐᾳ. Ἐν δὲ τῷ καθ' ἡμᾶς ἑϐραϊκῷ λείπει τὸ ῥητὸν, μετὰ τοὺς Τρύφωνος χρόνους πάντως ἐκπεσὸν, ἢ ἐκκοπέν (ὄπισθ. σελ. 957) Περὶ δὲ τὴν χρονολογίαν ὁ Εὐσέϐιος ἕπεται μὲν Ἀφρικανῷ περὶ οὗ προείπομεν (σελ. 782), λέγει δὲ καὶ, ὅτι « *εὗρε παρ' Ἑϐραίοις διαφόρους τῶν χρόνων ἐκδόσεις, τὴν μὲν πλεονάζουσαν, τὴν δ' ἐνδέουσαν* » (Χρονικ. Β, σελ. 73). Φαίνεται λοιπὸν, ὅτι καὶ ἐπ' αὐτοῦ τὰ ἑϐραϊκὰ χειρόγραφα διεφώνουν περὶ

κίας θεωρούμενον δύναται τεθῆναι καὶ ἐπὶ νέας, ἀνδρὸς πεπειραμένης (ὡς τὸ ἑϐρ. Νααρα, ὅπερ καὶ οἱ Ο, νεάνιδα εἶπον, Δευτ. κϐ, 19,20: Κριτ. ιθ. 4), διὰ τοῦτο τὸ Αλμα οὐδέποτε νεᾶνιν ἐξήγησαν ἐν τόποις ἐμφαντικοῖς, ἀλλ' ἀείποτε παρθένον· καὶ πολὺ μᾶλλον ἐν Ἡσ. ζ,14, ὅπου συνεῖδον οἱ θεοφιλεῖς γέροντες (« τῶν γὰρ ἡμετέρων ὀφθαλμῶν ἐκεῖνοι σαφέστερον ἔϐλεπον ». Χρυσόστ. εἰς Ἡσαΐ. αὐτ.), ὅτι τὸ Ἀαλμὰ (μετὰ τοῦ ἄρθρου) σημαίνει ὁριστικῶς καὶ ἐξαιρέτως ΤΗΝ ἐπίσημον καὶ μόνην τοιαύτην Παρθένον. Οἱ δὲ περὶ τὸν μισόχριστον Ἀκύλαν κακούργως καὶ μοχθηρῶς ἔγραψαν τὸ τῷ Γεσενίῳ ἀρέσκον διφορούμενον νεᾶνις, ἐν ᾧ αὐτὸς ὁ Ἀκύλας ἀλλαχοῦ ἐξήγησε τὴν λέξιν (ὡς εἴπομεν) καὶ ἀπόκρυφον (παρὰ τὸ alam, τὸ κρύπτειν). Ὁ δὲ Γεσένιος (Ἀϐενέσδρᾳ καὶ Γροτίῳ παρακολουθῶν) οὐδ' εἰς τὸ νεᾶνις τοῦ Ἀκύλα ἠρκέσθη· προσέθηκε δὲ καὶ ὅτι τὸ Αλμα ἐν Ἡσαϊ. ζ, 14. σημαίνει νεόγαμον, ὡς τὸ Βεθουλα (φησὶν) ἐν Ἰωὴλ (α, 8). Ἀλλ' ἐκεῖνο μὲν, ὦ Γεσένιε, γέγραπται Βεθουλα, καὶ οἱ Ο, ἐξήγησαν νύμφην, αὐτὸ δὲ τὸ Ἀλμὰ οὐδαμοῦ τῆς Γραφῆς σημαίνει νεόγαμον, οὐδαμοῦ! καὶ μάρτυς σὺ αὐτὸς, οὐδαμόθεν τῆς σημασίας ταύτης μαρτυρίαν ἐπαγαγεῖν δυνηθείς. (ἀπέδειξε δὲ καὶ ὁ κλεινὸς Rosenmül. εἰς Ἡσ. αὐτ.). Ἀλλ' οἱ μὲν Γεσένιοι, Ἀκύλαις, ἣν βούλωνται, καὶ Ῥαϐϐίνοις ἐπιτερπέσθωσαν, τὸ δὲ ἰδοὺ ἡ παρθένος τῶν Ο, ἐκύρωσε Θεὸς διὰ τοῦ ἀγγέλου, καὶ τοῦ Εὐαγγελιστοῦ, καὶ αὐτὸς ὁ υἱὸς τῆς Ἀειπαρθένου, ὁ μεθ' ἡμῶν Θεὸς, ὁ ΕΜΜΑΝΟΥΗΛ (Ματθ. α, 23).

τὴν χρονολογίαν, ὡς ὁ Κεννικῶτος ἐσημείωσε (Γεν. Διατρ. §. 81)· καίτοι πολλοὶ ἄλλοι τοὺς Εὐσεβίου λόγους ἐξέλαβον περὶ τῆς ἐν τῇ χρονολογίᾳ διαφορᾶς τοῦ *παρ' Ἰουδαίοις καὶ τοῦ παρὰ τοῖς Σαμαρείταις* ἑβραϊκοῦ. Ἄλλοι δ' *ἐνδέουσαν* εἶπον τὴν μὴ χρονολογοῦσαν τὸν Καϊνᾶν· (Μάϊος σημ. εἰς Εὐσέβ. αὐτόθ.). Ὥστε (κατ' αὐτοὺς) εὗρεν ὁ Εὐσέβιος κώδηκα ἑβραῖον, ἐν ᾧ ἐχρονολογεῖτο καὶ ὁ Καϊνᾶν.

§. κγ. Τῷ 350 μ. Χ. ἤκμαζεν ὁ Ἐμέσης ἐπίσκοπος Εὐσέβιος, μαθητὴς Εὐσεβίου τοῦ Παμφίλου. Οὗτος ἀναφέρει τὸν Σύμμαχον ὡς συμφωνοῦντα τῷ κατ' αὐτὸν ἑβραϊκῷ κατὰ τὴν χρονολογίαν, καθότι καὶ αὐτὸς ἀφαιρῶν 100 ἐνιαυτοὺς ἀπὸ τῆς προπαιδογόνου τῶν Πατριαρχῶν ἡλικίας, προσετίθει τούτους εἰς τὴν μεταπαιδογονικὴν (βλ. ὄπισθ. σελ. 804). Ἐπειδὴ δὲ ὁ Εὐσέβιος περὶ τοῦ Ἀκύλα καὶ τοῦ Θεοδοτίωνος σιωπᾷ, ἐντεῦθεν ὁ κλεινὸς Κεννικῶτος συμπεραίνει, ὅτι τὴν ἑβραϊκὴν χρονολογίαν διέστρεψε πρῶτος αὐτὸς ὁ Σύμμαχος μετὰ τὸν Θεοδοτίωνα. Μαρτυρεῖ δὲ (λέγει) καὶ Θεόφιλος ὁ Ἀντιοχείας (τῷ 175 μ. Χ.), χρονολογῶν ἀπὸ μὲν Κ. Κ. μέχρι κατακλυσμοῦ 2242, ἔκτοτε δὲ μέχρις Ἀβραὰμ 1036, καὶ τέλος, 5507, ἀπὸ Κ. Κ. μέχρι Χριστοῦ· καὶ ταύτην τὴν χρονολογίαν ἀναφέρει ὡς ἐν ταῖς *θείαις Γραφαῖς* περιεχομένην, καὶ θεῖον ἔχουσαν κῦρος· διαφορὰν δὲ μεταξὺ τῆς ἑβραϊκῆς καὶ τῆς τῶν Ο γραφῆς περὶ τὴν χρονολογίαν οὐδεμίαν ὁ Θεόφιλος μνημονεύει. Ὥστε μετὰ τοῦτον διαφθάρη τὸ ἑβραϊκὸν (Κεννικ. §. 82). Ἀλλ' ὁ μὲν ἱερὸς Θεόφιλος μίαν καὶ μόνην εἰδὼς καὶ τιμῶν γνησίαν γραφὴν, ἣν παρέλαβε παρὰ τῶν Ἀποστόλων ἡ Ἐκκλησία, τὴν τῶν Ο, ταύτῃ παρηκολούθει χρονολογῶν· τοῦ δὲ παρ' Ἰουδαίοις ἑβραϊκοῦ κειμένου οὔτ' ἔχρηζεν, οὔτε μνείαν ὅλως ἐποιεῖτο. Ὁ δ' Ἐμεσηνὸς Εὐσέβιος οὐκ εἶπε πρῶτον ἢ μόνον τὸν *Σύμμαχον*, ἀλλὰ μετὰ τούτου συνάπτει καὶ τὸν *Ἑβραῖον* οὕτω χρονολογοῦντα (βλ. τὴν ῥῆσιν ὄπισθ. σελ. 906). Ὥστε ἡ περὶ τὴν χρονολογίαν λώβη τοῦ ἑβραϊκοῦ φαίνεται ἤδη γενομένη μεταξὺ τῶν Ἀκύλα χρόνων καὶ τοῦ Συμμάχου, καθὰ προείρηται (σελ. 84).

§. κδ. Ἐφραὶμ ὁ Σύρος (τελευτήσας τῷ 378), ἐμαρτύρησε τὴν ὑπὸ τῶν Ἰουδαίων ἑκουσίαν τῆς χρονολογίας διαστροφὴν, ὡς προείδομεν (σελ. 805).

§. κε. Ὁ Ἱερώνυμος ἔζησεν ἔτη 91 (ἀπὸ τοῦ 329 ἕως 420). Ἠσχολήθη περὶ τὴν μελέτην τῶν θείων Γραφῶν σπουδαιότατα. Ἀπὸ τοῦ 370 ἕως τοῦ 380 διώρθου τὴν ἐκ τῶν Ο παλαιὰν Ἰτάλαν, πρὸς αὐτὴν πάλιν τὴν ἑρμηνείαν τῶν Ο παραβάλλων. Ἀπὸ τοῦ 380 ἕως τοῦ 390, ἐμάνθανε τὰ ἑβραϊκὰ, ῥαββίνοις χρώμενος διδασκάλοις. Ἀπὸ τοῦ 390 ἕως τοῦ 407, μεθηρμήνευσεν ἐκ τοῦ ἑβραϊκοῦ τὴν κατ' αὐτὸν ἑρμηνείαν (τὴν Βουλγάταν). Οὗτος τοίνυν α) παρετήρησε τοὺς τότε κώδηκας τῶν Ἑβραίων διαφέροντας πρός τε τὸ ἑβραϊκὸν κείμενον τῶν Ἑξαπλῶν, καὶ πρὸς ἀλλήλους, καὶ τούτων διαφόρους παραλλαγὰς ἐσημείωσεν, ὡς προαποδέδεικται (σελ. 97—99). β) Διέγραψεν εὐκρινῶς τὸ καὶ τότε κατὰ τῶν Χριστιανῶν σφαδάζον μῖσος τῶν Ἰουδαίων· «τρὶς (λέγει) τῆς ἡμέρας οἱ Ἰουδαῖοι ἐν ταῖς συναγωγαῖς τῷ Χριστῷ καταρῶνται ὑπὸ τὸ ὄνομα τῶν Ναζαρηνῶν, καὶ πολλὰς βλασφημίας κατὰ χριστιανῶν ἐπισωρεύουσι» (τόμ. γ. σελ. 353, 377)· προστίθησι καὶ ὅτι «Ἐν ταῖς περὶ Χριστοῦ προφητείαις εἰώθασι στρέφειν τὰ νῶτα, καὶ ψεύδει τὴν ἀλήθειαν συγκαλύπτειν (τόμ. δ. 311, 757). Καὶ τέλος, μαρτυρεῖ, ὅτι «Κατὰ πάντα τρόπον σπουδάζουσι τὰς περὶ Χριστοῦ προφητείας ἀνατρέπειν» (α). Καὶ τὴν Ἀκύλα ἑρμηνείαν, ὡς σπουδῇ τῶν Ἰουδαίων γενομένην, ὑπωπτεύετο, ὡς ἔοικεν, ὁ Ἱερώνυμος λέγων· «Ἀντιπαραβάλλω πρὸς τὰ ἑβραϊκὰ βιβλία τὴν Ἀκύλα ἑρμηνείαν, μήποτε διὰ τὸ πρὸς τὸν Χριστὸν μῖσος ἠλλοίωσέ τινα ἡ Συναγωγή» (τόμ. δ, 61). Καὶ τὸν Ἀκύλαν δὲ καὶ τὸν Θεοδοτίωνα καὶ τὸν Σύμμαχον ὀνομάζει ἰουδαΐζοντας αἱρετικοὺς, οἳ πολλὰ τοῦ Σωτῆρος μυστήρια δολίᾳ ἑρμηνείᾳ συνέκρυψαν (τόμ. α, 797). γ) Ἔτι σαφέστερον αἰτιᾶται τοὺς Ἰου-

(α) «Omni ratione conantur de Christo evertere prophetias, T. 3. p. 1732 καὶ 361.

δαίους ὡς οἵους τε ὄντας διαφθείρειν τὰς Γραφὰς διὰ μοχθηρίαν, ὡς ἠκούσαμεν αὐτὸν πρὸ μικροῦ διαλεγόμενον περὶ τῆς ἐκ τοῦ ἑβραϊκοῦ ἐλλείψεως τῶν ια, κωμῶν τοῦ ιε, κεφαλαίου τοῦ Ἰησοῦ. Καὶ πάλιν εἰς Γαλάτ. γ, 10, διαλαμβάνων περὶ τοῦ «ἐπικατάρατος πᾶς οὐκ ἐμμένει ἐν *πᾶσι* τοῖς γεγραμμένοις» κτλ. (Δευτ. κζ, 26), ὅπου ἔλειπε καὶ τότε, ὡς καὶ νῦν, τὸ *πᾶσι* ἐκ τοῦ ἑβρ., ἐπιφέρει. «Μάτην οὖν ὑπεξεῖλον τοῦτο (τὸ *πᾶσιν*) οἱ Ἰουδαῖοι, ἵνα μὴ δοκῶσιν ὑπὸ κατάραν εἶναι, εἰ μὴ δύναιντο πληρῶσαι πάντα (τὰ τοῦ νόμου)· ἀλλὰ κἀν ταῖς παλαιοτέραις βίβλοις τοῦ ἑτέρου ἔθνους (τῶν Σαμαρειτῶν) κεῖται τοῦτο τὸ *πᾶσιν*». Ἀλλ᾽ ὅμως ὁ μακάριος Ἱερώνυμος ἀλλαχοῦ πολλαχοῦ προΐσταται τῆς *ἑβραϊκῆς ἀληθείας*, ἀδιάφθορον τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν κείμενον θεωρῶν, διὸ καὶ οὐχ ἅπαξ ὤξυνε τὸν κάλαμον κατὰ τῶν Ο. Περὶ ταύτης τῆς ἀστασίας τοῦ Πατρὸς διαληψόμεθα ἐν τῷ ἐφεξῆς βιβλίῳ πλατύτερον, ἐκτιθέντες ἅπαντας οὓς ἐπιφέρει λόγους. Τοῦτο δὲ μόνον ἐνταῦθα προσκείσθω, ὅτι τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν διαφέρει ἐν πολλοῖς τοῦ κατὰ τοὺς Ἱερωνύμου χρόνους, ὡς ἀποδείκνυται ἔκ τε τῆς Βουλγάτας (βλ. ὄπισθ. κεφ. κδ) καὶ ἐξ ὧν αὐτὸς ὁ Ἱερώνυμος ἐν τοῖς ὑπομνήμασιν ἐσημείωσεν ἀναγνώσεων (α).

§. κϛ. Καὶ ὁ θεῖος Χρυσόστομος (τῷ 400) ἐξελέγχει τοὺς Ἰουδαίους ὡς πολλὰ τῆς θείας Γραφῆς διαφθείραντας (εἰς Ματθ. Ὁμιλ. ε, καὶ θ, καὶ εἰς Ἠσαΐ. ζ, 14).

§. κζ. Ὁ μακάριος Ἐπιφάνιος (ἐτελεύτα τῷ 403), ἔχει τρὶς τὸν Καϊνᾶν τὸν Ἀρφαξὰδ (βλ. ὄπισθ. σελ. 734), καὶ τὰς ἀναγνώσεις ἐκφέρει κατὰ τοὺς Ο, ἐν οἷς διαφέρει τὸ νῦν ἑβρ., ὡσαύτως καὶ τὴν χρονολογίαν· βεβαιοῖ δὲ καὶ αὐτὸς, ὅτι τρὶς καθ᾽ ἑκάστην οἱ Ἰουδαῖοι

(α) Βλ. ὄπισθ. σελ. 99. Οὕτω καὶ Τόμ. 2. 650 λέγει «Ἐν ψαλμῷ οζ (ἑβρ. οη) 69, τὸ ἑβραϊκὸν γράφει εἰς τὴν γῆν» — ἀλλὰ τὸ νῦν κείμενον ἔχει «ὡς τὴν γῆν» — Τόμ. 2, 655 λέγει· «Ἐν ψαλμ. ρα (ρβ) 7 «τὸ ἑβρ. γράφει bos»· ἀλλ᾽ ἤδη γράφεται kos (νυκτικόραξ). Εἰς Ὠσηὲ, ε, 13 ἀνέγνω Jarib, ἄλλοι δὲ, λέγει, κακῶς ἀναγινώσκουσι Jarim»· καὶ ὅμως ἤδη γράφεται Jareb. Εἰς Ἀββ. γ, 2 γρά-

ἐν ταῖς Συναγωγαῖς τοῖς Ναζωραίοις, ὡς χριστιανοῖς, κατηρῶντο (τόμ. α. σελ. 124).

§. κη. Ὁ ἱερὸς Αὐγουστῖνος (ἐτελεύτα τῷ 430), ἐπέπληττε τῷ Ἱερωνύμῳ ἕνεκα τῆς νέας ἐκ τοῦ ἑβρ. μεταφράσεως· καὶ τοὺς Ο οὐκ ἄνευ θείας ἐπιπνοίας ἡρμηνευκότας ἐφρόνει (λέγομεν *περὶ* τούτων ἐν τῷ Δ, βιβλίῳ). Τρὶς ἀναφέρει τὸ « καὶ ἴδεν ὁ Θεὸς ὅτι καλὸν » (οὕτω καὶ ὁ ἱερὸς Ἀμβρόσιος, τῷ 397, καὶ πρὸ τούτου ὁ Μ. Βασίλειος), καὶ πολλαχοῦ δὲ τοῖς Ο συμφωνεῖ κατὰ λέξιν ἀκριβῶς, ἐν οἷς τὸ ἑβρ. διαφέρει· μνημονεύει δὲ καί τινας λέγοντας, ὅτι οἱ Ἰουδαῖοι φθονοῦντες ἡμῖν, διότι ὁ νόμος καὶ οἱ προφῆται μετέβησαν εἰς ἡμᾶς, ἠλλοίωσάν τινα ἐν τοῖς ἑαυτῶν ἀπογράφοις, ἵνα τὸ κῦρος τῶν ἡμετέρων ἐλαττωθῇ· ἀλλὰ ταύτην, λέγει, τὴν γνώμην, ἢ ὑπόνοιαν, ἐκλαμβανέτω ἕκαστος ὡς ἂν αὐτῷ δόξῃ (περὶ Πόλ. Θεοῦ ΙΕ, 16). Ἐφεξῆς δὲ (κεφ. 13) καὶ ἀπίθανον λέγει τὸ τοὺς Ἰουδαίους ἑκοντὶ καὶ ἐκ πονηρίας διαφθεῖραι τοὺς παρ᾽ αὐτοῖς πολυπληθεστάτους κώδηκας· ἀλλ᾽ οὐδὲ τοὺς Ο καταδικάζει· καὶ, τέλος, ἔκρινε καθόλου, ὅτι « ἐκείνῃ μᾶλλον τῇ γλώσσῃ πιστευτέον, ἐξ ἧς γέγονεν ἡ τοῦ συγγράμματος ἑρμηνεία ». Καὶ ταῦτα τοῦ Πατρὸς φαίνονταί πως, ὅτι ἀντιφάσκουσι πρὸς τὰ ἀνωτέρω. Ἀλλ᾽ ὅμως οὐδεὶς τοῦ ἱεροῦ Αὐγουστίνου λαμπρότερον καὶ πυκνότερον ἐμαρτύρησε τὴν ἔξοχον ὑπεροχὴν τῶν Ο (ὡς ὀψόμεθα ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς). Ἔπειτα καὶ ἄλλως ἠγνόει τὴν μανίαν καὶ κακεντρέχειαν τῶν Ἰουδαίων· (βλ. Μορῖνον, Οὐόσσιον, Πεζρώνιον, πρβλ. καὶ ὄπισθ. σελ. 110).

φει « ἀναγινώσκομεν heina »· ἀλλ᾽ ἤδη γράφεται hajuhu. — Εἰς Σοφ. β. 9, lolam ἀλλ᾽ ἤδη γράφεται ad olam. — Ἐν Ἀββ. β, 19, « ἰστέον λέγει ὅτι ἔν τισι κώδηξιν οὐ γέγραπται τὸ π ᾶ ν (πνεῦμα) ». Καὶ ὅμως ἤδη γράφεται ἐν τῷ ἑβρ. (καὶ παρὰ τοῖς Ο). Ἐν Ἀμὼς δ, 13 γράφει « εἰ καὶ οἱ Ο, ἡρμήνευσαν τὸν Χριστὸν αὐτοῦ messicho, ἀλλ᾽ ὅμως (λέγει) τὰ γράμματα λέγουσι ma sicho (τί τὸ φ ώ ν η μ α αὐτοῦ). Ὥστε (φησὶν ὁ Κεννικῶτος) ἡ λέξις αὕτη πρὸ τοῦ Ἱερωνύμου διαφθαρεῖσα, ἔτι μᾶλλον ἐφεξῆς διεφθάρη, ὅθεν προῆλθεν ἡ νῦν ἐπικρατοῦσα διάφορος γραφή. Ἄλλα πλείονα βλ. παρὰ Kennicot. Diss. Gen. 84.

§. κθ. Καὶ (περὶ τὸ 400) Σουλπίκιος ὁ Σεβῆρος (ὃν ὁ ἱερὸς Αὐγουστῖνος ἄνδρα παιδείας ἔμπλεων καὶ σοφίας ἀποκαλεῖ), ἀρυσάμενος τὴν ἑαυτοῦ χρονολογίαν, ὡς λέγει ῥητῶς, ἐκ τῶν θείων Γραφῶν, ἀφίσταται παντάπασιν ἐκ τοῦ ἑβραϊκοῦ. Τόν τε γὰρ Καϊνᾶν τοῦ Ἀρφαξὰδ καταλέγει (κατὰ τοὺς Ο), καὶ τὴν γέννησιν τοῦ Ἀβραὰμ τίθησι τῷ 1070 μετὰ τὸν κατακλυσμὸν, καὶ ἀπὸ Κ. Κ. μέχρι Χ. ἀριθμεῖ 5469 (βλ. ὄπισθ. σελ. 784).

§. λ. Τῷ 676 μ. Χ. Ἰουλιανὸς ἐπίσκοπος Τολήτου κατεξελέγχων τὴν περὶ τὴν χρονολογίαν κολόβωσιν τοῦ ἑβρ. κειμένου (βλ. ὄπισθ. σελ. 819), ἔγραφε ταῦτα « Ὅτι ἡ κιβδηλία τῶν Ἰουδαίων ἠβουλήθη ἐνώπιόν σου (ὦ χριστιανὲ) διορίσαι τὰς ἡλικίας τοῦ αἰῶνος, καθ' οὓς ἔκλεψαν ἐνιαυτοὺς ἐκ τῶν κωδήκων αὐτῶν· μὴ σύ γε παρεκκλίνῃς εἰς τὸ τῆς πλάνης πνεῦμα, ἀλλ' ἐπάνελθε εἰς τὸ τῆς ἀληθείας » κτλ. Οὕτω γὰρ ἐσέβοντο καὶ τότε κατὰ τὴν Δύσιν καὶ οἱ ὀλίγοι πεπαιδευμένοι καὶ οἱ λαοὶ τὴν κατὰ τοὺς Ο χρονολογίαν, ὥστε ὁ (περὶ τὸ 720) Βενεράβιλις Βέδας, αἱρετικὸς ἐνομίσθη, διότι παρεδέχετο τὴν ἑβραϊκὴν χρονολογίαν (ὄπισθ. σελ. 787). Ὡμολόγει δὲ ὅμως καὶ οὗτος τὸ σφαλερὸν τοῦ ἑβρ. κειμένου, ὡς ὅτε ἔγραφεν (ἐν Γενέσ. 1, 4), ὅτι παρὰ τὸ Δοδανὶμ (ὡς ἔχει τὸ ἑβρ.) ὀρθότερον τὸ Ῥοδανὶμ (ὡς οἱ Ο) κτλ. Ὁ δὲ κλεινὸς Ὅδιος (σελ. 408), καίτοι ταῦτα μνημονεύων, διατείνεται ὅμως « ὅτι ὁ Βέδας ἐν τοῖς εἰς τὴν Γένεσιν ὑπομνηματισμοῖς *οὐκ ἔστιν ὅπου* οὐκ ἐσεβάσθη *τὴν ἑβραϊκὴν ἀλήθειαν* ».

§. λα. Τῷ 792 συνέγραφε Γεώργιος ὁ Σύγκελλος τὸ ἐξαίρετον σύνταγμα τῆς κατ' αὐτὸν χρονολογίας, καθ' ἣν τίθησι τὴν Χριστοῦ γέννησιν τῷ 5500. Καὶ συνανακηρύττει μετὰ τοῦ Εὐσεβίου ὡς μόνην κυρίαν, καὶ ἐν τῇ καθ' ὅλην τὴν οἰκουμένην Ἐκκλησίᾳ κρατοῦσαν τὴν ἐξ ἀδιαστρόφου τῶν Ἑβραίων Γραφῆς γενομένην ἑρμηνείαν τῶν Ο. Καὶ ὅτι οἱ Ἰουδαῖοι ἐτόλμησαν συστεῖλαι τοὺς πρὸ τῆς παιδοποιΐας χρόνους τῶν πατριαρχῶν (βλ. ὄπισθ. σελ. 804, 835). Καὶ τὸν Καϊνᾶν τοῦ Ἀρφαξὰδ ἐν τῷ

καταλόγῳ κατέγραψεν, ὃν παρέλιπεν ὁ Εὐσέβιος. Ὅθεν ἐπὶ τούτῳ δικαίως ὁ Σύγκελλος ἀγανακτῶν, ἀνακράζει· «Θαυμάσαι δέ μοι μεγάλως ἔπεστιν, ὅπως ὁ αὐτὸς κατά τινας κληθεὶς φρόνιμος Εὐσέβιος, δηλαδὴ κατ᾽ ἀντίφρασιν, οὕτω προδήλως ταῖς θείαις Γραφαῖς ἀντειπεῖν τετόλμηκε» κτλ. (Σύγκελ. σελ. 318). Ἐμνημόνευσε δὲ καὶ τὸ καθ᾽ ὅλην τὴν μετὰ τὸν κατακλυσμὸν χρονολογίαν τοῖς Ο συμφωνοῦν «Σαμαρειτικὸν ἀρχαιότατον, καὶ τοῖς χαρακτῆρσι διαλλάττον, ὃ καὶ ἀληθὲς εἶναι καὶ πρῶτον ἑβραῖοι καθομολογοῦσι» (σελ. 156). Μετὰ τοῦ Συγκέλλου συναριθμείσθωσαν καὶ πάντες οἱ καὶ πρότερον καὶ ὕστερον αὐτοῦ (ἀπὸ τοῦ 400 ἐπὶ Ἀνιανοῦ καὶ Πανοδώρου, ἕως τοῦ 1300) γενόμενοι ἐκκλησιαστικοὶ ἱστορικοὶ καὶ χρονογράφοι (ἐν οἷς καὶ τὸ ὑπὸ Μαΐου πρῶτον ἐκδοθὲν [ἐν Νέᾳ Συλλογῇ Ἀρχαίων Συγγραφ. τ. α. σελ. 1] *Χρονογράφιον σύντομον ἐκ τῶν Εὐσεβίου* τοῦ Παμφίλου *πονημάτων*), οἵτινες χρονολογοῦντες κατὰ τοὺς Ο, ἐξελέγχουσι τὴν πλάνην τοῦ Ἰουδαϊκοῦ κειμένου· καὶ πρὸ πάντων δύο θεοσύλλεκτοι καὶ Οἰκουμενικαὶ Σύνοδοι, ἡ Ε καὶ ἡ Ζ (βλ. ὄπισθ. σελ. 784, 785).

§. λϐ. Ἐνταῦθα, τοῦ χρόνου καλοῦντος, καὶ τῆς Βουλγάτας πάλιν ἐπιμνηστέον. Μετὰ τὸ 797 ἡ Βουλγάτα ὑπέστη μεταβολάς. Ἱστορεῖ Βαρόνιος, ὅτι ἐξ ἐπιταγῆς Καρόλου τοῦ λεγομένου Μάγνου (κατ᾽ ἀντίφρασιν) ὁ διδάσκαλος αὐτοῦ Ἀλκουῖνος ἐθεώρησε τὴν λατινικὴν ἑρμηνείαν, διορθῶν αὐτὴν ἐκ *τῶν ἀρχαιοτέρων καὶ ἀληθεστέρων πηγῶν* (evetustioribas ac verioribus fontibus). Ὁ δὲ Ἀλκουῖνος οὗτος, ὅσον ἂν ὑποτεθῇ τῆς ἑβραΐδος ἔμπειρος, εἴπερ ἐνόμιζεν (ὡς ἐνόμιζε) τὸ ἑβρ. πάσης κηλῖδος ἀμίαντον, πολλὰ δὴ πάντως τὴν Βουλγάταν κατ᾽ ἐκεῖνο διώρθωσε, προσάγων αὐτὴν ὡς ἔγγιστα πρὸς ὅπερ ὑπελάμβανε γνήσιον *ἀρχέτυπον* (ὃ καὶ Ὅδιος μαρτυρεῖ, σελ. 407). Ἐφεξῆς δὲ πάλιν ἡ Βουλγάτα δὶς καὶ τρὶς διωρθώθη πρὸς τὸ Μασοραῖον κείμενον προστριβεῖσα (ὄπισθ. σελ. 103). Πολλὰς δ᾽ εὑρίσκουσιν ἐν αὐτῇ τὰς ἐκ τῶν διορθώσεων τούτων μεταβολάς. Καί τινα τῶν ἐν αὐτῇ σφαλμάτων εἰς ταύτας, ἴσως, ἀνήκουσι τὰς διορθώσεις μᾶλλον, ἢ εἰς αὐτὸν τὸν

μακάριον Ἱερώνυμον, καὶ μάλιστα ὅσων τὰς ἀναγνώσεις ἄλλως ὁ πατὴρ ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν ἀναφέρει· οἷον τὸ « αἰνεῖτε ἔθνη τὸν λαὸν αὐτοῦ» (βλ. ὄπισθ. σελ. 540), ἀνθ' οὗ ὁ Ἱερώνυμος (τ. γ. 366, καὶ 1252) γράφει τὸ γνήσιον. « Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ » (βλ. Κεννικ. Γεν. Διατρ. §. 84, καὶ Μορῖν. σελ. 126).

§. λγ. Φώτιον δὲ τὸν φερώνυμον καὶ σοφώτατον ἔν τε Πατριάρχαις καὶ διδασκάλοις τῆς εὐσεβείας, ἔν τε πολυΐδμοσι φιλολόγοις καὶ κριτικοῖς (τῷ 857 μ. Χ.), πῶς ἂν παρέλθοιμεν σιγῇ; Οὗτος (ἵνα παραλίπωμεν τὰς ἐν τοῖς Ἀμφιλοχίοις καὶ τοῖς ἄλλοις, τοῖς ὅλων θησαυρῶν πολυτιμοτέροις αὐτοῦ συγγράμμασιν, ἐμφερομένας κατὰ τοὺς Ο ῥήσεις καὶ ἐξηγήσεις τῆς θείας Γραφῆς) διέσωσεν εἰς ἡμᾶς καὶ τὸ τοῦ Μοψουεστίας Θεοδώρου ἀπόσπασμα, ἐν ᾧ οὗτος κατακρίνει « τὸν ἀπὸ δύσεως Ἀρὰμ » (τὸν Ἱερώνυμον λέγων) «διὰ τὸ ἀπώσασθαι μὲν τὴν τῆς θείας καὶ παλαιᾶς Γραφῆς, ἣν οἱ Ο συνεληλυθότες ἐκδεδώκασι μετάφρασιν, – ἑβραίοις δέ τισι τῶν χαμαιπετῶν ἑαυτὸν ἐκδεδωκότα, ἐκεῖθεν θαῤῥῆσαι ἰδίαν ἔκδοσιν ἀναγράφειν» (Φωτ. ἀναγν. ροζ, βλ. καὶ ὄπισθ. σελ. 373). Ἀλλὰ μεταβαίνωμεν ἤδη καὶ εἰς νεωτέρους χρόνους ἐξετάσοντες τὰ κατὰ τὴν δυτικωτέραν Εὐρώπην.

§. λδ. Ἀφ' οὗ τῶν Ἰουδαίων αἱ σχολαὶ κατεσβέσθησαν ἐν τῇ Ἀνατολῇ (τῷ 1040), πολλοὶ ῥαββῖνοι κατέφυγον εἰς τὴν Δύσιν. Ἐξῆν δὲ τότε τούτοις εἰς διαφόρους τοῖς Εὐρώπης διασπείρεσθαι χώρας. Ἔκτοτε τοίνυν ἤρξαντο οἱ Εὐρωπαῖοι χριστιανοὶ μανθάνειν παρ' αὐτῶν τὴν ἑβραϊκὴν γλῶσσαν· καὶ πρὸς ταύτην τὴν σπουδὴν ἐφιλοτιμοῦντο καὶ ἄνδρες τῶν οὐκ ἀσήμων. Λαμφράγκιος καὶ Ἄνσελμος, ἀμφότεροι Καντορβερίας ἀρχιεπίσκοποι, ἐξιόντος ἤδη τοῦ ια, αἰῶνος, ὑπῆρξαν ἐν τοῖς πρώτοις διδαχθεῖσι τὴν ἑβραϊκήν. Εἰσιόντος δὲ τοῦ ιβ, αἰῶνος, Ὕγων ὁ τοῦ Βίκτωρος (Hugo de S. Victor), καὶ Νικόλαος ὁ Καρδινάλις ἐφημίσθησαν ἀπὸ τούτου τοῦ εἴδους τῶν σπουδασμάτων. Ὡσαύτως καὶ κατὰ τὸν ιγ, αἰῶνα Γροσθῆδος (Grosthead) ὁ ἐπίσκοπος, καὶ Ῥογῆ-

ρος ὁ Βάκων, καὶ εἴ τις ἕτερος. Ὁ δὲ Ῥαϋμοῦνδος ὁ Πενναφόρτις (τῷ 1250) ἐν Τολήτῳ τῆς Ἱσπανίας νόμον ἔθετο τοῖς Δομινικανοῖς μοναχοῖς, διατάσσων, ἵνα δῶσιν ἑαυτοὺς ὁλοθύμως τῇ σπουδῇ τῆς Ἑβραϊκῆς καὶ Ἀραβικῆς. Καὶ Ἰάκωβος ὁ Ταῤῥακῶνος βασιλεὺς ἔπεμψε Παῦλον τὸν ἐξ Ἰουδαίων, μετακομίσοντα κώδηκας ἑβραίους ἐκ τῶν Ἰουδαϊκῶν Συναγωγῶν (Βόλφ. Βιβλιοθ. Ἑβρ. Τόμ. α. σελ. 1016). Ὅτε δὲ ἐκ τῆς Ἀγγλίας ἐδιώχθησαν ἀγεληδὸν 16,511 Ἰουδαῖοι (τῷ 1289), οὐκ ὀλίγοι τούτων κώδηκες ἑβραῖοι ἠγοράσθησαν παρὰ τοῦ Βάκωνος καὶ τῶν Φραγκισκανῶν αὐτοῦ συναδελφῶν ἐν Ὀξωνίῳ. Ἐκ τούτων ἴσως τῶν κωδήκων καὶ Νόστρας ὁ φιλόσοφος ἐπὶ τοσοῦτον προέκοψε παιδευθείς, ὥστε περὶ τοῦ ἑβρ. κειμένου ἐθρασύνετο καὶ ταῦτα. «Ἠπίστατο μὲν γλώσσας ἀκριβῶς ὁ Ἱερώνυμος· ἐπειδὴ δὲ παρ᾽ ἀνδράσιν ἐκκλησιακοῖς κιβδηλευτὴς ἐνομίζετο, οὐκ ἐτόλμησε πανταχοῦ μεθερμηνεῦσαι *κατὰ τὴν ἑβραϊκὴν ἀλήθειαν*· πολλὰ δὲ χωρία μετέφρασεν *ἐναντίον τῆς ἀληθείας*»! Ταῦτα καὶ Ὅδιος ἐσημείωσεν *ὀρχουμένῳ καλάμῳ* (σελ. 429).

§. λε. Περὶ τὰ μέσα τοῦ ιγ, αἰῶνος ἤκμασεν ὁ Ἀβουλφεράγιος, Ἄραψ συγγραφεὺς τῆς ἱστορίας *τῶν Δυναστειῶν*. Οὗτος ἀνεκήρυξεν, ὅτι «Ἡ περὶ τὴν χρονολογίαν ἔλλειψις ἀνήκει εἰς τοὺς ῥαββίνους τῶν Ἰουδαίων, οἵτινες ἐτεχνεύσαντο τοῦτο τὸ ψεῦδος, ἵνα μὴ δέξωνται τὸν Χριστόν. Ἐπειδὴ γὰρ προκατήγγελτο ἐν τῷ Νόμῳ καὶ τοῖς Προφήταις, ὅτι ὁ Μεσσίας ἔμελλεν ἐπιφανήσεσθαι ἐπ᾽ ἐσχάτων τῶν χρόνων (κατὰ τὴν ς, χιλιετηρίδα), μετέβαλον τὰς ἡλικίας τῶν ἀνθρώπων, δι᾽ ὧν διαγινώσκεται ἡ ἐποχὴ τῆς κοσμογονίας, ὑπεξελόντες ἀνὰ 100 ἔτη ἐκ τῆς προπαιδογόνου ζωῆς τῶν ἀπὸ Ἀδὰμ μέχρις Ἀβραὰμ πατριαρχῶν. Διὰ τούτου δὲ τοῦ τῶν χρόνων ἐπιλογισμοῦ ἀπεδείκνυον τὸν Χριστὸν ἐλθόντα κατὰ τὴν ε, (τετάρτην) χιλιετηρίδα, καὶ ἔλεγον· «Ἡμεῖς ἤδη ἐσμὲν ἐν τῷ μέσῳ τῶν χρόνων, καὶ οὔπω πάρεστιν ὁ καιρὸς τῆς ἐλεύσεως τοῦ Μεσσίου». Ἀλλ᾽ ἡ χρονολογία τῶν Ο ἀποδείκνυσι τὸν Χριστὸν φανερωθέντα κατὰ τὴν ς, χιλιετίαν, ἐπιστάντος ἤδη

τοῦ καιροῦ». Κατὰ τὸ 1257 καὶ ἄλλος Ἄραψ, ὁ Ῥαχέβου παῖς (Ebn Raheb) συνέγραψε τὸ *Ἀνατολικὸν Χρονικόν*, ὅπερ ὁ σοφὸς ἐξέδωκεν Ἀβραὰμ ὁ Ἐκκελλήσιος ὁ Σύρος. Ἐν δὲ τῷ χρονικῷ τούτῳ γέγραπται, ὅτι οἱ Ἰουδαῖοι ἀπέξυσαν ἐκ τῶν κατ᾽ αὐτοὺς κωδήκων τὸν Καϊνᾶν τοῦ Ἀρφαξάδ. Καὶ ἀπὸ Κ. Κ. μέχρι Χ. ἀριθμεῖ ἔτη 5500. Ὁ δὲ Ἐκκελλήσιος ἐν ἰδίῳ παραρτήματι προστίθησι καὶ ἐκ τοῦ Ἰσμαὴλ τοῦ Σιαχινσὰχ, ἄραβος καὶ τούτου, μαρτυρίαν, ὅτι τὰ τῶν Ἀνατολικῶν Ἰουδαίων χειρόγραφα διαφέρουσι τῶν παρὰ τοῖς Δυτικοῖς κατὰ τὴν χρονολογίαν (ὄπισθ. σελ. 708), καὶ ὅτι τὴν κατὰ τοὺς Ο ἑρμηνείαν οὐ μόνον οἱ χριστιανοὶ τῆς Ἀνατολῆς, ἀλλὰ καὶ αὐτοὶ οἱ Ἄραβες ἀποδέχονται μάλιστα καὶ τιμῶσιν ὡς μόνην γνησίαν (βλ. Κεννικ. §. 93). Ἡμεῖς δὲ πάλιν ἀπίωμεν εἰς τοὺς Δυτικούς.

§. λϛ. Τῷ 1284, Ῥαϋμοῦνδος ὁ Μαρτῖνος, ἐν ᾧ συνέγραψε *Πύκτη τῆς πίστεως* (Pugio fidei), πολλὰ κατηγορεῖ τῆς Ἰουδαίων ἀπιστίας, ἕνεκα τῶν διαφθορῶν, ὧν εἰσήγαγον εἰς τοὺς ἑβραϊκοὺς κώδηκας. « Μηδόλως (φησὶν) ἀμφιγνοητέον, ὅτι οἱ Ἰουδαῖοι ἐκ τοῦ μὴ ἱεροῦ (μέρους τῆς ἱστορίας), τουτέστιν ἐκ τῶν χρόνων τοῦ Κύρου καὶ τῶν ἄλλων βασιλέων ἐξέκλεψαν τὰ προειρημένα (ἔτη). Ἐπειδὴ καὶ ἐκ τῆς ἱερᾶς Γραφῆς, μαρτυρούντων καὶ αὐτῶν τῶν παρ᾽ αὐτοῖς βιβλίων, εὑρίσκονται πολλὰ κεκλεμμένα, μεγάλης ἱεροσυλίας καὶ κακουργίας ἐσχάτης ὑπεύθυνα », καὶ φέρει τούτων παραδείγματα (σελ. 227, 411).

§. λζ. Πόρχετος ὁ ἀπὸ Συλβατικῶν (τῷ 1315) περὶ τὴν ἀνάγνωσιν τοῦ Ταλμούδου καὶ τῶν παλαιῶν ῥαββίνων ἐν τοῖς μάλιστα γεγυμνασμένος, ἐν ᾗ συνέγραψε « *Νίκῃ κατὰ τῶν ἀπίστων Ἰουδαίων* », ἀπέδειξεν ἐξ αὐτῶν τῶν ῥαββινικῶν λόγων « Ὅτι πολλὰ μὲν καὶ τοῦ παντὸς ἄξια ἀπέξυσαν ἐκ τῶν ἱερῶν σελίδων (τοῦ ἑβραίου κώδηκος) οἱ Ἰουδαῖοι, πολλὰ δὲ προσέθηκαν, τὰ δὲ καὶ μετέβαλον »· καὶ φέρει παραδείγματα (Μορῖν. σελ. 9).

§. λη. Νικόλαος ὁ Λυρανὸς ἐξ Ἰουδαίων (τῷ 1330), καίτοι πολλαχοῦ ὑπερασπίζων τὸ ἑβρ. κείμενον, ὁμολογεῖ ὅμως, ὅτι μά-

λιστα φυλακτέον ἐν τοῖς χωρίοις τῆς Π. Διαθήκης, ὅσα περὶ τῆς θεότητος τοῦ Χριστοῦ διαλαμβάνουσιν, ἐξ ὧν τινα οἱ Ἰουδαῖοι διέφθειραν πρὸς ὑπεράσπισιν τῆς ἰδίας πλάνης» (παρ' Ὀδίῳ σελ. 431).

§. λθ. Ῥαδοῦλφος (ἢ Ῥιχάρδος) ὁ Ἀρμαχάνος (ἀπέθανε τῷ 1359), εἶπε τὴν Βουλγάταν ἡρμηνευμένην ἐξ ἑβραίου κώδηκος διεφθαρμένου ὑπὸ τῶν μ. Χ. Ἰουδαίων, ἐν ᾧ μνημονεύει χωρίῳ (βλ. Ὅδιον σελ. 432).

§. μ. Παῦλος ὁ ἐξ Ἰουδαίων, Βουργίας ἐπίσκοπος (τῷ 1430) ἐπικυροῖ τὴν μαρτυρίαν τοῦ Λυρανοῦ καὶ τοῦ Ῥαϋμούνδου, συμμαρτυρῶν καὶ αὐτὸς τὴν ὑπὸ τῶν Ἰουδαίων ἐν πολλοῖς διαφθορὰν τῶν Γραφῶν, καὶ θεατρίζει μάλιστα τὴν τοῦ « *ὤρυξαν* » εἰς τὸ « *ὥσπερ λέων* » διαστροφὴν (Μορῖν. σελ. 8).

§. μα. Ὁ δὲ γενναῖος Τόστατος (Tostatus) τῷ 1450 γράφει ταῦτα (εἰς Ἀριθμ. κδ. Ζητήμ. γ). « Ἑβραῖοί τινες κώδηκες οὐ μόνον περὶ τὴν στίξιν ἔν τισι χωρίοις διὰ πλάνην ἀντιγραφέων διεφθάρησαν, ἀλλὰ καὶ κατὰ στίχους ὁλοκλήρους εἰσὶν ἐλλειπεῖς.— Οὐδὲν γὰρ ἀπαίσιον, εἴ τις λέγοι τὰς τῶν Ἰουδαίων βίβλους κατὰ τόπους διεφθαρμένας, οὐδ' ἔστιν ἐφ' ᾧ τοὺς γραφεῖς αὐτῶν ἀναμαρτήτους ὁμολογήσομεν· καὶ ταῦτα μειζόνων σφαλμάτων ἐν τοῖς βιβλίοις αὐτῶν ὑπαρχόντων·— καθὰ φαίνεται ἐκ τοῦ κα, κεφαλαίου τοῦ Ἰησοῦ. Ὅτε μεθερμήνευσεν ὁ Ἱερώνυμος, οὐκ ἦν ἐλλειπὴς τῆς ῥήσεως ταύτης ἡ Βίβλος.— Καὶ τοῦτο κείσθω μέγα κατὰ τῶν Ἰουδαίων ἐπιχείρημα. Συμβαίνει γὰρ ἡμῖν ἐνίοτε συζητεῖν πρὸς αὐτοὺς περί τινων εἰς τὸν Μεσσίαν ἀναφερομένων ῥητῶν, ἐν οἷς τὸ ἡμέτερον γράμμα οὐκ ἔχει, ὡς τὸ παρ' αὐτοῖς. Λέγουσι δὲ, ὅτι, ὅπου ἡ καθ' ἡμᾶς γραφὴ διαφέρει τῆς κατ' αὐτοὺς, πεπλάνηται· καὶ ὅτι οἱ γραφεῖς αὐτῶν εἰσὶν ἀναμάρτητοι » !

§. μβ. Ἰακ. Περέζης, ὁ Δεβαλεντίας (περὶ τὰ 1450) ἐν τοῖς ῥαββινικοῖς βιβλίοις ἄγαν ἐσπουδακὼς, διηγεῖται τὰ ἐφεξῆς. « Μετὰ τὴν τοῦ Μ. Κωνσταντίνου ἐπιστροφὴν, οἱ ῥαββῖνοι καθορῶντες πάντας μονονοὺ τοὺς ἐθνικοὺς, καὶ αὐτῶν δὲ τῶν Ἰουδαίων ἄπειρα πλήθη προθύμως εἰς τὴν τοῦ Χριστοῦ πίστιν προσερχομένους,

συνηθροίσθησαν ἐν Αἰγύπτῳ· — καὶ αὐτοῦ μάλα πεφυλαγμένως, ὅσον ἠδύναντο, ἐπειράθησαν διαστρέψαι τὰς Γραφὰς ἀπὸ τῆς ἀληθοῦς αὐτῶν ἐννοίας· ὅθεν ἔπλασαν τὰ στίγματα ἀντὶ τῶν φωνηέντων, καὶ τὰ βιβλία τοῦ Ταλμούδου » (παρ' Ὀδίῳ σελ. 442).

§. μγ. Μαρσίλιος Φικῖνος (περὶ τὸ 1450) ἔγραψεν ἐν τῷ περὶ Χριστιαν. Θρησκείας (κεφ. 30), ὅτι « Ἐν ταῖς πρὸς Ἰουδαίους φιλονεικίαις ἄγαν ἀσμένως μετεχειρίζετο τὴν κατὰ τοὺς Ο ἑρμηνείαν, ἵνα νικήσῃ τοὺς ἐναντίους ὅπλοις κραταιοῖς ἑβραίων περιφανῶν ». Ὁ δ' αὐτὸς σημειοῖ καί τινας ἀναγνώσεις τοῦ ἑβραϊκοῦ διεφθαρμένας (βλ. Κεννικ. Γεν. Διατρ. §. 101).

§. μδ. Τελευτῶντος τοῦ 15 αἰῶνος καὶ εἰσιόντος τοῦ 16 πολλοὶ καὶ διάσημοι τῷ τότε σοφοὶ κατεπείσθησαν μετὰ πληροφορίας, ὅτι τὸ ἑβραϊκὸν κείμενον οὐ φέρει τὴν γνησίαν ἐν πᾶσιν ἀκεραιότητα καὶ ὁλοκληρίαν. Ὅθεν καὶ λίαν ἐσπούδασαν εἰς συνάθροισιν χειρογράφων ἑβραϊκῶν. Ἄκουε τὸν Καρδινάλιν Ἐγίδιον (ἐπιστολῇ πρὸς Γάσπαριν τὸν Ἄμμωνα τῷ 1515)· « Μεγίστους ἡμῖν θησαυρούς, πλούτη, βασιλείας παρέξεις, ἐὰν τοῦθ' ἡμῖν διαπράξῃς, ὅπως εὕρωμεν κώδηκας ἑβραίους. Ἀντὶ τούτων ἐσόμεθά σοι διὰ παντὸς ταῖς σειραῖς τῶν ἀξιομίσθων ἀρετῶν σου δεδεσμευμένοι ».

§. με. Πέτρος Γαλατῖνος (τῷ 1500), Γερμανός, μοναχὸς τοῦ τάγματος τῶν Φραγγισκανῶν, οὐδόλως ἀμφέβαλλεν, ὅτι « *οἱ Ἰουδαῖοι διέφθειραν τὰς γραφάς* » (βλ. Πεζρών. σελ. 139).

§. μϛ. Αὐγουστῖνος Ἰουστινιανὸς (τῷ 1516) ἠρίθμησεν, ὡς λέγει ἐν τοῖς εἰς τοὺς ψαλμοὺς αὐτοῦ Σχολίοις, κατὰ πλάτος τοὺς ὑπὸ τῶν Ἰουδαίων διεφθαρμένους τόπους τῆς Γραφῆς (Μορῖν. σελ. 11).

§. μζ. Βαπτίστας ὁ ἐκ Μαντούης (τῷ 1516), ὅστις πρὸς τῇ ἐγκυκλίῳ παιδείᾳ, ἢ (καθ' Ὅδιον εἰπεῖν) πρὸς τοῖς *ἀστυκωτέροις γράμμασι* (litteris politioribus) εἶχε συνάψας καὶ τὴν ἐπιστήμην τῆς ἑβραϊκῆς γλώσσης, ὑπερασπίζεται τῆς Βουλγάτας κατὰ τῶν Ἰουδαίων, προστιθεὶς μεταξὺ ἄλλων, καὶ ὅτι ὁ Ἱερώνυμος ἐν τοῖς κατ' αὐτὸν ἑβραίοις κώδηξιν ἄλλως ἀνέγνω· ἔστι δ' ὅπου καὶ καθάπτεται τοῦ Ἱερωνύμου. Ἐν τῷ 110 ψαλμῷ

(λέγει) καθ' ὅλην τὴν Ἀνατολικὴν καὶ Δυτικὴν Ἐκκλησίαν κοινῶς ἀναγινώσκομεν « *πρὸ ἑωσφόρου ἐγέννησά σε* »· ταύτην δὲ τὴν ἐμβριθεστάτην ῥῆσιν ὁ Ἱερώνυμος ἄλλως ἡρμήνευσε, μεταφράζων ἐκ τῆς κατ' αὐτὸν ἑβραίας ἀληθείας ». Ἀλλ' ἔμελλε πάντως ὁ Βαπτίστας πολλῷ μᾶλλον τιμῆσαι τὰς ἀρχαίας ἑρμηνείας (τὴν τῶν Ο καὶ τὴν Ἰτάλαν), εἴ περ ἐγίνωσκε τότε, ὅτι καὶ ἐν 64 ὅλοις ἑβρ. χειρογράφοις ἀναγινώσκεται τὴν σήμερον τὸ « *ἐγέννησά σε* ». Ὅθεν καὶ ὁ περικλεὴς Ἄγγλος Ἱορτῖνος δημοσίως ἀνεκήρυξεν, ὅτι κατὰ τὴν ἑρμηνείαν τῶν Ο τοῦτο τὸ χωρίον καὶ ἐν τῷ ἑβρ. κειμένῳ διορθωτέον.

§. μη. Ζβίγγλιος (τῷ 1518) ἐπαινεῖται μάλιστα παρὰ τοῦ Γραβίου, λέγων ταῦτα « Ἄπειρά εἰσι χωρία, ἐν οἷς ἐναργῶς ἀποδείκνυνται οἱ Ο ἄλλως τε καὶ κάλλιον ἀνεγνωκότες, παρὸ μετὰ ταῦτα οἱ ῥαββῖνοι ἀνέγνων. Ταῦτα δὲ πάντα ὀρθῶς γινώσκουσιν ὅσοι κρίσει ὑγιεῖ καὶ ἀρτίᾳ τὴν ἐκείνων ἑρμηνείαν παραβάλλουσι πρὸς τὸ ἑβραϊκόν » κτλ. Ὁ δ' αὐτὸς καὶ ῥητῶς (εἰς Ἱερεμ. νβ, 28–30) ἀποφαίνεται, ὅτι « τὸ νῦν ἑβραϊκὸν κείμενον καταπεπόνηται πολλαῖς διασκευαῖς καὶ παρεγγραφαῖς ».

§. μθ. Αὐγουστῖνος ὁ Στεῦχος (τῷ 1529) « Νομίζω, φησὶ (Σχολ. εἰς Γενέσ. μθ.) ὅτι τοῦτο τὸ χωρίον (τὸ « ᾧ ἀπόκειται ») διέφθειραν οἱ Ἰουδαῖοι (γράψαντες Σιλώ), οἷα καὶ ἄλλα πλεῖστα εὕρομεν ὑπ' αὐτῶν διεστραμμένα, ὅπου ἡ φθορὰ ἠδύνατο γενέσθαι ἀψοφητί· καὶ ἐν ἄλλοις πολλοῖς χωρίοις μεταβέβληται τὸ ἑβραϊκὸν ἐκ παραδρομῆς τῶν ἀντιγραφέων » (Μορῖν. σελ. 13).

§. ν. Μαρτῖνος ὁ Λούθηρος (ἀπέθανε τῷ 1546) ἡρμήνευσε τὴν παλαιὰν Γραφὴν ἐκ τοῦ ἑβρ. Ταύτην δέ τινες τὴν ἑρμηνείαν ἔψεξαν ὡς ἀποχωροῦσαν μακρὰν τοῦ κειμένου. Ἀλλ' ἔπειτα ἡ μετάφρασις ἀντιβληθεῖσα πρὸς τὸ κείμενον τῆς κατὰ τὸ 1494 ἐκδοθείσης ἑβρ. Γραφῆς, ᾗ περ ἐχρήσατο Λούθηρος, εὑρέθη σύμφωνος ἐν τόποις οὐκ ὀλίγοις, καθ' οὓς διαφέρουσι ταύτης τῆς ἐκδόσεως οἱ νεώτεροι ἑβρ. κώδηκες. Οἷον ἐν Ἰεζεκ. ε, 7, αἱ νεώτεραι ἐκδόσεις (καὶ οἱ Ο) γράφουσι « Κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν

τῶν κύκλῳ ὑμῶν ΟΥΚ ἐποιήσατε». Ταύτην δὲ τὴν ἄρνησιν οὐκ ἔχει ἡ τοῦ Λουθήρου μετάφρασις, καὶ ὁ πάντα εὐχερῶς κατασκευάζων, καὶ ἐξ ἄμμου (τὸ τοῦ λόγου) *πέττων ἄρτον τρισκοπάνιστον*, σοφώτατος Γλάσσιος ἀπεφήνατο, ὅτι «ὁ Λούθηρος ἀπέβλεψε πρὸς τὸ νόημα, *οὐ πρὸς τὰς λέξεις*». Ἀλλ᾽ ἡ ἄρνησις εὑρέθη λείπουσα καὶ ἐν ἄλλοις 25 ἑβρ. χειρογράφοις· καὶ τοῦτ᾽ ἐλέγομεν ἐν τοῖς ἔμπροσθεν (σελ. 925), ὅτι αἱ νεώτεραι μεταφράσεις μαρτυροῦσι τὰ σφάλματα τοῦ ἑβραϊκοῦ, πρὸς οἷς καὶ αὐταὶ προσέκρουσαν. Ἄλλως δὲ, οὐδ᾽ αὐτὸς ὁ Λούθηρος ἐφρόνει λίαν εὐμενῆ καὶ πιστὰ περὶ τοῦ ἑβρ. κειμένου. Συνεβούλευε μὴ ταχέως πιστεύειν τοῖς ῥαββίνοις, οἳ καὶ τὸν Ἱερώνυμον ἐξηπάτησαν (βλ. ὄπισθ. σελ. 98). Εἶπεν, ὅτι ἡ τῶν Ἰουδαίων εἰς τὸ γράμμα τοῦ παρ᾽ αὐτοῖς ἀποδεδεγμένου κειμένου δεισιδαίμων προσήλωσις, καὶ τὰ τῶν ἐξηγητῶν παραδείγματα — παρεξωθοῦσι τοὺς ἑρμηνεῖς εἰς τὰς ὑφερπούσας Ἰουδαϊκὰς φαντασίας. Καὶ τοῦτο (λέγει) βλέπω συμβεβηκὸς ἅπασι σχεδὸν τοῖς μεταφρασταῖς, μηδ᾽ αὐτοῦ (φησὶν) ἐμοῦ ἐξαιρουμένου». Ὡμολόγησε καὶ ὅτι «τὰς Αὐγουστίνου καὶ τῶν τούτῳ παρομοίων συγγραφέων ἐξηγήσεις, (καὶ προςίθησι ῥητῶς) ἤτοι, *τῶν Ἀποστόλων αὐτῶν*, προτιμᾷ πολὺ μᾶλλον, ἢ τὰς τῶν Ἰουδαίων· καὶ τούτους μηδὲν μελλήσας, αὐτοῖς αὐτῶν ἐξηγηταῖς, καὶ αὐτοῖς στίγμασι καὶ κεραίαις τῶν ἑβραϊκῶν γραμμάτων παραπέμπει, *ὅπου ἄξιοί εἰσι*». Προσέθηκε καὶ ὅτι «μετὰ τῶν Ο ἑρμηνευτῶν συμπαραμένει, οἵτινες (φησὶ) καὶ ἐν ἄλλοις χωρίοις οὐκ οἶδ᾽ ὁποῖόν τι θειότερον ἔχουσι νόημα, καίτοι πολλάκις ἀπὸ τῆς κυρίας τῶν (ἑβραϊκῶν) ῥημάτων σημασίας ἀποχωροῦντες» (τόμ. 6. σελ. 20, λατιν. ἐκδ. Ἰέν.)· καὶ τέλος, ὅτι οἱ Ἰουδαῖοι πρὸ 1500 ἐτῶν (πρὸ αὐτοῦ) ἐφ᾽ ὅσον ἠδυνήθησαν διὰ τῶν στίξεων καὶ διαιρέσεων καὶ συζυγιῶν ἀποστρέψαι τὴν παλαιὰν Γραφὴν ἀπὸ τοῦ Χριστοῦ καὶ τῆς Καινῆς Διαθήκης, ἄγαν ἐπιμελῶς τοῦτο ἔπραξαν» (βλ. τὰς ῥήσεις κατὰ πλάτος παρ᾽ Ὀδίῳ σελ. 552 κτξ.).

§. να. Ἰωάννης ὁ Κοχλαῖος (τῷ 1543) δυτικὸς, «Ἀσμένως πάνυ (φησὶν) ἐπιδοκιμάζω τὴν Λουθήρου γνώμην, ἣν τῆτες (1543)

ἐξήνεγκεν· «Ὅτι οἱ πρὸς τὸν Μεσσίαν οὕτως ἀπίςως προσφερόμενοι Ἰουδαῖοι ἀδυνάτως ἔχουσι καὶ ἐν στίχῳ γοῦν ἑνὶ τὸν Μωϋσῆν ὀρθῶς κατανοῆσαι»· καὶ, ὅτι πρὸ 1500 ἐτῶν ἤδη διέστρεψαν τὴν Γραφὴν διὰ τῶν στίξεων» (καὶ τῶν ἄλλων, ὅσα ἔλεγεν ἀνωτέρω ὁ Λούθηρος) Μορῖν. σελ. 16.

§. νϐ. Ὁ Βιϐλίανδρος (ἀπέθανε τῷ 1564) ὡμολόγει, ὅτι ἐμπεπαλαίωνται σφάλματα ἐν τοῖς ἑϐρ. βιϐλίοις ὑπὸ τῆς τοῦ χρόνου φορᾶς (βλ. Καπελ. Κριτικ. σελ. 418, καὶ ὄπισθ. σελ. 322).

§. νγ. Ἐν τῇ Τριδεντινῇ Συνόδῳ τῶν Δυτικῶν (τῷ 1546) ἐψηφίσθη, ὅτι τέσσαρες μεγάλαι καταχρήσεις εἰσέφρησαν περὶ τὴν θείαν Γραφὴν, ὧν δευτέρα καταλέγεται, « *ἡ πληθὺς τῶν σφαλμάτων, ἅπερ κατεμίαναν τὴν Λατινικὴν, καὶ Ἑλληνικὴν, καὶ τὴν Ἑϐραϊκὴν Γραφήν* ». Καὶ τούτου τοῦ πράγματος ἡ ἐξέτασις ἠνάγκασε τὸν Μαδρούκκιον (Madruccium), ἵνα κατὰ τὰς διαϐοήτους ἐκείνας συζητήσεις καὶ διαμάχας ἐκρήξῃ παραθέρμως τὰς ἐφεξῆς φωνάς· « Εἴθε μὴ ἤρχοντο μηδέποτ' ἐνταῦθα τῶν ἑλληνικῶν καὶ τῶν ἑϐραϊκῶν γραμμάτων καθηγηταί. Οὐ γὰρ ἂν οὕτως ἤδη κατετρύχετο τοιαύταις συμφοραῖς ἡ Ἐκκλησία » (παρ' Ὀδίῳ, σελ. 489). Ἀλλ' ὁ μὲν Μαδρούκκιος (Γερμανίας ἐπίσκοπος) οὐ πάνυ δικαίως ἀνέφερεν εἰς τοὺς διδασκάλους τῆς ἑλληνικῆς καὶ ἑϐραϊκῆς τὰς τότε βαρείας τῆς παπικῆς Ἐκκλησίας συμφοράς. Αὐτὴ δὲ ἡ Τριδεντινὴ Σύνοδος, καίτοι πανδήμως Οἰκουμενικὴν ἑαυτὴν ἀνακηρύξασα (ἐκ 5, καρδιναλίων καὶ 48, ἐπισκόπων συγκροτουμένη), τῆς μὲν ἑλληνικῆς Γραφῆς ἐκάθητο πάντῃ ξένος καὶ ἀκατάλληλος δικαστής. Ἐπειδὴ δὲ καὶ τὴν *ἑϐραϊκὴν* ἐπέγνω φέρουσαν σφαλμάτων πληθὺν, ὤφειλεν, ἴσως, μηδὲ τὴν πρὸ μικροῦ ἐκδοθεῖσαν τοῦ Παγνίνου μετάφρασιν ὑπομεῖναι. Αὐτὴν δὲ τὴν Βουλγάταν ἡ Σύνοδος ἐψηφίσατο ἐκδίδοσθαι τοῦ λοιποῦ εἰς ἄκρον διωρθωμένην (βλ. τοῦ Παλλαϐικίνου τὴν ἱστορίαν τῆς ἐν Τριδέντῳ Συνόδου, Βιϐλ. ς. κεφ. 11. κτξ.).

§. νδ. Σίξτος ὁ Σενήσιος (τῷ 1556) ὁμολογεῖ, ὅτι εἰσί τινα ἐν τοῖς ἑϐραίοις κώδηξιν, ἢ ἐκ πονηρίας, ἢ ἐξ ἀμελείας, ἢ ἐξ ἀμαθείας

τῶν ἀντιγραφέων παρεωραμένα. Σῴζονται δὲ ταῦτα ἐν τῇ τῶν Ο ἑρμηνείᾳ, οἵτινες ἐξ ἔτι ἀκεραίου τοῦ κώδηκος ἑρμηνεύσαντες, ἔγραψαν αὐτὰ κατὰ τὴν ἑβραϊκὴν ἀλήθειαν» (Μορῖν. σελ. 21).

§. νε. Βιλλέλμος ὁ Λινδανὸς, Δοριδρακένης ἐπίσκοπος (τῷ 1558). «Ὅστις (λέγει) τὴν καθ᾽ ἡμᾶς ἑβραϊκὴν γραφὴν παραβάλῃ πρὸς τὴν ἁπασῶν τῶν ἄλλων ἀρχαιοτάτην, διὸ καὶ πιστοτάτην ἑρμηνείαν τῶν Ο, καὶ πρὸς αὐτὰς δὲ τὰς μεταφράσεις Ἀκύλα καὶ τῶν λοιπῶν, ἡλιακοῦ φωτὸς σαφέστερον ὄψεται, ὅτι τὸ ἑβραῖον κείμενον ἀπὸ τῆς καθαρᾶς τῶν ἱερῶν γραμμάτων πηγῆς μετοχετευθὲν, ἤδη ῥέει οὐ μόνον τεταραγμένον καὶ θολερὸν, ἀλλ᾽ ἐν τόποις πολλοῖς καὶ ἰλυῶδες. Οὕτως αὐτὸ κατεμίαναν οἱ Ἰουδαῖοι, εἴτε διὰ τὸ σκληροτράχηλον αὐτῶν ἦθος, ἢ καὶ πρὸς ὕβριν τῶν χριστιανῶν, διὰ τὸ κατὰ Χριστοῦ μῖσος».

§. νϛ. Μελχιὼρ ὁ Κάνος, ἐπίσημος Δομινικανὸς (τῷ 1562) «Οἱ διδάσκαλοι, λέγει, τῶν ἑβραίων, τουτέστιν οἱ ἐχθροὶ ἡμῶν, ἐσπούδασαν διαφθεῖραι τὸ ἑβραϊκὸν κείμενον, ὅπως καταστήσωσι τὴν παλαιὰν Γραφὴν ἀντιλέγουσαν πρὸς τὰς ἡμετέρας ἐκδόσεις. — Ἀπιστεῖ ὁ Ἱερώνυμος, ὅτι οἱ Ἰουδαῖοι διέφθειραν τὰς Γραφάς. Καὶ ποῖοι μέν τινες ἦσαν κατὰ τοὺς Ἱερωνύμου χρόνους, οὐ φιλονεικῶ. — Ὅτι δὲ πάντως μετ᾽ ἐκείνους τοὺς χρόνους ἐμολύνθησαν αἱ Γραφαὶ ὑπὸ τῶν Ἰουδαίων, εἴπερ ἔζη καὶ αὐτὸς ὁ Ἱερώνυμος, οὐκ ἂν ἔξαρνος ἐγένετο» (παρὰ Μορίν. σελ. 12).

§. νζ. Ἀνδρέας ὁ Μάσιος (τῷ 1571), τῆς ἑβραϊκῆς καὶ Συριακῆς γλώσσης ἐμπειρότατος, εἴδομεν ὅ,τι ἐφρόνει περὶ τῆς καταστάσεως τοῦ καθ᾽ ἡμᾶς ἑβραίου κώδηκος (ὄπισθ. Βιβλ. Β. σελ. 601).

§. νη. Ὁ Γενεβράρδος (τῷ 1571) σφάλματα μὲν εὑρίσκει ἐν ταῖς ἑβραϊκαῖς Γραφαῖς, ἀλλ᾽ οὐκ ἐκ πονηρίας τῶν Μασοριτῶν, ὑπὸ δὲ τῆς ἀντιγραφέων ἀβλεψίας εἰσπεπτωκότα (παρὰ Μορίν. σελ. 21).

§. νθ. Θωμᾶς ὁ Σταπλετὼν, Ἄγγλος ἰησουΐτης (τῷ 1578) «Ὅτι (φησὶ) τὸ κείμενον τὸ ἑβραϊκὸν (καὶ μάλιστα μετὰ τὴν εἰσαγωγὴν τῶν στιγμάτων, μεθ᾽ ὧν τανῦν ἀναγινώσκεται) οὐκ ἀπήλλακται

πάσης ἤτοι διαφθορᾶς, ἢ πάντως ἀλλοιώσεως, ἐκ πολλῶν ἀποδείξεων ἐβεβαιώθη ».

§. ξ. Λέων ὁ Κάστριος (τῷ 1585) πολλὰ καὶ μακρὰ συνέγραψε περὶ τῆς ὑπὸ τῶν Ἰουδαίων ἑκουσίας τῶν κωδήκων φθορᾶς, βεβαίαν ταύτην φρονῶν, ὡς καὶ πάντες οἱ πολὺν μετὰ τῶν Ἰουδαίων χρόνον συναναστραφέντες Ἱσπανοὶ θεολόγοι.

§. ξα. Τῷ 1586 ἤκμαζεν ὁ περιώνυμος Βελλαρμῖνος ὁ Καρδινάλις. Οὗτος ἔγραψεν, ὅτι « τὸ μὲν *καθαρωτάτην πηγὴν* ἡγεῖσθαι τὸ καθ' ἡμᾶς ἑβραϊκὸν, καὶ πρὸς τοῦτο πάσας τὰς ἑρμηνείας παρεξετάζειν καὶ διορθοῦν, ἔστι φρόνημα αἱρετικῶν. Ἀποδείκνυσι δὲ καὶ ὅτι λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ καὶ περίοδοι ὁλόκληροι, κείμεναι παρὰ τοῖς Ο (ὡς Ἐξόδ. β, 22). — Ὥστε (λέγει) πάντῃ μὲν ἀκεραία καὶ ἀκήρατος καὶ ὁλόκληρος οὐκ ἔστιν ἡ ἑβραϊκὴ Γραφή· ἀλλ' οὐδὲ πάλιν ὑπὸ τῶν Ἰουδαίων ἐπίτηδες καὶ ἐκ πονηρίας διεφθαρμένη. Σφάλματα δ' ἐν αὐτῇ παρεισέφρησαν δι' ἀμέλειαν καὶ ἀμάθειαν τῶν ἀντιγραφέων καὶ τῶν ῥαββίνων, οἳ προσέθηκαν τὰ στίγματα » κτλ. (Μορῖν. σελ. 22). Τῇ γνώμῃ τοῦ Βελλαρμίνου καὶ ἄλλοι παρηκολούθησαν καὶ Πασῖνις (βλ. ὄπισθ. σελ. 934).

§. ξβ. Ῥιβέρας Ἰησουΐτης (τῷ 1587) ἐκεῖνα τῶν ἑβραϊκῶν χειρογράφων ἔκρινεν ὀρθότερα, ὅσα τοῖς Ο καὶ τῷ Ἱερωνύμῳ συμφωνοῦσιν· ἔστι δ' ὅπου καὶ ἑκοντὶ τοὺς Ἰουδαίους διαφθεῖραι τὸ κείμενον ᾐτιᾶτο (Μορῖν. σελ. 22).

§. ξγ. Κατὰ τὸ ψήφισμα τῆς Τριδεντινῆς Συνόδου (βλ. §. νγ) τῷ 1590 ἐξεδόθησαν τὰ λατινικὰ Βιβλία ὑπὸ τοῦ Πάπα Σίξτου τοῦ Ε. Σκοπὸς δὲ ταύτης τῆς ἐκδόσεως ὑπῆρχεν ἡ διόρθωσις καὶ ἀποκατάστασις τῆς ὑπὸ τοῦ Ἱερωνύμου ἐκ τῆς ἑβραΐδος μεθερμηνευθείσης Βουλγάτας. Διεγνώσθη δὲ τότε, ἵνα πρὸς ἀλλήλους ἀντιβληθῶσιν οἱ ἀρχαιότατοι λατῖνοι κώδηκες. Ἀλλ' ἐπειδὴ ἐν τοῖς ἀμφιβόλοις χωρίοις ἀνέτρεχον καὶ πρὸς τὸ ἑβραϊκὸν, εἴπερ καὶ τοῦτο, τυχὸν, ὑπῆρχεν ἐν τούτοις τοῖς χωρίοις διεφθαρμένον, ἀντικαθίστων λοιπὸν τὰ σφάλματα τούτου ἀντὶ τῶν νομιζομένων ἐσφαλμένων ἀναγνώσεων τῆς Βουλγάτας. Προσέ-

κειτο δὲ μετὰ πολλῆς προσπαθείας εἰς τὸ κείμενον τὸ ἑβρ. καὶ Σίξτος αὐτὸς, λέγων· «*Εἰς τὴν ἑβραίαν ἀλήθειαν ἀναδράμωμεν*». Καὶ αὐτὸς δὲ διώρθου τὸ κείμενον ἰδίᾳ χειρὶ (καθὼς λέγει ἐν τῷ προλόγῳ τῆς ἐκδόσεως). Ἀλλ᾽ ὅμως μετὰ δύω πάλιν ἐνιαυτοὺς, (τῷ 1592) προῆλθεν ἄλλη ἔκδοσις ὑπὸ τοῦ Πάπα Ῥώμης Κλήμεντος τοῦ Η κυρωθεῖσα. Αὕτη δὲ παραβαλλομένη πρὸς τὴν προτέραν, ἐν πλείοσιν ἢ 2000 τόποις διαφωνεῖ, προσαρμοσθεῖσα μᾶλλον πρὸς τὸ καθ᾽ ἡμᾶς ἑβραϊκόν. Ἀλλὰ καὶ οὕτως ἐν τῷ προλόγῳ ὡμολόγηται, ὅτι τὸ ἑβρ. κείμενον ὑπέστη τινὰς ἀλλοιώσεις καὶ μεταβολάς· λέγει γὰρ ὅτι «τὰ παλαιότερα ἀπόγραφα, οἷς ἐχρήσαντο οἱ λατῖνοι ἑρμηνεῖς, ὑπῆρχον μᾶλλον ὀρθότερα τῶν μεταγενεστέρων». (Ὅδιος σελ. 503).

§. ξδ. Γρηγόριος ὁ ἀπὸ Βαλεντίας (τῷ 1591) ὁμολογεῖ τοὺς ἑβραίους κώδηκας ἀμελείᾳ τε καὶ ἀμαθείᾳ καὶ πονηρίᾳ κηλιδωθέντας (Μορῖν. σελ. 13).

§. ξε. Ὁ δὲ Σαλμέρων διεκήρυξεν, ὅτι διὰ μοχθηρίαν οἱ Ἰουδαῖοι τῶν θείων Γραφῶν οὐκ ἐφείσαντο, ἀλλὰ πολλὰ μὲν ἐξήλειψαν, πολλὰ δὲ προσέθηκαν, πλεῖστα δὲ καὶ μετέβαλον (Μορῖν. σελ. 13).

§. ξϛ. Καὶ Πέτρος ὁ Λόπεζος (τῷ 1596) ὁμολογεῖ τοὺς ἑβραίους κώδηκας ἀμελείᾳ καὶ ἀμαθείᾳ καὶ πονηρίᾳ λελωβημένους (Μοριν. σελ. 22).

§. ξζ. Ὁ κλεινὸς Κεννικῶτος (Γεν. Διατρ. §. 108), καὶ πρὸ τούτου ὁ σοφὸς Βρέττος (α) ἀποδεικνύουσι καὶ ἐκ τῆς Λειτουργίας τῆς Ἀγγλικανῆς Ἐκκλησίας πεπηρωμένον τὸ ἑβρ. κείμενον, οἷον τὴν σήμερον ἀναγινώσκεται· καὶ φέρουσι παραδείγματα τοὺς ἐν τῷ ιγ ψαλμῷ τρεῖς στίχους (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 871), οἵτινες ἀναγινώσκονται μὲν ἐν τῇ κατ᾽ αὐτοὺς Λειτουργίᾳ, λείπουσι δ᾽ ἐκ τοῦ Ἀγγλικοῦ καὶ τοῦ Ἑβραϊκοῦ ψαλτηρίου. Ἀλλὰ καὶ ἐκ τῆς Ἀγγλικανῆς τῶν Γραφῶν ἑρμηνείας (τῷ 1611) ἀποδείκνυσιν ὁ αὐτὸς σοφὸς Ἄγγλος (ὁ Κεννικῶτος), ὅτι οἱ ἑρμηνεῖς ἐκεῖνοι, ὡς

(α) Th. Brett, A Dissertation of the ancient Vensions of the Bible etc. n Watson's A Collection of theologic. Tracts, vol. 3. p. 39.

ἐκ πολλῶν παραδειγμάτων καταφαίνεται, οὐχ ἡρμήνευσαν ἐν πᾶσιν ὅπως εὕρισκον ἐν τῷ ἑβραΐῳ, ἀλλὰ μᾶλλον ὅπως ἔκρινον ἀναγνωστέον. Ὥστε δῆλοι γίνονται, νομίσαντες τὸ κείμενον τὸ ἑβρ. πολλαχοῦ διεφθαρμένον· ἀριθμεῖ δὲ καὶ τὰ χωρία ὁ Κεννικῶτος.

§. ξη. Νικόλαος ὁ Σεράριος (τῷ 1608) γράφει ταῦτα « Ἐν τοῖς καθ' ἡμᾶς ἀπογράφοις τὸ ἑβραϊκὸν κείμενον, φυσικῶς μὲν θεωρούμενον, λέγοιτ' ἂν ἁπλῶς « *διεφθαρμένον* » (διὰ τὰ ἄφευκτα παραπτώματα τῶν ἀντιγραφέων)· « *ἠθικῶς* δὲ (ὡς ἐκ τῆς κακοβουλίας τῶν Ἰουδαίων) θεωρούμενον, οὐ πάντῃ πάντως, ἀλλὰ κατά τι διεφθαρμένον ῥητέον (καὶ τοῦτο τὸ εἶδος τῆς φθορᾶς διορίζει μετὰ τοὺς Ἱερωνύμου χρόνους συμβὰν, περὶ τὸ 500 μ. Χ.).

§. ξθ. Ἰωάννης Μαριάνας (τῷ 1609), Τρεῖς ἐποχὰς διορίζει τῆς τοῦ ἑβραϊκοῦ κειμένου μεταβολῆς. α) Μέχρι Χριστοῦ· εἴ τινα (λέγει) συνέπεσαν σφάλματα περὶ τὰς ἀντιγραφάς. β) Ἀπὸ Χριστοῦ μέχρι τῆς ἐν Τιβεριάδι σχολῆς (τῶν Μασοριτῶν), ὁπότε οὐδὲν (φησὶ) θαυμαστὸν, εἴπερ ἑκοντὶ διεφθάρησαν οἱ κώδηκες ὑπὸ τῶν Ἰουδαίων, σφοδρῶς ὑπὸ μίσους κατὰ τοῦ χριστιανικοῦ ὀνόματος φλεγομένων. γ) Ἔκτοτε μέχρι σήμερον, οὐκέτι ἑκουσίως, ἀλλ' ὑπὸ τῆς ἀμελείας τῶν ἀντιγραφέων (Μορῖν. σελ. 14).

§. ο. Καὶ Σκαλίγηρος ὁ περίφημος (τῷ 1609) ἐσημείωσέ τινα σφάλματα τοῦ ἑβραϊκοῦ (Ἐλέγχ. Χρονολ. σελ. 26).

§. οα. Ἑκάτεροι οἱ Βουξτόρφιοι (πατὴρ καὶ υἱὸς) ἐγένοντο διακαεῖς ὑπέρμαχοι τοῦ ἑβρ. κειμένου, ὡς ἂν ἀκεραίου καὶ γνησίου καὶ καθαρωτάτου περιελθόντος καὶ εἰς ἡμᾶς· ἀλλ' ὅμως ἀπεδέχοντο καί τινα ἀξιώματα ῥιζηδὸν ἀνατρέποντα τὸ σύστημα τῆς κριτικῆς αἱρέσεως, ἧς ὁ ἔρως δαιμονίως αὐτοὺς ἐξέκαιεν. Ὁ πρεσβύτερος Βουξτόρφιος ἐκαυχᾶτο περὶ τῆς πληρεστάτης συμφωνίας ὅλων τῶν ἁπανταχοῦ τῆς οἰκουμένης ἑβρ. χειρογράφων· καὶ τούτου τὴν αἰτίαν ἀνέφερεν εἰς τὸ (κατ' αὐτὸν) ἀσφαλὲς καὶ μέγα κῦρος τῆς Μασόρας. Ἀλλὰ καὶ τὰ ἑβρ. χειρόγραφα εὑρέθησαν πολλαχοῦ πρὸς ἄλληλα διαφωνοῦντα, καὶ αὐτὸς οὗτος πάλιν διεκήρυξε τὰ μυρία σφάλματα τῆς Μασόρας, ἄγαν περι-

παθῶς αὐτὰ καταγράφων, καὶ ἐκτραγῳδῶν, καὶ τῆς τυφλότητος τῶν Ἰουδαίων κατεφερόμενος. Ὅθεν ὀρθῶς ἀπήντα πρὸς αὐτὸν ὁ Καπελλάνιος· « Ἀλλ' εἴ περ αὐτὴ ἡ Μάσορα τοσούτων βρύει σφαλμάτων καὶ διαφθορῶν, πῶς ἂν ἔπειτ' ἐγένετο παραίτιος τῆς ἀδιαφθορίας καὶ ἀκεραιότητος τοῦ ἱεροῦ κειμένου; » (Κεννικ. Γεν. Διατρ. §. 110).

§. οϐ. Κατὰ τούτων καὶ ἄλλων ὑπερμάχων τῆς ἀκεραιότητος τοῦ ἑϐρ. κειμένου ἀνέστη ὁ μεγακλεὴς Καπέλλιος, ὅστις ἐξέδωκε τὸ θαυμαζόμενον σύγγραμμα τῆς κατ' αὐτὸν *Ἱερᾶς Κριτικῆς*, καὶ τὸ *Περὶ Στίξεως*, καὶ τοῦτο μάλιστα τιμώμενον. Εἴπομεν περὶ τούτων ἀμφοτέρων ἐν τοῖς προλαϐοῦσι (σελ. 178 καὶ 275) καὶ ὅτι τὴν Καπελλίου κριτικὴν καὶ Γρότιος ὁ πολὺς μετ' ἄλλων θαυμαστῶς ἐπῄνεσεν (Ὅτι δὲ καὶ αὐτὸς ὁ Γρότιος ἐφρόνει βεϐαίαν τὴν διαφθορὰν τοῦ ἑϐραϊκοῦ κειμένου, καὶ τὴν ὑπεροχὴν τοῦ Σαμαρειτικοῦ, φαίνεται ἐξ ὧν ἐσημείωσεν εἰς Ἀριθμ. δ, 14, 15, καὶ ἀλλαχοῦ). Μάτην παρ' ἄλλοις τὸ βιϐλίον τῆς Κριτικῆς ἐπολεμήθη, καὶ μάλιστα ὑπὸ τοῦ νεωτέρου Βουξτορφίου, ἐκδόντος (τῷ 1653) τὴν *Ἀντικριτικήν* (α). Ἀλλὰ καὶ αὐτὸς ὁ Βουξτόρφιος, καίτοι διατεινόμενος ὅτι «ἀείποτε καὶ πανταχοῦ τοῦ καθ' ἡμᾶς ἑϐραϊκοῦ διετηρήθη ἡ γνησία καὶ ἀληθὴς ἀνάγνωσις», διωμολόγησε, τέλος, ὅτι τὸ Κααρι (ὥσπερ λέων, ψαλμ. κϐ) διέφθαρται ἐκ τοῦ *Καρου* (ὤρυξαν). « Βέβαιόν ἐστι (φησὶν), ὅτι ἐν τούτῳ τῷ τόπῳ γέγονέ τις ἀλλοίωσις, εἰ δ' ἀπὸ κακοϐουλίας (τῶν Ἰουδαίων), ἢ *ἀπὸ τύχης*, ἄδηλον ». (Κεννικ. Γεν. Διατρ. ϐ. §. 111).

§. ογ. Γόρδων ὁ Οὐντλαῖος (τῷ 1612) διεφθαρμένον ἔκρινε

(α) Ἡ ἱερὰ κριτικὴ καὶ τὸ περὶ στίξεως (Arcanum Punctationis) τοῦ Καπελλίου τοσοῦτον παρώξυναν τοὺς ὑπερμάχους τοῦ ἑϐραϊκ. ἄλλους τε καὶ τοὺς Ἑλϐετοὺς, καὶ ἰδίως τοὺς Γενευαίους θεολόγους, ὥστε διὰ κανόνος ἐψηφίσαντο « μηδένα τῶν λειτουργῶν τῆς κατ' αὐτοὺς Ἐκκλησίας ἐν τῇ αὐτοῦ παροικίᾳ εἶναι δεκτὸν, ἐὰν μὴ πρῶτον δημοσίως ὁμολογήσῃ τὸ κείμενον τὸ ἑϐραϊκὸν, ὡς ἔχει τανῦν ἐν τοῖς Μασοριτικοῖς χειρογράφοις, θεῖον καὶ αὐθεντικὸν κατά τε τὰ σύμφωνα καὶ τὰ φωνήεντα στίγματα ». Ταῦτα ἱστορεῖ Βόλφιος (Biblioth. Hebr. T. 2. p. 27).

τὸ ἑβραῖον κείμενον περί τε γράμματα καὶ λέξεις καὶ προτάσεις ὁλοκλήρους, τὰ μὲν ὑπὸ τῆς ἀκηδίας τῶν ἀντιγραφέων, τὰ δὲ καὶ ἐξ ἀκραιφνοῦς κακίας τῶν Ἰουδαίων.

§. οδ. Πάτρων καὶ προστάτης τοῦ ἑβρ. κειμένου θερμότατος ἀνεφάνη καὶ ὁ περίφημος Γλάσσιος, ὁ συγγραφεὺς τῆς *Ἱερᾶς Φιλολογίας* (τῷ 1623). Οὗτος οὖν ὁμολογεῖ μὲν, ὅτι μεταβολαί τινες γεγόνασιν οὐκ ἐν τούτοις μὲν, ἐν τούτοις δ᾽ οὔ, ἀλλ᾽ ἐν πᾶσι τοῖς ἑβρ. κώδηξι, πολλῶν πολλαχοῦ παρεισδυκυιῶν ἐλλείψεων, προσθηκῶν, μεταβολῶν, ἔν τε γράμμασι καὶ λέξεσι. Καὶ τούτου λόγον ἀποδίδωσι τὴν ἀπὸ Μωσέως ἄχρι καὶ τῆς ἐκ Βαβυλῶνος ἐπιστροφῆς πυκνὴν ἀντιγραφὴν τῶν ἱερῶν τευχῶν, καὶ τὴν ἀμέλειαν τῶν ἀντιγραφέων. Διατείνεται δὲ ὅμως πάσαις δυνάμεσιν, ὅτι ταῦτα τὰ σφάλματα διωρθώθησαν ὑπὸ τῶν ἀνδρῶν τῆς μεγάλης Συναγωγῆς, καὶ τούτων αἱ διορθώσεις διετηρήθησαν ἐν τοῖς Μασοριτικοῖς *Κερίοις*. Καὶ πάλιν ὁ αὐτὸς ὁμολογεῖ, ὅτι ἀγνοεῖ, πότερον ταῦτα τὰ *Κερία* ἐκ τοῦ κειμένου τῶν ἀρίστων ἐλήφθησαν χειρογράφων, ἢ προῆλθον ἐκ τῆς ὑγιοῦς κρίσεως τῶν Μασοριτῶν! Ἀλλ᾽ (ἀπαντᾷ ὁ Κεννικῶτος) εἰ μὲν ταῦτα τὰ περισελίδια *Κερία*, 1000 τυγχάνοντα περίπου τὸν ἀριθμὸν, ὑπάρχουσι διαφόρων ἀναγνώσεων (ἐξ ἄλλων κωδήκων) παραλλαγαὶ, οὐχ ἕπεται ὅμως παρὰ τοῦτο καὶ ὅτι πάντως εἰσὶν ἀληθῆ (γίνονται γὰρ δήπου καὶ πολλαὶ ψευδεῖς παραλλαγαί)· εἰ δὲ πάλιν ὑπάρχουσιν εἰκασίαι, καὶ οὕτως αὖθις δύνανται (πῶς δ᾽ οὐχί;) μὴ εἶναι ἀληθεῖς. Λέγει πάλιν ὁ Γλάσσιος· « Ὁμολογητέον, ὅτι τὰ Ταργούμια ὑπό τε χρόνου καὶ τῶν ἀντιγραφῶν διεφθάρησαν ». Καὶ ἅμα προστίθησιν, « ὅτι τὸ Ταργοὺμ ἱερὸν καὶ ἅγιον νενόμισται παρ᾽ Ἰουδαίοις, ἴσην ἔχον αὐθεντίαν τῷ κειμένῳ τῶν θείων Γραφῶν ». Ἀλλ᾽ εἴπερ (ἀνθυπάγει ὁ Κεννικῶτος) τό,τε κείμενον τὸ ἑβραϊκὸν καὶ τὸ Ταργούμιον ἐπίσης ἱερὰ λογίζονται παρ᾽ Ἰουδαίοις, τίποτε τούτους ἐκώλυσε διαφθεῖραι καὶ τὸ κείμενον ἐπίσης, ὡς διέφθειραν καὶ τὸ Ταργούμιον; (α). Τελευταῖον, ὁ Γλάσσιος στενούμενος

(α) Ὁ κλεινὸς Ἄλλιξ (Allix, against Unitariens p. 95) ἀπέδειξε τὰ Ταρ-

περί τινων ἀντιλεγομένων χωρίων τοῦ ἑβραϊκοῦ (Ἀριθμ. γ, 39, καὶ, Β. Παραλ. κϐ, 2), ἀπεκρίνατο, ὅτι « Μιᾶς λέξεως ἐν τῷ ἑβρ. κειμένῳ μεταϐολὴ τὴν θείαν πηγὴν (αὐτὸ τὸ κείμενον) ἀκάθαρτον οὐ ποιεῖ ».

§. οε. Δομίνικος Γαρκίας (τῷ 1624) ἐμπειρότατος καθηγητὴς τῆς ἑβραϊκῆς γλώσσης. Οὗτος ἔκρινεν, «ὅτι τὴν ἑβραϊκὴν γραφὴν οἱ Ἰουδαῖοι διά τε ψευδῶν ἐξηγήσεων, καὶ πολυτρόπου τῶν λέξεων διακοπῆς, καὶ στιγμάτων ποικιλίας, καὶ γραμμάτων μεταϐολῆς, ᾔσχυναν καὶ ἐνόθευσαν καὶ διέφθειραν » κτλ. (Μορῖν. σελ. 12).

§. ος. Ἰάκωϐος ὁ Βομφρέριος (τῷ 1625) καίτοι πρᾳότερος πρὸς τοὺς Ἰουδαίους, ἀλλ' ὅμως διομολογεῖ πλεῖστα σφάλματα ἐν τῷ ἑβραϊκῷ κειμένῳ ἐμφωλεύειν ἔκ τε τῆς ἀγνοίας καὶ ῥᾳθυμίας τῶν μεταγραφέων, καὶ τῆς τῶν γραμμάτων ὁμοιότητος, καὶ ἄλλων τοιούτων αἰτίων παρεισφρήσαντα. Πέντε δὲ μόνα χωρία διὰ τὸ πρὸς τοὺς χριστιανοὺς μῖσος ὑπὸ κακοϐουλίας τῶν Ἰουδαίων ἔκρινε διαφθαρέντα· καὶ τέλος, πλεῖον ἀπονέμει κῦρος εἰς τὴν Βουλγάταν ἢ εἰς τὸ κείμενον τὸ Μασοραῖον (ἐν τοῖς Προλεγομ. εἰς πᾶσαν τὴν Γραφὴν, κεφ. 13).

§. οζ. Τῷ 1635, ὁ περικλεὴς Ἰώσηπος ὁ Μέδης ἔγραφε πρὸς τὸν ζηλωτὴν τοῦ νῦν ἑβραϊκοῦ Λουδοϐῖκον τὸν Δεδιοῦν ἄλλα τε, καὶ τὰ ἑξῆς. « Ἐγὼ μὲν οὐχ ὁρῶ τὴν αἰτίαν, διὰ τίποτε ἄρα, ἐν οἷς χωρίοις οἱ Ἀπόστολοι ἔγραψαν καὶ ἐκύρωσαν τὰς ῥήσεις τῆς Γραφῆς κατὰ τοὺς Ο (ὅτι δ' ἐκεῖνοι οἱ ἑρμηνεῖς ἄλλως ἀνέγνων ἐν τῷ ἑβραϊκῷ, οὐδεμία ἀμφιϐολία), διὰ τί, φημὶ, ἐν τούτοις τοῖς χωρίοις οὐχ οὕτως ἐστὶν ἀσφαλὲς τὸ τοῖς Ἀποστόλοις παρακολουθεῖν, ὅσῳ τὸ τοῖς Μασορίταις! ». Καὶ ἄλλα τοῦ ἑβραϊκοῦ κειμένου παρίστησιν ὀρθῶς ἔχοντα παρὰ τοῖς Ο (ἐν οἷς καὶ τὸ Ἠσαΐου κθ, 13· « μάτην δὲ σέϐονταί με », ὅπερ εἴδομεν διεφθαρμένον ὂν ἐν τῷ

γούμια ἐκ βουλῆς καὶ προμελέτης κατὰ τόπους παρεφθάρθαι. Καὶ πάλιν ἐπανέρχεται τὸ ἐρώτημα. Εἴπερ τὰ Ταργούμια βουλῇ καὶ προνοίᾳ διέφθαρται, τί μὴ καὶ τὸ κείμενον τὸ ἑβραϊκόν;

ἑβραϊκῷ· ὄπισθ. σελ. 836). Καὶ τὴν Σαμαρειτανὴν Πεντάτευχον τιμᾷ κατὰ τὸ προσῆκον, καὶ κατασπάζεται τὴν χρονολογίαν τῶν Ο, καθομολογῶν καὶ τὸ κῦρος τῆς γραφῆς τοῦ Ἀρφαξαδίδου Καϊνᾶν (Κεννικ. Γεν. Διατρ. §. 113).

§. οη. Καὶ Καϊετανὸς ὁ Καρδινάλις (τῷ 1639), ἅλις ἤδη γνωστὸς ἐκ τῶν προειρημένων (σελ. 919), γράφων περὶ τῆς γενεᾶς τοῦ Καϊνᾶν τίθησιν, ὅτι τὸ καθ' ἡμᾶς ἑβραῖον κείμενον ὑπάρχει πεπηρωμένον, τὸ δ' ἐξ οὗ μετέφρασαν οἱ Ο, ἀκέραιον.

§. οθ. Ἰωάννης ὁ Βοβέριος (τῷ 1665) ὅτι, φησὶν, ἡ παλαιὰ θεία Γραφὴ ὑπὸ βιβλιογράφων ἀμαθῶν, καὶ διορθωτῶν, καὶ ὑπὸ Ἰουδαίων καὶ ἄλλων αἱρετικῶν πολλάκις διεφθάρη, γνωστὸν ἐκ τῆς μαρτυρίας τῶν ἀρχαίων Πατέρων (περὶ Πολυμαθ. κ. 18, 19).

§. π. Ὁ σοφὸς Ὑσσέριος τῷ (1655) ἀνεκήρυξε τὸν ἑβραϊκὸν τῆς π. Διαθήκης κώδηκα σφάλμασι μεταγραφέων ὑποκείμενον οὐχ ἧττον, ἢ καὶ τ' ἄλλα πάντα τὰ χειρόγραφα, καὶ αὐτὰ τὰ τῆς Καινῆς Διαθήκης (ἐν Συντάγμ. περὶ τῶν Ο). Καὶ ὅμως ὁ περικλεὴς οὗτος ἀνὴρ οὕτω δεινῶς πρὸς τὸ Μασοραῖον κείμενον ὑπῆρχε προστετηκὼς, ὥςε σπουδάζων παντὶ σθένει τὴν Ἰουδαϊκὴν ὑπερασπίσαι χρονολογίαν, οὐκ ὤκνησε διαβεβαιῶσαι (πρᾶγμα παράδοξον!), ὅτι ὁ Ἰακὼβ ἐνυμφεύθη *τὰς δύο θυγατέρας τοῦ Λάβαν*, εὐθὺς ἀφ' οὗ διέτριψε παρ' αὐτῷ *μῆνα μόνον ἕνα!* Ἐν ᾧ φανώτερον ἡλίου ἡ θεία γραφὴ διαγράφει τὸν Ἰακὼβ νυμφευθέντα πρῶτον τὴν Λείαν, ἀφ' οὗ παρὰ τῷ Λάβαν ἐδούλευσεν ἔτη *ἑπτὰ*, καὶ μετ' ἄλλα πάλιν *ἑπτὰ*, τὴν Ῥαχὴλ (Γενέσ. κθ, 20, 21). Καὶ εἰς ἄλλας δὲ περιέπεσε πλάνας ὁ διάσημος οὗτος χρονολόγος καὶ κριτικὸς, ἀκολουθῶν κατόπιν τῶν Μασοριτῶν, καὶ παρακούων τῶν Ο.

§. πα. Σύγχρονος Ὑσσερίῳ γέγονε καὶ Ἰσαὰκ Οὐόσσιος (τῷ 1660), ὁ μέγας οὗτος καὶ λαμπρὸς ὑπερασπιστὴς τῆς ἀληθείας τῶν Ο. Ἀνύψου τότε κατ' αὐτὸν *μετέωρον κάρα*, τραχηλιῶσα κατὰ τῆς Χριστιανικῆς παλαιᾶς Γραφῆς ἡ δειλαία Συναγωγὴ, καὶ πολλοὺς εἶχεν ἡ Μάσορα τοὺς ὀπαδοὺς καὶ παντοίους τῶν κατ' Εὐρώπην σοφῶν, καὶ παπικοὺς καὶ μάλιστα Διαμαρτυρουμένους. Ἀλλ' ἐκ

τούτων πάλιν ἔμελλον ἀναφανήσεσθαι πρῶτοι τῆς πλάνης στηλιτευταί. Ἔνθεν μὲν Μορῖνος καὶ Καπέλλιος ἐξήλεγχον τὸ πολλαχοῦ σαθρὸν τοῦ Μασοραίου κειμένου. Ἑτέρωθεν δὲ τοῦ Οὐοσσίου ἡ σάλπιγξ ἀνεκάλει τοὺς πλάνητας εἰς τὴν ὀρθὴν ὁδὸν τῆς μελέτης τῶν θείων Γραφῶν. Οὐδεὶς Οὐοσσίου τρανώτερον ἀνεκήρυξε τὴν ἀξίαν τῶν Ο μεταξὺ τῶν Εὐρωπαίων σοφῶν. Πολλοὶ κατ᾽ αὐτοῦ ἀντέστησαν καὶ γενναῖοι· ἀλλὰ μάτην προσέβαλον εἰς τὰς ἐπάλξεις τῆς Οὐοσσίου σοφίας· καὶ μάρτυς ὁ κλεινὸς Ὅδιος· ὅστις νέος γηραιοῦ τούτου κατεξαναστὰς, καὶ πάλιν τελευτήσαντος ἐκδοὺς τὴν πολυμαθεστάτην αὐτοῦ συγγραφὴν, κατέλιπεν αὐτὴν χρυσῆν ἀσπίδα κρεμαμένην εἰς τὰ ἀνάλωτα τείχη τῶν εὐσυνόπτων καὶ στιβαρῶν ἀπαντήσεων τοῦ Οὐοσσίου. Ἐγράψαμεν πολλὰς τῶν σοφῶν αὐτοῦ γνωμῶν ἐν τοῖς προηγηθεῖσι, λείψανα μικρὰ τῶν καλῶν ἐκείνου δείπνων προσάγοντες τοῖς ἡμετέροις φιλομαθέσι· καὶ κατεπαύομεν τὸν περὶ τούτου λόγον, ἐπιλέγοντες τὸ δυσάρεστον μὲν πᾶσι τοῖς φιλοραββίνοις, ἀλλ᾽ὅμως πανάληθες αὐτοῦ ἀξίωμα «*Ὅτι τὸ ἑβραϊκὸν κείμενον διορθωτέον κατὰ τοὺς Ο*».

§. πβ. Μορῖνος ὁ σοφώτατος ἀπέβη δι᾽ αἰῶνος περικλεὴς ἀπό τε τῶν ἄλλων αὐτοῦ συγγραφῶν, καὶ τῶν μέγαν πολυμαθείας θησαυρὸν περιεχόντων *Γυμνασμάτων* (Exercitationes), ὧν καὶ ἐν τοῖς προλαβοῦσιν οὐχ ἅπαξ ἐμνημονεύσαμεν, καὶ δι᾽ ὧν ἐξήλεγξε λαμπρῶς τὴν διαφθορὰν καὶ κολόβωσιν τοῦ καθ᾽ ἡμᾶς Μασοραίου κειμένου. «Πρᾶγμα» (παρευθὺς ὡς ἤρξατο τοῦ πρώτου Γυμνάσματος ἀνακράζει) «πρᾶγμα ποιοῦσι θράσους πολλοῦ καὶ πολλῆς ἀγνοίας ἔμπλεον, ὅσοι διατείνονται, ὅτι τὰ ἑβραϊκὰ βιβλία κατήντησαν καὶ εἰς ἡμᾶς γνησιώτατα». Ἐφεξῆς διαγράφει τὰς κατὰ καιροὺς διαφθορὰς καὶ ποικίλας διορθώσεις τοῦ κειμένου, καὶ τὴν τῆς Χρονολογίας συντριβὴν ἐξελέγχει, καὶ, τέλος, ἀποδείκνυσιν, ὅτι μέχρι τοῦ 1000 ἔτους μ. Χ. ῥαδίως ἠδυνήθησαν οἱ Ἰουδαῖοι πάντας τοὺς παρ᾽ αὐτοῖς κώδηκας διαφθεῖραι, δυνάμει μάλιστα τῆς Ἰουδαϊκῆς Γερουσίας, ἥτις ὑφίστατο μέχρι τοῦ 1000 μ. Χ. (ὄπισθ. σελ. 111).

§. πγ. Εἷς τῶν ἀντιπάλων Οὐοσσίου καὶ Μορίνου ὑπῆρξε καὶ ὁ σοφὸς Σιμώνιος (τῷ 1687), ἀντιλέγων δρυμύτερον μᾶλλον, ἢ ἀληθέστερον, ἔστι δ᾽ ὅπου καὶ σοφιστικώτερον, (ὡς ὅτε καὶ τὸν Ὠριγένην αὐτὸν ἀποδεῖξαι πειρᾶται *καθ' ὑπόκρισιν* ἐξελέγχοντα τοῦ ἑβραϊκοῦ κειμένου τὴν διαφθοράν! καὶ ἐν ἄλλοις δὲ παραλελόγισται). Ἀλλ᾽ ὅμως οὐδ᾽ αὐτὸς ἐφρόνει τοῦτο γνήσιον ἐν πᾶσι καὶ ἀκέραιον, κρίνων ὡς ἐκ τῶν ποικίλων αὐτοῦ πρός τε τὸ Ταλμοῦδον, καὶ τὴν Μάσοραν, καὶ τοὺς διαφόρους κώδηκας διαφορῶν (Κριτ. ἱστορ. Α. 18, 19, 20)· καὶ τῶν λέξεων τὴν στίξιν οὐκ ἐν πᾶσιν ἀπλανῆ διαγινώσκει· πόσον δὲ σαφῶς διέγραψε πρὸς τὸν Καπελλάνιον καὶ τὴν ὑπὸ τοῦ Μασοραίου ξυστῆρος διαφθορὰν τῶν ἐν Παρισίοις ἑβραϊκῶν κωδήκων, εἴδομεν ἐν τοῖς προλαβοῦσι (σελ. 163).

§. πδ. Καὶ Στλιγγιφλῆτος ὁ περιώνυμος διαλαμβάνων περὶ τῶν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρις Ἀβραὰμ χρόνων, « Πότερον (φησὶ) πιθανώτερον, οἱ Ἰουδαῖοι οἱ ζῶντες ἔτι τοῦ ναοῦ ἱσταμένου, « *οἷς ἐπεπίστευτο τὰ Λόγια τοῦ θεοῦ* », καὶ οἷς παρηκολούθησαν οἱ Ο, ἐν τῇ κατ᾽ αὐτοὺς τῶν θείων Γραφῶν ἑρμηνείᾳ, ἐκεῖνοι διεφύλαξαν τὴν ἀληθινὴν ἀνάγνωσιν; ἢ οἱ Ταλμουδικοὶ Ἰουδαῖοι, οἱ διεσπαρμένοι καὶ ἐξόριστοι καὶ ἀπόβλητοι ὑπὸ τοῦ θεοῦ, ὅστις οὐκέτι τούτους ἐπεγίνωσκε λαὸν αὐτοῦ, καὶ τὸν οἶκον, ὃν ἠξίωσεν ἔχειν παρ᾽ αὐτοῖς, ἐγκατέλιπεν ἔρημον, ἐκ θεμελίων τοῦ ναοῦ μετὰ τῆς Ἱερουσαλὴμ καταστραφέντος; (α).

§. πε. Περὶ τοῦ κειμένου τοῦ ἑβραϊκοῦ καὶ τῶν ἀρχαίων μεταφράσεων ὁ Βευερίδιγος ἔγραψε ταῦτα· « Κεῖται πάσης ἀντιλογίας ἐκτὸς, ὅτι αἱ πηγαὶ (τοῦ ἑβραϊκοῦ κειμένου) πρὸ τοσούτων ἤδη αἰώνων ἔῤῥεον καθαρώτεραι, παρ᾽ ὅσον ἀπονάουσι καθ᾽ ἡμᾶς. Τότε τοσοῦτοι μεταγραφεῖς οὐκ ἐνύσταζον· τότε τοσαῦται παραλλαγαὶ οὐκ εἰσεχώρουν· ἐπειδὴ δὲ οἱ προειρημένοι ῥύακες (αἱ ἀρχαῖαι μεταφράσεις, καὶ καθ᾽ ἡμᾶς μόνη ἡ τῶν Ο) ἐκ

(α) Stillingfleet, Origin. Sacr. III. 4, 9.

πηγῶν ἐξέῤῥευσαν καθαρωτέρων, ἕπετ' ἐξ ἀνάγκης, ὅτι καθαρώτεροι καὶ οὗτοι ῥέουσιν. Εἴπερ οὖν οἱ γραφεῖς καὶ διορθωταὶ τοῦ νῦν ἑβρ. κειμένου ἀπεπλανήθησαν, ἀλλ' ἡμεῖς καὶ οὕτως αὐτὸ διεξερχόμεθα τὸ κείμενον, εἰ καὶ μὴ ἐν *αὐτῷ τῷ κειμένῳ, ἀλλ' ὅμως ἐν ταῖς μεταφράσεσιν* αὐτοῦ ». Ταῦτα καὶ οὗτος ὁ σοφός· καὶ φέρει παραδείγματα σφαλμάτων τοῦ ἑβρ., ἄλλα τε καὶ τὴν ἔλλειψιν τοῦ « Διέλθωμεν εἰς τὸ πεδίον », ὅπερ λέγει, καὶ εἴτι ἄλλο, ἐν τοῖς τῶν ἀρχαίων μεταφράσεων ἀπόκειται θησαυροῖς, οὐ προστεθὲν, ἀλλὰ διατηρηθέν » (α).

§. πϛ. Καὶ τὰ τοῦ Βάλτωνος (τῷ 1658) Προλεγόμενα περιέχουσι πολλαχοῦ πολύτιμα γραφικῆς πολυμαθείας κειμήλια. Μαρτυρεῖ δὲ καὶ Βάλτων ταῦτα· « Οὐδεὶς ἂν ἀρνήσαιτο (φησὶν), ὅτι εἴτ' ἐξ ἀμελείας τῶν ἀντιγραφέων, εἴτ' ἐκ τῆς τῶν χρόνων ἐπηρείας ἠδύναντο παρεισφρῆσαι, καὶ δὴ καὶ παρεισέφρησαν εἰς τὸ κείμενον τὸ ἀρχέτυπον σφαλματά τινα, καὶ διεψευσμέναι ἀναγνώσεις »· καὶ ἄλλα λέγει τοιαῦτα. Ἐμνημονεύσαμεν δὲ καὶ ἐν τοῖς προηγηθεῖσι πολλάκις τῶν ὀρθοτέρων τοῦ γεραροῦ Βάλτωνος γνωμῶν.

§. πζ. Ὁ κλεινὸς Ἀμμόνδος (Σχόλ. εἰς Ἑβρ. η, καὶ ι) ἐσημείωσε τὰ ἑξῆς· « Οὐ σπάνιον, ἀλλὰ καὶ βέβαιον, ὅτι διὰ τὰς πυκνὰς μεταγραφὰς ὅλα τὰ χειρόγραφα ὑπόκεινται καὶ ποιαῖς τισι μεταβολαῖς. Οὕτως ἐν Δ. Βασιλ. κ. 12, καὶ ἐν Ἠσαϊ. λθ. 1. ἡ αὐτὴ ἱστορία διαφέρει καιρίως κατὰ δύω λέξεις ἐν τῷ ἑβραϊκῷ. Εἷς καὶ ὁ αὐτὸς γράφεται Μερωδὰχ, καὶ Βερωδὰχ, κἀκεῖ μὲν, « *ἤκουσεν*, » ὧδε δὲ, « *καὶ ἐχάρη*. » Ἀλλ' ἡ ὀρθὴ ἀνάγνωσις σῴζεται παρὰ τοῖς Ο, παρ' οἷς ἐν ἀμφοτέροις τοῖς χωρίοις γέγραπται ὡσαύτως, *Μερωδὰχ*, καὶ *ἐχάρη*. Καὶ ἐν Ἀββακ. β, 4 ἄλλως δήπου (οὐχ ὡς ἔχει τὸ νῦν ἑβρ.) ἀνέγνων οἱ Ο, « Οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ » (ὄπισθ. σελ. 929).

§. πη. Βοχάρτος ὁ πάνυ, καίτοι τοῦ ἑβραϊκοῦ προστάτης, ἀλλ' ὅμως ὡμολόγησε (Διατριβ. εἰς Γενέσ. ια, 32), « Ὡς οὐδὲν θαυ-

---

(α) Beveridge, De linquar. oriental. præstant. p. 22—25. ed. 1658.

μαστὸν, εἴ τινα παροράματα, εἰ δὲ βούλει, καὶ διαφθοραί τινες εὑρίσκονται ἐν τῷ ἑβραϊκῷ κειμένῳ. Καὶ γὰρ διὰ μακροῦ χερσὶ βιβλιογράφων ἀμαθῶν συνανεστράφη, οἵτινες ἐν τόποις πολλοῖς, καὶ μάλιστα περὶ τὰ στοιχεῖα τῶν ἀριθμῶν ἐπλανήθησαν. Τὴν ἀναμαρτησίαν τῶν ἱερῶν συγγραφέων οὐκ ἀπονέμω καὶ τοῖς βιβλιογράφοις, ἀλλ' ὅμως οὐχ ἕπεται παρὰ τοῦτο, ὅτι *διαπέπρακται* λοιπὸν ἤδη καὶ διείργασται (actum est) ἡ περὶ πίστεως καὶ σωτηρίας διδασκαλία, οὐδ' ἔχομεν οὐκέτι οὐδὲν βέβαιον ἐν ταῖς Γραφαῖς. Τίς γὰρ ὑπομένει καὶ ἐν ἄλλοις τὸν οὕτω σοφιστευόμενον; τὰ ἑλληνικὰ χειρόγραφα (φέρ' εἰπεῖν) τοῦ Ἀριστοτέλους εἰσὶν ἐνιαχοῦ διεφθαρμένα· ἄρα οὐ δυνάμεθα βεβαίως εἰδέναι, τίποτ' ἐκεῖνος ἐφρόνει περὶ τῶν φιλοσοφικῶν!!

§. πθ. Ὀττιγγῆρος (τῷ 1660) ἐγένετο μὲν δεινὸς τοῦ ἰουδαϊκοῦ κειμένου πρόμαχος, ἀλλ' ὅμως ὡμολόγησεν, ὅτι οὐχ εὑρίσκεται ἐν πᾶσι τοῖς ἑβρ. ἀπογράφοις ἀναρματησία καὶ ἁρμονία τοσαύτη, ὥστε μηδὲ γοῦν κεραίᾳ πρὸς ἄλληλα διαφέρειν » (Θησαυρ. σελ. 212). Καὶ ἦν ἂν πρᾶγμα παράδοξον (ἐπιλέγει ὁ Κεννικῶτος), εἴπερ Ὀττιγγῆρος διετείνετο μὴ διαφθαρῆναι τὸ ἑβραϊκὸν δι' ὅλων 2000 ἐτῶν (ἀπὸ τοῦ Ἔσδρα μέχρις αὐτοῦ), ὅςις αὐτὸ παρέστησεν ἄγαν διεφθαρμένον ἐντὸς 200 ἐτῶν ἀπὸ τοῦ Ἔσδρα μέχρι τῶν Ο. Περὶ τούτων γὰρ ἀπεφήνατο καὶ μάλα πεποιθὼς, ὅτι κώδηξιν ἐχρήσαντο διεφθορόσι, καὶ πάντῃ διαφέρουσι τῶν ὑπὸ τοῦ Ἔσδρα διωρθωμένων! Καὶ τούτου (λέγει) δεῖγμα τρανώτατον· — ποῖον; — ἡ τῆς ἑρμηνείας τῶν Ο πρὸς τὸ νῦν ἑβραϊκὸν παραβολή! (Θησαυρ. σελ. 354).

§. ϙ. Δομίνικος ὁ Τριαδίτης ἐκ τοῦ τάγματος τῶν Καρμηλιτῶν (τῷ 1666) θεωρῶν τὴν μεταξὺ τοῦ νῦν ἑβραϊκοῦ καὶ τῆς Βουλγάτας διαφορὰν, ἀποῤῥίπτει τὴν αἰτίαν εἰς τὸ ἑβραϊκόν. Τριχόθεν δὲ (λέγει) περὶ τοῦτο γέγονεν ἡ διαφθορά· πρῶτον, ἐκ τῆς ἀμελείας τῶν ἀντιγραφέων· δεύτερον, ἐκ τῆς πληθύος τῶν ἐπισαχθέντων στιγμάτων, οὕτω σμικρῶν ὄντων, καὶ μόλις ὑπὸ τῆς λεπτότητος διακρινομένων· τρίτον, ἐκ τῆς κακοβουλίας τῶν Ἰου-

δαίων, οἵτινες, εἰ καὶ μὴ ὅλον τὸ κείμενον, ἀλλ' ὅμως ἐν πολλοῖς τόποις μετεποίησαν (α).

§. ηα. Κλαύδιος Καπελλάνιος (τῷ 1667). Ὁ μεγάτιμος οὗτος κριτικὸς πολλάκις *ἀνεμέτρησε τὴν ὁλοὴν* τῶν ῥαββίνων *Χάρυβδιν*, καὶ συνέταξε τὴν «*Ῥαββινικὴν θάλασσαν ἄπιστον*» (mare Rabbinicum infidum) ἐπιγεγραμμένην σοφωτάτην αὐτοῦ συγγραφὴν, ἐν ᾗ καὶ κριτικῶς, καὶ ἐκ μαρτυριῶν αὐτῶν τῶν Ἰουδαίων ἐξελέγχει τοῦ νῦν ἑβραϊκοῦ τὴν ἐν πολλοῖς διαφθοράν. Τούτου μαρτυρίας ἐμνημονεύσαμεν οὐχ ἅπαξ ἐν τοῖς προλαβοῦσιν. Ἄλλας τούτου χρήσεις πολλὰς βλ. παρὰ Κεννικώτῳ (Διατριβ. Β. σελ. 247 κτλ).

§. ηβ. Ὑέτιος ὁ περικλεὴς τῆς *Εὐαγγελικῆς Ἀποδείξεως* συγγραφεὺς (τῷ 1680) «Οὐδενὸς οὐδέποτε (φησὶ) χειρογράφου τοσαῦται γεγόνασιν ἀντιγραφαὶ, ὅσαι τῶν ἱερῶν γραφῶν, καὶ αὐτοῦ τοῦ ἑβραίου κώδηκος. Οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ πλάναι συνέβησαν ἐν αὐτῷ τῶν ἀντιγραφέων, καί τινες ἐκ τῆς ᾤας σημειώσεις παρεισέδυσαν εἰς τὸ κείμενον, καὶ κριτικαὶ διορθώσεις» κτλ. (σελ. 86, 304).

§. ηγ. Παῦλος ὁ Πεζρώνιος (τῷ 1691), ὁ σοφώτατος ὑπέρμαχος τῆς γνησίας χρονολογίας, καὶ κῆρυξ τῆς ἀληθείας τῶν Ο, *ἐν τῇ* «*Ὑπὲρ τῆς τῶν χρόνων ἀρχαιότητος*» περικλεεστάτῃ συγγραφῇ ἐξήλεγξε τὰς ἐπισήμους τοῦ Μασοραίου κειμένου φθορὰς, ςήσας κατὰ τοῦ ζεύγους τῶν ἀντιπάλων, Μαρτιαναίου καὶ Λεκυήνου, τρόπαιον ἀκατάλυτον.

§. ηδ. Ὁ μέγας καὶ πολὺς περὶ τὰς γνώσεις τῶν Ἀσιανῶν γλωσσῶν Ποκόκκιος, ἰσχυρῶς μὲν καὶ αὐτὸς ἐπύκτευσεν ὑπὲρ τοῦ ἑβραϊκοῦ, οὐ μέν τοι διετείνετο καὶ καθαρεύειν αὐτὸ κατὰ πάντα. Ἐμέμφετο δὲ τοὺς πολλὰς ἐν αὐτῷ ζητοῦντας διαφθορὰς, ἵνα καταλύσωσι τὴν αὐθεντίαν τῶν Ἑβραϊκῶν Γραφῶν, προστιθεὶς καὶ ὅτι «Τούτοις μηδὲν πλέον, ἢ ὅσον ἀπαιτεῖ τοῦ πράγ-

---

(α) Dominicus à SS. Trinitate, Bibliotheca Theologica. Tom. 2. p. 326. Romae, 1666.

ματος ἡ ἀλήθεια, εὐχαρίστως παραχωρητέον » (ἐν Συμμίκτοις Σημειώσ. εἰς τὴν *Θύραν τοῦ Μωσέως* σελ. 130).

§. ϙε. Ἐρνέστης ὁ Ἰαμβλόσκυς, ἐκδοὺς τὴν ἑβραϊκὴν Γραφὴν (τῷ 1699) ἐκ τῆς ἐκδόσεως Ἀθία τοῦ Ἰουδαίου, διεκήρυξεν (ἐν τῷ Προλόγῳ, 20, 24), ὅτι οἱ διορθωταὶ τοῦ Ἀθιανοῦ κειμένου ἐχρήσαντο χειρογράφοις οὐκ ἀκριβέσι· καὶ διώρθωσε μὲν αὐτὸς ὅσας διώρθωσε προσῳδίας, ἀλλ' ὅμως καὶ ἄλλοις κατέλιπε πλεῖστα διορθωτέα. « Πολλαὶ (λέγει) μένουσιν ἀμφιβολίαι περί τε προσῳδίας, καὶ φωνήεντα (στίγματα), καὶ γράμματα, καὶ λέξεις, καὶ δὴ καὶ ἡμιστίχια, καὶ στίχους ὁλοκλήρους.— Ὡς δ' ἀπὸ τοῦ πλήθους τῶν ἐν τοῖς χειρογράφοις διαφόρων ἀναγνώσεων, δύναταί τις ὀνομάσαι τὸν ἑβρ. κώδηκα *διηνεκὲς ἀνάγνωσμα παραλλαγῶν* » (βλ. καὶ ὄπισθ. σελ. 181). Ὅτι δὲ (φησὶν ὁ Κεννικῶτος) ἡ ἔκδοσις αὕτη πάντως χρήζει διορθώσεως, δῆλον καὶ ἐκ τούτου· ὅτι (φεῦ, ὦ κριτικοί, τῆς [*εἰς τὸν ἑβραῖον κώδηκα*] πίστεως ὑμῶν!), ὅτι παρέλιπε καὶ αὐτοὺς τοὺς ἀναγκαιοτάτους δύω στίχους τοῦ Ἰησοῦ, ὧν ἡ γνησιότης ἤδη ἐπεκυρώθη ἐξ ἑβρ. χειρογράφων *ἑκατὸν τεσσαράκοντα ἐννέα*.

§. ϙϛ. Ὁ μελιχρὸς καὶ γεράσμιος Φενελὼν ὡμολόγησε πολλὰ σφάλματα παρεισφρηκότα εἰς τὸ κείμενον τῆς καθ' ἡμᾶς ἑβραϊκῆς Γραφῆς, « ἧς (φησὶ) τὸ μὲν αὐτόγραφον οὐκ ἔχομεν, ἔχομεν δὲ μόνον ἀντιγράφων ἀντίγραφα, πολὺ τοῦ πρωτοτύπου μακρὰν ἀπεσχοινισμένα » (α).

§. ϙζ. Καὶ Κλέρικος ὁ κριτικὸς, τῷ 1699, ἐφρόνει τὸ ἑβρ. κείμενον ὑπό τε χρόνου καὶ τῶν βιβλιογράφων πολλαχοῦ λελωβημένον (Κριτ. Τεχν. Γ. κεφ. I. §. 10 κτλ.).

§. ϙη. Ὁ δὲ σοφὸς Βιτρίγγας (τῷ 1700) λέγει τὰ ἑξῆς. Οἱ παλαιότεροι Ἰουδαῖοι τοὺς κοινοὺς αὐτῶν κώδηκας οὕτως ἔγρα-

(α) « Nous n'avons plus de texte autographe. Il ne reste de l'ancien Testament Hébreu, que des copies des copies, très eloignées des origineaux. Les Savans même sont persuadés qu'il s'est glissé dans ces copies beaucoup des fautes ». Fénélon, Lettre pastoral. 18.

φον, ὡς καὶ νῦν οἱ ῥαββῖνοι, μεταχειριζόμενοι τὰ τρία ταῦτα γράμματα (α, καὶ βαυ, καὶ ι) ὡς εἰλικρινῆ φωνήεντα. Ἐπειδὴ δ' ἀντὶ τούτων ὕστερον ἀντικατέστησαν τὰ σίγματα, οὐκ ἀκριβῶς ἐποιήσαντο τῶν εἰρημένων γραμμάτων τὴν ἐξαίρεσιν. Ὅθεν ἀπέμειναν ἐν ταῖς λέξεσι καί τινα τούτων ἴχνη, ἢ δείγματα ».—Καί, « Ῥαδίως ἐξ ἑνὸς κώδηκος τὰ σφάλματα μετέβαινον καὶ εἰς ἄλλους πλείστους· οἱ γὰρ Ἰουδαῖοι κατὰ πολλοὺς καὶ τόπους καὶ χρόνους εἰώθεισαν διορθοῦν τὰς βίβλους αὐτῶν πρὸς τὸ ἀντίγραφον ἑνὸς κώδηκος » (ὄπισθ. σελ. 156). Καί, « Τῶν τοὺς ἱεροὺς κώδηκας ἀντιγραφόντων βιβλιογράφων τοσαύτη ἦν ἡ ἀμέλεια, ὥστε, εἴ τις αὐτοῖς ὥριστο διὰ τοῦτο ποινή, πολλοὶ δικαίως ἔμελλον ἐμπεσεῖν εἰς αὐτήν » (α).

§. ϙθ. Νικόλαος ὁ Νουῤῥῦς (τῷ 1703) ἔκρινεν, ὅτι « Τὰ νῦν ἑβραϊκὰ ἀντίγραφα, ἐν ὅσοις διαφέρουσι τῶν Ο (μᾶλλον δὲ τοῦ ἑβραϊκοῦ ἐκείνου κώδηκος, ἐξ οὗ ἡ τῶν Ο, μετάφρασις ἐπήγασεν), ἐν τούτοις ἐνοθεύθησαν καὶ διεφθάρησαν » (β).

§. ρ. Τοῦ δὲ σοφοῦ Γράβου (τῷ 1707) τὴν ἐμβριθεστάτην μαρτυρίαν προεξεθέμεθα (ὄπισθ. σελ. 103, 914).

§. ρα. Καὶ Ὀπίτιος ἐκδοὺς τὰ ἑβραϊκὰ βιβλία (τῷ 1709), διεκήρυξεν, ὅτι καὶ αὐτὸς μετὰ τῶν φίλων παρεξήτασε πολλοὺς ἐκ τῶν ἀρίστων ἑβραίους κώδηκας, ἐξ ὧν (φησὶ) « μεγάλη πανταχόθεν συνήγετο πληθὺς παραλλαγῶν ». Μὴ λαβὼν δ' ἐκ τούτων πληροφορίαν, « εἰς τὸ ἀχανὲς (φησὶ) τῆς Μασόρας πέλαγος ἐπεῤῥίφθην. Ἐπειδὴ δ' ἐγίνωσκον οὐ σπανίας οὔσας τὰς φωνὰς ἐκείνας τῶν σοφῶν, ὅτι « *ἡ Μάσορα ἐν ἀπείροις τόποις ἐστὶ διεφθαρμένη, καὶ πολλάκις ἀντιφάσκει καὶ αὐτὴ πρὸς ἑαυτὴν καὶ πρὸς τὰ χειρόγραφα* », ὅλας ἐνέτεινα τὰς ἐμαυτοῦ δυνάμεις, ὅπως, τέλος, αὐτὴν εἰς τὴν ἀρχαίαν ὁλοκληρίαν ἐπαναγάγω ». Ἀλλὰ πόσον μὲν ἀρτιμελῆ καὶ ὁλόκληρον ἀνέδειξεν ὁ *Ὀπίτιος* τὴν παρὰ τῶν ἀρχαίων Ἰουδαίων κριτικῶν καταβᾶσαν Μάσοραν, αὐτὸς

(α) Vitringa, Observation. Sacr. p. 178 καὶ 746.

(β) Nourry, Apparatus ad Bibliothecam maxim. vet. Patrum etc. p. 226.

ἂν εἰδείη. Ἡμῖν δ' ἅλις ἐχέτω, ὅτι καὶ τὸ πλῆθος τῶν ἐν οἷς ἐχρήσατο χειρογράφοις παραλλαγῶν ὡμολόγησε, καὶ τὴν ὑπὸ τῶν σοφῶν καταδίκην τῆς Μασόρας, (βλ. ὄπισθ. σελ. 182).

§. ρϐ. Καὶ Μιχαῆλις ὁ περιώνυμος ἐξέδωκε τῷ 1720 τὸ ἑβραϊκὸν, ἔκδοσιν ἐπαινουμένην, ἥτις περιέχει πολλὰς παραλλαγὰς κατά τε λέξεις καὶ συλλαβὰς καὶ στίγματα καὶ τόνους διαφερούσας. Καὶ περὶ τούτων μὲν κρινέτωσαν οἱ περὶ τὸν Κεννικῶτον (Γεν. Διατρ. §. 127). Αὐτὸς δὲ ὁ Μιχαῆλις ὑπομνηματίζων ἐν διαφόροις τόποις τὰς Γραφὰς, ἔκρινε πολλάκις οὐκ ὀλίγας ἀναγνώσεις τοῦ ἑβραϊκοῦ διεφθαρμένας.

§. ργ. Ὁ δὲ Βόλφιος (τῷ 1721) ἐν τῇ κατ' αὐτὸν ὠφελιμωτάτῃ Ἑβραϊκῇ Βιβλιοθήκῃ περὶ τοῦ ἑβραίου κώδηκος ψηφίζεται ταῦτα· «Μηδεμίαν λώβην, ἢ διαφθορὰν μήτε περὶ τὰ γράμματα (τὰ σύμφωνα), μήτε περὶ τὰ φωνήεντα (στίγματα) συμβεβηκέναι νομίζομεν». Καὶ πάλιν· «Ὑπάρχει βέβαιον, ὅτι οὐδεμία *γενικὴ διαφθορὰ* εἰς τὸν ἑβραῖον κώδηκα παρεισέδυ. Ὅσα γὰρ ὧδε κἀκεῖσε, ἢ ἐν χειρογράφοις, ἢ ἐν τοῖς ἐκδεδομένοις ἀντιγράφοις ἀπαντῶσι σφάλματα, οὕτω παρεξητάσθησαν, ὥστε διὰ βοηθείας ἄλλων κωδήκων δύνανται διορθωθῆναι. Αὕτη μετὰ τὸν Βουξτόρφιόν ἐστιν ἡ κοινὴ γνώμη τῶν ἡμετέρων».—Ἀλλ' αἱ δύω προτάσεις αὗται (καθὰ καὶ Κεννικῶτος ἔκρινεν, §. 128) φαίνονται καθ' ἑαυτὰς ἀσύστατοι. Καὶ κατ' αὐτὴν μὲν τὴν Βολφίου ὁμολογίαν (ἣν λέγει καὶ γνώμην *τῶν οἰκείων* κοινὴν), οὐ μόνον *δύνανται ὑπάρχειν*, ἀλλ' *ὑπάρχουσιν*, ὡς λέγει, σφάλματα πραγματικῶς ἔν τε τοῖς χειρογράφοις καὶ τοῖς τυτυπωμένοις ἑβραϊκοῖς Βιβλίοις· διατείνεται δὲ ὅμως, ὅτι αἱ ἀληθεῖς ἀναγνώσεις, αἵτινες ἐν πᾶσιν οὐχ εὑρίσκονται τοῖς κώδηξι, σώζονται πάντως ἐν τῷ δε, ἢ τῷ δέ τινι χειρογράφῳ, ἢ τύποις ἐκδεδομένῳ κώδηκι. Ἀλλ' ἡ γνώμη αὕτη πῶς ἂν δύναιτο σαθῆναι; Ἆρά γε οἱ ταῦτα φρονοῦντες περὶ πάντων διαλέγονται τῶν τετυπωμένων Βιβλίων, ὅπου περ ἂν γῆς διαλανθάνωσιν; Ἀλλὰ τίς ποτε ταῦτα πάντα ἢ διεξήτασεν, ἢ γοῦν ἠδυνήθη διεξετάσαι; Τίς δ' ἂν τολμήσειε βέβαιόν τι καὶ ἀσφαλὲς ἐγγυήσασθαι περὶ τῶν

μήπω βασανισθέντων; Ὅσον δὲ περὶ τῶν χειρογράφων, ἆρά γε οἱ κριτικοὶ οὗτοι παρεξετάσουσι καὶ ἀντιβαλοῦσι μόνους τοὺς πρῴην αὐτοῖς ἐγνωσμένους Ἐρφουρτίους 5 κώδηκας; Οὐδὲ προσθήσουσι καὶ ἄλλους 500, ἢ 600, τοὺς ἀντιβληθέντας ὑπὸ Κεννικώτου πρὸς τὴν ὑπ᾽αὐτοῦ γενομένην ἔκδοσιν; οὐδ᾽ ἑπτακοσίους ἄλλους ὕστερον προστεθέντας ὑπὸ τοῦ Ῥόσσου; Καὶ ἔπειτα ἐκ τῆς τοσούτων χειρογράφων καὶ ἐκδόσεων ἀντιβολῆς ποία προσεγένετο τῷ ἑβραϊκῷ κειμένῳ βεβαίωσις τῆς ζητουμένης ἀληθοῦς ἀναγνώσεως, καὶ καθαρότητος, καὶ ὁλοκληρίας; Ἢ μήποτ᾽ ἀντεροῦσιν, ὅτι ἡ οἱαδήποτ᾽ ἀληθὴς ἀνάγνωσις, ἥτις οὐχ εὑρέθη ἐν ὁσοισδήποτε χειρογράφοις, πάντως ὅμως λανθάνει που ἐν ἄλλῳ τινὶ χειρογράφῳ; Ἀλλὰ τοῦτ᾽ ἂν εἴη τοὐπιχείρημα τὸ «*ἐξ ἀγνοίας*», ὅπερ οὐδὲν δύναται διδάσκειν οὐδ᾽ αὐτοὺς γοῦν, τοὺς εἰς τὸ χρήσασθαι τούτῳ δεινῶς ὑπὸ ϛεῤῥᾶς ἀνάγκης ἐλαυνομένους.

§. ρδ. Τῷ 1722 Βίστων ὁ Ἄγγλος ἐξέδωκε Δοκίμιον (α), ἐν ᾧ γενναίως ἀποδείκνυσι τὴν διαφθορὰν τοῦ Μασοραίου κειμένου. Ἀνέστη δὲ πρὸς τοῦτον ὁ σοφὸς Καρψόβιος ἐκδοὺς (ὡς ῥητῶς ἐπιγράφει). «*Κατὰ τῆς ψευδοκριτικῆς τοῦ Βίστωνος*» τὸ τρίτον μέρος τῆς κατ᾽ αὐτὸν *ἱερᾶς κριτικῆς*. Ἀλλ᾽ ἐν οἷς μὲν ὁ Βίστων ὑπερέβη τὰ ἐσκαμμένα (οἷον, ὅτε μεταιοσχολεῖ, νοθίζων τὸ θεόπνευστον Ἆσμα τῶν Ἀσμάτων), εὐδοκίμησεν ὁ Καρψόβιος· καὶ θαυμαστὸν οὐδέν· *ὅταν γάρ τις λάβῃ καλὰς τῶν λόγων ἀφορμάς, οὐ μέγ᾽ ἔργον εὖ λέγειν*. Πρὸς δὲ τὰς ἀληθείᾳ καὶ πράγματι βεβηκυίας τοῦ Βίστωνος ἀποδείξεις οὐδὲν ἕτερον ἀντεπήγαγεν ὁ Καρψόβιος, ἢ σοφισμάτων *σύκινα βέλη*.

§. ρε. Αὐτὸς δὲ ὁ σοφὸς καὶ πολυμαθής, ἀλλὰ καὶ πολυπλανὴς Καρψόβιος, ὁ τὴν κατ᾽ αὐτὸν *ἱερὰν κριτικὴν* ἐκδοὺς ἐν ἔτει 1728, καθόλου μὲν ἀποκλίνει πρὸς τὴν γνώμην τοῦ Βολφίου· ἔστι δ᾽ ὅμως ἐν μέρει παρὰ τοῦτον ὁμαλώτερος καὶ σαφέστερος. Καὶ τὸ μὲν

(α) Whiston, An Essay towards restoring the trou text of the Old Testament etc. London 1722. Κατὰ δὲ τὸ 1723 ἐξέδωκε περὶ τοῦ Ἄσματος τῶν Ἀσμάτ: ἴδιον παράρτημα.

ὅλον, βούλεται πάντως, ὅτι τὸ κείμενον τοῦ ἑβραίου κώδηκος ἐν γένει καὶ ὁλικῶς θεωρούμενον, περιῆλθε καὶ εἰς ἡμᾶς αὐτὸ μέχρι κεραίας, αὐτότατον ἐκεῖνο τὸ ὑπὸ τοῦ θείου πνεύματος ὑπαγορευθὲν, καὶ ὑπὸ τῶν θεοπνεύστων προφητῶν ἐν γράμμασιν ἑβραϊκοῖς χαραχθέν. Καὶ τοῦτο (λέγει) τὸ ἰδίωμα συνίστησιν ἐν γένει *τὴν καθαρότητα* τοῦ ὅλου ἑβρ. κώδηκος. Ἐν δὲ τοῖς κατὰ μέρος ἀπογράφοις ἡ καθαρότης αὕτη διασῴζεται μὲν, οὐ μὴν ἐν πᾶσιν ἁπλῶς (εἰσὶ γὰρ ἐν αὐτοῖς καί τινα διεσφαλμένα), ἀλλ᾽ *ἐν τοῖς ἀρίστοις*, καὶ τούτοις, *συνάμα ληφθεῖσι* (Ἱερ. Κριτικ. σελ. 92 κτξ.). Ὄνειροι χειμερινοὶ, πρὸς ἑαυτοὺς ἀερομαχοῦντες, καὶ ὑπὸ μόνης τῆς ἀντιβολῆς τῶν πολυπληθῶν χειρογράφων ἀφαντωθέντες. Εἴπομεν καὶ ἄλλα τῶν αὐτοῦ φρονημάτων καὶ προηγουμένως (σελ. 261, κτξ.)· ἀπήντησε δέ τινα καὶ ὁ Κεννικῶτος.

§. ρϛ. Τῷ 1729. Ἰώσηπος Ἀλλέτης, Ἄγγλος σοφὸς, ἐξέδωκε τὰς ἑαυτοῦ σημειώσεις εἰς τὴν ἁγίαν Γραφὴν (α), ἐν αἷς λέγει καὶ ταῦτα· «Ἐπειδὴ παρὰ τοῖς ἀρχαίοις ἑρμηνευταῖς τῆς Παλαιᾶς Διαθήκης, καὶ παρ᾽ ἄλλοις συγγραφεῦσιν, ὅσοι ῥήσεις ἐξ αὐτῆς ἐμνημόνευσαν, εὑρίσκονται καὶ μέρη τῆς Γραφῆς, ἅπερ οὐ κεῖνται ἐν τοῖς νεωτέροις ἑβραϊκοῖς ἀπογράφοις, συμπεραίνεται ἄρα φανερῶς ἡ τῶν καθ᾽ ἡμᾶς ἑβραϊκῶν χειρογράφων διαφθορὰ, καὶ πρὸς τὰ παλαιὰ διαφωνία».

§. ρζ. Τῷ 1753 ἤκμασεν ὁ θαυμάσιος Οὐβιγάντης, ὅστις ἔν τε τοῖς σχολίοις, ἔν τε τοῖς προλεγομένοις τῆς κατ᾽ αὐτὸν ἐκδόσεως τοῦ ἑβραίου κώδηκος, ὡς ἐν Δέλτου στεγανῆς *πτυχαῖς φαειναῖς*, ἐχάραξεν ἀνεξαλείπτους τὰς Μασοραίας ἁμαρτίας.

§. ρη. Καὶ Φραγκῖσκος ὁ Ἄρης Ἰωσήπῳ τῷ Ἀλλέτῃ συνᾴδει, προστιθεὶς καὶ ταῦτα «Νομίζουσι τοὺς (μετὰ τὴν διασπορὰν) παλαιοτέρους Ἑβραίους ἀείποτε πεφροντικότας περὶ τῆς ἀσφαλοῦς τοῦ ἱεροῦ κώδηκος φυλακῆς, καὶ λίαν ἐπιμελῶς περὶ τὴν σπουδὴν τῆς πατρῴας αὐτῶν γλώσσης ἀσχοληθέντας· ἀλλὰ ταῦτα μάτην

(α) Ios. Hallet, Notes ect. on the holy Scriptures.

πεπίστευται παρὰ πολλοῖς. Καὶ ὅμως ἐν τούτοις ἐπιστηρίζεται ἡ περὶ τῆς ἀκεραιότητος τοῦ ἱεροῦ κώδηκος *κοινῶς κεκρατηκυῖα δοξασία*.

§. ρθ. Ὁ ἀββᾶς Λαδοβοκάτος (τῷ 1760. βλ. ὄπισθ. σελ. 704) τοῖς περὶ τὸν Οὐβιγάντην συμφωνῶν, λέγει μὲν πολλὰ τὰ σφάλματα τοῦ ἑβραϊκοῦ, ἀλλ᾽ ὅμως ἐκ τούτων οὐκ ἀναιρεῖται (φησὶν) ἡ αὐθεντία καὶ ἀκεραιότης τοῦ ἱεροῦ κειμένου. Διατείνεται δὲ καὶ ὅτι *ῥᾴδιόν ἐστι* διορθῶσαι ταῦτα τὰ παραπτώματα τῶν ἀντιγραφέων δι᾽ ἀκριβοῦς ἀντιβολῆς καὶ ἐπικρίσεως τῶν διαφόρων χειρογράφων!

§. ρι. Ὁ δὲ πάλιν Ὀπίστρακτος (τῷ 1769) ὁμολογεῖ μὲν «ὅτι κώδηκές τινες ἠδύναντό που τῆς οἰκουμένης ὑπὸ τῶν Ἰουδαίων κακοβούλως διαφθαρῆναι, καὶ κατὰ τοῦτ᾽ ἀληθεύουσιν οἱ πατέρες· ἀλλ᾽ ὅμως παρὰ τούτοις πάντως οὐχ᾽ εὑρήσεις, ὅτι πάντα τὰ χειρόγραφα πανταχοῦ τῆς γῆς ἐλυμήναντο οἱ Ἰουδαῖοι ». — (Ἀλλ᾽ ἐκ τῶν ἐνιαχοῦ διαφθορότων τούτων κωδήκων, οὐκ ἐκινδύνευεν ἆρα ἡ λύμη καὶ τοὺς ἑκασταχοῦ κατὰ μικρὸν ἐπινεμηθῆναι; ἢ μήπως οἱ Ἰουδαῖοι πῇ μὲν ἐμίσουν, πῇ δ᾽ οὐχὶ, τοὺς χριστιανούς;) — « Καὶ ἄλλως δὲ (προστίθησιν) οἱ γραφεῖς ἐπονηρεύοντο, προκρίνοντες ἐκ δύω τινῶν ἀναγνώσεων τὴν μὴ πρόσφορον τοῖς χριστιανοῖς· ἀλλὰ τοῦτ᾽ οὐκ ἂν εἴη κυρίως καὶ ἐκ προνοίας διαφθορά ». — (Ἀλλ᾽ αὕτη δὴ ἡ ἐκλογὴ πῶς ἐκράτησεν ἐπὶ πάντων τῶν ἁπανταχοῦ τῆς οἰκουμένης κωδήκων; πῶς δ᾽ ἐκ τῶν διπλῶν ἀναγνωσμάτων οὐ διεσώθησαν ἔν τε τῇ Μασόρᾳ καὶ τοῖς Κερίοις καὶ πάντα τὰ ἕτερα, τὰ μᾶλλον τοῖς χριστιανοῖς συμφωνοῦντα; εἰ δὲ καὶ ταῦτα παντελῶς ἐξήλειψαν οἱ Ἰουδαῖοι, πῶς οὐ διέφθειραν τὸ κείμενον ἑκοντί;) — « Καὶ ὑπὸ χρόνου δὲ (φησὶ) καὶ τῆς ἀμελείας τῶν ἀντιγραφέων συγχωρητέον σφάλματά τινα παρεισφρῆσαι εἰς τοὺς ἑβραίους κώδηκας. Ταῦτα δὲ διορθοῦνται δι᾽ ἐπιμελοῦς τῶν κωδήκων καὶ τῶν ἄλλων μεταφράσεων ἀντιβολῆς! (α).

(α) Opstract, De locis theologicis Diss. decem, pag. 39. Venet. 1769.

§. ρια. Καὶ Στάρκιος ὁ περικλεὴς (τῷ 1776), « Ἀδύνατον ἀρνήσασθαι (φησὶν), ὅτι πολλὰ καὶ παμμεγέθη σφάλματα ἐν ταῖς ἑβραϊκαῖς ἐνυπάρχουσι Γραφαῖς· οἷον, περὶ τὴν χρονολογίαν ἁμαρτήματα βαρύτατα, περιφανεῖς ἐν τοῖς ἱστορικοῖς ἀντιφάσεις, ἀριθμῶν ὑπερβολαὶ, γραμμάτων, λέξεων, περιόδων ἐλλείψεις καὶ προσθῆκαι καὶ μεταθέσεις. Ἐντεῦθεν δικαίως κεκίνηται ζήτημα, πόθεν ἄρα προῆλθον τοσαῦται δὴ καὶ οὕτως ἐπίσημοι μεταβολαί; Ἀλλ᾿ εἰ πιστευτέον τεκμηρίοις ἐμβριθεστάτοις (ὑφ᾿ ὧν κινούμενος οὕτω φρονῶ), χωρὶς πάσης ἀμφιβολίας τὴν Ἰουδαίων κακοβουλίαν καὶ κιβδηλίαν πρώτιστα πάντων αἰτιατέον, μετὰ δὲ καὶ τὴν ὀκνηρίαν καὶ ἀμέλειαν τῶν βιβλιογράφων » (α). Μαρτυρεῖ τούτοις καὶ Κεννικῶτος (Γενικ. Διατρ. §. 76). Μάτην ὁ Μάσχος ἀνεφύσησε κατὰ τοῦ Σταρκίου τὸν Βουξτόρφειον αὐλὸν, ἀπολογούμενος ὑπὲρ τοῦ κειμένου, ἐν ᾧ, τέλος, καὶ αὐτὸς ὡμολόγησε 2000, σφαλμάτων ἀντιγραφικῶν (β).

§. ριβ. Βενιαμὶν δὲ τὸν Κεννικῶτον (τῷ 1780) καὶ μόνον τις ὀνομάσας, αὐτὸ τὸ κεφάλαιον ἐρεῖ τῶν ἀποδείξεων τῆς διαφθορᾶς τοῦ Μασοραίου κειμένου.

§. ριγ. Ὁ Ἰησουΐτης Νικκολάϊς (τῷ 1781) μετὰ πολλὰς ἐπιστασίας, λέγει· « Τὰ *Κερία* καὶ *Κετίβια* τῶν Μασοριτῶν, ἡ διαφορὰ τῶν χειρογράφων, ἡ μεταγενεστέρα τῶν στικτῶν φωνηέντων ἐν ταῖς λέξεσιν ἐπίθεσις, ἡ μᾶλλον ἐν ταῖς μεταφράσεσιν, ἢ ἐν τῷ πρωτοτύπῳ κατὰ τόπους προσφυεστέρα σημασία τῶν ἐννοιῶν, ἡ τῶν διαφόρων ἀρχαίων μεταφράσεων πρὸς τὸ νῦν ἑβραϊκὸν διαφορὰ, ἡ αὐθεντία τῶν Πατέρων, καὶ μάλιστα τῶν ἰδίως περὶ τὸ ἑβρ. κείμενον ἀσχοληθέντων (οἷον τοῦ Ὠριγένους καὶ τοῦ Ἱερωνύμου), ταῦτα δὴ πάντα οὐκέτι συγχωροῦσιν ἡμῖν ἀμφιβάλλειν, εἰ παρεισέφρησαν σφάλματα εἰς τὸ κείμενον τὸ ἑβραϊκόν. Ἀλλ᾿ ὅμως ἐπειδὴ καὶ αἱ τοιαῦται ἀλλοιώσεις οὔτε πολλαί τινές εἰσιν, οὔτε ἐπίσημοι,

(α) Starck, Dav. Carm. vol. I. p. 8. — (β) Masch, Biblioth. Sacra etc. vol. I. p. XVI. Halae. 1774.

τὸ πρωτότυπον διασώζει τὸ κῦρος εἰς τὸ *διευθύνειν* τὴν ἡμετέραν πίστιν καὶ τὰ ἔθιμα» (α). Ταῦτα ὁ Νικκολάϊς. Ἀλλ' εἰ μὲν αἱ μεταποιήσεις ὀλίγαι τε καὶ ἄσημοί εἰσιν, ἢ τἀνάπαλιν πολυπληθεῖς, καί τινες ἄξιαι τοῦ παντὸς, μαρτυροῦσιν, ἃς εἶπεν, αἱ τῶν χειρογράφων διαφοραὶ, καὶ αἱ ἀρχαῖαι μεταφράσεις, καὶ αὐτὴ πολλάκις (ἵνα τὰς λοιπὰς καὶ τοὺς Ο, παρῶμεν) αὐτὴ μόνη ἡ Βουλγάτα. Καὶ τὸ μὲν πρωτότυπον σώζει πάντως τὸ προσῆκον ἴδιον κῦρος, πρὸς δὲ τὸ *διευθύνειν ἀπολύτως* τὴν ἡμετέραν πίστιν καὶ τὰ ἔθιμα, πῶς ἂν ἔχοι ἀπόλυτον κῦρος τὸ πολλαχῶς ὑπό τε ῥαββίνων καὶ ῥαββινιστῶν παραναγινωσκόμενον καὶ παρεξηγούμενον Μασοραῖον κείμενον, εἰμὴ πρὸς τοῦτο συμφωνούσας ἔχει τὰς χριστιανικὰς μεταφράσεις καὶ μάλιστα καὶ πρώτιστα τὴν Ἀποστολικὴν τῶν Ο; ἢ μήπως διευθύνει τὴν ἡμετέραν πίστιν τὸ ἰουδαϊκὸν κείμενον, ἐν οἷς ἔστιν ὅτε ἀντιλέγει πρὸς ἄρθρα δογματικὰ, καὶ ἀντὶ τοῦ, φέρ' εἰπεῖν, «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε» λέγῃ ὅ,τι ἔγραψαν οἱ μισόχριστοι Μασορῖται;

§. ριδ. Ὁ δὲ Ἔζελος (τῷ 1783) λέγει μὲν, ὅτι τὸ ἑβραϊκὸν κείμενον ἔπαθε φθορὰς ἀληθῶς, καὶ χρήζει βοηθείας κριτικῆς· ἀρνεῖται δὲ ὅτι οἱ Ἰουδαῖοι τοῦτο διέφθειραν ἑκουσίᾳ βουλῇ (καὶ μάλιςα τὸ χωρίον τὸ περὶ τοῦ Γαιβάλ. Δευτερονομ. κζ, 14). (β).

§. ριε. Ἰωάννης ὁ Ἰάννης (τῷ 1802) (Εἰσαγωγ. §. 104) λέγει ταῦτα, ὡς ἐν συνόψει. «Τὰ βιβλία τῆς Π. Διαθήκης διαφθορὰν μὲν ἢ διανόθευσιν ἐκ προνοίας καὶ κακοβουλίας οὐδεμίαν ἔπαθον περὶ τὰ οὐσιώδη» (γ)· (καὶ ὅμως αὐτὸς οὗτος μικρῷ πρόσθεν ἀπεδείκνυε

(α) Dissert. etc. T. I. pag. 39. — (β) W. Fr. Hezel's, Lehrbuch der Kritik des alt. Testaments. Leipzig, 1783.

(γ) Διαφθορὰν (corruptionem) ἐν τοῖς βιβλίοις κυρίως οἱ νεώτεροι λέγουσι τὴν ἐκ προνοίας καὶ κακοπιστίας (mala fide) εἰσαγομένην μεταποίησιν οὐσιώδους ἐπιχειρήματος, ὅπως ἂν ἀποβάλῃ τοῦτο τὴν γνησίαν ἔννοιαν, καθ' ἣν γέγραπται ὑπὸ τοῦ συγγραφέως. Τὰ δ' ἀβουλήτως δι' ἀβλεψίαν ἀντιγραφέων, ἢ χρόνου μῆκος, ἢ δι' ἄλλην αἰτίαν εἰς τὸ βιβλίον εἰσπίπτοντα σφάλματα λέγουσι ψευδογραφίας (menda), πλάνας (errores) κτλ. Παρ' Ἕλλησι δὲ ταῦτα καὶ πλάναι, καὶ σφάλματα, καὶ ἁμαρτήματα, ἢ ἁμαρτίαι καὶ ἁμαρτάδες (Στράβ.), καὶ παροράματα,

τοὺς Ἰουδαίους φθορεῖς, διαστρέψαντας τὸ Γαριζεὶν εἰς τὸ Γαιβάλ. βλ. καὶ ὄπισθ. σελ. 36). « Ἀλλ' ὅμως (φησὶν) ἔνεισιν ἐν αὐτοῖς σφάλματα διὰ πλάνην τῶν ἀντιγραφέων. Ἐνίοτε οἱ γράφοντες παρελίμπανον, ἢ προσετίθουν, ἢ μετέβαλλον καὶ γράμματα, καὶ λέξεις, καὶ περιόδους· καὶ σημειώσεις δὲ περισελιδίους ἐγκατεχώριζον εἰς τὸ κείμενον. Καὶ λέξιν ἣν οὐ κατενόουν, ὑπολαμβάνοντες ἐσφαλμένην, διώρθουν πρὸς τὸ δοκοῦν. Καὶ ἄλλην ἀντ' ἄλλης ἔγραφον λέξιν, νόημα μὲν ἔχουσαν καλὸν, ἀλλ' ὅμως τοῦ συγγραφέως διάφορον. Ἐντεῦθεν προῆλθον αἱ διάφοροι ἀναγνώσεις, ἢ παραλλαγαί· τὰς δὲ τοιαύτας λέξεις ἀντέγραφον καὶ ἄλλοι παρ' ἄλλων· Οὕτω προϊόντος τοῦ χρόνου, συνέβη, ὥστε τὰ χειρόγραφα κατὰ τόπους διαφέρειν ἀπ' ἀλλήλων, μηδὲ δύνασθαι μηκέτι διορισθῆναι πότερον τὸ γνήσιον ἀνάγνωσμα, καὶ πότερον τὸ σφάλμα.

§. ρις. Καὶ Βαύερος (τῷ 1806) τοιαῦτα περὶ τῶν παραλλαγῶν διαλαμβάνει (ἐν Εἰσαγωγῇ σελ. 106)· προστίθησι δὲ καὶ ὅτι σὺν πᾶσι τούτοις, « Οὕτω καλῶς συντετηρημένον ἦλθεν εἰς ἡμᾶς τὸ κείμενον τὸ ἑβραϊκὸν, ὅσῳ τῶν ἄλλων βιβλίων οὐδέν (!)· καὶ ἄδικον ἄρα πράττουσιν ἔργον, ὅσοι θέλουσι πολλὰς ἐν τῷ ἑβραϊκῷ γενομένας μεταβολάς. Ἀπίθανος δὲ κᾀκεῖνος ὁ ψόγος, ὅτι οἱ Ἰουδαῖοι ἑκουσίᾳ βουλῇ διέφθειραν τὸ κείμενον »· καὶ ἐπιφέρει τὰ κοινὰ καὶ καθημαξευμένα « Ὅτι τοιαύτη διαφθορὰ, εἴπερ ἐγίνετο πρὸ Χριστοῦ, πάντως ἂν ἔμελλε ταύτην ὁ Σωτὴρ ἐξελέγχειν. Μετὰ δὲ τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος, ἥ τε τῶν χριστιανῶν ἄγρυπνος ἐπιτήρησις »— (καὶ πότε πεπίστευται τοῖς ἀρχαίοις καὶ πρώτοις χριστιανοῖς ἡ ἀσφαλὴς καὶ ἀένναος συντήρησις τοῦ ἑβραϊκοῦ κειμένου; ποῖα δὲ τῶν δῆθεν παρὰ τοῖς χριστιανοῖς πεφυλαγμένων ἀρχαίων τούτων

καὶ ἀβλεψίαι λέγονται συνήθως. Τὰ δ' ἐκ προνοίας γινόμενα, νοθεύσεις, κιβδηλεῖαι, ῥᾳδιουργίαι, ἐκ μοχθηρίας διαστροφαί, κτλ. Τὸ δὲ διαφθορὰ τίθεται ἐπ' ἀμφοτέρων· οἷον « διαφθαρέντων τῶν βιβλίων » (Κλήμ.), καὶ (Γαλην.) « διαφθαρείσης τῆς μέσης γραμμῆς τοῦ Θ » (ἐξαλειφθείσης). Οὕτω καὶ διαφθείρεται καὶ κακοῦται τὰ χειρόγραφα (ὑπὸ χρόνου καὶ νοτίδος), καὶ πάλιν διαφθείρειν, καὶ λυμαίνεσθαι, καὶ λωβᾶσθαι καὶ κακουργεῖν, τὸ ῥᾳδιουργεῖν καὶ νοθεύειν ἑκοντὶ κτλ.

ἀντιγράφων διεσώθησαν, ἢ πολλά, ἢ ὀλίγα, ἢ μέρη γοῦν ἑνός;) — « καὶ ἡ μεταξὺ (λέγει) τοσούτων ἐθνῶν διασπορὰ τῶν Ἰουδαίων οὐκ ἂν συνεχώρησαν τοσαύτην διαφθορὰν εἰσπεσεῖν, ὥστε δι᾽ ὅλων τῶν χειρογράφων αὐτὴν διελθεῖν ». — Ἀλλὰ πῶς διῆλθον δι᾽ ὅλων τῶν ἁπανταχοῦ τῆς Οἰκουμένης χειρογράφων τὰ μασοραῖα στίγματα, μηδενὸς τῶν ἀρχαίων ἀστίκτου διασωθέντος; ἢ τίς ἀμφιβάλλει, ὅτι πρὸς ἕνα κώδηκα λεγόμενον ἐπίσημον, διώρθουν πάντα τὰ καθ᾽ ἑαυτοὺς χειρόγραφα οἱ Ἰουδαῖοι; (ὄπισθ. σελ. 156). Εἰ δὲ καὶ τὰς διανοθεύσεις παρομοίως εἰσῆγον οἱ ῥαββῖνοι, τὶς ἂν αὐτοὺς ἐκώλυσε;

§. ρις. Ὁ Εἰχόρνιος (τῷ 1823) λέγει· «Ὅτι οὐδὲν τῶν κανονικῶν βιβλίων τῆς ἑβραϊκῆς Γραφῆς σῴζει τὴν ἀρχαίαν ἐξωτερικὴν μορφὴν, καθ᾽ ἣν τὸ πρῶτον ὁ συγγραφεὺς ἕκαστον εἰδοποίησε. Καὶ ἐὰν ὁ Μωϋσῆς ἀναστῇ ἤδη ἐκ νεκρῶν, δυσχερῶς ἐπιγνώσεται τὰ ἑαυτοῦ συγγράμματα, βλέπων αὐτὰ πλήρη στιγμάτων, καὶ προσῳδιῶν, καὶ παντοδαπῶν κατά τε λέξεις καὶ στίχους καὶ κεφάλαια διαιρέσεων. — Τὰ ἀρχαιότατα χειρόγραφα » (*ἐννοοῦμεν τὰ μετὰ Χριστὸν*) « σφαλμάτων οὐκ ἀπήλλακτο· καί τινα τούτων ἐναπέμειναν καὶ ἐν τῷ καθ᾽ ἡμᾶς ἑβραϊκῷ κειμένῳ. Οἱ Ἰουδαῖοι λίαν ἠσμενίζοντο εἰς ἐννοίας ἀλληγορικὰς, καὶ ταύτας » (ὡς νομίζει ὁ Εἰχόρνιος) « ἐδήλουν διὰ σημείων πρὸς τῇ ᾤᾳ τῶν χειρογράφων, ἢ καὶ ἐν αὐτῷ τῷ κειμένῳ χαρασσομένων. Ταῦτα δὲ τὰ σημεῖα ἦσαν κεφαλαῖα γράμματα, ἀνεστραμμένα, ἐπικρεμάμενα, τελικά » (βλ. ὄπισθ. σελ. 114). « Καὶ διῄρουν δὲ τὸ κείμενον, ἢ συνῆπτον, ἢ συνέῤῥαπτον, ὅπως αὐτοῖς ἐδόκει καλῶς ἔχειν καὶ προσφόρως πρὸς τὴν ἀλληγορικὴν ἔννοιαν. Καὶ πολλὰς δὲ διορθώσεις ἐποιοῦντο κατὰ τὴν ἰδίαν αὐτῶν ἐπίνοιαν (ex ingenio) ». — (Ἀλλὰ μετὰ τούτων, ὧν ὁ Εἰχόρνιος λέγει, τῶν κατ᾽ ἐπίνοιαν διορθώσεων, καὶ τῆς πρὸς τὰς ἀλληγορικὰς ἐννοίας διαθέσεως τοῦ κειμένου, πάντως συνεισάγει καὶ σιωπῶν τὴν τοῦ κειμένου διαφθοράν· ἐφεξῆς προσθήσει καὶ τὴν ἐκ τῶν γραμματικῶν ἀλλοίωσιν τοῦ κειμένου). Ἀπαλλάττει δὲ ὅμως τοὺς Ἰουδαίους ὁ Εἰχόρνιος (τὸ γ᾽ ἐπ᾽ αὐτῷ) πάσης σχεδὸν περὶ

τὸ κείμενον ἐκ προνοίας ἐπενεχθείσης διαφθορᾶς. «Κατεδίκασαν (φησὶ) τοὺς Παλαιστινοὺς Ἰουδαίους ὡς μεταβαλόντας τὸ Γαριζεὶμ εἰς τὸ Γαιβάλ· ἀλλ᾽ ἡ τούτων ἀθῳότης ὑπάρχει προφανής. Ἐπὶ τοῦ ὄρους, ὅπου ὁ Ἰουδαϊκὸς λαὸς ὤμοσε τηρήσειν τὸν νόμον δι᾽ ἀρῶν καὶ θυσιῶν, ἐκεῖ πάντως ὤφειλε κεῖσθαι καὶ τὸ θυσιαστήριον· τοῦτο δὲ τὸ ὄρος ἦν τὸ Γαιβὰλ (ὄπισθ. σελ. 34). Ἀλλὰ καὶ τὸ *πόλις Ἡλίου* ἔστι κατὰ λέξιν μετάφρασις τοῦ Λεοντόπολις, ὅπου τὸ Ὀνίειον ᾠκοδόμητο». Ἀλλ᾽ οὐδὲ τῶν εἰς Χριστὸν ἀναφερομένων χωρίων οὐδὲν ὁ Εἰχόρνιος ἀποδέχεται ἐκ προνοίας διεφθάρθαι ὑπὸ τῶν Ἰουδαίων διὰ τὸ πρὸς τοὺς χριστιανοὺς μῖσος. α) λέγει, διότι οὐκ ἂν διέφθειρον τὰς μικροτέρας, ἀφέντες ἄλλας λαμπροτέρας περὶ τοῦ Μεσσίου μαρτυρίας» — (ἀλλὰ πρὸς τοῦτο τὸ ἐπιχείρημα ἀπηντήσαμεν σελ. 960). — «Καὶ β) (λέγει) ἐὰν χωρήσωμεν εἰς ἔρευναν τῶν χωρίων τούτων, δύνανται ταῦτα ἐξηγηθῆναι καὶ χωρὶς τῆς ὑποτιθεμένης διαφθορᾶς» —(Δύνανται πάντως κατὰ τὴν ἐξήγησιν τῶν ῥαββίνων καὶ ῥαββινιστῶν, ἀλλ᾽ ἀντιφάσκουσι πρὸς τοὺς Ἀποστόλους καὶ πολλὰς ἀρχαίας μεταφράσεις).—«Καὶ αὐτὸ, λέγει, τὸ «*ὥσπερ λέων*» (ψαλμ. κϐ, 27) οἱ σοφώτατοι τῶν Ἰουδαίων κατεδίκασαν ἐν τῇ Μασόρᾳ, γράψαντες τὴν ὀρθὴν ἀνάγνωσιν»—(ἀλλ᾽ ὅμως εἰς κώδηκας παμπόλλους καὶ εἰς τὸ κοινῶς παραδεδεγμένον κείμενον κατέλιπον τὴν λέξιν ἀδιόρθωτον, καὶ οὕτως ἀναγινώσκουσι πανταχοῦ! Οὕτως οἱ τῆς ἀθῳότητος τῶν Ἰουδαίων ἀπολογηταὶ λέγουσι λόγους πολλοὺς καὶ σοφοὺς, τὰ δὲ πράγματα καὶ σιωπῶντα φωνὴν ἀφίησι λαμπροτέραν· περὶ δὲ τῆς χρονολογίας οὐδὲν ἐπισυνῆψε πρὸς ταύτῃ τῇ κρίσει ὁ σοφὸς Εἰχόρνιος). Προϊὼν δὲ προστίθησιν ἐφεξῆς καὶ τῷ ὄντι σοφὰ καὶ ἀληθῆ. Ἀφ᾽ οὗ (λέγει) παρὰ τοῖς Ἰουδαίοις ἀπέβη ἄχρηστος ἡ Ἑλληνικὴ γλῶσσα, κατέφυγον εἰς τὰς χαλδαϊκὰς παραφράσεις, καθ᾽ ἃς ἔστιζον καὶ ἐτόνιζον καὶ διώρθουν τὸ κείμενον ἐν τοῖς ἑβραϊκοῖς χειρογράφοις. Μετὰ ταῦτα ἀνεφάνη ἡ τοῦ Σααδία Γαὼν γραμματική· καὶ ἐπειδή τινες φράσεις τοῦ κειμένου γραμματικὴν ἐξέτασιν οὐκ ἔσεγον, ἐπεβάλλοντο μεταπλάττειν τὸ κείμενον χάριν τῆς γραμμα-

τικῆς». (Ἀλλ' αὕτη τοῦ κειμένου ἡ μεταποίησις ἄλλο τι ἐστὶν, εἰ μὴ ἑκουσία καὶ ἐκ προνοίας κἂν οὐκ ἀπὸ μοχθηρίας διαφθορά; ὁμολογήσει δὲ τοῦτο καὶ Δεβέττης εὐθύς).

§. ριη. Καὶ ὁ σοφὸς Ἀββᾶς ὁ Βερθιῆρος (Berthier) λέγει, ὅτι τὸ κείμενον τὸ ἑβραϊκὸν παραβαλλόμενον πρὸς τὴν τῶν Ο ἑρμηνείαν, ἀποδείκνυται ὅτι ἔπαθε διαφθορὰς καὶ μεταβολάς· καὶ ποιεῖται σύντομον καὶ μάλα συνετὴν διαστολὴν «μεταξὺ *τοῦ καθ' ἡμᾶς, καὶ τοῦ πρώην ἑβραϊκοῦ κειμένου*» (α).

§. ριθ. Καὶ Δράχος ὁ σοφώτατος καὶ ἐξ Ἰουδαίων (τῷ 1825), ἀνεκήρυξεν ὅτι «Οἱ Ἰουδαῖοι διέφθειραν τὸ ἑβρ. κείμενον,» Καὶ διαγορεύει μάλα πεποιθώς, «*Ὅτι οἱ Ο προτιμητέοι τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου*». Ὁμολογεῖ καὶ ὅτι πᾶσαν τὴν Γραφὴν οὗτοι μετέφρασαν (β).

§. ρκ. Οὐδ' ὁ πολὺς τοῦ ἑβραϊκοῦ προστάτης Ῥοδομύλλερος (τῷ 1828) ἠρνήσατο διαφθοράς τινας ἐνούσας ἐν τῷ κειμένῳ (Σχόλ. εἰς τὴν Γραφ.). Πολλῷ δὲ πλείους ὁ Σχούλζης πρότερον (τῷ 1783), ἐν τοῖς κατ' αὐτὸν Σχολίοις ἐσημείωσε. Τὰ δὲ τοῦ Ῥόσσου εἴδομεν (σελ. 69).

§. ρκα. Ὁ δὲ Δεβέττης (τῷ 1833) ἐφρόνησεν, ὅτι τὸ ἑβραϊκὸν κείμενον διεφθάρη διχῶς, ἔκ τε πλάνης τῶν ἀντιγραφέων, καὶ ἐκ προνοίας, οὐ μὴν ἀπὸ γνώμης κακοβούλου καὶ μοχθηρᾶς· ἀλλ' ἐπ' ἀγαθῷ σκοπῷ τινες μετήλλαξαν τὰς γνησίας εἰς ἄλλας σαφεστέρας, καὶ εὐκολωτέρας δοκούσας ἀναγνώσεις, καί τινα χάσματα ἀνεπλήρωσαν» κτλ. (Εἰσαγωγ. σελ. 126.)· τὰς δ' ἀβουλήτους τῶν ἀντιγραφέων πλάνας διέγραψε καὶ οὗτος, οἵας καὶ Ἰάννης ἀνωτέρω.

§. ρκβ. Ὁ Ἔρψης (τῷ 1840) ὁμολογεῖ, ὅτι τὸ ἑβραϊκὸν κείμενον ἠλλοίωται καὶ παρεμορφώθη. Τριπλᾶς δὲ τίθησι τὰς παραμορφώσεις· ἢ γὰρ (φησὶ) παρέλιπον οἱ ἀντιγραφεῖς, ἢ προσέθηκαν, ἢ κατὰ τὸ μᾶλλον καὶ ἧττον μετέβαλόν τινα χωρία, καὶ λέξεις

(α) Βλ. Etudes sur le Texte des Psaumes etc. par. M. I. B. M. N. Tom. 1. p. 76. Paris, 1836.

(β) Premier Lettre de M. Drach aux Israélites etc. p. 37.

(ὅθεν προῆλθον αἱ πανταχοῦ τῶν Βιβλίων πλεῖσται παραλλαγαί). ὅτι δὲ πεπόνθασι τὰ Βιβλία ἀληθῶς τοιαύτας παραμορφώσεις, καὶ *ἦν καὶ ἔσται πάσης ἀμφιβολίας ἐκτός*. Ἑκουσίας δὲ περὶ τὸ κείμενον νοθεύσεως καὶ διαστροφῆς ἀπαλλάττειν τοὺς Ἰουδαίους ὁ Ἕρψης πειρᾶται· ὁμολογεῖ δὲ μόνον τὸ παρὰ πολλοῖς καὶ ἄλλοις (ἀπὸ τοῦ Βελλαρμίνου καὶ ἐφεξῆς) περιφερόμενον, ὅτι ἔν τισιν ἐπισήμοις χωρίοις, δύω προκειμένων ἀναγνώσεων, ἐξελέξαντο τὴν μᾶλλον ποιοῦσαν εἰς αὐτοὺς (οἷον ἐν ψαλμ. κβ, 17, καὶ Ἡσαΐ. ιθ, 18, ἐφ᾽ ὧν εἰσέτι ἐπικάθηται ἡ ὑποψία τῆς νοθείας). Εἰ δὲ (προστίθησι) καὶ ἐκ προνοίας ἐπ᾽ ἀγαθῷ σκοπῷ μετέβαλον τὰς ἀναγνώσεις, ὥς τινες (οἷον ὁ Δεβέττης) ὑπέλαβον, ἀμφιβάλλεται.

§. ρκγ. Καὶ Ῥόβερτος ὁ Γράϋς, Βριστόλης ἐπίσκοπος (τῷ 1841) λέγει « Μετὰ τὴν ἐπὶ Τίτου τῶν Ἰουδαίων αἰχμαλωσίαν, πιθανῶς εἰσῆρψαν εἰς τὸ ἱερὸν κείμενον ἁμαρτήματα καὶ διαφθοραί. Οὐκέτι γὰρ ἐσῴζετο τὸ πρωτόγραφον τοῦ Ἔσδρα (βλ. ὄπισθ. σελ. 56), πρὸς ὃ παραβαλλομένων τῶν διαφόρων χειρογράφων, ἔμελλε τούτων ἡ πίστις ἐπικυροῦσθαι. Ὅθεν εἰσεχώρησαν σφάλματα παντοῖα, καὶ ξέναι σημειώσεις ἐκ τῆς ᾤας μετατεθεῖσαι. Αἱ δὲ τοιαῦται μεταποιήσεις καὶ ἐλλείψεις μεταδιδόμεναι συνεχῶς ἐν τοῖς ἀπογράφοις, μηδενὸς παρόντος κύρους πρὸς τὴν ἐξ ἀντιβολῆς διόρθωσιν αὐτῶν, *ἐξ ἀνάγκης διαιωνίσθησαν* ». Ἀρνεῖται δὲ καὶ οὗτος, ὅτι οἱ Ἰουδαῖοι διέφθειραν ἑκοντὶ τὰς Γραφάς.

§. ρκδ. Ὁ Γλαῖρος (τῷ 1843) ἐν Εἰσαγωγῇ (τόμ. α. σελ. 35, 147) ὁμολογεῖ, ὅτι τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν σφαλμάτων οὐκ ἀπήλλακται· ὡς ἀποδείκνυται (φησὶν) ἔκ τε τῆς τῶν χειρογράφων πρὸς ἄλληλα διαφορᾶς, καὶ προσέτι ἐκ τῆς τοῦ νῦν ἑβραϊκοῦ διαφωνίας τῆς πρὸς τοὺς Ο, (*οὗτοι δὲ*, προστίθησι, *μετέφρασαν ἐκ τῶν ἀρχαίων χειρογράφων*), καὶ πρὸς τὰς λοιπὰς (Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος) μεταφράσεις. Ἀποδίδωσι δὲ τὰ σφάλματα τοῦ Μασοραίου κειμένου εἰς τρεῖς μάλιστα αἰτίας, τὰς κυριωτάτας ὧν καταλέγει· 1) τὴν ἀβλεψίαν καὶ ἀκρισίαν τῶν ἀντιγραφέων· 2) εἰς τολμηρὰς διορθώσεις· 3) εἰς *προλήψεις* (ὡς λέγει)

θρησκευτικάς, δι' ἃς ὁ Ἰουδαῖος μεταγραφεὺς ἐκ δύω ἀναγνώσεων προέκρινε τὴν μᾶλλον αὐτῷ συμφέρουσαν (ὡς ἐν τῷ *κααρὶ* ἀντὶ καροὺ κτλ.).

§. ρκε. Ὁ σοφὸς Βαλλάκης (τῷ 1844) ἔγραψεν· ὅτι « Αἱ διὰ τῶν ἀκαμάτων κόπων τοῦ Κεννικώτου καὶ Ῥόσσου γενόμεναι συγκρίσεις καὶ ἀντιβολαὶ τῶν πολυαρίθμων χειρογράφων καὶ ἐκδόσεων τοῦ ἑβρ. κειμένου τοσαύτην ἤνεγκον πληθὺν παραλλαγῶν, ὥστε κατέρραξαν παντελῶς τὴν ἤδη ἀπηρχαιωμένην γνώμην τῆς ὡς ἐκ *θαύματος ἀκεραίου καὶ ἀσπίλου συντηρήσεως τῆς ἑβραϊκῆς ἀληθείας*, ἣν ὑπερασπίζοντο καὶ κριτικοὶ καὶ θεολόγοι. Ἀπέδειξε δὲ καὶ οὗτος, ὡς καὶ πρὸ αὐτοῦ ὁ Αὔης, καὶ ὁ Ῥούσελλος, καὶ ὁ περικλεέστατος Κουνιγχάμος, καὶ νεώτατος, ὁ ἔνδοξος Σεϋφάρθος (τῷ 1846) τὴν περὶ τὴν χρονολογίαν ἐκ προνοίας διαφθορὰν καὶ διανόθευσιν τοῦ Μασοραίου κειμένου, ὡς εἴρηται διὰ μακρῶν ἐν τῷ ΙΕ, κεφαλαίῳ.

§. ρκς. Ἱκανοῦσιν αὗται, ὀλίγαι ἐκ πολλῶν, αἱ μαρτυρίαι Ἰουδαίων τε καὶ χριστιανῶν περὶ τῆς τοῦ νῦν ἑβραϊκοῦ διαφθορᾶς. Εἰσὶ δὲ καθὼς εἴδομεν, διτταί· τῶν μὲν μόνον ὑπὸ χρόνου καὶ ἀντιγραφέων καὶ περιστατικῶν διαφθαρῆναι τὸ κείμενον βουλομένων, τῶν δὲ καὶ ἐκ προνοίας καὶ ἑκουσίᾳ βουλῇ τῶν Ἰουδαίων. Ἀλλ' ὅσον ἐκ τῶν πραγμάτων αὐτῶν, καὶ ἐκ τῆς ἀξιοπιστίας ἐπισημοτάτων καὶ τοῦ πράγματος εἰδημόνων μαρτύρων, ἀμφότερα συμπεραίνονται. Καθόλου δὲ δι' ὅλων παρ' ὀλίγον 1900 ἐτῶν (ἀπὸ τοῦ α, μ. Χ. αἰῶνος μέχρι σήμερον, ἔχοι τις ἂν ἐπαγαγεῖν συνεχεῖς μαρτυρίας πρὸς ἀπόδειξιν τῶν εἰς τὸν ἑβραῖον κώδηκα γενομένων μεταβολῶν. Ἀπὸ δὲ τῆς ἀρχῆς τοῦ ις, αἰῶνος μέχρι καὶ ἡμίσους σχεδὸν τοῦ παρελθόντος, ἀνεφάνησαν πολλοὶ καὶ οὐκ ἄσημοι τῶν νεωτέρων σοφῶν, οἵτινες ἐπρέσβευον δογματικῶς τὴν ἀκεραιότητα τοῦ Μασοραίου κειμένου, καὶ πολλοί τινες ἀπεφθέγξαντο τὸ αὐτὸ σχεδὸν ἀξίωμα, ὅπερ καὶ ὁ πολυθρύλλητος Παγνίνης· « *Ὅτι τὰ τεύχη τὰ ἑβραϊκὰ οὐδ' ἐν μιᾷ γοῦν λέξει διέφθαρται* »· καὶ ταῦτα Μορίνου καὶ Καπελλίου καὶ Οὐοσσίου καὶ

ἄλλων ἀντιλεγόντων. Ἀλλ᾽ ὅμως, ὡς εἶπεν ὀρθῶς ὁ λαμπρὸς Κεννικῶτος «*αὕτη ἡ κοινῶς ἀποδεδεγμένη* (καθὼς ἔλεγεν ἀνωτέρω §. ρη. Φραγκῖσκος ὁ Ἄρης ἀγανακτῶν) ψευδόδοξος γνώμη, ἀπὸ τοῦ 1750 ἔτους καὶ ἐφεξῆς, μετὰ τὴν ἀνακάλυψιν καὶ ἀντιπαράθεσιν τοσούτων ἑβραϊκῶν χειρογράφων, ἐξέπεσε· καὶ ἤρξατο νέα ἐποχὴ τῆς περὶ τὴν Γραφὴν κριτικῆς» (Κεννικ. Γεν. Διατρ. §. 132). Ἀλλ᾽ ἐὰν θεωρήσωμεν ὁποῖον ἤνεγκε καρπὸν δι᾽ ὅλης ἤδη ἑκατονταετηρίδος (ἀπὸ τοῦ Κεννικώτου μέχρι σήμερον) ἡ ἐπίσημος αὕτη *ἐποχὴ*, μικραὶ καὶ ἀμαυραὶ τῆς βελτιώσεως τοῦ ἰουδαϊκοῦ κειμένου ὑπολείπονται ἐλπίδες· καὶ κινδυνεύει διὰ παντὸς αἰῶνος ἀληθεύσειν ἡ τοῦ ῥαββίνου Νόρζη ὁμολογία. Ὅτι «ἐξέλιπε χεὶρ ἰατροῦ. Οὐδ᾽ ἔσται ὁ ἐπιστήσων ἐπὶ τῶν γραμμάτων σημεῖα, καὶ ἐκριζώσων τὰς ἀκάνθας», καὶ τὰ λοιπὰ τῆς μονῳδίας· (ὄπισθ. σελ. 951). Κἂν ὑποτεθῇ, ὅτι μετὰ πολλοὺς αἰῶνας συνέπνευσαν οἱ κριτικοὶ μετ᾽ ἀλλήλων καὶ μετὰ τῶν ῥαββίνων, καὶ γέγονε, τέλος (ὅπερ ἀδύνατον), ἐν τοῖς ἀπειροπληθέσιν ἀναγνώσμασι διαστολὴ καὶ διάκρισις τῶν γνησίων ἀπὸ τῶν μὴ γνησίων, καθ᾽ ὅλους τοὺς κανόνας τῆς κριτικῆς, εἰς μίαν παναρμόνιον ἔκδοσιν τοῦ ἑβραϊκοῦ κειμένου, κριτικὴ μὲν ἔσται πάντως ἡ ἔκδοσις (ἄλλοις πάλιν ἐφεξῆς ὑποκειμένη κριταῖς), *κῦρος* δὲ *θεῖον* τίς αὐτὴν περιβαλεῖ; Καὶ ταῦτα μὲν οὕτως. Ἴδωμεν δὲ ἤδη καὶ ἄλλην περὶ τοῦ ἑβραϊκοῦ κειμένου γνώμην τῶν νεωτέρων σοφῶν.

§. ρκζ. Πάντες ὅσοι χρῶνται Γραφαῖς ἡρμηνευμέναις ἐκ τοῦ καθ᾽ ἡμᾶς ἑβραϊκοῦ, καὶ ἄλλοι τούτου προστάται, πρεσβεύουσι καὶ διϊσχυρίζονται ὅτι τὸ μετὰ Χριστὸν ἑβραϊκὸν κείμενον ὡς κύριον καὶ ἄφθορον ἀνέκαθεν ἀπεδέξατο μετὰ κρότου ἡ Ἐκκλησία. Δείξεις δ᾽ ἐπιφέρουσι τὰς ἑξῆς. Α) Κατὰ τὸν β, αἰῶνα ἡ Γραικικὴ Ἐκκλησία ἀπεδέξατο τὰς μετὰ Χριστὸν ὑπ᾽ ἀνθρώπων Ἰουδαίων καὶ Ἐβιωνιτῶν (τοῦ Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος) γενομένας τοῦ ἑβραϊκοῦ μεταφράσεις· καὶ ἰδίως δὲ τὴν ὑπὸ τοῦ Θεοδοτίωνος ἑρμηνείαν τοῦ Δανιὴλ ἀνεγίνωσκε δημοσίως ἐν ταῖς ἱερουργίαις. Καὶ τὸ ἑβραϊκὸν μετέφερον εἰς τοὺς κόλπους τῆς Ἐκκλησίας

πολλοὶ τῶν εἰς Χριστὸν πεπιστευκότων ἑβραίων ἔν τε Παλαιστίνῃ καὶ πανταχοῦ τῆς Ῥωμαίων ἐπικρατείας, ὅπου ἦσαν Συναγωγαί. Β) Κατὰ τὸν Γ, αἰῶνα ὁ Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς διώρθου πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν τὴν ἑρμηνείαν τῶν Ο, καὶ οὕτω διωρθωμένην ἐξέδωκεν αὐτὴν Εὐσέβιος μετὰ τοῦ Παμφίλου. Γ) Ὁ Ἱερώνυμος ἡρμήνευσε λατινιστὶ τὸ ἑβραῖον κείμενον. Αὕτη δὲ τοῦ Ἱερωνύμου ἡ μετάφρασις, καίτοι κατ' ἀρχὰς περιέπεσεν εἰς ἀντιλογίας, ἀλλ' ὅμως εἰσήχθη, τέλος, εἰς πάσας τὰς λατινικὰς ἐκκλησίας. Καὶ πάλιν ἀρχομένου τοῦ Θ, αἰῶνος διωρθώθη πρὸς τὸ Ἑβραϊκὸν διὰ τοῦ Ἀλκουΐνου (βλ. ὄπισθ. σελ. 103 καὶ 972). Καὶ ὕστερον αὖθις ἐπὶ Σίξτου τοῦ Ε, καὶ Κλήμεντος τοῦ Η, οὐ μόνον πρὸς τὰ παλαιὰ χειρόγραφα, ἀλλὰ καὶ πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν ἀντιβληθεῖσα ἐβελτιώθη. Ὥστε ἡ τοῦ ἑβραίου κώδηκος ἄχραντος ἀκεραιότης δι' ὅλων τῶν αἰώνων ὡμολόγηται ὑπὸ τῆς Ἐκκλησίας. Δ) Τοῦτο βεβαιοῦσιν ἰδίως καὶ μαρτυρίαι πατέρων ἐμπείρων τῆς ἑβραϊκῆς γλώσσης. Ὁ Ὠριγένης *ἀθωοῖ τοὺς Ἰουδαίους* ἀπὸ πάσης νοθεύσεως τοῦ κειμένου, καὶ ὁ Ἱερώνυμος εἰς τὸν Ὠριγένην ἐκκαλεῖται τὴν κρίσιν λέγων· « Εἴ τις λέγοι τὰς ἑβραϊκὰς Βίβλους ὕστερον νοθευθείσας ὑπὸ τῶν Ἰουδαίων, ἀκουσάτω τὸν Ὠριγένην, ὅστις ἐν Η, τῶν εἰς Ἠσαΐαν ἐξηγήσεων ἀπαντᾷ πρὸς τοῦτο τὸ ζητημάτιον, λέγων Ὅτι ὁ Κύριος ἡμῶν καὶ οἱ Ἀπόστολοι, οἳ περὶ τῶν ἄλλων ἁμαρτημάτων ἐξήλεγχον τοὺς γραμματεῖς καὶ φαρισαίους, οὐκ ἂν ἐσιώπησαν περὶ τοῦ μεγίστου δὴ τούτου κακουργήματος. Ἐὰν δὲ « (προστίθησιν αὐτὸς ὁ Ἱερώνυμος) » ἐὰν δὲ πάλιν εἴπωσιν, ὅτι μετὰ τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος καὶ μετὰ τὸ κήρυγμα τῶν Ἀποστόλων, τὰ ἑβραϊκὰ Βιβλία ἐκιβδηλεύθησαν, οὐ δύναμαι κατέχειν τὸν καγχασμόν· εἴπερ ὁ Σωτὴρ ἡμῶν καὶ οἱ Ἀπόστολοι οὕτω (τὰς προφητικὰς) μαρτυρίας ἐξήνεγκον, ὡς ἔμελλον αὐτὰς διανοθεύσειν ὕστερον οἱ Ἰουδαῖοι »! (Ἱερώνυμ. εἰς Ἠσαΐ. ϛ). Καὶ ὁ ἱερὸς Αὐγουστῖνος (περὶ Πολ. Θεοῦ ιη, 46) « Οἱ Ἰουδαῖοι (λέγει), οἷον ἡμέτεροι χαρτοφύλακες, τὰς ἡμετέρας περιφέρουσι Βίβλους· ὅπως, ὅταν οἱ ἐθνικοὶ μὴ πιστεύωσιν ἡμῖν,

τὰ περὶ Χριστοῦ προκηρυχθέντα διηγουμένοις, φάσκοντες ὑφ' ἡμῶν αὐτὰ πεπλᾶσθαι, παραπέμπωμεν αὐτοὺς πρὸς τοὺς ἐχθροὺς τῆς πίστεως ἡμῶν Ἰουδαίους, οἳ τὰς ἡμετέρας περιάγουσι βίβλους, ἐν αἷς περιέχονται ταῦτα καὶ ἃ κηρύττομεν ἡμεῖς » (βλ. καὶ ὄπισθ. σελ. 6). Ταῦτα, ὡς ἐπίπαν, τὰ ἐπιχειρήματα τῶν πρεσβευόντων τὸ Μασοραῖον κείμενον κεκυρωμένον ὑπὸ τῆς Ἐκκλησίας (α).

Ἀπαντῶμεν.

§. ρκη. Α) Οἱ θεῖοι Ἀπόστολοι μίαν καὶ μόνην Γραφὴν παρέδωκαν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, τὴν ἑρμηνείαν τῶν Ο. Ἐκ ταύτης ἐξέφερον κηρύττοντες τὰς ῥήσεις τὰς προφητικάς. Κατ' αὐτὴν συνέγραψαν τὰ Εὐαγγέλια καὶ τὰς ἐπιστολάς. Ταύτην ἀνεγίνωσκον μετὰ τῆς καινῆς Διαθήκης αἱ κατὰ τόπους νεόδμητοι Ἐκκλησίαι. Ταύτην οἱ θεῖοι Πατέρες τῶν πρώτων αἰώνων ἐδίδασκον, ἐξήγουν, ἐσχολίαζον, ὡσανεὶ πρωτότυπον καὶ θεόπνευστον. Ἐξ αὐτῆς ἐγένοντο αἱ πρῶται μεταφράσεις εἰς ὅλας τὰς ἄλλας γλώσσας τῶν χριστιανῶν ἐθνῶν. Καὶ αὐτὴ ἡ Συριακὴ ἐπὶ τοῦ θείου Ἐφραὶμ ὑπῆρχεν ἐκ τῶν Ο. Τὴν δ' ἐκ τοῦ ἑβραϊκοῦ Πεσχίταν εἴδομεν (κεφαλ. Κ.) ὅπως ἐγένετο, καὶ ὡς ἐκράτησε παρὰ τοῖς Σύροις. Καίτοιγε καὶ ταύτης τὴν ἑρμηνείαν ἀνῆγον οἱ Σύροι εἰς χρόνους ἀρχαίους, ἢ καὶ ὑπ' αὐτῶν τῶν Ἀποστόλων ἔπλαττον μεθερμηνευθεῖσαν, ὡς ὕποπτον δηλαδὴ θεωροῦντες τὸν μετὰ Χριστὸν κώδηκα τῆς Συναγωγῆς. Οἱ δ' ἐξ Ἰουδαίων εἰς Χριστὸν πιστεύοντες πολλοὶ καὶ μυρίοι κατά τε τὴν Παλαιστίνην καὶ πανταχοῦ τῆς Ῥωμαίων ἐπικρατείας, οὐκ ἔφερον τὸ ἑβραϊκὸν εἰς τοὺς κόλπους τῆς Ἐκκλησίας· (ὡς ὁ χρηστὸς Μαρκίνης ἀστεΐζεται), ἀλλ' ἐλάμβανον παρὰ τῆς Ἐκκλησίας καὶ παρ' αὐτῶν τῶν Ἀποστόλων κεκυρωμένον τὸ τῶν Ο κείμενον, ᾧπερ ἐχρῶντο καὶ πρότερον ἐν

(α) Βλ. Marchini, De divin. et canonic. Sacror. Bibl. p. 84. — Jahn, Einleit. §. 14. καὶ Ackermann, Introduct. p. 18. πρβλ. καὶ τὴν τούτων ὅλων τῶν ἐπιχειρημάτων δαψιλῶς καναχίζουσαν πηγὴν, τὴν Ὀδίου συγγραφὴν (Βιβλ. Γ. κεφ. δ. καὶ ε. ἅπερ ἐφεξῆς ἐν τῷ Δ, βιβλίῳ κατὰ λέξιν ἐξετάζομεν).

ταῖς συναγωγαῖς οἱ ἑλληνιςαὶ, διὰ τὴν ἀπὸ τοῦ Μ. Ἀλεξάνδρου μάλιστα καὶ ἐφεξῆς πανταχοῦ τῆς Ῥωμαίων ἐπικρατείας καὶ καθ' αὐτὴν τὴν Παλαιστίνην ἐπικρατήσασαν ἑλληνικὴν διάλεκτον. Εἰ δὲ καί τινες βαθεῖς ἑβραῖοι πιστεύοντες εἰς Χριστὸν κατὰ τὰς ἀρχὰς τοῦ χριστιανικοῦ κηρύγματος, ἐμελέτων καὶ τὴν ἔτι κατὰ τὸν α, αἰῶνα ἀδιάφθορον ἑβραϊκὴν Γραφὴν, μήπως προσέφερον τὰς βίβλους καὶ εἰς *τοὺς κόλπους τῆς Ἐκκλησίας;* Ποῦ δὲ καὶ τῆς ἱερᾶς καὶ τῆς ἐκκλησιαστικῆς ἱστορίας, ἢ παρὰ τίνι τῶν ἀρχαίων Πατέρων ἀνέγνων οἱ ἄνδρες, ὅτι ὑπῆρχον Ἐκκλησίαι κατὰ τοὺς πρώτους αἰῶνας ἀναγινώσκουσαι δημοσίως τὴν παλαιὰν Γραφὴν ἑβραϊστί; Λέγουσιν οἱ περὶ τὸν Ἰάννην (ἀντιγράψαντες ἐξ Ἱερωνύμου), ὅτι ἡ Γραικικὴ Ἐκκλησία ἐκύρωσε τὰς μετὰ Χριστὸν *ἰουδαϊκὰς καὶ ἐβιωνιτικὰς* ἑρμηνείας, ἀλλὰ λέγουσιν ἀνύπαρκτα. Ἄπαγε τοῦ ἄγους! Τόσον ἐκύρωσεν ἡ Ἐκκλησία τῶν ἰουδαϊζόντων τούτων αἱρετικῶν τὰς ἑρμηνείας, ὅσον καὶ τὰ ὑπὸ τοῦ Μαρκίωνος καὶ τοῦ Τατιανοῦ νοθευθέντα Εὐαγγέλια! ὅτι δὲ καὶ ὅλην εἰσήγαγεν εἰς τὰς ἀχράντους αὐτῆς ἱεροτελεστίας τὴν ὑπὸ Θεοδοτίωνος ἑρμηνείαν τοῦ Δανιὴλ, καὶ τοῦτο μάτην εἶπεν ὁ μακάριος Ἱερώνυμος, ἐν οἷς ὑπερασπίζετο περιπαθῶς τὴν ἐκ τοῦ ἑβραϊκοῦ ἰδίαν αὐτοῦ μετάφρασιν πρὸς τοὺς ψέγοντας ὡς τολμηρὸν τὸ ἐγχείρημα. Ἀλλὰ τοῦτο τὸ ἀνέκδοτον τοῦ Δαλμάτου πατρὸς οὐ μόνον οὐδεὶς οὔτε τῶν συγχρόνων οὔτε τῶν προγενεστέρων Πατέρων τῆς Ἐκκλησίας οὔτ' ἔγραψεν, οὔτ' ἠπίστατο, ἀλλὰ καὶ προφανῶς ἐξελέγχεται ὑπ' αὐτοῦ τοῦ Ὠριγένους, ὅστις εἶχε τεταγμένην ἐν τοῖς Ἑξαπλοῖς τὴν κατὰ τοὺς Ο ἑρμηνείαν τοῦ Δανιήλ. Καὶ αὐτὸς δὲ ὁ μακάριος Ἱερώνυμος περὶ τούτου πρὸς ἑαυτὸν ἀντιφάσκει. Εἴπομεν περὶ τούτου μακρὰ ἐν τοῖς προλαβοῦσι (Βιβλ. Β. κεφ. Ι. §. κδ. κτξ.), ἀπολογούμενοι τὸ γ' ἐφ' ἡμῖν καὶ ὑπὲρ αὐτοῦ τοῦ πανευφήμου Πατρός.

§. ρκθ. Β) Ὅτι ὁ Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς παρεξήτασε πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν τὴν ἑρμηνείαν τῶν Ο, ὑπάρχει παρὰ πᾶσιν ὁμολογούμενον. Ἀλλ' ὅτι ταύτην τὴν Ὠριγένους ἔκδοσιν

ὁμοῦ καὶ τὸ ἑβραϊκὸν ἐκύρωσεν ἡ ἐκκλησία, τοῦτο τῆς ἀληθείας ἐπεσχοίνισται πολλῶν ἡμερῶν ὁδόν. Αὐτὸς Ὠριγένης (ἵνα μὴ καὶ παρ᾽ ἄλλων φέρομεν ἀποδείξεις), ὁμολογεῖ καὶ διακηρύττει, ὅτι τὴν πρὸς τὸ ἑβραϊκὸν ἀντιπαράθεσιν τῆς ἑρμηνείας τῶν Ο, οὐκ ἐφιλοπόνησε πρὸς χρῆσιν τῆς Ἐκκλησίας, ἀλλὰ πρὸς τί; αὐτὸς ἡμῖν ἐρεῖ· « Καὶ ταῦτα δὲ φημὶ, οὐχὶ ὄκνῳ τοῦ ἐρευνᾷν καὶ τὰς τῶν Ἰουδαίων γραφὰς, καὶ πάσας τὰς ἡμετέρας ταῖς ἐκείνων συγκρίνειν, καὶ ὁρᾷν τὰς ἐν αὐτοῖς διαφοράς· εἰμὴ φορτικὸν γοῦν εἰπεῖν, ἐπὶ πολὺ τοῦτο, ὅση δύναμις, πεποιήκαμεν, γυμνάζοντες αὐτῶν τὸν νοῦν ἐν πάσαις ταῖς ἐκδόσεσι καὶ ταῖς διαφοραῖς αὐτῶν, *μετὰ τοῦ ποσῶς μᾶλλον ἀσκεῖν τὴν ἑρμηνείαν τῶν Ο*, ΙΝΑ ΜΗ ΤΙ ΠΑΡΑΧΑΡΑΤΤΕΙΝ ΔΟΚΟΙΗΜΕΝ ΤΑΙΣ ΥΠΟ ΤΟΝ ΟΥΡΑΝΟΝ ΕΚΚΛΗΣΙΑΙΣ. – Ἀσκοῦμεν δὲ μὴ ἀγνοεῖν καὶ τὰ παρ᾽ ἐκείνοις, ἵνα *πρὸς Ἰουδαίους διαλεγόμενοι, μὴ προσφέρωμεν αὐτοῖς τὰ μὴ κείμενα ἐν τοῖς ἀντιγράφοις αὐτῶν*, καὶ *ἵνα συγχρησώμεθα τοῖς φερομένοις* παρ᾽ ἐκείνοις, εἰ καὶ *ἐν τοῖς ἡμετέροις οὐ κεῖνται βιβλίοις* (ἐπιστ. π. Ἀφρικαν. §. ε). Ὥστε ὁ Ὠριγένης ὁμολογεῖ, α), ὅτι παραχάραγμα ἐκρίνετο πρὸς τὰς ὑπ᾽ οὐρανὸν ἐκκλησίας ἁπάσας, εἴ τις ἐκ τῶν ἰουδαϊκῶν γραφῶν εἰσάγοι τι διάφορον καὶ ἐναντίον πρὸς τὴν παραδεδεγμένην ἑρμηνείαν τῶν Ο· β), ὅτι τὴν πρὸς τὸ ἑβρ. παράθεσιν τῶν Ο, ἐποιήσατο *ἕνεκα τῶν πρὸς Ἰουδαίους προσδιαλέξεων*· γ), ὅτι τὸ *ἑβραϊκὸν κείμενον* ἐθεώρει ὡς ἀνῆκον οὐκ εἰς τὴν Ἐκκλησίαν, ἀλλ᾽ *εἰς τοὺς Ἰουδαίους* αὐτοὺς, διακρίνων ἐπὶ λέξεως *τὰ ἀντίγραφα αὐτῶν* ἀπὸ *τῶν ἡμετέρων βιβλίων* (τῶν Ο). Οἱ δὲ περὶ τὸν μάρτυρα Πάμφιλον καὶ τὸν Εὐσέβιον οὔτε Ὠριγένους διάφορα ἐφρόνουν, καὶ τὴν ἐκ τῶν Ἑξαπλῶν διόρθωσιν καὶ ἔκδοσιν τῶν Ο, ἐποιήσαντο μετὰ σχολίων καὶ σημειωμάτων φιλολογικῶν, ἀλλ᾽ οὐ διὰ τὴν Ἐκκλησίαν, διὰ δὲ τὸν Ὠριγένους σκοπὸν, καὶ ἵνα γυμνάζωσι τὸν λόγον οἱ ἐξηγηταὶ τῶν θείων Γραφῶν, διαλευκαίνοντες τὸ νόημα (βλ. Μοντεφαλκ. σελ. 74 πρβλ. καὶ ὄπισθ. σελ. 95). Ὅτι δὲ καὶ ἡ Παλαιστινὴ Ἐκκλησία μετὰ τῶν ἄλλων τοῦ Χριστοῦ Ἐκκλησιῶν

ἀνεγίνωσκεν αὐτὴν ἄκρατον τὴν Κοινὴν ἑρμηνείαν τῶν Ο (χωρὶς δηλονότι τῶν ὀβελῶν καὶ ἀστερίσκων τοῦ Ὠριγένους), μαρτυροῦσιν οὐ μόνον οἱ τοῦ Ἱερωνύμου σύγχρονοι Κύριλλος ὁ Ἱεροσολύμων, καὶ ὁ μακάριος Ἐπιφάνιος, καὶ ἄλλοι τῶν Πατέρων, ἀλλὰ καὶ αὐτὸς ὁ Εὐσέβιος, ὅςις πανταχοῦ τὰς ῥήσεις τῆς Γραφῆς ἀναφέρει οὐ κατὰ τὸ ἑβραϊκὸν, ἀλλὰ κατὰ τοὺς Ο. Ἢ μήπως νομίζουσιν οἱ σοφοὶ, ὅτι αἱ ἐκκλησίαι τῆς Παλαιστίνης ἐν τῷ ἀναγινώσκειν τὴν θείαν Γραφὴν ἐξωβέλιζον τὸν *Καϊνᾶν τοῦ Ἀρφαξὰδ*, καὶ *τὸ εἶδεν ὁ Θεὸς ὅτι καλὸν*, καὶ ἄλλα τοσαῦτα, παραχαράττουσαι τὴν μόνην *ἑβραϊκὴν ἀλήθειαν* τῶν Ο, καὶ ταύτην μετὰ τῶν Θεοδοτίωνος καὶ ἄλλων ἑρμηνειῶν συναναφύρουσαι, καὶ ἀντιφωνοῦσαι πρὸς τὰς ἄλλας τὰς ὑπ' οὐρανὸν Ἐκκλησίας; ἀλλὰ τοῦτο πάντως οὐδεὶς ἂν εἴποι. Μόνος ὁ μακάριος Ἱερώνυμος, ὡς διδάσκουσιν οἱ περὶ τὸν Μοντεφαλκώνιον (Ἑξαπλ. Προλεγ. σελ. 60) συνέταξεν ἐκλεκτικῶς τὴν ἑαυτοῦ ἑρμηνείαν συναναμιγνὺς τὸ ἑβραϊκὸν πρὸς τὴν Ἀκύλα μάλιστα, καὶ τὴν Συμμάχου, καὶ ἄλλοτε πρὸς τὴν ἑρμηνείαν τῶν Ο.

§. ρλ. Γ) Τὴν Ἱερωνύμου μετάφρασιν οὔθ' ἡ Ἀνατολικὴ ἀπεδέξατο ἐκκλησία, οὔτ' αὐτὴ τὸ πρῶτον ἡ Λατινική· καὶ οἱ περὶ τὸν Αὐγουστῖνον καὶ Ῥουφῖνον ἅλις κατέκριναν. Πρῶτος ὁ μακάριος Πάπας Γρηγόριος ὁ Μάγνος (τῷ 590–604), χρώμενος τῇ Ἰτάλᾳ, συνεχρῆτο ἐνίοτε καὶ τῇ καθ' Ἱερώνυμον ἑρμηνείᾳ, καὶ ἐφεξῆς ἄλλοι συνεχέστερον, ἕως ἐκράτησεν αὐτῆς ἡ χρῆσις καθ' ὅλης τῆς Δύσεως. Ἀλλ' ὅμως ἡ Δυτικὴ Ἐκκλησία οὐδέποτε Συνοδικῶς καὶ κανονικῶς οὔτε τὸ κῦρος τῆς Ἰτάλας κατήργησεν (ἧς τὰ λείψανα καὶ μέχρι σήμερον τιμᾷ, καὶ τιμήσει, ἕως οὗ σέβεται τοὺς ἐν τῇ Δύσει διαλάμψαντας θείους Πατέρας, Αὐγουστῖνον, καὶ Γρηγόριον, καὶ πρὸ πάντων τὸν μαθητὴν τῶν Ἀποστόλων Κλήμεντα), οὔτε τὴν Ἱερωνύμου Βουλγάταν ἐκύρωσε. Πρῶτον αὐτὴν ἀνεκήρυξεν αὐθεντικὴν καὶ κυρίαν ἡ ἐν Τριδέντῳ Σύνοδος· ἀλλ' ὅμως καὶ αὕτη τὸ ἑβραϊκὸν κείμενον ῥητῶς καὶ ἐκπεφασμένως οὐκ ἐκύρωσεν ὡς αὐθεντικόν· οὐ μενοῦν. Σιωπηλῶς δὲ τοῦτο παρεδέχετο καὶ ἔστεγεν ἐξ ἀνά-

γκης, ὡς πολὺ μέρος αὐτοῦ μετεχούσης τῆς Βουλγάτας. Ὅθεν ὕστερον καὶ ἐπὶ τοῦ Ἀλκουΐνου καὶ ἐπὶ τῶν δύω Παπῶν διωρθοῦτο (εἴγε καὶ διωρθοῦτο) κατὰ μέρη καὶ πρὸς τὸ ἑβραϊκόν. Διὰ τοῦτο καὶ τὰς τοῦ Παγνίνου καὶ τῶν ἄλλων νεωτέρας ἑρμηνείας ἔφερεν ἡ Δυτικὴ, καὶ ὑπέθαλπεν ὡς προείδομεν (σελ. 916), ὅτι δὲ καὶ τοῦ ἑβραϊκοῦ καὶ τῆς Ἱερωνύμου Βουλγάτας τήν τε χρονολογίαν καὶ τὰς ἐν τοῖς κανονικοῖς βιβλίοις κολοβώσεις ἀπεκήρυξεν, ἐνστερνισαμένη πάντα ταῦτα κατὰ τοὺς Ο, πρόδηλον (βλ. σελ. 789 καὶ 961). Ὥστε καὶ ἡ Δυτικὴ ἐκκλησία ἐκεῖνα μόνον τὰ μέρη τοῦ Ἰουδαϊκοῦ ἀπεδέξατο, ὅσα προσπεφύκασιν ἐν τῇ κατ' αὐτὴν Βουλγάτᾳ.

§. ρλα. Δ) Οὐδεὶς τῶν ἱερῶν Πατέρων ἐθεώρει τὸ μετὰ Χριστὸν ἑβραϊκὸν οὔθ' ὑπὸ τῆς Ἐκκλησίας κεκυρωμένον, οὔτε καθ' ἑαυτὸ γνήσιον καὶ ἀνόθευτον κατὰ πάντα. Εἰσάγουσι τὴν παρ' Ἱερωνύμῳ μαρτυρίαν τοῦ Ὠριγένους, ἀλλ' οὐδεμίαν ἔχει σχέσιν αὕτη πρὸς τὸ ζήτημα. Τίς ἀρνεῖται, ὅτι μέχρι Χριστοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων ὑπῆρχε τὸ ἑβραϊκὸν κείμενον ἀδιάφθορον; Τοῦτο οὐ μόνον Ὠριγένης ἐδόξαζεν, ἀλλὰ καὶ αὐτὸς Ἰώσηπος, καὶ Φίλων, ὡς εἴδομεν ἐπὶ τῆς α, ἑκατονταετηρίδος (σελ. 943). Οἱ δέ τινες καὶ ἰδίως ἀντεῖπον πρὸς τοῦτο τὸ ἐπιχείρημα, λέγοντες· ὅτι εἴπερ ἐκ τῶν ἀντιγραφέων ἀκουσίως εἰσήγοντό τινα σφάλματα εἰς τὸ κείμενον, μήπως τούτων ἦσαν ἔνοχοι οἱ Φαρισαῖοι καὶ Γραμματεῖς, ἵνα τούτους ὁ Κύριος ἡμῶν ἐξελέγξῃ; ὅτι δὲ παρεξήγουν τὰς θείας Γραφὰς, προτιμῶντες τὴν παράδοσιν τῶν πρεσβυτέρων, περὶ τούτου τρανῶς αὐτοὺς κατεδίκασεν ὁ Κύριος ἡμῶν (βλ. ὄπισθ. 58). Ἀφέντες λοιπὸν τοὺς παρ' Ἱερωνύμῳ λόγους τοῦ Ὠριγένους ἀκούσωμεν α) Ὠριγένους αὐτοῦ· 1) Εἴδομεν ἀνωτέρω, ὅπως τὰς *παρ' Ἰουδαίοις* βίβλους ὡς *αὐτοῖς* ἰδιαζούσας διέκρινεν ἀπὸ *τῶν ἡμετέρων*· 2) Ὁ Ὠριγένης ἔκρινε τὰ ἀρχαιότερα ἀντίγραφα ὡς διαφέροντα κατὰ τόπους τῶν κατ' αὐτὸν ἑβραϊκῶν (ὄπισθ. σελ. 88)· 3) Ἀλλὰ καὶ ῥητῶς κατεδίκασε τοὺς Ἰουδαίους ὡς διαφθείραντας τὸ θεῖον κείμενον ἑκοντὶ, οὐ μόνον

κατὰ λέξεις (ὄπισθ. σελ. 964), ἀλλὰ καὶ καθ᾽ ὁλοκλήρους περικοπὰς, οἷον τῆς Σωσάννης καὶ τῶν λοιπῶν (ὄπισθ. σελ. 639)· 4) Τελευταῖον, ὁ Ὠριγένης ἀπαντῶν πρὸς τὸν Ἀφρικανὸν (ἐπιστολ. §. 4), νοθίζοντα τὰς τοῦ Δανιὴλ περικοπὰς (ὡς μὴ κειμένας ἐν τῷ παρ᾽ Ἰουδαίοις ἑβραϊκῷ) ἔγραψεν εἰρωνικώτερον τοὺς διαιωνιζούσης μνήμης ἀξίους λόγους ἐκείνους· « Ὥρα τοίνυν, εἰ μὴ λανθάνει ἡμᾶς τὰ τοιαῦτα, ἀθετεῖν τὰ ἐν ταῖς Ἐκκλησίαις φερόμενα ἀντίγραφα, καὶ νομοθετῆσαι τῇ ἀδελφότητι, ἀποθέσθαι μὲν τὰς παρ᾽ αὐτοῖς ἐπιφερομένας ἱερὰς βίβλους, κολακεύειν δὲ Ἰουδαίους, καὶ πείθειν, ἵνα μεταδῶσιν ἡμῖν τῶν καθαρῶν, καὶ μηδὲν πλάσμα ἐχόντων »! (καὶ ἐπιφέρει) « Ἆρα δὲ καὶ ἡ πρόνοια, ἐν ἁγίαις Γραφαῖς δεδωκυῖα πάσαις ταῖς Χριστοῦ Ἐκκλησίαις οἰκοδομὴν, οὐκ ἐφρόντισε *τῶν τιμῆς ἀγορασθέντων, ὑπὲρ ὧν Χριστὸς ἀπέθανεν· οὗ υἱοῦ ὄντος οὐκ ἐφείσατο ὁ Θεὸς*, ἡ *ἀγάπη, ἀλλ᾽ ὑπὲρ πάντων ἡμῶν παρέδωκεν αὐτὸν, ἵνα σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσηται*; » (Α. Κορ. ς, 20: Ῥωμ. η, 32: ιδ, 15). Τίς ἄλλη λαμπροτέρα ἀπόδειξις, ὅτι ἡ Ἐκκλησία οὔτε πρότερον, οὔτ᾽ ἐπὶ Ὠριγένους, ἀλλ᾽ οὐδ᾽ ὕστερον (ὡς ὀψόμεθα) ἐπεκύρωσεν ἀπολύτως ὡς γνήσιον τὸ μετὰ Χριστὸν κείμενον τῶν Ἰουδαίων; — β) Κατὰ τὸν δ, αἰῶνα ἤκμαζεν Εὐσέβιος ὁ Παμφίλου, καὶ ὁ μακάριος Ἐφραίμ· ὁ πρῶτος διεκήρυξεν, ὅτι μόνῃ τῇ ἑρμηνείᾳ τῶν Ο ἐχρῆτο ἡ Ἐκκλησία « *ὡς ἐξ ἀδιαστρόφου γενομένῃ τῶν Ἑβραίων γραφῆς* » (σελ. 835). Ὥστε τὴν ἐπ᾽ αὐτοῦ γραφὴν τῶν Ἰουδαίων *οὐκ ἀδιάστροφον* ἐθεώρει. Καὶ ῥητῶς δὲ κατεδίκασε τοὺς Ἰουδαίους, ὡς συγκόψαντας τὰς ἡλικίας τῶν πατριαρχῶν ἐπὶ τῆς χρονολογίας (βλ. ὄπισθ. σελ. 804). Τοῦτο καὶ ὁ μακάριος Ἐφραὶμ ἀπεφήνατο (ὄπισθ. σελ. 805). — γ) Εἶπεν ὁ ἱερὸς Αὐγουστῖνος *χαρτοφύλακας* καὶ *βιβλιοφόρους* ἡμετέρους τοὺς Ἰουδαίους, περιφέροντας κατὰ νώτου τὰς Γραφὰς, εἰς βεβαίωσιν τῆς χριστιανικῆς πίστεως· ἀλλὰ μήπως εἰσήγαγε τὰς γραφὰς αὐτῶν καὶ εἰς τὴν αὐλὴν τῆς Ἐκκλησίας; Ἔξω τῶν κιγκλίδων τοῦ ἱεροῦ τεμένους κατέλιπεν αὐτοὺς νωτοφοροῦντας τὰ τεύχη.

Εἰς τὴν Συναγωγὴν ἔπεμπε τοὺς ἐθνικοὺς, ἵνα περὶ τῆς χριστιανικῆς ἀληθείας πληροφορηθῶσιν ἐκ τῶν παρ' Ἰουδαίοις Γραφῶν· « *Παρ' ἐκείνοις τὰ βιβλία* », ἔλεγε καὶ ὁ θεῖος Χρυσόστομος, « παρ' ἡμῖν δὲ τῶν βιβλίων ὁ θησαυρός ». Τοιαῦτα καὶ ὁ Μέγας Ἀθανάσιος, καὶ ἄλλοι τῶν Πατέρων, καὶ αὐτὸς ὁ τοὺς Ἰουδαίους *ὡς φθορεῖς τῶν Γραφῶν* ἐξελέγξας μάρτυς Ἰουστῖνος (βλ. ὄπισθ. σελ. 962). Διὰ τούτων δὲ τῶν λόγων οἱ Πατέρες ἐνόουν τὰς παρ' Ἰουδαίοις ἑβραϊκὰς γραφὰς ὡς περιεχούσας ἐν γένει τὰ καίρια καὶ οὐσιώδη κηρύγματα, καὶ διδάγματα τῶν Προφητῶν, καὶ ταῦτα σύμφωνα καὶ τὰ αὐτὰ πρὸς ἃ παρὰ τῶν Ἀποστόλων παρέλαβε καὶ κατέχει ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καθὼς ὑπὸ τῶν Ο μετεφράσθησαν· καὶ κατὰ ταῦτα μόνον ἔκρινον θεόπνευστον καὶ γνήσιον τὸ κείμενον τὸ ἑβραϊκὸν, ἀλλ' οὐχὶ τὸ *σύνολον*, ἐν ᾧ ᾔδεισαν ἐμφωλευούσας καὶ ἰουδαϊκὰς νοθείας καὶ παρακοπάς. Ὅθεν ἔλεγε πάλιν ὁ χρυσοῤῥήμων. « Παρ' ἐκείνοις τὰ γράμματα, παρ' ἡμῖν δὲ καὶ τὰ γράμματα καὶ τὰ νοήματα »! — δ) Οὐδεμία τῶν ἁγίων Οἰκουμενικῶν καὶ τοπικῶν Συνόδων οὐδέποτε οὐδαμοῦ οὔτ' ἐκ τοῦ ἑβραϊκοῦ, οὔτε γοῦν ἐκ τῶν αὐτῷ συμφωνουσῶν ἑρμηνειῶν τῶν περὶ τὸν Ἀκύλαν, οὐδεμίαν ῥῆσιν ἐμνημόνευσεν, ἀλλὰ πάντα κατὰ τοὺς Ο. — ε) Τελευταῖον· πῶς ἄν τις εἴποι ὅτι ἐκύρωσεν ἡ Ἐκκλησία τὸ ἑβραϊκὸν τῆς μετὰ Χριστὸν Συναγωγῆς, ἐν ᾧ τοῦτο καὶ πρὸς τὴν ἱερὰν αὐτῆς χρονολογίαν ἔτι ἀπὸ τοῦ β, αἰῶνος ἀντέβαινε· ἀποκέκοπτο δὲ καὶ περὶ τὰ κανονικὰ βιβλία, οἷς ἀνέκαθεν ἐχρῆτο ἡ Ἐκκλησία, οἷον τὰς περικοπὰς τοῦ Δανιὴλ, καὶ τὴν προφητείαν τοῦ Βαροὺχ, καὶ τὰ πλεῖστα μέρη τῆς Ἐσθὴρ, καὶ τ' ἄλλα, περὶ ὧν προείπομεν;

§. ρλϐ. Οὐδέποτε ἄρα οὔτ' *ἐν τοῖς ἀχράντοις κόλποις τῆς Ἐκκλησίας* εἰσῆλθεν ὁ κώδηξ τῆς Συναγωγῆς, οὔτ' *ἀπὸ τῶν κόλπων τῆς Ἐκκλησίας* ἔλαβον αὐτὸν οἱ τὰς μετὰ Χριστὸν φιλοπονήσαντες μεταφράσεις ἀλλ' ἀμέσως ἐκ τῶν κόλπων αὐτῆς τῆς Συναγωγῆς (ἣν τινες τῶν νεωτέρων οὐκ ὤκνησαν καὶ μετὰ Χριστὸν, *Ἰουδαϊκὴν Ἐκκλησίαν* ἀποκαλεῖν, καὶ τοῦτο πρὸς τιμὴν τοῦ,

πρὸς ᾧ προσήλωνται, Μασοραίου κώδικος!). Ἐκ τῆς Συναγωγῆς ἔλαβε τὸ ἑβραϊκὸν, ὃ κατέγραψεν εἰς τὰς στήλας τῶν Ἑξαπλῶν ὁ Ὠριγένης. Τί δὲ περὶ τῶν *παρ' Ἰουδαίους γραφῶν* ἐφρόνει καὶ διεκήρυττεν, εἴδομεν. Ἐκ τῆς Συναγωγῆς μετέφερε καὶ ὁ Ἱερώνυμος τὴν ἐξ ἧς μετέφραζεν *ἑβραίαν ἀλήθειαν* ὑπὸ ῥαββίνοις διδασκάλοις (ὄπισθ. σελ. 97), ἀλλ' ἐκ *τῆς ἑβραϊκῆς* ταύτης *ἀληθείας* οὐχ ἅπαξ ἀπεσκίρτησε. Καὶ ταῦτα οὗτοι πότε; ὅτε τοῦ ἱεροῦ κώδηκος ἡ γραφὴ διέμενεν εἰσέτι στιγμάτων καθαρὰ καὶ ἀπείρατος. Εἰ δὲ καὶ ἔβλεπον τὸ κείμενον ὑπὸ τῶν βεβήλων Μασοριτῶν κατεστιγμένον, κατὰ τὴν, 200 ἔτεσι κατόπιν Ἱερωνύμου καὶ ἐπέκεινα, κρατήσασαν παρ' αὐτοῖς ἀπαγγελίαν καὶ ἑρμηνείαν τῶν φωνῶν, ἆρ' οὐκ ἂν ἔφριξαν οἱ πατέρες, καὶ τὰς ὄψεις ἀπέστρεψαν ἀπὸ τοῦ τολμήματος, μυρίας ὑπονοήσαντες νεωτέρας φθοράς; Ἐκ τῆς Συναγωγῆς, τέλος, ἔλαβον καὶ οἱ νεώτεροι τὸ Μασοραῖον κείμενον. Καὶ μάρτυρες ἀναντίῤῥητοι οἱ προειρημένοι, Ἰάκωβος καὶ Ἐγίδιος, οἵτινες ἐκ τῶν Συναγωγῶν τὰ ἑβραϊκὰ χειρόγραφα μετεπέμποντο, θησαυρῶν καὶ βασιλείων ὅλων αὐτὰ προτιμῶντες. Κἀκεῖνος δὲ ὁ τοῦ Καρόλου Ἀλκουΐνος μήπως οὐ παρέβαλε τὴν Βουλγάταν πρὸς Ἰουδαϊκὰ χειρόγραφα, καθ' ὧν ὀλίγῳ πρότερον ὁ Τολήτου ἐπίσκοπος Ἰουλιανὸς οὕτω περιπαθῶς καταφέρετο; (σελ. 971). Εἴδομεν δὲ καὶ πόσοι ἄλλοι τῶν μεταγενεστέρων Δυτικῶν θεολόγων, ἔμπειροι τῆς ἑβραϊκῆς, οἱ δέ τινες καὶ ἐξ Ἰουδαίων, κατεδίκασαν τὸ ἑβραϊκὸν ἔν γε τοῖς ἐσφαλμένοις χωρίοις.

§. ρλγ. «Ἀλλ' οἱ Δυτικοὶ οὗτοι (ἀπαντῶσιν), ἔγραφον περιπαθῶς, ἀντιλέγοντες τοῖς τότε Διαμαρτυρουμένοις, οἵτινες τῆς μὲν Βουλγάτας καταφρόνουν, ἀντείχοντο δὲ μόνου τοῦ ἑβραϊκοῦ.» Ἀλλὰ μήποτε καὶ ὕστερον, τῶν παθῶν κατευνασθέντων, καὶ τῆς κριτικῆς ἐπὶ τὸ μεῖζον καὶ τελειότερον προβάσης, μὴ οὐκ ἐξεφώρασαν τὰς ἐλλείψεις τοῦ Μασοραίου κειμένου καὶ Διαμαρτυρούμενοι καὶ Δυτικοί; Ἐν ᾧ δὲ πρὸς τοῦτο συμφωνοῦσιν οἱ πλεῖστοι καὶ ἐνδοξοτάτοι τῶν κριτικῶν, ἀντιμάχονται πάλιν πρὸς ἀλλήλους μάχην ἀδιάλλακτον. *Ὀλίγας* μόνον, καὶ ταύτας *ἐπὶ μικροῖς*, ἀλλ' οὐ

περὶ τὰ καίρια καὶ οὐσιώδη, οὐδ᾽ ἀπὸ *κακοβουλίας* τῶν Ἰουδαίων προελθούσας θέλουσιν οἱ πλεῖστοι τὰς ἁμαρτίας τοῦ ἑβραίου κώδηκος. Καὶ ὅτι μὲν ἀσφαλὲς καὶ ἄθικτον τὸ κείμενον *περὶ τὰ οὐσιώδη καὶ τὰ καίρια*, δίκαια κρίνουσι· καὶ συμφωνοῦσι σχεδόν τι πάντες οἱ ὀρθοφρονοῦντες. Ὅτι δὲ τὰ ὁμολογούμενα σφάλματα οὔτ᾽ *ὀλίγα*, οὔτε σμικρὰ τὰ πάντα καὶ ἐπὶ *σμικροῖς*, οὔτε μὴν ἐν πᾶσιν *ἀκόντων* Ἰουδαίων εἰσέφρησαν, ταῦτα διαβεβαιοῦσιν ἑτέρωθεν ἄλλοι πάλιν ἐπίσημοι κριτικοὶ καὶ μέχρι σήμερον. Τρίτοι δέ τινες πάλιν (οἷον οἱ περὶ τὸν Καρψόβιον) διατείνονται σφοδρῶς, ὅτι καὶ τοῦτο τὸ λέγειν *ὀλίγα καὶ κοῦφα* τοῦ ἑβραϊκοῦ τὰ σφάλματα, τείνει πρὸς ἀναίρεσιν τῆς θείας αὐθεντίας τοῦ ἑβραίου κώδηκος, καὶ οὐδέν ἐστιν ἕτερον, εἰ μὴ *διὰ τῆς πλευρᾶς* ἐπαγομένη σφαγή. « Κἂν μίαν γοῦν καὶ μόνην (λέγουσιν) ἀποδεχθῇ τις ἐν ὅλῳ τῷ ἁγίῳ κώδηκι διαφθοράν, ἔστω καὶ ἐν τόποις μὴ πρὸς τὰ θεμέλια τῆς πίστεως ἀφορῶσι, πορρωτέρω προβήσεται τὸ κακὸν ἐξερπύσαν, οὐδ᾽ ἂν ἔχοι τις περιγράψαι τοὺς ὅρους, ἐν οἷς στήσονται αἱ κατὰ τοῦ ἱεροῦ κειμένου ἐπενεχθησόμεναι διαφθοραί ». (Καρψόβ. Κριτικ. ἱερ. σελ. 94. πρβλ. καὶ ὄπισθ. σελ. 37). Πάλιν, οἱ μὲν ἐπαναπαύονται ἐπὶ τῆς μασοραίας στίξεως, καὶ κατ᾽ αὐτὴν ἀναγινώσκουσι καὶ ὑπερασπίζονται ταύτας ἢ ἐκείνας τὰς λέξεις, οἱ δ᾽ ἄλλως αὐτὰς στίζουσι μεταβάλλοντες καὶ τὴν ἐκφώνησιν καὶ τὴν σημασίαν πρὸς τὸ πιθανώτερον αὐτοῖς δοκοῦν. Πρὸς ταύταις καὶ ἄλλαις διαμάχαις τῶν Κριτικῶν, προστεθείσθωσαν καὶ τὰ περὶ τὴν *ἐξήγησιν* τοῦ ἱεροῦ κειμένου διάφορα συστήματα τῶν κριτικωτέρων *ἑρμηνευτῶν*, ἃ μετὰ τοῦ Μασοραίου κώδηκος παρεδέξαντο παρὰ τῶν φθόρων ῥαββίνων. Οἱ μὲν γὰρ ἐξηγοῦσι πολλάκις κατὰ τὰ ἀρέσκοντα τῷ Μαϊμονίδῃ, οἱ δὲ κατὰ Κιμχὴν, οἱ δὲ κατὰ τὸν Ἀβαρβανῆλον, πάντα φυσικῶς, ἢ φιλοσοφικῶς, ἢ πολιτικῶς, καὶ ἀναμίξ· πάντα κατὰ γράμμα· οὐδαμοῦ (σχεδὸν) τὸ πνεῦμα· πολλὴ φιλολογία καὶ πολυμάθεια· ὀλίγη καὶ μικρὰ, ἢ οὐδεμία πίστις· καὶ τὸ σέβας τῶν θείων λόγων ἄγεται δοῦλον ὀφρύος κριτικῆς, ὑλόφρονος πολλάκις, ἢ μονοθεϊζούσης. Ἐντεῦθεν

ἐξεῤῥύησαν καὶ τὰ ποικίλα φῦλα τῶν ὀρθολογιστῶν· καὶ πολὺ πολλαχόθεν κατ' ἔτος ἐκχεῖται πλῆθος συνταγμάτων ἐξηγητικῶν καὶ κριτικῶν, καθ' ἑκάστην σχεδὸν σελίδα πρὸς ἄλληλα διαμαχομένων. Τοιούτων καὶ τοσούτων διανοίας ταραχῶν καὶ συγχύσεως γλωσσῶν γέγονε παραίτιος ἡ ἀπὸ τῶν Ο πρὸς τὸ ἰουδαϊκὸν κείμενον ὁλοσχερὴς ἀποπλάνησις. Εἰ γὰρ αὕτη ἡ ὁδὸς ἦγε πρὸς ἀλήθειαν, οὐκ ἂν διεσχίζετο εἰς τοσαύτας πολυσχιδεῖς καὶ ἀτέρμονας ἀτραπούς. Καὶ τοῦτον ἔχει τὸν καρπὸν ἡ παράβασις τῆς θείας ἐντολῆς ἐκείνης· « *Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Πατέρες σου* ». Ἀλλ' εἴθε γένοιτό ποτε τοῖς ὑπερβᾶσιν ἡ πάλιν ἐντὸς τῶν πατρῴων ὁρίων ἐπιστροφή. Εἴθε πάλιν ἐπανέλθοιεν εἰς τὴν ἑρμηνείαν τῶν Ο, παραπέμψαντες καὶ Μάσοραν καὶ στίγματα καὶ διδάγματα ἀκράτως ἰουδαϊκά, ὅπου ταῦτα πρῴην ἀπέστελλεν ἐκεῖνος, ὁ γνοὺς καὶ μὴ ποιήσας τὸ ἀληθὲς, περιώνυμος Λούθηρος (σελ. 979). Εἴθε προτιμήσαιεν συμπαραμένειν καὶ συνθεολογεῖν μετὰ τῶν Ο, μετὰ τῶν Ἀποστολικῶν πατέρων· μετὰ τῶν Ἀποστόλων αὐτῶν μᾶλλον, ἢ συγγραμματικεύεσθαι καὶ συμφιλοσοφεῖν μετὰ τῶν Ῥαββίνων καὶ τῆς Συναγωγῆς. Οὕτω δὲ καὶ τούτους ὁδηγήσουσι πρὸς τὸ φῶς τῆς ἀληθείας, ἀναδείξαντες *Εὐαγγελικὴν* τὴν Μασοραίαν Γραφήν· καὶ τότε διορθώσουσιν αὐτὴν ἀληθῶς, ἀναγαγόντες εἰς τὸ πρωτότυπον κάλλος τῆς *ἑβραϊκῆς ἀληθείας*, ἥτις ἐσώθη παρὰ μόνοις τοῖς Ο. Ὢ μακαρίων καὶ ζηλωτῶν ἐκείνων τῶν χρόνων, καθ' οὓς (ἵν' εἴπωμεν τὸ προφητικὸν), « *Ἔσονται πέντε πόλεις* (πᾶσαι αἱ Χριστὸν ὁμολογοῦσαι πολιτεῖαι) *λαλοῦσαι* (κατὰ τὰς ἰδίας αὐτῶν διαλέκτους) *μιᾷ γλώσσῃ* », τῇ γλώσσῃ τῶν θείων Γραφῶν, ἃς παραδεδώκασιν οἱ θεῖοι Ἀπόστολοι. Τοῦτο καὶ τῆς ἐν πίστει ἑνώσεως τῶν Ἐκκλησιῶν ἡ κρηπὶς, ἡ βάσις, τὸ πρῶτον θεμέλιον, *ὅταν* πάντες *δέξωνται* « *Οὐ λόγον ἀνθρώπων, ἀλλὰ (καθὼς ἐστὶν ἀληθῶς) λόγον θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν.. τοῖς πιστεύουσι* » (Α. Θεσσ. β, 13).

ΚΕΦΑΛΑΙΟΝ ΚΔ.

Ἀνακεφαλαίωσις τοῦ Γ. Βιβλίου.

§. α. Συγκεφαλαιοῦμεν καὶ ἐν τούτῳ τῷ τόμῳ τὰ προειρημένα, πρὸς βοήθειαν τῆς μνήμης τῶν πρωτοπείρων ἀναγνωστῶν.

Α) Ὅτι τὸ κείμενον τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κώδηκος, θεόπνευστόν ἐστι καὶ γνήσιον καθ' ὅλα τὰ χωρία, ἐν οἷς μετὰ τῶν Ο, συμφωνεῖ.

Β) Ὅτι ἡ γνησιότης ὅλου τοῦ ἑβραίου κώδηκος διετηρήθη μέχρι τῆς ἐπὶ Τίτου ἁλώσεως. Ἀπὸ τοῦ προφήτου Μωϋσέως καὶ ἐφεξῆς, ὅλα τὰ πρὸ τῆς μετοικεσίας τῆς Βαβυλῶνος αὐτόγραφα *τῶν προφητῶν* ἐτηροῦντο ἀκραιφνῆ καὶ ἄχραντα πεφυλαγμένα. Καὶ πρῶτον μὲν ἡ Μωσαϊκὴ Πεντάτευχος ἀπετέθη παρὰ τῇ κιβωτῷ τῆς Διαθήκης· εἶτα δὲ μετὰ τὴν οἰκοδομὴν τοῦ ναοῦ τοῦ Σολομῶντος, καὶ τὰ τοῦ Μωϋσέως καὶ τὰ τῶν ἄλλων ἐπελθόντων προφητῶν ἱερὰ βιβλία διετηροῦντο ἐν ἰδίᾳ κιβωτῷ, ἐντὸς τοῦ θείου ναοῦ τεθησαυρισμένα. Πλεῖστα δὲ καὶ ἀκριβῆ τῆς τε Πεντατεύχου ἀπόγραφα καὶ τῶν ἄλλων ἱερῶν τευχῶν ἦσαν πάντως εἰς χρῆσιν παρά τε τοῖς ἱερεῦσι καὶ νομοδιδασκάλοις καὶ τοῖς πρεσβυτέροις τοῦ λαοῦ.

Γ) Ὅτι μετὰ τὴν ἐπὶ Ῥοβοὰμ τῆς ἑβραϊκῆς βασιλείας διαίρεσιν εἰς δύω βασίλεια, τὸ τοῦ *Ἰούδα* καὶ τὸ τοῦ *Ἰσραὴλ*, καὶ μετὰ τὴν τούτου ὑπὸ τοῦ Σαλμανασὰρ καταστροφήν, ἔμεινε καὶ παρὰ τοῖς Ἰσραηλίταις ἡ Πεντάτευχος (ἡ αὐτὴ καὶ Σαμαρειτικὴ ὕστερον ἐπικληθεῖσα) ἀκριβὴς καὶ ἡ αὐτὴ τῇ παρὰ τοῖς Ἰουδαίοις ἐν Ἱεροσολύμοις, καὶ ἦσαν ἀμφότερα δύω τέλεια ἀπόγραφα ἑνὸς καὶ τοῦ αὐτοῦ πρωτογράφου, τοῦ Μωσαϊκοῦ.

Δ) Ὅτι μετὰ τὴν ὑπὸ τοῦ Ναβουχοδονόσορος καταστροφὴν τῶν Ἱεροσολύμων, καὶ τὴν εἰς τὴν Βυβυλῶνα τοῦ λαοῦ μετοικεσίαν, ἠφανίσθησαν, ἢ διεφθάρησαν σχεδὸν πάντα (πλὴν ὀλίγων) τὰ βιβλία τῶν ἱερῶν Γραφῶν· καὶ ἡ γλῶσσα ἡ ἑβραϊκὴ κατὰ τὴν ἑβδομηκονταετῆ αἰχμαλωσίαν ἔπαθεν ἐπὶ τὸ χεῖρον ἀλλοίωσιν

διὰ τὴν μετὰ τῶν Χαλδαίων ἐπιμιξίαν. Εἰσήχθη δὲ παρ' Ἰουδαίοις καὶ ἡ χρῆσις τῶν Χαλδαϊκῶν γραμμάτων ἀντὶ τῶν ἑβραϊκῶν (Μωσαϊκῶν). Ὅθεν ὁ πανεύφημος Ἔσδρας, κατὰ τὴν ἐκ τῆς Βαβυλωνίας ἐπάνοδον τοῦ ἰουδαϊκοῦ λαοῦ, ἀνεκαίνισε θεοπνεύστως τὰς ἁγίας Γραφὰς, καὶ τὸ θεῖον κείμενον ἔγραψε τοῖς ἤδη εἰθισμένοις Χαλδαϊκοῖς γράμμασιν (ὡς γράφεται καὶ νῦν)· καὶ τὸν ἱερὸν κώδηκα συντάξας, ἀπέθετο τὸ αὐτόγραφον ἐν τῷ δευτέρῳ κτισθέντι ναῷ, προστεθέντων εἰς αὐτὸ καὶ τῶν ὑπολοίπων βίβλων τῶν θεοπνεύστων προφητῶν, τῶν κατὰ τὴν ἐπάνοδον τοῦ λαοῦ μέχρι καὶ τοῦ τελευταίου Μαλαχίου προφητευσάντων. Καὶ οὕτω συνεκλείσθη ὁ κατάλογος τῶν ΚΒ, κανονικῶν τευχῶν τῆς παλαιᾶς θείας Γραφῆς, σφραγισθεὶς ὑπὸ τοῦ Νεεμίου καὶ τῆς μεγάλης Συναγωγῆς. Ἐκ δὲ τούτων τῶν ἀρχετύπων φανερὸν ὅτι καὶ ἀπόγραφα πολλὰ ἀντεγράφησαν μετὰ διηκριβωμένης ἐπιστασίας, καὶ μάλιστα κατὰ τὴν Παλαιστίνην.

Ε) Ὅτι ἀπὸ χειρογράφου διηκριβωμένου, καὶ πάντως ἐξ αὐτοῦ τοῦ Ἐσδραϊκοῦ αὐτογράφου κώδηκος ἀντιγεγραμμένου, ἐγένετο ἡ ἑρμηνεία τῶν Ο, μόλις παρελθόντων ἑκατὸν ἐτῶν περίπου μετὰ τὸν Νεεμίαν.

Ϛ) Ὅτι μετὰ τὴν ἐσχάτην τοῦ ναοῦ καὶ τῆς Ἰουδαϊκῆς πολιτείας ὑπὸ τῶν Ῥωμαίων καταστροφὴν, ἀπὸ τῶν ἀρχῶν τοῦ β, αἰῶνος καὶ ἐφεξῆς, ἤρξατο ἡ τοῦ ἑβραϊκοῦ κειμένου διαφθορά. Ἡ σειρὰ τῶν ἀπὸ Τίτου μέχρις Ἀδριανοῦ συνεχῶν καὶ ἀμυθήτων συμφορῶν τῶν Ἰουδαίων ἔμελλεν ἐξ ἀνάγκης ἐπενεγκεῖν καὶ τὴν τῶν ἑβραϊκῶν χειρογράφων διαφθορὰν πολλῷ μείζονα καὶ βαρυτέραν, παρὰ τὴν ἐπὶ τῆς μετοικεσίας τῆς Βαβυλῶνος. Κἀκείνην μὲν ἐθεράπευσεν Ἔσδρας· αὕτη δ' ἀπέβη διὰ τέλους ἀνίατος. Τὰ πλεῖστα καὶ κράτιστα χειρόγραφα μετὰ τῶν ἐξολοθρευθέντων ἐπισήμων κτητόρων ἀπώλοντο· ὀλίγα δέ τινα παρέμειναν ἐν Συρίᾳ τῆς Παλαιστίνης τῇδε κἀκεῖσε διεσπαρμένα, καὶ ταῦτα φαῦλα καὶ λελωβημένα. Πολλῷ δὲ μᾶλλον ἦσαν ἠμελημένα κατὰ τὴν Αἴγυπτον καὶ παρὰ τοῖς ἐν Ἀσσυρίᾳ καὶ Βαβυλωνίᾳ μακρὰν τοῦ

ναοῦ καὶ τῶν σοφωτέρων σχολῶν διὰ χρόνου μακροῦ ἀπεσχοινισμένοις Ἰουδαίοις. Ἐκ τοιούτων χειρογράφων συνέῤῥαπτον τὸ κείμενον τῆς Γραφῆς οἱ κατὰ τὸν β, αἰῶνα κατάλοιποι τῶν ῥαββίνων τῆς Παλαιστίνης. Τότε δὲ καὶ τὸ περὶ τὴν χρονολογίαν ἄγος ἐκακούργησαν διὰ τὴν ἄσβεστον κατὰ Χριστοῦ μανίαν.

Ζ) Ὅτι οἱ Ἰουδαῖοι συγκαλύπτοντες τὴν ἀτέλειαν καὶ κολόβωσιν τῶν παρ' αὐτοῖς κωδήκων, καὶ ὅπως παρεξηγῶσι πολλὰ χωρία τῆς Γραφῆς διὰ τὸ πρὸς τοὺς χριστιανοὺς μῖσος, ἔτι περὶ τὰ μέσα τοῦ β, αἰῶνος ἤρξαντο πρῶτον ἐν Παλαιστίνῃ διαβάλλειν τὴν παρὰ τοῖς Ἑλληνισταῖς πολλαχοῦ τῆς Οἰκουμένης ἐν χρήσει οὖσαν ὡς θεόπνευστον ἑρμηνείαν τῶν Ο. Καὶ νέαν ἐμελέτησαν ἑλληνικὴν ἑρμηνείαν, ἐξεγείραντες τὸν μισόχριστον Ἀκύλαν. Τούτῳ παρηκολούθησαν καὶ οἱ ἄλλοι δύω ὁμόφρονες μεταφρασταί, Θεοδοτίων καὶ ὁ Σύμμαχος. Τούτων δὲ τῶν τριῶν αἱ ἑρμηνεῖαι συνετελέσθησαν ἀπὸ τοῦ 128 μέχρι τοῦ 200 ἔτους μετὰ Χριστόν, πᾶσαι προελθοῦσαι ἐκ τοῦ παρ' ἑβραίοις ἤδη πολλαχῶς μεταβεβλημένου καὶ διεφθαρμένου κειμένου. Ἐκ τούτου καὶ ἄλλοι ἀλλαχοῦ ἀνώνυμοι καὶ ἄγνωστοι ἑλληνισταὶ ἰουδαῖοι ἐξεπόνουν ἰδίας μεταφράσεις, ἃς εὑρὼν Ὠριγένης κατέταξεν ἐν τοῖς Ἑξαπλοῖς, τὴν Ε, καὶ τὴν Ϛ, καὶ τὴν Ζ, ἐπιγράψας.

Η) Ὅτι καὶ τὸ κείμενον τὸ ἑβραϊκὸν, ὅπερ ὁ θαυμάσιος Ὠριγένης κατέταξεν ἐν τοῖς Ἑξαπλοῖς, ὑπῆρχεν αὐτὸ δὴ τὸ παρ' ἰουδαίοις ἐκ τῶν διεφθαρμένων κωδήκων συγκροτηθέν. Μαρτυρεῖ δὲ καὶ αὐτὸς τὴν τούτου κολόβωσιν, καὶ πρὸς τὰ ἀρχαῖα ἀντίγραφα διαφοράν.

Θ) Μετὰ 150 ἐνιαυτοὺς κατόπιν Ὠριγένους ἐπελθὼν ὁ Ἱερώνυμος, ἡρμήνευσε τὴν ἑαυτοῦ Βουλγάταν ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ, διαφέροντος ἐν οὐκ ὀλίγοις χωρίοις πρὸς τὸ καταγεγραμμένον ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς· καὶ φαίνεται τῷ χρόνῳ προβαίνουσα ἡ τοῦ ἑβραϊκοῦ κειμένου μεταβολή.

Ι) Διακοσίοις ἔτεσι περίπου μετὰ τὸν Ἱερώνυμον ἐξετελέσθη τὸ ἰουδαϊκὸν Ταλμοῦδον, ὅπερ ἔχει καὶ αὐτὸ ῥήσεις γραφικὰς πρὸς τὰς ἐν τῷ κειμένῳ διαφερούσας.

ΙΑ) Μετὰ ταῦτα ἐπῆλθον οἱ Μασορῖται, συντάξαντες τὴν Μάσοραν πρὸς ἀσφάλειαν τῆς ἀκριβείας καὶ γνησιότητος τοῦ κειμένου. Καὶ τὰς λέξεις ἔστιξαν, καὶ τὰς διαφόρους προσέγραψαν ἀναγνώσεις (τὸ *κερὶ καὶ* τὸ *κετίβ.*). Αὕτη ὑπῆρξεν ἡ ἐσχάτη καὶ μεγίστη τῶν τοῦ κειμένου διαφθορῶν. Καὶ γὰρ καὶ λέξεις ἔστιξαν πολλάκις ψευδῶς, κατὰ τὴν τότε παρ' αὐτοῖς ἀτελῆ καὶ διεφθαρμένην ἤδη προφοράν, καὶ τὰ προϋπάρχοντα τοῦ κειμένου σφάλματα καθωσίωσαν, καὶ πολλὰς γνησίας λέξεις ἐξέβαλον, νόθους τινὰς ἐξ ἄλλων κωδήκων ἀντιτάξαντες ἀναγνώσεις, καὶ παντοδαπῶς τὸ ἱερὸν κείμενον, τό γ' ἐπ' αὐτοῖς, ἐβεβήλωσαν. Τέχνην δὲ γραμματικὴν συγγεγραμμένην οὐδεμίαν εἶχον οἱ Ἰουδαῖοι μέχρι τοῦ 1000 μ. Χ. ὁπότε τὸ πρῶτον ἐποιήσαντο γραμματικὰ δοκίμια.

ΙΒ) Ὅτι καὶ οἱ ἐφεξῆς ἐπελθόντες ἐπισημότεροι τῶν ῥαββίνων, καὶ τὰ διάφορα ἀντίγραφα τοῦ ἑβραϊκοῦ κειμένου, μαρτυροῦσιν αὐτοῦ τὴν διαφθοράν. Ὑπὲρ τὰ 1300 ἀντίγραφα συνῆξαν καὶ παρέβαλον ὁ Κεννικῶτος καὶ ὁ Ῥόσσις. Οὐδὲν δὲ τούτων εὕρηται ἀρχαιότερον τοῦ δεκάτου αἰῶνος μετὰ Χριστόν. Ἐκ τούτων συνήχθη πλῆθος μέγα παραλλαγῶν, ἢ διαφόρων ἀναγνωσμάτων. Καὶ ταῦτα πάλιν πρὸς ἄλλας κατὰ καιροὺς γενομένας πολυπληθεστάτας ἐκδόσεις πολλαχοῦ διαφέρουσι.

ΙΓ) Ὅτι τοῦ ἑβραϊκοῦ ἡ διαφθορὰ ἀποδείκνυται καὶ ἐκ τοῦ κειμένου τῆς Σαμαρειτανῆς Πεντατεύχου, ἥτις οὐδέν ἐστιν ἕτερον, εἰμὴ αὐτὴ ἡ παρ' Ἰουδαίοις Πεντάτευχος (ὡς προείπομεν), γράμμασι γεγραμμένη Μωσαϊκοῖς· αὕτη δὲ πολλαχῶς διαφέρει τοῦ νῦν Μασοραίου κειμένου, συμφωνεῖ δ' ἐν πλείοσιν ἢ *χιλίοις* τόποις ἰδίως μετὰ τῆς ἑρμηνείας τῶν Ο. Μάτην καὶ ψευδῶς ἐφαντάσθησάν τινες τῶν κριτικῶν διπλᾶς ἔκπαλαι γενομένας ἐκδόσεις τῆς ἑβραϊκῆς Πεντατεύχου, τῆς μὲν ἁγνῆς καὶ *καθαρᾶς* παρ' Ἰουδαίοις ἐν τῷ Μασοραίῳ κειμένῳ τηρηθείσης, τῆς δὲ *διεσκευασμένης*, ὅθεν προῆλθεν ἡ παρὰ Σαμαρείταις Πεντάτευχος, καὶ ὁ κώδηξ ἐξ οὗ οἱ Ο μεθηρμήνευσαν. Τοῦτο τὸ πλάσμα κατεξελέγχουσι πολλοὶ τόποι τῆς Γραφῆς, καὶ ἡ ἱστορία. Ἡ δὲ πρὸς τοὺς Ο·

μεγάλη τοῦ Σαμαρειτανοῦ συμφωνία κηρύττει τρανῶς τὴν διαφθορὰν τῶν ἀντιστοιχούντων, καὶ ἄλλο τι λεγόντων χωρίων τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ.

ΙΔ) Καὶ πρὸς τὰς ἀρχαίας ἑρμηνείας παρεξεταζόμενον τὸ νῦν ἑβραϊκὸν ἐξελέγχεται ἐν πλείστοις τόποις διεφθαρμένον. Καὶ πρώτιστα πρὸς τὴν ἁπασῶν ἑρμηνειῶν ἀρχαιοτάτην, καὶ ἐκ τῆς ἔτι καθαρᾶς καὶ *ἀδιαστρόφου* τῶν Ἑβραίων γραφῆς γενομένην *ἑρμηνείαν τῶν Ο.* Πλῆθος πολὺ διαφόρων ἀναγνωσμάτων διακρίνει τὸ νῦν ἑβραϊκὸν τοῦ κατὰ τοὺς Ο· διαφέρουσι δὲ ταῦτα κατά τε γράμματα, καὶ λέξεις, καὶ περιόδους, καὶ ἢ κατ' ἐναλλαγὴν, ἢ κατὰ προσθήκην, ἢ κατ' ἔλλειψιν, ὡς φαίνεται ἐν τοῖς παραδείγμασι. Πολλὰ δὲ μάλιστα τὰ ἐλλείποντα κατά τε λέξεις καὶ περιόδους. Ταύτας δὲ τὰς ἀναγνώσεις τῶν Ο, καὶ ἑπομένως τὴν τοῦ πρὸς αὐτὰς διαφέροντος ἑβραϊκοῦ διαφθορὰν, βεβαιοῦσι α) Τὰ παράλληλα χωρία τῆς Γραφῆς· β) Ἣν προείπομεν, ἡ Σαμαρειτανὴ Πεντάτευχος· γ) Πολλοὶ κώδηκες ἑβραϊκοί· δ) Αἱ Χαλδαϊκαὶ παραφράσεις (τὰ Ταργούμια)· ε) Ἄλλαι ἀρχαῖαι μεταφράσεις, οἷον ἡ τοῦ Ἀκύλα καὶ τοῦ Θεοδοτίωνος καὶ Συμμάχου, ἡ ἐκ τοῦ ἑβραϊκοῦ Συριακὴ, ἡ Βουλγάτα, ἡ Ἀραβική· ϛ) Ἐπὶ πᾶσι καὶ πρὸ πάντων οἱ Ἀπόστολοι ἐν τῇ Καινῇ Διαθήκῃ.

ΙΕ) Ὅτι καὶ καθ' ὁλόκληρα τεμάχια καὶ περικοπὰς τῶν κανονικῶν τευχῶν κεκολοβωμένον τὸ νῦν ἑβραϊκὸν ἐξελέγχεται ὑπὸ τῶν Ο. Ταῦτα δέ εἰσι 1) Τὰ λείποντα ἐκ τῆς Ἐσθήρ· 2) Αἱ τρεῖς τοῦ Δανιὴλ περικοπαὶ (ἡ Σωσάννα, ὁ Βὴλ καὶ Δράκων, καὶ ἡ τῶν γ, παίδων Αἴνεσις)· 3) Τὰ μετὰ τοῦ τεύχους τοῦ Ἱερεμίου δύω συναφῆ τεμάχια (ἡ ἐπιστολὴ τοῦ Ἱερεμίου, καὶ ἡ προφητεία τοῦ Βαρούχ)· 4) Ὅλος ὁ πρῶτος Ἔσδρας· 5) Ἡ προσευχὴ τοῦ Μανασσῆ. (Ταύτας τὰς περικοπὰς σεβασθεὶς μετέφρασε καὶ Λούθηρος, καὶ προσέθηκεν ἐν τῇ κατ' αὐτὸν ἐκ τοῦ ἑβραϊκοῦ γερμανικῇ μεταφράσει).

ΙϚ) Ὅτι ἡ κατὰ τοὺς Ο χρονολογία ὑπάρχει γνησία καὶ ἀληθὴς, ἡ δ' ἐν τῷ ἑβραϊκῷ κειμένῳ συγκέκοπται καὶ διέφθαρται

ὑπὸ τῆς Ἰουδαίων ῥαδιουργίας. Ταύτην τὴν ἀλήθειαν μαρτυροῦσι, α) τὰ ἐκ τῆς Ἰουδαϊκῆς χρονολογίας προκύπτοντα παράλογα καὶ ἄτοπα, καὶ πρός τε τὴν φύσιν τῶν πραγμάτων, καὶ πρὸς αὐτὴν τὴν ἱερὰν ἱστορίαν ἐναντιούμενα. β) Τὸ Σαμαρειτανὸν κείμενον συμφωνοῦν τοῖς Ο, κατὰ τὴν β, χρονολογικὴν περίοδον. Ἐκ δὲ τούτου δῆλον, ὅτι συνεφώνει καὶ κατὰ τὴν α (πρὶν ἢ καὶ τοῦτο κατὰ ταύτην διαφθαρῇ)· πρὸς δὲ τὸ ἑβραϊκὸν οὔτε κατὰ τὴν α, οὔτε κατὰ τὴν β, περίοδον συμφωνεῖ. γ) Δημήτριος ὁ Φαληρεὺς καὶ Εὐπόλεμος καὶ Πολυΐστωρ, Ἕλληνες ἱστορικοὶ πρὸ Χριστοῦ, χρονολογοῦντες κατὰ τοὺς Ο. δ) Ὁ Ἰώσηπος. ε) Ἰουδαϊκαὶ παραδόσεις οἷον αἱ ἐν τῷ Ἐνὼχ, καὶ τῇ λεπτῇ Γενέσει τετηρημέναι. ς) Οἱ ἐν τῇ Αἰθιοπίᾳ Ἰουδαῖοι, χρονολογοῦντες μέχρι καὶ νῦν κατὰ τοὺς Ο. ζ) Ἐκ τῆς κοσμικῆς ἱστορίας ἐμβριθέστατα μαρτύρια, οἷον τὸ τοῦ Καλλισθένους καὶ τὸ τοῦ Ἡροδότου. η) Ἡ χρονολογία τῶν ἀρχαίων τῆς Ἀσίας ἐθνῶν, οἷον Αἰγυπτίων καὶ Σινῶν καὶ Ἰνδῶν. θ) Πρὸ πάντων καὶ ἐπὶ πᾶσι πολλῶν χωρίων τῆς Καινῆς Διαθήκης ἡ ἔννοια, καὶ ἡ Ἐκκλησία, μετὰ πάντων τῶν ἀρχαίων Πατέρων καὶ τῶν Ἐκκλησιαστικῶν Συγγραφέων τῆς τῶν χρόνων ἀναγραφῆς. ι) Καὶ αὐτὴ ἡ Δυτικὴ Ἐκκλησία ἐν τῷ κατ' αὐτὴν μαρτυρολογίῳ, καὶ πάντα τὰ κατὰ τὴν Ἀσίαν χριστιανικὰ ἔθνη, καὶ τῶν καθ' ἡμᾶς εὐκλεεστάτων σοφῶν αἱ χρονολογικαὶ ἀποδείξεις.

ΙΖ) Ὅτι τὸ καθ' ἡμᾶς ἑβραϊκὸν ἀντιλέγει καὶ πρὸς τὴν Καινὴν τοῦ θεοῦ Διαθήκην καθ' ὅλας τὰς προφητικὰς ῥήσεις, ὅσας ἄλλως μὲν ἐξέφερον οἱ θεόπνευστοι Ἀπόστολοι, ἄλλως δ' ἔχουσιν ἐν τῷ νῦν ἑβραϊκῷ γεγραμμένας οἱ Μασορῖται. Ἐκ τῆς τούτων συγκρίσεως ἀποδείκνυται καὶ ἡ ἑκουσίως ὑπὸ τῶν ῥαββίνων ῥαδιουργηθεῖσα προφητικῶν τινων χωρίων διαφθορὰ, ἥτις βεβαιοῦται καὶ ἐκ τῆς περὶ τὴν χρονολογίαν ἀναντιῤῥήτου ῥαδιουργίας.

ΙΗ) Ὅτι καὶ ἐξ αὐτῶν τῶν Ἰουδαίων τοῦ Ἰωσήπου καὶ τοῦ Φίλωνος ἀποδείκνυται ἡ τοῦ νῦν ἑβραϊκοῦ παραφθορὰ καὶ πήρωσις, ἀκεραίου καὶ γνησίου καὶ συμφώνου τοῖς Ο σωζομένου ἔτι κατ' αὐτοὺς, ἐπὶ τοῦ α, αἰῶνος.

ΙΘ) Ὅτι τὴν ἀλλοίωσιν καὶ κάκωσιν τοῦ νῦν ἑβραϊκοῦ μαρτυροῦσι καὶ αἱ, περὶ ὧν προείπομεν, ἀρχαῖαι μεταφράσεις· α) αἱ κατὰ τὸν β, αἰῶνα γενόμεναι ἑρμηνεῖαι τοῦ Ἀκύλα καὶ Θεοδοτίωνος καὶ Συμμάχου, ὧν τὰ ἀποσωθέντα λείψανα πολλάκις περιέχουσιν ἀναγνώσεις διαφερούσας τοῦ νῦν ἑβραϊκοῦ· β) Τὰ Χαλδαϊκὰ Ταργούμια, καὶ ἄλλα βιβλία ῥαββινικά· γ) ἡ περὶ τὰ τέλη τοῦ β, αἰῶνος, ἢ τοῦ γ ἀρχομένου, ἐκ τοῦ ἑβραϊκοῦ Συριακὴ μετάφρασις ἡ Πεσχίτα· δ) ἡ τοῦ Ἱερωνύμου Βουλγάτα, καὶ αὐτὴ ἡ Ἀραβικὴ τοῦ Ἰουδαίου Σααδία.

Κ) Ὅτι καὶ νεώτεραι ἐκ τοῦ νῦν ἑβραϊκοῦ κατὰ διαφόρους γλώσσας ἑρμηνεῖαι μαρτυροῦσιν αὐτοῦ τὴν λώβην.

ΚΑ) Ὅτι πλῆθος μαρτύρων, πρῶτον Ἰουδαίων, καὶ δεύτερον χριστιανῶν, ἀπὸ τοῦ α, αἰῶνος τελευτῶντος μέχρι καὶ τῶν καθ' ἡμᾶς ἡμερῶν, βεβαιοῦσι τὴν τοῦ Μασοραίου κειμένου διαφθοράν. Οὐδ' ὑπάρχει οὐδεὶς ἤδη (ὅσα καὶ ἡμᾶς εἰδέναι) οὐδεὶς τῶν καθ' ἡμᾶς ἐπισήμων κριτικῶν, ὅστις οὐχ ὁμολογεῖ τὰς τοῦ Μασοραίου κειμένου ποικίλας ἁμαρτίας καὶ διαστροφάς, καίτοι ἄλλοι ἄλλως αὐτὰς ὁρίζουσιν, (ὡς εἴπομεν), οἱ μὲν τινες πλείους καὶ βαρυτέρας, οἱ δ' ἐλάττονας καὶ μετριωτέρας (οὗτοι δὲ ὅμως λίαν δυσχερῶς τῶν πραγμάτων ἀπαλλάττονται). Πρὸς δὲ τοὺς ἐξεπίτηδες πολλαπλασιάζοντας τὰ σφάλματα καὶ τὰς διαφθορὰς τοῦ ἑβραϊκοῦ, καὶ τὰς ὁμολογουμένως γνησίας ἀναγνώσεις ἄλλως προφέροντας, ὅπως καταργήσωσι τὸ κῦρος τῆς Γραφῆς, οὐδὲν ἄν τις εἴποι προσφυέστερον, ἢ τὸ Σολομώντειον « *Τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται* » (Σ. Σολ. γ. 16). « Εἴρηται γὰρ τοῦτο (κατὰ τὸν ἱερὸν Μεθόδιον) καὶ περὶ τῶν κλεψισόφων, τῶν τὴν ἀλήθειαν μοιχωμένων, οἵτινες νοθεύοντες τὰς Γραφάς, *ἀτελεσφόρητον γεννῶσι σοφίαν* » (Φωτ. Ἀναγ. σλζ). Ὅθεν καὶ πάντες οἱ *Θεὸν εἰδότες* παρέρχονται τὰς στυγνὰς αὐτῶν συγγραφάς, ὡς κνίδας, ὡς βάτους, ὡς ἰτέας *ὠλεσικάρπους*, πεφυτευμένας παρὰ τοὺς θολώδεις ποταμοὺς τῆς Βαβυλῶνος.

§. β. Ἡμεῖς δὲ περαίνοντες τὸ βιβλίον, παρακαλοῦμεν τοὺς

ἐντυγχάνοντας, μὴ λίαν ἐπιμέμφεσθαι τοῖς ἡμαρτημένοις, ἀλλὰ καὶ ταῦτα φιλανθρώπως διορθοῦν, καὶ εἴτι καλὸν εἴρηται, κρεῖττον καὶ τοῦτο ποιεῖν, κἀπὶ τὸ τελειότερον αὔξειν, « *πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ἡμᾶς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος* ». Ἄλλως γὰρ, « *ἡ θεία σοφία προστασίας ἐπιδεικτιώσης οὐ χρήζει, μελέτης δὲ, καὶ πίστεως ἐν ἔργοις ἀποδεικνυμένης*.

ΤΕΛΟΣ ΤΟΥ Γ΄. ΒΙΒΛΙΟΥ.

ΚΑΙ ΕΥΛΟΓΗΤΟΣ Ο ΘΕΟΣ ΤΗΣ ΑΛΗΘΕΙΑΣ.

ΠΡΟΣΘΗΚΑΙ.

Σελ. 371. στίχ. 18. Ἆρα τὴν ἐκ τοῦ ἑβραϊκοῦ Συριακὴν μετάφρασιν, τὴν Πεσχίταν οἱ Πατέρες ἐννοοῦσι διὰ τοῦ Σύρος, ἢ τὴν ἐκ τῶν Ο γενομένην, ᾗ καὶ ὁ μακάριος ἐχρῆτο Ἐφραὶμ καὶ ἡ τῶν Σύρων Ἐκκλησία; Τοῦτο φαίνεται μακρῷ πιθανώτερον, καὶ τῷ λόγῳ ἀκόλουθον, ὡς διαλαμβάνομεν πλατύτερον ἐν Κεφ. Κ. §. ς (σελ. 898 κτξ.). λέγει δὲ καὶ ὁ ἱερὸς Θεοδώρητος, ὅτι τὸ (παρὰ τοῖς Ο) ἐν μαγώζοις, ἐν ἀποκρύφοις σκεύεσι καὶ ὁ Σύρος νοήσας ἡρμήνευσεν (ὡς καὶ Ἀκύλας, ἐκ τοῦ ἑβραϊκοῦ). Καὶ τὸ ἐφεξῆς δὲ (σελ. 372. στίχ. 6) τοῦ Διδύμου « ὅτι ὁ Σύρος λέγει ὑπέστρεψεν ὁ κόραξ, » παρὰ τῷ θείῳ Ἐφραὶμ ἀναγινώσκεται οὐχ ὑπέστρεψεν· ὡσαύτως καὶ ἐν τῇ Πεσχίτᾳ (βλ. ἐφεξῆς σελ. 903).

Σελ. 527. ςχ. 30. Ὁ Θεὸς τῶν πνευμάτων ἀνέγνω καὶ ὁ Ἀπόστολος, πατέρα πνευμάτων καλέσας τὸν Θεόν. « Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτάς. — Οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν; (Ἑβρ. ιβ, 9).

Σελ. 572. ςχ. 29. Οὐ μόνον Σχούλζης καὶ Ἐξέλιος (πρβλ. καὶ Kennic. Dissert. II. p. 560), ἀλλὰ καί τινες ῥαββῖνοι τῶν ἀρχαίων ἐξελάμβανον τοὺς τὸν Ἠλίαν διαθρέψαντας κόρακας, ὡς Ἄραβας κατοίκους χώρας Ὀρβὶμ, καὶ ἔστιν ὁ λῆρος παλαιὸς ὡς ἔξεστι παρ' Ἱερωνύμου μαθεῖν « Orbim (λέγει) accolae villae in finibus Arabum, Eliae dederunt alimenta (Tom. III. 19).

Σελ. 583. ςχ. 15. Ἔχει καὶ ὁ Σύγκελλος τὸ ἕτερον ὄνομα τῆς Ἐσθήρ. « Ἔδεσσα, ἡ καὶ Ἐσθήρ » (Χρονογρ. σελ. 440 Bon.). Αὐτὸ δὲ τὸ Ἐσθήρ, περσιστὶ σημαίνει (ᾗ φασιν) ἄστρον, πρὸς ὃ παραβάλλουσι καὶ τὸ ἑλληνικὸν Ἀστήρ.

Σελ. 616. ςχ. 19. Λέγει δὲ καὶ ὁ ἱερὸς Ἐπιφάνιος (Εἶπεν ὁ Κύριος ἐπὶ τοῦ σταυροῦ) Ἠλὶ Ἠλὶ ἑβραϊκῇ τῇ λέξει . . . τὸ δὲ ὑπόλοιπον οὐκέτι ἑβραϊκῇ ἀλλὰ Συριακῇ· ὅπως καθέλῃ τῶν αὐχούντων τὴν ἑβραΐδα, καὶ καταξιώσῃ καὶ ἑτέρας γλώσσας εἰς πλήρωσιν τῶν ῥητῶν (Αἱρ. κθ. §. 66. τομ. α. σελ. 792).

Σελ. 625. στίχ. 1. Πρὸς τοῖς μνημονεύουσι τοῦ Τρισαγίου ἱεροῖς Πατράσι προστεθείσθω καὶ Ἰώβιος (τῷ 500) λέγων καὶ αὐτός. « Ἔκ τε τῆς χερουβικῆς ὑμνολογίας καὶ τοῦ μα, ψαλμοῦ συντεθεῖσθαι τὸ μελῴδημα· ᾄδεσθαι δὲ ἐν τῷ ψαλμῷ « τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα » κτλ. καὶ τῷ μακαρίῳ Πρόκλῳ (προστίθησιν) ἡ τοῦ εἰρημένου μελῳδήματος δι᾽ἀποκαλύψεως ἐμυήθη σύνθεσις » (Φώτ. Αναγ. σκβ). Ἀλλὰ καὶ Ἐφραίμιος ὁ Ἀντιοχείας (τῷ 526) ἐκτίθησι τὰ περὶ τρισαγίου (Φώτ. Ἀναγ. σκη).

Σελ. 648. ςχ. 1. Ὁ μακάριος Ἐφραὶμ ὁ Σύρος, οὐ μόνον τῆς Σωσάννης, ἐν τοῖς αὐτοῦ λόγοις μνημονεύει, ἀλλὰ καὶ τῆς τοῦ Βὴλ καὶ δράκοντος ἱστορίας, καὶ τῆς Αἰνέσεως τῶν τριῶν παίδων, καὶ τῆς προφητείας τοῦ Βαρούχ, καὶ τῆς τοῦ Μανασσῆ προσευχῆς, καὶ ῥήσεις ἐκ τούτων ἐκφέρει (σελ. 174, 260, 263, 274, 304, 317, 331, 350, 352, 359. ἐκδ. Ὀξων. 1709). Ἀνεγίνωσκε γὰρ ταῦτα καὶ ὁ Πατὴρ ἐν τῇ Συριακῇ μεταφράσει.

Σελ. 692. ϛχ. 9. Πολὺ πρὸ τοῦ ἱεροῦ Αὐγουστίνου καὶ ὁ Μ. Βασίλειος τὸ παρὰ τῷ Α. Ἔσδρᾳ (γ, 10) «ὑπὲρ πάντα νικᾷ ἡ ἀλήθεια» ἀνέφερεν ὡς ἐκ τῆς θείας Γραφῆς ἀπόδειξιν δογματικὴν (κατὰ Εὐνομ. λόγ. ε. τόμ. β. σελ. 133).

Σελ. 705. ϛχ. 20. Ἐπὶ τῆς Β χρονολογικῆς περιόδου τὸ ἑβρ. ἔχει 292. προστεθέντων δὲ καὶ τῶν 75 ἐτῶν, ὅσα ἦγεν Ἀβραὰμ, ἐπὶ τῆς κλήσεως, συγκεφαλαιοῦται ὁ ἀριθμὸς εἰς ἔτη 367. Οὕτω καὶ ἐπὶ τῶν Ο, τὰ 1072. μετὰ τῶν 75 ἀποτελοῦσιν ἔτη 1147ι καὶ ταῦτα τὰ κεφάλαια ἑκατέρων τῶν ἀριθμῶν γράφονται ἐν τῷ πίνακι τῆς Β, περιόδου σελ. 716.

Σελ. 791. στίχ. 22. Ὁ δὲ Βαγινάντης ὁ Ἀρμένιος (Baghinanti) οὐκ ἀποδέχεται ἐπὶ Χεθοὺμ, γενομένας τὰς ἐν τῇ Ἀρμενικῇ Γραφῇ μεταβολάς. Καὶ ὁ Ἰάννης (Einleit. 1. Bd. p. 214) ὑπολαμβάνει ὅτι κατέπραξεν αὐτὰς ὁ Οὐσκάνιος Ἐρβανίου ἐπίσκοπος, ὅστις ἐξέδωκε τὴν βίβλον ἐν Ἀμστελοδάμῳ τῷ 1666.

Σελ. 813 στίχ. 22. Καὶ ἡ θειοτάτη τοῦ Ἡσαΐου προφητεία ἐκείνη «Ἰδοὺ ἡ παρθένος» κτλ. περιήχησεν ἐξάκουστος καὶ εἰς αὐτοὺς τοὺς ἐθνικοὺς, πολλοῖς πρότερον χρόνοις πρὸ τῆς ἐκπληρώσεως αὐτῆς. «Παρὰ τοῖς γυμνοσοφισταῖς Ἰνδοῖς (φησὶν ὁ μακάριος Ἱερώνυμος) πεπίστευται ἡ παράδοσις, ὅτι τὸν ἀρχηγὸν τῆς θρησκείας αὐτὸν Βούδδαν ἐγέννησε παρθένος ἐκ τῆς πλευρᾶς αὐτῆς» (S. Hieron. adv. Iovian. I. c. 26). Καὶ ταύτην τὴν δόξαν τῶν Ἰνδῶν καὶ νῦν οἱ περιηγηταὶ μαρτυροῦσιν. Ὁ δὲ Ῥωμαῖος Μανίλιος ἐχαραδέχει τὸν ἐπὶ τῆς ἀποκαταστάσεως χρυσοῦν αἰῶνα, ὁπότε λέγει ἡ παρθένος Δίκη παρέσται.

Rectorem que dabit legum juris que sacrati,
Sancta pudicitia divorum templa colentem.

(Manil. Astronomic. IV. 543). Σύμφωνα καὶ ταῦτα πρὸς τὸ Κυμαῖον ἔπος τοῦ Βιργιλίου κτλ. βλ. Huet· Dem. Evang. Prop IX. c. 9. §. 4. καὶ τὸν, ἐν οἷς ὀρθοφρονεῖ, πολυτίμητον καὶ σοφώτατον Rosenmüll. εἰς Ἡσαΐ. ζ, 14.

ΠΑΡΟΡΑΜΑΤΑ.

Σελ. 9. στίχ. 22. γράφε Pasini. — Σελ. 18, στίχ. 22. κεφ. κα. σελ. — Σελ. 21. στίχ. 27. πυρποληθέντος. — Σ. 27. στίχ. 29. βίβλων. — στίχ. 32 ἀντὶ τοῦ ποιεῖν γράφ. νοεῖν. — στίχ. 34. (πρόσθες) Ἐν δὲ τοῖς ὑπὸ τοῦ Μαΐου ἐκδοθεῖσιν Ἀμφιλοχίοις (ὧν ὕστερον εἴδομεν τὸ ἔκτυπον) ὁ μὲν ἀριθμὸς γέγραπται ρμθ. ἀντὶ δὲ τοῦ ἀλλήλους γέγραπται ἀλλήλοις (ὅπερ οὐ κατάλληλον· μόνους γὰρ τοὺς ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα πέμπειν τὰ λόγια, φησὶν ὁ συγγραφεὺς), ἀρέσκει δὲ μᾶλλον τὸ ἐν ἄλλοις (βιβλίοις) ἢ ἐν ἄλλαις). Λείπει δὲ καὶ τὸ θείων πρὸ τοῦ βίβλων καὶ παραδέδωκε γράφει (ἀντὶ παρέδωκε). Βλ. Scriptor. veter. nova Collect. e Vatic. codic. edit. ab Ang. Maio, T. 1. p. 316. Romae, 1825. πρβλ. καὶ Ἀνασκευὴν τῆς τελευτ. διερμην. Διαθήκης σελ. 443, 447. — Σ. 31. στίχ. 31. παραλιπεῖν. — Σ. 40. στίχ. 11. οἱ. — Σ. 41. στίχ. 32. Σινᾶ. — Σ. 53. στίχ. 28. τίθενται. — στ. 34. γρ. Βιβλ. Β. κεφ. — Σ. 58. στίχ. 29. ἐσπούδαζον. — Σ. 61. 24. Ἀλλ' ἴσως (πρόσθες) τίθησι τὴν Μωσέως ἐποχὴν τῷ 2000. π. Χ. ἤ. — στίχ. 32. Explanationum. — Σ. 69 στίχ. 12. παραναγνώ-

σεις. — Σ. 80. στίχ. 36. ἀντὶ τοῦ κατὰ γρ. καὶ — Σ. 93. στίχ. 20 ἐκλατινίσας. γράφ. λατινικὰς σημειώσεις εἰς — Σ. 101. στίχ. 33. πολυμαθής. — Σ. 112. στίχ. 34. ἀποστυγοῦντες. — Σ. 134. στίχ. 15. Ἀλλά. — Σ. 135. στίχ. 1. ἡμαρτημένως. — Σ. 148. στίχ. 24. Μασόρας. — Σ. 151. στίχ. 5. Ἐνετίαν. — Σ. 153. στίχ 26. Βαρτολέκκης. — Σ. 160 στίχ 14. §. νη. — Σ. 184. ς. 20. σύχνα. — Σ. 181. στίχ. 1. γράφ. ἐν ᾗ καὶ αὐτός. — Σ. 183. στίχ. 2. περικλεεστάτην. στίχ. 16, καθὼς καί. — Σ. 187. στίχ. 14 auf. — Σ. 192. στίχ. 7. ἐξάλειψον τὸ τῆς — Σ. 195. στίχ. 26. διχῶς. — Σ. 210 στίχ. 20. πιθανώτατα. — Σ. 233. στίχ. 23. βουλῆς — Σ. 255. στίχ. 5. κεφ. ια. — Σ. 257. στίχ. 27. utplurimum. — Σ 258. στίχ. 18 ἐν τούτοις. στίχ. 36. ὀνομάσας αὐτὸν (πρόσθες), ἢ μᾶλλον αὐτὸς πλάσας τὴν ὑπερβολὴν τοῦ ἀριθμοῦ (ὁ γὰρ τάλας ὁ Κλάριος ὀκτὼ χιλιάδας μόνας ἔλεγε. βλ. ἐν τοῖς ἐφεξῆς. σελ. σελ. 918) πλὴν εἰ μή που αὐτὸς ὁ Ὀττιγγῆρος ἐσφαλμένως, ἢ ἐξ ἐσφαλμένης Βίβλου ἀνέγνω. Ἀλλ' ὅμως κτλ. — Σ. 269. στίχ. 24. Καρού. — Σ 275. στίχ 33. καί. — Σ 284. στίχ. 27. σοιχείων. — Σ. 291. στίχ. 31. ἑλληνικῶς. — Σ. 305. στίχ. 13. Ὁμάρου. — Σ. 332. στίχ. 22. Dosthai — Σ 340. στίχ. 13. ἐν. — 358. στίχ. 14. προσδιαφθαρέν. — Σ. 376. στίχ. 14. Χαναάν. — Σ. 388 στίχ. 29. μετὰ τὸ κατὰ πρόσθεσιν (πρόσθες καὶ) ἐναλλαγήν. — Σ. 432. στίχ. 37. τῷ — Σ 436. στίχ. 8 ἐφεξῆς κεφ. ιγ. — Σ 464. στίχ. 24. Olearij. — Σ. 471. στίχ. 6 ὅ,τι. — Σ. 540. στίχ. 18. Ἑκατέρων γράφ. τοῦ ἑτέρου (καὶ ἐξάλειψον τὸ Ρωμ. ιε. 10) — Σ. 554. στίχ. 15. ἐξωβέλησε. στίχ. 18. ἐκδεδομένοι. — Σ. 572 στίχ. 18, καὶ 25. Ἐρεβίμ. γράφ. Ὀρβίμ. — Σ. 595. στίχ. ἐστί. — Σ. 605. στίχ. 11. Critic. — Σ. 616, στίχ. 4. ἀντὶ τοῦ Al, γράφ. ἀναγνόντες Ἐλαί. — Σ. 662. στίχ. 29. cognoscit. — Σ. 699 στίχ. 32. καί. — Σ. 704. στίχ. 27. the true. — Σ. 705. στίχ. 21. γράφ. 1072. — Σελ. 733. στίχ. 25. Εἰπὼν γάρ . . . μέχρι τοῦ «πρὸς τοὺς Ο» (διόρθου τὸ χωρίον ἐλλειπὲς καὶ συγκεχυμένον τυπωθέν). Ὁ εἰπὼν γάρ, ὅτι ἐκ τῶν δύω χρονολογιῶν ἃς εὗρε παρ' Ἑβραίοις, «τὴν μὲν πλεονάζουσαν τὴν δ' ἐνδέουσαν» τὴν δευτέραν ταύτην μετῆλθε (Χρον. β, 223), μήτε τῆς πλεοναζούσης ἢ πληθούσης ἐφρόντισε, μήτε τῇ ἐλλειπούσῃ (κατὰ τὸ Ἰουδαϊκὸν) παρηκολούθησεν, ἀλλ' ἀπέκλινε τέλος πρὸς τοὺς Ο. — Σ. 764. στίχ. 25. Αἴγυπτον. — Σελ. 804. στίχ. 1. ἀντὶ τοῦ πρὸς γράφ. περί. στίχ. 2. διαφωνία — Σ. 814. στίχ. 19. ὅτι. — Σ. 816. στίχ. 20. ἐπί. στίχ. 29. bohu. — Σ. 818. στίχ. 32. Ἰσαάκ. — Σ. 824. στίχ. 32, γράφ. 36, 39 — Σ. 832. στίχ. 23. φλεγμαίνουσαν. — Σ 851. στίχ. 13. ἀνωμολόγησε. — Σ 855. στίχ. 35. εὐθύς. — Σελ. 887. στίχ. 35. χρήζει. — Σ. 888. στίχ. 30. Νεοπλατωνικοί. — Σ. 891. στίχ. 32. προφανῶς. — Σ. 896. στίχ. 37. Βαρδισάνου. — Σελ. 912. στίχ. 28. προστεθείσθωσαν. — Σελ. 914. στίχ. 27. hodiernis· — Σελ. 927. στίχ. 22. Βουλγ. — Σ. 955. στίχ. 6. γράφ. διέστρεψεν εἰς τό. — Σ 972. στίχ. 23. vetustioribus. Τ' ἄλλα τὰ περὶ τὰ γράμματα καὶ τὰς προσῳδίας τυπογραφικὰ σφάλματα διορθούτω ἡ εὐμένεια τοῦ ἀναγνώστου.

BS44 .039 v.3
Peri ton O' ermeneuton tes palaias
Princeton Theological Seminary–Speer Library
1 1012 00045 8309